Notes du mont Royal

www.notesdumontroyal.com

Cette œuvre est hébergée sur « *Notes du mont Royal* » dans le cadre d'un exposé gratuit sur la littérature.

SOURCE DES IMAGES

Google Livres

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ

ΤΑ ΕΥΡΙΣΚΟΜΕΝΑ.

FLAVII JOSEPHI

OPERA.

PARISIIS. — EXCUDEBANT FIRMIN DIDOT FRATRES, VIA JACOB, 56.

FL/1

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ

ΤΑ ΕΥΡΙΣΚΟΜΕΝΑ.

FLAVII JOSEPHI

OPERA.

GRÆCE ET LATINE.

RECOGNOVIT

GUILELMUS DINDORFIUS.

ACCEDUNT INDICES NOMINUM ET RERUM LOCUPLETISSIMI.

VOLUMEN PRIMUM.



PARISIIS,

EDITORE AMBROSIO FIRMIN DIDOT,

INSTITUTI IMPERIALIS FRANCIÆ TYPOGRAPHO,

VIA JACOB, 56.

M DCCC LXV.

PRÆFATIO.

Flavius Josephus ex iis scriptoribus erat quos nostrorum temporum ars critica nondum sibi sumpserat tractandos. Ea quum alio apparatu instructior est quam quæ olim exercebatur, velut subtiliorum grammaticæ legum cognitione; tum hoc potissimum præstat, ut uniuscujusque testis indolem et naturam exploret priusquam ejus admittat testimonium. Plurima enim jam olim in scriptis codicibus de industria mutata sunt et ad earum aliquam quæ multis seculis post ipsos scriptores vigebant loquendi aut sentiendi consuetudinem aptata. Quare detegendæ scripturæ genuinæ nulla potest spes esse, nisi prius in codices ipsos et testes alios inquisitio diligentissima fuerit instituta, ut sciamus quinam sint et quibus modis interpolati, quinam infucatæ veritati propiores. Hoc ipsum in Josepho faciendum restabat, cujus codicum sat ampla copia superest. Ii et inter se multum dissentiunt, et sæpe discedunt a vetustissima translatione latina (quæ maximi pretii est critico, male edita, verum integrior in manuscriptis); denique chronographi et alii scriptores, multa ex Josepho prope ipsis ejus verbis repetentes, diversa referunt nonnunquam. Quorum omnium dijudicatio quum multum temporis et otii postulare videretur, feliciter accidit ut Guilielmus Dindorf per litteras nobis significaret se permulta de Josepho parata habere et eum scriptorem aliquot millibus locorum emendatiorem ad nos missurum. Id exemplum, multis et egregiis emendationibus vulgatæ inde ab Hudsono scripturæ conspicuum, nos excudendum curavimus; ipse autem vir celeberrimus in alterius voluminis præfatione pluribus de crisi Flaviana exponet.

a

Interpretatio latina, quam ab nescio quo (non enim ab ipso) confectam Hudsonus editioni suæ adjecit, sæpissime, in prioribus præsertim libris, a græci scriptoris sententia aberrat. Quare laborem haud hercle gratum subivimus græca cum latinis conferendi: atque ita effectum esse speramus ut, ubi integra est scriptura græcorum, quid dicat Josephus ex latinis intelligi possit.

Denique indices operum Josephi qui feruntur quum nemini posse satisfacere viderentur, impensæ non parsimus, quo ne ab hac parte editio nostra claudicet. Dudum enim ad condendum indicem plenissimum et ordine luculentum scripta Josephi assidue versat doctissimus *Theodorus Müller*, qui olim in Historicorum veterum fragmentis edendis fratrem adjuvit, nunc in Academia Gottingensi humaniores litteras docet. Est autem nova hæc opera quæ alterum volumen, typis jam excusum, nunc moratur, sed cum bono, ut speramus, emptorum emolumento.

Parisiis, kal. sextil. MDCCCXLV

ΦΛ. ΙΩΣΗΠΟΥ

ΙΟΥΔΑΪΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

ΒΙΒΛΟΣ ΠΡΩΤΗ.

Τάδε ἔνεστιν ἐν τῇ πρώτῃ βίβλῳ.

α'. Προοίμιον περὶ τῆς ὅλης πραγματείας.
β'. Ἡ τοῦ κόσμου σύστασις καὶ διάταξις τῶν στοιχείων.
γ'. Περὶ τοῦ γένους Ἀδάμου καὶ τῶν ἀπ' αὐτοῦ δέκα γενεῶν τῶν μέχρι τοῦ κατακλυσμοῦ.
δ'. Ὡς ὁ κατακλυσμὸς ἐγένετο· καὶ ὃν τρόπον Νώεος σωθεὶς ἐν λάρνακι μετὰ τῶν συγγενῶν κατῴκησεν ἐν τῷ Σενναὰρ πεδίῳ.
ε'. Ὡς πύργος, ὃν καὶ παῖδες αὐτοῦ ἐφ' ὕβρει τοῦ Θεοῦ ᾠκοδόμουν, κατέπεσεν· καὶ ὡς τὰς φωνὰς αὐτῶν μετέβαλλον· καὶ ὡς ὁ τόπος, ἐν ᾧ τοῦτο γέγονε, Βαβυλὼν ἐκλήθη.
ς'. Ὡς οἱ Νωέου ἔκγονοι πᾶσαν τὴν οἰκουμένην ἐπῴκησαν.
ζ'. Ὅτι τῶν ἐθνῶν ἕκαστον ἀπὸ τῶν οἰκησάντων προσηγορεύθη.
η'. Πῶς Ἄβραμος, ὁ πρόγονος ἡμῶν, ἐξελθὼν ἐκ τῆς Χαλδαίων γῆς κατέσχε τὴν τότε μὲν Χαναναίαν, νῦν δὲ Ἰουδαίαν λεγομένην.
θ'. Ὅτι, λιμοῦ τὴν Χαναναίων καταλαβόντος, εἰς Αἴγυπτον ἀπῆρεν, καὶ διατρίψας ἐν αὐτῇ τινα χρόνον ὑπέστρεψεν ὀπίσω.
ι'. Ἥττα Σοδομιτῶν, Ἀσσυρίων ἐπιστρατευσάντων αὐτοῖς.
ια'. Ὡς Ἄβραμος ἐπὶ τοὺς Ἀσσυρίους ἐπιστρατεύσας ἐνίκησεν, καὶ τούς τε αἰχμαλώτους τῶν Σοδομιτῶν ἔσωσε καὶ τὴν λείαν, ἣν ἔλαβον, ἀφείλετο.
ιβ'. Πῶς τὸ Σοδομιτῶν ἔθνος ὁ Θεὸς κατεστρέψατο, χολωθεὶς αὐτοῖς οἷς ἡμάρτανον.
ιγ'. Περὶ Ἰσμαήλου τοῦ Ἀβράμου καὶ τῶν ἐκγόνων αὐτοῦ Ἀράβων.
ιδ'. Περὶ Ἰσάκου, ὃς ἦν γνήσιος Ἀβράμου παῖς.
ιε'. Περὶ Σάρρας τῆς τοῦ Ἀβράμου γυναικὸς, καὶ πῶς τὸν βίον κατέστρεψεν.
ις'. Ὡς ἐκ Χετούρας, Ἀβράμῳ γαμηθείσης, τὸ τῶν Τρωγλοδυτῶν ἔθνος ἐγεννήθη.
ιζ'. Περὶ τῆς Ἀβράμου τελευτῆς.
ιη'. Περὶ τῶν Ἰσάκου υἱῶν, Ἡσαύου καὶ Ἰακώβου, καὶ γενέσεως αὐτῶν καὶ διατροφῆς.
ιθ'. Ἰακώβου φυγὴ εἰς τὴν Μεσοποταμίαν, διὰ τὸν ἐκ τἀδελφοῦ φόβον· καὶ ὡς γήμας ἐκεῖ καὶ δώδεκα γεννήσας παῖδας πάλιν εἰς τὴν Χαναναίαν ἐπανῆλθεν.
κ'. Ὡς Ἰσακος τελευτήσας ἐτάφη ἐν Χεβρῶνι.

Περιέχει ἡ βίβλος χρόνον ἐτῶν ,γωλγ'.

ΠΡΟΟΙΜΙΟΝ.

Τοῖς τὰς ἱστορίας συγγράφειν βουλομένοις οὐ μίαν οὐδὲ τὴν αὐτὴν ὁρῶ τῆς σπουδῆς γινομένην αἰτίαν, ἀλλὰ πολλὰς, καὶ πλεῖστον ἀλλήλων διαφερούσας. Τινὲς μὲν γὰρ, ἐπιδεικνύμενοι λόγων δεινότητα καὶ τὴν ἀπ' αὐτῆς θηρώμενοι δόξαν, ἐπὶ τοῦτο τῆς παιδείας τὸ μέρος ὁρμῶσιν· ἄλλοι δὲ, χάριν ἐκείνοις φέροντες περὶ ὧν τὴν ἀναγραφὴν εἶναι συμβέβηκε, τὸν εἰς αὐτὴν πόνον καὶ

FLAVII JOSEPHI

ANTIQUITATUM JUDAICARUM

LIBER PRIMUS.

Hæc insunt libro primo.

1. Proœmium operis universi rationem reddens.
2. Mundi constitutio et elementorum dispositio.
3. De posteritate Adami et decem ab eo ætatibus usque ad diluvium.
4. De diluvio; et quomodo Noe in arca cum familia servatus habitavit in campo Sennaar.
5. Quomodo turris, quam filii ejus in contumeliam Dei exstruxerunt, corruit; ut linguas suas mutarunt; atque ut locus, ubi hoc evenit, Babylon appellatus est.
6. Quomodo Noe posteri per totum terrarum orbem sedes sibi occupaverunt.
7. Quod gentes singulæ a suis auctoribus nomina traxerint.
8. Quomodo Abrahamus, generis nostri auctor, e Chaldæorum terra profectus habitavit regionem quondam Chananæam, quæ nunc Judæa dicitur.
9. Quod, fame Chananæam premente, in Ægyptum est profectus: et ibi aliquantisper commoratus, retro unde venerat est reversus.
10. Sodomitarum clades ab Assyriis accepta.
11. Quomodo Abrahamus Assyrios aggressus tam captivos quam reliquam prædam victor reduxit.
12. Quomodo Deus gentem Sodomitarum excidit flagitiis eorum offensus.
13. De Ismaele Abrahami filio, ejusque posteris Arabibus.
14. De Isaco Abrahami filio legitimo.
15. De Sara Abrahami conjuge, ejusque obitu.
16. Quomodo e Chetura, Abrahamo nupta, Troglodytarum gens nata est.
17. De obitu Abrahami.
18. De Isaci filiorum, Esaui et Jacobi, et nativitate et educatione.
19. De Jacobo metu fratris in Mesopotamiam profugo; et ut uxorem illic duxit, et duodecim procreatis filiis, rursum in Chananæam revertitur.
20. Mors Isaci atque sepultura ejus in Chebrone.

Continet liber tempus annorum MMMDCCCXXXIII.

PROŒMIUM.

Ad scribendas historias qui se conferunt, eos non unam nec eandem studii sui causam rationemque habere video, sed plures, easque plurimum inter se differentes. Quidam enim, ut eloquentiam ostentent, gloriamque ex ea captent, ad hoc disciplinæ genus feruntur: alii vero, ut illis gratificentur, de quibus scriptionem institutam esse contigit, plus

παρὰ δύναμιν ὑπέστησαν· εἰσὶ δὲ οἵτινες ἐβιάσθησαν ὑπ' αὐτῆς τῶν πραγμάτων τῆς ἀνάγκης, οἷς πραττομένοις παρέτυχον, ταῦτα γραφῇ δηλούσῃ περιλαβεῖν· πολλοὺς δὲ καὶ χρησίμων μέγεθος πραγμάτων ἐν ἀγνοίᾳ κειμένων προὔτρεψε τὴν περὶ αὐτῶν ἱστορίαν εἰς κοινὴν ὠφέλειαν ἐξενεγκεῖν. Τούτων δὴ τῶν προειρημένων αἰτιῶν αἱ τελευταῖαι δύο καὶμοὶ συμβεβήκασι. Τὸν μὲν γὰρ πρὸς τοὺς Ῥωμαίους πόλεμον ἡμῖν τοῖς Ἰουδαίοις γενόμενον, καὶ τὰς ἐν αὐτῷ πράξεις καὶ τὸ τέλος οἷον ἀπέβη, πεῖρᾳ μαθὼν, ἐβιάσθην ἐκδιηγήσασθαι, διὰ τοὺς ἐν τῷ γράφειν λυμαινομένους τῇ ἀληθείᾳ.

β'. Ταύτην δὲ τὴν ἐνεστῶσαν ἐγχειρίσιμαι πραγματείαν, νομίζων ἅπασι φανεῖσθαι τοῖς Ἕλλησιν ἀξίαν σπουδῆς. Μέλλει γὰρ περιέξειν ἅπασαν τὴν παρ' ἡμῖν ἀρχαιολογίαν καὶ τὴν διάταξιν τοῦ πολιτεύματος ἐκ τῶν Ἑβραϊκῶν μεθηρμηνευμένην γραμμάτων. Ἤδη μὲν οὖν καὶ πρότερον διενοήθην, ὅτε τὸν πόλεμον συνέγραφον, δηλῶσαι τίνες ὄντες ἐξ ἀρχῆς οἱ Ἰουδαῖοι καὶ τίσι χρησάμενοι τύχαις, ὑφ' οἵῳ τε παιδευθέντες νομοθέτῃ τὰ πρὸς θεοσέβειαν καὶ τὴν ἄλλην ἄσκησιν ἀρετῆς, πόσους τε πολέμους ἐν μακροῖς πολεμήσαντες χρόνοις, εἰς τὸν τελευταῖον ἄκοντες πρὸς Ῥωμαίους κατέστησαν. Ἀλλ' ἐπεὶ μείζων ἦν ἡ τοῦδε τοῦ λόγου περιβολὴ, καθ' αὐτὸν ἐκεῖνον χωρίσας ταῖς ἰδίαις ἀρχαῖς αὐτοῦ καὶ τῷ τέλει τὴν γραφὴν συνεμέτρησα. Χρόνου δὲ προϊόντος, ὅπερ φιλεῖ τοῖς μεγάλων ἅπτεσθαι διανοουμένοις, ὄκνος μοι καὶ μέλλησις ἐγίνετο τηλικαύτην μετενεγκεῖν ὑπόθεσιν εἰς ἀλλοδαπὴν ἡμῖν καὶ ξένης διαλέκτου συνήθειαν. Ἦσαν δέ τινες οἳ πόθῳ τῆς ἱστορίας ἐπ' αὐτὴν με προὔτρεπον, καὶ μάλιστα δὴ πάντων Ἐπαφρόδιτος, ἀνὴρ ἅπασαν μὲν ἰδέαν παιδείας ἠγαπηκὼς, διαφερόντως δὲ χαίρων ἐμπειρίαις πραγμάτων, ἅτε δὴ μεγάλοις μὲν αὐτὸς ὁμιλήσας πράγμασι καὶ τύχαις πολυτρόποις, ἐν ἅπασι δὲ θαυμαστὴν ἐπιδειξάμενος φύσεως ἀγαθῆς ἰσχὺν καὶ προαίρεσιν ἀρετῆς ἀμετακίνητον. Τούτῳ δὴ πειθόμενος, ἀεὶ τοῖς χρήσιμον ἢ καλόν τι πράττειν δυναμένοις συμφιλοκαλοῦντι, καὶ ἐμαυτὸν αἰσχυνόμενος, εἰ δόξαιμι ῥᾳθυμίᾳ πλέον ἢ τῷ περὶ τὰ κάλλιστα χαίρειν πόνῳ, προθυμότερον ἐπερρώσθην, ἔτι κἀκεῖνο πρὸς τοῖς εἰρημένοις λογισάμενος οὐ παρέργως, περί τε τῶν ἡμετέρων προγόνων, οἷ μεταδιδόναι τῶν τοιούτων ἤθελον, καὶ περὶ τῶν Ἑλλήνων, εἴ τινες αὐτῶν γνῶναι τὰ παρ' ἡμῖν ἐσπούδασαν.

γ'. Πῦρον τοίνυν ὅτι Πτολεμαίων μὲν ὁ δεύτερος, μάλιστα δὴ βασιλεὺς περὶ παιδείαν καὶ βιβλίων συναγωγὴν σπουδάσας, ἐξαιρέτως ἐφιλοτιμήθη τὸν ἡμέτερον νόμον καὶ τὴν κατ' αὐτὸν διάταξιν τῆς πολιτείας εἰς τὴν Ἑλλάδα φωνὴν μεταβαλεῖν· ὁ δὲ τῶν παρ' ἡμῖν ἀρχιερέων οὐδενὸς ἀρετῇ δεύτερος Ἐλεάζαρος τῷ προειρημένῳ βασιλεῖ ταύτης ἀπολαῦσαι τῆς ὠφελείας οὐκ ἐφθόνησε, πάντως ἀντειπὼν ἂν εἰ μὴ πάτριον ἦν ἡμῖν τὸ μηδὲν ἔχειν τῶν καλῶν ἀπόρρητον. Καὶ ἐμαυτῷ δὴ πρέπειν ἐνόμισα τοῦ μὲν ἀρχιερέως μιμήσασθαι τὸ μεγαλόψυχον, τῷ βασιλεῖ δὲ πολλοὺς ὁμοίως ὑπολαβεῖν

in ea laboris quam vel ferre valuere susceperunt : sunt quos ipsa rerum necessitas adduxit, ut quibus gerendis interfuerant, eas scripto complectentes memoriæ proderent : multos etiam magnitudo rerum utilium in obscuro latentium perpulit ut narrationem earum in communem utilitatem proferrent. Ex his jam dictis causis postremæ duæ mihi quoque obtigerunt. Bellum enim, quod nos Judæi cum Romanis habuimus, ac res eo gestas, ac quem eventum nactæ sunt, experientia quum cognoverim, edisserere coactus sum, ut eos revincerem, qui scriptis suis veritatem depravarunt.

2. Præsens vero opus aggressus sum, ratus Græcis omnibus visum iri industria dignum. Comprehendet enim universam nostram antiquitatem et reipublicæ constitutionem, ex Hebraicis literis translatam. Cogitaveram equidem et ante, jam tum quum belli historiam scriberem, docere qui a prima origine Judæi, quam varia fortuna usi, et sub quali legislatore ad cultum dei ceterasque virtutes instituti, quibusque bellis per tot sæcula gestis inviti ad postremum contra Romanos bellum sint pertracti. Sed quoniam prolixius erat hoc argumentum, seorsum illud in opere ei proprie dicato exorsus usque ad finem suum perduxi. Procedente dein tempore, sicut usu venit iis qui res arduas aggrediuntur, cunctatio quædam ac segnities mihi incessit, tantam materiam in alienam et peregrinam linguam traducturo. Sed fuerunt qui historiæ desiderio ad opus me adhortabantur, et omnium maxime Epaphroditus, vir cum omnis generis disciplinarum, tum vero rerum gestarum notitiæ in primis avidus, ut qui ipse, in maximis negotiis et variis fortunæ casibus versatus, in omnibus eximiam naturæ indolem studiumque virtutis inconcussum præ se tulisset. Huic igitur morem gerens, assiduo utile aliquid et honestum molientium fautori, pudefactusque videri ignaviam speciosissimo labori anteponere, vires animumque recepi. Accedit quod illud quoque mecum serio reputaveram, quod et majores olim nostri exteris sua benigne communicare voluerint, et Græcorum nonnulli res nostras cognoscendi studio flagrarint.

3. Comperiebam utique quod Ptolemæorum secundus, rex maxime disciplinis librisque colligendis deditus, magnopere contenderit legem nostram reique publicæ ex ea constitutionem in Græcum sermonem transferri, quodque Eleazarus, qui virtute non inferior erat quam quisquam nostrorum pontificum, hanc regi isti non inviderit utilitatem, reclamaturus omnino, nisi mos patrius nobis exstitisset res bonas et honestas celare neminem. Proinde et mihimet convenire putavi ut et pontificis nostri imitarer magnanimitatem, et hodie quoque permultos discendi cupiditate regis

καὶ νῦν εἶναι φιλομαθεῖς· οὐδὲ γὰρ πᾶσαν ἐκεῖνος ἔφθη λαβεῖν τὴν ἀναγραφὴν, ἀλλ' αὐτὰ μόνα τὰ τοῦ νόμου παρέδοσαν οἱ πεμφθέντες ἐπὶ τὴν ἐξήγησιν εἰς τὴν Ἀλεξάνδρειαν. Μυρία δέ ἐστι τὰ ἐηλούμενα διὰ τῶν ἱερῶν γραμμάτων, ἅτε δὴ πεντακισχιλίων ἐτῶν ἱστορίας ἐν αὐτοῖς περιειλημμένης· καὶ παντοῖαι μέν εἰσι παράλογοι περιπέτειαι, πολλαὶ δὲ τύχαι πολέμων καὶ στρατηγῶν ἀνδραγαθίαι καὶ πολιτευμάτων μεταβολαί. Τὸ σύνολον δὲ μάλιστά τις ἂν ἐκ ταύτης μάθοι τῆς ἱστορίας, ἐθελήσας αὐτὴν διελθεῖν, ὅτι τοῖς μὲν Θεοῦ γνώμῃ κατακολουθοῦσι καὶ τὰ καλῶς νομοθετηθέντα μὴ τολμῶσι παραβαίνειν πάντα κατορθοῦται πέρα πίστεως καὶ γέρας εὐδαιμονίας πρόκειται παρὰ Θεοῦ, καθ' ὅσον δ' ἂν ἀποστῶσι τῆς τούτων ἀκριβοῦς ἐπιμελείας, ἄπορα μὲν γίνεται τὰ πόριμα, τρέπεται δ' εἰς συμφορὰς ἀνηκέστους ὅ τι ποτ' ἂν ὡς ἀγαθὸν ὁρᾶν σπουδάσωσιν. Ἤδη τοίνυν τοὺς ἐντευξομένους τοῖς βιβλίοις παρακαλῶ τὴν γνώμην Θεῷ προσανέχειν, καὶ δοκιμάζειν τὸν ἡμέτερον νομοθέτην, εἰ τήν τε φύσιν αὐτοῦ ἀξίως κατενόησε καὶ τῇ δυνάμει πρεπούσας ἀεὶ τὰς πράξεις ἀνέθηκε, πάσης καθαρὸν τὸν περὶ αὐτοῦ φυλάξας λόγον τῆς παρ' ἄλλοις ἀσχήμονος μυθολογίας, καίτοι γε, ὅσον ἐπὶ μήκει χρόνου καὶ παλαιότητι, πολλὴν ἔχων ἄδειαν ψευδῶν πλασμάτων. Γέγονεν γὰρ πρὸ ἐτῶν δισχιλίων, ἐφ' ὅσον πλῆθος αἰῶνος οὐδ' αὐτῶν οἱ ποιηταὶ τὰς γενέσεις τῶν θεῶν, μήτι γε τὰς τῶν ἀνθρώπων πράξεις ἢ τοὺς νόμους ἀνενεγκεῖν ἐτόλμησαν, Τὰ μὲν οὖν ἀκριβῆ τῶν ἐν ταῖς ἀναγραφαῖς προϊὼν ὁ λόγος κατὰ τὴν οἰκείαν τάξιν σημανεῖ· τοῦτο γὰρ διὰ ταύτης ποιήσειν τῆς πραγματείας ἐπηγγειλάμην, οὐδὲν προσθεὶς, οὐδ' αὖ παραλιπών.

δ'. Ἐπειδὴ δὲ τὰ πάντα σχεδὸν ἐκ τῆς τοῦ νομοθέτου σοφίας ἡμῖν ἀνήρτηται Μωϋσέως, ἀνάγκη μοι βραχέα περὶ ἐκείνου προειπεῖν, ὅπως ἂν μή τινες τῶν ἀναγνωσομένων διαπορῶσιν πόθεν ἡμῖν ὁ λόγος, περὶ νόμων καὶ πράξεων ἔχων τὴν ἀναγραφὴν, ἐπὶ τοσοῦτον φυσιολογίας κεχοινώνηκεν. Ἰστέον οὖν ὅτι πάντων ἐκεῖνος ἀναγκαιότατον ἡγήσατο τῷ καὶ τὸν ἑαυτοῦ μέλλοντι βίον οἰκονομήσειν καλῶς καὶ τοῖς ἄλλοις νομοθετεῖν πρῶτον Θεοῦ φύσιν κατανοῆσαι, καὶ τῶν ἔργων τῶν ἐκείνου θεατὴν τῷ νῷ γενόμενον, οὕτω παράδειγμα τὸ πάντων ἄριστον μιμεῖσθαι, καθ' ὅσον οἷόν τε, καὶ πειρᾶσθαι κατακολουθεῖν· οὔτε γὰρ αὐτῷ ποτ' ἂν γενέσθαι νοῦν ἀγαθὸν τῷ νομοθέτῃ ταύτης ἀπολειπομένῳ τῆς θέας, οὔτε τῶν γραφησομένων εἰς ἀρετῆς λόγον οὐδὲν ἀποδήσεσθαι τοῖς λαβοῦσιν, εἰ μὴ πρὸ παντὸς ἑτέρου διδαχθεῖεν ὅτι πάντων πατήρ τε καὶ δεσπότης ὁ Θεὸς ὢν καὶ πάντα ἐπιβλέπων τοῖς μὲν ἑπομένοις αὐτῷ δίδωσιν εὐδαίμονα βίον, τοὺς ἔξω δὲ βαίνοντας ἀρετῆς μεγάλαις περιβάλλει συμφοραῖς. Τοῦτο δὴ παιδεῦσαι Μωϋσῆς βουληθεὶς τὸ παίδευμα τοὺς ἑαυτοῦ πολίτας, τῆς τῶν νόμων θέσεως οὐκ ἀπὸ συμβολαίων καὶ τῶν πρὸς ἀλλήλους δικαίων ἤρξατο τοῖς ἄλλοις παραπλησίως, ἀλλ' ἐπὶ τὸν Θεὸν καὶ τὴν τοῦ κόσμου κατασκευὴν τὰς γνώ-

illius similes esse existimarem. Neque enim totam scripturam accipere illi contigit, sed legem solam ei tradiderunt, qui ad eam interpretandam missi fuerant Alexandriam. Sunt autem innumera sacris literis prodita, ut quæ quinque millium annorum historiam in se complectantur; et diversi quidem in his inopinati casus, varia belli fortuna, multa imperatorum præclara facinora, multæque rerum publicarum mutationes. In universum autem ex hac potissimum historia legentibus licet cognoscere, quod his qui dei voluntati obsequuntur, et leges bene latas transgredi verentur, omnia prospere succedunt supra quam credi possit, eosque felicitatis manet a Deo præmium: in quantum vero ab illarum diligenti observatione discedant, inextricabilia evadunt quæ alias facilia; et quicquid unquam, quamvis bonum, agere instituerunt, in insanabiles desinit calamitates. Jam itaque lecturos hæc volumina adhortor ut Deo mentem adhibeant, et legislatorem nostrum explorent, an naturam ejus, ut par est, consideraverit et virtuti ejus convenientes semper operationes assignarit, narrationem de eo puram ab omni, qualis apud alios est, fabularum vanitate conservans, tametsi, quantum ad longitudinem temporis rerumque vetustatem attinet, impune poterat quælibet mendacia confingere. Natus est enim ante annos bis mille, quum ad tot retro sæcula etiam poetæ ne deorum quidem suorum natales, nedum mortalium res gestas aut leges referre ausi fuerint. Sed hæc omnia procedens oratio accurate suo quæque ordine docebit: ita enim nos hac in re facturos esse polliciti sumus, neque subtrahendo quicquam, neque adjiciendo.

4. Ceterum quoniam ferme omnia pendent a Moysis legislatoris sapientia, necesse habeo paucis de illo præfari, ne quem forte legentium cogitatio subeat, qui factum sit ut, quum operis inscriptio leges latas et res gestas polliceatur, tam multa ad naturæ cognitionem spectantia ei inseruerimus. Sciri igitur oportet, quod vir ille ante omnia necessarium duxerit vel vitam suam recte instituturo vel aliis leges posituro ut inprimis Dei naturam consideraret, atque ita, postquam opera ejus animo contemplatus sit, exemplar omnium optimum imitari, quantum fieri posset et sectari conaretur. Nam sine hac speculatione nec legislator ipse erit bona unquam mente præditus, neque scripta ejus aliquid apud accipientium animos ad virtutem momenti habebunt, nisi ante omnia edocti sint, quod Deus, quum sit parens omnium ac dominus, et universa intueatur, sibimet obedientes vita donat beata, a virtute autem digredientes maximis circumdat calamitatibus. Moyses itaque, hac doctrina cives suos volens instituere, non a pactis aut conventis et mutuo circa hæc jure leges auspicatus est similiter atque alii, sed mentes eorum ad Deum mundique fabricam *contemplandam* attollens, fidemque faciens quod

μας αὐτῶν ἀναγαγὼν, καὶ πείσας ὅτι τῶν ἐπὶ γῆς ἔργων τοῦ θεοῦ τὸ κάλλιστόν ἐσμεν ἄνθρωποι, ὅτε πρὸς τὴν εὐσέβειαν ἔσχεν ὑπακούοντας, ῥᾳδίως ἤδη περὶ πάντων ἔπειθεν. Οἱ μὲν γὰρ ἄλλοι νομοθέται τοῖς μύθοις ἐξακολουθήσαντες τῶν ἀνθρωπίνων ἁμαρτημάτων εἰς τοὺς θεοὺς τῷ λόγῳ τὴν αἰσχύνην μετέθεσαν, καὶ πολλὴν ὑποτίμησιν τοῖς πονηροῖς ἔδωκαν· ὁ δ' ἡμέτερος νομοθέτης ἀκραιφνῆ τὴν ἀρετὴν ἔχοντα τὸν Θεὸν ἀποφήνας ᾠήθη δεῖν τοὺς ἀνθρώπους ἐκείνης πειρᾶσθαι μεταλαμβάνειν, καὶ τοὺς μὴ ταῦτα φρονοῦντας μηδὲ πιστεύοντας ἀπαραιτήτως ἐκόλασε. Πρὸς ταύτην οὖν τὴν ὑπόθεσιν ποιεῖσθαι τὴν ἐξέτασιν τοὺς ἀναγνωσομένους παρακαλῶ. Φανεῖται γὰρ σκοπουμένοις οὕτως οὐδὲν οὔτ' ἄλογον αὐτοῖς οὔτε πρὸς τὴν μεγαλειότητα τοῦ Θεοῦ καὶ τὴν φιλανθρωπίαν ἀνάρμοστον. Πάντα γὰρ τῇ τῶν ὅλων φύσει σύμφωνον ἔχει τὴν διάθεσιν, τὰ μὲν αἰνιττομένου τοῦ νομοθέτου δεξιῶς, τὰ δὲ ἀλληγοροῦντος μετὰ σεμνότητος, ὅσα δ' ἐξ εὐθείας λέγεσθαι συνέφερε, ταῦτα ῥητῶς ἐμφανίζοντος. Τοῖς μέντοι βουλομένοις καὶ τὰς αἰτίας ἑκάστων σκοπεῖν πολλὴ γένοιτ' ἂν ἡ θεωρία καὶ λίαν φιλόσοφος, ἣν ἐγὼ νῦν μὲν ὑπερβαλοῦμαι, Θεοῦ δὲ διδόντος ἡμῖν χρόνον, πειράσομαι μετὰ ταύτην γράψαι τὴν πραγματείαν. Τρέψομαι δὲ ἐπὶ τὴν ἀφήγησιν ἤδη τῶν πραγμάτων, μνησθεὶς πρότερον ὧν περὶ τῆς τοῦ κόσμου κατασκευῆς εἶπε Μωϋσῆς. Ταῦτα δ' ἐν ταῖς ἱεραῖς βίβλοις ηὗρον ἀναγεγραμμένα· ἔχει δὲ οὕτως.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἐν ἀρχῇ ἔκτισεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Ταύτης δ' ὑπ' ὄψιν οὐκ ἐρχομένης, ἀλλὰ βαθεῖ μὲν κρυπτομένης σκότει, πνεύματος δ' αὐτὴν ἄνωθεν ἐπιθέοντος, γενέσθαι φῶς ἐκέλευσεν ὁ Θεός. Καὶ γενομένου τούτου, κατανοήσας τὴν ὅλην ὕλην, διεχώρισε τό τε φῶς καὶ τὸ σκότος, καὶ τῷ μὲν ὄνομα ἔθετο νύκτα, τὸ δὲ ἡμέραν ἐκάλεσεν, ἑσπέραν τε καὶ ὄρθρον τὴν ἀρχὴν τοῦ φωτὸς καὶ τὴν ἀνάπαυσιν προσαγορεύσας. Καὶ αὕτη μὲν ἂν εἴη ἡ πρώτη ἡμέρα· Μωϋσῆς δ' αὐτὴν μίαν εἶπε. Τὴν δ' αἰτίαν ἱκανὸς μέν εἰμι ἀποδοῦναι καὶ νῦν· ἐπεὶ δ' ὑπέσχημαι τὴν αἰτιολογίαν ἁπάντων ἰδίᾳ συγγραψάμενος παραδώσειν, εἰς τότε καὶ τὴν περὶ αὐτῆς ἑρμηνείαν ἀναβαλοῦμαι. Μετὰ δὴ τοῦτο τῇ δευτέρᾳ τῶν ἡμερῶν τὸν οὐρανὸν τοῖς ὅλοις ἐπιτίθησιν, ὅτι αὐτὸν ἀπὸ τῶν ἄλλων διακρίνας καθ' αὑτὸν ἠξίωσε τετάχθαι, κρύσταλλόν τε περιπήξας αὐτῷ καὶ νότιον αὐτὸν καὶ ὑετώδη, πρὸς τὴν ἀπὸ τῶν ὁρόσων ὠφέλειαν, ἁρμοδίως τῇ γῇ μηχανησάμενος. Τῇ δὲ τρίτῃ ἵστησι τὴν γῆν, ἀναχέας περὶ αὐτὴν τὴν θάλασσαν· κατ' αὐτὴν δὲ ταύτην τὴν ἡμέραν εὐθὺς φυτά τε καὶ σπέρματα γῆθεν ἀνέτειλε Τῇ δὲ τετάρτῃ διακοσμεῖ τὸν οὐρανὸν ἡλίῳ καὶ σελήνῃ καὶ τοῖς ἄλλοις ἄστροις, κινήσεις αὐτοῖς ἐπιστείλας καὶ δρόμους, οἷς ἂν αἱ τῶν ὡρῶν περιφοραὶ φανεραὶ σημαίνοιντο. Πέμπτῃ δ' ἡμέρᾳ ζῷά

in terris pulcherrimum Dei opus simus homines, quum jam ad pietatem haberet obsequentes, de ceteris omnibus eis facile persuasit. Alii namque legislatores fabulas sequuti pudenda hominum peccata ad deos verbis transtulerunt, multamque dederunt improbis semet excusandi materiam: at noster legislator, ostenso Deum virtutem habere puram, homines summa ope niti oportere censuit ut de ea participent, in eosque, qui neque sapiunt hæc neque credunt, severe admodum animadvertit. Ad hoc igitur præscriptum lectores obsecro ut hæc nostra examinare velint. Sic enim considerantibus nihil vel absurdum, vel Dei majestati ejusque erga homines amori parum congruum esse videbitur. Nam omnia summa concinnitate juxta universi naturam sunt disposita, nonnulla scite quidem innuente legislatore, alia autem exprimente allegorice cum dignitate; quæcunque vero directe proponere utile erat, ea plane et disertim explicante. Horum causas si cui in animo est sigillatim perpendere, ei multa suborietur contemplatio et valde philosophica: quam in aliud tempus differre mecum statuo. Quodsi deus longiorem ætatem concesserit, opere hoc absoluto ad illa quoque perscribenda aggrediar. Nunc vero memet ad rerum narrationem convertam, ubi paucula de mundi fabrica ex verbis Moysaicis prælibavero. Hæc autem in sacris literis scripta reperiebam: atque ita se habent.

CAPUT I. (II.)

Principio creavit Deus cœlum et terram. Hæc quum sub conspectum non veniret, alta quippe caligine occultata, spiritu autem eam superne permeante, lucem Deus fieri jussit. Quæ quum effulsisset, tota mole considerata, lucem a tenebris secrevit, et tenebras quidem noctem, lucem vero diem appellavit, et exordium lucis et quietis initium vesperam et mane nominavit. Atque hæc quidem prima dies exstitit: Moyses autem unam eam dixit. Cujus rei causam possem equidem et nunc reddere: sed quoniam pollicitus sum me omnium causas proprio volumine conscriptas editurum, in illud tempus et hujusce explicationem differam. Post hæc secunda die cœlum universitati rerum superimposuit, quod ipsum a ceteris discretum *in sublimi* per se collocatum esse voluerit; crystallumque ei circumdans, terræque convenienter humidum ipsum faciens et pluvium, ut imbres essent ad *soli* fœcunditatem. Tertia vero die terram statuit, mari undiquaque circumfusam; eademque die continuo plantæ simul et semina e terra sunt exorta. Quarta vero die cœlum sole ac luna aliisque sideribus collustravit, omnia eo motu cieri cursuque ferri jubens, quo temporum tempestatumque vicissitudines plane indicarentur. Quinta vero die animantia, cum natatilia

τε κατ' αὐτὴν νηκτὰ καὶ μετάρσια, τὰ μὲν κατὰ βυθοῦ, τὰ δὲ δι' ἀέρος ἀνῆκε, συνδησάμενος αὐτὰ κοινωνίᾳ καὶ μίξει, γονῆς ἕνεκα καὶ τοῦ συναύξεσθαι καὶ πλεονάζειν αὐτῶν τὴν φύσιν. Τῇ δὲ ἕκτῃ ἡμέρᾳ δημιουργεῖ τὸ τῶν τετραπόδων γένος, ἄρρεν τε καὶ θῆλυ ποιήσας· ἐν ταύτῃ δὲ καὶ τὸν ἄνθρωπον ἔπλασε. Καὶ τὸν κόσμον ἐν ἓξ ταῖς πάσαις ἡμέραις Μωϋσῆς καὶ πάντα τὰ ἐν αὐτῷ φησὶ γενέσθαι, τῇ δὲ ἑβδόμῃ ἀναπαύσασθαι καὶ λαβεῖν ἀπὸ τῶν ἔργων ἐκεχειρίαν· ὅθεν καὶ ἡμεῖς σχολὴν ἀπὸ τῶν πόνων κατὰ ταύτην ἄγομεν τὴν ἡμέραν, προσαγορεύοντες αὐτὴν σάββατα· δηλοῖ δὲ ἀνάπαυσιν κατὰ τὴν Ἑβραίων διάλεκτον τὸ ὄνομα.

β'. Καὶ δὴ καὶ φυσιολογεῖν Μωϋσῆς μετὰ τὴν ἑβδόμην ἤρξατο, περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς λέγων οὕτως. Ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν ἀπὸ τῆς γῆς λαβών, καὶ πνεῦμα ἐνῆκεν αὐτῷ καὶ ψυχήν. Ὁ δ' ἄνθρωπος οὗτος Ἄδαμος ἐκλήθη· σημαίνει δὲ τοῦτο κατὰ γλῶτταν τὴν Ἑβραίων πυρρός, ἐπειδήπερ ἀπὸ τῆς πυρρᾶς γῆς φυραθείσης ἐγεγόνει. Τοιαύτη γάρ ἐστιν ἡ παρθένος γῆ καὶ ἀληθινή. Παρίστησι δὲ ὁ Θεὸς τῷ Ἀδάμῳ κατὰ γένη τὰ ζῷα, θήλεά τε καὶ ἄρρενα ἀποδειξάμενος· καὶ τούτοις ὀνόματα τίθησιν, οἷς ἔτι καὶ νῦν καλοῦνται. Βλέπων δὲ τὸν Ἄδαμον οὐκ ἔχοντα κοινωνίαν πρὸς τὸ θῆλυ καὶ συνδιαίτησιν (οὐδὲ γὰρ ἦν), ξενιζόμενον δ' ἐπὶ τοῖς ἄλλοις ζῴοις οὕτως ἔχουσι, μίαν αὐτοῦ κοιμωμένου πλευρὰν ἐξελὼν, ἐξ αὐτῆς ἔπλασε τὴν γυναῖκα· καὶ ὁ Ἄδαμος προσαχθεῖσαν αὐτὴν ἐγνώρισεν ἐξ ἑαυτοῦ γενομένην. Ἰσσὰ δὲ κατὰ τὴν Ἑβραίων διάλεκτον καλεῖται γυνή. Τὸ δ' ἐκείνης ὄνομα τῆς γυναικὸς Εὐέα ἦν· σημαίνει δὲ τοῦτο πάντων τῶν ζώντων μητέρα.

γ'. Φησὶ δὲ τὸν Θεὸν καὶ παράδεισον πρὸς τὴν ἀνατολὴν καταφυτεῦσαι, παντοίῳ τεθηλότα φυτῷ· ἐν τούτοις δ' εἶναι καὶ τῆς ζωῆς τὸ φυτὸν καὶ ἄλλο τὸ τῆς φρονήσεως, ᾧ διεγινώσκετο τί τε εἴη τὸ ἀγαθὸν καὶ τί τὸ κακόν· εἰς τοῦτόν τε τὸν κῆπον εἰσαγαγόντα τόν τε Ἄδαμον καὶ τὴν γυναῖκα κελεῦσαι τῶν φυτῶν ἐπιμελεῖσθαι. Ἀρδεται δ' οὗτος ὁ κῆπος ὑπὸ ἑνὸς ποταμοῦ, πᾶσαν ἐν κύκλῳ τὴν γῆν περιρρέοντος, ὃς εἰς τέσσαρα μέρη σχίζεται. Καὶ Φεισὼν μὲν (σημαίνει δὲ πληθὺν τοὔνομα) ἐπὶ τὴν Ἰνδικὴν φερόμενος ἐκδίδωσιν εἰς τὸ πέλαγος, ὑφ' Ἑλλήνων Γάγγης λεγόμενος· Εὐφράτης δὲ καὶ Τίγρις ἐπὶ τὴν Ἐρυθρὰν ἀπίασι θάλασσαν· καλεῖται δὲ ὁ μὲν Εὐφράτης Φορά, σημαίνει δὲ ἤτοι σκεδασμὸν ἢ ἄνθος. Τίγρις δὲ Διγλὰθ, ἐξ οὗ φράζεται τὸ μετὰ στενότητος ὀξύ· Γηὼν δὲ, διὰ τῆς Αἰγύπτου ῥέων, δηλοῖ τὸν ἀπὸ τῆς ἀνατολῆς ἀναδιδόμενον ἡμῖν· ὃν δὴ Νεῖλον Ἕλληνες προσαγορεύουσιν.

δ'. Ὁ δὴ τοίνυν Θεὸς τὸν Ἄδαμον καὶ τὴν γυναῖκα τῶν μὲν ἄλλων φυτῶν ἐκέλευε γεύεσθαι, τοῦ δὲ τῆς φρονήσεως ἀπέχεσθαι, προειπὼν ἁψαμένοις ἐξ αὐτοῦ θλεθρον γενησόμενον. Ὁμοφωνούντων δὲ κατ' ἐκεῖνο καιροῦ τῶν ζῴων ἁπάντων, ὁ ὄφις, συνδιαιτώμενος τῷ τε Ἀδάμῳ καὶ τῇ γυναικὶ, φθονερῶς μὲν εἶχεν ἐφ' οἷς

tum volatilia, illa quidem per profundum, hæc vero per aerem dimisit, ea inter se communione jungens et commixtione, procreandi causa, et ut genus eorum cresceret simul ac multiplicaretur. Sexta autem die quadrupedum genus creavit, masculum faciens et femineum : in hac vero hominem etiam formavit. Et mundum sex quidem illis diebus, cum omnibus quæ in eo sunt, Moyses conditum esse dicit : septima autem quievisse *Deum* et ab operibus cessavisse. Unde et nos per illam diem vacamus a laboribus, appellantes eam sabbatum : quæ vox requiem Hebræorum lingua denotat.

2. Quin etiam naturam interpretari post septimam diem Moyses incepit, de hominis formatione in hunc modum disserens. Finxit Deus hominem, accepto ex terra limo, immisitque in eum spiritum et animam. Et hic homo vocatus est Adamus : significat autem hoc lingua Hebræorum rufus, quoniam e terra rufa macerata est factus. Talis enim est virgo terra et vera. Adduxit autem Deus ad Adamum singula animantium genera, marem et feminam ei ostendens : et his nomina imposuit, quibus etiam nunc vocantur. Videns autem Adamum carentem societate et convictu feminæ (nondum enim erat), aliorumque animantium, quod ita se haberent, admiratione perculsum, illi consopito costarum unam detrahens, finxit ex ea mulierem, ipsamque adductam ex se formatam agnovit Adamus. Issa autem Hebræorum dialecto vocatur mulier. Nomen autem istius mulieris erat Evea : hoc enim significat matrem omnium viventium.

3. Narrat præterea Deum hortum ad orientem plantasse, omnigenis florentem plantis; et in his fuisse arborem vitæ et aliam scientiæ, cujus ope dignosceretur quid esset bonum et quid malum : inque hunc hortum introduxisse Adamum cum uxore, præcipientem plantarum eos curam habere. Irrigatur autem hic hortus ab uno fluvio, omnem in circuitu terram circumfluente, qui in quattuor partes diffinditur. Atque Phison quidem (significat autem ea vox multitudinem) in Indiam delatus in mare effunditur, Græcis Ganges appellatus : Euphrates autem et Tigris in mare Rubrum exeunt : et vocatur Euphrates quidem Phora, quod significat dispersionem aut florem; Tigris autem Diglath, quod exponitur cum angustia velox. Geon autem, per Ægyptum fluens, significat ab oriente nobis exorientem : quem Græci Nilum appellant.

4. Deus igitur Adamum et mulierem de ceteris quidem plantis gustare jussit, arbore autem scientiæ abstinere, prædicens, quando attigissent, ex ea venturum exitium. Quum autem linguæ ejusdem commercio per id tempus cuncta uterentur animalia, serpens, familiariter cum Adamo et muliere degens, invidebat eis felicitatem, qua fruituros

αὐτοὺς εὐδαιμονήσειν ᾤετο πεπεισμένους τοῖς τοῦ Θεοῦ παραγγέλμασιν, οἰόμενος δὲ συμφορᾷ περιπεσεῖσθαι παρακούσαντας, ἀναπείθει κακοήθως τὴν γυναῖκα γεύσασθαι τοῦ φυτοῦ τῆς φρονήσεως, ἐν αὐτῷ λέγων εἶναι τήν τε τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ διάγνωσιν, ἧς γενομένης αὐτοῖς μακάριον καὶ μηδὲν ἀπολείποντα τοῦ θείου διάξειν βίον. Καὶ παρακρούεται μὲν οὕτω τὴν γυναῖκα τῆς ἐντολῆς τοῦ θεοῦ καταφρονῆσαι, γευσαμένη δὲ τοῦ φυτοῦ καὶ ἡσθεῖσα τῷ εἴδεσματι καὶ τὸν Ἀδαμον ἀνέπεισεν αὐτῷ χρήσασθαι. Καὶ συνίεσάν τε ἑαυτῶν ἤδη γεγυμνωμένων καὶ τὴν αἰσχύνην ὕπαιθρον ἐχόντες σκέπην ἑαυτοῖς ἐπενόουν· τὸ γὰρ φυτὸν ὀξύτητος καὶ διανοίας ὑπῆρχε. Φύλλοις οὖν ἑαυτοὺς συκῆς ἐσκέπασαν, καὶ ταῦτα πρὸ τῆς αἰδοῦς προβαλλόμενοι μᾶλλον ἐδόκουν εὐδαιμονεῖν ὅσων πρότερον ἐσπάνιζον εὑρόντες. Τοῦ Θεοῦ δ' εἰς τὸν κῆπον ἐλθόντος ὁ μὲν Ἀδαμος, πρότερον εἰς ὁμιλίαν αὐτῷ φοιτῶν, συνειδὼς ἑαυτῷ τὴν ἀδικίαν ὑπεχώρει· τὸν δὲ Θεὸν ἐξένιζεν τὸ πραττόμενον, καὶ τὴν αἰτίαν ἐπυνθάνετο, δι' ἣν πρότερον ἡδόμενος τῇ πρὸς αὐτὸν ὁμιλίᾳ, νῦν φεύγει ταύτην καὶ περιίσταται. Τοῦ δὲ μηδὲν φθεγγομένου διὰ τὸ συγγινώσκειν ἑαυτῷ παραβάντι τὴν τοῦ Θεοῦ πρόσταξιν, ἀλλ' ἐμοὶ μέν, εἶπεν ὁ Θεὸς, ἔγνωστο περὶ ὑμῶν ὅπως βίον εὐδαίμονα καὶ κακοῦ παντὸς ἀπαθῆ βιώσητε, μηδεμιᾷ ξαινόμενοι τὴν ψυχὴν φροντίδι, πάντων δ' ὑμῖν αὐτομάτων, ὅσα πρὸς ἀπόλαυσιν καὶ ἡδονὴν συντελεῖ, κατὰ τὴν ἐμὴν ἀνιόντων πρόνοιαν, χωρὶς ὑμετέρου πόνου καὶ ταλαιπωρίας, ὧν παρόντων γῆρᾶς τε ὠᾶττον ἂν ἐπέλθοι καὶ τὸ ζῆν οὐ μακρὸν ὑμῖν γένοιτο. Νῦν δ' εἰς ταύτην μου τὴν γνώμην ἐνύβρισας, παρακούσας τῶν ἐμῶν ἐντολῶν· οὐ γὰρ ἐπ' ἀρετῇ τὴν σιωπὴν ἄγεις, ἀλλ' ἐπὶ συνειδότι πονηρῷ. Ἀδαμος δὲ παρῃτεῖτο τῆς ἁμαρτίας αὐτὸν, καὶ παρεκάλει τὸν Θεὸν μὴ χαλεπαίνειν αὐτῷ, τὴν γυναῖκα τοῦ γεγονότος αἰτιώμενος καὶ λέγων ὑπ' αὐτῆς ἐξαπατηθεὶς ἁμαρτεῖν· ἡ δ' οὗ κατηγόρει τοῦ ὄφεως. Ὁ δὲ Θεὸς ἥττονα γυναικείας συμβουλῆς αὐτὸν γενόμενον ὑπετίθει τιμωρίᾳ, τὴν γῆν οὐκ ἔτι μὲν αὐτοῖς τῶν ἑαυτῆς ἀναδώσειν αὐτομάτως εἰπὼν, πονοῦσι δὲ καὶ τοῖς ἔργοις τριβομένοις τὰ μὲν παρέξειν, τῶν δὲ οὐκ ἀξιώσειν. Εὐέαν δὲ τοκετοῖς καὶ ταῖς ἐξ ὠδίνων ἀλγηδόσιν ἐκόλαζεν, ὅτι τὸν Ἀδαμον, οἷς αὐτὴν ὁ ὄφις ἐξηπάτησε, τούτοις παρακρουσαμένη συμφοραῖς περιέβαλεν. Ἀφείλετο δὲ καὶ τὸν ὄφιν τὴν φωνὴν, ὀργισθεὶς ἐπὶ τῇ κακοηθείᾳ τῇ πρὸς τὸν Ἀδαμον, καὶ ἰὸν ἐντίθησιν ὑπὸ τὴν γλῶτταν αὐτῷ, πολέμιον ἀποδείξας ἀνθρώποις, καὶ ὑποθέμενος κατὰ τῆς κεφαλῆς φέρειν τὰς πληγὰς, ὡς ἐν ἐκείνῃ τοῦ τε κακοῦ τοῦ πρὸς ἀνθρώπους κειμένου καὶ τῆς τελευτῆς ῥάστης τοῖς ἀμυνομένοις ἐσομένης, ποδῶν τε αὐτὸν ἀποστερήσας, σύρεσθαι κατὰ τῆς γῆς ἑλυσπώμενον ἐποίησε. Καὶ ὁ μὲν Θεὸς, ταῦτα προστάξας αὐτοῖς πάσχειν, μετοικίζει τὸν Ἀδαμον καὶ τὴν Εὐέαν ἐκ τοῦ κήπου εἰς ἕτερον χωρίον.

existimabat Dei præceptis obedientes. Ratus autem in calamitatem casuros, si ab obsequio discederent, malitiose persuadet mulieri ut gustaret de arbore scientiæ, dictitans in illa esse boni et mali discretionem, quam si nacti fuerint, beatam adeoque divinam vitam acturos esse. Atque hoc pacto subvertit mulierem, ut præceptum Dei negligeret. Quæ quum gustasset de arbore, ciboque delectata esset, etiam Adamo persuasit ut eo uteretur. Atque tum intellexerunt quod adhuc essent nudi, atque pudenda luci exposita habentes prospexerunt sibi de tegumento : arbor enim ista causa erat acuminis et intellectus. Foliis igitur ficus convelarunt sese, eaque pudendis prætexentes feliciores sibi jam videbantur, qui invenissent quo prius carebant. Quum autem Deus in hortum veniret, Adamus, prius conversari cum eo suetus, peccati sibi conscius, secedebat. Deo autem admirationem movit factum, causamque sciscitabatur, ob quam consuetudine sua antea gavisus nunc *eam refugeret et metueret. Illo autem nihil respondente.* eo quod sibi conscius esset violati divini præcepti, Deus inquit : Mihi decretum de vobis erat ut vitam felicem omnisque mali expertem viveretis, nulla animi sollicitudine vexati, omnibus, quæ ad usum ac voluptatem suppeditant, mea unius cura vobis provenientibus, sine ullo vestro labore ac miseria, ex quibus citius adveniet senectus et vita in longum vobis non producetur. Nunc autem tu meis spretis præceptis hanc voluntatem meam illusisti, neque virtutis est quod siles, sed malæ conscientiæ. Adamus autem excusabat peccatum, rogabatque Deum ne succenseret sibi, mulierem facti auctorem accusans dicensque ab ipsa se deceptum peccavisse. Mulier rursus serpentem accusabat. Tum Deus Adamum, quod muliebri consilio cessisset, pœnæ subjecit, dicens terram non amplius ipsis suos fructus sponte daturam, sed laborantibus et opere attritis alia quidem exhibituram esse, alia vero non largituram. Evam autem parturitionibus et qui eas comitarentur doloribus punivit, quod Adamum iis ipsis, quibus serpens eam decepit, seducens calamitatibus involverat. Serpenti autem vocem ademit, iratus quod erga Adamum vafre et malitiose se gesserat, venenumque linguæ ejus indidit, hominum generi hostem declarans, *eosque* admonens plagis caput *ipsius impetere*, quippe *in quo* et vis homini noxia resideret, et facillime ad mortem adigi ab oppugnantibus posset : pedibus insuper ipsum privans, effecit ut humi volutatus per terram corpus traheret. Et deus quidem, ista ipsis in pœnam constituens, transfert Adamum et Evam in alium locum.

ΚΕΦ. Β.

Γίνονται δὲ αὐτοῖς παῖδες ἄρρενες δύο. Προσηγορεύετο δ' αὐτῶν ὁ μὲν πρῶτος Κάϊς (κτῆσιν δὲ σημαίνει τοῦτο μεθερμηνευόμενον τὸ ὄνομα), Ἄβελος δὲ ὁ δεύτερος (σημαίνει δὲ πένθος τοῦτο). Γίνονται δὲ αὐτοῖς καὶ θυγατέρες. Οἱ μὲν οὖν ἀδελφοὶ διαφόροις ἔχαιρον ἐπιτηδεύμασιν. Ἄβελος μὲν γὰρ ὁ νεώτερος δικαιοσύνης ἐπεμελεῖτο, καὶ πᾶσιν τοῖς ὑπ' αὐτοῦ πραττομένοις παρεῖναι τὸν Θεὸν νομίζων ἀρετῆς προὐνοεῖτο· ποιμενικὸς δ' ἦν ὁ βίος αὐτῷ. Κάϊς δὲ τά τε ἄλλα πονηρότατος ἦν καὶ πρὸς τὸ κερδαίνειν μόνον ὑποβλέπων, γῆν τε ἀροῦν ἐπενόησεν πρῶτος, καὶ κτείνει τὸν ἀδελφὸν ἐξ αἰτίας τοιαύτης. Θῦσαι τῷ Θεῷ δόξαν αὐτοῖς, ὁ μὲν Κάϊς τοὺς ἀπὸ τῆς γεωργίας καὶ τῶν φυτῶν καρποὺς ἐπήνεγκεν, Ἄβελος δὲ γάλα καὶ τὰ πρωτότοκα τῶν βοσκημάτων. Ὁ δὲ Θεὸς ταύτῃ μᾶλλον ἥδεται τῇ θυσίᾳ, τοῖς αὐτομάτοις καὶ κατὰ φύσιν γεγονόσι τιμώμενος, ἀλλ' οὐχὶ τοῖς κατ' ἐπίνοιαν ἀνθρώπου πλεονέκτου καὶ βίᾳ πεφυκόσιν. Ἔνθεν ὁ Κάϊς, παροξυνθεὶς ἐπὶ τῷ προτετιμῆσθαι τὸν Ἄβελον ὑπὸ τοῦ Θεοῦ, κτείνει τὸν ἀδελφὸν καὶ τὸν νεκρὸν αὐτοῦ ποιήσας ἀφανῆ λήσειν ὑπέλαβεν. Ὁ δὲ Θεὸς, συνεὶς τὸ ἔργον, ἦκε πρὸς τὸν Κάϊν περὶ τοῦ ἀδελφοῦ πυνθανόμενος ποῖ ποτε εἴη· πολλῶν γὰρ αὐτὸν οὐκ ἰδεῖν ἡμερῶν, τὸν ἄλλον χρόνον ἅπαντα μετ' αὐτοῦ βλέπων αὐτὸν ἀναστρεφόμενον. Ὁ δὲ Κάϊς ἀπορούμενος καὶ οὐκ ἔχων ὅ τι λέγοι πρὸς τὸν Θεὸν, ἀμηχανεῖν μὲν καὶ αὐτὸς ἔφασκεν τὸ πρῶτον ἐπὶ τἀδελφῷ μὴ βλεπομένῳ, παροξυνθεὶς δὲ, τοῦ Θεοῦ λιπαρῶς ἐγκειμένου καὶ πολυπραγμονοῦντος, οὐκ εἶναι παιδαγωγὸς οὐδὲ φύλαξ αὐτοῦ καὶ τῶν ὑπ' αὐτοῦ πραττομένων ἔλεγεν. Ὁ δὲ Θεὸς τοὐντεῦθεν ἤλεγχεν ἤδη τὸν Κάϊν, φονέα τἀδελφοῦ γενόμενον· καὶ Θαυμάζω, φησὶν ὁ Θεὸς, εἰ περὶ ἀνδρὸς ἀγνοεῖς εἰπεῖν τί γέγονεν, ὃν αὐτὸς ἀπολώλεκας. Τῆς μὲν οὖν ἐπὶ τῷ φόνῳ τιμωρίας αὐτὸν ἠφίει, θυσίαν τε ἐπιτελέσαντα καὶ δι' αὐτῆς ἱκετεύσαντα μὴ λαβεῖν ὀργὴν ἐπ' αὐτῷ χαλεπωτέραν, ἐπάρατον δὲ αὐτὸν ἐτίθει καὶ τοὺς ἐκγόνους αὐτοῦ τιμωρήσεσθαι κατὰ τὴν ἑβδόμην ἠπείλησε γενεὰν, καὶ τῆς γῆς αὐτὸν ἐκείνης ἐκβάλλει σὺν τῇ γυναικί. Τοῦ δὲ μὴ θηρίοις ἁλώμενος περιπέσῃ δεδιότος καὶ τοῦτον ἀπολῆται τὸν τρόπον, ἐκέλευε μηδὲν ὑφορᾶσθαι σκυθρωπὸν ἀπὸ τοιαύτης αἰτίας, ἀλλ' ἕνεκα τοῦ μηδὲν ἐκ θηρίων αὐτῷ γενέσθαι δεινὸν, διὰ πάσης ἀδεῶς χωρεῖν γῆς· καὶ σημεῖον ἐπιβαλὼν, ὡς γνώριμος ἂν εἴη, προσέταξεν ἀπιέναι.

β'. Πολλὴν δ' ἐπελθὼν γῆν ἱδρύεται μετὰ τῆς γυναικὸς Κάϊς Ναΐδα, τόπον οὕτω καλούμενον, καὶ αὐτόθι ποιεῖται τὴν κατοίκησιν, ἔνθ' αὐτῷ καὶ παῖδες ἐγένοντο. Οὐκ ἐπὶ νουθεσίᾳ δὲ τὴν κόλασιν ἔλαβεν, ἀλλ' ἐπ' αὐξήσει τῆς κακίας, ἡδονὴν μὲν πᾶσαν ἐκπορίζων αὐτοῦ τῷ σώματι, κἂν μεθ' ὕβρεως τῶν συνόντων δέῃ ταύτην ἔχειν, αὔξων δὲ τὸν οἶκον πλήθει χρημάτων ἐξ ἁρπαγῆς καὶ βίας, πρὸς ἡδονήν τε καὶ λῃστείαν τοὺς

CAP. II. (III.)

Nati sunt autem eis filii mares duo. Horum quidem prior nominatus est Cais, quod vocabulum, si interpreteris, notat possessionem: Abelus autem secundus; quæ vox luctum significat. Natæ sunt eis etiam filiæ. Et fratres quidem diversis gaudebant studiis. Nam Abelus quidem natu junior justitiam colebat, et omnibus quæcunque gerebat Deum præsentem ratus, virtuti prospiciebat. Pastoralis autem ejus erat vita: Cais vero, quum alioquin valde improbus esset, et lucrum solum spectaret, terram etiam arare primus excogitavit, fratremque interemit tali de causa. Quum visum eis esset sacrificare Deo, Cais quidem ex agricultura et arborum fructibus obtulit, Abelus vero lac et primogenita pecorum. Deus autem hoc sacrificio magis delectabatur, utpote sponte et secundum naturam provenientibus honoratus, non iis quæ ex inventione hominis avari per vim producta erant. Quapropter Cais, indignatus Abelum a Deo sibi prælatum esse, fratrem interficit, atque abdito ejus cadavere rem clam fore putabat. Deus autem cognito facinore venit ad Cain, de fratre perquirens, ubinam esset: multis enim diebus se non vidisse eum, quem reliquo omni tempore cum ipso versari animadvertisset. Cais autem dubius animi nec habens quod responderet Deo, se quidem in angustiis versari et ipsum primum ait, quod frater nusquam compareat; Deo autem majorem in modum instante et accurate inquirente, indignatus ille, non se pædagogum, neque custodem ejus nec rerum ejus *observatorem* esse dixit. Tum vero Deus Cain illico redarguit, quod fratris necis auctor esset: et Miror, inquit Deus, si de fratre nescis dicere quid factum sit, quem ipse peremisti. Attamen illi sacrificium facienti et per hoc exposcenti ne vehementius ei irasceretur, cædis supplicium remisit, exsecrabilem autem fecit, posterisque ipsius, in *septima* progenie pœnam subeundam esse denunciavit; et ex ista regione eum cum uxore ejicit. Illo autem extimescente, ne oberrans in feras incideret, atque eo modo periret, jussit eum nihil triste tali ex causa suspicari, sed, quod nec quidquam mali ex feris ei accideret, terram omnem impavide peragrare: ac signo ei indito ut nosci posset abire præcepit.

2. Cais autem multum terræ una cum uxore emensus tandem Naida condidit; id loci nomen est: atque illic habitare constituit, ubi etiam liberos procreavit. Ceterum pœna nequaquam ei cedebat in admonitionem, sed in malitiæ incrementum; voluptates quidem omnigenas sibimet indulgenti, etiamsi cum injuria secum commorantium eas habere oporteret. Facultates autem domesticas magna pecuniarum vi ex rapinis et violentia amplificans, et ad luxuriam

ἐντυγχάνοντας παρακαλῶν διδάσκαλος αὐτοῖς πονηρῶν ὑπῆρχεν ἐπιτηδευμάτων. Καὶ τὴν ἀπραγμοσύνην μὲν, ἣ πρότερον συνέζων οἱ ἄνθρωποι, μέτρων ἐπινοίᾳ καὶ σταθμῶν μετεστήσατο, ἀκέραιον αὐτοῖς ὄντα τὸν βίον ἐκ τῆς τούτων ἀμαθίας καὶ τὸ μεγαλόψυχον εἰς πανουργίαν περιαγαγών. Ὅρους τε γῆς πρῶτος ἔθετο, καὶ πόλιν ἐδείματο καὶ τείχεσιν ὠχύρωσεν, εἰς ταὐτὸ συνελθεῖν τοὺς οἰκείους καταναγκάσας. Καὶ τὴν πόλιν δὲ ταύτην ἀπὸ Ἀνώχου, τοῦ πρεσβυτάτου παιδὸς, Ἀνώχαν ἐκάλεσεν. Ἀνώχου δὲ Ἰαρέδης υἱὸς ἦν· ἐκ δὲ τούτου Μαρούηλος, οὗ γίνεται παῖς Μαθουσάλας· τοῦ δὲ Λάμεχος, ᾧ παῖδες ὑπῆρξαν ἑπτὰ καὶ ἑβδομήκοντα, ἐκ δύο γυναικῶν αὐτῷ φύντες, Σελλᾶς καὶ Ἀδᾶς. Τούτων Ἰώβηλος μὲν, ἐξ Ἀδᾶς γεγονὼς, σκηνὰς ἐπήξατο καὶ προβατείαν ἠγάπησεν, Ἰούβαλος δὲ, ὁμομήτριος ὢν αὐτῷ, μουσικὴν ἤσκησε καὶ ψαλτήρια καὶ κιθάρας ἐπενόησε. Θόβελος δὲ τῶν ἐκ τῆς ἑτέρας γεγονότων, ἰσχύϊ πάντας ὑπερβαλὼν, τὰ πολεμικὰ διαπρεπῶς μετῆλθεν· ἐκ τούτων καὶ τὰ πρὸς ἡδονὴν τοῦ σώματος ἐκπορίζων χαλκείαν πρῶτος ἐπενόησε. Πατὴρ δὲ θυγατρὸς γενόμενος Λάμεχος Νοεμᾶς ὄνομα, ἐπεὶ τὰ θεῖα σαφῶς ἐξεπιστάμενος ἑώρα δίκην ἑαυτὸν ὑφέξοντα τῆς Κάϊος ἀδελφοκτονίας, τοῦτο ταῖς ἑαυτοῦ γυναιξὶν ἐποίησε φανερόν. Ἔτι δὲ ζῶντος Ἀδάμου καὶ Κάϊος τοὺς ἐγγόνους πανηροτάτους συνέβη γενέσθαι, κατὰ διαδοχὴν καὶ μίμησιν ἄλλον ἄλλου χείρονα τελευτῶντα, πρός τε πολέμους εἶχον ἀκρατῶς καὶ πρὸς λῃστείαν ὡρμήκεσαν. Ὅλως δ' εἴ τις ὀκνηρὸς ἦν πρὸς τὸ φονεύειν, ἀλλ' οὖν ἀπονοίᾳ ἦν θρασὺς, ὑβρίζων καὶ πλεονεκτῶν.

γ'. Ἄδαμος δὲ, ὁ πρῶτος ἐκ γῆς γενόμενος (ἀπαιτεῖ γὰρ ἡ διήγησις τὸν περὶ αὐτοῦ λόγον), Ἄβέλου μὲν ἐσφαγμένου, Κάϊος δὲ διὰ τὸν ἐκείνου φόνον πεφευγότος, παιδοποιίας ἐφρόντιζε. Καὶ δεινὸς εἶχεν αὐτὸν γενέσεως ἔρως, ἔτη τριάκοντ' ἤδη καὶ διακόσια ἠνυκότα τοῦ βίου, πρὸς οἷς ἕτερα ζήσας ἑπτακόσια τελευτᾷ. Γίνονται μὲν οὖν παῖδες αὐτῷ ἄλλοι τε πλείους καὶ Σήθος. Ἀλλὰ περὶ μὲν τῶν ἄλλων μακρὸν ἂν εἴη λέγειν, πειράσομαι δὲ μόνα τὰ τῶν ἀπὸ Σήθου διελθεῖν. Τραφεὶς γὰρ οὗτος καὶ παρελθὼν εἰς ἡλικίαν ἤδη τὰ καλὰ κρίνειν δυναμένην, ἀρετὴν ἐπετήδευσε, καὶ γενόμενος αὐτὸς ἄριστος μιμητὰς τῶν αὐτῶν τοὺς ἀπογόνους κατέλιπεν. Οὗτοι πάντες ἀγαθοὶ φύντες γῆν τε τὴν αὐτὴν ἀστασίαστοι κατῴκησαν εὐδαιμονήσαντες, μηδενὸς αὐτοῖς ἄχρι καὶ τελευτῆς δυσκόλου προσπεσόντος, σοφίαν τε τὴν περὶ τὰ οὐράνια καὶ τὴν τούτων διακόσμησιν ἐπενόησαν. Ὑπὲρ δὲ τοῦ μὴ διαφυγεῖν τοὺς ἀνθρώπους τὰ ηὑρημένα, μηδὲ πρὶν εἰς γνῶσιν ἐλθεῖν φθαρῆναι, προειρηκότος ἀφανισμὸν Ἀδάμου τῶν ὅλων ἔσεσθαι, τὸν μὲν κατ' ἰσχὺν πυρὸς, τὸν ἕτερον δὲ κατὰ βίαν καὶ πλῆθὺν ὕδατος, στήλας δύο ποιησάμενοι, τὴν μὲν ἐκ πλίνθου, τὴν δ' ἑτέραν ἐκ λίθου, ἀμφοτέραις ἐνέγραψαν τὰ ηὑρημένα, ἵν', εἰ καὶ συμβαίη τὴν πλινθίνην ἀφανισθῆναι ὑπὸ τῆς ἐπομβρίας, ἡ λιθίνη μείνασα παράσχῃ μαθεῖν τοῖς ἀνθρώποις τὰ ἐγγεγραμμένα, δηλοῦσα καὶ

ac latrocinia familiares suos invitans, magister illis exstitit ad pravam vitæ institutionem. Et simplicitatem quidem, qua prius vivebant homines, excogitatis mensuris et ponderibus immutavit, vitæ innocentiam ex harum rerum ignoratione, animique magnitudinem in vafritiem et callidita-tem vertens. Primus agris terminos posuit, urbemque ædificavit et muris communivit, in unum convenire cogens domesticos suos. Hanc autem civitatem ab Anocho, liberorum natu maximo, Anocham appellavit. Anochi vero filius fuit Iaredes. Ex illo autem Maruelus, cujus filius fuit Mathusalas : hujus vero Lamechus, cui fihi exstiterunt septuaginta et septem, ex duabus suscepti uxoribus, Sella et Ada. Horum quidem Jobelus, ex Ada natus, fixit tabernacula, et rem pecuariam coluit. Jubalus vero, frater ejus uterinus, musicam exercuit, psalteriaque et citharas invenit. Thobelus autem, *unus* ex altera uxore prognatorum, qui viribus omnes superabat, rem militarem egregie tractavit; cujus ope quæ ad corporis voluptatem faciunt sibimet comparans, opificium ærarium primus excogitavit. Lamechus autem filiæ factus pater, cui nomen Noemas, quoniam rerum divinarum scientia pollens viderat se pœnæ subjacere ob fratricidium a Cai perpetratum, uxoribus suis hoc indicavit. Ceterum adhuc vivente Adamo, progeniem Cais sceleratissimam fieri contigit, quum per successionem et imitationem alius alio in dies deterior evaderet : ad bellum etiam supra modum proclives erant, et ad latrocinia præcipites ferebantur. Summatim vero, si quis segnis esset ad cædem faciendam, saltem perditæ erat et profligatæ dementiæ, contumeliosus et injuriosus.

3. Adamus autem, primus e terra factus (nam de eo narratio a nobis dici exigit), posteaquam Abel fuerat occisus, et Cais propter cædem ejus solum verterat, de liberis procreandis cogitabat. Vehementi enim prolis desideric tenebatur, annos jam agens triginta et ducentos; quibus quum accessissent alteri septingenti, vita defunctus est. Et quidem illi nati sunt filii complures, et inter hos Sethus. Sed de aliis quidem longum foret narrare : conabor autem ea sola, quæ ad Sethi posteros spectant, memorare. Is namque educatus et eo ætatis veniens, ut jam quæ recta essent discernere valeret, virtutis studiis semet addixit, et, quum ipse vir optimus exstitisset, eorundem imitatores filios reliquit. Illi autem omnes bona indole præditi tum eandem terram sine seditione incolebant beati, nulla re molesta illis, quoad viverent, accidente, tum sapientiam circa cœlestia et eorum ornatum excogitaverunt. Ne autem illa inventa homines effugerent, et antequam venirent in notitiam intercidérent, quum rerum omnium interitum fore, alterum quidem ignis vi, alterum vero per violentiam et multitudinem aquarum, prædixisset Adamus, columnis duabus exstructis, una quidem ex latere, altera vero ex lapide, inventa sua utrique inscripserunt, ut si forte lateritia eversa esset per imbrium vim, lapidea superstes ostenderet homi-

πλινθίνην δ' ὑπ' αὐτῶν ἀνατεθῆναι. Μένει δ' ἄχρι τοῦ δεῦρο κατὰ γῆν τὴν Σίριδα.

ΚΕΦ. Γ'.

Καὶ οὗτοι μὲν ἑπτὰ γενεὰς διέμειναν, Θεὸν ἡγούμενοι δεσπότην εἶναι τῶν ὅλων, καὶ πάντα πρὸς ἀρετὴν βλέποντες. Εἶτα προϊόντος τοῦ χρόνου μεταβάλλονται πρὸς τὸ χεῖρον ἐκ τῶν πατρίων ἐθισμῶν, μήτε τὰς νενομισμένας τιμὰς ἔτι τῷ Θεῷ παρέχοντες μήτε τοῦ πρὸς ἀνθρώπους δικαίου ποιούμενοι λόγον, ἀλλ' ἦν πρότερον εἶχον τῆς ἀρετῆς ζήλωσιν, διπλασίονα τῆς κακίας τότ' ἐπεδείκνυντο δι' ὧν ἔπραττον· ἔνθεν ἑαυτοῖς τὸν Θεὸν ἐξεπολέμωσαν. Πολλοὶ γὰρ ἄγγελοι Θεοῦ γυναιξὶ συμμιγέντες ὑβριστὰς ἐγέννησαν παῖδας, καὶ παντὸς ὑπερόπτας καλοῦ, διὰ τὴν ἐπὶ τῇ δυνάμει πεποίθησιν· ὅμοια γὰρ τοῖς ὑπὸ γιγάντων τετολμῆσθαι λεγομένοις ὑφ' Ἑλλήνων, καὶ οὗτοι δρᾶσαι παραδίδονται. Νώεος δὲ, τοῖς πραττομένοις ὑπ' αὐτῶν δυσχεραίνων καὶ τοῖς βουλεύμασιν ἀηδῶς ἔχων, ἔπειθεν ἐπὶ τὸ κρεῖττον αὐτοὺς τὴν διάνοιαν καὶ τὰς πράξεις μεταφέρειν. Ὁρῶν δ' οὐκ ἐνδιδόντας, ἀλλ' ἰσχυρῶς ὑπὸ τῆς ἡδονῆς τῶν κακῶν κεκρατημένους, δείσας μὴ καὶ φονεύσωσιν αὐτὸν, μετὰ γυναικὸς καὶ τέκνων καὶ τῶν τούτοις συνοικουσῶν ἐξεχώρησε τῆς γῆς.

β'. Ὁ δὲ Θεὸς τοῦτον μὲν τῆς δικαιοσύνης ἠγάπησε, κατεδίκαζε δ' οὐκ ἐκείνους μόνον τῆς κακίας, ἀλλὰ καὶ πᾶν ὅσον ἦν ἀνθρώπινον τότε δόξαν αὐτῷ διαφθεῖραι, καὶ ποιῆσαι γένος ἕτερον πονηρίας καθαρὸν, ἐπιτεμόμενός τε αὐτῶν τὸν βίον, καὶ ποιήσας ἐτῶν οὐχ ὅσα πρότερον ἔζων, ἀλλ' ἑκατὸν εἴκοσιν, εἰς θάλασσαν τὴν ἤπειρον μετέβαλε. Καὶ οἱ μὲν οὕτως ἀφανίζονται πάντες· Νώεος δὲ σώζεται μόνος, ὑποθεμένου μηχανὴν αὐτῷ καὶ πόρον πρὸς σωτηρίαν τοῦ Θεοῦ τοιαύτην. Λάρναξ τετράστεγον κατασκευάσας, πηχῶν τὸ μῆκος τριακοσίων, πεντήκοντα δὲ τὸ πλάτος καὶ τριάκοντα τὸ βάθος, εἰς ταύτην σύν τε μητέρι τῶν παίδων καὶ ταῖς τούτων γυναιξὶν ἐνέβη, τά τε ἄλλα ὅσα πρὸς τὰς χρείας αὐτοῖς ἐπικουρήσειν ἐμελλεν ἐνθέμενος, ζῷά τε παντοῖα πρὸς διατήρησιν τοῦ γένους αὐτῶν, ἄρρενά τε καὶ θήλεα, συνεισβαλόμενος, ἄλλα τε τούτων ἑπταπλασίονα τὸν ἀριθμόν. Ἦν δ' ἡ λάρναξ τούς τε τοίχους καρτερὰ καὶ τοῖς ἁρμοῖς ἰσχυρῶς ἐνδεδεμένη καὶ τὸν ὄροφον, ὡς μηδαμόθεν ἐπικλύσασθαι, μηδ' ἡττᾶσθαι τῆς τοῦ ὕδατος βίας. Καὶ ὁ Νώεος μὲν οὕτω μετὰ τῶν οἰκείων διασώζεται· ἦν δ' αὐτὸς μὲν ἀπὸ Ἀδάμου δέκατος. Λαμέχου γάρ ἐστιν υἱὸς, οὗ πατὴρ ἦν Μαθουσάλας· οὗτος δὲ ἦν τοῦ Ἀνώχου τοῦ Ἰαρέδου· Μαλουήλου δὲ Ἰαρέδης ἐγεγόνει, ὃς ἐκ Καϊνᾶ τεκνοῦται τοῦ Ἐνώσου σὺν ἀδελφαῖς πλείοσιν· Ἔνωσος δὲ Σήθου υἱὸς ἦν τοῦ Ἀδάμου.

γ'. Συνέβη δὲ τοῦτο τὸ πάθος κατὰ τὸ ἑξακοσιοστὸν ἔτος ἤδη Νωέου τῆς ἀρχῆς, ἐν μηνὶ δευτέρῳ, Δίῳ μὲν ὑπὸ Μακεδόνων λεγομένῳ, Μαρσουάνῃ δὲ ὑπὸ Ἑβραίων· οὕτω γὰρ ἐν Αἰγύπτῳ τὸν ἐνιαυτὸν ἦσαν διατεταχότες.

nibus inscripta, simulque indicaret et lateritiam ab illis positam fuisse. Manet autem hodieque in terra Siride.

CAP. III. (IV.)

Et isti quidem per septem ætates *eo statu* perstiterunt, Deum pro rerum omnium domino agnoscentes, virtutemque in omnibus respicientes. Procedente dein tempore patriis ab institutis in pejus mutati sunt, neque juris erga homines rationem habentes, sed tum, eo quo virtutem antea certatim colebant, duplo majore ad malitiam studio se ferri ostendebant: quo factum est ut Deum sibimet infensum reddiderint. Nam multi angeli Dei, cum mulieribus consuescentes, filios genuerunt injuriosos et omnis honesti contemptores, propter potentiæ fiduciam: hisce enim, quæ Gigantes ausos esse tradunt Græci, similia et isti perpetrasse dicuntur. Noeus autem, quæ ab iis acta erant indignatus, eorumque consilia gravatim ferens, suadebat ut in melius mentem actusque mutarent. Verum, quum videret illos sibi non parere, totosque vitiorum illecebris irretiri, veritus ne et se cum uxore et filiis eorumque conjugibus interimerent, ab ea terra discessit.

2. Deus autem illum quidem justitiæ ergo valde dilexit, istos vero non solum malitiæ damnavit, sed, quum visum esset ei universum genus humanum perdere, aliudque novum sceleris purum instaurare, resectoque vitæ spatio et non totidem annorum ac prius, sed centum et viginti constituto, continentem terram in pelagi faciem immutavit: et sic isti quidem universi absumpti sunt. Noeus autem solus est servatus, Deo ipsi hujusmodi fabricam et viam ad salutem suggerente. Arcam quattuor contignationum construens, ut longitudo trecentos cubitos pateret, latitudo quinquaginta, et altitudo triginta, in eam cum matre filiorum et eorum conjugibus conscendit, aliisque, quæ ad usus necessarios sibi suppetitura essent, impositis, omnigenisque animalibus, iisque mare et femina, ad genus illorum reparandum secum introductis, et ex aliis eorum septem numero. Erat autem arca quum parietibus valida, tum commissuris tectoque firma, ut nulla ex parte submergeretur, aut aquarum violentiæ cederet. Atque ita quidem Noeus cum suis servatus est. Erat autem ipse quidem ab Adamo decimus. Nam Lamecho est genitus, cui pater erat Mathusalas; hic autem Anochi fuit, filii Jaredi; ex Maluelo vero genitus est Jaredes, qui cum sororibus plurimis ex Caïna prognatus est, Enosi filio; at Enosus Sethi filius erat, qui ex Adamo natus est.

3. Contigit autem hæc calamitas anno ætatis Noei sexcentesimo, mense secundo qui a Macedonibus Dius appellatur, ab Hebræis autem Marsuane: ita enim in Ægypto annum constituerunt. Moyses autem Nisan, qui est Xanthicus,

Μωϋσῆς δὲ τὸν Νισὰν, ὃς ἐστι Ξανθικὸς, μῆνα πρῶτον ἐπὶ ταῖς ἑορταῖς ὥρισε, κατὰ τοῦτον ἐξ Αἰγύπτου τοὺς Ἑβραίους προαγαγών. Οὗτος δ' αὐτῷ καὶ πρὸς ἁπάσας τὰς εἰς τὸ θεῖον τιμὰς ἦρχεν· ἐπὶ μέντοι γε πράσεις καὶ ὠνὰς καὶ τὴν ἄλλην διοίκησιν τὸν πρῶτον μῆνα διεφύλαξε. Τὴν δ' ἐπομβρίαν ἄρξασθαί φησιν τῇ ἑβδόμῃ τοῦ προειρημένου μηνὸς καὶ εἰκάδι. Χρόνος δὲ οὗτος ἀπὸ Ἀδάμου τοῦ πρώτου γεγονότος ἐτῶν ὑπῆρξε δισχιλίων ἑξακοσίων πεντήκοντα ἕξ. Ἀναγέγραπται δ' ὁ χρόνος ἐν ταῖς ἱεραῖς βίβλοις, σημειουμένων μετὰ πολλῆς ἀκριβείας τῶν τότε καὶ τὰς γενέσεις τῶν ἐπιφανῶν ἀνδρῶν καὶ τὰς τελευτάς.

δ'. Ἀδάμῳ μὲν οὖν τριακοστῷ ἤδη καὶ διακοσιοστῷ ἔτει γεγονότι παῖς Σῆθος γίνεται, ὃς ἐνακόσια μὲν καὶ τριάκοντα ἐβίωσεν ἔτη. Σῆθος δὲ κατὰ πέμπτον καὶ διακοσιοστὸν ἔτος ἐγέννησεν Ἔνωσον, ὃς δώδεκα ζήσας ἔτη καὶ ἐνακόσια Καϊνᾷ τῷ παιδὶ τὴν τῶν πραγμάτων ἐπιμέλειαν παραδίδωσιν, τεκνώσας αὐτὸν περὶ ἑκατοστὸν καὶ ἐνεηκοστὸν ἔτος. Οὗτος ἐβίωσεν ἔτη πέντε πρὸς τοῖς ἐνακοσίοις. Καϊνᾶς δὲ βιοὺς δέκα καὶ ἐνακόσια Μαλάηλον υἱὸν ἔσχεν, ἔτει γενόμενος ἑκατοστῷ ἑβδομηκοστῷ. Οὗτος ὁ Μαλάηλος ζήσας πέντε πρὸς τοῖς ἐνενήκοντα καὶ ὀκτακοσίοις ἐτελεύτησεν, Ἰαρέδην καταλιπὼν υἱὸν, ὃν ἔτος ἑξηκοστὸν ἦδη καὶ ἑκατοστὸν καὶ πέμπτον γενόμενος ἐγέννησε. Τοῦτον εἰς δύο καὶ ἑξήκοντα πρὸς τοῖς ἐνακοσίοις βιώσαντα Ἄνωχος υἱὸς διαδέχεται, γεννηθεὶς περὶ ἔτη δύο καὶ ἑξήκοντα καὶ ἑκατὸν τοῦ πατρὸς αὐτῷ τυγχάνοντος. Οὗτος ζήσας πέντε καὶ ἑξήκοντα πρὸς τοῖς τριακοσίοις ἀνεχώρησε πρὸς τὸ θεῖον· ὅθεν οὐδὲ τελευτὴν αὐτοῦ ἀναγεγράφασι. Μαθουσάλας δὲ Ἀνώχου παῖς κατὰ ἔτος αὐτῷ γεγονὼς πέμπτον καὶ ἑξηκοστὸν καὶ ἑκατοστὸν Λάμεχον υἱὸν ἔσχε, περὶ ἔτη γεγονὼς ἑπτὰ καὶ ὀγδοήκοντα καὶ ἑκατόν· ᾧ τὴν ἀρχὴν παρέδωκαν, αὐτὸς αὐτὴν κατασχὼν ἔτη ἐννέα καὶ ἑξήκοντα πρὸς ἐνακοσίοις. Λάμεχος δὲ ἄρξας ἑπτὰ καὶ ἑβδομήκοντα ἐπὶ ἑπτακοσίοις ἔτεσι Νώεον τῶν πραγμάτων ἀποδείκνυσι προστάτην τὸν υἱόν· ὃς Λαμέχῳ γενόμενος δεύτερον καὶ ὀγδοηκοστὸν καὶ ἑκατοστὸν ἔτος ἡνυκότι πεντήκοντα καὶ ἐνακοσίοις ἔτεσιν ἦρξε τῶν πραγμάτων. Ταῦτα συναγόμενα τὰ ἔτη τὸν προαναγεγραμμένον συμπληροῖ χρόνον. Ἐξεταζέτω δὲ μηδεὶς τὰς τελευτὰς τῶν ἀνδρῶν (τοῖς γὰρ αὐτῶν παισὶ καὶ τοῖς ἐκείνων ἀπογόνοις συμπαρεξέτεινον τὸν βίον), ἀλλὰ τὰς γενέσεις αὐτῶν μόνον ὁράτω.

ε'. Ἐπισημήναντος δὲ τοῦ Θεοῦ καὶ ὑειν ἀρξαμένου τὸ ὕδωρ ἡμέραις τεσσαράκοντα ὅλαις κατεφέρετο, ὡς ἐπὶ πήχεις πεντεκαίδεκα τὴν γῆν ὑπερσχεῖν. Καὶ τοῦτο ἦν τὸ αἴτιον τοῦ μὴ διασωθῆναι πλείονας, φυγῆς ἀφορμὴν οὐκ ἔχοντας. Παυσαμένου δὲ τοῦ ὑετοῦ μόλις ἤρξατο ὑποβαίνειν τὸ ὕδωρ ἐφ' ἡμέραις ἑκατὸν καὶ πεντήκοντα, ὡς μηνὶ ἑβδόμῳ, ἱσταμένου δ' ἦν ἑβδόμη, κατ' ὀλίγον ὑπονοστεῖν ἀπολήγοντος. Ἔπειτα τῆς λάρνακος περὶ ἄκραν τινὰ ὄρους σταθείσης κατὰ τὴν Ἀρμενίαν συνεὶς ὁ Νώεος ἀνοίγει ταύτην. Καὶ θεασά-

in festis *observandis* mensem primum esse voluit quod in eo Hebræos ex Ægypto eduxisset. Ab eo in omnibus, quæ ad honores divinos spectant, exordium fecit, in venditionibus tamen et emptionibus et rerum ceterarum administratione primum mensem servavit. Vim autem imbrium cœpisse ait vigesima septima die prædicti mensis. Tempus vero hoc ab Adamo primo homine annorum erat bis mille sexcentorum quinquaginta sex. In libros autem sacros relatum est tempus, istius ætatis hominibus multa cum diligentia notantibus virorum illustrium natales et obitus.

4. Adamo quidem, quum esset triginta et ducentorum annorum, Sethus filius natus est; qui *Adamus* nongentos et triginta vixit annos. Sethus autem ducentesimo et quinto anno genuit Enosum, qui, quum duodecim et nongentos vixisset annos, Cainæ filio rerum curam tradidit, quem genuerat anno *ætatis suæ* centesimo et nonagesimo. Iste vixit quinque et nongentos annos. Cainas vero, vivens decem et nongentos annos, Malaelum filium habuit, quem genuit annum agens centesimum septuagesimum. Iste Malaelus, quum vixisset quinque et nonaginta et octingentos annos, defunctus est, Jareden filium relinquens, quem genuit, cum sexaginta quinque et centum esset annorum. Huic duo et sexaginta et nongentos annos viventi Anochus filius successit, natus quum sexaginta duorum et centum annorum esset pater ejus. Ille exactis trecentis sexaginta quinque annis discessit ad Deum : quo factum est ut obitum ejus in fastos non retulerint. Mathusalas autem Anochi filius, sexagesimo quinto et centesimo ei natus anno, Lamechum filium habuit, quum esset annorum octoginta septem et centum : cui tradidit principatum, quem ipse tenuerat annis nongentis sexaginta et novem. Lamechus autem, quum imperium tenuisset annis septingentis septuaginta et septem, Noeum filium suum rerum præfecturæ admovit; qui Lamecho natus est, anno *ætatis suæ* secundo et octogesimo supra centesimum expleto, et quinquaginta et nongentis annis rebus præfuit. Hi anni in unam summam collecti tempus suprascriptum complent. Nemo autem inquirat in obitus istorum virorum (cum filiis enim suis vitam agebant, eamque usque ad ipsorum nepotes extendebant), sed tantum natales eorum *in annorum supputatione* respiciat.

5. Quum autem, postquam Deus signum dederat, pluere incepisset, aqua quadraginta continuis diebus *cælo* descendebat, adeo ut usque ad quindecim cubitos super terram exstaret. Atque id causæ erat, cur plurimis salus omnis adimeretur, non habentibus quo se reciperent. Cessante autem pluvia, vix spatio centum et quinquaginta dierum aqua decrescebat, utpote mense septimo ejusque die septima *ea* sensim recedere desinente. Deinde, quum arca ad summitatem quandam montis in Armenia substiterit, sentiens *hoc* Noeus aperuit eam; et videns circa ipsam aliquan-

μενος γῆν βραχεῖαν περὶ αὐτὴν, ἐπὶ χρηστοτέρας ἤδη γεγονὼς ἐλπίδος ἠρέμει. Ὀλίγαις δ' ὕστερον ἡμέραις μᾶλλον ὑποχωροῦντος τοῦ ὕδατος μεθίησι κόρακα, βουλόμενος μαθεῖν εἴ τι καὶ ἄλλο τῆς γῆς ἐκλελειμμένον ὑπὸ τοῦ ὕδατος ἀσφαλές ἐστιν ἤδη πρὸς ἔκβασιν. Ὁ δὲ πᾶσαν εὑρὼν ἔτι λιμναζομένην, πρὸς Νώεον ἐπανῆλθε. Μετὰ δὲ ἡμέρας ἑπτὰ περιστερὰν ἐπὶ τὸ γνῶναι τὰ περὶ τὴν γῆν προὔπεμψεν· ἧς ἐπανελθούσης πρὸς αὐτὸν πεπηλωμένης ἅμα καὶ θαλλὸν ἐλαίας κομιζούσης, καὶ μαθὼν τὴν γῆν ἀπηλλαγμένην τοῦ κατακλυσμοῦ, μείνας ἄλλας ἑπτὰ ἡμέρας τὰ ζῷα τῆς λάρνακος ἐξαφίησιν, αὐτός τε μετὰ τῆς γενεᾶς προελθὼν καὶ θύσας τῷ Θεῷ συνευωχεῖτο τοῖς οἰκείοις. Ἀποβατήριον μέντοι τὸν τόπον τοῦτον Ἀρμένιοι καλοῦσιν· ἐκεῖ γὰρ ἀνασωθείσης τῆς λάρνακος ἔτι νῦν οἱ ἐπιχώριοι τὰ λείψανα ἐπιδεικνύουσι.

ς'. Τοῦ δὲ κατακλυσμοῦ τούτου καὶ τῆς λάρνακος μέμνηνται πάντες οἱ τὰς βαρβαρικὰς ἱστορίας ἀναγεγραφότες· ὧν ἐστι καὶ Βηρωσσὸς ὁ Χαλδαῖος. Διηγούμενος γὰρ τὰ περὶ τὸν κατακλυσμὸν οὕτω που διέξεισι· « λέγεται δὲ καὶ τοῦ πλοίου ἐν τῇ Ἀρμενίᾳ πρὸς « τῷ ὄρει τῶν Κορδυαίων ἔτι μέρος τι εἶναι, καὶ κομί« ζειν τινὰς τῆς ἀσφάλτου ἀφαιροῦντας. Χρῶνται δὲ « μάλιστα οἱ ἄνθρωποι τῷ κομιζομένῳ πρὸς τοὺς « ἀποτροπιασμούς. » Μέμνηται δὲ τούτων καὶ Ἱερώνυμος ὁ Αἰγύπτιος, ὁ τὴν ἀρχαιολογίαν τὴν Φοινικικὴν συγγραψάμενος, καὶ Μνασέας δὲ καὶ ἄλλοι πλείους. Καὶ Νικόλαος δὲ ὁ Δαμασκηνὸς ἐν τῇ ἐνενηκοστῇ καὶ ἕκτῃ βίβλῳ ἱστορεῖ περὶ αὐτῶν, λέγων οὕτως· « ἔστιν « ὑπὲρ τὴν Μιλυάδα μέγα ὄρος κατὰ τὴν Ἀρμενίαν, « Βᾶρις λεγόμενον· εἰς ὃ πολλοὺς συμφυγόντας ἐπὶ τοῦ « κατακλυσμοῦ λόγος ἔχει περισωθῆναι, καί τινα ἐπὶ « λάρνακος ὀχούμενον ἐπὶ τὴν ἀκρώρειαν ὀκεῖλαι, καὶ « τὰ λείψανα τῶν ξύλων ἐπὶ πολὺ σωθῆναι. Γένοιτο δ' « ἂν οὗτος, ὄντινα καὶ Μωυσῆς ἀνέγραψεν ὁ Ἰουδαίων « νομοθέτης. »

ζ'. Νώεος δὲ, φοβούμενος μὴ καθ' ἕκαστον ἔτος ἐπικλύζῃ τὴν γῆν ὁ Θεὸς, φθορὰν ἀνθρώπων καταψηφισάμενος, ἱερεῖα καύσας ἐδεῖτο τοῦ λοιποῦ τὸν Θεὸν ἐπὶ τῆς πρώτης μένειν εὐταξίας, καὶ μηδὲν ἔτι τοσοῦτον ἐπενεγκεῖν πάθος, ὑφ' οὗ κινδυνεύσει πᾶν ἀπολέσθαι τὸ τῶν ζώων γένος, ἀλλὰ τετιμωρημένον τοὺς πονηροὺς φειδὼ ποιεῖσθαι τῶν διὰ χρηστότητα περιλειφθέντων καὶ τὸ δεινὸν διαφυγεῖν κεκριμένων. Κακοδαιμονεστέρους γὰρ τούτους ἔσεσθαι ἐκείνων, καὶ χείρω κακίαν καταδικασθέντας, εἰ μὴ πρὸς τὸ παντελὲς εἶεν σεσωσμένοι, τηρηθεῖεν δ' ἑτέρῳ κατακλυσμῷ, τοῦ μὲν πρώτου τὸν φόβον καὶ τὴν ἱστορίαν μαθόντας, τοῦ δευτέρου δὲ τὴν ἀπώλειαν. Εὐμενῶς τε οὖν αὐτὸν προσδέχεσθαι τὴν θυσίαν παρεκάλει, καὶ μηδεμίαν ὀργὴν ἔτι τὴν γῆν ὁμοίαν λαβεῖν, ὅπως ἔργοις τε τοῖς ταύτης προσλιπαροῦντες καὶ πόλεις ἀναστήσαντες εὐδαιμόνως ζῆν ἕξοιεν, καὶ μηδενὸς, ὧν καὶ πρὸ τῆς ἐπομβρίας

tulum terræ, in meliori spe jam constitutus quiescebat. Post paucos vero dies magis recedente aqua corvum emisit, cupiens cognoscere, si qua alia terræ pars ab aqua derelicta egressui jam esset idonea. At ille, comperto totam adhuc stagnare, ad Noeum reversus est. Post septem vero dies columbam ad explorandum terræ statum præmisit. Quæ quum lutulenta et frondem olivæ ferens ad ipsum rediisset, intellecto terram diluvio liberatam esse, postquam alios septem dies exspectarat, animalia ex arca dimisit, et ipse quoque cum liberis egressus Deoque sacrificans una cum suis epulabatur. Hunc autem locum Armenii Apobaterion *vel Egressorium* vocant : illic enim arcæ servatæ reliquias etiam nunc ostendunt indigenæ.

6. Hujus autem diluvii et arcæ meminerunt omnes qui barbaricas scripsere historias, quorum unus est Berosus Chaldæus. Nam de diluvio referens in hunc ferme modum loquutus est : « dicitur autem etiamnum in Armenia « in Cordyæorum monte pars esse aliqua ejus navigii, et « quosdam bitumen ex ea avellentes circumferre. Eo au« tem ablato utuntur homines maxime pro amuleto ad « mala avertenda. » Sed et Hieronymus Ægyptius horum meminit, qui Antiquitates Phœnicum scripsit, et Mnaseas, et multi alii. Quin et Nicolaus Damascenus libro nonagesimo sexto de his rebus narrat in hæc verba : « est super « Milyada in Armenia mons ingens, Baris dictus, in quem « multos diluvii tempore confugientes fama est servatos « esse, et quendam in arca vectum ad summum ejus jugum « appulisse, lignorumque reliquias diu conservatas esse. « Iste fortasse idem ille est de quo etiam scripsit Moyses « Judæorum legislator. »

7. Noeus autem veritus ne Deus, damnatis ad interitum hominibus, per singulos annos terram aquis obrueret, Deo supplicabat ut pristinum rerum ordinem in posterum servaret, et nullam amplius tantam induceret calamitatem, per quam universum animalium genus salutis discrimen adiret, sed, quum de malis pœnam sumpsisset, parceret iis quos ob bonitatem superstites esse voluerit et clade miseranda liberare decreverit : alioqui illis fore ipsos infeliciores et gravius damnatos, si non omnino salvi essent et incolumes, sed alteri diluvio reservarentur, quum et terrorem, quem primum incutiebat, experirentur, et interitum, quem posterius afferret. Deum igitur orabat, sacrificium animo placato acciperet, neve ulli posthac tantæ iræ terram subjiceret, ut in ea excolenda assidui urbesque exstruentes vitam beatam agerent, nec bona ulla, quibus ante diluvium fruebantur, desiderarent, etiam ad extremam usque sene-

ἀπέλαυον, ὑστερήσειαν ἀγαθῶν, εἰς μακρόν τε τὸ γῆρας καὶ βίου μῆκος ὅμοιον τοῖς πάλαι ἐπερχόμενοι.

η'. Νώεου δὲ ταύτας ποιησαμένου τὰς ἱκετείας, ὁ Θεὸς ἐπὶ δικαιοσύνῃ τὸν ἄνδρα ἀγαπῶν ἐπένευσεν αὐτῷ τὰς εὐχὰς ἐς τέλος ἄξειν, οὔτε τοὺς διεφθαρμένους αὐτὸς λέγων ἀπολέσαι, κακίᾳ δὲ τῇ οἰκείᾳ ταύτην αὐτοὺς ὑποσχεῖν τὴν δίκην, οὔτ' ἂν εἰ γενομένους ἀνθρώπους ἀφανίσαι διεγνώκει, παραγαγεῖν ἂν αὐτοὺς εἰς τὸν βίον· σῶφρον γὰρ εἶναι τὴν ἀρχὴν αὐτοῖς μηδὲ χαρίσασθαι τὸ ζῆν ἢ δόντα τούτους διαφθείρειν. Ἀλλ' οἷς ἐξύβριζον εἰς τὴν ἐμὴν εὐσέβειαν καὶ ἀρετὴν, τούτοις ἐξεβιάσαντό με ταύτην αὐτοῖς ἐπιθεῖναι τὴν δίκην. Παύσομαι δὲ τοῦ λοιποῦ μετὰ τοσαύτης ὀργῆς τὰς τιμωρίας ἐπὶ τοῖς ἀδικήμασιν εἰσπραττόμενος, καὶ πολὺ μᾶλλον σοῦ παρακαλοῦντος. Εἰ δ' ἐπὶ πλέον ποτὲ χειμάσαιμι, μὴ δείσητε τῶν ὄμβρων τὸ μέγεθος· οὐ γὰρ ἔτι τὴν γῆν ἐπικλύσει τὸ ὕδωρ. Παραινῶ μέντοι σφαγῆς ἀνθρωπίνης ἀπέχεσθαι καὶ καθαρεύειν φόνου, τοὺς δράσαντάς τι τοιοῦτον κολάζοντας, χρῆσθαι δὲ τοῖς ἄλλοις ζῴοις ἅπασι πρὸς ἃ βούλεσθε καὶ τὰς ὀρέξεις ἔχετε. Δεσπότας γὰρ ἁπάντων ὑμᾶς εἶναι πεποίηκα τῶν τε χερσαίων καὶ νηκτῶν καὶ ὅσα τὴν μετάρσιον χώραν ἔχει καὶ φορὰν, χωρὶς αἵματος· ἐν τούτῳ γάρ ἐστιν ἡ ψυχή. Σημανῶ δὲ ὑμῖν παῦλαν ἐσομένην τοξείᾳ τῇ ἐμῇ· τὴν Ἶριν ἀποσημαίνων, τόξον γὰρ εἶναι τοῦ Θεοῦ παρ' αὐτοῖς ἐκεῖνο νενόμισται. Καὶ ὁ μὲν Θεὸς ταῦτ' εἰπὼν καὶ ὑποσχόμενος ἀπαλλάσσεται.

θ'. Νώεος δὲ, βιοὺς μετὰ τὴν ἐπομβρίαν πεντήκοντα καὶ τριακόσια ἔτη καὶ πάντα τὸν χρόνον τοῦτον εὐδαιμόνως διαγαγὼν, τελευτᾷ, ζήσας ἐτῶν ἀριθμὸν ἐνακοσίων καὶ πεντήκοντα. Μηδεὶς δὲ πρὸς τὸν νῦν βίον καὶ τὴν βραχύτητα τῶν ἐτῶν ἃ ζῶμεν συμβαλὼν τὸν τῶν παλαιῶν ψευδῆ νομιζέτω τὰ περὶ ἐκείνων λεγόμενα, τῷ μηδὲ νῦν τοσοῦτον ἐν τῷ βίῳ παρατείνειν χρόνον τεκμαιρόμενος μηδ' ἐκείνους εἰς ἐκεῖνο τὸ μῆκος τῆς ζωῆς ἀφῖχθαι. Οἱ μὲν γὰρ θεοφιλεῖς ὄντες καὶ ὑπ' αὐτοῦ τοῦ Θεοῦ γενόμενοι, καὶ διὰ τὸ τὰς τροφὰς ἐπιτηδειοτέρας πρὸς πλείονα χρόνον εἶναι, εἰκότως ἔζων πλῆθος τοσούτων ἐτῶν. Ἔπειτα καὶ δι' ἀρετὴν καὶ τὴν εὐχρηστίαν ὧν ἐπενόουν, ἀστρολογίας καὶ γεωμετρίας, πλέον ζῆν τὸν Θεὸν αὐτοῖς παρασχεῖν· ἅπερ οὐκ ἦν ἀσφαλῶς αὐτοῖς προειπεῖν μὴ ζήσασιν ἑξακοσίους ἐνιαυτούς· διὰ τοσούτων γὰρ ὁ μέγας ἐνιαυτὸς πληροῦται. Μαρτυροῦσι δέ μου τῷ λόγῳ πάντες οἱ παρ' Ἕλλησι καὶ παρὰ βαρβάροις συγγραψάμενοι τὰς ἀρχαιολογίας. Καὶ γὰρ καὶ Μανεθὼν, ὁ τὴν τῶν Αἰγυπτίων ποιησάμενος ἀναγραφὴν, καὶ Βηρωσσὸς ὁ τὰ Χαλδαϊκὰ συναγαγὼν, καὶ Μῶχός τε καὶ Ἑστιαῖος, καὶ πρὸς αὐτοῖς ὁ Αἰγύπτιος Ἱερώνυμος, οἱ τὰ Φοινικικὰ συνταξάμενοι, συμφωνοῦσι τοῖς ὑπ' ἐμοῦ λεγομένοις· Ἡσίοδός τε καὶ Ἑκαταῖος καὶ Ἑλλάνικος καὶ Ἀκουσίλαος, καὶ πρὸς τούτοις Ἔφορος καὶ Νικόλαος, ἱστοροῦσι τοὺς ἀρχαίους ζήσαντας ἔτη χίλια. Περὶ

ctutem, longo vitæ spatio exacto, more majorum pervenientes.

8. Postquam vero Noeus hasce preces effuderat, Deus, virum ob justitiam ejus diligens, annuit ut ei omnia ex votis evenirent, dicens non se perdidisse absumptos *diluvio*, sed ipsos pœnas pertulisse malitiæ suæ debitas : non enim ipsos in vitam introduxisset, si homines factos perimere secum statuisset : nam præstiterat vitam omnino non dedisse, quam eos, quibus data fuerit, perdere. « Sed tantis, *inquit*, contumeliis, quibus pietatem meam violarunt et virtutem, me compulerunt ad has pœnas ab illis repetendas. In posterum autem cessabo iracunde adeo maleficiorum vindictam ab eis exigere, multoque magis, si tu pro illis intercesseris. Nam si unquam tempestates solito majores excitavere, non est cur imbrium vim pertimescatis : orbem enim terrarum aqua non amplius inundabit. Jubeo tamen ut ab nece humana abstineatis, ut cædis vosmet puros servetis, qui hujusmodi aliquid patrârint pœnis afficientes, aliorum omnium animalium usu vobis ad voluntatem et libitum vestrum permisso. Dominos enim vos omnium esse feci, tam terrestrium quam natatilium et eorum quæ per sublime volatu feruntur, tantum ne cum sanguine *carnem comedatis* : nam in eo est anima. Vobis enim cessationem fore *ab ira* arcus meus indicio erit » (iridem innuens, nam arcus Dei apud illos iris esse putatur). Et Deus quidem hæc effatus atque promittens abiit.

9. Verum Noeus, quum vixisset post diluvium trecentos et quinquaginta annos, atque omne hoc tempus feliciter exegisset, e vivis excessit, annos agens numero nongentos et quinquaginta. Nemo autem, qui cum vita hodierna ejusque brevitate illam antiquorum conferet, falsa putet quæ de illis memorantur, inde, quod jam vita hominum eo usque non producatur, conjiciens neque illos ad vitæ illius longitudinem pervenisse. Nam illi sane quum Dei essent amantes et ab ipso Deo facti, victuque commodiore ad vitam longiorem uterentur, verisimiliter tantum annorum numerum complerunt. Præterea tum propter studium virtutis, tum propter accuratiorem astrologiæ et geometriæ, quas ipsi artes invenerant, usum Deus illis prolixiorem largitus est vitam : quippe qui nisi ad sexcentos annos (totidem enim magnus annus absolvitur) vivendo attigissent, nihil certi prædicere potuissent. Testes autem mihi sunt quotquot Græcos inter barbarosque antiquitates literis prodiderunt. Nam et Manetho, rerum Ægyptiacarum scriptor, et Berosus, Chaldaicarum auctor, et Mochus et Hestiæus, prætereaque Hieronymus Ægyptius, qui Phœnicum res prosequuti sunt, uno mihi omnes ore suffragantur. Imo etiam Hesiodus et Hecatæus et Hellanicus et Acusilaus, Ephorus item et Nicolaus, veteres mille annos vixisse tra-

μὲν οὖν τούτων, ὡς ἂν ἑκάστοις ᾖ φίλον, οὕτω σκοπείτωσαν.

ΚΕΦ. Δ'.

Οἱ δὲ Νῶέου παῖδες τρεῖς ὄντες, Σήμας καὶ Ἰαφέθας καὶ Χάμας, ἑκατὸν ἔτεσιν ἔμπροσθεν τῆς ἐπομβρίας γεγονότες, πρῶτοι κατελθόντες ἀπὸ τῶν ὀρῶν εἰς τὰ πεδία, τὴν ἐν τούτοις οἴκησιν ἐποιήσαντο, καὶ τοὺς ἄλλους, σφόδρα δεδιότας διὰ τὸν κατακλυσμὸν τὰ πεδία καὶ ὀκνηρῶς ἔχοντας πρὸς τὴν ἀπὸ τῶν ὑψηλῶν τόπων κατάβασιν, ἔπεισαν θαρσήσαντας μιμητὰς αὐτῶν γενέσθαι· καὶ τὸ μὲν πεδίον, εἰς ὃ πρῶτον αὐτοὺς κατῴκισαν, καλεῖται Σενναάρ. Τοῦ δὲ Θεοῦ κελεύσαντος αὐτοῖς, εἰ πολυανθρωπήσειαν, στέλλειν ἀποικίας, ἵνα μὴ στασιάζοιεν πρὸς ἀλλήλους, ἀλλὰ γῆν πολλὴν γεωργοῦντες ἀφθονίας ἀπολαύοιεν τῶν καρπῶν, ὑπὸ ἀμαθίας παρήκουσαν τοῦ Θεοῦ. Καὶ διὰ τοῦτο συμφοραῖς περιπεσόντες ᾔσθοντο τῆς ἁμαρτίας. Ἐπεὶ γὰρ ἦνθουν νεότητος πλήθει, πάλιν ὁ Θεὸς αὐτοῖς συνεβούλευσε ποιεῖσθαι τὴν ἀποικίαν. Οἱ δὲ οὐ κατὰ τὴν εὐμένειαν τὴν ἐκείνου νομίζοντες ἔχειν τὰ ἀγαθὰ, τὴν δὲ ἰσχὺν αὐτοῖς τὴν οἰκείαν αἰτίαν τῆς εὐπορίας ὑπολαμβάνοντες, οὐκ ἐπείθοντο. Προσετίθεσαν δὲ τῷ παρακούειν τῆς τοῦ Θεοῦ γνώμης καὶ τὸ κατ' ἐπιβουλὴν ὑπονοεῖν εἰς ἀποικίαν αὐτοὺς παρορμᾶν, ἵνα διαιρεθέντες εὐεπιχειρητότεροι γένοιντο.

β'. Ἐξῆρε δ' αὐτοὺς πρός τε ὕβριν τοῦ Θεοῦ καὶ καταφρόνησιν Νεβρώδης, υἱωνὸς μὲν ὢν Χάμου τοῦ Νῶέου, τολμηρὸς δὲ καὶ κατὰ χεῖρα γενναῖος, ὃς ἔπειθεν αὐτοὺς μὴ τῷ Θεῷ διδόναι τὸ δι' ἐκεῖνον εὐδαιμονεῖν, ἀλλὰ τὴν ἰδίαν ἀρετὴν ταῦτα παρέχειν αὐτοῖς ἡγεῖσθαι. Καὶ περιίστα δὲ κατ' ὀλίγον εἰς τυραννίδα τὰ πράγματα, μόνως οὕτω νομίζων ἀποστήσειν τοὺς ἀνθρώπους τοῦ φόβου τοῦ παρὰ τοῦ Θεοῦ, εἰ χρώμενοι τῇ αὐτοῦ δυνάμει διατελοῖεν· ἀμυνεῖσθαί τε τὸν Θεὸν ἠπείλει, πάλιν τὴν γῆν ἐπικλύσαι θελήσαντα. Πύργον γὰρ οἰκοδομήσειν ὑψηλότερον ἢ τὸ ὕδωρ ἀναβῆναι δυνηθείη, μετελεύσεσθαι δὲ καὶ τῆς τῶν προγόνων ἀπωλείας.

γ'. Τὸ δὲ πλῆθος πρόθυμον ἦν τοῖς Νεβρώδου ὀργμασιν ἕπεσθαι, δουλείαν ἡγούμενον τὸ εἴκειν τῷ Θεῷ· καὶ τὸν πύργον ᾠκοδόμουν, οὐδὲν ἀπολείποντες σπουδῆς, οὐδὲ πρὸς τὸ ἔργον ὀκνηρῶς ἔχοντες. Ἐλάμβανε δὲ θᾶττον ὕψος ἢ προσεδόκησεν ἄν τις ὑπὸ πολυχειρίας. Τὸ μέντοι πάχος ἦν τοσοῦτον ὥσθ' ὑπ' αὐτοῦ μειοῦσθαι τοῖς ὁρῶσι τὸ μῆκος. Ὠκοδόμητο δ' ἐκ πλίνθου ὀπτῆς ἀσφάλτῳ συνδεδεμένης, ὡς ἂν μὴ περιῤῥέοι. Οὕτω δὲ μεμηνότας ὁρῶν αὐτοὺς ὁ Θεὸς ἀφανίσαι μὲν ἐκ παντὸς οὐκ ἔκρινεν, ὅτι μηδ' ὑπὸ τῶν πρώτων ἀπολωλότων συμφρονισθεῖεν, εἰς στάσιν δ' αὐτοὺς ἐνέβαλεν, ἀλλογλώσσους ἀπεργασάμενος, καὶ ὑπὸ πολυφωνίας ποιήσας ἑαυτῶν ἀσυνέτους εἶναι. Ὁ δὲ τόπος, ἐν ᾧ τὸν πύργον ᾠκοδόμησαν, νῦν Βαβυλὼν καλεῖται, διὰ τὴν σύγχυσιν τοῦ περὶ τὴν διάλεκτον πρῶτον ἐναργοῦς·

dunt. Ac de his quidem, prout sibi visum fuerit, quisque existimet.

CAP. IV.

Noei autem filii tres erant, Semas, Japhethas, et Chamas, centum annis ante diluvium nati: qui primi de montibus in camporum planitiem descendentes illic habitare constituerunt, et aliis, qui propter diluvii memoriam campestria metuebant et segnes erant ad descensum ex locis celsioribus faciendum, suaserunt ut fidenti animo ipsorum exemplum sequerentur. Et campus quidem, quo eos primum deduxerant, Sennaar appellatur. Ceterum Deo jubente eos, si accresceret hominum numerus, coloniis alias regiones occupare, ut nulla invicem paterentur dissidia, sed ampliori terrarum spatio culturam adhibentes, fructuum abundantia potirentur: *illi* rerum imperiti dicto ejus non obtemperarunt. Quapropter in calamitates incidentes sibimet erroris conscii esse cœperunt. Postquam vero juventutis multitudine florebant, Deus ipsis iterum consilium dedit, ut colonias ducerent. Illi vero, rati se non ipsius benignitate vitæ commodis perfrui, sed propriam felicitatem suis viribus deberi existimantes, non paruerunt: quin et huic, quod Dei voluntati morem non gererent, adjecerunt, suspicionem esse *Deum* ad colonias deducendas illos per insidias impellere, ut dispersi facilius possent opprimi.

2. Ut eo contumeliæ in Deum et despicientiæ procederent, fecit Nebrodes, nepos Chamæ, filii Noei, vir audax et manuum viribus præclarus, qui persuasit eis ne Deo concederent felicitatem illi acceptam ferri, sed in ea perstarent opinione, virtutem suam bonorum omnium causam ipsis exstitisse. Ac paulatim res in tyrannidem vertebat, ratus hoc uno modo homines a Dei timore abduci posse, si ipsius potentiæ fidere perseverarent: Deumque se ultorum esse minitabatur, terram nova aquarum illuvie operire meditantem. Turrim enim se exædificaturum esse, celsiorem quam ut aqua eo usque posset ascendere, majorumque suorum interitum vindicta persequuturum.

3. Multitudo autem iis libenter assensa est, quæ faciendo visa sunt Nebrodi, servitutem esse reputantes Deo cedere: turrimque exstruere instituerunt, nulli labori parcentes, neque in opere segniter occupati. Surgebat enim in altitudinem citius quam speraverant ob numerosam operantium manum. Sed adeo crassa erat, ut spectantibus ab ea videretur imminui molis sublimitas. Ædificabatur autem ex lateribus coctis bitumine colligatis, ne forte ab aqua circumfusa solveretur. Sic illos insanientes Deus conspicatus, delere quidem universos noluit, quamvis ne priore quidem clade in meliorem mentem profecerint: sed linguis eorum variatis, dissidia in eos immisit, faciens ut ob sermonum diversitatem alii alios non intelligerent. Locus autem, in quo turrim ædificaverunt, propter confusionem linguæ, quæ prius omnibus ex æquo clara fuerat, nunc

Ἑβραῖοι γὰρ τὴν σύγχυσιν βαβὲλ καλοῦσι. Περὶ δὲ τοῦ πύργου τούτου καὶ τῆς ἀλλοφωνίας τῶν ἀνθρώπων μέμνηται καὶ Σίβυλλα, λέγουσα οὕτως· « πάντων ὁμο-
« φώνων ὄντων τῶν ἀνθρώπων, πύργον ὑψοδόμησάν τινες
« ὑψηλότατον, ὡς ἐπὶ τὸν οὐρανὸν ἀναβησόμενοι δι' αὐ-
« τοῦ. Οἱ δὲ θεοὶ ἀνέμους ἐπιπέμψαντες ἀνέτρεψαν τὸν
« πύργον, καὶ ἰδίαν ἑκάστῳ φωνὴν ἔδωκαν. Καὶ διὰ τοῦτο
« Βαβυλῶνα συνέβη κληθῆναι τὴν πόλιν. » Περὶ δὲ τοῦ πεδίου τοῦ λεγομένου Σενναὰρ ἐν τῇ Βαβυλωνίᾳ χώρᾳ μνημονεύει Ἑστιαῖος, λέγων οὕτως· τῶν δὲ ἱερέων τοὺς
« διασωθέντας, τὰ τοῦ Ἐνυαλίου Διὸς ἱερώματα λαβόν-
« τας, εἰς Σενναὰρ τῆς Βαβυλωνίας ἐλθεῖν. »

ΚΕΦ. Ε'.

Σκίδνανται δὴ τὸ λοιπὸν ἐντεῦθεν, ὑπὸ τῆς ἀλλογλωσσίας τὰς ἀποικίας ποιησάμενοι πανταχοῦ· καὶ γῆν ἑκαστοι κατελάμβανον ἐντυγχάνουσαν, καὶ εἰς ἣν αὐτοὺς ἦγεν ὁ Θεὸς, ὡς πληρωθῆναι πᾶσαν αὐτῶν ἤπειρον, μεσογείων τε καὶ παράλιον. Εἰσὶ δ' οἱ καὶ περαιωσάμενοι ναυσὶ τὰς νήσους κατῴκισαν· καὶ τῶν ἐθνῶν ἔνια μὲν διασώζει τὰς ὑπὸ τῶν κτισάντων κειμένας προσηγορίας, ἔνια δὲ καὶ μετέβαλον, τὰ δὲ καὶ, πρὸς τὸ σαφέστερον εἶναι δοκοῦν τοῖς παροικοῦσι, τροπὴν ἔλαβον. Ἕλληνες δ' εἰσὶν οἱ τούτου καταστάντες αἴτιοι· ἰσχύσαντες γὰρ ἐν τοῖς ὕστερον, ἰδίαν ἐποίησαντο καὶ τὴν πάλαι δόξαν, καλλωπίσαντες τὰ ἔθνη τοῖς ὀνόμασι πρὸς τὸ συνετὸν αὐτοῖς, καὶ κόσμον θέμενοι πολιτείας ὡς ἀφ' αὑτῶν γεγονόσιν.

ΚΕΦ. Ϛ'.

Ἦσαν δὲ τῶν Νωέου παίδων υἱοί, ὧν ἐπὶ τιμῇ τοῖς ἔθνεσι τὰ ὀνόματα ἐπετίθεσαν οἱ γῆν τινα καταλαμβάνοντες. Ἰαφέθου μὲν οὖν τοῦ Νωέου παιδὸς ἦσαν ἑπτὰ υἱοί. Κατοικοῦσι δὲ οὗτοι ἀπὸ Ταύρου καὶ Ἀμάνου τῶν ὀρῶν ἀρξάμενοι, καὶ προῆλθον ἐπὶ μὲν τῆς Ἀσίας ἄχρι ποταμοῦ Τανάϊδος, ἐπὶ δὲ τῆς Εὐρώπης ἕως Γαδείρων, γῆν ἣν ἔτυχον καταλαμβάνοντες, καὶ μηδενὸς προκατοικήσαντος τὰ ἔθνη τοῖς αὐτῶν ἐκάλουν ὀνόμασι. Τοὺς μὲν γὰρ νῦν ὑφ' Ἑλλήνων Γαλάτας καλουμένους, Γομαρεῖς δὲ λεγομένους, Γομάρης ἔκτισε, Μαγώγης δὲ τοὺς ἀπ' αὐτοῦ Μαγώγας ὀνομασθέντας ὤκισε, Σκύθας δὲ ὑπ' αὐτῶν προσαγορευομένους. Τῶν δὲ Ἰαφέθου παίδων, Ἰωυάνου καὶ Μάδου, ἀπὸ μὲν τοῦ Μάδου Μαδαῖοι γίνονται ἔθνος, οἱ πρὸς Ἑλλήνων Μῆδοι κέκληνται· ἀπὸ δὲ Ἰωυάνου Ἰωνία καὶ πάντες Ἕλληνες γεγόνασι. Κατοικίζει δὲ καὶ Θόβηλος Θοβήλους, οἵτινες ἐν τοῖς νῦν Ἴβηρες καλοῦνται· καὶ Μοσοχηνοὶ δὲ ὑπὸ Μοσόχου κτισθέντες, Καππαδόκαι μὲν ἄρτι κέκληνται, τῆς δὲ ἀρχαίας αὐτῶν προσηγορίας σημεῖον δείκνυται· πόλις γάρ ἐστι παρ' αὐτοῖς ἔτι καὶ νῦν Μάζακα, ὀηλοῦσα τοῖς συνιέναι δυναμένοις οὕτω ποτὲ προσαγορευθὲν πᾶν τὸ ἔθνος. Θείρας δὲ Θειρᾶς μὲν ἐκάλεσεν ὧν ἦρξεν, Ἕλληνες δὲ Θρᾷκας αὐτοὺς μετωνόμασαν. Καὶ τοσαῦτα μὲν ἔθνη ὑπὸ τῶν Ἰαφέ-

Babylon appellatur : nam Hebræi confusionem nominant *babel*. De turri autem hac deque linguis hominum mutatis meminit etiam Sibylla, ad hunc modum loquens : « quum
« omnes homines una lingua uterentur, altissimam turrim
« ædificare quidam cœperunt, velut per eam in cœlum
« scansuri. At dii ventis emissis turrim hanc evertêre, et
« suam cuique linguam attribuêre. Unde urbi Babylon
« factum est nomen. » Ejus vero campi, qui Sennaar appellatur, in Babylonia regione siti, mentionem facit Hestiæus, ita dicens : « qui vero de sacerdotibus servati erant,
« ablatis Jovis Enyalii sacris, in Sennaar Babyloniæ vene-
« runt. »

CAP. V. (VI.)

De cetero igitur inde dispersi sunt, propter diversitatem linguarum coloniis passim deductis; et singuli terram occuparunt in quam inciderunt, eosque duxit Deus ita ut omnis terra continens, tam mediterranea quam maritima, eis repleretur. Nonnulli autem etiam navibus trajicientes insulas habitarunt; et gentium quædam nomina quidem a conditoribus imposita servant, at quædam etiam mutaverunt; aliæ vero, ut ad accolarum captum magis accommodarentur, *nominum* inversionem habuerunt. Græci autem hujus rei auctores exstiterunt : qui posterioribus sæculis rerum potientes veterum gloriam sibi propriam effecerunt, dum gentes nominibus sibi intellectis insigniunt illisque ut a se oriundis reipublicæ formam constituunt.

CAP. VI. (VII.)

Filiis Noei nati sunt filii, quorum in honorem gentibus nomina imponebant *homines*, ut quisque terram aliquam occupaverat. Siquidem Japhetha filio Noei nati sunt septem filii. Isti vero terram possederunt, a Tauro et Amano montibus incipientes, et processerunt in Asia quidem usque ad fluvium Tanaim, in Europa vero usque ad Gadira; terram in sedem capientes sibi forte oblatam, quamque nemo ante habitaverat, gentibus sua indiderunt nomina. Qui enim nunc a Græcis Galatæ appellantur, olim vero Gomarenses dicti, Gomares condidit; Magoges autem Magogarum a se denominatorum coloniam duxit, qui ab ipsis vocantur Scythæ. Ex Japhethæ autem filiis, Jovano et Made, ex Made quidem Madæorum gens descendit, qui a Græcis Medi nominantur; ex Jovano vero Ionia et Græci omnes oriuntur. Quin et Thobelus Thobelis sedem dedit, qui nostra ætate Iberi vocantur : et Mosocheni a Mosoche conditi, nunc quidem Cappadoces dicti sunt, sed antiquæ appellationis indicium habetur : urbs enim etiam hodie apud eos est Mazaca, ostendens harum rerum peritis universam gentem olim ita fuisse appellatam. Thiras autem Thiras vocavit quorum fuit princeps, Græci vero nominis mutatione Thracas fecerunt. Et tot quidem gentes a Japhethæ

θου παίδων κατοικεῖται. Γομάρου δὲ τριῶν υἱῶν γενομένων, Ἀσχάναζος μὲν Ἀσχανάζους ὤχισεν, οἳ νῦν Ῥηγῖνες ὑπὸ τῶν Ἑλλήνων καλοῦνται, Ῥιφάθης δὲ Ῥιφαθαίους, τοὺς Παφλαγόνας λεγομένους· Θοργάμης δὲ Θοργαμαίους, οἳ δόξαν Ἕλλησι Φρύγες ὠνομάσθησαν. Ἰωυάνου δὲ τοῦ Ἰαφέθου τριῶν καὶ αὐτοῦ παίδων γενομένων, Ἐλισᾶς μὲν Ἐλισαίους ἐκάλεσεν ὧν ἦρχεν, Αἰολεῖς δὲ νῦν εἰσί· Θαρσὸς δὲ Θαρσεῖς, οὕτω γὰρ ἐκαλεῖτο τὸ παλαιὸν ἡ Κιλικία· σημεῖον δέ· Ταρσὸς γὰρ παρ' αὐτοῖς τῶν πόλεων ἡ ἀξιολογωτάτη καλεῖται, μητρόπολις οὖσα, τὸ ταῦ πρὸς τὴν κλῆσιν ἀντὶ τοῦ θῆτα μεταβαλλόντων. Χέθιμος δὲ Χέθιμα τὴν νῆσον ἔσχεν (Κύπρος αὕτη νῦν καλεῖται), καὶ ἀπ' αὐτῆς νῆσοί τε πᾶσαι καὶ τὰ πλείω τῶν παρὰ θάλασσαν, Χεθὶμ ὑπὸ Ἑβραίων ὀνομάζεται. Μάρτυς δέ μου τοῦ λόγου μία τῶν ἐν Κύπρῳ πόλεων ἰσχύσασα τὴν προσηγορίαν φυλάξαι· Κίτιον γὰρ ὑπὸ τῶν ἐξελληνισάντων αὐτὴν καλεῖται, μηδ' οὕτω διαφυγοῦσα τοῦ Χεθίμου τὸ ὄνομα. Ἰαφέθου μὲν δὴ παῖδές τε καὶ υἱωνοὶ τοσαῦτα ἔσχον ἔθνη. Ὃ δ' ἴσως ὑφ' Ἑλλήνων ἀγνοεῖται, τοῦτο προειπὼν τρέψομαι πρὸς τὴν ἀφήγησιν ὧν κατέλιπον. Τὰ γὰρ ὀνόματα διὰ τὸ τῆς γραφῆς εὐπρεπὲς ἡλλήνισται πρὸς ἡδονὴν τῶν ἐντευξομένων· οὐ γὰρ ἐπιχώριος ἡμῖν ὁ τοιοῦτος αὐτῶν τύπος, ἀλλ' ἓν τε αὐτῶν σχῆμα καὶ τελευτὴ μία· Νώεός γέ τοι Νῶε καλεῖται, καὶ τοῦτον τὸν τύπον ἐπὶ παντὸς τηρεῖ σχήματος.

β'. Οἱ δὲ Χάμου παῖδες τὴν ἀπὸ Συρίας καὶ Ἀμάνου καὶ Λιβάνου τῶν ὀρῶν γῆν κατέσχον, ὅσα πρὸς θάλασσαν αὐτῆς ἐτέτραπτο καταλαβόντες, καὶ τὰ μέχρι τοῦ ὠκεανοῦ ἐξιδιωσάμενοι. Αἱ μέντοι προσηγορίαι τῶν μὲν καὶ παντελῶς ἐξίτηλοι γεγόνασιν, ἐνίων δὲ μεταβαλοῦσαι καὶ μεταρρυθμισθεῖσαι πρὸς ἑτέρας δύσγνωστοι τυγχάνουσιν, ὀλίγοι δὲ οἱ φυλάξαντες ἀκεραίους τὰς προσηγορίας ὑπάρχουσι. Τεσσάρων γὰρ Χάμου παίδων γενομένων, Χοῦσον μὲν οὐδὲν ἔβλαψεν ὁ χρόνος· Αἰθίοπες γάρ, ὧν ἦρξεν, ἔτι καὶ νῦν ὑπὸ ἑαυτῶν τε καὶ τῶν ἐν τῇ Ἀσίᾳ πάντων Χουσαῖοι καλοῦνται. Ἐτηρήθη δὲ καὶ Μεστραίοις ἡ κατὰ τὴν προσηγορίαν μνήμη· τὴν γὰρ Αἴγυπτον Μέστρην καὶ Μεστραίους τοὺς Αἰγυπτίους ἅπαντες οἱ ταύτην οἰκοῦντες καλοῦμεν. Ἔκτισε δὲ καὶ Φούτης τὴν Λιβύην, Φούτους ἀφ' αὑτοῦ καλέσας τοὺς ἐπιχωρίους. Ἔστι δὲ καὶ ποταμὸς ἐν τῇ Μαύρων χώρᾳ τοῦτο ἔχων τὸ ὄνομα· ὅθεν καὶ τοὺς πλείστους τῶν Ἑλληνικῶν ἱστοριογράφων ἐστὶν ἰδεῖν μεμνημένους τοῦ ποταμοῦ καὶ τῆς παρακειμένης αὐτῷ χώρας Φούτης λεγομένης· μετέβαλε δὲ ὃ νῦν ἐστιν αὐτῇ ὄνομα, ἀπὸ τῶν Μεστραΐμου υἱῶν ἑνός, Λίβυος λεγομένου. Μετ' οὐ πολὺ δ' ἐροῦμεν τὴν αἰτίαν, δι' ἣν αὐτὴν καὶ Ἀφρικὴν προσαγορεύεσθαι συμβέβηκεν. Χανάανος δὲ τέταρτος ὢν Χάμου παῖς, τὴν νῦν Ἰουδαίαν καλουμένην οἰκήσας, ἀφ' αὑτοῦ Χαναναίαν προσηγόρευσε. Γίνονται δὲ παῖδες ἐξ αὐτῶν, Χούσου μὲν ἕξ· ὧν Σάβας μὲν Σαβαίους, Εὐίλας δὲ Εὐιλαίους

filiis conditæ sunt. Trium autem Gomari filiorum *unus* quidem Aschanazus Aschanazos condidit, qui nunc Rhegines nominantur a Græcis; Rhiphathes vero Rhiphathæos, qui vocantur Paphlagones, et Thorgames Thorgamæos, qui, ut visum est Græcis, Phryges vocantur. A Jovano autem Japhethæ filio, et ipso tres filios habente, ortus Elisas Elisæis nomen dedit, quorum fuit princeps, nunc vero Æoles habentur : Tharsus autem Tharsensibus; sic enim olim appellabatur Cilicia : indicio autem est, quod urbs apud eos celeberrima eademque metropolis dicta sit Tarsus, theta ad nomen variandum ab eis converso in tau. Chethimus autem Chethimam insulam occupavit (ipsa vero nunc Cyprus vocatur), et ab ea *insulæ omnes*, et pleraque loca maritima ab Hebræis Chethim dicuntur. Ejus vero, quod dico, testis mihi una urbium in Cypro, cui accidit ut nomen suum *adhuc* servaret : Citium enim appellatur ab his qui eam in formam Græcam immutarunt, ne sic quidem a Chethimi nomine multum discrepans. Japhethæ itaque filii et nepotes tot gentes condiderunt. Ceterum hoc unum, quod Græcis forsan parum exploratum, præmittam, deinde ad ea quæ supersunt narranda me convertam. Nomina propter scripturæ decorem Græci ad delectationem legentium mutaverunt. Nostrates enim hujusmodi eorum forma non utuntur, sed idem apud nos perpetuo schema obtinent et unam terminationem : Noeus etenim *apud nos* vocatur Noe, et in omni schemate eandem hanc formam servat.

2. Chamæ vero filii terram, quæ a Syria et Amano Libanoque montibus incipit, obtinuerunt, quicquid ejus ad mare vergit occupantes et regiones usque ad oceanum sibimet vindicantes. Horum sane quorundam appellationes omninò evanuerunt, aliorum vero multum immutatæ atque ita in alias deflexæ, ut haud facile agnoscantur, pauci autem sunt quorum nomina integra servantur. Ex quattuor enim Chamæ filiis, Chuso nihil detrimenti tempus attulit : nam Æthiopes, quorum princeps fuit, nunc quoque tam a se ipsis quam ab Asianis omnibus Chusæi nominantur. Mestræi etiam adhuc in memoria sunt ex appellatione : Ægyptum enim Mestren et Mestræos Ægyptios vocamus *quotquot* hanc regionem incolimus. In Libyam colonos deduxit Phutes, incolas suo nomine Phutos vocans. Est autem fluvius quoque in Maurorum regione, qui ita appellatur : quare plurimos ex historicis Græcis invenimus, qui hujus fluminis meminerunt, et regionis, cui Phyte nomen, ei adjacentis : traxit autem nomen, quod ei nunc est, ab uno Mestraimi filiorum, qui Libys vocabatur. Paulo vero post causam adjiciemus, cur eam et Africam nominari contigit. Chanaanus vero, quartus Chamæ filius, Judæam, ut nunc vocatur, habitans regionem, illam a se Chananæam appellavit. Istis autem nati sunt liberi, Chuso quidem sex : quorum Sabas Sabæos condidit, Evilas Evilæos, *qui nunc Gætuli* appellan-

ἔκτισεν, οἳ νῦν Γαιτοῦλοι λέγονται· Σαβάθας δὲ Σαβαθηνούς, ὀνομάζονται δὲ Ἀστάβαροι παρ' Ἕλλησιν. Οἰκίζει δὲ καὶ Σαβακάθας Σαβακαθηνούς. Ῥέγμος δὲ Ῥεγμαίους ὥκισε, καὶ δύο παῖδας ἔσχεν, ὧν Ἰουδάδας μὲν Ἰουδαδαίους, Αἰθιοπικὸν ἔθνος τῶν ἑσπερίων, οἰκίσας ἐπώνυμον αὐτοῦ κατέλιπε· Σαβαίους δὲ Σάβας· Νεβρώδης δὲ Χούσου υἱὸς ὑπομείνας παρὰ Βαβυλωνίοις ἐτυράννησεν, ὡς καὶ πρότερόν μοι δεδήλωται. Τῶν δὲ Μεστραΐμου παίδων ὀκτὼ γενομένων, οἱ πάντες τὴν ἀπὸ Γάζης ἕως Αἰγύπτου γῆν κατέσχον, μόνου δὲ Φυλιστίνου τὴν ἐπωνυμίαν ἡ χώρα διεφύλαξε· Παλαιστίνην γὰρ οἱ Ἕλληνες αὐτοῦ τὴν μοῖραν καλοῦσι. Τῶν δὲ ἄλλων, Λουδιείμου καὶ Ἐνεμετιείμου καὶ Λαβιείμου, τοῦ μόνου κατοικήσαντος ἐν Λιβύῃ καὶ τὴν χώραν ἀφ' αὑτοῦ καλέσαντος, Νεδέμου τε καὶ Φεθρωσίμου καὶ Χεσλοίμου καὶ Χεφθορίμου, πέρα τῶν ὀνομάτων οὐδὲν ἴσμεν. Ὁ γὰρ Αἰθιοπικὸς πόλεμος, περὶ οὗ δηλώσομεν ὕστερον, ἀναστάτους αὐτῶν τὰς πόλεις ἐποίησεν. Ἐγένοντο δὲ καὶ Χαναάνου παῖδες, Σιδὼν, ὃς καὶ πόλιν ἐπώνυμον ἔκτισεν ἐν τῇ Φοινίκῃ, Σιδὼν δ' ὑφ' Ἑλλήνων καὶ νῦν καλεῖται. Ἀμάθιος δὲ Ἀμάθην κατῴκισεν, ἥτις ἐστὶ καὶ νῦν ὑπὸ μὲν τῶν ἐπιχωρίων Ἀμάθη καλουμένη, Μακεδόνες δ' αὐτὴν Ἐπιφάνειαν ἀφ' ἑνὸς τῶν ἀπογόνων ἐπωνόμασαν· Ἀράδιος δὲ Ἄραδον τὴν νῆσον ἔσχεν, Ἀρουκαῖος δὲ Ἄρκην τὴν ἐν τῷ Λιβάνῳ. Τῶν δ' ἄλλων ἑπτὰ, Χετταίου, Ἰεβουσαίου, Ἀμορραίου, Γεργεσαίου, Εὐαίου, Ἀσενναίου, Σαμαραίου, πλὴν τῶν ὀνομάτων ἐν ταῖς ἱεραῖς βίβλοις οὐδὲν ἔχομεν· Ἑβραῖοι γὰρ αὐτῶν ἀνέστησαν τὰς πόλεις, ἐκ τοιαύτης αἰτίας ἐν συμφορᾷ γενομένας.

γ'. Νῶεος, μετὰ τὴν ἐπομβρίαν τῆς γῆς καταστασθείσης εἰς τὴν αὐτῆς φύσιν, ἐπ' ἔργα ἐχώρει· καὶ καταφυτεύσας αὐτὴν ἀμπέλοις, ἡνίκα τοῦ καρποῦ τελεσφορηθέντος καθ' ὥραν ἐτρύγησε, καὶ παρῆν εἰς χρῆσιν ὁ οἶνος, θύσας ἐν εὐωχίαις ἦν. Μεθυσθεὶς δὲ εἰς ὕπνον καταφέρεται, καὶ γεγυμνωμένος παρακόσμως ἔκειτο. Θεασάμενος δ' αὐτὸν ὁ νεώτατος τῶν παίδων τοῖς ἀδελφοῖς ἐπιγελῶν δείκνυσιν, οἱ δὲ περιστέλλουσι τὸν πατέρα. Καὶ Νῶεος αἰσθόμενος τοῖς μὲν ἄλλοις παισὶν εὐδαιμονίαν εὔχεται, τῷ δὲ Χάμᾳ διὰ τὴν συγγένειαν αὐτῷ μὲν οὐ κατηράσατο, τοῖς δ' ἐκγόνοις αὐτοῦ. Καὶ τῶν ἄλλων διαπεφευγότων τὴν ἀρὰν, τοὺς Χαναάνου παῖδας μέτεισιν ὁ Θεός. Καὶ περὶ μὲν τούτων ἐν τοῖς ἑξῆς ἐροῦμεν.

δ'. Σήμᾳ δὲ, τῷ τρίτῳ Νῶέου υἱῶν, πέντε γίνονται παῖδες, οἱ τὴν μέχρι τοῦ κατ' Ἰνδίαν ὠκεανοῦ κατοικοῦσιν Ἀσίαν, ἀπ' Εὐφράτου τὴν ἀρχὴν πεποιημένοι. Ἔλαμος μὲν γὰρ Ἐλαμαίους, Περσῶν ὄντας ἀρχηγέτας, κατέλιπεν· Ἀσσούρας δὲ Νίνον οἰκίζει πόλιν, καὶ τοὺς ὑπηκόους Ἀσσυρίους ἐπωνόμασεν, οἱ μάλιστα ηὐδαιμόνησαν. Ἀρφαξάδης δὲ τοὺς νῦν Χαλδαίους καλουμένους Ἀρφαξαδαίους ὠνόμασεν, ἀρξας αὐτῶν. Ἀραμαίους δὲ Ἄραμος ἔσχεν, οὓς Ἕλληνες Σύρους προσαγορεύουσιν· οὓς δὲ Λυδοὺς νῦν καλοῦσι, Λούδους δὲ

tur, Sabathas vero Sabathenos, qui Græcis dicuntur Astabari : Sabacathas autem Sabacathenos condidit, Regmus vero Regmæis ortum dedit, et duos filios habuit, quorum Judadas quidem Judadæorum gentem, inter Æthiopes occidentales, condens, sibimet cognominem reliquit, Sabas vero Sabæos : Nebrodes autem Chusi filius manens apud Babylonios dominatum exercuit, sicut a me etiam ante narratum est. Porro Mestraimo quum octo essent filii, illi a Gaza usque ad Ægyptum terram possederunt, solius autem Phylistini cognomen regio retinuit : Palæstinam enim Græci partem ejus nominant. Reliquorum autem, Ludiimi et Enemetiimi et Labiimi (qui solus colonis in Libyam ductis regionem a se denominavit), Nedemi etiam et Phethrosimi et Cheslœmi et Chephthorimi præter nomina nihil plane novimus. Bello enim Æthiopico, de quo postea narrabimus, urbes eorum eversæ sunt. Chanaani autem filii fuerunt, Sidon, qui et sui nominis urbem in Phœnice exstruxit, Sidon etiam nunc a Græcis vocatur : Amathius autem Amathen habitavit, quæ etiam adhuc superest et ab incolis Amathe appellatur; Macedones vero eam Epiphaniam ab uno e successorum *Alexandri* filiis denominaverunt: Aradius autem Aradum insulam habuit : Arucæus vero Arcen urbem in Libano sitam. Reliquorum septem, Chettæi, Jebusæi, Amorrhæi, Gergesæi, Euæi, Asennæi, Samaræi, præter nomina nihil in sacris codicibus exstat : nam Hebræi urbes eorum exciderunt, quas ex hujusmodi causa afflixit calamitas.

3. Noeus, terra post diluvium in primævam restituta naturam, ad *agriculturæ* opus aggreditur : et quum vitibus eam consevisset, fructuque maturescente suo tempore eam vindemiasset, atque vinum usui esset idoneum, sacris prius operatus epulabatur. Inebriatus autem in somnum delabitur, nudatusque parum decore jacebat. Eum conspicatus filiorum natu minimus per ludibrium fratribus indicavit, illi vero patrem operuerunt. Ubi factum rescivit Noeus, aliis quidem filiis felicitatem precatus est : Chamam vero propter cognationem sui exsecrationibus ipsum quidem non insectatus est, sed posteros ejus. Quas quum ceteri evasissent, Chanaani liberos ultio divina est consequuta. Ac de his quidem in sequentibus dicemus.

4. Semæ vero, tertio Noei filio, nati sunt quinque filii, qui Asiam usque ad Indicum oceanum incoluerunt, ab Euphrate incipientes. Elamus quidem *posteros* reliquit Elamæos, a quibus Persæ originem duxerunt; Assuras autem urbem Ninum condidit, et subjectos sibi Assyrios nominavit, qui maxime floruerunt. Arphaxades vero iis, qui nunc quidem Chaldæi vocantur, appellationem dedit, quum princeps eorum esset. Ex Aramo autem Aramæi prognati, quos Græci Syros appellant; qui vero Lydi nunc vocantur, olim

τότε, Λούδας ἔκτισε. Τῶν δὲ Ἀράμου παίδων τεσσάρων ὄντων, Οὖσος μὲν κτίζει τὴν Τραχωνῖτιν καὶ Δαμασκόν· μέση δ' ἐστὶ τῆς Παλαιστίνης καὶ Κοίλης Συρίας. Ἀρμενίαν δὲ Οὖλος, καὶ Γάθερος Βακτριανούς, Μησᾶς δὲ Μησαναίους· Σπασίνου Χάραξ ἐν τοῖς νῦν καλεῖται. Ἀρφαξάδου δὲ παῖς γίνεται Σάλας, τοῦ δὲ Ἔβερος, ἀφ' οὗ τοὺς Ἰουδαίους Ἑβραίους ἀρχῆθεν ἐκάλουν. Ἔβερος δὲ Ἰούκταν καὶ Φάλεκον ἐγέννησεν. Ἐκλήθη δὲ Φάλεκος, ἐπειδὴ κατὰ τὸν ἀποδασμὸν τῶν οἰκήσεων τίκτεται· Φάλεκ γὰρ τὸν μερισμὸν Ἑβραῖοι καλοῦσιν. Ἰούκτα δὲ τῶν Ἑβέρου παίδων ἦσαν υἱοί, Ἐλμώδαδος, Σάλεφος, Ἀζερμώθης, Εἰραλῆς, Ἐδώραμος, Αἴζηλος, Δέκλας, Ἔβαλος, Ἀβιμάηλος, Σαβεὺς, Ὀφείρης, Εὐϊλάτης, Ἰώβαβος. Οὗτοι ἀπὸ Κωφῆνος ποταμοῦ τῆς Ἰνδικῆς καὶ τῆς πρὸς αὐτῷ Ἀρίας τινὰ κατοικοῦσι. Ταῦτα μὲν περὶ τῶν Σήμου παίδων ἱστορείσθω.

ε'. Ποιήσομαι δὲ περὶ Ἑβραίων τὸν λόγον. Φαλέκου γὰρ τοῦ Ἑβέρου γίνεται παῖς Ῥάγαυος· τούτου δὲ Σεροῦγος, ᾧ Ναχώρης υἱὸς τίκτεται, τούτου δὲ Θάρρος. Πατὴρ δ' οὗτος Ἀβράμου γίνεται, ὃς δέκατος μέν ἐστιν ἀπὸ Νωέου, δευτέρῳ δ' ἔτει καὶ ἐνενηκοστῷ πρὸς διακοσίοις μετὰ τὴν ἐπομβρίαν ἐγένετο. Θάρρος μὲν γὰρ ἔτει ἑβδομηκοστῷ ποιεῖται τὸν Ἄβραμον, Ναχώρης δὲ Θάρρον, εἰκοστὸν αὐτὸς καὶ ἑκατοστὸν ἔτος ἤδη γεγονὼς, ἐγέννησε. Σερούγῳ δὲ Ναχώρης τίκτεται, περὶ ἔτος δεύτερον καὶ τριακοστὸν καὶ ἑκατοστόν. Ῥάγαυος δὲ Σεροῦγον ἔσχεν, ἔτη τριάκοντα γεγονὼς πρὸς τοῖς ἑκατόν. Ἐν δὲ τοῖς αὐτοῖς ἔτεσι καὶ Ῥάγαυον Φάλεκος ἔσχεν· Ἔβερος δὲ τετάρτῳ καὶ τριακοστῷ πρὸς τοῖς ἑκατὸν γεννᾷ Φάλεκον, γεννηθεὶς αὐτὸς ὑπὸ Σάλα τριακοστὸν ἔτος ἔχοντος καὶ ἑκατοστόν· ὃν Ἀρφαξάδης ἐτέκνωσε κατὰ πέμπτον καὶ τριακοστὸν τῆς ἡλικίας ἔτος πρὸς τοῖς ἑκατόν. Σήμου δὲ υἱὸς Ἀρφαξάδης ἦν, μετὰ ἔτη δώδεκα τῆς ἐπομβρίας γενόμενος. Ἄβραμος δὲ εἶχεν ἀδελφοὺς Ναχώρην καὶ Ἀράνην. Τούτων Ἀράνης μέν, καταλιπὼν υἱὸν Λῶτον καὶ Σάρραν καὶ Μελχὰν θυγατέρας, ἐν Χαλδαίοις ἀπέθανεν, ἐν πόλει Οὐρῇ λεγομένῃ τῶν Χαλδαίων. Καὶ τάφος αὐτοῦ μέχρι νῦν δείκνυται. Γαμοῦσι δὲ τὰς ἀδελφιδᾶς, Μελχὰν μὲν Ναχώρης, Σάρραν δὲ Ἄβραμος. Θάρρου δὲ μισήσαντος τὴν Χαλδαίαν διὰ τὸ Ἀράνου πένθος, μετοικίζονται πάντες εἰς Χαρρὰν τῆς Μεσοποταμίας· ὅπου καὶ Θάρρον τελευτήσαντα θάπτουσιν, ἔτη βιώσαντα πέντε καὶ διακόσια. Συνετέμνετο γὰρ ἤδη τοῖς ἀνθρώποις κατ' ὀλίγον τὸ ζῆν καὶ βραχύτερον ἐγίνετο, μέχρι τῆς Μωϋσέως γενέσεως· μεθ' ὃν ὅρος ἦν τοῦ ζῆν ἑκατὸν ἔτη πρὸς τοῖς εἴκοσι, τοσαῦθ' ὁρίσαντος τοῦ Θεοῦ· ὅσα καὶ Μωϋσῆν συνέβη βιῶναι. Ναχώρῃ μὲν οὖν ἐκ τῆς Μελχᾶς ὀκτὼ παῖδες ἐγένοντο· Οὖζος, Βάουξος, Καμούηλος, Χάζαδος, Ἄζαυος, Φελδᾶς, Ἰελδάφας, Βαθούηλος. Οὗτοι μὲν Ναχώρου παῖδες γνήσιοι· Ταβαῖος γὰρ καὶ Γάαμος καὶ Ταύαος καὶ Μάχας ἐκ Ῥουμᾶς παλλακῆς αὐτῷ γεγό-

Ludi dicti, Ludam *generis auctorem* habuerunt. Aramo autem quum quattuor essent filii, ex iis Usus Trachonitidem quidem condidit et Damascum, quæ inter Palæstinam et Cœle-Syriam media est; Armeniam vero Ulus; et Gatherus Bactrianos, Mesasque Mesanæos; *apud quos* Spasini Charax, *ut* nunc appellatur. Ex Arphaxade autem prognatus est Salas, ex eo vero Heberus; unde Judæos ab initio Hebræos appellaverunt. Porro Heberus Juctan et Phalecum genuit. Vocatus est autem Phalecus, quod sub *habitationum divisionem natus fuerit*: Phalec enim Hebræis partitionem sonat. Juctæ autem Heberi filio liberi erant Elmodadus, Salephus, Azermothes, Iraes, Edoramus, Æzelus, Declas, Ebalus, Abimaelus, Sabeus, Ophires, Evilates, Jobabus. Isti a Cophene flumine Indiæ, Ariæque ad ipsum *sitæ loca* quædam habitant. Hæc quidem de Semæ progenie dicta sunto.

5. Faciam vero de Hebræis sermonem. Ex Phaleco enim Heberi filio prognatus est Ragavus: ex hoc autem Serugus, *cui* Nachores *filius natus est*; hujus vero *filius* Tharrus. Hic autem Abrami fit pater, qui decimus quidem a Noeo fuit; secundo vero anno et nonagesimo supra ducentesimum post diluvium natus est. Nam Tharrus quidem septuagesimo anno genuit Abramum, Nachores autem, quum esset centum et viginti annorum, genuit Tharrum. Porro de Serugo Nachores nascitur, circa annum centesimum et tricesimum secundum; Ragavus vero Serugum habuit, quum esset annorum centum et triginta. Iisdem etiam annis Ragavum habuit Phalecus. Heberus autem anno quarto et tricesimo supra centesimum genuit Phalecum, ipse de Sala prognatus annum nato tricesimum et centesimum, quem Arphaxades genuit quinto et tricesimo ætatis anno supra centesimum. Semæ autem filius Arphaxades erat, natus post annos duodecim a diluvio. Abramus autem fratres habuit Nachoren et Aranen. Ex his Aranes quidem, relinquens Lotum filium cum filiabus Sarra et Melcha, inter Chaldæos est mortuus, in urbe quæ Ure Chaldæorum vocatur. Et usque nunc sepulchrum ejus ostenditur. Neptes autem ex fratre duxerunt uxores, Melcham quidam Nachores, Sarram vero Abramus. Ceterum quum Tharrus odio haberet Chaldæorum terram propter luctum Aranæ, omnes simul migraverunt Charram Mesopotamiæ: ubi *etiam* Tharrum defunctum sepeliunt, quum annos ducentos et quinque vixisset. Jam enim paulatim recidebatur vita *hominum breviorque* fiebat usque ad ortum Moysis: post quem vitæ terminus annorum erat centum et viginti, tot statuente Deo; quot et Moysen vixisse contigit. Itaque Nachores e Melcha octo filios suscepit, Uxum, Batuxum, Camuelum, Chazadum, Azavum, Pheldam, Ieldapham, Bathuelum. Isti quidem legitimi Nachoræ filii fuere: nam Tabæus et Gaamus et Tavaus et Machas ipsi ex Ruma concubina nati sunt. Ba-

νασι. Βαθουήλῳ δὲ τῶν Ναχώρου γνησίων παίδων γίνεται Ῥεβέκκα θυγάτηρ καὶ Λάβανος υἱός.

ΚΕΦ. Ζ'.

Ἄβραμος δὲ Λῶτον τὸν Ἀράνου τοῦ ἀδελφοῦ υἱὸν, τῆς δὲ γυναικὸς αὐτοῦ Σάρρας ἀδελφὸν, εἰσεποιήσατο, γνησίου παιδὸς ἀπορῶν· καὶ καταλείπει τὴν Χαλδαίαν, ἑβδομήκοντα καὶ πέντε γεγονὼς ἔτη, τοῦ Θεοῦ κελεύσαντος εἰς τὴν Χαναναίαν μετελθεῖν, ἐν ᾗ καὶ κατῴκησε καὶ τοῖς ἀπογόνοις κατέλιπε, δεινὸς ὢν συνιέναι τε περὶ πάντων, καὶ πιθανὸς τοῖς ἀκροωμένοις, περί τε ὧν εἰκάσειεν οὐ διαμαρτάνων. Διὰ τοῦτο καὶ φρονεῖν ἐπ' ἀρετῇ μείζω τῶν ἄλλων ἠργμένος, καὶ τὴν περὶ τοῦ Θεοῦ δόξαν, ἣν ἅπασι συνέβαινεν εἶναι, καινίσαι καὶ μεταβαλεῖν ἔγνω. Πρῶτος οὖν τολμᾷ Θεὸν ἀποφήνασθαι δημιουργὸν τῶν ὅλων ἕνα· τῶν δὲ λοιπῶν εἴ καί τι πρὸς εὐδαιμονίαν συντελεῖ, κατὰ προσταγὴν τὴν τούτου παρέχειν ἕκαστον, καὶ οὐ κατ' οἰκείαν ἰσχύν. Εἴκαζε δὲ ταῦτα τοῖς τῆς γῆς καὶ θαλάττης παθήμασι, τοῖς τε περὶ τὸν ἥλιον καὶ τὴν σελήνην, καὶ πᾶσι τοῖς κατ' οὐρανὸν συμβαίνουσι. Δυνάμεως γὰρ αὐτοῖς παρούσης, καὶ προνοῆσαι τῆς καθ' αὐτοὺς εὐταξίας· ταύτης δ' αὖ ὑστεροῦντας φανεροὺς γίνεσθαι, μηδ' ὅσα πρὸς τὸ χρησιμώτερον ἡμῖν συνεργοῦσι κατὰ τὴν αὐτῶν ἐξουσίαν, ἀλλὰ κατὰ τὴν τοῦ κελεύοντος ἰσχὺν ὑπουργεῖν· ᾧ καλῶς ἔχειν μόνῳ τὴν τιμὴν καὶ τὴν εὐχαριστίαν ἀπονέμειν. Δι' ἅπερ Χαλδαίων τε καὶ τῶν ἄλλων Μεσοποταμιτῶν στασιασάντων πρὸς αὐτὸν, μετοικεῖν δοκιμάσας, κατὰ βούλησιν καὶ βοήθειαν τοῦ Θεοῦ τὴν Χαναναίαν ἔσχε γῆν. Ἱδρυθείς τε αὐτόθι βωμὸν ᾠκοδόμησε καὶ θυσίαν ἐτέλεσε τῷ Θεῷ.

β'. Μνημονεύει δὲ τοῦ πατρὸς ἡμῶν Ἀβράμου Βηρωσσὸς, οὐκ ὀνομάζων, λέγων δ' οὕτως· « μετὰ τὸν κα-« τακλυσμὸν δεκάτῃ γενεᾷ παρὰ Χαλδαίοις τις ἦν δί-« καιος ἀνὴρ καὶ μέγας καὶ τὰ οὐράνια ἔμπειρος ». Ἑκαταῖος δὲ καὶ τοῦ μνησθῆναι πλέον τι πεποίηκε· βιβλίον γὰρ περὶ αὐτοῦ συνταξάμενος κατέλιπε. Νικόλαος δὲ ὁ Δαμασκηνὸς ἐν τῇ τετάρτῃ τῶν ἱστοριῶν λέγει οὕτως· « Ἀβράμης ἐβασίλευσε Δαμασκοῦ, ἐπηλυς σὺν « στρατῷ ἀφιγμένος ἐκ τῆς γῆς τῆς ὑπὲρ Βαβυλῶνος « Χαλδαίων λεγομένης. Μετ' οὐ πολὺν δὲ χρόνον « ἐξαναστὰς καὶ ἀπὸ ταύτης τῆς χώρας σὺν τῷ σφετέρῳ « λαῷ εἰς τὴν τότε μὲν Χαναναίαν λεγομένην, νῦν δὲ « Ἰουδαίαν, μετῴκησε, καὶ οἱ ἀπ' ἐκείνου πληθύναντες, « περὶ ὧν ἐν ἑτέρῳ λόγῳ διέξειμι τὰ ἱστορούμενα ». Τοῦ δὲ Ἀβράμου ἔτι καὶ νῦν ἐν τῇ Δαμασκηνῇ τὸ ὄνομα δοξάζεται, καὶ κώμη ἀπ' αὐτοῦ δείκνυται Ἀβράμου οἴκησις λεγομένη.

ΚΕΦ. Η'.

Λιμοῦ δὲ χρόνοις ὕστερον τὴν Χαναναίαν καταλαβόντος, Ἄβραμος, Αἰγυπτίους εὐδαιμονεῖν πυθόμενος, διαίρειν πρὸς αὐτοὺς ἦν πρόθυμος, τῆς τε ἀφθονίας τῆς ἐκείνων μεθέξων, καὶ τῶν ἱερέων ἀκροατὴς ἐσόμενος,

thuelo autem, uni e Nachoræ filiis legitimis, nascitur Rebecca filia et Labanus filius.

CAP. VII. (VIII.)

Abramus autem Lotum fratris sui Aranæ filium, Sarræ vero conjugis suæ fratrem, adoptavit, quod dubiam haberet spem liberorum legitimorum : quumque jam esset annorum septuaginta et quinque, e Chaldæa discessit, Deo jubente ut in Chananæam concederet, quam etiam ipse incoluit et posteris reliquit, vir rerum omnium intelligentia et audientes persuadendi vi pollens, et de quibus conjecturam faceret *a vero* raro aberrans. Propterea, quum ob virtutem præ ceteris sapiens haberi cœpisset, vulgo receptam de Deo opinionem innovare et mutare secum statuit. Primus itaque ausus est declarare unum esse Deum rerum omnium opificem : de ceteris vero si quid ad felicitatem conferat, *illud* ex hujus mandato unumquodque præbere, non ex vi sibi propria. Hæc vero conjiciebat ex iis quæ in terra marique contingunt, quæque sol aut luna patitur, et ex omnibus quæ cœlo accidunt *mutationibus*. « Nam si, *inquit*, vis illis insita esset, *certe* curam ordinis sui conservandi haberent : ea vero *res istas* destitutas esse manifestum est. Neque enim ad nostram utiliatem suapte virtute fretæ operam conferunt, sed imperantis potestati obsequium præstant : cui soli honorem et gratias tribui par est. » Propterista quum Chaldæi et alii Mesopotamiæ incolæ contra ipsum seditionem agitarent, *inde* migrare factu optimum existimans, Deo volente et adjuvante terram Chananæam possedit. Illicque constitutus aram exstruxit et hostiam Deo immolavit.

2. Berosus autem Abrami parentis nostri, suppresso tamen nomine, his verbis meminit : « Decima post diluvium « ætate apud Chaldæos vir exstitit justus et eximius, re-« rumque cœlestium peritus ». Hecatæus vero non ejus tantum obiter meminit, sed justum de eo volumen scriptum reliquit. Nicolaus autem Damascenus quarto historiarum libro hunc in modum loquitur : « in Damasco regnavit « Abramus, qui advena cum exercitu illuc venerat ex re-« gione quæ supra Babylonem sita Chaldæorum dicitur. « At non multo post tempore, cum suo populo etiam hinc « emigrans, in terram quæ tunc Chananæa, nunc vero Ju-« dæa nominatur, sedem transtulit, una cum iis qui ab « eo orti sunt plurimi, quorum historiam in alio libro perse-« quar ». Abrami vero nomen etiam nunc in Damascena regione celebre est; monstraturque vicus, qui ab eo dicitur Abrami habitaculum.

CAP. VIII. (IX.)

Quum autem fames postea in terram Chananæam incubuisset, Abramus, audita Ægyptiorum felicitate, libenter sese ad eos contulit, ut et ipsorum abundantia frueretur, et sacerdotum de diis opinionem acciperet; si meliora trade-

ὧν λέγοιεν περὶ θεῶν· ἢ γὰρ κρείσσοσιν εὑρεθεῖσι κατακολουθήσειν, ἢ μετακοσμήσειν αὐτοὺς ἐπὶ τὸ βέλτιον, αὐτὸς ἄμεινον φρονῶν. Ἐπαγόμενος δὲ καὶ τὴν Σάρραν, καὶ φοβούμενος τὸ πρὸς τὰς γυναῖκας τῶν Αἰγυπτίων ἐπιμανὲς, μὴ διὰ τὴν εὐμορφίαν τῆς γυναικὸς ὁ βασιλεὺς αὐτὸν ἀνέλῃ, τέχνην ἐπενόησε τοιαύτην. Ἀδελφὸς αὐτῆς εἶναι προσεποιήσατο, κἀκείνην τοῦτο ὑποκρίνασθαι (συμφέρειν γὰρ αὐτοῖς) ἐδίδαξεν. Ὡς δ' ἦκον εἰς τὴν Αἴγυπτον, ἀπέβαινε τῷ Ἀβράμῳ καθὼς ὑπενόησε. Τὸ γὰρ κάλλος ἐξεβοήθη τῆς γυναικὸς αὐτοῦ· διὸ καὶ Φαραώθης ὁ βασιλεὺς τῶν Αἰγυπτίων, οὐ τοῖς περὶ αὐτῆς λεγομένοις ἀρκεσθεὶς, ἀλλὰ καὶ θεάσασθαι σπουδάσας, οἷός τε ἦν ἅψασθαι τῆς Σάρρας. Ἐμποδίζει δὲ ὁ Θεὸς τὴν ἄδικον αὐτοῦ ἐπιθυμίαν νόσῳ τε καὶ στάσει τῶν πραγμάτων. Καὶ πυθομένῳ περὶ ἀπαλλαγῆς κατὰ μῆνιν Θεοῦ τὸ δεινὸν αὐτῷ παρεῖναι ἀπεσήμαινον οἱ ἱερεῖς, ἐφ' οἷς ἠθέλησεν ἐνυβρίσαι τοῦ ξένου τὴν γυναῖκα. Ὁ δὲ φοβηθεὶς ἠρώτα τὴν Σάρραν τίς τε εἴη καὶ τίνα τοῦτον ἐπαγάγοιτο· πυθόμενος δὲ τὴν ἀλήθειαν, τὸν Ἄβραμον παρητεῖτο· νομίζων γὰρ ἀδελφὴν, ἀλλ' οὐ γυναῖκα αὐτοῦ, σπουδάσαι περὶ αὐτὴν, συγγένειαν αὐτοῦ ποιήσασθαι βουλόμενος, ἀλλ' οὐχ ὑβρίσαι κατ' ἐπιθυμίαν ὡρμημένος. Δωρεῖται τε αὐτὸν πολλοῖς χρήμασι καὶ συνεῖναι Αἰγυπτίων τοῖς λογιωτάτοις· τήν τε ἀρετὴν αὐτῷ, καὶ τὴν ἐπ' αὐτῇ δόξαν ἐντεῦθεν ἐπιφανεστέραν συνέβη γενέσθαι.

β'. Τῶν γὰρ Αἰγυπτίων διαφόροις ἀρεσκομένων ἔθεσι καὶ τὰ παρ' ἀλλήλοις ἐκφαυλιζόντων νόμιμα, καὶ διὰ τοῦτο δυσμενῶς ἐχόντων πρὸς ἀλλήλους, συμβαλὼν αὐτῶν ἑκάστοις καὶ διαπτύσσων τοὺς λόγους, οὓς ἐποιοῦντο περὶ τῶν ἰδίων, κενοὺς καὶ μηδὲν ἔχοντας ἀληθὲς ἀπέφαινε. Θαυμασθεὶς οὖν ὑπ' αὐτῶν ἐν ταῖς συνουσίαις ὡς συνετώτατος καὶ δεινὸς ἀνὴρ οὐ νοῆσαι μόνον, ἀλλὰ καὶ πεῖσαι λέγων περὶ ὧν ἂν ἐπιχειρήσειε διδάσκειν, τήν τε ἀριθμητικὴν αὐτοῖς χαρίζεται καὶ τὰ περὶ ἀστρονομίαν παραδίδωσι. Πρὸ γὰρ τῆς Ἀβράμου παρουσίας εἰς Αἴγυπτον Αἰγύπτιοι τούτων εἶχον ἀμαθῶς· ἐκ Χαλδαίων γὰρ ταῦτ' ἐφοίτησεν εἰς Αἴγυπτον, ὅθεν ἦλθε καὶ εἰς τοὺς Ἕλληνας.

γ'. Ὡς δ' εἰς τὴν Χαναναίαν ἀφίκετο, μερίζεται πρὸς Λῶτον τὴν γῆν, τῶν ποιμένων αὐτοῖς στασιαζόντων περὶ τῆς χώρας ἐν ᾗ νέμοιεν· τὴν ἐκλογὴν μέντοι καὶ τὴν αἵρεσιν ἐπιτρέπει τῷ Λώτῳ. Λαβὼν δ' αὐτὸς τὴν ὑπ' ἐκείνου καταλελειμμένην ὑπώρειαν, ᾤκησεν ἐν τῇ Χεβρὼν πόλει· παλαιοτέρα δ' ἐστὶν ἔτεσιν ἑπτὰ πρὸ Τάνιδος τῆς Αἰγύπτου. Λῶτος δὲ τὴν πρὸς τὸ πεδίον κειμένην καὶ ποταμὸν Ἰορδάνην εἶχεν, οὐκ ἄπωθεν τῆς Σοδομιτῶν πόλεως, ἣ τότε μὲν ἦν ἀγαθὴ, νῦν δὲ ἠφάνισται κατὰ βούλησιν καὶ μῆνιν Θεοῦ· τὴν δὲ αἰτίαν κατὰ χώραν σημανῶ.

ΚΕΦ. Θ'.

Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν Ἀσσυρίων κρατούντων τῆς Ἀσίας, Σοδομίταις ἤνθει τὰ πράγματα, εἴς τε

rent, eos sectaturus; sin verius ipse sentiret, eos ad meliora traducturus. Ceterum quum et Sarram secum duceret, Ægyptiorum in feminas intemperiem metuens, ne rex ob venustatem conjugis se perimeret, hujusmodi artem excogitavit. Fratrem ejus assimulavit, atque illam (quod eorum intererat) hoc ipsum respondere monuit. Ut autem ventum est in Ægyptum, accidit Abramo haud secus ac suspicatus est. Nam ex omnium sermone percrebuit uxoris ejus pulchritudo : unde et Pharaothes Ægyptiorum rex, iis quæ fama acceperat non contentus, sed et ipsam videndi flagrans desiderio, vehementius cupiebat Sarra potiri. Injustæ autem illius libidini Deus obstitit, pestilentiam et rerum perturbationem immittens. Ipsique sciscitanti, quid facto opus esset ut liberaretur, malum hoc ab ira Dei ortum esse pronunciarunt sacerdotes, quod in animo habuisset peregrini uxori injuriam inferre. Ille vero territus de Sarra quæsivit et ipsa quæ esset et quinam ille quem secum adduxerit. Quum autem veritatem audisset, semet Abrahamo excusabat, *dicens* quod sororem esse existimans, non vero uxorem ejus, illi animum adjecerit, affinitatem cum eo volens contrahere, nulla autem ad eum injuria afficiendum libidine incitatus. Quin et ei multum pecuniæ dedit, et ut Ægyptiorum eruditissimis familiariter uteretur : quo factum ut virtus ei gloriaque ex ipsa illustrior exstiterit.

2. Nam quum Ægyptii variis moribus essent delectati, et alii aliorum ritus verbis elevarent, mutuoque propterea odio tenerentur, ille cum singulis eorum conferens, sermonesque quibus sua tuerentur placita examinans, inanes et veritatis plane expertes esse demonstravit. Quare ab iis in congressibus summa in admiratione habitus tanquam vir sapientissimus, et qui non solum acri esset ingenio ad res perspiciendas, sed etiam aliis quæ docere suscepisset persuadendi vi polleret, eos et in arithmetica instituit, et quæ ad astrologiam spectant iisdem tradidit. Nam ante Abramì in Ægyptum adventum in iis plane hospites erant Ægyptii : a Chaldæis enim in Ægyptum, indeque ad Græcos permanarunt.

3. Postquam vero in Chananæam pervenit, terram cum Loto divisit, orta inter pastores contentione de pascuis : Loto tamen conditionem proposuit optionemque permisit. Ipse autem loca montibus adjacentia ab eo relicta occupans in urbe Chabrone habitavit. Illa autem septem annis est antiquior quam Tanis Ægypti. Lotus vero planitiem ad fluvium Jordanem, non procul ab urbe Sodomorum, habitavit, quæ tunc quidem bona erat, nunc vero Dei voluntate et ira disparuit : cujus rei causam loco suo ostendam.

CAP. IX. (X.)

Illo tempore, cum Assyrii Asiæ imperio potirentur, res Sodomitarum valde florebant, divitiis illis crescentibus pa-

πλοῦτον ἐπιδεδωκότων αὐτῶν καὶ νεότητα πολλήν. Βασιλεῖς τε αὐτοῖς πέντε διεῖπον τὴν χώραν, Βάλλας, Βάρσας, Σεναβάρης, καὶ Συμόβορος, ὅ τε Βαληνῶν βασιλεύς· μοίρας δ' ἦρχον ἕκαστος ἰδίας. Ἐπὶ τούτους στρατεύσαντες Ἀσσύριοι, καὶ μέρη τέσσαρα ποιήσαντες τῆς στρατείας, ἐπολιόρκουν αὐτούς· στρατηγὸς δ' ἑκάστοις ἦν εἷς ἐπιτεταγμένος. Γενομένης δὲ μάχης νικήσαντες οἱ Ἀσσύριοι φόρον ἐπιτάσσουσι τοῖς Σοδομιτῶν βασιλεῦσι. Δώδεκα μὲν οὖν ἔτη δουλεύοντες καὶ τοὺς ἐπιταχθέντας αὐτοῖς φόρους τελοῦντες ὑπέμειναν, τῷ δὲ τρισκαιδεκάτῳ ἀπέστησαν. Καὶ διαβαίνει στρατὸς Ἀσσυρίων ἐπ' αὐτούς, στρατηγούντων Ἀμαραψίδου, Ἀριούχου, Χοδολλαμόρου, Θαδάλου. Οὗτοι τήν τε Συρίαν ἅπασαν διηρπάσαντο καὶ τοὺς τῶν γιγάντων ἀπογόνους κατεστρέψαντο. Γενόμενοι δὲ κατὰ Σόδομα στρατοπεδεύουσι κατὰ τὴν κοιλάδα τὴν λεγομένην Φρέατα ἀσφάλτου· κατ' ἐκεῖνον γὰρ τὸν καιρὸν φρέατα ἦν ἐν τῷ τόπῳ· νῦν μέντοι τῆς Σοδομιτῶν πόλεως ἀφανισθείσης ἡ κοιλὰς ἐκείνη λίμνη γέγονεν ἡ Ἀσφαλτῖτις λεγομένη. Περὶ μὲν οὖν τῆς λίμνης ταύτης μετ' οὐ πολὺ δηλώσομεν· τῶν δὲ Σοδομιτῶν συμβαλόντων τοῖς Ἀσσυρίοις, καὶ καρτερᾶς τῆς μάχης γενομένης, πολλοὶ μὲν αὐτῶν ἀπέθανον, οἱ λοιποὶ δὲ ᾐχμαλωτίσθησαν· σὺν οἷς καὶ Λῶτος ἦγετο, τοῖς Σοδομίταις σύμμαχος ἐληλυθώς.

ΚΕΦ. Ι'.

Ἀβράμῳ δὲ ἀκούσαντι τὴν συμφορὰν αὐτῶν φόβος τε ἅμα περὶ Λώτου συγγενοῦς ὄντος εἰσῆλθε καὶ οἶκτος περὶ τῶν Σοδομιτῶν φίλων ὄντων καὶ γειτνιώντων. Καὶ βοηθεῖν αὐτοῖς δοκιμάσας οὐκ ἀνέμεινεν, ἀλλ' ἐπειχθεὶς καὶ κατὰ πέμπτην ἐπιπεσὼν νύκτα τοῖς Ἀσσυρίοις περὶ Δάνον (οὕτω γὰρ ἡ ἑτέρα τοῦ Ἰορδάνου προσαγορεύεται πηγή) καὶ φθάσας πρὶν ἐν ὅπλοις γενέσθαι, τοὺς μὲν ἐν ταῖς κοίταις ὄντας ἀπέκτεινε, μηδ' ἐπίνοιαν τῆς συμφορᾶς ἔχοντας, οἱ δὲ μήπω πρὸς ὕπνον τετραμμένοι, μάχεσθαι δὲ ὑπὸ μέθης ἀδύνατοι, ἔφυγον. Ἄβραμος δὲ διώκων εἵπετο, μέχρι καὶ δευτεραίους γινομένους συνήλασεν αὐτοὺς εἰς Σωβὰ τῆς Δαμασκηνῶν γῆς, ἐπιδείξας ὅτι τὸ νικᾶν οὐκ ἐν τῷ πλήθει καὶ τῇ πολυχειρίᾳ κεῖσθαι συμβέβηκεν, ἀλλ' ἡ προθυμία τῶν μαχομένων καὶ τὸ γενναῖον κρατεῖ παντὸς ἀριθμοῦ, τριακοσίοις καὶ δέκα καὶ ὀκτὼ οἰκέταις αὐτοῦ καὶ τρισὶ φίλοις τοσούτου στρατοῦ περιγενόμενος. Ὁπόσοι δὲ αὐτῶν καὶ διέφυγον, ἀδόξως ἀνέστρεψαν.

β'. Ἄβραμος δὲ τοὺς τῶν Σοδομιτῶν σώσας αἰχμαλώτους, οἳ ληφθέντες ἔτυχον ὑπὸ τῶν Ἀσσυρίων, καὶ τὸν συγγενῆ Λῶτον, ἀνέζευξε μετὰ εἰρήνης. Ἀπήντησε δὲ αὐτῷ ὁ τῶν Σοδομιτῶν βασιλεὺς εἰς τόπον τινά, ὃν καλοῦσι Πεδίον βασιλικόν· ἔνθα ὁ τῆς Σόλυμα πόλεως ὑποδέχεται βασιλεὺς αὐτὸν Μελχισεδέκης. Σημαίνει δὲ τοῦτο βασιλεὺς δίκαιος· καὶ ἦν δὲ τοιοῦτος ὁμολογουμένως, ὡς διὰ ταύτην αὐτὸν τὴν αἰτίαν καὶ ἱερέα γενέσθαι τοῦ Θεοῦ. Τὴν μέντοι Σόλυμα ὕστερον

riter atque abundante juventute. Regesque illis quinque erant, quorum dominatu tenebantur, Ballas, Barsas, Senabares, Symoborus, et Balenorum rex, suæ quisque ditioni præpositus. Istos Assyrii bello petierunt, exercituque quattuor in partes diviso eos obsidebant : singulis vero unus præficiebatur dux. Commisso autem prælio, victores Assyrii Sodomitarum regibus tributum imperarunt. Itaque quum duodecim annos servivissent et tributa illis imperata solvissent, anno decimo tertio defecerunt : quapropter Assyriorum in eos facta est expeditio, ducibus Amarapside, Ariucho, Chodollamoro, Thadalo. Isti etenim Syriam universam diripuerunt, et gigantum sobolem subverterunt Quumque in agrum Sodomorum esset ventum, castra metati sunt in valle cui nomen Putei bituminis : illo namque tempore locus iste puteis abundabat : nunc vero, ex quo disparuit Sodomorum urbs, vallis ista in lacum mutata est, qui dicitur Asphaltitis. De hoc itaque lacu mox infra dicemus. Sodomitis autem cum Assyriis acie congressis, pugnaque atroci facta, multi quidem eorum pugnando occubuerunt, reliqui vero sunt in captivitatem abducti, et in his Lotus, qui Sodomitis in auxilium venerat.

CAP. X. (XI.)

Abramus autem, ut calamitatem illorum acceperat, simul et metu de Loto cognato suo commotus est et misericordia ex Sodomitis sibi amicis atque vicinis. Et quum ei in mentem venisset illis opitulari, nil cunctatus est, sed protinus suos expediens, et quinta nocte Assyrios ad Danum assequutus (ita alter ex Jordanis fontibus appellatur) et ex improviso et inermes adortus, alios quidem in lectis opprimit, nihil de clade suspicantes, alii vero nondum in somnum delapsi, tamen pœ temulentia pugnæ inutiles, in fugam se conjiciunt. Abramus autem eos persequutus est, et sequenti die coegit semet recipere in Sobam, quæ Damascenorum ditionis est, ostendens victoriam non sitam esse in multitudine et militum numero, sed pugnantium alacritatem et virtutem copias quantascunque superare, utpote qui cum trecentis et duo deviginti e familia sua et tribus amicis tantum exercitum profligaverat. At quotquot hostium e manibus effugerunt, ignominiose reversi sunt.

2. Abramus autem Sodomitarum captivos, qui capti fuerant ab Assyriis, ubi incolumes receperat Lotumque cognatum suum, cum pace rediit. Ei vero occurrit Sodomitarum rex ad locum quendam, quem Campum regium vocant : ubi recipitur a Solyma urbis rege Melchisedece. Id vero nomen idem valet ac rex justus : et erat utique talis omnium consensu, ita ut propter hanc causam etiam Dei sacerdos constitueretur. Solyma tamen Hierosolyma postea vo-

ἐκάλεσαν Ἱεροσόλυμα. Ἐχορήγησε δὲ οὗτος ὁ Μελχισεδέκης τῷ Ἀβράμου στρατῷ ξένια καὶ πολλὴν ἀφθονίαν τῶν ἐπιτηδείων παρέσχε, καὶ παρὰ τὴν εὐωχίαν αὐτόν τε ἐπαινεῖν ἤρξατο καὶ τὸν Θεὸν εὐλογεῖν ὑποχειρίους αὐτῷ ποιήσαντα τοὺς ἐχθρούς. Ἀβράμου δὲ διδόντος καὶ τὴν δεκάτην τῆς λείας αὐτῷ, προσδέχεται τὴν δόσιν. Ὁ δὲ τῶν Σοδομιτῶν βασιλεὺς τὴν μὲν λείαν ἔχειν Ἄβραμον παρεκάλει, τοὺς δ' ἀνθρώπους ἀπολαβεῖν ἠξίου, οὓς παρὰ τῶν Ἀσσυρίων ἔσωσεν οἰκείους ὄντας. Ἄβραμος δὲ οὐκ ἔφη τοῦτο ποιήσειν, οὐδ' ἂν ἄλλην ὠφέλειαν ἐκ τῆς λείας ἐκείνης εἰς αὐτὸν ἥξειν, πλὴν ὅσα τροφὴ τοῖς οἰκέταις αὐτοῦ γένοιτο· μοῖραν μέντοι τινὰ τοῖς φίλοις αὐτοῦ παρασχεῖν τοῖς συστρατευσαμένοις. Ἐσχώλης δ' ὁ πρῶτος ἐκαλεῖτο καὶ Ἔννηρος καὶ Μαμβρῆς.

γ'. Ἐπαινέσας δὲ αὐτοῦ τὴν ἀρετὴν ὁ Θεὸς, Ἀλλ' οὐκ ἀπολεῖς, φησί, μισθοὺς οὓς ἄξιόν ἐστιν σὲ ἐπὶ τοιαύταις εὐπραγίαις κομίζεσθαι. Τοῦ δ' ὑπολαβόντος, Καὶ τίς ἂν εἴη χάρις τούτων τῶν μισθῶν, οὐκ ὄντων οἳ διαδέξονται μετ' αὐτόν; (ἔτι γὰρ ἦν ἄπαις·) ὁ Θεὸς καὶ παῖδα αὐτῷ γενήσεσθαι καταγγέλλει καὶ πολλὴν ἐξ ἐκείνου γενεὰν, ὡς παραπλησίαν αὐτὴν τοῖς ἄστροις ἔσεσθαι τὸν ἀριθμόν. Καὶ ὁ μὲν ταῦτ' ἀκούσας θυσίαν προσφέρει τῷ Θεῷ, κελευσθεὶς ὑπ' αὐτοῦ. Ἦν δ' ὁ τρόπος τῆς θυσίας τοιοῦτος· δάμαλιν τριετίζουσαν καὶ αἶγα τριετίζουσαν καὶ κριὸν ὁμοίως τριετῆ καὶ τρυγόνα καὶ περιστερὰν κελεύσαντος διεῖλε, τῶν ὀρνέων οὐδὲν διελών. Εἶτα πρὶν στῆναι τὸν βωμὸν, οἰωνῶν ἐφιπταμένων ἐπιθυμίᾳ τοῦ αἵματος, φωνὴ θεία παρῆν, ἀποσημαίνουσα πονηροὺς αὐτοῦ τοῖς ἐκγόνοις γείτονας ἐπὶ ἔτη τετρακόσια γενησομένους κατὰ τὴν Αἴγυπτον· ἐν οἷς κακοπαθήσαντας περιέσεσθαι τῶν ἐχθρῶν, καὶ κρατήσαντας πολέμῳ Χαναναίων ἕξειν αὐτῶν τὴν γῆν καὶ τὰς πόλεις.

δ'. Ἄβραμος δὲ κατῴκει μὲν περὶ τὴν Ὠγύγην καλουμένην δρῦν· ἔστι δὲ τῆς Χαναναίας τὸ χωρίον, οὐ πόρρω τῆς Ἑβρωνίων πόλεως· δυσφορῶν δ' ἐπὶ γυναικὶ μὴ κυούσῃ ἱκετεύει τὸν Θεὸν γονὴν αὐτῷ παιδὸς ἄρρενος παρασχεῖν. Τοῦ Θεοῦ δὲ θαρσεῖν αὐτὸν παρακελευομένου, τοῖς τε ἄλλοις ἅπασιν ὡς ἐπ' ἀγαθοῖς αὐτὸν ἀπὸ τῆς Μεσοποταμίας ἠγμένον καὶ παίδων ἐσομένων, Σάρρα, τοῦ Θεοῦ κελεύσαντος, ἐπικλίνει μίαν τῶν θεραπαινίδων Ἀγάρην ὄνομα, γένους οὖσαν Αἰγυπτίαν, ὡς ἐξ αὐτῆς παιδοποιησομένῳ. Καὶ γενομένη ἐγκύμων ἡ θεραπαινὶς ἐξυβρίζειν εἰς τὴν Σάρραν ἐτόλμησε βασιλίζουσα, ὡς τῆς ἡγεμονίας περιστησομένης εἰς τὸν ὑπ' αὐτῆς τεχθησόμενον. Ἄβράμου δὲ αὐτὴν πρὸς αἰκίαν παραδόντος τῇ Σάρρᾳ, δρασμὸν ἐπεβούλευσεν οὐχ ὑπομένουσα τὰς ταλαιπωρίας, καὶ τὸν Θεὸν ἱκέτευεν οἴκτου αὐτῆς λαβεῖν. Ὑπαντιάζει δὲ διὰ τῆς ἐρήμου προϊοῦσαν αὐτὴν ἄγγελος θεῖος, κελεύων πρὸς τοὺς δεσπότας ἐπανιέναι, βίου γὰρ μείζονος τεύξεσθαι σωφρονοῦσαν· καὶ γὰρ νῦν εἰς τὴν δέσποιναν ἀγνώμονα καὶ αὐθάδη γενομένην ἐν τούτοις εἶναι τοῖς κακοῖς. Παρακούσα-

carunt. Iste autem Melchisedeces militibus Abrami justa dedit hospitalia, iisque omnia ad usus vitæ necessarios abunde suppeditavit : simulque ipsum in epulis cœpit laudare, Deoque gratias agere, qui hostes sibi in manus compegerit. Abramo vero ex manubiis etiam decimas ei donante, munus accepit. Sodomitarum autem rex ab Abramo petiit ut prædam ipse sibi retineret; homines tamen suæ ditionis, quos salvos eripuerat ab Assyriis, reposcebat. Abramus vero dixit se nolle hanc conditionem accipere, neque quidquam velle emolumenti ex præda ad se redituram, nisi quantum domesticis suis ad victum sufficeret : portionem tamen aliquam amicis suis commilitonibus dari æquum esse. Primus horum Escholes vocabatur, et *secundus* Ennerus, et *tertius* Mambres.

3. Deus autem virtutem ejus extollens, Non carebis, inquit, *mercede*, qua *te* ob *res* præclare gestas donari par est. Cui ille, Quorsum futura est mercedis retributio, quum desint qui successores essent? (adhuc enim erat sine prole.) Tum Deus et filium illi nasciturum esse pollicitus est, et multam adeo ex eo fore sobolem, ut cœli *stellas* numero esset æquatura. Et ille quidem his auditis Deo, ut ipse præceperat, sacrificium obtulit. Erat autem sacrificium hujusmodi : juvencam trimulam et capram trimulam et arietem similiter trimulum, turturem quoque et columbam, ut jussus fuerat, dissecuit media, sed aves non dissecuit. Deinde priusquam erigeretur ara, avibus cruoris desiderio devolantibus, adfuit vox divina, denuncians, posteris ejus malignos fore vicinos annis quadringentis in Ægypto : quo tempore gravia perpessos hostibus superiores evasuros, devictisque Chananæis regionem eorum et urbes occupaturos.

4. Abramus vero *tum* quidem habitabat circa ilicem quæ vocabatur Ogyges (est autem locus in terra Chananæa, non longe ab Hebroniorum urbe), et ægre ferens quod uxor *ei* nihil pepererat, a Deo supplex petiit ut prolem sibi masculam daret. Deo autem ipsum ut bene speraret adhortante, quoad cetera omnia suo commodo e Mesopotamia eductum, nec liberis carituram; Sarra, Deo præcipiente, unam ancillarum nomine Agaren, genere Ægyptiam, ad lectum ei adduxit, tanquam ex ipsa liberos suscepturo. Et ancilla, quum gravida facta esset, ausa est Sarram imperium affectando contemptui habere, quasi ad suam prolem perventura esset dominatio. Abramo autem ipsam Sarræ in pœnam submittente, fugam meditata est afflictionum impatiens, Deumque implorabat ut sui misereretur. Illi vero per desertum abeunti obviam fit angelus Dei, jubens ut ad dominos reverteretur; fore enim meliore conditione, modo se modeste gerat : nunc vero in his versari malis, quod in dominam ingrata fuerit et arrogans. At

σαν μὲν οὖν τοῦ Θεοῦ καὶ προσωτέρω χωροῦσαν ἔλεγεν ἀπολεῖσθαι, νοστήσασαν δὲ αὐτὴν ὀπίσω γενήσεσθαι μητέρα παιδὸς τῆς γῆς ἐκείνης βασιλεύσοντος. Τούτοις πείθεται, καὶ ἐπανελθοῦσα πρὸς τοὺς δεσπότας, συγγνώμης ἔτυχε. Τίκτει δὲ μετ' οὐ πολὺ Ἰσμάηλον· θεόκλυτον ἄν τις εἴποι, διὰ τὸ εἰσακοῦσαι τὸν Θεὸν τῆς ἱκεσίας.

ε'. Ἀβράμῳ μὲν οὖν ἕκτον ἤδη καὶ ὀγδοηκοστὸν ἔτος γεγονότι ὁ προειρημένος ἐγεννήθη· εἰς ἕνατον δ' αὐτῷ καὶ ἐνενηκοστὸν παρελθόντι ἐπιφανεὶς ὁ Θεὸς ἀπήγγειλεν ὡς παῖς αὐτῷ καὶ ἐκ Σάρρας ἔσοιτο. Κελεύει δὲ αὐτὸν καλέσαι Ἴσακον, ὀηλῶν ἐσόμενα ἔθνη μεγάλα ἀπ' αὐτοῦ καὶ βασιλεῖς, καὶ ὅτι πολεμήσαντες καθέξουσι τὴν Χαναναίαν ἅπασαν ἀπὸ Σιδῶνος μέχρις Αἰγύπτου. Προσέταξε δὲ, βουλόμενος τὸ ἀπ' αὐτοῦ γένος μένειν τοῖς ἄλλοις μὴ συμφυρόμενον, περιτέμνεσθαι τὰ αἰδοῖα, καὶ τοῦτο ποιεῖν ὀγδόῃ ἡμέρᾳ μετὰ τὸ γεννηθῆναι. Τὴν αἰτίαν δὲ τῆς περιτομῆς ἡμῶν ἐν ἄλλοις δηλώσω. Πυθομένῳ δὲ Ἀβράμῳ καὶ περὶ τοῦ Ἰσμαήλου εἰ ζήσεται, πολυχρόνιόν τε ἀπεσήμαινεν ὁ Θεὸς καὶ μεγάλων ἐθνῶν πατέρα. Καὶ Ἀβραμος μὲν ἐπὶ τούτοις εὐχαριστήσας τῷ Θεῷ περιτέμνεται παραυτίκα, καὶ πάντες οἱ παρ' αὐτοῦ, καὶ ὁ παῖς Ἰσμάηλος· οὗ κατ' ἐκείνην τὴν ἡμέραν τρισκαιδέκατον ἔτος ἔχοντος αὐτὸς ἐνενηκοστὸν πρὸς τοῖς ἐννέα διῆγεν.

ΚΕΦ. ΙΑ'.

Ὑπὸ δὴ τοῦτον τὸν καιρὸν οἱ Σοδομῖται, πλούτῳ καὶ μεγέθει χρημάτων ὑπερφρονοῦντες, εἴς τε ἀνθρώπους ἦσαν ὑβρισταὶ καὶ πρὸς τὸ θεῖον ἀσεβεῖς, ὡς μηκέτι μεμνῆσθαι τῶν παρ' αὐτοῦ γενομένων ὠφελειῶν, εἶναί τε μισόξενοι, καὶ τὰς πρὸς ἄλλους ὁμιλίας ἐκτρέπεσθαι. Χαλεπήνας οὖν ἐπὶ τούτοις ὁ Θεὸς ἔγνω τιμωρήσασθαι τῆς ὑπερηφανίας αὐτοὺς, καὶ τήν τε πόλιν αὐτῶν καταστρέψασθαι, καὶ τὴν χώραν οὕτως ἀφανίσαι, ὡς μήτε φυτὸν ἔτι μήτε καρπὸν ἕτερον ἐξ αὐτῆς ἀναδοθῆναι.

β'. Ταῦτα τοῦ Θεοῦ κρίναντος περὶ τῶν Σοδομιτῶν, Ἄβραμος θεασάμενος τρεῖς ἀγγέλους (ἐκαθέζετο δὲ πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ παρὰ τῇ θύρᾳ τῆς αὐτοῦ αὐλῆς) καὶ νομίσας εἶναι ξένους, ἠσπάσατό τε ἀναστὰς καὶ παρ' αὐτῷ καταχθέντας παρεκάλει ξενίων μεταλαβεῖν. Ἐπινευσάντων δὲ, ἄρτους τε προσέταξεν εὐθὺς ἐκ σεμιδάλεως γενέσθαι, καὶ μόσχον θύσας καὶ ὀπτήσας ἐκόμισεν αὐτοῖς ὑπὸ τῇ δρυῒ κατακειμένοις. Οἱ δὲ δόξαν αὐτῷ παρέσχον ἐσθιόντων, ἔτι τε καὶ περὶ τῆς γυναικὸς ἐπυνθάνοντο ποῖ ποτ' εἴη τυγχάνουσα ἡ Σάρρα. Τοῦ δὲ εἰπόντος ἔνδον εἶναι, ἥξειν ἔφασαν εἰς τὸ μέλλον, καὶ εὑρήσειν αὐτὴν ἤδη μητέρα γεγενημένην. Τῆς δὲ γυναικὸς ἐν τούτῳ μειδιασάσης καὶ ἀδύνατον εἶναι τὴν τεκνοποιίαν εἰπούσης, αὐτῆς μὲν ἐνενήκοντα ἔτη ἐχούσης, τοῦ δὲ ἀνδρὸς ἑκατὸν, οὐκέτι κατέσχον λανθάνοντες, ἀλλ' ἐμήνυσαν ἑαυτοὺς ὄντας ἀγγέλους τοῦ Θεοῦ, καὶ ὅτι πεμφθείη μὲν ὁ εἷς σημανῶν περὶ τοῦ παιδὸς, δύο δὲ Σοδομίτας καταστρεψόμενοι.

enim si Deo nollet obsequi et ulterius pergeret, perituram esse dicebat : sin retro redeat, matrem futuram pueri in illa terra postea dominaturi. His paruit, et reversa ad dominos veniam consequuta est. Ac non multo post peperit Ismaelum; quasi quis dicat, a Deo exauditum, eo quod Deus preces ejus exaudierat.

5. Jam vero Abramo sextum et octogesimum annum agenti natus est ille de quo diximus. Quum autem nonagesimum nonum attigisset, apparuit ei Deus, promittens filium illi de Sarra nasciturum esse. Jussit autem eum vocari Isacum, prænuncians ex eo prodituras gentes magnas et reges, qui bellum gesturi omnem Chananæam a Sidone usque Ægyptum occuparent. Præcepit autem, quod nollet genus ipsius cum aliis commisceri, ut pudenda circumciderent, idque octavo die a nativitate. Causam vero nostræ circumcisionis alibi declarabo. Consulenti vero Abramo etiam de Ismaelo, an victurus esset, indicavit Deus longævum fore atque magnarum gentium parentem. Et Abramus quidem, posteaquam ob hæc Deo gratias egisset, statim circumcisus est, et omnes qui cum eo erant, similiter et puer Ismaelus : quo die, illo ad decimum tertium ætatis annum perveniente, ipse nonum agebat supra nonagesimum.

CAP. XI. (XII.)

Per idem igitur tempus Sodomitæ, opibus et magna pecuniarum vi elati, et in homines contumeliosi exstiterunt et religione in numen vacui, adeo ut beneficiorum ab ipso acceptorum plane immemores essent, hospites odio haberent et consuetudinem cum aliis detrectarent. His igitur rebus offensus Deus decrevit insolentiæ pœnas ab illis repetere, et non solum urbem eorum evertere, sed et eam regioni vastitatem inferre, ut nec amplius plantas nec fructum alium ullum ederet.

2. Quumque hæc Deus de Sodomitis decrevisset, Abramus conspicatus tres angelos (sedebat enim ad ilicem Mambre pro foribus domicilii sui) ratusque esse hospites, assurgens salutavit eos, et ad se adductos rogabat ut cum ipso hospitium facerent. Illis vero annuentibus, jussit panes statim fieri ex farina siliginea, vitulumque mactatum et assatum sub ilice discumbentibus apposuit. At illi præ se tulerunt quasi comederent; et de uxore etiam inquirebant, ubinam esset Sarra. Illo referente intus eam esse, aiunt se aliquanto post reversuros, eamque inventuros jam matrem factam. In hoc vero subridente muliere, et dicente fieri non posse ut liberos gigneret, quum ipsa nonagenaria esset, maritus vero centesimum annum ageret, non sustinuerunt amplius simulare, sed fassi sunt se Dei esse angelos, et quod missus esset unus quidem nunciatum de filio, duo vero ad Sodomitas evertendos.

γ'. Ταῦτα ἀκούσας Ἄβραμος ἤλγησεν ἐπὶ τοῖς Σοδομίταις, καὶ τὸν Θεὸν ἀναστὰς ἱκέτευσε παρακαλῶν μὴ τοὺς δικαίους καὶ ἀγαθοὺς συναπολλύναι τοῖς πονηροῖς. Τοῦ δὲ Θεοῦ φήσαντος μηδένα εἶναι τῶν Σοδομιτῶν ἀγαθὸν, εἰ γὰρ ἐν αὐτοῖς δέκα εἶεν, συγχωρεῖν ἅπασι τὴν ἐπὶ τοῖς ἁμαρτήμασι τιμωρίαν· ὁ μὲν Ἄβραμος ἡσύχαζεν, οἱ δὲ ἄγγελοι παρεγένοντο εἰς τὴν τῶν Σοδομιτῶν πόλιν, καὶ ὁ Λῶτος αὐτοὺς ἐπὶ ξενίαν παρεκάλει· λίαν γὰρ ἦν περὶ τοὺς ξένους φιλάνθρωπος καὶ μαθητὴς τῆς Ἀβράμου χρηστότητος. Οἱ δὲ Σοδομῖται, θεασάμενοι τοὺς νεανίσκους εὐπρεπείᾳ τῆς ὄψεως διαφέροντας, καὶ παρὰ Λώτῳ καταχθέντας, ἐπὶ βίαν καὶ ὕβριν αὐτῶν τῆς ὥρας ἐτράπησαν. Τοῦ δὲ Λώτου παραινοῦντος σωφρονεῖν καὶ μὴ χωρεῖν ἐπ' αἰσχύνῃ τῶν ξένων, ἀλλ' ἔχειν αἰδῶ τῆς παρ' αὐτῷ καταγωγῆς, εἰ δὲ ἔχουσιν ἀκρατῶς, τὰς θυγατέρας αὐτοῦ ὑπὲρ ἐκείνων ταῖς ἐπιθυμίαις αὐτῶν λέγοντος παρέξειν, οὐδ' οὕτως ἠδέσθησαν.

δ'. Ὁ δὲ Θεὸς ἀγανακτήσας αὐτῶν ἐπὶ τοῖς τολμήμασι, τοὺς μὲν ἠμαύρωσεν, ὡς μὴ δυνηθῆναι τὴν εἴσοδον τὴν εἰς τὴν οἰκίαν εὑρεῖν, Σοδομιτῶν δὲ κατέκρινε πάνδημον ὄλεθρον. Λῶτος δὲ, τοῦ Θεοῦ τὴν μέλλουσαν τῶν Σοδομιτῶν ἀπώλειαν αὐτῷ φράσαντος, ἀπηλλάσσετο, τήν τε γυναῖκα καὶ τὰς θυγατέρας (δύο δ' ἦσαν ἔτι παρθένοι) ἀναλαβών· οἱ γὰρ μνηστῆρες ὑπερεφρόνησαν τῆς ἐξόδου, εὐήθειαν ἐπικαλοῦντες τοῖς ὑπὸ τοῦ Λώτου λεγομένοις. Καὶ ὁ Θεὸς ἐνσκήπτει βέλος εἰς τὴν πόλιν, καὶ σὺν τοῖς οἰκήτορσι κατεπίμπρα, τὴν γῆν ὁμοίᾳ πυρώσει ἀφανίζων, ὥς μοι καὶ πρότερον λέλεκται τὸν Ἰουδαϊκὸν ἀναγράφοντι πόλεμον. Ἡ δὲ Λώτου γυνὴ, παρὰ τὴν ἀναχώρησιν εἰς τὴν πόλιν συνεχῶς ἀναστρεφομένη καὶ πολυπραγμονοῦσα τὰ περὶ αὐτὴν, ἀπηγορευκότος τοῦ Θεοῦ τοῦτο ποιεῖν, εἰς στήλην ἁλῶν μετέβαλεν (ἱστόρησα δ' αὐτήν· ἔτι γὰρ καὶ νῦν διαμένει), διαφεύγει δὲ αὐτὸς μετὰ τῶν θυγατέρων εἰς βραχύ τι χωρίον κατασχὼν περιγραφὲν ὑπὸ τοῦ πυρός. Ζοὼρ ἔτι καὶ νῦν λέγεται· καλοῦσι γὰρ οὕτως Ἑβραῖοι τὸ ὀλίγον. Ἐνταῦθα ὑπό τε ἀνθρώπων ἐρημίας καὶ τροφῆς ἀπορίας ταλαιπώρως διῆγεν.

ε'. Αἱ δὲ παρθένοι πᾶν ἠφανίσθαι τὸ ἀνθρώπινον γένος ὑπολαβοῦσαι τῷ πατρὶ πλησιάζουσι, προνοήσασαι λαθεῖν. Ἐποίουν δὲ τοῦτο ὑπὲρ τοῦ μὴ τὸ γένος ἐκλιπεῖν. Γίνονται δὲ παῖδες, ὑπὸ μὲν τῆς πρεσβυτέρας Μώαβος (εἶποι δ' ἄν τις ἀπὸ πατρός)· Ἄμμανον δ' ἡ νεωτέρα ποιεῖται· γένους υἱὸν ὑποσημαίνει τὸ ὄνομα. Καὶ κτίζει δ' αὐτῶν ὁ μὲν Μωαβίτας, μέγιστον ὄντας ἔτι καὶ νῦν ἔθνος, Ἀμμανίτας δὲ ὁ ἕτερος· Συρίας τῆς Κοίλης ἐστὶν ἀμφότερα. Καὶ Λώτῳ μὲν τοιαύτην συνέβη τὴν ἐκ Σοδομιτῶν ἀναχώρησιν γενέσθαι.

3. Hæc audiens Abramus indoluit super Sodomitas : et exsurgens supplex Deum precabatur, ne justos et bonos una cum improbis perderet. Deo vero dicente neminem Sodomitarum esse bonum; si enim vel decem inter eos essent, omnibus se remittere velle peccatorum supplicia : conticuit quidem Abrahamus, at angeli ad Sodomitarum urbem pervenerunt, et eos rogabat Lotus ut ad se diverterent : summa enim humanitate peregrinos excipiebat, Abramique benignitatis æmulus erat et imitator. Sodomitæ autem, quum vidissent adolescentes egregie venustos ad Lotum divertisse, ad vim et contumeliam formæ eorum inferendam se pararunt. Loto vero hortante ut continerent sese, neve in peregrinorum probrum ruerent, sed hospitii sui jura revererentur; dicente etiam, si temperare sibi nequirent, filias se pro illis eorum libidini subjicere : neque sic quieverunt.

4. Deus autem illorum audacia flagitiosa ad iram commotus ipsos quidem excæcavit, ut introitum in ædes invenire frustra conarentur : Sodomitas vero universos ad interitum adjudicavit. Lotus autem, illi prænunciante Deo futurum Sodomitarum excidium, inde discessit, et uxore et filiabus (duæ enim erant adhuc virgines) assumptis : nam sponsi despicatui habuere egressum, Loti monita stultitiæ figmenta esse dictitantes. Tum Deus telum in urbem conjicit, eamque una cum incolis combussit, terram *circa omnem* pari incendio devastans, quemadmodum mihi jam dictum est in historia Belli Judaici. Ceterum Loti uxor, quum inter abeundum subinde ad urbem respiceret, clademque ejus paulo curiosius spectaret, Deo istæc facere prohibente, in statuam salis conversa est (vidi autem eam : nam et hodie usque manet), Lotus autem cum filiabus evasit ad locum parvulum quendam appulsus ab igne in arctum redactum. Is Zohor etiamnum appellatur : eo enim nomine Hebræi modicum vocant. Illic, ab hominibus desertus et victus penuria laborans, vitam miseram *aliquantisper* egit.

5. Virgines autem universum genus humanum exstinctum ratæ cum patre rem habent, curantes ut hoc *clam patre* fieret. Id eo agebant animo, ne genus *hominum* penitus interiret. Nascuntur autem liberi, ex seniore quidem Moabus, ac si quis dicat Ex patre. Ammanum vero peperit junior; *quod* nomen significat filium generis. Atque unus illorum condidit Moabitas, adhuc etiam gentem magnam, alter vero Ammanitas. Utrique Cœle-Syriam incolunt. Et Loto quidem contigit in hunc modum ex Sodomitis egredi.

ΚΕΦ. ΙΒ'.

Ἄβραμος δὲ μετῴκησεν εἰς Γέραρα τῆς Παλαιστίνης, ἐν ἀδελφῆς ἐπαγόμενος σχήματι τὴν Σάρραν, ὅμοια

CAP. XII. (XIII.)

Abramus autem migravit in Gerara *urbem* Palæstinæ, Sarram pro sorore secum ducens, eadem quæ antea præ

τοῖς πρὶν ὑποκρινάμενος διὰ τὸν φόβον. Ἐδεδίει γὰρ Ἀβιμέλεχον τὸν βασιλέα τῶν ἐπιχωρίων, ὃς καὶ αὐτὸς ἐρασθεὶς τῆς Σάρρας φθείρειν οἷός τε ἦν. Εἴργεται δὲ τῆς ἐπιθυμίας ὑπὸ νόσου χαλεπῆς αὐτῷ προσπεσούσης ἐκ Θεοῦ. Καὶ τῶν ἰατρῶν αὐτὸν ἀπεγνωκότων, ὑπνώσας ὄναρ ὁρᾷ, μηδὲν ὑβρίζειν τὴν τοῦ ξένου γυναῖκα. Καὶ βᾷον διακεθεὶς φράζει πρὸς τοὺς φίλους ὡς ὁ Θεὸς αὐτῷ ταύτην ἐπαγάγοι τὴν νόσον ὑπὲρ ἐκδικίας τοῦ ξένου, φυλάσσων ἀνύβριστον αὐτῷ τὴν γυναῖκα· μὴ γὰρ ἀδελφὴν οὖσαν ἐπάγεσθαι, νόμῳ δ' αὐτῷ συνοικοῦσαν· ἐπαγγέλλεταί τε παρέξειν ἑαυτὸν εὐμενῆ τὸ λοιπόν, ἀδεοῦς ἐκείνου περὶ τὴν γυναῖκα γενομένου. Ταῦτ' εἰπὼν μεταπέμπεται τὸν Ἄβραμον, συμβουλευσάντων τῶν φίλων, καὶ μηδὲν ἔτι περὶ τῆς γυναικὸς αὐτὸν ὡς πεισομένης τι τῶν αἰσχρῶν ἐκέλευσε δεδιέναι· Θεὸν γὰρ αὐτοῦ κήδεσθαι, καὶ κατὰ τὴν συμμαχίαν τὴν ἐκείνου μεμενηκυῖαν ἀνύβριστον κομίζεσθαι. Τοῦ δὲ Θεοῦ μάρτυρος ὄντος καὶ τοῦ τῆς γυναικὸς συνειδότος, ἔλεγε μηδ' ἂν ὀρεχθῆναι τὴν ἀρχὴν, εἰ γαμετὴν οὖσαν ἠπίστατο· ὡς δ' ἀδελφὴν ἀγόμενος σὴν οὐκ ἠδίκουν. Παρακαλεῖ τε πράως ἔχειν πρὸς αὐτὸν καὶ τὸν Θεὸν εὐμενῆ ποιεῖν· παρ' αὐτῷ τε μένειν βουλομένῳ πᾶσαν ἀφθονίαν ὑπάρξειν, ἀπιέναι τε προαιρούμενον τεύξεσθαι πομπῆς καὶ πάντων ὅσων καὶ χρῄζων πρὸς αὐτὸν ἀφίκοιτο. Ταῦτ' εἰπόντος, Ἄβραμος οὔτε τὴν συγγένειαν τῆς γυναικὸς ἐψεῦσθαι ἔλεγεν (ἀδελφοῦ γὰρ αὐτὴν εἶναι παῖδα) καὶ δίχα τοιαύτης ὑποκρίσεως οὐκ ἀσφαλῆ τὴν ἐπιδημίαν ὑπολαβεῖν. Ὅσα τε ἐπὶ τὸ μηδὲν αἴτιος τῆς νόσου γεγονέναι, προθυμηθῆναι δ' αὐτοῦ περὶ τὴν σωτηρίαν, ἑτοίμως ἔφασκεν ἔχειν παρ' αὐτῷ μένειν. Καὶ Ἀβιμέλεχος τήν τε γῆν πρὸς αὐτὸν διανέμεται καὶ τὰ χρήματα, καὶ συντίθενται ἀδόλως πολιτεύεσθαι, ὑπέρ τινος φρέατος ποιούμενοι τὸν ὅρκον, ὃ Βηρσουβαὶ καλοῦσιν· ὅρκιον δὲ φρέαρ λέγοιτο ἄν· οὕτω δ' ἔτι καὶ νῦν ὑπὸ τῶν ἐπιχωρίων ὠνόμασται.

β'. Γίνεται δὲ Ἀβράμῳ μετ' οὐ πολὺ καὶ παῖς ἐκ Σάρρας, ὡς αὐτῷ ὑπὸ τοῦ Θεοῦ προείρητο· ὃν Ἴσακον ὠνόμασε. Τοῦτο γέλωτα σημαίνει· διὰ μέντοι τὸ τὴν Σάρραν μειδιάσαι, τέξεσθαι φήσαντος αὐτὴν τοῦ Θεοῦ, μὴ προσδοκῶσαν ἤδη τοκετοῦ πρεσβυτέραν οὖσαν, τὸν υἱὸν οὕτως ἐκάλεσεν. Αὕτη μὲν γὰρ ἐνενήκοντα εἶχεν ἔτη, ἑκατὸν δὲ Ἄβραμος. Τίκτεται δὲ παῖς ἑκατέρων τῷ ὑστάτῳ ἔτει· ὃν εὐθὺς μετ' ὀγδόην ἡμέραν περιτέμνουσι. Κἀξ ἐκείνου μετὰ τοσαύτας ἡμέρας ἔθος ἔχουσιν οἱ Ἰουδαῖοι ποιεῖσθαι τὰς περιτομάς· Ἄραβες δὲ μετὰ ἔτος τρισκαιδέκατον· Ἰσμάηλος γὰρ ὁ κτιστὴς αὐτῶν τοῦ ἔθνους, Ἀβράμῳ γενόμενος ἐν τῇ παλλακῇ, ἐν τούτῳ περιτέμνεται τῷ χρόνῳ. Περὶ οὗ τὸν πάντα λόγον ἐκθήσομαι μετὰ πολλῆς ἀκριβείας.

γ'. Σάρρα γεννηθέντα τὸν Ἰσμάηλον ἐκ τῆς δούλης αὐτῆς Ἀγάρης τὸ μὲν πρῶτον ἔστεργεν, οὐδὲν ἀπολείπουσα τῆς ὡς πρὸς ἴδιον υἱὸν εὐνοίας· ἐτρέφετο γὰρ ἐπὶ τῇ τῆς ἡγεμονίας διαδοχῇ. Τεκοῦσα δ' αὐτὴ τὸν Ἴσακον οὐκ ἠξίου παρατρέφεσθαι τούτῳ τὸν Ἰσμάηλον, ὄντα

timore simulans. Metuebat enim Abimelechum, istius loci incolarum regem, qui et ipse Sarram deperiens eam corrumpendi cupidine flagrabat. Ejus vero libidinem reprimit morbus difficilis a Deo immissus. Et quum medici salutem ejus desperarent, in somno per visum aliquod admonitus est ne injuriam inferat hospitis uxori. Mox quum meliuscule se habere cœpisset, indicat amicis hunc sibi morbum immisisse Deum ad vindicandum jus hospitis, ut qui uxorem illi inviolatam servare voluerit (non enim sororem secum ducere, sed conjugem legitimam); pollicitumque esse, sibimet posthac benignum fore, modo ille omni de uxore sollicitudine liberaretur. Hæc loquutus Abramum suadentibus amicis accersit, jussitque ipsum jam conjugi non metuere ne quid turpe sit passura: ipsius enim curam habere Deum, uxoremque sub præsidio illius manentem sine injuria reportaturum esse. Sibi autem attestante Deo et mulieris conscientia, dicebat ne ab initio quidem eam expetiturum fuisse, si nuptam esse scivisset; sed cum pro sorore tua habuerim, nihil injusti commisi. Ad hæc rogabat ut æquo animo in se esset, Deumque propitium redderet; et sive apud se manere vellet, rerum omnium copiam adfuturam, sive abire mallet, deductum iri et omnia fore ut subministrentur quorum indigens ad ipsum se contulerit. Hæc loquuto aiebat Abrahamus se de cognatione mulieris nequaquam mentitum esse (ipsam enim fratris filiam esse) et absque hac simulatione peregrinationem parum tutam existimasse. Et in quantum ægritudinis *ejus* causa minime exstiterit, sed suæ ipsius saluti studuerit, mansurum cum illo libenter dicebat. Tum Abimelechus tam agri quam pecuniarum partem ei concessit, mutuoque paciscuntur sine fraude vivere, juramento super puteo quodam facto, qui Bersubæ appellatur: Fœderis puteum interpretari possumus; atque ita hodieque a loci istius incolis nominatur.

2. Ceterum non multo post Abramo etiam filius nascitur ex Sarra, sicut ei prædixerat Deus: quem Isacum nominavit. Hoc risus significatur. Nam quod Sarra subriserit, Deo ipsam parituram esse dicente, quum grandis natu prolem non exspectaret, ita filium appellabat. Nam ipsa quidem erat nonagenaria, Abramus vero centum annorum. Istius autem ætatis utriusque anno ultimo nascitur puer, quem die statim octavo circumcidunt: atque ex illo eundem diem etiam nunc Judæi in circumcidendis liberis observant. At Arabes ætatis anno tertio et decimo: nam Ismaelus, princeps eorum gentis, Abramo e concubina natus, ea ætate est circumcisus. De quo orationem omnem explicabo multa cum diligentia.

3. Sarra Ismaelum, ex famula ejus Agara natum, primum diligebat, pari eum benevolentia, ac si ex se fuisset genitus, prosequens: alebatur enim in spem successionis. Verum postquam ipsa Isacum peperit, haud æquum censebat Ismaelum cum hoc puero educari, utpote qui natu ma-

πρεσβύτερον καὶ κακουργεῖν αὐτὸν δυνάμενον, τοῦ πατρὸς αὐτοῖς ἀποθανόντος. Ἔπειθεν οὖν τὸν Ἄβραμον εἰς ἀποικίαν ἐκπέμπειν αὐτὸν μετὰ τῆς μητρός. Ὁ δὲ κατὰ μὲν ἀρχὰς οὐ προσετίθετο τὴν αὐτοῦ γνώμην οἷς ἡ Σάρρα ἐσπουδάκει, πάντων ὠμότατον ἡγούμενος εἶναι παῖδα νήπιον καὶ γυναῖκα ἄπορον τῶν ἀναγκαίων ἐκπέμπειν. Ὕστερον δὲ (καὶ γὰρ ὁ Θεὸς ἠρέσκετο τοῖς ὑπὸ τῆς Σάρρας προσταττομένοις) πεισθεὶς παρεδίδου τὸν Ἰσμάηλον τῇ μητρὶ, μήπω δι' αὐτοῦ χωρεῖν δυνάμενον, ὕδωρ τε ἐν ἀσκῷ καὶ ἄρτον φερομένην ἐκέλευσεν ἀπιέναι ὁδηγῷ τῇ ἀνάγκῃ χρωμένην. Ὡς δ' ἀπιοῦσαν ἐπιλέλοιπε τὰ ἀναγκαῖα, ἐν κακοῖς ἦν. Ὕδατος δὲ σπανίζοντος, ὑπ' ἐλάτῃ τινὶ θεῖσα τὸ παιδίον ψυχορραγοῦν, ὡς μὴ παρούσης τὴν ψυχὴν ἀφῇ, προῆει πορρωτέρω. Συντυχὼν δ' αὐτῇ θεῖος ἄγγελος, πηγήν τε φράζει παρακειμένην, καὶ κελεύει προνοεῖν τῆς ἀνατροφῆς τοῦ παιδίου· μεγάλα γὰρ αὐτὴν ἀγαθὰ περιμένειν ἐκ τῆς Ἰσμαήλου σωτηρίας. Ἡ δ' ἐθάρσησε τοῖς προκατηγγελμένοις, καὶ συμβαλοῦσα ποιμέσι, διὰ τὴν ἐξ αὐτῶν ἐπιμέλειαν διαφεύγει τὰς ταλαιπωρίας.

δ'. Ἀνδρωθέντι δὴ τῷ παιδὶ γύναιον ἄγεται, τὸ γένος Αἰγύπτιον· ἔνθεν δ' ἦν καὶ αὐτῇ τὸ ἀρχαῖον· ἐξ οὗ παῖδες Ἰσμαήλῳ γίνονται δώδεκα πάντες· Ναβαιώθης, Κήδαρος, Ἀβδέηλος, Μασσάμας, Ἰδούμας, Μάσμας, Μασσῆς, Χόδαδος, Θέμανος, Ἰέτουρος, Νάφαισος, Κέδμας. Οὗτοι πᾶσαν τὴν ἀπ' Εὐφράτου καθήκουσαν πρὸς τὴν Ἐρυθρὰν θάλασσαν κατοικοῦσι, Ναβατηνὴν τὴν χώραν ὀνομάσαντες. Εἰσὶ δὲ οὗτοι οἱ τὸ τῶν Ἀράβων ἔθνος καὶ τὰς φυλὰς ἀπ' αὐτῶν καλοῦσι διά τε τὴν ἀρετὴν αὐτῶν καὶ διὰ τὸ Ἀβράμου ἀξίωμα.

ΚΕΦ. Ιʹ.

Ἴσακον δὲ ὁ πατὴρ Ἄβραμος ὑπερηγάπα μονογενῆ ὄντα καὶ ἐπὶ γήρως οὐδῷ κατὰ δωρεὰν αὐτῷ τοῦ Θεοῦ γενόμενον. Προὐκαλεῖτο δὲ εἰς εὔνοιαν καὶ τὸ φιλεῖσθαι μᾶλλον ὑπὸ τῶν γονέων καὶ αὐτὸς ὁ παῖς, ἐπιτηδεύων πᾶσαν ἀρετὴν, καὶ τῆς τε τῶν πατέρων θεραπείας ἐχόμενος καὶ περὶ τὴν τοῦ Θεοῦ θρησκείαν ἐσπουδακώς. Ἄβραμος δὲ τὴν ἰδίαν εὐδαιμονίαν ἐν μόνῳ τῷ τὸν υἱὸν ἀπαθῆ καταλιπὼν ἐξελθεῖν τοῦ ζῆν ἐτίθετο· τούτου μέντοι κατὰ τὴν τοῦ Θεοῦ βούλησιν ἔτυχεν· ὃς, διάπειραν αὐτοῦ βουλόμενος λαβεῖν τῆς περὶ αὐτὸν θρησκείας, ἐμφανισθεὶς αὐτῷ, καὶ πάντα ὅσα εἴη παρεσχημένος καταριθμησάμενος, ὡς πολεμίων τε κρείττονα ποιήσειε, καὶ [τὴν παροῦσαν εὐδαιμονίαν] ἐκ τῆς αὐτοῦ σπουδῆς ἔχοι τὸν υἱὸν Ἴσακον, ᾔτει τοῦτον αὐτῷ θῦμα καὶ ἱερεῖον παρασχεῖν. Ἐκέλευέ τε τοῦτον εἰς τὸ Μώριον ὄρος ἀναγαγόντα ὁλοκαυτῶσαι βωμὸν ἱδρυσάμενον· οὕτω γὰρ ἐμφανίσειν τὴν περὶ αὐτὸν θρησκείαν, εἰ καὶ τῆς τοῦ τέκνου σωτηρίας προτιμήσειε τὸ τῷ Θεῷ κεχαρισμένον.

β'. Ἄβραμος δὲ, ἐπὶ μηδενὶ κρίνων παρακούειν τοῦ Θεοῦ δίκαιον, ἅπαντα δ' ὑπουργεῖν, ὡς ἐκ τῆς ἐκείνου προνοίας ἁπάντων ζώντων οἷς ἂν εὐμενὴς ᾖ, ἐπικρυψάμενος τὴν ἐπὶ τῷ παιδὶ λύπην, καὶ τὸν ἐκ τῆς γυναικὸς πόθον, ἐπείθετο τῷ κελεύσαντι, καὶ τὸν υἱὸν ἀναλαβὼν, καὶ τὰ πρὸς τὴν θυσίαν ἐπιτήδεια, ἐπὶ τὸ Μώριον ὄρος ἐβάδιζεν. Ἦν δὲ ἀπὸ τῆς Ἱερουσαλὴμ ἑξήκοντα σταδίων ἀπέχον· ἐν ᾧ καὶ ὁ ναὸς ὕστερον ᾠκοδομήθη. Ἐκεῖ δὲ τὸν βωμὸν ἱδρυσάμενος, καὶ τὰ ξύλα συνθεὶς, τὸν υἱὸν ἀναδήσας, καὶ ἐπιθεὶς ἐπὶ τὰ ξύλα, ἐπεχείρει σφάττειν, ἐκτείνας τὴν δεξιὰν καὶ τὴν μάχαιραν ἐπιλαβόμενος. Ἐπιφοιτᾷ δὲ αὐτῷ φωνὴ ἐκ τοῦ οὐρανοῦ, μὴ ἐπιβαλεῖν τῷ παιδὶ τὴν χεῖρα, μηδὲ ἀποκτεῖναι· ἱκανὴν γὰρ εἶναι τὴν προθυμίαν αὐτοῦ πρὸς τὸν Θεὸν ἐπιδεδειγμένην. Ἀναβλέψας δὲ ὁ Ἄβραμος, κριὸν ἰδὼν ἐν τῷ πλησίον ἄλσει τῇ κέρατι τὴν κεφαλὴν ἐμπεφυκότα, τοῦτον ἔθυσε τῷ Θεῷ, τὸν υἱὸν ἀντ' ἐκείνου προσαγαγών. Ἐπὶ τούτοις δὲ τοῖς ἔργοις ἐπαινεθεὶς ὑπὸ τοῦ Θεοῦ, καὶ πάλιν ἐπηγγείλατο αὐτῷ τὰ μεγάλα δωρήσασθαι, καὶ τὸν σπόρον αὐτοῦ πολὺν ἐκ τοῦ Ἰσάκου ποιήσειν, ὡς ἀστέρων τε οὐρανοῦ καὶ ψάμμου τῆς παρὰ τὸν αἰγιαλὸν πλῆθος ὑπερβάλλειν· καὶ τὴν ἀρετὴν αὐτοῦ καὶ τὴν ἐπὶ τοῖς ἔργοις εὐκλειαν ἀθάνατον ἔσεσθαι· καὶ τοὺς ἐχθροὺς αὐτοῦ κρατήσειν, καὶ πάντα τὰ ἔθνη τῆς γῆς εὐλογεῖσθαι διὰ τὸν ἐκ τούτου γενησόμενον αὐτῷ σπόρον, ἐπειδὴ τὸν ἀγαπητὸν υἱὸν οὐκ ἐφείσατο διὰ τὸν Θεὸν, ἀλλ' ἐκείνῳ προσήγαγεν.

γ'. Ἄβραμος δὲ, ἐπὶ τούτοις ἐπαρθεὶς, καὶ τὸν υἱὸν ἀναλαβὼν, ἐπανῆλθε πρὸς τὴν γυναῖκα. Καὶ μετ' οὐ πολὺ τὸν μὲν Ἴσακον ἔπεμπε μετὰ τῆς μητρὸς πρὸς τὴν Ῥεβέκκαν τὴν Βαθουήλου τοῦ Ναχώρου θυγατέρα, ἀδελφὴν δὲ Λάβανος, ἣν ἔγημε Νάχωρος ὁ Ἄβραμος ἀδελφός· αὐτὸς δὲ τὴν Χεττούραν ἔγημε, καὶ ἐξ αὐτῆς ἓξ παῖδας ἐγέννησε, Ζαμβράνην, Ἰόκσανον, Μαδάνην, Μαδιάνην, Ἰσβάκην, Σαῦον. Ἰόκσανος δὲ ἐγέννησε Σαβᾶν καὶ Δαδάνην. Οἱ δὲ Δαδάνου παῖδες Ἀσσουρεὶμ καὶ Λατουσεὶμ καὶ Λαομεδείμ. Μαδιάνου δὲ παῖδες Γαφὴρ καὶ Ὄφρης καὶ Ἀβιδᾶς καὶ Ἐλδαγᾶς. Οὗτοι πάντες ἐκ Χεττούρας καὶ Ἄβραμου γεγόνασιν. Ἄβραμος δὲ τὰ μὲν ἑαυτοῦ κτήματα καὶ τὰ χρήματα τῷ Ἰσάκῳ κατέλιπε· τοῖς δὲ τῆς Χεττούρας παισὶ καὶ τῇ γυναικὶ δωρεὰς δοὺς, ἀπέστειλεν εἰς τὴν Ἀραβίαν, ἐν ᾗ καὶ τὴν οἴκησιν ἔσχον· ἐκεῖνος δὲ ἐν Χαναάνῃ τὸν λοιπὸν βίον διαγαγὼν, ἐτελεύτησεν ἔτη βιώσας ἑκατὸν ἑβδομήκοντα πέντε. Ἔθαψαν δὲ αὐτὸν οἱ παῖδες ἐν τῷ Μωρίῳ ὄρει, ἐν ᾧ καὶ τὸν βωμὸν ἱδρύσατο καὶ τὸν υἱὸν ἀνεῖλεν ἐπὶ τὴν θυσίαν.

δ'. Ἴσακος δὲ ἐν Χαναάνῃ κατῴκει, τὴν Ῥεβέκκαν ἔχων γυναῖκα, ἣν ἔγημε παρθένον οὖσαν καὶ ἀπαίδευτον γάμων καὶ συνουσίας ἀνδρός· ἦν γὰρ ἐκ Μεσοποταμίας τῆς Συρίας, ἀπὸ πόλεως Χαρρᾶν, ἐκ γένους Χαλδαίων, ἀδελφὴ δὲ Λάβανος. Ἐπεὶ δὲ ἔτη εἴκοσι γάμου διῆλθεν ἄτεκνος οὖσα, ἐπεκαλεῖτο τὸν Θεὸν ὁ Ἴσακος ὑπὲρ τῆς γυναικὸς, ἐπεὶ καὶ ἐκείνη στεῖρα ἦν. Ἐπήκουσε δὲ αὐτοῦ ὁ Θεὸς, καὶ ἐποίησε τὴν Ῥεβέκκαν κύειν. Ἐπεὶ δὲ ἐν γαστρὶ τὰ βρέφη ἐγένετο, ἐπαλαίετον ἀλλήλοις, καὶ ἐπὶ τὸν τόκον ἐσπουδάκεσαν· ἐκ δὲ τούτου ἐταράττετο ἡ Ῥεβέκκα, καὶ τὸν Θεὸν ἐπεκαλεῖτο, ἀπορουμένη τὸ συμβαῖνον. Ἐκεῖνος δὲ αὐτῇ προεῖπεν, ὅτι δύο ἔθνη ἐν τῇ γαστρὶ φέρει, καὶ δύο ἡγεμόνας ἐκ τῆς κοιλίας ἐξοίσει· καὶ τὸν μὲν ἕτερον τοῦ ἑτέρου κρατήσειν, τὸν δὲ νεώτερον τὸν πρεσβύτερον δουλεύσειν. Ἐτέχθησαν δὲ δίδυμοι· καὶ ὁ μὲν πρῶτος ἐξελθὼν ἐρυθρὸς ἦν καὶ δασὺς, ὁ δὲ δεύτερος τὴν πτέρναν τοῦ ἀδελφοῦ κατέχων ἐξῆλθε. Καὶ ὁ μὲν πρεσβύτερος Ἠσαῦ ἐκλήθη, ὁ δὲ νεώτερος Ἰακώβ. Ἐπεὶ δὲ ἐγένοντο ἐτῶν δεκαπέντε, ὁ μὲν Ἠσαῦ θηρεύειν ἐπεδίδου καὶ τὸν βίον ἐν τοῖς ὄρεσι διῆγεν, ὁ δὲ Ἰακὼβ ἐν τοῖς ἤθεσι διαιτώμενος, καὶ τὸν βίον ἐν γεωργίᾳ διάγων, ἐφιλοπονεῖτο τὴν γῆν. Ἐφίλει δὲ ὁ μὲν Ἠσαῦ τὴν μητέρα, ὁ δὲ Ἰακὼβ τὸν πατέρα.

ε'. Ἐπεὶ δὲ ἐγένετο ἐτῶν ἑβδομήκοντα, ἔγημε γυναῖκας δύο, Ἀδὰν καὶ Ὁλιβαμὰν, θυγατέρας Ἐσεβὼν τοῦ Χαναναίου· ἐκ δὲ τούτου ἐταράττετο ἡ Ῥεβέκκα, καὶ τὸν Θεὸν ἐπεκαλεῖτο, ἀπορουμένη τὸ συμβαῖνον. Ἐκεῖνος δὲ αὐτῇ προεῖπεν, ὅτι δύο ἔθνη ἐν τῇ γαστρὶ φέρει, καὶ δύο ἡγεμόνας ἐκ τῆς κοιλίας ἐξοίσει· καὶ τὸν μὲν ἕτερον τοῦ ἑτέρου κρατήσειν, τὸν δὲ νεώτερον τὸν πρεσβύτερον δουλεύσειν. Ἐτέχθησαν δὲ δίδυμοι· καὶ ὁ μὲν πρῶτος ἐξελθὼν ἐρυθρὸς ἦν καὶ δασὺς, ὁ δὲ δεύτερος τὴν πτέρναν τοῦ ἀδελφοῦ κατέχων ἐξῆλθε. Καὶ ὁ μὲν πρεσβύτερος Ἠσαῦ ἐκλήθη, ὁ δὲ νεώτερος Ἰακώβ. Ἐπεὶ δὲ ἐγένοντο ἐτῶν δεκαπέντε, ὁ μὲν Ἠσαῦ θηρεύειν ἐπεδίδου καὶ τὸν βίον ἐν τοῖς ὄρεσι διῆγεν, ὁ δὲ Ἰακὼβ ἐν τοῖς ἤθεσι διαιτώμενος, καὶ τὸν βίον ἐν γεωργίᾳ διάγων, ἐφιλοπονεῖτο τὴν γῆν. Ἐφίλει δὲ ὁ μὲν Ἠσαῦ τὴν μητέρα, ὁ δὲ Ἰακὼβ τὸν πατέρα.

jor, eumque injuria afficere potuit, patre eorum defuncto. Suadebat igitur Abramo ut eum una cum matre aliquo deducendum esse curaret. Ille vero primum non advertebat mentem ad ea quibus valde studebat Sarra, rem omnium atrocissimam esse ratus puerum nondum adultum et mulierem cunctis quæ usui erant egentem ablegare. Postea vero, (nam et Deus quæ instituerat Sarra comprobavit) persuasus Ismaelum matri tradidit, utpote qui solus iter facere adhuc non potuit, jussitque aquæ lagenam et panem ferentem discedere quo eos necessitas duceret. Quum primum vero abeuntem deficere cœpisset commeatus, sollicita erat et anxia. At quum nihil fere aquæ superesset, puerum vix animam trahentem sub abiete deponens, ne se præsente exspiraret, ulterius proficiscitur. Ipsi autem obviam veniens Dei angelus et fontem in propinquo indicavit et curam pueri educandi habere jussit: ipsam enim magnam felicitatem manere ex Ismaeli salute. Illa vero prænunciatis fidem habens, et cum pastoribus sermonem conferens, illorum cura et benignitate miseriam evasit.

4. Puero igitur ætatis jam adultæ connubio jungit mulierem, oriundam ex Ægypto (unde et ipsa olim originem duxerat); ex qua Ismaelo nati sunt filii duodecim universi: Nabaiothes, Cedarus, Abdeelus, Massamas, Idumas, Massmas, Masses, Chodadus, Themanus, Jeturus, Naphæsus, Cedmas. Hi terram omnem ab Euphrate ad mare Rubrum pertingentem habitant, regionem Nabatenam appellantes. Sunt autem illi qui Arabum genti et tribubus nomina sua dederunt, quum propter ipsorum virtutem, tum propter Abrami dignitatem.

CAP. XIII. (XIV.)

Isacum autem pater Abramus supra modum diligebat ut unigenitum et in senectutis limine dono Dei sibi natum. Hanc vero benevolentiam et amorem parentum puer ipse magis ac magis accendebat eo quod omni virtuti studeret, parentibus obsequium præstaret, Deumque summa pietate coleret. Abramus autem suam felicitatem in eo posuit ut filium se curum a malis relinquens e vita excederet: id quod ipsi quidem ex Dei voluntate contigit. Qui volens ejus erga se ipsum observantiæ experimentum facere, apparuit ei, enumeratisque omnibus quotquot in eum contulerat beneficiis, ut et hostibus superiorem eum fecerit, et [præsentem felicitatem] sua ei benignitas dederit filium Isacum, eundem poposcit ut sacrificium et victimam sibi offerret; jussitque ut ipsum in montem Morium subducens, holocaustum sibi faceret, postquam aram *ibidem* collocaverit: sic enim manifestaturum esse suam in ipsum pietatem, si etiam filii saluti anteponeret quod Deo gratum esset et acceptum.

2. Abramus autem, nefas ducens quavis in re Deo morem non gerere, quin per omnia ei parere, quod ejus providentia vivant omnes quibus sit ipse propitius, clam uxorem

μενος πρὸς τὴν γυναῖκα τήν τε τοῦ Θεοῦ πρόρρησιν, καὶ ἣν εἶχεν αὐτὸς γνώμην περὶ τῆς τοῦ παιδὸς σφαγῆς, ἀλλὰ μηδὲ τῶν οἰκετῶν τινι δηλώσας, ἐκωλύετο γὰρ ἂν ὑπηρετῆσαι τῷ Θεῷ, λαβὼν τὸν Ἰσαακον μετὰ δύο οἰκετῶν, καὶ τὰ πρὸς τὴν ἱερουργίαν ἐπισάξας ὄνῳ, ἀπῆει πρὸς τὸ ὄρος· καὶ δύο μὲν αὐτῷ ἡμέρας συνῴδευσαν οἱ οἰκέται, τῇ τρίτῃ δὲ, ὡς κάτοπτον ἦν αὐτῷ τὸ ὄρος, καταλιπὼν ἐν τῷ πεδίῳ τοὺς συνόντας, μετὰ μόνου τοῦ παιδὸς παραγίνεται εἰς τὸ ὄρος, ἐφ' οὗ τὸ ἱερὸν Δαυίδης ὁ βασιλεὺς ὕστερον ἱδρύεται. Ἔφερον δὲ σὺν αὐτοῖς ὅσα λοιπὰ πρὸς τὴν θυσίαν ἦν, πλὴν ἱερείου μόνου. Τοῦ δὲ Ἰσάκου πέμπτον καὶ εἰκοστὸν ἔτος ἔχοντος, τόν τε βωμὸν κατασκευάζοντος, καὶ πυθομένου τί καὶ μέλλοι θύειν ἱερείου μὴ παρόντος, ὁ δὲ τὸν Θεὸν αὐτοῖς παρέξειν ἔλεγεν, ὄντα ἱκανὸν καὶ τῶν οὐκ ὄντων εἰς εὐπορίαν ἀνθρώπους παραγαγεῖν, καὶ τὰ ὄντα τῶν ἐπ' αὐτοῖς θαρρούντων ἀφελέσθαι· δώσειν οὖν κἀκείνῳ ἱερεῖον, εἴπερ εὐμενὴς μέλλει τῇ θυσίᾳ παρατυγχάνειν αὐτοῦ.

γ. Ὡς δὲ ὁ βωμὸς παρεσκεύαστο, καὶ τὰς σχίζας ἐπενηνόχει, καὶ ἦν πάντα εὐτρεπῆ, λέγει πρὸς τὸν υἱόν· « ὦ παῖ, μυρίαις εὐχαῖς αἰτησάμενός σε γενέσθαι « μοι παρὰ τοῦ Θεοῦ, ἐπεὶ παρῆλθες εἰς τὸν βίον, οὐκ « ἔστιν ὅ τι μὴ περὶ τὴν σὴν ἀνατροφὴν ἐφιλοτιμη- « σάμην, οὐδ' ἐφ' ᾧ μᾶλλον εὐδαιμονήσειν ᾤμην ἢ « ὡς σὲ ἴδοιμι ἡνδρωμένον, καὶ τελευτῶν διάδοχον τῆς « ἀρχῆς τῆς ἐμαυτοῦ καταλίποιμι. Ἀλλ' ἐπεὶ Θεοῦ « τε βουλομένου σὸς πατὴρ ἐγενόμην καὶ πάλιν τούτῳ « δοκοῦν ἀποτίθεμαί σε, φέρε γενναίως τὴν καθιέρωσιν· « τῷ Θεῷ γὰρ σὲ παραχωρῶ, ταύτης ἀξιώσαντι παρ' « ἡμῶν τῆς τιμῆς, ἀνθ' ὧν εὐμενὴς γέγονέ μοι παραστά- « της καὶ σύμμαχος, νῦν ἐπιτυχεῖν. Ἐπεὶ δ' ἐγεννήθης, « ἄπιθι νῦν οὐ τὸν κοινὸν ἐκ τοῦ ζῆν τρόπον, ἀλλ' ὑπὸ « πατρὸς ἰδίου Θεῷ τῷ πάντων πατρὶ νόμῳ θυσίας προ- « πεμπόμενος, ἄξιον οἶμαί σε κρίναντος αὐτοῦ μήτε « νόσῳ μήτε πολέμῳ μήτε ἄλλῳ τινὶ τῶν παθῶν, ἃ « συμπίπτειν πέφυκεν ἀνθρώποις, ἀπαλλαγῆναι τοῦ « βίου, μετ' εὐχῶν δὲ καὶ ἱερουργίας ἐκείνου τὴν ψυ- « χὴν τὴν σὴν προσδεξομένου καὶ παρ' αὐτῷ καθέξοντος « ἔσῃ τέ μοι εἰς κηδεμόνα καὶ γηροκόμον, διὸ καὶ σὲ « μάλιστα ἀνετρεφόμην, τὸν Θεὸν ἀντὶ σαυτοῦ παρε- « σχημένος. »

δ'. Ἴσακος δὲ (πατρὸς γὰρ ἦν οἷον τετυχηκότα γενναῖον ἔδει τὸ φρόνημα εἶναι) δέχεται πρὸς ἡδονὴν τοὺς λόγους, καὶ φήσας ὡς οὐδὲ γεγονέναι τὴν ἀρχὴν ἦν δίκαιος, εἰ Θεοῦ καὶ πατρὸς μέλλει κρίσιν ἀπωθεῖσθαι καὶ μὴ παρέχειν αὐτὸν τοῖς ἀμφοτέρων βουλεύμασιν ἑτοίμως, ὅτε καὶ μόνου τοῦ πατρὸς ταῦτα προαιρουμένου μὴ ὑπακούειν ἄδικον ἦν, ὥρμησεν ἐπὶ τὸν βωμὸν καὶ τὴν σφαγήν. Κἂν ἐπράχθη τὸ ἔργον, μὴ στάντος ἐμποδὼν τοῦ Θεοῦ. Βοᾷ γὰρ ὀνομαστὶ τὸν Ἄβραμον, εἴργων τῆς τοῦ παιδὸς σφαγῆς. Οὐ γὰρ ἐπιθυμήσας αἵματος ἀνθρωπίνου τὴν σφαγὴν αὐτῷ προστάξαι τοῦ παιδὸς ἔλεγεν, οὐδὲ οὗ πατέρα ἐποίησεν

habens Dei mandatum, et quod ipsi in animo erat de pueri mactatione, ne famulorum quidem cuiquam rem indicans, ne forte Deo ministrare prohiberetur, assumpto Isaco cum duobus servis, impositisque asino rebus ad sacrificium necessariis, ad montem contendit. Et biduum quidem comitati sunt eum servi, tertio vero die, quum jam in conspectu esset mons, qui secum erant in campo relictis, cum solo puero advenit ad montem, ubi postea rex Davides templum exstruit. Ferebant autem secum omnia quæ ad sacrificium usui forent, victima sola excepta. Isaco vero vigesimum quintum annum agente, aramque apparante, et simul percontante quidnam mactaturus sit, quum nulla præsto sit victima, tum quidem ille Deum ipsis præbiturum esse aiebat, qui et hominibus quæ desint affatim suppeditare, et quæ habeant, si in illis fiduciam ponant, adimere possit : daturum ergo sibi quoque victimam, si propitius sacrificio suo adfuturus sit.

3. Postquam autem structa erat ara, et ligni frustula imposuerat, atque omnia parata erant, filium alloquitur : « O fili, te, mille votis a Deo expetitum mihi nasci, ex « quo in hanc vitam venisti, summa cura ac sollicitudine « educavi, nihilque erat in quo me beatiorem fore putavi « quam ut te virum factum conspicerem, moriensque do- « minatus mei successorem reliquerem. Sed quoniam « et Dei voluntate pater tuus exstiterim, iterumque te ut « illi placitum est abdicem, forti animo fer hanc consecra- « tionem. Deo enim te cedo, qui hoc a nobis honore « jam affici vult, eo quod benignus mei defensor fuerit « et adjutor. Natus ergo decede nunc non communi « omnium more e vita, sed a patre proprio rerum omnium « parenti Deo sacrificii ritu oblatus, ipso, ut reor, te di- « gnum censente qui nec morbo nec bello nec alia quapiam « calamitate, quæ hominibus solet accidere, ex vita dece- « das, sed cujus animam ille cum precibus et solenni sa- « crificio exciperet et apud se retineret : teque mihi curato- « rem et senectutis moderatorem præstabis, quem in finem « te potissimum educavi, Deum mihi loco tui præbens. »

4. Isacus autem (eo enim patre erat, quem si quis nactus fuerit, generoso oportet esse animo) libentissime sermonem ejus accipit : atque hæc effatus, quod neque initio dignus fuisset qui nasceretur, si Dei patrisque judicium rejecturus esset, seque non alacriter utriusque placitis obsequentem præberet, quandoquidem, si vel pater solus ita vellet, nefas esset non parere, protinus ad aram et mactationem accessit. Certeque peractum fuisset opus, si Deus ei non obstitisset. Nam Abramum nomine inclamavit, prohibens eum a filii nece. Non enim cupidine sanguinis humani pueri cædem se ei imperasse dicebat, neque illum, cui patrem ipsum fecerat, cum tanta impie-

αὐτὸν ἀφελέσθαι τούτου βουλόμενος μετὰ τοιαύτης ἀσεβείας, ἀλλὰ δοκιμάσαι θέλων αὐτοῦ τὴν διάνοιαν εἰ καὶ τοιαῦτα προστασσόμενος ὑπακούοι. Μαθὼν δὲ αὐτοῦ τὸ πρόθυμον καὶ τὴν ὑπερβολὴν τῆς θρησκείας, ἥδεσθαι μὲν οἷς αὐτῷ παρέσχεν, οὐχ ὑστερήσειν δὲ αὐτὸν ἀεὶ πάσης ἐπιμελείας καὶ γένος ἀξιοῦντα, ἔσεσθαί τε τὸν υἱὸν αὐτῷ πολυχρονιώτατον, καὶ βιώσαντα εὐδαιμόνως παισὶν ἀγαθοῖς καὶ γνησίοις παραδώσειν μεγάλην ἡγεμονίαν. Προεδήλου τε τὸ γένος αὐτῶν εἰς ἔθνη πολλὰ καὶ πλοῦτον ἐπιδώσειν, καὶ μνήμην αἰώνιον αὐτῶν ἔσεσθαι τοῖς γενάρχαις, τήν τε Χαναναίαν ὅπλοις κατακτησαμένους ζηλωτοὺς ἔσεσθαι πᾶσιν ἀνθρώποις. Ταῦτα ὁ Θεὸς εἰπὼν κριὸν ἐκ τἀφανοῦς παρήγαγεν αὐτοῖς εἰς τὴν ἱερουργίαν. Οἱ δὲ παρ' ἐλπίδας ἑαυτοὺς κεκομισμένοι, καὶ τοιούτων ἀγαθῶν ἐπαγγελίας τετυχηκότες, ἠσπάζοντο ἀλλήλους, καὶ θύσαντες ἀπενόστησαν πρὸς τὴν Σάρραν, καὶ διῆγον εὐδαιμόνως, ἐφ' ἅπασιν οἷς ἐθελήσειαν τοῦ Θεοῦ συλλαμβάνοντος αὐτοῖς.

ΚΕΦ. ΙΔ'.

Καὶ Σάρρα μὲν οὐ πολὺ ὕστερον ἀποθνήσκει, βιώσασα ἔτη ἑπτὰ καὶ εἴκοσι πρὸς τοῖς ἑκατόν· θάπτουσι δὲ αὐτὴν ἐν Χεβρῶνι, συγχωρούντων μὲν τῶν Χαναναίων καὶ δημοσίᾳ χοῦν αὐτῆς τὸν τάφον, Ἀβράμου δὲ ὠνησαμένου τὸ χωρίον σίκλων τετρακοσίων παρ' Ἐφραίμου τινὸς ἐκ τῆς Χεβρῶνος. Καὶ τὰ μνημεῖα Ἄβραμός τε καὶ οἱ ἀπόγονοι αὐτοῦ ταύτῃ κατεσκευάσαντο.

ΚΕΦ. ΙΕ'.

Γαμεῖ δ' αὐτὸς Χετούραν ὕστερον, ἐξ ἧς αὐτῷ παῖδες ἓξ γίνονται, πρός τε πόνους καρτεροὶ καὶ δεινοὶ συνιέναι· Ζαμβράνης, Ἰαζάρης, Μαδάνης, Μαδιάνης, Ἰωσούβακος, Σοῦος. Φύονται δὲ καὶ τούτοις παῖδες· καὶ Σούου μὲν Σαβαθάνης γίνεται καὶ Δαδάνης. Τούτου δὲ Λατούσιμος, Ἄσσουρις, Λουόμης· Μαδιάνου δὲ Ἔφᾶς, Ὤφρὴν, Ἄνωχος, Ἐβιδᾶς, Ἐλδᾶς. Τούτοις ἅπασι τοῖς παισὶ καὶ τοῖς υἱωνοῖς Ἄβραμος ἀποικιῶν στόλους μηχανᾶται, καὶ τήν τε Τρωγλοδύτιν καταλαμβάνουσι, καὶ τὴν τῆς Εὐδαίμονος Ἀραβίας, ὅσον ἐπὶ τὴν Ἐρυθρὰν θάλασσαν καθήκει. Λέγεται δὲ ὡς οὗτος ὁ Ὤφρὴν στρατεύσας ἐπὶ τὴν Λιβύην κατέσχεν αὐτὴν καὶ οἱ υἱωνοὶ αὐτοῦ, κατοικήσαντες ἐν αὐτῇ, τὴν γῆν ἀπὸ τοῦ ἐκείνου ὀνόματος Ἀφρικὴν προσηγόρευσαν. Μαρτυρεῖ δέ μου τῷ λόγῳ καὶ Ἀλέξανδρος ὁ Πολυΐστωρ, λέγων οὕτως· « Κλεόδημος δέ φησιν ὁ προφήτης, ὁ καὶ Μάλχος, ὁ ἱστορῶν τὰ περὶ Ἰουδαίων, καθὼς καὶ « Μωϋσῆς ἱστόρησεν ὁ νομοθέτης αὐτῶν, ὅτι ἐκ τῆς « Χετούρας Ἀβράμῳ ἐγένοντο παῖδες ἱκανοί. » Λέγει δὲ αὐτῶν καὶ τὰ ὀνόματα, ὀνομάζων τρεῖς, Ἀφέραν, Σουρείμ, Ἰάφραν. Ἀπὸ Σουρείμ μὲν τὴν Ἀσσυρίαν κεκλῆσθαι, ἀπὸ δὲ τῶν δύο, Ἀφέρα τε καὶ Ἰάφρα, πόλιν τε Ἄφραν καὶ τὴν χώραν Ἀφρικὴν ὀνομασθῆναι. Τούτους γὰρ Ἡρακλεῖ συστρατεῦσαι ἐπὶ Λιβύην καὶ Ἀνταῖον, γήμαντά τε τὴν Ἄφρα θυγατέρα

tate se velle auferre, sed eo ut animum ejus exploraret an etiam talia facere jussus ei morem gereret. Cognita autem ejus promptitudine ac pietate præcellenti, se quidem istis delectari quæ ei dederit; illum autem non desiturum esse, quem semper ipsum ejusque progeniem omni cura sit dignaturus; futurumque filium ei maxime longævum, qui vita feliciter exacta filiis bonis legitimisque principatum magnum relicturus esset. Prædixit etiam fore ut genus ipsorum in multas gentes cresceret et divitiis floreret, ejusque principes et auctores in sempiterna memoria haberentur : utque posteri, terram Chananæam armis possessuri, aliis omnibus invidiam concitarent. Hæc quum dixisset Deus, arietem ex improviso eis adduxit ad sacrificium. Atque illi, præter spem sibi redditi, nactique tantæ felicitatis promissionem, mutuo se complectebantur, victimaque mactata reversi sunt ad Sarram et beate vixerunt, Deo illos in omnibus quibus studebant benigne adjuvante.

CAP. XIV.

Et Sarra quidem non multo post tempore moritur, quum vixisset annos viginti septem supra centum. Sepeliunt autem ipsam in Chebrone, Chananæis quidem e publico etiam fundum *eis* concedentibus in sepulcrum, Abramo vero agrum quadringentis siclis redimente ab Ephraimo quodam Chebronensi. Ibique monumenta *sibi* Abramus posterique ejus exædificarunt.

CAP. XV.

Post hæc autem duxit ille Cheturam, ex qua nati sunt ei sex filii, viribus ad labores et acri ingenio præditi; Zambranes, Jazares, Madanes, Madianes, Josubacus, Suus. Ipsis vero etiam liberi nascuntur : et Suo quidem Sabathanes atque Dadanes. Huic autem Latusimus, Assuris, Luomes; Madianæ vero Ephas, Ophren, Anochus, Ebidas, Eldas. Filiis his omnibus ac nepotibus Abramus deducendi colonias auctor fuit, terramque occupaverunt Troglodyticam et regionem Arabiæ Felicis, quatenus ad Rubrum mare protenditur. Dicitur autem Ophrenem expeditione in Libyam suscepta ipsam occupasse, ejusque nepotes, collocatis in ea sedibus, terram ex illius nomine Africam nuncupasse. Hujus autem sermonis testem habeo etiam Alexandrum Polyhistorem, qui sic loquitur : « Cleo- « demus vates, qui et Malchus *vocatur*, rerum Judaicarum « historiam contexens, sicuti Moyses Judæorum legisla- « tor narravit, Abramo natos esse dicit plures ex Chetura « liberos ». Refert autem illorum etiam nomina, tres recensens, Apheram, Surim, Japhram. A Suri quidem Assyriam appellatam : a duobus vero, Aphera et Japhra, urbem Aphram et regionem Africam nomen accepisse. Hos porro Herculi contra Libyam et Antæum militanti auxilium tulisse ait : Herculem etiam, quum Aphræ filiam

Ἡρακλέα γεννῆσαι υἱὸν ἐξ αὐτῆς Δίδωρον, τούτου δὲ γενέσθαι Σοφῶνα, ἀφ' οὗ τοὺς βαρβάρους Σόφακας λέγεσθαι.

ΚΕΦ. ΙϚ'.

Ἰσάκῳ δὲ, περὶ τεσσαρακοστὸν ἔτος γεγονότι, γυναῖκα γνοὺς ἀγαγέσθαι ὁ πατὴρ Ἄβραμος Ῥεβέκκαν, Ναχώρου παιδὸς θυγατέρα τοῦ ἀδελφοῦ, τὸν πρεσβύτατον πέμπει τῶν οἰκετῶν ἐπὶ τὴν μνηστείαν, ἐνδησάμενος μεγάλαις πίστεσι. Γίνονται δὲ αὗται τοῦτον τὸν τρόπον· ὑπὸ τοὺς μηροὺς ἀλλήλοις τὰς χεῖρας ἐπαγαγόντες, ἔπειτα ἐπικαλοῦνται τὸν Θεὸν μάρτυρα τῶν ἐσομένων. Ἔπεμπε δὲ καὶ δῶρα τοῖς ἐκεῖ διὰ τὸ σπάνιον ἢ μηδ' ὅλως ἐπιχωριάζειν ἐκτετιμημένα. Οὗτος ἀπεργόμενος χρόνῳ, διὰ τὸ εἶναι χαλεπὴν ὁδεύεσθαι τὴν Μεσοποταμίαν, χειμῶνι μὲν ὑπὸ πηλῶν βάθους, θέρους δὲ ὑπὸ ἀνυδρίας, ἔτι δὲ καὶ λῃστηρίων ὄντων ἐναὐτῇ, ἃ διαφεύγειν οὐκ ἐνῆν μὴ προνοοῦσι τούτου τοῖς ὁδεύουσιν, εἰς πόλιν ἀφικνεῖται Χάρραν. Καὶ γενόμενος ἐν τοῖς προαστείοις παρθένοις ἐντυγχάνει πλείοσιν ἐφ' ὕδωρ βαδιζούσαις. Εὔχεται οὖν τῷ Θεῷ Ῥεβέκκαν, ἣν τῷ παιδὶ Ἄβραμος μνηστευσόμενον αὐτὸν ἐξαπέσταλκεν, εἰ κατὰ νοῦν τὸν αὐτοῦ μέλλει ὁ γάμος οὗτος συντελεῖσθαι, ἐν ἐκείναις εὑρεθῆναι, γνωρισθῆναί τε αὐτὴν τῶν μὲν ἄλλων αἰτοῦντι ποτὸν ἀρνουμένων, ἐκείνης δὲ αὐτῷ παρασχούσης.

β'. Καὶ ὁ μὲν ἐπὶ ταύτης ὢν τῆς διανοίας ἐπὶ τὸ φρέαρ παραγίνεται, καὶ παρακαλεῖ τὰς παρθένους ποτὸν αὐτῷ παρασχεῖν. Τῶν δ' ἐκτρεπομένων, ὡς χρῃζουσῶν οἴκαδε κομίζειν, ἀλλ' οὐκ ἐκείνῳ παρασχεῖν (καὶ γὰρ οὐδ' εὔληπτον εἶναι τὸ ὕδωρ), μία ἐξ ἁπασῶν ἐκείναις τε τῆς πρὸς τὸν ξένον ἐπιπλήττει δυσκολίας, τίνος ἄλλου κοινωνήσειν πρὸς ἀνθρώπους αὐτάς ποτε, αἳ μηδὲ ὕδατος μετέδοσαν, λέγουσα, καὶ παρέχει αὐτῷ φιλοφρόνως. Ὁ δ' ἐν ἐλπίδι μὲν τῶν ὅλων γενόμενος, βουλόμενος δὲ τὴν ἀλήθειαν μαθεῖν, ἐπῄνει τε τῆς εὐγενείας αὐτὴν καὶ τὴν χρηστότητος, ὅτι καὶ μετ' οἰκείου πόνου τοῖς δεομένοις ἐπαρκεῖν οὐκ ἔφυγεν, ἐπυνθάνετό τε τίνων ἂν εἴη γονέων, καὶ κατεύχεται αὐτοῖς ὄνησιν τοιαύτης παιδός· καὶ νυμφεύσειαν, φησὶν, ὡς αὐτοῖς ἐστι κεχαρισμένον, εἰς οἶκον ἀνδρὸς ἀγαθοῦ, παῖδας αὐτῷ τεξομένην γνησίους. Ἡ δὲ οὐδὲ τούτων ἐφθόνησεν αὐτῷ βουλομένῳ μαθεῖν, ἀλλὰ καὶ τὸ γένος ἀπεσήμαινε. Καὶ Ῥεβέκκα μὲν, φησὶν, ἐγὼ καλοῦμαι, πατὴρ δ' ἐμοὶ Βαθούηλος ἦν· ἀλλ' ὁ μὲν ἤδη τέθνηκε, Λάβανος δὲ ἀδελφός ἐστιν ἡμέτερος, τοῦ τε οἴκου πανταχοῦ σὺν τῇ μητέρι προνοούμενος καὶ τῆς ἐμῆς παρθενίας ἐπιμελόμενος. Τούτων ἀκροασάμενος ἔχαιρέ τε τοῖς γεγονόσι καὶ τοῖς εἰρημένοις, τὸν Θεὸν οὕτως ὁρῶν αὐτῷ τῆς ὁδοῦ σαφῶς συλλαμβανόμενον. Καὶ προκομίσας ὁρμίσκον τε καὶ τινὰς κόσμους, οὓς εὐπρεπὲς φορεῖν παρθένοις, ἀνεδίδου τῇ κόρῃ, τῆς ἐπὶ τῷ πιεῖν χάριτος ἀμοιβὴν εἶναι καὶ γέρας, δίκαιον λέγων τοιούτων αὐτὴν τυγχάνειν, ἀγαθὴν παρὰ τὰς τοσαύτας παρθέ-

uxorem duxisset, ex illa genuisse Didorum; ex hoc vero Sophonem prognatum, a quo Sophaces inter Barbaros nomen habent.

CAP. XVI.

Abramus autem pater, quum Isaco, annos circiter quadraginta nato, conjungere statuisset uxorem Rebeccam, fratris sui Nachoris neptem, ad sponsalia facienda mittit famulorum natu maximum, summa fide sibi obstrictum. Illa vero hoc modo obligatur: manus invicem femoribus supponunt, dein futurorum testem Deum invocant. Misit autem et munera suis illic amicis, quæ ob raritatem, vel quod omnino istius non essent regionis, magni æstimarentur. Is *aliquod* tempus itineri insumens, quod difficilis esset transitus per Mesopotamiam, hieme quidem propter cœni spissitudinem, æstate vero ob aquarum inopiam, quin etiam latronibus loca istic infestantibus, quos viatores, ni sibi caveant, haud facile effugiunt, ad urbem Charram pervenit. Quumque esset in suburbanis, incidit in virgines complures aquatum euntes. Deum igitur oravit, ut Rebecca, ob quam eum miserat Abramus filio suo desponsandam, si ex voluntate ejus hæ nuptiæ essent perficiendæ, inter illas inveniretur, et *hoc signo* dignosceretur, aliis quidem potum petenti negantibus, ipsa autem illi præbente.

2. Ac ille quidem hac mente accedit ad puteum, rogavitque virgines uti potum ei darent. Illis autem abnuentibus, quasi egerent quam domum deferant, atque illi non concessuras esse *dicentibus* (nam haustu non facilis erat aqua), una omnium eas redarguit ob morositatem erga hospitem, dicendo, quamnam rem eas cum hominibus aliquando communicaturas esse, quæ ne aquam quidem impertirent? eique præbuit humaniter. At ille, quum de omnibus quidem bene sperat, volens autem verum cognoscere, illam generositatis ergo et benignitatis laudavit, quod etiam cum labore suo egentibus subministrare non recusarit; sciscitabatur etiam ex quibus esset parentibus, optavitque ut illis in emolumentum cederet talis filia; et Despondeant, inquit, ut ipsis gratum est, in domum viri probi, parituram ipsi liberos legitimos. At illa ei hæc non invidebat scire desideranti, sed et genus indicat. Et, Rebecca, inquit, mihi nomen est, pater vero meus Bathuelus erat, sed ille quidem jam defunctus est, verum Labanus frater noster est, qui domui universæ cum matre prospicit, meæque virginitatis curam gerit. His auditis gavisus est ob facta et dicta, quod perspectum habuerit Deum manifesto sibi in itinere adjutorem exstitisse. Quumque protulisset monile et alia quædam ornamenta, quæ gestare virginibus decorum est, obtulit puellæ, ut ei essent in remunerationem pro potu et in honorem, æquum esse dicens ut illa hujusmodi præmia acciperet, quæ tot virginibus bo-

νους γενομένην. Ἠξίου τε παρ' αὐτοῖς καταχθῆναι, τοῦ προσωτέρω χωρεῖν τῆς νυκτὸς αὐτὸν ἀφαιρουμένης· κόσμον τε φέρων γυναικεῖον πολυτελῆ, πιστεύειν αὐτὸν οὐκ ἀσφαλεστέρους ἔφασκεν ἢ τοιούτοις οἷς αὐτῆς ἐπειράθη. Τεκμαίρεσθαι δὲ καὶ τὴν τῆς μητρὸς καὶ τὰδελφοῦ φιλανθρωπίαν αὐτῆς ἔλεγεν ὡς οὐ δυσχεραινοῦσιν ἐκ τῆς περὶ αὐτὴν ἀρετῆς· οὐδὲ γὰρ ἔσεσθαι βαρὺς, μισθόν τε τῆς ξενίας τελέσας καὶ δαπάναις ἰδίαις χρησάμενος. Ἡ δὲ περὶ μὲν τῆς τῶν γονέων φιλανθρωπίας αὐτῆς ὀρθῶς εἰκάζειν αὐτὸν εἶπεν, ἐμέμφετο δὲ ὡς μικρολόγους ὑπειληφότα· πάντων γὰρ ἀμισθὶ μεθέξειν. Δηλώσασα μέντοι Λαβάνῳ πρότερον τἀδελφῷ, συγχωροῦντος ἄξειν αὐτὸν ἔλεγεν.

γ'. Ὡς οὖν τούτου γενομένου παρῆγε τὸν ξένον, τὰς μὲν καμήλους αὐτοῦ παραλαβόντες οἱ Λαβάνου θεράποντες ἐτημέλουν, αὐτὸς δὲ δειπνήσων εἰσήγετο παρ' αὐτῷ. Καὶ μετὰ τὸ δεῖπνον φησὶ πρός τε αὐτὸν καὶ τὴν μητέρα τῆς κόρης, « Ἄβραμος Θάρρου μέν ἐστιν « υἱὸς, συγγενὴς δ' ὑμέτερος· Ναχώρης γὰρ ὁ τούτων, « ὦ γύναι, τῶν παίδων πάππος, ἀδελφὸς ἦν Ἀβράμου « ὁμοπάτριός τε καὶ ὁμομήτριος. Πέμπει τοίνυν οὗτος « πρὸς ὑμᾶς, ἀξιῶν τὴν κόρην ταύτην παιδὶ τῷ ἑαυτοῦ « λαβεῖν πρὸς γάμον, ὃς γνήσιός ἐστιν αὐτῷ καὶ μόνος « ἐστὶ τοῖς πᾶσι τεθραμμένος, ᾧ τῶν μὲν ἐκεῖ γυναι« κῶν δυνατὸν αὐτῷ τὴν εὐδαιμονεστάτην λαβεῖν, οὐκ « ἠξίωσεν ἀγαγέσθαι, τιμῶν δὲ τὸ γένος τὸν γάμον αἱ« τεῖ πολιτεύειν τοῦτον· οὗ τὴν σπουδὴν καὶ τὴν προαί« ρεσιν μὴ ὑβρίσητε· κατὰ γὰρ Θεοῦ βούλησιν τά τε « ἄλλα μοι κατὰ τὴν ὁδὸν ἀπήντησε καὶ τὴν παῖδα καὶ « τὸν ὑμέτερον οἶκον ἦλθον. Ἐπεὶ γὰρ πλησίον τῆς « πόλεως ἐγενόμην, παρθένους ἰδὼν πολλὰς ἐπὶ τὸ « φρέαρ παραγινομένας, ηὐξάμην εἰς ταύτην ἐμπεσεῖν· « ὃ δὴ καὶ γέγονε. Γάμον οὖν ὑπὸ θείας μνηστευόμενον « ἐπιφανείας καὶ ὑμεῖς κυρώσατε· καὶ Ἄβραμον, τὸν « μετὰ τοσαύτης ἀπεσταλκότα σπουδῆς, τῷ καταπεῦσαι « τὴν κόρην τιμήσατε ». Οἱ δέ, καλὰ γὰρ ἦν αὐτοῖς καὶ κεχαρισμένα, τήν τε γνώμην τοῦ Θεοῦ συνῆκαν, καὶ πέμπουσιν ἐφ' οἷς ἠξίουν τὴν θυγατέρα· γαμεῖ τε αὐτὴν ὁ Ἰσακος, τῶν πραγμάτων εἰς αὐτὸν ἀφικομένων· οἱ γὰρ ἐκ τῆς Χετούρας εἰς τὰς ἀποικίας ἐξεληλύθεισαν.

ΚΕΦ. ΙΖ'.

Τελευτᾷ δὲ καὶ Ἄβραμος μετ' ὀλίγον, ἀνὴρ πᾶσαν ἀρετὴν ἄκρος καὶ τῆς περὶ αὐτὸν σπουδῆς ἀξίως ὑπὸ τοῦ Θεοῦ τετιμημένος. Ἐβίωσε δὲ τὸν ἅπαντα χρόνον ἐτῶν ἑβδομήκοντα καὶ πέντε πρὸς τοῖς ἑκατὸν, καὶ θάπτεται ἐν Χεβρῶνι μετὰ τῆς γυναικὸς Σάρρας ὑπὸ τῶν παίδων Ἰσάκου καὶ Ἰσμαήλου.

ΚΕΦ. ΙΗ'.

Ἰσάκῳ δὲ [μετὰ τὴν Ἀβράμου τελευτὴν] ἐκύει τὸ γύναιον· καὶ τῆς γαστρὸς ἐπὶ μεῖζον ὀγκουμένης ἀγωνιάσας ἀνήρετο τὸν Θεόν. Φράζει δ' αὐτῷ διδύμους τέξεσθαι τὴν Ῥεβέκκαν, καὶ φερώνυμα ἔσεσθαι τοῖς παισὶ

nitate præstaret. Simul petiit ut ad eos divertere liceret, a nocte ulterius ire prohibitus : quumque mundum muliebrem magni pretii secum ferret, nusquam eum tutius deponere posse dicebat, quam apud tales qualem eam expertus esset. Conjecturam enim se facere dicebat de matris fratrisque ipsius humanitate, quam parum difficiles essent, ex ea, quæ in ipsa elucebat, virtute : neque ipsis gravem fore, qui mercedem pro hospitio solveret suisque sumptibus viveret. Illa vero bene ipsum de parentum humanitate conjectare respondit; increpabat tamen quod illiberales esse suspicaretur : omnia enim gratis habiturum. Fratri tamen Labano re prius indicata, si ille annuerit, eum deducturam esse aiebat.

3. Ut igitur hoc facto adduxerat hospitem, camelos ejus servi Labani accipiunt curantque, ipse vero cœnaturus a Labano introducitur : Ac cœna peracta ipsum matremque virginis sic alloquitur. « Abramus filius quidem est Tharri, « vester autem cognatus : Nachores enim, tuorum, o ma« trona, liberorum avus, Abrami erat frater, eodem patre « et eadem matre prognatus. Is igitur ad vos mittit, postu« lans hanc virginem filio suo accipere in matrimonium, « quem legitimum habet solumque in bonorum omnium « hæreditatem eduxit. Qui quum potuisset illi ex istius re« gionis feminis vel opulentissimam capere, noluit *eam* « *filio* connubio jungi, sed genus *suum* habens summo in « honore hasce nuptias conciliare cupit. Cujus studium et « propositum nolite contemnere : nam Dei benignitate et alia « mihi in hoc itinere feliciter successerunt puellam hanc « et vestras ædes inveni. Quum enim prope ad urbem acces« sissem, virgines complures videns ad puteum advenientes « *Deum* oravi ut in hanc inciderem : quod et factum est. « Has igitur nuptias Dei præsentia conciliatas vos quoque « vestra auctoritate ratas habetote, et Abramum, qui me « tanto studio huc misit, puellam concedendo honorate ». Illi vero, nam honesta visa sunt ipsis et grata *quæ dicebat*, et Dei voluntatem intellexerunt, filiamque mittunt quibus petebant conditionibus : duxitque illam Isacus, factus rerum omnium dominus : nam qui fuerant ex Chetura nati in colonias iverant.

CAP. XVII.

Non multo autem post moritur etiam Abramus, vir in omni virtute summus, Deoque pro sua in ipsum insigni pietate egregie carus. Vixit autem annos centum et septuaginta quinque : et sepultus est in Chebrone, juxta uxorem Sarram, a filiis suis Isaco et Ismaelo.

CAP. XVIII.

Ab Isaco autem [post Abrami mortem] gravida facta est uxor : ventreque *ejus* in majus intumescente, anxius Deum consulnit. Respondet autem gemellos ei pariturum Rebeccam, gentesque fore liberis cognomines, et Quæ minor vi-

σὶν ἔθνη, τοῦ δὲ μείζονος προτερήσειν τὸ δοκοῦν ἔλασσον εἶναι. Τίκτεται δ' αὐτῷ μετ' ὀλίγον κατὰ τὴν πρόρρησιν τοῦ Θεοῦ δίδυμα παιδία, ὧν τὸ μὲν πρεσβύτερον ἀπὸ κεφαλῆς ἐπὶ τοὺς πόδας δασὺ περισσῶς ἦν, τὸ δὲ νεώτερον εἶχετο προϊόντος αὐτοῦ κατὰ πτέρναν. Ἠγάπα δὲ ὁ μὲν πατὴρ τὸν πρεσβύτερον, Ἥσαυον τὸν καὶ Σήειρον λεγόμενον κατ' ἐπωνυμίαν τῆς τριχώσεως· Ἑβραῖοι γὰρ τὸ σήειρον τρίχωμα λέγουσιν· Ἰάκωβος δὲ ὁ νεώτερος τῇ μητέρι προσφιλὴς ἦν.

β'. Λιμοῦ δὲ τὴν γῆν καταλαβόντος, Ἴσακος, δόξαν αὐτῷ χωρεῖν εἰς Αἴγυπτον, τῆς χώρας ἀγαθῆς ὑπαρχούσης, ἐπὶ Γεράρων ἀπῆει τοῦ Θεοῦ κελεύσαντος. Ὑποδέχεται δ' αὐτὸν ὁ βασιλεὺς Ἀβιμέλεχος κατὰ ξενίαν καὶ φιλίαν τὴν Ἀβράμου. Καὶ πολλῇ πάνυ πρὸς αὐτὸν εὐνοίᾳ χρησάμενος κατ' ἀρχὰς, ἐπὶ ταύτης ὑπὸ φθόνου μεῖναι πρὸς τὸ πᾶν ἐκωλύθη. Ὁρῶν γὰρ τὸν Θεὸν τῷ Ἰσάκῳ συμπαρόντα καὶ τοσαύτῃ περὶ αὐτὸν σπουδῇ χρώμενον, ἀπώσατο αὐτόν. Ὁ δὲ τοιούτου πάλιν ἐκ μεταβολῆς τῆς ἀπὸ τοῦ βασκάνου πειραθεὶς Ἀβιμελέχου, τότε μὲν ἀνεχώρησεν εἰς τὴν λεγομένην Φάραγγα, χωρίον οὐ μακρὰν Γεράρων· ὀρύσσοντι δ' αὐτῷ φρέαρ ποιμένες ἐπιπεσόντες εἰς μάχην ἐχώρησαν, κωλύοντες τὸ ἔργον· καὶ μὴ βουληθέντος φιλονεικεῖν ἔδοξαν κεκρατηκέναι. Ὑποχωρήσας δὲ ὤρυσσεν ἕτερον, καὶ βιασαμένων ἄλλων τινῶν Ἀβιμελέχου ποιμένων, καὶ τοῦτο καταλιπὼν ἀνεχώρησεν, εὐγνώμονι λογισμῷ κτώμενος αὐτῷ τὴν ἄδειαν. Εἶτα αὐτομάτου παρασχόντος αὐτῷ τὴν φρεωρυχίαν ἀνεπικώλυτον, Ῥωβὼθ τὸ φρέαρ ὠνόμασεν· εὐρύχωρον ἀποσημαίνει τὸ ὄνομα. Τῶν δὲ προτέρων τὸ μὲν Ἔσκον καλεῖται, μάχης ἄν τις αὐτὸ φήσειε, τὸ δὲ ἕτερον Σιτεννά, ἔχθραν ἀποσημαίνει τὸ ὄνομα.

γ'. Ἰσάκῳ μὲν οὖν ἀκμάζειν συνέβαινε τὴν ἰσχὺν ὑπὸ μεγέθους πραγμάτων· Ἀβιμέλεχος δὲ, καθ' αὑτοῦ φύεσθαι νομίζων τὸν Ἴσακον, ὑπόπτου μὲν αὐτοῖς καὶ τῆς συνδιαιτήσεως γενομένης, ἐπ' οὐ φανερᾷ δὲ ἔχθρᾳ τοῦ Ἰσάκου ὑπεκστάντος, δείσας μὴ τῆς προτέρας αὐτῷ φιλίας μηδὲν ὄφελος γένηται, πρὸς ἄμυναν ὧν ἔπαθεν Ἰσάκου τραπέντος, φιλίαν ἀνωθεν ποιεῖται πρὸς αὐτὸν, ἕνα τῶν στρατηγῶν Φίκολον ἐπαγόμενος. Πάντων δὲ τετυχηκὼς ὧν ἠξίου διὰ τὴν Ἰσάκου χρηστότητα, ὀργῆς προσφάτου πρεσβυτέραν χάριν εἰς αὐτόν τε καὶ τὸν πατέρα γεγενημένην προτιμῶντος, ἀπῆρεν εἰς τὴν ἑαυτοῦ.

δ'. Τῶν δὲ Ἰσάκου παίδων Ἥσαυος, περὶ ὃν μάλιστα ὁ πατὴρ ἐσπουδάκει, τεσσαράκοντα γεγονὼς ἔτη, γαμεῖ Ἄδαν τὴν Ἠλωνος καὶ Ἀλιβάμην τὴν Ἐσεβέωνος, δυναστευόντων ἐν Χαναναίοις ἀνδρῶν θυγατέρας, ἑαυτὸν ποιήσας τῆς περὶ τὸν γάμον ἐξουσίας κύριον, καὶ μηδὲ τῷ πατρὶ συμβουλευσάμενος. Οὐδὲ γὰρ ἂν ἐπέτρεψεν Ἴσακος, ἐπ' αὐτῷ τῆς γνώμης γενομένης· οὐ γὰρ ἦν αὐτῷ δι' ἡδονῆς συνάψασθαι συγγένειαν πρὸς τοὺς ἐπιχωρίους. Οὐ βουλόμενος δὲ ἀπεχθὴς εἶναι τῷ παιδὶ, κελεύων ἀφίστασθαι τῶν γυναικῶν, σιγᾶν ἔκρινε.

debitur majori præcellet. Nec multo post, sicut prædixerat Deus, nascuntur ei gemini : quorum senior quidem a capite ad pedes supra modum hispidus erat, junior vero exeuntis ante se calcem manu tenebat. Pater autem amabat natu majorem, Esavi vel Seiri ex pilositate cognomen habentem : nam Hebræi pilos vocant seiron. Jacobus vero minor matri carus erat.

2. Verum fame per terram grassante, Isacus, quum decrevisset ire in Ægyptum, dei jussu Gerara se contulit. Rex autem Abimelechus excipit eum propter hospitium et amicitiam Abrami. Quumque eum initio magna benevolentia prosequeretur, restitit invidia, ne prorsus in eo affectu perseveraret. Deum enim videns Isaco propitium adesse, et tantopere illi favere, expulit eum. At ille, denuo Abimelechum præ invidia adeo mutatum expertus, tum quidem recessit in agrum, qui Vallis vocatur, locum non longe a Geraris. Sed dum puteum foderet, pastores irruentes pugnam cient, ut opus impedirent : et quum ille contendere noluerit, visi sunt prævaluisse. Pedem autem referens alterum cavavit *puteum*, aliisque Abimelechi pastoribus vim inferentibus, hunc etiam relinquens abscessit, prudenti consilio sibimet comparans securitatem. Dein *rege hoc* illi sponte præstante, ut absque omni impedimento puteum demitteret, Rooboth illum appellavit, nomine spatium amplum significante. E prioribus autem unus quidem Escon vocatur, ac si quis diceret pugnæ *puteum* : alter vero Sitenna, quod nomen inimicitias denotat.

3. Porro ita contigit ut Isaco cresceret potentia ex operum magnitudine. Itaque Abimelechus, ratus contra se auctas fore opes Isaci, quum et non sine mutuis suspicionibus simul vixerint, et ex occulta inimicitia secesserit Isacus, metuens ne prior amicitia nihil ei prodesset, Isaco ad injuriam acceptam ulciscendam converso, rursus cum illo amicitiam renovat, uno e suis ducibus Phicolo secum adducto. Ac quum omnia, quæ poposcerat, nactus fuisset ex Isaci bonitate, qui veteri in se patremque gratiæ recentem donavit iram, domum est reversus.

4. Isaci autem filiorum *alter* Esavus, cui impense faverat pater, quadraginta annos natus uxores ducit Adam Helonis filiam, et Alibamam Esebeonis, virorum in Chananæis potentissimorum, propria in re matrimonii auctoritate fretus, nec quidquam consilii cum patre communicans. Nam id sane non permisisset Isacus, si sententiæ ipsius stetisset : non enim illi volupe erat affinitates jungere cum istius regionis incolis. Nolens autem filio esse molestus, jubendo ut a mulieribus abscederet, secum statuit silere.

ε'. Γηραιὸς δὲ ὢν καὶ τὰς ὄψεις εἰς τὸ παντελὲς ἠφανισμένος, προσκαλεσάμενος τὸν Ἥσαυον, καὶ τὸ γῆρας εἰπὼν, ὡς καὶ δίχα τῆς πηρώσεως καὶ τοῦ κατὰ τὰς ὄψεις πάθους ἐμποδὼν ἦν αὐτῷ θεραπεύειν τὸν Θεὸν, ἐκέλευσεν ἐξελθεῖν ἐπὶ κυνηγέσιον, καὶ θηρασάμενον ὅσα ἂν αὐτῷ δυνατὸν γένηται παρασκευάσαι δεῖπνον, ἵνα μετὰ τοῦτο ἱκετεύσῃ τὸν Θεὸν, σύμμαχον αὐτῷ καὶ συνεργὸν εἰς ἅπαντα παρεῖναι τὸν βίον, ἄδηλον μὲν εἶναι λέγων ὁπότε καὶ τελευτήσειε, πρὸ δὲ τούτου παρασχεῖν αὐτῷ βούλεσθαι τὸν Θεὸν ταῖς εὐχαῖς ταῖς ὑπὲρ αὐτοῦ παρακεκλημένον.

ς'. Καὶ Ἥσαυος μὲν ἐπὶ τὸ κυνηγέσιον ἐξώρμησεν· ἡ δὲ Ῥεβέκκα, τὸν Θεὸν εἰς τὴν εὔνοιαν ἀξιοῦσα τὴν Ἰακώβου παρακαλεῖν, καὶ παρὰ τὴν Ἰσάκου γνώμην, ἐκέλευσεν αὐτὸν ἐρίφους κατασφάξαντα δεῖπνον παρασκευάζειν. Ὁ δὲ Ἰάκωβος ὑπηρετεῖ τῇ μητρὶ, πάντα παρ' αὐτῆς πεπυσμένος. Ἐπεὶ δ' εὐτρεπὲς ἦν τὸ δεῖπνον, ἐρίφου δέρματι τὸν βραχίονα περιβαλὼν, ἵνα πιστεύοιτο παρὰ τῷ πατρὶ διὰ τὴν δασύτητα Ἥσαυος εἶναι (τὰ γὰρ ἄλλα πάντα ὢν ὅμοιος διὰ τὸ εἶναι δίδυμος, τούτῳ μόνῳ διέφερε), καὶ φοβηθεὶς μὴ, πρὶν γενέσθαι τὰς εὐχὰς, εὑρεθεὶς κακουργῶν εἰς τοὐναντίον παροξύνειε τὸν πατέρα ποιήσασθαι ταύτας, προσέφερε τῷ πατρὶ τὸ δεῖπνον. Καὶ Ἴσακος ἐπαισθόμενος τῷ κατὰ τὴν φωνὴν ἰδίῳ προσκαλεῖται τὸν υἱόν. Τοῦ δὲ τὸν βραχίονα προτείναντος, ᾧ τὴν αἰγέαν περιεβέβλητο, ταύτης ἐπαφώμενος, Φωνεῖς μὲν, εἶπεν, Ἰακώβῳ παραπλήσιον, κατὰ μέντοι τὸ τῆς τριχὸς βάθος Ἥσαυος εἶναί μοι δοκεῖς. (7) Καὶ μηδὲν ὑπολαβὼν κακοῦργον, δειπνήσας τρέπεται πρὸς εὐχὰς καὶ παράκλησιν τοῦ θεοῦ, « Δέσποτα, λέγων, παντὸς αἰῶνος καὶ δημιουργὲ « τῆς ὅλης οὐσίας, σὺ γὰρ τῷ πατρὶ τῷ ἐμῷ μεγάλην « ἰσχὺν προὔθηκας ἀγαθῶν, κἀμὲ τῶν παρόντων ἠξίωσας, καὶ τοῖς ἐξ ἐμοῦ γενομένοις ὑπέσχου βοηθὸς εὐμενὴς καὶ δοτὴρ ἀεὶ τῶν κρειττόνων ἔσεσθαι. Ταῦτ' « οὖν καὶ βεβαίωσον, καὶ μὴ περίδῃς με διὰ τὴν παροῦσαν ἀσθένειαν, δι' ἣν καὶ μᾶλλον σοῦ δεόμενος « τυγχάνω. Καί μοι παῖδα τοῦτον εὐμενὴς σῶζε καὶ « παντὸς ἀπαθῆ κακοῦ διαφύλαττε, δοὺς αὐτῷ βίον « εὐδαίμονα καὶ κτῆσιν ἀγαθῶν ὅσων σοὶ δύναμις παρασχεῖν· ποιήσεις δ' αὐτὸν φοβερὸν μὲν ἐχθροῖς, φίλοις δὲ τίμιον καὶ κεχαρισμένον. »

η'. Καὶ ὁ μὲν νομίζων εἰς Ἥσαυον ποιεῖσθαι τὰς εὐχὰς παρεκάλει τὸν Θεόν· ἄρτι δ' ἐπέπαυτο τούτων, καὶ παρῆν Ἥσαυος ἀπὸ τῆς θήρας· καὶ τῆς διαμαρτίας ὁ Ἴσακος αἰσθανόμενος ἡσυχίαν ἄγει. Ἥσαυος δὲ ἠξίου τῶν ὁμοίων ταδελφῷ παρὰ τοῦ πατρὸς τυγχάνειν. Τοῦ δὲ πατρὸς ἀρνουμένου, διὰ τὸ πάσας εἰς Ἰάκωβον τὰς εὐχὰς ἀνηλωκέναι, πένθος ἦγεν ἐπὶ τῇ διαμαρτίᾳ. Καὶ αὐτοῦ τοῖς δάκρυσιν ἀχθόμενος ὁ πατὴρ τὰ μὲν περὶ τὸ κυνηγέσιον καὶ δύναμιν σώματος ἐν ὅπλοις καὶ πᾶσιν ἔργοις εὐδοκιμήσειν αὐτὸν ἔφασκε, καὶ καρπώσεσθαι τὴν ἐπ' αὐτοῖς δόξαν δι' αἰῶνος καὶ τὸ ἀπ' αὐτοῦ γένος, δουλεύσειν δὲ ταδελφῷ.

5. Sed quum esset senex et visu prorsus orbatus, Esavum ad se vocat, quærensque de senectute, ut vel sine defectu visus et cæcitatis calamitate ipsum impedierit, quominus Deo posset ministrare, jussit eum venatum exire, et quantumcunque posset captantem cœnam parare; ut ea sumpta Deum precaretur, illi per totum vitæ curriculum auxiliatorem fore ac adjutorem : incertum quidem esse dicens quando etiam moreretur, velle tamen, antequam e vita discederet, Deum illi suis pro eo precibus propitium reddere.

6. Et Esavus quidem ad venationem festinavit. At Rebecca, æquum censens Dei favorem pro Jacobo implorare, etiam præter Isaci institutum, ipsi præcepit hœdis jugulatis cœnam instruere. Jacobus autem matri obsequitur, omnia ab ipsa edoctus. Posteaquam vero parata erat cœna, pelle hœdina brachium circumvolvens, ut propter villosam cutem Esavum esse crederet pater (nam cetera omnia similis, ut qui gemellus, hoc solo differebat) sollicitusque, ne, priusquam preces conciperentur, in dolo malo deprehensus patrem ita irritaret, ut eas in imprecationes verteret, epulas patri apponebat. Isacus autem peculiari vocis sono intelligens filium advocat. Illo vero protendente brachium, cui pellem hœdinam circumdederat, hispidum tractans *Isacus* exclamavit, Voce quidem Jacobo similis es, attamen ob pilositatem Esavus mihi videris. (7) Nihilque mali suspicatus, quum cœnasset ad preces et invocationem Dei convertitur, dicens, « Domine omnium sæculorum et re- « rum universitatis conditor, tu etenim patri meo ingentem « bonorum vim proposuisti, et me præsenti felicitate di- « gnatus es, posterisque meis pollicitus es te benignum « fore adjutorem et meliorum in dies largitorem : hæc igitur « faustis sancito auspiciis, neque me propter hanc debili- « tatem despicias, quæ facit ut magis etiam ope tua egeam. « Serva mihi puerum hunc propitius, et ab omni malo in- « tactum custodi, illi vitam felicem concedens, et bono- « rum quæ potes impertire possessionem. Fac autem eum « inimicis quidem formidabilem, inter amicos vero hono- « ratum et gratiosum. »

8. Ac ille quidem putans se Esavo bene precari Deum invocabat. Vix autem conticuerat, quum a venatione adfuit Esavus : et Isacus frustrationem sentiens quiescit. At Esavus postulabat ut similia ac frater ab ipso acciperet. Patre vero negante, quod omnes in Jacobum preces erogaverat, frustrationem lugebat Esavus. Ejusque lacrimis commotus pater futurum aiebat ut venandi quidem exercitatione et corporis viribus in armorum usu aliisque operibus ipse præcelleret, eamque gloriam tum ipsi tum ejus posteris sempiternam mansuram, sed fratri serviturum esse.

θ'. Ἰάκωβον δὲ φοβούμενον τὸν ἀδελφὸν, τιμωρίαν βουλόμενον ἀπολαβεῖν τῆς ἐπὶ ταῖς ἁραῖς διαμαρτίας, ἡ μήτηρ ῥύεται· πείθει γὰρ τὸν ἄνδρα Μεσοποταμῖτιν ἀγαγέσθαι τῷ Ἰακώβῳ γυναῖκα συγγενῆ. Ἤδη γὰρ καὶ τὴν Ἰσμαήλου θυγατέρα, τοῦ πατρὸς ἄκοντος, Ἥσαυος παρειλήφει πρὸς γάμον Βασεμμάθην. Οὐ γὰρ εὐνόουν τοῖς Χαναναίοις οἱ περὶ τὸν Ἴσακον, ὥστ' ἐπὶ τοῖς πρότερον αὐτοῦ γάμοις δυσχερῶς διακειμένων εἰς τὸ ἐκείνοις κεχαρισμένον τὴν Βασεμμάθην ὁ Ἥσαυος παρέλαβε, μάλιστα περὶ αὐτὴν σπουδάσας.

9. Ceterum Jacobo fratrem metuente, ne pœnas a se exigeret, quod precibus esset frustratus, mater eum huic eximit periculo : nam marito persuasit ut Mesopotamica Jacobo duceretur mulier cognata. Jam enim et Ismaeli filiam Basemmatham, invito patre, in matrimonium acceperat Esavus. Nam quum animo in Chananæos haudquaquam benevolo esset Isacus, ut qui primas illius nuptias ægre admodum tulerit, Esavus gratiam ab eo initurus Basemmatham sibi adjunxerat, summo amore illam prosequutus.

ΚΕΦ. ΙΘ'.

Ἰάκωβος δὲ εἰς τὴν Μεσοποταμίαν στελλόμενος ὑπὸ τῆς μητρὸς, κατὰ γάμον τῆς Λαβάνου θυγατρὸς τοῦ ἐκείνης ἀδελφοῦ, ἐπιτρέψαντος Ἰσάκου τὸν γάμον διὰ τὸ πείθεσθαι τοῖς βουλήμασι τῆς γυναικὸς, διὰ τῆς Χαναναίας ἐπορεύετο, καὶ διὰ τὸ πρὸς τοὺς ἐπιχωρίους μῖσος παρ' οὐδενὶ μὲν ἠξίου κατάγεσθαι, ὕπαιθρος δὲ ηὐλίζετο, τὴν κεφαλὴν λίθοις ὑπ' αὐτοῦ συμφορουμένοις ἐπιτιθείς· καὶ τοιαύτην κατὰ τοὺς ὕπνους ὄψιν ὁρᾷ παραστᾶσαν αὐτῷ. Κλίμακα γῆθεν ἔδοξεν ἐφικνουμένην τοῦ οὐρανοῦ βλέπειν, καὶ δι' αὐτῆς ὄψεις κατιούσας σεμνότερον ἢ κατὰ ἀνθρώπου φύσιν ἐχούσας, καὶ τελευταῖον ὑπὲρ αὐτῆς τὸν Θεὸν ἐναργῶς αὐτῷ φαινόμενον, ὀνομαστί τε καλέσαι καὶ ποιήσασθαι τοιούτους λόγους· « Ἰάκωβε, πατρὸς ὄντα σε ἀγαθοῦ καὶ πάππου δόξαν ἀρετῆς μεγάλης εὐραμένου, κάμνειν ἐπὶ τοῖς παροῦσιν οὐ προσῆκεν, ἀλλ' ἐλπίζειν τὰ κρείττονα. Καὶ γὰρ ἄφθονος ἐκδέξεταί σε μεγάλων ἀγαθῶν παρουσία πρὸς τὸ πᾶν κατὰ τὴν ἐμὴν ἐπικουρίαν. ἈΑβραμόν τε γὰρ ἐγὼ ἐκ τῆς Μεσοποταμίας δεῦρ' ἤγαγον, ἐλαυνόμενον ὑπὸ τῶν συγγενῶν, καὶ πατέρα τὸν σὸν εὐδαίμονα ἀπέφηνα. Ὧν οὐχ ἧττω μοῖραν εἰς σὲ καταθήσομαι. Θαρρῶν οὖν καὶ ταύτην ποιρεύου τὴν ὁδὸν, ἐμοὶ πομπῷ χρώμενος. Ἀνυσθήσεται γάρ σοι γάμος, ἐφ' ὃν ἐσπούδακας, καὶ γενήσονταί σοι παῖδες ἀγαθοί. Τὸ δὲ πλῆθος αὐτῶν ἀριθμοῦ κρεῖττον ἔσται, μείζοσιν υἱοῖς αὐτῶν καταλιμπάνοντας· οἷς ἐγὼ τὸ ταύτης κράτος τῆς γῆς δίδωμι καὶ παισὶ τοῖς αὐτῶν, οἳ πληρώσουσι πᾶσαν ὅσην ἥλιος ὁρᾷ καὶ γῆν καὶ θάλασσαν. Ἀλλὰ μήτε κίνδυνον ὑφορῶ μηδένα μήτ' εὐλαβοῦ τὸ πλῆθος τῶν πόνων, ἐμοῦ ποιουμένου τῶν σοι πραχθησομένων πρόνοιαν, ἔν τε τοῖς νῦν καὶ πολὺ πλέον ἐν τοῖς ὕστερον. »

γ'. Ταῦτα μὲν οὖν ὁ Θεὸς Ἰακώβῳ προαγορεύει· ὁ δὲ περιχαρὴς γενόμενος ἐπὶ τοῖς ἑωραμένοις καὶ κατηγγελμένοις φαιδρύνει τε τοὺς λίθους, ὡς τηλικούτων ἀγαθῶν ἐπ' αὐτοῖς προρρήσεως γεγενημένης, καὶ εὐχὴν ποιεῖται θύσειν ἐπ' αὐτῶν, εἰ κτησάμενος βίον ἀπαθῆς ἐπανίοι, καὶ τῷ Θεῷ δεκάτην τῶν πεπορισμένων ποιήσεσθαι, οὕτως αὖθις ἀφικόμενος. Τίμιόν τε κρίνει τὸ χωρίον, ὄνομα αὐτῷ Βηθὴλ θέμενος· σημαίνει δὲ τοῦτο θείαν ἑστίαν κατὰ τὴν τῶν Ἑλλήνων γλῶτταν.

δ'. Προϊὼν δὲ ἐπὶ τῆς Μεσοποταμίας χρόνῳ παρῆν

3. Et hæc quidem Deus Jacobo prædicit. Ille vero, ob ea quæ visa sibi promissaque lætitia gestiens, et lapides oleo perfundit, quod super eos tantæ felicitatis sibi facta fuerit promissio, votumque nuncupat sacrificaturum se illic, si victum comparaverit et salvus redierit, Deoque omnium quæ acquisiverit decimam oblaturum, modo ita revertatur. Atque locum honore dignum censet, eum Bethel nominans : hoc vero Græcis θείαν ἑστίαν (Dei focum *sive* domum) sonat.

4. Illinc recta contendens per Mesopotamiam tandem per-

εἰς τὴν Χαρράν. Καὶ ποιμένας ἐν τοῖς προαστείοις καταλαβὼν καὶ παῖδας ἐφήβους καὶ παρθένους, ὑπέρ τινος ἱδρυμένους φρέατος, συνδιέτριβεν αὐτοῖς χρήζων ποτοῦ. Εἴς τε λόγους αὐτοῖς ἀφικνούμενος ἀνέκρινεν αὐτοὺς εἰ τυγχάνουσι Λάβανόν τινα παρ' αὐτοῖς εἰδότες ἔτι περιόντα. Οἱ δὲ πάντες ἐπίστασθαί τε ἔφασαν (οὐ γὰρ εἶναι τοιοῦτον ὥστε ἀγνοεῖσθαι)· καὶ συμποιμαίνειν αὐτοῖς θυγατέρα αὐτοῦ, ἣν θαυμάζειν ὅτι μήπω παρείη· Παρὰ γὰρ ταύτης μεμαθήκεις ἂν ἀκριβέστερον ὅσα περὶ αὐτῶν ἀκοῦσαι ποθεῖς. Ταῦτα δ' αὐτῶν ἔτι λεγόντων παρῆν ἡ παῖς σὺν τοῖς ἐπικατιοῦσι τῶν ποιμένων καὶ δεικνύουσι τὸν Ἰάκωβον αὐτῇ, λέγοντες ὡς ξένος οὗτος ἥκοι τὰ περὶ τοῦ πατρὸς αὐτῆς ἀναπυνθανόμενος. Ἡ δὲ ἡσθεῖσα ὑπὸ νηπιότητος τῇ παρουσίᾳ τοῦ Ἰακώβου, ἀνέκρινεν αὐτὸν τίς τε ὢν καὶ πόθεν ἥκοι πρὸς αὐτοὺς καὶ ὑπὸ τίνος χρείας ἠγμένος· ηὔχετο δὲ εἶναι δυνατὸν αὐτοῖς παρέχειν ὧν ἀφικνεῖται δεόμενος.

ε'. Ἰάκωβος δὲ οὐχ ὑπὸ τῆς συγγενείας, οὐδὲ τῆς διὰ ταύτην εὐνοίας, ἀλλ' ἔρωτι τῆς παιδὸς ἡττηθείς, ἐκπέπληκτό τε τοῦ κάλλους ὁρῶν οὕτως ἔχουσαν ὡς ὀλίγαι τῶν τότε γυναικῶν ἤνθουν, καὶ φησὶν, Ἀλλ' ἐμοὶ πρὸς σὲ καὶ πατέρα τὸν σὸν, εἴπερ Λαβάνου παῖς τυγχάνεις, οἰκειότης ἐστὶ πρεσβυτέρα τῆς τε ἐμῆς καὶ σῆς γενέσεως· ἐκ Θάρρου γὰρ Ἄβραμος καὶ Ἀρράνης καὶ Ναχώρης ἦσαν υἱοί, ὧν Βαθούηλος ὁ σὸς πάππος Ναχώρου γίνεται παῖς, Ἀβράμου δὲ καὶ τῆς Ἀρράνου Σάρρας Ἴσακος ἐμὸς πατήρ. Ἔγγιον δὲ καὶ νεώτερον τοῦθ' ἡμεῖς τῆς συγγενείας δημήρευμα πρὸς ἀλλήλους ἔχομεν· Ῥεβέκκα γὰρ μητὴρ ἐμὴ, Λαβάνου πατρὸς τοῦ σοῦ ἀδελφὴ, πατρός τε τοῦ αὐτοῦ καὶ μητρός· ἀνεψιοὶ δ' ἐσμὲν ἡμεῖς ἐγώ τε καὶ σύ. Καὶ νῦν δεῦρ' ἥκω ἀσπασόμενός τε ὑμᾶς καὶ τὴν προϋποῦσαν ἡμῖν συγγένειαν ἀνανεωσόμενος. Ἡ δὲ ὑπὸ μνήμης, ὁποῖα φιλεῖ συντυγχάνειν τοῖς νέοις, προπεπυσμένη παρὰ τοῦ πατρὸς τὰ περὶ τῆς Ῥεβέκκας, καὶ τοὺς γονεῖς εἰδυῖα ποθοῦντας αὐτῆς τὸ ὄνομα, ὑπὸ τῆς περὶ τὸν πατέρα εὐνοίας ἔνδακρυς γενομένη περιβάλλει τὸν Ἰάκωβον, καὶ κατασπασαμένη τὴν εὐκταιοτάτην καὶ μέγιστην ἡδονὴν αὐτὸν κομίσαι τῷ πατρὶ καὶ τοῖς ἐπὶ τῆς οἰκίας ἅπασιν ἔλεγεν, ἐπὶ τῇ μνήμῃ τῆς μητρὸς αὐτοῦ κειμένῳ καὶ πρὸς μόνῃ ταύτῃ τυγχάνοντι· φανεῖσθαι δ' ἂν τοῦ παντὸς ἀντάξιον ἀγαθοῦ. Χωρεῖν τε ἐκέλευσεν ἤδη πρὸς τὸν πατέρα, καὶ ἕπεσθαι πρὸς αὐτὸν ἡγουμένῃ, καὶ τῆς ἡδονῆς μὴ ἀφαιρεῖσθαι τὸ πλέον αὐτὸν βραδύνοντα.

ς'. Ταῦτ' εἰποῦσα παρήγαγεν αὐτὸν πρὸς τὸν Λάβανον. Καὶ γνωρισθεὶς ὑπὸ τοῦ μήτρωος, αὐτός τε ἀδεὴς ἦν ἐν φίλοις γενόμενος κἀκείνοις πολλὴν ἡδονὴν παρεῖχεν ἀδοκήτως ἐπιφανείς. Μετὰ δὲ οὐ πολλὰς ἡμέρας ὁ Λάβανος χαίρειν μὲν ἐπ' αὐτῷ παρόντι μειζόνως ἢ ὡς τῷ λόγῳ δηλώσειεν ἔλεγε· τὴν δ' αἰτίαν δι' ἣν ἀφῖκται, μητέρα τε καὶ πατέρα πρεσβύτας καταλιπὼν καὶ θεραπείας τῆς παρ' αὐτοῦ δεομένους, ἀνεπυ-

venit Charram. At quum pastores offendisset in suburbio, et adolescentes ac puellas ad puteum quendam sedentes, iis se immiscuit, potum desiderans. Et cum illis dum sermonem confert, percontatus est, an nossent Labanum quendam popularem suum, si forte adhuc supersit. Illi vero omnes et se novisse dixerunt (non enim talem esse ut ignotus esse possit), ejusque filiam una pascere, seque demirari, quod nondum adsit: Ex ea enim, *inquiunt*, accurate de illis omnia, quæ scire aves, poteras intelligere. Inter loquendum advenit puella cum pastoribus qui una descenderant, eique Jacobum ostendunt, dicentes, Peregrinus iste venit, ut de patre tuo sciscitaretur. Illa vero, puellariter gavisa Jacobi adventu, ipsum interrogabat, quisnam et unde ad eos veniret, et qua necessitate adductus: optavitque ut penes ipsos esset suppeditare quorum gratia venerit.

5. Jacobus autem, non cognatione, ejusve benevolentia, sed amore puellæ captus, et obstupuit, tali eam videns formæ venustate præditam, quali paucæ tunc feminæ florebant; et dicit: « Mihi tecum et cum tuo patre, siquidem Labani es filia, antiquior intercedit necessitudo, quam sit vel tua ætas vel mea: Tharro enim Abramus et Arranes et Nachores filii fuere, ex quibus Bathuelus tuus avus Nachoris fuit filius, Abrami vero et Sarræ Arranis filiæ pater meus Isacus. Quin et propinquius est et recentius cognationis pignus, quo sumus mutuo devincti: Rebecca enim mater mea Labani patris tui soror est, eodem patre ac matre genita; itaque consobrini sumus ego et tu. Nunc autem huc venio vos salutaturus et veterem affinitatem renovaturus ». At illa in memoriam revocans quæ prius (ut adolescentulis solet evenire) a patre audiverat de Rebecca, probeque sciens nomen ejus grate accidere ad parentum aures, præ amore patris lacrimabunda complectitur Jacobum, et postquam eum salutaverat, « Optatissimam, inquit, et maximam voluptatem affers patri cum tota familia, qui nunquam matris tuæ obliviscitur, crebram illius mentionem faciens: eique videberis cum quovis bono conferendus. » Atque ad patrem e vestigio ire jussit, seque ad eum deducturam sequi, neque cunctando illum amplius hac privare voluptate.

6. His dictis, adduxit eum ad Labanum. Agnitusque ab avunculo, et ipse nihil habebat quod vereretur inter amicos, illisque inexspectato adventu multum voluptatis attulit. Post aliquot autem dies Labanus gaudere se quidem ejus præsentia magis quam verbis exprimere posset aiebat, sed quam ob rem venisset relictis patre matreque grandævis, et qui ipsius obsequiis ægre carerent, ab eo requirebat:

Θάνετο· παρέξειν γὰρ αὐτῷ καὶ πρὸς ἅπασαν ἐπαμύνειν χρείαν. Ἰάκωβος δὲ αὐτῷ πᾶσαν τὴν αἰτίαν διηγεῖτο, λέγων Ἰσάκῳ γενέσθαι παῖδας διδύμους, αὐτόν τε καὶ Ἥσαυον, ὃν, ἐπεὶ τῶν τοῦ πατρὸς εὐχῶν διήμαρτε, σοφίᾳ τῆς μητρὸς εἰς αὐτὸν γενομένων, ἀποκτεῖναι ζητεῖν αὐτὸν ὡς ἀφῃρημένον τῆς παρὰ τοῦ Θεοῦ βασιλείας καὶ ἀγαθῶν ὧν ὁ πατὴρ ηὔξατο· ταύτην τε εἶναι τὴν αἰτίαν τῆς ἐνθάδε παρουσίας, κατὰ τὴν τῆς μητρὸς ἐντολήν· Πᾶσί τε γὰρ ἡμῖν ἀδελφοὶ τυγχάνουσι καὶ πλέον τοῦ κατ' ἐκείνων συγγενοῦς ἡ μήτηρ προσλαμβάνει. Ἕρυμα δὲ τῆς ἐμῆς, φησὶν, ἀποδημίας σέ τε καὶ τὸν Θεὸν ποιούμενος θαρρῶ τοῖς παροῦσι.

ζ'. Λάβανος δὲ καὶ διὰ τοὺς προγόνους ὑπισχνεῖται πάσης αὐτῷ μεταδώσειν φιλανθρωπίας, καὶ διὰ τὴν μητέρα, πρὸς ἣν τὴν εὔνοιαν διὰ τῆς περὶ αὐτὸν σπουδῆς ἐνδείξασθαι καὶ μὴ παρούσης. Ποιμνίων τε γὰρ αὐτὸν ἐπιμελητὴν καταστήσειν ἔφασκε καὶ προνομίας ἀντὶ τούτων ἀξιώσειν, καὶ πρὸς τοὺς ἰδίους ἀπαλλάσσεσθαι γονεῖς βουλόμενον μετὰ δώρων ἐπανήξειν, καὶ τιμῆς ὅσης εἰκός ἐστι τυγχεῖν τὸν οὕτω συγγενῆ. Ἰακώβου δὲ ἀσμένως ταῦτα ἀκούσαντος καὶ φήσαντος ἡδέως πάντα μὲν παρ' αὐτῷ πόνον εἰς ἡδονὴν ὑπομενεῖν τὴν ἐκείνου, μισθὸν δ' ὑπὲρ τούτου λαβεῖν ἀξιοῦντος τὸν Ῥαχήλας γάμον, διά τε τὰ ἄλλα τιμῆς ἀξίας παρ' αὐτῷ τυγχανούσης καὶ ὅτι διάκονος αὐτῷ τῆς πρὸς αὐτὸν ἀφίξεως γένοιτο (ὁ γὰρ τῆς παιδὸς ἔρως αὐτὸν ἠνάγκαζε ποιήσασθαι τοὺς περὶ τούτου λόγους)· Λάβανος δὲ ἡσθεὶς τούτοις, ἐπινεύει τὸν γάμον αὐτῷ τῆς παιδὸς, οὐκ ἄλλον ἀμείνω γαμβρὸν εὐξάμενος ἐλθεῖν. Εἰ μέντοι παρ' αὐτῷ μένοι τινὰ χρόνον, τοῦτο ποιήσειν· εἰς γὰρ Χαναναίους οὐκ ἂν πέμψειν τὴν θυγατέρα, μεταμέλειν γὰρ αὐτῷ καὶ τοῦ τῆς ἀδελφῆς κήδους ἐκεῖ συναφθέντος. Τοῦ δ' Ἰακώβου τούτοις συγχωροῦντος, ἑπτὰ ἐτῶν χρόνον συντίθεται. Τοσάδε γὰρ αὐτῷ κέκριται θητεῦσαι τῷ πενθερῷ, ἵνα τῆς ἀρετῆς πεῖραν διδοὺς ἐπιγνωσθῇ μᾶλλον τίς εἴη. Καὶ προσδεξαμένου τὸν λόγον, Λάβανος τοῦ χρόνου διελθόντος προὐτίθει τὴν εὐωχίαν τῶν γάμων. Νυκτὸς δὲ ἐπιγενομένης, οὐδὲν προῃσθημένῳ τῷ Ἰακώβῳ παρακαταklίνει τὴν ἑτέραν τῶν θυγατέρων, πρεσβυτέραν τε τῆς Ῥαχήλας καὶ τὴν ὄψιν οὐκ εὐπρεπῆ. Συνελθὼν δ' ἐκεῖνος ὑπὸ μέθης καὶ σκότους, εἶτα μεθ' ἡμέραν γνοὺς, ἀδικίαν ἐπεκάλει Λαβάνῳ. Ὁ δὲ συγγνώμην ᾐτεῖτο τῆς ἀνάγκης, ὑφ' ἧς ταῦτα πράξειεν· οὐ γὰρ κατὰ κακουργίαν αὐτῷ τὴν Λείαν παρασχεῖν, ἀλλ' ὑφ' ἑτέρου μείζονος νενικημένον. Τοῦτο μέντοι γ' οὐδὲν ἐμποδίζειν πρὸς τὸν Ῥαχήλας γάμον, ἀλλ' ἐρῶντι δώσειν ταύτην μετ' ἄλλην ἑπταετίαν. Πείθεται δὲ ὁ Ἰάκωβος· οὐδὲν γὰρ ἕτερον αὐτῷ ποιεῖν ὁ τῆς κόρης ἔρως ἐπέτρεπε. Καὶ διελθούσης ἄλλης ἑπταετίας τὴν Ῥαχήλαν παρέλαβεν.

η'. Ἦσαν δ' ἑκατέραις θεραπαινίδες, τοῦ πατρὸς δόντος, Ζελφὰ μὲν Λείας, Ῥαχήλας δὲ Βάλλα, δοῦλαι μὲν οὐδαμῶς, ὑποτεταγμέναι δέ. Καὶ τῆς Λείας

se enim ipsi in omnibus quibus egeret adjumento fore et auxilio. Jacobus autem rem omnem ei exposuit, dicens Isaco esse filios geminos, se et Esavum; eum, quia frustratus fuerit patris precibus, matris arte ad se derivatis, velle se interimere, ut qui principatum a Deo destinatum ipsi præripuerit una cum felicitate quam a Deo pater ei precari voluit. Atque hanc esse causam sui adventus, accedente matris jussu: Nam et omnes sumus inter nos consanguinei et propiore adhuc gradu mater. Te vero proxime post Deum, inquit, mihi in hac peregrinatione præsidium constituens, rebus, ut nunc sunt, non diffido.

7. Labanus autem quum propter parentes omnem illi humanitatem tribuere pollicetur, tum et matris gratia, cui licet absenti ex suo in illum studio affectum suum testatum esse velit. Nam et gregum curam se illi demandare velle aiebat, summamque hac in re auctoritatem dare: et quandocunque ad suos reverti libuerit, cum muneribus redituram esse, iisque honoribus, qui tam arcta cognatione junctum deceant. At quum hæc læto animo acciperet Jacobus, diceretque se apud eum quemlibet laborem, prout illi placuerit, libenter sustenturum esse, sed mercedis loco Rachelam in matrimonium accipere postularet, quam quum ob alia summo honore prosequeretur, tum quod ipsius beneficio ad illum patuerit aditus (nam amor puellæ extorsit ut harum mentionem faceret); Labanus quidem his delectatus annuit ei puellæ nuptias, ut qui generum eo meliorem sibi accidere non optaret: sed id se facturum, si modo aliquamdiu secum maneat, in Chananæam enim non missurum esse filiam; quin et sororis affinitatis illic contractæ se pœnitere. His assentiente Jacobo, de septem annis est conventum. Totidem enim socero servire statuit, ut facto virtutis suæ experimento qui vir esset melius cognosceretur. Labanus autem conditiones accipiens, quum elapsum esset tempus præstitutum, epulas nuptiales apparat. Nocte vero appetente, Jacobo nihil præsentienti alteram filiam accubare facit, Rachela natu majorem et facie parum liberali. Ille vero vino et tenebris fallentibus cum ea congressus est; luce dein fraude animadversa, Labani perfidiam incusat. At ille veniam petebat necessitati, qua coactus hoc fecerit: non enim ex malitia illi Liam supposuisse, sed alia causa graviori impulsum: neque tamen vel minimo impedimento esse Rachelæ conjugio, sed amanti illam collocaturum esse post alterum septennium. Dictis obsequitur Jacobus: aliud enim faciendi potestatem ipsi non concessit amor puellæ. Atque altero peracto septennio, Rachelam in matrimonium accepit.

8. Erant autem ambabus ancillæ, quas attribuerat pater; Liæ quidem Zelpha, Rachelæ vero Balla, nequaquam quidem servæ, subditæ tamen. Ac graviter tulit Lia amorem

ἥπτετο δεινὸς ὁ πρὸς τὴν ἀδελφὴν ἔρως τἀνδρὸς, προσεδόκα τε παίδων γενομένων ἔσεσθαι τιμία, ἱκέτευέ τε τὸν Θεὸν διηνεκῶς. Καὶ γενομένου παιδὸς ἄρρενος, καὶ διὰ τοῦτο πρὸς αὐτὴν ἐπεστραμμένου τοῦ ἀνδρὸς, Ῥούβηλον ὀνομάζει τὸν υἱὸν, διότι κατ' ἔλεον αὐτῇ τοῦ Θεοῦ γένοιτο· τοῦτο γὰρ σημαίνει τὸ ὄνομα. Τεκνοῦνται δὲ αὐτῇ καὶ τρεῖς ἕτεροι μετὰ χρόνον, Συμεών· ἀποσημαίνει δὲ τὸ ὄνομα τὸ ἐπήκοον αὐτῇ τὸν Θεὸν γεγονέναι· εἶτα Λευὶς, κοινωνίας οἷον βεβαιωτής· μεθ' ὃν Ἰούδας, εὐχαριστίαν τοῦτο δηλοῖ. Ῥαχήλα δὲ, φοβουμένη μὴ διὰ τὴν εὐτεκνίαν τῆς ἀδελφῆς ἧττονος παρὰ τἀνδρὸς μοίρας τυγχάνῃ, παρακατακλίνει τῷ Ἰακώβῳ τὴν ἑαυτῆς θεραπαινίδα Βάλλαν. Γίνεται δὲ παιδίον ἐξ αὐτῆς Δὰν, θεόκριτον ἄν τινες εἴποιεν κατὰ τὴν Ἑλλήνων γλῶτταν· καὶ μετὰ τοῦτον Νεφθαλεὶμ, ἀμηχάνητος οἷον, διὰ τὸ ἀντιτεχνάσασθαι πρὸς τὴν εὐτεκνίαν τῆς ἀδελφῆς. Τὸ δ' αὐτὸ καὶ Λεία ποιεῖ, πρὸς τὸ τῆς ἀδελφῆς ἔργον ἀντιτεχνασαμένη· παρακατακλίνει γὰρ τὴν αὐτῆς θεράπαιναν. Γίνεται δὲ καὶ ἐκ τῆς Ζελφᾶς υἱὸς Γάδας, τυχαῖον ἄν τις καλέσειεν αὐτόν· καὶ μετὰ τοῦτον Ἀσὴρ, μακαριστὴς λέγοιτο ἄν, ἐξ ὧν πρὸς εὐκλειαν τῇ Λείᾳ προσελάμβανε. Ῥουβήλου δὲ, τοῦ πρεσβυτάτου τῶν υἱῶν Λείας μανδραγόρου μῆλα κομίζοντος τῇ μητρὶ, Ῥαχήλα θεασαμένη παρεκάλει μεταδοῦναι, δι' ἐπιθυμίας τοῦ βρώματος γενομένη. Τῆς δ' οὐ πειθομένης, ἀρκεῖσθαι δ' αὐτὴν ἀξιούσης, ὅτι τῆς τιμῆς αὐτὴν ἀφέλοιτο τῆς παρὰ τοῦ ἀνδρὸς, Ῥαχήλα πεπαίνουσα τὸν θυμὸν τῆς ἀδελφῆς, παραχωρήσειν αὐτῇ τἀνδρὸς ἔλεγε κοιμησομένου παρ' αὐτῇ κατ' ἐκείνην τὴν ἑσπέραν. Τῆς δὲ προσιεμένης τὴν χάριν, Ἰάκωβος συγκαθεύδει τῇ Λείᾳ, Ῥαχήλᾳ χαριζόμενος. Πάλιν οὖν γίνονται παῖδες αὐτῇ· Ἰσσάχαρις μὲν, σημαίνων τὸν ἐκ μισθοῦ γενόμενον, Ζαβουλὼν δὲ, ἠνεχυρασμένον εὐνοίᾳ τῇ πρὸς αὐτήν· θυγάτηρ δὲ Δεῖνα. Χρόνοις δ' ὕστερον καὶ Ῥαχήλᾳ γίνεται ὁ Ἰώσηπος υἱός· προσθήκην γενησομένου τινὸς δηλοῖ.

θ'. Τοῦτον ἅπαντα τὸν χρόνον, ἔτη δ' ἐστὶν εἴκοσιν, ἐποίμαινε τῷ πενθερῷ. Μετὰ δὲ τοῦτο ἠξίου τὰς γυναῖκας ἀναλαβὼν ἀπαλλάττεσθαι πρὸς αὐτόν. Τοῦ δὲ πενθεροῦ μὴ συγχωροῦντος κρύφα τοῦτο ποιεῖν ἐπενόει. Τῶν γυναικῶν οὖν ἀπεπειρᾶτο πῶς ἔχοιεν πρὸς τὴν ἀποδημίαν. Τῶν δ' ἐχουσῶν ἡδέως, Ῥαχήλα καὶ τοὺς τύπους τῶν θεῶν, οὓς σέβειν πατρίους ὄντας νόμιμον ἦν, συνανελομένη, συναπεδίδρασκε μετὰ τῆς ἀδελφῆς, οἵ τε ἑκατέρων παῖδες καὶ αἱ θεραπαινίδες σὺν τοῖς υἱοῖς, εἴ τέ τις ἦν κτῆσις αὐταῖς. Ἐπήγετο δὲ Ἰάκωβος καὶ τῶν βοσκημάτων τὴν ἡμίσειαν, Λαβάνου μὴ προεγνωκότος. Τοὺς δὲ τύπους τῶν θεῶν ἐπεφέρετο ἡ Ῥαχήλα, καταφρονεῖν μὲν τῆς τοιαύτης τιμῆς τῶν θεῶν διδάξαντος αὐτὴν Ἰακώβου, ἵνα δ', εἰ καταληφθεῖεν ὑπὸ τοῦ πατρὸς αὐτῆς διωχθέντες, ἔχοι τούτοις προσφυγοῦσα συγγνώμης τυγχάνειν.

ι'. Λάβανος δὲ, μεθ' ἡμέραν τρίτην γνοὺς τήν τε Ἰακώβου καὶ τῶν θυγατέρων καὶ τῶν ἐγγόνων ἀποδημίαν, ἐδίωκε τοὺς φεύγοντας ἑπτὰ ἡμερῶν ὁδὸν ἀπέχων. Καὶ τῇ ἑβδόμῃ ἐπιφανεὶς τῷ ὄρει τῷ Γαλαάδῃ καλουμένῳ, ἐν ᾧ τὴν σκηνὴν ἐπήξαντο, ἐβόησε πρὸς τὸν Ἰάκωβον, ὡς ἐπιβουλεύοντα καὶ κλέπτοντα τὰ θεῖα καὶ τὰ ἴδια, καὶ τὰς θυγατέρας ἀπάγοντα ὡς αἰχμαλώτους. Ὁ δὲ Ἰάκωβος ἀπελογεῖτο, ὡς οὐ κλέπτων ἀπέδρα, ἀλλὰ φοβούμενος μὴ βιάσηται τὰς θυγατέρας, καὶ τὰ ἴδια ἀφέλοιτο· ὡς δὲ καὶ τὰ θεῖα ἔκλεπτεν, οὐκ εἰδὼς ἔφη· ἐπιτρέπειν δὲ αὐτῷ τὴν ἔρευναν ποιεῖσθαι. Ὁ δὲ Λάβανος εἰσελθὼν εἰς τὴν σκηνὴν, καὶ μὴ εὑρὼν, ἐπὶ τὴν τῆς Ῥαχήλας ἦλθε· καὶ τοὺς τύπους τῶν θεῶν ἐν τοῖς τῆς καμήλου σάγμασιν ἐνεκρυφθέντας ἐκείνης ἐπιτρεπούσης ἐρευνᾶν, ἐπεὶ μὴ ἐδύνατο ἀναστῆναι διὰ τὸ καθῆσθαι ἐπ' αὐτῶν, ἀνεῦρε. Καὶ ἐπιπλήξας τῷ Ἰακώβῳ, ὅτι τοὺς θεοὺς ἔκλεπτε, καὶ τὰς θυγατέρας ἀπάγοι ὡς αἰχμαλώτους, ἐπὶ συνθήκαις ἀπέλυσε φιλικαῖς. Ἔστησαν δὲ στήλην ἐπὶ τοῦ ὄρους, καὶ ἐπὶ τῆς στήλης ἐποίησαν σωρὸν λίθων, ὃν ἐκάλεσαν Ἑλληνιστὶ μὲν Μαρτύριον, Ἑβραϊστὶ δὲ Γαλαάδ. Ἐπὶ τούτοις ὁμόσαντες ἀπῆλθον ἕκαστος εἰς τὴν οἰκείαν.

ια'. Ἰάκωβος δὲ, ἐπεὶ τὸν Λάβανον ἀπέπεμψε, καὶ τὸν Ἄρειον ἐπιόντα ἐδέδοικε, τοὺς ἀγγέλους ἐπιπέμπει πρὸς αὐτὸν, ἐπιστολὴν κομίζοντας, ἐν ᾗ ἔγραφε τὰ πρὸς τὸν πενθερὸν γεγενημένα, καὶ ὅτι μετὰ τῶν ἐκείνου φίλων ἀπαλλαγείη, καὶ ὅτι δῶρα πέμψειε τῷ Ἀρείῳ, καὶ ὅτι ἐπὶ τὴν ἐκείνου χώραν ἔρχεται, καὶ ὅτι ἐκείνου φίλος ἐστὶ, καὶ ὅτι ἐκείνου δεῖται φίλος εἶναι. Ἐπὶ τούτοις οἱ μὲν ἄγγελοι ἀπῆλθον· ὁ δὲ Ἰάκωβος ἐπὶ τὸν Ἰορδάνην ἦλθε, καὶ τὸν ποταμὸν διαβὰς, ἐπὶ τὴν Γαλαάδιτιν ἐπορεύετο. Ἐπανελθόντες δὲ οἱ ἄγγελοι, ἔφασαν τὸν Ἄρειον ἐπὶ τετρακοσίοις ἀνδράσιν ἐπιέναι. Ὁ δὲ Ἰάκωβος ἐταράχθη, καὶ τὸν θεὸν ἱκέτευε βοηθεῖν αὐτῷ, καὶ τὰ δῶρα ἐπιπέμπει τῷ Ἀρείῳ, ἐκλεξάμενος ἐκ τῶν ποιμνίων ἑκατὸν αἶγας, καὶ διακοσίας ἐπιτόκους, καὶ ἑκατὸν κριοὺς, καὶ τριάκοντα θηλείας καμήλους, καὶ τούτων τοὺς πώλους, καὶ τριάκοντα βόας, καὶ τούτων τοὺς μόσχους, καὶ τριάκοντα ὄνους, καὶ τούτων τοὺς πώλους. Ἐπὶ τούτοις ἐπιστέλλει τοῖς ἀγγέλοις, ὅπως ἐπὶ τὸν Ἄρειον ἔλθοιεν, καὶ τὰ δῶρα δοῖεν, καὶ ὅτι ἐκείνου φίλος ἐστὶ, καὶ ὅτι ἐκείνου δεῖται φίλος εἶναι. Ἐπὶ τούτοις οἱ μὲν ἄγγελοι ἀπῆλθον· ὁ δὲ Ἰάκωβος ἐπὶ τὸν Ἰορδάνην ἦλθε, καὶ τὸν ποταμὸν διαβὰς, ἐπὶ τὴν Γαλαάδιτιν ἐπορεύετο. Ἐπανελθόντες δὲ οἱ ἄγγελοι, ἔφασαν τὸν Ἄρειον ἐπὶ τετρακοσίοις ἀνδράσιν ἐπιέναι. Ὁ δὲ Ἰάκωβος ἐταράχθη, καὶ τὸν θεὸν ἱκέτευε βοηθεῖν αὐτῷ, καὶ τὰ δῶρα ἐπιπέμπει τῷ Ἀρείῳ, ἐκλεξάμενος ἐκ τῶν ποιμνίων ἑκατὸν αἶγας, καὶ διακοσίας ἐπιτόκους, καὶ ἑκατὸν κριοὺς, καὶ τριάκοντα θηλείας καμήλους, καὶ τούτων τοὺς πώλους, καὶ τριάκοντα βόας, καὶ τούτων τοὺς μόσχους, καὶ τριάκοντα ὄνους, καὶ τούτων τοὺς πώλους. Ἐπὶ τούτοις ἐπιστέλλει τοῖς ἀγγέλοις, ὅπως ἐπὶ τὸν Ἄρειον ἔλθοιεν, καὶ τὰ δῶρα δοῖεν, καὶ ὅτι ἐκείνου φίλος ἐστὶ, καὶ ὅτι ἐκείνου δεῖται φίλος εἶναι.

mariti erga Rachelam, exspectabatque, si liberos pareret, se honoratam fore, idque assiduis precibus a Deo contendebat. Quumque puer masculus natus esset, et maritus ob hoc propensior in eam factus, Rubelum nominavit filium, eo quod miseratione divina ei contigerit: hoc enim significat nomen istud. Postea ex ea tres alii suscepti sunt liberi: Symeon, quod nomen denotat exorabilem ei fuisse Deum: dein Levi, quasi firmator societatis: post hunc Judas, quod *nomen* gratiarum actionem sonat. Rachela autem, verita ne propter fertilitatem sororis deteriore apud maritum conditione esset, famulam suam Ballam Jacobo facit accumbere. Ex ea vero puer nascitur Dan; quod *nomen* Græci in sua lingua θεόκριτον (a Deo vindicatum) interpretarentur: et post hunc Nephthalim, quasi nullis dolis expugnandus, quod *mater ejus* arte certaverit cum sororis fœcunditate. Idem autem et Lia facit, contra sororis artificium arte usa: suam enim deducit famulam in mariti accubitum. Ex Zelpha autem nascitur filius Gadas; ipsumque licet appellare fortuitum: ac post hunc Aser; qui beatificus dicatur, quod Liæ celebritati cumulus accesserit. Verum cum Rubelus, filiorum Liæ maximus, mandragoræ mala matri attulisset, Rachela visis iis partem sibi dari petiit, quod cibi istius desiderio teneretur. Illa vero non annuente, jubenteque contentam esse, quod ipsi honorem, quem apud maritum haberet, eripuerit, Rachela, emolliens animum sororis, concessuram se ei dicebat, ut cum ea maritus illa nocte cubaret. Qua gratia libenter accepta, cum Lia concumbit Jacobus, ut Rachelæ gratificaretur. Rursum igitur ei filii nascuntur: Issacharis quidem, significans, ex mercede genitum; Zabulon vero, oppignoratum benevolentiæ erga se: præterque hos filia Dina. Postea vero et Rachelæ natus est filius Josephus: *id nomen* accessionem rei futuræ indicat.

9. Toto hoc tempore, quod viginti annos complectitur, soceri greges pascebat et curabat. Eo autem elapso, postulabat ut cum uxoribus ab illo liceret discedere. Socero autem non permittente, clam hoc facere cogitabat. Uxores igitur pertentabat quomodo laturæ essent peregrinationem. Quibus quum grata res esset, Rachela, simulacris etiam deorum, quos pro patriis colere receptum erat, secum ablatis, una cum sorore fugiebat, simulque utriusque liberi, et famulæ cum suis filiis, asportatis etiam quæcunque possidebant. Abducebat autem Jacobus dimidium pecorum, non præsentiente Labano. Simulacra vero deorum secum ferebat Rachela, edocta quidem a Jacobo hujusmodi honorem deorum spernere, ut, si a patre ipsius persequente deprehensi essent, haberet quo confugeret veniam impetratura.

10. Labanus autem, tertio die post cognito Jacobi et filia-

κώδου ἀναχώρησιν καὶ τῶν θυγατέρων, δεινοπαθῶν ἤλαυνεν ἐπ' αὐτὸν μετὰ δυνάμεως ἐπειγόμενος· καὶ καθ' ἑβδόμην ἡμέραν ἐπί τινος λόφου λαμβάνει προ-
καθιδρυμένους. Καὶ τότε μὲν (ἑσπέρα γὰρ ἦν) ἡσύχα-
ζεν· ὄναρ δὲ ὁ Θεὸς αὐτῷ ἐπιστὰς παρήνεσε λαβόντι τὸν γαμβρὸν καὶ τὰς θυγατέρας ἠρεμεῖν, καὶ μηδὲν εἰς αὐτοὺς ὑπὸ θυμοῦ τολμᾶν, σπονδὰς δὲ ποιεῖσθαι πρὸς Ἰάκωβον, αὐτὸς λέγων ἐκείνῳ συμμαχήσειν, εἰ καταφρονήσας αὐτοῦ τῆς ὀλιγότητος χωρήσειεν αὐτῷ διὰ
μάχης. Λάβανος δὲ, τοιαύτης αὐτῷ ἐκ τοῦ Θεοῦ προρρήσεως γεγενημένης, μεθ' ἡμέραν εἰς λόγους τὸν Ἰάκωβον προκαλεσάμενος, καὶ δηλώσας αὐτῷ τὸ ὄναρ, ἐπεὶ πρὸς αὐτὸν ἦλθε πεισθείς, ἤρξατο κατηγορεῖν αὐτοῦ, προφέρων ὅτι καὶ πένητα αὐτὸν ἐλθόντα πρὸς
αὑτὸν καὶ πάντων ἄπορον ὑπεδέξατο καὶ παράσχοι πᾶσαν ἀφθονίαν τῆς αὐτοῦ κτήσεως. « Καὶ γὰρ θυ-
« γατέρας τὰς ἐμὰς συνέζευξα, τὴν εὔνοιάν σου τὴν
« πρὸς ἡμᾶς τούτοις αὐξηθήσεσθαι λογιζόμενος· σὺ δὲ,
« οὔτε τῆς μητρὸς τῆς ἑαυτοῦ καὶ κοινωνίας ἧς εἶχες
« πρὸς ἐμὲ συγγενείας, οὔτε γυναικῶν ἃς ἔγημας αἰδῶ
« ποιησάμενος, οὔτε τέκνων ὧν εἰμὶ πάππος, ἐχρήσω μοι
« πολέμου νόμῳ, κτῆσιν μὲν ἄγων τὴν ἐμὴν, θυγατέρας
« δὲ ἀναπείσας ἀποδρᾶναι τὸν γεγεννηκότα, ἱερά τε
« πάτρια βαστάσας οἴκοι [φερόμενος], ὑπό τε τῶν
« ἐμῶν τιμηθέντα προγόνων καὶ ὑπ' ἐμοῦ θρησκείας τῆς
« αὐτῆς ἐκείνοις ἀξιωθέντα. Καὶ ταῦτα ἃ μηδὲ οἱ
« πολεμήσαντες τοὺς ἐχθροὺς ἔδρασαν, ὁ συγγενὴς σὺ,
« καὶ τῆς μὲν ἀδελφῆς τῆς ἐμῆς υἱὸς, θυγατέρων δὲ
« τῶν ἐμῶν ἀνὴρ, ξένος δὲ καὶ ἑστίου τῆς ἐμῆς οἰ-
« κίας γεγενημένος ἔδρασας. » Ταῦτ' εἰπόντος Λαβάνου, Ἰάκωβος ἀπελογεῖτο, μὴ μόνῳ πάτρίδος ἔρωτα τὸν Θεὸν, ἀλλὰ καὶ πᾶσιν ἐμφῦσαι, καὶ μετὰ τοσοῦτον χρόνον καλῶς ἔχειν αὐτῷ κατελθεῖν εἰς ταύτην. « Ὑπὲρ
« δὲ τῆς λείας ἧς ἐγκαλεῖς, φησὶν, ἀδικῶν αὐτὸς ἂν
« εὑρεθείης ἐπ' ἄλλῳ κριτῇ· ὑπὲρ γὰρ ἧς ἐχρῆν σε
« χάριν ἡμῖν ἔχειν καὶ φυλαχθείσης ὑφ' ἡμῶν καὶ
« πλείονος γεγενημένης, ὑπὲρ ταύτης πῶς οὐ διαμαρ-
« τάνεις τῶν δικαίων χαλεπαίνων ἐμοὶ, εἰ μοῖραν αὐ-
« τῆς ὀλίγην λαβόντες ἔχομεν; Περὶ μέντοι γε τῶν θυ-
« γατέρων, ἴσθι μὴ κατ' ἐμὴν κακουργίαν ἀπαναστήσαν-
« τος ἀκολουθεῖν, ἀλλὰ κατ' εὔνοιαν δικαίαν, ἣν γυναιξὶ
« γαμεταῖς πρὸς συνοικοῦντας εἶναι συμβέβηκεν. Ἔπον-
« ται τοίνυν οὐχ ὡς ἐμοὶ τοσοῦτον ὅσον τοῖς παισὶν
« ἑαυτῶν. » Καὶ ταῦτα μὲν ὑπὲρ τοῦ μηδὲν ἀδικεῖν
αὐτὸς ἔλεγε· προσενεκάλει δὲ καὶ κατηγορίαν ἐποιεῖτο, ὅτι μητρὸς ὢν ἀδελφὸς τῆς αὐτοῦ, καὶ συζεύξας αὐτῷ τὰς θυγατέρας, ἐπιτάγμασιν ἐκτρυχώσειε χαλεποῖς, εἴκοσιν ἐτῶν ἀριθμὸν ἐν αὐτοῖς κατασχών. Καὶ τὰ μὲν προφάσει τῶν γάμων ὑπ' αὐτοῦ γενόμενα, καίπερ ὄντα χαλεπὰ, κουφότερα ἔφασκε, χείρω δὲ τὰ μετὰ τοὺς γάμους, καὶ ἃ τις ἐχθρὸς ἔφυγεν ἄν. Καὶ γὰρ σφόδρα κακούργως ὁ Λάβανος ἐχρήσατο τῷ Ἰακώβῳ. Ὁρῶν γὰρ αὐτῷ τὸν Θεὸν πρὸς ὅ τι θελήσειε συλλαμβανόμενον, ὑπισχνεῖτο τῶν τεχθησομένων αὐτῷ παρέ-

rum discessu, indignatus insequebatur eum cum valida manu : et septima die assequutus est eos in colle quodam castrametatos. Et tunc quidem, nocte appetente, ab omni vi se continuit. Deus autem illi per quietem adstans monuit ut generum et filias animo placato acciperet, nec quid durius in eos præ ira consuleret. sed cum Jacobo fœdus feriret, dicens se illi propugnatorem futurum, si cum eo propter paucitatem contempto manus consereret. Tum Labanus, quum hæc ei prænunciasset Deus, sequenti die Jacobum ad colloquium evocans, eique somnium narrans, cui fidem habens ad ipsum venerat, cœpit illum accusare, exprobrans quod pauperem illum ad se venientem et omnium egenum susceperit et de suis facultatibus abunde ipsi suppeditarit. « Nam filias meas, *inquit*, tibi conjunxi,
« putans hoc pacto benevolentiam erga nos tuam fore fir-
« miorem. Tu vero, neque tuam ipsius matrem, neque
« cognationem qua mihi conjunctus es, neque uxores
« quas duxisti, neque liberos quorum avus sum, reveritus,
« non aliter quam hostem me tractasti, bona quidem mea
« diripiens, filiabusque genitorem fugere persuadens, ac
« sacra patria tecum domum asportans, quum apud majores
« meos tum apud me summa in veneratione habita. Imo
« et quæ vix hostis hosti faceret, tu cognatus et e sorore
« quidem nepos, filiarum vero maritus, hospes insuper ac
« domesticus convictor mihi fecisti. » Quum hæc dixisset Labanus, pro se respondit Jacobus, non sibi solum, sed omnibus, Deum indidisse patriæ amorem, æquumque esse ut post tantum temporis ad eam se reciperet. « Quod
« vero prædæ, inquit, *abactæ* crimen objicis, ipse inju-
« stitiæ sub alio judice damnareris. Quum enim gratiam mihi
« pro facultatibus tuis conservatis et auctis debeas, quo-
« modo fieri potest ut super his non recedas a justitia, qui
« ægre fers quod modicam earum partem abstulerimus?
« Certe quod ad filias attinet, scito illas non ex malo mei
« abeuntis consilio se mihi comites dare, sed ex justa be-
« nevolentia, quam nuptas mulieres erga eos, quibuscum
« vivunt, habere contigit. Sequuntur igitur non tam me,
« quam liberos suos. » Atque hæc quidem dixit *Jacobus*, ut ostenderet se injuriam *illi* non fecisse. Insuper autem querelis reum agebat : quod, matris suæ quum esset frater, filiasque connubio sibi junxisset, duris mandatis, quibus per viginti annos detentus fuerat, eum contriverit. Atque ille quidem, quæ ex causa et simulatione nuptiarum fecisset, quamvis gravia, leviora dicebat, nuptias vero insequuta multo graviora, quæ vel inimicus fugisset. Etenim Labanus valde inique Jacobum tractaverat. Nam videns eum in iis quæ voluit a Deo adjuvari, nunc pollicebatur se

ξειν ἔσθ' ὅτε μὲν ὅ τι καὶ γένοιτο λευκὸν, ποτὲ δ' αὖ τὰ μέλανα τῶν γεννωμένων. Πληθυόντων δὲ τῶν ἐπ' ὀνόματι τῷ Ἰακώβου τικτομένων, τὴν μὲν εἰς τὸ παρὸν οὐκ ἐφύλαττε πίστιν, εἰς ἔτος δὲ παρέξειν ἐπηγγέλλετο τὸ ἐξῆς, διὰ τὸ ἐποφθαλμιᾶν τῷ πλήθει τῆς κτήσεως, ἐπαγγελλόμενος μὲν διὰ τὸ δυσέλπιστον γενέσθαι τοσαῦτα, ψευδόμενος δὲ ἐπιγενομένοις.

ια'. Περὶ μέντοι τῶν ἱερωμάτων ἐκέλευεν ἔρευναν ποιεῖσθαι. Δεξαμένου δὲ Λαβάνου τὴν ἔρευναν, Ῥαχήλα πυνθανομένη κατατίθησι τοὺς τύπους εἰς τὴν σάγην τῆς φερούσης αὐτὴν καμήλου· ἐκαθέζετο δὲ, φάσκουσα τὴν κατὰ φύσιν κάθαρσιν αὐτῇ ἐνοχλεῖν. Καὶ Λάβανος μὲν ἀφίσταται τῆς ἐπὶ πλεῖον ἐρεύνης, οὐκ ἂν οἰηθεὶς τὴν θυγατέρα μετὰ τοιούτου πάθους τοῖς τύποις προσελθεῖν. Ποιεῖται δὲ ὅρκους πρὸς Ἰάκωβον, οὐδενὸς αὐτῷ μνησικακήσειν τῶν γεγονότων, ἀλλὰ κἀκεῖνος, ἀγαπήσειν αὐτοῦ τὰς θυγατέρας. Καὶ τὰς πίστεις τὰς ἐπὶ τούτοις ἐποιήσαντο ὑπὲρ ὀρῶν τινῶν, ἐφ' οἷς στήλην ἀνέθεσαν κατὰ βωμοῦ σχῆμα· ὅθεν Γαλάδης λέγεται ὁ βουνὸς, ἀφ' οὗ καὶ νῦν Γαλαδηνὴν καλοῦσι τὴν γῆν. Ἑστιαθέντων δ' ἐπὶ τοῖς ὅρκοις ὁ μὲν Λάβανος ἀνέζευξεν.

ΚΕΦ. Κ'.

Ἰακώβῳ δὲ εἰς τὴν Χαναναίαν προϊόντι φαντάσματα συνετύγχανεν ἀγαθὰς ἐλπίδας ὑπαγορεύοντα περὶ τῶν ἐς ὕστερον. Καὶ τὸν μὲν τόπον ἐκεῖνον προσαγορεύει Θεοῦ στρατόπεδον· βουλόμενος δὲ εἰδέναι τί ὁ ἀδελφὸς περὶ αὐτοῦ φρονεῖ, τοὺς γνωσομένους ἕκαστα μετὰ ἀκριβείας προὔπεμψε, δεδιὼς αὐτὸν διὰ τὴν προτέραν ὑποψίαν. Ἐνετέλλετο δὲ τοῖς πεμπομένοις λέγειν πρὸς τὸν Ἥσαυον ὅτι νομίσας Ἰάκωβος ἄδικον συνδιαιτᾶσθαι αὐτοῦ τῇ ὀργῇ, τῆς χώρας ἐκὼν ὑπεξέλθοι, καὶ νῦν τὸν χρόνον ἱκανὸν ἡγούμενος εἶναι διαλλακτὴν ἐπανήκοι, γυναῖκάς τε καὶ παῖδας ἐπαγόμενος μετὰ τοῦ πορισθέντος βίου, μετὰ τῶν τιμιωτάτων ἑαυτὸν ἐκείνῳ παραδοὺς, ὅτι κρίνει μέγιστον ἀγαθὸν τὸ τῷ ἀδελφῷ συμμεταλαμβάνειν τῶν ὑπὸ τοῦ Θεοῦ δεδομένων. Καὶ οἱ μὲν ταῦτα ἐδήλουν· Ἥσαυος δὲ περιχαρὴς γίνεται καὶ τῷ ἀδελφῷ ὑπήντα σὺν ὁπλίταις τετρακοσίοις, καὶ Ἰάκωβος, πυνθανόμενος ἥκειν αὐτὸν ὑπαντησόμενον μετὰ τοσούτων ὁπλιτῶν, ἦν περίφοβος. Τῷ μέντοι Θεῷ τὴν ἐλπίδα τῆς σωτηρίας ἐπέτρεπε, καὶ πρόνοιαν εἶχεν ἐκ τῶν παρόντων ὅπως ἂν αὐτὸς ἀπαθὴς σώζοι τοὺς σὺν αὐτῷ, κρατήσας τῶν ἐχθρῶν, εἰ ἐθέλοιεν ἀδικεῖν. Νεῖμας οὖν τοὺς σὺν αὐτῷ, τοὺς μὲν προὔπεμπε, τοὺς δὲ λειπομένους ἆσσον ἐκέλευεν ἀκολουθεῖν, ὅπως εἰ βιασθεῖεν οἱ προπεμφθέντες, ἐπιθεμένου τοῦ ἀδελφοῦ, καταφυγὴν ἔχοιεν τοὺς ἑπομένους. Καὶ τοῦτον διατάξας τοὺς σὺν αὐτῷ τὸν τρόπον, πέμπει τινὰς δῶρα κομίζοντας τἀδελφῷ· ὑποζύγια δ' ἦν τὰ πεμπόμενα καὶ πλῆθος τετραπόδων ποικίλων, ἃ δὴ τίμια τοῖς ληψομένοις ἐμελλεν ἔσεσθαι παρὰ τὸ σπανίζειν αὐτῶν. Ἦσαν δὲ οἱ πεμφθέντες ἐκ διαλειμμάτων, ἵνα συνεχέστεραν ἐντυγχάνοντες πολ-

ei daturum *pecudum* quicquid album nasceretur, nunc autem rursus quicquid nigrum. Quum autem crevissent *pecora*, quæ Jacobi erant futura, non servabat fidem in præsens, sed in proximum annum se daturum promittebat, quod invideret facultatum abundantiam, promittens quidem, quum non speraret tantum proventum, at mox, ubi provenerat, fallens.

11. Veruntamen de sacris *ablatis* jussit inquisitionem fieri. Quum autem hoc in se recepisset Labanus, Rachela, re audita, deponit simulacra in stratum cameli, in quo ipsa vehebatur : superque sedebat, dicens menstruis se laborare. Ac Labanus quidem destitit amplius perscrutari, credens filiam sic affectam non accessuram esse ad simulacra. Porro jurejurando fidem dat Jacobo, se nullam sibi factam injuriam in memoria habiturum : quin et ille *vicissim*, se filias ejus amore prosequuturum. Atque hoc fœdus ab iis ictum est super monte quodam, ubi columnam erexerunt aræ specie. Unde Galades colli nomen factum, a quo terra nunc Galadena dicta est. Convivio post fœdus celebrato, Labanus quidem *domum* reversus est.

CAP. XX.

Jacobo autem in Chananæam iter pergenti visiones obveniebant, de futuris ei spem summam afferentes : atque locum quidem *inde* appellavit Dei castra. At volens pernoscere animum fratris erga se, præmisit accurate cuncta exploraturos, timens eum propter vetèrem suspicionem. Iis vero quos mittebat in mandatis dedit ut Esavo dicerent quod Jacobus ultro terram *patriam* reliquerit, ne cum fratre sibi perirato habitaret et nunc credens tantum temporis satis valere ad gratiam reconciliandam, reverterit, uxoresque ac liberos adducens et facultates industria quæsitas, cum pretiosissimis quibusque semet illi traditurus : quia bonorum maximum existimat, quæ Deus largitus est, cum fratre communicare. Et illi quidem hæc nunciarunt. Esavus vero lætatur fratrique in occursum properat cum quadringentis armatis, Jacobusque, audiens eum obviam venire cum tot armatis, valde extimuit. At in Deo spem omnem salutis reponebat, et ex præsentibus providebat, ut ipse illæsus suos servaret, hostibus superior si quid injusti intentarent. Iis igitur qui secum erant distributis, alios quidem præmittebat, alios vero post tergum proxime sequi jubebat : ut si præmissi *forte* vi opprimerentur, Esavo *eos* aggrediente, ad sequens agmen haberent refugium. Atque hoc modo instructis qui secum erant, quosdam ad fratrem mittit cum muneribus. Ea vero constabant jumentis ac multis variisque quadrupedibus, quæque accepturis ob raritatem eorum futura essent in pretio. Interjecto autem spatio ibant legati, ut continuo advenien-

λοὶ δοκῶσιν· ἀνήσειν γὰρ ὑπὸ τῶν δώρων τῆς ὀργῆς, εἰ διαμένοι τεθυμωμένος. Ἔτι μέντοι καὶ λόγοις χρηστοῖς ὁμιλεῖν πρὸς αὐτὸν εἴρητο τοῖς πεμπομένοις.

β'. Ταῦτα συνθεὶς διὰ πάσης τῆς ἡμέρας, νυκτὸς ἐπιγενομένης ἐκίνει τοὺς σὺν αὐτῷ. Καὶ χείμαρρόν τινα Ἰάβαχχον λεγόμενον διαβεβηκότων Ἰάκωβος ὑπολελειμμένος, φαντάσματι συντυχὼν διεπάλαιεν, ἐκείνου προκατάρχοντος τῆς μάχης· ἐκράτει τε τοῦ φαντάσματος, ὃ δὴ καὶ φωνῇ χρῆται καὶ λόγοις πρὸς αὐτὸν, χαίρειν τε τοῖς γεγενημένοις παραινοῦν καὶ μὴ μικρῶν κρατεῖν ὑπολαμβάνειν, ἀλλὰ θεῖον ἄγγελον νενικηκέναι, καὶ σημεῖον ἡγεῖσθαι τοῦτο μεγάλων ἀγαθῶν ἐσόμενον, καὶ τοῦ μηδέποτε τὸ γένος ἐκλείψειν αὐτοῦ, μηδ' ὑπέρτερον ἀνθρώπων τινὰ τῆς ἰσχύος ἔσεσθαι τῆς ἐκείνου. Ἐκέλευέ τε καλεῖσθαι αὐτὸν Ἰσράηλον· σημαίνει δὲ τοῦτο κατὰ τὴν Ἑβραίων γλῶτταν, τὸν ἀντιστάντα ἀγγέλῳ. Ταῦτα μέντοι προὔλεγεν, Ἰακώβου δεηθέντος· αἰσθόμενος γὰρ ἄγγελον εἶναι Θεοῦ, τίνα μοῖραν ἕξει σημαίνειν παρεκάλει. Καὶ τὸ μὲν φάντασμα ταῦτ' εἰπὸν ἀφανὲς γίνεται· ἡσθεὶς δὲ τούτοις Ἰάκωβος Φανουήλον ὀνομάζει τὸν τόπον. Σημαίνει δὲ πρόσωπον θεοῦ. Καὶ γενομένου διὰ τὴν μάχην ἀλγήματος αὐτῷ περὶ τὸ νεῦρον τὸ πλατὺ, αὐτός τε ἀπείχετο τῆς τούτου βρώσεως καὶ δι' ἐκεῖνον οὐδ' ἡμῖν ἐστιν ἐδώδιμον.

γ'. Πλησίον δ' ἤδη τὸν ἀδελφὸν πυνθανόμενος, κελεύει προϊέναι τῶν γυναικῶν ἑκατέραν καθ' αὑτὴν μετὰ τῶν θεραπαινίδων, ἵνα πόρρωθεν ἀφορῷεν τὰ ἔργα τῶν ἀνδρῶν μαχομένων, εἰ τοῦτο θελήσειεν Ἠσαυος. Προσεκύνει δ' αὐτὸς τὸν ἀδελφὸν ἐγγὺς αὐτῷ γενόμενον, οὐδὲν περὶ αὐτοῦ δόλιον φρονοῦντα. Καὶ ὁ Ἠσαυος ἀσπασάμενος αὐτὸν ἀνήρετο τῶν παίδων τὸν ὄχλον καὶ τὰς γυναῖκας, ἠξίου τε τότε τὸ πᾶν μαθὼν περὶ αὐτῶν καὶ αὐτὸς μὲν συμβαδίζειν αὐτοῖς πρὸς τὸν πατέρα, Ἰακώβου δὲ προφασιζομένου τὸν κόπον τῶν ὑποζυγίων, ὑπεχώρησεν εἰς Σάειραν· ἐνταῦθα γὰρ ἐποιεῖτο τὴν δίαιταν, προσαγορεύσας τὸ χωρίον ἀπὸ τῆς αὐτοῦ τριχώσεως Δασεῖαν.

ΚΕΦ. ΚΑ'.

Ἰάκωβος δὲ ἀφίκετο εἰς τὰς ἔτι νῦν Σκηνὰς λεγομένας, ὅθεν εἰς Σίκιμον παρῆν· Χαναναίων δ' ἐστὶν ἡ πόλις. Τῶν δὲ Σικιμιτῶν ἑορτὴν ἀγόντων, Δεῖνα, ἡ θυγάτηρ ἦν Ἰακώβου μόνη, παρῆλθεν εἰς τὴν πόλιν, ὀψομένη τὸν κόσμον τῶν ἐπιχωρίων γυναικῶν. Θεασάμενος δ' αὐτὴν Συχέμης, Ἐμμώρου τοῦ βασιλέως υἱὸς, φθείρει δι' ἁρπαγῆς, καὶ διατεθεὶς ἐρωτικῶς ἱκετεύει τὸν πατέρα λαβεῖν αὐτῷ πρὸς γάμον τὴν κόρην. Ὁ δὲ πεισθεὶς ἦκε πρὸς τὸν Ἰάκωβον, δεόμενος τῷ παιδὶ αὐτοῦ Συχέμῃ συζεῦξαι Δεῖναν κατὰ νόμον. Ἰάκωβος δὲ, οὔτ' ἀντιλέγειν ἔχων διὰ τὸ ἀξίωμα τοῦ παρακαλοῦντος οὔτε νόμιμον ἡγούμενος ἀλλοφύλῳ συνοικίζειν τὴν θυγατέρα, ἠξίωσεν ἐπιτρέψαι αὐτῷ βουλὴν ἀγαγεῖν περὶ ὧν παρεκάλει. Ἀπῆει μὲν οὖν ὁ βασιλεὺς, ἐλπίζων Ἰάκωβον παρέξειν τὸν γάμον· Ἰάκωβος δὲ ἀπαγγείλας τοῖς υἱοῖς τὰ παρόντα, καὶ τὴν ὀργὴν ἐπιφέρων τοῖς ἀδικήσασι, καὶ τὸν Ἐμμώρου καὶ Συχέμου θάνατον ἐπιβουλεύσας, ἐπιπίπτει τοῖς Σικιμίταις ἀπροσδοκήτως, καὶ πάντας ἀναιρεῖ, καὶ τὴν πόλιν ἐμπιπράσι· καὶ τὴν ἀδελφὴν ἀνελόμενος ἀπῆλθεν εἰς Βαιθήλην.

tes multi esse viderentur: nam donis placatum remissurum iram, si adhuc excandesceret. Quin et iis qui missi erant mandavit ut blande illum alloquerentur.

2. His ita per totam diem dispositis, sub noctem suorum agmen movebat. Quumque torrentem quendam Iabacchum nomine transissent, Jacobus pone relictus in spectrum incidit, et cum eo luctatur, certamen primum ineunte, fitque superior spectro, quod voce simul et verbis ad ipsum utitur, iisque quæ acciderant lætari submonens, neque ut adversus exigua se prævaluisse crederet, sed angelum divinum vicisse, atque hoc ipsum reputaret magnæ felicitatis esse præsagium, genusque ejus nunquam desiturum esse, neque mortalium quenquam ipso viribus validiorem fore. Quin et præcepit ut Israelum se vocaret: quod Hebraica lingua significat angelo reluctantem. Hæc sane prædixit, poscente Jacobo: nam quum sensisset angelum esse Dei, rogabat ut ostenderet quid sibi in fatis esset. His dictis spectrum evanuit. Ista læto animo accipiens Jacobus locum Phanuelum nominat: *id* significat faciem dei. Quumque ei inter luctandum exortus esset dolor in lato nervo, quum ipse illius esu abstinuit, tum nobis illo propter eum vesci non licet.

3. Cognito autem fratrem jam non procul abesse, jubet uxores procedere seorsum, quamque cum pedissequis suis, ut e longinquo spectarent pugnam virorum, si hoc voluisset Esavus. Ipse vero, fratri propior factus, eum adoravit, nihil mali de eo cogitantem. Et Esavus eo salutato interrogabat de turba liberorum et mulierum, et, quum didicisset omnia, ipse ad patrem eos deducere volebat. Jacobo vero prætendente lassitudinem jumentorum, reversus est *Esavus* in Sairam: illic enim habitabat, loco *isti* nomine facto Villosa ab hirsutia sua.

CAP. XXI.

At Jacobus pervenit ad Scenas, quas vocant etiamnum: unde Sicimum proficiscebatur; Chananæorum autem urbs est. Sicimitis vero solennem diem agentibus, Dina, quæ Jacobi filia erat unica, urbem adiit ad visendum cultum mulierum istius regionis. Eam vero quum conspexisset Sychemes, Emmori regis filius, raptæ stuprum intulit, et amore correptus supplicat patri ut acciperet ipsi puellam in matrimonium. Ille autem morem ei gerens venit ad Jacobum, obsecrans ut filio suo Sychemæ Dinam conjungeret legitimo connubio. Jacobus vero, qui neque negare poterat propter dignitatem rogantis, neque fas putabat alienigenæ filiam collocare, petiit ut sibi daret potestatem deliberandi de quibus poscebat. Discessit itaque rex, sperans

βος δὲ τοῖς παισὶ δηλώσας τήν τε φθορὰν τῆς ἀδελφῆς καὶ τοῦ Ἐμμώρου τὴν δέησιν ἠξίου βουλεύεσθαι τί ποιεῖν. Οἱ μὲν οὖν πλείους ἠσύχαζον γνώμης ἀποροῦντες, Συμεὼν δὲ καὶ Λευὶς, ὁμομήτριοι τῆς κόρης ἀδελφοὶ, πρὸς ἀλλήλους συντίθενται τοιάνδε τινὰ πρᾶξιν. Οὔσης ἑορτῆς καὶ τῶν Σικιμιτῶν εἰς ἄνεσιν καὶ εὐωχίαν τετραμμένων, νύκτωρ πρώτοις ἐπιβαλόντες τοῖς φύλαξι κτείνουσι κοιμωμένους, καὶ παρελθόντες εἰς τὴν πόλιν ἀναιροῦσι πᾶν ἄρρεν καὶ τὸν βασιλέα σὺν αὐτοῖς καὶ τὸν υἱὸν αὐτοῦ, φείδονται δὲ τῶν γυναικῶν. Πράξαντες δὲ ταῦτα δίχα τῆς τοῦ πατρὸς γνώμης ἐπανάγουσι τὴν ἀδελφήν.

β'. Ἰακώβῳ δ' ἐκπλαγέντι πρὸς τὸ μέγεθος τῶν γεγονότων καὶ χαλεπαίνοντι πρὸς τοὺς υἱοὺς ὁ Θεὸς παραστὰς ἐκέλευσε θαρρεῖν, ἁγνίσαντι δὲ τὰς σκηνὰς θυσίας ἐπιτελεῖν, ἃς τὸ πρῶτον ἀπιὼν εἰς τὴν Μεσοποταμίαν ἐπὶ τῇ ὄψει τοῦ ὀνείρου ηὔξατο. Ἁγνίζων οὖν τοὺς ἑπομένους ἐντυγχάνει τοῖς Λαβάνου θεοῖς (οὐ γὰρ ἠπίστατο ὑπὸ τῆς Ῥαχήλας κλαπέντας)· καὶ αὐτοὺς ἔκρυψεν ἐν Σικίμοις εἰς γῆν ὑπὸ τὴν ὀρῦν, ἀπάρας τε τοὐντεῦθεν ἐν Βηθήλοις ἔθυεν, ὅπου τὸ ὄνειρον ἐθεάσατο, χωρῶν πρότερον ἐπὶ τῆς Μεσοποταμίας.

γ'. Ἐντεῦθεν δὲ προϊὼν, ἐπεὶ κατὰ τὴν Ἐφραθάνην γίνεται, ἐνθάδε Ῥαχήλαν ἐκ τοκετοῦ θανοῦσαν θάπτει, μόνην τῶν συγγενῶν τῆς ἐν Χεβρῶνι τιμῆς οὐ τυχοῦσαν. Πενθήσας δὲ μεγάλως, τὸ ἐξ αὐτῆς παιδίον Βενιαμὶν ἐκάλεσε, διὰ τὴν ἐπ' αὐτῷ γενομένην ὀδύνην τῇ μητρί. Οὗτοι Ἰακώβου παῖδες οἱ πάντες, ἄρρενες μὲν δώδεκα, θήλεια δὲ μία. Τούτων ὀκτὼ γνήσιοι ἐκ Λείας μὲν ἕξ, δύο δὲ ἐκ Ῥαχήλας, τέσσαρες δὲ ἐκ τῶν θεραπαινίδων, δύο ἐξ ἑκατέρας, ὧν καὶ τὰ ὀνόματα πάντων προεῖπον.

ΚΕΦ. ΚΒ'.

Παρὴν δ' ἐντεῦθεν ἐπὶ Χεβρῶνα πόλιν ἐν Χαναναίοις κειμένην. Ἐκεῖ δὲ Ἴσακος τὴν δίαιταν εἶχε. Καὶ βραχέα μὲν ἀλλήλοις συνδιατρίβουσι· τὴν γὰρ Ῥεβέκκαν Ἰάκωβος οὐ κατέλαβε ζῶσαν. Θνήσκει δὲ καὶ Ἴσακος οὐ μετὰ πολὺ τῆς ἀφίξεως τοῦ υἱοῦ, καὶ ταφῆς ἔτυχεν ὑπὸ τῶν παίδων σὺν τῇ γυναικὶ ἐν Χεβρῶνι, μνημείου προγονικοῦ ἐν αὐτῇ τυγχάνοντας αὐτοῖς. Ἐγένετο δὲ ὁ Ἴσακος ἀνὴρ θεοφιλὴς, καὶ προνοίας πολλῆς ἠξιωμένος ὑπὸ τοῦ Θεοῦ μετὰ Ἄβραμον τὸν πατέρα, πολυχρονιώτατος δέ· βιώσας γὰρ ἔτη πέντε καὶ ὀγδοήκοντα πρὸς τοῖς ἑκατὸν μετὰ ἀρετῆς οὕτως ἀπέθανε.

Jacobum has facturum esse nuptias. Jacobus autem, indicata filiis injuria sororis et Emmori petitione, postulabat eos consultare quid factu opus esset. Illorum quidem plurimi conticuerunt incerti quid agerent, Symeon vero et Levi, uterini puellæ fratres, inter se consentiunt super tali facinore perpetrando. Quum festiva esset celebritas et Sicimitæ sese darent animorum remissioni et epulis, invadunt noctu primos custodes et consopitos trucidant, urbemque ingressi mares omnes interimunt, ipsumque regem inter illos et filium ejus, feminis vero parcunt. Istis autem citra consensum patris perpetratis sororem reducunt.

2. Jacobo facinoris magnitudine perculso filiisque succensenti Deus adstans, bono esse animo jubebat, lustratisque tentoriis sacrificia celebrare, quæ primum quum iret in Mesopotamiam, post visionem in somnio voverat. Itaque dum lustrat suos, incidit in Labani deos (nesciverat enim Rachelam eos surripuisse), eosque apud Sicima in terra occultavit sub quercu. Atque inde profectus sacrificavit apud Bethela, ubi somnium viderat, quum olim in Mesopotamiam iter faceret.

3. Ex eo autem loco progrediens, quum in agrum Ephrathanen venisset, Rachelam ibi ex partu mortuam sepelit, quæ sola cognatorum sepulturæ honorem in Chebrone non assequuta est. *Eam* vero quum valde luxisset *Jacobus*, filium ex ea natum Benjaminem nominavit, ob matris ex eo dolorem. Isti sunt omnes filii Jacobi: mares quidem duodecim, femina vero una. Horum octo legitimi, ex Lia quidem sex, duo vero ex Rachela; quattuor autem ex ancillis, ex utraque duo, quorum omnium nomina supra retuli.

CAP. XXII.

Inde autem venit Chebronem, urbem in Chananæa sitam: illic enim Isacus commorabatur. Atque paululum temporis una vixerunt: nam Rebeccam in vivis non inveniebat Jacobus. Moritur vero et Isacus non multo post filii adventum, et sepultus est a filiis in Chebrone, ubi erant monumenta paterna. Fuit autem Isacus vir Deo carus, multaque eum post Abramum patrem providentia dignatus est Deus. Valde autem longævus *erat*: nam quum vixisset annos centum et octoginta quinque cum virtute, defunctus est.

ΒΙΒΛΟΣ ΔΕΥΤΕΡΑ.

Τάδε ἔνεστιν ἐν τῇ δευτέρᾳ βίβλῳ.

α'. Ὡς Ἠσαυος καὶ Ἰάκωβος, Ἰσάκου παῖδες ὄντες, διείλοντο τὴν οἴκησιν· καὶ Ἠσαυος μὲν τὴν Ἰδουμαίαν κατέσχεν, Ἰάκωβος δὲ τὴν Χαναναίαν.

β'. Ὡς Ἰώσηπος, ὁ νεώτατος τῶν Ἰακώβου παίδων, ὀνειράτων αὐτῷ προδεικνύντων τὴν μέλλουσαν εὐδαιμονίαν, ὑπὸ τῶν ἀδελφῶν ἐφθονήθη.

γ'. Ὡς αὐτὸς οὗτος, εἰς Αἴγυπτον πραθεὶς ὑπὸ τῶν ἀδελφῶν διὰ τὸ πρὸς αὐτὸν μῖσος, καὶ γενόμενος ἐπίσημος ἐκεῖ καὶ λαμπρὸς, τοὺς ἀδελφοὺς ἔσχεν ὑποχειρίους.

δ'. Ἡ τοῦ πατρὸς αὐτοῦ μετὰ τῆς γενεᾶς πάσης πρὸς αὐτὸν μετάβασις, διὰ τὸν γενόμενον λιμόν.

ε'. Ὅσα τοῖς Ἑβραίοις ἐν Αἰγύπτῳ συνέβη κακοπαθοῦσιν ἐπ' ἔτη τετρακόσια.

ς'. Ἡ Μωϋσέως γέννησις καὶ ἀνατροφή.

ζ'. Ὡς Μωϋσέως ἡγουμένου τὴν Αἴγυπτον ἐξέλιπον Ἑβραῖοι· καὶ ἡ θάλασσα αὐτοῖς, διωκομένοις ὑπὸ τῶν Αἰγυπτίων, ἀνακοπεῖσα φυγεῖν δι' αὐτῆς παρέσχε.

Περιέχει δὲ ἡ βίβλος ἔτη διακόσια εἴκοσι.

ΚΕΦ. Α'.

Μετὰ δὲ τὴν Ἰσάκου τελευτὴν οἱ παῖδες αὐτοῦ, μερισάμενοι τὴν οἴκησιν πρὸς ἀλλήλους, οὐχ ἣν ἔλαβον ταύτην καὶ κατέσχον. Ἀλλ' Ἠσαυος μὲν, τῆς Χεβρωνίας πόλεως ἐκχωρήσας τῷ ἀδελφῷ, ἐν Σαείρᾳ διῆτατο, καὶ τῆς Ἰδουμαίας ἦρχεν, οὕτω καλέσας τὴν χώραν ἀφ' ἑαυτοῦ. Ἔδωμος γὰρ ἐπωνομάζετο, κατὰ τοιαύτην αἰτίαν τυχὼν τῆς ἐπικλήσεως· ἀπὸ θήρας ποτὲ καὶ πόνου τοῦ περὶ τὸ κυνηγέσιον λιμώττων ἐπανῆλθεν· ἔτι δ' ἦν παῖς τὴν ἡλικίαν· ἐπιτυχὼν δὲ τὰδελφῷ φακῆν ἐσκευακότι πρὸς ἄριστον αὐτῷ, ξανθὴν σφόδρα τὴν χρόαν, καὶ διὰ τοῦτο ἔτι μᾶλλον ὀρεχθεὶς, ἠξίου παρασχεῖν αὐτῷ πρὸς τροφήν· ὁ δὲ ἀποδόσθαι τὸ πρεσβεῖον αὐτῷ τοῦ φαγεῖν, συνεργῷ χρησάμενος τῇ πείνῃ, τὸν ἀδελφὸν ἠνάγκαζε· κἀκεῖνος ὑπὸ τοῦ λιμοῦ προαχθεὶς παραχωρεῖ τῶν πρεσβείων αὐτῷ μεθ' ὅρκων. Ἔνθεν διὰ τὴν ξανθότητα τοῦ βρώματος ὑπὸ τῶν ἡλικιωτῶν κατὰ παιδιὰν Ἔδωμος ἐπεκλήθη· ἔδωμα γὰρ Ἑβραῖοι τὸ ἐρυθρὸν καλοῦσι· καὶ τὴν χώραν οὕτως προσηγόρευσεν. Ἕλληνες γὰρ αὐτὴν ἐπὶ τὸ σεμνότερον Ἰδουμαίαν ὠνόμασαν.

β'. Γίνεται δὲ καὶ πατὴρ παίδων πέντε τὸν ἀριθμόν· ὧν Ἰάους μὲν καὶ Ἰέγλωμος καὶ Κόρεος ἐκ γυναικὸς μιᾶς Ὀλιβάμης τοὔνομα, τῶν δὲ λοιπῶν Ἐλιφάζης μὲν ἐξ Ἄδας, Ῥαγούηλος δὲ ἐκ Βασεμάθης ὑπῆρξαν αὐτῷ γεγονότες. Καὶ Ἠσαύου μὲν οὗτοι παῖδες ἦσαν. Ἐλιφάζῃ δὲ γίνονται γνήσιοι παῖδες πέντε, Θέμανος, Ὄμανος, Σώφαρος, Γόθαμος καὶ Κένεζος. Ἀμάλη-

LIBER SECUNDUS.

Hæc in secundo libro continentur.

1. Quomodo Esavus et Jacobus, Isaci filii, habitacula diviserunt : et Esavus quidem Idumæam tenuit, Jacobus autem Chananæam.
2. Quomodo Josephus, Jacobi filiorum natu minimus, ex somniis, futuræ suæ felicitatis prænunciis, fratribus invisus erat.
3. Quomodo idem ille, in Ægyptum venditus ob odium sibi a fratribus conflatum, et ibi factus clarus et illustris fratres habuit sibi subjectos.
4. Quomodo Jacobus cum tota progenie ad filium migravit, urgente fame.
5. De afflictionibus Hebræorum in Ægypto per annos quadringentos.
6. Quomodo Moyses natus et nutritus erat.
7. Quomodo Hebræi Moyse duce Ægyptum reliquerunt : atque mare scissum ipsis, Ægyptios fugientibus, viam aperuit.

Continet autem liber tempus annorum CCXX.

CAP. I.

Post Isaci autem interitum filii ejus, partiti inter se habitationem, eam, quam acceperunt, haud retinuere. Sed Esavus quidem, urbe Chebrone fratri concessa, habitabat in Saira, et in Idumæa regnabat, a se ipso regionem denominans. Edomus enim cognominatus est, ex hujusmodi causa nactus appellationem : a venatu aliquando et labore venandi famelicus reversus est (adhuc autem in pueritia erat), fratremque inveniens parantem sibimet in prandium lenticulam, colore valde rubentem, atque illius ergo magis etiam incitatus, rogabat ut sibi daret comedendum : at ille fratrem, famis ejus ope usus, ætatis prærogativam pro cibo dare compulit : atque is urgente inedia primogeniti jure cedit, interposito jurejurando : unde ob cibi istius rubedinem ab æqualibus inter ludendum Edomus nominatus erat : Hebræi namque rubrum edoma vocant : atque ideo regionem ità appellavit. Græci vero ipsam, honestiori vocabuli sono, Idumæam denominaverunt.

2. Genuit autem filios numero quinque. Quorum Ius quidem et Jeglomus et Coreus ex una muliere Olibama nomine : reliquorum vero Eliphazes quidem ex Ada, Raguelus autem ex Basematha ei sunt nati. Hos quidem filios habuit Esavus. Eliphazæ autem quinque legitimi filii fuere : Themanus, Omanus, Sopharus, Gothamus et Cenezus. Amalecus enim nothus erat, e Thamnaa concubina

κος γὰρ νόθος ἦν, ἐκ παλλακῆς αὐτῷ γεγονὼς Θαμνάης ὄνομα. Οὗτοι κατῴκησαν τῆς Ἰδουμαίας τὴν Γοβολῖτιν λεγομένην καὶ τὴν ἀπὸ Ἀμαλήκου κληθεῖσαν Ἀμαληκῖτιν. Πολλὴ γὰρ γενομένη ποτὲ ἡ Ἰδουμαία, τότε πάσης αὐτῆς ἀπέσωζεν ὄνομα, καὶ τοῖς μέρσι τὰς ἀπὸ τῶν οἰκητόρων προσηγορίας διεφύλαξεν.

ΚΕΦ. Β'.

Ἰακώβῳ δὲ συνέβη παρελθεῖν εἰς εὐδαιμονίας μέγεθος, οἷον οὐκ ἄλλῳ τινὶ ῥᾳδίως. Πλούτῳ τε γὰρ ὑπερέβαλλε τοὺς ἐπιχωρίους καὶ παίδων ἀρεταῖς ζηλωτὸς καὶ περίβλεπτος ἦν· οὐδενὸς γὰρ ὅλως ὑστέρουν, ἀλλὰ καὶ πρὸς ἔργα χειρῶν καὶ πόνων ὑπομονὴν ἦσαν εὔψυχοι καὶ δεινοὶ συνιέναι. Τοσαύτην δ' ἄρα τὸ θεῖον αὐτοῦ πρόνοιαν ἔσχε καὶ τῆς εὐδαιμονίας ἐπιμέλειαν, ὡς κἀκ τῶν λυπηρῶν αὐτῷ δοξάντων τὴν ὑπερβολὴν τῶν ἀγαθῶν παρασχεῖν, καὶ ποιῆσαι τῆς ἀπὸ Αἰγύπτου τῶν ἡμετέρων προγόνων ἀναχωρήσεως αἴτιον αὐτόν τε καὶ τοὺς ἐξ αὐτοῦ γεγονότας ὑπὸ τοιαύτης αἰτίας. Ἰώσηπον ἐκ Ῥαχήλας πεπαιδοποιημένος Ἰάκωβος διά τε τὴν τοῦ σώματος εὐγένειαν καὶ διὰ ψυχῆς ἀρετὴν (φρονήσει γὰρ διέφερε) τῶν ἄλλων πλέον υἱῶν ἠγάπα. Τούτῳ παρὰ τῶν ἀδελφῶν ἥ τε τοῦ πατρὸς στοργὴ φθόνον ἐκίνησε καὶ μῖσος, ἥ τε ἐκ τῶν ὀνειράτων, ἃ θεασάμενος τῷ τε πατρὶ καὶ τούτοις ἐμήνυσεν, εὐδαιμονία καταγγελλομένη, ζηλοτυπούντων ἄρα τῶν ἀνθρώπων καὶ τὰς τῶν οἰκειοτάτων εὐπραγίας. Αἱ δὲ ὄψεις, ἃς κατὰ τοὺς ὕπνους εἶδεν Ἰώσηπος, τοιαίδε ἦσαν.

β'. Ἐκπεμφθεὶς μετὰ τῶν ἀδελφῶν ὑπὸ τοῦ πατρὸς ἐπὶ συλλογὴν τῶν καρπῶν θέρους ἀκμάζοντος ὁρᾷ πολὺ τῶν κατὰ τὴν συνήθειαν ἐπιφοιτώντων κατὰ τοὺς ὕπνους ὀνειράτων διαφέρουσαν ὄψιν, ἥνπερ ἐγερθεὶς τοῖς ἀδελφοῖς, ὡς κρινοῦσιν αὐτῷ τὸ σημαινόμενον, ἐξέθετο, λέγων ἰδεῖν ἐπὶ τῆς παρελθούσης νυκτὸς τὸ μὲν αὐτοῦ δράγμα τῶν πυρῶν ἠρεμεῖν ἐφ' οὗ κατέθηκε τόπου, τὰ δὲ ἐκείνων προστρέχοντα προσκυνεῖν αὐτό, καθάπερ οἱ δοῦλοι τοὺς δεσπότας. Οἱ δὲ συνέντες ἰσχὺν αὐτῷ καὶ μέγεθος πραγμάτων τὴν ὄψιν προλέγουσαν, καὶ κατ' αὐτῶν τὴν ἐξουσίαν ἐσομένην, τῷ μὲν Ἰωσήπῳ τούτων οὐδὲν, ὡς οὐ γνώριμον αὐτοῖς ὂν τὸ ὄναρ, διεσάφησαν, ἀρὰς δ' ἐποιήσαντο μηδὲν εἰς τέλος παρελθεῖν αὐτῷ ὧν ὑπενόουν, καὶ πρὸς αὐτὸν ἔτι μᾶλλον ἀπεχθῶς ἔχοντες διετέλουν.

γ'. Τῷ δὲ παρ' αὐτῶν φθόνῳ προσφιλονεικῆσαν τὸ θεῖον δευτέραν ὄψιν ἐπιπέμπει τῷ Ἰωσήπῳ πολὺ τῆς προτέρας θαυμασιωτέραν. Τὸν γὰρ ἥλιον ἔδοξε, τὴν σελήνην παραλαβόντα καὶ τοὺς λοιποὺς ἀστέρας, ἐπὶ τὴν γῆν κατελθεῖν καὶ προσκυνεῖν αὐτόν. Ταύτην τὴν ὄψιν τῷ πατρὶ, μηδὲν παρὰ τῶν ἀδελφῶν κακόηθες ὑφορώμενος καὶ τούτων παρατυγχανόντων, διεσάφησε, καὶ τί βούλεται σημαίνειν φράσαι παρακαλεῖ. Ὁ δὲ ἥσθη τῷ ὀνείρατι· τὴν γὰρ πρόρρησιν αὐτοῦ τῇ διανοίᾳ συλλαβὼν καὶ μετὰ σοφίας οὐκ ἀσκόπως εἰκάσας,

ipsi genitus. Isti habitarunt Idumææ regionem quæ Gobolitis dicta est, eamque quæ ab Amaleci nomine Amalecitis est appellata. Quum enim late olim pateret Idumæa, universa idem nomen tunc obtinuit, partesque ejus appellationes ab habitatoribus inditas *postea* conservarunt.

CAP. II.

Jacobo autem contigit tantam felicitatem assequi, quantam vix alius quisquam. Nam et opibus excellebat inter istius regionis incolas, et propter filiorum virtutes ad invidiam felix erat ac conspicuus : nihil enim eis deerat, sed et ad opera manuum et laborum tolerantiam bene erant animati, acerrimoque valebant ingenio. Tantam utique ipsius felicitatis curam gerebat numen, ut etiam ex rebus, sicut tum videbantur, adversis maximus ei accesserit bonorum cumulus, et per ipsum ejusque liberos parentibus nostris viam ad exitum ex Ægypto præmunierit, ex ejusmodi occasione. Josephum ex Rachela sibi natum Jacobus quum ob corporis venustatem tum ob animi virtutem (alios enim prudentia antecellebat) præ ceteris liberis amabat. Jam et is parentis affectus fratrum odium et invidiam in eum concitabat, et ex somniis, quæ sibi visa patri atque illis indicavit, felicitas sibi promissa, quum natura hominum proclivis sit ad res prosperas vel conjunctissimorum æmulandas. Visiones autem, quas per quietem viderat Josephus, hujusmodi erant.

2. Missus cum fratribus a patre ad fruges messis tempore colligendas, visionem vidit ab iis quæ dormientibus obversari solent diversam : quam expergefactus fratribus interpretandam narravit, dicens suum quidem sibi visum præterita nocte tritici manipulum eo quo posuerat loco immotum stare, illorum vero accurrentes ipsum venerari, ut soleant dominos servi. At illi quum intellexissent visionem ei potentiam rerumque magnitudinem prænunciare, et fratres quoque in ejus potestate futuros, Josepho quidem, ac si iis non nosceretur somnium, nihil tale interpretati sunt, sed precabantur ne quid horum, quæ suspicati sunt, ei eveniret : eoque etiam majore in eum odio ardere perseverarunt.

3. Deus autem, adversus eorum invidiam contendens, alteram visionem Josepho immittit priore multo magis mirabilem. Sol ipsi visus est arripere lunam et reliquas stellas, atque in terram descendere, ipsumque adorare. Hanc visionem patri, etiam in præsentia fratrum, nihil ex iis mali suspicans, exposuit obsecratque ut quid sibi vellet interpretari dignaretur. Ille vero somnio lætatur : ejus enim præsagium mente colligens, et eventum sapienter

ἔχαιρεν ἐπὶ μεγάλοις τοῖς σημαινομένοις. Εὐδαιμονίαν γὰρ τῷ παιδὶ κατήγγελλε, καὶ καιρὸν ἥξειν Θεοῦ δόντος, καθ' ὃν αὐτὸν ὑπό τε τῶν γονέων καὶ τῶν ἀδελφῶν ἔσεσθαι τίμιον καὶ προσκυνήσεως ἄξιον· τὴν μὲν σελήνην καὶ τὸν ἥλιον μητέρι καὶ πατρὶ, τῆς μὲν αὐξούσης ἅπαντα καὶ τρεφούσης, τοῦ δ' ἐκτυποῦντος καὶ τὴν ἄλλην ἰσχὺν ἐντιθέντος, εἰκάζων, τοὺς δ' ἀστέρας τοῖς ἀδελφοῖς, καὶ γὰρ τούτους ἕνδεκα εἶναι καθάπερ καὶ τοὺς ἀστέρας, ἀπό τε ἡλίου καὶ σελήνης τὴν ἰσχὺν λαμβάνοντας.

δ'. Καὶ ὁ μὲν Ἰάκωβος τοιαύτην οὐκ ἀσυνέτως τῆς ὄψεως τὴν κρίσιν ἐποιήσατο· τοὺς δ' ἀδελφοὺς τοῦ Ἰωσήπου σφόδρα ἐλύπησε τὰ προειρημένα. Καὶ διετέθησαν ὡς ἐπ' ἀλλοτρίῳ τινὶ μέλλοντι τὰ σημαινόμενα διὰ τῶν ὀνειράτων ἀγαθὰ ἕξειν, ἀλλ' οὐκ ἀδελφῷ, καὶ ὧν συναπολαύσειν αὐτῷ εἰκὸς ἦν, κοινωνοὺς ὡς τῆς γενέσεως οὕτω καὶ τῆς εὐδαιμονίας ἐσομένους· ἀνελεῖν τε ὥρμήκεσαν τὸ μειράκιον. Καὶ ταύτην κυρώσαντες τὴν βουλὴν, ἐπεὶ τὰ τῆς συγκομιδῆς αὐτοῖς πέρας εἶχεν, ἐπὶ Σικίμων τραπέντες (χώρα δ' ἐστὶν αὕτη βόσκειν ἀγαθὴ θρέμματα καὶ νομὰς ἐκτρέφειν), αὐτόθι τῶν ποιμνίων ἐπεμελοῦντο, μὴ προδηλώσαντες τῷ πατρὶ τὴν ἐκεῖσε ἄφιξιν. Ὁ δὲ ὑπὸ τῆς ἀγνοίας καὶ τοῦ μηδὲ ἀπὸ τῶν ποιμνίων πρὸς αὐτὸν ἀφικέσθαι τινὰ τῶν περὶ τῶν παίδων αὐτῷ ταληθὲς σημαίνειν δυνάμενον, σκυθρωπότερον τὴν περὶ αὐτῶν διάνοιαν λαμβάνων καὶ περιδεὴς ὢν πέμπει τὸν Ἰώσηπον εἰς τὰ ποίμνια μαθησόμενον τὰ περὶ τῶν ἀδελφῶν, καὶ τί πράττοιεν σημανοῦντα.

ΚΕΦ. Γ'.

Οἱ δὲ, τὸν ἀδελφὸν ὡς εἶδον πρὸς αὐτοὺς ἀφιγμένον, ἥσθησαν μὲν, ἀλλ' οὐχ ὡς ἐπ' οἰκείου παρουσίᾳ καὶ πατρὸς ἀπεσταλκότος, ἀλλ' ὡς ἐπ' ἐχθροῦ καὶ ταῖς χερσὶν αὐτῶν κατὰ θείαν βούλησιν παραδοθέντος, ἀναιρεῖν τε ἤδη, καὶ μὴ τὸν ἐν ποσὶν ὑπερβαλέσθαι καιρὸν ὡρμήκεσαν. Οὕτω δ' αὐτοὺς Ῥούβηλος ὁρῶν ἔχοντας ὁ πρεσβύτατος αὐτῶν καὶ πρὸς τὴν πρᾶξιν ὡμονοηκότας ἐπειρᾶτο κατέχειν, ὑποδεικνὺς τὸ μέγεθος τοῦ τολμήματος καὶ τὸ ἀπ' αὐτοῦ μύσος· ὡς πονηρὸν μὲν καὶ Θεῷ καὶ ἀνθρώποις ἀνόσιον δοκοῦν καὶ τὸ μὴ συγγενοῦς ἀνθρώπου χειρουργῆσαι φόνον, πολὺ μέντοι μιαρώτερον τὸ σφαγὴν ἀδελφοῦ δράσαντας ὀφθῆναι, ᾧ πατήρ τε ἀναιρουμένῳ συναδικεῖται καὶ μήτηρ εἰς πένθος καὶ παιδὸς ἀποστέρησιν, οὐ κατ' ἀνθρώπινον γινομένην νόμον, συγκατασπᾶται. Τούτων δ' οὖν αὐτῶν αἰδῶ λαβόντας, καὶ τῷ λογισμῷ τί καὶ πείσονται τεθνηκότος αὐτοῖς παιδὸς ἀγαθοῦ καὶ νεωτάτου παραθεμένους, ἀποσχέσθαι τοῦ τολμήματος παρεκάλει, καὶ τὸν Θεὸν δείσαντας, ὃς θεατὴς ἅμα καὶ μάρτυς ἤδη καὶ τῆς βουλῆς αὐτῶν τῆς ἐπὶ τὸν ἀδελφὸν γεγενημένης ἀποστάντας τῆς μὲν πράξεως ἀγαπήσειε, μετανοίᾳ καὶ τῷ σωφρονεῖν εἶξαντας, προελθόντας δ' ἐπὶ τοὔργον οὐκ ἔστιν ἣν οὐκ εἰσπράξαιτο ἀδελφοκτονίας δίκην, μιᾷ

conjiciens, gaudebat ob ingentia illi prænunciata. Nam felicitatem filio pollicitus est, tempusque concessu Dei venturum, quo a parentibus ac fratribus in honore esset et veneratione dignus haberetur : solem quidem et lunam matri patrique comparans, quod altera quidem augeret omnia et aleret, alter vero formam rebus et vim ceteram impertiret; stellas vero fratribus, quum et ipsi undecim essent sicut et stellæ, tum a sole et luna vim suam habeant.

4. Et Jacobus quidem non inficete dedit visionis interpretationem : fratres vero Josephi valde contristavit tale præsagium. Ac incitati sunt adversus eum, veluti extraneum quempiam bona somniis istis prænunciata habiturum, ac non fratrem, cum quo pariter omnibus fortunis fruituros esse verisimile erat, ut generis participes ita et felicitatis socios futuros : atque adolescentulum interimere in animum induxerunt. Quumque hoc consilium ratum habuissent, frumentis jam collectis, Sicima profecti (nam regio est pecoribus alendis optima et pascuis percommoda), illic greges curarunt, patrem non præmonentes quod istic abituri essent. Ille vero, quod hoc nesciret et nemo ad eum a gregibus adveniret, qui certi aliquid de filiis nunciare posset, tristi et sollicito animo rem agitans, illisque valde metuens, mittit Josephum ad greges cogniturum de fratribus et quid agant renunciaturum.

CAP. III.

Illi autem, ut fratrem ad se venientem conspexerunt, gavisi sunt, non ut ob adventum familiaris et a patre missi, sed tanquam inimici et in manus suas Dei voluntate traditi, ac confestim, ne hanc occasionem ex manibus elabi sinant, ad illum perimendum sese expediunt. Rubelus vero, inter istos natu maximus, quum eos ita se habere vidisset, superque ea re consentientes, tentabat *eorum impetum* continere, ostendens facinus fore audacissimum simul ac scelestissimum; nam nefarium et Deo videri et hominibus flagitiosum etiam non consanguinei cædem perpetrare, multo autem scelestius fratris necis reos deprehendi; quo sublato etiam in patrem redundaret injuria, materque in luctum et orbitatem, non ex lege mortalitatis illatam, conjiceretur. Igitur ut hos reveriti, reputantesque secum quantum perpessuri essent, filio tum optimo tum natu minimo eis erepto, incepto desisterent tam audaci, obsecrabat, etiam timore Dei, qui jam spectator ac testis consilii contra fratrem initi, si a facinore abstinerent, illos amaturus sit, ad pœnitentiam sanamque mentem adductos, sed si pergerent ad opus, nullas non pœnas ab eis ob fratris cædem sit repetiturus, ut qui providentiam ejus ubique

ναντας αὐτοῦ τὴν πανταχοῦ παροῦσαν πρόνοιαν, καὶ μήτε τῶν ἐπ' ἐρημίαις πραττομένων ὑστεροῦσαν μήτε τῶν κατὰ τὰς πόλεις. Ὅπου γὰρ ἂν ἄνθρωπος ᾖ, χρὴ δοκεῖν ἐνταῦθα παρεῖναι καὶ τὸν Θεόν. Τό τε συνειδὸς αὐτοὺς τὸ ἴδιον ἔξειν ἐχθρὸν ἐπὶ τοῖς τολμηθεῖσιν ἔλεγεν, ὃ μήτε τοῖς ἀγαθὸν αὐτὸ ἔχουσι, μήτε τοιοῦτον ὁπαῖον αὐτοῖς συνοικήσει τὸν ἀδελφὸν ἀνελοῦσιν, ἔστιν ἀποδρᾶναι. Προσετίθει δὲ καὶ ταῦτα τοῖς προειρημένοις, ὡς ἀδελφὸν οὐδὲ ἀδικήσαντα κτείνειν ὅσιον, καλὸν δὲ καὶ τὸ μὴ μνησικακεῖν τοῖς οὕτω φίλοις, ὑπὲρ ὧν ἁμαρτάνειν ἔδοξαν· Ἰώσηπον δὲ οὐδὲ πονηρὸν εἰς αὐτοὺς γεγενημένον διαφθεροῦσιν, ᾧ καὶ τὸ τῆς ἡλικίας ἀσθενὲς ἔλεον μᾶλλον καὶ τὴν παρ' αὐτῶν ἐρανίζεται κηδεμονίαν. Ἥ τε αἰτία τῆς ἀναιρέσεως πολὺ χείρω τὴν πρᾶξιν αὐτῶν τίθησι, διὰ φθόνον τῶν ἐσομένων ἀγαθῶν αὐτῷ τοῦ ζῆν ἐξαγαγεῖν διεγνωκώτων, ὧν τὸ ἴσον ἀπολαύσουσι κοινωνοῦντες αὐτῷ τῆς μετουσίας, οὐκ ἀλλοτρίων ὄντων, ἀλλ' οἰκείων. Ἴδια γὰρ εἶναι αὐτῶν ὑπολαμβάνειν ὅσα Θεὸς Ἰωσήπῳ δώσει· προσήκειν οὖν τὴν ὀργὴν καὶ διὰ τοῦτο αὐτοὺς [καλῶς ἔχειν] χαλεπωτέραν ἔσεσθαι νομίζειν, εἰ τὸν ὑπ' αὐτοῦ τοῦ Θεοῦ κεχριμένον τῶν ἐλπιζομένων ἀγαθῶν ἄξιον ἀποκτείναντες ἀφαιρήσονται τὸν Θεὸν ᾧ ταῦτα χαρίσεται.

β'. Καὶ ὁ μὲν Ῥούβηλος ταῦτα λέγων καὶ πρὸς τούτοις ἔτι πλείω, καὶ δεόμενος, ἐπειρᾶτο τῆς ἀδελφοκτονίας αὐτοὺς ἀποτρέπειν. Ἐπεὶ δ' οὐδὲν μετριωτέρους ὑπὸ τῶν λόγων ἑώρα γεγενημένους, ἀλλὰ σπεύδοντας ἐπὶ τὴν ἀναίρεσιν, συνεβούλευε τὸ κακὸν αὐτοὺς ἐπιεικέστερον ποιῆσαι τῷ τρόπῳ τῆς ἀναιρέσεως. Καὶ γὰρ ἀμυνομένοις παρῄνεσε τὸ πρῶτον ** πεπεῖσθαι λέγων αὐτούς. Ἐπεὶ δ' ἐκράτησαν ὥστ' ἀνελεῖν τὸν ἀδελφὸν, οὐκ ἔσεσθαι σφόδρα κακοὺς οἷς νῦν παραινεῖ πεισθέντας ἔλεγεν· ἐν γὰρ τούτοις εἶναι καὶ τὸ ἔργον, ἐφ' ὃ σπεύδουσιν, οὐ μέντοι τοιοῦτον, ἀλλ' ὡς ἐν ἀπόροις κουφότερον. Ἠξίου γὰρ αὐτοὺς αὐτόχειρας μὲν μὴ γενέσθαι τἀδελφοῦ, ῥίψαντας δὲ εἰς τὸν παρακείμενον λάκκον οὕτως ἀποθανεῖν ἐᾶσαι, καὶ τό γε μὴ μιανθῆναι τὰς χεῖρας αὐτοὺς κερδαίνειν. Συναινεσάντων δὲ τούτοις τῶν νεανίσκων, παραλαβὼν Ῥούβηλος τὸ μειράκιον καὶ καλωδίου ἐκδήσας, ἠρέμα καθίμησεν εἰς τὸν λάκκον· καὶ γὰρ ἱκανῶς ἄνυδρος ἦν. Καὶ ὁ μὲν τοῦτο ποιήσας ἀπαλλάσσεται κατὰ ζήτησιν χωρίων πρὸς νομὰς ἐπιτηδείων.

γ'. Ἰούδας δὲ, καὶ αὐτὸς ὢν τῶν Ἰακώβου παίδων, ἐμπόρους ἰδὼν Ἄραβας τοῦ Ἰσμαηλιτῶν γένους ἀρώματα καὶ Σύρα φορτία κομίζοντας Αἰγυπτίοις ἐκ τῆς Γαλαδηνῆς, μετὰ τὴν ἀναχώρησιν τὴν Ῥουβήλου τοῖς ἀδελφοῖς συνεβούλευσεν ἀνιμήσασι τὸν Ἰώσηπον ἀπεμπολῆσαι τοῖς Ἄραψιν· ἐκεῖνόν τε γὰρ ὅτι πορρωτάτω γενόμενον, κἂν τεθνήξεσθαι παρὰ τοῖς ξένοις, αὐτούς τε τοῦ μιάσματος οὕτως ἀπαλλαγήσεσθαι. Δόξαν οὖν τοῦτο, τοῖς ἐμπόροις ἀποδίδονται τὸν Ἰώσηπον ἀνελκύσαντες ἐκ τοῦ λάκκου μνῶν εἴκοσιν, ἑπταικαίδεκα ἐτῶν γεγονότα. Ῥούβηλος δὲ, νύκτωρ ἐπὶ τὸν λάκκον ἐλ-

praesentem violassent, quem nihil latere potest, sive in solitudine peragatur, sive in urbium frequentia. Ubicunque enim est homo, existimandum ibi Deum quoque adesse. Quin et propriam conscientiam, si hoc ipsum patrare auderent, sibimet adversaturam esse aiebat: quam nemo potest fugere, sive bonam conservare studeat, sive talem nactus fuerit, qualis ipsos sit insectatura, si fratrem interfecerint. Insuper autem hæc prædictis adjiciebat, nefas esse cuique fratrem quamvis injustum interimere: satius vero esse ita amicos non ulcisci et persequi, si vel peccasse videantur. Josephum vero, qui nequaquam malignus in ipsos exstiterit, esse occisuros: cujus ætas tenera misericordiam potius commoveret, curamque ab iis et tutelam expeteret. Causam etiam cædis plurimum augere facti hujus indignitatem quod ob invidiam futuræ ejus felicitatis vitam ei adimere statuerint, qua ex æquo fruituri erant consortionem cum illo habentes sociabilem, utpote qui non alieni essent, sed cogitatione conjuncti. Debere enim existimare ipsorum esse quicquid Josepho largietur Deus: ac proinde par esse ut cogitarent iracundiam *cœlestem* gravius illis incubituram, si eum perimendo, qui ab ipso Deo omni bona fortuna dignus esset habitus, hunc ipsum Deo auferrent, quem tanta cumulaturus esset felicitate.

2. Ac Rubelus quidem hæc dicens et plura præterea, atque etiam obsecrans, conabatur eos a fratricidio absterrere. Postquam autem ipsos nihilo placatiores factos viderat, sed in eo esse ut ad cædem properarent, consilium dedit ut modo saltem necis malum paululum mitigarent. Ultionem etenim meditantes primum admonuit ** paruisse eos dicens. Quum vero prævaluissent ut fratrem tollerent, dicebat fore ut leviori peccato tenerentur, si in iis ad quæ jam hortatur sibimet pareant. Sic enim finem suum, ad quem festinant, consequuturos esse, sed alio modo et, ut in extremis, leniori. Nam obtestatus est ipsos, ne suas ipsi manus fratri injicerent, sed in proximum puteum conjectum illic emori sinerent, atque ita manus non pollutas lucrifacerent. Quum autem hisce assensum dedissent juvenes, Rubelus, puerum abducens et fune religans, leniter eum in puteum demisit; erat enim satis siccus. Et ille quidem hoc facto abiit pascua commoda quæsiturus.

3. Judas autem, qui et ipse unus e Jacobi filiis, conspicatus mercatores Arabas generis Ismaelitici, aromata et Syras merces deferentes ad Ægyptios e terra Galadena, post discessum Rubeli consilium dedit fratribus ut Josephum *puteo* extractum venderent Arabibus: nam ita illum, quam longissime ablegatum, apud exteros fortasse morituru, ac fore ut hoc pacto semet sceleris puros conservarent. Hoc igitur quum placuisset consilium, Josephum ex puteo receptum viginti minis vendunt mercatoribus, annos septendecim natum. Rubelus autem, nocte ad puteum veniens,

θὼν, σῶσαι τοὺς ἀδελφοὺς λαθὼν τὸν Ἰώσηπον ἐγνώκει· καὶ ὡς ἀναβοωμένῳ μὴ ὑπήκουσε, δείσας μὴ ἐφθάρκασιν αὐτὸν μετὰ τὴν ἀναχώρησιν αὐτοῦ, κατεμέμφετο τοὺς ἀδελφούς. Τῶν δὲ τὸ πραχθὲν αὐτῷ φρασάντων, παύεται τοῦ πένθους Ῥούβηλος.

δ'. Ὡς δὲ ταῦτα περὶ τὸν Ἰώσηπον τοῖς ἀδελφοῖς ἐπέπρακτο, τί ποιήσαντες ἂν ἔξω τῆς ὑπονοίας παρὰ τῷ πατρὶ γενηθεῖεν ἐζήτουν. Καὶ δὴ τὸν χιτωνίσκον, ὃν ἀφῖκτο μὲν πρὸς αὐτοὺς ὁ Ἰώσηπος ἐνδεδυμένος (περιῃρήκεσαν δ' αὐτὸν ὅτε καθίεσαν εἰς τὸν λάκκον), ἔδοξεν αὐτοῖς διασπαράξασιν αἵματι τράγων μολῦναι καὶ τῷ πατρὶ δεῖξαι φέροντας, ὡς ἂν ὑπὸ θηρίων αὐτῷ φανείη διεφθαρμένος. Καὶ τοῦτο ποιήσαντες ἦκον πρὸς τὸν πρεσβύτην, ἤδη τῶν περὶ τὸν υἱὸν εἰς γνῶσιν ἀφιγμένον. Ἔλεγον δὲ τὸν μὲν Ἰώσηπον οὔτ' ἰδεῖν οὔθ' ἕ κέχρηται συμφορᾷ μεμαθηκέναι, χιτῶνα δὲ τοῦτον εὑρεῖν ἡμαγμένον καὶ λελακισμένον· ὅθεν αὐτοῖς ὑπόνοιαν εἶναι περιπεσόντα θηρίοις αὐτὸν ἀπολωλέναι, εἴ γε τοῦτον ἐνδεδυμένος οἴκοθεν ἐστάλη. Ἰάκωβος δὲ ἐπὶ κουφοτέραις ὧν ἔλπίσιν, ὡς ἠνδραποδισμένου ὄῆθεν αὐτῷ τοῦ παιδὸς, τοῦτον μὲν ἀφίησι τὸν λογισμὸν, πίστιν δ' αὐτοῦ τῆς τελευτῆς ἐναργῆ τὸν χιτῶνα ὑπολαβών (καὶ γὰρ ἐγνώρισεν ὡς ἐκεῖνον αὐτὸν ἐνδεδυμένον ἐκπέμποι πρὸς τοὺς ἀδελφούς), ὡς ἐπὶ νεκρῷ τὸ λοιπὸν οὕτω διέκειτο ἐπὶ τῷ μειρακίῳ πενθῶν. Καὶ ὡς ἑνὸς πατὴρ ὢν καὶ τῆς ἐξ ἄλλων παραμυθίας ἐστερημένος, οὕτως ἦν παρὰ τῷ κακῷ, πρὶν ἢ τοῖς ἀδελφοῖς συμβαλεῖν, εἰκάζων ὑπὸ θηρίων Ἰώσηπον ἀφανῆ γεγονέναι. Ἐκαθέζετο δὲ σακκίον ἐξαψάμενος καὶ τῇ λύπῃ βαρὺς, ὡς μήτε ὑπὸ παίδων παρηγορούντων αὐτῶν ῥᾴονα γενέσθαι μήτε κάμνοντα τοῖς πόνοις ἀπαγορεύειν.

insciis fratribus Josephum servare secum statuit. Ac dum inclamanti non responderet, ille, suspicatus post discessum suum interemptum esse, fratres incusabat. Qui quum rem gestam ei enarrassent, lugere desiit Rubelus.

4. Ut primum vero hæc in Josephum a fratribus perpetrata erant, consultare cœperunt quid demum agerent, ut patris suspicionem evitare possent. Placuit igitur tunicam, qua indutus Josephus ad eos venerat (nam ipsam ei demittendo in puteum detraxerant), discerptam sanguine hircino fœdare, atque ita patri allatam ostendere, ut ei videretur a feris devoratus. Atque hoc facto venerunt ad senem, quum jam aliquid de filio rescivisset. Aiebant autem Josephum quidem neque vidisse se, neque scire quid illi evenerit, tunicam tamen istam cruentatam et laceram invenisse : suspicionem ipsis esse belluarum incursu mortem illum oppetiisse, siquidem hac indutus domo exiverit. Jacobus autem quum exiguam spem habuisset, fuisse scilicet aliquo captivum abductum puerum; ab hac quidem cogitatione discessit; sed manifestum necis indicium tunicam ratus (agnoscebat enim eam esse qua indutum ad fratres miserat), postea ita se habuit, adolescentem lugendo, quasi interiisset. Atque tam male erat illi, ac si unius pater exstitisset, et aliorum *filiorum* consolatione privatus, etiam, priusquam cum fratribus colloqueretur, Josephum a feris discerptum periisse conjiciens. Sedebat autem sacco amictus et dolore oppressus, ut neque filii consolando quicquam proficerent, neque ipse luctum lassitudine remitteret.

ΚΕΦ. Δ'.

Ἰώσηπον δὲ, πωλούμενον ὑπὸ τῶν ἐμπόρων, ὠνησάμενος Πετεφρῆς, ἀνὴρ Αἰγύπτιος, ἐπὶ τῶν Φαραώθου μαγείρων τοῦ βασιλέως, εἶχεν ἐν ἁπάσῃ τιμῇ· παιδείαν δὲ τῆν ἐλευθέριον ἐπαίδευε, καὶ διαίτῃ χρήσασθαι κρείττονι τῆς ἐπὶ δούλῳ τύχης ἐπέτρεπεν· ἐγχειρίζει τε τὴν τῶν κατὰ τὸν οἶκον αὐτῷ πρόνοιαν. Ὁ δὲ τούτων τε ἀπέλαυε, καὶ τὴν ἀρετὴν, ἥτις ἦν περὶ αὐτὸν, οὐδ' ὑπὸ τῆς μεταβολῆς ἐγκατέλειπεν, ἀλλὰ διέδειξε τὸ φρόνημα κρατεῖν τῶν ἐν τῷ βίῳ δυσκόλων δυνάμενον οἷς ἂν παρῇ γνησίως καὶ μὴ πρὸς τὰς εὐπραγίας τὰς κατὰ καιρὸν μόνον ἡρμοσμένον.

β'. Τῆς γὰρ τοῦ δεσπότου γυναικὸς, διά τε τὴν εὐμορφίαν καὶ τὴν περὶ τὰς πράξεις αὐτοῦ δεξιότητα, ἐρωτικῶς διατεθείσης, καὶ νομιζούσης, εἰ ποιήσειεν αὐτῷ τοῦτο φανερὸν, ῥᾳδίως πείσειν αὐτὸν εἰς ὁμιλίαν ἐλθεῖν, εὐτύχημα ἡγησάμενον τὸ τὴν δέσποιναν αὐτοῦ δεηθῆναι, καὶ πρὸς τὸ σχῆμα τῆς τότε δουλείας, ἀλλ' οὐ πρὸς τὸν τρόπον ἀφορώσης τὸν καὶ παρὰ τὴν μεταβολὴν παραμένοντα, τήν τε ἐπιθυμίαν αὐτῷ ποιησάσης καταφανῆ καὶ λόγους προσφερούσης περὶ μίξεως, παρέπεμπε τὴν ἀξίωσιν, οὐ κρίνας ὅσιον εἶναι τοιαύτην

CAP. IV.

Josephum autem venditum a mercatoribus quum emisset Petephres, vir Ægyptius, qui Pharaothis regis coquis præerat, *eum* summo in honore habuit. Nam et disciplinis liberalibus eum instituendum curavit, et victu meliore quam pro servili conditione uti permisit, eumque suæ domui præfecit. Is vero hisce fruebatur, non tamen virtutem, qua præditus erat, propter hanc mutationem deseruit, sed ostendit prudentiam difficillima quæque in vita posse superare, si quibus adsit pura et iufucata, nec ad præsentem tantum felicitatem accommodata.

2. Quum enim uxor herilis, tam ob formæ elegantiam quam ob dexteritatem ejus in rebus agendis, amore ejus esset incensa, ac putaret, si hoc ei aperiret, fore ut facile ad amplexus alliceretur, in parte felicitatis positurus quod hera illum peteret (nam ad habitum servitutis præsentis, non ad mores, qui statu etiam mutato permanerent, respiciebat), adeoque suum, quo flagrabat, ei proderet desiderium et sermones sereret de concubitu; *ille* preces ejus repulit, ne-

αὐτῇ δοῦναι χάριν, ἐν ᾗ τοῦ πριαμένου καὶ τοσαύτης ἠξιωκότος τιμῆς ἀδικίαν συνέβαινεν εἶναι καὶ ὕβριν, ἀλλὰ κρατεῖν τε τοῦ πάθους κἀκείνην παρεκάλει, τὴν ἀπόγνωσιν τοῦ τεύξεσθαι τῆς ἐπιθυμίας προβαλλόμενος· σταλήσεσθαι γάρ τε αὐτῇ τοῦτο μὴ παρούσης ἐλπίδος· αὐτός τε πάντα μᾶλλον ὑπομενεῖν ἔλεγεν ἢ πρὸς τοῦτο καταπειθὴς ἔσται. Καὶ γὰρ εἰ τῇ δεσποίνῃ δοῦλον ὄντα δεῖ ποιεῖν μηδὲν ἐναντίον, ἡ πρὸς τὰ τοιαῦτα τῶν προσταγμάτων ἀντιλογία πολλὴν ἂν ἔχοι παραίτησιν. Τῆς δ' ἔτι μᾶλλον ἐπέτεινε τὸν ἔρωτα τὸ μὴ προσδοκώσῃ τὸν Ἰώσηπον ἀντισχεῖν. Καὶ δεινῶς ὑπὸ τοῦ κακοῦ πολιορκουμένη, δευτέρᾳ πάλιν πείρᾳ προεθυμεῖτο κατεργάσασθαι.

γ'. Δημοτελοῦς οὖν ἑορτῆς ἐπιστάσης, καθ' ἣν εἰς τὴν πανήγυριν καὶ γυναιξὶ φοιτᾶν νόμιμον ἦν, σκήπτεται νόσον πρὸς τὸν ἄνδρα, θηρωμένη μόνωσιν καὶ σχολὴν εἰς τὸ δεηθῆναι τοῦ Ἰωσήπου. Καὶ γενομένης αὐτῇ ταύτης, λιπαρεστέρους ἔτι τῶν πρώτων αὐτῷ προσηνέγκατο λόγους, ὡς καλῶς μὲν εἶχεν αὐτῷ μετὰ τὴν ἐξ ἀρχῆς δέησιν εἶξαι καὶ μηδὲν ἀντειρηκέναι κατά τε τὴν τῆς παρακαλούσης ἐντροπὴν καὶ τὴν τοῦ πάθους ὑπερβολήν, ὑφ' οὗ βιασθεὶς δέσποινα οὖσα τοῦ κατ' αὐτὴν ἀξιώματος ταπεινοτέρα γενέσθαι, φρονήσει δὲ καὶ νῦν ἄμεινον ἐνδοὺς καὶ τὸ ἐπὶ τοῖς παρελθοῦσιν ἁγνωμον διορθώσεται. Εἴτε γὰρ δευτέραν δέησιν ἐξεδέχετο, ταύτην γεγονέναι καὶ μετὰ πλείονος σπουδῆς· νόσον τε γὰρ προφασίσασθαι καὶ τῆς ἑορτῆς καὶ τῆς πανηγύρεως τὴν πρὸς αὐτὸν ὁμιλίαν προτιμῆσαι· εἴτε τοῖς πρώτοις ὑπὸ ἀπιστίας ἀντέκρουσε λογισμοῖς, τοῦ μηδεμίαν κακουργίαν εἶναι κρίνειν σύμβολον τὸ τοῖς αὐτοῖς ἐπιμένειν. Προσδοκᾶν τε τῶν παρόντων ἀγαθῶν ὄνησιν, ὧν ἤδη μετέχειν, προσθέμενον αὐτῆς τῷ ἔρωτι, καὶ μειζόνων ἀπολαύειν, ὑπήκοον γενόμενον, ἄμυναν δὲ καὶ μῖσος παρ' αὐτῆς ἀποστραφέντα τὴν ἀξίωσιν, καὶ τοῦ χαρίζεσθαι τῇ δεσποίνῃ τὴν τῆς σωφροσύνης δόκησιν ἐπίπροσθεν θέμενον. Οὐ γὰρ αὐτὸν τοῦτο ὠφελήσειν, τραπείσης εἰς κατηγορίαν αὐτοῦ, καὶ καταψευσαμένης πεῖραν ἐπὶ τἀνδρί· προσέξειν δὲ μᾶλλον τοῖς αὐτῆς λόγοις Πετεφρῆν ἢ τοῖς ἐκείνου, κἂν ὅτι μάλιστα ἀπὸ τῆς ἀληθείας φέρωνται.

δ'. Ταῦτα λεγούσης τῆς γυναικὸς καὶ δακρυούσης, οὔτε οἶκτος αὐτὸν μὴ σωφρονεῖν ἔπεισεν οὔτ' ἠνάγκασε φόβος, ἀλλὰ ταῖς δεήσεσιν ἀντέσχεν καὶ ταῖς ἀπειλαῖς οὐκ ἐνέδωκε, δείσας παθεῖν ἀδίκως, καὶ ὑπομένειν τι τῶν χαλεπωτέρων εἵλετο μᾶλλον ἢ τῶν παρόντων ἀπολαύειν, χαρισάμενος ἐφ' οἷς ἂν αὐτῷ συνῄδει δικαίως ἀπολουμένῳ. Γάμου τε αὐτὴν ὑπεμίμνησκε καὶ τῆς πρὸς τὸν ἄνδρα συμβιώσεως, καὶ τούτοις τὸ πλέον νέμειν ἢ τῇ προσκαίρῳ τῆς ἐπιθυμίας ἡδονῇ παρεκάλει, τῆσδε μὲν καὶ μετάνοιαν ἐξούσης αὖθις ἐπ' ὀδύνῃ γενησομένην, οὐκ ἐπὶ διορθώσει τῶν ἡμαρτημένων, καὶ φόβον τοῦ κατάφωρον γενέσθαι, ἀλλὰ χάριν τοῦ λαθεῖν ἀγνοουμένου τοῦ κακοῦ, τῆς δὲ πρὸς τὸν ἄνδρα κοινωνίας ἀπόλαυσιν ἐχούσης ἀκίνδυνον. Καὶ προσέτι πολλὴν

fas esse ducens tali eam gratia impertire, quæ illi, qui eum emerat et tanto dignatus erat honore, in injuriam cederet et contumeliam. Quin et ipsam admonebat ut cupiditatem reprimeret, desperationem *illi* injiciens optatis potiundi (sic enim fore ut ei sedaretur impetus, quum omni de spe decideret), sibique constitutum esse dicebat prius omnia extrema pati, quam ei hac in re obsequi. Quamvis enim heræ adversari servum non deceat, hujusmodi *tamen* mandatis non obedire multum habuerit excusationis. Illius autem amorem magis accendebat quod nihil tale exspectanti restiterit Josephus. Et quum graviter illa a malo premeretur, altero rursus tentamine eum expugnare statuit.

3. Quum igitur publicum festum instaret, cujus celebritatem feminas quoque frequentare mos erat, ægritudinem caussatur apud maritum, captans solitudinem et otium ad Josephum exorandum. Quod quum nacta esset, blando magis sermone quam antea eum aggreditur, ut satius quidem fuerit eum primis cessisse precibus, neque aliquid contradixisse, et propter reverentiam compellantis et affectus vehementiam, qui cogeret eam, quæ hera sit, sua dignitate humiliorem se gerere. Nunc autem prudentiæ magis convenienter agendo, quicquid prius desipuerit, licere ipsi emendare. Sive enim secundas preces desideraret, has adesse et cum majori studio; se enim ægritudinem simulasse, atque festo et celebritati ipsius consuetudinem prætulisse : sive prioribus ob diffidentiam repugnasset sermonibus, indicio esse crederet, nullam latuisse fraudis malignitatem, quod in eadem voluntate perstaret. Quare et præsentium bonorum emolumentis frui exspectaret, quorum jam particeps esset, si ejus desiderio annueret, et majora etiam consequuturum, si suæ morem gereret voluntati : ultionem autem et odium ab illa, si petitionem repudiaret, et castitatis existimationem mallet illibatam servare quam heræ gratificari. Eam enim ipsi nequaquam prodesse, si ei accusationem instrueret, et se ab illo tentatam esse ad maritum mentiretur : magis enim Petephren suis sermonibus fidem habiturum esse quam illius, veritati licet maxime consentanea proferat.

4. Hæc loquente muliere et illacrimante, neque misericordia eum recedere a castitate suasit, neque metus coegit : sed precibus restitit, minisque non concessit, veritus ne quid mali ageret, malens acerbissima quæque sufferre quam præsentibus acquiescere, tale quicquam in mulieris gratiam perpetrando, ob quod sibi conscius erat se juste esse periturum. Ipsam quoque nuptiarum monuit, jurisque conjugalis et consuetudinis, obsecrans ut his plus daret quam momentaneæ libidini explendæ, quum hæc quidem paritura sit pœnitentiam, cessuram in dolorem, non in delictorum emendationem, ac *præterea* metum ne deprehendatur, beneficium vero *solum* si lateat peccato ignorato : mariti vero licere congressu frui sine periculo. Insuper et

ἔλεγε τὴν ἀπὸ τοῦ συνειδότος καὶ πρὸς τὸν Θεὸν παρρησίαν καὶ πρὸς ἀνθρώπους, καὶ ὡς αὐτοῦ δεσπόσει μᾶλλον μείνασα καθαρὰ, καὶ δεσποίνης ἐξουσίᾳ χρήσεται πρὸς αὐτὸν, ἀλλ' οὐ συνεξαμαρτάνοντος αἰδοῖ. Πολὺ δὲ κρεῖττον εἶναι θαρρεῖν ἐπὶ γινωσκομένοις τοῖς εὖ βεβιωμένοις ἢ ἐπὶ λανθανούσῃ κακοπραγίᾳ.

ε'. Ταῦτα λέγων καὶ ἔτι πλείω τούτοις ὅμοια, τὴν τῆς γυναικὸς ὁρμὴν ἐπισχεῖν ἐπειρᾶτο καὶ τὸ πάθος αὐτῆς εἰς λογισμὸν ἐπιστρέφειν. Ἡ δὲ βιαιότερον ἐχρῆτο τῇ σπουδῇ, καὶ ἐπιβαλοῦσα τὰς χεῖρας ἀναγκάζειν ἀπογνοῦσα τοῦ πείθειν ἤθελεν. Ὡς δὲ ἐξέφυγεν ὑπ' ὀργῆς ὁ Ἰώσηπος προσκαταλιπὼν καὶ τὸ ἱμάτιον κατεχούσης (καὶ γὰρ αὐτὸ αὐτῇ μεθεὶς ἐξεπήδησε τοῦ δωματίου), περιδεὴς γενομένη μὴ κατείπῃ πρὸς τὸν ἄνδρα αὐτῆς, καὶ τῆς ὕβρεως περιαλγῶς ἔχουσα, φθάσαι καταψεύσασθαι πρὸς τὸν Πετεφρῆν ἔγνω τοῦ Ἰωσήπου, καὶ τούτῳ τῷ τρόπῳ τιμωρῆσαι μὲν αὐτῇ δεινῶς ὑπερηφανημένῃ, προλαβεῖν δὲ τὴν διαβολὴν, σοφὸν ἅμα καὶ γυναικεῖον ἡγήσατο. Καὶ καθῆστο μὲν κατηφὴς καὶ συγκεχυμένη, τὴν ἐπὶ τῷ διαμαρτεῖν τῆς ἐπιθυμίας λύπην ὡς ἐπὶ πείρᾳ διαφθορᾶς πλασαμένη μετ' ὀργῆς. Ἐλθόντι δὲ τἀνδρὶ, καὶ πρὸς τὴν ὄψιν ταραχθέντι καὶ πυνθανομένῳ τὴν αἰτίαν, τῆς κατηγορίας τῆς Ἰωσήπου κατήρξατο καὶ « τεθναίης, εἶπεν, ἄνερ, ἢ πονηρὸν « δοῦλον κοίτην μιᾶναι τὴν σὴν ἐθελήσαντα κόλασον, « ὃς οὔθ' οἷος ὢν εἰς τὸν ἡμέτερον οἶκον ἀφίκται μνη« σθεὶς ἐσωφρόνησεν, οὔθ' ὅσων ἐκ τῆς σῆς χρηστότη« τος ἔτυχεν, ἀλλ' ἀχάριστος ὢν ἂν εἰ μὴ πάντα παρεῖ« χεν αὐτὸν ἀγαθὸν εἰς ἡμᾶς, ἐπεβούλευσεν ὑβρίσαι « γάμον τὸν σὸν, καὶ ταῦτ' ἐν ἑορτῇ, τὴν σὴν ἀπου« σίαν παραφυλάξας· ὃς ὅσα καὶ μέτριος ἐδόκει πρότε« ρον, διὰ τὸν ἐκ σοῦ φόβον ἠρέμει, καὶ οὐχὶ φύσει « χρηστὸς ἦν. Τοιοῦτον δ' ἄρα τὸ παρ' ἀξίαν αὐτὸν « καὶ παρ' ἐλπίδας εἰς τιμὴν παρελθεῖν ἐποίησεν, ὡς « δέον ᾧ τὴν τῆς κτήσεως τῆς σῆς πίστιν καὶ τὴν οἰκο« νομίαν λαβεῖν ἐξεγένετο καὶ τῶν πρεσβυτέρων οἰκε« τῶν προτιμηθῆναι, τούτῳ καὶ τῆς σῆς ψαύειν γυναι« κός. » Παυσαμένη δὲ τῶν λόγων ἐπεδείκνυεν αὐτῷ τὸ ἱμάτιον, ὡς ὅτ' ἐπεχείρει βιᾶσθαι καταλιπόντος αὐτό. Πετεφρῆς δὲ μήτε δακρυούσῃ τῇ γυναικὶ μήθ' οἷς ἔλεγε καὶ εἶδεν ἀπιστεῖν ἔχων, τῷ τε πρὸς αὐτὴν ἔρωτι πλέον νέμων, ἐπὶ μὲν τὴν τῆς ἀληθείας ἐξέτασιν οὐκ ἐτρέπετο, δοὺς δὲ σωφρονεῖν τῇ γυναικὶ, πονηρὸν δὲ εἶναι καταχρίνας τὸν Ἰώσηπον, τὸν μὲν εἰς τὴν τῶν κακούργων εἱρκτὴν ἐνέβαλεν, ἐπὶ δὲ τῇ γυναικὶ καὶ μᾶλλον ἐφρόνει, κοσμιότητα καὶ σωφροσύνην αὐτῇ μαρτυρῶν.

ΚΕΦ. Ε'.

Ἰώσηπος μὲν οὖν πάντ' ἐπὶ τῷ Θεῷ ποιησάμενος τὰ περὶ αὐτὸν, οὔτ' εἰς ἀπολογίαν οὔτ' ἐπ' ἀκριβῆ τῶν γεγονότων δήλωσιν ἐτράπη, τὰ δεσμὰ δὲ καὶ τὴν ἀνάγκην σιγῶν ὑπῆλθεν, ἀμείνονα ἔσεσθαι τῶν δεδεκότων θαρρῶν τὸν τὴν αἰτίαν τῆς συμφορᾶς καὶ τὴν ἀλή-

magnam dicebat habituram esse conscientiæ fiduciam tam apud Deum quam homines, magisque ipsi dominaturam dum impolluta maneat, et potiori heræ jure in ipsum usuram quam si pudore teneretur ex peccati societate. Nam longe præstare manifestis fidere quæ ex recta vivendi norma fiunt quam latenti delicto.

5. Hæc atque plura hisce similia loquutus mulieris impetum cohibere tentabat eamque a prava affectione ad rationis arbitrium revocare. At illa vehementius instabat, injectisque manibus, quum de persuasione desperaret, vi subigere voluit. Ut vero illam iratus fugerat Josephus, veste etiam relicta quam ipsa prehenderat (nam et istam ei cedens e cubiculo prosiluit), verita ne marito suo rem renunciaret, atque ob contumeliam magno dolore affecta, in animum induxit ut Josephum prior falso ad Petephren deferret, atque hoc pacto ulcisci graviter contempta injuriam sibi factam, et præoccupare accusationem, prudens esse atque mulierem decere rata est. Ac mœsta quidem sedebat et confusa, dolorem ex tentata pudicitia animo iracundo simulans, qui erat ex frustrata libidine. Marito autem reverso et ad hunc aspectum turbato causamque sciscitante, Josephum cœpit accusare et « Vel moriaris, ma« rite, inquit, vel servum nequam cubile tuum violare ni« tentem merita pœna castiga. Ille immemor et qualis in « ædes nostras venerit et quanta ex tua benignitate fuerit « assequutus, atque pro ingrato habendus nisi in omnibus « se nobis bonum exhiberet, insidias struxit ut conjugium « tuum contumelia afficeret, idque festo die, tua observata « absentia : qui in quantum modestus antea videbatur, « propter tui metum se continuit, non quod probo esset in« genio. Talis autem factus est, quod præter meritum ac « spem ad honorem provectus fuerit, ac si æquum esset ut « ille, cujus fidei et dispensationi omnia tua bona commissa « esse contigit, servisque natu grandioribus præfici, uxorem « etiam tuam attrectaret. » Quum vero loquendi finem fecisset, vestem ei ostendit, quasi, quum tentasset ei vim facere, eam reliquisset. Verum Petephres, quum neque lacrimis uxoris, neque quibus illa dixerat et ipse viderat fidem derogare potuerit, suoque erga illam amori plus æquo tribuerit, in rei veritatem inquirere destitit. Uxori autem pudicitiæ laudem concedens, at Josephum nequam esse judicans, illum quidem in maleficorum carcerem conjecit, de uxore vero meliorem habuit opinionem, quod ejus modestiæ et castitatis testis exstiterit.

CAP. V.

Josephus itaque omnia ad se quidem spectantia Deo committens, neque ad se defendendum neque ad rem gestam accurate narrandam semet accinxit, sed vinculis et necessitati tacitus succubuit, Deum, qui calamitatis causam noverit et veritatem, iis potentiorem esse confidens, qui se

θειαν εἰδότα Θεόν· οὗ πεῖραν τῆς προνοίας εὐθὺς ἔλαμβανεν. Ὁ γὰρ δεσμοφύλαξ, τήν τε ἐπιμέλειαν καὶ τὴν πίστιν αὐτοῦ κατανοήσας ἐν οἷς τάξειεν αὐτὸν καὶ τὸ ἀξίωμα τῆς μορφῆς, ὑπανίει τῶν δεσμῶν, καὶ τὸ δεινὸν ἐλαφρότερον αὐτῷ καὶ κοῦφον ἐποίει, διαίτῃ δὲ χρῆσθαι κρείττονι δεσμωτῶν ἐπέτρεπε. Τῶν δὲ ἐν τοῖς αὐτοῖς ὄντων, ὁπότε παύσαιντο τῆς περὶ τὰ ἔργα ταλαιπωρίας, εἰς ὁμιλίαν, οἷα φιλεῖ κατὰ κοινωνίαν τῆς ὁμοίας συμφορᾶς, τρεπομένων, καὶ παρ' ἀλλήλων τὰς αἰτίας ἐφ' αἷς καταχριθεῖεν ἀναπυνθανομένων, οἰνοχόος τοῦ βασιλέως καὶ σφόδρα δ' αὐτῷ τιμώμενος, κατ' ὀργὴν δεδεμένος, καὶ συνδιαφέρων τῷ Ἰωσήπῳ τὰς πέδας συνηθέστερος αὐτῷ μᾶλλον ἐγένετο, καὶ (συνέσει γὰρ αὐτὸν ἐδόκει προὔχειν) ὄναρ ἰδὼν ἐξέθετο, παρακαλῶν δηλοῦν εἴ τι σημαίνει, μεμφόμενος ὅτι τοῖς ἐκ τοῦ βασιλέως κακοῖς ἔτι τὸ θεῖον αὐτῷ καὶ τὰς ἐκ τῶν ὀνειράτων φροντίδας προστίθησιν.

β'. Ἔλεγε δ' οὖν ἰδεῖν κατὰ τοὺς ὕπνους τριῶν κλημάτων πεφυκυίας ἀμπέλου βότρυας ἐξ ἑκάστου ἀποκρέμασθαι, μεγάλους ἤδη καὶ πρὸς τρύγητον ὡραίους, καὶ τούτους αὐτὸς ἀποθλίβειν εἰς φιάλην, ὑπέχοντος τοῦ βασιλέως, διηθήσας τε τὸ γλεῦκος δοῦναι τῷ βασιλεῖ πιεῖν κἀκεῖνον δέξασθαι κεχαρισμένως. Τὸ μὲν οὖν ἑωραμένον ἐδήλου τοιοῦτον ὄν· ἠξίου δ', εἴ τι μοίραται συνέσεως, φράζειν αὐτῷ τὴν πρόρρησιν τῆς ὄψεως. Ὁ δὲ θαρρεῖν τε παρεκάλει καὶ προσδοκᾶν ἐν τρισὶν ἡμέραις ἀπολυθήσεσθαι τῶν δεσμῶν, τοῦ βασιλέως ποθήσαντος αὐτοῦ τὴν διακονίαν, καὶ πάλιν εἰς ταύτην αὐτὸν ἐπανάξοντος. Καρπὸν γὰρ ἐσήμαινεν ἀμπέλινον ἐπ' ἀγαθῷ τὸν Θεὸν ἀνθρώποις παρασχεῖν, ὃς αὐτῷ τε ἐκείνῳ σπένδεται καὶ πίστιν ἀνθρώποις καὶ φιλίαν ὁμηρεύει, διαλύων μὲν ἔχθρας, τὰ πάθη δὲ καὶ τὰς λύπας ἐξαιρῶν τοῖς προσφερομένοις αὐτὸν, καὶ πρὸς ἡδονὴν ὑποφέρων. « Τοῦτον οὖν φῄς ἐκ τριῶν ἀποθλιβέντα βοτρύων χερσὶ ταῖς σαῖς προσέσθαι τὸν βασιλέα. Καλὴν τοίνυν ἴσθι σοι τὴν ὄψιν γεγενημένην, καὶ προμηνύουσαν ἄφεσιν τῆς παρούσης ἀνάγκης ἐν τοσαύταις ἡμέραις, ἐξ ὅσων κλημάτων τὸν καρπὸν ἐτρύγησας κατὰ τοὺς ὕπνους. Μέμνησο μέντοι τούτων πειραθεὶς τοῦ προκαταγγείλαντός σοι τὰ ἀγαθὰ, καὶ γενόμενος ἐν ἐξουσίᾳ μὴ περιΐδῃς ἡμᾶς ἐν οἷς καταλείψεις, πρὸς ἃ δεδηλώκαμεν ἀπερχόμενος· οὐδὲ γὰρ ἐξαμαρτόντες ἐν δεσμοῖς γεγόναμεν, ἀλλ' ἀρετῆς ἕνεκα καὶ σωφροσύνης τὰ τῶν κακούργων ὑπομένειν κατεκρίθημεν, οὐδὲ μετ' οἰκείας ἡδονῆς τὸν ταῦθ' ἡμᾶς ἐργασάμενον ὑβρίσαι θελήσαντες. » Τῷ μὲν οὖν οἰνοχόῳ χαίρειν κατὰ τὸ εἰκὸς ἀκούσαντι τοιαύτης τῆς τοῦ ὀνείρατος ἐξηγήσεως ὑπῆρχε, καὶ περιμένειν τῶν δεδηλωμένων τὴν τελευτήν.

γ'. Δοῦλος δέ τις ἐπὶ τῶν σιτοποιῶν τεταγμένος τοῦ βασιλέως, συνδεδεμένος τῷ οἰνοχόῳ, τοιαύτην ποιησαμένου τοῦ Ἰωσήπου περὶ τῆς ὄψεως ἐκείνου τὴν ἀπόφασιν, εὐέλπις ὢν (καὶ γὰρ αὐτὸς ὄναρ ἦν τεθεαμένος) ἠξίωσε τὸν Ἰώσηπον φράσαι, τί κἀκείνῳ δηλοῦν βούλοιτο. Ἐδόκει δὲ τρεῖς κανοῦς ἔχειν ἐπὶ τῆς κεφαλῆς ἐπιπλεκτοὺς ἐκ καλάμου· καὶ τὸν μὲν ἐν τῷ κανῷ τῷ ἀνωτάτῳ πάντα τὰ βρώματα τὰ βασιλικὰ ὑπὸ τῶν ὀρνίθων ἐσθίεσθαι. Ὁ δὲ τὴν ὄψιν ἐκείνου τοῦ ὀνείρατος ἐξηγούμενος, τὰ μὲν ἄλλα ἐπῄνει, τὸν δὲ καιρὸν ἐπὶ κακοῖς ἔφη τοῖς ἐκείνου τὴν ὄψιν ἐληλυθέναι. Τρεῖς γὰρ ἡμέρας ἔτι μένειν αὐτὸν ἐν τῇ φρουρᾷ, καὶ τότε ὑπὸ τοῦ βασιλέως ἀνασκολοπισθέντα, τὰς σάρκας ὑπὸ τῶν ὀρνίθων βορὰν γενέσθαι. Τὰ μὲν οὖν ἐκείνου τοιαῦτα ἦν· ἐπὶ δὲ τῇ τρίτῃ ἡμέρᾳ τὸν βασιλέα τὰ γενέθλια ἄγειν, καὶ πάντας ἐπὶ δεῖπνον καλεῖν τοὺς ἐν τέλει καὶ τοὺς ἐν τῇ φρουρᾷ δεσμώτας. Τότε δὴ τὸν μὲν ἀρχιοινοχόον ἀπολυθέντα τῶν δεσμῶν, τὴν ἀρχαίαν ἀποκαταστῆσαι τάξιν· τὸν δὲ ἀρχισιτοποιὸν ἀνασκολοπισθῆναι, καὶ τὰ τοῦ ὀνείρατος ἀποβῆναι τῷ Ἰωσήπῳ.

δ'. Ἐπὶ τούτοις ἐκεῖνος μὲν ἐν ἐλπίσι τῆς ἀπολύσεως ἦν· ὁ δὲ τὴν ὄψιν ἐξηγησάμενος, ἐπεὶ τὰ μὲν ἄλλα κατὰ τὸν ἀρχιοινοχόον ἐγένετο, τὸν δὲ ἀρχισιτοποιὸν ἀνεσκολοπίσθη, τὴν ἀλήθειαν τῆς ἐξηγήσεως ἐπιστεύθη. Τρεῖς γὰρ ἐσήμαινον κανοῦς τὰς τρεῖς ἡμέρας, ἐν αἷς ἔμελλε τὰ γενέθλια ἄγειν ὁ βασιλεύς· ἐν δὲ τῇ τρίτῃ τὸν ἀνασκολοπισμὸν ἔσεσθαι τοῦ ἀνδρὸς, καὶ τὰ ὄρνεα τὰς σάρκας ἐσθίειν. Ἐν τρισὶν οὖν ἡμέραις ἀπολυθήσεσθαι τῶν δεσμῶν ἐκεῖνος ἐλπίζων, τὸν Ἰώσηπον ἠξίου τὰ κατ' αὐτὸν ἐξηγήσασθαι, καὶ τί κἀκείνῳ δηλοῦν βούλοιτο. Ἐδόκει δὲ τρεῖς ἀνάγειν ἐπὶ τὴν κεφαλὴν ἄρτους ἐκ τῆς ἀνωτάτω κανοῦ· καὶ τὸν μὲν ἐν τῷ κανῷ τῷ ἀνωτάτῳ πάντα τὰ βρώματα τὰ βασιλικὰ ὑπὸ τῶν ὀρνίθων ἐσθίεσθαι. Ὁ δὲ τὴν ὄψιν ἐκείνου τοῦ ὀνείρατος ἐξηγούμενος, τὰ μὲν ἄλλα ἐπῄνει, τὸν δὲ καιρὸν ἐπὶ κακοῖς ἔφη τοῖς ἐκείνου τὴν ὄψιν ἐληλυθέναι. Τρεῖς γὰρ ἡμέρας ἔτι μένειν αὐτὸν ἐν τῇ φρουρᾷ, καὶ τότε ὑπὸ τοῦ βασιλέως ἀνασκολοπισθέντα, τὰς σάρκας ὑπὸ τῶν ὀρνίθων βορὰν γενέσθαι. Τὰ μὲν οὖν ἐκείνου τοιαῦτα ἦν· ἐπὶ δὲ τῇ τρίτῃ ἡμέρᾳ τὸν βασιλέα τὰ γενέθλια ἄγειν, καὶ πάντας ἐπὶ δεῖπνον καλεῖν τοὺς ἐν τέλει καὶ τοὺς ἐν τῇ φρουρᾷ δεσμώτας. Τότε δὴ τὸν μὲν ἀρχιοινοχόον ἀπολυθέντα τῶν δεσμῶν, τὴν ἀρχαίαν ἀποκαταστῆσαι τάξιν· τὸν δὲ ἀρχισιτοποιὸν ἀνασκολοπισθῆναι, καὶ τὰ τοῦ ὀνείρατος ἀποβῆναι τῷ Ἰωσήπῳ.

in vincula conjecerant. Cujus providentiam confestim expertus est. Nam custos carceris, diligentiam ejus fidemque in jussis exsequendis perspiciens atque formæ dignitatem, vincula ei relaxavit, malumque levius reddidit ferendumque : quin et cibo meliore quam reliquos vinctos uti permisit. Iis vero, qui in eadem erant calamitate, quum ab operum labore paululum respirarent, inter se colloquentibus, ut solent miseriarum similitudine conjuncti, seque invicem de causis condemnationis percunctantibus, pincerna regis, ei valde carus, ab irato tamen in custodiam detrusus, eademque cum Josepho ferendo vincula paulo illi familiarior factus est ; eique (nam *celeros* anteire intelligentia existimabat) somnium visum exposuit, obsecrans ut præsagium, si quod subesset, indicaret, querens quod suis ex rege miseriis sollicitudinem etiam ex somniis numen adjecerit.

2. Aiebat igitur se per quietem vidisse tres vitis palmites et ex iis uvarum racemos e singulis enatos pendere, grandes jam et vindemiæ maturos, eosque se expressisse in poculum quod regi erat in manu : et, quum mustum esset percolatum, regi porrexisse ut biberet, illumque benigne accepisse. Quod ergo viderat ejusmodi esse ostendebat : rogabat autem ipsum, si quam nactus esset intelligentiam, ut ipsi narraret ecquid visum portenderet. Ille vero bono animo esse jussit, et intra triduum exspectare liberationem e vinculis, rege ministerium ejus desiderante, eumque ad illud revocaturo. Ostendit enim vitis fructum Dei munere hominum in utilitatem esse concessum : « qui et offertor illi, fidemque inter homines et amicitiam conciliat, inimicitias quidem diluens, perturbationes et mœrores eo utentibus discutiens, et ad voluptatem *plurimum* conferens. Hunc ais itaque manibus tuis ex tribus uvarum racemis expressum accepisse regem. Scito igitur bonam tibi visionem esse oblatam, quæ præmonstrat fore ut ex hac, quæ te jam premit, miseria eripiaris intra tot dies, ex quot palmitibus fructum vindemiasti per somnos. Sed fac, quum hæc vera esse expertus fueris, mei memineris, hanc tibi felicitatem prædicentis; et in libertatem restitutus ne nos despexeris, quos hic conclusos relinques, ad ea quæ prænunciavimus discedens. Non enim ut sontes in vincula fuimus conjecti, sed ob virtutem et modestiam ad maleficorum pœnas subeundas damnati sumus, nolentes illum, qui nos huc compulit, nostræ voluptatis gratia contumelia afficere. » Itaque pincerna, ut par erat, ex hoc somnii interpretamento gaudebat, et conjecturæ eventum exspectabat.

3. Servus autem quidam regis pistoribus præfectus in vincula una cum pincerna detrusus, quum talem Josephus dedisset illius visionis interpretationem, spei plenus (nam et ipse somnium viderat) rogat eum sibi quoque indicaret quidnam præteritæ noctis visio portenderet. Erat autem

λεται τὰ διὰ τῆς παρελθούσης νυκτὸς ὀφθέντα. Ἦν δὲ τοιαῦτα. Τρία, φησὶ, κανᾶ φέρειν ἐπὶ τῆς κεφαλῆς ἐδόξα, δύο μὲν ἄρτων πλέα, τὸ δὲ τρίτον ὄψου τε καὶ ποικίλων βρωμάτων, οἷα βασιλεῦσι σκευάζεται· καταπταμένους δ' οἰωνοὺς ἅπαντα δαπανῆσαι, μηδένα λόγον αὐτοῦ ποιουμένους ἀποσοβοῦντος. Καὶ ὁ μὲν ὁμοίαν τὴν πρόρρησιν ἔσεσθαι τῇ τοῦ οἰνοχόου προσεδόκα, ὁ δὲ Ἰώσηπος συμβαλὼν τῷ λογισμῷ τὸ ὄναρ, καὶ πρὸς αὐτὸν εἰπὼν ὡς ἐβούλετ' ἂν ἀγαθῶν ἑρμηνεύτης ὢν αὐτοῦ γεγονέναι, καὶ οὐχ οἷων τὸ ὄναρ αὐτῷ δηλοῖ, λέγει δύο τὰς πάσας ἔτι τοῦ ζῆν αὐτὸν ἔχειν ἡμέρας· (τὰ γὰρ κανᾶ τοῦτο σημαίνει·) τῇ τρίτῃ δ' αὐτὸν ἀνασταυρωθέντα βορὰν ἔσεσθαι πετεινοῖς, οὐδὲν ἀμύνειν ἑαυτῷ δυνάμενον. Καὶ δὴ ταῦτα τέλος ὅμοιον οἷς ὁ Ἰώσηπος εἶπεν ἀμφοτέροις ἔλαβε. Τῇ γὰρ ἡμέρᾳ τῇ προειρημένῃ γενέθλιον τετελεκὼς ὁ βασιλεὺς τὸν μὲν ἐπὶ τῶν σιτοποιῶν ἀνεσταύρωσε, τὸν δὲ οἰνοχόον τῶν δεσμῶν ἀπολύσας ἐπὶ τῆς αὐτῆς ὑπηρεσίας κατέστησεν.

δ'. Ἰώσηπον δὲ διετῆ χρόνον τοῖς δεσμοῖς κακοπαθοῦντα, καὶ μηδὲν ὑπὸ τοῦ οἰνοχόου κατὰ μνήμην τῶν προειρημένων ὠφελούμενον, ὁ Θεὸς ἀπέλυσε τῆς εἱρκτῆς, τοιαύτην αὐτῷ τὴν ἀπαλλαγὴν μηχανησάμενος. Φαραώθης ὁ βασιλεὺς, ὑπὸ τὴν αὐτὴν ἑσπέραν ὄψεις ἐνυπνίων θεασάμενος δύο, καὶ μετ' αὐτῶν τὴν ἑκατέρας ἐξήγησιν, ταύτης μὲν ἠμνημόνησε, τῶν δὲ ὀνειράτων κατέσχεν. Ἀχθόμενος οὖν ἐπὶ τοῖς ἑωραμένοις, (καὶ γὰρ ἐδόκει σκυθρωπὰ ταῦτ' αὐτῷ,) συνεκάλει μεθ' ἡμέραν Αἰγυπτίων τοὺς λογιωτάτους, χρῄζων μαθεῖν τῶν ὀνειράτων τὴν κρίσιν. Ἀπορούντων δ' ἐκείνων, ἔτι μᾶλλον ὁ βασιλεὺς ἐταράττετο. Τὸν δὲ οἰνοχόον ὁρῶντα τοῦ Φαραώθου τὴν σύγχυσιν ὑπέρχεται μνήμη τοῦ Ἰωσήπου καὶ τῆς περὶ τῶν ὀνειράτων συνέσεως. Καὶ προσελθὼν ἐμήνυσεν αὐτῷ τὸν Ἰώσηπον, τήν τε ὄψιν ἣν αὐτὸς εἶδεν ἐν τῇ εἱρκτῇ, καὶ τὸ ἀποβὰν ἐκείνου φράσαντος, ὅτι τε σταυρωθείη κατὰ τὴν αὐτὴν ἡμέραν ὁ ἐπὶ τῶν σιτοποιῶν, κἀκείνῳ τοῦτο συμβαίη κατὰ ἐξήγησιν ὀνείρατος, Ἰωσήπου προειπόντος. Δεδέσθαι δὲ τοῦτον μὲν ὑπὸ Πετεφρῇ τοῦ ἐπὶ τῶν μαγείρων, ὡς δοῦλον· λέγει δὲ αὐτὸν Ἑβραίων ἐν ὀλίγοις εἶναι γένους ἅμα καὶ τῆς τοῦ πατρὸς δόξης. Τοῦτον οὖν μεταπεμψάμενος, καὶ μὴ διὰ τὴν ἄρτι κακοπραγίαν αὐτοῦ καταγνοὺς, μαθήσῃ τὰ ὑπὸ τῶν ὀρειράτων σοι δηλούμενα. Κελεύσαντος οὖν τοῦ βασιλέως εἰς ὄψιν αὐτοῦ τὸν Ἰώσηπον παραγαγεῖν, τὸν μὲν ἤκουσιν ἄγοντες οἱ κεκελευσμένοι, τημελήσαντες κατὰ τὸ πρόσταγμα τοῦ βασιλέως.

ε'. Ὁ δὲ, τῆς δεξιᾶς αὐτοῦ λαβόμενος, « ὦ νεανία, « φησίν, (σὺ γάρ μοι νῦν ἄριστος καὶ σύνεσιν ἱκανώ« τατος ὑπὸ οἰκέτου τοὐμοῦ μεμαρτύρησαι,) τῶν αὐτῶν « ἀγαθῶν, ὧν καὶ τούτῳ μεταδέδωκας, ἀξίωσον κἀμὲ, « φράσας ὅσα μοι κατὰ τοὺς ὕπνους ὀνειράτων ὄψεις « προὐλοῦσι. Βούλομαι δέ σε μηδὲν ὑποστελλόμενον « φόβῳ κολακεῦσαι λόγῳ ψευδεῖ καὶ τῷ πρὸς ἡδονὴν,

hujusmodi. Tria, inquit, canistra super capite ferre videbar, duo quidem panibus plena, tertium obsonio et variis eduliis refertum, qualia regibus apparari solent : devolantes autem alites absumpsisse omnia, ab ipso illas abigente nihil deterritas. Et ille quidem præsagium simile ejus, quod contigit pincernæ, exspectabat. Josephus autem ratiocinando conjiciens de somnio, præfatusque quod mallet ei lætiorum esse interpretem quam quæ somnium sibi prænunciaret, dicit, duos omnino vitæ dies ipsi superesse, (hoc enim significant canistra;) tertio vero cruci suffixum alitibus fore cibum, et nequaquam sibi opitulari posse. Hæc quidem utrique acciderunt similiter ac dixerat Josephus. Nam die prædicta, quum natalitium suum rex celebraret, præpositum pistoribus in crucem egit, pincernam autem e vinculis exemptum pristino ministerio restituit.

4. Josephum vero, quum duos annos in vinculis mala tolerasset, nihilque a pincerna ex prædictorum memoria juvaretur, Deus carcere liberavit, talem ei viam ad liberationem muniens. Pharaothes rex, quum sub eandem noctem in somniis duas visiones vidisset, pariterque utriusque interpretationem, hujus quidem oblitus est, illas vero memoria tenuit. Gravatus igitur iis quæ conspexerat, (namque tristia ei videbantur,) prima luce convocavit Ægyptiorum sapientissimos, scire desiderans quid sibi velint somnia. Hæsitantibus autem illis, tanto magis rex turbabatur. At pincernam, quum animadvertisset regem somniis confusum, subit recordatio Josephi ejusque in somniis *enarrandis* intelligentiæ. Regeque adito, indicavit ei de Josepho et de visione in carcere sibi oblata, ejusque eventu juxta illius interpretationem, quodque eadem die pistorum præpositus cruci suffixus fuerit, idque ei contigerit juxta somnii enarrationem, prædicente Josepho. Ipsum autem a Petephre quidem coquorum præfecto vinctum esse, ejus utpote servum; at dicit eum Hebræum esse genere ex nobilioribus atque patre claro natum. « Hunc igitur si accersiveris, nec propter mala, quæ jam patitur, despexeris, discere licet quæ tibi prænunciant somnia. » Rege itaque jubente ut coram ipso sisteretur Josephus, veniunt quibus id negotii datum erat, eum adducentes, curatum et ornatum, prout iis rex mandaverat.

5. Ille vero eum dextra prehendens inquit, « O juvenis, « (tibi enim servus meus optimi pariter ac rerum intelligen« tissimi testimonium dedit,) fac etiam me eorundem bono« rum participem, quibus et istum impertivisti, enarrando « præsagia somniorum quæ mihi per quietem obtigerunt. « Hoc autem volo, ne timori cedens oratione ad gratiam aut « voluptatem ficta utaris adulando, si paulo horridior sit

« ἂν τἀληθὲς σκυθρωπότερον ἦ. Ἔδοξα γὰρ παρὰ « ποταμὸν βαδίζων βόας ἰδεῖν εὐτραφεῖς ἅμα καὶ μεγέ- « θει διαφερούσας, ἑπτὰ τὸν ἀριθμὸν, ἀπὸ τοῦ νάματος « χωρεῖν ἐπὶ τὸ ἕλος, ἄλλας δὲ ταύταις τὸν ἀριθμὸν « παραπλησίας ἐκ τοῦ ἕλους ὑπαντῆσαι, λίαν κατισχνω- « μένας καὶ δεινὰς ὁραθῆναι, αἳ κατεσθίουσαι τὰς « εὐτραφεῖς καὶ μεγάλας οὐδὲν ὠφελοῦντο, χαλεπῶς « ὑπὸ τοῦ λιμοῦ τετρυχωμέναι. Μετὰ δὲ ταύτην τὴν « ὄψιν διεγερθεὶς ἐκ τοῦ ὕπνου καὶ τεταραγμένος, καὶ « τί ποτ' εἴη τὸ φάντασμα παρ' ἐμαυτῷ σκοπῶν, κατα- « φέρομαι πάλιν εἰς ὕπνον· καὶ δεύτερον ὄναρ ὁρῶ πολὺ « τοῦ προτέρου θαυμασιώτερον, ὅ με καὶ μᾶλλον ἐκφο- « βεῖ καὶ ταράττει. Στάχυας ἑπτὰ ἑώρων ἀπὸ μιᾶς « ῥίζης ἐκφυέντας, καρηβαροῦντας ἤδη καὶ κεκλιμένους « ὑπὸ τοῦ καρποῦ καὶ τῆς πρὸς ἀμητὸν ὥρας, καὶ τού- « τοις ἑτέρους ἑπτὰ στάχυας πλησίον, λιφερνοῦντας « καὶ ἀσθενεῖς ὑπὸ ἀδροσίας, οἳ δαπανᾶν καὶ κατεσθίειν « τοὺς ὡραίους τραπέντες ἐκπλῆξίν μοι παρέσχον. »

ς'. Ἰώσηπος δὲ ὑπολαβὼν, « ὁ ὄνειρος μὲν οὗτος, « εἶπεν, ὦ βασιλεῦ, καίπερ ἐν δυσὶ μορφαῖς ὀφθεὶς, « μίαν καὶ τὴν αὐτὴν ἀποσημαίνει τελευτὴν τῶν ἐσο- « μένων. Τό τε γὰρ τὰς βοῦς ἰδεῖν, ζῷον ἐπ' ἀρότρῳ « πονεῖν γεγενημένον, ὑπὸ τῶν χειρόνων κατεσθιομένας, « καὶ οἱ στάχυες ὑπὸ τῶν ἐλαττόνων δαπανώμενοι, « λιμὸν Αἰγύπτῳ καὶ ἀκαρπίαν ἐπὶ τοσαῦτα προκαταγ- « γέλλουσιν ἔτη, τοῖς ἴσοις πρότερον εὐδαιμονήσασιν, « ὡς τὴν τούτων εὐφορίαν τῶν ἐτῶν ὑπὸ τῆς μετὰ « τοσοῦτον ἀριθμὸν ἴσων ἀφορίας ὑπαναλωθῆναι. Γε- « νήσεται δ' ἡ σπάνις τῶν ἀναγκαίων σφόδρα δυσκα- « τόρθωτος· σημεῖον δέ· αἱ γὰρ κατισχνωμέναι βόες « δαπανήσασαι τὰς κρείττονας οὐκ ἴσχυσαν κορεσθῆναι. « Ὁ μέντοι Θεὸς οὐκ ἐπὶ τῷ λυπεῖν τὰ μέλλοντα τοῖς « ἀνθρώποις προδείκνυσιν, ἀλλ' ὅπως προεγνωκότες « κουφοτέρας συνέσει ποιῶνται τὰς πείρας τῶν κατηγ- « γελμένων. Σὺ τοίνυν ταμιευσάμενος ταγαθὰ τὰ « κατὰ τὸν πρῶτον χρόνον γενησόμενα, ποιήσεις ἀνε- « παίσθητον Αἰγυπτίοις τὴν ἐπελευσομένην συμφοράν. »

ζ'. Θαυμάσαντος δὲ τοῦ βασιλέως τὴν φρόνησιν καὶ τὴν σοφίαν τοῦ Ἰωσήπου, καὶ πυθομένου τίνα καὶ τρό- πον ἂν προοικονομήσειεν ἐν τοῖς τῆς εὐετηρίας καιροῖς τὰ περὶ τῶν μετὰ ταύτην, ὡς ἂν ἐλαφρότερα γένοιτο τὰ τῆς ἀφορίας, ὑπετίθετο καὶ συνεβούλευε φειδῶ ποιεῖ- σθαι τῶν ἀγαθῶν, καὶ μὴ κατὰ περιουσίαν αὐτοῖς χρῆσθαι τοῖς Αἰγυπτίοις ἐπιτρέπειν, ἀλλ' ὅσον ἂν κατὰ τρυφὴν ἀναλώσωσιν ἐκ περισσοῦ, ταῦτα τηρεῖν εἰς τὸν τῆς ἐνδείας καιρόν. Ἀποτίθεσθαί τε παρῄνει λαμβά- νοντα τὸν σῖτον παρὰ τῶν γεωργῶν, τὰ διαρκῆ μόνον εἰς διατροφὴν χορηγοῦντα. Φαραώθης δὲ ἀμφοτέρων θαυμάσας Ἰώσηπον, τῆς τε κρίσεως τοῦ ὀνείρατος καὶ τῆς συμβουλίας, αὐτῷ τὴν οἰκονομίαν παραδίδωσιν, ὥστε πράττειν ἃ καὶ τῷ πλήθει τῶν Αἰγυπτίων καὶ τῷ βασιλεῖ συμφέροντα ὑπολαμβάνοι, τὸν ἐξευρόντα τὴν τοῦ πράγματος ὁδὸν καὶ προστάτην ἄριστον αὐτῆς ὑπολαβὼν γενήσεσθαι. Ὁ δὲ, ταύτης αὐτῷ τῆς

« veritatis aspectus. Nam visus sum mihi secundum flu- « men inambulanti videre boves bene saginatas et magni- « tudine præstantes, septem numero, a fluento ad paludes « gradientes, alias vero totidem numero e paludibus iis « obviam factas, macie valde extenuatas ac visu fœdas, « quæ quum devorassent septem illas bene pastas et magnas, « nihil profecerunt, misere a fame attritæ. Post hanc « visionem expergefactus e somno et turbatus, mecumque « reputans quid sibi velit hæc rerum imago, sopore oppres- « sus rursum obdormivi, et secundum video somnium priori « multo mirabilius, quod me magis etiam exterret pertur- « batque. Spicas septem videre visus sum ab una radice « enatas, capita jam graves frugis pondere ejusque maturi- « tate inclinatas, vicinas etiam alias pari numero spicas, « pauperes et præ siccitate graciles et infirmas, quæ conver- « sæ ad consumendas et comedendas spicas speciosas atto- « nitum me reddiderunt. »

6. Ad hæc Josephus respondens ait, « somnium qui- « dem istud, o rex, duplici licet specie visum, unum ta- « men et eundem futurorum eventum significat. Nam « quod boves conspexeris, animal aratri labori natum, ab « exilioribus devoratas, et spicæ a deterioribus absumptæ, « tot annorum famem et sterilitatem Ægypto prænunciant, « quot felicitatis præcesserint, horumque frugum uber- « tatem a totidem sequentium sterilitate absumendam. « Erit autem tanta rerum necessariarum inopia, ut ei diffi- « culter subveniri possit. Id quod inde conjicio, quia ma- « crae boves, devoratis pinguibus, satiari non potuerint. « Deus certe hominibus futura prædicit, non ut eos terreat « et contristet, sed ut ea præscientes prudentia, quum adve- « nerint prænunciata, leviora faciant. Tu ergo, si prioris « temporis proventus seposueris et dispensaveris, insequen- « tem penuriam Ægyptii non sentient. »

7. Rege autem admirante Josephi prudentiam et sapien- tiam, atque percontante quonam modo esset in futurum prospiciendum ubertatis tempore, quo tolerabilior fieret ventura sterilitas, subjecit suasitque frugum parsimoniam adhibendam esse : neu ad affluentiam usque Ægyptios iis uti permitteret, sed quantum ad luxuriam soleant ex abundanti expendere, illud in necessitatis tempora reser- varet. Quin et hortabatur ut frumentum ab agricolis acceptum in horrea recondi curaret, tantumque duntaxat unicuique suppeditari quantum sat esset ad victum. Pha- raothes autem, Josephum ob utrumque, tam somnii inter- pretationem quam consilium, admiratus, ipsum huic dis- pensationi præfecit, ut ageret quæcunque et populo Ægy- ptiorum et regi in rem esse existimaret : consilii auctorem maxime idoneum esse ratus ad id ipsum exsequendum. Ille

ἐξουσίας ὑπὸ τοῦ βασιλέως δοθείσης, σφραγῖδί τε χρῆσθαι τῇ αὐτοῦ καὶ πορφύραν ἐνδύσασθαι, διὰ τῆς γῆς ἁπάσης ἐλαύνων ἐφ' ἅρματος, ἦγε τὸν σῖτον παρὰ τῶν γεωργῶν, τὸν ἀρκοῦντα πρός τε σπόρον καὶ διατροφὴν ἑκάστοις ἀπομετρῶν, μηδενὶ σημαίνων τὴν αἰτίαν, ὑφ' ἧς ταῦτα ἔπραττε.

ΚΕΦ. Ϛ'.

Τριακοστὸν δὲ ἔτος ἤδη τῆς ἡλικίας αὐτῷ διεληλύθει, καὶ τιμῆς ἁπάσης ἀπέλαυε παρὰ τοῦ βασιλέως, καὶ προσηγόρευσεν αὐτὸν Ψοθομφάνηχον, ἀπιδὼν αὐτοῦ πρὸς τὸ παράδοξον τῆς συνέσεως· σημαίνει γὰρ τὸ ὄνομα κρυπτῶν εὑρετήν. Γαμεῖ δὲ καὶ γάμον ἀξιολογώτατον· ἄγεται γὰρ Πετεφρῆ θυγατέρα τῶν ἐν Ἡλιουπόλει ἱερέων, συμπράξαντος αὐτῷ τοῦ βασιλέως, ἔτι παρθένον, Ἀσενέθην ὀνόματι. Ἐκ ταύτης δὲ καὶ παῖδες αὐτῷ γίνονται πρὸ τῆς ἀκαρπίας, Μανασσῆς μὲν ὁ πρεσβύτερος· σημαίνει δ' ἐπίληθον, διὰ τὸ εὐδαιμονήσαντα λήθην εὕρασθαι τῶν ἀτυχημάτων· ὁ δὲ νεώτερος Ἐφραΐμης· ἀποδιδοὺς δὲ τοῦτο σημαίνει, διὰ τὸ ἀποδοθῆναι αὐτὸν τῇ ἐλευθερίᾳ τῶν προγόνων. Τῆς δ' Αἰγύπτου κατὰ τὴν Ἰωσήπου τῶν ὀνειράτων ἐξήγησιν μακαριστῶς ἔτη ἑπτὰ διαγούσης, ὁ λιμὸς ἦπτετο τῷ ὀγδόῳ ἔτει, καὶ διὰ τὸ μὴ προγεγνωσμένοις ἐπιπεσεῖν τὸ κακὸν, πονούμενοι χαλεπῶς πάντες ὑπ' αὐτοῦ εἰς τὰς τοῦ βασιλέως θύρας συνέρρεον. Ὁ δὲ Ἰώσηπον ἐκάλει, κἀκεῖνος τὸν σῖτον αὐτοῖς ἀπεδίδοτο, γεγενημένος σωτὴρ ὁμολογουμένως τοῦ πλήθους. Καὶ τὴν ἀγορὰν οὐ τοῖς ἐγχωρίοις προὐτίθει μόνον, ἀλλὰ καὶ τοῖς ξένοις ὠνεῖσθαι παρῆν, πάντας ἀνθρώπους κατὰ συγγένειαν ἀξιοῦντος ἐπικουρίας τυγχάνειν Ἰωσήπου παρὰ τῶν εὐδαιμονίᾳ χρωμένων.

β'. Πέμπει δὴ καὶ Ἰάκωβος, τῆς Χαναναίας δεινῶς ἐκτετρυχωμένης, (πάσης γὰρ ἥψατο τῆς ἠπείρου τὸ δεινόν,) τοὺς υἱοὺς ἅπαντας εἰς τὴν Αἴγυπτον ὠνησομένους σῖτον, πεπυσμένος ἐφεῖσθαι τὴν ἀγορὰν καὶ ξένοις. Μόνον δὲ κατέσχε Βενιαμὶν ἐκ Ῥαχήλας αὐτῷ γεγονότα, ὁμομήτριον δὲ τῷ Ἰωσήπῳ. Οἱ μὲν οὖν εἰς τὴν Αἴγυπτον ἐλθόντες ἐνετύγχανον τῷ Ἰωσήπῳ, χρήζοντες ἀγορᾶς· οὐδὲν γὰρ ἦν ὃ μὴ μετὰ γνώμης ἐπράττετο τῆς ἐκείνου· καὶ γὰρ τὸ θεραπεῦσαι τὸν βασιλέα τότε χρήσιμον ἐγίνετο τοῖς ἀνθρώποις, ὅτε καὶ τῆς Ἰωσήπου τιμῆς ἐπιμεληθεῖεν. Ὁ δὲ γνωρίσας τοὺς ἀδελφοὺς, οὐδὲν ἐνθυμουμένους περὶ αὐτοῦ, διὰ τὸ μειράκιον μὲν αὐτὸς ἀπαλλαγῆναι, εἰς τοῦτο δὲ προελθεῖν τῆς ἡλικίας, καὶ τῶν χαρακτήρων ἐνηλλαγμένων ἀγνώριστος αὐτοῖς εἶναι, τῷ δὲ μεγέθει τοῦ ἀξιώματος οὐδὲ εἰς ἐπίνοιαν ἐλθεῖν αὐτοῦ ὑναμένους, διεπείραζεν ὡς ἔχοιεν γνώμης περὶ τῶν ὅλων. Τόν τε γὰρ σῖτον αὐτοῖς οὐκ ἀπεδίδοτο, κατασκόπους τε τῶν βασιλέως πραγμάτων ἔλεγεν ἥκειν, καὶ πολλαχόθεν μὲν αὐτοὺς συνεληλυθέναι, προφασίζεσθαι δὲ συγγένειαν· οὐ γὰρ εἶναι δυνατὸν ἀνδρὶ ἰδιώτῃ τοιούτους παῖδας καὶ τὰς μορφὰς οὕτως ἐπιφανεῖς ἐκτραφῆναι, δυσκόλου καὶ βασιλεῦσιν οὔσης

vero, hac potestate a rege auctus, ut et ejus annulo signatorio uteretur et purpuram gestaret, curru per universam Ægyptum vectus, frumentum abducit ab agricolis, tantum inde singulis dimetiens quantum ad sementem atque alimentum sufficeret, nemini rationem reddens, cur ita faceret.

CAP. VI.

Ætatis annum trigesimum jam exegerat, omnique honore cumulatur a rege, qui et illum ob incredibilem prudentiam Psothomphanechum cognominavit : significat autem hoc nomen occultorum detectorem. Sed et conjugium nactus est honoratissimum. Nam in matrimonium accepit Petephræ, unius ex sacerdotibus Heliopolitanis, filiam, adhuc virginem, nomine Asenetham, rege has illi concillante nuptias. Ex hac vero et liberi ei nati sunt, ante *agrorum* sterilitatem. Natu quidem grandior erat Manasses : quod *nomen* idem valet ac oblitus, quia ad felicitatem evectus in calamitatum venerit oblivionem. Ephraimes vero junior, quo significatur restitutor, quia redditus fuerit majorum suorum libertati. Quum autem Ægyptus, juxta Josephi enarrationem somniorum, septennii spatium feliciter exegisset, anno octavo eam invasit fames, et, quod malum improvisum illis acciderat, universi eo graviter laborantes regis ad fores confluebant. Ille vero Josephum accersit, qui frumenta illis assignabat, factus ex confesso populi servator. Nec solum istius regionis incolis forum aperuit, sed etiam exteris vendere paratus erat : æquum esse existimante Josepho, ut omnibus hominibus, propter suam inter se cognationem, subveniretur ab iis qui in abundantia vivunt.

2. Mittit igitur et Jacobus, Chananæa graviter vexata, (terram enim omnem continentem invaserat hæc calamitas,) omnes suos filios in Ægyptum, ad frumentum coemendum, quum cognovisset quod et exteris eo foro uti liceret; solum vero retinebat Benjaminem, quem ex Rachela susceperat, uterinum Josephi fratrem. At enim illi, ut in Ægyptum venêre, Josephum adeunt, mercatum sibi permitti rogantes : nihil enim erat quod non ex ipsius voluntate gerebatur; et tum demum regem coluisse hominibus proderat, quum iis curæ esset Josepho honorem habere. Ille, agnitis fratribus, nihil minus quam de se cogitantibus (nam juvenis admodum ab eis abscesserat, et jam ad istam ætatem pervenerat, ut, mutatis faciei lineamentis, ipse ab eis non agnosceretur, præsertim quum de eo in tanta dignitate constituto ne minimum quidem suspicari potuerint), tentandum existimavit quanam mente in omnibus uterentur. Natu et frumentum eis negavit, dixitque eos ad res regis explorandas venisse : ipsosque e diversis quidem regionibus convenisse, cognationem vero simulare : vix enim fieri posse ut homo privatus tot filios ac forma adeo egregios educaret, quum vel regibus raro liceat esse tam beatis. Hæc

τῆς τοιαύτης παιδοτροφίας. Ὑπὲρ δὲ τοῦ γνῶναι τὰ κατὰ τὸν πατέρα καὶ τὰ συμβεβηκότα αὐτῷ μετὰ τὴν ἰδίαν ἀπαλλαγὴν ταῦτ' ἔπραττε, μαθεῖν τε βουλόμενος καὶ τὰ περὶ Βενιαμὶν τὸν ἀδελφόν· ἐδεδίει γὰρ μὴ κάκεῖνον, ὁμοίως οἷς εἰς αὐτὸν ἐτόλμησαν, εἶεν ἀπεσκευασμένοι τοῦ γένους.

γ'. Οἱ δ' ἦσαν ἐν ταραχῇ καὶ φόβῳ, καὶ κίνδυνον τὸν μέγιστον αὐτοῖς ἐπηρτῆσθαι νομίζοντες, καὶ μηδὲν περὶ τἀδελφοῦ κατὰ νοῦν λαμβάνοντες, καταστάντες τε πρὸς τὰς αἰτίας ἀπελογοῦντο, Ῥουβήλου προηγοροῦντος, ὃς ἦν πρεσβύτατος αὐτῶν. « Ἡμεῖς γάρ, εἶπεν, οὐ « κατ' ἀδικίαν δεῦρ' ἥλθομεν, οὐδὲ κακουργήσοντες τὰ « βασιλέως πράγματα, σωθῆναι δὲ χρῄζοντες, καὶ κα« ταφυγὴν τῶν ἐπεχόντων τὴν χώραν ἡμῶν κακῶν τὴν « ὑμετέραν φιλανθρωπίαν ὑπολαβόντες· οὓς οὐχὶ πολί« ταις μόνον τοῖς αὐτῶν, ἀλλὰ καὶ ξένοις ἡκούομεν τὴν « ἀγορὰν τοῦ σίτου προτεθεικέναι, πᾶσι τὸ σώζεσθαι « τοῖς δεομένοις παρέχειν διεγνωκότας. Ὅτι δ' ἐσμὲν « ἀδελφοὶ καὶ κοινὸν ἡμῖν αἷμα, φανερὸν μὲν καὶ τῆς « μορφῆς τὸ οἰκεῖον καὶ μὴ πολὺ παρηλλαγμένον ποιεῖ. « Πατὴρ δ' ἐστὶν ἡμῖν Ἰάκωβος, ἀνὴρ Ἑβραῖος, ᾧ γι« νόμεθα δώδεκα παῖδες ἐκ γυναικῶν τεσσάρων, ὧν πάν« των περιόντων ἦμεν εὐδαίμονες· ἀποθανόντος δὲ ἑνὸς « τῶν ἀδελφῶν Ἰωσήπου, τὰ πράγματ' ἡμῖν ἐπὶ τὸ χεῖρον « μετέβαλεν. Ὅ τε γὰρ πατὴρ μακρὸν ἐπ' αὐτῷ πένθος « ἦρται καὶ ἡμεῖς ὑπό τε τῆς ἐπὶ τῷ τεθνηκότι συμφο« ρᾶς καὶ τῆς τοῦ πρεσβύτου ταλαιπωρίας κακοπαθοῦ« μεν· ἥκομέν τε νῦν ἐπ' ἀγορὰν σίτου, τήν τε τοῦ « πατρὸς ἐπιμέλειαν καὶ τὴν κατὰ τὸν οἶκον πρόνοιαν « Βενιαμὶν τῷ νεωτάτῳ τῶν ἀδελφῶν πεπιστευκότες. « Δύνασαι δὲ πέμψας εἰς τὸν ἡμέτερον οἶκον μαθεῖν εἴ « τι ψευδές ἐστι τῶν λεγομένων. »

δ'. Καὶ Ῥούβηλος μὲν τοιούτοις ἐπειρᾶτο πείθειν τὸν Ἰώσηπον περὶ αὐτῶν τὰ ἀμείνω φρονῆσαι. Ὁ δέ, τὸν Ἰάκωβον ζῶντα μαθὼν καὶ τὸν ἀδελφὸν οὐκ ἀπολωλότα, τότε μὲν εἰς τὴν εἱρκτὴν αὐτοὺς, ὡς ἐπὶ σχολῆς βασανίσων, ἐνέβαλεν· τῇ δὲ τρίτῃ τῶν ἡμερῶν προαγαγὼν αὐτοὺς, « ἐπεί, φησὶ, διισχυρίζεσθε μήτ' ἐπὶ κακουρ« γίᾳ τῶν βασιλέως ἥκειν πραγμάτων εἶναί τε ἀδελ« φοὶ καὶ πατρὸς οὗ λέγετε, πείσαιτ' ἄν με ταῦθ' οὕ« τως ἔχειν, εἰ καταλίποιτε μὲν ἐξ αὐτῶν ἕνα παρ' ἐμοὶ, « μηδὲν ὑβριστικὸν πεισόμενον, ἀποκομίσαντες δὲ τὸν « σῖτον πρὸς τὸν πατέρα, πάλιν ἐλθοιτε πρὸς ἐμὲ, τὸν « ἀδελφὸν, ὃν καταλιπεῖν ἐκεῖ φατὲ, μεθ' ἑαυτῶν ἄγον« τες· τοῦτο γὰρ ἔσται πίστωμα τῆς ἀληθείας ». Οἱ δ' ἐν μείζοσι κακοῖς ἦσαν, ἔκλαιόν τε καὶ συνεχῶς πρὸς ἀλλήλους ἀνωλοφύροντο τὴν Ἰωσήπου συμφοράν, ὡς διὰ τὰ κατ' ἐκείνου βουλευθέντα τιμωροῦντος αὐτοὺς τοῦ Θεοῦ τούτοις περιπέσοιεν. Ῥούβηλος δὲ πολὺς ἦν ἐπιπλήττων αὐτοὺς τῆς μετανοίας, ἐξ ἧς ὄφελος οὐδὲν Ἰωσήπῳ γίνεται, φέρειν δ' αὐτοὺς πᾶν ὅ τι καὶ πάθοιεν, κατ' ἐκδικίαν ἐκείνου δρῶντος αὐτὰ τοῦ Θεοῦ, καρτερῶς ἠξίου. Ταῦτα δ' ἔλεγον πρὸς ἀλλήλους, οὐχ ἡγούμενοι τὸν Ἰώσηπον γλώττης τῆς αὐτῶν συνιέναι· κα-

autem sibi agenda esse voluit, ut de patris statu certius cognosceret, et quid illi acciderit, ex quo ipse discesserat; scire etiam volens quid de Benjamine sit factum : veritus enim erat ne ipsum etiam, paria atque in se audendo, de familia removerint.

3. Illi autem perturbati erant et timore perculsi, maximum quidem periculum sibimet imminere existimantes, nihilque de fratre secum in animo cogitantes : paululum vero compositi, ad singula, præloquente Rubelo natu maximo, responderunt. « Nos quidem, inquit, neque ut injuria ali« quem afficeremus, neque regi damnum aliquod illaturi, « huc venimus, sed ut a malis servaremur expetentes, rati« que in vestra humanitate refugium habere a calamitatibus, « quæ patriam nostram affligunt; quos non solum civibus « vestris, sed et exteris frumentum venale proposuisse au« divimus, eo vobis constituto, ut omnes, quibus salute « opus est, salvos præstaretis. Fratres autem nos esse et « ex eodem sanguine, indicio quidem est quod forma cui« que propria sit cum exigua ab invicem dissimilitudine. « Pater nobis est Jacobus, vir Hebræus, cui duodecim nati « sumus liberi ex quattuor mulieribus; qui quum omnes « essent superstites, satis feliciter egimus : verum Josepho, « uno fratrum, exstincto, res nostræ jam inde in pejus lapsæ « sunt. Nam et patrem ex eo luctus cepit perpetuus, et « nos ex defuncti calamitate ac senis miseria affligimur. Et « nunc venimus ad emendum commeatum, Benjamini « fratrum natu minimo mandantes ut patrem diligenter « curaret ac res domesticas administraret. Potes autem, « nostram ad domum mittendo, pro certo scire an quid « falsi narraverimus. »

4. Et Rubelus quidem hujusmodi verbis tentabat persuadere Josepho ut de eis melius sentiret. Ille vero, comperiens Jacobum in vivis esse, fratremque *Benjaminem* non periisse, tunc quidem eos in custodiam conjiciebat, tanquam per otium quæstioni admoturus. Tertio vero die eos educens, « quoniam, inquit, asseveratis vos non venisse ad « res regis lædendas, fratresque esse et ex patre cujus esse « dicitis, facietis mihi fidem hæc ita se habere, si quidem « unum ex vobis apud me reliqueritis, nihil contumeliæ « passurum, frumentumque ad patrem exportantes rur« sum ad me revertamini, fratrem, quem illic relictum esse « dicitis, vobiscum adducentes : hoc enim veritati erit « argumento ». Illi vero eo magis in malis erant, atque lacrimabant, ac frequenter inter se deplorabant calamitatem Josephi, quasi ob ea quæ in illum excogitaverant, pœnas ab eis repetente Deo, in has miserias inciderint. Multus autem erat Rubelus in increpando eorum pœnitentiam, quæ Josepho ad nullam rem utilis erat : illos vero obsecrabat ut mala quæcunque paterentur forti animo ferrent, quum illa immiserit Deus, ut injuriam fratri factam ulcisceretur. Hæc autem inter se colloquebantur, linguam suam Josepho non intellectam credentes. Omnes vero incessit mœror ex Ru-

τήφεια δὲ πάντας εἶχε πρὸς τοὺς Ῥουβήλου λόγους καὶ τῶν πραγμάτων μετάμελος, ὥσπερ αὐτῶν ταῦτα ψηφισαμένων, ἐφ' οἷς δίκαιον ἔκρινον τὸν Θεὸν κολαζόμενοι. Βλέπων δ' οὕτως ἀμηχανοῦντας αὐτοὺς ὁ Ἰώσηπος ὑπὸ τοῦ πάθους εἰς δάκρυα προὔπιπτε, καὶ μὴ βουλόμενος τοῖς ἀδελφοῖς γενέσθαι καταφανὴς ὑπεχώρει, καὶ διαλιπὼν πάλιν ἦκε πρὸς αὐτούς. Καὶ Συμεῶνα κατασχὼν ὅμηρον τῆς ἐπανόδου τῶν ἀδελφῶν γενησόμενον, ἐκείνους μεταλαβόντας τῆς ἀγορᾶς τοῦ σίτου προσέταξεν ἀπιέναι, κελεύσας τὸν ὑπηρέτην ταργύριον, ὃ πρὸς τὴν ὠνὴν εἶεν τοῦ σίτου κεκομικότες, κρύφα τοῖς φορτίοις ἐνθέντα ἀπολύειν κἀκεῖνο κομίζοντας. Καὶ ὁ μὲν τὰ ἐντεταλμένα ἔπραττεν.

ε'. Οἱ δὲ Ἰακώβου παῖδες ἐλθόντες εἰς τὴν Χαναναίαν ἀπήγγελλον τῷ πατρὶ τὰ κατὰ τὴν Αἴγυπτον αὐτοῖς συμβάντα, καὶ ὅτι κατάσκοποι δόξειαν ἀφῖχθαι τοῦ βασιλέως, καὶ λέγοντες ἀδελφοί τε εἶναι καὶ τὸν ἑνδέκατον οἶκοι καταλιπεῖν παρὰ τῷ πατρὶ ἀπιστηθεῖεν, ὡς καταλίποιέν τε Συμεῶνα παρὰ τῷ στρατηγῷ, μέχρι Βενιαμὶν αὐτὸς ἀπιὼν πίστις αὐτῷ τῶν εἰρημένων παρ' αὐτῶν γένοιτο· ἠξίουν τε τὸν πατέρα μηδὲν φοβηθέντα πέμπειν σὺν αὐτοῖς τὸν νεανίσκον. Ἰακώβῳ δὲ οὐδὲν ἤρεσκε τῶν τοῖς υἱοῖς πεπραγμένων, καὶ πρὸς τὴν Συμεῶνος δὲ κατοχὴν λυπηρῶς φέρων ἀνόητον ἡγεῖτο προστιθέναι καὶ τὸν Βενιαμίν. Καὶ ὁ μὲν οὐδὲ Ῥουβήλου δεομένου καὶ τοὺς αὑτοῦ παῖδας ἀντιδιδόντος, ἵν' εἴ τι πάθοι Βενιαμὶν κατὰ τὴν ἀποδημίαν, ἀποκτείνειεν αὐτοὺς ὁ πάππος, πείθεται τοῖς λόγοις. Οἱ δὲ ἠπόρουν ἐπὶ τοῖς κακοῖς, καὶ μᾶλλον αὐτοὺς ἐτάραττε ταργύριον ἐν τοῖς σακίοις τοῦ σίτου κατακεκρυμμένον εὑρεθέν. Τοῦ δὲ σίτου τοῦ κομισθέντος ὑπ' αὐτῶν ἐπιλείποντος καὶ τοῦ λιμοῦ μᾶλλον ἁπτομένου, βιαζομένης αὐτὸν τῆς ἀνάγκης, ὁ Ἰάκωβος ἐκπέμπειν ἐγίνωσκε τὸν Βενιαμὶν μετὰ τῶν ἀδελφῶν· οὐ γὰρ ἦν αὐτοῖς εἰς Αἴγυπτον ἐλθεῖν μὴ μετὰ τῶν ἐπηγγελμένων ἀπερχομένοις. Καὶ τοῦ πάθους οὖν χείρονος καθ' ἑκάστην ἡμέραν γινομένου, καὶ τῶν υἱῶν δεομένων, οὐκ εἶχεν ὅ τι χρήσαιτο τοῖς παροῦσιν. Ἰούδα δὲ, τολμηροῦ τἄλλα τὴν φύσιν ἀνδρὸς, χρησαμένου πρὸς αὐτὸν παρρησίᾳ, ὡς οὐ προσῆκον μὲν αὐτὸν περὶ τἀδελφοῦ δεδιέναι, οὐδὲ τὰ δεινὰ δι' ὑποψίας λαμβάνειν, πραχθήσεται γὰρ οὐδὲν αὐτῶν περὶ τὸν ἀδελφὸν, ᾧ μὴ παρέσται ὁ Θεὸς, τοῦτο δὲ συμβήσεσθαι πάντως καὶ παρ' αὐτῷ μένοντι, φανερὰν δ' οὕτως αὐτῶν ἀπώλειαν μὴ καταδικάζειν, μηδὲ τὴν ἐκ Φαραώθου τῆς τροφῆς εὐπορίαν αὐτοὺς ἀφαιρεῖσθαι ἀλόγῳ περὶ τοῦ παιδὸς δέει, φροντίζειν δὲ καὶ τῆς Συμεῶνος σωτηρίας, μὴ φειδοῖ τῆς Βενιαμὶν ἀποδημίας ἐκεῖνος ἀπόληται· πιστεῦσαι δὲ περὶ αὐτοῦ τῷ Θεῷ παραινοῦντος, καὶ αὐτοῦ ὡς σῴων ἐπανάξοντος τὸν υἱὸν αὐτῷ, ἢ συγκαταστρέψοντος ἅμα ἐκείνῳ τὸν βίον, πεισθεὶς Ἰάκωβος παρεδίδου τὸν Βενιαμὶν, καὶ τὴν τιμὴν τοῦ σίτου διπλασίονα, τῶν τε παρὰ τοῖς Χαναναίοις γεννωμένων τό τε τῆς βαλάνου μύρον καὶ στακτὴν, τερέβινθόν τε καὶ μέλι, δωρεὰς Ἰωσήπῳ κομίζειν. Πολλὰ

beli sermone et factorum pœnitentia, ut qui ipsi auctores essent facinoris cujus pœnas luentes Deum justum esse judicabant. Josephus autem eos in has angustias adductos cernens in lacrimas prorumpebat, nolensque ut a fratribus observaretur, semet subduxit, ac parvo tempore interjecto ad eos revertitur. Atque tum retento Symeone, ut qui obses esset dum fratres redirent, jussit eos domum abire, ubi primum frumentum in foro *sibimet* compararent, servo mandans ut pecunia, quam ad frumentum emendum attulerant, clam in sarcinas reposita eos cum illa dimitteret. Et ille quidem imperata fecit.

5. Jacobi autem filii, ubi in Chananæam pervenerunt, patri omnia, quæ in Ægypto illis acciderant, nunciaverunt, et quod pro exploratoribus regis habiti fuerint, quumque dicerent fratres se esse, et undecimum domi relictum apud patrem, non persuaserint, utque Symeonem reliquerint apud præsidem, donec Benjamin illuc profectus verbis eorum fidem adstrueret : atque patrem orabant, ut nihil metuens fratrem cum illis dimitteret. Jacobo vero displicuit quicquid fecerant filii, atque ægre ferens Symeonem illic detentum, insipientis esse putabat Benjaminem etiam adjicere. Et ille ne Rubeli quidem supplicantis suosque pro illo filios dedentis, ut, si quid mali Benjamini acciderit in itinere, illos avus interficeret, verbis movetur. Illi vero in his malis dubio erant animo atque anxio, magisque illos perturbabat argentum, quod in saccis occultatum invenerant. Ceterum deficiente jam tritico, quod reportarunt, fameque magis urgente, Jacobus necessitate adactus secum statuit Benjaminem cum fratribus dimittere : non enim licebat eis in Ægyptum redire, si promissis abeuntes non steterint. Ac quum in dies magis magisque *regionem* infestaret fames, et filii precibus instarent, nihil aliud quod in præsenti faceret restabat. Ac quum Judas, cetera vir natura vehemens, paulo liberius cum patre ageret quod eum haud deceret fratri metuere, aut suspicione mali de eo sollicitum esse, nihil enim ei præter voluntatem Dei posse accidere, quod et prorsus evenire necesse sit, etiamsi domi maneat; ne sic manifesto ipsos exitio adjudicet, nec, ob inanem de puero metum, ipsos privet rerum ad victum abundantia, quam illis suppeditet Pharaothes; Symeonis autem saluti etiam prospicere par esse, ne, dum Benjaminem ire prohibeat, illum perire sinat : ipsoque insuper hortante ut filium Deo crederet, seque aut illum salvum reducturum esse aut una cum illo periturum, tandem Jacobus cedens tradidit *eis* Benjaminem, et duplex frumenti pretium, atque munera Josepho ferenda ex proventu Chananææ, myrobalanum et stacten, terebinthum et mel. Multæ vero a patre, filiis digredientibus, fusæ sunt lacrimæ et vicissim ab illis. Nam

δ' ἦν παρὰ τοῦ πατρὸς ἐπὶ τῇ τῶν παίδων ἐξόδῳ δάκρυα κἀκείνων αὐτῶν. Ὁ μὲν γὰρ τοὺς υἱοὺς εἰ κομιεῖται σῴους ἐκ τῆς ἀποδημίας ἐφρόντιζεν, οἱ δὲ, εἰ τὸν πατέρα καταλάβοιεν ἐρρωμένον, καὶ μηδὲν ὑπὸ τῆς ἐπ' αὐτοῖς λύπης κακωθέντα, ἡμερήσιον δ' αὐτοῖς ἠνύσθη τὸ πένθος. Καὶ ὁ μὲν πρεσβύτης κοπωθεὶς ὑπέμενεν, οἱ δὲ ἐχώρουν τὴν ἐπ' Αἴγυπτον, μετὰ κρείττονος ἐλπίδος τὴν ἐπὶ τοῖς παροῦσι λύπην ἰώμενοι.

ς'. Ὡς δ' ἦλθον εἰς τὴν Αἴγυπτον, κατάγονται μὲν παρὰ τὸν Ἰώσηπον, φόβος δὲ αὐτοὺς οὐχ ὁ τυχὼν διετάραττε μὴ περὶ τῆς τοῦ σίτου τιμῆς ἐγκλήματα λάβωσιν, ὡς αὐτοί τι κεκακουργηκότες· καὶ πρὸς τὸν ταμίαν τοῦ Ἰωσήπου πολλὴν ἀπολογίαν ἐποιοῦντο, κατ' οἶκόν τε φάσκοντες εὑρεῖν ἐν τοῖς σακίοις τὸ ἀργύριον, καὶ νῦν ἥκειν ἐπανάγοντες αὐτό. Τοῦ δὲ μηδ' ὅ τι λέγουσιν εἰδέναι φήσαντος, ἀνείσθησαν τοῦ δέους. Λύσας τε τὸν Συμεῶνα, ἐτημέλει συνεσόμενον τοῖς ἀδελφοῖς. Ἐλθόντος δ' ἐν τούτῳ καὶ Ἰωσήπου ἀπὸ τῆς θεραπείας τοῦ βασιλέως, τά τε δῶρα παρήγαγον αὐτῷ καὶ πυθομένῳ περὶ τοῦ πατρὸς ἔλεγον, ὅτι καταλάβοιεν αὐτὸν ἐρρωμένον. Ὁ δὲ, μαθὼν περιόντα τὸν Βενιαμὶν, εἰ οὗτος ὁ νεώτερος ἀδελφὸς εἴη, καὶ γὰρ ἦν αὐτὸν ἑορακὼς, ἀνέκρινε. Τῶν δὲ φησάντων αὐτὸν εἶναι, Θεὸν ἐπὶ πᾶσιν εἶπεν εἶναι προστάτην. Ὑπὸ δὲ πάθους προαγόμενος εἰς δάκρυα μεθίστατο, μὴ βουλόμενος καταφανὴς εἶναι τοῖς ἀδελφοῖς. Ἐπὶ δεῖπνόν τε αὐτοὺς παραλαμβάνει, καὶ κατακλίνονται μὲν οὕτως ὡς καὶ παρὰ τῷ πατρὶ, πάντας δὲ αὐτοὺς ὁ Ἰώσηπος δεξιούμενος, διπλασίοσι μοίραις τῶν αὐτῷ παρακειμένων τὸν Βενιαμὶν ἐτίμα.

ζ'. Ἐπεὶ δὲ μετὰ τὸ δεῖπνον εἰς ὕπνον ἐτράποντο, κελεύει τὸν ταμίαν τόν τε σῖτον αὐτοῖς δοῦναι μεμετρημένον, καὶ τὴν τιμὴν πάλιν ἐγκρύψαι τοῖς σακίοις, εἰς δὲ τὸ Βενιαμὶν φορτίον καὶ σκύφον ἀργυροῦν, ᾧ πίνων ἔχαιρε, βαλόντα καταλιπεῖν. Ἐποίει δὲ ταῦτα, διάπειραν βουλόμενος τῶν ἀδελφῶν λαβεῖν, πότερόν ποτε βοηθοῦσι τῷ Βενιαμὶν κλοπῆς ἐναγομένῳ καὶ δοκοῦντι κινδυνεύειν, ἢ καταλιπόντες, ὡς οὐδὲν αὐτοὶ κεκακουργηκότες, ἀπίασι πρὸς τὸν πατέρα. Ποιήσαντος δὲ τοῦ οἰκέτου τὰ ἐντεταλμένα, μεθ' ἡμέραν οὐδὲν τούτων εἰδότες οἱ τοῦ Ἰακώβου παῖδες ἀπῆσαν, ἀπειληφότες τὸν Συμεῶνα, καὶ διπλῆν χαρὰν χαίροντες, ἐπί τε τούτῳ κἀπὶ τῷ τὸν Βενιαμὶν ἀποκομίζειν τῷ πατρὶ, καθὼς ὑπέσχοντο. Περιελαύνουσι δ' αὐτοὺς ἱππεῖς, ἄγοντες τὸν οἰκέτην, ὃς ἐναπέθετο τῷ τοῦ Βενιαμὶν φορτίῳ τὸν σκύφον. Ταραχθέντας δὲ ὑπὸ τῆς ἀδοκήτου τῶν ἱππέων ἐφόδου καὶ τὴν αἰτίαν πυθομένους δι' ἣν ἐπ' ἄνδρας ἐληλύθασιν, οἱ μικρὸν ἔμπροσθεν τιμῆς καὶ ξενίας τετυχήκασιν αὐτῶν παρὰ τοῦ δεσπότου, κακίστους ἀπεκάλουν, οἱ μηδ' αὐτὸ τοῦτο, τὴν ξενίαν καὶ τὴν φιλοφροσύνην τοῦ Ἰωσήπου, διὰ μνήμης λαβόντες οὐκ ὤκνησαν εἰς αὐτὸν ἄδικοι γενέσθαι, σκύφον δὲ, ᾧ φιλοτησίας αὐτοῖς προὔπινεν, ἁράμενοι φέροιεν, κέρδους ἀδίκου τήν τε πρὸς Ἰώσηπον φιλίαν τόν τε ἑαυτῶν, εἰ

ille quidem sollicitus erat an filios ex itinere incolumes recepturus sit, illi vero an patrem bene valentem inventuri, mœrorique ex eorum absentia non succumbentem. Atque in hac tristitia integrum diem exegerunt. Et senex quidem lassatus domi substitit, illi vero viæ in Ægyptum insistunt, dolorem ex præsentibus meliorum spe lenientes.

6. Quum vero in Ægyptum pervenissent, ad Josephum adducuntur. Timor autem eos non mediocris perturbabat, ne ob frumenti pretium calumnia sibi intenderetur, quasi dolo malo illud secum abstulissent : quod mox apud Josephi dispensatorem diligenter excusaverunt, dicentes domi se in suis saccis reperisse pecuniam, et jam venire illam secum reportantes. Eo vero negante se scire quid illi dicerent, metu liberati sunt. Tum vinculis Symeonem exemit, atque curavit eum, ut inter fratres versaretur. Interea autem Josepho a ministerio regis reverso, muneraque ad ipsum adduxerunt, et sciscitanti de patre dixerunt se illum bene valentem invenisse. At ille, cognito Benjaminem superesse, percontatus est an hic (etenim ipsum conspexerat) esset frater natu minimus. Illis vero aientibus hunc ipsum esse, dicebat Deum res omnes administrare. Ex animi autem commotione ad lacrimas adductus secessit, ne a fratribus observaretur. Ipsosque ad convivium adhibet; atque eo ordine, quo apud patrem, discumbunt. Josephus autem illos omnes liberaliter excipiens Benjaminem portione duplo majore quam reliquos secum discumbentes honorabat.

7. Verumtamen quum post cœnam somnum caperent, dispensatori negotium dat ut et frumentum illis admetiretur, pretiumque iterum in saccos clam reponeret, in Benjaminis vero sarcinam etiam scyphum argenteum immitteret, quo potare gaudebat. Hæc autem faciebat, volens fratrum animos pertentare utrum fratri opem laturi essent furti alligato et periclitari viso, an illo relicto, quandoquidem maleficium nihil ad ipsos attineret, ad patrem reverterentur. Servo, sicut jussus erat, ita faciente, mane diluculo Jacobi filii horum omnium ignari discesserunt, Symeone recepto, et duplici lætitia affecti, quum ob eum *restitutum*, tum quod Benjaminem asportarent, sicut patri polliciti erant. At illos circumagunt equites, famulum secum ducentes, qui scyphum in Benjaminis sarcinam indiderat. Turbatos vero inopinato illorum incursu causamque sciscitantes cur irruerent in viros quos paulo ante honore et hospitio dignatus fuerat eorum dominus, nequissimos hi appellarunt, qui ne hoc ipsum quidem, se hospitio liberali et familiariter a Josepho exceptos esse, memoria tenentes, veriti non sint illi injuriam reponere, sed scyphum, quo ipsis benevolentiæ ergo propinarit, secum auferre sustinerent, Josephi amicitiam suumque, si deprehensi forent, pericu-

φωραθεῖεν, κίνδυνον ἐν δευτέρῳ θέμενοι. Τιμωρίαν τε οὖν αὐτοὺς ὑφέξειν ἠπείλουν, οὐ λαθόντας τὸν Θεὸν, οὐδ' ἀποδράντας μετὰ τῆς κλοπῆς, εἰ καὶ τὸν διακονούμενον οἰκέτην διέλαθον· πυνθάνεσθαί τε νῦν τί παρόντες εἴημεν, ὡς οὐκ εἰδότες· γνώσεσθαι μέντοι κολαζομένους αὐτίκα. Καὶ ταῦτα καὶ πέρα τούτων εἰς αὐτοὺς λέγων ὁ οἰκέτης ἐνύβριζεν. Οἱ δὲ ὑπὸ ἀγνοίας τῶν περὶ αὐτοὺς ἐχλεύαζον ἐπὶ τοῖς λεγομένοις, καὶ τῆς κουφολογίας τὴν οἰκέτην ἐθαύμαζον, τολμῶντα αἰτίαν ἐπιφέρειν ἀνδράσιν, οἳ μηδὲ τὴν τοῦ σίτου τιμὴν ἐν τοῖς σακίοις αὐτῶν εὑρεθεῖσαν κατέσχον, ἀλλ' ἐκόμισαν μηδενὸς εἰδότος τὸ πραχθέν· τοσοῦτον ἀποδεῖν τοῦ γνώμῃ κακουργῆσαι. Τῆς μέντοι γε ἀρνήσεως ἀξιοπιστοτέραν ὑπολαβόντες τὴν ἔρευναν, ἐκέλευον ταύτῃ χρῆσθαι· κἂν εὑρεθῇ τις ὑφῃρημένος, ἅπαντας κολάζειν. Οὐδὲν γὰρ ἑαυτοῖς συνειδότες ἦγον παρρησίαν, ὡς ἐδόκουν, ἀκίνδυνον. Οἱ δὲ τὴν ἔρευναν μὲν ἠξίωσαν ποιήσασθαι, τὴν μέντοι τιμωρίαν ἑνὸς ἔφασκον εἶναι, τοῦ τὴν κλοπὴν εὑρεθέντος πεποιῆσθαι. Τὴν δὲ ζήτησιν ποιούμενοι, καὶ πάντας τοὺς ἄλλους ἐκπεριελθόντες κατὰ τὴν ἔρευναν, ἐπὶ τὸν τελευταῖον Βενιαμὶν ἦλθον, οὐκ ἀγνοοῦντες ὅτι εἰς τὸ ἐκείνου σακίον τὸν σκύφον εἶεν ἀποκεκρυφότες, ἀλλ' ἀκριβῆ τὴν ζήτησιν βουλόμενοι ποιεῖσθαι δοκεῖν. Οἱ μὲν οὖν ἄλλοι τοῦ καθ' αὑτοὺς ἀπηλλαγμένοι δέους ἐν τῇ περὶ τὸν Βενιαμὶν φροντίδι τὸ λοιπὸν ἦσαν. Ἐθάρρουν δ' ὡς οὐδ' ἐν ἐκείνῳ τῆς κακουργίας εὑρεθησομένης, ἐκάκιζόν τε τοὺς ἐπιδιώξαντας, ὡς ἐμποδίζοντας αὐτοῖς τὴν ὁδὸν δυναμένοις ἤδη προκεχοφέναι. Ὡς δὲ τὸ τοῦ Βενιαμὶν φορτίον ἐρευνῶντες λαμβάνουσι τὸν σκύφον, εἰς οἰμωγὰς καὶ θρήνους εὐθὺς ἐτράπησαν, καὶ τὰς στολὰς ἐπικαταρρήξαντες ἕλκιόν τε τὸν ἀδελφὸν ἐπὶ τῇ μελλούσῃ κολάσει περὶ τῆς κλοπῆς, ἑαυτούς τε διαψευσαμένους τὸν πατέρα περὶ τῆς Βενιαμὶν σωτηρίας. Ἐπέτεινε δὲ τὸ δεινὸν αὐτοῖς καὶ τὸ δόξαντας ἤδη διαφυγεῖν τὰ σκυθρωπὰ διαφθονηθῆναι. Τῶν δὲ περὶ τὸν ἀδελφὸν κακῶν καὶ τῆς τοῦ πατρὸς ἐπ' αὐτῷ λύπης ἐσομένης ἑαυτοὺς αἰτίους ἔλεγον, βιασαμένους ἄκοντα αὐτοῖς τὸν πατέρα συναποστεῖλαι.

η'. Οἱ μὲν οὖν ἱππεῖς παραλαβόντες τὸν Βενιαμὶν ἦγον πρὸς Ἰώσηπον καὶ τῶν ἀδελφῶν ἑπομένων. Ὁ δὲ τὸν μὲν ἰδὼν ἐν φυλακῇ, τοὺς δ' ἐν πενθίμοις σχήμασι, « τί δὴ, φησὶν, ὦ κάκιστοι, φρονήσαντες ἢ περὶ τῆς « ἐμῆς φιλανθρωπίας, ἢ περὶ τοῦ Θεοῦ τῆς προνοίας, « τοιαῦτα πράττειν εἰς εὐεργέτην καὶ ξένον ἐτολμήσατε; » Τῶν δὲ παραδιδόντων αὐτοὺς εἰς κόλασιν ἐπὶ τῷ σώζεσθαι Βενιαμὶν, καὶ πάλιν ἀναμιμνησκομένων τῶν εἰς Ἰώσηπον αὐτοῖς τετολμημένων, κἀκεῖνον ἀποκαλούντων μακαριώτερον αὐτῶν, εἰ μὲν τέθνηκεν, ὅτι τῶν κατὰ τὸν βίον ἀπήλλακται σκυθρωπῶν, εἰ δὲ πορίεστιν, ὅτι τῆς παρὰ τοῦ Θεοῦ κατ' αὐτῶν ἐκδικίας τυγχάνει· λεγόντων δ' αὐτοὺς ἀλιτηρίους τοῦ πατρὸς, ὅτι τῇ λύπῃ, ἣν ἐπ' ἐκείνῳ μέχρι νῦν ἔχει, καὶ τὴν ἐπὶ Βενιαμὶν προσθήσουσι, πολὺς ἦν κἀνταῦθα Ῥούβηλος αὐτῶν καθαπτόμενος. Ἰωσήπου δὲ τοὺς μὲν ἀπολύοντος, ἵνα πρὸς τὸν πατέρα ἀπέλθωσιν, αὐτὸν δὲ μόνον τὸν Βενιαμὶν κατασχεῖν ἐθέλοντος, ἐνταῦθα δὴ καὶ τὸν Ἰούδαν ἐπιδραμεῖν τε καὶ ἀντιβολῆσαι μὴ ποιῆσαι ταῦτα, μηδὲ ἐπὶ τῷ ἑνὸς ἀδικήματι πάντας ἀπολέσαι· ἐπεὶ καὶ τὸν πατέρα ἐκ τοσούτου χρόνου τὸν παῖδα ἀπολωλεκέναι νομίζοντα, ἐπὶ τῇ τούτου ὄψει ἀναλήψεσθαι τὴν ἀπώλειαν τῶν ἄλλων· ἀποθανεῖν δὲ αὐτὸν ἐκείνου μὴ ὁρῶντος, ἀλλὰ μηδὲ εἰδότος, ἐπὶ τῷ μηδὲν ἀδικοῦντι τοὺς ἀδικοῦντας ἀπολωλεκέναι. Ἐπὶ τούτοις ἐκεῖνος ἐπιστρέψας πρὸς τοὺς ἄλλους, « ἀπέλθετε, φησὶν, ἐν εἰρήνῃ πρὸς τὸν πατέρα ὑμῶν· ἐμοὶ δὲ « μόνος ὁ νεανίσκος οὗτος ἔστω δοῦλος, ὃς ἐπὶ τῷ ἀδελφῷ « τὴν δίκην ὑπομενεῖ. » Ἐπὶ τούτοις ἐκεῖνοι μὲν ἀπῆλθον, ὁ δὲ Ἰούδας ἐπιστὰς αὐτῷ, « μὴ ποιήσῃς, ἔφη, ταῦτα, μηδὲ « ἐπὶ τῷ ἀδελφῷ τὸν ἀδελφὸν ἀπολέσῃς· ἐπεὶ καὶ τὸν πατέρα « ἐκ τοσούτου χρόνου τὸν παῖδα ἀπολωλεκέναι νομίζοντα, « ἐπὶ τῇ τούτου ὄψει ἀναλήψεσθαι τὴν ἀπώλειαν τῶν ἄλλων· « ἀποθανεῖν δὲ αὐτὸν ἐκείνου μὴ ὁρῶντος, ἀλλὰ μηδὲ εἰδότος, « ἐπὶ τῷ μηδὲν ἀδικοῦντι τοὺς ἀδικοῦντας ἀπολωλεκέναι. « Ἐπὶ τούτοις ἐκεῖνος ἐπιστρέψας πρὸς τοὺς ἄλλους, « ἀπέλθετε, φησὶν, ἐν εἰρήνῃ πρὸς τὸν πατέρα ὑμῶν· ἐμοὶ δὲ « μόνος ὁ νεανίσκος οὗτος ἔστω δοῦλος, ὃς ἐπὶ τῷ ἀδελφῷ « τὴν δίκην ὑπομενεῖ. » Ἐπὶ τούτοις ἐκεῖνοι μὲν ἀπῆλθον, ὁ δὲ Ἰούδας ἐπιστὰς αὐτῷ, « μὴ ποιήσῃς, ἔφη, ταῦτα, μηδὲ

lum lucro injusto postponentes. Itaque pœnas eos luituros minitabantur, ut qui Deum non latuerint, nec cum furto fugientes evaserint, servum licet ministrantem fefellerint. Nunc eos interrogare, quorsum adsumus, quasi ignorassent: scituros tamen, quum mox puniantur. Hæc et alia quamplurima dicens eos increpabat famulus. Illi vero, quibus fraus non suboluit, verba ejus ludibrio habebant, servumque ob sermonis levitatem mirabantur, actionem viris istis intentare ausum, qui ne pretium quidem frumenti in saccis inventum retinuerint, sed secum reportarint, nemine hac de re quicquam resciscente: tantum abesse ut data opera mali aliquid patrarent. Verumtamen, certiorem rati inquisitionem quam negationem, jubent eos periculum facere, atque omnes pœnæ subjicere, si unus aliquis ex ipsis in furto deprehenderetur. Nullius enim criminis sibimet conscii fiduciam ceperunt, cum summa, ut putabant, securitate conjunctam. Atque illis quidem inquisitionem fieri placuit: eum tamen solum pœnas daturum aiebant, quem furtum commisisse palam foret. Ad conquisitionem vero aggressi atque alias omnes sarcinas ordine perscrutati postremo ad Benjaminem pervenerunt, non nescientes quod in ejus sacco scyphum occuluerint, sed ut scrutinium accuratum facere videantur. Itaque ceteri, omni quidem de se metu liberati, de uno Benjamine adhuc nonnihil erant solliciti. Spei tamen pleni, ne ipsum quidem in maleficio deprehensum iri, liberius persequentibus conviciabantur, per quos steterat, ne bonam partem itineris jam confectam haberent. Ut vero Benjaminis sarcinam scrutati scyphum inveniunt, confestim ad lamenta et ploratus versi sunt, et dilaceratis vestibus quum fratrem deflebant mox furti supplicium luiturum, tum suam quisque vicem, qui fidem de Benjaminis salute parenti datam violare necesse habuerunt. Malum autem iis augebat, quod quum dira omnia evasisse viderentur, fortunæ invidia in calamitatem inciderint. Atque tam hujus fratris infortunii quam futuri ex eo patris mœroris se auctores fatebantur, qui invitum ad puerum una secum mittendum compulerant.

9. At enim equites Benjaminem comprehensum ad Josephum retrahunt, fratribus etiam sequentibus. Ille autem eum in custodia cernens, illos vero in lugubri habitu, « quid, « ait, o nequissimi, aut de mea humanitate aut de provi« dentia Dei sensistis, ut talia in benefactorem et hospitem « perpetrare auderetis »? Illis vero semet in supplicium offerentibus pro salute Benjaminis, atque in memoriam revocantibus quam scelerati fuerant in Josephum, eumque beatiorem prædicantibus, si mortuus quidem esset, quod e vitæ calamitatibus sit exemptus; si vero in vivis esset, quod vindicta fruatur, qua injurias illi ab ipsis factas persequatur Deus: semet vero patris pestem et perniciem vocantibus, quod de Josepho mœrori, quo hactenus jacuit, novum ex Benjamine adjecturi sint. Multus etiam tum erat Rubelus in iis increpandis. Josepho autem illos quidem dimittente, ut qui ipsi

τος, οὐδὲν γὰρ αὐτοὺς ἀδικεῖν, ἀρκεῖσθαι δὲ μόνῃ τῇ τοῦ παιδὸς τιμωρίᾳ λέγοντος· (οὔτε γὰρ τοῦτον ἀπολύειν διὰ τοὺς οὐδὲν ἐξαμαρτόντας σῶφρον ἔλεγεν οὔτε συγκολάζειν ἐκείνους τῷ τὴν κλοπὴν ἐργασαμένῳ·) βαδίζουσι δὲ παρέξειν ἀσφάλειαν ἐπαγγελλομένου, τοὺς μὲν ἄλλους ἔκπληξις ἔλαβε καὶ πρὸς τὸ πάθος ἀφωνία, Ἰούδας δὲ, ὁ καὶ τὸν πατέρα πείσας ἐκπέμψαι τὸ μειράκιον, καὶ τἆλλα δραστήριος ὢν ἀνὴρ, ὑπὲρ τῆς τἀδελφοῦ σωτηρίας ἔκρινε παραβαλέσθαι. « Καὶ δεινά « μέν, εἶπεν, ὦ στρατηγέ, τετολμήκαμεν εἰς σὲ, καὶ « τιμωρίας ἄξια καὶ τοῦ κόλασιν ὑποσχεῖν ἅπαντας ἡμᾶς « δικαίως, εἰ καὶ τὸ ἀδίκημα μὴ πάντων ἡμῶν, ἀλλ' « ἑνὸς τοῦ νεωτάτου γέγονεν· ὅμως δὲ ἀπεγνωκόσιν ἡμῖν « τὴν δι' αὐτοῦ σωτηρίαν ἐλπὶς ὑπολέλειπται παρὰ τῆς « σῆς χρηστότητος, ἐγγυωμένης τὴν τοῦ κινδύνου διαφυγήν. Καὶ νῦν μὴ πρὸς τὸ ἡμέτερον ἀφορῶν, μηδὲ « τὸ κακούργημα σκοπῶν, ἀλλὰ πρὸς τὴν ἑαυτοῦ φύσιν, « καὶ τὴν ἀρετὴν σύμβουλον ποιησάμενος ἀντὶ τῆς ὀργῆς, ἣν οἱ τἆλλα μικροὶ πρὸς ἰσχύος λαμβάνουσιν, οὐκ « ἐπὶ τοῖς μεγάλοις μόνον, ἀλλὰ καὶ ἐπὶ τοῖς τυχοῦσιν « αὐτῇ χρώμενοι, γενοῦ πρὸς αὐτὴν μεγαλόφρων, καὶ μὴ « νικηθῇς ὑπ' αὐτῆς, ὥστε ἀποκτεῖναι τοὺς οὐδ' αὐτοὺς « ὡς ἰδίας ἔτι τῆς σωτηρίας ἀντιποιουμένους, ἀλλὰ παρὰ « σοῦ λαβεῖν αὐτὴν ἀξιοῦντας. Καὶ γὰρ οὐδὲ νῦν πρῶτον « ἡμῖν παρέξεις αὐτήν· ἀλλὰ καὶ τάχιον ἐλθοῦσιν ἐπὶ « τὴν ἀγορὰν τοῦ σίτου καὶ τὴν εὐπορίαν τῆς τροφῆς « ἐχαρίσω, δοὺς ἀποκομίζειν τοῖς οἰκείοις, ὅσα κινδυνεύοντας αὐτοὺς ὑπὸ τοῦ λιμοῦ διαφθαρῆναι περιέσωσε. « Διαφέρει δ' οὐδὲν ἢ μὴ περιιδεῖν ἀπολλυμένους ὑπ' « ἐνδείας τῶν ἀναγκαίων, ἢ μὴ κολάσαι δόξαντας ἁμαρτεῖν, καὶ περὶ τὴν εὐεργεσίαν τὴν ἀπὸ σοῦ λαμπρὰν « γενομένην φθονηθέντας. Ἡ δ' αὐτὴ χάρις, ἄλλῳ μέντοι « τρόπῳ διδομένη. Σώσεις γὰρ οὓς εἰς τοῦτο καὶ ἔτρεφες, καὶ ψυχὰς, ἃς ὑπὸ λιμοῦ καμεῖν οὐκ εἴασας, τηρήσεις ταῖς ἑαυτοῦ δωρεαῖς. Ὡς θαυμαστὸν ἅμα καὶ « μέγα δοῦναί τε ψυχὰς ἡμῖν, καὶ παρασχεῖν δι' ὧν αὖ« ται μένουσιν ἀπορουμένοις. Οἶμαί τε τὸν Θεὸν αἰτίαν « παρασκευάσαι, βουλόμενον, εἰς ἐπίδειξιν τοῦ κατὰ τὴν « ἀρετὴν περιόντος, ἡμᾶς εἰς τοῦτο περιστῆσαι συμφορᾶς, ἵνα καὶ τῶν εἰς σαυτὸν ἀδικημάτων συγγινώσκων « φανῇς ἑπταικόσιν, ἀλλὰ μὴ πρὸς μόνους τοὺς κατ' « ἄλλην πρόφασιν δεομένους ἐπικουρίας φιλάνθρωπος « δοκῇς. Ὡς μέγα μὲν γὰρ καὶ τὸ ποιῆσαί τινας εὖ κα« ταστάντας εἰς χρείαν, ἡγεμονικώτερον δὲ σῶσαι τοὺς « ὑπὲρ τῶν εἰς ἑαυτὸν τετολμημένων δίκην ὀφείλοντας. « Εἰ γὰρ τὸ περὶ μικρῶν ζημιωμάτων ἀφεῖναι τοὺς πλημμελήσαντας ἐπαινον ἤνεγκε τοῖς ὑπερδοῦσι, τό γε « περὶ τούτων ἀόργητον, ὑπὲρ ὧν τὸ ζῆν ὑπεύθυνον τῇ « κολάσει γίνεται τῶν ἠδικηκότων, Θεοῦ φύσει προσε« τέθη. Καὶ ἔγωγε, εἰ μὴ πατὴρ ἡμῖν ἦν πῶς ἐπὶ παίδων « ἀποβολῇ ταλαιπωρεῖ διὰ τῆς ἐπὶ Ἰωσήπῳ λύπης ἐπι« δεδειγμένος, οὐκ ἂν τοῦ γε καθ' ἡμᾶς ἕνεκα περὶ τῆς « σωτηρίας λόγους ἐποιησάμην, εἰ μὴ ὅσον τῷ σῷ χα« ριζόμενος ἤθει, σώζειν αὐτῷ καλῶς ἔχον καὶ τοὺς οἱ

nullam fecerint injuriam, pueri vero supplicio se contentum esse dicente, (neque enim hunc absolvere in gratiam insontium, sapientis esse dicebat, neque illos una cum furti manifesto punire,) abeuntibus etiam securitatem se daturum promittente, ceteri quidem stupefacti sunt et præ dolore obmutuere, Judas vero, qui patri adolescentem mittere persuaserat, et cetera strenuus vir erat et efficax, decrevit se pro fratris salute periculo objicere. « Et nefaria quidem, inquit, « in te, o præses, perpetravimus, et supplicio digna, cui nos « omnes subjici debere æquum est, licet non omnium sit « culpa, sed unius natu minimi: nobis tamen, salutem pro« pter ipsum desperantibus, spes aliqua elfulsit ex tua bo« nitate, promittente et spondente e periculo effugium. Ac « nunc ad nos non respiciens, neque facinus quod patravi« mus intuens, sed ingenii tui indolem, et virtutem in con« silium assumens potius quam iracundiam (a qua homines « cetera pusilli animos accipiunt, eam non in maximis so« lum, sed in quæcunque inciderint, adhibentes), hanc ipsam « contemne et despice, neque ab ea te vinci patere, ut eos « perimas, qui sibimet salutem adhuc vindicare non pe« terant, sed eam a te accipere enixe petunt. Etenim neque « nunc primum isto munere nos ornabis, sed et ocius nobis, « quum ad frumenti mercatum venissemus, commeatus « etiam copiam fecisti, tantum *alimenti* ad familiam defe« rendum suppeditans, quantum eam, in salutis discrimen « a fame adductam, incolumem servavit. Equidem nihil in« terest utrum non despicias pereuntes egestate rerum ne« cessariarum, an illos ad supplicium non damnaveris, quos « deliquisse homines suspicantur, quibusque præclaram « tuam invident beneficentiam. Eadem plane gratia est, « modo tamen diverso collata. Servabis enim quos in hunc « finem pavisti; et vitam, quam fame laborare noluisti, tua « gratia salvam retinebis. Quam magnum et mirabile est vita « nos donare, et liberalitate efficere ut inopia circumdatis « maneat incolumis. Imo Deum arbitror viam ad hæc muni« visse, cui visum est ut nos, ad virtutem tuam illustrandam, « in has calamitates incideremus: ut gloriam adipiscaris « etiam ignoscendo peccantibus, quod tibi injuriam intule« rint, et non solum eos perhumaniter sublevando, qui alia « de causa tuo egeant auxilio. Etenim permagnum quidem « est opem iis ferre, qui ad inopiam redacti sunt, multo ta« men majus et principe dignius illos servare, qui ob scelus « in ipsum perpetratum pœnas erant luituri. Nam si parva « supplicia delinquentibus remisisse magnam condonantibus « laudem attulerit, certe iracundiam tum cohibere, ubi vita « peccantium ei, quem læserint, in pœnam obnoxia est, ad « Dei naturam proxime accedit. Atque ego, nisi is nobis « exstitisset pater, qui Josephi interitum lugendo ostendit, « quam graviter ferat liberorum amissionem, nequaquam pro « nostra salute verba fecissem, nisi forsitan tuis moribus hoc « donassem, qui præclarum ducis etiam illis incolumitatem « dare, qui non habent a quibus mortui lugeantur; sed æquo

« λυπήσονται τεθνηκότων οὐκ ἔχοντας, παρείχομεν δ'
« ἂν αὐτοὺς πεισομένους ὅ τι καὶ θελήσειας. Νῦν δὲ,
« οὐ γὰρ ἑαυτοὺς ἐλεοῦντες, εἰ καὶ νέοι καὶ μήπω τῶν
« κατὰ τὸν βίον ἀπολελαυκότες τεθνηξόμεθα, τὸ δὲ τοῦ
« πατρὸς λογιζόμενοι, καὶ τὸ γῆρας οἰκτείροντες τὸ
« ἐκείνου, ταύτας σοὶ τὰς δεήσεις προσφέρομεν, καὶ πα-
« ραιτούμεθα ψυχὰς τὰς ἑαυτῶν, ἃς σοὶ τὸ ἡμέτερον
« κακούργημα πρὸς τιμωρίαν παρέδωκεν· ὃς οὔτε πονη-
« ρὸς αὐτὸς οὔτε τοιούτους ἐσομένους ἐγέννησεν, ἀλλὰ
« χρηστὸς ὢν καὶ πειραθῆναι τοιούτων οὐχὶ δίκαιος,
« καὶ νῦν μὲν ἀποδημούντων ταῖς ὑπὲρ ἡμῶν φροντίσι
« κακοπαθεῖ, πυθόμενος δὲ ἀπολωλότας, καὶ δι' ἣν αἰ-
« τίαν, οὐχ ὑπομενεῖ, [διὰ ταύτην γὰρ πολὺ μᾶλλον τὸν
« βίον καταλιπεῖν,] καὶ τὸ ἄδοξον αὐτὸν τῆς ἡμετέρας
« καταστροφῆς φθήσεται διαχρησάμενον, καὶ κακὴν
« αὐτῷ ποιήσει τὴν ἐκ τοῦ ζῆν ἀπαλλαγήν, πρὶν εἰς
« ἄλλους φοιτῆσαι τὰ καθ' ἡμᾶς, σπεύσαντος ἑαυτὸν εἰς
« ἀναισθησίαν μεταγαγεῖν. Γενόμενος οὖν ἐν τούτῳ τὸν
« λογισμὸν, εἰ καὶ ἡ κακία σὲ παροξύνει νῦν ἡ ἡμετέρα,
« καὶ τὸ κατ' αὐτῆς δίκαιον χάρισαι τῷ πατρὶ, καὶ
« δυνηθήτω πλέον ὁ πρὸς ἐκεῖνον ἔλεος τῆς ἡμετέρας
« πονηρίας· καὶ γῆρας ἐν ἐρημίᾳ βιωτόμενον καὶ τε-
« θνηξόμενον ἡμῶν ἀπολουμένων αἴδεσαι, τῷ πατέρων
« ὀνόματι ταύτην χαριζόμενος τὴν δωρεάν. Ἐν γὰρ
« τούτῳ καὶ τὸν σὲ φύσαντα τιμᾷς καὶ σαυτῷ δίδως,
« ἀπολαύων μὲν ἤδη τῆς προσηγορίας, ἀπαθὴς δ' ἐπ'
« αὐτῇ φυλαχθησόμενος ὑπὸ τοῦ Θεοῦ τοῦ πάντων πα-
« τρὸς, εἰς ὃν κατὰ κοινωνίαν καὶ αὐτὸν τοῦ ὀνόματος εὐ-
« σεβεῖν δόξεις, τοῦ ἡμετέρου πατρὸς οἶκτον λαβών, ἐφ'
« οἷς πείσεται τῶν παίδων στερούμενος. Σὸν οὖν, ἃ πα-
« ρέσχεν ἡμῖν ὁ Θεὸς, ταῦτ' ἔχοντα ἐξουσίαν ἀφελέσθαι,
« δοῦναι, καὶ μηδὲν ἐκείνου διενεγκεῖν τῇ χάριτι. Τῆς
« γὰρ ἐπ' ἀμφοτέρων δυνάμεως τετυχηκότα καλὸν ταύ-
« την ἐν τοῖς ἀγαθοῖς ἐπιδείκνυσθαι, καὶ παρὸν καὶ
« ἀπολλύειν, τῆς μὲν κατὰ τοῦτο ἐξουσίας ὡς μηδ' ὑπαρ-
« χούσης ἐπιλανθάνεσθαι, μόνον δ' ἐπιτετράφθαι τὸ
« σώζειν ὑπολαμβάνειν, καὶ ὅσῳ τις πλείοσι τοῦτο πα-
« ρέξει, μᾶλλον αὐτῷ φαίνεσθαι διδόντα. Σὺ δὲ πάντας
« ἡμᾶς σώσεις, τὰδελφῷ συγγνοὺς ὑπὲρ ὧν ἠτύχηκεν.
« Οὐδὲ γὰρ ἡμῖν βιώσιμα, τούτου κολασθέντος, οἷς γε
« πρὸς τὸν πατέρα μὴ ἔξεστιν ἀνασωθῆναι μόνοις, ἀλλ'
« ἐνθάδε δεῖ κοινωνῆσαι τούτῳ τῆς αὐτῆς καταστροφῆς
« τοῦ βίου. Καὶ τοσούτου δεησόμεθα, στρατηγὲ, κα-
« τακρίναντος τὸν ἀδελφὸν ἡμῶν ἀποθανεῖν, συγκολάσαι
« καὶ ἡμᾶς ὡς τοῦ ἀδικήματος κεκοινωνηκότας. Οὐ γὰρ
« ἀξιώσομεν ἡμεῖς ὡς ἐπὶ λύπῃ τεθνηκότος τὰδελφοῦ
« ἑαυτοὺς ἀνελεῖν, ἀλλ' ὡς ὁμοίως αὐτῷ πονηροὶ γεγο-
« νότες οὕτως ἀποθανεῖν. Καὶ ὅτι μὲν καὶ νέος ὢν
« ἥμαρτε καὶ μήπω τῷ φρονεῖν ἐρηρεισμένος, καὶ ὡς
« ἀνθρώπινον τοῖς τοιούτοις συγγνώμην νέμειν, σοὶ κα-
« ταλιπὼν παύσομαι περαιτέρω λέγειν, ἵν' εἰ μὲν κατα-
« κρίνειας ἡμῶν, τὰ μὴ λεχθέντα δόξῃ βεβλαφέναι πρὸς
« τὸ σκυθρωπότερον ἡμᾶς· εἰ δ' ἀπολύσειας, κἀκεῖνα τῇ
« σαυτοῦ χρηστότητι συνιδὼν ἀπεψηφίσθαι νομισθῇς,

« animo supplicium, quodcunque voluisses, pertulissemus.
« Nunc autem, quando non nostri nos miseret, tametsi ju-
« venes adhuc et vix ullo ex vitæ commodis fructu percepto
« moriamur, sed de patre cogitantes ejus senectutem mise-
« ricordia prosequimur, has tibi preces supplices offerimus;
« vitamque nostram a te deprecamur, cujus in pœnis pro-
« fundendæ potestatem tibi dedit nostrum hoc maleficium.
« Ille neque malus est, neque nos tales futuros genuit, sed
« probus et honestus, et qui talia experiretur non comme-
« ritus, et qui nunc quidem, nobis peregre profectis, sollici-
« tudine curisque discruciatur. Quum autem de nostro in-
« teritu audierit simulque de causa ejus, non sustinebit, [eo
« facilius in animum inducet ut vitam deserat,] mortemque
« ipsius semet mœrore conficientis accelerabit nostræ infa-
« mia, facietque ut tristem de vita exitum habeat; ut qui,
« priusquam rumor de nobis divulgetur, festinarit semet
« sensibus orbare. His igitur perpensis, tametsi iram tibi
« commoveat scelus hoc nostrum, patri tamen vindictæ
« gratiam facito; et plus illius miseratio apud te valeat
« quam nostra nequitia: atque ejus senectutem, qui, nobis
« pereuntibus, in solitudine vivet morieturque, reverere,
« patrum nomini hunc muneris honorem deferens. Nam hoc
« agendo parentem tuum honoras, et tibimet aliquid tri-
« buis, quum jam hac gaudeas appellatione: quæ tibi salva
« conservabitur a Deo omnium patre; quem et ipsum pro-
« pter commune nomen hac pietate honorare existimaberis,
« si patris nostri misericordia movearis, ea tecum reputans
« quæ passurus est liliis orbatus. Itaque tuum est, quæ
« nobis dedit Deus, quum ea auferendi potestatem habeas,
« *iterum* dare, adeoque ipsum in benignitate quammaxime
« referre. Pulcrum enim est, si quis tantundem ad utrumli-
« bet valeat, sese ad aliorum utilitatem comparare: et, quum
« posset perdere, suum hac in re jus, tanquam si nullum
« habuisset, plane negligere, sed tantum ad servandos
« homines potentiam sibi datam existimare; et quo pluribus
« salutem quis dederit, eo se illustriorem fore. Tu vero nos
« omnes servare potes ignoscendo fratri, in quibus egit in-
« feliciter: neque enim nobis vita erit vitalis, eo pœna sub-
« lato, quibus ad patrem, nobismet solis salvis, redire
« non licet: sed hic nobis ferendum est, quasi delicti ejus
« essemus participes, quicquid frater tulerit. Atque in tan-
« tum te, præses, obsecrabimus, ut, si fratrem nostrum
« morte mulctaveris, nos non secus ac sceleris ejusdem so-
« cios eodem afficias supplicio. Nobis enim satius videbi-
« tur ut tanquam eodem crimine condemnati moriamur
« quam ut nosmet fratre defuncto præ mœrore conficere-
« mus. Et quod juvenis admodum deliquerit nondumque
« prudentia roboratus, et quod humanum sit similibus non
« gravatim veniam tribuere, tuo permittens judicio finem
« dicendi faciam, ut, si nos quidem damnaveris, mihi vitio
« vertatur quod non omnia dixerim quæ tuam in nos iram
« lenirent: si vero absolveris, quod clementiæ et bonitatis
« tibi conscius illud statuisse existimeris, non solum nos

« οὐ σώσας μόνον ἡμᾶς, ἀλλὰ καὶ ὧν διὰ τοῦτο δικαιό-
« τεροι μᾶλλον φανούμεθα τυχεῖν χαριζόμενος, καὶ
« πλέον ἡμῶν αὐτῶν ὑπὲρ τῆς ἡμετέρας νοήσας σωτη-
« ρίας. Εἶτ' οὖν κτείνειν αὐτὸν θέλεις, ἐμὲ τιμωρησά-
« μενος ἀντὶ τούτου, τῷ πατρὶ τοῦτον ἀπόπεμψον, εἴτε
« καὶ κατέχειν σοι δοκεῖ δοῦλον, ἐγὼ πρὸς χρείας σοι
« ὑπηρετικώτερος, ἀμείνων, ὡς ὁρᾷς, πρὸς ἑκάτερον
« τῶν παθῶν ὑπάρχων. » Ἰούδας μὲν οὖν πάνθ' ὑπο-
μένειν ὑπὲρ τῆς τἀδελφοῦ σωτηρίας ἡδέως ἔχων, ῥίπτει
πρὸ τῶν Ἰωσήπου ποδῶν ἑαυτόν, εἴ πως ἐκμαλάξειε
τὴν ὀργὴν αὐτοῦ καὶ καταπραΰνειεν ἀγωνιζόμενος.
Προὔπεσον δὲ καὶ οἱ ἀδελφοὶ πάντες, δακρύοντες καὶ
παραδιδόντες ἑαυτοὺς ὑπὲρ τῆς Βενιαμὶν ψυχῆς ἀπο-
λουμένους.

ι'. Ὁ δὲ Ἰώσηπος ἐλεγχόμενος ὑπὸ τοῦ πάθους, καὶ
μηκέτι δυνάμενος τὴν τῆς ὀργῆς φέρειν ὑπόκρισιν, κε-
λεύει μὲν ἀπελθεῖν τοὺς παρόντας, ἵνα μόνοις ἑαυτὸν
τοῖς ἀδελφοῖς ποιήσῃ φανερόν. Ἀναχωρησάντων δὲ,
ποιεῖ γνώριμον ἑαυτὸν τοῖς ἀδελφοῖς, καὶ φησίν· « τῆς
« μὲν ἀρετῆς ὑμᾶς καὶ εὐνοίας τῆς περὶ τὸν ἀδελφὸν
« ἡμῶν ἐπαινῶ, καὶ κρείττονας ἢ προσεδόκων ἐκ τῶν
« περὶ ἐμὲ βεβουλευμένων εὑρίσκω, ταῦτα πάντα ποιή-
« σας ἐπὶ πείρᾳ τῆς ὑμετέρας φιλαδελφίας. Οὐ φύσει
« δὲ περὶ ἐμὲ νομίζω πονηροὺς γεγονέναι, Θεοῦ δὲ βου-
« λήσει τήν τε νῦν πραγματευομένου τῶν ἀγαθῶν ἀπό-
« λαυσιν καὶ τὴν ἐς ὕστερον, ἂν εὐμενὴς ἡμῖν παρα-
« μείνῃ. Πατρός τε οὖν σωτηρίαν ἐγνωκὼς οὐκ ἐλπι-
« σθεῖσαν, καὶ τοιούτους ὑμᾶς ὁρῶν περὶ τὸν ἀδελφὸν,
« οὐδ' ὧν εἰς ἐμὲ δοκεῖτε ἁμαρτεῖν ἔτι μνημονεύω.
« Παύσομαι δὲ τῆς ἐπ' αὐτοῖς μισοπονηρίας, καὶ ὡς
« συναιτίοις τῶν τῷ Θεῷ βεβουλευμένων εἰς τὰ πα-
« ρόντα χάριν ἔχειν ὁμολογῶ, ὑμᾶς τε βούλομαι καὶ
« αὐτοὺς λήθην ἐκείνων λαβόντας ἥδεσθαι μᾶλλον, τῆς
« τότε ἀβουλίας εἰς τοιοῦτον ἐλθούσης τέλος, ἢ δυσφο-
« ρεῖν αἰσχυνομένους ἐπὶ τοῖς ἡμαρτημένοις. Μὴ οὖν
« δόξῃ λυπεῖν ὑμᾶς τὸ κατ' ἐμοῦ ψῆφον ἐνεγκεῖν πονη-
« ρὰν καὶ ἡ ἐπ' αὐτῇ μετάνοια, τῷ γε μὴ προχωρῆσαι
« τὰ βεβουλευμένα. Χαίροντες οὖν ἐπὶ τοῖς ἐκ Θεοῦ
« γεγενημένοις ἄπιτε, ταῦτα δηλώσοντες τῷ πατρὶ, μὴ
« καὶ ταῖς ὑπὲρ ὑμῶν φροντίσιν ἀναλωθεὶς ζημιώσῃ μου
« τὸ κάλλιστον τῆς εὐδαιμονίας, πρὶν εἰς ὄψιν ἐλθεῖν
« τὴν ἐμὴν καὶ μεταλαβεῖν τῶν παρόντων ἀγαθῶν ἀπο-
« θανών. Αὐτὸν δὲ τοῦτον καὶ γυναῖκας ὑμετέρας καὶ
« τέκνα καὶ πᾶσαν τὴν συγγένειαν ὑμῶν ἀναλαβόντες
« ἐνθάδε μετοικίζεσθε· οὐ γὰρ ἀποδήμους εἶναι δεῖ τῶν
« ἀγαθῶν τῶν ἡμετέρων τοὺς ἐμοὶ φιλτάτους, ἄλλως
« τε καὶ τοῦ λιμοῦ λοιπὴν ἔτι πενταετίαν ὑπομενοῦν-
« τος ». Ταῦτ' εἰπὼν Ἰώσηπος περιβάλλει τοὺς ἀδελ-
φούς. Οἱ δ' ἐν δάκρυσιν ἦσαν καὶ λύπῃ τῶν ἐπ' αὐτῷ
βεβουλευμένων, καὶ τιμωρίας αὐτοῖς οὐδὲν ἀπολιπεῖν
ἐδόκει τὸ εὔγνωμον τἀδελφοῦ. Καὶ τότε μὲν ἦσαν ἐν
εὐωχίᾳ. Βασιλεὺς δ' ἀκούσας ἥκοντας πρὸς Ἰώσηπον
τοὺς ἀδελφοὺς ἥσθη τε μεγάλως καὶ, ὡς ἐπ' οἰκείῳ δια-
τεθεὶς ἀγαθῷ, παρεῖχεν αὐτοῖς ἁμάξας σίτου πλήρεις

« servans, sed et istam nobis gratiam faciens qua multo
« digniores esse videbimur, ut qui plus quam nosmetipsi
« nostræ saluti prospexeris. Sive igitur hunc velis perimere,
« me vicario ad supplicium accepto, patri eum remittito :
« sive ad servitium malis addicere, ipse tuis ministeriis ma-
« gis sum idoneus, et ad utrumvis, ut vides, subeundum
« aptior atque paratior. » Judas itaque, qui lubenti animo
quidvis pro fratris salute pati voluit, semet Josephi pedibus
advolvit, iracundiam ejus si quo modo mitigare et placare
posset, magnopere laborans. Similiter et fratres omnes sese
prosternebant, lacrimantes, et semet, ut pro Benjamine
mortem oppeterent, offerentes.

10. Josephus autem misericordia victus, simulatam irati
personam ferre amplius non potuit, jussitque ut abirent qui
præsentes aderant, ut summotis arbitris semet aperiret fra-
tribus. Quum autem discessissent, facit ut a fratribus agno-
sceretur, et infit : « pietatem vestram et amorem erga fra-
« trem nostrum laudo, et perspectum habeo vos *in eum* me-
« liore esse animo quam exspectaram ex iis quæ in me *olim*
« excogitastis, ut qui in hoc omnia hæc fecerim, ut fraternæ
« vestræ benevolentiæ caperem experimentum. Non enim
« natura vos in me malignos exstitisse reor, sed Dei vo-
« luntate, qui præsentibus bonis frui concedit et futuris,
« si nobis propitius esse perseverarit. Quando igitur et
« patrem, contra quam speraveram, incolumem esse com-
« peri, et vos conspexi tali affectu fratrem prosequen-
« tes, non amplius eorum, quibus in me deliquisse
« videamini, recordabor. Porro desinam ob ista ut mali-
« gna odium intendere : ac vobis gratias me habere profi-
« teor, qui mecum in causa fuistis ut Deus ita nobis in præ-
« sens prospiceret. Vosque ipsos volo etiam hæc oblivioni
« dare, et lætari magis, quod male tunc consulta bene ces-
« serint, quam contristari ob ea quæ indigne facta esse
« erubescitis. Ne igitur vos dolore afficere videatur quod
« in me iniquum tuleritis suffragium, nec male vos habeat
« rei gestæ pœnitentia, quando consultis vestris non re-
« spondit eventus. Sed, lætitia exsultantes ob ea quæ
« Deus effecit, discedite, patri hæc renunciaturi; ne
« forte sollicitudine de vobis male maceratus, summam mihi
« eripiat felicitatem, si mori contigerit priusquam in con-
« spectum meum veniat et horum honorum fiat particeps.
« Hunc ipsum vero, et conjuges vestras et liberos, totam-
« que cognationem assumentes huc commigratote : non
« decet enim, ut mihi carissimi ab hac mea felicitate longe
« absint, præsertim quum fames adhuc quinquennium
« sit duratura ». Hæc quum dixisset Josephus, fratres
complectitur. Illi vero in lacrimis erant ac mœrore pro-
pter ea quæ in eum statuerant, nihilque a pœna distare iis
videbatur fratris æquitas. Mox convivium est sequutum.
Rex autem, cognito fratrum Josephi adventu, vehementer
gavisus est, ac, quasi sibi ipsi aliquid boni accidisset,
animo affectus, præbuit eis currus frumento onustos, atque

καὶ χρυσὸν καὶ ἄργυρον ἀποκομίζειν τῷ πατρί. Λαβόντες δὲ πλείω παρὰ τἀδελφοῦ, τὰ μὲν τῷ πατρὶ φέρειν, τὰ δ' αὐτοὶ δωρεὰς ἔχειν ἕκαστος ἰδίας, πλειόνων ἠξιωμένου Βενιαμὶν παρ' αὐτοὺς, ἀπῆεσαν.

ΚΕΦ. Ζ'.

Ὡς δὲ ἀφικομένων τῶν παίδων Ἰάκωβος τὰ περὶ τὸν Ἰώσηπον ἔμαθεν, ὅτι μὴ μόνον εἴη τὸν θάνατον διαπεφυγὼς ἐφ' ᾧ πενθῶν διῆγεν, ἀλλὰ καὶ ζῇ μετὰ λαμπρᾶς εὐδαιμονίας, βασιλεῖ συνδιέπων τὴν Αἴγυπτον καὶ τὴν ἅπασαν σχεδὸν ἐγκεχειρισμένος αὐτῆς ἐπιμέλειαν, ἄπιστον μὲν οὐδὲν ἐδόκει τῶν ἠγγελμένων, λογιζόμενος τοῦ Θεοῦ τὴν μεγαλουργίαν καὶ τὴν πρὸς αὐτὸν εὔνοιαν, εἰ καὶ τῷ μεταξὺ χρόνῳ διέλειπεν· ὥρμητο δ' εὐθὺς πρὸς τὸν Ἰώσηπον.

β'. Ὡς δὲ κατέσχεν ἐπὶ τὸ ὄρχιον φρέαρ, θύσας αὐτόθι τῷ Θεῷ, καὶ φοβούμενος μὴ διὰ τὴν εὐδαιμονίαν τὴν ἐν Αἰγύπτῳ, τῶν παίδων ἐμφιλοχωρησάντων τῇ οἰκήσει τῇ ἐν αὐτῇ, μηκέτ' εἰς τὴν Χαναναίαν οἱ ἔκγονοι μετελθόντες κατάσχωσιν αὐτὴν, ὡς ὁ θεὸς ἦν ὑπεσχημένος, ἅμα τε μὴ δίχα Θεοῦ βουλήσεως γενομένης τῆς εἰς Αἴγυπτον ἀφόδου διαφθαρῇ τὸ γένος αὐτοῦ, πρὸς δὲ τούτοις δεδιὼς μὴ προεξέλθῃ τοῦ βίου πρὶν εἰς ὄψιν Ἰωσήπου παραγενέσθαι, καταφέρεται, στρέφων ἐν ἑαυτῷ τοῦτον τὸν λογισμὸν, εἰς ὕπνον.

γ'. Ἐπιστὰς δὲ ὁ Θεὸς αὐτῷ, καὶ δὶς ὀνομαστὶ καλέσας, πυνθανομένῳ τίς ἐστιν, « ἀλλ' οὐ δίκαιον, εἶπεν, « Ἰακώβῳ Θεὸν ἀγνοεῖσθαι, τὸν ἀεὶ παραστάτην καὶ « βοηθὸν προγόνοις τε τοῖς σοῖς καὶ μετ' αὐτοὺς σοὶ γε« νόμενον. Στερουμένῳ τε γὰρ σοὶ τῆς ἀρχῆς ὑπὸ τοῦ « πατρὸς ταύτην ἐγὼ παρέσχον, καὶ κατ' ἐμὴν εὔνοιαν « εἰς τὴν Μεσοποταμίαν μόνος σταλεὶς, γάμων τε ἀγα« θῶν ἔτυχες, καὶ παίδων ἐπαγόμενος πλῆθος καὶ χρη« μάτων ἐνόστησας. Παρέμεινέ τε σοὶ γενεὰ πᾶσα « προνοίᾳ τῇ ἐμῇ, καὶ ὃν ἀπολωλέναι τῶν υἱῶν ἐδόκεις « Ἰώσηπον, τοῦτον εἰς ἀπόλαυσιν μειζόνων ἀγαθῶν ἤγα« γον, καὶ τῆς Αἰγύπτου κύριον, ὡς ὀλίγῳ διαφέρειν « τοῦ βασιλέως, ἐποίησα. Ἥκω τε νῦν ὁδοῦ τε ταύ« της ἡγεμὼν ἐσόμενος καὶ βίου σοὶ τελευτὴν ἐν ταῖς « Ἰωσήπου χερσὶ γενησομένην προδηλῶν, καὶ μακρὸν « αἰῶνα τῶν σῶν ἐκγόνων ἐν ἡγεμονίᾳ καὶ δόξῃ καταγ« γέλλων, καταστήσων τε αὐτοὺς εἰς τὴν γῆν ἣν ὑπέ« σχημαι. »

δ'. Τούτῳ θαρσήσας τῷ ὀνείρατι, προθυμότερον εἰς τὴν Αἴγυπτον σὺν τοῖς υἱοῖς καὶ παισὶ τοῖς τούτων ἀπηλλάττετο. Ἦσαν δ' οἱ πάντες ἑβδομήκοντα. Τὰ μὲν οὖν ὀνόματα δηλῶσαι τούτων οὐκ ἐδοκίμαζον, καὶ μάλιστα διὰ τὴν δυσκολίαν αὐτῶν. Ἵνα μέντοι παραστήσω τοῖς οὐχ ὑπολαμβάνουσιν ἡμᾶς ἐκ τῆς Μεσοποταμίας, ἀλλ' Αἰγυπτίους εἶναι, ἀναγκαῖον ἡγησάμην μνησθῆναι τῶν ὀνομάτων. Ἰακώβου μὲν οὖν παῖδες ἦσαν δώδεκα· τούτων Ἰώσηπος ἤδη προαφῖκτο. Τοὺς οὖν μετ' αὐτὸν καὶ τοὺς ἐκ τούτων γεγονότας δηλώσομεν. Ῥουβήλου μὲν ἦσαν παῖδες τέσσαρες, Ἀνώχης,

aurum et argentum ad patrem deferenda. Illi autem, plura a fratre accipientes, partim quidem patri, partim vero sibimet in singulos donata, majorem in modum muneribus cumulato Benjamine, abierunt.

CAP. VII.

Quum vero Jacobus, filiis reversis, de Josepho intellexisset quod non solum mortem effugerit, quam tam diu luxerat, sed etiam in splendida fortuna viveret, una cum rege res Ægypti administrans, et pæne totam regni curam sibi commissam habens, nihil quidem eorum quæ nunciabantur incredibile putabat, animo complectens quum Dei magnificentiam, tum ejus erga se benevolentiam, tametsi aliquantisper intermissam: sed confestim iter aggressus est ad Josephum properans.

2. Postquam autem venerat ad puteum fœderis, Deo ibidem sacrificium faciens, metuensque ne propter ubertatem Ægypti, dum filii istius regionis habitandæ amore tenerentur, soboles eorum non rediret in Chananæam, occupatura eam juxta promissa Dei; simul etiam, ne inconsulto Deo migratione in Ægyptum facta, genus ipsius clade aliqua multaretur; præterea autem veritus ne prius e vita excederet quam in Josephi conspectum veniret, in somnium delabitur hæc secum in animo revolvens.

3. At Deus ei *in somnio* superveniens, ipsumque bis nomine appellans, interroganti quisnam esset, ait, « haud « fas est ut Jacobus ignoret Deum, qui majoribus tuis et « post hos etiam tibi perpetuo adjumento fui et auxilio. « Quum enim patri in animo fuisset te principatu privare, « hunc ego tibi conservavi, et quum, me tibi favente, solus « in Mesopotamiam profectus esses, et bonas fecisti nu« ptias, et reversus es liberis multis et facultatibus auctus; « meaque providentia tibi incolumis permansit tota tua « progenies; et Josephum, quem ex filiis amisisse videba« ris, ad majorem felicitatem perduxi, et Ægypti dominum, « ut paululum a rege differat, constitui. Nunc quoque « venio, et viæ hujus dux tibi futurus, et tibi prænuncians « inter manus Josephi te e vita exiturum, atque stirpem « tuam per multa sæcula potentem fore simul et illustrem « indicans, eamque in istam terram me deducturum esse, « quam pollicitus sum. »

4. Hoc somnio fretus eo libentius in Ægyptum concessit, cum filiis liberisque eorum. Erant autem in universum septuaginta. Et nomina quidem illorum, maximeque propter eorum difficultatem, non mihi placebat recensere: ut tamen eos redarguam, qui nos non ex Mesopotamia oriundos existimant, sed ex Ægypto, mihi esse necessarium putavi nomina recensere. Jacobi igitur filii erant duodecim: ex quibus Josephus antea abierat. Eos itaque qui illum insequuti sunt, et horum progeniem memorabimus. Rubeli quidem filii erant quattuor: Anoches, Phallus, Assaron,

Φαλλοῦς, Ἀσσάρων, Χάρμις. Συμεῶνος δὲ ἕξ, Ἰαμούηλος, Ἰάμεινος, Ἰάωδος, Ἰάχεινος, Σόαρος, Σάουλος. Τρεῖς δὲ Λευὶ γεγόνασιν υἱοὶ, Γηρσόμης, Κάαθος, Μαράριος. Ἰούδᾳ δὲ παῖδες ἦσαν τρεῖς, Σαλᾶς, Φάρεσος, Ζάρας· υἱωνοὶ δὲ δύο γεγονότες ἐκ Φαρέσου, Ἔσρωνος καὶ Ἄμυρος. Ἰσαχάρου δὲ τέσσαρες, Θουλᾶς, Φουᾶς, Ἰάσουβος, Σαμάρωνος. Τρεῖς δὲ Ζαβουλὼν ἦγεν υἱοὺς, Σάραδον, Ἤλωνα, Ἰάληλον. Τοῦτο μὲν τὸ ἐκ Λείας γένος· καὶ αὐτῇ συνανῆει καὶ θυγάτηρ αὐτῆς Δεῖνα. Τρεῖς οὗτοι καὶ τριάκοντα. Ῥαχήλας παῖδες ἦσαν δύο. Τούτων Ἰωσήπῳ μὲν δύο γεγόνασιν υἱοὶ, Μανασσῆς καὶ Ἐφραίμης. Βενιαμὶν δὲ τῷ ἑτέρῳ δέκα, Βολοσὸρ, Βακχάρης, Ἀσάβηλος, Γήραος, Ναιεμάνης, Ἦις, Ῥῶς, Μόμφις, Ὀπταῖς, Ἄραδος. Οὗτοι τεσσαρεσκαίδεκα πρὸς τοῖς πρότερον κατειλεγμένοις εἰς ἑπτὰ καὶ τεσσαράκοντα γίνονται τὸν ἀριθμόν. Καὶ τὸ μὲν γνήσιον Ἰακώβῳ γένος τοῦτο ἦν. Ἐκ Βάλλας δ' αὐτῷ γίνονται τῆς Ῥαχήλας θεραπαινίδος Δάνος καὶ Νεφθαλῆς, ᾧ τέσσαρες εἵποντο παῖδες, Ἰέσηλος, Γοῦνις, Ἰσσάρης τε καὶ Σέλλιμος· Δάνῳ δὲ μονογενὲς ἦν παιδίον Οὖσις. Τούτων προσγινομένων τοῖς προειρημένοις, πεντήκοντα καὶ τεσσάρων πληροῦσιν ἀριθμόν. Γάδης δὲ καὶ Ἄσηρος ἐκ Ζελφᾶς μὲν ἦσαν, τῆς Λείας δὲ αὐτῇ θεραπαινίς. Παῖδας δ' ἐπήγοντο Γάδης μὲν ἑπτὰ, Σαφωνίαν, Αὔγιν, Σοῦνιν, Ἀζαβῶνα, Ἀηρίνην, Ἐρωέδην, Ἀριηλᾶν· Ἀσήρου δὲ ἦν θυγάτηρ Σάρα, καὶ ἄρσενες ἀριθμὸν ἕξ, οἷς ὀνόματα, Ἰώμνης, Ἴσους, Ἰσοῦις, Βάρις, Ἄβαρός τε καὶ Μελχίηλος. Τούτων ἕνδεκα ὄντων καὶ προστιθεμένων τοῖς πεντήκοντα καὶ τέσσαρσιν, ὁ προειρημένος ἀριθμὸς πληροῦται, μὴ συγκαταλεγέντος αὐτοῖς Ἰακώβου.

ε'. Μαθὼν δὲ Ἰώσηπος παραγενόμενον τὸν Πατέρα, (καὶ γὰρ προλαβὼν Ἰούδας ὁ ἀδελφὸς ἐδήλωσεν αὐτῷ τὴν ἄφιξιν,) ὑπαντησάμενος ἔξεισι, καὶ καθ' Ἡρώων πόλιν αὐτῷ συνέβαλεν. Ὁ δὲ ὑπὸ τῆς χαρᾶς ἀπροσδοκήτου τε καὶ μεγάλης γενομένης μικροῦ δεῖν ἐξέλιπεν· ἀλλ' ἀνεζωπύρησεν αὐτὸν Ἰώσηπος, οὐδ' αὐτὸς μὲν κρατῆσαι δυνηθεὶς ὡς μὴ ταὐτὸ παθεῖν ὑφ' ἡδονῆς, οὐ μέντοι τὸν αὐτὸν τρόπον τῷ πατρὶ γενόμενος ἥττων τοῦ πάθους. Ἔπειτα τὸν μὲν ἠρέμα κελεύσας δδεύειν, αὐτὸς δὲ παραλαβὼν πέντε τῶν ἀδελφῶν ἠπείγετο πρὸς τὸν βασιλέα, φράσων αὐτῷ παραγενόμενον μετὰ τοῦ γένους τὸν Ἰάκωβον. Ὁ δὲ τοῦτο χαίρων ἤκουσε, καὶ τὸν Ἰώσηπον ἐκέλευεν αὐτῷ λέγειν τίνι βίῳ τερπόμενοι διατελοῦσι, ὡς αὐτοῖς τοῦτον ἐπιτρέψειε διάγειν. Ὁ δὲ ποιμένας αὐτοὺς ἀγαθοὺς ἔλεγε, καὶ μηδενὶ τῶν ἄλλων ἢ τούτῳ μόνῳ προσανέχειν, τοῦ τε μὴ διαζευγνυμένους, ἀλλ' ἐν ταὐτῷ τυγχάνοντας ἐπιμελεῖσθαι τοῦ πατρὸς προνοούμενος, τοῦ τε τοῖς Αἰγυπτίοις εἶναι προσφιλεῖς, μηδὲν πράττοντας τῶν αὐτῶν ἐκείνοις· Αἰγυπτίοις γὰρ ἀπειρημένον ἦν περὶ νομὰς ἀναστρέφεσθαι.

ς'. Τοῦ δὲ Ἰακώβου παραγενομένου πρὸς τὸν βασιλέα, καὶ ἀσπαζομένου τε καὶ κατευχομένου περὶ τῆς

Charmis. Symeonis vero sex: Jamuelus, Jaminus, Jaodus, Jachinus, Soarus, Saulus. Levi vero tres nati sunt filii: Gersomes, Caathus, Mararius. Judæ vero filii erant tres: Salas, Pharesus, Zaras; duo autem ex Phareso nepotes, Esronus et Amyrus. Isacharæ vero quattuor: Thulas, Phuas, Jasubus, Samaronus. Tres autem Zabulon ducebat filios: Saradum, Elona, Jalelum. Et hoc quidem genus e Lia: et cum ipsa etiam ascendit filia ejus Dina. Isti omnes triginta et tres. Rachelæ filii erant duo. Quorum Josepho quidem duo nati sunt filii, Manasses et Ephraimes; alteri vero Benjamini decem, Bolosor, Bacchares, Asabelus, Geraus, Næemanes, Jes, Ros, Momphis, Optais, Aradus. Isti quattuordecim una cum prius numeratis fiunt numero quadraginta septem. Et legitimum quidem Jacobo genus hoc erat. E Balla vero famula Rachelæ ipsi nascuntur Danus et Nephthales, quem sequebantur quattuor filii, Jeselus, Gunis, Issares et Sellimus: Dano vero unicus erat filius, Usis. His ad jam dictos additis numerum complent *quinquaginta* quattuor. Gades autem et Aserus ex Zelpha erant, ipsa vero Liæ famula. Liberos autem secum ducebant, Gades quidem septem: Saphoniam, Augin, Sunin, Azabonem, Aerinen, Eroeden, Arielam. Asero autem filia erat Sara, et mares numero sex, quorum nomina, Iomnes, Isus, Isuis, Baris, Abarus et Melchielus. Isti, quum sint sedecim, si adjiciantur ad quinquaginta quattuor, prædictus numerus completur, hisce non annumerato Jacobo.

5. Josephus autem, cognito patrem adventare (etenim Judas frater *præcurrens ipsi id significaverat*), obviam iturus egreditur, atque ad Heroum urbem ei occurrebat. Ille vero ex inopinata magna lætitia parum *abfuit quin exanimaretur*: sed Josephus eum excitavit recreavitque: quamvis et ipse quidem præ voluptate vix potuit semet sustinere, non tamen similiter ac pater animo affectus. Deinde jusso quidem eo lente procedere, ipse assumptis quinque fratribus properavit ad regem, nunciaturus ei adesse cum familia sua Jacobum. Ille vero lætus hoc accepit, jussitque Josephum sibi dicere quanam via vivendi potissimum delectarentur, ut illos eum vitæ cursum sequi permitteret. Atque ille optimos pastores eos esse respondit, nihilque aliud egregie præter hoc ipsum curare: ita præcavens, tam ne forte distraherentur, sed una habitantes patris saluti prospicerent, quam ut cum Ægyptiis majorem inirent gratiam, quod non eadem cum illis studia institutaque sequerentur. Nam Ægyptiis prohibitum erat circa pascua versari.

6. Jacobo autem ad regem accedente, ipsumque salutante ac regno ejus bene precante, interrogavit eum Pha-

βασιλείας αὐτῷ, ὁ Φαραώθης ἐπυνθάνετο πόσον ἤδη βεβιωκὼς εἴη χρόνον. Τοῦ δ' ἑκατὸν ἔτη καὶ τριάκοντα γεγονέναι φήσαντος, ἐθαύμασε τοῦ μήκους τῆς ζωῆς τὸν Ἰάκωβον. Εἰπόντος δ' ὡς ἥττονα τῶν προγόνων εἴη βεβιωκὼς ἔτη, συνεχώρησεν αὐτῷ ζῆν μετὰ τῶν τέκνων ἐν Ἡλιουπόλει. Ἐν ἐκείνῃ γὰρ καὶ οἱ ποιμένες αὐτοῦ τὰς νομὰς εἶχον.

ζ'. Ὁ δὲ λιμὸς τοῖς Αἰγυπτίοις ἐπετείνετο, καὶ τὸ δεινὸν ἀπορώτερον ἔτι καὶ μᾶλλον αὐτοῖς ἐγίνετο, μήτε τοῦ ποταμοῦ τὴν γῆν ἐπάρδοντος, οὐ γὰρ ἤνοξε, μήτε ὄντος τοῦ θεοῦ, πρόνοιάν τε μηδεμίαν ἑαυτῶν ὑπ' ἀγνοίας πεποιημένων, καὶ τοῦ Ἰωσήπου τὸν σῖτον ἐπὶ χρήμασιν αὐτοῖς διδόντος. Ὡς δὲ ταῦτ' αὐτοῖς ἐπέλιπε, τῶν βοσκημάτων ἐωνοῦντο τὸν σῖτον καὶ τῶν ἀνδραπόδων. Οἷς δὲ καὶ γῆς τις ἦν μοῖρα, ταύτην παρεχώρουν ἐπὶ τιμῇ τροφῆς. Οὕτω τε τοῦ βασιλέως πάσης αὐτῶν τῆς περιουσίας κυρίου γεγενημένου, μετῳκίσθησαν ἄλλος ἀλλαχόσε, ὅπως βεβαία γένηται τῷ βασιλεῖ τῆς χώρας τούτων ἡ κτῆσις, πλὴν τῶν ἱερέων· τούτοις γὰρ ἔμενεν ἡ χώρα αὐτῶν. Ἐδουλοῦτό τ' αὐτῶν οὐ τὰ σώματα μόνον τὸ δεινόν, ἀλλὰ καὶ τὰς διανοίας, καὶ τὸ λοιπὸν εἰς ἀσχήμονα τῆς τροφῆς εὐπορίαν αὐτοὺς κατηνάγκαζε. Λωφήσαντος δὲ τοῦ κακοῦ, καὶ τοῦ ποταμοῦ τὴν γῆν ἐπιβάντος, καὶ ταύτης τοὺς καρποὺς ἀφθόνως ἐκφερούσης, ὁ Ἰώσηπος εἰς ἑκάστην παραγινόμενος πόλιν, καὶ συλλέγων ἐν αὐταῖς τὸ πλῆθος, τήν γε γῆν αὐτοῖς, ἣν ἐκείνων παραχωρούντων ὁ βασιλεὺς ἔχειν ἐδύνατο καὶ καρποῦσθαι μόνος, εἰς ἅπαν ἐχαρίζετο, καὶ κτῆμα ἴδιον ἡγουμένους φιλεργεῖν παρεκάλει, τὴν πέμπτην τῶν καρπῶν τῷ βασιλεῖ τελοῦντας ὑπὲρ τῆς χώρας, ἣν δίδωσιν αὐτοῖς οὖσαν αὐτοῦ. Τοὺς δὲ παρ' ἐλπίδας κυρίους τῆς γῆς καθισταμένους χαρά τε ἐλάμβανε, καὶ ὑφίσταντο τὰ προστάγματα. Καὶ τούτῳ τῷ τρόπῳ τό τε ἀξίωμα τὸ παρὰ τοῖς Αἰγυπτίοις αὐτῷ μεῖζον Ἰώσηπος ἀπεργάζεται, καὶ πλείω γε τὴν εὔνοιαν τῷ βασιλεῖ παρ' αὐτῶν. Ὅ τε τοῦ τελεῖν τὴν πέμπτην τῶν καρπῶν νόμος ἔμεινε καὶ μέχρι τῶν ὑστέρων βασιλέων.

ΚΕΦ. Η'.

Ἰάκωβος δέ, ἑπτακαιδέκατον ἔτος ἐν Αἰγύπτῳ διατρίψας, καὶ νόσῳ χρησάμενος, παρόντων αὐτῷ τῶν υἱῶν ἀπέθανεν, ἐπευξάμενος τοῖς μὲν κτῆσιν ἀγαθῶν, καὶ προειπὼν αὐτοῖς κατὰ προφητείαν πῶς μέλλει τῶν ἐκ τῆς γενεᾶς αὐτῶν ἕκαστος κατοικεῖν τὴν Χαναναίαν· τοῦτο δὴ καὶ πολλοῖς ὕστερον χρόνοις ἐγένετο· Ἰωσήπου δ' ἐγκώμιον διεξελθών, ὅτι μὴ μνησικακήσειε τοῖς ἀδελφοῖς, ἀλλὰ καὶ τούτου πλέον χρηστὸς εἰς αὐτοὺς ἐγένετο, δωρησάμενος αὐτοὺς ἀγαθοῖς οἷς οὐδὲ εὐεργέτας τινὲς ἠμείψαντο, προσέταξε τοῖς ἰδίοις παισὶν, ἵνα τοὺς Ἰωσήπου παῖδας Ἐφραίμην καὶ Μανασσῆν εἰς τὸν αὐτὸν ἀριθμὸν προσῶνται, διαιρούμενοι μετ' αὐτῶν τὴν Χαναναίαν, περὶ ὧν ὕστερον ἐροῦμεν· ἠξίου μέντοι καὶ ταφῆς ἐν Χεβρῶνι τυγχάνειν. Τελευτᾷ δὲ βιοὺς ἔτη

raothes quantum temporis jam vixisset. Illo vero se centum et triginta annorum esse dicente, Jacobum ob longævitatem admiratus est. Quum vero adjecisset, se majorum suorum vitæ annos non assequutum esse, concessit ei cum liberis suis Heliopolim habitare. Illic enim et regis pastores habebant pascua.

7. At fames Ægyptiis augebatur, malumque illis magis magisque ingravescebat, neque fluvio terram irrigante (non enim exundabat Nilus), neque pluvia cadente, neque populo ex inscientia vel minimam sui curam adhibente, Josephoque illis *non nisi* pecunia numerata frumentum dante. Ut autem nummi deficere cœperunt, pecoribus et mancipiis commeatum emerunt. Porro et quibus agri fuerunt, illis cedebant, ut alimentum sibimet compararent. Quumque hoc pacto omnes eorum possessiones in jus regis devenissent, alius alio migrare jussi sunt, ut regi certius accresceret dominium in fundos istorum omnium, præter sacerdotum; his enim sua conservata est terræ portio. Imo dira hæc necessitas non corpora solum illorum, sed et animos in servitutem redegit, et deinde ad victum modis inhonestis parandum eos compulit. Fame autem cessante, et fluvio terram inundante, fructusque ea uberrime ferente, Josephus ad unamquamque adiit civitatem, ejusque populo convocato, eandem terram, quam illis cedentibus rex sibimet vendicare solusque *ea* frui poterat, in integrum eis restituit; et hortatus est ut illam pro propria habentes colere non gravarentur, quintam fructuum Regi pensitantes pro terra, quam, jure suam, illis concedit. Qui quum insperato sese agrorum dominos factos vidissent, gaudium acceperunt, et ad mandata strenue exsequenda semet accinxerunt. Atque, his rebus gestis, cum Josephi inter Ægyptios auctoritas, tum illorum erga regem benevolentia non mediocriter crevit. Illaque quintas frugum solvendi consuetudo ad seros insequentes quoque reges permansit.

CAP. VIII.

Jacobus autem, quum annum decimum septimum in Ægypto exegisset, et morbo laborasset, in conspectu filiorum e vita excessit, prius quidem illis felicitatis possessionem precatus, et more prophetico vaticinatus, quo modo singulorum posteri terram Chananæam habitaturi essent (id quod longo post tempore factum est), Josephi vero laudibus percensitis, quod *non solum* fraternarum injuriarum oblivisceretur, sed et eo majori illos prosequeretur benignitate, ista illis bona accumulans, quæ nonnulli vix benefactoribus suis rependerent, mandavit filiis suis, ut Josephi liberos Ephraimen et Manassen in suum numerum referrent, cum eis divisuri Chananæam (de quibus postea loquemur), poposcitque simul ut in Chebrone sepeliretur. Mortuus est

τὰ πάντα τριῶν δέοντα πεντήκοντα καὶ ἑκατόν, μηδενὸς μὲν τῶν προγόνων ἀπολειφθεὶς ἐπ' εὐσεβείᾳ τοῦ Θεοῦ, τυχὼν δὲ ἀμοιβῆς ἧς δίκαιον ἦν τυχεῖν τοὺς οὕτως ἀγαθοὺς γεγονότας. Ἰώσηπος δὲ, συγχωρήσαντος αὐτῷ τοῦ βασιλέως, τὸν τοῦ πατρὸς νεκρὸν εἰς Χεβρῶνα κομίσας, ἐκεῖ θάπτει πολυτελῶς. Τῶν δὲ ἀδελφῶν οὐ βουλομένων αὐτῷ συναποστρέφειν, (δέος γὰρ αὐτοὺς εἶχε μὴ τεθνηκότος αὐτοῖς τοῦ πατρὸς τιμωρήσαιτο τῆς εἰς αὐτὸν ἐπιβουλῆς, οὐκ ἔτι ὄντος ᾧ χαρίζοιτο τὴν πρὸς αὐτοὺς μετριότητα,) πείθει μηδὲν ὑφορᾶσθαι, μηδ' ἔχειν αὐτὸν δι' ὑποψίας. Ἀγαγὼν δὲ μεθ' ἑαυτοῦ κτῆσιν πολλὴν ἐχαρίσατο, καὶ πάσῃ περὶ αὐτοὺς σπουδῇ χρώμενος οὐκ ἐνέλιπε.

β'. Τελευτᾷ δὲ οὗτος ἔτη βιώσας ἑκατὸν καὶ δέκα, θαυμάσιος τὴν ἀρετὴν γενόμενος, καὶ λογισμῷ πάντα διοικῶν καὶ τὴν ἐξουσίαν ταμιευόμενος· ὃ δὴ καὶ τῆς τοιαύτης εὐδαιμονίας αἴτιον αὐτῷ παρὰ τοῖς Αἰγυπτίοις, ἀλλαχόθεν ἥκοντι καὶ μετὰ τοιαύτης κακοπραγίας μεθ' ἧς προειρήκαμεν, ὑπῆρχεν. Τελευτῶσι δ' αὐτοῦ καὶ οἱ ἀδελφοὶ, ζήσαντες εὐδαιμόνως ἐπὶ τῆς Αἰγύπτου. Καὶ τούτων μὲν τὰ σώματα κομίσαντες μετὰ χρόνον αὐτῶν οἱ ἀπόγονοι καὶ οἱ παῖδες ἔθαψαν ἐν Χεβρῶνι· τὰ δὲ Ἰωσήπου ὀστᾶ ὕστερον, ὅτε μετανέστησαν ἐκ τῆς Αἰγύπτου οἱ Ἑβραῖοι, εἰς τὴν Χαναναίαν ἐκόμισαν. Οὕτω γὰρ αὐτοὺς ὁ Ἰώσηπος ἐξώρκισε. Τούτων οὖν ἕκαστος ὡς ἔσχε καὶ τίσι πόνοις ἐκράτησαν τῆς Χαναναίας σημανῶ, προδιηγησάμενος τὴν αἰτίαν δι' ἣν τὴν Αἴγυπτον ἐξέλιπον.

ΚΕΦ. Θ'.

Αἰγυπτίοις, τρυφεροῖς καὶ ῥαθύμοις οὖσι πρὸς πόνους, καὶ τῶν τε ἄλλων ἡδονῶν ἥττοσι, καὶ δὴ καὶ τῆς κατὰ φιλοχέρδειαν, συνέβη δεινῶς πρὸς τοὺς Ἑβραίους διατεθῆναι, κατὰ φθόνον τῆς εὐδαιμονίας. Ὁρῶντες γὰρ τὸ τῶν Ἰσραηλιτῶν γένος ἀκμάζον, καὶ δι' ἀρετὴν καὶ τὴν πρὸς τὸ πονεῖν εὐφυΐαν πλήθει χρημάτων ἤδη λαμπρούς, καθ' αὑτῶν αὔξεσθαι τούτους ὑπελάμβανον. Ὧν τε ἦσαν εὖ ὑπὸ Ἰωσήπου πεπονθότες διὰ χρόνου μῆκος λήθην λαβόντες, καὶ τῆς βασιλείας εἰς ἄλλον οἶκον μετεληλυθυίας, δεινῶς ἐνύβριζόν τε τοῖς Ἰσραηλίταις, καὶ ταλαιπωρίας αὐτοῖς ποικίλας ἐπενόουν. Τόν τε γὰρ ποταμὸν εἰς διώρυχας πολλὰς αὐτοῖς προσέταξαν διατεμεῖν, τείχη τε οἰκοδομῆσαι ταῖς πόλεσι καὶ χώματα, ὅπως ἂν εἴργοι τὸν ποταμὸν μὴ λιμνάζειν ἕως ἐκείνων ἐπεκβαίνοντα. Πυραμίδας τε ἀνοικοδομοῦντες ἐξέτρυχον ἡμῶν τὸ γένος, ὡς τέχνας τε παντοίας ἀναδιδάσκεσθαι καὶ τοῖς πόνοις γενέσθαι συνήθεις. Καὶ τετρακοσίων μὲν ἐτῶν χρόνον ἐπὶ ταύταις διήνυσαν ταῖς ταλαιπωρίαις· ἀντεφιλονείκουν γάρ, οἱ μὲν Αἰγύπτιοι τοῖς πόνοις ἐξαπολέσαι τοὺς Ἰσραηλίτας θέλοντες, οἱ δὲ ἀεὶ κρείττους φαίνεσθαι τῶν ἐπιταγμάτων.

β'. Ἐν τούτοις δ' ὄντων αὐτοῖς τῶν πραγμάτων αἰτία τοῦ μᾶλλον σπουδάσαι περὶ τὸν ἀφανισμὸν τοῦ γένους ἡμῶν τοὺς Αἰγυπτίους προσεγένετο τοιαύτη. Τῶν

autem quum vixisset annos quinquaginta minus tribus et centum, nemine quidem majorum suorum pietate erga Deum inferior; id vero præmii pro meritis assequutus, quod tribui par est bonitate adeo præcellentibus. Josephus autem, rege permittente, patris corpus in Chebronem deportatum magnifice illic sepelivit. Ceterum fratribus recusantibus cum eo reverti (nam metuebant ne patre defuncto in se vindicaret, quæ *antea* in ipsum malo animo designaverant, quum non amplius esset cui suam in eos benignitatem donaret,) suadet eis nihil extimescere, neque ipsum suspectum habere. Et quum illos secum reduxisset, magnas possessiones largitus est; nec unquam eos summa benevolentia prosequi destitit.

2. Moritur autem et ipse quum vixisset annos centum et decem, vir admirabili virtute præditus, et ratione omnia moderans et gubernans, suaque potestate bene et sapienter usus. Id quod ipsum ad tantam felicitatem apud Ægyptios provexit, aliunde ad illos venientem, et tantæ calumniæ, de qua jam diximus, ignominia notatum. Moriuntur vero et fratres ejus, quum feliciter in Ægypto vixissent. Et illorum quidem corpora posteri eorum et filii post tempus aliquod deportantes, in Chebrone sepeliverunt: sed tum demum Josephi ossa in Chananæam detulerunt, quum ex Ægypto egressi essent Hebræi. Ad hoc enim ipsos juramento adstrinxerat Josephus. Itaque ut se habuerit horum unusquisque, et quibus illi laboribus exerciti Chananæam obtinuerint, declarabo, ubi de causa narravero, propter quam Ægyptum reliquerunt.

CAP. IX. (V.)

Accidit ut Ægyptii, quum essent delicatuli et ad laborem segnes, et maxime præter ceteras voluptates quæstuum amore tenerentur, male vellent Hebræis, eorum felicitati invidentes. Quum enim Israelitas numero et multitudine crescere, atque ex virtute et ingenio ad labores facto divitiarum copia et abundantia florere animadverterent, illorum potentiam in Ægyptiorum perniciem augeri suspicabantur. Et quum jam Josephi beneficiorum memoriam temporis longinquitas obliterasset, regnumque ad aliam familiam jam devenisset, inhumane tractabant Israelitas, variosque labores iis *atterendis* excogitabant. Nam et fluvium in multos rivos deducere jussi sunt, et muros civitatibus circumdare, et aggeres, ne aqua super ripas effusa in illis stagnaret. Pyramidibus etiam exstruendis homines nostros adhibentes deterebant, cogendo eos varias artes ediscere et laboribus ferendis assuescere. Et quidem per annos quadringentos has perpessi sunt miserias: nam id certatim agebant, Ægyptii quidem, ut Israelitas *nimio* labore perderent; illi vero, ut mandatis semper apparerent superiores.

2. Dum vero in illis occupati essent negotiis, etiam causa, cur genus nostrum magis adhuc exstinctum cuperent Ægyptii, hujusmodi accidit. E sacrorum scribis quidam

ἱερογραμματέων τις (καὶ γάρ εἰσι δεινοὶ περὶ τῶν μελλόντων τὴν ἀλήθειαν εἰπεῖν) ἀγγέλλει τῷ βασιλεῖ, τεχθήσεσθαί τινα κατ' ἐκεῖνον τὸν καιρὸν τοῖς Ἰσραηλίταις, ὃς ταπεινώσει μὲν τὴν τῶν Αἰγυπτίων ἡγεμονίαν, αὐξήσει δὲ τοὺς Ἰσραηλίτας τραφεὶς, ἀρετῇ δὲ πάντας ὑπερβαλεῖ, καὶ δόξαν ἀείμνηστον κτήσεται. Δείσας δὲ ὁ βασιλεὺς κατὰ γνώμην τὴν ἐκείνου κελεύει πᾶν τὸ γεννηθὲν ἄρσεν ὑπὸ τῶν Ἰσραηλιτῶν εἰς τὸν ποταμὸν ῥιπτοῦντας διαφθείρειν, παραφυλάσσειν τε τὰς ὠδῖνας τῶν Ἑβραίων γυναικῶν, καὶ τοὺς τοκετοὺς αὐτῶν παρατηρεῖν τὰς Αἰγυπτίων μαίας· ὑπὸ γὰρ τούτων αὐτὰς ἐκέλευε μαιοῦσθαι, αἳ διὰ συγγένειαν ἔμελλον μὴ παραβήσεσθαι τὴν τοῦ βασιλέως βούλησιν· τοὺς μέντοι καταφρονήσαντας τοῦ προστάγματος καὶ σώζειν λάθρα τολμήσαντας τὸ τεχθὲν αὐτοῖς, τούτους ἀναιρεῖσθαι σὺν τῇ γενεᾷ προσέταξε. Δεινὸν οὖν τοῖς ὑπομένουσι τὸ πάθος, οὐ καθὸ παίδων ἀπεστεροῦντο καὶ γονεῖς ὄντες αὐτοὶ πρὸς τὴν ἀπώλειαν ὑπούργουν τῶν γεννωμένων, ἀλλὰ καὶ ἡ ἐπίνοια τῆς τοῦ γένους αὐτῶν ἐπιλείψεως, φθειρομένων μὲν τῶν τικτομένων, αὐτῶν δὲ διαλυθησομένων, χαλεπὴν αὐτοῖς καὶ δυσπαραμύθητον ἐποίει τὴν συμφοράν. Καὶ οἱ μὲν ἦσαν ἐν τούτῳ τῷ κακῷ. Κρατήσειε δ' ἂν οὐδεὶς τῆς τοῦ Θεοῦ γνώμης, οὐδὲ μυρίας τέχνας ἐπὶ τούτῳ μηχανησάμενος. Ὅ τε γὰρ παῖς, ὃν προεῖπεν ὁ ἱερογραμματεὺς, τρέφεται λαθὼν τὴν τοῦ βασιλέως φυλακὴν, καὶ ἀληθὴς ἐπὶ τοῖς ἐξ αὐτοῦ γενηθησομένοις ὁ προειπὼν ηὑρέθη. Γίνεται δὲ οὕτως.

γ'. Ἀμαράμης τῶν εὖ γεγονότων παρὰ τοῖς Ἑβραίοις, δεδιὼς ὑπὲρ τοῦ παντὸς ἔθνους μὴ σπάνει τῆς ἐπιτραφησομένης νεότητος ἐπιλίπῃ, καὶ χαλεπῶς ἐπ' αὐτῷ φέρων, ἐκύει γὰρ αὐτῷ τὸ γύναιον, ἐν ἀμηχάνοις ἦν. Καὶ πρὸς ἱκετείαν τοῦ Θεοῦ τρέπεται, παρακαλῶν οἶκτον ἤδη τινὰ λαβεῖν αὐτὸν ἀνθρώπων μηδὲν τῆς εἰς αὐτὸν θρησκείας παραβεβηκότων, δοῦναί τε ἀπαλλαγὴν αὐτοῖς ὧν παρ' ἐκεῖνον ἐκακοπάθουν τὸν καιρὸν, καὶ τῆς ἐπ' ἀπωλείᾳ τοῦ γένους αὐτῶν ἐλπίδος. Ὁ δὲ Θεὸς ἐλεήσας αὐτὸν καὶ πρὸς τὴν ἱκεσίαν ἐπικλασθεὶς ἐφίσταται κατὰ τοὺς ὕπνους αὐτῷ, καὶ μήτε ἀπογινώσκειν αὐτὸν περὶ τῶν μελλόντων παρεκάλει, τήν τε εὐσέβειαν αὐτῶν ἔλεγε διὰ μνήμης ἔχειν, καὶ τὴν ὑπὲρ ταύτης ἀμοιβὴν ἀεὶ παρέξειν, ἤδη μὲν καὶ τοῖς προγόνοις αὐτῶν δωρησάμενος τὸ γενέσθαι τοσοῦτον πλῆθος αὐτοὺς ἐξ ὀλίγων· καὶ Ἄβραμον μὲν μόνον ἐκ τῆς Μεσοποταμίας εἰς τὴν Χαναναίαν παραγενόμενον εὐδαιμονῆσαι τά τε ἄλλα καὶ τῆς γυναικὸς αὐτῷ πρὸς γονὴν ἀκάρπως ἐχούσης πρότερον, ἔπειτα κατὰ τὴν αὐτοῦ βούλησιν ἀγαθῆς πρὸς τοῦτο γενομένης, τεκνῶσαι παῖδας, καὶ καταλιπεῖν μὲν Ἰσμαήλῳ καὶ τοῖς ἐξ αὐτοῦ τὴν Ἀράβων χώραν, τοῖς δ' ἐκ Χετούρας τὴν Τρωγλοδύτιν, Ἰσάκῳ δὲ τὴν Χαναναίαν. « Ὅσα τε πολεμῶν κατὰ τὴν ἐμὴν, φησὶ, συμμαχίαν ἠνδραγάθησε [κἂν ἀσεβεῖς εἶναι δόξητε], καὶ ὑμεῖς διὰ μνήμης ἔχετε. Ἰάκωβον δὲ καὶ τοῖς οὐχ ὁμοφύλοις γνώριμον εἶναι συμβέβηκεν

(illi enim periti erant in conjectanda rerum futurarum veritate) nunciat regi nasciturum illo circiter tempore Hebraico sanguine puerum, qui nutritus Ægyptiorum quidem dominatum valde depressurus, Israelitas vero potentiores redditurus esset: virtute etiam fore præcellentissimum, et gloria per omnis ævi memoriam celebrem. Rex autem perterritus ex illius sententia mandavit ut quicquid virilis Israelitarum stirpis deinceps nasceretur, in fluvium projicientes interimerent; atque ut obstetrices Ægyptiæ Hebræarum mulierum parturitiones explorarent, partusque illarum observarent; (nam illas Hebræis obstetricare jussit, quæ verisimiliter, quum ejusdem essent gentis, regis voluntati obsequerentur;) eos autem qui hoc mandatum contemnerent, et clam servare fœtus auderent, cum tota familia perimendos esse ediait. Igitur gravis hæc perpetientibus visa est calamitas, non eo solum quia liberis orbarentur, et parentes ipsi natorum interitus ministri esse cogerentur; sed quia in ea erant cogitatione, fore ut genus suum funditus periret, quando liberi quidem eorum necarentur, ipsisque non multo post moriendum esset, malo premebantur difficili et inconsolabili. Atque illi quidem in hac miseria constituti erant. Sed frustra quis Dei consilio obnitatur, mille licet artes ei obstruendo adhibeat. Nam et puer, de quo sacrorum scriba præmonuerat, elusis regiis insidiatoribus clam educatur; et qui prædixerat in istis, quæ ex illo *nato* eventura erant, verax fuisse comprobatus est. Atque hoc modo res accidit.

3. Amarames, vir nobilis inter Judæos, de gente universa sollicitus, ne interiret defectu juventutis *in spem successionis* nutriendæ, et quod ad se attinebat valde anxius (nam uxor ejus uterum ferebat), in summas est angustias adductus. Et ad implorandum Dei auxilium conversus orabat ut tandem sortem eorum miseraretur, qui cultus ejus observatores usque exstiterant religiosi, ipsosque malis, quibus tunc obruebantur, liberaret, spemque *Ægyptiis* eriperet totius gentis perituræ. Deus autem illius misertus, ejusque flexus precibus, adstitit ei per quietem, atque illum hortatus est, ut de futuris ne desperaret: dixitque se pietatem ipsorum in memoria habere, seque pro ea præmia digna semper repensurum, ut qui jam etiam majoribus illorum dederit ex paucis in tantam crescere multitudinem. Et Abramum quidem, solum e Mesopotamia in Chananæam profectum, et cetera felicem exstitisse, et, quum uxor ejus, antea sterilis, postea, ut ipse voluit, fœcunda evasisset, liberos suscepisse; atque Ismaelo quidem ejus posteris Arabum regionem reliquisse, Cheturæ autem filiis Troglodytidem, Isaco vero Chananæam. « Et quas res, inquit, præterea bello meis auspiciis fortiter gesserit, [nisi animo esse impio et ingrato videamini,] meministis. Contigit etiam ut Jacobus inter exteras gentes inclare-

ἐπί τε μεγέθει τῆς εὐδαιμονίας μεθ' ἧς ἐβίωσε καὶ παισὶ τοῖς αὐτοῦ κατέλιπεν· οὗ μετὰ ἑβδομήκοντα τῶν πάντων εἰς Αἴγυπτον ἀφικομένου, ὑπὲρ ἑξήκοντά που μυριάδες ἤδη γεγόνατε. Νῦν δέ με τοῦ κοινῇ συμφέροντος ὑμῶν ἴστε προνοούμενον καὶ τῆς σῆς εὐκλείας. Ὁ παῖς γὰρ οὗτος, οὗ τὴν γέννησιν Αἰγύπτιοι δεδιότες κατέχριναν ἀπολλύναι τὰ ἐξ Ἰσραηλιτῶν τικτόμενα, σὸς ἔσται. Καὶ λήσεται μὲν τοὺς ἐπ' ὀλέθρῳ παραφυλάσσοντας, τραφεὶς δὲ παραδόξως τὸ μὲν Ἑβραίων γένος τῆς παρ' Αἰγυπτίοις ἀνάγκης ἀπολύσει, μνήμης δ', ἐφ' ὅσον μένει χρόνον τὰ σύμπαντα, τεύξεται παρ' ἀνθρώποις, οὐχ Ἑβραίοις μόνον, ἀλλὰ καὶ παρὰ τοῖς ἀλλοφύλοις, ἐμοῦ τοῦτο χαριζομένου σοί τε καὶ τοῖς ἐκ σοῦ γενησομένοις. Ἔσται δ' αὐτῷ καὶ ὁ ἀδελφὸς τοιοῦτος, ὥστε τὴν ἐμὴν ἕξειν ἱερωσύνην αὐτόν τε καὶ τοὺς ἐκγόνους αὐτοῦ διὰ παντὸς τοῦ χρόνου. »

δ'. Ταῦτα τῆς ὄψεως αὐτῷ δηλωσάσης, περιεγερθεὶς ὁ Ἀμαράμης ἐδήλου τῇ Ἰωαχεβέδῃ· γυνὴ δ' ἦν αὐτοῦ. Καὶ τὸ δέος ἔτι μεῖζον διὰ τὴν τοῦ ὀνείρου πρόρρησιν αὐτοῖς συνίστατο· οὐ γὰρ ὡς περὶ παιδὸς μόνον εὐλαβεῖς ἦσαν, ἀλλὰ καὶ ὡς ἐπὶ μεγέθει τοσαύτης εὐδαιμονίας ἐσομένης. Τοῖς μέντοι προκατηγγελμένοις ὑπὸ τοῦ Θεοῦ πίστιν ὁ τοκετὸς τῆς γυναικὸς παρεῖχε, λαθούσης τοὺς φύλακας, διὰ τὴν τῶν ὠδίνων ἐπιείκειαν καὶ τὸ μὴ βιαίας αὐτῇ προσπεσεῖν τὰς ἀλγηδόνας. Καὶ τρεῖς μὲν μῆνας παρ' αὐτοῖς τρέφουσι λανθάνοντες· ἔπειτα δὲ δείσας Ἀμαράμης μὴ κατάφωρος γένηται καὶ πεσὼν ὑπὸ τὴν τοῦ βασιλέως ὀργὴν αὐτός τε ἀπόληται μετὰ τοῦ παιδίου καὶ τοῦ Θεοῦ τὴν ἐπαγγελίαν ἀφανίσειεν, ἔγνω μᾶλλον ἐπὶ τούτῳ ποιήσασθαι τὴν τοῦ παιδὸς σωτηρίαν καὶ πρόνοιαν ἢ τῷ λήσεσθαι πεπιστευκώς· [τοῦτο δ' ἦν ἄδηλον, ἐναποκινδυνεύειν οὐ τῷ παιδὶ μόνον κρυφαίως τρεφομένῳ, ἀλλὰ καὶ αὐτῷ·] τὸν δὲ Θεὸν ἡγεῖτο πᾶσαν ἐκπορίσειν ἀσφάλειαν, ὑπὲρ τοῦ μηδὲν ψευδὲς γενέσθαι τῶν εἰρημένων. Ταῦτα κρίναντες μηχανῶνται πλέγμα τι βύβλινον ἐμφερὲς τῇ κατασκευῇ κοιτίδι, μέγεθος αὐτῷ ποιήσαντες αὐτάρκες εἰς τὸ μετ' εὐρυχωρίας ἐναποκεῖσθαι τὸ βρέφος. Ἔπειτα χρίσαντες ἀσφάλτῳ (τῷ γὰρ ὕδατι τὴν διὰ τῶν πλεγμάτων ἀποφράττειν εἴσοδον ἡ ἄσφαλτος πέφυκεν) ἐντιθέασι τὸ παιδίον, καὶ κατὰ τοῦ ποταμοῦ βαλόντες εἴασαν ἐπὶ τῷ Θεῷ τὴν σωτηρίαν αὐτοῦ. Καὶ τὸ μὲν ὁ ποταμὸς παρελαβὼν ἔφερε· Μαριάμμη δὲ τοῦ παιδὸς ἀδελφὴ κελευσθεῖσα ὑπὸ τῆς μητρὸς ἀντιπαρεξήει, ὅποι φερόμενον χωρήσει ὀφομένη τὸ πλέγμα. Ἔνθα καὶ διέδειξεν ὁ Θεὸς μηδὲν μὲν τὴν ἀνθρωπείαν ἰσχύουσαν συνέσιν, πᾶν δ' ὅ τι καὶ βουληθείη πράττειν αὐτὸς τέλους ἀγαθοῦ τυγχάνον, καὶ διαμαρτάνοντας μὲν τοὺς ὑπὲρ ἰδίας ἀσφαλείας ἄλλων κατακρίνοντας ὄλεθρον, καὶ πολλῇ περὶ τούτου χρησαμένους σπουδῇ, σωζομένους δ' ἐκ παραδόξου καὶ σχεδὸν ἐκ μέσου τῶν κακῶν εὑρισκομένους τὴν εὐπραγίαν τοὺς κινδυνεύοντας

sceret ob magnam felicitatem in qua et ipse vixit, et quam liberis suis et nepotibus reliquit : quo *sane* cum septuaginta omnino in Ægyptum adveniente, jam ultra sexcentorum millium numerum crevistis. Nunc autem me et saluti vestrûm communi prospexisse scito, et tuæ etiam gloriæ. Puer enim ille, cujus ortus metu sanguinis Israelitici fœtus perdere in animum induxerunt Ægyptii, tibi nascetur. Et illos quidem latebit qui ejus vitæ in exitium insidiantur, atque mirum in modum eductus Hebræorum genus ex Ægyptia servitute liberabit; memoriamque in omne ævum duraturam consequetur apud homines, non solum Hebræos, sed etiam alienigenas, me istud beneficium in te tuosque posteros conferente. Frit autem ipsi etiam frater tantæ præstantiæ, ut meum habiturus sit sacerdotium et ipse et qui ab eo oriundi in perpetuum. »

4. Hisce illi per visionem patefactis, Amarames expergefactus indicat Joachebedæ : ea enim ipsi uxor erat. Atque major adhuc metus illos incessit ex iis quæ prædicta erant in somnio. Jam enim non modo quod puerum mater editura esset, sed etiam magnitudine futuræ felicitatis angebantur. His tamen, quæ prænunciata erant a Deo, fidem fecit mulieris partus, quæ, propter dolorum lenitatem, et quod violenti in eam non inciderunt cruciatus, clam custodes enixa est. Et tres quidem menses *puerum* domi secreto alunt : deinde vero veritus Amarames ne in ea re deprehenderetur, et in iram regis incurrens ipse etiam cum puero interiret et irritam faceret Dei promissionem, statuit Dei potius arbitrio pueri salutem curamque permittere, quam latibulo fidere : [nam hoc incertum erat, quum non solum puero occulte nutrito, sed et ipsi immineret periculum :] Deum vero modis omnibus ejus securitati provisurum esse existimabat, ut dictis ipsius constaret veritas. Hæc quum decrevissent, fiscellam quandam papyraceam conficiunt cunis structura similem, ea magnitudine ut infantulum satis commode exciperet. Deinde in ea bitumine illita et munita (nam aquæ per plicaturas aditui præcludendo accommodatum est bitumen) puerum deponunt, atque ita in flumen projicientes salutem ejus Deo committunt. Et fluvio quidem *secundo* vehebatur : Mariamme vero pueri soror jussu matris e regione *per ripam* ambulabat, ut observaret quo tandem fiscella deportaretur a flumine. Et tunc demonstravit Deus, nihil quidem humanam valere sapientiam, sed quodcunque ipse velit agere, id ad bonum exitum perduci, nec voti compotes fieri qui propter securitatem suam aliis perniciem moliuntur, quantalibet utantur diligentia, illos vero, qui ex Dei consilio in periculum conjici videantur, præter opinionem servari, et ex mediis fere calamitatibus ad

τῇ τοῦ Θεοῦ γνώμῃ. Τοιοῦτον γάρ τι καὶ περὶ τὸν παῖδα τοῦτον γενόμενον ἐμφανίζει τὴν ἰσχὺν τοῦ Θεοῦ.

ε'. Θέρμουθις ἦν θυγάτηρ τοῦ βασιλέως. Αὕτη παίζουσα παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ, καὶ φερόμενον ὑπὸ τοῦ ῥεύματος θεασαμένη τὸ πλέγμα, κολυμβητὰς ἐπιπέμπει, κελεύσασα τὴν κοιτίδα πρὸς ἑαυτὴν ἐκκομίσαι. Παραγενομένων δὲ τῶν ἐπὶ τοῦτο σταλέντων, μετὰ τῆς κοιτίδος ἰδοῦσα τὸ παιδίον, ὑπερηγάπησε μεγέθους ἕνεκά τε καὶ κάλλους. Τοσαύτῃ γὰρ ὁ Θεὸς περὶ Μωϋσῆν ἐχρήσατο σπουδῇ, ὡς ὑπ' αὐτῶν τῶν τὰ ἔσχατα καταψηφισαμένων διὰ τὴν αὐτοῦ γένεσιν καὶ τῶν ἄλλων τῶν ἐκ τοῦ Ἑβραίων γένους ἀπώλειαν, ποιῆσαι τροφῆς καὶ ἐπιμελείας ἀξιωθῆναι. Κελεύει τε γύναιον ἡ Θέρμουθις ἀχθῆναι παρέξον θηλὴν τῷ παιδίῳ. Μὴ προσεμένου δὲ αὐτοῦ τὴν θηλήν, ἀλλ' ἀποστραφέντος, καὶ τοῦτ' ἐπὶ πολλῶν ποιήσαντος γυναικῶν, ἡ Μαριάμμη παρατυγχάνουσα τοῖς γενομένοις, οὐχ ὥστε ἐκ παρασκευῆς δοκεῖν, ἀλλὰ κατὰ θεωρίαν, Μάτην, εἶπεν, ὦ βασίλισσα, ταύτας ἐπὶ τροφῇ τοῦ παιδὸς μετακαλῇ τὰς γυναῖκας, αἳ μηδὲν πρὸς αὐτὸν συγγενὲς ἔχουσιν· εἰ μέντοι τινὰ τῶν Ἑβραίδων γυναικῶν ἀχθῆναι ποιήσειας, τάχα ἂν πρόσοιτο θηλὴν ὁμοφύλου. Δόξασαν δὲ λέγειν εὖ κελεύει τοῦτ' αὐτὴν ἐκπορίσαι καὶ τῶν γαλουχουσῶν τινα μετελθεῖν. Ἡ δὲ, τοιαύτης ἐξουσίας λαβομένη, παρῆν ἄγουσα τὴν μητέρα μηδενὶ γινωσκομένην. Καὶ τὸ παιδίον ἀσμενίσαν πως προφύεται τῇ θηλῇ, καὶ δεηθείσης τῆς βασιλίδος πιστεύεται τὴν τροφὴν τοῦ παιδίου πρὸς τὸ πᾶν.

ς'. Κἄτ' αὐτῷ τὴν ἐπίκλησιν ταύτην κατὰ τὸ συμβεβηκὸς ἔθετο εἰς τὸν ποταμὸν ἐμπεσόντι. Τὸ γὰρ ὕδωρ μῶ οἱ Αἰγύπτιοι καλοῦσιν, ὑσῆς δὲ τοὺς [ἐξ ὕδατος] σωθέντας. Συνθέντες οὖν ἐξ ἀμφοτέρων τὴν προσηγορίαν αὐτῷ ταύτην τίθενται. Καὶ ἦν ὁμολογουμένως κατὰ τὴν τοῦ Θεοῦ πρόρρησιν φρονήματός τε μεγέθει καὶ πόνων καταφρονήσει Ἑβραίων ἄριστος. [Ἀβραμος γὰρ αὐτῷ πατὴρ ἑβδομος. Ἀμαράμου μὲν γὰρ αὐτὸς ἦν παῖς, ὁ δὲ Καάθου, οὗ πατὴρ Λευὶς ὁ Ἰακώβου, ὃς ἦν Ἰσάκῳ γενόμενος. Ἀβράμου δὲ οὗτος ἦν.] Σύνεσις δὲ οὐ κατὰ τὴν ἡλικίαν ἐφύετο αὐτῷ· τοῦ δὲ ταύτης μέτρου πολὺ κρείττων, καὶ πρεσβυτέραν διεδείκνυε ταύτης τὴν περιουσίαν ἐν ταῖς παιδείαις, καὶ μειζόνων τῶν ὑπ' ἀνδρὸς γενησομένων ἐπαγγελίαν εἶχε τὰ τότε πραττόμενα. Καὶ τριετεῖ μὲν αὐτῷ γεγενημένῳ θαυμαστὸν ὁ Θεὸς τὸ τῆς ἡλικίας ἐξῆρεν ἀνάστημα· πρὸς δὲ κάλλος οὐδεὶς ἀφιλότιμος ἦν οὕτως ὡς Μωϋσῆν θεασάμενος μὴ ἐκπλαγῆναι τῆς εὐμορφίας. Πολλοῖς τε συνέβαινε καθ' ὁδὸν φερομένῳ συντυγχάνουσιν ἐπιστρέφεσθαι μὲν ὑπὸ τῆς ὄψεως τοῦ παιδὸς, ἀφιέναι δὲ τὰ σπουδαζόμενα, καὶ τῇ θεωρίᾳ προσεσχολεῖν αὐτοῦ. Καὶ γὰρ ἡ χάρις ἡ παιδικὴ πολλὴ καὶ ἄκρατος περὶ αὐτὸν οὖσα κατεῖχε τοὺς ὁρῶντας.

ζ'. Ὄντα δ' αὐτὸν τοιοῦτον ἡ Θέρμουθις παῖδα ποιεῖται, γονῆς γνησίας οὐ μεμοιραμένη. Καί ποτε κομίσασα

felicitatem emergere. Tale enim quiddam, quod et huic puero accidit, *clare* indicat Dei potentiam.

5. Thermuthis regis erat filia. Hæc dum propter ripam fluminis sese oblectat, et fiscellam a flumine deferri animadverterat, missis qui natarent, jubet lectulum ad se apportari. Accedentibus autem quibus hoc mandatum erat, cum alveolo conspicata puerum, magnopere gavisa est quum ob ejus magnitudinem, tum ob elegantiam. Tanto enim favore Deus Moysen prosequutus est, ut fecerit ab illis ipsis nutriri et educari, qui propter ejus nativitatem et ut ceteros ex Hebræorum stirpe perderent, malorum extrema decreverant. Itaque jubet Thermuthis mulierem adduci quæ puero ubera admoveret. Qui quum non admitteret mammam, sed aversaretur, idemque alia post aliam advocata faceret, Mariamme quæ hisce interfuit, non quasi data opera, sed spectatum veniens, « Nihil agis, inquit, o regina, dum has nutrices infanti adhibes, quæ nulla cum eo cognatione junguntur. Si Hebræam aliquam accersi volueris, tum forte protinus popularis mammam excipiet. Quæ quum recte monere videretur, jussit ipsam *regina* hoc negotium exsequi, et lactantem quampiam adducere. Illa vero, ea sibi data potestate, reversa est secum deferens matrem nemini de facie notam. Tum infans, libenter mamillam accipiens, ei adhærere visus est : atque, rogante etiam regina, mulieri omnino creditur educandus enutriendusque.

6. Deinde ipsi, utpote qui dejectus erat in profluentem, appellationem dedit ex eo quod acciderat. Nam aquam Ægyptii vocant mo, yses vero qui [ex aqua] servati sunt. Ex ambobus igitur nomen componentes hoc ei indiderunt. Ac sine dubio, prout Deus prædixerat, et magnitudine animi et laborum despicientia Hebræos omnes antecellebat. [Nam erat ab Abramo patre septimus. Etenim is Amaramæ filius erat; ille vero Caathi; cujus pater Levis erat Jacobi filius, qui natus erat Isaco. Hic vero filius erat Abrami.] Puero autem non pro ætate accrevit ratio et intelligentia, sed ejus modum longe excedens, sapientiam et eruditionem qualis provectiori ætati conveniret ostendit, et quæ tum gerebat majorum, quum ad virilem ætatem pervenisset, gerendorum spem fecerunt. Ac tres quidem annos nato admirandam dedit Deus staturæ proceritatem : venustate autem tanta fuit, ut nemo ab omni elegantia adeo alienus esset, quin Moyse conspecto ejus formæ præstantia percelleretur. Multisque accidebat ei dum circumferretur obviam factis ut sese ad conspectum pueri converterent, et relictis seriis negotiis ei curiose contemplando vacarent. Nam et puerilis gratia, quæ in eo erat multa et cum simplicitate conjuncta, spectantes retinebat.

7. Hunc tanta forma et indole Thermuthis sibi filium adoptat, quod sobole legitima carebat. Et quum aliquando

τὸν Μωϋσῆν πρὸς τὸν πατέρα, ἐπεδείκνυε τοῦτον, καὶ ὡς φροντίσειε διαδοχῆς, εἰ καὶ βουλήσει Θεοῦ μὴ τύχοι παιδὸς γνησίου· πρὸς αὐτόν τε ἔλεγεν, « ἀναθρε-« ψαμένη παῖδα μορφῇ τε θεῖον καὶ φρονήματι γενναῖον, « θαυμασίως δὲ αὐτὸν καὶ παρὰ τῆς τοῦ ποταμοῦ λα-« βοῦσα χάριτος, ἐμαυτῆς μὲν ἡγησάμην παῖδα ποιή-« σασθαι, τῆς δὲ σῆς βασιλείας διάδοχον. » Ταῦτα λέ-γουσα ταῖς τοῦ πατρὸς χερσὶν ἐντίθησι τὸ βρέφος. Ὁ δὲ λαβὼν καὶ προστερνισάμενος κατὰ φιλοφρόνησιν χάριν τῆς θυγατρὸς ἐπιτίθησιν αὐτῷ τὸ διάδημα. Καταφέρει δ' ὁ Μωϋσῆς εἰς τὴν γῆν, περιελόμενος αὐτὸ κατὰ νηπιότητα δῆθεν, ἐπέβαινέ τε αὐτὸ τοῖς ποσί. Καὶ τοῦτο ἔδοξεν οἰωνὸν ἐπὶ τῇ βασιλείᾳ φέρειν. Θεασά-μενος δὲ ὁ ἱερογραμματεὺς ὁ καὶ τὴν γένεσιν αὐτοῦ προειπὼν ἐπὶ τῇ ταπεινώσει τῆς Αἰγυπτίων ἀρχῆς ἐσο-μένην, ὥρμησεν ἀποκτεῖναι, καὶ δεινὸν ἀνακραγὼν, « οὗτος, εἶπε, βασιλεῦ, παῖς ἐκεῖνος, ὃν κτείνασιν « ἡμῖν ἐδήλωσεν ὁ θεὸς ἀφόβοις εἶναι. Καὶ μαρτυρεῖ « τῇ προαγορεύσει διὰ τοῦ γεγονότος, ἐπιβεβηκὼς ἥγε-« μονίᾳ τῇ σῇ καὶ πατῶν τὸ διάδημα. Τοῦτον οὖν « ἀνελὼν Αἰγυπτίοις μὲν τὸ ἀπ' αὐτοῦ δέος ἄνες, « Ἑβραίοις δὲ τὴν ἐλπίδα τοῦ δι' αὐτοῦ θάρσους ἀφελοῦ. » Φθάνει δ' αὐτὸν ἡ Θέρμουθις ἐξαρπάσασα, καὶ πρὸς τὸν φόνον ὀκνηρὸς ἦν ὁ βασιλεὺς, τοιοῦτον αὐτὸν τοῦ Θεοῦ παρασκευάσαντος, ᾧ πρόνοια τῆς Μωϋσέως σωτη-ρίας ἦν. Ἐτρέφετο οὖν πολλῆς ἐπιμελείας τυγχά-νων. Καὶ τοῖς μὲν Ἑβραίοις ἐπ' αὐτῷ παρῆν εὐέλπι-σιν εἶναι περὶ τῶν ὅλων, δι' ὑποψίας δ' εἶχον Αἰγύ-πτιοι τὴν ἀνατροφὴν αὐτοῦ· μηδενὸς δὲ ὄντος φανεροῦ (διὸ κἂν ἀπέκτεινεν αὐτὸν ἡ ὁ βασιλεὺς ὄντα καὶ συγγενῆ διὰ τῆς εἰσποιήσεως, ἢ τῶν ἄλλων τις, ᾧ πλέον ὑπὲρ ὠφελείας τῆς Αἰγυπτίων ἐκ τοῦ προειδέναι τὰ μέλλοντα θαρρεῖν παρῆν), ἀπείχοντο τῆς ἀναιρέσεως αὐτοῦ.

ΚΕΦ. Ι'.

Μωϋσῆς μὲν οὖν, τῷ προειρημένῳ τρόπῳ γεννηθείς τε καὶ τραφεὶς καὶ παρελθὼν εἰς ἡλικίαν, φανερὰν τοῖς Αἰγυπτίοις τὴν ἀρετὴν ἐποίησε, καὶ τὸ ἐπὶ ταπεινώσει μὲν τῇ ἐκείνων, ἐπ' αὐξήσει δὲ τῶν Ἑβραίων γεγονέ-ναι, τοιαύτης ἀφορμῆς λαβόμενος. Αἰθίοπες (πρόσ-οικοι δ' εἰσὶ τοῖς Αἰγυπτίοις) ἐμβαλόντες εἰς τὴν χώραν αὐτῶν ἔφερον καὶ ἦγον τὰ τῶν Αἰγυπτίων. Οἱ δ' ὑπ' ὀργῆς στρατεύουσιν ἐπ' αὐτοὺς, ἀμυνόμενοι τῆς κατα-φρονήσεως, καὶ τῇ μάχῃ κρατηθέντες οἱ μὲν αὐτῶν ἔπεσον, οἱ δ' αἰσχρῶς εἰς τὴν οἰκείαν διεσώθησαν φυ-γόντες. Ἐπηκολούθησαν δὲ διώκοντες Αἰθίοπες· καὶ μαλακίας ὑπολαβόντες τὸ μὴ κρατεῖν πάσης τῆς Αἰγύ-πτου, τῆς χώρας ἐπὶ πλεῖον ἥπτοντο, καὶ γευσάμε-νοι τῶν ἀγαθῶν οὐκέτ' αὐτῶν ἀπείχοντο. Ὡς δὲ τὰ γειτνιῶντα μέρη πρῶτον αὐτῆς ἐπερχομένων οὐκ ἐτόλ-μων ἀντιστρατεύειν, προῦβησαν ἄχρι Μέμφεως καὶ τῆς θαλάσσης, οὐδεμιᾶς τῶν πόλεων ἀντισχεῖν δυνηθεί-σης. Τῷ δὲ κακῷ πιεζόμενοι πρὸς χρησμοὺς Αἰγύ-πτιοι καὶ μαντείας τρέπονται. Συμβουλεύσαντος δ'

Moysen ad patrem adduceret, hunc illi ostendit, quo de successore cogitaret, si ita voluerit Deus ut ipsi filius non nasceretur: atque ad eum *sic* loquebatur: « nutrivi puerum « forma divinum et animo generosum; et quum mirabiliter « ipsum ex fluvii benignitate acceperim, mecum quidem « statui ut filius meus esset, tui vero imperii successor ». Hæc dicens infantem deposuit in manibus patris. At ille, puerum accipiens et pectori apprimens, filiæ gratificaturus comiter diadema ei imposuit. Moyses autem in terram dejicit, pueriliter scilicet illud detrahens, suisque pedibus conculcavit. Idque visum est regno mali aliquid portendere. Quum vero hanc rem conspexisset sacrorum scriba, qui ex ejus nativitate Ægyptiorum imperium depressum iri prædixerat, ad eum necandum accurrit, et terribiliter exclamans, « Hic est, « inquit, ille puer, o rex, quem si « occiderimus, nos securos fore declaravit deus. Et vati-« cinio dat testimonium facto, insultando tuo regno et dia-« dema calcando. Hunc igitur perimens, Ægyptios quidem « illius metu libera, Hebræis vero spem et fiduciam, quam « in eo posuerunt, adime ». Ipsum autem prævenit Ther-muthis, quæ *puerum* abripuit: et ad eum tollendum segnior factus est rex, quod Deus, cui curæ erat Moysis salus, talem ei animum indiderit. Educabatur itaque quam ac-curatissime. Et Hebræis quidem contigit ut ex eo magnam de summa rerum spem conciperent, Ægyptiis vero ut suspecta esset ejus institutio. At quum nihil manifestum esset (propter quod occidisset eum aut rex quamvis cognatum ex adoptione, aut alius quispiam, cui ad Ægyptiorum utilitatem promovendam ex futurorum præscientia magis fidere daretur), ab ejus cæde abstinuerunt.

CAP. X.

Et quidem Moyses, eo quo diximus modo natus et educatus, quum adulta esset ætate, Ægyptiis quantum virtute valeret, seque natum esse ut res quidem illorum deprimeret, Hebræorum vero afflictas erigeret, ex hujusmodi occasione ostendit. Æthiopes, qui Ægyptiis finitimi sunt, in regionem eorum irrumpentes, Ægyptiorum res agebant ferebantque. Illi ira percliti ducunt in eos exercitum, contumeliam ulturi, prælioque superati, alii quidem in acie ceciderunt, alii vero turpi fuga ad suos se receperunt. Æthiopes fugientibus instabant: et ignaviæ sibi versum iri reputantes, nisi totam Ægyptum victores peragrarent, late eam populabantur: prædæque dulcedine degustata, sibi non temperarunt quin in dies novos impetus facerent. Quumque vicinas regiones primum pervagantibus nemo cum armis obviam iret, progressi sunt usque ad Memphin et mare, quod nulla civitas eorum vim sustinere potuerit. Hac calamitate pressi Ægyptii ad oracula et divinationes confugiunt. Illis vero cum hoc consilium dedisset deus ut in

αὐτοῖς τοῦ Θεοῦ συμμάχῳ χρήσασθαι τῷ Ἑβραίῳ, κελεύει ὁ βασιλεὺς τὴν θυγατέρα παρασχεῖν τὸν Μωϋσῆν στρατηγὸν αὐτῷ γενησόμενον. Ἡ δὲ ὅρκους ποιησαμένῳ, ὥστε μηδὲν διαθεῖναι κακὸν, παραδίδωσιν, ἀντὶ μεγάλης μὲν εὐεργεσίας κρίνουσα τὴν συμμαχίαν, κακίζουσα δὲ τοὺς ἱερέας, οἳ κτεῖναι προαγορεύσαντες αὐτὸν ὡς πολέμιον, οὐκ ἠδοῦντο νῦν χρήζοντες αὐτοῦ τῆς ἐπικουρίας.

β'. Μωϋσῆς δὲ ὑπό τε τῆς Θερμούθιδος παρακληθεὶς καὶ ὑπὸ τοῦ βασιλέως ἡδέως προσδέχεται τὸ ἔργον. Ἔχαιρον δ' οἱ ἱερογραμματεῖς ἀμφοτέρων τῶν ἐθνῶν, Αἰγυπτίων μὲν, ὡς τούς τε πολεμίους τῇ ἐκείνου κρατήσοντες ἀρετῇ καὶ τὸν Μωϋσῆν τῷ αὐτῷ δόλῳ κατεργασόμενοι, οἱ δὲ τῶν Ἑβραίων, ὡς φυγεῖν αὐτοῖς ἐσομένου τοὺς Αἰγυπτίους, διὰ τὸ Μωϋσῆν αὐτῶν στρατηγεῖν. Ὁ δὲ, φθάσας πρὶν ἢ πυθέσθαι τοὺς πολεμίους τὴν ἔφοδον αὐτοῦ, τὸν στρατὸν ἀναλαβὼν ἦγεν, οὐ διὰ τοῦ ποταμοῦ ποιησάμενος τὴν ἐλασίαν, ἀλλὰ διὰ γῆς. Ἔνθα τῆς αὐτοῦ συνέσεως θαυμαστὴν ἐπίδειξιν ἐποιήσατο. Τῆς γὰρ γῆς χαλεπῆς οὔσης ὁδευθῆναι διὰ πλῆθος ἑρπετῶν, (παμφορωτάτη γάρ ἐστι τούτων, ὡς καὶ τὰ παρ' ἄλλοις οὐκ ὄντα μόνη τρέφειν, δυνάμει τε καὶ κακίᾳ καὶ τῷ τῆς ὄψεως ἀσυνήθει διαφέροντα, τινὰ δ' αὐτῶν ἐστι καὶ πετεινὰ, ὡς λαθόντα μὲν ἀπὸ γῆς κακουργεῖν, καὶ μὴ προϊδομένους ἀδικεῖν ὑπερπετῆ γινόμενα,) νοεῖ πρὸς ἀσφάλειαν καὶ ἀβλαβῆ πορείαν τοῦ στρατεύματος στρατήγημα θαυμαστόν. Πλέγματα γὰρ ἐμφερῆ κιβωτοῖς ἐκ βύβλου κατασκευάσας καὶ πληρώσας ἴβεων ἐκόμιζε· πολεμιώτατον δ' ἐστὶ τοῖς ὄφεσι τοῦτο τὸ ζῷον· φεύγουσί τε γὰρ ἐπερχομένας καὶ ἀφιστάμενοι καθάπερ ὑπ' ἐλάφων ἁρπαζόμενοι καταπίνονται. Χειροήθεις δ' εἰσὶν αἱ ἴβεις καὶ πρὸς μόνον τὸ τῶν ὄφεων γένος ἄγριοι. Καὶ περὶ μὲν τούτων παρίημι νῦν γράφειν, οὐκ ἀγνοούντων τῶν Ἑλλήνων τῆς ἴβεως τὸ εἶδος. Ὡς οὖν εἰς τὴν γῆν ἐνέβαλε τὴν θηροτρόφον, ταύταις ἀπεμάχετο τὴν τῶν ἑρπετῶν φύσιν ἐπαφεὶς αὐτοῖς καὶ προπολεμούσαις χρώμενος. Τοῦτον οὖν ὁδεύσας τὸν τρόπον οὐδὲ προμαθοῦσι παρῆν τοῖς Αἰθίοψι, καὶ συμβαλὼν αὐτοῖς κρατεῖ τῇ μάχῃ, καὶ τῶν ἐλπίδων, ἃς εἶχον ἐπὶ τοὺς Αἰγυπτίους, ἀφαιρεῖται, τάς τε πόλεις αὐτῶν ἐπῆλθε καταστρεφόμενος καὶ φόνος πολὺς τῶν Αἰθιόπων ἐπράττετο. Καὶ τῆς διὰ Μωϋσῆν εὐπραγίας γευσάμενον τὸ τῶν Αἰγυπτίων στράτευμα πονεῖν οὐκ ἔκαμνεν, ὡς περὶ ἀνδραποδισμοῦ καὶ παντελοῦς ἀναστάσεως τὸν κίνδυνον εἶναι τοῖς Αἰθίοψι. Καὶ τέλος συνελαθέντες εἰς Σαβὰ πόλιν βασίλειον οὖσαν τῆς Αἰθιοπίας, ἣν ὕστερον Καμβύσης Μερόην μετωνόμασεν, ἀδελφῆς ἰδίας τοῦτο καλουμένης, ἐπολιορκοῦντο. Ἦν δὲ δυσπολιόρκητον σφόδρα τὸ χωρίον, τοῦ τε Νείλου περιέχοντος αὐτὴν καὶ κυκλουμένου, ποταμῶν τε ἄλλων Ἀστάπου καὶ Ἀσταβόρα δυσμάχητον τοῖς πειρωμένοις διαβαίνειν τὸ ῥεῦμα ποιούντων. Ἡ γὰρ πόλις ἐντὸς οὖσα νῆσος οἰκεῖται, τείχους τε αὐτῇ καρτεροῦ περιηγμένου, καὶ πρὸς μὲν τοὺς

auxilium advocarent Hebræum, filiæ imperat rex ut sibi Moysem concederet, qui copiis suis præficeretur. Illa ipsum *regi* in manus tradidit, jurejurando prius obstricto, ne quid mali in perniciem ejus strueret, magni beneficii gratiam sibi pro hoc auxilio deberi existimans, et sacerdotibus exprobrans, quod eos non puderet nunc ejus opem desiderare, qui prius ut hostem occidendum esse monuerant.

2. Moyses autem, a Thermuthi pariter ac rege exoratus, libenter hanc expeditionem suscipit. Sacrorum vero scribæ gentis utriusque gaudebant, Ægyptiorum quidem, quod hostibus ejus virtute devictis foret ut Moysen dolo tollerent, Hebræorum vero quod sibi daretur Ægyptiorum servitutem effugere, Moyse duce et imperatore. Ille vero, ut hostes occuparet priusquam de adventu suo cognoscerent, copias eduxit, non per fluminis ripam iter faciens, sed per interiora terræ. Qua ex re mirum in modum ostendit quantum sapientia polleret. Quum enim hæc via difficilis admodum esset propter serpentum multitudinem, (nam hic tractus plurimos gignit, aliquot etiam alit qui nusquam alibi reperiuntur, et noxiis viribus et insolito aspectu plurimum differentes, et in his quosdam volucres, qui non solum humi latentes noceant, sed et sublimes eximproviso malum inferant,) commentus est, ut securum et innoxium iter exercitui præstaret, strategema plane mirandum. Fiscellas enim e papyro in cistarum formam conficiendas curavit, et ibibus complens secum deportavit. Est autem hoc animal serpentibus infestissimum : nam et eos insectantes fugitant, et inter fugiendum sicut a cervis retracti deglutiuntur. Ibes vero cicures sunt et mansuetæ, inque serpentum genus solum immaniter sæviunt. Et de his quidem nunc mitto scribere, quum non ignorent Græci qualis sit ibis. Postquam igitur ventum est in terram istis bestiolis refertam, ibes illis immisit, quibus propugnatoribus usus serpentium vim debellavit. Hoc igitur modo itinere confecto, Æthiopibus inopinantibus supervenit, et cum iis congressus victoriam reportavit, spemque Ægypti occupandæ illis abstulit : urbes etiam eorum adortus evertit, et ubique magna cædes Æthiopum patrabatur. Porro Ægyptiorum exercitus, post res Moysis auspiciis feliciter gestas, nullo labore fatigabatur : adeo ut Æthiopibus captivitatis atque excidii periculum immineret. Denique in urbem Saba regiam Æthiopiæ compulsi, quam postea Cambyses, a sorore sua nomine imposito, Meroen appellavit, obsidione premebantur. Erat autem locus ille pæne inexpugnabilis, Nilo urbi circumfuso et circumdato, aliisque fluviis, Astapo et Astabora, transitum difficiliorem facientibus. Urbs enim ad interiora sita *et* insula habitatur, quod murus validus illi circumductus est, et hostibus quidem objectos fluvios habet, atque ag-

πολεμίους πρόβλημα τοὺς ποταμοὺς ἔχουσα, χώματά τε μεγάλα μεταξὺ τοῦ τείχους, ὥστε ἀνεπίτλυστον εἶναι βιαιότερον ὑπὸ πλημμύρας φερομένων· ἅπερ καὶ τοῖς περαιωσαμένοις τοὺς ποταμοὺς ἄπορον ἐποίει τῆς πόλεως τὴν ἅλωσιν. Φέροντι τοίνυν ἀηδῶς τῷ Μωϋσῇ τὴν τοῦ στρατεύματος ἀργίαν, (εἰς χεῖρας γὰρ οὐκ ἐτόλμων ἀπαντᾶν οἱ πολέμιοι,) συνέτυχέ τι τοιοῦτον· Θάρβις θυγάτηρ ἦν τοῦ Αἰθιόπων βασιλέως· αὕτη τὸν Μωϋσῆν πλησίον τοῖς τείχεσι προσάγοντα τὴν στρατιὰν καὶ μαχόμενον γενναίως ἀποσκοποῦσα, καὶ τῆς ἐπινοίας τῶν ἐγχειρήσεων θαυμάζουσα, καὶ τοῖς τε Αἰγυπτίοις αἴτιον, ἀπεγνωκόσιν ἤδη τὴν ἐλευθερίαν, τῆς εὐπραγίας ὑπολαμβάνουσα καὶ τοῖς Αἰθίοψιν, αὐχοῦσιν ἐπὶ τοῖς κατ' αὐτῶν κατωρθωμένοις, τοῦ περὶ τῶν ὅλων κινδύνου, εἰς ἔρωτα δεινὸν ὤλισθεν αὐτοῦ. Καὶ περιόντος τοῦ πάθους πέμπει πρὸς αὐτὸν τῶν οἰκετῶν τοὺς πιστοτάτους διαλεγομένη περὶ γάμου. Προσδεξαμένου δὲ τὸν λόγον ἐπὶ τῷ παραδοῦναι τὴν πόλιν, καὶ ποιησαμένου πίστεις ἐνόρκους ἢ μὴν ἄξεσθαι γυναῖκα, καὶ κρατήσαντα τῆς πόλεως μὴ παραβήσεσθαι τὰς συνθήκας, φθάνει τὸ ἔργον τοὺς λόγους. Καὶ κατὰ τὴν ἀναίρεσιν τῶν Αἰθιόπων εὐχαριστήσας τῷ Θεῷ συνετέλει τὸν γάμον ὁ Μωϋσῆς, καὶ τοὺς Αἰγυπτίους ἀπήγαγεν εἰς τὴν ἑαυτῶν γῆν.

ΚΕΦ. ΙΑ'.

Οἱ δὲ ἐξ ὧν ἐσώζοντο ὑπὸ Μωϋσέως μῖσος ἐκ τούτων πρὸς αὐτὸν ἀνελάμβανον καὶ θερμότερον ἅπτεσθαι τῶν κατ' αὐτοῦ βουλευμάτων ἠξίουν, ὑπονοοῦντες μὲν μὴ διὰ τὴν εὐπραγίαν νεωτερίσειε κατὰ τὴν Αἴγυπτον, διδάσκοντες δὲ τὸν βασιλέα περὶ τῆς σφαγῆς. Ὁ δὲ καὶ καθ' αὑτὸν μὲν εἶχε τὴν τοῦ πράγματος ἐπίνοιαν, ὑπό τε φθόνου τῆς Μωϋσέως στρατηγίας καὶ ὑπὸ δέους ταπεινώσεως· ἐπειχθεὶς δ' ὑπὸ τῶν ἱερογραμματέων οἷός τε ἦν ἐγχειρεῖν τῇ Μωϋσέως ἀναιρέσει. Φθάσας δὲ τὴν ἐπιβουλὴν καταμαθεῖν λαθὼν ὑπέζεισι, καὶ τῶν ὁδῶν φυλαττομένων ποιεῖται διὰ τῆς ἐρήμου τὸν δρασμὸν καὶ ὅθεν ἦν ὑπόνοιαν μὴ λαβεῖν τοὺς ἐχθροὺς, ἄπορός τε ὢν τροφῆς ἀπηλλάττετο τῇ καρτερίᾳ καταφρονῶν. Εἴς τε πόλιν Μαδιηνὴν ἀφικόμενος πρὸς τῇ μὲν Ἐρυθρᾷ θαλάσσῃ κειμένην, ἐπώνυμον δὲ ἑνὸς τῶν Ἀβράμῳ γενομένων ἐκ Χετούρας υἱῶν, καθεσθεὶς ἐπί τινος φρέατος, ἐκ τοῦ κόπου καὶ τῆς ταλαιπωρίας ἠρέμει, μεσημβρίας οὔσης, οὐ πόρρω τῆς πόλεως. Ἔνθ' αὐτῷ συνέβη καὶ πρᾶξις ἐκ διαίτης τῶν αὐτόθι, συστήσασα τὴν ἀρετὴν αὐτοῦ καὶ πρὸς τὸ κρεῖττον ἀφορμὴν παρασχοῦσα.

β'. Τῶν γὰρ χωρίων δυσύδρων ὄντων προκατελάμβανον οἱ ποιμένες τὰ φρέατα, ὅπως μὴ προεξαναλωμένου τοῦ ὕδατος ὑπὸ τῶν ἄλλων, σπανίζοι ποτοῦ τὰ θρέμματα. Παραγίνονται οὖν ἐπὶ τὸ φρέαρ ἑπτὰ παρθένοι ἀδελφαὶ, Ῥαγουήλου θυγατέρες, ἱερέως καὶ πολλῆς ἀξιουμένου τιμῆς παρὰ τοῖς ἐπιχωρίοις, αἳ τῶν τοῦ πατρὸς ποιμνίων ἐπιμελούμεναι, διὰ τὸ ταύτην ὑπουργεῖν ἀνάγκην καὶ ταῖς γυναιξὶν ἐπιβάλλειν, ἐπὶ τὸ φρέαρ ἦλθον ἄγουσαι τὰ ποτίσματα. Ἐπειδὴ δὲ τὰς ὑδρίας ἐπλήρωσαν, ἐπὶ τὰς ποίμνας ἐπανῆλθον· καὶ τοῦτο ἐπὶ πολὺν χρόνον ἐποίουν, ἕως ἐπῆλθον οἱ ποιμένες καὶ τὰς παρθένους ἀπήλασαν, ἐπὶ τὸ φρέαρ ἐλθεῖν κελεύσαντες τὰ θρέμματα. Ὁ δὲ Μωϋσῆς ἐπιβοηθήσας ἀπήλασε τοὺς ποιμένας, καὶ τὰ ποίμνια τῶν παρθένων ἐπὶ τὸ φρέαρ ἤγαγε. Καὶ ἐκεῖναι μὲν ἐπὶ τὸν πατέρα ἐπανῆλθον, ἐκεῖνος δὲ ἐπὶ τὸν ξένον ἔπεμψε τὴν πρεσβυτάτην τῶν θυγατέρων, ἵνα μισθὸν ἀποδῷ τῆς ἐπικουρίας. Ἡ δὲ ἐλθοῦσα καὶ τὸν Μωϋσῆν καλέσασα ἐπὶ τὸν πατέρα ἦγεν. Ὁ δὲ ἐλθὼν καὶ τὰ κατ' αὐτὸν ἐξηγησάμενος, καὶ τὴν ἐπικουρίαν ἐπαινέσας, ἐκέλευσε τὴν μισθοφορὰν ἀποδοῦναι. Ὁ δὲ Μωϋσῆς οὐκ ἔφη δεῖν μισθοῦ τὴν εὐεργεσίαν ἀποδόσθαι, καὶ μάλιστα ἱκέτην ἀφικόμενος καὶ ξένον ἐπὶ τοὺς οἰκείους· ἀλλὰ καὶ τὸν Ῥαγουήλου παρακαλέσαντος μένειν καὶ συνοικεῖν τῇ θυγατρὶ, ἐπείσθη. Καὶ τὸν μὲν χρόνον ἐκεῖνον ἐν τοῖς περὶ τὸν γάμον ἦν καὶ τὸν πενθερὸν ἐθεράπευεν· ὕστερον δὲ τὸν ἐπιτήδειον ἐκτήσατο βίον, ἐπιμελούμενος τῶν ποιμνίων τοῦ πενθεροῦ.

γ'. Ἐν τούτῳ δὲ τῷ χρόνῳ τελευτᾷ μὲν ὁ βασιλεὺς τῶν Αἰγυπτίων, ἐπὶ πολὺ δὲ τοῖς Ἑβραίοις ἐπιτείνει τὰ κακὰ καὶ τὴν δουλείαν ἐπαχύνει. Καὶ τὸν μὲν Μωϋσῆν ἐπὶ τὴν ἐρημίαν ἐξέπεμψεν ὁ θεὸς, ἵνα τὰ πρόβατα νέμων τὴν ἐπὶ τοὺς ὁμοφύλους ἐπιμέλειαν ἀσκήσῃ, καὶ τὸν ἐπὶ τὴν ἡγεμονίαν τοῦ λαοῦ τρόπον μάθῃ· ἐπειδὴ γὰρ ἐν ἐρημίᾳ τὴν ἀνατροφὴν ἐποιήσατο, καὶ τὰ πρόβατα νέμων τὸν βίον ἐκτήσατο, ἐκ τούτων ἐμάνθανε τὸν τῶν ἀνθρώπων ἄρχειν τρόπον. Ἐν τούτῳ δὲ τῷ χρόνῳ καὶ τὸ βάτον ἐν τῷ Χωρὴβ ὄρει ἐφάνη αὐτῷ πῦρ ἀναδιδόμενον, καὶ τὸν θεὸν ἐν αὐτῷ ὁρᾷ, καὶ τὰ μέλλοντα ἐκ τούτου προγινώσκει. Καὶ ἐπὶ τὴν Αἴγυπτον ἀπελθὼν τὸν ἀδελφὸν Ἀαρὼν ἐπὶ τὴν ἀρχιερωσύνην ἐκάλεσε, καὶ τὰ σημεῖα ἐπιδείκνυται τὰ ἐν τῇ ῥάβδῳ καὶ τῇ χειρὶ, καὶ τὸν λαὸν ἐκ τῆς δουλείας ἐξάγει, καὶ τὴν θάλασσαν διαβαίνει, καὶ τὸν Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ καταποντίζει, καὶ τὰ ἄλλα ἃ περὶ τῆς ἐξόδου τοῦ λαοῦ γέγραπται, ἐν τοῖς ἑξῆς ἀναγράψομεν.

geres magnos post murum ad inundationes arcendas, quum fluvii intumescentes majori cum impetu deferuntur; quæ iis etiam, qui flumina trajecerunt, urbem expugnatu difficilem reddebant. Quum ergo ægre ferret Moyses exercitum otiosum desidere, (nam manus conserere non ausi sunt hostes,) tale quiddam accidit: Tharbis filia erat regis Æthiopum: hæc Moysen exercitum mœnibus admoventem, et egregie dimicantem conspicata, atque ob ea quæ excogitaverat et aggressus erat mirata, ipsumque et Ægyptiis, libertatem desperantibus, felicitatis auctorem exstitisse existimans, et Æthiopes, gloriantes de rebus præclare contra eos gestis, in extremum periculum adduxisse, vehementi ejus amore capta est. Atque crescente affectu, servos sibi fidissimos ad ipsum mittit, conjugium suum offerens. Illo vero assentiente, ea conditione ut sibi traderetur urbs, fideque jurejurando firmata, se ducturum eam uxorem, atque urbe dedita pactis mansurum esse: dictum factum. Et postquam ob exstinctos Æthiopes gratias Deo egerat, nuptias celebravit Moyses, atque Ægyptiorum exercitum domum reduxit.

CAP. XI.

Illi vero, quod salutem a Moyse acceperint, odium illi pro gratia reposuerunt, studioque majori ei struxerunt insidias: suspicantes quidem ne rebus prospere gestis *elatus* aliquid novi in Ægyptiorum damnum moliretur, regem vero admonentes ut eum interficeret. Illi autem et ipsi hac de re insederat cogitatio, partim ex invidia ob Moysis expeditionem, partim ex metu depressionis; instigatus vero a sacrorum scribis vehementi flagrabat desiderio Moysen perimendi. Verum ut primum de insidiis audiverat *Moyses*, clam se subduxit, atque viis a custodibus obsessis, per solitudinem fugam instituit et qua *evasurum* inimici minime poterant suspicari: et quamvis ciborum laborarit inopia, eam tamen patienter et magnanime superat. Et quum ad urbem Madianam pervenisset, in Rubri quidem maris litore sitam, ab uno vero Abrami ex Chetura filiorum dominatam, super puteum quendam sedens a lassitudine et miseria quiescebat, quum meridies esset, non procul ab urbe: ubi ei suboritur negotium ex consuetudine more illic viventium, quod virtutem ejus illustravit et ad meliora viam aperuit.

2. Quum enim istis regionibus aquarum sit penuria, operam dabant pastores ut primi puteos occuparent, ne, aqua ab aliis exhausta, sua potu egerent pecora. Ad puteum igitur accedunt septem virgines sorores, Ragueli, sacerdotis et ab istius loci incolis magno in honore habiti, filiæ, quæ patris greges curantes (mulieribus etiam ad hoc ministerium

5.

αὐτοῖς τοῦ Θεοῦ συμμάχῳ χρήσασθαι τῷ Ἑβραίῳ, κελεύει ὁ βασιλεὺς τὴν θυγατέρα παρασχεῖν τὸν Μωϋσῆν στρατηγὸν αὐτῷ γενησόμενον. Ἡ δὲ ὅρκους ποιησαμένῳ, ὥστε μηδὲν διαθεῖναι κακὸν, παραδίδωσιν, ἀντὶ μεγάλης μὲν εὐεργεσίας κρίνουσα τὴν συμμαχίαν, κακίζουσα δὲ τοὺς ἱερέας, οἳ κτεῖναι προαγορεύσαντες αὐτὸν ὡς πολέμιον, οὐκ ἠδοῦντο νῦν χρῄζοντες αὐτοῦ τῆς ἐπικουρίας.

β'. Μωϋσῆς δὲ ὑπό τε τῆς Θερμούθιδος παρακληθεὶς καὶ ὑπὸ τοῦ βασιλέως ἡδέως προσδέχεται τὸ ἔργον. Ἔχαιρον δ' οἱ ἱερογραμματεῖς ἀμφοτέρων τῶν ἐθνῶν, Αἰγυπτίων μὲν, ὡς τούς τε πολεμίους τῇ ἐκείνου κρατήσοντες ἀρετῇ καὶ τὸν Μωϋσῆν τῷ αὐτῷ δόλῳ κατεργασόμενοι, οἱ δὲ τῶν Ἑβραίων, ὡς φυγεῖν αὐτοῖς ἐσομένου τοὺς Αἰγυπτίους, διὰ τὸ Μωϋσῆν αὐτῶν στρατηγεῖν. Ὁ δὲ, φθάσας πρὶν ἢ πυθέσθαι τοὺς πολεμίους τὴν ἔφοδον αὐτοῦ, τὸν στρατὸν ἀναλαβὼν ἦγεν, οὐ διὰ τοῦ ποταμοῦ ποιησάμενος τὴν ἐλασίαν, ἀλλὰ διὰ γῆς. Ἔνθα τῆς αὐτοῦ συνέσεως θαυμαστὴν ἐπίδειξιν ἐποιήσατο. Τῆς γὰρ γῆς χαλεπῆς οὔσης ὁδευθῆναι διὰ πλῆθος ἑρπετῶν, (παμφορωτάτη γάρ ἐστι τούτων, ὡς καὶ τὰ παρ' ἄλλοις οὐκ ὄντα μόνη τρέφειν, δυνάμει τε καὶ κακίᾳ καὶ τῷ τῆς ὄψεως ἀσυνήθει διαφέροντα, τινὰ δ' αὐτῶν ἐστι καὶ πετεινὰ, ὡς λαθόντα μὲν ἀπὸ γῆς κακουργεῖν, καὶ μὴ προϊδομένους ἀδικεῖν ὑπερπετῆ γινόμενα,) νοεῖ πρὸς ἀσφάλειαν καὶ ἀβλαβῆ πορείαν τοῦ στρατεύματος στρατήγημα θαυμαστόν. Πλέγματα γὰρ ἐμφερῆ κιβωτοῖς ἐκ βύβλου κατασκευάσας καὶ πληρώσας ἴβεων ἐκόμιζε· πολεμιώτατον δ' ἐστὶ τοῖς ὄφεσι τοῦτο τὸ ζῷον· φεύγουσί τε γὰρ ἐπερχομένας καὶ ἀφιστάμενοι καθάπερ ὑπ' ἐλάφων ἁρπαζόμενοι καταπίνονται. Χειροήθεις δ' εἰσὶν αἱ ἴβεις καὶ πρὸς μόνον τὸ τῶν ὄφεων γένος ἄγριοι. Καὶ περὶ μὲν τούτων παρίημι νῦν γράφειν, οὐκ ἀγνοούντων τῶν Ἑλλήνων τῆς ἴβεως τὸ εἶδος. Ὡς οὖν εἰς τὴν γῆν ἐνέβαλε τὴν θηροτρόφον, ταύταις ἀπεμάχετο τὴν τῶν ἑρπετῶν φύσιν ἐπαφεὶς αὐτοῖς καὶ προπολεμούσαις χρώμενος. Τοῦτον οὖν ὁδεύσας τὸν τρόπον οὐδὲ προμαθοῦσι παρῆν τοῖς Αἰθίοψι, καὶ συμβαλὼν αὐτοῖς κρατεῖ τῇ μάχῃ, καὶ τῶν ἐλπίδων, ἃς εἶχον ἐπὶ τοὺς Αἰγυπτίους, ἀφαιρεῖται, τάς τε πόλεις αὐτῶν ἐπῆλθε καταστρεφόμενος καὶ φόνος πολὺς τῶν Αἰθιόπων ἐπράττετο. Καὶ τῆς διὰ Μωϋσῆν εὐπραγίας γευσάμενον τὸ τῶν Αἰγυπτίων στράτευμα πονεῖν οὐκ ἔκαμνεν, ὡς περὶ ἀνδραποδισμοῦ καὶ παντελοῦς ἀναστάσεως τὸν κίνδυνον εἶναι τοῖς Αἰθίοψι. Καὶ τέλος συνελαθέντες εἰς Σαβὰ πόλιν βασίλειον οὖσαν τῆς Αἰθιοπίας, ἣν ὕστερον Καμβύσης Μερόην μετωνόμασεν, ἀδελφῆς ἰδίας τοῦτο καλουμένης, ἐπολιορκοῦντο. Ἦν δὲ δυσπολιόρκητον σφόδρα τὸ χωρίον, τοῦ τε Νείλου περιέχοντος αὐτὴν καὶ κυκλουμένου, ποταμῶν τε ἄλλων Ἀστάπου καὶ Ἀσταβόρα δυσμάχητον τοῖς πειρωμένοις διαβαίνειν τὸ ῥεῦμα ποιούντων. Ἡ γὰρ πόλις ἐντὸς οὖσα νῆσος οἰκεῖται, τείχους τε αὐτῇ χαρτεροῦ περιηγμένου, καὶ πρὸς μὲν τοὺς

auxilium advocarent Hebræum, filiæ imperat rex ut sibi Moysem concederet, qui copiis suis præficeretur. Illa ipsum *regi* in manus tradidit, jurejurando prius obstricto, ne quid mali in perniciem ejus strueret, magni beneficii gratiam sibi pro hoc auxilio deberi existimans, et sacerdotibus exprobrans, quod eos non puderet nunc ejus opem desiderare, qui prius ut hostem occidendum esse monuerant.

2. Moyses autem, a Thermuthi pariter ac rege exoratus, libenter hanc expeditionem suscipit. Sacrorum vero scribæ gentis utriusque gaudebant, Ægyptiorum quidem, quod hostibus ejus virtute devictis foret ut Moysen dolo tollerent, Hebræorum vero quod sibi daretur Ægyptiorum servitutem effugere, Moyse duce et imperatore. Ille vero, ut hostes occuparet priusquam de adventu suo cognoscerent, copias eduxit, non per fluminis ripam iter faciens, sed per interiora terræ. Qua ex re mirum in modum ostendit quantum sapientia polleret. Quum enim hæc via difficilis admodum esset propter serpentum multitudinem, (nam hic tractus plurimos gignit, aliquot etiam alit qui nusquam alibi reperiuntur, et noxiis viribus et insolito aspectu plurimum differentes, et in his quosdam volucres, qui non solum humi latentes noceant, sed et sublimes eximproviso malum inferant,) commentus est, ut securum et innoxium iter exercitui præstaret, strategema plane mirandum. Fiscellas enim e papyro in cistarum formam conficiendas curavit, et ibibus complens secum deportavit. Est autem hoc animal serpentibus infestissimum : nam et eos insectantes fugitant, et inter fugiendum sicut a cervis retracti deglutiuntur. Ibes vero cicures sunt et mansuetæ, inque serpentum genus solum immaniter sæviunt. Et de his quidem nunc mitto scribere, quum non ignorent Græci qualis sit ibis. Postquam igitur ventum est in terram istis bestiolis refertam, ibes illis immisit, quibus propugnatoribus usus serpentium vim debellavit. Hoc igitur modo itinere confecto, Æthiopibus inopinantibus supervenit, et cum iis congressus victoriam reportavit, spemque Ægypti occupandæ illis abstulit : urbes etiam eorum adortus evertit, et ubique magna cædes Æthiopum patrabatur. Porro Ægyptiorum exercitus, post res Moysis auspiciis feliciter gestas, nullo labore fatigabatur : adeo ut Æthiopibus captivitatis atque excidii periculum immineret. Denique in urbem Saba regiam Æthiopiæ compulsi, quam postea Cambyses, a sorore sua nomine imposito, Meroen appellavit, obsidione premebantur. Erat autem locus ille pæne inexpugnabilis, Nilo urbi circumfuso et circumdato, aliisque fluviis, Astapo et Astabora, transitum difficiliorem facientibus. Urbs enim ad interiora sita *est* insula habitatur, quod murus validus illi circumductus est, et hostibus quidem objectos fluvios habet, atque eg-

πολεμίους πρόβλημα τοὺς ποταμοὺς ἔχουσα, χώματά τε μεγάλα μεταξὺ τοῦ τείχους, ὥστε ἀνεπίτλυστον εἶναι βαιότερον ὑπὸ πλημμύρας φερομένων· ἅπερ καὶ τοῖς περαιωσαμένοις τοὺς ποταμοὺς ἄπορον ἐποίει τῆς πόλεως τὴν ἅλωσιν. Φέροντι τοίνυν ἀηδῶς τῷ Μωϋσῇ τὴν τοῦ στρατεύματος ἀργίαν, (εἰς χεῖρας γὰρ οὐκ ἐτόλμων ἀπαντᾶν οἱ πολέμιοι,) συνέτυχέ τι τοιοῦτον· Θάρβις θυγάτηρ ἦν τοῦ Αἰθιόπων βασιλέως· αὕτη τὸν Μωϋσῆν πλησίον τοῖς τείχεσι προσάγοντα τὴν στρατιὰν καὶ μαχόμενον γενναίως ἀποσκοποῦσα, καὶ τῆς ἐπινοίας τῶν ἐγχειρήσεων θαυμάζουσα, καὶ τοῖς τε Αἰγυπτίοις αἴτιον, ἀπεγνωκόσιν ἤδη τὴν ἐλευθερίαν, τῆς εὐπραγίας ὑπολαμβάνουσα καὶ τοῖς Αἰθίοψιν, αὐχοῦσιν ἐπὶ τοῖς κατ' αὐτῶν κατωρθωμένοις, τοῦ περὶ τῶν ὅλων κινδύνου, εἰς ἔρωτα δεινὸν ὤλισθεν αὐτοῦ. Καὶ περιόντος τοῦ πάθους πέμπει πρὸς αὐτὸν τῶν οἰκετῶν τοὺς πιστοτάτους διαλεγομένη περὶ γάμου. Προσδεξαμένου δὲ τὸν λόγον ἐπὶ τῷ παραδοῦναι τὴν πόλιν, καὶ ποιησαμένου πίστεις ἐνόρκους ἢ μὴν ἄξεσθαι γυναῖκα, καὶ κρατήσαντα τῆς πόλεως μὴ παραβήσεσθαι τὰς συνθήκας, φθάνει τὸ ἔργον τοὺς λόγους. Καὶ κατὰ τὴν ἀναίρεσιν τῶν Αἰθιόπων εὐχαριστήσας τῷ Θεῷ συνετέλει τὸν γάμον ὁ Μωϋσῆς, καὶ τοὺς Αἰγυπτίους ἀπήγαγεν εἰς τὴν ἑαυτῶν γῆν.

geres magnos post murum ad inundationes arcendas, quum fluvii intumescentes majori cum impetu deferuntur; quæ iis etiam, qui flumina trajecerunt, urbem expugnatu difficilem reddebant. Quum ergo ægre ferret Moyses exercitum otiosum desidere, (nam manus conserere non ausi sunt hostes,) tale quiddam accidit: Tharbis filia erat regis Æthiopum: hæc Moysen exercitum mœnibus admoventem, et egregie dimicantem conspicata, atque ob ea quæ excogitaverat et aggressus erat mirata, ipsumque et Ægyptiis, libertatem desperantibus, felicitatis auctorem exstitisse existimans, et Æthiopes, gloriantes de rebus præclare contra eos gestis, in extremum periculum adduxisse, vehementi ejus amore capta est. Atque crescente affectu, servos sibi fidissimos ad ipsum mittit, conjugium suum offerens. Illo vero assentiente, ea conditione ut sibi traderetur urbs, fideque jurejurando firmata, se ducturum eam uxorem, atque urbe dedita pactis mansurum esse: dictum factum. Et postquam ob exstinctos Æthiopes gratias Deo egerat, nuptias celebravit Moyses, atque Ægyptiorum exercitum domum reduxit.

ΚΕΦ. ΙΑ'.

Οἱ δὲ ἐξ ὧν ἐσώζοντο ὑπὸ Μωϋσέως μῖσος ἐκ τούτων πρὸς αὐτὸν ἀνελάμβανον καὶ θερμότερον ἅπτεσθαι τῶν κατ' αὐτοῦ βουλευμάτων ἠξίουν, ὑπονοοῦντες μὲν μὴ διὰ τὴν εὐπραγίαν νεωτερίσειε κατὰ τὴν Αἴγυπτον, διδάσκοντες δὲ τὸν βασιλέα περὶ τῆς σφαγῆς. Ὁ δὲ καὶ καθ' αὑτὸν μὲν εἶχε τὴν τοῦ πράγματος ἐπίνοιαν, ὑπό τε φθόνου τῆς Μωϋσέως στρατηγίας καὶ ὑπὸ δέους ταπεινώσεως· ἐπειχθεὶς δ' ὑπὸ τῶν ἱερογραμματέων οἷός τε ἦν ἐγχειρεῖν τῇ Μωϋσέως ἀναιρέσει. Φθάσας δὲ τὴν ἐπιβουλὴν καταμαθεῖν λαθὼν ὑπέξεισι, καὶ τῶν ὁδῶν φυλαττομένων ποιεῖται διὰ τῆς ἐρήμου τὸν δρασμὸν καὶ ὅθεν ἦν ὑπόνοιαν μὴ λαβεῖν τοὺς ἐχθροὺς, ἄπορός τε ὢν τροφῆς ἀπηλλάττετο τῇ καρτερίᾳ καταφρονῶν. Εἴς τε πόλιν Μαδιηνὴν ἀφικόμενος πρὸς τῇ μὲν Ἐρυθρᾷ θαλάσσῃ κειμένην, ἐπώνυμον δὲ ἑνὸς τῶν Ἀβράμῳ γενομένων ἐκ Χετούρας υἱῶν, καθεσθεὶς ἐπί τινος φρέατος, ἐκ τοῦ κόπου καὶ τῆς ταλαιπωρίας ἠρέμει, μεσημβρίας οὔσης, οὐ πόρρω τῆς πόλεως. Ἔνθ' αὐτῷ συνέβη καὶ πρᾶξις ἐκ διαίτης τῶν αὐτόθι, συστήσασα τὴν ἀρετὴν αὐτοῦ καὶ πρὸς τὸ κρεῖττον ἀφορμὴν παρασχοῦσα.

β'. Τῶν γὰρ χωρίων δυσύδρων ὄντων προκατελάμβανον οἱ ποιμένες τὰ φρέατα, ὅπως μὴ προεξαναλωμένου τοῦ ὕδατος ὑπὸ τῶν ἄλλων, σπανίζοι ποτοῦ τὰ θρέμματα. Παραγίνονται οὖν ἐπὶ τὸ φρέαρ ἑπτὰ παρθένοι ἀδελφαὶ, Ῥαγουήλου θυγατέρες, ἱερέως καὶ πολλῆς ἠξιουμένου τιμῆς παρὰ τοῖς ἐπιχωρίοις, αἳ τῶν τοῦ πατρὸς ποιμνίων ἐπιμελούμεναι, διὰ τὸ ταύτην ὑπουρ-

Illi vero, quod salutem a Moyse acceperint, odium illi pro gratia reposuerunt, studioque majori ei struxerunt insidias: suspicantes quidem ne rebus prospere gestis *elatus* aliquid novi in Ægyptiorum damnum moliretur, regem vero admonentes ut eum interficeret. Illi autem et ipsi hac de re insederat cogitatio, partim ex invidia ob Moysis expeditionem, partim ex metu depressionis; instigatus vero a sacrorum scribis vehementi flagrabat desiderio Moysen perimendi. Verum ut primum de insidiis audiverat *Moyses*, clam se subduxit, atque viis a custodibus obsessis, per solitudinem fugam instituit et qua *evasurum* inimici minime poterant suspicari: et quamvis ciborum laborarit inopia, eam tamen patienter et magnanime superat. Et quum ad urbem Madianam pervenisset, in Rubri quidem maris litore sitam, ab uno vero Abrami ex Chetura filiorum dominatam, super puteum quendam sedens a lassitudine et miseria quiescebat, quum meridies esset, non procul ab urbe: ubi ei suboritur negotium ex consuetudine more illic viventium, quod virtutem ejus illustravit et ad meliora viam aperuit.

2. Quum enim istis regionibus aquarum sit penuria, operam dabant pastores ut primi puteos occuparent, ne, aqua ab aliis exhausta, sua potu egerent pecora. Ad puteum igitur accedunt septem virgines sorores, Ragueli, sacerdotis et ab istius loci incolis magno in honore habiti, filiæ, quæ patris greges curantes (mulieribus etiam ad hoc ministerium

5.

γίαν εἶναι καὶ γυναιξὶν ἐπιχώριον παρὰ τοῖς Τρωγλοδύταις, φθάσασαι τὸ αὔταρκες ἐκ τοῦ φρέατος ἀνέσπασαν ὕδωρ τοῖς ποιμνίοις εἰς δεξαμενὰς, αἳ πρὸς ἐκδοχὴν τοῦ ὕδατος ἐγεγόνεισαν. Ἐπιστάντων δὲ ποιμένων καὶ ἀπελαυνόντων τὰς παρθένους, ὥστ' αὐτοὺς τοῦ ὕδατος κρατεῖν, Μωϋσῆς, δεινὸν ἡγησάμενος εἶναι περιιδεῖν ἀδικουμένας τὰς κόρας, καὶ τὴν βίαν τὴν τῶν ἀνδρῶν ἔᾶσαι κρείττονα γενέσθαι τοῦ τῶν παρθένων δικαίου, τοὺς μὲν εἴρξε πλεονεκτεῖν ἐθέλοντας, ταῖς δὲ παρέσχε τὴν δέουσαν βοήθειαν. Αἱ δὲ εὐεργετηθεῖσαι παρῆσαν πρὸς τὸν πατέρα, τήν τε ὕβριν τῶν ποιμένων αὐτῷ διηγούμεναι καὶ τὴν ἐπικουρίαν τοῦ ξένου, παρεκάλουν τε μὴ ματαίαν αὐτῷ γενέσθαι τὴν εὐποιίαν μηδ' ἀμοιβῆς ὑστεροῦσαν. Ὁ δὲ τάς τε παῖδας ἀπεδέξατο τῆς περὶ τὸν εὐεργετηκότα σπουδῆς, καὶ τὸν Μωϋσῆν εἰς ὄψιν ἐκέλευεν ἄγειν αὐτῷ τευξόμενον χάριτος δικαίας. Ὡς δ' ἦκε, τὴν τῶν θυγατέρων ἀπεσήμαινεν αὐτῷ μαρτυρίαν ἐπὶ τῇ βοηθείᾳ, καὶ τῆς ἀρετῆς αὐτὸν θαυμάζων οὐκ εἰς ἀναισθήτους εὐεργεσιῶν καταθέσθαι τὴν ἐπικουρίαν ἔλεγεν, ἀλλ' ἱκανοὺς ἐκτῖσαι χάριν, καὶ τῷ μεγέθει τῆς ἀμοιβῆς ὑπερβάλλειν τὸ μέτρον τῆς εὐποιίας. Ποιεῖται δ' αὐτὸν υἱὸν καὶ μίαν τῶν θυγατέρων πρὸς γάμον δίδωσιν, τῶν τε θρεμμάτων (ἐν τούτοις γὰρ ἡ πᾶσα κτῆσις τὸ παλαιὸν ἦν τοῖς βαρβάροις) ἀποδείκνυσιν ἐπιμελητὴν καὶ δεσπότην.

ΚΕΦ. ΙΒ'.

Καὶ Μωϋσῆς μὲν τοιούτων τυχὼν παρὰ τοῦ Ἰοθόρου (τοῦτο γὰρ ἦν ἐπίκλημα τῷ Ῥαγουήλῳ), διῆγεν αὐτόθι ποιμαίνων τὰ βοσκήματα. Χρόνῳ δ' ὕστερον νέμων ἐπὶ τὸ Σιναῖον καλούμενον ὄρος ἄγει τὰ ποίμνια· τοῦτο δ' ἐστὶν ὑψηλότατον τῶν ταύτῃ ὀρῶν καὶ πρὸς νομὰς ἄριστον, ἀγαθῆς φυομένης πόας, καὶ διὰ τὸ δόξαν ἔχειν ἐνδιατρίβειν αὐτῷ τὸν Θεὸν, οὐ κατανεμηθείσης πρότερον, οὐ τολμώντων ἐμβατεύειν εἰς αὐτὸ τῶν ποιμένων. Ἔνθα δὴ καὶ τέρας αὐτῷ τυγχάνει θαυμάσιον. Πῦρ γὰρ θάμνον βάτων νεμόμενον τὴν περὶ αὐτὸν χλόην τό τε ἄνθος αὐτοῦ παρῆλθεν ἀβλαβὲς, καὶ τῶν ἐγκάρπων κλάδων οὐδὲν ἠφάνισε, καὶ ταῦτα τῆς φλογὸς πολλῆς καὶ ὀξυτάτης ὑπαρχούσης. Ὁ δὲ καὶ αὐτὴν μὲν ἔδεισε τὴν ὄψιν παράδοξον γενομένην· κατεπλάγη δ' ἔτι μᾶλλον φωνὴν τοῦ πυρὸς ἀφιέντος καὶ ὀνομαστὶ καλέσαντος αὐτὸν καὶ ποιησαμένου λόγους, οἷς τό τε θάρσος αὐτοῦ τολμήσαντος παρελθεῖν εἰς χωρίον, εἰς ὃ μηδεὶς ἀνθρώπων πρότερον ἁφῖκτο διὰ τὸ εἶναι Θεῖον, ἐσήμαινε, καὶ συνεβούλευεν τῆς φλογὸς ὡς πορρωτάτω χωρεῖν καὶ ἀρκεῖσθαι μὲν οἷς ἑόρακεν, ἀγαθὸν ὄντα καὶ μεγάλων ἀνδρῶν ἔκγονον, πολυπραγμονεῖν δὲ μηδὲν ἐπὶ τούτοις περισσότερον. Προηγόρευέ τε τὴν ἐσομένην αὐτῷ δόξαν καὶ τιμὴν παρὰ ἀνθρώποις, τοῦ Θεοῦ συμπαρόντος· καὶ θαρροῦντα ἐκέλευεν εἰς τὴν Αἴγυπτον ἀπιέναι, στρατηγὸν καὶ ἡγεμόνα τῆς Ἑβραίων πληθύος ἐσόμενον καὶ τῆς ὕβρεως τῆς ἐκεῖ τοὺς συγγενεῖς ἀπαλλάξοντα. « Καὶ γὰρ γῆν οἰκήσουσι, φησὶ,

patrio Troglodytarum more adhibitis) forte, antequam alii venerint, satis aquæ pecoribus suis in alveos, ei usui paratos, e puteo extraxerant. Pastoribus autem aliquanto post venientibus et virgines depellentibus, ut aquam sibimet haberent, Moyses, rem indignam ratus virgines negligere injuriam passas, sinereque vim virorum plus valere quam jus feminarum, illis quidem obstitit inique agere volentibus, his vero, ut par erat, auxilium tulit. At illæ, hoc beneficio accepto, patrem adeunt, et pastorum injuriam et quomodo ab hospite adjutæ fuerint, ei retulerunt, rogabantque ne illi hæc gratia periret, meritumve desideraretur præmium. Ille autem quum filiarum in benefactorem gratum collaudavit animum, tum jussit Moysen coram adduci, ut ejus remuneraret benevolentiam. Postquam vero aderat, et indicavit ei filiarum de ejus ope et auxilio testimonium, et virtutem ejus admiratus, non in ingratos hoc ab eo beneficium collocatum aiebat, sed in tales, qui non modo parem ei gratiam referrent, sed et paullo cumulatiorem. Atque ipsum adoptat filium, eique filiarum unam matrimonio elocat: ad hæc pecorum, in quibus universæ olim barbarorum opes erant, curatorem eum ac dominum constituit.

CAP. XII.

Et Moyses quidem istis affectus beneficiis a Iothoro (id enim Raguelo cognomentum erat), illic commorabatur in gregibus pascendis occupatus. Postea vero quum pecus pasceret, in montem Sinæum qui appellabatur pastum egit. Mons autem iste omnium in ea regione celsissimus est et pascuis commodissimus, utpote optimis herbis abundans, et quod vulgo persuasum haberent Dei numen ibi habitare, non antea depastus; nam religio erat pastoribus in illum ascendere. Illic quidem ei mirabile oblatum est prodigium. Ignis enim dum rubi fruticem corriperet, viriditatem ejus et flores innoxia flamma præteriit, nec ramorum frugiferorum quidquam absumpsit, multum licet et vehementer emicuerit. Ille autem rei quidem novitate et miraculo perculsus est; at multo magis obstupuit, quum vocem ignis emitteret, et nominatim ipsum compellaret ejusmodi verbis, quibus et temeritatem ejus reprehendit, qui non sit veritus locum sacrum adeoque hominibus hactenus inaccessum calcare, et consuluit ut quam longissime a flammis abscederet et contentus esset iis quæ vidisset, propter virtutem suam et quod magnorum virorum soboles esset, ceterum ulterius nihil curiose inquireret. Quin et prædixit ei quantum honorem et gloriam, Dei auspiciis et auxilio, consequuturus esset apud homines; jussitque fidenter in Ægyptum proficisci, futurum illic ducem ac ductorem populi Hebraici, cognatosque liberaturum ab iniqua Ægyptiorum dominatione. « Nam et terram, in-

ταύτην εὐδαίμονα, ἣν Ἄβραμος ᾤκησεν ὁ ὑμέτερος πρόγονος, καὶ τῶν πάντων ἀπολαύσουσιν ἀγαθῶν, εἰς ταῦτα σοῦ καὶ τῆς σῆς συνέσεως αὐτοὺς ἡγουμένης. » Ἐξαγαγόντα μέντοι τοὺς Ἑβραίους ἐκ τῆς Αἰγύπτου θυσίας ἐκέλευε χαριστηρίους ἀφικόμενον εἰς ἐκεῖνον ἐκτελέσαι τὸν τόπον. Τοσαῦτα μὲν ἐκ τοῦ πυρὸς θεοκλυτεῖται.

β'. Μωϋσῆς δ' ἐκπεπληγμένος οἷς τε εἶδε καὶ πολὺ μᾶλλον οἷς ἤκουσεν, « δυνάμει μὲν ἀπιστεῖν, ἔφη, τῇ σῇ, ὦ δέσποτα, ἣν αὐτός τε θρησκεύω καὶ προγόνοις οἶδα φανερὰν γενομένην, μανιώδέστερον ἢ κατὰ τὴν ἐμαυτοῦ φρόνησιν ἡγοῦμαι· πλὴν ἀπορῶ πῶς ἂν ἰδιώτης ἀνὴρ καὶ μηδεμιᾶς ἰσχύος εὐπορῶν ἢ πείσω λόγοις τοὺς οἰκείους ἀφέντας ἣν ἄρτι κατοικοῦσι γῆν ἕπεσθαί μοι πρὸς ἣν αὐτοὺς ἡγοῦμαι, ἢ κἂν ἐκεῖνοι πεισθῶσι, πῶς ἂν βιασαίμην Φαραώθην ἐπιτρέψαι τὴν ἔξοδον τούτοις, ὧν τοῖς πόνοις καὶ τοῖς ἔργοις τὴν οἰκείαν αὔξουσιν εὐδαιμονίαν. »

γ' Ὁ δὲ Θεὸς αὐτῷ περὶ πάντων συνεβούλευε θαρρεῖν, ὑπισχνούμενος αὐτὸς παρέσεσθαι, καὶ οὗ ἂν δέῃ μὲν λόγων, πειθὼ παρέξειν, οὗ δ' ἂν ἔργων, ἰσχὺν χορηγήσειν. Ἐκέλευέ τε τὴν βακτηρίαν ἐπὶ τὴν γῆν ἀφέντα πίστιν ὧν ὑπισχνεῖται λαμβάνειν. Καὶ ποιήσαντος δράκων εἵρπε, καὶ συνειλούμενος σπειρηδὸν ὡς δώκουσιν ἐπ' ἀμύνῃ τὴν κεφαλὴν ἐπανέτεινεν, εἶτα πάλιν βάκτρον ἦν. Μετὰ τοῦτο δὲ καθεῖναι τὴν δεξιὰν εἰς τὸν κόλπον προσέταξεν. Ὑπακούσας δὲ λευκὴν καὶ τιτάνῳ τὴν χρόαν ὁμοίαν προεκόμισεν, εἶτ' εἰς τὸ σύνηθες κατέστη. Κελευσθεὶς δὲ καὶ τοῦ πλησίον ὕδατος λαβὼν ἐπὶ τὴν γῆν ἐχέαι, ὁρᾷ τὴν χρόαν αἱματώδη γενομένην. Θαυμάζοντα δ' ἐπὶ τούτοις θαρρεῖν παρεκελεύετο, καὶ βοηθὸν εἰδέναι μέγιστον αὐτῷ συνεσόμενον· καὶ σημείοις πρὸς τὸ πιστεύεσθαι παρὰ πᾶσι χρῆσθαι, ὅτι πεμφθεὶς ὑπ' ἐμοῦ πάντα κατὰ τὰς ἐμὰς ἐντολὰς ποιεῖς· κελεύω δὲ μηδὲν ἔτι μελλήσαντά τε σπεύδειν εἰς τὴν Αἴγυπτον, καὶ νυκτὸς καὶ ἡμέρας ἐπειγόμενον, καὶ μὴ τρίβοντα τὸν χρόνον πλείω ποιεῖν τοῦτον Ἑβραίοις ἐν δουλείᾳ κακοπαθοῦσι.

δ'. Μωϋσῆς δ' οὐκ ἔχων ἀπιστεῖν οἷς ἐπηγγέλλετο τὸ θεῖον, θεατής γε τοιούτων βεβαιωμάτων καὶ ἀκροατὴς γενόμενος, εὐξάμενος αὐτῷ καὶ πειραθῆναι ταύτης τῆς δυνάμεως ἐν Αἰγύπτῳ δεηθείς, ἠντιβόλει μηδὲ ὀνόματος αὐτῷ γνῶσιν τοῦ ἰδίου φθονῆσαι, φωνῆς δ' αὐτῷ μετεσχηκότι καὶ ὄψεως ἔτι καὶ τὴν προσηγορίαν εἰπεῖν, ἵνα θύων ἐξ ὀνόματος αὐτὸν παρεῖναι τοῖς ἱερείοις παρακαλῇ. Καὶ ὁ Θεὸς αὐτῷ σημαίνει τὴν ἑαυτοῦ προσηγορίαν, οὐ πρότερον εἰς ἀνθρώπους παρελθοῦσαν· περὶ ἧς οὔ μοι θεμιτὸν εἰπεῖν. Μωϋσῆς μὲν τοῖς σημείοις τούτοις οὐ τότε μόνον, διὰ παντὸς δ' ὁπότε δεηθείη συνετύγχανεν· ἐξ ὧν ἁπάντων πλέον περὶ τῆς ἀληθείας τῷ πυρὶ νέμων καὶ τὸν Θεὸν εὐμενῆ παραστάτην ἕξειν πιστεύων τούς τε οἰκείους σώζειν ἤλπιζε καὶ τοὺς Αἰγυπτίους κακοῖς περιβαλεῖν.

quit, istam beatam habitaturi sunt, quam Abramus gentis vestræ auctor olim tenuit, et bonis omnibus affluent, ad hæc te eos tuaque sapientia deducente. « Verum postea-quam Hebræos ex Ægypto eduxerit, jussit ut illo in loco sacrificium gratiarum actionis ipsi offerret. Et hæc quidem verba ex igne Dei voce emissa audivit.

2. Moyses autem iis quæ viderat attonitus, multoque magis his quæ audierat, infit, « potentiæ quidem tuæ diffidere, domine, quam et ego veneror et majoribus meis præsentem fuisse novi et propitiam, majoris esse dementiæ reor quam quæ in me potest incidere : attamen non intelligo quo modo homo privatus et nullis viribus munitus vel popularibus meis persuadere potero ut relicta terra quam nunc habitant me sequantur quo ipse eos deducturus sum, vel, etiamsi persuasero, quo modo Pharaothen eo redigam ut dimittat Hebræos, quorum opera et labore Ægyptiorum felicitas augetur. »

3. Deus autem ipsi de omnibus bene sperare consuluit, se adfuturum esse pollicitus, et ubi verbis futurum esset opus, suadelam se ipsi præbiturum, ubi vero operibus, vim magna patrandi largiturum. Mox jussit ut virga in terram projecta fidem promissorum acciperet. Quo facto, draco repebat, et in spiras convolutus caput sursum attollit, quasi persequentibus minitaretur vindictam, ac mox denuo in virgam conversus est. Post hoc dextram in sinum abdere præcipit. Cum vero paruisset, candidam protulit, et colore calci similem : deinde pristinam ad formam reversa est. Jussus porro aquam e propinquo haustam humi effundere, vidit in colorem sanguineum mutatam. Hæc autem dum miratur, ut animum reciperet hortatus est et pro certo haberet se maximum ei adjutorem affore; utque apud omnes his prodigiis uteretur ad fidem faciendam, te a me missum id solum agere ut mandata mea exsequaris. Fac quod impero, nec mora sit ulla, quin Ægyptum te conferas, nocte dieque properans; nec, dum tempus cunctando extrahis, id Hebræis duram servientibus servitutem producas.

4. Moyses autem nihil amplius dubitans de iis quæ promiserat Deus, spectator utique tot signorum factus et auditor, precatus ut eandem potentiam etiam in Ægypto experiretur, supplex orabat ut sibi nominis sui notitiam non invideret, sed de sui appellatione certiorem faceret, quem conspectu et colloquio suo dignatus fuerat; ut illi aliquando sacrificaturus nominatim ejus præsentiam invocaret. Tum Deus nomen suum ei enunciat, hominibus non antea patefactum : quod effari mihi nefas est. Moysi vero non tunc tantum, sed quotiescunque res postularet, talium prodigiorum facultas aderat. Per omnia hæc portenta magis etiam de veritate persuasus ob rubum ardentem, credensque Deum auxiliatorem sibi fore propitium, et populares suos se liberaturum esse sperabat et Ægyptiis cladem illaturum.

ΚΕΦ. ΙΓ.

Καὶ πυθόμενος τὸν τῶν Αἰγυπτίων τεθνάναι βασιλέα Φαραώθην, ἐφ' οὗπερ αὐτὸς ἔφυγε, δεῖται Ῥαγουήλου συγχωρῆσαι κατὰ ὠφέλειαν αὐτῷ τῶν συγγενῶν εἰς Αἴγυπτον ἐλθεῖν· καὶ παραλαβὼν τὴν Σαπφώραν, ἣν γεγαμήκει, τοῦ Ῥαγουήλου θυγατέρα, καὶ τοὺς ἐξ αὐτῆς παῖδας, Γῆρσον καὶ Ἐλεάζαρον, ὥρμησεν ἐπὶ τὴν Αἴγυπτον. Τῶν δὲ ὀνομάτων τούτων Γῆρσος μὲν σημαίνει κατὰ Ἑβραίων διάλεκτον ὅτι εἰς ξένην ἦν γῆν, Ἐλεάζαρος δὲ, συμμάχῳ τῷ πατρώῳ θεῷ χρησάμενον αὐτὸν Αἰγυπτίους διαφυγεῖν. Γενομένων δ' αὐτῶν πλησίον τῶν ὅρων, ὁ ἀδελφὸς Ἀαρὼν ὑπήντησε τοῦ Θεοῦ κελεύσαντος· πρὸς ὃν ἀποσημαίνει τὰ ἐν τῷ ὄρει συντυχόντα καὶ τοῦ Θεοῦ τὰς ἐντολάς. Προσιοῦσι δ' αὐτοῖς ὑπηντίαζον Ἑβραίων οἱ ἀξιολογώτατοι, τὴν παρουσίαν αὐτοῦ μεμαθηκότες, οἷς Μωϋσῆς τὰ σημεῖα διηγούμενος, ἐπεὶ πιθανὸς οὐκ ἦν, παρέσχεν αὐτῶν τὴν ὄψιν. Οἱ δὲ ὑπ' ἐκπλήξεως τῶν παρὰ δόξαν αὐτοῖς ὁρωμένων ἀνεθάρσουν καὶ περὶ τῶν ὅλων ἦσαν εὐέλπιδες, ὡς Θεοῦ προνοουμένου τῆς ἀσφαλείας αὐτῶν.

β'. Ἐπεὶ δὲ καταπειθεῖς εἶχεν ἤδη τοὺς Ἑβραίους ὁ Μωϋσῆς καὶ οἷς ἂν κελεύσῃ τούτοις ἀκολουθήσειν ὁμολογοῦντας καὶ τῆς ἐλευθερίας ἐρῶντας, παραγίνεται πρὸς τὸν βασιλέα τὴν ἡγεμονίαν νεωστὶ παρειληφότα, καὶ ὅσα τε ὠφελήσειεν Αἰγυπτίους ὑπὸ Αἰθιόπων καταφρονουμένους καὶ διαρπαζομένης αὐτῶν τῆς χώρας ἐδήλου, στρατηγίᾳ καὶ πόνοις χρησάμενος ὡς περὶ οἰκείων, ὅτι τε κινδυνεύσειεν ἐπὶ τούτοις ὑπ' αὐτῶν ἀμοιβὰς οὐ δικαίας κομιζόμενος ἀνεδίδασκεν, τά τε κατὰ τὸ Σιναῖον ὄρος αὐτῷ συντυχόντα καὶ τὰς τοῦ Θεοῦ φωνὰς, καὶ τὰ πρὸς πίστιν ὧν οὗτος αὐτῷ προστάξειεν ὑπ' αὐτοῦ δειχθέντα σημεῖα, καθ' ἕκαστον ἐξετίθετο, παρεκάλει τε μὴ ἀπιστοῦντα τούτοις ἐμποδὼν ἱστασθαι τῇ τοῦ Θεοῦ γνώμῃ.

γ'. Χλευάσαντος δὲ τοῦ βασιλέως, Μωϋσῆς ἔργῳ παρέσχεν αὐτῷ βλέπειν τὰ σημεῖα τὰ κατὰ τὸ Σιναῖον ὄρος γενόμενα. Ὁ δὲ ἀγανακτήσας πονηρὸν μὲν αὐτὸν ἀπεκάλει, καὶ πρότερον φυγόντα τὴν παρ' Αἰγυπτίοις δουλείαν καὶ νῦν ἐξ ἀπάτης αὐτοῦ τὴν ἄφιξιν πεποιημένον, καὶ τερατουργίαις καὶ μαγείαις καταπλήξειν ἐπικεχειρηκότα. Καὶ ταῦθ' ἅμα λέγων κελεύει τοὺς ἱερεῖς τὰς αὐτὰς ὄψεις αὐτῷ παρασχεῖν ὁρᾶν, ὡς Αἰγυπτίων σοφῶν ὄντων καὶ τὴν περὶ τούτων ἐπιστήμην, [καὶ ὅτι μὴ μόνος ἔμπειρος ὢν αὐτὸς εἰς θεὸν δύναται, τὸ γὰρ ἐπ' αὐτῷ παράδοξον ἀναφέρων πιθανὸς ὡς παρ' ἀπαιδεύτοις ὑπάρχειν,] καὶ μεθεμένων ἐκείνων τὰς βακτηρίας δράκοντες ἦσαν. Μωϋσῆς δ' οὐ καταπλαγείς, « οὐδ' αὐτὸς μέν, εἶπεν, ὦ βασιλεῦ, τῆς Αἰγυπτίων σοφίας καταφρονῶ· τοσῷδε μέντοι κρείττονα τὰ ὑπ' ἐμοῦ πραττόμενα τῆς τούτων μαγείας καὶ τέχνης φημὶ, ὅσῳ τὰ θεῖα τῶν ἀνθρωπίνων διαφέρει. Δείξω δὲ οὐ κατὰ γοητείαν καὶ πλάνην τῆς ἀληθοῦς δόξης ταμὰ, κατὰ δὲ Θεοῦ πρόνοιαν καὶ δύναμιν φαινόμενα. » Καὶ ταῦτ' εἰ-

CAP. XIII.

Quumque fama accepisset Pharaothen Ægyptiorum regem, sub quo ipse fugerat, esse defunctum, petiit a Raguelo, ut sibi non gravate concederet cognatorum suorum bono in Ægyptum proficisci : et assumpta Sapphora, quam uxorem duxerat, Ragueli filia, liberisque ex ea susceptis, Gerso et Eleazaro, properavit in Ægyptum ire. Istis autem ex nominibus Gersus quidem juxta Hebræorum lingnam significat quod in terram peregrinam venerit : Eleazarus vero, quod dei patrii auxilio Ægyptios effugerit. At quum non longe a limitibus abessent, Dei jussu *ei* obviam fit Aaron frater : cui indicavit quæ in monte acciderant quæque sibi præceperat Deus. Illis autem ulterius progressis occurrerunt primores Hebræorum, qui de adventu ejus inaudiverant : quibus Moyses miracula, quod sibi ea narranti fidem non habuerint, ob oculos posuit. Illi vero in admirationem eorum, quæ necopinantes viderant, traducti, animos sumpserunt, et de omnibus spem bonam conceperunt, tanquam Deo securitati ipsorum provisuro.

2. Quum vero Hebræos jam sibi obsequentes haberet Moyses, eoque deductos ut in potestate ipsius se futuros pollicerentur et præ se ferrent libertatis desiderium, regem adiit regni gubernaculo nuper admotum, atque ei commemoravit quantum Ægyptiis ab Æthiopibus, agros eorum vastantibus, contemptui habitis profuerat, militiæ labores, tanquam suorum rem egerit, perferens; ipsumque edocuit, ut pro istis summum adierit discrimen, nec dignas pro meritis gratias ab illis acceperit : pariter etiam quæ sibi in monte Sinæo contigerant, quum voces a Deo prolatas, tum et rerum miracula, ad fidem iis quæ mandaverat faciendam, sibi visa sigillatim exposuit, eumque obtestatus est ne incredulus Dei voluntati esset impedimento.

3. Rege autem irridente, re ipsa ei specimen dedit Moyses prodigiorum quæ in monte Sinæo conspexerat. At ille indignabundus ipsum quidem sceleratum appellat, ut qui olim ex servitute Ægyptiaca evaserit, et nunc per fraudem et malitiam redierit, id agens ut præstigiis et magicis artibus populum traheret in sui admirationem. Dumque hæc dicit, jubet sacerdotes eadem ostenta sibi repræsentare, quod Ægyptii etiam istarum artium scientiam habeant, [et non solus ipse divina polleat virtute, eo scilicet miri aliquid in medium afferens, ut apud rudes et indoctos fidem inveniat;] ipsisque virgas suas projicientibus, in dracones versæ sunt. Moyses autem, his nihil perculsus, dixit, « ne ipse quidem, o rex, sapientiam Ægyptiorum despicio : attamen quæ ego operor tanto præstantiora esse aio quam istorum magiam et artem, quanto divina ab humanis distant. Ostendam vero quæ mea sunt non præstigias et simulationem veritatis, sed Dei providentia et virtute in conspectum venire. « Quumque hæc dixisset, virgam in

πῶν μεθίησιν ἐπὶ τῆς γῆς τὴν βακτηρίαν, κελεύσας αὐτὴν εἰς ὄφιν μεταβαλεῖν. Ἡ δ' ἐπείθετο, καὶ τὰς τῶν Αἰγυπτίων βακτηρίας, αἳ δράκοντες ἐδόκουν, περιοῦσα κατήσθιε, μέχρι πάσας ἀνάλωσεν. Εἶτ' εἰς τὸ ἑαυτῆς σχῆμα μεταπεσοῦσαν κομίζεται Μωϋσῆς.

δ'. Ὁ δὲ βασιλεὺς οὐδέν τι μᾶλλον τούτῳ πραχθέντι καταπλήττεται, προσοργισθεὶς δὲ καὶ μηδὲν αὐτῷ προχωρήσειν εἰπὼν ἐκ τῆς κατ' Αἰγυπτίων σοφίας καὶ δεινότητος, κελεύει τὸν ἐπὶ τῶν Ἑβραίων τεταγμένον μηδεμίαν αὐτοῖς ἄνεσιν παρέχειν τοῦ πονεῖν, ἀλλὰ πλείοσι τῶν πρότερον κακοῖς αὐτοὺς καταναγκάζειν. Ὁ δὲ ἄχυρον αὐτοῖς παρέχων εἰς τὴν πλινθείαν πρότερον, οὐκ ἔτι παρεῖχεν, ἀλλ' ἡμέρας μὲν ἐπὶ τοῖς ἔργοις ταλαιπωρεῖν ἐποίει, νυκτὸς δὲ συνάγειν τὸ ἄχυρον. Καὶ τοῦ δεινοῦ διπλασίονος ὄντος αὐτοῖς, ἐν αἰτίαις Μωϋσῆν εἶχον, ὡς τῶν ἔργων αὐτοῖς καὶ τῆς ταλαιπωρίας δι' ἐκεῖνον χαλεπωτέρας γεγενημένης. Ὁ δ' οὔτε πρὸς τὰς τοῦ βασιλέως ἀπειλὰς ἔκαμνεν οὔτε πρὸς τὰς τῶν Ἑβραίων μέμψεις ἐνεδίδου, τήν τε ψυχὴν παραστησάμενος πρὸς ἑκάτερον, ἐπὶ τὸ πονεῖν καὶ τοῖς οἰκείοις ἐκπορίζειν τὴν ἐλευθερίαν ὑπήνεγκε. Καὶ παραγενόμενος πρὸς τὸν βασιλέα ἔπειθεν αὐτὸν ἀπολύειν τοὺς Ἑβραίους ἐπὶ τὸ Σιναῖον ὄρος, ἐκεῖ θύσοντας τῷ Θεῷ· τοῦτο γὰρ αὐτὸν κεκελευκέναι· καὶ μηδὲν ἀντιπράττειν οἷς ἐκεῖνος βούλεται, τὴν δ' εὐμένειαν αὐτοῦ περὶ παντὸς ποιούμενον συγχωρεῖν αὐτοῖς τὴν ἔξοδον, μὴ καὶ λάθῃ τούτων κωλυτὴς γενόμενος αὐτὸν αἰτιάσασθαι πάσχων, ὅσα παθεῖν εἰκὸς τὸν ἀντιπράττοντα Θεοῦ προστάγμασι· τοῖς γὰρ χόλον ἐφ' αὑτοὺς κινήσασι θεῖον ἐξ ἁπάντων φύεσθαι τὰ δεινά· καὶ οὔτε γῇ τούτοις οὔτε ἀὴρ φίλος οὔτε γοναὶ τέκνων κατὰ φύσιν, ἀλλ' ἐχθρὰ πάντα καὶ πολέμια· πειραθήσεσθαί τε τούτων Αἰγυπτίους ἔφασκε, μετὰ καὶ τοῦ τὸν Ἑβραίων λαὸν ἀπελθεῖν ἐκ τῆς χώρας αὐτῶν, ἀκόντων ἐκείνων.

ΚΕΦ. ΙΔ'.

Τοῦ δὲ βασιλέως ἐκφαυλίζοντος τοὺς Μωϋσέως λόγους καὶ μηδεμίαν ἐπιστροφὴν ἔτι ποιουμένου, πάθη δεινὰ τοὺς Αἰγυπτίους κατελάμβανεν· ὧν ἕκαστον ἐκθήσομαι, διά τε τὸ μὴ πρότερόν τισι συμβάντα τοῖς Αἰγυπτίοις εἰς πεῖραν ἐλθεῖν, καὶ διὰ τὸ βούλεσθαι Μωϋσῆν μηδὲν ὧν προεῖπεν αὐτοῖς ψευσάμενον ἐπιδεῖξαι, καὶ ὅτι συμφέρει τοῖς ἀνθρώποις μαθοῦσι φυλάττεσθαι ταῦτα ποιεῖν ἐκείνοις, μὴ δυσαρεστήσῃ τὸ θεῖον μηδ' εἰς ὀργὴν περιτραπὲν ἀμύνηται τῆς ἀδικίας αὐτούς. Ὁ γὰρ ποταμὸς αὐτοῖς αἱματώδης Θεοῦ κελεύσαντος ἐρρύη, πίνεσθαί τε μὴ δυνάμενος, καὶ πηγὴν ἑτέραν ὑδάτων οὐκ ἔχουσιν· οὐχὶ τὴν χρόαν δὲ μόνον ἦν τοιοῦτος, ἀλλὰ καὶ τοῖς πειρωμένοις πίνειν ἀλγήματα καὶ πικρὰν ὀδύνην προσέφερεν. Ἦν δὲ τοιοῦτος μὲν Αἰγυπτίοις· Ἑβραίοις δὲ γλυκὺς καὶ πότιμος καὶ μηδὲν τοῦ κατὰ φύσιν παρηλλαγμένος. Πρὸς οὖν τὸ παράδοξον ἀμηχανήσας ὁ βασιλεὺς, καὶ δείσας περὶ τῶν Αἰγυπτίων, συνεχώρει τοῖς Ἑβραίοις ἀπιέναι, καὶ τοῦ

terram demittit, jussitque eam in colubrum sese explicare. Illa dicto paruit, et Ægyptiorum virgas, quæ draconum specie oculis obversabantur, unam post aliam aggressa edebat, donec omnes consumpserat. Deinde in suam formam reversam sustulit Moyses.

4. Rex autem hoc facto nihil quidem magis commovetur, sed indignatus, nec quidquam eum profecturum esse dicens ex sua in Ægyptios sollertia et calliditate, præcipit præfecto Hebræorum, ut nullam eis a laboribus requiem concederet, sed graviori quam antea operandi necessitati parère cogeret. Ille vero, quum prius eis paleas suppeditaret ad lateres conficiendos, non amplius earum copiam fecit : sed die quidem eos operibus urgebat premebatque, nocte vero ad paleas colligendas adigit. Et quum ærumnæ illis duplicarentur, Moysi succensebant, quod ipse in causa fuerit cur illis creverit labor pariter ac miseriæ. Ille vero neque propter regis minas studium intermisit, neque Hebræorum querelis et increpationibus cessit; sed, obfirmato contra utrumque animo, nullum laborem recusavit ut suos in libertatem assereret. Itaque ad regem accedens, operam dedit ut ei suaderet dimittere Hebræos ad montem Sinæum, illic Deo sacrificaturos, (hoc enim ipsum præcepisse,) neque contra voluntatem ejus resistere et repugnare : sed, ipsius benevolentiam rebus omnibus anteferendo, illis exeundi potestatem facere, ne forte contra nitendo semet aliquando incusaret, si quid ipse tale patiatur, quale eum passurum esse verisimile sit, qui Dei mandatis obsistat. Iis enim, qui iram Dei in se concitarint, ex omni re oboriturus esse calamitates : quibus utique neque terra neque aer amicus, neque progenies sit ut fert natura; sed inimica omnia et infesta. Atque hæc mala persensuros esse Ægyptios edicebat, simul et populum Hebraicum ex eorum regione, illis invitis, egressurum esse.

CAP. XIV.

Rege vero despectui habente verba Moysis, neque vel tantillum ad ejus monita advertente, mala gravissima in Ægyptios incubuerunt : quæ singulatim recensebo, tum quod nulli genti antea admota Ægyptii sunt experti, tum quod ostendere volo Moysen in iis quæ prædixerat nihil omnino mentitum esse, et quia conducit hominibus *illa* cognoscentibus cavere sibi ne eadem atque illi committant, ne numen offendatur aut ira impellatur ad iniquitates eorum persequendas. Amnis enim ipsis Dei jussu sanguineus fluebat, adeo ut ad potum adhiberi non potuerit : nec alius est illis aquarum fons. Neque colore solum sanguineum referebat, sed etiam iis, qui de eo bibere voluerunt, dolores excitabat atque acres cruciatus. Talis autem erat solis quidem Ægyptiis; Hebræis vero dulcis et potabilis, et nihil a natura sua mutatus. Eo igitur prodigio rex in angustias adductus, metuensque Ægyptiis, permi-

κακοῦ λωφήσαντος, πάλιν τὴν γνώμην μετέβαλεν, οὐκ ἐπιτρέπων τὴν ἄφοδον αὐτοῖς.

β'. Ὁ δὲ Θεὸς, ἀγνωμονοῦντος καὶ μετὰ τὴν ἀπαλλαγὴν τῆς συμφορᾶς οὐκέτι σωφρονεῖν ἐθέλοντος, ἄλλην τοῖς Αἰγυπτίοις ἐπιφέρει πληγήν. Βατράχων πλῆθος ἄπειρον τὴν γῆν αὐτῶν ἐπεδόσκετο· μεστὸς δὲ τούτων καὶ ὁ ποταμὸς ἦν, ὡς διαμωμένους τὸ ποτὸν τῷ τῶν ζώων ἰχῶρι κεκακωμένον λαμβάνειν ἐναποθνησκόντων καὶ συνδιαφθειρομένων τῷ ὕδατι. Ἥ τε χώρα αὐτῶν μεστὴ κακῆς ἦν ἰλύος, γεννωμένων τε καὶ ἀποθνησκόντων, τάς τε κατ' οἶκον αὐτῶν διαίτας ἠφάνιζον ἐν βοτοῖς εὑρισκόμενοι καὶ ποτοῖς καὶ ταῖς εὐναῖς αὐτῶν ἐπιπολάζοντες, ὀδμή τε χαλεπὴ ἦν καὶ δυσώδης ἀποθνησκόντων τῶν βατράχων καὶ ἐν αὐτῇ διεφθαρμένων. Ὑπὸ δὲ τούτων τῶν κακῶν ἐλαυνομένων τῶν Αἰγυπτίων, τὸν Μωϋσῆν ἐκέλευσεν ὁ βασιλεὺς οἴχεσθαι τοὺς Ἑβραίους λαβόντα. Παραχρῆμα τοῦτ' εἰπόντος, ἠφάνιστο τῶν βατράχων τὸ πλῆθος καὶ ἥ τε γῆ καὶ ὁ ποταμὸς εἰς τὴν ἰδίαν φύσιν κατέστησαν. Φαραώθης δὲ, ἅμα τοῦ τε πάθους ἀπήλλακτο ἡ γῆ, καὶ τῆς αἰτίας ἐπελέληστο καὶ τοὺς Ἑβραίους κατεῖχε· καὶ ὥσπερ πλειόνων παθημάτων φύσεις βουλόμενος μαθεῖν οὐκέτ' ἠφίει τοῖς περὶ τὸν Μωϋσῆν ἐξιέναι, φόβῳ μᾶλλον ἢ φρονήσει ταύτην αὐτοῖς ἐπιτρέπων.

γ'. Πάλιν οὖν ἄλλου κακοῦ προσβολῇ μετῆει τὸ θεῖον αὐτοῦ τὴν ἀπάτην. Φθειρῶν γὰρ τοῖς Αἰγυπτίοις ἐξήνθησεν ἄπειρόν τι πλῆθος ἔνδοθεν ἀναδιδομένων· ὑφ' ὧν κακοὶ κακῶς ἀπώλλυντο, μήτε λουτροῖς μήτε χρίσεσι φαρμάκων διαφθεῖραι τὸ γένος αὐτῶν δυνάμενοι. Καὶ πρὸς τοῦτο τὸ δεινὸν ὁ τῶν Αἰγυπτίων βασιλεὺς ταραχθείς, καὶ δείσας ὁμοῦ τὸν ὄλεθρον τοῦ λαοῦ, καὶ τὴν αἰσχύνην δὲ τῆς ἀπωλείας λογισάμενος, ἐξ ἡμίσους ὑπὸ φαυλότητος ἠναγκάζετο σωφρονεῖν. Τοῖς μὲν γὰρ Ἑβραίοις αὐτοῖς ἐδίδου τὴν ἄφοδον, καὶ πρὸς τοῦτο λωφήσαντος, τέκνα καὶ γυναῖκας ὁμηρα τῆς ὑποστροφῆς αὐτῶν καταλιπεῖν αὐτοὺς ἠξίου. Προσεξαγριαίνει δὴ τὸν Θεὸν, νομίσας ἀπατήσειν αὐτοῦ τὴν πρόνοιαν, ὥσπερ Μωϋσέως, ἀλλ' οὐκ ἐκείνου, τιμωροῦντος τὴν Αἴγυπτον ὑπὲρ τῶν Ἑβραίων. Θηρίων γὰρ παντοίων καὶ πολυτρόπων, ὧν εἰς ὄψιν οὐδεὶς ἀπηντήκει πρότερον, τὴν χώραν αὐτῶν ἐγέμισεν, ὑφ' ὧν αὐτοί τε ἀπώλλυντο καὶ ἡ γῆ τῆς ἐπιμελείας τῆς παρὰ τῶν γεωργῶν ἀπεστέρητο. Εἰ δέ τι καὶ διέφυγε τὴν ὑπ' ἐκείνοις ἀπώλειαν, νόσῳ τοῦτο, καὶ τῶν ἀνθρώπων ὑπομενόντων, ἐδαπανᾶτο.

δ'. Τοῦ δὲ Φαραώθου μηδ' οὕτως εἴκοντος τοῖς τοῦ Θεοῦ βουλήμασιν, ἀλλὰ τὰς μὲν γυναῖκας συναπαίρειν τοῖς ἀνδράσιν ἀξιοῦντος, καταλιπέσθαι δὲ τοὺς παῖδας, οὐκ ἠπόρει τὸ θεῖον τὴν πονηρίαν αὐτοῦ ποικίλοις κακοῖς καὶ μείζοσιν τῶν προενδεδημηκότων μετερχόμενον βασανίσαι· ἀλλὰ γὰρ δεινῶς αὐτοῖς ἐξηλκοῦντο τὰ σώματα, τῶν ἐντὸς διαφθειρομένων. Καὶ τὸ πολὺ τῶν Αἰγυπτίων οὕτως ἀπώλλυτο. Μηδ' ὑπὸ ταύτης δὲ τῆς

sit Hebræos abire : verum ubi malum cessaverat, rursum a sententia sua discessit, eosque noluit dimittere.

2. Deus autem, quod in eum ingratus exstiterat *rex* et a calamitate liberatus sapere nollerat, aliam Ægyptiis intulit plagam. Ranarum vis immensa terram eorum populabatur; atque fluvius etiam iis abundabat, ut nulla potum haurientibus aqua suppeteret, nisi istorum animalium cruore polluta et inquinata, multis in ea morientibus simul et putrescentibus. Quin et tota terra Ægyptiorum fœdata erat turpi limo, enascentibus subinde ranis et intereuntibus : domesticam etiam vitæ eorum consuetudinem perturbarunt, in eduliis et potu repertæ, et in lectis eorum oberrantes; *denique* et odor gravis erat et fœtidus ex ranis continuo exspirantibus et in limo putrescentibus. His autem malis dum exagitabantur Ægyptii, Moysen cum Hebræis discedere jubebat rex. Illico, quum hæc dixisset, evanuit ranarum multitudo, terraque simul et flumen ad pristinam naturam rediere. Pharaothes vero ut primum terra eo malo liberari cœperat, et causæ illius oblitus est et Hebræos detinuit : et, quasi plurium calamitatum vim experiri vellet, Moysen populumque ab egressu prohibuit, quem prius, timore potius compulsus quam prudentia ductus, illis concesserat.

3. Rursum igitur alterius mali inflictione astutiam ejus persequitur numen. Pediculorum enim vis innumera e corporibus Ægyptiorum pullulabat : quibus mali male perierunt, ut qui neque lavacris neque medicamentorum inunctionibus eos enecare potuerint. Hac calamitate rex perturbatus, simul etiam metuens ne populus intereat, secumque reputans grave interitus probrum, dimidia ex parte a prava ad saniorem mentem reductus est. Nam Hebræis quidem ipsis abeundi veniam dat : quumque ad hoc a malo respiraret, liberos et uxores ut reditus obsides relinqui postulabat. Quo fiebat ut Deum magis irritaret, existimando se posse providentiam ejus fallere, quasi Moyses, non vero ille, pœnas ab Ægyptiis propter Hebræos expeteret. Nam bestiolis variis et multiformibus, quales nemo antea viderat, regionem opplevit : quæ et hominibus ipsis exitio fuerunt, adeo ut terra ab agricolis neglecta jacuerit et inculta. Si quod vero *animal* interitum ex illis effugerit, hoc ipsum morbo, cujus impetum homines sustinuerunt, conficiebatur.

4. At quum Pharaothes neque sic Dei voluntati cederet, sed mulieres quidem cum viris abire juberet, relinqui vero liberos, non cunctatus est Deus variis malis et gravioribus iis, quæ prius populo insederant, malitiam ejus persequi et castigare : sed fecit ut corpora illorum fœde pustulis exulcerarentur, interioribus consumptis. Atque ita magna pars Ægyptiorum interiit. Rege vero neque post hanc plagam

πληγῆς σωφρονιζομένου τοῦ βασιλέως, χάλαζα, μήτε πρότερον τοῦ κατ' Αἴγυπτον ἄέρος τοῦτο πεπονθότος μήτε ὁμοία τῇ παρ' ἄλλοις ὥρᾳ χειμῶνος κατιούσῃ, μείζων δὲ τῆς παρὰ τοῖς τὰ βόρεια καὶ τὴν ἄρκτον νεμομένοις ἔαρος ἀκμάζοντος, κατενεχθεῖσα τοὺς καρποὺς αὐτῶν κατέκλασεν. Ἔπειτα φῦλον ἀκρίδων ἐπινέμεται τὴν ὑπὸ τῆς χαλάζης μὴ καταβλαβεῖσαν σποράν· ὥστε πρὸς ἀκριβὲς πάσας τοῖς Αἰγυπτίοις τὰς ἀπὸ τῆς γῆς τῶν καρπῶν ἐλπίδας διολέσαι.

ε'. Ἦρκει μὲν οὖν τὸν δίχα πονηρίας ἀνόητον καὶ τὰ προειρημένα τῶν κακῶν εἰς σύνεσιν καὶ τοῦ συμφέροντος τὴν ἐπίνοιαν ὠφελῆσαι· Φαραώθης δὲ οὐ τοσοῦτον ὑπὸ ἀφροσύνης, ὅσον ὑπὸ κακίας, αἰσθόμενος τῆς αἰτίας, ὅμως ἀντεφιλονείκει τῷ Θεῷ καὶ τοῦ κρείττονος ἑκὼν προδότης ἐγένετο. Καὶ κελεύει μὲν τὸν Μωϋσῆν μετά τε γυναικῶν καὶ παίδων ἀπάγειν τοὺς Ἑβραίους, τὴν δὲ λείαν αὐτοῖς καταλιπεῖν, ἐφθαρμένης αὐτοῖς τῆς οἰκείας. Τοῦ δὲ Μωϋσέως οὐχὶ δίκαια φήσαντος αὐτὸν ἀξιοῦν, (δεῖν γὰρ αὐτοὺς τῷ Θεῷ τὰς θυσίας ἐκ τῆς λείας ἐπενεγκεῖν,) καὶ τριβομένου διὰ ταύτην τὴν αἰτίαν τοῦ χρόνου, σκότος βαθὺ καὶ φέγγους ἄμοιρον περιχεῖται τοῖς Αἰγυπτίοις, ὑφ' οὗ τάς τε ὄψεις ἀποκλειομένοις καὶ τὰς ἀναπνοὰς ἐμφραττομένοις ὑπὸ παχύτητος οἰκτρῶς τε ἀποθνήσκειν συνέβαινε καὶ διέναι μὴ καταποθῶσιν ὑπὸ τοῦ νέφους. Εἶτα τούτοις διασκεδασθέντος μετὰ τρεῖς ἡμέρας καὶ τοσαύτας νύκτας, ὡς οὐ μετενόει πρὸς τὴν ἔξοδον τῶν Ἑβραίων ὁ Φαραώθης, προσελθὼν ὁ Μωϋσῆς φησίν, « ἄχρι πότε ἀπειθεῖς τῇ τοῦ Θεοῦ γνώμῃ; κελεύει γὰρ οὗτος ἀπολύειν τοὺς Ἑβραίους· καὶ οὐκ ἔστιν ἑτέρως ἀπαλλαγῆναι τῶν κακῶν ὑμᾶς μὴ ταῦτα ποιήσαντας. » Ὁ δὲ βασιλεὺς ὀργισθεὶς ἐπὶ τοῖς εἰρημένοις ἠπείλησεν αὐτοῦ τὴν κεφαλὴν ἀποτεμεῖν, εἰ πάλιν περὶ τούτων ἐνοχλῶν αὐτῷ προσέλθοι. Μωϋσῆς δὲ οὐκέτι αὐτὸς ποιήσεσθαι περὶ τούτων λόγους ἔφησεν, αὐτὸν δὲ ἐκεῖνον, σὺν καὶ τοῖς πρώτοις τῶν Αἰγυπτίων, παρακαλέσειν τοὺς Ἑβραίους ἀπελθεῖν. Καὶ ὁ μὲν ταῦτ' εἰπὼν ἀπαλλάσσεται.

ς'. Ὁ δὲ Θεὸς, δηλώσας ἔτι μιᾷ πληγῇ τοὺς Αἰγυπτίους καταναγκάσειν ἀπολῦσαι τοὺς Ἑβραίους, ἐκέλευσε Μωϋσῆν παραγγεῖλαι τῷ λαῷ θυσίαν ἑτοίμην ἔχειν, παρασκευασαμένους τῇ δεκάτῃ τοῦ Ξανθικοῦ μηνὸς εἰς τὴν τεσσαρεσκαιδεκάτην, ὃς παρὰ μὲν Αἰγυπτίοις Φαρμουθὶ καλεῖται, Νισὰν δὲ παρ' Ἑβραίοις, Μακεδόνες δ' αὐτὸν Ξανθικὸν προσαγορεύουσιν· ἀπάγειν τε τοὺς Ἑβραίους πάντα ἐπικομιζομένους. Καὶ ὁ μὲν ἑτοίμους ἔχων ἤδη τοὺς Ἑβραίους πρὸς τὴν ἔξοδον καὶ διατάξας εἰς φρατρίας ἐν ταὐτῷ συνεῖχεν. Ἐνστάσης δὲ τῆς τεσσαρεσκαιδεκάτης, πάντες πρὸς ἔφοδον ἔχοντες ἔθυον, καὶ τῷ αἵματι τὰς οἰκίας ἤγνιζον, ὑσσώπου κόμας ἀναλαβόντες καὶ δειπνήσαντες τὰ λοιπὰ τῶν κρεῶν ἔκαυσαν, ὡς ἐξελευσόμενοι. Ὅθεν νῦν ἔτι κατὰ τὸ ἔθος οὕτω θύομεν, τὴν ἑορτὴν Πάσχα καλοῦντες· σημαίνει δὲ ὑπερβασία, διότι κατ' ἐκείνην τὴν

resipiscente, grando, qualis neque prius de cœlo Ægyptio deciderat, nec similis ei quæ alibi tempestate hiberna descendit, eaque major quæ vere adulto ab incolis ad boream et septentrioni subjectis conspicitur, superne delata fructus eorum fregit et contrivit. Deinde locustarum gens germen omne depascit, quod illæsum a grandine reliquum factum est : adeo ut nulla prorsus fructuum ex terra colligendorum spes Ægyptiis resederit.

5. Cuilibet sane, qui non improbus æque fuerit ac insipiens, sufficerint jam dictæ clades, tum ut in sapientia proficeret, tum ut consideraret quid e re sua foret : at Pharaothes non adeo ex imprudentia quam ex malitia, quum causam intelligeret, pertinaciter Deo repugnabat et sponte sua meliora *consilia* prodidit. Moysen itaque Hebræos cum uxoribus et liberis jussit abducere, facultates tamen suas Ægyptiis, quibus omnia tot calamitatibus absumpta erant, relinquere. Dum vero Moyses contenderet parum æqua ab eo postulari, (oportere enim ipsos ex rebus suis Deo sacrificium offerre,) et tempus multis verbis ultro citroque habitis tereretur, densæ tenebræ omnique prorsus lumine vacuæ circumfusæ sunt Ægyptiis; adeo ut visu obsesso spirituque ab *aeris* crassitie intercluso miserabiliter emori contigerit, atque incesserit metus ne a caligine absorberentur. Deinde his post tres dies totidemque noctes discussis, quum nondum pœnitendo adductus esset Pharaothes ut liberum Hebræis exitum permitteret, Moyses ad eum accedens ait, « quousque repugnabis Dei voluntati? ipse enim jubet Hebræos dimitti : fieri aliter non potest ut a malis liberemini, nisi hæc feceritis. » Rex autem, iis quæ dixerat ira incensus, minatus est caput illi abscindere, si rursum accederet et hac de re molestiam ipsi exhiberet. Moyses vero dixit se non amplius de his verba facturum : sed illum ipsum, cum primoribus etiam Ægyptiorum, Hebræos imploraturum esse ut discederent. Atque his dictis abiit.

6. Deus autem, ostendens adhuc una plaga percutiendos esse Ægyptios ut cogerentur Hebræos dimittere, jussit Moysen edicere populo ut in promptu habeant sacrificium, præparantes illud decima Xanthici mensis in quartamdecimam (qui mensis apud Ægyptios quidem Pharmuthi vocatur, apud Hebræos autem Nisan, Macedones vero Xanthicum eum appellant), *deih* ut et ipse Hebræos ducat omnia sua secum portantes. Et ille quidem, quum Hebræos ad egressum expeditos haberet et per tribus dispositos, in uno loco *eos* continebat. Quartadecima autem illucescente, omnes, quum jam in eo essent ut egrederentur, sacrificabant, atque sumptis hyssopi fasciculis, domos suas sanguine victimarum purificabant : quumque cœnassent, tanquam exituri, reliquias carnium exusserunt. Unde mos inolevit ut etiam nunc ita sacrificemus, festum illud Pascha nuncupantes : transitum autem *id* significat, quod illo ve-

ἐσπέραν ὁ Θεὸς αὐτῶν ὑπερβὰς Αἰγυπτίοις ἐναπέσκηψε τὴν νόσον. Ἡ γὰρ φθορὰ τῶν πρωτοτόκων κατ' ἐκείνην ἔπεισι τὴν νύκτα τοῖς Αἰγυπτίοις, ὡς συνελθόντας πολλοὺς τῶν περὶ τὸ βασίλειον διαιτωμένων τῷ Φαραώθῃ συμβουλεύειν ἀπολύειν τοὺς Ἑβραίους. Καὶ Μωϋσῆν καλέσας ἐκεῖνος ἀπιέναι προσέταξεν, εἰ τῆς χώρας ἐξέλθοιεν, παύσασθαι τὴν Αἴγυπτον κακοπαθοῦσαν ὑπολαβών. Δώροις τε τοὺς Ἑβραίους ἐτίμων, οἱ μὲν ὑπὲρ τοῦ τάχιον ἐξελθεῖν, οἱ δὲ καὶ κατὰ γειτνιάζουσαν πρὸς αὐτοὺς συνήθειαν.

ΚΕΦ. ΙΕ'.

Καὶ οἱ μὲν ἐξήεσαν, κλαιόντων καὶ μετανοούντων, ὅτι χρήσαιντο χαλεπῶς αὐτοῖς, τῶν Αἰγυπτίων. Τὴν δὲ πορείαν ἐποιοῦντο κατὰ Λητοῦς πόλιν, ἔρημον οὖσαν ἐν τοῖς τότε. Βαβυλὼν γὰρ ὕστερον κτίζεται ἐκεῖ, Καμβύσου καταστρεφομένου τὴν Αἴγυπτον. Συντόμως δὲ ποιούμενοι τὴν ἄφοδον, εἰς Βελσεφῶντα χωρίον τριταῖοι παραγίνονται τῆς Ἐρυθρᾶς θαλάσσης. Μηδενὸς δὲ τῶν ἀπὸ τῆς γῆς εὐπορούντες διὰ τὴν ἐρημίαν, πεφυραμένοι τοῖς ἀλεύροις καὶ πεπηγόσι μόνον ὑπὸ βραχείας θερμότητος, τοῖς ἀπ' αὐτῶν ἄρτοις διετρέφοντο. Καὶ τούτοις ἐπὶ τριάκονθ' ἡμέραις ἐχρήσαντο· πρὸς πλείονα γὰρ οὐκ ἐξήρκεσε χρόνον αὐτοῖς ὅσα ἐκ τῆς Αἰγύπτου ἐπεφέροντο, καὶ ταῦτα τὴν τροφὴν ταμιευομένοις καὶ πρὸς ἀνάγκην, ἀλλὰ μὴ πρὸς κόρον αὐτῇ χρωμένοις. Ὅθεν εἰς μνήμην τῆς τότε ἐνδείας ἑορτὴν ἄγομεν ἐφ' ἡμέρας ὀκτὼ, τὴν τῶν ἀζύμων λεγομένην. Τὸ μὲν οὖν πᾶν πλῆθος τῶν μετανισταμένων γυναιξὶν ἅμα καὶ τέκνοις σκοποῦσιν οὐχ εὐαρίθμητον ἦν· οἱ δὲ στρατεύσιμον ἔχοντες ἡλικίαν περὶ ἑξήκοντα μυριάδες ἦσαν.

β'. Κατέλιπον δὲ τὴν Αἴγυπτον μηνὶ Ξανθικῷ, πέμπτῃ καὶ δεκάτῃ κατὰ σελήνην, μετὰ ἔτη τριάκοντα καὶ τετρακόσια ἢ τὸν πρόγονον ἡμῶν Ἄβραμον εἰς τὴν Χαναναίαν ἐλθεῖν, τῆς δὲ Ἰακώβου μεταναστάσεως εἰς τὴν Αἴγυπτον γενομένης, διακοσίοις πρὸς τοῖς δεκαπέντε ἐνιαυτοῖς ὕστερον. Μωϋσῆ δ' ἐγεγόνει μὲν ἔτος ὀγδοηκοστὸν ἤδη, ὁ δὲ ἀδελφὸς αὐτοῦ Ἀαρὼν τρισὶ πλείοσιν. Ἐπεκομίζοντο δὲ καὶ τὰ τοῦ Ἰωσήπου ὀστᾶ, ταῦτ' ἐκείνου τοῖς υἱοῖς αὐτοῦ κελεύσαντος.

γ'. Αἰγύπτιοι δ' ἐπὶ τοῖς Ἑβραίοις ἐξελθοῦσι μετενόουν, καὶ τοῦ βασιλέως δεινῶς φέροντος, ὡς κατὰ γοητείαν τὴν Μωϋσέως τούτων γεγονότων, ἐπ' αὐτοὺς ἐγνώκεσαν ἀπίεναι. Καὶ λαβόντες ὅπλα καὶ παρασκευὴν ἐδίωκον, ὡς ἐπανάξοντες αὐτοὺς εἰ καταλάβοιεν· καὶ γὰρ οὐκέτ' αὐτοὺς ἐντεύξεσθαι τῷ Θεῷ· τὴν γὰρ ἔξοδον αὐτοῖς γεγονέναι. Κρατήσειν δὲ ῥᾳδίως αὐτῶν ὑπέλαβον ἀνόπλων τε ὄντων καὶ ὑπὸ τῆς ὁδοιπορίας κεκοπωμένων. Καὶ παρ' ἑκάστων ἀναπυνθανόμενοι ᾗ χωρήσειαν, ἐπέσπευδον τὴν δίωξιν, καίτοι χαλεπῆς οὔσης ὁδευθῆναι τῆς γῆς, οὐ στρατοπέδοις μόνον ἀλλὰ καὶ καθ' ἕνα. Μωϋσῆς δὲ ταύτῃ τοὺς Ἑβραίους ἀπήγαγεν, ἵν', εἰ μετανοήσαντες οἱ Αἰγύπτιοι διώκειν

spere Hebræos præterieus Deus pestem in Ægyptios immiserit. Ægyptiis enim illa nocte perierunt primogenita omnia: adeo ut plurimi, qui prope regiam circumquaque versabantur, concurrerint, ut Pharaothi persuaderent dimittendos esse Hebræos. Atque ille, accito Moyse, jussit *eos* abire, ratus fore ut, si ex regione discederent, calamitatibus liberaretur Ægyptus. Hebræos etiam muneribus prosequuti sunt, alii quidem, ut citius exirent, alii vero propter vicinitatis mutuæ consuetudinem.

CAP. XV.

Et illi quidem egressi sunt, flentibus Ægyptiis et pœnitentibus, quod tam male eos tractarint. Iter autem faciebant per Latopolim, tunc desertam. Illic enim postea condita est Babylon, quum Cambyses Ægyptum devastaret. Celerrime autem et per viarum compendia abeuntes, tertia die accesserunt Belsephontem, locum ad Rubrum mare situm. Quum vero terræ fructuum copiam nullam haberent, quod essent illa loca deserta, panibus victitabant, qui de farina leviter subacta et exiguo calore percocta facti essent. Atque his ad trigesimum usque diem sunt usi: nam ad longius temporis spatium ea ipsis non sufficiebant quæ *secum* ex Ægypto attulerant, idque victum *parce* ex necessitate dispensantibus, et non ad satietatem eo utentibus. Unde in memoriam istius inopiæ per octo dies festum celebramus, quod dicitur Azymorum. Et multitudo quidem migrantium una cum liberis et uxoribus tanta erat, ut haud facile numerando percenseri potuerit; qui vero ad militarem ætatem pervenerant, sexcenta erant millia.

2. Reliquerunt autem Ægyptum mense Xanthico, luna quintadecima, anno quadringentesimo trigesimo, postquam Abramus pater noster in Chananæam venit, et post Jacobi migrationem in Ægyptum anno ducentesimo quintodecimo. Moyses autem annum tunc agebat octogesimum; Aaron vero frater ejus triennio erat major. Deportabant etiam secum ossa Josephi, prout ille filiis suis mandaverat.

3. Ægyptios autem Hebræorum egressus pœnituit: regeque ægre ferente, quasi ista Moysis imputanda essent præstigiis, contra eos proficisci constituerunt. Arreptisque armis et apparatu eos persequebantur, reducturi, si modo assequi daretur. Etenim non amplius eos Deo supplicaturos esse; quippe quod illis exitus contigerit. Existimabant etiam facile *se* illos superare posse, utpote inermes et itinere defatigatos. Atque obvium quemque rogitantes qua tendissent Hebræi, cursu incitato *eos* insequebantur, tametsi illac difficile fuerit iter non solum exercitibus, sed expeditis quoque viatoribus. Moyses autem hac Hebræos abduxerat, ut si Ægyptii, pœnitentia impulsi, cum infestis

ἐθέλοιεν, τιμωρίαν τῆς πονηρίας καὶ παραβάσεως τῶν ὡμολογημένων ὑπόσχοιεν· καὶ διὰ Παλαιστίνους, δυσμενῶς ἔχοντας κατὰ παλαιὰν ἀπέχθειαν οὖσαν, ὁπωσοῦν ἐβουλεύετο λανθάνειν ἀπερχόμενος· ὅμορος γὰρ ἐστὶ τῇ τῶν Αἰγυπτίων χώρᾳ. Καὶ διὰ τοῦτο τὴν μὲν ἄγουσαν εἰς τὴν Παλαιστίνην οὐκ ἀπήγαγε τὸν λαόν, ἀλλὰ διὰ τῆς ἐρήμου, πολλὴν ἀνύσας ὁδὸν καὶ κακοπαθήσας, ἠθέλησεν ἐμβαλεῖν εἰς τὴν Χαναναίαν, ἔτι δὲ καὶ διὰ τὰς ἐντολὰς τοῦ Θεοῦ, κελεύσαντος ἀγαγεῖν τὸν λαὸν εἰς τὸ Σιναῖον ὄρος, ἐκεῖ ποιήσοντας τὰς θυσίας. Καταλαβόντες δὲ τοὺς Ἑβραίους οἱ Αἰγύπτιοι εἰς μάχην παρεσκευάζοντο, καὶ συνελαύνουσιν αὐτοὺς ὑπὸ πολυχειρίας εἰς ὀλίγον χωρίον. Ἑξακόσια γὰρ αὐτοῖς ἅρματα εἵπετο σὺν ἱππεῦσι πεντακισμυρίοις καὶ ὁπλιτῶν μυριάδες ἦσαν εἴκοσι· τάς τε ὁδοὺς ἀπεφράγνυσαν αἷς φεύξεσθαι τοὺς Ἑβραίους ὑπελάμβανον, μεταξὺ χρημνῶν αὐτοὺς ἀπροσβάτων καὶ τῆς θαλάττης ἀπολαμβάνοντες· τελευτᾷ γὰρ εἰς αὐτὴν ὄρος, ὑπὸ τραχύτητος ὁδῶν ἄπορον καὶ φυγῆς ἀπολαμβανόμενον. Τοιγαροῦν ἐν τῇ συμβολῇ τῇ πρὸς θάλασσαν τοῦ ὄρους τοὺς Ἑβραίους ἀπέφραττον τῷ στρατοπέδῳ, κατὰ στόμα τοῦτο ἱδρυσάμενοι, ὅπως τὴν εἰς τὸ πεδίον ἔξοδον ὦσιν αὐτοὺς ἀφηρημένοι.

δ'. Μήτ' οὖν ὑπομένειν πολιορκουμένων τρόπῳ διὰ τὴν ἔνδειαν τῶν ἐπιτηδείων δυνάμενοι μήτε φυγῆς εὐπορίαν ὁρῶντες, ὅπλων τε σπανίζοντες, εἰ καὶ μάχεσθαι δόξειεν αὐτοῖς, ἐν ἐλπίδι τοῦ πάντως ἀπολέσθαι καθεστήκεσαν, εἰ μὴ παραδώσουσιν ἑαυτοὺς τοῖς Αἰγυπτίοις ἑθελουσίως. Καὶ τὸν Μωϋσῆν ᾐτιῶντο, πάντων ἐπιλελησμένοι τῶν ἐκ Θεοῦ πρὸς τὴν ἐλευθερίαν αὐτοῖς σημείων γεγονότων, ὡς καὶ τὸν προφήτην παρορμῶντα καὶ τὴν σωτηρίαν αὐτοῖς ἐπαγγελλόμενον ὑπὸ ἀπιστίας λίθοις ἐθελῆσαι βαλεῖν, παραδιδόναι τε σφᾶς τοῖς Αἰγυπτίοις διεγνωκέναι. Πένθος τε ἦν καὶ ὀδυρμὸς γυναικῶν καὶ παίδων πρὸ ὀφθαλμῶν ἐχόντων τὸν ὄλεθρον, ὄρεσι καὶ θαλάσσῃ περικεκλεισμένων καὶ πολεμίοις καὶ φυγὴν οὐδαμόθεν ἐκ τούτων ἐπινοούντων.

ε'. Μωϋσῆς δὲ, καίπερ ἀγριαίνοντος πρὸς αὐτὸν τοῦ πλήθους, οὔτ' αὐτὸς ἐνέκαμνε τῇ περὶ αὐτοὺς προνοίᾳ καὶ τῷ Θεῷ κατεφρόνει, τά τε ἄλλα πρὸς τὴν ἐλευθερίαν αὐτοῖς ὅσα προεῖπε παρεσχηκότι καὶ μηδὲ τότ' αὐτοὺς ἐάσοντι ὑπὸ τοῖς ἐχθροῖς γενομένους ἢ δουλεύειν ἢ ἀπολέσθαι. Καὶ στὰς ἐν μέσοις, « οὐδὲ ἀνθρώποις, « εἶπε, καλῶς τὰ παρόντα πεπολιτευμένοις πρὸς ἡμᾶς « δίκαιον ἦν ἀπιστεῖν, ὡς οὐχ ὁμοίοις ἐσομένοις πρὸς « τὰ μέλλοντα, τῆς δὲ τοῦ Θεοῦ νῦν ἀπογινώσκειν ὑμᾶς « προνοίας μανίας ἔργον ἂν εἴη, παρ' οὗ πάνθ' ὑμῖν « ἀπήντηκεν, ὅσα δι' ἐμοῦ πρὸς σωτηρίαν καὶ τὴν « ἀπαλλαγὴν τῆς δουλείας οὐδὲ προσδοκῶσιν ὑπέσχετο. « Μᾶλλον δ' ἐχρῆν ἐν ἀπόροις, ὡς δοκεῖτε, γεγενημέ« νους βοηθὸν ἐλπίζειν τὸν Θεὸν, οὗ καὶ τὸ νῦν εἰς ταύ« την ἡμᾶς περικεκλεῖσθαι τὴν δυσχωρίαν ἔργον, ἵν' « ἐξ ἀμηχάνων, ὅθεν οὔτ' αὐτοὶ νομίζετε σωτηρίαν « ἕξειν οὔθ' οἱ πολέμιοι, ἐκ τούτων ῥυσάμενος τήν τε

agminibus sequi se vellent, pœnas malitiæ pactique violati persolverent : Palæstinis etiam, quos ob veterem simultatem sibimet infensos habuerunt *Hebræi*, quovis modo, dum iter faceret, latere volebat : est enim illorum regio Ægypto contermina. Proindeque populum ducens non recta contendit Palæstinam, sed per desertum, multis confectis itineribus, malisque pressus, Chananæam ingredi voluit. His accessere Dei mandata, jubentis populum adduci ad montem Sinæum, illic *ei* sacrificaturum. Ægyptii autem, quum Hebræos assequuti fuissent, ad pugnam sese accinxerunt, eosque multitudine circumfusa in arctum redigunt. Nam currus sexcenti eos sequebantur, cum equitum quinquaginta millibus, et ducentis millibus peditum : viasque obsederant, quibus Hebræos e manibus evasuros esse existimabant, inter præcipitia inaccessa et mare conclusos tenentes. Nam illud procurrit mons, præruptus et invius, fugamque prohibens. Hebræos itaque montem inter et mare obsidione premebant, castris ad hoc ostium positis, ut præcluderetur iis exitus ad planitiem.

3. Itaque quum neque obsessorum more subsistere propter commeatus inopiam potuerint, neque fuga evadendi viam perspexerint, neque arma haberent, etsi quam maxime pugnare vellent; nihil iis præter interitus exspectationem supererat, ni sese Ægyptiis voluntarios dederent. Moysen etiam incusarunt, signorum obliti quæ pro ipsorum libertate ediderat Deus, eoque processerunt, ut prophetam hortantem et salutem illis pollicentem præ incredulitate lapidare voluerint, seque in Ægyptiorum potestatem tradere decreverint. Atque luctus erat et lamentatio mulierum et liberorum, mortem ante oculos habentium; quum essent montibus et mari simul et hostibus circumquaque inclusi, nec de ulla ex hisce effugiendi via cogitarent.

5. Moyses autem, utut in eum efferata erat multitudo, neque ipse quicquam de cura illorum remisit et Deo confidebat, qui et alia quæ prædixerit pro eorum libertate præstitisset, et tunc eos inimicis non sit permissurus, vel in servitutem retrahendos vel morti tradendos. Quumque medius in concione constitisset, ait, « hominibus quidem, si « in præsenti res vestras bene gesserint, haud æquum es« set diffidere, veluti ad easdem in posterum gerendas mi« nus idoneis : nunc vero de Dei providentia vos desperare, « summæ fuerit dementiæ; qui omnia *ea* in vos contulit, « quæ per me pro salute *vestra* ac liberatione a servitute « ne sperantibus quidem promisit. Magis autem oportet « vos, in angustiis ut putatis constitutos, Deum auxiliato« rem exspectare; qui vos in arctum hunc locum nunc con« cludi voluit, ut, quum neque vosmetipsi existimaretis, « neque inimici, ex his difficultatibus vos in tutum recip

« ἰσχὺν ἐπιδείξηται τὴν ἑαυτοῦ καὶ τὴν περὶ ἡμᾶς πρό-
« νοιαν. Οὐ γὰρ ἐπὶ μικροῖς τὸ θεῖον τὴν ἑαυτοῦ συμ-
« μαχίαν οἷς ἂν εὔνουν ᾖ δίδωσιν, ἀλλ' ἐφ' οἷς ἀνθρω-
« πίνην ἐλπίδα μὴ βλέπῃ πρὸς τὸ χρεῖττον παροῦσαν.
« Ὅθεν τοιούτῳ βοηθῷ πεπιστευκότες, ᾧ δύναμις καὶ
« τὰ μικρὰ ποιῆσαι μεγάλα καὶ τῶν τηλικούτων ἀσθέ-
« νειαν καταψηφίσασθαι, μὴ καταπέπληχθε τὴν Αἰ-
« γυπτίων παρασκευήν, μηδ' ὅτι θάλασσα καὶ κατόπιν
« ὑμῖν ὄρη φυγῆς ὁδὸν οὐ παρέχοντα, διὰ τοῦτ' ἀπογι-
« νώσκετε τῆς σωτηρίας· γένοιτο γὰρ ἂν καὶ ταῦθ' ὑμῖν
« πεδία τοῦ Θεοῦ θελήσαντος, καὶ γῆ τὸ πέλαγος. »

ΚΕΦ. ΙϚ'.

Τοσαῦτα εἰπὼν ἦγεν αὐτοὺς ἐπὶ τὴν θάλασσαν, τῶν Αἰγυπτίων ὁρώντων. Ἐν ὄψει τε γὰρ ἦσαν καὶ τῷ πόνῳ τεταλαιπωρημένοι τῆς διώξεως εἰς τὴν ὑστεραίαν τὴν μάχην ὑπερβάλλεσθαι καλῶς ἔχειν ὑπελάμβανον. Ἐπεὶ δὲ πρὸς τῷ αἰγιαλῷ Μωϋσῆς ἐγεγόνει, λαβὼν τὴν βακτηρίαν τὸν Θεὸν ἱκέτευε καὶ σύμμαχον καὶ βοηθὸν ἐκάλει λέγων οὕτως, « οὐδ' αὐτὸς μὲν ἀγνοεῖς,
« ὦ δέσποτα, ὅτι φυγεῖν ἡμῖν ἐκ τῶν παρόντων οὔτε
« κατὰ ῥώμην οὔτε κατ' ἐπίνοιάν ἐστιν ἀνθρωπίνην,
« ἀλλ' ἤδη τι πάντως σωτήριον στρατῷ, τῷ κατὰ τὴν
« σὴν βούλησιν ἀφέντι τὴν Αἴγυπτον, σόν ἐστιν ἐκπο-
« ρίζειν. Ἡμεῖς τε ἄλλην ἀπεγνωκότες ἐλπίδα καὶ μη-
« χανήν, εἰς τὴν ἀπὸ σοῦ μόνου καταφεύγομεν, καὶ εἴ τι
« παρὰ τῆς σῆς προνοίας ἔλθοι ἐξαρπάσαι τῆς Αἰγυ-
« πτίων ὀργῆς ἡμᾶς δυνάμενον ἀφορῶμεν. Ἀφίκοιτο
« δὲ τοῦτο ταχέως, τὴν σὴν ἐμφανίζον ἡμῖν δύναμιν,
« καὶ τὸν λαὸν, ὑπὸ ἀνελπιστίας καταπεπτωκότα πρὸς
« τὸ χεῖρον, ἀνάστησον εἰς εὐθυμίαν καὶ τὸ περὶ τῆς
« σωτηρίας θάρσος. Ἐν οὐκ ἀλλοτρίοις δ' ἐσμὲν τοῖς
« ἀπόροις, ἀλλὰ σὴ μὲν ἡ θάλασσα, σὸν δὲ τὸ περι-
« κλεῖον ἡμᾶς ὄρος, ὡς ἀνοιγῆναι μὲν τοῦτο σοῦ κελεύ-
« σαντος, ἠπειρωθῆναι δὲ καὶ τὸ πέλαγος, εἶναι δὲ ἡμῖν
« ἀποδρᾶναι καὶ δι' ἀέρος, δόξαν ἰσχύϊ τῇ σῇ τοῦτον
« ἡμᾶς σώζεσθαι τὸν τρόπον. »

β'. Τοσαῦτα ἐπιθειάσας τύπτει τῇ βακτηρίᾳ τὴν θάλασσαν, ἡ δὲ ὑπὸ τῆς πληγῆς ἀνεκόπη, καὶ εἰς ἑαυτὴν ὑποχωρήσασα γυμνὴν ἀφίησι τὴν γῆν ὁδὸν Ἑβραίοις εἶναι καὶ φυγήν. Μωϋσῆς δὲ ὁρῶν τὴν ἐπιφάνειαν τοῦ Θεοῦ καὶ τὸ πέλαγος ἐκκεχωρηκὸς αὐτοῖς τῆς ἰδίας ἠπείρου, πρῶτος ἐνέβαινεν αὐτῇ, καὶ τοὺς Ἑβραίους ἐκέλευεν ἕπεσθαι διὰ θείας ὁδοῦ ποιουμένους τὴν πορείαν, καὶ τῷ κινδύνῳ τῶν παρόντων πολεμίων ἡδομένους καὶ χάριν ἔχοντας διὰ τὴν παράλογον οὕτως ἐξ αὐτοῦ σωτηρίαν ἀναφανεῖσαν.

γ'. Τῶν δὲ οὐκ ὀκνούντων, ἀλλ' ἰεμένων μετὰ σπουδῆς ὡς συμπαρόντος αὐτοῖς τοῦ Θεοῦ, μαίνεσθαι μὲν αὐτοὺς Αἰγύπτιοι τὸ πρῶτον ἐδόκουν ὡς ἐπὶ πρόδηλον ὄλεθρον ὁρμωμένους· ἐπεὶ δ' ἑώρων ἀβλαβεῖς ἐπὶ τὸ πολὺ προκεκοφότας καὶ μηδὲν αὐτοῖς ἐμπόδιον μηδὲ δυσχερὲς ἀπαντῆσαν, διώκειν ὡρμήκεσαν αὐτούς, ὡς κἀκείνοις ἠρεμήσοντος τοῦ πελάγους, καὶ προτάξαντες

« posse, ex iis vos eripiendo et potentiam suam ostende-
« ret et circa nos providentiam. Deus enim iis, quos bene-
« volentia prosequitur, non parvis in rebus suum accom-
« modat auxilium, sed tum demum, quum videt hominibus
« nullam superesse spem meliorum. Unde vos tali adjutore
« fretos, qui et parva in magna potest extollere, tantarum-
« que copiarum vires imminuere et debilitare, ne terreat
« Ægyptiorum apparatus : neque propter fugam mari et
« montibus a tergo impeditam de salute desperate ; nam et
« isti, Deo *ita* volente, vobis erunt in planitiem, et mare
« vertetur in terram. »

CAP. XVI.

Hæc quum dixisset, eos ad mare ducebat, spectantibus Ægyptiis. Nam in conspectu erant, et, persequendi labore fatigati, pugnam in crastinum diem differre e re sua esse existimabant. Ut primum vero ad littus venerat Moyses, arrepta virga, Deum, ut auxilio sibi foret et adjumento, invocat hisce verbis : « tu quidem, o domine, minime
« ignoras, quod frustra viribus aut cogitatione humana ni-
« timur ut mala præsentia vitemus atque effugiamus.
« Sed jam tuum est aliquid plane salutare exercitui expe-
« dire, qui tuæ obsequendo voluntati Ægyptum reliquit.
« Nos enim, alia omni de spe dejecti et consilio destituti,
« ad te solum confugimus, tuam opem implorantes; et sus-
« pensis animis exspectamus quid tua nobis constituat pro-
« videntia, ut ex Ægyptiorum ira furentium manibus eri-
« piamur. Quicquid autem hoc sit, quam ocissime veniat,
« tuam nobis potentiam ostendens : atque populo, ex rerum
« desperatione in pejus labenti, animos restitue, et in salu-
« tis spem fiduciamque erige. Non in aliis sumus difficul-
« tatibus, quam quas tua habes in potestate : nam tuum
« quidem est mare, tuus vero et mons qui nos circumdat :
« ita ut hic quidem, te jubente, aperiri possit; mare ve-
« ro in terram converti; possumus etiam per aerem subli-
« mes ferri et evadere, si eo modo nos servari vult tua po-
« tentia. »

2. His Deum precatus mare virga percutit. Istud vero ictu retunditur; et, se ipsum in se recipiens, nudam relinquit terram, qua fugam capesserent Hebræi. Moyses autem Dei præsentiam perspiciens, et mare illis de solo suo cessisse, primus vada ingreditur : jussitque Hebræos sequi, semita incedentes a Deo patefacta, tam de hostium eos insectantium periculo sibimet gratulantes, quam *Deo* gratias agentes, qui illis adeo insperatam ex eo ad salutem aperuit viam.

3. At quum illi, nihil cunctandum rati, valde properarent Dei præsentia freti, primum insanire visi sunt Ægyptiis, ut qui in manifestam sese conjicerent perniciem. Postquam vero eos satis salvos longius aliquanto processisse conspexerant, nullo illis occurrente impedimento aut difficultate objecta, impetu facto persequi eos cœperunt, quasi et ipsis in tranquillum cessurum esset mare : et præmissis equi-

τὴν ἵππον κατέβαινον. Ἑβραῖοι δὲ καθοπλιζομένους καὶ τὸν χρόνον εἰς τοῦτο τρίβοντας ἔφθασαν ἐπὶ τὴν ἀντιπέραν γῆν ἀπαθεῖς ἐκφυγόντες. Ὅθεν καὶ θαρσαλεωτέροις συνέβαινε πρὸς τὴν δίωξιν ὡς οὐδὲν οὐδ' αὐτῶν πεισομένων εἶναι· Αἰγύπτιοι δ' ἐλάνθανον ἰδίαν ὁδὸν Ἑβραίοις γεγενημένην, ἀλλ' οὐχὶ κοινὴν ἐμβαίνοντες, καὶ μέχρι σωτηρίας τῶν κεκινδυνευκότων πεποιημένην, ἀλλ' οὐχὶ καὶ τοῖς ἐπ' ἀπωλείᾳ τῇ τούτων ὡρμημένοις χρήσασθαι θέλουσιν. Ὡς οὖν ὁ τῶν Αἰγυπτίων στρατὸς ἅπας ἐντὸς ἦν, ἐπιχεῖται πάλιν ἡ θάλασσα, καὶ περικαταλαμβάνει ῥοώδης ὑπὸ πνευμάτων κατιοῦσα τοὺς Αἰγυπτίους. Ὄμβροι τ' ἀπ' οὐρανοῦ κατέβαινον, καὶ βρονταὶ σκληραὶ προσεξαπτομένης ἀστραπῆς, καὶ κεραυνοὶ δὲ κατηνέχθησαν. Ὅλως δ' οὐδὲν ἦν τῶν ἐπ' ἀπωλείᾳ κατὰ μῆνιν Θεοῦ συμπιπτόντων ἀνθρώποις, ὃ μὴ τότε συνῆλθε· καὶ γὰρ νὺξ αὐτοὺς ζοφώδης καὶ σκοτεινὴ κατέλαβε. Καὶ οἱ μὲν οὕτως ἀπώλοντο πάντες, ὡς μηδ' ἄγγελον τῆς συμφορᾶς τοῖς ὑπολελειμμένοις ὑποστρέψαι.

δ'. Τοὺς δ' Ἑβραίους οὐδὲ κατασχεῖν ἦν ἐπὶ τῇ χαρᾷ τῆς παραδόξου σωτηρίας καὶ τῇ τῶν πολεμίων ἀπωλείᾳ, βεβαίως νομίζοντας ἠλευθερῶσθαι, τῶν ἀναγκαζόντων δουλεύειν διεφθαρμένων, καὶ τὸν Θεὸν οὕτως ἐναργῶς ἔχοντας βοηθοῦντα. Καὶ οἱ μὲν αὐτοί τε τὸν κίνδυνον οὕτως ἐκφυγόντες καὶ προσέτι τοὺς ἐχθροὺς ἐπιδόντες κεκολασμένους, ὡς οὐκ ἄλλοι τινὲς μνημονεύονται τῶν πρόσθεν ἀνθρώπων, ἐν ὕμνοις ἦσαν καὶ παιδιαῖς ὅλην τὴν νύκτα, καὶ Μωϋσῆς ᾠδὴν εἰς τὸν Θεὸν ἐγκώμιόν τε καὶ τῆς εὐμενείας εὐχαριστίαν περιέχουσαν ἐν ἑξαμέτρῳ τόνῳ συντίθησιν.

ε'. Ἐγὼ μὲν οὖν ὡς ηὗρον ἐν ταῖς ἱεραῖς βίβλοις, οὕτως ἕκαστον τούτων παρέδωκα. Θαυμάσῃ δὲ μηδεὶς τοῦ λόγου τὸ παράδοξον, εἰ ἀρχαίοις ἀνθρώποις καὶ πονηρίας ἀπείροις γύρεθη σωτηρίας ὁδὸς καὶ διὰ θαλάσσης, εἴτε κατὰ βούλησιν Θεοῦ εἴτε κατ' αὐτόματον, ὁπότε καὶ τοῖς περὶ τὸν Ἀλέξανδρον τὸν βασιλέα τῆς Μακεδονίας χθὲς καὶ πρώην γεγονόσιν ὑπεχώρησε τὸ Παμφύλιον πέλαγος καὶ ὁδὸν ἄλλην οὐκ ἔχουσι παρέσχε τὴν δι' αὐτοῦ, καταλῦσαι τὴν Περσῶν ἡγεμονίαν τοῦ Θεοῦ θελήσαντος. Καὶ τοῦτο πάντες ὁμολογοῦσιν οἱ τὰς Ἀλεξάνδρου πράξεις συγγραψάμενοι. Περὶ μὲν οὖν τούτων ὡς ἑκάστῳ δοκεῖ διαλαμβανέτω.

ς'. Τῇ δ' ὑστεραίᾳ τὰ ὅπλα τῶν Αἰγυπτίων, προσενεχθέντα τῷ στρατοπέδῳ τῶν Ἑβραίων ὑπὸ τοῦ ῥοῦ καὶ τῆς βίας τοῦ πνεύματος ἐπ' ἐκεῖνο ἐκδιδούσης, ὁ Μωϋσῆς, καὶ τοῦτο εἰκάσας τῇ τοῦ Θεοῦ προνοίᾳ γεγονέναι, ὅπως μηδὲ ὅπλων ὦσιν ἄποροι, συναγαγών, καὶ τούτοις σκεπάσας τοὺς Ἑβραίους, ἦγεν ἐπὶ τὸ Σιναῖον ὄρος, θύσων ἐκεῖ τῷ Θεῷ καὶ τὰ σώστρα τῆς πληθύος ἀποδώσων, καθὼς αὐτῷ καὶ προείρητο.

tibus *in vada* descendebant. Hebræi vero, dum illi arma induerent et aliquantisper id agendo morarentur, in adversum littus incolumes evaserunt. Unde et Ægyptii ad eos persequendos facti sunt audaciores, ac si foret ut ipsi similiter nihil mali paterentur. Quippe ignorarunt Ægyptii quod viam tenuerint Hebræis solis constitutam, non aliis tritam, paratamque in periclitantium salutem, non iis qui in aliorum exitium properantes ea uti volunt Itaque quum jam universus Ægyptiorum exercitus *in vada* intrasset, rursus se diffundit mare, et cum impetu a ventis propellentibus delatum Ægyptios fluctibus circumdatos obruit. Imbres etiam de cœlo descenderunt, et aspera tonitrua fulguribus simul intermicantibus : insuper et fulmina jactabantur. Ad summam concursus erat omnium quæ ab irato Deo hominibus ad perniciem immitti solent : nam et nox eos opprimebat caliginosa et tenebricosa. Ac isti quidem universi adeo perierunt, ut nec nuncius cladis ad domi relictos reverteretur.

4. Hebræi autem vix se præ gaudio continuerunt ex tam insperata salute et hostium strage, existimantes semet in firmam stabilemque libertatem vindicari, nemine superstite qui se in servitutem retraheret, præsertim quum Deum manifesto adeo sibimet in subsidium venientem habuerint. Et illi quidem ipsi, quod periculum ita effugerant, hostesque præterea maximo post hominum memoriam supplicio viderant affectos, in hymnis et hilaritate totam noctem exegerunt : et Moyses canticum in Deum componit versibus senariis, quod et laudes ejus complectitur et gratiarum actiones ejus de benevolentia.

5. Et ego quidem prout sacris in libris scriptum reperiebam, horum unumquodque memoriæ prodidi. Nemo vero narrationem ut incredibilem miretur, si antiqui homines et malitiæ expertes in maris scissura viam ad salutem invenerint, sive Dei voluntate sive sponte naturæ : quandoquidem heri et nudiustertius iis, qui sub ductu erant Alexandri Macedoniæ regis, cessit Pamphylium mare, et aliam viam non habentibus illac iter aperuit, quum Deus Persarum imperium evertere decrevisset. Atque hoc omnes testantur, qui Alexandri res gestas scriptis mandarunt. At enim de his quisque, ut libuerit, sentiat.

6. Postera vero die quum æstus ventis adjuvantibus arma Ægyptiorum in littus ejecisset, ubi tum Hebræi castra posuerant, Moyses, hoc ipsum conjiciens Dei providentia factum esse, ne armis essent destituti, ea colligens, iisque tegens muniensque Hebræos, duxit eos ad montem Sinæum, Deo illic sacrificaturus et munera pro salute populi oblaturus, prout ipsi antea imperaverat *Deus*.

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

α'. Ὡς Μωϋσῆς τὸν λαὸν ἀπὸ Αἰγύπτου ἀναλαβὼν ἤγαγεν ἐπὶ τὸ Σιναῖον ὄρος, πολλὰ ταλαιπωρήσαντα ἐν τῇ ὁδοιπορίᾳ.

β'. Ὡς πολεμήσαντες Ἑβραίοις Ἀμαληκῖται καὶ οἱ πέριξ ἡττήθησαν, καὶ Ἰσραηλῖται τὴν πολλὴν τῆς στρατιᾶς ἀπέβαλον πληθύν.

γ'. Ὅτι τὸν πενθερὸν αὐτοῦ Ἰοθόρην Μωϋσῆς, παραγενόμενον πρὸς αὐτὸν εἰς τὸ Σιναῖον, ἀσμένως ὑπεδέξατο.

δ'. Ὡς ὑπέθετο διατάξαι τὸν λαὸν αὐτῷ κατὰ χιλιάρχους καὶ ἑκατοντάρχους, ἄκτικον ὄντα τὸ πρῶτον· καὶ ὡς ἕκαστα τούτων ἐποίησε Μωϋσῆς κατὰ τὴν τοῦ πενθεροῦ παραίνεσιν.

ε'. Ὡς ἀναβὰς Μωϋσῆς ἐπὶ τὸ Σιναῖον ὄρος καὶ λαβὼν παρὰ τοῦ Θεοῦ τοὺς νόμους τοῖς Ἑβραίοις ἔδωκεν.

ς'. Περὶ τῆς σκηνῆς ἣν κατεσκεύασεν ἐν τῇ ἐρήμῳ Μωϋσῆς εἰς τιμὴν τοῦ Θεοῦ, ὥστε ναὸν εἶναι δοκεῖν.

ζ'. Τίνες τοῖς ἱερεῦσίν εἰσιν αἱ στολαὶ καὶ ἡ τοῦ ἀρχιερέως· περὶ τῆς τοῦ Ἀαρὼν ἱερωσύνης, καὶ τῶν ἁγνειῶν καὶ θυσιῶν οἱ τρόποι· καὶ περὶ τῶν ἑορτῶν, καὶ ὡς ἑκάστη τῶν ἡμερῶν διατέτακται· ἄλλοι τε νόμοι.

η'. Ὡς ἐκεῖθεν ἄρας Μωϋσῆς ἤγαγε τὸν λαὸν εἰς τοὺς ὅρους τῶν Χαναναίων, καὶ τοὺς κατασκεψομένους αὐτῶν τήν τε χώραν καὶ τῶν πόλεων τὸ μέγεθος ἐξαπέστειλεν.

θ'. Ὅτι τῶν πεμφθέντων μετὰ τεσσαρακοστὴν ὑποστρεψάντων ἡμέραν, καὶ λεγόντων οὐκ ἀξιομάχους αὐτοὺς, ἀλλὰ τὴν τῶν Χαναναίων ὑπεξαιρόντων δυνάμιν, τὸ πλῆθος ταραχθὲν καὶ πεσὸν εἰς ἀπόγνωσιν, ὥρμησεν ὡς καταλεῦσαι τὸν Μωϋσῆν, καὶ πάλιν εἰς τὴν Αἴγυπτον ἀποστρέψαι δουλεύειν διεγνωκότες.

ι'. Καὶ ὡς ἐπὶ τούτῳ Μωϋσῆς διαγανακτήσας, τὸν Θεὸν αὐτοῖς ἐπὶ ἔτη τεσσαράκοντα, τὴν ἐπὶ τῆς ἐρημίας διατριβὴν, προεῖπεν ὠργίσθαι, καὶ μήτ' εἰς Αἴγυπτον ὑποστρέφειν μήτε λαβεῖν τὴν Χαναναίαν.

Περιέχει ἡ βίβλος χρόνον ἐτῶν β'.

ΚΕΦ. Α'.

Παραδόξου δὲ τοῖς Ἑβραίοις τῆς σωτηρίας οὕτω γενομένης, δεινῶς ἐλύπει πάλιν αὐτοὺς, ἀγομένους ἐπὶ τὸ Σιναῖον ὄρος, ἡ χώρα τελέως οὖσα ἔρημος καὶ τῶν τε πρὸς τροφὴν αὐτοῖς ἄπορος, σπανίζουσα δὲ καὶ ὕδατος εἰς τὸ ἔσχατον, καὶ μὴ μόνον ἀνθρώποις τι παρασχεῖν ἐνδεὴς, ἀλλὰ μηδ' ἄλλο τι τῶν ζώων ἱκανὴ βόσκειν· ψαφαρὰ γάρ ἐστι, καὶ νοτερὸν ἐξ αὐτῆς οὐδὲν ὅ τι καὶ φῦσαι καρπὸν δύναιτο. Τοιαύτην δὲ οὖσαν τὴν χώραν ἐξ ἀνάγκης ὤδευον, ἑτέραν ἀπελθεῖν οὐκ ἔχοντες. Ἐπεφέροντο δ' ἐκ τῆς προωδοιπορημένης ὕδωρ, τοῦ στρατηγοῦ κεκελευκότος, καὶ τούτου δαπανηθέντος, ἐκ φρεάτων ἐποιοῦντο τὴν ὑδρείαν ἐπιπόνως διὰ σκληρότητα τῆς γῆς· καὶ τὸ εὑρισκόμενον δὲ πικρὸν, ἀλλ' οὐ πότιμον ἦν, καὶ τοῦτο δὲ σπάνιον. Ἀφικνοῦνται δὲ τοῦτον ὁδεύοντες τὸν τρόπον περὶ δείλην ὀψίαν εἰς Μὰρ τόπον, οὕτω διὰ τὴν τοῦ ὕδατος κακίαν ὀνομάσαντες· μὰρ γὰρ ἡ πικρία λέγεται. Καὶ αὐτόθι τεταλαιπωρημένοι τῷ τε συνεχεῖ τῆς ὁδοιπορίας καὶ τῇ τῆς τροφῆς ἀπορίᾳ (καὶ γὰρ καὶ τότ' αὐτοὺς τελέως ἐπιλε-

LIBER TERTIUS.

1. Quomodo Moyses populum ex Ægypto receptum deduxit ad montem Sinæum, graviter afflictum et attritum ex itinere.
2. Quomodo Amalecitæ populique finitimi bellum inferentes Hebræis, ab iis devicti sunt, et Israëlitæ magnam exercitus sui partem amiserunt.
3. Quod Jothorem socerum suum Moyses, ad se venientem in montem Sinæum, lætus exceperit.
4. Quomodo suasit ei ut populum antea incompositum divideret, præfectosque designaret qui millenis et centenis præessent : et ut ex soceri consilio singula hæc constituit Moyses.
5. Quomodo Moyses in montem Sinæum ascendit et accepitas a Deo leges Hebræis dedit.
6. De tabernaculo, quod Deo statuit et sacravit Moyses in solitudine ita ut templum specie referret.
7. Qualia fuerint vestimenta sacerdotum et pontificis : de Aaronis sacerdotio, variisque purificationum et sacrificiorum ritibus : atque de festis, et ut dies singuli dispositi erant : tum leges aliæ.
8. Quomodo Moyses castris motis populum duxit ad Chananæorum confinia; et quosdam dimisit ad explorandam regionem et urbium magnitudinem.
9. Qui missi fuerant, post quadraginta dies reversi, suorum deprimunt vires et Chananæorum potentiam extollunt : quo fit ut multitudo, timore perculsa et in desperationem acta, ad Moysen lapidandum incitaretur et consilium iniret de reditu in Ægyptum ad serviendum.
10. Utque Moyses, hanc rem indigne ferens, prædixit, Deum velle per quadraginta annos, quamdiu morarentur in solitudine, illis succensere; et neque in Ægyptum reversuros esse, neque occupaturos Chananæam.

Liber hic continet biennii historiam.

CAP. I.

Quum autem hoc modo insperata Hebræis salus contigisset, rursus eos, dum in montem Sinæum ducerentur, graviter afflixit regio plane deserta, tam necessariis ad victum destituta, quam extrema aquarum inopia laborans, ut non solum in hominum usum nihil suppeditaret, sed ne pecudum quidem alimento quidquam idoneum. Nam tota squalida est, et ne minimum humoris habens qui fructum in apricum educeret. At vero hujusmodi regionem peragrare, quum aliam non potuissent, necessitate cogebantur. Aquam autem ducis jussu, secum deferebant ex locis quæ jam pertransierant : ea vero absumpta, aquationis causa puteos deprimebant, magno labore propter duritiem terræ. Ac, quum inveniretur aqua, amara erat et nequaquam potabilis, nec ejus copia satis magna. In hunc modum iter facientes prima vespera ad Mar locum pervenerunt, quem ob aquas vitiosas ita appellarunt : amaritudo enim mar dicitur. Ibique, continuis itineribus pariter ac ciborum inopia misere vexati, (tunc enim illos omnino defecerat commeatus,) permanse-

λοίπει) κατάγονται. Φρέαρ γὰρ ἦν, (διὸ καὶ μᾶλλον ἔμειναν,) οὐδ' αὐτὸ μὲν ἐξαρκεῖν δυνάμενον τοσούτῳ στρατῷ, βραχεῖαν μέντοι παρέχον αὐτοῖς εὐθυμίαν ἐν ἐκείνοις εὑρεθὲν τοῖς χωρίοις· καὶ γὰρ ἤκουον παρὰ τῶν ἐξερευνώντων μηδὲν ἔμπροσθεν βαδίζουσιν εἶναι πικρὸν δὲ ἐκεῖνο τὸ ὕδωρ καὶ ἄποτον ἦν, οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ τοῖς ὑποζυγίοις ἀφόρητον.

β'. Ὁρῶν δ' ὁ Μωϋσῆς ἀθύμως διακειμένους καὶ τοῦ πράγματος τὸ ἀναντίλεκτον, (οὐ γὰρ καθαρὸς ἦν στρατὸς, ὥστε τῷ βιαζομένῳ τῆς ἀνάγκης ἀντιτάξαι τὸ ἀνδρεῖον, ἀλλὰ διέφθειρε τὸ κατ' ἐκείνους γενναῖον παίδων τε καὶ γυναικῶν ὄχλος ἀσθενέστερος τῆς ἐκ λόγων διδασκαλίας,) ἐν χαλεπωτέροις ἦν, τὴν συμφορὰν τὴν τῶν ἁπάντων ἰδίαν αὐτοῦ ποιούμενος. Καὶ γὰρ οὐδ' ἐπ' ἄλλον τινὰ συνέτρεχον, ἀλλ' ἐπ' αὐτὸν, ἀντιβολοῦντες, γύναια μὲν ὑπὲρ νηπίων, οἱ δ' ἄνδρες ὑπὲρ ἐκείνων, μὴ περιορᾶν, ἀλλ' ἐκπορίζειν αὐτοῖς ἀφορμήν τινα σωτηρίας. Ἱκετεύειν οὖν τρέπεται τὸν Θεὸν, μεταβαλεῖν τὸ ὕδωρ ἐκ τῆς παρούσης κακίας καὶ πότιμον αὐτοῖς παρασχεῖν. Καὶ κατανεύσαντος τοῦ Θεοῦ τὴν χάριν, λαβὼν ἀποτομάδος τὸ ἄκρον ἐν ποσὶν ἐρριμμένης, διαιρεῖ μέσῃ, καὶ κατὰ μῆκος τὴν τομὴν ποιησάμενος, ἔπειτα μεθεὶς εἰς τὸ φρέαρ ἔπειθε τοὺς Ἑβραίους τὸν Θεὸν ἐπήκοον αὐτοῦ τῶν εὐχῶν γεγονέναι, καὶ ὑπεσχῆσθαι τὸ ὕδωρ αὐτοῖς παρέξειν οἷον ἐπιθυμοῦσιν, ἂν πρὸς τὰ ὑπ' αὐτοῦ κελευόμενα μὴ ὀκνηρῶς, ἀλλὰ προθύμως ὑπουργῶσιν. Ἐρομένων δ' αὐτῶν τί καὶ ποιούντων ἂν μεταβάλοι τὸ ὕδωρ εἰς κρεῖττον, κελεύει τοὺς ἐν ἀκμῇ περιστάντας ἐξαντλεῖν, λέγων τὸ ὑπολειπόμενον ἔσεσθαι πότιμον αὐτοῖς προεκκενωθέντος τοῦ πλείονος. Καὶ οἱ μὲν ἐπόνουν, τὸ δὲ ὑπὸ τῶν συνεχῶν πληγῶν γεγυμνασμένον καὶ κεκαθαρμένον ἤδη πότιμον ἦν.

γ'. Ἅραντες δ' ἐκεῖθεν εἰς Ἦλιν ἀφικνοῦνται, πόρρωθεν μὲν ἀγαθὴν ὁραθῆναι (καὶ γὰρ φοινικόφυτος ἦν), πλησιάζουσι δὲ ἀπηλέγγετο πονηρά. Καὶ γὰρ οἱ φοίνικες, ὄντες οὐ πλείους ἑβδομήκοντα, δυσαυξεῖς τε ἦσαν καὶ χαμαίζηλοι δι' ὕδατος ἀπορίαν, ψαφαροῦ τοῦ παντὸς ὄντος χωρίου· οὔτε γὰρ ἐκ τῶν πηγῶν, δώδεκα οὐσῶν τὸν ἀριθμὸν, νοτερόν τι καὶ πρὸς ἄρδευσιν αὐτοῖς διεπῆδα χρήσιμον, ἀλλὰ μὴ δυναμένων ἐκβλύσαι μηδ' ἀνασχεῖν, ἰκμάδες ἦσαν ὀλίγαι, καὶ διαμωμένοις τὴν ψάμμον οὐδὲν ἀπήντα· κἂν εἴ τι δὲ στάζον ἔλαθον εἰς χεῖρας, ἄχρηστον ηὑρίσκετο ὑπὸ τοῦ θολερὸν εἶναι. Καρπόν τε φέρειν ἦν ἀσθενῆ τὰ δένδρα, διὰ σπάνιν τῆς ἐξ ὕδατος εἰς τοῦτο ἀφορμῆς καὶ παρακλήσεως. Ἔλεγον οὖν ἐν αἰτίᾳ τὸν στρατηγὸν καὶ κατεβόων αὐτοῦ, τὴν ταλαιπωρίαν καὶ τὴν πεῖραν τῶν κακῶν δι' αὐτὸν πάσχειν λέγοντες. Τριακοστὴν γὰρ ἐκείνην ὁδεύοντες ἡμέραν, ὅσα μὲν ἐπεφέροντο πάντ' ἦσαν ἀναλωκότες, μηδενὶ δὲ περιτυγχάνοντες δυσέλπιδες ἦσαν περὶ τῶν ὅλων. Πρὸς δὲ τῷ παρόντι κακῷ τὴν διάνοιαν ὄντες, καὶ ἐν μνήμῃ εἶναι τῶν ὑπηργμένων αὐτοῖς ἔκ τε τοῦ Θεοῦ καὶ τῆς Μωϋσέως ἀρετῆς καὶ συνέσεως κωλυόμενοι,

runt. Nam puteus illic erat, (quamobrem eo magis morabantur,) qui quidem sufficere tanto exercitui non poterat, nonnihil tamen eos consolabatur, in iis utpote locis inventus : ab exploratoribus namque acceperant, nihil in progressu reperturos : illa autem aqua amarulenta erat et nulli potabilis, non hominibus solum, sed et ne jumentis quidem ferenda.

2. Moyses autem quum vidisset populum animos despondere, et rem ejusmodi esse ut verba contra valere non possent (non enim sincerus erat exercitus, qui necessitatis violentiæ opponeret fortitudinem; sed generosos animorum impetus retuderat puerorum et mulierum turba, imbecillior quam ut ratione persuaderi posset,) in summas adductus est angustias, omnium calamitatem perinde habens ac si sua esset. Etenim ad alium quenquam se non conferebant, sed ad ipsum, orantes atque obsecrantes, mulieres quidem pro infantibus, viri autem pro mulieribus, ne se negligeret, sed aliquam ipsis viam ad salutem aperiret. Itaque ad Deum precandum se convertit, ut aquæ vitio præsenti mederi, eamque potabilem reddere dignaretur. Deoque hanc gratiam annuente, baculi summitatem ad pedes jacentis arripiens, mediam in longitudinem diffindit. Deinde in puteum mittens, persuasit Hebræis, Deum preces ipsius exaudivisse, atque promisisse se talem illis, qualem desiderent, aquam esse suppeditaturum, modo ad jussa ipsius exsequenda non segni, sed alacri animo sese accingerent. Illis autem interrogantibus quid factu opus esset ut aqua in melius mutaretur, jubet circumstantium robustissimum quemque *aquam* exhaurire, dicens, majore ejus parte exinanita reliquam potabilem fore. Atque illi quidem laborem susceperunt : aqua vero, continuis ictibus exercita et expurgata, mox potabilis evasit.

3. Inde autem castris motis ad Elin pervenerunt, e longinquo quidem aspectu pulcram (namque palmis erat consita), aditu vero iniqua deprehensa est. Palmæ enim illæ, non plures quam septuaginta, difficulter crescebant et humiles admodum erant ob aquæ penuriam, quod omnis iste locus siccus esset et arenosus : neque ex fontibus, qui duodecim numero, humidi quidquam prosiliebat et aquationi idoneum, sed quum in iis nulla esset scaturigo et aquæ emersio, rari erant humoris effluxus, et quamvis in arenam defoderent, nihil eis occurrebat : et si quid etiam stillans deprehenderent, adeo turbidum erat, ut inutile invenirent. Quin et arbores debiliores erant quam ut fructus ederent, propter inopiam aquæ, qua elicerentur et refocillarentur. Ductorem itaque reprehendebant, eumque clamore increpabant, dicentes ipsum in causa fuisse quod tantum miseriæ subirent et tot mala experirentur. Nam, quum ille dies tricesimus esset, ex quo iter ingressi sunt, commeatum omnem secum deportatum absumpserant, nihilque reperientes, paululum aberant ab omnium rerum desperatione. Defixi autem in mali præsentis cogitatione, nec in memoriam revocantes quanta illis effecta reddiderit Deus atque Moysis virtus et sapientia, duci succensebant, et in eo erant

δι' ὀργῆς τὸν στρατηγὸν εἶχον, καὶ βάλλειν αὐτὸν ὡρμήκεσαν, ὡς αἰτιώτατον τῆς ἐν ποσὶ συμφορᾶς.

δ'. Ὁ δ', οὕτως ἀνηρεθισμένου τοῦ πλήθους καὶ πικρῶς ἐπ' αὐτὸν κεκινημένου, τῷ Θεῷ θαρρῶν καὶ τῷ συνειδότι τῆς περὶ τοὺς ὁμοφύλους προνοίας, πάρειν εἰς μέσους καὶ καταβοώντων καὶ τὰς χεῖρας ἐπὶ τοῖς λίθοις ἐχόντων. Ὀραθῆναί τε κεχαρισμένος ὢν καὶ πλήθεσιν ὁμιλεῖν πιθανώτατος καταπαύειν ἤρξατο τῆς ὀργῆς, μὴ τῶν παρόντων αὐτοὺς δυσκόλων μεμνημένους λήθην ἔχειν τῶν ἔμπροσθεν εὐεργεσιῶν παρακαλῶν, μηδ' ὅτι νῦν πονοῦσι, τῆς διανοίας ἐκβάλλειν τὰς τοῦ Θεοῦ χάριτας καὶ δωρεὰς, ὧν μεγάλων καὶ ἐκ παραδόξου ἔτυχον γενομένων, προσδοκᾶν δὲ καὶ τῆς παρούσης ἀπαλλαγῆναι ἀμηχανίας ἐκ τῆς τοῦ Θεοῦ κηδεμονίας, ὃν εἰκὸς δοκιμάζοντα τὴν ἀρετὴν αὐτῶν, πῶς τε καρτερίας ἔχουσι καὶ μνήμης τῶν προϋπηργμένων, εἰ μὴ πρὸς ἐκεῖνα γίγνοιντο διὰ τὰ ἐν ποσὶ κακὰ, γυμνάζειν αὐτοὺς τοῖς ἄρτι χαλεποῖς· ἐλέγχεσθαι δὲ αὐτοὺς οὐκ ἀγαθοὺς οὔτε περὶ τὴν ὑπομονὴν οὔτε περὶ τὴν μνήμην τῶν εὖ γεγονότων, οὕτω μὲν τοῦ Θεοῦ καὶ τῆς ἐκείνου γνώμης, καθ' ἣν ἐκλελοίπασι τὴν Αἴγυπτον, καταφρονοῦντας, οὕτω δὲ πρὸς αὐτὸν τὸν ὑπηρέτην αὐτοῦ διατεθέντας, καὶ ταῦτα μηδὲν αὐτοὺς διαψευσάμενον, περὶ ὧν εἶποι τε καὶ πράττειν κατ' ἐντολὴν τοῦ Θεοῦ κελεύσειε. Καταριθμεῖται οὖν πάντα, πῶς τε φθαρεῖεν Αἰγύπτιοι, κατέχειν αὐτοὺς παρὰ τὴν τοῦ Θεοῦ γνώμην βιαζόμενοι, καὶ τίνα τρόπον ὁ αὐτὸς ποταμὸς ἐκείνοις μὲν αἷμα ἦν καὶ ἄποτος, αὐτοῖς δὲ πότιμος καὶ γλυκύς· πῶς τε διὰ τῆς θαλάσσης, ἀναφυγούσης αὐτοὺς πορρωτάτω, καινὴν ὁδὸν ἀπελθόντες, αὐτῇ ταύτῃ σωθείησαν μὲν αὐτοὶ, τοὺς δὲ ἐχθροὺς ἐπίδοιεν ἀπολωλότας, ὅτι τε σπανίζοντας ὅπλων εἰς εὐπορίαν ὁ Θεὸς καὶ τούτων καταστήσειεν, τά τε ἄλλα ὅσα πρὸς αὐτῷ τῷ διαφθαρήσεσθαι δόξαντας γεγονέναι καὶ σώσειεν ὁ Θεὸς ἐκ παραλόγου καὶ ὡς δύναμις αὐτῷ * * ἀπογινώσκειν δὴ μηδὲ νῦν αὐτοῦ τὴν πρόνοιαν, ἀλλ' ἀοργήτως περιμένειν, λογιζομένους μὲν τὴν ἐπικουρίαν μηδὲ βραδεῖαν γενέσθαι, εἰ μὴ παραυτίκα, πρίν τινος πειραθῆναι δυσκόλου, πάρεστιν, ἡγουμένους δὲ οὐ κατ' ὀλιγωρίαν μέλλειν τὸν Θεὸν, ἀλλ' ἐπὶ πεῖρᾳ τῆς ἀνδρείας αὐτῶν καὶ τῆς περὶ τὴν ἐλευθερίαν ἡδονῆς, ἵνα μάθοι πότερόν ποτε καὶ τροφῆς ἀπορίαν καὶ σπάνιν ὕδατος ὑπὲρ αὐτῆς ἐστὲ ἐνεγκεῖν γενναῖοι, ἢ δουλεύειν μᾶλλον ἀγαπᾶτε καθάπερ τὰ βοσκήματα τοῖς κρατοῦσι καὶ τοῖς πρὸς τὰς ἐκείνων ὑπηρεσίας ἀφθόνως τρεφομένοις· δεδιέναι εἰπὼν οὐχ οὕτως ὑπὲρ τῆς ἑαυτοῦ σωτηρίας (πείσεσθαι γὰρ οὐδὲν κακὸν ἀδίκως ἀποθανών), ἀλλ' ὑπὲρ αὐτῶν, μὴ δι' ὧν ἐπ' αὐτὸν βάλλουσι λίθων τοῦ Θεοῦ καταφρονεῖν νομισθῶσιν.

ε'. Οὕτως οὖν ἐπράϋνεν αὐτοὺς, καὶ τῆς μὲν τοῦ βάλλειν ὁρμῆς ἐπέσχε, καὶ εἰς μετάνοιαν ὧν ἔμελλον ὁρᾶν ἐπέτρεψε. Παθεῖν δ' οὐκ ἀλόγως αὐτοὺς διὰ τὴν ἀνάγκην τοῦτο νομίσας ἔγνω δεῖν ἐφ' ἱκετείαν τοῦ Θεοῦ

ut illum lapidarent, tanquam calamitatis, qua premebantur, auctorem præcipuum.

4. Ille vero, multitudine irritata et acriter in ipsum concitata, Dei auxilio fretus, sibique conscius, quod summa fide contribulium saluti prospiciat, prodit in medium dum vociferarent et saxa manibus arriperent. Quumque esset aspectu gratissimus et populari facundia quammaxime polleret, ad iras *eorum* leniendas aggreditur, obsecrans ne, in præsens incommodum nimio plus intenti, priorum beneficiorum oblivionem caperent; nec, quia nunc *inedia* laborent, ex animo ejicerent Dei gratiam et munera, quibus permagnis et præter opinionem cumulati fuerant: sed sperarent etiam de præsenti anxietate se dei providentia liberatum iri, quem verisimile esset ad probandam eorum virtutem, et quantum tolerantiæ haberent, utque memoria prius edita tenerent miracula, et annon ad illa respicerent in angustias nunc adducti, rebus hisce adversis illos exercere: eos vero redargui, quod in malis perferendis non recte se gesserint, nec promeritorum bene meminerint, quum Deum ejusque voluntatem, quam sequuti Ægyptum reliquerant, adeo contemnant; ipsumque ejus ministrum tam iniquis odiis persequantur, quem in iis quæ dixerit, aut ex Dei jussu fieri præceperit, nihil quicquam mentitum esse compererint. Deinde singula enumerat: ut magna clade affecti fuerint Ægyptii, quod ipsos contra Dei mandatum detinere contenderint; et quo modo idem flumen illis quidem cruentum et ad potum inutile, ipsis vero dulce fuerit ac potabile; atque ut per mare, longissime ab ipsis refugiens, novam euntes viam, hac ipsi re salutem quidem acceperint, inimicos vero interneciône deletos spectaverint; quod etiam, quum arma non habuerint, ea ipsis abunde suppeditarit Deus; et ut sæpe alias, quum in extrema pericula conjecti viderentur, ipsos ex improviso servarit Deus et ut penes eum sit * * * Itaque ne nunc quidem de ejus providentia desperarent, sed tranquille exspectarent, cogitantes quidem non sero venire auxilium, si non statim, priusquam duriusculi aliquid fuerint experti, adveniat: secum vero reputarent non ex negligentia cunctari Deum, sed ad fortitudinem illorum explorandam et libertatis amorem; ut sibi constaret utrum pro ea victus inopiam et aquæ penuriam aliquando fortiter tolerare possitis, an pecudum more potius servire parati estis dominis et qui in ipsorum usus et ministeria saginare volunt: denique se quidem non tam de sua salute sollicitum esse, cui nihil mali eveniret, si injuste moreretur, quam de ipsorum incolumitate, ne, dum se lapidarent, Deum contemnere existimarentur.

5. Illos igitur hoc modo mitigavit, et a lapidibus quidem jaciendis furentes continuit, et ad eorum quæ facere parati erant pœnitentiam adduxit. Quum vero ei viderentur non immerito ob hanc vitæ necessitatem adeo commoveri, se-

καὶ παράκλησιν ἐλθεῖν. Καὶ ἀναβὰς ἐπί τινα σκοπὴν ὑψηλὴν ἤτει πόρον τινὰ τῷ λαῷ καὶ τῆς ἐνδείας ἀπαλλαγήν· (ἐν αὐτῷ γὰρ εἶναι τὴν σωτηρίαν αὐτοῦ καὶ οὐκ ἐν ἄλλῳ·) συγγινώσκειν τε τοῖς νῦν ὑπὸ τῆς ἀνάγκης ὑπὸ τοῦ λαοῦ πραττομένοις, φύσει δυσαρέστου καὶ φιλαιτίου τοῦ τῶν ἀνθρώπων ἐν οἷς ἂν ἀτυχῇ γένους ὄντος. Ὁ δὲ Θεὸς προνοήσειν τε ἐπαγγέλλεται καὶ παρέξειν ἀφορμὴν ἣν ποθοῦσι. Μωϋσῆς δὲ τοῦ Θεοῦ ταῦτ' ἀκούσας καταβαίνει πρὸς τὸ πλῆθος. Οἱ δ' ὡς ἑώρων καὶ ταῖς ἐπαγγελίαις ταῖς παρὰ τοῦ Θεοῦ γεγηθότα, μετέβαλον ἐκ τῆς κατηφείας ἐπὶ τὸ ἱλαρώτερον· καὶ στὰς ἐκεῖνος ἐν μέσοις ἤκειν ἔλεγε φέρων αὐτοῖς παρὰ τοῦ Θεοῦ τὴν περὶ τῶν ἐνεστηκότων ἀπόρων ἀπαλλαγήν. Καὶ μετ' ὀλίγον ὀρτύγων πλῆθος (τρέφει δὲ τοῦτο τὸ ὄρνεον ὡς οὐδὲν ἕτερον ὁ Ἀράβιος κόλπος) ἐφίπταται τὴν μεταξὺ θάλασσαν ὑπερελθὸν, καὶ, ὑπὸ κόπου τε ἅμα τῆς πτήσεως καὶ πρόσγειον μᾶλλον τῶν ἄλλων ὂν, καταφέρεται εἰς τοὺς Ἑβραίους. Οἱ δὲ συλλαμβάνοντες, ὡς τροφὴν αὐτοῖς τοῦ Θεοῦ ταύτην μηχανησαμένου, τὴν ἔνδειαν ἴῶντο. Καὶ Μωϋσῆς ἐπ' εὐχὰς τρέπεται τοῦ Θεοῦ, ταχεῖαν καὶ παρὰ τὴν ὑπόσχεσιν ποιησαμένου τὴν ἐπικουρίαν.

ς'. Εὐθὺς δὲ μετὰ τὴν πρώτην ἀφορμὴν τῆς τροφῆς καὶ δευτέραν αὐτοῖς κατέπεμπεν ὁ Θεός. Ἀνέχοντος γὰρ τοῦ Μωϋσέως τὰς χεῖρας ἐπὶ ταῖς εὐχαῖς δρόσος κατηνέχθη. Καὶ περιπηγνυμένης ταῖς χερσὶ Μωϋσῆς, ὑπονοήσας καὶ ταύτην εἰς τροφὴν ἥκειν αὐτοῖς παρὰ τοῦ Θεοῦ, γεύεται, καὶ ἡσθεὶς, τοῦ πλήθους ἀγνοοῦντος καὶ νομίζοντος νίφεσθαι καὶ τῆς ὥρας εἶναι τοῦ ὑετοῦ τὸ γινόμενον, ἀνεδίδασκεν οὐ κατὰ τὴν ἐκείνων ὑπόληψιν ἀπ' οὐρανοῦ καταφέρεσθαι τὴν δρόσον, ἀλλ' ἐπὶ σωτηρίᾳ τῇ αὐτῶν καὶ διατροφῇ. Καὶ γευόμενος τοῦτ' αὐτοῖς παρεῖχε πιστεύειν. Οἱ δὲ, μιμούμενοι τὸν στρατηγὸν, ἥδοντο τῷ βρώματι· μέλιτι γὰρ ἦν τὴν γλυκύτητα καὶ τὴν ἡδονὴν ἐμφερὲς, ὅμοιον δὲ τῇ τῶν ἀρωμάτων βδέλλῃ, τὸ δὲ μέγεθος τῷ κοριάνδρου σπέρματι. Καὶ περὶ τὴν συλλογὴν λίαν αὐτοῦ ἐσπουδάκεσαν. Παρήγγελτο δ' ἐξ ἴσου πᾶσιν ἀσσάρωνα (τοῦτο δ' ἐστὶ μέτρον) εἰς ἑκάστην ἡμέραν συλλέγειν, ὡς οὐκ ἐπιλείψοντος αὐτοῖς τοῦ βρώματος, ἵνα μὴ τοῖς ἀδυνάτοις ἄπορον ᾖ τὸ λαμβάνειν δι' ἀλκὴν τῶν δυνατωτέρων πλεονεκτούντων περὶ τὴν ἀναίρεσιν. Οἱ μέντοι πλέον τοῦ προστεταγμένου μέτρου συναγαγόντες οὐδὲν περιττότερον εἶχον τοῦ κακοπαθῆσαι· ἀσσάρωνος γὰρ οὐδὲν πλέον ηὕρισκον. Τοῦ δ' ὑπολειφθέντος εἰς τὴν ἐπιοῦσαν ὄνησις οὐ δή τις ἦν, διεφθαρμένου ὑπό τε σκωλήκων καὶ πικρίας. Οὕτω θεῖον ἦν τὸ βρῶμα καὶ παράδοξον· ἀμύνει δὲ τοῖς ταύτην νεμομένοις τὴν ἐκ τῶν ἄλλων ἀπορίαν. Ἔτι δὲ καὶ νῦν ὅσον ταῖς ἐκεῖνος ὁ τόπος, καθάπερ καὶ τότε Μωϋσῆ χαριζόμενον τὸ θεῖον κατέπεμψε τὴν διατροφήν. Καλοῦσι δὲ Ἑβραῖοι τὸ βρῶμα τοῦτο μάννα. Τὸ γὰρ μὰν ἐπερώτησις κατὰ τὴν ἡμετέραν διάλεκτον, τί τοῦτ' ἐστὶν ἀνακρίνουσα. Καὶ οἱ μὲν χαίροντες ἐπὶ τοῖς

cum statuit Deum precibus et supplicationibus appellare. Atque, loco quodam eminentiori conscenso, a Deo deposcebat et auxilii aliquid populo et liberationem a summa rerum inopia, (in ipso enim et alio nemine sitam esse ejus salutem,) utque iis ignosceret quæ populus eo miseriæ adactus patrarit, quum ingenium hominum in infortuniis querulum esse soleat et difficile. Deus itaque et se provisurum esse promisit, et subsidium illis desideratum allaturum. Moyses autem, quum hæc a Deo accepisset, descendit ad multitudinem. Illi vero, ut eum conspexerunt ex Dei promissionibus gaudio suffusum, mœrorem lætitia mutarunt : atque is, in medio concionis stans, dixit se venire, ut præsentibus incommodis remedium a Deo afferret. Et aliquanto post magna vis coturnicum (quod genus avium præ ceteris alit sinus Arabicus) advolavit, interjectum mare transgressa : et, simul volandi labore fatigata ac propius quam aliæ *volucres* terram accedens, in Hebræos defertur. Illi vero manibus apprehendentes, tanquam alimentum sibi a Deo paratum, suæ subveniunt et medentur inopiæ. Tum ad vota Deo reddenda se convertit Moyses, ut qui opem illis quam ocissime et juxta promissum tulerit.

6. Mox autem post primum cibum suppeditatum etiam alium illis demittebat Deus. Nam, dum Moyses ad orandum manus attolleret, ros delabitur. Et quum manibus adhæresceret, Moyses, suspicatus et illum in cibum eorum a Deo venisse, primoribus labris attingit, ac gavisus, dum rei ignara esset multitudo et pro nive haberet, atque ea tempestate contigisse putaret qua soleat pluere, edocuit ipsos, non rorem, ut opinati sunt, de cœlo descendere, sed *cibum* in eorum salutem et nutrimentum. Et quum degustasset, illud ipsis offert ad fidem faciendam. Illi vero, ducem imitantes, cibo gaudebant : nam mel suavitate et delectatione referebat, at simile erat bdellio inter aromata, magnitudine vero coriandri semini par. Ei quidem colligendo valde studebant. Jussi autem erant omnes assaronem (mensuræ id genus est) quotidie colligere : neque ita cuiquam cibum defuturum, cauto ne validiores, plus legere satagentes, imbecillioribus difficultatem cibi colligendi afferrent. Illi tamen, qui ultra præscriptum modum processerant, nihil fructus ex labore tulerunt : nam assarone non amplius inveniebant. At quicquid in crastinum relinquebatur, nemini erat usui, a vermibus et amaritudine corruptum. Adeo divinus et incredibilis erat hic cibus : qui vero eo vescebantur, alio non egebant victu. Quin et hactenus tota illa regione depluit, quemadmodum et tunc in Moysis gratiam Deus id alimenti demittebat. Hunc autem cibum manna vocant Hebræi : nam man secundum nostram loquutionem interrogationis particula est, quum quid sit rei percontamur. Et illi quidem istis, quæ ad eos cœlitus de-

ἀπ' οὐρανοῦ καταπεμφθεῖσιν αὐτοῖς διετέλουν. Τῇ δὲ τροφῇ ταύτῃ τεσσαράκοντα ἔτεσιν ἐχρήσαντο, ἐφ' ὅσον χρόνον ἦσαν ἐν τῇ ἐρήμῳ.

Ζ'. Ὡς δ' ἐκεῖθεν ἀραντες εἰς Ῥαφιδὶν ἦκον, ταλαιπωρηθέντες ὑπὸ τοῦ δίψους εἰς ἔσχατον, ἔν τε ταῖς πρότερον ἡμέραις πίδαξιν ὀλίγαις ἐντυγχάνοντες, καὶ τότε παντάπασι ἄνυδρον εὑρόντες τὴν γῆν, ἐν κακοῖς ἦσαν· καὶ πάλιν δι' ὀργῆς τὸν Μωϋσῆν ἐποιοῦντο. Ὁ δὲ τὴν ὁρμὴν τοῦ πλήθους πρὸς μικρὸν ἐκκλίνας ἐπὶ λιτὰς τρέπεται τοῦ Θεοῦ, παρακαλῶν ὡς τροφὴν αὐτοῖς ἔδωκεν ἀπορουμένοις, οὕτω καὶ ποτὸν παρασχεῖν, διαφθειρομένης καὶ τῆς ἐπὶ τροφῇ χάριτος ποτοῦ μὴ παρόντος. Ὁ δ' οὐκ εἰς μακρὰν τὴν δωρεὰν ἀνεβάλλετο, τῷ δὲ Μωϋσῇ παρέζειν ὑπισχνεῖται πηγὴν καὶ πλῆθος ὕδατος, ὅθεν οὐ προσδοκήσειαν. Καὶ κελεύει τῷ βάκτρῳ πλήξαντα τὴν πέτραν, ἣν ἑώρων αὐτόθι παρακειμένην, παρ' αὐτῆς λαμβάνειν τὴν εὐπορίαν ὧν δέονται· φροντίζειν γὰρ καὶ τοῦ μὴ σὺν πόνῳ μηδ' ἐργασίᾳ τὸ ποτὸν αὐτοῖς φανῆναι. Καὶ Μωϋσῆς, ταῦτα λαβὼν παρὰ τοῦ Θεοῦ, παραγίνεται πρὸς τὸν λαὸν, περιμένοντα καὶ εἰς αὐτὸν ἀφορῶντα· καὶ γὰρ ἤδη καὶ ἐθεώρουν αὐτὸν ἀπὸ τῆς σκοπῆς ὁρμώμενον. Ὡς δ' ἦκεν, ἀπολύειν αὐτοὺς καὶ ταύτης τῆς ἀνάγκης ἔλεγεν τὸν Θεὸν, καὶ κεχαρίσθαι σωτηρίαν οὐδ' ἐλπισθεῖσαν, ἐκ τῆς πέτρας ποταμὸν αὐτοῖς ῥυήσεσθαι λέγων. Τῶν δὲ πρὸς τὴν ἀκοὴν καταπλαγέντων, εἰ ὑπό τε τοῦ δίψους καὶ τῆς ὁδοιπορίας τεταλαιπωρημένοις ἀνάγκη γένοιτο κόπτειν τὴν πέτραν, ὁ Μωϋσῆς πλήττει τε τῇ βακτηρίᾳ, καὶ χανούσης ἐξέβλυσεν ὕδωρ πολὺ καὶ διαυγέστατον. Οἱ δὲ τῷ παραδόξῳ τοῦ γεγονότος κατεπλάγησαν, καὶ πρὸς τὴν ὄψιν ἤδη τὸ δίψος αὐτοῖς ἔληγεν· καὶ πίνουσιν ἡδὺ καὶ γλυκὺ τὸ νᾶμα, καὶ οἷον ἂν εἴη Θεοῦ τὸ δῶρον δόντος ἐφαίνετο. Τόν τε οὖν Μωϋσῆν ἐθαύμαζον οὕτως ὑπὸ τοῦ Θεοῦ τετιμημένον, καὶ θυσίαις ἠμείβοντο τὴν τοῦ Θεοῦ περὶ αὐτοὺς πρόνοιαν. Δηλοῖ δὲ ἐν τῷ ἱερῷ ἀνακειμένη γραφὴ τὸν Θεὸν Μωϋσῇ προειπεῖν οὕτως ἐκ τῆς πέτρας ἀναδοθήσεσθαι ὕδωρ.

lapsa sunt, continue gaudebant. Hoc autem victu per annos quadraginta usi sunt, quamdiu *scilicet* in solitudine permanserunt.

7. Quum vero inde migrantes Raphidin venissent, siti extrema laborantes, quod præcedentibus diebus in paucissimos fontes inciderint, et tunc siccam omnino et aquarum expertem invenerint terram, in malis esse cœperunt : rursumque iram in Moysen convertebant. Ille autem, multitudinis impetu vix evitato, ad Deum precandum se contulit, obsecrans ut qui victum illis in egestate dederat, nunc et potum largiri dignaretur, quum periret *apud eos* etiam cibi gratia, si potus deficeret. Is vero non diu benignitatem suam distulit : sed Moysi pollicetur fontem illis exoriturum esse et aquarum abundantiam, unde minimum sperarent. Tum jubet ut virga feriret petram in conspectu sitam, et inde copiam ejus sumeret quod desiderabant : seque etiam curaturum ut sine labore et exercitio illis affluueret. Moyses, quum hæc a Deo accepisset, revertitur ad populum, exspectatione suspensum et ad ipsum respicientem : jam enim eum conspexerant e specula gressu incitato descendentem. Ut venit, aiebat Deum ex hac etiam necessitate eos liberare, dignatumque esse salute plane insperata; fluvium de petra illis prorupturum esse dicens. Qui quum his auditis obstupuissent, si siti et itineribus misere attriti necesse habuerint etiam petram exscindere, Moyses et virga *eam* percutit, eaque dehiscente erupit aqua copiosissima et limpidissima. Illi vero rei inopinatæ novitate perculsi sunt, et ad aspectum jam ipsius sitim sibi sedatam esse sentiebant : ac bibentibus jucundum ac dulce, et quale Dei munus esse decebat, fluentum apparuit. Moysen itaque in admiratione habuerunt, utpote a Deo adeo honoratum; Deumque, quod tantæ illi curæ fuerint, sacrificiis remunerarunt. Declarat autem sacra scriptura in templo reposita, Deum prædixisse Moysi, se hoc modo aquas e rupe eliciturum.

ΚΕΦ. Β'.

Τοῦ δὲ τῶν Ἑβραίων ὀνόματος ἤδη πολλοῦ κατὰ πάντας διαβοωμένου, καὶ τοῦ περὶ αὐτῶν λόγου φοιτῶντος, ἐν φόβῳ συνέβαινεν οὐ μικρῷ τοὺς ἐπιχωρίους εἶναι· καὶ πρεσβευόμενοι πρὸς ἀλλήλους παρεκάλουν ἀμύνειν καὶ πειρᾶσθαι τοὺς ἄνδρας διαφθείρειν. Ἐτύγχανον δὲ οἱ πρὸς τοῦτο ἐνάγοντες οἵ τε τὴν Γοβολῖτιν καὶ οἱ τὴν Πέτραν κατοικοῦντες, οἳ καλοῦνται μὲν Ἀμαληκῖται, μαχιμώτατοι δὲ τῶν ἐκεῖσε ἐθνῶν ὑπῆρχον. Ὧν πέμποντες οἱ βασιλεῖς ἀλλήλους τε καὶ τοὺς περιοίκους ἐπὶ τὸν πρὸς Ἑβραίους πόλεμον παρεκάλουν, στρατὸν ἀλλόφυλον καὶ τῆς Αἰγυπτίων ἀποδράσαντα δουλείας ἐφεδρεύειν αὐτοῖς λέγοντες· « ὃν οὐ καλῶς ἔχει περιορᾶν, ἀλλὰ πρὶν ἢ λαβεῖν ἰσχὺν καὶ παρελθεῖν εἰς εὐπορίαν, καὶ αὐτοὺς τῆς πρὸς ἡμᾶς κατάρξαι μάχης θαρρήσαντας τῷ μηδὲν αὐτοῖς παρ' ἡμῶν ἀπαντᾶν,

CAP. II.

Hebræorum autem fama longe lateque pervulgata, et sermone de illis increbrescente, contigit ut non mediocris timor indigenas occuparet : et missis ultro citroque legationibus se invicem cohortabantur, ut copias conjungerent et ad viros illos perimendos delendosque aggrederentur. Ceteros vero ad hoc inceptum impulerunt Gobolitidis et Petræ incolæ, qui vocantur quidem Amalecitæ, gentium autem finitimarum bellicosissimi exstiterunt. Horum reges per legatos semet et omnes circumcirca populos ad bellum Hebræis inferendum concitarunt, alienigenarum exercitum, et qui ex Ægyptiorum servitute evaserint, insidias sibi struere dictitantes : « quem *sane* contemptui habere non oportet, sed, priusquam viribus augeantur et opibus affluant, et fiducia ex nostra cessatione accepta priores bellum suscipiant, opprimere tutissimum simul ac sapientissi-

καταλύειν ἀσφαλὲς καὶ σῶφρον, δίκην αὐτοὺς καὶ περὶ τῆς ἐρήμου καὶ τῶν ἐν αὐτῇ πραχθέντων ἀπαιτοῦντας, ἀλλ' οὐχ οὕτως ὅταν ταῖς πόλεσιν ἡμῶν καὶ τοῖς ἀγαθοῖς ἐπιβάλλωσι τὰς χεῖρας. Οἱ δ' ἀρχομένην δύναμιν ἐχθρῶν πειρώμενοι καταλύειν ἀγαθοὶ συνιέναι μᾶλλον ἢ οἱ προκόψασαν μείζω κωλύοντες γενέσθαι. Οἱ μὲν γὰρ τοῦ περισσοῦ δοκοῦσι νεμεσᾶν, οἱ δ' οὐδεμίαν αὐτοῖς ἀφορμὴν κατ' αὐτῶν ἐῶσι γενέσθαι. » Τοιαῦτα τοῖς τε πλησιοχώροις καὶ πρὸς ἀλλήλους πρεσβευόμενοι χωρεῖν τοῖς Ἑβραίοις ἐγνώκεσαν εἰς μάχην.

β'. Μωϋσῆ δ' οὐδὲν προσδοκῶντι πολέμιον ἀπορίαν καὶ ταραχὴν ἐνεποίει τὰ τῶν ἐπιχωρίων. Καὶ παρόντων ἐπὶ τὴν μάχην ἤδη καὶ κινδυνεύειν δέον, ἐθορύβει χαλεπῶς τὸ τῶν Ἑβραίων πλῆθος ἐν ἀπορίᾳ μὲν ὂν ἁπάντων, μέλλον δὲ πολεμεῖν πρὸς ἀνθρώπους τοῖς ἅπασι καλῶς ἐξηρτισμένους. Παραμυθίας οὖν ὁ Μωϋσῆς ἤρχετο, καὶ θαρρεῖν παρεκάλει τῇ τοῦ Θεοῦ ψήφῳ πεπιστευκότας, ὑφ' ἧς εἰς τὴν ἐλευθερίαν ὡρμένοι κατανικήσειαν τοὺς περὶ αὐτῆς εἰς μάχην αὐτοῖς καθισταμένους. Ὑπολαμβάνειν δὲ τὸ μὲν αὐτῶν στράτευμα πολὺ καὶ πάντων ἀπροσδεὲς, ὅπλων, χρημάτων, τροφῆς, τῶν ἄλλων ὧν παρόντων ἐκ πεποιθήσεως πολεμοῦσιν ἄνθρωποι, κρίνοντας ἐν τῇ παρὰ τοῦ Θεοῦ συμμαχίᾳ ταῦτα αὐτοῖς παρεῖναι· τὸ δὲ τῶν ἐναντίων ὀλίγον, ἄνοπλον, ἀσθενὲς, οἷον καὶ μὴ ὑπὸ τοιούτων, οἵοις αὐτοῖς σύνοιδεν οὖσιν, νικᾶσθαι βουλομένου τοῦ Θεοῦ. Εἰδέναι δ' οἷος οὗτος ἐπίκουρος, ἐκ πολλῶν πεπειραμένους καὶ δεινοτέρων τοῦ πολέμου. Τοῦτον μὲν γὰρ εἶναι πρὸς ἀνθρώπους· ἃ δ' ἦν αὐτοῖς πρὸς λιμὸν καὶ δίψος ἄπορα καὶ πρὸς ὄρη καὶ θάλασσαν ὁδὸν οὐκ ἔχουσι φυγῆς, ταῦτ' αὐτοῖς διὰ τὴν εὐμένειαν τὴν παρὰ τοῦ Θεοῦ νενικῆσθαι. Νῦν δὲ γενέσθαι παρεκάλει προθυμοτάτους, ὡς τῆς ἁπάντων εὐπορίας αὐτοῖς ἐν τῷ κρατῆσαι τῶν ἐχθρῶν κειμένης.

γ'. Καὶ Μωϋσῆς μὲν τοιούτοις παρεθάρσυνε τὸ πλῆθος λόγοις, καὶ συγκαλῶν τούς τε φυλάρχους καὶ τῶν ἐν τέλει καθ' ἑκάστους τε καὶ σὺν ἀλλήλοις, τοὺς μὲν νεωτέρους παρεκάλει πείθεσθαι τοῖς πρεσβυτέροις, τοὺς δὲ ἀκροᾶσθαι τοῦ στρατηγοῦ. Οἱ δ' ἦσαν ἐπὶ τὸν κίνδυνον τὰς ψυχὰς ἠρμένοι καὶ πρὸς τὸ δεινὸν ἑτοίμως ἔχοντες, ἤλπιζον ἀπαλλαγήσεσθαί ποτε τῶν κακῶν, καὶ τὸν Μωϋσῆν ἐκέλευον ἄγειν αὐτοὺς ἐπὶ τοὺς πολεμίους ἤδη καὶ μὴ μέλλειν, ὡς τῆς ἀναβολῆς ἐμποδιζούσης τὴν προθυμίαν αὐτῶν. Τότε τῆς πληθύος ἀποκρίνας πᾶν τὸ μάχιμον Ἰησοῦν ἐφίστησιν αὐτῷ, Ναυήνου μὲν υἱὸν, φυλῆς τῆς Ἐφραϊμίτιδος, ἀνδρειότατον δὲ καὶ πόνους ὑποστῆναι γεννικὸν καὶ νοῆσαί τε καὶ εἰπεῖν ἱκανώτατον καὶ θρησκεύοντα τὸν Θεὸν ἐκπρεπῶς, καὶ Μωϋσῆν διδάσκαλον τῆς πρὸς Θεὸν εὐσεβείας πεποιημένον, τιμώμενόν τε παρὰ τοῖς Ἑβραίοις. Βραχὺ δέ τι περὶ τὸ ὕδωρ ἔταξε τῶν ὁπλιτῶν ἐπὶ φυλακῇ παίδων καὶ γυναικῶν τοῦ τε πρόπαντος στρατοπέδου· καὶ νύκτα μὲν πᾶσαν ἐν παρασκευαῖς ἦσαν, τῶν τε ὅπλων εἴ τι πεπονηκὸς ἦν ἀναλαμβάνοντες καὶ τοῖς

mum est, pœnas ab illis et de solitudine et ob ea quæ illic perpetrarunt exigentes, potius quam quum urbibus nostris et divitiis manus injecerint. Majoris enim prudentiæ est summa ope niti, ut hostium potentia, quum primum crescere cœperit, labefactetur; quam, ubi paululum adoleverit, cavere ne ulterius progrediatur. Nam hi quidem ob vires nimium auctas succensere et irasci videntur; illi vero omnem contra se aliquid audendi occasionem præcidunt. » Hisce ad vicinos et ad invicem per legationes agitatis, decreverunt Hebræos prœlio adoriri.

2. Moysi autem nihil hostile exspectanti non parum difficultatis et molestiæ attulerunt indigenarum apparatus. Et quum jam in eo essent ut congrederentur et belli fortunam tentare et periclitari oporteret, in magna perturbatione erat Hebræorum multitudo, in summa rerum inopia constituta, et cum hominibus pugnatura bene instructis et præparatis. Eos itaque Moyses consolari cœpit, et bono animo esse hortatus est, Dei auctoritate fretos; a quo in libertatem vindicati eos debellare sperarent, cum quibus de ea erant acie dimicaturi. Reputarent autem ipsorum exercitum esse satis magnum, et nulla re egere, neque armis, pecunia, commeatu, aliisve, quibus homines accincti prœlium fidenter committunt, quod ea in Dei auxilio habituri sint: hostium vero copias exiguas esse, inermes, imbecillas, ut a talibus, quales eos esse cognovisset, ipsos vinci noluerit Deus. In memoriam vero revocarent, qualis adjutor sit, quum ejus opem experti sint in multis et bello gravioribus periculis. Hoc enim certamen cum hominibus esse ineundum: quando vero res fuisset difficillima cum fame et siti, cum montibus et mari omnem fugæ viam claudentibus, hæc ipsos benigno Dei auxilio superasse omnia. Eos itaque rogabat summa cum alacritate pugnam nunc consererent, ut qui rerum omnium affluentiam sibimet pollicerentur ex victoria de hostibus reportata.

3. Et Moyses quidem tali oratione multitudinis animos accendit, tribuum principes et optimates convocans, tam singulos quam simul omnes. Juniores quidem admonuit ut senioribus dicto essent audientes; illos vero, ne ducis imperata detrectarent. Qui vero ad pericula fortius erant animati et ad congrediendum parati, sperabant aliquando fore ut a malis liberarentur: Moysique instabant, ut se jam recta in hostes educeret, nihilque cunctaretur, ac si mora ardor corum defervesceret. Tum ex tota multitudine militiæ idoneos deligens, iis præfecit Jesum, Naveni filium, tribu Ephraimitam, fortissimum et laborum patientissimum et ad excogitandum simul ac eloquendum promptissimum, Deumque egregie colentem, Moyseque usum doctore pietatis in Deum, honoratumque inter Hebræos. Parvam vero partem armatorum circa aquam locavit ad præsidium puerorum et mulierum et in universum castrorum; et per totam quidem noctem sese præparabant, vel armorum quicquid erat fractum reficientes, vel ad duces atten-

στρατηγοῖς προσέχοντες, ὡς ὁρμήσοντες ἐπὶ τὴν μάχην ὁπότε κελεύσειεν αὐτοὺς Μωϋσῆς. Διηγρύπνει δὲ καὶ Μωϋσῆς, ἀναδιδάσκων τὸν Ἰησοῦν ὃν τρόπον ἐκτάξειε τὸ στρατόπεδον. Ἀρχομένης δὲ ὑποφαίνειν τῆς ἡμέρας, αὖθις τόν τε Ἰησοῦν παρεκάλει μηδὲν χείρονα φανῆναι κατὰ τὸ ἔργον τῆς οὔσης περὶ αὐτὸν ἐλπίδος, δόξαν τε διὰ τῆς παρούσης κτήσασθαι στρατηγίας παρὰ τοῖς ἀρχομένοις ἐπὶ τοῖς γεγενημένοις. Τῶν τε Ἑβραίων τοὺς ἀξιολογωτάτους ἰδίᾳ παρεκάλει καὶ σύμπαν ἤδη τὸ πλῆθος ὡπλισμένον παρώρμα. Καὶ ὁ μὲν οὕτω παραστησάμενος τὸν στρατὸν τοῖς τε λόγοις καὶ τῇ διὰ τῶν ἔργων παρασκευῇ ἀνεχώρει πρὸς τὸ ὄρος, Θεῷ τε καὶ Ἰησοῦ παραδιδοὺς τὸ στράτευμα.

δ'. Προσέμισγον δὲ οἱ πολέμιοι, κἀν χερσὶν ἦν ἡ μάχη, προθυμίᾳ τε καὶ διακελευσμῷ τὰ πρὸς ἀλλήλους χρωμένων. Μέχρι μὲν οὖν Μωϋσῆς ὀρθὰς ἀνίσχει τὰς χεῖρας, τοὺς Ἀμαληκίτας κατεπόνουν οἱ Ἑβραῖοι. Τὸν οὖν πόνον τῆς ἀνατάσεως τῶν χειρῶν ὁ Μωϋσῆς οὐχ ὑπομένων, (ὁσάκις γὰρ ἂν αὐτὰς καθίει, τοσαυτάκις ἐλαττοῦσθαι τοὺς οἰκείους αὐτοῦ συνέβαινε,) κελεύει τόν τε ἀδελφὸν Ἀαρῶνα καὶ τῆς ἀδελφῆς Μαριάμμης τὸν ἄνδρα Ὦρον, στάντας ἑκατέρωθεν αὐτοῦ διακρατεῖν τὰς χεῖρας καὶ μὴ ἐπιτρέπειν κάμνειν βοηθοῦντα. Καὶ τούτου γενομένου κατὰ κράτος ἐνίκων τοὺς Ἀμαληκίτας οἱ Ἑβραῖοι καὶ πάντες ἀπολώλεσαν ἂν, εἰ μὴ νυκτὸς ἐπιγενομένης ἀπέσχοντο τοῦ κτείνειν. Νίκην δὲ καλλίστην καὶ καιριωτάτην νικῶσιν ἡμῶν οἱ πρόγονοι· καὶ γὰρ τῶν ἐπιστρατευσάντων ἐκράτησαν, καὶ τοὺς περιοίκους ἐφόβησαν, εὐπορήσαντες μεγάλων καὶ λαμπρῶν, ὧν ἐκ τοῦ πονεῖν ἐπέτυχον, ἀγαθῶν. Ἐλόντες γὰρ καὶ τὸ στρατόπεδον τῶν πολεμίων, πλούτους τε μεγάλους δημοσίᾳ καὶ κατ' ἰδίαν ἔσχον, οὐδὲ τῆς ἀναγκαίας τροφῆς πρότερον εὐποροῦντες. Ὑπῆρξε δ' αὐτοῖς οὐκ εἰς τὸ παρὸν μόνον, ἀλλὰ καὶ εἰς τὸν αὖθις αἰῶνα, τῶν ἀγαθῶν αἰτία κατορθωθεῖσα ἡ προειρημένη μάχη· οὐ γὰρ τὰ σώματα μόνον τῶν ἐπιστρατευσάντων ἐδούλωσαν, ἀλλὰ καὶ τὰ φρονήματα, καὶ τοῖς περιοίκοις ἅπασι μετὰ τὴν ἐκείνων ἧτταν ἐγένοντο φοβεροί. Αὐτοί τε πλούτου μεγάλου δύναμιν προσέλαβον· πολὺς μὲν γὰρ ἀργυρός τε καὶ χρυσὸς ἐγκατελείφθη ἐν τῷ στρατοπέδῳ, καὶ σκεύη χαλκᾶ οἷς ἐχρῶντο περὶ τὴν δίαιταν, πολὺ δὲ ἐπίσημον πλῆθος ἑκατέρων, ὅσα τε ὑφαντὰ καὶ κόσμοι περὶ τὰς ὁπλίσεις, ἥ τε ἄλλη θεραπεία καὶ κατασκευὴ ἐκείνων, λεία τε παντοία κτηνῶν, καὶ ὅσα φιλεῖ στρατοπέδοις ἑξωδευκόσιν ἕπεσθαι. Φρονήματός τε ὑπεπλήσθησαν ἐπ' ἀνδρείᾳ Ἑβραῖοι, καὶ πολλὴ μεταποίησις ἀρετῆς ἦν αὐτοῖς· πρός τε τῷ πονεῖν ἦσαν ἀεί, τούτῳ πάντα ληπτὰ νομίζοντες εἶναι. Καὶ ταύτης μὲν τῆς μάχης τοῦτο τὸ πέρας.

ε'. Τῇ δὲ ὑστεραίᾳ Μωϋσῆς νεκρούς τε ἐσκύλευε τῶν πολεμίων καὶ τὰς παντευχίας τῶν φευγόντων συνέλεγεν· ἀριστεῦσί τε τιμὰς ἐδίδου, καὶ τὸν στρατηγὸν Ἰησοῦν ἐνεκωμίαζε, μαρτυρούμενον ἐφ' οἷς ἔπραξεν ὑπὸ παν-

dentes, quasi ad pugnam essent egressuri, quum primum juberet Moyses. Quin et Moyses noctem insomnem egit, dum Jesum edoceret quo modo aciem instrueret. Die vero illucescente Jesum rursus etiam admonuit, ut in prœlio spei de se conceptæ respondere studeat, et ex hac expeditione existimationem sibi apud milites ob res gestas comparare. Similiter Hebræorum optimum quemque seorsum hortatus est, ac mox omnes armatos ad fortitudinem accendit. Et ille quidem, quum ita oratione animasset et rebus præparasset exercitum, discessit ad montem, Deo simul et Jesu exercitu commisso.

4. Congrediebantur itaque adversi exercitus, et ad manus res veniebat, magna utrinque cum alacritate et plurima ad invicem cohortatione. Et quidem quam diu Moyses manus extensas sustulit, Amalecitas afflixerunt Hebræi. Moyses igitur, quum fatigatus manus protensas amplius elevare non potuisset, (quoties enim eos demitteret, toties Hebræos hostibus succumbere contigit,) Aaronem fratrem, et sororis Mariammes maritum Orum, suas, utrinque adstantes, manus jubet sustinere neque permittere ut auxilians fatiscat. Quo facto Amalecitas magna strage fuderunt Hebræi, eosque internecione deleverant, nisi noctis interventu ab occisione manus abstinuissent. Victoriam autem pulcherrimam et maxime opportunam majores nostri reportarunt: nam et bellum inferentes profligarunt, et circumhabitantibus terrorem incusserunt; acquirentes sibimet, strenuos excipiendo labores, rerum magnarum et splendidarum abundantiam. Hostium etenim castris potiti, tam in usum privatum quam in publicum ingentes accumularunt opes, qui paulo ante etiam necessariis ad victum egebant. Nec in præsens tantum eis profuit hæc pugna prospere pugnata, sed etiam in posterum cessit iis in emolumentum: inde enim non corpora solum hostium in servitutem adduxerunt, sed et animos, atque omnibus circumquaque gentibus, post cladem istam *Amalecitis* illatam, formidolosi exstiterunt. Quin et ipsi divitiarum vim magnam consequuti sunt: multum enim auri argentique in castris relictum erat, ut et vasa ærea quibus ad cibum coquendum utebantur, magnus quoque cumulus signati auri argentique; tum textilia et armorum ornamenta, atque alia ad cultum illorum et apparatum spectantia, præda quoque varia jumentorum, et quæcunque exercitum in expeditione comitari solent. Unde et sese ob fortitudinem valde efferebant Hebræi, plurimumque sibi assumebant virtutis, et in laboribus *hinc* assidui semper erant, persuasum habentes laborando omnia superari posse. Atque hujus quidem pugnæ hic finis erat.

5. Sequenti vero die Moyses hostium cadavera spoliavit, et arma, quæ fugientes abjecerant, collegit, et strenue merentibus præmia distribuit: Jesumque ducem pro concione laudavit, toto exercitu iis quæ gesserat attestante. Ac nemo

τὸς τοῦ στρατοῦ. Ἀπέθανεν δὲ Ἑβραίων μὲν οὐδείς, τῶν δὲ πολεμίων ὅσους οὐδ' ἀριθμῷ γνῶναι δυνατὸν ἦν. Θύσας δὲ χαριστήρια βωμὸν ἱδρύεται, νικαῖον ὀνομάσας τὸν Θεὸν, προεφήτευέ τε πανωλεθρίᾳ τοὺς Ἀμαληκίτας ἀπολουμένους, καὶ μηδένα αὐτῶν ὑπολειφθησόμενον εἰς αὖθις, διὰ τὸ Ἑβραίοις ἐπιστρατεύσασθαι, καὶ ταῦτα ἐν ἐρήμῳ τε γῇ καὶ ταλαιπωρουμένοις, τόν τε στρατὸν εὐωχίαις ἀνελάμβανεν. Καὶ ταύτην μὲν τὴν μάχην πρώτην μαχεσάμενοι πρὸς τοὺς κατατολμήσαντας αὐτῶν, μετὰ τὴν ἐξ Αἰγύπτου γενομένην ἔξοδον, οὕτως ἐπολέμησαν. Ἐπεὶ δὲ τὴν τῶν ἐπινικίων ἑορτὴν ὁ Μωϋσῆς ἤγαγεν, ἀναπαύσας ἐπ' ὀλίγας ἡμέρας τοὺς Ἑβραίους μετὰ τὴν μάχην προῆγε συντεταγμένους. Πολὺ δ' ἦν ἤδη τὸ ὁπλιτικὸν αὐτοῖς. Καὶ προϊὼν κατ' ὀλίγον ἐν τριμήνῳ μετὰ τὴν ἐξ Αἰγύπτου κίνησιν παρῆν ἐπὶ τὸ Σιναῖον ὄρος, ἐν ᾧ τά τε περὶ τὸν θάμνον αὐτῷ καὶ τὰ λοιπὰ φαντάσματα συντυχεῖν προειρήκαμεν.

ΚΕΦ. Γ'.

Καὶ Ῥαγουῆλος ὁ πενθερὸς τὴν αὐτοῦ πυνθανόμενος εὐπραγίαν ἀσμένως ἀπήντα, τόν τε Μωϋσῆν καὶ τὴν Σαπφώραν δεχόμενος καὶ τοὺς παῖδας αὐτῶν. Ἥδεται δὲ Μωϋσῆς ἐπὶ τῇ τοῦ πενθεροῦ ἀφίξει, καὶ θύσας εὐωχεῖ τὸ πλῆθος τοῦ θάμνου πλησίον, ὃς διαπεφεύγει τοῦ πυρὸς τὴν φλόγωσιν. Καὶ τὸ μὲν πλῆθος κατὰ συγγενείας ὡς ἕκαστοι τῆς εὐωχίας μετελάμβανον, Ἀαρὼν δὲ σὺν τοῖς παροῦσι Ῥαγουῆλον προσλαβόμενος ὕμνους τε ᾖδον εἰς τὸν Θεὸν, ὡς τῆς σωτηρίας αὐτοῖς καὶ τῆς ἐλευθερίας αἴτιον καὶ πορίστην γεγενημένον· καὶ τὸν στρατηγὸν εὐφήμουν ὡς κατὰ ἀρετὴν ἐκείνου πάντων αὐτοῖς κατὰ νοῦν ἀπηντηκότων. Καὶ Ῥαγουῆλος πολλὰ μὲν ἐγκώμια τοῦ πλήθους ἐπὶ τῇ πρὸς τὸν Μωϋσῆν εὐχαριστίᾳ διεξῆει, ἐθαύμαζε δὲ τὸν Μωϋσῆν τῆς ἐπὶ σωτηρίᾳ τῶν φίλων ἀνδραγαθίας.

ΚΕΦ. Δ'.

Τῇ δὲ ὑστεραίᾳ θεασάμενος ὁ Ῥαγουῆλος τὸν Μωϋσῆν ἐν ὄχλῳ πραγμάτων ὄντα, (διέλυε γὰρ τὰς δίκας τοῖς δεομένοις, πάντων ἐπ' αὐτὸν βαδιζόντων καὶ μόνως ἂν τοῦ δικαίου τυχεῖν ἡγουμένων, εἰ διαιτητὴς αὐτοῖς οὗτος γένοιτο, καὶ παρὰ τοῖς ἥττωμένοις κοῦφον ἐδόκει τὸ λείπεσθαι, κατὰ δικαιοσύνην, οὐ κατὰ πλεονεξίαν αὐτὸ πάσχειν νομίζουσιν·) τότε μὲν ἡσυχίαν ἦγε, μὴ βουλόμενος ἐμποδίζειν τοῖς ἀρετῇ χρῆσθαι τοῦ στρατηγοῦ θέλουσιν· παυσάμενον δὲ τοῦ θορύβου παραλαβὼν καὶ συμμονωθεὶς ἀνεδίδασκεν ἃ χρὴ ποιεῖν· καὶ συνεβούλευε τῆς μὲν ἐπὶ τοῖς ἥττοσι ταλαιπωρίας ἑτέροις ἐκστῆναι, περὶ δὲ τῶν μειζόνων καὶ τῆς σωτηρίας τοῦ πλήθους ἔχειν τὴν πρόνοιαν αὐτόν. Δικάσαι μὲν γὰρ ἀγαθοὺς κἂν ἄλλους Ἑβραίων εὑρεθῆναι, φροντίσαι δὲ τοσούτων μυριάδων σωτηρίας οὐκ ἄλλον τινὰ δύνασθαι μὴ Μωϋσῆν γενόμενον. « Αἰσθανόμενος οὖν τῆς ἀρετῆς, φησὶ, σαυτοῦ, καὶ οἷος γέγονας ἐπὶ τῷ

quidem ex Hebræis prœlio cecidit : ex hostibus vero totidem, quot numerando consequi non potuerunt. Quum vero gratiarum actionis sacrificium offerret, aram posuit, Deum Victorem appellans : prædixitque internecione deletum iri Amalecitas, foreque ut nemo ex iis in posterum superesset, quod Hebræos ultro armis aggressi fuerint, idque in solitudine et inopia constitutos; et exercitum epulis adhibuit. Atque hæc quidem prima pugna, quam post exitum ex Ægypto contra hostes bello eos lacessentes commiserunt, ita pugnata est. Quum vero festum convivium ob partam victoriam Moyses egisset, et Hebræos per aliquot dies post prœlium refecisset et recreasset, instructis agminibus *eos* ulterius eduxit. Ac multi jam erant gravis armaturæ milites. Et tardiuscule progrediens, tertio mense, postquam ex Ægypto moverat, ad montem Sinæum pervenit, in quo miraculum de rubo aliasque visiones ei contigisse prius memoravimus.

CAP. III.

Raguelus autem socer, res ab eo feliciter gestas fama accipiens, gratulabundus obviam venit, Moysen et Sapphoram excipiens eorumque liberos. Moyses vero soceri adventu valde gaudebat, quumque rem divinam et sacrificium confecisset, populo convivium apparat non procul a rubo, qui conflagrationem ex igne evaserat. Atque multitudo quidem, per tribus suas disposita, sigillatim epulis accumbebat. Aaron vero et Raguelus cum suis hymnos in Deum cecinerunt, ut qui salutis et libertatis auctor ipsis exstiterit et largitor; simulque de duce omnia omnes bona dixerunt, quod ejus virtute cuncta eis ex animi sententia ceciderint. Insuper et Raguelus, in sua ad Moysen gratiarum actione, multa populo præconia tribuit : Moysen vero mirum in modum extulit, quod pro amicorum salute tantum fortitudinis *in laboribus et periculis* ostenderit.

CAP. IV.

Crastina vero die Raguelus, animadvertens, Moysen negotiorum multitudine obrutum, (nam omnium, quoties postularent, controversias dirimebat, cunctis eum adeuntibus, utpote qui æquo jure se non disceptaturos crederent, nisi Moyses esset decisionis arbiter; et, si causa caderent, turpe vinci non existimarent, quod jure optimo, non ex iniqua sententia se istud pati persuasum habuerint;) tunc quidem tacendum putavit, neminem volens impedire quominus præclaro ducis judicio arbitrioque frueretur. Turba autem summota Moysen sibi assumpsit, et quum soli essent, quid facto opus esse sibi videretur, eum edocuit : consuluitque ut minoris quidem difficultatis res aliis mandaret, ipse vero gravioribus tantummodo interesset, et universorum saluti provideret. Nam Hebræorum alios etiam repertum iri ad jus dicendum satis idoneos; tot vero myriadum incolumitati prospicere neminem posse, præter Moysen ipsum aut sui similem. « Itaque quum probe noveris

τὸν λαὸν ὑπουργῶν τῷ Θεῷ σώζειν, τὴν μὲν τῶν ἐγκλημάτων δίαιταν ἐπίτρεψον αὐτοῖς ποιεῖσθαι καὶ ἐπ' ἄλλων· σὺ δὲ πρὸς μόνῃ τῇ τοῦ Θεοῦ θεραπείᾳ κατέχων σεαυτὸν διατέλει, ζητῶν οἷς ἂν τὸ πλῆθος ἀπαλλάξειας τῆς νῦν ἀπορίας. Ὑποθήκαις δὲ ταῖς ἐμαῖς περὶ τῶν ἀνθρωπίνων χρησάμενος τὸν στρατὸν ἐξετάσεις ἀκριβῶς, καὶ κατὰ μυρίους τούτων κεκριμένους ἄρχοντας ἀποδείξεις, εἶτα κατὰ χιλίους. Διαιρήσεις δὲ μετ' αὐτοὺς εἰς πεντακοσίους, καὶ πάλιν εἰς ἑκατόν, εἶτ' εἰς πεντήκοντα, ἄρχοντάς τε ἐπὶ τούτοις τάξεις, οἳ κατὰ τριάκοντα μερισθέντας διακοσμήσουσι, καὶ κατὰ εἴκοσι καὶ δέκα συναριθμουμένους. Ἔστω δέ τις ἐπὶ τούτοις εἷς, τὴν προσηγορίαν ἀπὸ τοῦ τῶν ἀρχομένων ἀριθμοῦ λαμβάνων. Οἱ δὲ δοκιμασθέντες ὑπὸ τοῦ πλήθους παντὸς εἶναι ἀγαθοὶ καὶ δίκαιοι, περί τε τῶν διαφόρων αὐτοῖς κρινοῦσι, κἂν ᾖ τι μεῖζον, ἐπὶ τοὺς ἐν ἀξιώματι τὴν περὶ τούτου διάγνωσιν ἐπανοίσουσιν· ἂν δὲ κἀκείνους διαφύγῃ τὸ περὶ τοῦ πράγματος δύσκολον, ἐπὶ σὲ τοῦτο ἀναπέμψουσιν. Ἔσται γὰρ οὕτως ἀμφότερα, καὶ τῶν δικαίων Ἑβραῖοι τεύξονται καὶ σὺ τῷ Θεῷ προσεδρεύων εὐμενέστερον ἂν αὐτὸν ποιήσειας τῷ στρατῷ. »

β'. Ταῦτα Ῥαγουήλου παραινέσαντος, ὁ Μωϋσῆς ἀσμένως προσήκατο τὴν συμβουλίαν, καὶ ποιεῖ κατὰ τὴν ὑποθήκην τὴν ἐκείνου, τοῦ τρόπου τὴν ἐπίνοιαν οὐκ ἀποκρυψάμενος, οὐδὲ σφετερισάμενος αὐτὴν, ἀλλὰ ποιήσας φανερὸν τὸν ἐξευρηκότα τῷ πλήθει. Καὶ ἐν τοῖς βιβλίοις δὲ Ῥαγουῆλον ἔγραψεν ὡς εὑρηκότα τὴν διάταξιν τὴν προειρημένην, καλῶς ἔχειν ἡγούμενος ταληθῆ μαρτυρεῖν τοῖς ἀξίοις, εἰ καὶ δόξαν ἔμελλε φέρειν ἐπιγραφομένῳ τὰ ὑπ' ἄλλων εὑρημένα· ὥστε τὴν Μωϋσέως ἀρετὴν κἀκ τούτου καταμαθεῖν. Ἀλλὰ περὶ μὲν ταύτης εὐκαίρως ἐν ἄλλοις τῆς γραφῆς ὀηλώσομεν.

ΚΕΦ. Ε'.

Μωϋσῆς δὲ συγκαλέσας τὴν πληθὺν, αὐτὸς μὲν εἰς τὸ ὄρος ἀπέρχεσθαι τὸ Σιναῖον ἔλεγεν, ὡς συνεσόμενος τῷ Θεῷ, καί τινα λαβὼν παρ' αὐτοῦ χρησμὸν ἐπανήξειν πρὸς αὐτούς· ἐκείνους δ' ἐκέλευσε πλησίον μετασκηνῶσαι τῷ ὄρει, τὴν γειτνίασιν τοῦ Θεοῦ προτιμήσαντας. Ταῦτ' εἰπὼν ἄνεισι πρὸς τὸ Σιναῖον, ὑψηλότατον τῶν ἐν ἐκείνοις τοῖς χωρίοις ὀρῶν τυγχάνον, καὶ διὰ τὴν ὑπερβολὴν τοῦ μεγέθους καὶ τῶν κρημνῶν τὸ ἀπότομον ἀνθρώποις οὐ μόνον οὐκ ὂν ἀναβατὸν, ἀλλ' οὐδὲ ὁραθῆναι δίχα πόνου τῆς ὄψεως δυνάμενον, ἄλλως τε καὶ διὰ τὸ λόγον εἶναι περὶ τοῦ τὸν Θεὸν ἐν αὐτῷ διατρίβειν, φοβερὸν ἦν καὶ ἀπρόσιτον. Ἑβραῖοι δὲ κατὰ τὰς Μωϋσέως ἐντολὰς μετεσκήνουν καὶ τὰς ὑπωρείας τοῦ ὄρους κατελαμβάνοντο, ἠρμένοι ταῖς διανοίαις, ὡς μετὰ τῆς ἐπαγγελίας τῶν ἀγαθῶν, ἣν προὔτεινεν αὐτοῖς, ἐπανήξοντος Μωϋσέως παρὰ τοῦ Θεοῦ. Ἑορτάζοντες δὲ τὸν στρατηγὸν περιέμενον, ἁγνεύοντες τήν τε ἄλλην ἁγνείαν καὶ ἀπὸ συνουσίας τῶν γυναικῶν ἡμέρας τρεῖς, καθὼς ἐκεῖνος αὐτοῖς προεῖπε, καὶ παρα-

(inquit) qua parte ceteris omnibus præstes, quantumque Deo ministrando contuleris ad res populi tuendas augendasque; permitte ipsis ut lites dijudicandas etiam ad alios deferant: tu vero soli numinis cultui deditus esto, de populo in meliorem statum et dignitatem vindicando usque sollicitus. Meo igitur consilio circa res humanas usus exercitum accurate recense, et per dena millia distributis duces ex iis delectos præfice: dein millenis pariter. Dividito autem post eos in quingentos, ac rursus in centenos, tum in quinquagenos: et principes super eos constitue, qui per tricenos divisos disponant, et per vicenos, ac denos connumeratos. Præsit autem his unus aliquis, qui a numero eorum quibus præest appellationem accipiat. Qui vero a populo universo comprobati sint habitique pro viris virtute et justitia præstantibus, de controversiis eorum sententiam ferent. Ac si qua res paulo major exsistat, ad potiores dignitate ejus cognitionem deferent: sin et illis videatur ad judicandum nimium difficilis, ad te eam remittent. Sic enim fiet utrumque, ut et jus suum consequantur Hebræi, et tua in Deum assiduitate ipsum exercitui magis propitium reddas. »

2. Ad hæc autem hortante Raguelo, consilium ejus libenter admisit Moyses, moxque *omnia* disposuit prout ille suggesserat; rei hujusce inventionem non dissimulans, neque sibi eam arrogans, sed populo palam faciens, quis eam primus excogitaverit. Quin et in libris suis Raguelum memoriæ prodidit, ut qui ordinationem prædictam invenerit: factu optimum ratus verum bene meritis testimonium tribuere, quamvis et aliorum inventa utilia approbans et asciscens gloriam erat habiturus: adeo ut ex hoc etiam liceat intelligere, quam spectatæ integritatis fuerit Moyses. Sed hac quidem de re in aliis *institutæ* scriptionis locis opportune disseremus.

CAP. V.

Quum autem populum convocasset Moyses, ipse quidem ad montem Sinæum se abire dicebat, ut qui cum Deo versaturus, et oraculum aliquod ab ipso acceptum eis reportaturus esset. Illos vero prope montem Sinæum castra locare jubet, et Dei vicinitatem *aliis locis* præferre. Hæc quum dixisset, in montem Sinæum ascendit, omnium regionis istius celsissimum, et ob nimiam altitudinem et abrupta præcipitia non solum hominibus invium, sed ne aspiciendum quidem sine fatigatione oculorum; quum et alias, propter pervulgatum de eo sermonem, Deum illic habitare, tremendus esset et inaccessus. Hebræi autem juxta mandatum Moysis castris motis radices montis occupant, animis erectiores et alacres, quasi cum bonorum promissis, quorum spem illis dederat, a Deo reversurus esset Moyses. Convivia autem agentes ducem exspectabant, castitatem servantes cum in ceteris, tum per triduum abstinendo a mulierum congressu, sicut eis ipse præceperat; precibus etiam Deum appellantes, ut, placide benigneque Moysen excl-

καλοῦντες τὸν Θεὸν εὐμενῆ συμβαλόντα Μωϋσῇ δοῦναι δωρεὰν, ὑφ' ἧς εὖ βιώσονται. Ταῖς τ' οὖν ἰσαίταις ἐχρῶντο πολυτελεστέραις καὶ τῷ κόσμῳ γυναιξὶν ὁμοῦ τε καὶ τέκνοις ἐκπρεπῶς ἤσκηντο.

β'. Ἐπὶ δύο μὲν οὖν ἡμέρας εὐωχούμενοι διῆγον· τῇ τρίτῃ δὲ, πρὶν ἢ τὸν ἥλιον ἀνασχεῖν, νεφέλη τε ὑπερίζανε τοῦ παντὸς στρατοπέδου τῶν Ἑβραίων, οὐ πρότερον τοῦτο ἰδόντων γενόμενον, καὶ τὸ χωρίον οὗ τὰς σκηνὰς ἦσαν πεποιημένοι περιέγραφε. Καὶ τοῦ λοιποῦ παντὸς ἐν αἰθρίᾳ τυγχάνοντος, ἄνεμοί τε σφοδροὶ λάβρον κινοῦντες ὑετὸν κατήγιζον, ἀστραπαί τε ἦσαν φοβεραὶ τοῖς ὁρῶσιν, καὶ κεραυνοὶ κατενεχθέντες ἐδήλουν τὴν παρουσίαν τοῦ Θεοῦ οἷς Μωϋσῆς ἤθελεν εὐμενοῦς παρατυχόντος. Καὶ περὶ μὲν τούτων ὡς βούλεται φρονείτω ἕκαστος τῶν ἐντευξομένων, ἐμοὶ δὲ ἀνάγκη ταῦτα ἱστορεῖν, καθάπερ ἐν ταῖς ἱεραῖς βίβλοις ἀναγέγραπται. Τούς γε μὴν Ἑβραίους τά τε ὁρώμενα καὶ ὁ ταῖς ἀκοαῖς προσβάλλων ψόφος δεινῶς ἐτάραττεν· ἀήθεις τε γὰρ ἦσαν αὐτῶν καὶ ὁ περὶ τοῦ ὄρους διαπεφοιτηκὼς λόγος, ὡς εἰς αὐτὸ τοῦτο φοιτῶντος τοῦ Θεοῦ, σφόδρα τὴν διάνοιαν αὐτῶν ἐξέπληττε. Κατεῖχον δὲ αὑτοὺς πρὸς ταῖς σκηναῖς ἀχθόμενοι, καὶ τόν τε Μωϋσῆν ἀπολωλέναι νομίζοντες ὑπ' ὀργῆς τοῦ Θεοῦ καὶ περὶ αὑτῶν ὅμοια προσδοκῶντες.

γ'. Οὕτω δ' αὐτῶν διακειμένων ἐπιφαίνεται Μωϋσῆς, γαῦρός τε καὶ μέγα φρονῶν. Ὀρθείς τε οὖν αὐτὸς ἀπαλλάσσει τοῦ δέους αὐτοὺς καὶ περὶ τῶν μελλόντων κρείττονας ὑπετίθετο τὰς ἐλπίδας, αἴθριός τε καὶ καθαρὸς ὁ ἀὴρ τῶν πρὸ ὀλίγου παθῶν ἦν, Μωϋσέως παραγεγονότος. Ἐπὶ τούτοις οὖν συγκαλεῖ τὸ πλῆθος εἰς ἐκκλησίαν, ἀκουσόμενον ὧν ὁ Θεὸς εἶποι πρὸς αὐτόν. Καὶ συναθροισθέντων, στὰς ἐπὶ ὑψηλοῦ τινος ὅθεν ἔμελλον ἅπαντες ἀκούσεσθαι, « ὁ μὲν Θεὸς, εἶπεν, « ὦ Ἑβραῖοι, καθάπερ καὶ πρότερον εὐμενὴς προσεδέ« ξατό με, καὶ βίον τε ὑμῖν εὐδαίμονα καὶ πολιτείας κό« σμον ὑπαγορεύσας πάρεστι καὶ αὐτὸς εἰς τὸ στρατό« πεδον. Πρὸς γοῦν αὐτοῦ καὶ τῶν ἔργων, ἃ δι' ἐκεῖνον « ἡμῖν ἤδη πέπρακται, μὴ καταφρονήσητε τῶν λεγομένων « εἰς ἐμὲ τὸν λέγοντα ἀφορῶντες, μηδ' ὅτι γλῶττα ταῦ« τα ἀνθρωπίνη πρὸς ὑμᾶς λέγει. Τὴν γὰρ ἀρετὴν αὐτῶν « κατανοήσαντες, ἐπιγνώσεσθε καὶ τὸ μέγεθος τοῦ νε« νοηκότος καὶ ἐπὶ συμφέροντι τῷ ἡμετέρῳ πρὸς ἐμὲ « μὴ φθονήσαντος εἰπεῖν. Οὐ γὰρ Μωϋσῆς ὁ Ἀμα« ράμου καὶ Ἰωχαβέδης υἱὸς, ἀλλ' ὁ τὸν Νεῖλον ἡμα« τωμένον ἀναγκάσας ὑπὲρ ὑμῶν ῥυῆναι, καὶ ποικί« λοις δαμάσας κακοῖς τὸ Αἰγυπτίων φρόνημα, ὁ διὰ « θαλάσσης ὁδὸν ἡμῖν παρασχὼν, ὁ καὶ τροφὴν ἐξ οὐρα« νοῦ μηχανησάμενος ἐλθεῖν ἀπορουμένοις, ὁ ποτὸν ἐκ « πέτρας ἀναβλύσας σπανίζουσιν· δι' ὃν Ἄδαμος τῶν « ἀπὸ γῆς καρπῶν καὶ θαλάσσης μεταλαμβάνει, δι' ὃν « Νώεος ἐκ τῆς ἐπομβρίας διέφυγε, δι' ὃν Ἄβραμος « ὁ ἡμέτερος πρόγονος ἐξ ἀλήτου τὴν Χαναναίαν κα« τέσχε γῆν, δι' ὃν Ἴσακος γηραιοῖς ἐτέχθη γονεῦσι, δι' « ὃν Ἰάκωβος δώδεκα παίδων ἀρεταῖς ἐκοσμήθη, δι'

piens, munera ei donaret, quæ vitam ipsis facerent beatiorem. Victu itaque sumptuosiore utebantur, et simul cum conjugibus ac liberis cultum habitumque decorum et splendidiorem induunt.

2. Et per duos quidem dies lautiorem in modum epulabantur. Tertia vero die, priusquam sol oriretur, nubes circumfusa totis Hebræorum castris incumbebat, qualem antehac nunquam conspexerant, et spatium omne, ubi posuerant tabernacula, complectebat. Ac quum reliquum cœli in sereno esset, tum venti vehementes largum concitantes imbrem ruebant, tum fulgura micabant aspectu terribilia : tonitrua etiam cum fulminibus ex alto demissis plane indicabant præsentiam Dei, qui propitius aderat ad ea quæ volebat Moyses. Atque hæc quidem velim lectores accipiant, prout cuique libuerit : mihi vero necesse est ea literis mandare, sicut in sacris libris conscripta habentur. Hebræi itaque, hisce visis et audito horribili clangore, valde tremefacti erant; iis enim non assueti erant et rumor vulgatus de monte, quod crebro eum Deus inviseret, mentes eorum insolito pavore defixit. Quamobrem continebant se intra tabernacula mœsti; et Moysen ira Dei periisse rati, et semet similiter perituros esse exspectantes.

3. Dum ita essent animis consternati, apparuit Moyses, gestiens lætitia et mirum in modum elatus. Itaque ut se in conspectu dedit, illos metu eximit, et ad spem meliorum in posterum erexit; protinusque redit serenitas, et Moyse adventante fugiunt quæ cœlum paulo ante perturbarant. Post hæc igitur in concionem populum convocat, auditurum quæ mandata a Deo referat. Quem ubi convenisse animadvertit, stans in excelsiore loco, unde ad omnes dimanaret vox, « Deus quidem, inquit, eadem qua antehac be« nevolentia me excepit, o Hebræi : atque ut vitæ feliciter « agendæ pariter ac reipublicæ bene constituendæ viam ac « rationem vobis suggerat, castris vestris *jam* præsens « adest. Quare per ipsum perque ipsius magnifica opera « *vos obsecro*, ne contemnatis ea quæ dicturus sum, ad me « concionantem respicientes, nec quod lingua hominis hæc « ad vos loquatur. Nam mandatorum præstantiam quum « expenderitis, cognoscetis etiam majestatem illius qui ea « excogitavit et nostrum in commodum memet alloqui « non dedignatus est. Non enim Moyses Amaramæ et Joa« chabedæ filius, sed is qui Nilum pro vestra salute san« guineum fluere vi sua fecit, et Ægyptiorum contumaciam « variis calamitatibus fregit; qui per mare viam vobis muni« vit; qui fecit ut omnium egenis cibo cœlitus demitte« retur cibus; qui potum desiderantibus uberrimos ex « petra fontes elicuit; a quo Adamus accipit quicquid e « terra marique provenit; per quem Noeus diluvium effu« git; a quo Abramo huc illuc vaganti terra Chananæa in« dulta est; per quem Isacus parentibus ætate provectis « natus est; per quem Jacobus duodecim filiorum virtutibus

« ὃν Ἰώσηπος ἐδεσπότευσε τῆς Αἰγυπτίων δυνάμεως· « οὗτος ὑμῖν τούτους χαρίζεται τοὺς λόγους δι' ἑρμη- « νέως ἐμοῦ. Σεβάσμιοι δ' ὑμῖν γενέσθωσαν, καὶ τέ- « κνων περιμαχητότεροι καὶ γυναικῶν. Εὐδαίμονα γὰρ « διάζετε βίον τούτοις ἑπόμενοι, καὶ γῆς ἀπολαύοντες « καρπίμου καὶ θαλάσσης ἀχειμάστου καὶ τέκνων γονῆς « κατὰ φύσιν τικτομένων, καὶ πολεμίοις ἔσεσθε φοβε- « ροί· τῷ Θεῷ γὰρ εἰς ὄψιν ἐλθὼν, ἀκροατὴς ἀφθάρτου « φωνῆς ἐγενόμην· οὕτως ἐκείνῳ τοῦ γένους ὑμῶν καὶ « τῆς τούτου μέλει διαμονῆς. »

δ'. Ταῦτ' εἰπὼν προάγει τὸν λαὸν γυναιξὶν ὁμοῦ καὶ τέκνοις, ὡς ἀκούσαιεν τοῦ θεοῦ διαλεγομένου πρὸς αὐτοὺς περὶ τῶν πρακτέων, ἵνα μὴ βλαβείη τῶν λεγομέ- νων ἡ ἀρετὴ ὑπὸ ἀνθρωπίνης γλώττης, ἀσθενῶς εἰς γνῶσιν αὐτοῖς παραδιδομένη. Πάντες τε ἤκουον φω- νῆς ὑψόθεν παραγενομένης εἰς ἅπαντας, ὡς διαφυγεῖν μηδένα τῶν λόγων οὓς Μωϋσῆς ἐν ταῖς δύο πλαξὶν γεγραμμένους κατέλιπεν· οὓς οὐ θεμιτόν ἐστιν ἡμῖν λέγειν φανερῶς πρὸς λέξιν, τὰς δὲ δυνάμεις αὐτῶν δη- λώσομεν.

ε'. Διδάσκει μὲν οὖν ἡμᾶς ὁ πρῶτος λόγος ὅτι Θεός ἐστιν εἷς καὶ τοῦτον δεῖ σέβεσθαι μόνον· ὁ δὲ δεύτερος κελεύει μηδενὸς εἰκόνα ζῴου ποιήσαντας προσκυνεῖν· ὁ τρίτος δὲ ἐπὶ μηδενὶ φαύλῳ τὸν Θεὸν ὀμνύναι· ὁ δὲ τέ- ταρτος παρατηρεῖν φὰς ἑβδομάδας, ἀναπαυομένους ἀπὸ παντὸς ἔργου· ὁ δὲ πέμπτος γονεῖς τιμᾶν· ὁ δὲ ἕκτος ἀπέχεσθαι φόνου· ὁ δὲ ἕβδομος μὴ μοιχεύειν· ὁ δὲ ὄγδοος μὴ κλοπὴν δρᾶν· ὁ δὲ ἔνατος μὴ ψευδομαρτυρεῖν· ὁ δὲ δέκατος μηδενὸς ἀλλοτρίου ἐπιθυμίαν λαμβάνειν.

ς'. Καὶ τὸ μὲν πλῆθος, ἀκροασάμενον αὐτοῦ τοῦ Θεοῦ περὶ ὧν Μωϋσῆς διελέχθη, χαίρον ἐπὶ τοῖς προ- ειρημένοις τοῦ συλλόγου διελύθη· ταῖς δ' ἑξῆς φοιτῶντες ἐπὶ τὴν σκηνὴν ἠξίουν αὐτὸν καὶ νόμους αὐτοῖς παρὰ τοῦ Θεοῦ κομίζειν. Ὁ δὲ τούτους τε τίθεται καὶ περὶ τῶν ὅλων ὧν ἂν πραχθείη τρόπον ἐν τοῖς αὖθις ἀπεσή- μαινε χρόνοις· ὧν μνησθήσομαι κατὰ καιρὸν οἰκεῖον. Τοὺς δὲ πλείονας τῶν νόμων εἰς ἑτέραν ἀνατίθεμαι γρα- φὴν, ἰδίαν περὶ αὐτῶν ποιησόμενος ἀφήγησιν.

ζ'. Οὕτω δὲ τῶν πραγμάτων αὐτοῖς ἐχόντων, ὁ Μωϋσῆς πάλιν εἰς τὸ Σιναῖον ὄρος ἀνῄει, προειπὼν τοῖς Ἑβραίοις. Βλεπόντων δ' αὐτῶν ἐποιεῖτο τὴν ἄνοδον. Καὶ χρόνου τριβομένου, (τεσσαράκοντα γὰρ ἡμέρας διήγαγεν ἀπ' αὐτῶν,) δέος εἶχε τοὺς Ἑβραίους μή τι Μωϋσῆς πάθοι, καὶ τῶν συντυχόντων δεινῶν οὐκ ἔστιν ὃ οὕτως ἐλύπησεν αὐτοὺς ὡς τὸ νομίζειν Μωϋσῆν ἀπολωλέναι. Ἦν γὰρ τοῖς ἀνθρώποις ἔρις, τῶν μὲν ἀπολωλέναι λεγόντων θηρίοις περιπεσόντα, καὶ μάλιστα ὅσοι πρὸς αὐτὸν ἀπεχθῶς ἦσαν διακείμε- νοι ταύτην τὴν ψῆφον ἔφερον· τῶν δὲ, πρὸς τὸ θεῖον ἀνακεχωρηκέναι. Τοὺς δὲ σώφρονας καὶ μηδέτερον τῶν λεγομένων εἰς ἡδονὴν λαμβάνοντας ἰδίαν, καὶ τὸ θηρίοις περιπεσόντα ἀποθανεῖν ἀνθρώπινον ἡγουμένους, καὶ τὸ ὑπὸ τοῦ Θεοῦ πρὸς αὐτὸν μεταστῆναι διὰ τὴν προσοῦσαν ἀρετὴν εἰκὸς νομίζοντας, πρᾴως ἔχειν ὁ λο-

« est insignitus; per quem Josephus Ægyptiorum pote- « stati dominatus est : ille vobis, me interprete usus, « ista dat præcepta. Sint autem vobis sacrosancta, et con- « jugibus ac liberis cariora habeantur. Summa vobis « erit felicitas, dum ea custodiatis; nec terra vobis sterilis « fiet, nec mare tempestatibus agitatum, nec fœtus vestri « præter naturam edentur; atque hostibus maximo eritis « terrori : Dei enim in conspectum veniens, vocem ejus « immortalem audivi : adeo illi curæ est vestra progenies « ejusque conservatio. »

4. Quum hæc dixisset, populum coram adducit cum conjugibus et liberis, ut Deum de rebus agendis loquentem ipsis audirent : ne quid ex humana lingua detrimenti caperet dictorum dignitas, ut quæ minori cum auctoritate promulgarentur. Atque ita vox ex alto reddita ad omnium aures pervenit, ut nemo non clare exciperet singula præcepta, quæ Moyses duabus tabulis conscripta reliquit : quæ non fas est nobis totidem verbis evulgare; sententiam tamen eorum declarabimus.

5. Docet itaque nos primum præceptum, Deum esse unum, eumque solum colendum : secundum, nullius animalis simulachrum adorandum : tertium, per Deum in re inani non dejerandum : quartum, diem unumquemque septimum sancte observandum, feriando ab omni opere : quintum, parentes honorandos : sextum, a cæde abstinendum : septimum, non adulterandum : octavum, non furandum : nonum, falsum testimonium non dicendum : decimum, nihil alienum concupiscendum.

6. Et populo quidem ex ipso Deo ea audiente quæ loquutus est Moyses, magnumque ex prædictis gaudium accipiente, dimissa est concio. Proximis vero diebus ad tentorium ventitantes, postulabant ab eo ut etiam leges a Deo ad ipsos afferret. Ille vero et istas posuit; et de universis quo modo agenda essent deinceps præscripsit : quorum meminero tempore opportuno. Majorem autem legum partem in alium librum remitto, seorsum de illis commentaturus.

7. Quum eo loco res essent, Moyses iterum in montem Sinæum ascendit, postquam hoc ipsum prædixerat Hebræis. Illis autem spectantibus ascensionem fecit. Quumque diutius moraretur (quadraginta enim dies ab illis abfuerat), timor incessit Hebræos ne quid illi gravius accidisset : et ex omnibus, quæ pertulerant, malis, nihil eos magis dolebat, quam quod sibimet persuaderent Moysen periisse. In magna homines erant contentione, dum alii quidem dicerent eum ferarum incursu laniatum esse, et maxime qui illum odio habuerunt in ea erant sententia : alii vero, ad Deum concessisse. Prudentiores autem et qui ex neutra opinione aliquid sibi voluptatis caperent, ut in feras incidens discerperetur humanum arbitrantes, utque a Deo ad se translatus esset ob virtutem ipsius verisimile credentes,

γισμὸς ἐποίει· προστάτου δὲ ἠρημῶσθαι καὶ κηδεμόνος ὑπολαμβάνοντες, οἷον τυχεῖν οὐκ ἂν ἄλλου δύναιντο σφόδρα λυπούμενοι διετέλουν, καὶ οὔτε ὑπονοεῖν αὐτοὺς εἶα τὸ προσδοκᾶν τι χρηστὸν περὶ τἀνδρὸς, οὔτε μὴ λυπεῖσθαι καὶ κατηφεῖν ἠδύναντο. Τὸ δὲ στρατόπεδον οὐκ ἐθάρρουν μετάγειν, Μωϋσέως αὐτοὺς ἐκεῖ παραμένειν προειρηκότος.

η'. Ἤδη δὲ τεσσαράκοντα ἡμερῶν διεληλυθυιῶν καὶ τοσούτων νυκτῶν, παρῆν οὐδενὸς σιτίου τῶν τοῖς ἀνθρώποις νενομισμένων γεγευμένος. Χαρᾶς δ' ἐνέπλησε τὴν στρατιὰν ἐπιφανεὶς καὶ τὴν τοῦ Θεοῦ πρόνοιαν ἣν εἶχε περὶ αὐτῶν ἀπεδήλου, τόν τε τρόπον καθ' ὃν εὐδαιμονήσουσι πολιτευόμενοι λέγων αὐτῷ κατὰ ταύτας ὑποθέσθαι τὰς ἡμέρας, καὶ σκηνὴν ὅτι βούλεται γενέσθαι αὐτῷ, εἰς ἣν κάτεισι πρὸς τοὺς παραγινόμενος, ὅπως καὶ μεταβαίνοντες ἀλλαχοῦ ταύτην ἐπαγώμεθα, καὶ μηκέτι δεώμεθα τῆς ἐπὶ τὸ Σιναῖον ἀνόδου, ἀλλ' αὐτὸς ἐπιφοιτῶν τῇ σκηνῇ παρατυγχάνῃ ταῖς ἡμετέραις εὐχαῖς. Γενήσεται δὲ ἡ σκηνὴ μέτροις τε καὶ κατασκευῇ οἷς αὐτὸς ὑπέδειξεν, ὑμῶν ἀόκνως ἐχόντων πρὸς τὸ ἔργον. Ταῦτ' εἰπὼν δύο πλάκας αὐτοῖς ἐπιδείκνυσιν, ἐγγεγραμμένους ἐχούσας τοὺς δέκα λόγους, ἐν ἑκατέρᾳ πέντε. Καὶ χεὶρ ἦν ἐπὶ τῇ γραφῇ τοῦ Θεοῦ.

ΚΕΦ. Ϛ'.

Οἱ δὲ χαίροντες οἷς τε ἑώρων καὶ οἷς ἤκουον τοῦ στρατηγοῦ, τῆς κατὰ δύναμιν αὐτῶν σπουδῆς οὐκ ἀπελείποντο, ἀλλ' εἰσέφερον ἄργυρόν τε καὶ χρυσὸν καὶ χαλκὸν, ξύλα τε τῆς καλλίστης ὕλης καὶ μηδὲν ὑπὸ σήψεως παθεῖν δυνάμενα, αἰγείους τε τρίχας καὶ δορὰς προβάτων, καὶ τὰς μὲν ὑακίνθῳ βεβαμμένας, τὰς δὲ φοίνικι, αἱ δὲ πορφύρας ἄνθος, ἕτεραι δὲ λευκὴν παρεῖχον τὴν χρόαν· ἐριά τε τοῖς προειρημένοις ἄνθεσι μεμολυσμένα καὶ λίνου βύσσον, λίθους τε οὓς ἐνδεδεμένους χρυσίῳ καθειργνύντες ἄνθρωποι κόσμῳ χρῶνται πολυτελεῖ, θυμιαμάτων τε πλῆθος συνέφερον· ἐκ γὰρ τοιαύτης ὕλης κατεσκεύαζε τὴν σκηνήν. Ἡ δ' οὐδὲν μεταφερομένου καὶ συμπερινοστοῦντος ναοῦ διέφερε. Τούτων οὖν κατὰ σπουδὴν συγκομισθέντων, ἑκάστου καὶ παρὰ δύναμιν φιλοτιμησαμένου, ἀρχιτέκτονας τοῖς ἔργοις ἐφίστησι κατ' ἐντολὴν τοῦ θεοῦ οὓς καὶ τὸ πλῆθος ἂν ἐπελέξατο, τῆς ἐξουσίας ἐπ' αὐτῷ γενομένης. Τὰ δὲ ὀνόματα αὐτῶν, καὶ γὰρ ἐν ταῖς ἱεραῖς βίβλοις ἀναγέγραπται, ταῦτα ἦν· Βεσελέηλος μὲν Οὐρὶ παῖς, τῆς Ἰούδα φυλῆς, υἱωνὸς δὲ Μαριάμμης τῆς ἀδελφῆς τοῦ στρατηγοῦ· Ἐλίαβος δὲ Ἰσαμάχου, Δάνιδος φυλῆς. Τὸ δὲ πλῆθος οὕτως ὑπὸ προθυμίας τοῖς ἐγχειρουμένοις ὑπῆλθεν, ὥστε Μωϋσῆς ἀνεῖρξεν αὐτοὺς, ὑποκηρυξάμενος ἀρκεῖν τοὺς ὄντας· τοῦτο γὰρ οἱ δημιουργοὶ προειρήκεσαν. Ἐχώρουν οὖν ἐπὶ τὴν τῆς σκηνῆς κατασκευήν· καὶ Μωϋσῆς αὐτοὺς ἕκαστα περὶ τῶν μέτρων, κατὰ τὴν ὑποθήκην τοῦ Θεοῦ, καὶ τοῦ μεγέθους, ὅσα τε δεῖ σκεύη χωρεῖν αὐτὴν ἀνεδίδασκε πρὸς τὰς θυσίας ὑπηratio sortem ipsius lenius ferre jubebat: semet vero tali præside et curatore orbatos existimantes, qualem alium sibi datum iri non sperarent, in magno et continuo erant luctu; et neque *malum* suspicari sinebat eos bona de viro exspectatio, neque non lugere animoque demisso esse poterant. At inde castra movere non ausi sunt, quod Moyses eis præceperit illic manere.

8. Quum vero quadraginta dies totidemque noctes jam præteriissent, advenit, nullo alimento, quali homines uti solent, degustato. Eo autem conspecto totus gaudio completur exercitus; moxque eis exposuit, quantam de eorum salute curam adhibuerit Deus: dicens, sibi per illos dies ostensum esse, quomodo bene beateque viverent rempublicam administrantes; postulareque Deum ut tabernaculum ei conficiant, in quo descenderet quoties illis adesset, ut etiam alio migrantes id nobiscum circumferamus, et non amplius opus sit in montem Sinæum ascendere, sed ipse ventitans in tabernaculum precibus nostris adsit. Fiet autem tabernaculum ea magnitudine et forma quas ipse præmonstravit, vobis ad illud fabricandum non segnem operam conferentibus. Quum hæc dixisset, duas tabulas eis ostendit, inscripta habentes decem præcepta, quinque in utraque. Et scriptura erat a manu Dei.

CAP. VI.

Illi vero iis rebus læti, quas viderant et a Moyse acceperant, nihil operæ studiique, quantum in ipsis erat, desiderari voluerunt; sed afferebant argentum simul et aurum, et æs, lignaque optimæ materiæ, et quæ haud facile cedunt putredini, vellera etiam caprina, et pelles ovinas, alias quidem hyacintho, alias vero cocco tinctas, alias purpuræ flore collustratas, alias vero candore imbutas, lanasque prædictis coloribus fucatas, et linum byssinum, lapillosque quibus homines auro vinctis et inclusis ad ornatum sumptuosiorem utuntur, denique vim magnam odoramentorum conferebant: ex hujusmodi enim materia tabernaculum exstruxit. Illud vero nihil a templo portatili et ambulatorio differebat. His itaque certatim collatis et ab omnibus majori etiam quam pro facultatibus suis munificentia, architectos operibus præficit ex mandato Dei, quos ipse etiam populus, si illis liberum fuisset, electurus erat eosdem. Illorum autem nomina, nam et in sacris libris sunt perscripta, hæc erant: Beseleelus, Uri filius, ex tribu Judæ, nepos autem Mariammæ sororis Moysis, Eliabus Isamachi *filius*, tribus Danidis. Populus autem tanta cum alacritate rem inceptam promovebat, ut Moysi visum esset eos inhibere, jubendo proclamari non opus esse pluribus: hoc enim jam dixerant artifices. Itaque ad tabernaculi structuram aggrediuntur, Moyse eos singula de mensuris edocente, prout ei suggesserat Deus, pariter ac de magnitudine, quantumque rerum apparatum excipere oporteret,

ρετήσοντα. Ἐφιλοτιμοῦντο δὲ καὶ γυναῖκες περί τε στολὰς ἱερατικὰς καὶ περὶ τὰ ἄλλα ὅσων ἔχρησε τὸ ἔργον κόσμου τε καὶ λειτουργίας ἕνεκα τοῦ Θεοῦ.

β'. Πάντων δ' ἐν ἑτοίμῳ γεγενημένων, χρυσίου τε καὶ ἀργύρου καὶ χαλκοῦ καὶ τῶν ὑφαντῶν, προειπὼν ἑορτὴν Μωϋσῆς καὶ θυσίας κατὰ τὴν ἑκάστου δύναμιν, ἵστη τὴν σκηνήν. Πρῶτον μὲν αἴθριον διαμετρησάμενος τὸ μὲν εὖρος πεντήκοντα πήχεων, ἑκατὸν δὲ τὸ μῆκος, κάμακας ἔστησε χαλκέας πενταπήχεις τὸ ὕψος, καθ' ἑκατέραν πλευρὰν εἴκοσι τῶν ἐπιμηκεστέρων, δέκα δὲ τῶν ἐν πλάτει κειμένων τῆς κατόπιν. Κρίκοι δὲ τῶν καμάκων ἑκάστῃ προσῆσαν. Κιονόκρανα μὲν ἀργύρεα, βάσεις δὲ χρυσαῖ, σαυρωτῆρσιν ἐμφερεῖς, χαλκαῖ δὲ ἦσαν ἐπὶ τῆς γῆς ἐρηρεισμέναι. Ἐξήπτετο δὲ τῶν κρίκων καλώδια τὴν ἀρχὴν ἥλων χαλκέων πηχυαίων τὸ μέγεθος ἐκδεδεμένα, οἳ καθ' ἑκάστην κάμακα παρέντες κατὰ τοῦ ἐδάφους ἀκίνητον ὑπὸ βίας ἀνέμων τὴν σκηνὴν ἔμελλον παρέξειν. Σινδὼν δ' ἐκ βύσσου μαλακωτάτη διὰ πασῶν ἐπῆει, ἀπὸ τοῦ κιονοκράνου καταοῦσα μέχρι τῆς βάσεως πολλὴ κεχυμένη, περιῤῥάττουσα ἅπαν ἐν κύκλῳ τὸ χωρίον ὡς μηδὲν δοκεῖν τείχους διαφέρειν. Καὶ οὕτω μὲν εἶχον αἱ τρεῖς πλευραὶ τοῦ περιβόλου· τῆς δὲ τετάρτης πλευρᾶς (πεντήκοντα γὰρ οὖσα πήχεων ἡ ἑτέρα μέτωπον τοῦ παντὸς ἦν) εἴκοσι μὲν πήχεις ἀνεῴγεσαν κατὰ πύλας, ἐν αἷς ἀνὰ δύο κάμακες εἱστήκεσαν κατὰ μίμησιν πυλώνων, ὅλαις δ' αὐταῖς ἄργυρος ἦν ἐπικεχαλκευμένος πάρεξ τῶν βάσεων· χαλκαῖ γὰρ ἦσαν. Ἑκατέρωθεν δὲ τοῦ πυλῶνος τρεῖς κάμακες ἦσαν ἑστῶσαι, αἷ τοῖς πυλούχοις ἐμβεβήκεισαν ἐρηρεισμέναι· καὶ κατ' αὐτῶν δὲ βύσσινον ὕφος σινδόνος ἦν περιηγμένον. Τὸ δὲ κατὰ τὰς πύλας, μήκους μὲν ὄντος πήχεων εἴκοσι, πέντε δὲ βάθους, ὕφος ἦν πορφύρας καὶ φοίνικος σὺν ὑακίνθῳ καὶ βύσσῳ πεποικιμένον, πολλῶν αὐτῷ συνανθούντων καὶ ποικίλων, ὁπόσα μὴ ζῴων ἐξετυποῦτο μορφάς. Ἐντὸς δὲ τῶν πυλῶν περιῤῥαντήριον ἦν χάλκεον, ὁμοίαν αὐτῷ καὶ τὴν κρηπῖδα παρεχόμενον, ἐξ οὗ τοῖς ἱερεῦσι τὰς χεῖρας ἀποπλύνειν καὶ τῶν ποδῶν καταχεῖν παρῆν. Καὶ ὁ μὲν τοῦ αἰθρίου περίβολος τοῦτον τὸν τρόπον ἦν διακεκοσμημένος.

γ'. Τὴν δὲ σκηνὴν ἵστησιν αὐτοῦ κατὰ μέσον, τεταραμμένην πρὸς ἀνατολάς, ἵνα πρῶτον ὁ ἥλιος ἐπ' αὐτὴν ἀνιὼν ἀφιῇ τὰς ἀκτῖνας. Καὶ τὸ μὲν μῆκος αὐτῆς ἐπὶ πήχεις ἐγήγερτο τριάκοντα, τὸ δὲ εὖρος ἐπὶ δέκα διειστήκει· καὶ ὁ μὲν ἕτερος τῶν τοίχων νότιος ἦν, ὁ δ' ἕτερος κατὰ βορέαν ἐτέτραπτο, κατόπιν δ' αὐτῆς ἡ δύσις κατελείπετο. Ἀνίστασθαι δ' αὐτὴν ἐχρῆν ἐφ' ὅσον προσβαίνοι τὸ εὖρος. Κίονες δ' ἦσαν ξύλου πεποιημένοι κατὰ πλευρὰν ἑκατέραν εἴκοσι, τετράγωνοι μὲν τὸ σχῆμα εἰργασμένοι, εἰς δὲ πλάτος διεστῶτες πήχεώς τε καὶ ἡμίσους, τὸ δὲ βάθος δακτύλων τεττάρων. Λεπίδες δ' αὐτοῖς ἦσαν ἐπικεχαλκευμέναι πανταχόθεν χρυσαῖ, διά τε τῶν ἐνδοθεν καὶ τῶν ἐκτὸς μερῶν. Δύο δ' αὐτῶν ἑκάστῳ προσῆσαν στρόφιγγες, ἑλαυνόμενοι

sacrificiorum usui inservientium. Quin et æmula virtus feminarum enituit circa vestes sacerdotales et alia quæ desiderabantur ad ornatum operis et Dei ministerium.

2. Quum autem omnia præsto essent et parata, et aurum et argentum, et æs, et textilia, Moyses, indicto festo et sacrificiis pro cujusque facultatibus, tabernaculum erigit. Atrium primo dimensus, in latitudinem quinquaginta cubitorum, in longitudinem centum, vallos æreos statuit altitudine quinque cubitorum, secundum longiora latera viginti, secundum transversa a tergo decem. Annuli autem vallis singulis inerant. Capitella quidem *vallorum* argentea, bases vero deauratæ, et subacutæ tanquam ima hastarum, æreæ autem qua in terram defixæ. Annulis innectebantur funes, ab *altero* capite clavis æreis cubitalibus religati, qui per singulos vallos in terram adacti erant, ad tabernaculum contra ventorum vim firmandum muniendumque. Linteum deinde byssinum mollissimum unumquodque *trium* laterum pervadebat, et e capitellis pendens ad basim ampliter defluebat, omnem per circuitum locum circummuniens, ut nihil a muro differre videretur. Atque hoc modo se habebant septi tria latera. Quarti autem lateris (illud enim reliquum, quinquaginta cubitorum, totius operis erat frons) viginti quidem cubita aperta erant in portas, utrinque habentes geminatos vallos instar vestibulorum. Hi quoque ex argento facto et expolito toti conficiebantur, præter bases: illæ enim æneæ erant. Ab utroque autem vestibuli latere adstabant tres valli in *ligna* portas sustinentia intromissi et firmiter depacti: et ab illis quidem circumductum erat linteum e bysso contextum. Portis autem, viginti quidem cubitos in latitudinem patentibus, in altitudinem vero quinque, oppansum erat velum ex purpura et cocco, hyacintho et bysso contextum, multis variisque ornatum picturis, quæ quidem non exprimerent animantium formas. Intra portas autem aspersorium erat æneum, cum crepidine ex eadem materia: in quo sacerdotes manus abluerent et pedes perfunderent. Atque septum quidem atrii in hunc modum erat ornatum.

3. Tabernaculum autem posuit in ejus medio, versum ad orientem, ut sol, ubi primum oriretur, radios in illud emitteret. Et ejus quidem longitudo erat cubitorum triginta, latitudo vero decem: ac alter quidem parietum erat australis, alter vero ad aquilonem obversus, et a tergo erat occasus. Tantum etiam in altitudinem erigendum erat, quantum in latitudinem patebat. Erant autem tabulæ ligneæ ex utroque latere viginti, in quadrangularem quidem formam dolatæ, latitudine vero unius et dimidii cubiti, et crassitudine quattuor digitorum. Laminæ aureæ illis undique fabricatæ erant, tam ad interiora quam exteriora. Singulis vero tabulis inerant cardines bini per duas bases immissi, (illæ

κατὰ δύο βάσεων· αὗται δ' ἀργυραῖ μὲν ἦσαν· πυλὶς δ' ἑκατέρα τούτων προσῆν δεχομένη τὸν στρόφιγγα. Τοῦ δὲ κατὰ δύσιν τοίχου κίονες μὲν ἓξ ἦσαν· συνῆσαν δ' ἀλλήλοις ἀκριβῶς ἅπαντες, ὥστε μεμυκότων τῶν ἁρμῶν ὡς ἕνα δοκεῖν εἶναι τοῖχον αὐτῶν τὴν συνέλευσιν, χρύσεον τά τε ἔνδοθεν καὶ τὰ ἐκτός. Ἀνελόγει γὰρ ὁ τῶν κιόνων ἀριθμός· εἴκοσι γὰρ ἦσαν. Καὶ παρεῖχε βάθος τρίτον σπιθαμῆς ἕκαστος αὐτῶν, ὥστε συμπληροῦσθαι τοὺς τριάκοντα πήχεις ὑπ' αὐτῶν. Κατὰ δὲ τὸν ὄπισθεν τοῖχον (ἐννέα γὰρ πήχεις οἱ ἓξ κίονες παρέχονται συνεισελθόντες) δύ' ἑτέρους ποιοῦνται κίονας ἐκ πήχεως τετμημένους, οὓς ἐγγωνίους ἔθεσαν ἐπ' ἴσης τοῖς μείζοσιν ἠκτημένους. Ἕκαστος δὲ τῶν κιόνων κρίκους εἶχε χρυσέους κατὰ τὸ ἔξω μέτωπον προσφυεῖς, ὥσπερ ῥίζαις τισὶν ἐμπεπλεγμένους κατὰ στίχον πρὸς ἀλλήλους τετραμμένους τὴν περιφάνειαν· καὶ δι' αὐτῶν ἐπίχρυσοι σκυταλίδες ἐλαυνόμεναι, πέντε πήχεων ἑκάστη τὸ μέγεθος, σύνδεσμος ἦσαν τῶν κιόνων, ἐμβαινούσης κατὰ κεφαλὴν σκυταλίδος ἑκάστης τῇ ἑτέρᾳ, τέχνῃ τῷ στρόφιγγι κοχλίου τρόπον δεδημιουργημένῳ. Κατὰ δὲ τὸν ὄπισθεν τοῖχον μία φάλαγξ ἦν διὰ πάντων ἰοῦσα τῶν κιόνων, εἰς ἣν ἐνέβαινον πλάγιαι καὶ αἱ τελευταὶ τῶν σκυταλίδων ἐξ ἑκατέρου τοίχου τῶν ἐπιμηκεστέρων, κρατεῖσθαι σὺν ἑαυταῖς γιγγλύμοις τῷ θήλει τοῦ ἄρρενος συνελθόντος. Τοῦτο μέντοι, πρὸς τὸ μήθ' ὑπ' ἀνέμων κραδαίνεσθαι μήτ' ἄλλης αἰτίας, τὴν σκηνὴν συνεῖχεν, ἀλλ' ἀκίνητον αὐτὴν ἐν ἠρεμίᾳ πολλῇ διαφυλάξειν ἔμελλεν.

δ'. Ἐντὸς δὲ διελὼν τὸ μῆκος αὐτῆς εἰς τρία μέρη, μετὰ δέκα πήχεας ἁρμοσμένους ἐκ τοῦ μυχοῦ τέσσαρας ἵστησι κίονας, ὁμοίως τοῖς ἄλλοις εἰργασμένοις καὶ βάσεσιν ὁμοίαις ἐπικειμένους, διαλείποντας ἀλλήλων κατ' ὀλίγον. Τὸ δ' ἐνδοτέρω αὐτῶν ἄδυτον ἦν, τὸ δὲ λοιπὸν ἡ σκηνὴ τοῖς ἱερεῦσιν ἀνεῖτο. Τὴν μέντοι διαμέτρησιν τὴν τοιαύτην τῆς σκηνῆς πρὸς μίμησιν τῆς τῶν ὅλων φύσεως συνέβαινεν εἶναι. Τὸ μὲν γὰρ τρίτον αὐτῆς μέρος τὸ ἐντὸς τῶν τεσσάρων κιόνων, ὃ τοῖς ἱερεῦσιν ἦν ἄβατον, ὡς οὐρανὸς ἀνεῖτο τῷ Θεῷ· οἱ δ' εἴκοσι πήχεις, ὥσπερ γῇ καὶ θάλασσα βάσιμος ἀνθρώποις, οὕτω τοῖς ἱερεῦσιν μόνοις ἐπετέτραπτο. Κατὰ μέτωπον δὲ, ἐξ οὗ τὴν εἴσοδον ἦσαν πεποιημένοι, κίονες ἕστασαν χρύσεοι χαλκέαις βάσεσιν ἐφεστῶτες, πέντε τὸν ἀριθμόν. Κατεπετάννυσαν δὲ τὴν σκηνὴν ὕφεσι βύσσου καὶ πορφύρας καὶ ὑακίνθου καὶ φοίνικος βαφαῖς συγκεκραμένοις. Καὶ πρῶτον μὲν ἦν πήχεων δέκα πανταχόθεν, ᾧ κατεπετάννυσαν τοὺς κίονας, οἱ διαιροῦντες τὸν νεὼν τὸ ἄδυτον ἔνδον αὐτῶν ἀπελάμβανον. Καὶ τοῦτο ἦν τὸ ποιοῦν αὐτὸ μηδενὶ κάτοπτον. Καὶ ὁ μὲν πᾶς νεὼς ἅγιον ἐκαλεῖτο, τὸ δὲ ἄβατον τὸ ἐντὸς τῶν τεσσάρων κιόνων τοῦ ἁγίου τὸ ἅγιον. Ὡραῖον δὲ ἦν τὸ φάρσος, ἄνθεσι παντοίοις, ὅσα γῆθεν ἀνέρχεται, διαπεποικιλμένον, τοῖς τε ἄλλοις ἅπασιν ἐνυφασμένον ὅσα κόσμον οἴσειν ἔμελλε, πλὴν ζώων μορφῆς. Ἕτερον δὲ τούτῳ καὶ τῷ μεγέθει καὶ τῇ ὑφῇ καὶ τῇ χρόᾳ παραπλήσιον τοὺς

vero ex argento quidem factæ,) et utrique basi foramen ad cardines suscipiendos. Plagam vero occidentalem tabulæ quidem sex muniebant : adeo autem omnes firmiter inter se aptæ erant et connexæ, ut non perceptis commissuris in unum parietem coalescere viderentur, ab interiori et exteriori parte auro obductum. Utroque ex latere sibi respondebant tabulæ; erant enim numero viginti. Et unaquæque crassitiei erat unius et dimidii cubiti, atque ita triginta cubitos adimplebant. In postico autem pariete (novem enim cubitos efficiebant sex tabulæ conjunctæ) duas alias tabulas faciunt ex uno cubito divisas, quas angulares posuerunt ad instar majorum tabularum adornatas. Singulæ autem tabulæ annulos habebant aureos fronti extrinsecus adaptatos, veluti radicibus quibusdam ordine confixos, sibi invicem undique respondentes : et per eos repagula deaurata, quinque singula cubitorum, trajiciuntur ad tabulas conjungendas, capite uniuscujusque vectis in caput alterius immisso per vertibula cochleæ ad similitudinem affabre facta. Ad posticum autem parietem una phalanx per tabulas omnes discurrebat, in quam intrabant extrema vectium per laterum longiorum parietes pertinentium, quo firmius commissuris jungerentur masculo et femina inter se coarctatis. Atque ita cautum est ut tabernaculum nulla ventorum vi aliove impetu agitaretur, sed perquam securum staret et immobile.

4. Intus autem ejus longitudine in tres partes divisa, ad decem cubitos a fundo statutæ sunt columnæ quattuor *loco* adaptatæ, eodem opere et ex eadem materia cum tabulis factæ, et basibus similibus impositæ, paululum ab invicem disjunctæ. Quod intra eas, adytum erat; reliquum vero tabernaculi sacerdotibus patebat. Atque contigit ut talis tabernaculi dimensio rerum universitatem referret. Nam tertia pars ejus, quæ intra columnas quattuor, quo nec sacerdotibus fas accedere, erat veluti cœlum Deo sepositum : viginti vero cubitorum spatium, tanquam terra et mare ad quæ hominibus datur accessus, solis sacerdotibus concedebatur. At vero ad frontem, qua factus erat aditus, columnæ quinque stabant æreis basibus innixæ. Velis autem operiebant tabernaculum, ex byssi et purpuræ et hyacinthi et cocci coloribus contextis. Et horum quidem primum decem erat cubitorum quaquaversum, columnis obductum, quæ, per transversum templi positæ, adytum intus conclusum tenebant. Et hoc erat quod ab eo omnem arcebat conspectum. Et totum quidem templum Sanctum vocabatur; adytum vero, quod intra quattuor columnas, Sanctum Sanctorum. Speciosa autem erat *hæc* cortina, omne genus florum, quos terra fert, varietate decorata, atque aliis universis intexta, quæ ei in ornamentum cederent, præter animantium formas. Alia vero, huic magnitudine, textura et colore similis, quinque columnas ad

ἐν ταῖς εἰσόδοις πέντε κίονας περιέβαλλε, κατὰ γωνίαν ἑκάστου κίονος κρίκου κατέχοντος αὐτὸ, ἀπὸ κορυφῆς ἄχρι ἡμίσους τοῦ κίονος. Τὸ δὲ λοιπὸν εἴσοδος ἀνεῖτο τοῖς ἱερεῦσιν ὑποδυομένοις. Ὑπὲρ δὲ τούτου λίνεον ἦν ἰσομέγεθες φάρσος, ἐφελκόμενον ἀπὸ καλῶν ἐπὶ θάτερα, τῶν κρίκων τῷ τε ὕφει καὶ τῷ κάλῳ διακονούντων πρός τε τὸ ἐκπετάννυσθαι καὶ συνελκόμενον ἵστασθαι κατὰ γωνίαν, ἐμποδὼν οὐκ ἐσόμενον πρὸς τὸ κατοπτεύεσθαι, καὶ μάλιστα ἐν ταῖς ἐπισήμοις ἡμέραις· κατὰ δὲ τὰς λοιπὰς, καὶ μάλισθ' ὅταν ᾖ νιφετώδης, προπεταννύμενον, στεγανὸν ἐποίει τὸ ἐκ τῶν βαμμάτων ὕφος. Ὅθεν δὴ παρέμεινε τὸ ἔθος, καὶ τὸν ναὸν οἰκοδομησαμένων ἡμῶν, ὥστε τὴν σινδόνα τοιουτότροπον περικεῖσθαι ταῖς εἰσόδοις. Δέκα δ' ἄλλα φάρση, πήχεων τὸ πλάτος τεσσάρων, τὸ δὲ μῆκος ὀκτὼ καὶ εἴκοσι, χρυσέους ἔχοντα γιγγλύμους, ἐπὶ συναφῇ θηλείας τε καὶ ἄρρενος συνείλεκτο, ὡς ἓν εἶναι δοκεῖν· εἶθ' ὑπερτεινόμενα τοῦ ναοῦ τό τ' ἐφύπερθεν ἐσκίαζε καὶ τῶν τοίχων τοὺς κατὰ πλευρὰν καὶ κατόπιν ἑστῶτας, ἀπὸ τῆς γῆς ὅσον πῆχυν ἀνέχοντα. Ἴσαι δὲ τῷ πλάτει καὶ ἄλλαι σινδόνες, μιᾷ πλείους τὸν ἀριθμὸν, τὸ δὲ μῆκος ὑπερβάλλουσαι· τριάκοντα πήχεις γὰρ ἦσαν. Ὑφασμέναι δ' ἐκ τριχῶν, ὁμοίως κατὰ λεπτουργίαν ταῖς ἐκ τῶν ἐρίων πεποιημέναις, ἐτέταντο μέχρι τῆς γῆς κεχυμέναι, καὶ κατὰ θύρας ἀετώματι παραπλήσιον καὶ παστάδι παρεῖχον, τοῦ ἑνδεκάτου φάρσους εἰς τοῦτο παρειλημμένου. Ἄλλαι δ' ἐπάνω τούτων ἐκ διφθερῶν κατασκευασμέναι ὑπερῆσαν, σκέπη καὶ βοήθεια ταῖς ὑφαναῖς ἔν τε τοῖς καύμασι καὶ ὁπότε ὑετὸς εἴη γεγενημέναι. Πολλὴ δ' ἔκπληξις ἐλάμβανε τοὺς πόρρωθεν θεωμένους· τὴν γὰρ χρόαν τοῖς κατὰ τὸν οὐρανὸν συμβαίνουσιν οὐδὲν ἐδόκουν διαφέρειν. Αἱ δὲ ἐκ τῆς τριχὸς καὶ τῶν διφθερῶν πεποιημέναι κατῆσαν ὁμοίως τῷ περὶ τὰς πύλας ὑφάσματι, τό τε καῦμα καὶ τὴν ἀπὸ τῶν ὄμβρων ὕβριν ἀπομαχόμεναι. Καὶ ἡ μὲν σκηνὴ τοῦτον πήγνυται τὸν τρόπον.

ε'. Γίνεται δὲ καὶ κιβωτὸς τῷ Θεῷ ξύλων ἰσχυρῶν τὴν φύσιν καὶ σῆψιν παθεῖν οὐ δυναμένων. Ἡ δὲ ἐρὼν μὲν καλεῖται κατὰ τὴν ἡμετέραν γλῶτταν· ἡ δὲ κατασκευὴ τοιαύτη τις ἦν. Μῆκος μὲν ἦν αὐτῇ πέντε σπιθαμῶν, τὸ δὲ εὖρος καὶ τὸ βάθος τριῶν σπιθαμῶν εἰς ἑκάτερον. Χρυσῷ δὲ τά τ' ἐντὸς καὶ τὰ ἔξωθεν περιελήλατο πᾶσα, ὡς ἀποκεκρύφθαι τὴν ξύλωσιν, στρόφιγξί τε χρυσέοις τὸ ἐπίθεμα προσηνωμένον εἶχεν θαυμαστῶς, ὃ πανταχόθεν ἴσον ἦν, κατ' οὐδέτερον μέρος ἐξοχαῖς τὴν εὐαρμοστίαν λυμαινόμενον. Καθ' ἑκάτερον δὲ τοῖχον τῶν ἐπιμηκεστέρων κρίκοι προσῆσαν χρύσεοι δύο, τοῦ παντὸς διήκοντες ξύλου, καὶ δι' αὐτῶν μέντοι σκυταλίδες ἐπίχρυσοι καθ' ἑκάτερον τοῖχον, ὡς ἂν ὑπ' αὐτῶν, ὁπότε δεήσειεν, ἄγοιτο κινουμένη. Οὐ γὰρ ἐπὶ ζεύγους ἐκομίζετο, ἀλλ' ὑπὸ τῶν ἱερέων ἐφέρετο. Τῷ δ' ἐπιθέματι αὐτῆς ἦσαν πρόστυποι δύο· Χερουβεῖς μὲν αὐτοὺς Ἑβραῖοι καλοῦσι. Ζῷα δ' ἐστὶ πετεινὰ, μορφὴν δ' οὐδενὶ τῶν ὑπ' ἀνθρώπων ἑωραμένων παραintroitum obtegebat, a summitate ad medias columnas ab annulo ad angulum cujusque columnæ dependens. At reliquum *spatii* sacerdotibus subintrantibus in aditum patebat. Huic autem *velo* lintea prætenta erat cortina pari magnitudine, funibus in alterutram partem adducenda, annulis velo pariter ac funibus adaptatis, ut aut expanderetur aut contractum sisteretur ad angulum, quo liberior esset prospectus, et præcipue in festis diebus : nam in reliquis, ac præsertim quum nivosa erat tempestas, operimento erat velum variis coloribus distinctum. Unde et post templum a nobis exædificatum obtinuit ut hujusmodi linteum aditibus esset oppansum. Præterea autem decem tegumenta quattuor cubitorum latitudine, longitudine vero octo et viginti, aureas habentia commissuras, ita inter se masculo et femina ad contactum implicitis coaptata erant, ut unum esse viderentur; dein expansa obtegebant templi et superiora et parietum partem utramque lateralem simul et posticam, ad terram uno per circuitum pede dempto pertingentia. Erant autem et alia stragula ejusdem latitudinis, uno quidem numero plura, in longitudinem vero magis porrecta : constabant enim ista triginta cubitis. E pilis autem contexta, eadem subtilitate qua priora e lana, ad terram usque prolixius aliquanto demissa erant et ad ostia fastigii et antarum similitudinem referebant, stragulo undecimo in hunc usum assumpto. Alia rursus e pellibus facta his superinducta erant, quæ contra æstus et pluvias *coloribus variegata* protegerent. Aspectu ejus e longinquo quidem homines obstupescebant : adeo enim micabant colores, ut cœlestia intueri viderentur. Operimenta autem e pilis et pellibus facta similiter prominebant ac velum ad portas oppansum, ut ardores et imbrium injuriam arcerent. Atque tabernaculum quidem in hunc modum constructum est.

5. Facta est autem et arca Deo ex lignis natura validis et quæ cariem non sentiunt. Hæc vero eron quidem dicitur lingua nostra vernacula. Hujusmodi autem erat ejus fabrica. Longitudo ei quidem erat quinque spithamarum, latitudo vero et crassities trium utraque erat spithamarum. Intus autem et extra auro tota obducta erat, ut plane occultaretur materies : et aureis cardinibus tegmen coaptatum habuit arte mirabili, quod undique ei ad amussim respondebat, nulla ex parte vel tantilla scitam ejus aptamque juncturam impediente asperitate. Porro utrique longiorum *laterum* parieti affixi erant duo annuli aurei, per totum lignum penetrantes; et per eos vectes deaurati utrinque trajecti, ut earum ope, quoties occasio postularet, de loco in locum moveretur. Non enim super jumentis vehebatur, sed sacerdotes eam ferebant. Operculo autem ejus impositæ erant effigies duæ : quas quidem Cherubes appellant Hebræi. Sunt enim animantia volatilia, tali forma qualem nemo mortalis in vivis unquam conspexerat.

πλήσια. Μωϋσῆς δέ φησι τῷ θρόνῳ τοῦ Θεοῦ προστυπεῖς ἑορακέναι. Ταύτῃ τὰς δύο πλάκας, ἐν αἷς τοὺς δέκα λόγους συγγεγράφθαι συμβεβήκει, ἀνὰ πέντε μὲν εἰς ἑκατέραν, ἀνὰ δύο δὲ καὶ ἥμισυ κατὰ μέτωπον, ἐγκατέθετο. Καὶ ταύτην ἐν τῷ ἀδύτῳ κατατίθησιν.

ς'. Ἐν δὲ τῷ ναῷ τράπεζαν ἱδρύεται Δελφικαῖς παραπλησίαν, τὸ μῆκος μὲν δύο πηχῶν, τὸ δὲ πλάτος ἑνὸς πήχεος, καὶ σπιθαμῶν τριῶν τὸ ὕψος. Ἦσαν δ' αὐτῇ πόδες τὰ μὲν ἐξ ἡμίσους ἕως τῶν κάτω τελέως ἀπηρτισμένοι, οἷς Δωριεῖς προστιθέασι ταῖς κλίναις ἐμφερεῖς, τὸ δὲ πρὸς αὐτὴν ἀνατεῖνον τετράγωνοι τῇ ἐργασίᾳ. Κοιλαίνεται δὲ καθ' ἕκαστον πλευρὸν, κοιλαίνουσά πως κατὰ παλαιστὴν τὸ ἔδαφος, ἕλικος περιθεούσης τό τε ἄνω καὶ τὸ κάτω μέρος τοῦ σώματος. Καθ' ἕκαστον δὲ τῶν ποδῶν καὶ ταύτῃ ἐλήλατο κρίκος, οὐκ ἄπωθεν τοῦ ἐπιθέματος, δι' ὧν ἦσαν στελεοὶ χρύσεοι, ξύλου τὰ νέρθεν ὄντες, ἐξαιρετοί. Κοῖλον γὰρ εἶχεν ἐπ' αὐτοῖς τὸ κατὰ τοὺς κρίκους κοινωθέν· οὐδὲ γάρ εἰσι διηνεκεῖς, ἀλλὰ, πρὶν συνελθεῖν εἰς τὸ ἄπειρον, εἰς περονίδας τὴν ἀρχὴν τελευτῶντες, ὧν ἡ μὲν εἰς τὸ προανέχον ἐμβαίνει τῆς τραπέζης, ἡ δὲ εἰς τὸν πόδα· καὶ τούτοις κατὰ τὰς ὁδοὺς ἐκομίζετο. Ἐπὶ ταύτης (ἐτίθετο γὰρ ἐν τῷ νεῷ τετραμμένη πρὸς ἄρκτον οὐ πόρρω τοῦ μυχοῦ) διετίθεσαν ἄρτων τε δώδεκα ἀζύμους κατὰ ἓξ ἐπαλλήλους κειμένους, καθαροῦ πάνυ τοῦ ἀλεύρου ἐκ δύο ἀσσαρώνων, ὃ μέτρον Ἑβραίων ἑπτὰ κοτύλας Ἀττικὰς ἔχει. Ὑπὲρ δὲ τῶν ἄρτων ἐτίθεντο δύο φιάλαι χρύσεαι, λιβανωτοῦ πλήρεις. Μετὰ δὲ ἡμέρας ἑπτὰ πάλιν ἄλλοι ἐκομίζοντο ἄρτοι, ἐν τῷ καλουμένῳ ὑφ' ἡμῶν σαββάτῳ· τὴν γὰρ ἑβδόμην ἡμέραν σάββατα καλοῦμεν. Τὴν δ' αἰτίαν ἐξ ἧς ταῦτ' ἐπενοήθησαν ἐν ἑτέροις ἐροῦμεν.

ζ'. Κατὰ πρόσωπον δὲ τῆς τραπέζης, τῷ πρὸς μεσημβρίαν τετραμμένῳ τοίχῳ πλησίον, ἵσταται λυχνία ἐκ χρυσοῦ κεχωνευμένη διάκενος, σταθμὸν ἔχουσα μνᾶς ἑκατὸν, ἃς Ἑβραῖοι μὲν καλοῦσι κίγγαρες, εἰς δὲ τὴν Ἑλληνικὴν μεταβαλλόμενον γλῶσσαν σημαίνει τάλαντον. Πεποίηται δὲ σφαιρία καὶ κρίνα σὺν ῥοΐσκοις καὶ κρατηριδίοις· ἑβδομήκοντα δ' ἦν τὰ πάντα· ἐξ ὧν ἀπὸ μιᾶς βάσεως συνετέθη πρὸς ὕψος, ποιήσαντος αὐτὴν συγκειμένην εἰς μοίρας εἰς ὅσας τοὺς πλανήτας καὶ τὸν ἥλιον κατανέμουσιν. Ἀπαρτίζεται δὲ εἰς ἑπτὰ κεφαλὰς, καταλλήλας ἐν στοίχῳ διακειμένας. Λύχνοι δ' ἐπιφέρονται αὐταῖς ἑπτὰ κατὰ μίαν, τῶν πλανητῶν τὸν ἀριθμὸν μεμιμημένοι· ὁρῶσι δ' εἰς τε τὴν ἀνατολὴν καὶ τὴν μεσημβρίαν, λοξῶς αὐτῆς κειμένης.

η'. Μεταξὺ δὲ αὐτῆς καὶ τῆς τραπέζης ἔνδον, ὡς προεῖπον, θυμιατήριον, ξύλινον μὲν, ἐξ οὗ καὶ τὰ πρότερα ἦν σκεύη, μὴ σηπόμενον, στερεὰ δὲ περιελήλατο αὐτῷ λεπίς. Πηχυαῖον μὲν κατὰ πλευρὰν ἑκάστην τὸ πλάτος, ὕψος δὲ διπλάσιον. Ἐπῆν δὲ ἐσχάρα χρυσέα ὑπερανεστῶσα, ἔχουσα κατὰ γωνίαν ἑκάστην στέφανον, καὶ τοῦτον δ' ἐκπεριοδεύοντα χρύσεον· ᾧ καὶ κοίκοι

At hæc dixit Moyses se in Dei throno expressa conspexisse. In hanc arcam reposuit duas tabulas, in quibus decem præcepta conscripta esse contigit, quinque quidem in singulis, duo vero cum dimidio in unaquaque pagina; ipsamque *arcam* intra adytum recondit.

6. In sacerdotum sacrario mensam collocavit Delphicis non absimilem, longitudine quidem duûm cubitorum, latitudine vero cubiti unius, et altitudine trium spithamarum. Erant autem illi pedes, dimidia quidem sui parte deorsum perfecte et accurate facti, similes iis quos spondis adhibent Dores; sursum vero abacum versus quadrangulati opere erant. At *mensa* excavatur per unumquodque latus, veluti labro quattuor digitorum, limbo circumeunte superiorem et inferiorem ejus corporis partem. Singulis autem ejus pedibus affixi erant annuli, non separati ab operculo; in quos immissi erant vectes lignei, aureis laminis obducti, iique exemptiles. Nam qua parte cum mensa cohærebant annuli, cavitas erat: neque *enim perpetui erant*, sed *prius*quam in orbem coirent, desinebant extremitatibus suis in acumina, quorum unum in prominentem mensæ partem inserebatur, alteram in pedem: atque his per viam asportabatur mensa. Super hanc (nam posita erat in sanctuario versus septentrionem, non longe ab adyto) collocabantur duodecim panes non fermentati, seni e regione sibi duobus ordinibus oppositi, ex farina mundissima duorum assaronum: quæ mensura Hebræorum septem cotylas Atticas continet. Panibus autem impositæ erant duæ phialæ aureæ thure plenæ. Post septem vero dies alii panes inferebantur, festo quod nos sabbatum appellamus: diem enim septimum sabbatum vocamus. At quodnam huic rei excogitandæ ansam dederit, alibi dicemus.

7. Ex adverso autem mensæ propius meridianum parietem situm erat candelabrum ex auro fuso et subinani, centum minarum pondo, quas Hebræi quidem cinchares nominant: quod, si Græce interpreteris, talentum significat. Distinctum autem erat sphærulis, liliis, granatis, et craterculis: illorum vero omnium summa erat septuaginta: ex quibus ab una basi compositum in altum assurgebat, in totidem calamos structura sua distributum, quot planetas cum sole perhibent. Exibat autem in septem capita, una eademque serie æquis intervallis disposita. Porro in illis lucernæ præfulgebant, in singulis septem, planetarum numerum referentes: respectantesque ad orientem et meridiem, candelabro oblique posito.

8. Inter candelabrum autem et mensam interius, ut jam dixi, ara erat suffitus, e ligno quidem, unde et priora facta sunt instrumenta, non putrescente, solida vero lamina incrustato, cubitali quidem in quadrum latitudine, altitudine vero dupla. Superimposita autem erat craticula aurea, habens ad unumquemque angulum coronam, eamque circumeuntem auream: cui adjuncti erant annuli, cum vecti-

καὶ σκυταλίδες προσήεσαν, αἷς κατὰ τὰς ὁδοὺς ὑπὸ τῶν ἱερέων ἐφέρετο. Ἵδρυτο δὲ καὶ πρὸ τῆς σκηνῆς βωμὸς χάλκεος, ὑπόζυλος καὶ αὐτὸς, ἑκάστην πλευρὰν πέντε πήχεσιν ἐκμεμετρημένος, τὸ δὲ ὕψος τρίπηχυς, ὁμοίως τῷ χρυσῷ κεκοσμημένος, χαλκέαις λεπίσιν ἐξησκημένος, δικτύῳ τὴν ἐσχάραν ἐμφερής· ἐξεδέχετο γὰρ ἡ γῆ τὸ ἀπὸ τῆς ἐσχάρας πῦρ καταφερόμενον, τῆς βάσεως διὰ παντὸς οὐχ ὑποκειμένης. Ἀντικρὺ δ' ἐτίθεντο τοῦ βωμοῦ οἰνοχόαι τε καὶ φιάλαι σὺν θυΐσκαις καὶ κρατῆρσιν ἐκ χρυσοῦ· ὅσα δὲ ἄλλα σκεύη πρὸς τὰς ἱερουργίας πεποίητο, χάλκεα ἅπαντα ὑπῆρχον. Καὶ ἡ μὲν σκηνὴ τοιαύτη τε ἦν καὶ τὰ περὶ αὐτὴν σκεύη.

ΚΕΦ. Ζ'.

Γίνονται δὲ καὶ τοῖς ἱερεῦσι στολαὶ, πᾶσί τε τοῖς ἄλλοις, οὓς χαναίας καλοῦσι, καὶ δὴ καὶ τῷ ἀρχιερεῖ, ὃν ἀναραβήχην προσαγορεύουσι· σημαίνει δὲ ἀρχιερέα. Τὴν μὲν οὖν τῶν ἄλλων στολὴν τοιαύτην εἶναι συμβέβηκεν· ὅταν δὲ προσίῃ ταῖς ἱερουργίαις ὁ ἱερεὺς, ἡγνευκὼς ἦν ὁ νόμος ἁγνείαν διαγορεύει, πρῶτον μὲν περιτίθεται τὸν μενναχασὴν λεγόμενον· βούλεται δὲ τοῦτο συνακτῆρα μὲν δηλοῦν, διάζωμα δ' ἐστὶ περὶ τὰ αἰδοῖα ραπτὸν ἐκ βύσσου κλωστῆς εἰργνύμενον, ἐμβαινόντων εἰς αὐτὸ τῶν ποδῶν ὡσπερεὶ ἀναξυρίδας· ἀποτέμνεται δὲ ὑπὲρ ἥμισυ, καὶ τελευτῆσαν ἄχρι τῆς λαγόνος περὶ αὐτὴν ἀποσφίγγεται.

β'. Ἐπὶ δὲ τούτῳ λίνεον ἔνδυμα διπλῆς φορεῖ σινδόνος βυσσίνης. Χεθομένη μὲν καλεῖται, λίνεον δὲ τοῦτο σημαίνει· χεθὸν γὰρ τὸ λίνον ἡμεῖς καλοῦμεν. Ἔστι δὲ τοῦτο τὸ ἔνδυμα ποδήρης χιτὼν περιγεγραμμένος τῷ σώματι, καὶ τὰς χειρῖδας περὶ τοῖς βραχίοσιν κατεσφιγμένος, ὃν ἐπιζώννυνται κατὰ στῆθος, ὀλίγον τῆς μασχάλης ὑπεράνω τὴν ζώνην περιάγοντες, πλατεῖαν μὲν ὡς εἰς τέσσαρας δακτύλους, διακένως δ' ὑφασμένην ὥστε λεβηρίδα δοκεῖν ὄφεως. Ἄνθη δ' εἰς αὐτὴν ἐνύφανται, φοίνικι καὶ πορφύρᾳ μετὰ ὑακίνθου καὶ βύσσου πεποικιλμένα· στήμων δ' ἐστὶ μόνη βύσσος. Καὶ λαβοῦσα τὴν ἀρχὴν τῆς ἐλίξεως κατὰ στέρνον καὶ περιελθοῦσα πάλιν δεῖται, καὶ κέχυται μὲν πολλὴ μέχρι καὶ τῶν σφυρῶν, ἕως οὗ μηδὲν ὁ ἱερεὺς ἐνεργεῖ· πρὸς γὰρ εὐπρέπειαν οὕτως ἔχει τοῖς ὁρῶσι καλῶς. Ὅταν δὲ σπουδάζειν περὶ τὰς θυσίας δέῃ καὶ διακονεῖν, ὅπως μὴ κινουμένης ἐμποδίζηται πρὸς τὸ ἔργον, ἀναβαλλόμενος ἐπὶ τὸν λαιὸν ὦμον φορεῖ. Μωϋσῆς μὲν οὖν ἀβανὴθ αὐτὴν ἐκάλεσεν, ἡμεῖς δὲ, παρὰ Βαβυλωνίων μεμαθηκότες, ἐμίαν αὐτὴν καλοῦμεν· οὕτω γὰρ προσαγορεύεται παρ' αὐτοῖς. Οὗτος ὁ χιτὼν κολποῦται μὲν οὐδαμόθεν, λαγαρὸν δὲ παρέχων τὸν βροχωτῆρα τοῦ αὐχένος, ἁρπεδόσιν ἐκ τῆς ὤας καὶ τῶν κατὰ στέρνον καὶ μετάφρενον ἠρτημέναις ἀναδεῖται ὑπὲρ ἑκατέραν κατακλεῖδα. Μασσαβαζάνης δὲ καλεῖται.

γ'. Ὑπὲρ δὲ τῆς κεφαλῆς φορεῖ πῖλον ἄκωνον, οὐ διικνούμενον εἰς πᾶσαν αὐτὴν, ἀλλ' ἐπ' ὀλίγον ὑπερ-

Καλεῖται μὲν μασναεμφθὴς, τῇ δὲ

bus, quibus per viam a sacerdotibus deportari posset. Sed et pro foribus tabernaculi collocatum erat altare æreum, subligneum et ipsum, quinque cubitos longum et totidem latum, et trium cubitorum altitudine, similiter auro ornatum, laminis æreis adopertum, cum crate ad similitudinem reticuli: excipiebat enim terra quicquid ignis a foco *superne* decidebat, basi subjecta non totam *aram* subeunte. Ceterum e regione aræ præsto *insuper* erant infundibula, phialæ, thuribula, crateresque ex auro: quæcunque vero alia *aderant* instrumenta sacro ministerio designata, ex ære conflata erant omnia. Atque hoc modo se habuit tabernaculum, una cum apparatu suo.

CAP. VII.

Factæ sunt autem et sacerdotibus vestes, quum aliis omnibus quos chanæas vocant, tum etiam ipsi pontifici, quem anarabechen appellant: significat autem principem sacerdotem. Et aliorum quidem vestes hujusmodi esse contigit. Quando autem ad sacra ministeria accedit sacerdos, purus factus juxta præscriptam in lege puritatem, primo quidem induit mennachasen, uti vocatur: id enim denotat idem ac constrictorium: est autem subligaculum circa verenda subtile ex bysso retorta contextum, pedibus in illud ingredientibus veluti in braccas: atque ab homine medio subscissum, ad ilia desinens ligaminibus *suis* stringitur.

2. Super hoc autem lineam interulam induit duplicis syndonis byssinæ. Chethomene appellatur: hoc autem lineum significat: nos enim linum chethon nominamus. Est autem hoc indumentum tunica usque ad talos demissa, corpus arcte ambiens, et manicas circa brachia adstrictas habens: quam accinctam gerunt et constrictam paulo supra axillas zona lata digitos ferme quattuor, textu vero subinani, ut serpentis exuviæ videatur. Flores autem intextos habet cocco et purpura, hyacintho atque bysso variegatos: at stamen ejus ex sola bysso. Et a pectore incipiens, atque semel ac iterum circumducta illic ligatur; et multa quidem defluit usque ad talos, quam diu sacris non operatur sacerdos: sic enim spectantibus decora videtur. Quum vero sacrificare oportet et altaris ministerium peragere, ne ab ea mota in opere impediatur, super humerum lævum rejicit. Hanc quidem Moyses nominavit abaneth: nos autem, a Babyloniis edocti, ipsam emian appellamus: eo enim nomine ab illis insignitur. Hæc tunica sinum quidem nusquam habet, sed amplam circa collum aperturam, quæ certis quibusdam funiculis, ex ora et a pectore et a tergo dependentibus, super utramque scapulam astringitur. Vocatur autem massabazanes.

3. At super caput gestat pileum non fastigiatum, neque totum caput incingentem, sed paulo plus quam medio superimpositum. Nominatur quidem masnaemphthes, tali

κατασκευῆ τοιοῦτός ἐστιν ὡς στεφάνη δοκεῖν, ἐξ ὑφάσματος λινέου ταινία πεποιημένη παχεῖα· καὶ γὰρ ἐπιπτυσσόμενον ῥάπτεται πολλάκις. Ἔπειτα σινδὼν ἄνωθεν αὐτὸν ἐκπεριέρχεται διήκουσα μέχρι μετώπου, τήν τε ραφὴν τῆς ταινίας καὶ τὸ ἀπ' αὐτῆς ἀπρεπὲς καλύπτουσα, καὶ ὅλῳ δὲ τῷ κρανίῳ γιγνομένη ἐπίπεδον. Ἥρμοσται δὲ ἀκριβῶς, ὡς ἂν μὴ περιρρυῇ πονοῦντος περὶ τὴν ἱερουργίαν. Καὶ ὁποία μέν ἐστιν ἡ τῶν πολλῶν ἱερέων στολὴ δεδηλώκαμεν.

δ'. Ὁ δὲ ἀρχιερεὺς κοσμεῖται μὲν καὶ ταύτῃ, παραλιπὼν οὐδὲν τῶν προειρημένων, ἐπενδυσάμενος δ' ἐξ ὑακίνθου πεποιημένον χιτῶνα. Ποδήρης δ' ἐστὶ καὶ οὗτος· μεεὶρ καλεῖται κατὰ τὴν ἡμετέραν γλῶσσαν. Ζώνη περισφίγγεται βάμμασιν οἷς ἡ πρότερον ἤνθει διαπεποικιλμένη, χρυσοῦ συνυφασμένου. Κατὰ πέζαν δ' αὐτῷ προσερραμμένοι θύσανοι ροιῶν τρόπον ἐκ βαφῆς μεμιγμένοι ἀπήρτηντο, καὶ κώδωνες χρύσεοι κατὰ πολλὴν ἐπιτήδευσιν τῆς εὐπρεπείας· ὥστε μέσον ἀπολαμβάνεσθαι δυοῖν τε κωδώνοιν ῥοΐσκον καὶ ῥοιῶν κωδώνιον. Ἔστι δ' ὁ χιτὼν οὗτος οὐκ ἐκ δυοῖν περιτμημάτων, ὥστε ῥαπτὸς ἐπὶ τῶν ὤμων εἶναι καὶ τῶν πλευρῶν, φάρσος δ' ἓν ἐπίμηκες ὑφασμένον σχιστὸν ἔχει βροχωτῆρα οὐ πλάγιον, ἀλλὰ κατὰ μῆκος ἐρρωγότα πρός τε τὸ στέρνον καὶ μέσον τὸ μετάφρενον. Πέζα δ' αὐτῷ προσέρραπται, ὑπὲρ τοῦ μὴ διελέγχεσθαι τῆς τομῆς τὴν δυσπρέπειαν. Ὁμοίως δὲ καὶ ὅδεν αἱ χεῖρες διείργονται σχιστός ἐστιν.

ε'. Ἐπὶ δὲ τούτοις τρίτον ἐνδύεται τὸν λεγόμενον μὲν ἐφούδην, Ἑλληνικῇ δ' ἐπωμίδι προσεοικότα. Γίνεται γὰρ τούτον τὸν τρόπον. Ὑφανθεὶς ἐπὶ βάθος πηχυαῖον ἔκ τε χρωμάτων παντοίων καὶ χρυσοῦ συμπεποικιλμένου, ἀπερίπτυκτον τοῦ στέρνου τὸ μέσον καταλιμπάνει, χειρίσί τε ἠσκημένος καὶ τῷ παντὶ σχήματι χιτὼν εἶναι πεποιημένος. Τῷ δὲ διακένῳ τούτου τοῦ ἐνδύματος σύνεστι περίτμημα σπιθαμῆς τὸ μέγεθος, χρυσῷ τε καὶ τοῖς αὐτοῖς τῷ ἐφούδῃ βάμμασι διηνθισμένον. Ἐσσήνης μὲν καλεῖται, σημαίνει δὲ τοῦτο κατὰ τὴν Ἑλλήνων γλῶτταν λόγιον. Πληροῖ δὲ ἀκριβῶς τοῦ ἐφούδου ὅπερ ὑφαίνοντες κατὰ στῆθος ἐξέλιπον. Ἐνοῦται δ' ὑπὸ κρίκων χρυσέων αὐτῷ τε κατὰ γωνίαν ἑκάστην κἀκείνῳ τῶν ἴσων προσκεκοινωμένων, ῥάμματος ὑακίνθου παραληφθέντος εἰς τὴν πρὸς ἀλλήλους κατάδεσιν τοῖς κρίκοις. Πρὸς δὲ τὸ μὴ χαλαρὸν εἶναι τὸ ἐν μέσῳ τῶν κρίκων καταλιμπανόμενον, ῥᾳφὴν αὐτοῦ νήμασιν ὑακινθίνοις ἐπενόησαν. Πορποῦσι δὲ τὴν ἐπωμίδα σαρδόνυχες δύο κατὰ τῶν ὤμων, ἑκάτερον τέλος ἐπ' αὐτοὺς ἐπιθέον χρύσεον ἔχοντες, πρὸς τὸ ταῖς περονίσιν ἐπιτήδειον εἶναι. Ἐγγέγραπται δὲ τούτοις τῶν Ἰακώβου παίδων τὰ ὀνόματα γράμμασιν ἐπιχωρίοις γλώσσῃ τῇ ἡμετέρᾳ, κατὰ ἓξ τῶν λίθων ἑκατέρωθεν· οἱ πρεσβύτεροι δ' εἰσὶ κατὰ ὦμον τὸν δεξιόν. Ἐπίασι δὲ καὶ τὸν ἐσσήνην λίθοι δώδεκα μεγέθει καὶ κάλλει διαφέροντες, οὐ κτητὸς ἀνθρώποις κόσμος διὰ τιμῆς ὑπερβολὴν ὄντες. Οὗτοι μέντοι

autem modo adornatur ut corona esse videatur, ex lineo texto instar fasciæ crassæ concinnata : etenim in orbem sæpius replicatur atque consuitur. Deinde sindon desuper pileum integit, usque ad frontem descendens, et fasciæ commissuras atque id quod in eis deforme erat occultans, et toti cranio presse adhærens. Aptatur autem accurate, ne sacrificanti forte delabatur. Et qualis quidem sit plerorumque sacerdotum amictus, declaravimus.

4. Summus pontifex hoc eodem modo ornatur, ex vestibus memoratis nullam omittens, sed illis superinducens tunicam hyacinthinam. Est autem et hæc talaris, secundum linguam nostram meeir nominata. Zona circumcingitur, coloribus ad instar prioris variegata, auro intexto. At circa oram infimam ei adsutæ pendent fimbriæ, ita adornatæ ut mala Punica colore referant, quibus tintinnabula aurea non sine multo decore inserta erant; ita ut inter duo tintinnabula malum Punicum et inter duo mala Punica tintinnabulum medium penderet. Hæc autem tunica non constat ex duabus plagulis, ut suturas habeat in humeris ac lateribus, sed unicum est vestimentum in longum undique circumtextum, qua collo induitur aperturam habens non obliquam, sed in longitudinem discissam, a pectore usque ad interscapilium medium. Ei vero adsutus est limbus, ne scissuræ deformitas appareat. Similiter etiam aperta est qua manus exseruntur.

5. Super has *vestes* tertiam etiam induit vocatam ephuden, epomidi Græcanicæ similem. Fit enim hoc modo. Texta est in profunditatem cubitalem ex variis coloribus auro intermixto, atque ita ut medium pectoris intectum relinquat, manicis quoque ornata est, atque plane in tunicæ formam facta videtur. Lacunæ vero vestis inseritur frustum amplitudine palmi, auro et iisdem quibus ephudes coloribus eleganter intertextum. Essenes quidem vocatur : hic vero in lingua Græca λόγιον, i. e. oraculum, significat. Ad amussim autem complet illud ephudæ *spatium* quod *vacuum* a texentibus ad pectus relictum est. Illi vero committitur annulis aureis unicuique angulo appositis, similibus ephudæ annexis qui istis respondeant, vitta hyacinthina adhibita ad annulos inter se connectendos. Ceterum ne in medio annulorum relictus appareret hiatus, illud excogitarunt ut spatiola textilibus hyacinthinis complerent. Epomidem vero in humeris connectunt sardonyches duo, utrumque extremum in eos excurrens aureum habentes, ut idoneum sit fibulis. His autem insculpta sunt filiorum Jacobi nomina, literis vernaculis nostræ linguæ, in utroque lapide sena : ac natu majores dextrum humerum obtinent. Quin et essenen ipsum duodecim lapides distinguunt, eximia magnitudine et pulcritudine, ornatus qui ab hominibus haud facile ob pretium enorme comparari potest. Et isti quidem terni in eadem serie per quattuor

κατὰ στοῖχον τρεῖς ἐπὶ τεσσάρων διακείμενοι γραμμῶν ἐνήσκηνται τῷ ὕφει· χρυσὸς δ' αὐτοὺς ἐκπεριέρχεται τὰς ἕλικας ἐντιθεὶς τῷ ὕφει, πρὸς τὸ μὴ διαρρεῖν οὕτω πεποιημένος. Καὶ ἡ μὲν πρώτη τριὰς ἐστὶ σαρδόνυξ, τόπαζος, σμάραγδος· ἡ δευτέρα δὲ ἄνθρακα παρέχεται καὶ ἴασπιν καὶ σάπφειρον· τῆς δὲ τρίτης λίγυρος μὲν ἄρχει, εἶτα δὲ ἀμέθυσος, ἀχάτης δὲ τρίτος, ἕνατος ὢν τοῖς πᾶσι· τετάρτου δὲ στοίχου χρυσόλιθος μὲν πρόκειται, μετὰ δὲ αὐτὸν ὄνυξ, εἶτα βήρυλλος, τελευταῖος οὗτος. Γράμματα δὲ ἐπετέτμητο πᾶσι τῶν Ἰακώβου υἱῶν, οὓς καὶ φυλάρχους νομίζομεν, ἑκάστου τῶν λίθων ὀνόματι τετιμημένου, κατὰ τάξιν ἣν ἕκαστον αὐτῶν γεγενῆσθαι συμβέβηκε. Τῶν οὖν κρίκων ἀσθενῶν ὄντων καθ' αὑτοὺς ἐνεγκεῖν τὸ βάρος τῶν λίθων, ἑτέρους δύο κρίκους μείζονας τῇ πέζῃ τοῦ ἐσσήνου, ἥπερ ἀνήκει πρὸς τὸν τράχηλον, ἐμβεβηκότας τῷ ὑφάσματι ποιοῦσι, ἓξομένους ἁλύσεις εἰργασμένας, αἳ συνῆσαν κατ' ἄκρον τῶν ὤμων σειραῖς ἐκ χρυσοῦ πεπλεγμέναις συνάπτουσαι· ὧν τὸ ἄκρον ἀνεστραμμένον ἀνέβαινε κρίκῳ προέχοντι τῆς νωτιαίας πέζης τοῦ ἐφώδου· καὶ τοῦτο ἦν ἀσφάλεια τῷ ἐσσήνῃ πρὸς τὸ μὴ περιρρεῖν. Ζώνη δὲ τῷ ἐσσήνῃ προσέρραπτο βάμμασιν οἷς προεῖπον μετὰ χρυσίου προσφερὴς, ἣ περιοδεύσασα δεῖται πάλιν ἐπὶ τῇ ῥαφῇ καὶ κατακρήμναται. Τοὺς δὲ θυσάνους χρύσεαι σύριγγες καθ' ἑκατέραν ἄκραν ἐκλαβοῦσαι πάντας ἐμπεριέχουσιν αὖται.

ς'. Πῖλος δ' ἦν μὲν ὁ καὶ πρότερον αὐτῷ, παραπλησίως εἰργασμένος τοῖς πᾶσιν ἱερεῦσιν, ὑπὲρ αὐτὸν δὲ συνερραμμένος ἕτερος ἐξ ὑακίνθου πεποικιλμένος. Περιέρχεται δὲ στέφανος χρύσεος, ἐπὶ τριστοιχίαν κεχαλκευμένος· θάλλει δ' ἐπ' αὐτῷ κάλυξ χρύσεος τῇ σακχάρῳ βοτάνῃ παρ' ἡμῖν λεγομένῃ ἀπομεμιμημένος, ὑς δὲ κύαμον Ἑλλήνων οἱ περὶ τομὰς ῥιζῶν ἐμπείρως ἔχοντες προσαγορεύουσιν. Εἰ δέ τις ἢ θεασάμενος τὴν βοτάνην ἀμαθίᾳ τούτου ἀγνοεῖ τὴν φύσιν αὐτῆς, ἢ τὴν κλῆσιν ἐπιστάμενος οὐκ ἂν ἰδὼν γνωρίσειε, τοῖς οὕτω δὴ ἔχουσι σημανῶ τὸν τρόπον τοῦτον. Βοτάνη μέν ἐστιν ὑπὲρ τρεῖς σπιθαμὰς πολλάκις αὐξανομένη τὸ ὕψος, τὴν δὲ ῥίζαν ἐμφερὴς βουνιάδι (ταύτῃ γὰρ οὐκ ἂν ἁμάρτοι τις εἰκάζων αὐτήν) τὰ δὲ φύλλα τοῖς εὐζώμοις. Ἐκ μέντοι τῶν κλάδων ἀνίησι κάλυκα προσεχῆ τῷ κλωνί· περίεισι δ' αὐτὴν ἔλυτρον, ὅπερ ἀποκρίνεται καθ' αὑτὸ πρὸς τὸν καρπὸν μεταβαλεῖν ἠργμένης. Ὁ δὲ κάλυξ μεγέθους ἐστὶ σκυταλίδος τοῦ μικροῦ δακτύλου, κρατῆρι δ' ἐμφερὴς τὴν περιγραφήν. Σημανῶ δὲ καὶ τοῦτο τοῖς οὐ μεμαθηκόσι. Σφαίρας εἰς δύο μέρη τετμημένης, περὶ τῷ πυθμένι τὴν ἑτέραν τομὴν ἔχει φυόμενος ἀπὸ ῥίζης περιφερής· εἶτα συνιὼν κατ' ὀλίγον, ὑποκοιλαινούσης εὐπρεπῶς τῆς ὑποχωρήσεως, ἀνευρύνεται πάλιν ἠρέμα κατὰ χεῖλος, ὁμοίως ὀμφαλῷ ῥοιᾶς τετμημένος. Ἐπίθεμα δ' αὐτῷ ἡμισφαίριον προσπέφυκε, κἀκριβῶς ἂν εἴποι τις τετορνευμένον, ὑπερανεστώσας ἔχον τὰς ἐντομάς, ἃς εἶπον τῇ ῥοιᾷ

versiculos dispositi sindoni inserti sunt : aurum vero illis circumdederunt per spiras stamini intextum de industria, ne possent excidere. Et in prima quidem triade sardonyx, topazus, smaragdus; secunda vero præfert carbunculum, iaspida, sapphirum; in tertia quidem præfulget lyncurius, deinde amethystus, tertius vero achates, qui et nonus omnibus; in quarto versu principem locum tenet chrysolithus, post illum onyx, dein beryllus, omnium ultimus. In *istis* autem universis insculptæ sunt literæ *nominum* Jacobi filiorum, quos pro tribuum principibus habemus, unoquoque lapide nomine insignito, juxta ordinem quo singulos nasci contigerit. Quum igitur annuli per se infirmiores essent quam ut pondus gemmarum sustinerent, alios duos majores in extremitate essenæ, qua pertingit ad collum, texturæ consertos dederunt, catenas arte factas suscepturos, quæ coeunt ad summitatem humerorum et ligamentis aureis opere plexili junguntur : quarum *catenarum* extremitas ascendens reducitur post tergum, et annulo qui est a tergo in ephodæ fimbria connectitur, id quod præcipue sustinet essenen, ne quo pacto defluere possit. Essenæ autem assuta erat zona coloribus jam dictis et auro distincta : quæ totum complexa, rursumque supra suturam nodo constricta, deorsum propendere sinitur. Fimbrias vero ab extremitatibus zonæ dependentes excipiunt fistulæ aureæ, easque omnes ipsæ includunt.

6. Est autem pileus ejus, qualis fuit ceterorum sacerdotum ante memoratus : super ipsum vero et alius consutilis, ex hyacintho variatus. Cingit autem *frontem* aurea corona, triplici ordine fabrefacta; e qua exsurgunt calyculi aurei, similitudine illos referentes, quos videmus in herba nobis saccharo dicta, sed quam Græci rei herbariæ periti hyoscyamum appellant. Si qui autem nomine ignorato naturam ejus vel sæpius visæ haud certo tenuerint, sive nomine cognito ipsam nunquam viderint, iis, qui ita se habebunt, eam non piget describere. Planta quidem est quæ sæpe in altitudinem crescit ultra tres spithamas, buniadi similem habens radicem (non enim multum errabit qui eam huic comparaverit), folia vero erucæ. Porro e ramis emittit calyculum ipsis arcte adhærentem, vestiturque tunica quadam quam sponte exuit quum fructum edere incipit. Calyculus autem ea est magnitudine qua digiti minimi condylus, circumcirca crateri non absimilis : id quod in gratiam ignorantium plenius declarabo. *Calyculus* ima sui parte alterum sphæræ divisæ segmentum refert, ab ipsa radice rotundatus : dein paulatim coarctatus, intusque ut procedit pulcre excavatus, rursum sensim dilatatur cum incisuris circa labra, quales in umbilico mali Punici videmus. Tale autem ei tegumentum adnascitur, ut sphæræ dimidium videatur, accurata (ut quis dicat) subtilitate tornatum, et intra eminentes inclusum incisuras,

παραπλησίως βλαστάνειν, ἀκανθώδεις καὶ εἰς ὀξὺ παντελῶς ἀπολῃγούσας τὸ ἄκρον. Φυλάττει δὲ ἐπὶ τῷ ἐπιθέματι τὸν καρπὸν διὰ παντὸς τοῦ κάλυκος, ὄντα βοτάνης σπέρματι τῆς σιδηρίτιδος ὅμοιον, ἀφίησιν δ' ἄνθος τῷ τῆς μήκωνος πλαταγωνίῳ δυνάμενον δοκεῖν ἐμφερὲς εἶναι. Ἐκ τούτου μὲν στέφανος ἐκκεχάλκευται, ὅσον ἀπὸ τοῦ ἰνίου πρὸς ἑκάτερον τῶν κροτάφων· τὸ δὲ μέτωπον ἡ μὲν ἐφιελὶς οὐκ ἔπεισι (λεγέσθω γὰρ οὕτως ὁ κάλυξ), τελαμὼν δ' ἐστὶ χρύσεος, ὃς ἱεροῖς γράμμασι τοῦ Θεοῦ τὴν προσηγορίαν ἐπιτετιμημένος ἐστί. Καὶ τοιοῦτος μὲν τοῦ ἀρχιερέως ἐστὶν ὁ κόσμος.

ζ'. Θαυμάσειε δ' ἄν τις τῶν ἀνθρώπων τὴν πρὸς ἡμᾶς ἀπέχθειαν, ἣν, ὡς ἐκφαυλιζόντων ἡμῶν τὸ θεῖον ὅπερ αὐτοὶ σέβειν προῄρηνται, διατετελέκασιν ἐσχηκότες. Εἰ γάρ τις τῆς σκηνῆς κατανοήσειε τὴν πῆξιν καὶ τοῦ ἱερέως ἰδοι τὴν στολήν, τά τε σκεύη οἷς περὶ τὴν ἱερουργίαν χρώμεθα, τόν τε νομοθέτην εὑρήσει θεῖον ἄνδρα καὶ ματαίως ἡμᾶς ὑπὸ τῶν ἄλλων τὰς βλασφημίας ἀκούοντας. Ἕκαστα γὰρ τούτων εἰς ἀπομίμησιν καὶ διατύπωσιν τῶν ὅλων, εἴ τις ἀφθόνως ἐθέλοι καὶ μετὰ συνέσεως σκοπεῖν, εὑρήσει γεγονότα. Τήν τε γὰρ σκηνὴν, τριάκοντα πηχῶν οὖσαν, νείμας εἰς τρία καὶ δύο μέρη πᾶσιν ἀνεῖς τοῖς ἱερεῦσιν ὥσπερ βέβηλόν τινα καὶ κοινὸν τόπον, τὴν γῆν καὶ τὴν θάλατταν ἀποσημαίνει· καὶ γὰρ ταῦτα πᾶσίν ἐστιν ἐπιβατά· τὴν δὲ τρίτην μοῖραν μόνῳ περιέγραψε τῷ Θεῷ, διὰ τὸ καὶ τὸν οὐρανὸν ἀνεπίβατον εἶναι ἀνθρώποις. Ἐπί τε τῇ τραπέζῃ τοὺς δώδεκα θεὶς ἄρτους ἀποσημαίνει τὸν ἐνιαυτὸν εἰς τοσούτους μῆνας διῃρημένον. Τὴν δὲ λυχνίαν ἐξ ἑβδομήκοντα μορίων ποιήσας συγκειμένην, τὰς τῶν πλανητῶν δεκαμοιρίας ἠνίξατο· καὶ λύχνους ὑπὲρ αὐτῆς ἑπτὰ, τῶν πλανητῶν τὴν φορὰν, τοσοῦτοι γάρ εἰσι τὸν ἀριθμόν. Τά τε φάρση, ἐκ τεσσάρων ὑφανθέντα, τὴν τῶν στοιχείων φύσιν δηλοῖ· ἥ τε γὰρ βύσσος τὴν γῆν ἀποσημαίνειν ἔοικε, διὰ τὸ ἐξ αὐτῆς ἀνεῖσθαι τὸ λίνον, ἥ τε πορφύρα τὴν θάλασσαν, τῷ πεφοινίχθαι τῶν ἰχθύων τῷ αἵματι· τὸν δὲ ἀέρα βούλεται δηλοῦν ὁ ὑάκινθος· καὶ ὁ φοῖνιξ δ' ἂν εἴη τεκμήριον τοῦ πυρός. Ἀποσημαίνει δὲ καὶ ὁ τοῦ ἀρχιερέως χιτὼν τὴν γῆν, λίνεος ὤν, ὁ δὲ ὑάκινθος τὸν πόλον, ἀστραπαῖς μὲν κατὰ τοὺς ῥοΐσκους ἀπεικασμένος, βρονταῖς δὲ κατὰ τὸν τῶν κωδώνων ψόφον· καὶ τὴν ἐφαπτίδα τοῦ παντὸς τὴν φύσιν ἐκ τεσσάρων γενέσθαι δειχθεῖσαν τῷ Θεῷ, χρυσῷ συνυφασμένην κατ' ἐπίνοιαν οἶμαι τῆς προσούσης ἅπασιν αὐγῆς· καὶ τὸν ἐσσήνην ἀνὰ μέσον ὄντα τῆς ἐφαπτίδος ἐν τρόπῳ γῆς ἔταξε, καὶ γὰρ αὕτη τὸν μεσαίτατον τόπον ἔχει· ζώνη τε περιοδεύσασα τὸν ὠκεανὸν ἀποσημαίνει, καὶ γὰρ οὗτος ἐμπεριείληφε τὰ πάντα. Δηλοῖ δὲ καὶ τὸν ἥλιον καὶ τὴν σελήνην τῶν σαρδονύχων ἑκάτερος, οἷς ἐνεπόρπωσε τὸν ἀρχιερέα· τὴν δὲ δωδεκάδα τῶν λίθων, εἴτε τοὺς μῆνας ἐθελήσει τις νοεῖν, εἴτε τὸν τοσοῦτον ἀριθμὸν τῶν ἀστέρων, ὃν ζωδιακὸν κύκλον Ἕλληνες καλοῦσι, τῆς κατ' ἐκεῖνο γνώμης οὐκ ἂν ἁμάρτοι. Καὶ ὁ πῖλος δέ μοι δοκεῖ τὸν οὐρανὸν τεκμη-

quas dixi forma mali Punici assurgere, spinosas admodum et in acutos plane mucrones desinentes. Servatur autem sub hoc operculo totius calyculi fructus, plantæ sideritidis semini perquam similis: florem vero fert, qui foliorum papaveris crepitantium similitudinem habere existimetur. Atque huic quidem similis facta est corona ab occipitio ad utraque tempora. Frontem autem non ambiebat ephielis (ita enim vocetur calyculus), sed lamina aurea, quæ sacris characteribus Dei nomen incisum habet. Atque hujusmodi quidem erat pontificis ornatus.

7. Mirum autem alicui videatur hominum in nos odium quo genus nostrum perpetuo prosequuntur, tanquam numen istud, quod illis venerari solenne est, minus honorifice tractemus. Si quis enim tabernaculi fabricam animo contempletur et sacerdotis vestimenta respiciat, et vasa quibus in sacro ministerio utimur, legislatorem *nostrum* et virum divinum *exstitisse* comperiet, falsoque nobis impietatis calumniam ab aliis impingi. Nam et horum unumquodque ad imaginem alicujus in rerum universitate et similitudinem factum inveniet quisquis procul habens invidiam et judicium adhibens singula expendat. Nam quum et tabernaculum, triginta cubitos longum, trifariam diviserit, et duas partes sacerdotibus reliquerit, quasi locum calcandum et communem, *iis* terram et mare repræsentat (illa enim omnibus pervia sunt), tertiam vero partem soli Deo seposuit, eo quod et cœlum hominibus est inaccessum. Quin et duodecim panibus, quos mensæ imposuit, denotat quot menses annus explicat. Candelabrum vero in partes septuaginta distribuens, tot sedes decanorum innuit; ejusque septem lucernis planetarum cursum *ostendit*: totidem enim numero sunt. Vela quoque e quattuor speciebus texta elementorum naturam referunt: nam byssus terram videtur designare, quod ex ea nascatur linum; purpura vero mare, quod piscium cruore sit fucata; aerem autem voluit significari per hyacinthum; coccus denique pro ignis symbolo haberi potest. Præterea et pontificis tunica, quum sit lintea, terram repræsentat; hyacinthus vero cœlum, fulgura quidem per mala Punica referens, tonitrua vero per tintinnabulorum sonitum: atque epomida e quattuor speciebus factam Deique oculis subjectam universi naturam indicare, auroque contextam *esse* ex cogitatione, ut reor, splendoris quo res omnes collustrantur: essenen quoque in epomidis medio ad instar terræ collocavit; nam et ipsa medium mundi occupat: zona item, qua cingitur, oceanum significat; qui utique universa circumplectitur. Solem autem et lunam indicant duo sardonyches *humerales*, quibus pontificis pallium fibulavit: duodecim vero lapides sive quis ad menses referri velit, sive ad eundem astrorum numerum in circulo, quem Græci zodiacum vocant, a genuino intellectu non aberraverit. Denique et pileus mihi videtur cœli præ

ριοῦν ὑακίνθινος πεποιημένος (οὐ γὰρ ἂν ἄλλως ὑπερανετίθετο αὐτῷ τὸ ὄνομα τοῦ Θεοῦ) τῇ τε στεφάνῃ ἠγλαϊσμένος, καὶ ταύτῃ χρυσέᾳ, διὰ τὴν αὐγὴν ᾗ μάλιστα χαίρει τὸ θεῖον. Καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτόν μοι δεδηλώσθω, πολλάκις καὶ ἐν πολλοῖς τὴν ἀρετὴν τοῦ νομοθέτου παρεξόντων ἡμῖν διελθεῖν τῶν πραγμάτων.

ΚΕΦ. Η'.

Ὡς δὲ τὸ προειρημένον πέρας εἶχε, τῶν ἀναθημάτων μήπω καθιερωμένων, ἐπιστὰς ὁ Θεὸς Μωϋσῇ τὴν ἱερωσύνην Ἀαρῶνι τἀδελφῷ προσέταξε δοῦναι, ὡς ἁπάντων δι' ἀρετὴν τῆς τιμῆς δικαιοτέρῳ τυχεῖν. Καὶ συναγαγὼν εἰς ἐκκλησίαν τὸ πλῆθος, τήν τε ἀρετὴν αὑτοῦ καὶ τὴν εὔνοιαν διεξῆλθε καὶ τοὺς κινδύνους οὓς ὑπομείνειεν ὑπὲρ αὐτῶν. Μαρτυρούντων δ' ἐφ' ἅπασιν αὐτῷ καὶ τὸ περὶ αὐτὸν πρόθυμον ἐνδεικνυμένων, « ἄνδρες, εἶπεν, Ἰσραηλῖται, τὸ μὲν ἔργον ἤδη τέλος « ἔχει, οἷον αὐτῷ τε τῷ Θεῷ ἥδιστον ἦν καὶ δυνατὸν « ἡμῖν. Ἐπεὶ δὲ δεῖ τοῦτον τῇ σκηνῇ καταδέχεσθαι, « δεῖ πρῶτον ἡμῖν τοῦ ἱερατευσομένου καὶ ὑπηρετήσον- « τος ταῖς θυσίαις καὶ ταῖς ὑπὲρ ἡμῶν εὐχαῖς. Καὶ « ἔγωγε ταύτης ἐμοὶ τῆς σκέψεως ἐπιτραπείσης, ἐμαυ- « τὸν ἂν τῆς τιμῆς ἄξιον ἔκρινα, διά τε τὸ φύσει πάν- « τας εἶναι φιλαύτους καὶ ὅτι πολλὰ ἐμαυτῷ καμόντι « περὶ σωτηρίας τῆς ὑμετέρας σύνοιδα. Νῦν δ' αὐτὸς « ὁ Θεὸς Ἀαρῶνα τῆς τιμῆς ταύτης ἄξιον ἔκρινε καὶ « τοῦτον ᾑρηται ἱερέα, τὸν δικαιότερον μᾶλλον ὑμῶν « εἰδώς· ὡς οὗτος ἐνδύσεται στολὴν τῷ Θεῷ καθωσιω- « μένην, καὶ βωμῶν ἐπιμέλειαν ἕξει καὶ πρόνοιαν ἱε- « ρείων, καὶ τὰς ὑπὲρ ὑμῶν εὐχὰς ποιήσεται πρὸς τὸν « Θεὸν ἡδέως ἀκουσόμενον, ὅτι τε κήδεται γένους τοῦ « ὑμετέρου καὶ παρὰ ἀνδρὸς, ὃν αὐτὸς ἐξελέξατο, γινο- « μένας προσδέχεται ταύτας ». Ἑβραῖοι δὲ ᾐρέσκοντο τοῖς λεγομένοις καὶ συνήνουν τῇ τοῦ Θεοῦ χειροτονίᾳ. Ἦν γὰρ Ἀαρὼν διά τε τὸ γένος καὶ τὴν προφητείαν καὶ τὴν ἀρετὴν τἀδελφοῦ πρὸς τὴν τιμὴν ἁπάντων ἀξιολογώτερος. Ἦσαν δ' αὐτῷ καὶ παῖδες κατ' ἐκεῖνον τὸν χρόνον τέσσαρες, Νάδαβος, Ἄβιοῦς, Ἐλεάζαρος, Ἰθάμαρος.

β'. Ὅσα δὲ τῶν πρὸς τὴν τῆς σκηνῆς κατασκευὴν παρεσκευασμένων ἦν περιττὰ, ταῦτ' ἐκέλευσεν εἰς φάρση σκεπαστήρια τῆς τε σκηνῆς αὐτῆς καὶ τῆς λυχνίας καὶ θυμιατηρίου καὶ τῶν ἄλλων σκευῶν ἀναλῶσαι, ὅπως κατὰ τὴν ὁδοιπορίαν ταῦτα μήτ' ἐξ ὑετοῦ μηδὲν μήτ' ἐκ κονιορτοῦ βλάπτηται. Τό τε πλῆθος ἀθροίσας πάλιν, εἰσφορὰν αὐτῷ προσέταξεν εἰσφέρειν σίκλου τὸ ἥμισυ καθ' ἕκαστον· ὁ δὲ σίκλος, νόμισμα Ἑβραίων ὤν, Ἀττικὰς δέχεται δραχμὰς τέσσαρας. Οἱ δ' ἑτοίμως ὑπήκουον οἷς ἐκέλευε Μωϋσῆς, καὶ τὸ πλῆθος τῶν εἰσφερόντων ἦν ἑξήκοντα μυριάδες καὶ πεντακισχίλιοι καὶ πεντακόσιοι καὶ πεντήκοντα. Ἔφερον δὲ τὸ ἀργύριον τῶν ἐλευθέρων οἱ ἀπὸ εἴκοσι καὶ ἄνω ἐτῶν ἄχρι πεντήκοντα

se ferre imaginem, quum sit ex hyacintho (aliter enim Dei nomen gestare non poterat) et corolla illustretur aurea, propter splendorem quo maxime delectatur Deus. Et hæc quidem ad hunc modum declarata *in præsens* sufficiant, quum sæpius et plurima, unde virtus legislatoris enitescet, res ipsæ nobis sint suppeditaturæ.

CAP. VIII.

Quum primum autem *tabernaculum* prædictum consummatum erat, donariis nondum consecratis, Moysi apparuit Deus, jussitque ut sacerdotium Aaroni fratri suo conferret, ut qui ceteris ob virtutem suam illo dignior fuerit honore. Tum ille populo in concionem advocato virtutem suam et benevolentiam enarravit et pericula quæ pro illorum salute adire sustineret. Quumque hæc omnia verissima esse testati, studium etiam erga illum non mediocre significarint, « Viri, inquit, Israelitæ, jam quidem ad « finem perductum est opus, quale pro nostra virili effici « ipsi Deo placuit. Quandoquidem vero tabernaculo eum « excipere oportet, ante omnia prospiciendum est de sa- « cerdote futuro, qui sacris operabitur precesque pro no- « bis concipiet. Atque ego, si res mei esset arbitrii, me « ipsum hoc honore non indignum judicarem, tum quod « omnes natura sui amantes sunt, tum quod mihi conscius « sum quantum pro vestra salute laboraverim. Nunc autem « Deus ipse Aaronem dignum hoc honore existimavit atque « hunc in pontificatum cooptavit, quo neminem e vobis « justiorem noverit : scilicet hic stolam Deo sacram induet, « altarium curam suscipiet, de sacrificiis providebit, preces « pro vobis Deo fundet, prompte et libenter exaudituro, tum « quod generis nostri curam gerit, tum quod illas per virum « quem ipse elegit, oblatas recipere non gravabitur ». Hebræis grata fuit hæc oratio, et suo assensu Dei comprobarunt electionem. Aaron enim et propter genus et propter prophetiam simul ac virtutem fratris optime omnium hanc dignitatem commeruit. Erant autem ipsi illo tempore et filii quattuor, Nabadus, Abius, Eleazarus, Ithamarus.

2. Quæcunque vero in tabernaculi fabricam parata supererant, jussit ea in vela tectoria ipsius tabernaculi, candelabri et thuribuli aliorumque vasorum impendere, ut hæc, dum in itinere deportentur, neque pluvia vel minimum læderentur neque pulvere. Atque populo iterum convocato imperavit ut viritim contribuerent dimidium siclum. Siclus autem nummus est apud Hebræos, qui valet quatuor drachmas Atticas. Illi vero prompto obsequio jussa Moysis exsequuntur, ad numerum sexcentorum quinque millium et quingentorum et quinquaginta. Argentum autem conferebant ingenui a vigesimo et deinceps ætatis anno usque ad

γεγονότες. Τὸ δὲ συγκομισθὲν εἰς τὰς περὶ τὴν σκηνὴν χρείας ἀναλοῦτο.

γ'. Ἥγνιζε δὲ καὶ τὴν σκηνὴν καὶ τοὺς ἱερέας, τρόπῳ τοιούτῳ ποιούμενος αὐτῶν τὴν κάθαρσιν. Σμύρνης ἐπιλέκτου σίκλους πεντακοσίους καὶ ἶρεως ἴσους, κιναμώμου δὲ καὶ καλάμου (ἔστι δὲ καὶ τοῦτο εἶδος θυώματος) ἡμίσειαν τῶν προτέρων ὁλκὴν, κεκομμένα δεύειν ἐκέλευσεν, ἐλαίου τε ἐλαίνου εἶν, (μέτρον δ' ἐστὶ τοῦτο ἐπιχώριον δύο χόας Ἀττικοὺς δεχόμενον,) ἀναμίξαντας καὶ καθεψήσαντας σκευάσαι τέχνῃ μυρεψῶν χρίσμα εὐωδέστατον. Κἄπειτα τοῦτο λαβὼν αὐτούς τε τοὺς ἱερέας καὶ πᾶσαν τὴν σκηνὴν χρίων κεκαθάρικε, τά τε θυμιώμενα (πολλὰ δ' ἐστὶ καὶ ταῦτα ποικίλα κατὰ τὴν σκηνήν) ἐπὶ τοῦ χρυσοῦ θυμιατηρίου μεγάλης πάνυ τιμῆς ὄντα συνεφέρετο· ὧν παραλείπω τὴν φύσιν ἐκδιηγεῖσθαι, μὴ δι' ὄχλου γένηται τοῖς ἐντυγχάνουσι. Δὶς δὲ τῆς ἡμέρας, πρίν τε ἀνασχεῖν τὸν ἥλιον καὶ πρὸς δυσμαῖς, θυμιᾶν ἐχρῆν, ἔλαιόν τε ἁγνίσαντας φυλάσσειν εἰς τοὺς λύχνους· ὧν τοὺς μὲν τρεῖς ἐπὶ τῇ ἱερᾷ λυχνίᾳ φέγγειν ἔδει τῷ Θεῷ κατὰ πᾶσαν ἡμέραν, τοὺς δὲ λοιποὺς περὶ τὴν ἑσπέραν ἅπτοντας.

δ'. Ἁπάντων δ' ἤδη πέρας εἰληφότων, ἔδοξαν ἄριστοι τῶν δημιουργῶν Βεσελέηλος καὶ Ἐλίαβος. Τῶν γὰρ ἐνευρημένων τοῖς προτέροις αὐτοὶ προεθυμήθησαν ἀμείνονα προσεργάσασθαι, λαβεῖν τε ἐπίνοιαν ὧν πρότερον ἠγνόουν τὴν κατασκευὴν ἱκανώτατοι. Τούτων μέντοι Βεσελέηλον συνέβη κριθῆναι τὸν κράτιστον. Ὁ δὲ πᾶς χρόνος εἰς τὸ ἔργον διῆλθε μηνῶν ἑπτὰ, καὶ μετὰ τοῦτο ἀφ' οὗ τὴν Αἴγυπτον ἐξέλιπον, ἐνιαυτὸς αὐτοῖς πρῶτος ἐτελειοῦτο. Ἀρχομένου δὲ τοῦ δευτέρου ἔτους, μηνὶ Ξανθικῷ κατὰ Μακεδόνας, Νισὰν δὲ κατὰ Ἑβραίους, νουμηνίᾳ τὴν σκηνὴν ἀφιεροῦσι καὶ πάνθ' ὅσα περὶ αὐτὴν σκεύη μοι δεδήλωται.

ε'. Ἐπέδειξε δὲ αὐτὸν ὁ Θεὸς ἡσθέντα τῷ ἔργῳ τῶν Ἑβραίων, καὶ μὴ μάτην αὐτοὺς πονήσαντας ὑπερηφανείᾳ τῆς χρήσεως, ἀλλ' ἐπεξενώθη καὶ κατεσκήνωσε τῷ ναῷ τούτῳ. Τὴν δὲ παρουσίαν οὕτως ἐποίησεν. Ὁ μὲν οὐρανὸς καθαρὸς ἦν, ὑπὲρ δὲ τὴν σκηνὴν μόνην ἠχλυσεν, οὔτε βαθεῖ πάνυ νέφει καὶ πυκνῷ περιλαβὼν αὐτὴν, ὥστ' εἶναι δόξαι χειμέριον, οὔτε μὴν λεπτῷ οὕτως ὥστε τὴν ὄψιν ἰσχῦσαί τι δι' αὐτοῦ κατανοῆσαι· ἡδεῖα δὲ ἀπ' αὐτοῦ δρόσος ἔρρει καὶ Θεοῦ δηλοῦσα παρουσίαν τοῖς τοῦτο καὶ βουλομένοις καὶ πεπιστευκόσι.

ς'. Μωϋσῆς δὲ τοὺς τέκτονας οἵαις εἰκὸς ἦν δωρεαῖς τοὺς τοιαῦτα εἰργασμένους τιμήσας ἔθυεν ἐν τῷ τῆς σκηνῆς αἰθρίῳ, κατὰ προσταγὴν τοῦ Θεοῦ, ταῦρον καὶ κριὸν καὶ ἔριφον ὑπὲρ ἁμαρτάδων· καὶ δὴ λέγειν γὰρ ἐν τοῖς περὶ θυσιῶν μέλλω τὰ πρασσόμενα περὶ τὰς ἱερουργίας, ἐν ἐκείνοις δηλώσων περί τε ὧν ὁλοκαυτεῖν κελεύει καὶ ὧν μεταλαμβάνειν τῆς βρώσεως ἐφίησιν ὁ νόμος· κἀκ τοῦ αἵματος τῶν τεθυμένων τήν τε στολὴν τοῦ Ἀαρῶνος καὶ αὐτὸν σὺν τοῖς παισὶν ἔρρανεν, ἁφαγνίσας πηγαίοις τε ὕδασιν καὶ μύρῳ, ἵνα τοῦ Θεοῦ

quinquagesimum. Quicquid vero collatum erat, in usus tabernaculi insumptum est.

3. Præterea et tabernaculum et sacerdotes lustravit, purificatione ad hunc modum facta. Myrrhæ electæ siclos quingentos totidemque ireos, ex cinamomo autem et calamo (nam et hic odoramenti species est) dimidium priorum ponderis contusa subigi jussit, iisque cum olei olivarum hine (hoc enim mensura est Hebraica quæ capit duos choas Atticos) permixtis et arte unguentariorum decoctis unguentum suavissimum confici. Ac deinde *Moyses* illud accipiens et ipsos sacerdotes et totum tabernaculum inungendo purificavit, simul etiam suffimenta (multa enim sunt eaque varia in tabernaculo) super aureum thuribulum *adolenda* valde pretiosa comportabantur. Quorum naturam enarrare supersedeo, ne lectoribus sim molestus. Oportebat autem bis quotidie suffitum facere, ante ortum et circa occasum solis, oleumque purificatum ad lucernas servare : quarum tres quidem super sacrum candelabrum Deo tota die lucebant, reliquæ sub vesperam accendebantur.

4. Jam quum omnia accurata essent et perfecta, *sacrorum* opificum præstantissimi visi sunt Beseleelus et Eliabus. Nam ipsi priorum inventis meliora addere studuerunt, ad multa etiam aliis ignorata excogitanda et efficienda suopte ingenio idonei. Contigit tamen ut Beseleelus præcellere existimaretur. Tempus autem septimestre et non amplius in hoc opere absolvendo consumptum est, et post hoc primus annus ab exitu ex Ægypto completus est. Anni vero secundi sub initium, mense Xanthico Macedonum, Hebræorum vero Nisan, ipso novilunio tabernaculum consecrarunt et omnia ejus vasa a me recensita.

5. Ostendit autem Deus sibi gratum acceptumque esse hoc Hebræorum opus, et non frustra eos laborasse contemptu ejus usûs, sed accessit ad hanc ædem et in ea habitare dignatus est. Præsentiam vero suam ita declaravit. Cœlum quidem purum erat et serenum, soli vero tabernaculo incumbebat caligo, non profunda admodum et densa nube illud circumdans, ut talis esse videretur quali hieme assuescebant, nec tamen rara adeo et subtili, ut visus eam penetraret : sed suavis ab ea ros distillabat in argumentum Dei præsentiæ iis qui hoc et volebant et credebant.

6. Moyses autem quum artifices, qui talia adornarant et confecerant, dignis cohonestasset præmiis, in atrio tabernaculi mactabat, prout ei Deus præceperat, taurum et arietem et hœdum pro peccatis; (nam de sacrorum ministeriorum ritibus, cum de sacrificiis agam, dicturus sum, simul et de victimis quas solidas igni cremari jusserit lex, quarumque partem in epulas cedere permiserit;) et dein hostiarum sanguine et vestimenta Aaronis et ipsum cum filiis conspersit, aqua fontana ac simul oleo eos purificans, ut jam Dei fierent sacri. Atque hoc modo per septem

γίγνοιντο. Ἐπὶ μὲν οὖν ἡμέρας ἑπτὰ τοῦτον τὸν τρόπον αὐτούς τε καὶ τὰς στολὰς ἐθεράπευε, τήν τε σκηνὴν καὶ τὰ περὶ αὐτὴν σκεύη ἐλαίῳ τε προθυμιωμένῳ καθὼς εἶπον, καὶ τῷ αἵματι τῶν ταύρων καὶ κριῶν σφαγέντων καθ' ἑκάστην ἡμέραν ἑνὸς κατὰ γένος· τῇ δὲ ὀγδόῃ κατήγγειλεν ἑορτὴν τῷ λαῷ καὶ θύειν προσέταξε κατὰ δύναμιν. Οἱ δ' ἀλλήλοις ἁμιλλώμενοι καὶ ὑπερβάλλειν φιλοτιμούμενοι τὰς θυσίας ἃς ἕκαστος ἐπιφέροι, τοῖς λεγομένοις ὑπήκουον. Ἐπικειμένων δὲ τῶν ἱερείων τῷ βωμῷ, αἰφνίδιον ἐξ αὐτῶν πῦρ ἀνῆφθη αὐτόματον καὶ ὅμοιον ἀστραπῆς λαμπηδόνι ὁρώμενον τῇ φλογὶ, πάντα δ' ἐδαπάνα τὰ ἐπὶ τοῦ βωμοῦ.

ζ'. Συνέβη δὲ καὶ Ἀαρῶνι συμφορά τις ἐκ τούτου, λογιζομένῳ ὡς ἐπ' ἀνθρώπῳ καὶ πατρὶ, γενναίως δ' ὑπ' αὐτοῦ καρτερηθεῖσα, ὅτι καὶ τὴν ψυχὴν πρὸς τὰ συμπίπτοντα στερρὸς ἦν, καὶ κατὰ βούλησιν τοῦ Θεοῦ ἡγεῖτο τὸ πάθος γεγονέναι. Τῶν γὰρ υἱῶν αὐτοῦ τεσσάρων ὄντων, ὡς προεῖπον, δύο οἱ πρεσβύτεροι Νάβαδος καὶ Ἄβιοῦς, κομίσαντες ἐπὶ τὸν βωμὸν οὐχ ὧν προεῖπεν Μωϋσῆς θυωμάτων, ἀλλ' οἷς ἐχρῶντο πρότερον, κατεκαύθησαν, τοῦ πυρὸς ἐπ' αὐτοὺς τὴν ὁρμὴν βαλόντος καὶ τὰ στέρνα καὶ τὰ πρόσωπα φλέγειν αὐτῶν ἀρξαμένου, καὶ σβέσαι μηδενὸς δυναμένου. Καὶ οἱ μὲν οὕτως ἀπέθανον· Μωϋσῆς δὲ κελεύει τὸν πατέρα αὐτῶν καὶ τοὺς ἀδελφοὺς βαστάσαντας τὰ σώματα καὶ κομίσαντας τῆς παρεμβολῆς ἔξω θάψαι μεγαλοπρεπῶς. Πενθεῖ δ' αὐτοὺς τὸ πλῆθος, χαλεπῶς ἐπὶ τῷ θανάτῳ παρὰ δόξαν οὕτω γεγενημένῳ διατεθέν· μόνους δὲ Μωϋσῆς τοὺς ἀδελφοὺς αὐτῶν καὶ τὸν πατέρα μὴ φροντίζειν τῆς ἐπ' αὐτοῖς λύπης ἠξίωσε, προκρίνας τὴν εἰς τὸν Θεὸν τιμὴν τοῦ περὶ αὐτοὺς σκυθρωποῦ· ἤδη γὰρ Ἀαρὼν καὶ τὴν στολὴν τὴν ἱερὰν ἠμφίεστο.

η'. Μωϋσῆς δὴ πᾶσαν τιμὴν παραιτησάμενος, ἣν ἑώρα τὸ πλῆθος αὐτῷ παρέχειν ἕτοιμον, πρὸς μόνῃ τῇ τοῦ Θεοῦ θεραπείᾳ διετέλει. Καὶ τῶν μὲν εἰς τὸ Σιναῖον ἀνόδων ἀπεῖχετο, εἰς δὲ τὴν σκηνὴν εἰσιὼν ἐχρηματίζετο περὶ ὧν ἐδεῖτο παρὰ τοῦ Θεοῦ, ἰδιωτεύων καὶ τῇ στολῇ καὶ πᾶσι τοῖς ἄλλοις ἄγων ἑαυτὸν δημοτικώτερον, καὶ μηδὲν βουλόμενος τῶν πολλῶν διαφέρειν δοκεῖν ἢ μόνῳ τῷ προνοούμενος αὐτῶν βλέπεσθαι. Ἔτι δὲ τὴν πολιτείαν καὶ τοὺς νόμους ἔγραφε, καθ' οὓς κεχαρισμένως τῷ Θεῷ βιώσονται, μηδὲν ἀλλήλοις ἐγκαλεῖν ἔχοντες. Ταῦτα μέντοι κατὰ τὴν ὑπαγόρευσιν τοῦ Θεοῦ συνετάττετο. Διέξειμι μὲν οὖν περὶ τῆς πολιτείας καὶ τῶν νόμων.

θ'. Ὁ μέντοι περὶ τῆς τοῦ ἀρχιερέως στολῆς παρέλιπον, διελθεῖν βούλομαι· οὐδαμόθεν γὰρ προφητῶν κακουργίαις κατέλιπεν ἀφορμήν. Εἰ δέ τινες τοιοῦτοι γένοιντο, παρεγχειρεῖν τῷ τοῦ Θεοῦ ἀξιώματι * * * αὐτοκράτορα δ' εἶναι τὸν Θεὸν παρατυγχάνειν τοῖς ἱεροῖς [κατέλιπεν], ὁπότε θελήσειε, καὶ μὴ παρεῖναι· καὶ τοῦτο δ' οὐχ Ἑβραίοις ὅῆλον εἶναι μόνον ἠθέλησεν, ἀλλὰ καὶ τῶν ξένων τοῖς παρατυγχάνουσι. Τῶν γὰρ λίθων οὓς ἐπὶ τῶν ὤμων φέρειν τὸν ἀρχιερέα προεῖπον

dies tam ipsos quam vestitum eorum curabat : tabernaculum item et ejus vasa, oleo ante suffito quemadmodum dixi, et sanguine taurorum et arietum et hœdorum unoquoque die e singulis unius occisorum. Octavo autem *die* festum indixit populo et pro facultatibus sacrificare præcepit. Illi vero inter sese certantes et alter alterum iis quæ offerebant superare contendentes, dictis paruerunt. At victimis aræ impositis repente ex illis spontaneus ortus est ignis, flammaque fulguris coruscationi similis visus, qui omnia super altari posita absumpsit.

7. Statim autem ab hoc *miraculo* contigit Aaroni quædam calamitas, si ut homo et pater spectetur, quam tamen fortiter pertulit, quod et animo erat ad omnia quæ acciderent bene confirmato, et existimabat hoc non sine Dei voluntate factum. Quum enim filii ei quattuor fuerint, ut jam dixi, duo ex iis natu grandiores, Nabadus et Abius, afferentes in aram suffimenta non quæ præscripserat Moyses, sed quibus prius uterentur, flammis ambusti intereunt, igne in illos impetum faciente, qui quum pectora et facies eorum depascere cœpisset, a nemine restingui potuit. Atque illi quidem ita e vita excesserunt. Moyses autem mandavit patri eorum et fratribus ut corpora portarent et extra castra deferentes magnifice sepelirent. Ceterum eos deplorat populus, inopinatam hanc eorum mortem ægre ferens : solos vero fratres eorum ac patrem Moyses voluit a mœrore abstinere et Dei honorem suæ ex illis tristitiæ præponere. Jam enim Aaron sacrum amictum gestabat.

8. Moyses itaque, omnibus recusatis honoribus, quos in se populum collaturum esse viderat, soli Dei ministerio semet addixit. Et adscensu quidem in montem Sinæum abstinebat, in tabernaculum vero ingrediens de iis responsa referebat quæ a Deo rogabat, et hominis privati habitu contentus et ceteris omnibus magis adhuc unum e populo referens, idque agens ut nihil ab aliis differre existimetur, nisi quod eorum saluti prospicere videretur. Præterea autem vivendi rationem descripsit et leges posuit, quibus observandis et Deo placere possent et vitam inculpatam agere. Ista autem Deo illi dictante ordinavit. Nunc igitur ad vitæ instituta legesque orationem converto.

9. Veruntamen quod de pontificis vestitu prætermisi, persequi volo : nam is omnem prophetis fraudem et præstigiarum ansam præcidebat. Verum si qui eo devenerint ut Dei auctoritate abutantur, * * Deo quidem liberum esse [reliquit] quando sacris interesse velit vel non adesse : id quod non Hebræis solum manifestum esse voluit, sed et alienigenis qui his forte intervenirent. Nam ex lapidibus, quos super humerum pontificem ferre prædixi, (erant autem sardonyches, atque eorum naturam osten-

(σαρδόνυχες δὲ ἦσαν, καὶ σημαίνειν αὐτῶν τὴν φύσιν ἡγοῦμαι περισσὸν, πᾶσιν εἰς γνῶσιν ἀφιγμένων) συνέβαινε λάμπειν, ὁπότε ταῖς ἱερουργίαις ὁ Θεὸς παρείη, τὸν ἕτερον τὸν ἐπὶ τῷ δεξιῷ τῶν ὤμων πεπορπημένον, αὐγῆς ἀποπηδώσης καὶ τοῖς πορρωτάτω φαινομένης, οὐ πρότερον ταύτης ὑπαρχούσης τῷ λίθῳ. Θαυμαστὸν μὲν οὖν καὶ τοῦτο τοῖς μὴ τὴν σοφίαν ἐπ' ἐκφαυλισμῷ τῶν θείων ἠσκηκόσιν· ὃ δ' ἐστὶ τούτου θαυμασιώτερον ἐρῶ. Διὰ γὰρ τῶν δώδεκα λίθων, οὓς κατὰ στέρνον ὁ ἀρχιερεὺς ἐνερραμμένους τῷ ἐσσήνῃ φορεῖ, νίκην μέλλουσι πολεμεῖν προεμήνυεν ὁ Θεός. Τοσαύτη γὰρ ἀπήστραπτεν ἀπ' αὐτῶν αὐγὴ μήπω τῆς στρατιᾶς κεκινημένης, ὡς τῷ πλήθει παντὶ γνώριμον εἶναι τὸ παρεῖναι τὸν Θεὸν εἰς τὴν ἐπικουρίαν. Ὅθεν Ἕλληνες, οἱ τὰ ἡμέτερα τιμῶντες ἔθη, διὰ τὸ μηδὲν ἀντιλέγειν δύνασθαι τούτοις, τὸν ἐσσήνην λόγιον καλοῦσιν. Ἐπαύσατο μὲν οὖν ὅ τε ἐσσήνης καὶ ὁ σαρδόνυξ τοῦ λάμπειν ἔτεσι διακοσίοις πρότερον ἢ ταύτην ἐμὲ συνθεῖναι τὴν γραφὴν, τοῦ Θεοῦ δυσχεράναντος ἐπὶ τῇ παραβάσει τῶν νόμων· περὶ ὧν ἐροῦμεν εὐκαιρότερον. Τρέψομαι δὲ νῦν ἐπὶ τὸν ἑξῆς λόγον.

ι'. Καθιερωμένης γὰρ ἤδη τῆς σκηνῆς καὶ διακεκοσμημένων τῶν περὶ τοὺς ἱερέας, τότε πλῆθος ὁμόσκηνον ἑαυτῷ τὸν Θεὸν ἔκρινεν εἶναι, καὶ τρέπεται πρὸς θυσίας τε καὶ αἰνέσεις, ὡς ἅπασαν ἤδη κακοῦ προσδοκίαν ἀπεωσμένον, καὶ περὶ τῶν μελλόντων ὡς ἀμεινόνων εὐθυμοῦντες· δωρεάς τε τῷ Θεῷ, τὰς μὲν κοινῇ, τὰς δὲ καὶ κατ' ἰδίαν, ἀνετίθεσαν κατὰ φυλάς. Οἵ τε γὰρ φύλαρχοι κατὰ δύο συνελθόντες ἅμαξαν καὶ δύο βόας προσκομίζουσιν (ἓξ μὲν οὖν ἦσαν αὗται) καὶ τὴν σκηνὴν ἐν ταῖς ὁδοιπορίαις παρεκόμιζον. Πρὸς τούτοις ἕκαστος φιάλην τε κομίζειν καὶ τρύβλιον καὶ θυΐσκην — τὴν μὲν Δαρεικοὺς δέκα δυναμένην καὶ πλήρη θυμιαμάτων, τὸ δὲ τρύβλιον καὶ ἡ φιάλη (ἀργύρεα δὲ ἦν) σίκλους μὲν δὴ αἱ δύο διακοσίους εἶλκον, εἰς δὲ τὴν φιάλην ἑβδομήκοντα μόνοι δεδαπάνηντο, πλήρεις δὲ ἦσαν ἀλεύρων ἐλαίῳ πεφυραμένων, οἷς ἐπὶ τῷ βωμῷ χρῶνται πρὸς τὰς ἱερουργίας — μόσχον τε καὶ κριὸν σὺν ἀρνίῳ τῶν ἐτησίων ὁλομελῆ καυθησόμενα, καὶ σὺν αὐτοῖς χίμαρον ἐπὶ παραιτήσει ἁμαρτημάτων. Προσῆγε δὲ τῶν ἀρχόντων ἕκαστος καὶ ἑτέρας θυσίας σωτηρίου λεγομένας, καθ' ἑκάστην ἡμέραν δύο τε βόας καὶ πέντε κριοὺς σὺν ἀρνάσιν ἐτείοις καὶ ἐρίφοις. Οὗτοι μὲν δὴ θύουσιν ἐπὶ ἡμέρας δώδεκα, κατὰ πᾶσαν ἡμέραν εἷς. Μωϋσῆς δὲ οὐκέτ' ἀναβαίνων ἐπὶ τὸ Σιναῖον ὄρος, ἀλλ' εἰς τὴν σκηνὴν εἰσιὼν, ἀνεμάνθανε παρὰ τοῦ Θεοῦ περί τε τῶν πρακτέων καὶ τῶν νόμων τῆς συντάξεως, οὓς κρείττονας ἡ κατὰ σύνεσιν ἀνθρωπίνην ὄντας εἰς τὸν ἅπαντα βεβαίως αἰῶνα συνέβη φυλαχθῆναι, δωρεὰν εἶναι δόξαντας τοῦ Θεοῦ, ὡς μήτ' ἐν εἰρήνῃ ὑπὸ τρυφῆς, μήτ' ἐν πολέμῳ κατ' ἀνάγκην Ἑβραίους παραβῆναί τινα τῶν νόμων. Ἀλλὰ περὶ μὲν τούτων παύομαι λέγων, γραφὴν ἑτέραν ἠξιωκὼς συνθεῖναι περὶ τῶν νόμων.

dere supervacuum puto, quum a nemine ignorentur,) contigit ut micaret, quoties Deus sacrificiis adesset, alter qui in dextro humero fibulæ vice portabatur, fulgore inde exsiliente, ut etiam procul positis illucesceret, quum prius lapis eo careret splendore. Et certe hoc ipsum admirationem meretur apud omnes, qui non ex contemptu religionis sapientiæ opinionem aucupantur. Sed quod hoc etiam mirabilius est jam dicturus sum. Nam per duodecim lapides, quos in pectore pontifex essenæ adsutos gestat, Deus victoriam pugnaturis prænunciabat. Tantus enim ex iis effulgebat splendor, quum nondum exercitus moveretur, ut toti populo manifestum fuerit ipsis auxilio adesse Deum. Unde et Græci, qui nostras solennitates reverentur, quod contradicere his non potuerint, essenen appellant λόγιον *i. e.* oraculum. Cessavit autem essenes et sardonyx fulgorem emittere annis ducentis ante quam ego hæc conscriberem, quum Deus moleste ferret transgressiones legum: de quibus opportunior erit dicendi locus. Nunc autem cœptam narrationem persequar.

10. Tabernaculo jam dedicato et omnibus quæ ad sacerdotes spectant rite peractis, tunc populus Deum secum in eodem tentorio habitare ratus est, et ad ipsum sacrificiis honorandum et laudibus prosequendum semet convertit, quasi jam ab omni mali exspectatione liberatus esset, et meliora in posterum sibimet polliceretur: Deoque munera tam privatim quam publice per singulas tribus offerebant. Principes enim tribuum bini convenientes vehiculum et duos boves afferebant (illa itaque sex erant) et tabernaculum in itineribus deportabant. Ad hæc unusquisque phialam adducit et lancem et acerram; (hanc quidem decem Daricos valentem et suffimentis refertam; lanx autem et phiala, erant enim argenteæ, simul quidem siclos ducentos pendebant, in phialam vero duntaxat septuaginta expensi sunt; plenæ autem erant simula oleo subacta, quali ad altare in sacrificiis utuntur;) præterea vitulum et arietem cum agno anniculo in holocaustum, simulque hircum pro expiatione peccatorum. Præterea principum quisque alia quoque offerebat sacrificia, quæ salutis appellantur, per singulos dies boves duos et quinque arietes cum agnis anniculis et hœdis. Atque ita quidem isti per duodecim dies sacrificant, singulis diebus unus. Moyses autem non amplius Sinæum jugum ascendens, sed in tabernaculum ingrediens a Deo accepit omnia de rebus agendis et de legibus ferendis. Quas meliores quam ut ab humana sapientia excogitari possent in omne ævum religiose observari contigit, quod divinitus datæ crederentur: adeo ut nec in pace ex luxuria, nec in bello ob necessitatem harum aliquam violare sustinerent Hebræi. Sed de his quidem dicere supersedeo, quod alio in libro de legibus scribere instituerim.

ΚΕΦ. Θ'.

Νυνὶ δ' ὀλίγων τινῶν ἐπιμνησθήσομαι τῶν ἐφ' ἁγνείαις καὶ ἱερουργίαις κειμένων· καὶ γὰρ τὸν λόγον μοι περὶ θυσιῶν ἐνεστάναι συμβέβηκε. Δύο μὲν γάρ εἰσιν ἱερουργίαι· τούτων δ' ἡ μὲν ὑπὸ τῶν ἰδιωτῶν, ἑτέρα δ' ὑπὸ τοῦ δήμου συντελούμεναι, κατὰ δύο γίνονται τρόπους. Τῆς μὲν ὁλοκαυτοῦται πᾶν τὸ θυόμενον, καὶ διὰ τοῦτο καὶ τὴν προσηγορίαν τοιαύτην ἔλαβεν, ἡ δὲ χαριστήριός τε ἐστὶ καὶ κατ' εὐωχίαν δρᾶται τῶν τεθυκότων. Ἐρῶ δὲ περὶ τῆς προτέρας. Ἀνὴρ ἰδιώτης ὁλοκαυτῶν θύει μὲν βοῦν καὶ ἀρνίον καὶ ἔριφον· ταῦτα μὲν ἐπέτεια, τοὺς δὲ βοῦς ἐφεῖται θύειν καὶ προήκοντας. Ἄρρενα δὲ ὁλοκαυτοῦται τὰ πάντα. Σφαγέντων δὲ τούτων, τὸν κύκλον τῷ αἵματι δεύουσι τοῦ βωμοῦ οἱ ἱερεῖς, εἶτα καθαρὰ ποιήσαντες διαμελίζουσι, καὶ πάσαντες ἅλσιν ἐπὶ τὸν βωμὸν ἀνατιθέασι, σχιζῶν ἤδη πεπληρωμένον καὶ πυρὸς φλεγομένου. Τοὺς δὲ πόδας τῶν ἱερείων καὶ τὰ κατὰ νηδὺν ἐκκαθάραντες ἀκριβῶς τοῖς ἄλλοις καθαγνισθησόμενα προσεπιφέρουσι, τὰς δορὰς τῶν ἱερέων λαμβανόντων. Καὶ ὁ μὲν τῆς ὁλοκαυτώσεως τρόπος ἐστὶν οὗτος.

β'. Τὰς δὲ χαριστηρίους θυσίας ἐπιτελοῦντες τἄ αὐτὰ μὲν ζῷα θύουσιν, ὁλόκληρα δὲ ταῦτα καὶ τῶν ἐπετείων πρεσβύτερα, ἄρρενα μέντοι θήλεσι συνδυαζόμενα. Θύσαντες δὲ ταῦτα φοινίσσουσι μὲν αἵματι τὸν βωμόν, τοὺς δὲ νεφροὺς καὶ τὸν ἐπίπλουν καὶ πάντα τὰ πιμελῆ σὺν τῷ λοβῷ τοῦ ἥπατος, καὶ σὺν αὐτοῖς τὴν οὐρὰν τοῦ ἀρνὸς ἐπιφέρουσι τῷ βωμῷ· τὸ δὲ στῆθος καὶ τὴν κνήμην τὴν δεξιὰν τοῖς ἱερεῦσι παρασχόντες ἐπὶ δύο ἡμέρας εὐωχοῦνται τοῖς καταλειπομένοις τῶν κρεῶν· ἃ δ' ἂν περισσεύσῃ, κατακαίουσι.

γ'. Θύουσι δὲ καὶ ὑπὲρ ἁμαρτάδων, καὶ ὁμοίως τῷ περὶ τῶν χαριστηρίων τῆς ἱερουργίας τρόπῳ γίνεται. Οἱ δ' ἀδύνατοι πορίζειν τὰ τέλεια θύματα περιστερὰς ἢ τρυγόνας δύο, ὧν τὸ μὲν ὁλοκαυτοῦται τῷ Θεῷ, τὸ δὲ τοῖς ἱερεῦσιν εἰς βρῶσιν διδόασιν. Ἀκριβέστερον δὲ περὶ τῆς θυσίας τῶνδε τῶν ζώων ἐν τοῖς περὶ θυσιῶν ἐροῦμεν. Ὁ μὲν γὰρ κατὰ ἄγνοιαν εἰς τοῦτο προσπεσὼν ἄρνα καὶ ἔριφον θήλειαν τῶν αὐτοετῶν προσφέρει. Καὶ τῷ μὲν αἵματι δεύει τὸν βωμὸν ὁ ἱερεύς, οὐχ ὡς τὸ πρῶτον, ἀλλὰ τῶν γωνιῶν τὰς ἐξοχάς· καὶ τούς τε νεφροὺς καὶ τὴν ἄλλην πιμελὴν σὺν τῷ λοβῷ τοῦ ἥπατος ἐπιφέρουσι τῷ βωμῷ. Οἱ δ' ἱερεῖς τάς τε δορὰς ἀποφέρονται καὶ τὰ κρέα, ἐπ' ἐκείνης δαπανήσαντες τῆς ἡμέρας ἐν τῷ ἱερῷ· ὁ γὰρ νόμος εἰς τὴν αὔριον ἀπολιπεῖν οὐκ ἐᾷ. Ὁ δὲ ἁμαρτὼν μέν, ἑαυτῷ δὲ συνειδὼς καὶ μηδένα ἔχων τὸν ἐξελέγχοντα, κριὸν θύει, τοῦ νόμου τοῦτο κελεύοντος· οὗ τὰ κρέα κατὰ τὸ ἱερὸν ὁμοίως οἱ ἱερεῖς αὐθημερὸν σιτοῦνται. Οἱ δὲ ἄρχοντες ἐφ' οἷς ἡμάρτανον ἐκθυόμενοι ταὐτὰ μὲν κομίζουσι τοῖς ἰδιώταις, διαλλάσσουσι δὲ τῷ προσάγειν θύματα ταῦρον καὶ ἔριφον ἄρρενας.

δ'. Νόμος δὲ ταῖς ἰδιωτικαῖς καὶ ταῖς δημοσίαις θυ-

CAP. IX.

Nunc paucas quasdam *leges* commemorabo de purificatione et sacrificiis latas: etenim contigit ut mihi incideret sermo de sacrificiis. Sunt enim duo sacrificiorum genera. Horum quidem unum a privatis, alterum vero universi populi nomine factum: atque ea duobus modis peraguntur. In uno quidem totum quod immolatur igne consumitur, ac inde sortitum est holocausti appellationem: alterum vero pro gratiarum actione *institutum* est et in epulum sacra facientibus cedit. De priore autem *primum* agam. Privatus homo quum holocaustum facit, mactat quidem bovem, agnum et hœdum, hos quidem anniculos, boves vero licet immolare etiam grandiores: sed mascula *oportet* esse omnia quæ solida concremantur. His autem occisis sacerdotes sanguinem per altaris circuitum fundunt: deinde mundata membratim dissecant et sale conspersa in aram imponunt, ligno in eam congesto et igne erumpente. Pedes autem victimarum et intestina diligenter purgata cum ceteris *membris* adolenda adjiciunt, pelles sacerdotibus sibimet habentibus. Et holocausta quidem ad hunc modum fiunt.

2. Quum autem pro gratiarum actione sacrificant, animalia quidem mactant ejusdem generis, ista vero integra et anniculis majora, ac maria cum feminis. Hæc autem quum immolantur, aram quidem sanguine intingunt, renes autem et omentum et omnem adipem cum fibra jecinoris, simulque caudam agni superponunt aræ. At pectus et crus dextrum sacerdotibus concedentes per biduum de reliquis carnibus epulantur: quæcunque vero superfuerint, igni comburunt.

3. Mactant vero etiam hostias pro peccatis, fitque similiter ac in dicto modo sacris operandi pro gratiarum actione. Quibus vero facultas non est adipiscendi victimas majores, *ii* par columbarum aut turturum *immolant*: quarum altera quidem Deo adoletur in holocaustum, alteram vero in cibum dant sacerdotibus. Accuratius autem de istis animalibus offerendis agam quum de sacrificiis dicturus sum. Qui autem per ignorantiam in peccatum incidit, agnum et feminam ejusdem anni offert. Ac sacerdos quidem sanguine irrigat aram, sed non sicut prius, verum angulorum ad extremitates: renesque et reliquam adipem cum fibra jecoris altari admovent. Sacerdotes vero tollunt sibi et pelles et carnes, quas eadem die absumunt in fano: lex enim incrastinum non sinit relinqui. Qui vero peccat quidem, sibique conscius est, sed neminem habet qui ipsum possit arguere, arietem immolat lege præcipiente: cujus carnes in templo sacerdotes similiter comedunt eadem die. Principes autem pro peccatis sacrificia facientes eadem offerunt quæ privati, in eo vero differunt, quod victimas adducant taurum et hœdum masculos.

4. Porro lex præcipit ut in publicis et privatis sacrificiis

σίαις καὶ ἄλευρον ἐπιφέρεσθαι καθαρώτατον, ἀρνίῳ μὲν ἀσσάρωνος μέτρον, κριῷ δὲ δυοῖν, ταύρῳ δὲ τριῶν. Τοῦτο καθαγίζουσιν ἐπὶ τῷ βωμῷ μεμαγμένον ἐλαίῳ. Κομίζεται γὰρ δὴ καὶ ἔλαιον ὑπὸ τῶν τεθυκότων· ἐπὶ μὲν βοὶ εἵνὸς ἥμισυ, ἐπὶ δὲ κριῷ μέρος τούτου τρίτον τοῦ μέτρου, καὶ τετάρτη μερὶς ἐπ' ἀρνίῳ. Ὁ δὲ εἷν μέτρον ἀρχαῖον Ἑβραίων· δύναται δὲ δύο χόας Ἀττικούς. Τὸ δ' αὐτὸ μέτρον τῷ ἐλαίῳ καὶ οἴνου παρῆγον. Σπένδουσι δὲ περὶ τὸν βωμὸν τὸν οἶνον. Εἰ δέ τις θυσίαν οὐκ ἐπιτελῶν ἐπενέγκαι κατ' εὐχὴν σεμίδαλιν, ταύτης ἀπαρχὴν μίαν ἐπιβάλλει τῷ βωμῷ δράκα· τὴν δὲ λοιπὴν οἱ ἱερεῖς πρὸς τροφὴν λαμβάνουσιν, ἢ ἑψηθεῖσαν (ἐλαίῳ γὰρ συμπεφύραται) ἢ γενομένων ἄρτων. Ἱερέως δὲ κομίσαντος καὶ ὁποσονοῦν, ὁλοκαυτοῦν ἀναγκαῖον. Κωλύει δὲ ὁ νόμος θύειν ζῷον αὐθημερινὸν μετὰ τοῦ γεγεννηκότος ἐπὶ ταὐτὸ, οὐδ' ἄλλως δὲ, πρὶν ὀγδόην ἡμέραν γεννηθέντι διελθεῖν. Γίνονται δὲ ἄλλαι θυσίαι ὑπὲρ τοῦ τὰς νόσους διαφυγεῖν, ἢ κατ' ἄλλας αἰτίας, εἰς ἃς πέμματα σὺν ἱερείοις ἀναλίσκεται· ὧν εἰς τὴν ὑστέραν οὐδὲν ὑπολιπεῖν ἐστι νόμιμον, τῶν ἱερέων μέρος ἴδιον λαβόντων.

ΚΕΦ. Ι'

Ἐκ δὲ τοῦ δημοσίου ἀναλώματος νόμος ἐστὶν ἄρνα καθ' ἑκάστην ἡμέραν σφάζεσθαι τῶν αὐτοετῶν ἀρχομένης τε ἡμέρας καὶ ληγούσης· κατὰ δὲ ἑβδόμην ἡμέραν, ἥτις σάββατα καλεῖται, δύο σφάζουσι, τὸν αὐτὸν τρόπον ἱερουργοῦντες. Τῇ δὲ νουμηνίᾳ τάς τε καθημερινὰς θυσίας ἐπιτελοῦσι καὶ δύο βόας σὺν ἀρνάσιν ἐνιαυσίοις ἑπτὰ καὶ κριὸν, ἔριφον δὲ ἐπὶ παραιτήσεσιν ἁμαρτάδων, εἴ τι κατὰ λήθην γένοιτο.

β'. Τῷ δ' ἑβδόμῳ μηνὶ, ὃν Μακεδόνες Ὑπερβερεταῖον καλοῦσι, προσθέντες τοῖς εἰρημένοις ταῦρον καὶ κριὸν καὶ ἄρνας ἑπτὰ θύουσι καὶ ἔριφον ὑπὲρ ἁμαρτάδων.

γ'. Δεκάτῃ δὲ τοῦ αὐτοῦ μηνὸς κατὰ σελήνην διανηστεύοντες ἕως ἑσπέρας θύουσιν ἐν ταύτῃ τῇ ἡμέρᾳ ταῦρόν τε καὶ κριοὺς δύο καὶ ἄρνας ἑπτὰ καὶ ὑπὲρ ἁμαρτάδων ἔριφον. Προσάγουσι δὲ δύο πρὸς τούτοις ἐρίφους, ὧν ὁ μὲν ζῶν εἰς τὴν ὑπερόριον ἐρημίαν πέμπεται, ἀποτροπιασμὸς καὶ παραίτησις τοῦ πλήθους παντὸς ὑπὲρ ἁμαρτημάτων ἐσόμενος, τὸν δ' ἐν τοῖς προαστείοις εἰς καθαρώτατον ἄγοντες χωρίον αὐτόθι σὺν αὐτῇ καίουσι τῇ δορᾷ, μηδὲν ὅλως καθάραντες. Συγκατακαίεται δὲ ταῦρος οὐχ ὑπὸ τοῦ δήμου προσαχθείς, ἀλλ' ἐκ τῶν ἰδίων ἀναλωμάτων τοῦ ἀρχιερέως παρασχόντος. Οὗ δὴ σφαγέντος, εἰσκομίσας εἰς τὸν ναὸν τοῦ αἵματος ἅμα καὶ τοῦ ἐρίφου, ῥαίνει τῷ δακτύλῳ τὸν ὄροφον ἑπτάκις, τοῦ δ' αὐτοῦ καὶ τὸ ἔδαφος, καὶ τοσαυτάκις εἰς τὸν ναὸν καὶ περὶ τὸν χρύσεον βωμὸν, καὶ τὸ λοιπὸν περὶ τῷ μείζονι, κομίσας εἰς τὸ αἴθριον. Πρὸς τούτοις τὰς ἐξοχὰς καὶ τοὺς νεφροὺς καὶ τὴν πιμελὴν σὺν τῷ λοβῷ τοῦ ἥπατος ἐπιφέρουσι τῷ βωμῷ.

farina mundissima afferatur, cum agno quidem assaronis mensura, cum ariete vero duorum, et cum tauro trium. Hanc consecrant super altare oleo subactam. Nam et oleum effertur ab immolantibus, pro bove quidem hinis dimidium, pro ariete vero tertia hujus mensuræ pars, et pro agno pars quarta. Est autem hin mensura Hebræorum antiqua, duosque efficit choas Atticos. Eadem vero mensura vinum qua oleum adducebant: nam vinum circa altare libant. Si quis autem hostiam non immolans ex voto similam afferat, ejus primitias pugillum unum in aram conjicit, reliquum vero in alimentum sacerdotes accipiunt, aut coctum (nam oleo subigitur) aut panibus confectis. Quantumcunque autem apportet sacerdos, necesse est ut totum cremetur. Porro lex mactari vetat fœtum eodem die et loco cum parente, et alias quoque, nisi octava ei a partu dies illuxerit. Fiunt autem alia sacrificia pro morbo depellendo aut alia de causa, in quæ libamina cum victimis expenduntur: quorum in crastinum aliquid relinqui fas non est, ubi sacerdotes partem suam inde sumpserunt.

CAP. X.

Publicis autem impensis lex jubet quotidie agnum ejusdem anni mactari mane ac vespere: septima vero quaque die, quæ sabbata appellatur, duos jugulant, eodem modo sacrificantes. At novilunio præter quotidianas hostias immolant duos boves cum agnis anniculis septem et arietem, hœdum vero pro expiatione peccati, si quod oblivi scentibus forte obrepserit.

2. Septimo autem mense, quem Macedones vocant Hyperberetæum, præter jam dicta taurum et arietem et septem agnos mactant et hœdum pro peccatis.

3. Decima vero ejusdem mensis die secundum lunam ad vesperam usque jejunant, eodemque die immolant taurum et arietem et septem agnos et pro peccatis hœdum. Præterea autem adducunt duos hœdos, quorum alter quidem vivus extra fines in solitudinem emittitur, in averruncationem et expiationem peccatorum futurus pro populo universo, alterum vero in locum purissimum sub urbe educentes, illic cum ipsa pelle totum comburunt, nihil omnino purgantes. Concrematur simul taurus non a populo adductus, sed proprio pontificis sumptu paratus. Quo occiso, et sanguine ejus simul et hœdi in fanum *interius* illato, aspergit digito septies tectum totiesque pavimentum ipsius, rursusque toties fanum *exterius* etiam circum altare aureum; reliquum deinde in atrium portans circum *altare* majus *spargit*. Præterea extremitates *tauri hircique* et renes et

Παρέχεται δὲ καὶ κριὸν ὁ ἀρχιερεὺς ὁλοκαύτωσιν τῷ Θεῷ.

δ'. Τῇ δὲ πέμπτῃ τοῦ αὐτοῦ μηνὸς καὶ δεκάτῃ, τρεπομένου τὸ λοιπὸν τοῦ καιροῦ πρὸς τὴν χειμέριον ὥραν, σκηνὰς πήγνυσθαι κελεύει κατὰ οἰκίαν ἕκαστον, τὸ κρύος ὑφορωμένους ἐπὶ φυλακῇ τοῦ ἔτους, ὅταν τε πατρίδων ἐπιτύχοιεν, παραγινομένους εἰς ἐκείνην τὴν πόλιν, ἣν διὰ τὸν ναὸν μητρόπολιν ἔξουσιν, ἐφ' ἡμέρας ὀκτὼ ἑορτὴν ἄγοντας ὁλοκαυτοῦν τε καὶ θύειν τῷ Θεῷ τότε χαριστήρια, φέροντας ἐν ταῖς χερσὶν εἱρεσιώνην μυρσίνης καὶ ἰτέας σὺν κράδῃ φοίνικος πεποιημένην, τοῦ μήλου τοῦ τῆς περσέας προσόντος. Εἶναι δὲ τῇ πρώτῃ τῶν ἡμερῶν τὴν τῆς ὁλοκαυτώσεως θυσίαν ἐκ τριῶν καὶ δέκα βοῶν καὶ ἀρνῶν ἑνὶ πλειόνων καὶ κριῶν δύο, κατὰ παραίτησιν ἁμαρτιῶν ἑρίφου προστιθεμένου. Ταῖς δ' ἑξῆς ἡμέραις ὁ μὲν αὐτὸς ἀριθμὸς τῶν ἀρνῶν καὶ τῶν κριῶν σὺν καὶ τῷ ἑρίφῳ θύεται, ὑφαιροῦντες δὲ ἑκάστης ἡμέρας ἕνα τῶν βοῶν εἰς ἑπτὰ καταντῶσιν. Ἀνίενται δὲ ἀπὸ παντὸς ἔργου κατὰ τὴν ὀγδόην ἡμέραν· καὶ τῷ Θεῷ, καθὰ προειρήκαμεν, μόσχον τε θύουσι καὶ κριὸν καὶ ἄρνας ἑπτὰ καὶ ὑπὲρ ἁμαρτημάτων παραιτήσεως ἕριφον. Καὶ ταῦτα μὲν Ἑβραίοις τὰς σκηνὰς πηγνύουσιν ἐπιτελεῖν ἐστι πάτριον.

ε'. Τῷ δὲ μηνὶ τῷ Ξανθικῷ, ὃς Νισὰν παρ' ἡμῖν καλεῖται καὶ τοῦ ἔτους ἐστὶν ἀρχή, τεσσαρεσκαιδεκάτῃ κατὰ σελήνην, ἐν κριῷ τοῦ ἡλίου καθεστῶτος (τούτῳ γὰρ τῷ μηνὶ τῆς ὑπ' Αἰγυπτίοις δουλείας ἠλευθερώθημεν), καὶ τὴν θυσίαν, ἣν τότε ἐξιόντας Αἰγύπτου θῦσαι προεῖπον ἡμᾶς, Πάσχα λεγομένην, δι' ἔτους ἑκάστου θύειν ἐνόμισε. Καὶ δὴ τελοῦμεν αὐτὴν κατὰ φρατρίας, μηδενὸς τῶν τεθυμένων εἰς τὴν ἐπιοῦσαν τηρουμένου. Πέμπτῃ δὲ καὶ δεκάτῃ διαδέχεται τὴν τοῦ Πάσχα ἡ τῶν Ἀζύμων ἑορτή, ἑπτὰ ἡμέρας οὖσα, καθ' ἣν ἀζύμοις τρέφονται· καὶ καθ' ἑκάστην ἡμέραν ταῦροι σφάζονται δύο καὶ κριὸς μὲν εἷς, ἑπτὰ δὲ ἄρνες. Καὶ ταῦτα μὲν ὁλοκαυτοῦται, προστιθεμένου τοῖς πᾶσι καὶ ἑρίφου ὑπὲρ ἁμαρτάδων, εἰς εὐωχίαν κατὰ ἡμέραν ἑκάστην τοῖς ἱερεῦσι. Τῇ δὲ δευτέρᾳ τῶν Ἀζύμων ἡμέρᾳ (ἕκτη δ' ἐστὶν αὕτη καὶ δεκάτη) τῶν καρπῶν οὓς ἐθέρισαν (οὐ γὰρ ἥψαντο πρότερον αὐτῶν) μεταλαμβάνουσι, καὶ τὸν Θεὸν ἡγούμενοι τιμᾶν δίκαιον εἶναι πρῶτον, παρ' οὗ τῆς εὐπορίας τούτων ἔτυχον, τὰς ἀπαρχὰς αὐτῷ τῆς κριθῆς ἐπιφέρουσι τὸν τρόπον τοῦτον. Φρύξαντες τῶν σταχύων τὸ ὅραγμα καὶ πτίσαντες, καὶ καθαρὰς πρὸς ἅλεσμὸν τὰς κριθὰς ποιήσαντες, τῷ βωμῷ ἀσσάρωνα προσάγουσι τῷ Θεῷ, καὶ μίαν ἐξ αὐτοῦ δράκα ἐπιβαλόντες τῷ βωμῷ, τὸ λοιπὸν ἀφιᾶσιν εἰς χρῆσιν τοῖς ἱερεῦσι· καὶ τότε λοιπὸν δημοσία ἔξεστι πᾶσι καὶ ἰδίᾳ θερίζειν. Θύουσι δ' ἐπὶ ταῖς ἀπαρχαῖς τῶν καρπῶν ἀρνίον εἰς ὁλοκάρπωσιν τῷ Θεῷ.

ς'. Ἑβδόμης δ' ἑβδομάδος διαγεγενημένης μετὰ ταύτην τὴν θυσίαν, (αὗται δ' εἰσὶν αἱ τῶν ἑβδομάδων ἡμέραι τεσσαράκοντα καὶ ἐννέα,) τῇ πεντηκοστῇ, ἣν Ἑβραῖοι Ἀσαρθὰ καλοῦσι (σημαίνει δὲ τοῦτο πεντηκοστήν), ἀποφέρεται ὁ ἀρχιερεὺς ὁλοκαύτωσιν τῷ Θεῷ.

adipem cum fibra jecinoris altari imponunt. Præbet autem *de suo* pontifex arietem quoque in holocaustum Deo.

4. Die vero quintadecima ejusdem mensis, tempore ad hiemem jam vergente, tentoria figere et compingere jubet singulos per familias, præ metu frigoris sibimet cavendo ab anni tempestate: et quando in patriam venirent, ad eam urbem accedere, quam propter templum metropolim habituri sint, atque octo diebus festivitatem agentes et holocausta facere et Deo gratiarum hostias tunc offerre *præcepit*, manibus ferentes fasciculum ex myrto et salice cum spadice palmæ compositum, addito perseæ pomo. Prima autem dierum sacrificium *jubet* esse holocautoma ex tredecim bobus et agnis uno adhuc pluribus et arietibus duobus, accedente hirco pro expiatione peccatorum. Sequentibus autem diebus idem quidem numerus agnorum et arietum una cum hœdo mactatur, per singulos vero dies bovem unum subtrahentes, ad septem deveniunt. At octava die feriantur ab omni opere, et Deo, ut ante diximus, vitulum immolant et arietem et agnos septem et pro peccatorum expiatione hircum. Atque hæc quidem Hebræi tabernacula figentes more institutoque patrio celebrant.

5. Mense autem Xanthico, qui nobis Nisan vocatur et anni initium est, die decimaquarta secundum lunam, sole in ariete stante (hoc enim mense liberati a servitute sumus Ægyptiaca), id quoque sacrificium, quod tunc egredientes ex Ægypto nos fecisse jam dixi, Pascha nominatum, quotannis mactare lege sancivit. Et quidem per contubernia illud celebramus, nihil victimarum in crastinum servantes. Die autem quintadecima Paschalem excipit Azymorum festivitas septem dierum, per quas panibus non fermentatis vescuntur: ac singulis diebus tauri duo jugulantur et aries quidem unus, agni vero septem. Atque hæc quidem holocausta fiunt, hirco etiam reliquis adjecto pro peccatis, in quotidianum epulum sacerdotibus. Secunda vero Azymorum die (illa autem decima sexta est) ex frugibus demessis (non enim ante eas attingunt) partem sumunt: ac æquum esse rati Deum primum honorare, a quo rerum copiam acceperunt, hoc modo illi hordei primitias offerunt: siccato spicarum manipulo et contuso, atque repurgatis ad molendum hordeis, ad altare assaronem Deo adducunt: ac pugillum unum ex eo in aram injicientes, reliquum ad usum sacerdotum relinquunt. Atque inde omnibus publice privatimque messis faciundæ potestas datur. Sacrificant autem in primitiis frugum agnum in holocaustum Deo.

6. Hebdomade vero septima post hoc sacrificium transacta, (istæ autem hebdomadum dies sunt quadraginta novem), quinquagesima dies, quam Asartha vocant Hebræi (denotat autem hoc *nomen* Pentecosten), afferunt ad Deum

κοστήν), προσάγουσι τῷ Θεῷ ἄρτον, ἀλφίτων μὲν πυρίνων ἀσσάρωνας δύο μετὰ ζύμης γεγονότων, θυμάτων δὲ ἄρνας δύο. Ταῦτα μὲν γὰρ τῷ Θεῷ προσάγειν μόνον εἰς δεῖπνον τοῖς ἱερεῦσι σκευάζεται, καὶ καταλιπεῖν οὐδέν ἐστιν ἐξ αὐτῶν εἰς τὴν ἐπιοῦσαν συγκεχωρημένον. Ὁλοκαυτωθησομένους δὲ μόσχους θύουσι τρεῖς καὶ κριοὺς δύο καὶ ἄρνας τεσσαρεσκαίδεκα, ἐρίφους δὲ δύο ὑπὲρ ἁμαρτημάτων. Ἔστι δ' οὐδεμία τῶν ἑορτῶν καθ' ἣν οὐχ ὁλοκαυτοῦσιν, οὐδὲ τῶν πόνων τῶν ἐπὶ τοῖς ἔργοις ἄνεσιν οὐ διδόασιν, ἀλλ' ἐν πάσαις νόμιμον τό τε τῆς θυσίας εἶδος καὶ τὸ τῆς ἀργίας ἀταλαίπωρον, καὶ πρὸς εὐωχίας εἰσὶ τεθυκότες.

ζ'. Ἐκ μέντοι τοῦ κοινοῦ σῖτος ὀπτὸς ζύμης ἄμοιρος· ἀσσάρωνες δ' εἴκοσι καὶ τέσσαρες εἰς τοῦτο ἀναλοῦται. Ὀπτῶνται δὲ ἀνὰ δύο διαιρεθέντες μὲν τῇ πρὸ τοῦ σαββάτου· τῷ δὲ σαββάτῳ πρωὶ κομισθέντες, ἐπὶ τῆς ἱερᾶς τραπέζης τίθενται, κατὰ ἓξ εἰς ἀλλήλους τετραμμένοι. Δύο δὲ χρυσέων ὑπερκειμένων πινάκων λιβανωτοῦ γεμόντων, διαμένουσιν ἕως τοῦ ἑτέρου σαββάτου· καὶ τότε μὲν ἀντ' ἐκείνων ἄλλοι κομίζονται, οἱ δὲ τοῖς ἱερεῦσι πρὸς τροφὴν δίδονται, καὶ τοῦ λιβανωτοῦ θυμιωμένου ἐπὶ τῷ ἱερῷ πυρὶ, ἐφ' ᾧ καὶ ὁλοκαυτοῦσι τὰ πάντα· λιβανωτὸς δὲ ὑπὲρ ἐκείνου ἄλλος ὑπὲρ τῶν ἄρτων προστίθεται. Θύει δ' ὁ ἱερεὺς ἐκ τῶν ἰδίων ἀναλωμάτων, καὶ ὀἰς ἑκάστης ἡμέρας τοῦτο ποιεῖ, ἄλευρον ἐλαίῳ μεμαγμένον καὶ πεπηγὸς ὀπτήσει βραχείᾳ· καὶ εἷς μέν ἐστιν ἀσσάρων τοῦ ἀλεύρου. Τούτου δὲ τὸ μὲν ἥμισυ πρωΐ, τὸ δ' ἕτερον δείλης ἐπιφέρει τῷ πυρί. Τὸν μὲν οὖν περὶ τούτων λόγον ἀκριβέστερον αὖθις δηλώσομεν· ἱκανὰ δέ μοι δοκεῖ καὶ νῦν περὶ αὐτῶν προειρῆσθαι.

ΚΕΦ. ΙΑ'.

Μωϋσῆς δὲ τὴν Λευῖτιν φυλὴν τῆς πρὸς τὸν λαὸν κοινωνίας ὑπεξελόμενος ἱερὰν ἐσομένην, ἥγνιζε πηγαίοις ὕδασι καὶ ἀεναοις καὶ θυσίαις ἃς ἐπὶ τοῖς τοιούτοις νομίμους παρέχονται τῷ Θεῷ· τήν τε σκηνὴν αὐτοῖς καὶ τὰ σκεύη τὰ ἱερὰ καὶ τἄλλα ὅσα πρὸς σκέπην τῆς σκηνῆς ἐπεποίητο, παρέδωκεν, ὅπως ὑφηγουμένων τῶν ἱερέων ὑπηρετήσωσιν· ἤδη γὰρ τῷ Θεῷ καθιέρωντο.

β'. Καὶ περὶ τῶν ζώων δὲ διέκρινεν ἕκαστον ᾧ τε τρέφοιντο καὶ οὗ πάλιν ἀπεχόμενοι διατελοῖεν, περὶ ὧν, ἐν οἷς ἂν ἡμῖν ἀφορμὴ τῆς γραφῆς γένηται διελευσόμεθα, τὰς αἰτίας προστιθέντες, ἀφ' ὧν κινηθεὶς τὰ μὲν αὐτῶν βρώματα ἡμῖν ἐκέλευσεν εἶναι, τῶν δὲ προσέταξεν ἀπέχεσθαι. Αἵματος μέντοι παντὸς εἰς τροφὴν ἀπηγόρευσε τὴν χρῆσιν, ψυχὴν αὐτὸ καὶ πνεῦμα νομίζων. Καὶ κρέως τοῦ τεθνηκότος αὐτομάτως ζῴου τὴν βρῶσιν διεκώλυσεν, ἐπίπλου τε καὶ στέατος αἰγείου καὶ προβατείου καὶ τοῦ τῶν βοῶν ἀπέχεσθαι προεῖπεν.

γ'. Ἀπήλασε δὲ τῆς πόλεως καὶ τοὺς λέπρᾳ τὰ σώματα κακωθέντας καὶ τοὺς περὶ τὴν γονὴν ῥεομένους.

panem, e farinæ quidem triticeæ duobus assaronibus cum fermento confectæ, in sacrificium vero agnos duos. Et hæc quidem Deo oblata sacerdotibus solum ad cœnam parantur, et nihil ex iis in crastinum relinquere concessum est. Quin et immolant in holocaustum vitulos tres et arietes duos et agnos quattuordecim, duos vero pro peccato hircos. Festorum autem nullum celebratur, in quo holocaustum non faciant, aut in quo ab operibus laborum vacatio non sit indulta, sed in omnibus et lege præscriptum sacrificii genus, et laborum expers otium, et post sacrificium epulæ.

7. Ex publico quidem suppeditatur panis non fermentatus; ei autem faciundo insumuntur assarones viginti quattuor. Bini coquuntur divisi quidem pridie sabbati: mane vero sabbati allati super mensam sacram collocantur, seni senis e regione oppositi. Duabus autem lancibus aureis thure plenis super eos positis, manent usque ad proximum sabbatum: et tunc vice illorum alii apportantur. Isti vero sacerdotibus in cibum dantur, atque thus adoletur igne sacro, quo ad holocautomata uti solent: aliud vero thus loco illius panibus superponitur. Sacerdos autem propriis sumptibus et quotidie bis offert *Deo* farinam oleo maceratam et modica coctione duratam: estque *mensura ejus* farinæ assaron unus. Hujus autem unam partem dimidiam mane, alteram vero vespere in ignem injicit. Atqui horum rationem posthac diligentius explicabimus, nunc vero de his in antecessum satis mihi videor dixisse.

CAP. XI.

Moyses autem tribum Leviticam a populi communitate ubi segregavit, sacram utique futuram, aquae fonte perenni ipsam purificavit et sacrificiis quæ hujusmodi occasione Deo solent offerri: atque tabernaculum et sacra vasa Levitarum *curæ comunisit, et alia quæcunque facta erant in* tegumentum tabernaculi; ut qui sacerdotibus, prout illi præciperent, ministraturi essent; jam enim Deo consecrati erant.

2. Et de animalibus discrevit singula quæ comederent, itemque a quibus penitus abstinerent. De quibus, si quando nobis oblata fuerit scribendi occasio, edisseremus, causas etiam adjicientes, quibus motus alia quidem illorum nobis in cibum esse præceperit, ab aliis vero jusserit abhorrere. Sanguinis certe cujusque vescendi usu interdixit, quod animam ipsum et spiritum putaret. Quin et carnis sponte mortui animalis esum prohibuit, atque a reticulo et adipe caprino et ovillo et bubulo abstinendum esse præmonuit

3. Expulit autem civitate etiam lepra infectos et genitura fluente laborantes. Porro et mulieres, quibus adesset

Καὶ τὰς γυναῖκας δὲ, αἷς ἡ τῶν κατὰ φύσιν ἔκκρισις ἐπίοι, μετέστησε πρὸς ἡμέραν ἑβδόμην· μεθ' ἣν ὡς ἤδη καθαραῖς ἐνδημεῖν ἐφίησιν. Ὁμοίως δὲ καὶ τοῖς κηδεύσασι νεκρὸν μετὰ τοσαύτας ἡμέρας νόμιμον τὸ ἐνδημεῖν. Τὸν δ' ὑπὲρ τὸν ἀριθμὸν τούτων τῶν ἡμερῶν ἐνεχόμενον ἐν τῷ μιάσματι θύειν νόμιμον ἀμνάδας δύο, ὧν τὴν μὲν ἑτέραν καθαγνίζειν δεῖν, τὴν δ' ἑτέραν οἱ ἱερεῖς λαμβάνουσιν. Ὁμοίως δὲ θύουσι καὶ περὶ τοῦ τὴν γονὴν ῥεομένου. Ὅς δ' ἂν κατὰ τοὺς ὕπνους ἀποκρίνῃ γονὴν, καθεὶς ἑαυτὸν εἰς ὕδωρ ψυχρὸν ὁμοίως τοῖς κατὰ νόμον γυναικὶ πλησιάζουσιν ἐξουσίαν ἔχει. Τοὺς δὲ λεπροὺς εἰς τὸ παντελὲς ἐξήλασε τῆς πόλεως, μηδενὶ συνδιαιτωμένους καὶ νεκροῦ μηδὲν διαφέροντας. Ἂν δέ τις ἐξικετεύσας τὸν Θεὸν ἀπολυθῇ τῆς νόσου καὶ τὴν ἐρρωμένην κομίσηται χρόαν, ὁ δὴ τοιοῦτος ποικίλαις ἀμείβεται θυσίαις τὸν Θεὸν, περὶ ὧν ὕστερον ἐροῦμεν.

δ'. Ὅθεν κἂν καταγελάσειέν τις τῶν λεγόντων Μωϋσῆν λέπρᾳ κεκακωμένον αὐτόν τε ἀπ' Αἰγύπτου φυγεῖν, καὶ τῶν ἐκπεσόντων διὰ ταύτην τὴν αἰτίαν ἡγησάμενον εἰς τὴν Χαναναίαν ἀγαγεῖν αὐτούς. Εἰ γὰρ τοῦτ' ἦν ἀληθὲς, οὐκ ἂν ἐπὶ τῇ αὐτοῦ ἀτιμίᾳ Μωϋσῆς τοιαῦτα ἐνομοθέτησεν, οἷς εὔλογον ἦν αὐτὸν καὶ ἑτέρων εἰσηγουμένων ἀντειρηκέναι, καὶ ταῦτα παρὰ πολλοῖς ἔθνεσιν ὄντων λεπρῶν καὶ τιμῆς ἀπολαυόντων, οὐ μόνον ὕβρεως καὶ φυγῆς ἀπηλλαγμένων, ἀλλὰ καὶ τὰς ἐπισημοτάτας στρατείας στρατευομένων, καὶ τὰς πολιτικὰς ἀρχὰς πιστευομένων, καὶ εἰς ἱερὰ καὶ ναοὺς ἐξουσίαν ἐχόντων εἰσιέναι. Ὥστ' οὐδὲν ἐκώλυε καὶ Μωϋσῆν, εἰ τοιούτῳ τινὶ συμπτώματι περὶ τὴν χρόαν ἢ αὐτὸς ἢ τὸ σὺν αὐτῷ πλῆθος ἠλάττωτο, νομοθετῆσαι περὶ αὐτῶν τὰ κάλλιστα, καὶ μηδεμίαν τοιαύτην ὁρίσαι ζημίαν. Ἀλλὰ δῆλον ὡς ταῦτα μὲν περὶ ἡμῶν λέγουσιν ὑπὸ βασκανίας προαγόμενοι. Μωϋσῆς δὲ τούτων καθαρὸς ὢν ἐν καθαροῖς τοῖς ὁμοφύλοις περὶ τῶν νενοσηκότων ἐνομοθέτει, κατὰ τιμὴν τοῦ Θεοῦ τοῦτο ποιῶν. Ἀλλὰ περὶ μὲν τούτων ἕκαστος ὡς αὐτῷ δοκεῖ σκοπείτω.

ε'. Τὰς δὲ γυναῖκας, ἐπειδὰν τέκωσιν, εἰς τὸ ἱερὸν εἰσιέναι κεκώλυκε, καὶ θυσιῶν ἅπτεσθαι μέχρι τεσσαράκοντα ἡμερῶν, ἂν ἄρρεν τὸν τεχθὲν ᾖ· διπλασίονας γὰρ εἶναι τὰς ἡμέρας ἐπὶ θηλυτοκίαις συμβέβηκεν. Εἰσιοῦσαι μέντοι μετὰ τὴν προειρημένην προθεσμίαν θυσίας ἐπιτελοῦσιν, ἃς οἱ ἱερεῖς πρὸς τὸν Θεὸν διανέμονται.

ς'. Ἂν δ' ὑπονοήσῃ μεμοιχεῦσθαί τις αὐτῷ τὴν γυναῖκα, κομίζει κριθῆς ἀληλεσμένης ἀσσάρωνα, καὶ μίαν αὐτῆς δράκα ἐπιβαλόντες τῷ Θεῷ, τὸ λοιπὸν τοῖς ἱερεῦσι διδόασιν εἰς τροφήν· τὴν δὲ γυναῖκα στήσας τις τῶν ἱερέων κατὰ τὰς πύλας, (αἱ δ' εἰσὶ τετραμμέναι πρὸς τὸν νεών,) καὶ τῆς κεφαλῆς τὸ ἱμάτιον ἀφελών, ἐπιγράφει μὲν τοῦ Θεοῦ τὴν προσηγορίαν διφθέρᾳ, κελεύει δὲ ὀμνύειν μηδὲν ἠδικηκέναι τὸν ἄνδρα, παραβᾶσαν δὲ τὸ σῶφρον τοῦ δεξιοῦ σκέλους ἔξαρθρον γενέσθαι καὶ τὴν γαστέρα πρησθεῖσαν οὕτως ἀποθανεῖν· ἂν

secretio naturalis, seorsum habitare voluit usque ad septimam diem; post quam cum hominibus tanquam puras versari permisit. Similiter etiam iis qui funus curaverant, post totidem dies licebat cœtui interesse. Si quis autem ultra hunc dierum numerum pollutione teneretur, præcipitur agnas duas mactare: quarum alteram quidem adolere oportet, alteram vero sacerdotes accipiunt. Eodem etiam modo sacrificant quibus genitura defluit. Qui vero per quietem passus sit seminis profluvium, si in aquam frigidam ingrediatur, æqua atque ii qui cum uxoribus legitime concubuerunt, conditione utitur. Leprosos autem a civitate abegit, cum nemine commercium habituros et nihil a mortuis differentes. Si quis vero precibus a Deo impetraverit ut hoc morbo liberetur sanumque colorem receperit, is quidem variis Deum remunerat sacrificiis, de quibus posthac agemus.

4. Unde licuerit deridere eos qui dicunt Moysen lepra infectum et ipsum ex Ægypto profugisse, et ob eandem causam ejectis ducem factum illos in Chananæam perduxisse. Si enim hoc verum exstitisset, nequaquam Moyses in sui dedecus et opprobrium ejusmodi legem tulisset: cui ipsum, si ab alio lata fuisset, reclamaturum fuisse probabile est, præsertim quum apud gentes quamplurimas leprosi sint et honorem assequantur, tantumque absit ut contumelia afficiantur et exsilio, ut et militiæ magna obeant munia, et domi rem publicam administrent, et in loca sacra et templa ingrediendi potestatem habeant. Adeo ut nihil impedierit Moysem, si tali aliquo coloris vitio aut ipse aut multitudo quæ cum eo erat dehonestata fuisset, quominus meliora de istis sanciret, nec quid damni malive hujusmodi statueret. Sed manifestum est quod invidia moti hæc de nobis loquantur. Moyses autem labis hujus immunis inter populares suos itidem ab ea puros, leges morbo tentatis posuit, Dei honori prospiciens atque consulens. Verum de his quisque sentiat prout libuerit.

5. Mulieres autem, postquam pepererint, in templum ingredi prohibuit, aut sacri quid tangere usque ad quadragesimam diem, si mares fuerint enixæ: si enim feminas ediderint, duplex constitutus est dierum numerus. Veruntamen, quum post tempus ut diximus præstitutum intraverint, victimas mactant, quas sacerdotes Deo offerunt.

6. At si quis uxorem suam adulteratam suspicetur, is farinæ hordeaceæ assaronem affert, atque ejus pugillus unus in aram Dei conjicitur, reliquum sacerdotibus datur ad victum. Mulierem vero sacerdotum aliquis statuens ad portas, quæ ad templum obversæ sunt, et capitis ejus velamen detrahens, Dei quidem nomen in membranam inscribit, jubetque conceptis verbis jurare quod nulla maritum injuria affecerit, et si pudicitiam violaverit, ut crus suum dextrum luxetur uteroque inflata moriatur: sin vero ni-

δ' ὑπὸ πολλοῦ τοῦ ἔρωτος καὶ τῆς διὰ τοῦτο ζηλοτυπίας προπετῶς ὁ ἀνὴρ διὰ τὴν ὑπόνοιαν εἰς κεκινημένος, μηνὶ δεκάτῳ γενέσθαι παιδίον ἄρρεν αὐτῇ. Τῶν δ' ὅρκων τελειωθέντων, τῆς διαθέρας ἀπαλείψας τοὔνομα εἰς φιάλην ἐκπίεζει, προκομίσας τε ἐκ τοῦ ἱεροῦ γῆς εἴ τι προστύχοι, καὶ καταπάσας ἐκπιεῖν δίδωσιν. Ἡ δ', εἰ μὲν ἀδίκως ἐνεκλήθη, ἐγκύμων τε γίνεται καὶ τελεσφορεῖται κατὰ τὴν γαστέρα, ψευσαμένη δὲ τὸν ἄνδρα ἐπὶ τοῖς γάμοις καὶ τὸν Θεὸν ἐπὶ τοῖς ὅρκοις μετ' αἰσχύνης καταστρέφει τὸν βίον, τοῦ τε σκέλους ἐκπεσόντος αὐτῇ καὶ τὴν κοιλίαν ὑδέρου καταλαβόντος. Καὶ περὶ μὲν τῶν θυσιῶν καὶ τῆς ἁγνείας τῆς ἐπ' αὐταῖς ταῦτα Μωϋσῆς τοῖς ὁμοφύλοις προενόησε· νόμους δὲ αὐτοῖς τοιούτους ἔθετο.

ΚΕΦ. ΙΒ'.

Μοιχείαν μὲν εἰς τὸ παντελὲς ἀπεῖπε, νομίσας εὔδαιμον τὸ περὶ τοὺς γάμους ὑγιαίνειν τοὺς ἄνδρας, καὶ ταῖς τε πόλεσι καὶ τοῖς οἴκοις συμφέρειν τὸ τοὺς παῖδας εἶναι γνησίους. Καὶ τὸ μίσγεσθαι δὲ μητράσιν ὡς κακὸν μέγιστον ὁ νόμος ἀπεῖπεν, ὁμοίως δὲ καὶ πατρὸς συνεῖναι γαμετῇ καὶ τηθίσι καὶ ἀδελφαῖς καὶ παίδων γυναιξίν, ὡς ἔκφυλον ἔχον τὴν ἀδικίαν, μεμίσηκεν. Ἐκώλυσε δὲ καὶ γυναικὶ μεμιασμένῃ τοῖς κατὰ φύσιν πλησιάζειν, μηδὲ κτήνεσιν εἰς συνουσίαν φοιτᾶν, μηδὲ τὴν πρὸς τὰ ἄρρενα μίξιν τιμᾶν διὰ τὴν ἐπ' αὐτοῖς ὥραν ἡδονὴν θηρωμένους παράνομον. Κατὰ δὲ τῶν εἰς ταῦτ' ἐξυβρισάντων θάνατον ὥρισε τὴν τιμωρίαν.

β'. Τῶν δ' ἱερέων καὶ διπλασίονα τὴν ἁγνείαν ἐποίησε. Τούτων τε γὰρ αὐτοὺς ὁμοίως τοῖς ἄλλοις εἴργει καὶ προσέτι γαμεῖν τὰς ἡταιρηκυίας ἐκώλυσε [μήτε δούλην, μήτ' αἰχμάλωτον γαμεῖν αὐτοὺς κεκώλυκε] καὶ τὰς ἐκ καπηλείας καὶ τοῦ πανδοκεύειν πεπορισμένας τὸν βίον, μηδὲ τὰς τῶν προτέρων ἀνδρῶν ἐφ' αἷς δηποτοῦν αἰτίαις ἀπηλλαγμένας. Τὸν δ' ἀρχιερέα μέντοι οὐδὲ τεθνηκότος ἀνδρὸς ἠξίωσε γαμεῖν γυναῖκα, τοῦτο τοῖς ἄλλοις ἱερεῦσι συγχωρῶν. Μόνην δὲ αὐτῷ δέδωκε γαμεῖν παρθένον, καὶ ταύτην φυλάττειν. Ὅθεν οὐδὲ νεκρῷ πρόσεισιν ὁ ἀρχιερεύς, τῶν λοιπῶν οὐ κεκωλυμένων ἀδελφοῖς καὶ γονεῦσι καὶ παισὶ τοῖς ἑαυτῶν προσιέναι μεταστᾶσιν. Ἀφελεῖς δὲ εἶναι πᾶσαν ἀφέλειαν. Τὸν δὲ μὴ ὁλόκληρον τῶν ἱερέων νέμεσθαι πρὸς τοὺς ἱερεῖς ἐκέλευσε τὰ γέρα, ἀναβαίνειν δὲ ἐπὶ τὸν βωμὸν καὶ εἰσιέναι εἰς τὸν ναὸν ἐκώλυσε. Μὴ μόνον δὲ περὶ τὰς ἱερουργίας καθαροὺς εἶναι, σπουδάζειν δὲ καὶ περὶ τὴν αὐτῶν δίαιταν, ὥστ' αὐτὴν ἄμεμπτον εἶναι. Καὶ διὰ ταύτην τὴν αἰτίαν οἱ τὴν ἱερατικὴν στολὴν φοροῦντες ἄμωμοί τέ εἰσι καὶ περὶ πάντα καθαροὶ καὶ νηφάλιοι, πίνειν οἶνον ἕως οὗ τὴν στολὴν ἔχωσι κεκωλυμένοι. Ἔτι δὲ καὶ τὰ ἱερεῖα θύουσιν ὁλόκληρα καὶ κατὰ μηδὲν λελωβημένα.

γ'. Ταῦτα μὲν οὖν ἤδη καὶ κατὰ τὸν τῆς ζωῆς χρόνον τῆς αὐτοῦ γενόμενα Μωϋσῆς παρέδωκε· τῶν δ'

mio amore et ex eo nata zelotypia maritus in temerariam suspicionem devenerit, ut decimo post mense masculum pariat. Juramento autem peracto, *sacerdos* nomen *Dei* a membrana delens in phialam exprimit, sumptoque templi pulvere, in quem forte incidit, atque *in phialam* insperso, mulieri dat ebibendum. Illa vero, si injuste accusata fuerit, et gravida facta est, exactoque tempore suo filium enititur: si autem fidem viro nuptiis datam fefellerit, Deoque juramento adstrictam fregerit, mortem obit ignominiosam, crure illi decidente et aqua intercute ventrem occupante. Atque hæc quidem sunt quæ Moyses popularibus suis de sacrificiis et purificatione eorum præscripsit: leges autem eis tales posuit.

CAP. XII.

Adulterium quidem prorsus damnavit, felicitatis esse reputans ut viri de nuptiis recte sentiant, atque reipublicæ simul ac familiis expedire ut legitimi sint liberi. Item matribus misceri ut maximum malum vetuit lex: atque etiam cum noverca, et materteris et sororibus et filiorum uxoribus rem habere ut flagitium abominandum detestatus est *Moyses*. Prohibuit etiam ad mulierem menstruis pollutam accedere, aut bestiarum concubitum petere, aut coitus cum maribus amore ardere, improbam ex eorum pulcritudine quærentes voluptatem. Iis vero qui hæc *præcepta* insolenter ausi fuerint transgredi, pœnam capitalem irrogavit.

2. At sacerdotibus puritatem etiam duplo majorem præscripsit. Nam et ab istis similiter eos abstinere voluit, prætereaque lege cavebat ne mulieres in uxores haberent quæ prostitissent [imo et servam aut captivam ducere prohibuit] aut quæ ex caupona aut hospitio publico vitam sustentassent, aut quæ a prioribus viris quacunque de causa repudiatæ fuissent. Summum vero pontificem ne mortui quidem uxorem in matrimonium accipere permisit, licet hoc aliis sacerdotibus liberum reliquit. Huic autem injunxit solum virginem ducere, eamque servare. Ob eandem rationem neque ad mortuum accedit pontifex, quum tamen ceteris sacerdotibus licitum sit ad fratres et parentes et liberos mortuos accedere. Item corpora integra habere *jubentur* et ab omni vitio pura. Si cui tamen sacerdotum defectu aliquo laborare contigerit, jussit et suam cum sacerdotibus partem accipere, verum ad altare ascendere et fanum intrare prohibuit. Nec solum in sacris obeundis puros esse voluit, sed et operam dare ut in quotidiana vitæ consuetudine sese irreprehensibiles præstent. Ideoque qui sacram sibi vestem induunt, et ab omni culpa vacui sunt et præter cetera casti et abstemii, vini usu tantisper dum stolam gerunt interdicti. Præterea et victimas mactant integras omnique vitio carentes.

3. Atque hæc Moyses etiam vitæ suæ tempore observata tradidit: de quibusdam vero, quum in solitudine viveret,

αὖθις καίπερ ἐπὶ τῆς ἐρημίας διαιτώμενος προενόησεν, ὅπως ἐπειδὰν τὴν Χαναναίαν λάβωσι τάδε ποιῶσι. Δι' ἑβδόμου ἔτους ἄνεσιν δίδωσι τῇ γῇ ἀπό τε ἀρότρου καὶ φυτείας, ὥσπερ καὶ αὐτοῖς δι' ἑβδόμης ἡμέρας τὴν ἀπὸ τῶν ἔργων προεῖπεν ἀνάπαυσιν. Καὶ τῶν αὐτομάτως ἀναδοθέντων ἀπὸ τῆς γῆς κοινὴν εἶναι τοῖς θέλουσιν τὴν χρῆσιν, τῶν τε ὁμοφύλων καὶ τῶν ἀλλοτριοχώρων, μηδὲν ἐξ αὐτῶν φυλάττοντας. Ποιεῖν δὲ καὶ τοῦτο μεθ' ἑβδόμην ἐτῶν ἑβδομάδα. Ταῦτα πεντήκοντα μέν ἐστιν ἔτη τὰ πάντα. Καλεῖται δὲ ὑπὸ Ἑβραίων ὁ πεντηκοστὸς ἐνιαυτὸς ἰώβηλος· ἐν ᾧ οἵ τε χρεῶσται τῶν δανείων ἀπολύονται καὶ οἱ δουλεύοντες ἐλεύθεροι ἀφίενται, οὓς ὄντας ὁμοφύλους καὶ παραβάντας τι τῶν νομίμων τῷ σχήματι τῆς δουλείας ἐκόλασε, θάνατον οὐκ ἐκδεχομένους. Ἀποδίδωσι δὲ καὶ τοὺς ἀγροὺς τοῖς ἀρχῆθεν αὐτῶν δεσπόταις τοῦτον τὸν τρόπον. Ἐνστάντος τοῦ ἰωβήλου, (ἐλευθερίαν δὲ σημαίνει τοὔνομα,) συνέρχονται ὅ τε ἀποδόμενος τὸ χωρίον καὶ ὁ πριάμενος, καὶ λογισάμενοι τοὺς καρποὺς καὶ τὰς εἰς τὸ χωρίον δαπάνας γεγενημένας, τῶν μὲν καρπῶν πλεονάζειν εὑρεθέντων προσδέχεται τὸν ἀγρὸν ὁ ἀποδόμενος, τοῦ δὲ ἀναλώματος ὑπερβάλλοντος, ὑπὲρ τοῦ λείποντος καταλαβὼν τὸ ἰκνούμενον ἐξίσταται τῆς κτήσεως. Ἴσων δὲ συναριθμουμένων τῶν τε καρπῶν καὶ τῶν ἀναλωμάτων, ἀποδίδωσι τοῖς καὶ πρότερον νεμηθεῖσι. Τὸ αὐτὸ δὲ καὶ ἐπὶ ταῖς οἰκίαις νόμιμον ἰσχύειν ἠθέλησε ταῖς κατὰ κώμας πεπραμέναις· περὶ γὰρ τῶν ἐν πόλει πεπραμένων ἔγνωκεν ἑτέρως. Εἰ μὲν γὰρ πρὸ τοῦ τελειωθῆναι τὸν ἐνιαυτὸν καταβάλοι τὸ ἀργύριον, ἀναγκάζει τὸν πριάμενον ἀποδοῦναι· εἰ δὲ πλῆρες γένοιτο τὸ ἔτος, βεβαιοῖ τὴν κτῆσιν τῷ πριαμένῳ. Ταύτην Μωϋσῆς τὴν διάταξιν τῶν νόμων, ὅθ' ὑπὸ τὸ Σιναῖον καθιδρύκει τὴν στρατιάν, ἐξέμαθε παρὰ τοῦ Θεοῦ, καὶ τοῖς Ἑβραίοις γεγραμμένην παραδίδωσιν.

[ΙΑ'.] δ'. Ἐπειδὴ δὲ καλῶς αὐτῷ τὰ περὶ τὴν νομοθεσίαν ἔχειν ἐδόκει, πρὸς ἐξέτασιν τοῦ στρατοῦ τὸ λοιπὸν ἐτράπη, τῶν πολεμικῶν ἤδη κατὰ νοῦν ἐχων ἅπτεσθαι. Προστάσσει δὲ τοῖς φυλάρχοις, πλὴν τῆς Λευίτιδος φυλῆς, ἀκριβῶς τὸν ἀριθμὸν ἐκμαθεῖν τῶν στρατεύεσθαι δυναμένων. Ἱεροὶ γὰρ ἦσαν οἱ Λευῖται καὶ πάντων ἀτελεῖς. Γενομένης δὲ τῆς ἐξετάσεως εὑρέθησαν μυριάδες ἑξήκοντα τῶν ὁπλιτεύειν δυναμένων, τῶν ἀπὸ εἴκοσιν ἐτῶν ἕως πεντήκοντα, καὶ τρισχίλιοι πρὸς ἑξακοσίοις καὶ πεντήκοντα. Ἀντὶ δὲ Λευὶ κατέλεξεν εἰς τοὺς φυλάρχους Μανασσῆν τὸν Ἰωσήπου παῖδα καὶ Ἐφραίμην ἀντὶ τοῦ Ἰωσήπου. Δέησις δὲ ἦν αὐτοῦ Ἰακώβου πρὸς Ἰώσηπον ποιητοὺς αὐτῷ παρασχεῖν τοὺς παῖδας, ὡς καὶ προεῖπον.

ε'. Πηγνύντες δὲ τὴν σκηνὴν μέσην ἀπελάμβανον, τριῶν φυλῶν κατὰ πλευρὰν ἑκάστην παρασκηνουμένων, ὁδοί τε διὰ μέσων ἐτέτμηντο. Καὶ κόσμος ἦν ἀγορᾶς καὶ τῶν πωλουμένων ἕκαστον ἐν τάξει διέκειτο, καὶ δημιουργοὶ τέχνης ἁπάσης ἐν τοῖς ἐργαστηρίοις ἦσαν, οὐδενί τε ἄλλῳ ἢ πόλει μετανισταμένῃ καὶ καθιδρυ-

in futurum prospexit, ut illa terram Chananæam adepti facerent. Septimo quoque anno agris dedit requiem et ab aratione et consitione, sicut jam ante populo septima quaque die remissionem a laboribus indixerat. Quæ sponte sua terra *hoc anno* ferret, publica esse *jussit* et promiscui usus tam extraneis quam contribulibus, nihilque ex iis servari. Idemque fieri *voluit* post septimam annorum hebdomadem. Atque hi quidem omnes sunt *anni* quinquaginta. Annus autem hic quinquagesimus iobelus appellatur ab Hebræis : in quo debitores ære alieno liberantur, servi liberi dimittuntur, quos, contribules quum essent et legem aliquam violaverint, servitutis pœna affecerat, utpote mortis supplicio exemptos. Porro et agros pristinis dominis restitui præcepit hunc in modum. Instante iobelo, quæ vox libertatem significat, conveniunt venditor agri et emptor, atque fructus æstimantes simul et expensas in agrum factas, si fructus majores exstiterint, agrum recipit venditor : sin vero superent expensæ, accepto quod defectum suppleat, possessione cedit *emptor*. Quum autem pares fuerint fructus et expensæ, antiquis possessoribus *agrum* assignat. Ac quod ad domos spectat, idem jus obtinere voluit, quum in villis sitæ venduntur : nam de iis quæ in urbe veneunt aliter statuit. Scilicet si intra anni spatium reddatur pecunia, cogit emptorem domum restituere : at si annus integer fuerit elapsus, emptori possessionis jus confirmat. Hanc Moyses legum constitutionem, dum in castris sub monte Sinæo exercitum teneret, a Deo accepit, atque literis consignatam Hebræis tradidit.

[XI.] 4. Quum vero omnia circa leges ferendas ipsi recte se habere viderentur, deinceps ad exercitum recensendum semet convertit, quod jam tum in animum induxerit res ad bellum spectantes attingere. Tribuum autem principibus, excepta tribu Levitica, imperat censum accuratum omnium quotquot militari essent ætate. Levitæ enim Dei sacrati erant ministerio et ab omnibus immunes. Lustrato igitur exercitu inventi sunt sexcenties et ter mille sexcenti et quinquaginta, qui arma ferre poterant, ab anno vicesimo usque ad quinquagesimum. At vice Levi in principum numerum cooptavit Manassen Josephi filium, et loco Josephi Ephraimen. Nam Josephum obsecraverat Jacobus ut sibi filios suos in adoptionem daret, sicut supra diximus.

5. Castra autem figentes tabernaculum in medium acceperunt, trium tribuum tentoriis singula ad latera positis : interque ea patebant viæ. Forum etiam adornabatur, resque venales suo quæque loco dispositæ erant, et omne genus opifices suas habuere officinas : atque civitatis huc illuc commeantis imaginem plane referebat. Loca autem

μένη ἐῴκει. Τὰ δὲ περὶ τὴν σκηνὴν πρῶτοι μὲν οἱ ἱερεῖς κατεῖχον, ἔπειτα δὲ οἱ Λευῖται, πάντες ὄντες τὸ πλῆθος (ἐξητάσθησαν γὰρ καὶ αὐτοὶ τοῦ μὲν ἄρσενος ὅσον τριακοστὴν εἶχεν ἡμέραν γενόμενον) δισμύριοι καὶ τρισχίλιοι πρὸς τοῖς ὀκτακοσίοις ὀγδοήκοντα. Καὶ ἐφ' ὅσον μὲν ὑπὲρ τὴν σκηνὴν συνέβαινεν ἑστάναι τὴν νεφέλην, μένειν αὐτοῖς ὡς ἐπιδημοῦντος ἐδόκει τοῦ Θεοῦ, τρεπομένης δὲ ταύτης μετανίστασθαι.

ς'. Ἦρε δὲ καὶ βυκάνης τρόπον, ἐξ ἀργυρίου ποιησάμενος. Ἔστι δὲ τοιαύτη. Μῆκος μὲν ἔχει πηχυαῖον ὀλίγῳ λεῖπον, στενὴ δ' ἐστὶ σῦριγξ αὐλοῦ βραχὺ παχυτέρα, παρέχουσα δὲ εὖρος ἀρκοῦν ἐπὶ τῷ στόματι πρὸς ὑποδοχὴν πνεύματος, εἰς κώδωνα ταῖς σάλπιγξι παραπλησίως τελοῦν· ἀσωσρὰ καλεῖται κατὰ τὴν Ἑβραίων γλῶτταν. Γίνονται δὲ δύο, καὶ τῇ μὲν ἑτέρᾳ πρὸς παρακέλευσιν καὶ συλλογὴν ἐχρῶντο τοῦ πλήθους εἰς τὰς ἐκκλησίας. Καὶ μιᾷ μὲν ἀποσημήναντος τὰς ἀρχὰς συνελθεῖν σκεψομένας περὶ τῶν οἰκείων, ἀμφοτέραις δὲ συνῆγε τὸ πλῆθος. Τῆς δὲ σκηνῆς μετακινουμένης ταῦτα ἐγίνετο. Ἀποσημήναντος γὰρ τὸ πρῶτον, οἱ παρὰ ταῖς ἀνατολαῖς ἐσκηνωκότες ἀνίσταντο, καὶ πρὸς τὴν δευτέραν πρὸς τὸν νότον αὐτῆς καθεστῶτες. Εἶθ' ἡ σκηνὴ λυομένη, μέση τῶν προϊουσῶν ἓξ φυλῶν ἐκομίζετο καὶ τῶν ἑπομένων ἓξ· Λευῖται δὲ περὶ τὴν σκηνὴν πάντες ἦσαν. Τρίτον δὲ σημήναντος, τὸ κατὰ λίβα τετραμμένον τῶν ἐσκηνωκότων μέρος ἐκινεῖτο, καὶ τέταρτον, τὸ κατὰ βορρᾶν. Ταῖς δὲ βυκάναις ἐχρῶντο καὶ ἐπὶ ταῖς ἱερουργίαις, πρὸς αἷς προσάγοντες ἦσαν τὰς θυσίας, καὶ τοῖς σαββάτοις καὶ ταῖς λοιπαῖς ἡμέραις. Θύει δὲ τότε πρῶτον μετὰ τὴν ἀναχώρησιν τὴν ἐξ Αἰγύπτου τὴν Πάσχα λεγομένην ἐπὶ τῆς ἐρήμου.

ΚΕΦ. ΙΓ'.

Καὶ βραχὺ διαλιπὼν ἀπανίσταται τοῦ Σιναίου ὄρους, καὶ τόπους τινὰς ἀμείψας, περὶ ὧν δηλώσομεν, εἰς τι χωρίον Ἐσερμὼθ λεγόμενον παρῆν. Κἀκεῖ τὸ πλῆθος πάλιν στασιάζειν ἄρξεται καὶ τὸν Μωϋσῆν αἰτιᾶσθαι τῶν τε κατὰ τὴν ἀποδημίαν αὐτῷ πεπειραμένων, καὶ ὅτι γῆς αὐτοὺς ἀγαθῆς πείσαντος ἀπαναστῆναι τὴν μὲν ἀπολέσειαν, ἀντὶ δὲ ἧς ὑπέσχετο παρέξειν εὐδαιμονίας, ἐν ταύταις ἀλῶνται ταῖς ταλαιπωρίαις, ὕδατος μὲν σπανίζοντες, εἰ δὲ καὶ τὴν μάνναν ἐπιλιπεῖν συμβαίη, τέλεον ἀπολούμενοι. Πολλὰ δὲ εἰς τὸν ἄνδρα καὶ δεινὰ λεγόντων, εἷς δή τις αὐτοῖς παρῆνει μήτε Μωϋσέως καὶ τῶν πεπονημένων αὐτῷ περὶ τῆς κοινῆς σωτηρίας ἀμνημονεῖν, μήτ' ἀπογινώσκειν τῆς ἐκ τοῦ Θεοῦ βοηθείας. Τὸ δὲ πλῆθος πρὸς τοῦτο μᾶλλον ἐκεκίνητο, καὶ θορυβῆσαν ἔτι μᾶλλον πρὸς τὸν Μωϋσῆν ἐπετείνετο. Μωϋσῆς δὲ, παραθαρσύνων αὐτοὺς οὕτως ἀπεγνωκότας, ὑπέσχετο, καίπερ αἰσχρῶς ὑπ' αὐτῶν οὕτω περιυβρισμένος, πλῆθος αὐτοῖς παρέξειν κρεῶν, οὐκ εἰς μίαν ἡμέραν, ἀλλ' εἰς πλείονας. Ἀπιστούντων δ' ἐπὶ τούτῳ, καί τινος ἐρομένου πόθεν ἂν

circa tabernaculum sacerdotes quidem primi occupabant : proximi erant Levitæ, omnes numero (nam et illi, quotquot masculi quidem erant triginta dies nati, recensebantur) viginti tria millia, octingenti octoginta. Et quam diu contigit ut nubes incubaret tabernaculo, tantisper illis veluti præsente Deo eodem loco manere visum est, illinc vero migrare, quum sese alio moveret.

6. Primus autem et buccinæ formam excogitavit, ex argento fabricari faciens. Ad hunc autem modum se habet. Longitudine quidem est paulo minus cubitali, sed fistula ejus angusta est, tibia crassior aliquantulum, ea vero oris amplitudine quæ ad spiritum excipiendum idonea sit, similiter ac tuba in campanulam desinens. Hebraica lingua vocatur asosra. Duæ autem factæ sunt, et altera quidem ad populum exciendum et in concionem congregandum utebantur. Etenim una signum dante *sacerdote* principes convenire oportebat ad consultandum de rebus suis, utraque vero populum universum convocabat. Quoties autem tabernaculum moveretur, hæc fieri consueverunt. Quum primum signum dabatur, qui ad orientem tentoria collocarant, excitabantur : iterumque sonante buccina, qui ad meridionalem tabernaculi plagam tetenderant. Deinde tabernaculum solutum medium portabatur inter sex tribus præcedentes et sex subsequentes : Levitæ vero omnes circa tabernaculum erant. Ad tertium autem sonitum pars castrorum occidentalis movebatur : ad quartum vero, septentrionalis. His buccinis utebantur etiam in sacris ministeriis, quandocunque victimas *ad aram* adducebant, tam sabbatis quam ceteris diebus. Tunc autem primum post discessum ex Ægypto sacrificium Paschale dictum celebratur in deserto.

CAP. XIII. [XII.]

Non multo post a Sina monte castra moventur, et post aliquot mansiones, de quibus dicemus, ventum est ad locum qui dicitur Esermoth. Atque illic rursum populus seditionibus agitari cœpit Moysique objicere mala quæ in peregrinatione perpessi sunt, et quod ipso illis suadente regionem fertilissimam relinquere, eam quidem amiserint, atque pro felicitate, quam se daturum esse pollicitus erat, in hisce miseriis errabundi versentur, aquarum inopia laborantes, et, si contingeret ut etiam manna deficeret, proculdubio *fame* perituri. Quumque multa et gravia convicia viro facerent, unus aliquis eos admonebat ut neque Moysis et eorum quæ pro communi salute præstiterat immemores essent, neque de Dei ope et auxilio desperarent. Verum hoc ipsum multitudinem vehementius commovebat, atque tumultuans ferocius in Moysen inverta est. Moyses autem, ut ipsos adeo spe dejectos confirmaret, promisit, licet ab illis contumeliosissime habitus, eis parare satis magnam carnium copiam, et non in unum tantum diem, sed in plures. Illis vero ei diffidentibus, quodam etiam roganto

τοσαύταις εὐπορήσειε μυριάσι τῶν προειρημένων; « Ὁ Θεὸς, εἶπε, κἀγὼ, καίτοι κακῶς ἀκούοντες πρὸς ὑμῶν, οὐκ ἂν ἀποσταίημεν κάμνοντες ὑπὲρ ὑμῶν, καὶ τοῦτ' οὐκ εἰς μακρὰν ἔσται. » Ἅμα ταῦτ' ἔλεγε καὶ πίμπλαται τὸ στρατόπεδον ὀρτύγων ἅπαν, καὶ ἠθριοζον αὐτοὺς περιστάντες. Ὁ μέντοι Θεὸς οὐκ εἰς μακρὰν μετέρχεται τοὺς Ἑβραίους τῆς εἰς αὐτὸν θρασύτητος καὶ λοιδορίας· ἀπέθανε γὰρ οὐκ ὀλίγον πλῆθος αὐτῶν. Καὶ νῦν ἔτι κατ' ἐπωνυμίαν ὁ χῶρος ὀνομάζεται Καβρωθαβά, ὅ ἐστι ἐπιθυμίας μνημεῖα.

ΚΕΦ. ΙΔ'.

Ἀναγαγὼν δ' αὐτοὺς ἐκεῖθεν ὁ Μωϋσῆς εἰς τὴν καλουμένην Φάραγγα, πλησίον οὖσαν τοῖς Χαναναίων ὁρίοις καὶ χαλεπὴν ἐνδιαιτᾶσθαι, εἰς ἐκκλησίαν ἀθροίζει τὸ πλῆθος. Καὶ καταστὰς, « δύο, φησὶ, κρίναντος ἡμῖν τοῦ Θεοῦ παρασχεῖν ἀγαθὰ, ἐλευθερίαν καὶ « γῆς κτῆσιν εὐδαίμονος, τὴν μὲν ἤδη δόντος ἔχετε, « τὴν δὲ ἤδη λήψεσθε. Χαναναίων γὰρ ἐπὶ τοῖς ὅροις « καθήμεθα, καὶ κωλύσει τὸ λοιπὸν ἐπιόντας οὐ μόνον « οὐ βασιλεὺς ἡ πόλις ἡμᾶς, ἀλλ' οὐδὲ τὸ πᾶν ἀθροι- « σθὲν αὐτῶν ἔθνος. Παρασκευαζώμεθα οὖν πρὸς τὸ « ἔργον· οὐ γὰρ ἀμαχητὶ παραχωρήσουσιν ἡμῖν τῆς « γῆς, ἀλλὰ μεγάλοις αὐτὴν ἀγῶσιν ἀφαιρεθέντες. « Πέμψωμεν δὲ κατασκόπους, οἳ τῆς τε γῆς τὴν ἀρετὴν « κατανοήσουσι καὶ πόση δυνάμις αὐτῆς. Πρὸ δὲ πάν- « των ὁμονοῶμεν, καὶ τὸν Θεὸν, ὃς ἐστιν ἐπὶ πᾶσιν ἡμῖν « βοηθὸς καὶ σύμμαχος, διὰ τιμῆς ἔχωμεν. »

β'. Μωϋσέως δὲ ταῦτ' εἰπόντος, τὸ πλῆθος αὐτὸν τιμαῖς ἀμείβεται καὶ κατασκόπους αἱρεῖται δώδεκα τῶν γνωριμωτάτων, ἐξ ἑκάστης φυλῆς ἕνα· οἳ διεξελθόντες ἀπὸ τῶν πρὸς Αἴγυπτῳ τὴν Χαναναίαν ἅπασαν ἐπί τε Ἀμάθην πόλιν καὶ Λίβανον ἀφικνοῦνται τὸ ὄρος, καὶ τήν τε τῆς γῆς φύσιν καὶ τὴν τῶν ἐνοικούντων ἀνθρώπων ἐξιστορήσαντες παρῆσαν, τεσσαράκοντα ἡμέραις εἰς πᾶν καταχρησάμενοι τὸ ἔργον, ἔτι δὲ καὶ καρποὺς ὧν ἔφερεν ἡ γῆ κομίζοντες, τῇ τε τούτων εὐπρεπείᾳ καὶ τῷ πλήθει τῶν ἀγαθῶν, ἃ τὴν γῆν ἔχειν διηγοῦντο, πολεμεῖν ἐπαίροντες τὸ πλῆθος, φοβοῦντες δὲ πάλιν αὐτὸ τῷ τῆς κτήσεως ἀπόρῳ, ποταμούς τε διαβῆναι λέγοντες ἀδυνάτους ὑπὸ μεγέθους ἅμα καὶ βάθους, καὶ ὄρη ἀμήχανα τοῖς διοδεύουσι, καὶ πόλεις καρτερὰς τείχεσι καὶ περιβόλων ὀχυρότητι. Ἐν δὲ Χεβρῶνι καὶ τῶν γιγάντων ἔφασκον τοὺς ἀπογόνους καταλαβεῖν. Καὶ οἱ μὲν κατάσκοποι θεασάμενοι πάντων, οἷς μετὰ τὴν ἔξοδον τὴν ἀπ' Αἰγύπτου ἐνέτυχον, μείζω τὰ κατὰ τὴν Χαναναίαν, αὐτοί τε κατεπλάγησαν καὶ τὸ πλῆθος οὕτως ἔχειν ἐπειρῶντο.

γ'. Οἱ δὲ ἄπορον ἐξ ὧν ἠκροάσαντο τὴν κτῆσιν τῆς γῆς ὑπελάμβανον, καὶ διαλυθέντες ἐκ τῆς ἐκκλησίας σὺν γυναιξὶ καὶ παισὶν ὀλοφυρόμενοι διῆγον, ὡς οὐδὲν ἔργῳ τοῦ Θεοῦ βοηθοῦντος, λόγῳ δὲ μόνον ὑπισχνουμένου. Καὶ τὸν Μωϋσῆν πάλιν ᾐτιῶντο καὶ κατεβόων αὐτοῦ καὶ τοῦ ἀδελφοῦ Ἀαρῶνος τοῦ ἀρχιερέως, καὶ ποunde posset tot hominum millibus carnes promissas ministrare « Deus, inquit, et, ego, quamvis male apud vos audientes, nunquam desinemus vestri curam gerere : idque non longe a vobis abest. » Simul ac hæc loquutus est, castra undique coturnicibus complentur, atque eos circumstantes colligebant. Veruntamen Deus non multo post in Hebræos ob insolentiam eorum et maledicta animadvertit. Nam magnus eorum numerus interibat. Atque etiamnum locus ille cognominatur Cabrothaba, id est, Busta cupiditatis.

CAP. XIV. [XIII.]

Moyses autem illinc eos subducens in locum qui dicitur Fauces, prope Chananææ terræ fines *situm* atque habitatu difficilem, in concionem populum congregat. Quumque *in medio* constitisset, « Deus, inquit, nos duobus bonis imper- « tire quum decrevisset, libertate et felicis terræ posses- « sione, alterum quidem ejus beneficio jam obtinetis, alte- « rum vero mox assequuturi estis. Nunc enim in Chananæo- « rum finibus considemus, nec per regem unquam stabit aut « civitatem *ullam*, aut confertas totius gentis copias, quo- « minus in terram eorum invadamus. Ergo parati simus ad « rem fortiter aggrediendam : non enim sine prælio regione « sua nobis cessuri sunt, sed post magna cum illis certa- « mina eam occupabimus. Mittamus autem speculatores, « qui et terræ ubertatem et incolarum vires explorent. Ante « omnia vero concordes simus, et Deum, qui semper no- « bis opem et auxilium tulit, in honore habeamus. »

2. Hæc quum dixisset Moyses, populus eum honore et laudibus afficit, et exploratores eligit duodecim, dignitate eminentissimos, ex unaquaque tribu unum. Qui, a finibus Ægypti omnem Chananæorum terram perlustrantes et ad Amathen urbem et Libanum montem perveniunt, exploratoque regionis simul et incolarum natura, post quadraginta dies toti huic negotio insumptos, reversi sunt; insuper et fructus illius terræ secum afferentes, pulcritudine eorum et bonorum copia, qua regionem istam affluere narrabant, populi animos ad bellum inferendum erexerunt : rursus autem deterruerunt acquirendi difficultatem repræsentando, dicentes flumina illis objici ampla adeo et profunda, ut pertransiri nequeant, montesque arduos et impervios iter agentibus, atque urbes non solum mœnibus, sed et operibus et munitionibus validas esse. In Chebrone autem gigantum etiam progeniem se reperisse aiebant. Atque ita exploratores, quum observassent omnia apud Chananæos majora et difficiliora iis in quæ post exitum ex Ægypto inciderint, et animis consternati erant, operamque dederunt ut parilem ipsi multitudini terrorem inculerent.

3. Illi autem ex iis quæ audierant sibi difficile admodum fore existimarunt sedes istas occupare, atque ex concione dimissi, cum uxoribus et liberis sortem suam domi lugebant et deplorabant, ac si Deus revera nihil auxilii dederit, sed verbis tantum promiserit. Rursumque Moysen increpabant, ipsumque et fratrem ejus Aaronem pontificem inclama-

νηρὰν μὲν καὶ μετὰ τῶν εἰς τοὺς ἄνδρας βλασφημιῶν διάγουσι τὴν νύκτα, πρωὶ δὲ εἰς τὴν ἐκκλησίαν συντρέχουσι, δι' ἐννοίας ἔχοντες, καταλεύσαντες τὸν Μωϋσῆν καὶ τὸν Ἀαρῶνα ἐπὶ τὴν Αἴγυπτον ὑποστρέφειν.

δ'. Τῶν δὲ κατασκόπων Ἰησοῦς τε ὁ τοῦ Ναυήνου παῖς, φυλῆς Ἐφραϊμίτιδος, καὶ Χάλεβος, τῆς Ἰούδα φυλῆς, φοβηθέντες χωροῦσιν εἰς μέσους, καὶ τὸ πλῆθος κατεῖχον, θαρσεῖν δεόμενοι καὶ μήτε ψευδολογίαν κατακρίνειν τοῦ Θεοῦ μήτε πιστεύειν τοῖς ἐκ τοῦ μὴ τἀληθῆ περὶ τῶν Χαναναίων εἰρηκέναι καταπληξαμένοις, ἀλλὰ τοῖς ἐπὶ τὴν εὐδαιμονίαν καὶ τὴν κτῆσιν αὐτοὺς τῶν ἀγαθῶν παρορμῶσιν. Οὔτε γὰρ τῶν ὀρῶν τὸ μέγεθος οὔτε τῶν ποταμῶν τὸ βάθος τοῖς ἀρετὴν ἠσκηκόσιν ἐμποδὼν στήσεσθαι πρὸς τὰ ἔργα, καὶ ταῦτα τοῦ Θεοῦ συμπροθυμουμένου καὶ ὑπερμαχοῦντος αὐτῶν. « Ἴωμεν οὖν, ἔφασαν, ἐπὶ τοὺς πολεμίους, μηδὲν ἔχοντες δι' ὑποψίας, ἡγεμόνι τε τῷ Θεῷ πεπιστευκότες καὶ ὁδηγοῦσιν ἡμῖν ἑπόμενοι. » Καὶ οἱ μὲν ταῦτα λέγοντες ἐπεχείρουν τὴν ὀργὴν καταπραΰνειν τοῦ πλήθους. Μωϋσῆς δὲ καὶ Ἀαρὼν, πεσόντες ἐπὶ τὴν γῆν, τὸν Θεὸν ἱκέτευον, οὐχ ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας, ἀλλ' ὅπως τῆς ἀμαθίας παύσῃ τὸ πλῆθος καὶ καταστήσῃ τὴν διάνοιαν αὐτῶν, ὑπὸ τῆς ἀμηχανίας τοῦ παραστάντος αὐτοῖς πάθους τεταραγμένων. Παρῆν δ' ἡ νεφέλη καὶ στᾶσα ὑπὲρ τὴν σκηνὴν ἐσήμαινε τὴν ἐπιφάνειαν τοῦ Θεοῦ.

ΚΕΦ. ΙΕ'.

Μωϋσῆς δὲ θαρσήσας πάρεισιν εἰς τὸ πλῆθος, καὶ τὸν Θεὸν ἐδήλου κινηθέντα ὑπὸ τῆς ὕβρεως αὐτῶν λήψεσθαι τιμωρίαν, οὐκ ἀξίαν μὲν τῶν ἐξημαρτημένων, οἵαν δὲ οἱ πατέρες ἐπὶ νουθεσίᾳ τοῖς τέκνοις ἐπιφέρουσι. Παρελθόντι γὰρ εἰς τὴν σκηνὴν αὐτῷ καὶ περὶ τῆς μελλούσης ὑπ' αὐτῶν ἀπωλείας ἀποκλαιομένῳ τὸν Θεὸν ὑπομνῆσαι μὲν ὅσα παθόντες ἐξ αὐτοῦ καὶ πηλίκων εὐεργεσιῶν μεταλαβόντες ἀχάριστοι πρὸς αὐτὸν γένοιντο, ὅτι τε νῦν τῇ τῶν κατασκόπων ὑπαχθέντες δειλίᾳ τοὺς ἐκείνων λόγους ἀληθεστέρους τῆς ὑποσχέσεως ἡγήσαιντο τῆς αὐτοῦ· καὶ διὰ ταύτην τὴν αἰτίαν οὐκ ἀπολεῖ μὲν ἅπαντας οὐδ' ἐξαφανίσει τὸ γένος αὐτῶν, ὃ πάντων μᾶλλον ἀνθρώπων ἔσχε διὰ τιμῆς· τὴν μέντοι Χαναναίαν οὐ παρέξειν γῆν αὐτοῖς λαβεῖν, οὐδὲ τὴν ἀπ' αὐτῆς εὐδαιμονίαν, ἀνεστίους δὲ ποιήσειν καὶ ἀπόλιδας ἐπὶ τῆς ἐρημίας ἐπ' ἔτη τεσσαράκοντα καταβιῶναι, τῆς παρανομίας ποινὴν ταύτην ἐκτίνοντας. Παισὶ μέντοι τοῖς ἡμετέροις παραδώσειν τὴν γῆν ἐκείνην ὑπέσχετο, κἀκείνους τῶν ἀγαθῶν, ὧν ἑαυτοὺς ὑπὸ ἀκρασίας ἐφθονήσατε μετασχεῖν, ποιήσειν δεσπότας.

β'. Ταῦτα δὲ Μωϋσέως κατὰ τὴν τοῦ Θεοῦ γνώμην διαλεχθέντος, ἐν λύπῃ καὶ συμφορᾷ τὸ πλῆθος ἐγένετο, καὶ τὸν Μωϋσῆν παρεκάλει καταλλακτὴν αὐτῶν γενέσθαι πρὸς τὸν Θεὸν καὶ τῆς ἄλης τῆς κατὰ τὴν ἐρημίαν ἀπαλλάξαντα πόλεις αὐτοῖς παρασχεῖν. Ὁ δ' οὐκ ἔφασκεν τὸν Θεὸν τοιαύτην πεῖραν προσήσεσθαι· μὴ γὰρ

bant, atque inquieti et in utrumque convicia jactantes noctem exegerunt. Mane vero ad concionem concurrunt, in animo habentes ut lapidatis Moyse ac Aarone in Ægyptum reverterentur.

4. Ex speculatoribus autem Jesus Naveni filius tribus Ephraimitidis et Chalebus de tribu Judæ attoniti in medium procedunt, et multitudinem compescebant, obsecrantes ut fiduciam sumerent et neque Deum mendacii insimularent, neque iis fidem haberent, qui vanis sermonibus de Chananæorum rebus ipsos territarent, sed eos potius sequerentur, qui ad felicitatem et bonorum possessionem ipsos hortantur. Neque enim montium magnitudinem, neque amnium profunditatem obstituram viris ad rem fortiter gerendam exercitatis, præsertim quum Deum adjutorem habituri sint et pro illis in acie præliaturum. « Proficiscamur igitur, inquiunt, contra hostes, abjecta omni suspicione, Deoque duce freti et innixi nos viam monstrantes sequimini. » Et illi quidem his dictis populi iram mitigare nitebantur. Moyses autem et Aaron, in terram procidentes, suppliciter Deum orabant, non pro sua salute, sed ut populum ab ignorantia liberaret, eorumque sedaret animos, his rerum præsentium angustiis et asperitatibus turbatos. Tum nubes aderat, et super tabernaculum suspensa Dei præsentiam indicabat.

CAP. XV.

Moyses vero fidenter accedit ad populum, iisque indicavit Deum contumeliis eorum incensum supplicium de illis sumpturum esse, non tamen quantum peccata mererentur, sed quale patres in admonitionem soleant liberis inferre. Sibi enim in tabernaculum ingresso et internecionem populi futuram cum lacrimis deprecanti Deum quidem commemorasse quot ab ipso acceptis quantisque cumulati beneficiis ingrati esse perrexerint, et quod nunc speculatorum timiditate et ignavia seducti illorum sermonibus plus veritatis inesse existimarint quam suis promissionibus; atque hanc ob causam non omnes quidem exitio daturum, neque genus eorum deleturum, quod ceteris mortalibus omnibus prætulerit, Chananæorum tamen terram ut illi occuparent non concessurum, aut ut ejus copia et abundantia fruerentur, sed facturum esse ut sine lare et sine urbe per quadraginta annos in deserto vitam traducerent, hanc pœnam pro peccatis persolventes. Liberis tamen nostris hanc terram se traditurum esse pollicebatur, illosque bonorum affluentiæ, cujus vosmet morum petulantia participes esse noluistis, dominos esse constituturum.

2. Quum autem hæc Moyses ex oraculo Dei renunciasset, magnopere calamitatem suam lugebat populus, Moysenque obsecrabant ut pro ipsis apud Deum intercederet, et a vita vaga in solitudine liberatis urbes *habitandas* daret. Ille autem dicebat Deum hujusmodi tentationem admissurum non esse: non enim temere aut humanitus ad hanc indigna-

κατὰ κουφότητα προαχθῆναι τὸν Θεὸν ἀνθρωπίνην εἰς τὴν ὀργὴν τὴν πρὸς αὐτοὺς, ἀλλὰ γνώμην καταψηφισάμενον αὐτῶν. Οὐ δεῖ δὲ ἀπιστεῖν, εἰ Μωϋσῆς, εἷς ἀνὴρ ὤν, τοσαύτας μυριάδας ὀργιζομένας ἐπράϋνε καὶ μετήγαγεν εἰς τὸ ἡμερώτερον· ὁ γὰρ Θεὸς αὐτῷ συμπαρὼν ἡττᾶσθαι τοῖς λόγοις αὐτοῦ τὸ πλῆθος παρεσκεύαζε, καὶ πολλάκις παρακούσαντες ἀσύμφορον αὐτοῖς τὴν ἀπείθειαν ἐπέγνωσαν [ἀπὸ τοῦ συμφορᾷ περιπεσεῖν].

γ'. Θαυμαστὸς δὲ τῆς ἀρετῆς ὁ ἀνὴρ καὶ τῆς ἰσχύος τῆς ἐκ τοῦ πιστεύεσθαι περὶ ὧν ἂν εἴπειεν οὐ παρ' ὃν ἔζη χρόνον ὑπῆρξε μόνον, ἀλλὰ καὶ νῦν ἐστιν· οὐδεὶς γοῦν Ἑβραίων, ὃς οὐχὶ, καθάπερ παρόντος αὐτοῦ καὶ κολάσοντος ἐὰν ἀκοσμῇ, πειθαρχεῖ τοῖς ὑπ' αὐτοῦ νομοθετηθεῖσι, κἂν λαθεῖν δύνωνται. Καὶ πολλὰ μὲν καὶ ἄλλα τεκμήρια τῆς ὑπὲρ ἄνθρωπον αὐτοῦ δυνάμεώς ἐστιν· ἤδη δέ τινες καὶ τῶν ὑπὲρ Εὐφράτην, μηνῶν ὁδὸν τεσσάρων ἐλθόντες κατὰ τιμὴν τοῦ παρ' ἡμῖν ἱεροῦ μετὰ πολλῶν κινδύνων καὶ ἀναλωμάτων, καὶ θύσαντες οὐκ ἴσχυσαν τῶν ἱερείων μεταλαβεῖν, Μωϋσέως ἀπηγορευκότος ἐπί τινι τῶν οὐ νομιζομένων, οὐδ' ἐκ τῶν πατρίων ἡμῖν αὐτοῖς συντυχόντων. Καὶ οἱ μὲν μηδὲ θύσαντες, οἱ δὲ ἡμιέργους τὰς θυσίας καταλιπόντες, πολλοὶ δ' οὐδ' ἀρχὴν εἰσελθεῖν εἰς τὸ ἱερὸν δυνηθέντες ἀπίασιν, ὑπακούειν τοῖς Μωϋσέως προστάγμασι μᾶλλον ἢ ποιεῖν τὰ κατὰ βούλησιν τὴν ἑαυτῶν προτιμῶντες, καὶ τὸν ἐλέγξοντα περὶ τούτων αὐτοὺς οὐ δεδιότες, ἀλλὰ μόνον τὸ συνειδὸς ὑφορώμενοι. Οὕτως ἡ νομοθεσία τοῦ Θεοῦ δοκοῦσα τὸν ἄνδρα πεποίηκε τῆς αὐτοῦ φύσεως κρείττονα νομίζεσθαι. Οὐ μὴν ἀλλὰ καὶ τοῦδε τοῦ πολέμου μικρὸν ἔμπροσθεν, Κλαυδίου Ῥωμαίων ἄρχοντος, Ἰσμαήλου δὲ παρ' ἡμῖν ἀρχιερέως ὄντος, καὶ λιμοῦ τὴν χώραν ἡμῶν καταλαβόντος, ὡς τεσσάρων δραχμῶν πωλεῖσθαι τὸν ἀσσαρῶνα, κομισθέντος ἀλεύρου κατὰ τὴν ἑορτὴν τῶν Ἀζύμων εἰς κόρους ἑβδομήκοντα, (μέδιμνοι δὲ οὗτοι Σικελοὶ μέν εἰσιν εἷς καὶ τριάκοντα, Ἀττικοὶ δὲ τεσσαράκοντα εἷς,) οὐδεὶς ἐτόλμησε τῶν ἱερέων κρίμνον ἓν φαγεῖν, τοσαύτης ἀπορίας τὴν γῆν κατεχούσης, δεδιὼς τὸν νόμον καὶ τὴν ὀργὴν, ἣν καὶ ἐπὶ ἀνεξελέγκτοις ἀεὶ τὸ θεῖον τοῖς ἀδικήμασιν ἔχει. Ὥστ' οὐ δεῖ θαυμάζειν περὶ τῶν τότε πεπραγμένων, ὁπότε μέχρι καὶ νῦν τὰ καταλειφθέντα ὑπὸ Μωϋσέως γράμματα τηλικαύτην ἰσχὺν ἔχει, ὥστε καὶ τοὺς μισοῦντας ἡμᾶς ὁμολογεῖν ὅτι τὴν πολιτείαν ἡμῖν ὁ καταστησάμενός ἐστι Θεὸς, διὰ Μωϋσέως καὶ τῆς ἀρετῆς τῆς ἐκείνου. Ἀλλὰ περὶ μὲν τούτων ὡς αὐτῷ τινι δοκεῖ, διαλήψεται.

tionem adductum esse Deum, sed consilio in eos sententiam protulisse. Ne mirum autem videatur et incredibile quod Moyses, quum unus vir esset, tot hominum millia concitata sedaverit et ad mentem saniorem et mansuetiorem reduxerit: Deus enim illi præsens adstitit fecitque ut sermonibus ejus victa cederet multitudo, præsertim quum non obtemperando sæpiuscule experta esset quam parum sibi profuerit contumacia [eo quod calamitatum causa illis exsiterit].

3. Ceterum vir ille non solum ea, qua vixit, ætate in admiratione fuit ob virtutem et vim qua pollebat impetrandi dictis suis fidem, sed et nunc nemo est Hebræorum, qui non, perinde ac si præsens esset ac moribus incompositos puniturus, pareat legibus quas sancivit, etiamsi peccantes latere posse sperent. Quin et alia plurima auctoritatis ejus plus quam humanæ argumenta sunt. Olim enim quum quidam trans Euphraten habitantium, in honorem nostri templi quattuor mensium iter magno cum periculo et sumptu emensi, Deo sacrificarint, de victimis participare non potuerunt, Moyse hoc illis interdicente qui moribus nostris non instituti sunt et ex patria consuetudine nobiscum non versantur. Atque alii quidem omnino non sacrificantes, alii vero relictis antequam peracta erant sacrificiis, plurimi autem omni prorsus aditu ad templum prohibiti discesserunt, quod multo maluerint Moysis legibus et institutis obtemperare quam convenienter suæ ipsorum voluntati agere, neminem, qui illos argueret, metuentes, sed propriam duntaxat conscientiam reverentes. Ita legum constitutio, quæ Deo accepta deberi visa est, fecit ut vir ille supra hominem esse existimaretur. Quin et paulo ante bellum cum Romanis gestum, Claudio apud illos principatum tenente, et Ismaele apud nos pontificatum, quum fames adeo regionem nostram urgeret, ut assaron *frumenti* quattuor drachmis veniret, et allati essent farinæ in festivitatem Azymorum cori septuaginta (hoc est medimni Siculi triginta et unus, Attici vero quadraginta et unus), nemo tamen sacerdotum ausus est vel micam unam comedere, quum tanta terram premeret annonæ egestas, præ legum reverentia et metu iræ, qua Dei numen peccata etiam occulta solet prosequi. Proinde non est mirandum quod res tantæ tunc gestæ sint, quandoquidem usque ad nostram ætatem scripta a Moyse relicta eam vim habeant et auctoritatem, ut etiam inimici nostri fateantur Deum ipsum Moyse ejusque virtute usum talem vivendi rationem instituisse. Sed hæc quidem unusquisque, prout ei videbitur, accipiet.

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

α'. Ἑβραίων, δίχα τῆς Μωϋσέως γνώμης, μάχη πρὸς Χαναναίους καὶ ἧττα.

β'. Στάσις Κορέου καὶ τοῦ πλήθους πρὸς Μωϋσῆν καὶ τὸν ἀδελφὸν αὐτοῦ περὶ τῆς ἱερωσύνης.

γ'. Ὡς οἱ μὲν τῆς στάσεως κατάρξαντες διεφθάρησαν κατὰ βούλησιν τοῦ Θεοῦ, τὴν δ' ἱερωσύνην Ἀαρὼν ὁ Μωϋσέως ἀδελφὸς κατέσχε, καὶ οἱ ἔγγονοι αὐτοῦ.

δ'. Τὰ συμβάντα τοῖς Ἑβραίοις ἐν τῇ ἐρήμῳ ἔτεσιν ὀκτὼ καὶ τριάκοντα.

ε'. Ὡς Σηχῶνα καὶ Ὠγὴν τοὺς Ἀμορραίων βασιλεῖς νικήσας Μωϋσῆς, καὶ τὴν στρατιὰν ἅπασαν αὐτῶν διαφθείρας κατεκλήρωσεν αὐτῶν τὴν χώραν δυσὶ φυλαῖς καὶ ἡμισείᾳ τῶν Ἑβραίων.

σ'. Περὶ Βαλάμου τοῦ μάντεως καὶ ποταπὸς ἦν τῷ εἶδει.

ζ'. Ὡς ἐπὶ Μαδιανίτας Ἑβραῖοι στρατεύσαντες ἐκράτησαν αὐτῶν.

η'. Ἡ Μωϋσέως πολιτεία, καὶ πῶς ἐξ ἀνθρώπων ἠφανίσθη.

Περιέχει ἡ βίβλος χρόνον ἐτῶν ὀκτὼ καὶ τριάκοντα.

ΚΕΦ. Α'.

Ἑβραίους δ' ὁ κατὰ τὴν ἐρημίαν βίος, ἀηδὴς αὐτοῖς καὶ χαλεπὸς ὤν, ἐπίεζε καὶ κωλύοντος τοῦ Θεοῦ τῶν Χαναναίων πεῖραν λαμβάνειν. Οὐ γὰρ ἠξίουν τοῖς Μωϋσέως πειθαρχοῦντες λόγοις ἡρεμεῖν, ἀλλὰ καὶ δίχα τῆς παρ' ἐκείνου προθυμίας κρατήσειν αὐτοὶ τῶν πολεμίων νομίζοντες κατηγόρουν μὲν αὐτοῦ, καὶ πραγματεύεσθαι μένειν αὐτοὺς ἀπόρους ὑπενόουν, ἵν' ἀεὶ τῆς ἐξ αὐτοῦ βοηθείας δέωνται. Πολεμεῖν δὲ τοῖς Χαναναίοις ὡρμήκεσαν, λέγοντες τὸν Θεὸν οὐχὶ Μωϋσῆ χαριζόμενον ἐπικουρεῖν αὐτοῖς, ἀλλὰ καὶ κοινῇ κηδόμενον αὐτῶν τοῦ ἔθνους διὰ τοὺς προγόνους, ὧν ἐπετρόπευσε, καὶ διὰ τὴν αὐτῶν ἀρετὴν πρότερόν τε παρασχεῖν τὴν ἐλευθερίαν καὶ νῦν βουλομένους πονεῖν ἀεὶ παρέσεσθαι σύμμαχον. Εἶναι δὲ καὶ καθ' αὑτοὺς ἱκανοὶ κρατεῖν τῶν ἐθνῶν ἔφασκον, κἂν ἀπαλλοτριοῦν αὐτῶν Μωϋσῆς ἐθελήσῃ τὸν Θεὸν, ὅλως τε συμφέρειν αὐτοῖς τὸ αὐτοκράτορσιν εἶναι, καὶ μὴ χαίροντας ἐπὶ τῷ τῆς παρ' Αἰγυπτίων ἐξελθεῖν ὕβρεως Μωϋσῆν τύραννον ἀνέχεσθαι, καὶ ζῆν πρὸς τὴν τούτου βούλησιν ἐξαπατωμένους, ὅτι μόνῳ τὸ θεῖον αὐτῷ προδηλοῖ περὶ τῶν ἡμετέρων κατὰ τὴν πρὸς αὐτὸν εὔνοιαν, ὡς οὐχ ἁπάντων ἐκ τῆς Ἀβράμου γενεᾶς ὄντων, ἀλλ' αἴτιον ἕνα τοῦτον τοῦ Θεοῦ παρεσχηκότος, εἰς τὸ πάντ' αὐτὸν εἰδέναι τὰ μέλλοντα παρ' αὐτοῦ μανθάνοντα· δόξειν τε συνετοὺς εἶναι, εἰ τῆς ἀλαζονείας αὐτοῦ καταγνόντες καὶ τῷ Θεῷ πιστεύσαντες κτήσασθαι γῆν, ἣν αὐτοῖς ὑπέσχηται, θελήσουσιν, ἀλλὰ μὴ τῷ διὰ τὴν αἰτίαν ταύτην ἐπ' ὀνόματι τοῦ Θεοῦ κωλύοντι προσχοῖεν. Τὴν ἀπορίαν οὖν λογιζόμενοι καὶ τὴν ἐρημίαν, ὑφ' ἧς ἔτι ταύτην αὐτοῖς χείρω συνέβαινεν εἶναι δοκεῖν, ἐπὶ τὴν πρὸς τοὺς Χαναναίους μάχην ἦσαν ὡρμημένοι, τὸν Θεὸν προστη-

LIBER QUARTUS.

1. Hebræorum, invito Moyse, cum Chananæis pugna et clades.
2. Seditio Coræ et plebis contra Moysen et fratrem ejus de sacerdotio.
3. Quomodo seditionis concitatores Dei voluntate exstincti sunt, atque Aaron Moysis frater et filii ejus sacerdotium tenuerunt.
4. Quæ Hebræis in solitudine per annos octo et triginta obvenerunt.
5. Quomodo Moyses, devictis Sechone et Oge Amorrhæorum regibus, deletisque eorum copiis, regionem eorum duabus Hebræorum tribubus et dimidiæ in sortem dedit.
6. De Balamo vate et qualis vir fuit.
7. Ut Hebræi cum Madianitis acie dimicantes illos profligarunt.
8. Leges a Moyse datæ, et quomodo ex hominibus est sublatus.

Continet hic liber tempus annorum duodequadraginta.

CAP. I.

Hebræos autem vita in solitudine acta, dura illis pariter ac injucunda, premebat ita ut Deo etiam prohibente rem experirentur cum Chananæis. Noluerunt enim Moysis monitis obsequentes quiescere, sed etiam præter illius voluntatem se posse hostes superare existimantes, ipsum accusare cœperunt, et in suspicionem vocarunt quod modis omnibus ageret summa rerum inopia illos detinere, ut semper ejus auxilio egerent. Ad bellum itaque cum Chananæis gerendum aggressi sunt, dicentes Deum non tam propter Moysen illis opem et auxilium ferre, quam quod genti suæ in communi prospiceret, proavorum gratia quos sua dignatus esset cura ac tutela, seque et prius ob illorum virtutem in libertatem asseruisse, et nunc quoque, si rem strenue gesserint, adjutorem futurum. Quin et aiebant ipsis per se satis virium esse ad gentes debellandas, etiamsi Moyses Deum ab ipsis alienare vellet, omninoque sibi expedire in sua esse potestate, et non sibimet gratulantes de exitu ex Ægyptiaca servitute Moysis dominatum ferre, ejusque ad arbitrium ex vana persuasione vivere, quasi Dei numen, pro sua in ipsum benevolentia, eum solum de rebus nostris præmoneret, tanquam non omnes essemus ex stirpe Abrami, sed illum unum auctorem fecisset Deus, ut futura omnia posset prænoscere ab ipso edoctus: prudentesque visum iri, si Moysis vanam arrogantiam contemnentes Deoque fidem habentes terram, quam ipsis promiserat, possidere voluerint; et non amplius hanc ob causam ad eum respexerint, qui sub prætextu Dei illos prohiberet. Inopiam itaque *præsentem* cogitantes et loca deserta, ob quæ contigit ut gravius illâ urgeri viderentur, ad Chananæos armis adoriendos properarunt, Deum sibimet ducem et auspicem

σάμενοι στρατηγὸν, ἀλλ' οὐχὶ τὴν παρὰ τοῦ νομοθέτου συνεργίαν περιμένοντες.

β'. Ὡς οὖν ταῦτ' ἄμεινον αὐτοῖς ἔξειν ἔκριναν, καὶ τοῖς πολεμίοις ἐπῆλθον. Οἱ μὲν, οὐ καταπλαγέντες αὐτῶν τὴν ἔφοδον οὐδὲ τὴν πληθὺν, γενναίως αὐτοὺς ἐδέξαντο, τῶν δὲ Ἑβραίων ἀποθνήσκουσί τε πολλοὶ καὶ τὸ λοιπὸν στράτευμα, τῆς φάλαγγος αὐτῶν διαλυθείσης, ἀκόσμως διωκόμενον εἰς τὴν παρεμβολὴν συνέφυγε· καὶ τῷ παρ' ἐλπίδας δυστυχῆσαι παντάπασιν ἀθυμοῦν οὐδὲν ἔτι χρηστὸν προσεδόκα, λογιζόμενον ὅτι καὶ ταῦτα κατὰ μῆνιν Θεοῦ πάθοιεν, προεξορμησάντων ἐπὶ τὸν πόλεμον τῆς ἐκείνου δίχα βουλήσεως.

γ'. Μωϋσῆς δὲ τοὺς μὲν οἰκείους ὁρῶν ὑπὸ τῆς ἥττης καταπεπληγότας, φοβούμενος δὲ μὴ θαρσήσαντες ἐπὶ τῇ νίκῃ οἱ πολέμιοι καὶ μειζόνων ὀρεχθέντες ἐπ' αὐτοὺς ἔλθοιεν, ἔγνω δεῖν τὴν στρατιὰν ἀπαγαγεῖν πορρωτέρω τῶν Χαναναίων εἰς τὴν ἔρημον· καὶ τοῦ πλήθους ἐπιτρέψαντος αὐτὸ πάλιν ἐκείνῳ, (συνῆκε γὰρ δίχα τῆς αὐτοῦ προνοίας οὐ δυνησόμενον ἐρρῶσθαι τοῖς πράγμασιν,) ἀναστήσας τὸ στράτευμα, προῆλθεν εἰς τὴν ἔρημον, ἐνταῦθα νομίζων ἡσυχάσειν αὐτοὺς καὶ μὴ πρότερον τοῖς Χαναναίοις εἰς χεῖρας ἥξειν, πρὶν ἢ παρὰ τοῦ Θεοῦ τὸν εἰς τοῦτο καιρὸν λάβωσιν.

ΚΕΦ. Β'.

Ὅπερ δὲ τοῖς μεγάλοις συμβαίνει στρατοπέδοις καὶ μάλιστα παρὰ τὰς κακοπραγίας, δυσάρκτοις εἶναι καὶ δυσπειθέσι, τοῦτο καὶ τοῖς Ἰουδαίοις συνέπεσεν. Ἑξήκοντα γὰρ ὄντες μυριάδες, καὶ διὰ τὸ πλῆθος ἴσως ἂν μηδ' ἐν ἀγαθοῖς ὑποταγέντες τοῖς κρείττοσι, τότε μᾶλλον ὑπὸ τῆς ἀπορίας καὶ τῆς συμφορᾶς ἐξηγανάκτουν καὶ πρὸς ἀλλήλους καὶ πρὸς τὸν ἡγεμόνα. Στάσις οὖν αὐτοὺς, οἵαν οὐκ ἴσμεν οὔτε παρ' Ἕλλησιν οὔτε παρὰ βαρβάροις γενομένην, κατέλαβεν, ὑφ' ἧς ἅπαντας ἀπολέσθαι κινδυνεύσαντας ἔσωσε Μωϋσῆς, οὐ μνησικακῶν ὅτι παρ' ὀλίγον ἦλθε καταλευσθεὶς ὑπ' αὐτῶν ἀποθανεῖν. Οὐδ' ὁ Θεὸς δὲ ἠμέλησε τοῦ μηδὲν αὐτοὺς παθεῖν τῶν δεινῶν, ἀλλὰ καίπερ εἰς τὸν νομοθέτην αὐτῶν ἐξυβρισάντων καὶ τὰς ἐντολὰς ἃς αὐτὸς διὰ Μωϋσέως αὐτοῖς ἐπέστειλεν, ἐρρύσατο τῶν ἐκ τοῦ στασιάζειν αὐτοῖς ἂν γενομένων δεινῶν, εἰ μὴ προενόησε. Τήν τε οὖν στάσιν καὶ ὅσα μετὰ ταύτην Μωϋσῆς ἐπολιτεύσατο διηγήσομαι, προδιελθὼν τὴν αἰτίαν ἀφ' ἧς ἐγένετο.

β'. Κορῆς, Ἑβραίων ἐν τοῖς μάλιστα καὶ γένει καὶ πλούτῳ διαφέρων, ἱκανὸς δ' εἰπεῖν καὶ δήμοις ὁμιλεῖν πιθανώτατος, ὁρῶν ἐν ὑπερβαλλούσῃ τιμῇ τὸν Μωϋσῆν καθεστῶτα χαλεπῶς εἶχεν ὑπὸ φθόνου, (καὶ γὰρ φυλέτης ὢν ἐτύγχανεν αὐτοῦ καὶ συγγενής,) ἀχθόμενος, ὅτι ταύτης τῆς δόξης δικαιότερον ἂν [τῷ πλουτεῖν ἐκείνου μᾶλλον, μὴ χείρων ὢν κατὰ γένος] αὐτὸς ἀπέλαυε, παρά τε τοῖς Λευίταις (φυλέται δ' ἦσαν) καὶ μάλιστα παρὰ τοῖς συγγενέσι κατεβόα, δεινὸν εἶναι

constituentes, neutiquam vero legislatoris assensum et adminiculum exspectantes.

2. Quum ergo hoc sibi melius fore statuissent, in hostes profecti sunt. Atque illi quidem, neque eorum impetu neque numero perterriti, fortiter eos excipiunt, et magna Hebræorum edita est strages, ac reliqui, dissipata eorum phalange, milites, insequente eos hoste, turpiter ad castra confugerunt: et, quod res præter spem tam male cecidissent, animo despondentes, nihil amplius boni exspectabant, hinc conjicientes calamitatem a Deo irato ipsis illatam esse, quod sine ejus consensu ad pugnam præpropere exissent.

3. Moyses autem suos quidem videns accepta clade consternatos, metuens vero ne hostis victoria elatus et majoris successus appetens impetum in eos faceret, factu optimum ratus est ut longius a Chananæis in desertum cum copiis discederet: atque populo hanc potestatem ei rursus deferente, (jam enim intellexit nihil ipsi sine illius auspiciis et consilio prospere cessurum,) motis castris penitius in desertum ibat, existimans illic eos quieturos et non prius cum Chananæis manus conserturos esse quam Dei monitu tempus ad hoc opportunum accepissent.

CAP. II.

Quemadmodum autem magnis exercitibus usu venire solet, et præcipue quum ex rebus adversis indomiti fiant et immorigeri, id ipsum etiam Judæis accidit. Quum enim essent sexcenta millia, et propter multitudinem, etiamsi prospere fluerent omnia, ægre forsan intra officii limites continerentur, tanto magis, quum rerum inopia et calamitatibus premerentur, et sibimet invicem et duci valde succensebant. Quapropter tanta eos seditio adorta est, quantam nec apud Græcos nec apud barbaros unquam fuisse accepimus: a qua omnes in extremum discrimen adductos liberavit Moyses, immemor injuriæ, quod haud procul esset quin mortem oppeteret ab illis lapidatus. Ac ne Deus quidem eos ita neglexit, ut malum aliquod gravius paterentur, sed licet adversus legislatorem suum et mandata, quæ ipse per Moysen illis dederat, insolenter se gesserint, eos tamen e calamitate eripuit, quam illis importasset seditio, nisi eorum saluti ipse prospexerat. Hanc itaque seditionem, quæque ea sedata constituit Moyses, enarrabo, ubi primum causam, unde orta erat, exposuero.

2. Cores, maxime inter Hebræos genere opibusque pollens, dicendi etiam non ignarus, populariterque agendi peritissimus, videns Moysen in excelsa dignitate constitutum, vehementer invidia flagrabat, (erat etenim ex eadem tribu eique cognatione conjunctus,) ægre ferens, quod semet ipse hoc honore digniorem judicaret, [ut qui illo ditior esset et nascendi sorte non deterior,] atque inter Levitas (nam tribules erant) et præcipue inter cognatos clamabat, rem

λέγων Μωϋσῆν δόξαν αὐτῷ θηρώμενον κατασκευάσαι καὶ κακουργοῦντα κτήσασθαι ταύτην ἐπὶ προφάσει τοῦ Θεοῦ περιορᾶν, παρὰ τοὺς νόμους μὲν τὰδελφῷ τὴν ἱερωσύνην Ἀαρῶνι δόντα, μὴ τῷ κοινῷ δόγματι τοῦ πλήθους, ἀλλ' αὐτοῦ ψηφισαμένου, τυράννου τε τρόπῳ καταχαριζόμενον τὰς τιμὰς οἷς ἂν θελήσῃ. Χαλεπώτερον δὲ τυγχάνειν τοῦ βιάζεσθαι τὸ λεληθότως ἐξυβρίζειν, ὅτι μὴ μόνον ἄκοντας, ἀλλὰ μηδὲ συνιέντας τῆς ἐπιβουλῆς τὴν ἰσχὺν ἀφαιρεῖται. Ὅστις γὰρ αὐτῷ σύνοιδεν ὄντι λαβεῖν ἀξίῳ, πείθει τυγχάνειν αὐτὸν, καὶ ταῦτα βιάσασθαι μὴ θρασυνόμενος· οἷς δὲ ἄπορον ἐκ τοῦ δικαίου τιμᾶσθαι, βίαν μὲν, ἀγαθοὶ βουλόμενοι δοκεῖν, οὐ προσφέρουσι, τέχνῃ δ' εἶναι κακουργοῦσι δυνατοί. Συμφέρειν δὲ τῷ πλήθει τοὺς τοιούτους ἔτι λανθάνειν οἰομένους κολάζειν, καὶ μὴ παρελθεῖν εἰς δύναμιν ἐάσαντας φανεροὺς ἔχειν πολεμίους. Τίνα γὰρ καὶ λόγον ἀποδοῦναι δυνάμενος Μωϋσῆς Ἀαρῶνι καὶ τοῖς υἱέσιν αὐτοῦ τὴν ἱερωσύνην παρέδωκεν; εἰ μὲν γὰρ τῆς Λευίτιδος φυλῆς τὴν τιμὴν ὁ Θεός τινι παρασχεῖν ἔκρινεν, ἐγὼ ταύτης δικαιότερος τυγχάνειν, γένει μὲν ὁ αὐτὸς ὢν Μωϋσῆ, πλούτῳ δὲ καὶ ἡλικίᾳ διαφέρων. Εἰ δὲ τῇ πρεσβυτάτῃ τῶν φυλῶν, εἰκότως ἂν ἡ Ῥουβήλου τὴν τιμὴν ἔχοι, λαμβανόντων αὐτὴν Δαθάμου καὶ Ἀβιράμου καὶ Φαλαοῦς· πρεσβύτατοι γὰρ οὗτοι τῶν ταύτην τὴν φυλὴν νεμομένων καὶ δυνατοὶ χρημάτων περιουσίᾳ.

γ'. Ἐβούλετο μὲν οὖν ταῦτα λέγων ὁ Κορῆς τοῦ κοινοῦ προνοεῖσθαι δοκεῖν, ἔργῳ δὲ εἰς ἑαυτὸν ἐπραγματεύετο τὴν παρὰ τοῦ πλήθους τιμὴν μεταστῆσαι. Καὶ ὁ μὲν ταῦτα κακοήθως, μετ' εὐπρεπείας δὲ πρὸς τοὺς φυλέτας ἔλεγε· προϊόντος δ' εἰς τοὺς πλείονας κατ' ὀλίγον τοῦ λόγου, καὶ τῶν ἀκροωμένων προστιθεμένων ταῖς κατ' Ἀαρῶνος διαβολαῖς, ἀναπίμπλαται τούτων ἅπας ὁ στρατός. Ἦσαν δὲ οἱ συντεταγμένοι τῷ Κορῇ πεντήκοντα καὶ διακόσιοι τῶν πρώτων ἀνδρες, σπεύδοντες ἀφελέσθαι τὴν ἱερωσύνην τὸν Μωϋσέως ἀδελφὸν, καὶ τοῦτον αὐτὸν ἀτιμοῦν. Ἀνηρέθιστο δὲ καὶ τὸ πλῆθος· καὶ βάλλειν τὸν Μωϋσῆν ὡρμήκεσαν, εἴς τε ἐκκλησίαν ἀκόσμως μετὰ θορύβου καὶ ταραχῆς συνελέγοντο. Καὶ πρὸ τῆς σκηνῆς τοῦ Θεοῦ στάντες ἐβόων διώκειν τὸν τύραννον καὶ τῆς ἀπ' αὐτοῦ δουλείας ἀπηλλάχθαι τὸ πλῆθος, τῇ τοῦ Θεοῦ προφάσει βίαια προστάγματα κελεύοντος. Τὸν γὰρ Θεὸν, εἴπερ αὐτὸς ἦν ὁ τὸν ἱερασόμενον ἐκλεγόμενος, τὸν ἄξιον ἂν εἰς τὴν τιμὴν παράγειν, οὐχὶ τοῖς πολλῶν ὑποδεεστέροις ταύτην φέροντα προσνείμαι, κρίνοντά τε παρασχεῖν Ἀαρῶνι ταύτην, ἐπὶ τῷ πλήθει ποιήσασθαι τὴν δόσιν, ἀλλ' οὐκ ἐπὶ τὰδελφῷ καταλιπεῖν.

δ'. Μωϋσῆς δὲ τὴν Κορέου διαβολὴν ἐκ πολλοῦ προϊδὼν, καὶ τὸν λαὸν παρωξυμμένον ἰδὼν, οὐκ ἔδεισεν, ἀλλὰ θαρρῶν οἷς περὶ τῶν πραγμάτων καλῶς ἐβουλεύετο, καὶ τὸν ἀδελφὸν εἰδὼς κατὰ τὴν τοῦ Θεοῦ προαίρεσιν τῆς ἱερωσύνης τυχεῖν, ἀλλ' οὐ κατὰ τὴν αὐτοῦ χάριν, ἦκεν εἰς τὴν ἐκκλησίαν. Καὶ πρὸς μὲν τὸ πλῆθος οὐδένα ἐποιήσατο λόγον· πρὸς δὲ τὸν Κορῆν βοῶν

indignam esse dictitans permittere ut Moyses sibimet gloriam aucupari aggrederetur, malisque artibus illam acquireret, nomen Dei prætendens, quum contra leges fratri Aaroni sacerdotium detulerit, non communi populi suffragio, sed suo ex arbitrio et haud secus ac tyrannus honores pro libidine distribuerit. Gravius autem esse, quam violentia uti, injuriam latenter inferre, quod non solum invitos, sed et nihil prorsus de insidiis cogitantes opprimat. Quisquis enim sibi conscius est se dignum esse qui *honores* accipiat, persuasione nititur ut obtineat, idque non audens vi grassari: qui vero nequeunt *eos* juste assequi, a violentia quidem, boni videri gestientes, semet abstinent, sed arte dolosa utuntur, ut ad optatum perveniant fastigium. Permagni populi interesse ut hujusmodi quid molientes, dum se latere existiment, ad supplicium pertrahantur; neque sinere ut potentiæ incrementis augescant, in manifestos postmodum hostes evasuri. Quam enim rationem Moyses afferre potest, cur Aaroni ejusque filiis sacerdotium contulerit? Nam si Deus ex Levitica tribu alicui honorem tribuere decreverit, se merito fuisse præferendum, genere Moysi parem, opibus atque ætate majorem. Si vero antiquissimæ tribus ratio haberetur, optimo jure Rubeli tribum eam dignitatem vindicare, ut acciperent Dathamnes et Abiramus et Phalaüs: hi enim ex ista tribu natu maximi sunt et divitiis abundantes.

3. Hæc itaque Cores loquutus volebat quidem videri reipublicæ prospicere, revera autem hoc tantum agebat ut populi consensu honorem ad se transferret. Et ille quidem Læc maligne speciosa oratione ad tribules suos dicebat. Sermone autem paulatim ad plures permanante, et unoquoque audientium aliquid adjiciente conviciis in Aaronem, totus criminationibus istis completur exercitus. Erant autem qui cum Core conjungebantur ducenti et quinquaginta e viris primoribus, connitentes ut et Aaronem Moysis fratrem e sacerdotio deturbarent, ipsumque Moysen ignominia afficerent. Quin et multitudo seditione agitatur, et ad Moysen lapidandum se contulit, et in concionem turba confusa magnoque cum tumultu congregata est. Atque ante tabernaculum Dei stantes vociferabantur summovendum esse tyrannum populumque ab ejus servitute liberandum, qui Dei obtentu dura et difficilia imperet. Deum enim, si ipse sacerdotem futurum elegisset, dignum aliquem ad hunc honorem provecturum fuisse, neque istum, qui multis esset inferior, ejuscemodi dignitate cohonestare voluisse, et si eam Aaroni dare decrevisset, populi suffragio potius daturum fuisse quam fratris judicio permissurum.

4. Moyses autem, Coræ quanquam calumnias multo ante præsenserat, populumque jam viderat irritatum, nihil extimuit, sed fretus fiducia ex rebus bene consultis et administratis, sciensque fratrem Dei consilio, non sua gratia ad sacerdotium pervenisse, prodiit in concionem. Ac populum ne alloquitur quidem, sed ad Coren versus et vocem

ἐφ' ὅσον ἠδύνατο, δεξιὸς ὢν καὶ κατὰ τἄλλα καὶ πλήθεσιν ὁμιλεῖν εὐφυὴς, « ἐμοὶ, φησὶν, ὦ Κορῆ, καὶ σὺ « καὶ τούτων ἕκαστος (ἀπεδήλου δὲ τοὺς πεντήκοντα « καὶ διακοσίους ἄνδρας) τιμῆς ἄξιοι δοκεῖτε, καὶ τὸν « ὅμιλον δὲ πάντα τῆς ὁμοίας οὐκ ἀποστερῶ τιμῆς, « κἂν ὑστερῶσιν ὧν ὑμῖν ἐκ πλούτου καὶ τῆς ἄλλης « ἀξιώσεως ὑπάρχει. Καὶ νῦν Ἀαρῶνι τὴν ἱερωσύνην, « οὐκ ἐπειδὴ πλούτῳ προεῖχε, (σὺ γὰρ καὶ ἀμφοτέρους « ἡμᾶς μεγέθει χρημάτων ὑπερβάλλεις,) οὐ μὴν οὔτ' « εὐγενείᾳ, (κοινὸν γὰρ ἡμῖν τοῦτ' ἐποίησεν ὁ Θεὸς τὸν « αὐτὸν δοὺς προπάτορα,) οὔτε διὰ φιλαδελφίαν, ὃ δι- « καίως ἂν ἕτερος εἶχε, τοῦτο φέρων ἔδωκα τἀδελφῷ. « Καὶ γὰρ εἰ μὴ φροντίζων τοῦ Θεοῦ καὶ τῶν νόμων « τὴν τιμὴν ἐχαριζόμην, οὐκ ἂν ἐμαυτῷ παρεὶς δοῦναι « παρέσχον ἑτέρῳ, συγγενέστερος ὢν ἐμαυτῷ τἀδελφοῦ, « καὶ πρὸς ἐμαυτὸν οἰκειότερον ἢ πρὸς ἐκεῖνον διακεί- « μενος. Καὶ γὰρ οὐδὲ συνετὸν ἐν τοῖς κινδύνοις ἐμαυ- « τὸν ὑποτιθέντα τοῖς ἐκ τοῦ παρανομεῖν ἄλλῳ τὴν διὰ « τούτου εὐδαιμονίαν χαρίζεσθαι. Ἀλλ' ἐγώ τε χρείτ- « των ἢ κακουργεῖν, ὅ τε Θεὸς οὐκ ἂν περιεῖδεν ἑαυτὸν « καταφρονούμενον, οὐδ' ὑμᾶς ἀγνοοῦντας ὅ τι καὶ « ποιοῦντες αὐτῷ χαρίζεσθε, ἀλλ' αὐτὸς, ἐπιλεξάμενος « τὸν ἱερασόμενον αὐτῷ, τῆς κατὰ τοῦτ' αἰτίας ἡμᾶς « ἠλευθέρωσεν. Οὐ μὴν ἐξ ἐμῆς χάριτος λαβὼν, ἀλλὰ « κατὰ κρίσιν Θεοῦ, κατατίθησιν αὐτὴν εἰς μέσον ἐπι- « δικάσιμον τοῖς βουλομένοις, ἐκ τούτου προκριθεὶς ἤδη « τυχεῖν αὐτῆς ἀξιῶν ἐπιτραπῆναι, καὶ τὸ νῦν αὐτῷ « συγχωρηθῆναι περὶ αὐτῆς σπουδάσαι, προτιμῶν τοῦ « τὸ γέρας ἔχειν τὸ μὴ στασιάζοντας ὑμᾶς ὁρᾶν, καί- « τοι κατὰ τὴν ὑμετέραν γνώμην αὐτοῦ τυγχάνων. Ὁ « γὰρ ἔδωκεν ὁ Θεὸς, οὐχ ἁμαρτάνομεν τοῦτο καὶ « βουλομένων ὑμῶν λαβεῖν νομίζοντες. Ἦν δὲ καὶ « τὸ μὴ προσέσθαι παρέχοντος ἐκείνου τὴν τιμὴν ἀσε- « βὲς, καὶ πάλιν ἀξιοῦντος ἔχειν εἰς ἅπαντα χρόνον « καὶ τὴν ἀσφάλειαν τὴν ἐπ' αὐτῇ βεβαιοῦντος ἡμῖν « τοῦ Θεοῦ, παντάπασιν ἀλόγιστον. Κρινεῖ τοίνυν πά- « λιν αὐτὸς τίνα βούλεται τὰς ὑπὲρ ὑμῶν αὐτῷ θυσίας « ἐπιτελεῖν καὶ προεστάναι τῆς εὐσεβείας. Ἄτοπον « γὰρ Κορῆν, ἐφιέμενον τῆς τιμῆς, τὴν ἐξουσίαν τοῦ « τίνι παράσχῃ ταύτην ἀφελέσθαι τὸν Θεόν. Τῆς « οὖν στάσεως καὶ τῆς διὰ τοῦτο ταραχῆς παύσασθε. « Πρωὶ δὲ ὅσοι τῆς ἱερωσύνης ἀντιποιεῖσθε, κομίζων « ἕκαστος θυμιατήριον οἴκοθεν σὺν θυμιάμασι καὶ πυρὶ « πάριτε. Καὶ σὺ δὲ, Κορῆ, παραχωρήσας τὴν κρί- « σιν τῷ Θεῷ τὴν ἐπὶ τούτοις αὐτοῦ μένε ψηφοφορίαν, « ἀλλὰ μὴ σαυτὸν ποίει τοῦ Θεοῦ κρείττονα· παραγενοῦ « δὲ κριθησόμενος οὕτω περὶ τοῦ γέρως. Ἀνεμέση- « τον δ' οἶμαι καὶ Ἀαρῶνα προσδέξασθαι συγκριθησό- « μενον, γένους μὲν ὄντα τοῦ αὐτοῦ, μηδὲν δὲ μεμφθῆ- « ναι τοῖς παρὰ τὴν ἱερωσύνην πεπραγμένοις δυνάμε- « νον. Καὶ θυμιάσατε συνελθόντες ἐν φανερῷ παντὶ « τῷ λαῷ· καὶ θυμιωμένων ὑμῶν, οὗπερ ἂν τὴν « θυσίαν ἡδίω κρίνῃ ὁ Θεὸς, οὗτος ὑμῖν ἱερεὺς κεχει-

quantum potuit attollens (quum cetera quidem sollers esset, ad populum vero tractandum natura factus), « Mihi, « inquit, Cores, vel tu, vel unus quivis ex istis (designa- « bat enim ducentos et quinquaginta viros) honore dign' « videmini, nec populum universum simili dignatione pro- « hibeo, etiamsi vobis divitiis et ceteris dotibus concedant. « Et nunc Aaroni sacerdotium detuli, non quod opibus præ- « cellat, (tibi enim ampliores sunt quam utrique nostrûm « facultates,) neque propter generis nobilitatem, (hoc enim « Deus nobis commune esse voluit quibus eundem dedit « progenitorem,) neque amore fraterno inductus, quem si- « militer et alter vindicaret, fratri indulgebam. Etenim si « honorem largiendo Dei legumque rationem non habuis- « sem, nequaquam memet præteriens alteri benignus exsti- « tissem, quando ipse mihimet vicinior sum fratre et me- « ipsum arctiori quam illum necessitudine attingo. Neque « enim sapientis erat mihimet inique agendo periculum « creare, ut alteri exinde felicitatem pararem. Sed neque « ego is sum qui injuria vos afficiam, neque Deus susti- « nuisset aut se contemni, aut vos ignorare quidnam illi « gratissimum præstetis, sed quum is ipse suum elegerit « sacerdotem, fecit ut nulla hac ex re culpa nos labo- « remus. Verumtamen licet non meo beneficio, sed Dei « judicio sacerdotium acceperit, in medio tamen illud de- « ponit ab iis vindicandum qui de eo disceptare volunt, « postulans, ut ab hoc tempore munus illud tum demum « sibi mandetur, si prælatus fuerit, et ut sibi permittatur « pariter ac aliis ei assequendæ operam dare, pluris æsti- « mans vos sine seditione conspicere quam possidere digni- « tatem, tametsi vestris etiam calculis comprobatus eam « gesserit. Haud enim vitio nobis vertendum, si, quod Deus « dederit, vestro etiam consensu nos accepisse existime- « mus. Quin et honorem, quem ille ultro detulit, salva « pietate recusare non licuit: rursus a ratione prorsus alie- « num *non accepisse*, Deo istum in omne ævum largiri di- « gnante firmamque ejus possessionem nobis pollicente. « Quamobrem denuo judicatum faciet quem velit pro vobis « hostias ipsi immolare rebusque divinis præesse. Incon- « gruum enim, ut Cores, honorem ambiens, Deo hunc « impertiendi cui voluerit auferat potestatem. Igitur sedi- « tionem motusque ciere, quod ad hanc causam attinet, « jam desistite. Mane vero, quotquot de sacerdotio con- « tenditis, adestote, et quisque secum domo afferat thu- « ribulum cum suffitibus et igne. Sed et tu, Core, cede « Deo judicium, et hac in re ejus opperire sententiam, et « temetipsum ne facias Deo superiorem, sed potius accede, « ut hoc modo exploretur an tibi honos decernendus sit. « Æquum autem esse arbitror ut Aaron etiam ad hoc judi- « cium admittatur, quum et ejusdem sit generis, et de re « nulla in pontificatu gesta reprehendi possit. Ubi vero « conveneritis, in conspectu populi thura adolete, suffitu- « que facto, cujus sacrificium Deo acceptius fuerit, is vobis

« ροτονήσεται, τῆς ἐπὶ τἀδελφῷ διαβολῆς ὡς κεχαρι-
« σμένου τὴν τιμὴν αὐτῷ ῥυόμενος.

ΚΕΦ. Γ'.

Ταῦτα Μωϋσέως εἰπόντος, παύεται καὶ τῆς ταραχῆς τὸ πλῆθος καὶ τῆς εἰς Μωϋσῆν ὑποψίας. Ἐπήνεσαν δὲ τοῖς εἰρημένοις· καὶ γὰρ ἦν καὶ ἐδόκει χρηστὰ τῷ λαῷ. Τότε μὲν οὖν διαλύουσι τὸν σύλλογον. Τῇ δ' ἐπιούσῃ συνῆλθον εἰς τὴν ἐκκλησίαν, παρατευξόμενοι τῇ θυσίᾳ καὶ τῇ δι' αὐτῆς κρίσει τῶν περὶ τῆς ἱερωσύνης ἀγωνιζομένων. Συνέβαινε δ' εἶναι θορυβώδη τὴν ἐκκλησίαν, μετεώρου τοῦ πλήθους ὄντος ἐπ' ἐλπίσι τῶν ἐσομένων, καὶ τῶν μὲν εἰς ἡδονὴν λαμβανόντων, εἰ Μωϋσῆς ἐλεγχθείη κακουργῶν, τῶν δὲ φρονίμων, εἰ πραγμάτων ἀπαλλαγείησαν καὶ ταραχῆς· ἐδεδίεσαν γὰρ μὴ τῆς στάσεως προϊούσης ἀφανισθῇ μᾶλλον αὐτοῖς ὁ κόσμος τῆς καταστάσεως. Ὁ δὲ πᾶς ὅμιλος φύσει χαίρων τῷ καταβοᾶν τῶν ἐν τέλει, καὶ πρὸς ὅ τις εἴποι πρὸς τοῦτο τὴν γνώμην τρέπων, ἐθορύβει. Πέμψας δὲ καὶ Μωϋσῆς πρὸς Ἀβίραμον καὶ Δαθάμνην ὑπηρέτας, ἐκέλευσεν ἥκειν κατὰ τὰ συγκείμενα καὶ περιμένειν τὴν ἱερουργίαν. Ὡς δ' οὔτε ὑπακούσεσθαι τοῖς ἀγγέλοις ἔφασαν καὶ Μωϋσῆν οὐ περιόψεσθαι κατὰ τοῦ λαοῦ παντὸς ἐκ κακουργίας αὐξανόμενον, ἀκούσας τὰ παρ' αὐτῶν ὁ Μωϋσῆς, ἀκολουθεῖν αὐτῷ τοὺς προβούλους ἀξιώσας ἀπῄει πρὸς τοὺς περὶ Δαθάμνην, οὐχ ἡγούμενος εἶναι δεινὸν βαδίζειν πρὸς τοὺς ὑπερηφανήσαντας. Οἱ δ' οὐδὲν ἀντειπόντες ἠκολούθουν. Οἱ δὲ περὶ Δαθάμνην, πυθόμενοι τὸν Μωϋσῆν μετὰ τῶν ἀξιολόγων τῆς πληθύος πρὸς αὐτοὺς παραγενόμενον, προελθόντες γυναιξὶν ἅμα καὶ τέκνοις πρὸ τῶν σκηνῶν, ἀπέβλεπον τί καὶ μέλλοι ποιεῖν ὁ Μωϋσῆς. Οἵ τε θεράποντες ἦσαν περὶ αὐτοὺς, ὡς εἰ βίαν τινὰ προσφέροι Μωϋσῆς, ἀμυνούμενοι.

β'. Ὁ δὲ πλησίον γενόμενος, τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνασχὼν, γεγωνὸν ἐκβοήσας ὡς ἀκουστὸν πάσῃ τῇ πληθύϊ γενέσθαι, « Δέσποτα, φησὶ, τῶν ἐπ' οὐρα-
« νοῦ τε καὶ γῆς καὶ θαλάσσης, (σὺ γὰρ ἐμοὶ τῶν ὑπ'
« ἐμοῦ πεπραγμένων μάρτυς ἀξιολογώτατος, ὡς γνώμῃ
« τῇ σῇ γίνεται τὰ πάντα, καὶ ὁρωμένοις μηχανὴν
« ἐξεπόρισας, οἶκτον ἐν πᾶσι δεινοῖς Ἑβραίων ποιησά-
« μενος,) ἔλθέ μοι τούτων ἀκροατὴς τῶν λόγων. Σὲ
« γὰρ οὔτε πραττόμενόν τι οὔτε νοηθὲν λανθάνει· ὥστ'
« οὐδὲ φθονήσεις μοι τῆς ἀληθείας, τὴν τούτων ἀχαρι-
« στίαν ἐπίπροσθεν θέμενος. Τὰ μὲν οὖν πρεσβύτερα
« τῆς ἐμῆς γενέσεως αὐτὸς οἶσθ' ἀκριβέστερον, οὐκ
« ἀκοῇ μαθὼν, ὄψει δὲ τότ' αὐτοῖς παρὼν γινομένοις·
« ἃ δὲ ἐπὶ τούτοις, καίπερ ἐπιστάμενοι σαφῶς, ἀδίκως
« ὑπονοοῦσι, τούτων μοι γενοῦ μάρτυς. Ἐγὼ βίον
« ἀπράγμονα καταστησάμενος, ἀνδραγαθίᾳ μὲν ἐμῇ,
« σῇ δὲ βουλῇ, καὶ τοῦτον Ῥαγουήλου μοι τοῦ πενθε-
« ροῦ καταλιπόντος, ἀφεὶς τὴν ἐκείνων ἀπόλαυσιν τῶν
« ἀγαθῶν, ἐμαυτὸν ἐπέδωκα ταῖς ὑπὲρ τούτων ταλαι-
« constituetur sacerdos, cui nihil de fratre possit objici, quasi
« per gratiam ab ipso dignitatem acceperit. »

CAP. III.

Hæc quum dixisset Moyses, multitudo et tumultuari et de Moyse male suspicari destitit. Dicta autem collaudarunt iisque acquieverunt : simul enim erant et videbantur populo e re sua esse. Et tunc quidem cœtus dimittitur. Ubi vero postera dies illuxit, frequentes convenerunt, ut sacrificio interessent judicioque ex illo de iis qui super sacerdotio contendebant. Contigit autem ut tumultuosa esset concio, populo eventus exspectatione suspenso, et aliis quidem voluptati habentibus, si Moyses improbus esse deprehenderetur; sapientioribus vero, si molestia et perturbatione liberarentur : metuebant enim ne gliscente in dies seditione illis deperiret pulcer rerum suarum ordo. Omne autem vulgus, quod a natura comparatum est ut magistratibus obloqui gaudeat, et a cujusvis conciuncula circumlatum sententiam mutet, tumultuabatur. Moyses autem, missis ad Abiramum et Dathamnen viatoribus, jussit ut ad condictum venirent et rei sacræ faciundæ eventum exspectarent. Quum vero nunciis respondissent se neque obtemperare velle, neque diutius passuros esse ut Moysi contra populum cresceret potentia malis artibus quæsita, Moyses, his ab iis acceptis, plebisque patronis se sequi jussis, Dathamnen ejusque factionem adibat, nihil sibi metuendum esse ratus, si ad superbos et contumaces recta contenderet. Illi vero e vestigio eum subsequuntur. Dathamnes autem cum suis, audito Moysen cum primoribus populi ad se venire, prodeuntes cum uxoribus et liberis ante tabernacula constiterunt, exspectantes quidnam rei a Moyse ageretur. Atque eos circumstipabant famuli, si quam vim Moyses inferret, auxilio futuri.

2. Ille vero quum prope accessisset, manibus in cœlum sublatis, magna voce exclamabat, ut a tota multitudine exaudiri posset, inquiens, « Domine cunctorum in cœlo et
« terra ac mari, (nam tu mihi rerum gestarum testis fide
« dignissimus, quod omnia tua auctoritate fecerim, ut qui
« mihi in agendis auxilium porrexeris, Hebræorum in an-
« gustiis semper miseratus,) adsis orationis meæ audi-
« tor. Te enim nec facta ulla latent nec cogitata : ideo
« ne dedigneris veritatem mihi patefacere, neu prætuleris
« horum ingratum animum. Sane quæ antequam nascerer
« acciderint omnium optime nosti, quippe non auditu
« accepta, sed tui præsentis dum fierent oculis subjecta.
« Verum *nunc* rerum illarum, quas isti quum non ignorent,
« male suspicari tamen non verentur, te mihi testem con-
« stitue. Ego quum vitam agerem quietam, id quod mea
« virtute et tua voluntate atque Ragueli soceri mei benefi-
« cio consequutus eram, relicta tamen ea qua fruebar felici-
« tate, memetipsum totum dedidi miseriis pro hoc populo

« πωρίας. Καὶ πρότερον μὲν ὑπὲρ τῆς ἐλευθερίας
« αὐτῶν, νῦν δ' ὑπὲρ τῆς σωτηρίας μεγάλους ὑπέστην
« πόνους, καὶ παντὶ δεινῷ τοὐμὸν ἀντιτάξας πρόθυμον.
« Νῦν οὖν ἐπεὶ κακουργεῖν ὑποπτεύομαι παρ' ἀνδράσιν,
« οἷς ἐκ τῶν ἐμῶν καμάτων ὑπάρχει τὸ περιεῖναι, εἰκό-
« τως ἂν αὐτὸς, ὁ τὸ πῦρ ἐκεῖνό μοι φήνας κατὰ τὸ
« Σιναῖον καὶ τῆς αὐτοῦ φωνῆς ἀκροατὴν τότε στήσας,
« καὶ θεατὴν τεράτων ὅσα μοι παρέσχεν ἰδεῖν ἐκεῖνος
« ὁ τόπος ποιήσας, ὁ κελεύσας ἐπ' Αἰγύπτου σταλῆναι
« καὶ τὴν σὴν γνώμην τούτοις ἐμφανίσαι, ὁ τὴν Αἰγυ-
« πτίων εὐδαιμονίαν σείσας, καὶ τῆς ὑπ' αὐτοῖς δουλείας
« ὁρασμὸν ἡμῖν παρασχών, καὶ μικροτέραν ἐμοῦ τὴν
« Φαραώθου ποιήσας ἡγεμονίαν, ὁ γῆν ἡμῖν ἁμαθῶς
« ἔχουσι τῶν ὁδῶν ποιήσας τὸ πέλαγος, καὶ τὴν ἀνα-
« κεκομμένην θάλασσαν τοῖς Αἰγυπτίων ἐπικυμήνας
« ὀλέθροις, ὁ γυμνοῖς οὖσι τὴν ἐξ ὅπλων ἀσφάλειαν
« χαρισάμενος, ὁ ποτίμους ἡμῖν διεφθαρμένας πηγὰς
« ῥεῦσαι παρασκευάσας καὶ τελέως ἀπολοῦσιν ἐκ πε-
« τρῶν ἐλθεῖν ἡμῖν ποτὸν μηχανησάμενος, ὁ τῶν γῆθεν
« ἀπορουμένους εἰς τροφὴν διασώσας τοῖς ἀπὸ θαλάσ-
« σης, ὁ καὶ ἀπ' οὐρανοῦ τροφὴν καταπέμψας οὐ πρό-
« τερον ἱστορηθεῖσαν, ὁ νόμων ἐπίνοιαν ἡμῖν ὑποθέμενος
« καὶ διάταξιν πολιτείας, ἐλθὲ, δέσποτα τῶν ὅλων,
« δικαστής μου καὶ μάρτυς ἀδωροδόκητος, ὡς οὔτε
« δωρεὰν ἐγὼ παρ' Ἑβραίων τινὸς κατὰ τοῦ δικαίου
« προσηκάμην, οὔτε πλούτῳ κατέκρινα πενίαν νικᾶν
« δυναμένην, οὔτ' ἐπὶ βλάβῃ τοῦ κοινοῦ πολιτευσάμε-
« νος, εἰς ἀλλοτριωτάτας τῶν ἐμῶν ἐπιτηδευμάτων ἐπι-
« νοίας πάρειμι, ὡς οὐχὶ σοῦ κελεύσαντος Ἀαρῶνι
« δοὺς τὴν ἱερωσύνην, ἀλλὰ κατ' ἐμὴν χάριν. Παρά-
« στησον δὴ καὶ νῦν ὅτι πάντα σῇ προνοίᾳ διοικεῖται
« καὶ μηδὲν αὐτομάτως, ἀλλὰ κατὰ βούλησιν βραβευό-
« μενον τὴν σὴν εἰς τέλος ἔρχεται· ὅτι δὲ φροντίζεις τῶν
« Ἑβραίους ὀνησάντων, μέτελθε Ἀβίραμον καὶ Δαθά-
« μνην, οἵ σου καταδικάζουσιν ἀναισθησίαν, ὡς ὑπ' ἐμῆς
« τέχνης νικωμένου. Ποιήσεις δὲ φανερὰν τὴν ἐπ'
« αὐτοῖς δίκην, οὕτω μεμηνότων κατὰ τῆς σῆς δόξης,
« μὴ κοινῶς ἐκ τοῦ ζῆν αὐτοὺς μεταστήσας, μηδ' ὡς
« ἀποθανόντας κατ' ἀνθρώπινον ἐξεληλυθότας τοῦ βίου
« φανέντας νόμον, ἀλλὰ χάνοι περὶ αὐτοὺς ἅμα τῇ
« γενεᾷ καὶ τοῖς ὑπάρχουσιν ἣν πατοῦσι γῆν. Τοῦτο
« γὰρ σῆς ἐπίδειξις ἂν ἰσχύος ἅπασι γένοιτο καὶ διδα-
« σκαλία σωφροσύνης εἰς τοὺς [ταῦτα πείσεσθαι] περὶ
« σοῦ δοξάζοντας οὐχ ὅσια· εὑρεθείην γὰρ ἂν οὕτως
« ἀγαθὸς ὑπηρέτης ὢν σὺ προστάσσεις. Εἰ δ' ἀληθεῖς
« πεποίηνται τὰς κατ' ἐμοῦ διαβολὰς, τοὺς μὲν ἀπαθεῖς
« ἀπὸ παντὸς φυλάξειας κακοῦ, ὃν δ' ἐπηρασάμην ὄλεθρον
« αὐτοῖς, τοῦτον ποιήσειας ἐμόν· καὶ δίκην εἰσπραξάμε-
« νος παρὰ τοῦ σὸν ἀδικῆσαι θελήσαντος λαὸν, τοῦ λοι-
« ποῦ βραβεύων ὁμόνοιαν καὶ εἰρήνην, σῶζε τὴν πληθὺν
« ἑπομένην τοῖς σοῖς προστάγμασιν, ἀπαθῆ τηρῶν αὐ-
« τὴν καὶ ἀκοινώνητον τῆς τῶν ἡμαρτηκότων κολάσεως.
« Σὺ γὰρ αὐτὸς οἶσθα ὡς οὐ δίκαιον ὑπὲρ τῆς ἐκείνων
« κακίας κοινῇ πάντας Ἰσραηλίτας τιμωρίαν ἐκτίνειν. »

« perferendis. At antea quidem pro libertate eorum, nunc
« vero pro salute magnas ærumnas pertuli, omnique peri-
« culo memet cum alacritate objeci. Nunc igitur quoniam
« in maleficiorum suspicionem venerim hominibus, qui
« meo labori et sollicitudini suam acceptam debent vitam et
« incolumitatem, plane tu, qui mihi ignem illum ostendisti
« in monte Sinæo et vocem tuam tunc me audire voluisti,
« meque prodigiorum illic loci editorum spectaculo digna-
« tus es; qui me in Ægyptum properare jussisti, tuumque
« consilium populo istic aperire; qui Ægyptiorum felicita-
« tem labefactasti, nobisque ex illorum servitute fugam
« parasti, et Pharaothæ dominatum meo imperio subjecisti;
« qui nobis viæ ignaris pelagus in terram convertisti,
« et mare repressum Ægyptiorum strage intumescere
« fecisti, qui inermes armorum præsidio munivisti; qui
« aquas inquinatas nobis potu jucundas scaturire feci-
« sti, laticesque nobis ad extremam perniciem redactis e
« petra eduxisti; qui terrenis in cibum destitutos servasti
« alimento e mari suppeditato; qui e cœlo victum demi-
« sisti antea non cognitum; qui legum cogitationem nobis
« injecisti, et reipublicæ administrandæ rationem descri-
« psisti: veni, omnium rerum domine, mihi judex testis-
« que integerrimus, quod neque præmium a quoquam
« Hebræorum ad jus æquumve pervertendum acceperim,
« neque pauperem meliorem causam habentem ab adver-
« sario divite vinci siverim, neque ita memet in potestate
« exhibuerim, ut detrimentum caperet respublica, in culpæ
« tamen suspicionem incidi a studiis meis alienissimæ,
« tanquam non jussu tuo, sed meo beneficio, in Aaronem
« contulerim sacerdotium. Itaque et nunc ostende quod
« omnia tua providentia gubernes ac modereris, et nihil
« temere et sponte sua, sed tua voluntate motum ad finem
« pervenit, et quod curam geris eorum, qui Hebræos au-
« xilio adjuvarunt, vindicta persequitor Abiramum et
« Dathamnem, qui stupiditatis te accusant, quasi meis
« artibus concesseris. Manifestum autem in eos dabis
« judicium, qui insanientes tuæ detrahunt gloriæ, si non
« aliorum more e vita discesserint, ne quis morientes ni-
« hil nisi quod humanitus accidit passos existimet, sed
« terra, quam calcant, dehiscens cum familiis et facultati-
« bus eos absorbeat. Hoc enim omnibus erit demonstra-
« tio potentiæ tuæ et admonitio sapiendi male de te cogi-
« tantibus: sic et ego comperiar fidelis tui minister in iis
« quæ fieri imperas. Sin vero commiserim flagitia quæ
« in me conferunt, eos illæsos omnisque mali immunes
« custodi, et quam illis imprecatus sum, in me recidat
« pernicies, pœnaque ab eo exacta, cui in animo erat po-
« pulum tuum injuria afficere, paceque et concordia in
« posterum stabilitis, multitudinem serva tuis præceptis
« obsequentem, eique concede ut vitam agat securam, et
« suppliciorum, quæ luunt scelerati, expertem. Tu enim
« nosti haud justum esse ut Israelitæ universi pœnas eorum
« nequitiæ debitas persolvant. »

γ'. Ταῦτ' εἰπόντος καὶ δακρύοντος, σείεται μὲν αἰφνίδιον ἡ γῆ, σάλου δ' ἀπ' αὐτῆς κινηθέντος, ὥσπερ ἐξ ἀνέμου βίας σαλευομένου κύματος, πᾶς μὲν ἔδεισεν ὁ λαὸς, πατάγου δὲ καὶ σκληροῦ ῥαγέντος ἤχου, κατὰ τὰς ἐκείνων σκηνὰς συνίζησεν ἡ γῆ, καὶ πάνθ' ὅσα φίλα τούτοις ἦν ὑπήνεγκεν εἰς αὐτήν. Ἠφανισμένων δ' οὕτως ὡς μηδὲ φθῆναί τινα γνῶναι, συνήει τε πάλιν τῆς γῆς τὸ περὶ ἐκείνοις κεχηνὸς καὶ καθίστατο, ὡς μηδ' εἰ πάθοι τι τῶν προειρημένων φανερὸν εἶναι τοῖς ὁρῶσι. Καὶ οἱ μὲν οὕτως ἀπώλοντο, ἐπίδειξις τῆς ἰσχύος τοῦ Θεοῦ γενόμενοι. Ὀδύραιτο δ' ἄν τις οὐ μόνον τῆς συμφορᾶς αὐτοὺς, καὶ καθ' αὑτὴν οὔσης ἀξίας οἴκτου, ἀλλ' ὅτι καὶ τοιαῦτα παθόντων ἐφήσθησαν οἱ συγγενεῖς. Τῶν γὰρ συντεταγμένων ἐκλαθόμενοι, πρὸς τὴν ὄψιν τοῦ συμβεβηκότος ἐβεβαίουν τὴν κρίσιν, καὶ νομίζοντες ὡς ἀλιτηρίους ἀπολωλέναι τοὺς περὶ Δαθάμνην οὐδ' ἐλυποῦντο.

δ'. Μωϋσῆς δὲ καλεῖ τοὺς περὶ τῆς ἱερωσύνης ἀμιλλωμένους, διὰ τὴν τῶν ἱερέων δοκιμασίαν, ἵν' οὗ προσδέξηται τὴν θυσίαν ὁ Θεὸς ἥδιον, ἐκεῖνος ᾖ κεχειροτονημένος. Συνελθόντων δὲ πεντήκοντα καὶ διακοσίων ἀνδρῶν, οἳ καὶ διὰ πατέρων ἀρετὴν ἐτιμῶντο παρὰ τῷ λαῷ, καὶ διὰ τὴν αὑτῶν ἦ κἀκείνους ὑπερεβάλλοντο, προῆλθον καὶ Ἀαρὼν καὶ Κορῆς, καὶ πρὸ τῆς σκηνῆς πάντες καθήγιζον ἐπὶ τοῖς θυμιατηρίοις ὁπόσα κομίζοντες ἔτυχον. Ἐξέλαμψε δὲ πῦρ τοσοῦτον ὅσον οὔτε χειροποίητον ἱστόρησέ τις οὔτε γῆθεν ἀναδοθὲν κατὰ ὑποδρομὴν καύματος, οὔτε κατὰ βίαν πνευμάτων ὕλης πρὸς αὐτὸ παρατριβείσης αὐτομάτως ἐξεκρούσθη, ἀλλ' ὁποῖον Θεοῦ κελεύσαντος ἀφθείη, λαμπρὸν καὶ φλογωδέστατον· ὑφ' οὗ πάντες, οἵ τε διακόσιοι καὶ οἱ πεντήκοντα καὶ Κορῆς, ἅξαντος ἐπ' αὐτοὺς ἐφθάρησαν, ὡς καὶ τὰ σώματα αὐτῶν ἀφανῆ γεγονέναι. Περισώζεται δὲ μόνος Ἀαρὼν, μηδὲν ὑπὸ τοῦ πυρὸς βλαβείς, τῷ τὸν Θεὸν εἶναι τὸν οὓς ἔδει καίειν ἀπεσταλκότα. Μωϋσῆς δὲ τούτων ἀπολομένων βουλόμενος τὴν τιμωρίαν αὐτῶν μνήμῃ παραδοθῆναι καὶ τοὺς αὖθις ἐσομένους αὐτὴν μαθεῖν, ἐκέλευσεν Ἐλεάζαρον τὸν Ἀαρῶνος υἱὸν τὰ θυμιατήρια αὐτῶν παρὰ τὸν χάλκεον καταθέσθαι βωμὸν, ὡς ἂν ὑπόμνησις εἴη τοῖς αὖθις ὧν ἔπαθον, ὅτι τὴν ἰσχὺν τοῦ Θεοῦ νομίσειαν ἀπατᾶσθαι δύνασθαι. Καὶ Ἀαρὼν μὲν οὐκ ἔτι τῇ Μωϋσέως χάριτι τὴν ἀρχιερωσύνην ἔχειν δοκῶν, ἀλλὰ τῇ τοῦ Θεοῦ κρίσει φανερᾷ γενομένῃ, μετὰ τῶν υἱῶν ἤδη βεβαίως ἀπέλαυε τῆς τιμῆς.

3. Hæc ubi lacrimans dixerat, repente quidem terra movetur, atque agitatione similiter ac in mari facta, quum a ventorum vi concientur fluctus, universi quidem attoniti sunt : sono autem et gravi strepitu excitato, juxta eorum tentoria solum subsidit, et illos et quicquid eis carum erat absorpsit. Istis autem citius deletis quam animadvertere quis posset, rursus terra, circa illos hiatu patefacta, arcte adeo coiit et constitit, ut spectantibus ne minimum quidem ejus, quod illi acciderat, vestigium apparuerit. Et isti quidem hoc modo exitio dati sunt, in argumentum Dei potentiæ. Est autem ut illos lugeret aliquis non solum propter calamitatem, vere miseratione dignam, sed et quod ex istis quæ perpessi sunt gaudium ceperint cognati. Nam necessitudinis obliti, ad aspectum eorum quæ evenerant, judicium Dei læti comprobarunt, ratique Dathamnen cum suis ut *reipublicæ* pestem et perniciem periisse, minime dolebant.

4. Moyses autem eos evocat qui de sacerdotio contenderent, ad explorandum quinam futuri essent sacerdotes, ut cujus sacrificium Deo magis gratum et acceptum foret, is *in sacerdotium* cooptaretur. Quum vero convenissent ducenti et quinquaginta viri, qui quum propter patrum virtutem habiti sunt in honore a populo, tum propter suam qua majoribus suis prælucebant, prodierunt etiam Aaron et Cores, atque omnes ante tabernaculum adolebant odoramenta quæ secum attulerant. Tantus autem ignis effulsit, quantum neque manibus factum quisquam conspexerat neque ex ignibus subterraneis erumpentem, neque e silvis vi ventorum allisis et attritis sponte prosilientem, sed qualis Deo jubente accendi poterat, fulgentissimus simul ac flagrantissimus : cujus in illos impetu universi, tam ducenti et quinquaginta viri quam Cores, ita sunt absumpti, ut ne cadaverum quidem reliquiæ comparuerint. Solus autem Aaron superfuit ab igne illæsus, quod Deus erat qui ab comburendum quos oportebat eum demiserit. Moyses autem, ubi illi perierant, hoc agens ut supplicii hujus indicium esset ad memoriam sempiternam, volensque ut seri nepotes factum agnoscerent, præcepit Eleazaro, Aaronis filio, ut acerras illorum ad aram æneam deponeret, posteris in monumentum eorum quæ passi sunt, quod sibi persuaserint Dei potentiam circumveniri posse. Et Aaron quidem, quum non amplius Moysis munere, sed Dei judicio omnibus patefacto, sacerdotium obtinere visus fuerit, cum filiis suis eo honore jam firme perfruebatur.

ΚΕΦ. Δ'.

Τὴν μέντοι στάσιν οὐδ' οὕτως συνέβη παύσασθαι, πολλῷ δὲ μᾶλλον αὔξειν καὶ φύεσθαι χαλεπωτέραν· ἐλάμβανε δὲ τῆς ἐπὶ τὸ χεῖρον προκοπῆς αἰτίαν, ὑφ' ἧς οὐδέποτε λήξειν τὸ δεινὸν εἰκὸς ἦν, ἀλλ' εἰς χρόνον παραμενεῖν. Οἱ γὰρ ἄνθρωποι πεπιστευκότες ἤδη μηδὲν γίνεσθαι δίχα τῆς τοῦ Θεοῦ προνοίας, οὐκ ἐβούλοντο ταῦτα χωρὶς τῆς εἰς Μωϋσῆν χάριτος τοῦ Θεοῦ

CAP. IV.

Non ita tamen contigit ut deflagraret seditio, sed ut multo magis cresceret et acrius ingrueret. Subjiciebatur autem causa cur in pejus res in dies verterentur, ex qua malum nunquam cessaturum esse verisimile erat, sed longo tempore duraturum. Quum enim jam animos hominum occupasset persuasio nihil sine Dei voluntate geri, non arbitrabantur

πεπρᾶχθαι· κατηγόρουν δ' αὐτοῦ τὴν ὀργὴν τοῦ Θεοῦ γίνεσθαι τοσαύτην οὐχ οὕτω διὰ τὴν τῶν κολασθέντων ἀδικίαν ὡς Μωϋσέως πραγματευσαμένου· καὶ τοὺς μὲν διεφθάρθαι μηδὲν ἐξαμαρτόντας ἢ ὅτι περὶ τὴν τοῦ Θεοῦ θρησκείαν ἐσπουδάκεισαν, τὸν δὲ τοιούτων ἀνδρῶν ὀλέθρῳ καὶ πάντων ἀρίστων ἐζημιωκότα τὸν λαόν, πρὸς τῷ μηδεμίαν ὑποσχεῖν δίκην, ἔτι καὶ τὴν ἱερωσύνην ἀναμφίλεκτον τἀδελφῷ παρασχεῖν. Οὐδένα γὰρ ἔτ' αὐτῆς ἄλλον ἀντιποιήσασθαι, καὶ τοὺς πρώτους ὁρῶντα κακῶς ἀπολωλότας. Ἔτι γε μὴν καὶ παρὰ τῶν οἰκείων τοῖς διεφθαρμένοις δέησις ἐγένετο πολλὴ τοῦ πλήθους, μειῶσαί τι τῆς Μωϋσέως μεγαλαυχίας· ἀσφαλὲς γὰρ αὐτῷ τοῦτ' εἶναι.

β'. Μωϋσῆς δὲ (καὶ γὰρ ἐκ πολλοῦ συνιστάμενον ἠκροᾶτο τὸν θόρυβον) δείσας μή τι νεωτερίσωσι πάλιν καὶ γένηταί τι μέγα καὶ χαλεπὸν, συνήγαγε τὸ πλῆθος εἰς ἐκκλησίαν, καὶ περιμένων ἠκροᾶτο εἰς ἀπολογίαν οὐ καθιστάμενος, ἵνα μὴ παροξύνῃ τὸ πλῆθος, αὐτὸ δὲ μόνον τοῖς φυλάρχοις προειπὼν, κομίζειν τὰ τῶν φυλῶν ὀνόματα βακτηρίαις ἐπιγεγραμμένα· λήψεσθαι γὰρ ἐκεῖνον τὴν ἱερωσύνην, οὗπερ ἂν ὁ Θεὸς ἐπισημήνῃ τῇ βακτηρίᾳ. Δόξαν οὖν, κομίζουσιν οἵ τε ἄλλοι καὶ Ἀαρὼν, ἐπιγράψας Λευΐτιν ἐν τῇ βακτηρίᾳ· καὶ ταύτας Μωϋσῆς ἐν τῇ σκηνῇ τοῦ Θεοῦ κατατίθησι. Τῇ δὲ ἐπιούσῃ προεκόμισε τὰς βακτηρίας· γνώριμοι δ' ἦσαν, κατασημηναμένων αὐτὰς τῶν τότε ἀνδρῶν, οἵπερ ἐκόμιζον, καὶ τοῦ πλήθους. Καὶ τὰς μὲν ἄλλας ἐφ' οὗπερ αὐτὰς σχήματος Μωϋσῆς παρέλαβεν, ἐπὶ τούτου μεμενηκυίας ἔβλεπον· ἐκ δὲ τῆς Ἀαρῶνος βλαστούς τε καὶ κλάδους ἀναφύντας ἑώρων καὶ καρπὸν ὡραῖον· ἀμύγδαλα δ' ἦν, ἐκ τούτου τοῦ ξύλου τῆς βακτηρίας κατεσκευασμένης. Ἐκπλαγέντες δ' ἐπὶ τῷ παραδόξῳ τῆς θέας, εἰ καί τισι διὰ μίσους ἦν ὁ Μωϋσῆς καὶ Ἀαρὼν, ἀφέντες τοῦτο θαυμάζειν ἤρξαντο τὴν τοῦ Θεοῦ περὶ αὐτῶν κρίσιν, καὶ τὸ λοιπὸν, ἐπευφημοῦντες τοῖς δεδογμένοις τῷ Θεῷ συνεχώρουν Ἀαρῶνι καλῶς ἔχειν τὴν ἀρχιερωσύνην. Καὶ ὁ μὲν τρὶς αὐτὸν τοῦ Θεοῦ χειροτονήσαντος βεβαίως εἶχε τὴν τιμήν· ἡ δὲ τῶν Ἑβραίων στάσις πολὺν ἀκμάσασα χρόνον τοῦτον ἐπαύθη τὸν τρόπον.

γ'. Μωϋσῆς δὲ πολέμου καὶ στρατείας τὴν τῶν Λευιτῶν ἀφίησι φυλὴν, θεραπεύουσαν τὸν Θεὸν, ἵνα μὴ δι' ἀπορίαν μηδὲ ζήτησιν τῶν εἰς τὸν βίον ἀναγκαίων ἀμελοῖεν τοῦ ἱεροῦ, κατὰ βούλησιν δὲ τοῦ Θεοῦ τὴν Χαναναίαν κτησαμένους τοὺς Ἑβραίους ἐκέλευε κατανεῖμαι τοῖς Λευίταις ὀκτὼ καὶ τεσσαράκοντα πόλεις ἀγαθὰς καὶ καλὰς, τῆς τε πρὸ αὐτῶν γῆς περιγράψαντας εἰς δισχιλίους πήχεις ἀπὸ τῶν τειχῶν αὐτοῖς ἀνεῖναι. Πρὸς τούτοις δὲ καὶ τὸν λαὸν ἐξέταξε τῶν ἐπετείων καρπῶν δεκάτην αὐτοῖς τε τοῖς Λευίταις καὶ ἱερεῦσι τελεῖν. Καὶ ἃ μὲν ἡ φυλὴ παρὰ τοῦ πλήθους λαμβάνει, ταῦτ' ἐστίν. Ἀναγκαῖον δ' ἡγησάμην ἃ τοῖς ἱερεῦσιν ἴδια παρὰ πάντων γίνεται δηλῶσαι.

δ'. Τῶν μὲν τεσσαράκοντα καὶ ὀκτὼ πόλεων τρισ-

Deum nisi in gratiam Moysis ista facere, huic autem acceptum referebant, quod Deus adeo illis succenseret et irasceretur, non tam punitorum iniquitate commotus quam a Moyse sollicitatus. Et illos quidem periisse *dicebant* non ob aliud delictum quam quod Dei cultui et religioni studuerint, ipsum vero talium virorum et omnium optimorum interitu populum multasse, ut nunquam reus fieri amplius posset, insuper et fratri indubie confirmatum iret sacerdotium. Posthac enim neminem illud affectaturum esse, quum aliis id in perniciem cessisse compererit. Ad hæc etiam cognati exstinctorum multis agebant apud populum, ut Moysis arrogantiam aliquantulum minuerent: id quod in suam incolumitatem esset et salutem.

2. Moyses autem, qui et multo ante populum motu cieri et perturbari resciverat, metuens ne qui rursum res novas molirentur, et magnum aliquod malum accideret, in concionem multitudinem congregavit, et patienter audivit *quæ dicerent*, nihil in sui excusationem conatus, ne vulgus magis irritaretur: hoc solum principibus tribuum præcepit, ut virgas afferrent tribuum nominibus inscriptas: illum enim accepturum esse sacerdotium, in cujus virga signum Deus ediderit. Quod ubi placuit, *signatas* attulerunt quum alii, tum Aaron, inscriptum habens in sua tribum Leviticam: atque eas Moyses in Dei tabernaculum deposuit. Sequenti vero die virgas protulit; facile enim agnosci poterant, quod essent et a principibus qui *eas* adduxerant et a cetero populo notatæ. Et ceteras quidem videbant eadem specie manere qua eas acceperat Moyses, ex Aaronis autem virga ramos et germina exorta spectabant fructusque maturos. Amygdalæ autem erant, quod ex eo ligno facta esset virga. Mira vero spectaculi novitate attoniti, omissis odiis quibus nonnulli tam Moysen quam Aaronem prosequebantur, in admirationem ferebantur Dei de ea re judicii: et de cetero, quum non potuerint non iis applaudere quæ Deus decreverat, conceditur Aaronem rite habere sacerdotium. Et illi quidem ter divinitus electo stabilis mansit dignitas; Hebræorum autem seditio, quæ longo viguerat tempore, hoc modo conquievit.

3. Moyses vero tribum Leviticam bellorum et expeditionum immunem esse sivit Dei ministerio dicatam, ne forte rerum inops et in parandis ad vitam necessariis occupata sacrorum curam negligeret; ac mandavit Hebræis ut, quum Deo volente terram Chananæam possiderent, urbes duodequinquaginta præclaras et eximias Levitis distribuerent, et agrum pro mœnibus ad cubitos bis mille in circuitu iis assignarent. Adhæc autem et populo imperavit ut annui fructus decimas ipsisque Levitis et sacerdotibus penderent. Atque hæc quidem sunt quæ accipit hæc tribus a populo. Necessarium autem duxi, quæ ab omnibus *collata* sacerdotum propria sint declarare.

4. Ex quadraginta quidem et octo civitatibus jussit ut

καίδεκα παραχωρῆσαι τοὺς Λευίτας αὐτοῖς προσέταξε, καὶ τῆς δεκάτης ἧς παρὰ τοῦ λαοῦ κατ' ἔτος λαμβάνουσι δεκάτην αὐτοῖς ἀπομερίζειν. Ἔτι δὲ ἀπαρχὰς τὸν λαὸν δίκαιον τῷ Θεῷ πάντων τῶν ἐκ τῆς γῆς φυομένων καρπῶν ἐπιφέρειν· καὶ τῶν τετραπόδων δὲ τῶν εἰς τὰς θυσίας νενομισμένων τὸ γεννηθὲν πρῶτον, ἂν ἄρσεν ᾖ, καταθῦσαι παρασχεῖν τοῖς ἱερεῦσιν, ὥστε αὐτοὺς πανοικὶ σιτεῖσθαι ἐν τῇ ἱερᾷ πόλει· τῶν δ' οὐ νενομισμένων ἐσθίειν παρ' αὐτοῖς κατὰ τοὺς πατρίους νόμους τοὺς δεσπότας τῶν τικτομένων σίκλον καὶ ἥμισυ αὐτοῖς ἀναφέρειν, ἀνθρώπου δὲ πρωτοτόκου πέντε σίκλους. Εἶναι δὲ ἀπαρχὰς αὐτοῖς καὶ τῆς τῶν προβάτων κουρᾶς, τούς τε πέττοντας τὸν σῖτον καὶ ἀρτοποιουμένους τῶν πεμμάτων αὐτοῖς τινα χορηγεῖν. Ὅσοι δ' ἂν αὐτοὺς καθιερῶσιν εὐχὴν πεποιημένοι, (Ναζαραῖοι δ' οὗτοι καλοῦνται, κομῶντες καὶ οἶνον οὐ προσφερόμενοι,) τούτων, ὅταν τὰς τρίχας ἀφιερῶσιν ἐπὶ θυσίᾳ τε δρῶσι, τὰς κουρὰς νέμεσθαι πρὸς τοὺς ἱερέας. Καὶ οἱ κορβᾶν αὐτοὺς ὀνομάσαντες τῷ Θεῷ (δῶρον δὲ τοῦτο σημαίνει κατὰ Ἑλλήνων γλῶτταν) βουλομένους ἀφίεσθαι τῆς λειτουργίας τοῖς ἱερεῦσι καταβάλλειν ἀργύριον, γυναῖκα μὲν τριάκοντα σίκλους, ἄνδρα δὲ πεντήκοντα· ὅσοι δ' ἂν ἐνδεέστερα τῶν ὡρισμένων ἔχωσι χρημάτων, τοῖς ἱερεῦσιν ἐξεῖναι περὶ τούτων ὡς βούλονται δοκιμάσαι. Εἶναι δὲ καὶ τοῖς κατ' οἶκον θύουσιν, εὐωχίας ἕνεκα τῆς αὐτῶν, ἀλλὰ μὴ θρησκείας, ἀνάγκην κομίζειν τοῖς ἱερεῦσιν ἥνυστρόν τε καὶ χελύνιον καὶ τὸν δεξιὸν βραχίονα τοῦ θύματος. Καὶ τοῖς μὲν ἱερεῦσι Μωϋσῆς τοσαύτην, πάρεξ ὧν ὑπὲρ ἁμαρτημάτων θύων ὁ λαὸς δίδωσιν αὐτοῖς, ὡς ἐν τῇ πρὸ ταύτης βίβλῳ δεδηλώκαμεν, εὐπορίαν ἐπενόησε. Πάντων δὲ τῶν τοῖς ἱερεῦσι τελουμένων κοινωνεῖν διέταξε καὶ τοὺς οἰκέτας, καὶ θυγατέρας καὶ γυναῖκας, ἔξω τῶν ὑπὲρ ἁμαρτημάτων ἐπιφερομένων θυσιῶν· ταύτας γὰρ ἐν τῷ ἱερῷ μόνοι δαπανῶσιν οἱ ἄρρενες τῶν ἱερέων αὐθημερόν.

ε'. Ὡς δὲ ταῦτα μετὰ τὴν στάσιν Μωϋσῆς διέταξεν, ἄρας μετὰ πάσης τῆς στρατιᾶς ἐπὶ τοὺς τῆς Ἰδουμαίας ὅρους ἦλθε. Καὶ πρέσβεις πρὸς τὸν βασιλέα τῶν Ἰδουμαίων πέμψας ἠξίου δίοδον αὐτῷ παρασχεῖν, πίστεις, ἃς αὐτὸς ἐθέλοι λαβεῖν ὑπὲρ τοῦ μηδὲν ἀδικηθήσεσθαι, δώσειν ὁμολογῶν, ἀγοράν τε τῷ στρατῷ χορηγῆσαι, εἰ καὶ τιμὴν τοῦ ὕδατος αὐτοὺς κελεύσειε καταβαλεῖν. Ὁ δ' οἷς ἐπρεσβεύσατο Μωϋσῆς οὐκ ἀρεσκόμενος, οὐδὲ συγχωρῶν τὴν δίοδον, ἔνοπλον τὴν στρατιὰν ἀγαγὼν προαπήντα τῷ Μωϋσῇ, κωλύσων αὐτούς, εἰ τολμήσειαν βίᾳ περαιοῦσθαι. Καὶ Μωϋσῆς (ἄρχειν γὰρ μάχης οὐ συνεβούλευσεν ὁ Θεὸς χρωμένῳ) τὴν δύναμιν ὑπανῆγε, διὰ τῆς ἐρήμου ἐκπεριών.

ς'. Τότε δὴ καὶ τὴν ἀδελφὴν αὐτοῦ Μαριάμμην τελευτὴ τοῦ βίου καταλαμβάνει, τεσσαρακοστὸν ἔτος πεπληρωκυῖαν ἀφ' οὗ τὴν Αἴγυπτον κατέλιπε, μηνὸς δὲ Ξανθικοῦ νουμηνίᾳ κατὰ σελήνην. Θάπτουσι δὲ αὐτὴν δημοσίᾳ πολυτελῶς ὑπέρ τινος ὄρους, ὃ καλοῦσι

Levitæ concederent eis tredecim, et decimarum a populo quotannis acceptarum decimas ipsis impertirent. Præterea autem sancivit ut populus primitias frugum omnium e terra nascentium Deo offerret, et ex quadrupedibus, quæ mactare fas est, primogenitum, si masculum fuerit, immolandum sacerdotibus adducat, ut eo cum familiis vescantur in urbe sacra. At pro eis quæ comedere patria lex vetat, dominum fœtus sesquisiclum dependere *præcepit*, pro homine vero primogenito siclos quinque. Deberi eis etiam *voluit* primitias tonsuræ ovium; et ut triticum pinsentes panemque conficientes de quavis massa libum eis præberent. Qui vero voto concepto semetipsos *Deo* consecrant, (Nazaræi quidem isti appellantur, comam nutrientes et vino abstinentes,) horum tonsuras, quum cæsariem sacrificio adhibito dedicant, sacerdotibus dari *placuit*. Item qui semet corban Deo nuncuparunt (hoc autem, si ex Hebræo interpreteris, donum, significat) quum a ministerio, *cui semet devoverant*, liberari gestiunt, sacerdotibus pecuniam numerare *mandavit*, mulierem quidem siclos triginta, virum autem quinquaginta: quibus vero non tantum suppetit pecuniæ, hos sacerdotum arbitrio relinquendos. Porro si quis domi sacra faciat ad privatum epulum, non ob cultum divinum, necesse habet sacerdotibus offerre omasum, pectusculum armumque pecoris dextrum. Atque hanc quidem Moyses rerum abundantiam sacerdotibus constituit, præter ea quæ ex victimis pro populo piacularibus illis obveniunt, prout in libro proxime præcedente declaravimus. Ex iis autem omnibus, quæ sacerdotibus tribuere solenne est, ut famuli, filiæ et uxores participarent, edixit, iis hostiis exceptis, quæ pro peccatis offeruntur: has enim soli *e* sacerdotum *familia* masculi eodem die in templo absumunt.

5. Hæc autem quum Moyses post seditionem constituisset, castra movens cum omnibus copiis et exercitu ad Idumææ limites pervenit: ac, missis ad regem Idumæorum legatis, petebat ut per suos fines ipsum ire pateretur, cautiones quascunque accipere libuerit daturum pollicens, se ab omni injuria et maleficio temperaturos; præterea forum rerum venalium suis exhiberi *poscebat*, persoluturus vel aquæ pretium, si rex ita juberet. Ille vero, quum ea, de quibus Moyses legationem miserat, sibi displicerent, noluit iter concedere, sed cum armatis copiis Moysi obviam curri, eos prohibiturus si se invito transire conarentur. Moyses itaque (nam ei oraculum sciscitanti auctor erat Deus ne pugnam auspicaretur) exercitum subduxit, circuitu per desertum iter facturus.

6. Eo etiam tempore Mariamma ejus soror diem obiit supremum, anno quadragesimo completo ex quo Ægyptum reliquerat, mensis Xanthici neomenia secundum lunam. Eam autem, magnifico funere elatam, sumptu publico se-

Σίν· καὶ πενθήσαντα ἐπὶ τριάκοντα ἡμέρας τὸν λαὸν ἐκάθηρε Μωϋσῆς τούτῳ τῷ τρόπῳ. Μόσχον θήλειαν, ἀράτρου μὲν καὶ γεωργίας ἄπειρον, ὁλόκληρον δὲ, ξανθὴν πᾶσαν, μικρὸν ἄπωθεν τοῦ στρατοπέδου προαγαγὼν εἰς χωρίον καθαρώτατον, ὁ ἀρχιερεὺς ἔθυσέ τε καὶ τοῦ αἵματος ἑπτάκις ἔρρανε τῷ δακτύλῳ ἀντικρὺ τῆς σκηνῆς τοῦ Θεοῦ· ἔπειτα καιομένης ὡς εἶχεν ὅλης τῆς δαμάλεως σὺν τῇ δορᾷ καὶ τοῖς ἐντὸς ξύλον κέδρινον εἰς μέσον ἐμβάλλουσι τὸ πῦρ καὶ ὕσσωπον καὶ φοινικτὸν ἔριον. Συναγαγὼν δ' αὐτῆς ἅπασαν τὴν τέφραν ἄγνὸς ἀνὴρ κατατίθησιν εἰς χωρίον καθαρώτατον. Τοὺς οὖν ἀπὸ νεκροῦ μεμιασμένους, τῆς τέφρας ὀλίγον εἰς πηγὴν ἐνιέντες καὶ ὕσσωπον, βαπτίσαντές τε καὶ τῆς τέφρας ταύτης εἰς πηγὴν, ἔρρανον τρίτῃ τε καὶ ἑβδόμῃ τῶν ἡμερῶν, καὶ καθαροὶ τὸ λοιπὸν ἦσαν. Τοῦτο δὲ καὶ κατελθοῦσιν εἰς τὰς κληρουχίας προσέταξε ποιεῖν.

ζ'. Μετὰ δὲ τὴν ἐπὶ τῷ πένθει τῆς ἀδελφῆς τοῦ στρατηγοῦ κάθαρσιν τοιαύτην γενομένην ἀπῆγε τὴν δύναμιν διὰ τῆς ἐρήμου καὶ τῆς Ἀραβίας. Ἐλθὼν δ' εἰς χωρίον ὃ μητρόπολιν αὐτῶν Ἄραβες νενομίκασι, πρότερον μὲν Ἄρκην λεγομένην, Πέτραν δὲ νῦν ὀνομαζομένην· ἐνταῦθα, ὑψηλοῦ περιέχοντος ὄρους αὐτὸ, ἀναβὰς Ἀαρὼν ἐπ' αὐτὸ, Μωϋσέως αὐτῷ δεδηλωκότος ὅτι μέλλοι τελευτᾶν, ἅπαντος τοῦ στρατεύματος ὁρῶντος, (κάταντες γὰρ ἦν τὸ χωρίον,) ἀποδύεται τὴν ἀρχιερατικὴν στολὴν, καὶ παραδοὺς αὐτὴν Ἐλεαζάρῳ τῷ παιδὶ, πρὸς ὃν διὰ τὴν ἡλικίαν ἡ ἀρχιερωσύνη παραγίνεται, θνήσκει τοῦ πλήθους εἰς αὐτὸν ἀφορῶντος, τῷ μὲν αὐτῷ τελευτήσας ἔτει, ᾧ καὶ τὴν ἀδελφὴν ἀπέβαλε, βιοὺς δὲ ἔτη τὰ πάντα τρία πρὸς τοῖς εἴκοσι καὶ ἑκατόν. Ἀποθνήσκει δὲ κατὰ σελήνην νουμηνίᾳ, μηνὸς ὄντος παρὰ μὲν Ἀθηναίοις Ἑκατομβαιῶνος καλουμένου, Λῴου δὲ παρὰ Μακεδόσιν, Ἀββὰ δὲ παρ' Ἑβραίοις.

ΚΕΦ. Ε'.

Πένθος δ' ἐπ' αὐτῷ τοῦ λαοῦ τριακονθήμερον ἄγοντος, ἐπεὶ τοῦτ' ἐλώφησεν, ἀναλαβὼν ἐκεῖθεν Μωϋσῆς τὸν στρατὸν, παρῆν ἐπὶ ποταμὸν Ἀρνῶνα, ὃς, ἐκ τῶν τῆς Ἀραβίας ὀρῶν ὁρμώμενος καὶ διὰ πάσης ἐρήμου ῥέων, εἰς τὴν Ἀσφαλτῖτιν λίμνην ἐκδίδωσιν, ὁρίζων τήν τε Μωαβῖτιν καὶ Ἀμωρῖτιν. Γῆ δ' αὕτη καρποφόρος καὶ πλῆθος ἀνθρώπων τοῖς παρ' αὐτῆς ἀγαθοῖς ἱκανὴ τρέφειν. Πρὸς οὖν Σιχῶνα, τὸν βασιλεύοντα τῆς χώρας ταύτης, ἀπέστειλε Μωϋσῆς, τῷ στρατῷ δίοδον αἰτῶν ἐφ' αἷς ἂν θελήσειε πίστεσιν, ὥστε μηδὲν ἀδικηθῆναι μήτε τὴν γῆν μήτε τοὺς ἐνοικοῦντας ὧν Σιχὼν ἐκράτει, τοῖς τε κατὰ τὴν ἀγορὰν χρῆσθαι πρὸς τὸ ἐκείνων λυσιτελὲς, εἰ καὶ τὸ ὕδωρ αὐτοῖς πιπράσκειν ἐθέλοιεν. Σιχὼν δ' ἀρνούμενος ὁπλίζει τὸν οἰκεῖον στρατὸν, καὶ τοὺς Ἑβραίους διαβαίνειν τὸν Ἀρνῶνα κωλύειν ἑτοιμότατος ἦν.

peliverunt super quodam monte qui Sin appellatur; populumque, quum ipsam per triginta dies luxissent, Moyses hoc modo lustravit. Juvencam, arationis et agriculturæ laborum expertem, integro corpore, totam flavam, paululum extra castra educens pontifex, in loco purissimo eam immolavit ejusque sanguinem septies digito aspersit Dei versus tabernaculum : deinde, solida juvenca ita ut procubuit cum pelle ac intestinis ardente, lignum cedrinum medium in ignem injiciunt, simulque hyssopum et lanam coccineam. Hujus autem cinerem universum homo purus colligit et in locum mundissimum reponit. Paulum itaque hujus cineris in fontem immittentes cum hyssopi ramulo, ejusdemque cineris aliquantulum in aquam immergentes, a mortuo pollutos die tertia et septima conspergebant, et sic pro mundis in posterum habebantur. Atque hoc ipsum, quum in terram sorte possidendam devenirent, servari præcepit.

7. Postquam vero exercitus, sororem ducis lugendo funestus, hoc modo lustratus erat, eum cum copiis omnibus duxit *Moyses* per solitudinem et Arabiam. Quumque venisset ad locum, quem Arabes metropolim suam putarunt, (qui prius quidem Arce nominatus est, nunc vero Petra appellatur,) illic, quum *locus* circumdaretur monte excelso, Aaron in verticem ascendens, præmonitus a Moyse quod moriturus esset, in conspectu totius exercitus (declivis enim locus erat) stolam pontificalem exuit, ipsamque tradens Eleazaro filio, ad quem ætatis prærogativâ pertinebat sacerdotium, vita decedit, populo inspectante, moriens quidem eo ipso anno, quo sororem amisit, quumque annos centum complesset et viginti tres. Dies autem obitus incidit in mensis initium secundum lunam, mensis ejus qui Atheniensibus quidem Hecatombæon dicitur, Macedonibus autem Lous, Hebræis vero Abba.

CAP. V.

At quum finitus esset luctus, populo eum per triginta dies deplorante, Moyses, inde cum exercitu proficiscens, castra admovet ad fluvium Arnonem, qui ex Arabiæ montibus ortum ducens et totam solitudinem evagatus in Asphaltitin paludem influit, terram Moabitin et Amoritin disterminans. Tellus autem ista frugifera est, atque ex se satis fructuum suppeditat ad alendam hominum multitudinem. Hinc ad Sichonem, illa regione dominantem, misit legatos Moyses, oratum ut sibi liceret per illius fines exercitum traducere, cautionibus quascunque vellet adhibitis, ut sibi nihil foret quidquam injuriæ, nec agri ejus detrimenti aliquid caperent, nec qui sub ejus ditione sint incolæ : seque rerum venalium foro in eorum commodum usuros, etiamsi vel aquam vendere ipsis voluerint. Sichon vero transitum negans copias suas armatas educit, et se quammaxime comparabat ut Hebræos ab Arnone trajiciendo prohiberet.

β'. Μωϋσῆς δὲ, ὁρῶν πολεμίως αὐτοῖς τὸν Ἀμορραῖον διακείμενον, οὔτε περιφρονούμενος ἀνέχεσθαι δεῖν ἔγνω, καὶ τοὺς Ἑβραίους τῆς ἀπραξίας καὶ τῆς δι' αὐτὴν ἀπορίας, ὑφ' ἧς στασιάσαι τε πρότερον αὐτοῖς συνέπεσε καὶ τότε δυσκόλως εἶχον, ἀπαλλάξαι διαγνοὺς, ἤρετο τὸν Θεὸν εἰ πολεμεῖν αὐτῷ δίδωσι. Τοῦ δὲ Θεοῦ καὶ νίκην ἀποσημήναντος, αὐτὸς θαρσαλέως εἶχε πρὸς τὸν ἀγῶνα, καὶ τοὺς στρατιώτας παρώρμα, νῦν αὐτοὺς ἀξιῶν τῆς τοῦ πολεμεῖν ἡδονῆς ἀπολαύειν, ὅτ' αὐτῇ συγχωρεῖ χρήσασθαι τὸ θεῖον. Οἱ δ' ἧς ἐπόθουν ἐξουσίας λαβόμενοι καὶ τὰς πανοπλίας ἀναλαβόντες εὐθέως ἐχώρουν εἰς τὸ ἔργον. Ὁ δὲ Ἀμορραῖος οὐκέτ' ἦν ἐπιόντων ὅμοιος αὑτῷ, ἀλλ' αὐτός τε κατεπλάγη τοὺς Ἑβραίους καὶ ἡ δύναμις αὐτοῦ παρέγουσα θᾶττον αὑτὴν εὐψυχον εἶναι δοκεῖν, τότ' ἀπηλέγχθη πεφοβημένη. Τὴν πρώτην οὖν σύνοδον οὐχ ὑπομείναντες ἀντιστῆναι καὶ δέξασθαι τοὺς Ἑβραίους, τρέπονται, τοῦτ' αὐτοῖς σωτηρίαν ὑπολαβόντες μᾶλλον ἢ τὸ μάχεσθαι παρέξειν. Ἐθάρρυνν γὰρ ταῖς πόλεσιν οὔσαις ὀχυραῖς, παρ' ὧν οὐδὲν αὐτοῖς ὄφελος ἦν εἰς ταύτας συνδιωχθεῖσιν. Ἑβραῖοι γὰρ, ὡς ἐνδόντας αὐτοὺς εἶδον, εὐθὺς ἐνέκειντο, καὶ παραλύσαντες αὐτῶν τὸν κόσμον εἰς φόβον κατέστησαν. Καὶ οἱ μὲν ἀπορραγέντες ἔφευγον ἐπὶ τῶν πόλεων, οἱ δὲ πρὸς τὴν δίωξιν οὐκ ἔκαμνον, ἀλλ' οἷς προπεπονήκεσαν προσεπιταλαιπωρῆσαι προσθέμενοι, καὶ σφενδονᾶν τε ἄριστοι τυγχάνοντες καὶ πᾶσι τοῖς ἐκβόλοις δεξιοὶ χρῆσθαι, διὰ τὴν ὅπλισιν οὖσαν εὐσταλῆ κοῦφοι πρὸς τὸ διώκειν ὄντες, μετέθεον τοὺς πολεμίους, καὶ τοὺς πορρωτάτω τοῦ συλληφθῆναι γεγονότας ταῖς σφενδόναις καὶ τοῖς τοξεύμασι κατελάμβανον. Φόνος τε οὖν γίνεται πολὺς καὶ τραύμασιν ἐπόνουν οἱ διαφεύγοντες. Ἔκαμνον δὲ ἐπὶ δίψει μᾶλλον ἢ τινι τῶν πολεμικῶν, (καὶ γὰρ ὥρα θέρους ἦν,) καὶ ἐπιθυμίᾳ τοῦ πιεῖν ἐπὶ ποταμὸν τοὺς πλείους καταραχθέντας, καὶ ὅσον συνεστραμμένον ἔφυγε, περιστάντες ἔβαλλον καὶ πάντας αὐτοὺς ἀκοντίζοντες ἅμα καὶ τοξεύοντες διέφθειρον. Ἀποθνήσκει δ' αὐτῶν καὶ Σιχὼν ὁ βασιλεύς. Ἑβραῖοι δὲ νεκροὺς ἐσκύλευον καὶ λείαν ἔλαβον, καὶ πολλὴν ἀφθονίαν τῶν ἐκ γῆς εἶχον, μεστῆς ἔτι τῶν καρπῶν ὑπαρχούσης. Καὶ διεξῄει πᾶσιν ἀδεῶς τὸ στράτευμα προνομῇ χρώμενον, ἁλισκομένων καὶ τῶν πολεμίων· οὐδὲν γὰρ παρὰ τούτων ἦν ἐμπόδιον, τοῦ μαχίμου παντὸς ἀπολωλότος. Ἀμορραίους μὲν οὖν τοιοῦτο πάθος κατέλαβεν, οὔτε φρονήσαι δεινοὺς οὔτε ἀγαθοὺς κατὰ τὸ ἔργον γεγονότας· Ἑβραῖοι δὲ τὴν ἐκείνων γῆν παρελάμβανον. Ἔστι δὲ χωρίον δ τριῶν μεταξὺ ποταμῶν κείμενον ὅμοιον νήσῳ τὴν φύσιν ὑπάρχει, τοῦ μὲν Ἀρνῶνος ἀπὸ μεσημβρίας ὁρίζοντος αὐτὸ, Ἰαβάκχου δὲ τὴν ἀρκτῴαν αὐτοῦ πλευρὰν περιγράφοντος, ὃς εἰς τὸν Ἰορδάνην ποταμὸν ἐκβάλλων ἐκείνῳ καὶ τοῦ ὀνόματος μεταδίδωσι· τὰ μέντοι γε πρὸς τῇ δύσει τοῦ χωρίου περίεισιν αὐτὴν Ἰορδάνης.

γ'. Οὕτως οὖν ἐχόντων τῶν πραγμάτων, ἐπιτίθεται

2. Moyses autem, quum animadvertisset Amorrhæum hostili in ipsos animo esse, haud ferendum contemptum ratus est, secumque statuens Hebræos liberare ab inertia, adeoque ab inopia, propter quam antea in seditionem inciderant, et quam tunc difficulter admodum ferebant, consuluit Deum an ipsum armis dimicare pateretur. Deo vero *annuente* et victoriam adeo pollicente, magna cum fiducia ad certamen se accinxit, militibusque animos accendit, nunc eos monens pugnandi cupiditatem explere, quum Deus ea uti illis concesserit. Illi vero accepta quam desiderarant potestate armisque sumptis ad pugnam ineundam properabant. Amorrhæus autem, quum illi ingruerent, non erat amplius sui similis; sed et ipse timore perculsus est ad conspectum Hebræorum, et exercitus ejus, qui ita se prius gerebat ut fortiter animatus esse videretur, tunc se perterritum ostendit. Primo itaque congressui non ausi resistere, impetumve Hebræorum excipere, terga vertunt, hoc potius modo suæ se saluti consulturos esse existimantes, quam prælium committendo. Munitis enim urbibus plurimum fidebant, quæ illis, in eas vi compulsis, nihil profuturæ erant. Hebræi namque, ut eos cedere deprehenderunt, sine mora illis instabant, solutisque eorum ordinibus in formidinem conjiciebant. Et illi quidem, perfracta acie fuga sese in urbes recipiebant, Hebræi autem non segnes erant nec defessi in persequendo, verum iis, quibus ante fatigati fuerant, perseverantiam adjicientes, quum essent funditores optimi et cujuscunque e longinquo jaculationis periti, *ideoque* propter armaturam leviorem ad insequendum agiles et expediti, cursu adæquabant hostes, et eos, qui longius aufugerant quam ut comprehendi potuerint, fundis et jaculis assequebantur. Multa itaque cædes facta est et effugientes vulneribus laborabant. Vexabat autem eos sitis magis quam hostium aliquis, (erat enim æstatis tempus,) et quamplurimos, desiderio potus ad fluvium deturbatos, et quotquot densis agminibus fugerant, circumstantes telis petebant, eosque jaculis simul et sagittis ferientes omnes occidebant. Sichon etiam rex eorum occidit. Hebræi autem cæsos spoliabant prædamque agebant, ac terra illis rerum *omnium* copiam suppeditabat, quod adhuc magna vis frugum in agris superesset; insuper et milites ubique sine metu, captis omnibus qui hostilia minitabantur, pabulatum egressi sunt : nihil enim iis impedimento erat, quum qui arma ferre posset quisque occubuisset *in prælio*. Atque hujusmodi quidem calamitas illata est Amorrhæis qui nec consilio prudenter, nec armis fortiter sunt usi. Hebræi vero terram eorum acceperunt. Est autem regio tres inter fluvios sita, insulæ plane similis, Arnone quidem, qua meridiem spectat, eam claudente, Jabaccho vero latus ejus septentrionale ambiente, qui in Jordanem fluvium sese exonerans nomen suum amittit : at quod reliquum erat terræ ad occasum, illud Jordanes alluit.

3. Quum res ita se haberent, Israelitis bellum movet

τοῖς Ἰσραηλίταις Ὤγης, ὁ τῆς Γαλαδηνῆς καὶ Γαυλανίτιδος βασιλεὺς, στρατὸν ἄγων, καὶ σπεύδων μὲν ὡς ἐπὶ συμμαχίαν τὴν Σιχῶνος φίλου τυγχάνοντος, εὑρὼν δὲ ἐκεῖνον ἤδη προαπολωλότα, καὶ οὕτως ἔγνω τοῖς Ἑβραίοις εἰς μάχην ἐλθεῖν, περιέσεσθαί τε νομίζων καὶ τῆς ἀρετῆς αὐτῶν διάπειραν βουλόμενος λαβεῖν. Διαμαρτὼν δὲ τῆς ἐλπίδος αὐτός τε ἀποθνήσκει κατὰ τὴν μάχην καὶ σύμπας ὁ στρατὸς αὐτοῦ διαφθείρεται. Μωϋσῆς δὲ τὸν ποταμὸν Ἰάβαχχον περαιωσάμενος διεξήει τῆς Ὤγου βασιλείας, τάς τε πόλεις καταστρεφόμενος καὶ κτείνων πάντας τοὺς ἐνοικοῦντας, οἳ καὶ πλούτῳ διέφερον πάντων τῶν ἐκείνῃ ἠπειρωτῶν, δι' ἀρετὴν γῆς καὶ πλῆθος χρημάτων. Ὤγῃ δὲ μέγεθός τε καὶ κάλλος ἦν οἷον ὀλίγοις σφόδρα· ἦν δὲ κατὰ χεῖρα γενναῖος ὁ ἀνὴρ, ὡς ἴσα τὰ τῶν ἔργων εἶναι τοῖς τοῦ μεγέθους καὶ τῆς εὐπρεπείας πλεονεκτήμασι. Τὴν δ' ἰσχὺν αὐτοῦ καὶ τὸ μέγεθος ἐτεκμηριώσαντο κλίνην αὐτοῦ λαβόντες ἐν Ῥαβαθᾶ πόλει τῶν βασιλείων τῆς Ἀμμανίτιδος, τῇ μὲν κατασκευῇ σιδηρέαν, τεσσάρων δὲ πηχῶν τὸ εὖρος, μήκει δὲ τοῦ διπλασίονος ἐνὶ πήχει μείζονα. Τούτου τοίνυν πταίσαντος, οὐκ εἰς τὸ παρὸν μόνον τοῖς Ἑβραίοις ἐπέδωκε τὰ πράγματα, ἀλλὰ καὶ πρὸς τὸ μέλλον ἀγαθῶν αὐτοῖς αἴτιος ἀποθανὼν ὑπῆρξε. Καὶ γὰρ πόλεις ἑξήκοντα λαμπρῶς πάνυ τετειχισμένας ὑποτελεῖς ἐκείνῳ παρέλαβον, καὶ λείαν πολλὴν ἰδίᾳ τε καὶ δημοσίᾳ πάντες εὐπόρησαν.

Oges, Galadenæ et Gaulanitidis rex, exercitum ipse ducens, et festinans quidem ut suppetias ferret Sichoni, amico suo et socio : comperto autem quod is jam exstinctus occidisset, nihilominus ipsi constitutum erat cum Hebræis armis dimicare, non dubitanti quin vinceret illos, volentique virtutis eorum periculum facere. De spe vero sua decidens et ipse in prœlio perit et exercitus ejus ad unum interimitur. Moyses autem, Jabaccho fluvio trajecto, Ogis regnum peragrabat, et urbes evertens et incolas omnes ferro perimens, qui cunctos istius terræ incolas divitiis superabant, quum ob soli fertilitatem, tum ob facultatum abundantiam. Ogi vero ea erat magnitudo et pulcritudo qualis paucis admodum *contigit;* erat etiam vir ille manu *adeo* strenuus, ut præclara ejus facinora responderint staturæ proceritati et *formæ decori præcellenti.* De viribus autem ejus et amplitudine conjecturam fecerunt ex cubili in Rabatha urbe regia Ammanitidis capto, e ferro quidem fabricato, in latitudinem autem quattuor cubitos patente, longitudine vero uno cubito duplici illa mensura majore. Eo itaque cadente, Hebræis non solum in præsens res feliciter cesserunt, sed in reliquum tempus iis bene vertebat illius mors. Urbes enim sexaginta egregie munitas, ejus imperio subjectas, ceperunt, multamque prædam et seorsum singuli et communiter omnes adepti sunt.

ΚΕΦ. Ϛ'.

Μωϋσῆς μὲν οὖν στρατοπεδεύει, ἀγαγὼν τὴν δύναμιν ἐπὶ τὸν Ἰορδάνην, κατὰ τὸ μέγα πεδίον Ἱεριχοῦντος ἀντικρύ. Πόλις δ' ἐστὶν εὐδαίμων αὕτη, φοίνικάς τε φέρειν ἀγαθὴ καὶ βάλσαμον νεμομένη. Ἤρχοντο δὲ φρονεῖν ἐφ' ἑαυτοῖς μέγα οἱ Ἰσραηλῖται καὶ τὴν πρὸς τοὺς πολέμους ἐπιθυμίαν ὑπερέτεινον. Καὶ Μωϋσῆς ὀλίγων ἡμερῶν θύσας χαριστήρια πρῶτον τῷ Θεῷ, καὶ τὸν λαὸν εὐωχήσας, μέρος τι τῶν ὁπλιτῶν ἐξέπεμψε, δηώσοντας τὴν Μαδιανιτῶν γῆν καὶ τὰς πατρίδας αὐτῶν ἐκπολιορκήσοντας. Τοῦ δ' ἐκπολεμωθῆναι πρὸς αὐτοὺς αἰτίαν ἔλαβε τοιαύτην.

CAP. VI.

Moyses itaque, exercitum ducens Jordanem versus, in magna planitie e regione Hierichuntis castra metatur. Illa autem urbs est opulenta, palmarum feracissima et balsami copia abundans. Jamque cœperunt Israelitæ animis efferri et insolito pugnandi desiderio flagrare. Ac Moyses, quum per aliquot dies victimas pro gratiarum actione Deo prius immolasset et populum epulis excepisset, copiarum partem ad Madianitarum terram populandam vastandamque emisit, et ad patrias eorum urbes expugnandas. Bellum autem iis intulit ex hujusmodi causa.

β'. Βάλακος ὁ τῶν Μωαβιτῶν βασιλεὺς, φιλίας αὐτῷ πατρῴας οὔσης καὶ συμμαχίας πρὸς Μαδιανίτας, ἐπεὶ τοὺς Ἰσραηλίτας τοσοῦτο φυομένους ἑώρα καὶ περὶ τῶν αὑτοῦ πραγμάτων λίαν εὐλαβὴς ἦν, (καὶ γὰρ οὐδ' ἐπέπυστο γῆν ἄλλην οὐ πολυπραγμονεῖν τοὺς Ἑβραίους, ἀπηγορευκότος τοῦ Θεοῦ, κτησαμένους τὴν Χαναναίων,) καὶ θᾶττον ἢ φρονιμώτερον ἐγχειρεῖν ἔγνω τοῖς λόγοις. Καὶ πολεμεῖν μὲν ἐπὶ ταῖς εὐπραγίαις θρασυτέρους γεγενημένους ὑπὸ τῆς κακοπραγίας κατειλημμένους οὐκ ἔκρινε, κωλῦσαι δὲ, εἰ δύναιτο, γενέσθαι μεγάλους, λογιζόμενος καὶ πρεσβεῦσαι πρὸς Μαδιανίτας ὑπὲρ αὐτῶν. Οἱ δὲ (ἦν γάρ τις ἀπὸ Εὐφράτου Βάλαμος, μάντις ἀριστος τῶν τότε καὶ πρὸς αὐτοὺς ἐπιτηδείως ἔχων) πέμπουσι μετὰ τῶν Βαλάκου πρέσβεων ἄνδρας τῶν παρ' αὐτοῖς ἀξιολόγων, παρακαλέσοντας τὸν μάντιν ἐλθεῖν,

2. Balacus Moabitarum rex, paterna amicitia et societate cum Madianitis junctus, ubi Israelitas tantopere invaluisse viderat, de regno etiam suo in magna erat sollicitudine, non enim audiverat Israelitas terram aliam non quæsituros esse, vetante hoc Deo, postquam Chananææ possessionem adepti essent,) ideoque celerius quam prudentius statuit *eos* artibus et fallaciis aggredi. Et pugnare quidem contra eos prospero rerum successu elatos, et qui ex adversis animos majores sumpserant, haud sibi commodum judicavit, sed prohibere, quantum in se erat, ne potentiores evaderent, id sibi faciendum censens, ut legatos ad Madianitas de iis mitteret. Illi vero, quod esset Balamus quidam ab Euphrate, vates eo tempore præstantissimus et cum iis necesssitudine junctus, cum Balaci legatis mittunt etiam de suis viros honoratissimos, qui vatem accerserent,

ὅπως ἂν ἐπ' ἐξωλείᾳ τῶν Ἰσραηλιτῶν ἀρὰς ποιήσηται. Παραγενομένους δὲ τοὺς πρέσβεις δέχεται ἐπὶ ξενίᾳ φιλοφρόνως, καὶ δειπνίσας ἀνέκρινε τὴν τοῦ Θεοῦ διάνοιαν τίς ἐστιν αὕτη ἐφ' οἷς Μαδιανῖται παρακαλοῦσι. Τοῦ δ' ἐμποδὼν στάντος ἀφικνεῖται πρὸς τοὺς πρέσβεις, προθυμίαν μὲν καὶ σπουδὴν τὴν ἰδίαν ἐμφανίζων αὐτοῖς εἰς ἃ δέονται τυχεῖν, τὸν Θεὸν δ' ἀντιλέγειν αὐτοῦ τῇ προαιρέσει δηλῶν, ὃς αὐτὸν ἐπὶ τοσοῦτο κλέος δι' ἀληθειαν καὶ τὴν ταύτης πρόρρησιν ἀγάγοι. Τὸν γὰρ στρατὸν, ᾧ καταρασόμενον αὐτὸν ἐλθεῖν παρακαλοῦσι, δι' εὐνοίας εἶναι τῷ Θεῷ· συνεβούλευέ τε διὰ ταύτην τὴν αἰτίαν παρ' αὐτοὺς χωρεῖν τὴν ἔχθραν τὴν πρὸς τοὺς Ἰσραηλίτας καταλυσαμένους. Καὶ τοὺς μὲν πρέσβεις ταῦτα εἰπὼν ἀπέλυσε.

γ'. Μαδιανῖται δὲ, Βαλάκου σφόδρα ἐγκειμένου καὶ δέησιν λιπαρῆ προσφέροντος, πάλιν πέμπουσι πρὸς τὸν Βαλαμον. Κἀκεῖνος, βουλόμενος χαρίζεσθαι τοῖς ἀνδράσιν, ἀνήρετο τὸν Θεόν. Ὁ δὲ, καὶ τῆς πείρας δυσχεράνας, κελεύει μηδὲν ἀντιλέγειν τοῖς πρέσβεσι. Ὁ δ' οὐχ ὑπολαβὼν ἀπάτῃ ταῦτα τὸν Θεὸν κεκελευκέναι, συναπῄει τοῖς πρέσβεσι. Κατὰ δὲ τὴν ὁδὸν ἀγγέλου θείου προσβαλόντος αὐτῷ κατά τι στενὸν χωρίον περιειλημμένον αἱμασιαῖς διπλαῖς, ἡ ὄνος, ἐφ' ἧς ὁ Βαλαμος ᾠχεῖτο, συνεῖσα τοῦ θείου πνεύματος ὑπαντῶντος, ἀπέκλινε τὸν Βάλαμον πρὸς τὸν ἕτερον τῶν θριγκῶν, ἀναισθήτως ἔχουσα τῶν πληγῶν, ἃς ὁ Βάλαμος ἐπέφερεν αὐτῇ, κακοπαθῶν τῇ θλίψει τῇ πρὸς τὸν θριγκόν. Ὡς δ' ἐγκειμένου τοῦ ἀγγέλου ἡ ὄνος τυπτομένη ὤκλασε, κατὰ βούλησιν Θεοῦ φωνὴν ἀνθρωπίνην λαβοῦσα κατεμέμφετο τὸν Βάλαμον, ὡς ἄδικον ἐπὶ ταῖς πρότερον διακονίαις μηδὲν ἔχοντα ἐγκαλεῖν αὐτῇ πληγὰς ἐπιφέρειν, μὴ συνιέντα ὅτι νῦν κατὰ Θεοῦ προαίρεσιν οἷς αὐτὸς ἔσπευσεν ὑπηρετεῖν εἴργεται. Ταραττομένου δ' αὐτοῦ διὰ τὴν τῆς ὄνου φωνὴν ἀνθρωπίνην οὖσαν, ἐπιφανεὶς καὶ ὁ ἄγγελος ἐναργὴς ἐνεκάλει τῶν πληγῶν, ὡς οὐχὶ τοῦ κτήνους ὄντος αἰτίου, τὴν δὲ ὁδὸν αὐτοῦ διακωλύοντος παρὰ γνώμην τοῦ Θεοῦ γενομένην. Καταδείσας δ' ὁ Βάλαμος οἷός τε ἦν ἀναστρέφειν, ἀλλὰ Θεὸς αὐτὸν χωρεῖν τὴν προκειμένην παρώρμησεν, προστάξας ὅ τι περ ἂν αὐτὸς κατὰ νοῦν αὐτῷ ποιήσειε, τοῦτο σημαίνειν.

δ'. Καὶ ὁ μὲν ταῦτα τοῦ Θεοῦ κελεύσαντος ἧκει πρὸς Βάλακον· δεξαμένου δ' αὐτὸν τοῦ βασιλέως ἐκπρεπῶς, ἠξίου προαχθεὶς ἐπί τι τῶν ὀρῶν σκέψασθαι πῶς τὸ τῶν Ἑβραίων ἔχει στρατόπεδον. Βάλακος δ' αὐτὸς ἀφικνεῖται τὸν μάντιν σὺν βασιλικῇ θεραπείᾳ φιλοτίμως ἀγόμενος εἰς ὄρος, ὅπερ ὑπὲρ κεφαλῆς αὐτῶν ἔκειτο, τοῦ στρατοπέδου σταδίους ἀπέχον ἑξήκοντα. Κατιδὼν δ' αὐτοὺς ἐκεῖνος βωμούς τε ἐκέλευσεν ἑπτὰ δείμασθαι τὸν βασιλέα καὶ τοσούτους ταύρους καὶ κριοὺς παραστῆναι. Ὑπουργήσαντος δὲ διὰ ταχέων τοῦ βασιλέως, ὁλοκαυτοῖ τυθέντας, ὡς τροπὴν ἰδεῖν σημαινομένην. Ὁ δὲ οὖν φησὶν, « οὗτος εὐδαίμων, ᾧ ὁ Θεός τε δίδωσι « μυρίων κτῆσιν ἀγαθῶν καὶ σύμμαχον εἰς ἅπαν καὶ

ut Israelitas diris devoveret. Legatos quidem, postquam advenerant, benigno hospitio excepit : quumque cœnæ adhibuisset, Dei sententiam, quæ foret de Madianitarum postulatis, perquisivit. Deo autem ei obstante, ad legatos revertitur, præ se ferens alacritatem et studium obsequendi illorum precibus votisque, illis vero subjiciens Deum voluntati ipsius resistere, qui se ad tantam celebritatem vera loquendo prædicendoque perduxerit. Nam exercitum illum, cui diras imprecatum ipsum venire postulant, Deo carissimum esse *aiebat*, simulque suadebat ut hanc ob causam ad illos redirent solutum quas cum Israelitis agant inimicitias. Quum hæc dixisset, legatos dimisit.

3. Madianitæ vero, instante adhuc magis Balaco et enixe rogante, alteram ad Balamum legationem mittunt. Atque ille, studens istorum voluntati morem gerere, Deum consuluit. Deus autem, indignatus quod tentaretur, imperat ut legatis nihil contradiceret. Is vero haud suspicatus Deum hoc non serio jussisse, cum legatis una profectus est. At dum iter faceret, in loco quodam angusto, maceria utrinque sepiente, ei occurrit Dei angelus, atque asina, qua vehebatur Balamus, sentiens Dei spiritum venientem, cum Balamo de via declinavit ad alterum septum, nihil morans verbera, quæ ei intulit Balamus, offensione pedis ad maceriam læsus. Quum autem instante angelo asina percussa succubuisset, vocem humanam Dei voluntate edens Balamum ut injustum increpuit, quod quum prioribus ministeriis nihil habuerit de ipsa querendum, nunc vero plagas infligat, non intelligens se jam Dei consilio inhiberi quominus iis, ad quos properaret, inservire posset. Dum vero ille voce humana asinæ attonitus turbatusque constitit, manifesto ejus in conspectum se dedit angelus, ipsumque reprehendit ob asinam verberibus multatam, quod in culpa non esset jumentum, sed ipse obstaret ei contra Dei sententiam iter facienti. Balamus autem perterritus redire voluit, sed Deus eum ad pergendum, quo instituerat, impulit, præcipiens ut quicquid ei in mentem subjecerit, id *Balaco* significaret.

4. Et ille quidem, postquam hæc Deus ei imperaverat, pervenit ad Balacum. A rege vero honorifice exceptus petebat ut ad jugum quoddam montium deductus Hebræorum castra oculis perlustraret. Ipse etiam rex præsto erat, ut vatem regio comitatu magnifice deduceret ad montem, verticibus eorum imminentem, qui a castris *Hebræorum* stadiis sexaginta aberat. Ille autem, quum eos vidisset, regi mandavit ut septem aras exstrueret, et totidem tauros et arietes adduci curaret. Quumque rex e vestigio ista subministrasset, holocausta immolat, ut *Israelitarum* fugam significari perspiceret. Quo facto ita loquutus est : « felix « iste cui Deus et dedit immensa bonorum copia et abun« dantia frui, et in omnibus suæ providentiæ auxilio ductu-

« ἡγεμόνα τὴν ἑαυτοῦ πρόνοιαν ἐπένευσεν. Ὡς οὐδέν
« ἐστιν ἀνθρώπειον γένος, οὗ μὴ κατ' ἀρετὴν καὶ ζή-
« λωσιν ἐπιτηδευμάτων ἀρίστων καὶ καθαρῶν πονηρίας
« ὑμεῖς ἀμείνους κριθήσεσθε, καὶ παισὶ βελτίοσιν αὐτῶν
« ταῦτα καταλείψετε, Θεοῦ μόνους ὑμᾶς ἀνθρώπους
« ἐφορῶντος καὶ ὅθεν ἂν γένοισθε πάντων εὐδαιμονέ-
« στεροι τῶν ὑπὸ τὸν ἥλιον ἐκπορίζοντος. Γῆν τε οὖν,
« ἐφ' ἣν ὑμᾶς αὐτὸς ἔστειλε, καθέξετε, δουλεύουσαν
« ἀεὶ παισὶν ὑμετέροις, καὶ τοῦ περὶ αὐτῶν κλέους ἐμ-
« πλησθήσεται πᾶσα ἡ γῆ καὶ θάλασσα. Ἀρκέσετε δὲ
« τῷ κόσμῳ παρασχεῖν ἑκάστῃ γῇ τῶν ἀφ' ὑμετέρου γέ-
« νους οἰκήτορας. Θαυμάζετε τοίνυν, ὦ μακάριος
« στρατὸς, ὅτι τοσοῦτος ἐξ ἑνὸς πατρὸς γεγόνατε.
« Ἀλλὰ τῶν νῦν ὑμῶν ὀλίγων ἡ Χαναναία χωρήσει γῆ,
« τὴν δ' οἰκουμένην οἰκητήριον δι' αἰῶνος ἴστε προκει-
« μένην ὑμῖν· καὶ τὸ πλῆθος ὑμεῖς ἔν τε νήσοις καὶ κατ'
« ἤπειρον βιοτεύσετε ὅσον ἐστὶν οὐδ' ἀστέρων ἀριθμὸς
« ἐν οὐρανῷ. Τοσούτοις δὲ οὖσιν οὐκ ἀπαγορεύσει τὸ
« θεῖον ἀφθονίαν μὲν παντοίων ἀγαθῶν ἐν εἰρήνῃ χο-
« ρηγοῦν, νίκην δὲ καὶ κράτος ἐν πολέμῳ, εἰ παῖδας
« ἐχθρῶν ἔρως τοῦ πρὸς ὑμᾶς πολέμου λάβοι καὶ θρα-
« συνθεῖεν ὥστε εἰς ὅπλα καὶ τὰς ὑμετέρας χεῖρας ἐλ-
« θεῖν. Οὐ γὰρ ἂν ὑποστρέψειεν ἔτι ὁ νικηφόρος, οὐδ'
« ὥστε παῖδας εὐφρᾶναι καὶ γυναῖκας. Τοσοῦτον ὑμῖν
« εὐανδρίας τὸ περιὸν ἐκ Θεοῦ προνοίας ἀνήρτηται,
« ᾧ καὶ τὰ περιττὰ μειοῦν ἰσχὺς καὶ τὰ λείποντα δι-
« δόναι. »

ε'. Καὶ ὁ μὲν τοιαῦτα ἐπεθείαζεν, οὐκ ὢν ἐν ἑαυτῷ, τῷ δὲ θείῳ πνεύματι πρὸς αὐτὰ κεκινημένος. Τοῦ δὲ Βαλάκου δυσχεραίνοντος, καὶ παραβαίνειν αὐτῶν τὰς συνθήκας ἐφ' αἷς αὐτὸν ἀντὶ μεγάλων λάβοι δωρεῶν παρὰ τῶν συμμάχων ἐπικαλοῦντος· ἐλθόντος γὰρ ἐπὶ κατάρᾳ τῶν πολεμίων, ὑμνεῖν αὐτοὺς ἐκείνους καὶ μακαριωτάτους ἀποφαίνειν ἀνθρώπων· « ὦ Βάλακε, φησὶ,
« περὶ τῶν ὅλων λογίζῃ καὶ δοκεῖς ἐφ' ἡμῖν εἶναί τι
« περὶ τῶν τοιούτων σιγᾶν ἢ λέγειν, ὅταν ἡμᾶς τὸ τοῦ
« Θεοῦ λάβῃ πνεῦμα; φωνὰς γὰρ ἃς βούλεται τοῦτο
« καὶ λόγους οὐδὲν ἡμῶν εἰδότων ἀφίησιν. Ἐγὼ δὲ
« μέμνημαι μὲν ὢν τε σὺ καὶ Μαδιανῖται δεηθέντες
« ἐνταυθοῖ με προθύμως ἠγάγατε καὶ δι' ἃ τὴν ἄφιξιν
« ἐποιησάμην, ἣν τέ μοι δι' εὐχῆς μηδὲν ἀδικῆσαί σου
« τὴν ἐπιθυμίαν· κρείττων δὲ ὁ Θεὸς ὢν ἐγὼ χαρίζε-
« σθαι διεγνώκειν. Παντελῶς γὰρ ἀσθενεῖς οἱ προγινώ-
« σκειν περὶ τῶν ἀνθρωπείων παρ' ἑαυτῶν λαμβάνοντες,
« ὥστε μὴ ταῦθ' ἅπερ ὑπαγορεύει τὸ θεῖον λέγειν, βιά-
« ζεσθαι δὲ τὴν ἐκείνου βούλησιν. Οὐδὲν γὰρ ἐν ἡμῖν
« ἔτι φθάσαντος εἰσελθεῖν ἐκείνου ἡμέτερον. Ἐγὼ
« γοῦν τὸν στρατὸν τοῦτον οὔτ' ἐπαινέσαι προὐθέμην
« οὔτ' ἐφ' οἷς τὸ γένος αὐτῶν ὁ Θεὸς ἀγαθοῖς ἐμηχανή-
« σατο διελθεῖν. Ἀλλ' εὐμενὴς αὐτοῖς οὗτος ὢν καὶ
« σπεύδων αὐτοῖς εὐδαίμονα βίον καὶ κλέος αἰώνιον
« παρασχεῖν, ἐμοὶ τοιούτων ἀπαγγελίαν λόγων ὑπέθετο.
« Νῦν δὲ (χαρίζεσθαι γὰρ αὐτῷ σοὶ διὰ σπουδῆς ἐστί
« μοι καὶ Μαδιανίταις, ὧν ἀπώσασθαί μοι τὴν ἀξίωσιν

« que gaudere voluit. Certe nulla usquam terrarum gens
« est, quæ vobis virtute et rerum optimarum honestarum-
« que studio par similisve habebitur : atque ista liberis,
« qui majoribus suis præluccebunt, relinquetis, Deo vos
« solos hominum respiciente, eaque vobis larga manu sup-
« peditante, unde omnium quos sol aspicit felicissimi esse
« possetis. Istam itaque regionem, ad quam vos misit, obli-
« nebitis, posteris vestris in æternum servituram, eorumque
« nominis gloria replebitur terra universa simul et mare.
« Satis quidem eritis mundo, ut unaquæque orbis pars suos
« vestra ex progenie habeat incolas. Est ideo ut miremini,
« o beate exercitus, quod ex uno parente in tantam crevistis
« multitudinem. Quin vos jam non adeo multos terra
« capiet Chananæa, orbem vero terrarum scitote vobis in
« perpetuum fore habitaculum; pluresque numero, quam
« sunt stellæ cœlestes, per insulas pariter ac continentem
« vitam agetis. Et quum tot tantique fueritis, non defati-
« gabitur Deus, pace quidem rerum omnium abundantiam
« largiendo, bello vero victoriam et imperium, si vobiscum
« dimicandi desiderio capiantur inimici atque ita efferantur,
« ut ad arma manusque conserendas vos provocent. Non
« amplius enim cum victoria revertentur, nec ut inde
« lætitiam capiant liberi et uxores. In tantum eam, qua
« polletis, fortitudinem providentia sua Deus extulit,
« qui potest et quod superest minuere et quod deest sup-
« plere. »

5. Et ille quidem talia vaticinatus est, extra se raptus, spiritusque Dei instinctu ad ea concitatus. Balaco autem hæc indigne ferente, ipsumque legem violare clamitante, qua eum magnis muneribus a sociis acceperit; nam quum venisset diras hostibus imprecatum, eum laudasse illos et mortalium beatissimos prædicasse : « o Balace, inquit,
« rebus omnibus rite perpensis num existimas in nobis si-
« tum esse quid dicamus aut taceamus, quum nos Dei spi-
« ritus occuparit? voces enim ille quascunque vult et sermo-
« nes emittit, nobis non sentientibus. Equidem et ego
« illorum bene memini, quorum cupientes vos et Madianitæ
« magno studio me huc adductum voluistis, eaque causa
« veni : atque id in votis habui ut in omnibus tuo desiderio
« satisfacerem. Sed in iis Deo cedere necesse erat, quibus
« gratificari vobis constitueram. Nam infirmi plane sunt
« qui aliquid futuri de rebus humanis suo ex ingenio volunt
« prænoscere, ut non ista, quæ menti suggerit Deus, elo-
« quantur, sed contra illius voluntatem nitantur. Quum
« primum enim pectus afflatu divino concitatur, nihil am-
« plius nostrum inde promitur. Mihi siquidem non erat
« in animo aut exercitum hunc laudibus extollere, aut bona
« ista recensere quibus Deus progeniem illorum impertire
« cogitavit. Quum enim illis benignus sit et modis omnibus
« agat ut eos vita beata et gloria donet immortali, mihi ver-
« borum istorum auctor fuit, fecitque ut ad illius voluntа-
« tem loquerer. Nunc vero (nam et huic maxime studeo
« ut tibi atque Madianitis rem gratam faciam, quorum

« οὐκ εὐπρεπές) φέρε βωμούς τε ἑτέρους αὖθις ἐγείρω-
« μεν καὶ θυσίας ταῖς πρὶν παραπλησίας ἐπιτελέσωμεν,
« εἰ πεῖσαι τὸν Θεὸν δυνηθείην ἐπιτρέψαι μοι τοὺς ἀν-
« θρώπους ἀραῖς ἐνδῆσαι. » Συγχωρήσαντος δὲ τοῦ Βα-
λάκου δὶς μὲν τεθυκότι τὸ θεῖον οὐκ ἐπένευσε τὰς κατὰ
τῶν Ἰσραηλιτῶν ἀράς· θύσας δὲ καὶ τρίτον, ἄλλων πά-
λιν ἀνασταθέντων βωμῶν, οὐδὲ τότε μὲν κατηράσατο
τοῖς Ἰσραηλίταις, πεσὼν δ' ἐπὶ τὸ στόμα πάθη προὔ-
λεγεν ὅσα τε βασιλεῦσιν ἔσται καὶ ὅσα πόλεσι ταῖς ἀ-
ξιολογωτάταις, ὧν ἐνίαις οὐδ' οἰκεῖσθαί πω συνέβαινε
τὴν ἀρχήν, ἃ τε καὶ προϋπῆρξεν ἐν τοῖς ἔμπροσθεν χρό-
νοις γενόμενα τοῖς ἀνθρώποις διὰ γῆς ἢ διὰ θαλάσσης
εἰς μνήμην τὴν ἐμήν· ἐξ ὧν ἁπάντων τέλος λαβόντων
ὁποῖον ἐκεῖνος προεῖπε τεκμαίροιτ' ἄν τις ὅτι καὶ ἔσοιτο
πρὸς τὸ μέλλον.

ς'. Βάλακος δ' ἀγανακτήσας ἐπὶ τῷ μὴ καταράτους γενέσθαι τοὺς Ἰσραηλίτας, ἀποπέμπει τὸν Βάλαμον μηδεμιᾶς τιμῆς ἀξιώσας. Ὁ δ' ἀπιὼν ἤδη καὶπὶ τῷ πε-
ραιοῦν τὸν Εὐφράτην γενόμενος, τόν τε Βάλακον μετα-
πεμψάμενος καὶ τοὺς ἄρχοντας τῶν Μαδιανιτῶν, « Βά-
« λακε, φησὶ, καὶ τῶν Μαδιανιτῶν οἱ παρόντες· χρὴ γάρ
« με καὶ παρὰ βούλησιν τοῦ Θεοῦ χαρίσασθαι ὑμῖν· τὸ
« μὲν Ἑβραίων γένος οὐκ ἂν ὀλεθρος παντελὴς καταλά-
« βοι, οὔτ' ἐν πολέμῳ, οὔτ' ἐν λοιμῷ καὶ σπάνει τῶν ἀπὸ
« γῆς καρπῶν, οὔτ' ἄλλη τις αἰτία παράλογος διαφθείρειε.
« Πρόνοια γάρ ἐστιν αὐτῶν τῷ Θεῷ σώζειν ἀπὸ παντὸς
« κακοῦ καὶ μηδὲν ἐπ' αὐτοὺς ἐᾶσαι τοιοῦτον πάθος ἐλ-
« θεῖν, ὑφ' οὗ καὶ ἀπόλοιντο πάντες· συμπέσοι δ' ἂν αὐ-
« τοῖς ὀλίγα τε καὶ πρὸς ὀλίγον, ὑφ' ὧν ταπεινοῦσθαι δο-
« κοῦντες εἶτ' ἀνθήσουσιν ἐπὶ φόβῳ τῶν ἐπαγαγόντων
« αὐτοῖς τὰς βλάβας. Ὑμεῖς δ' εἰ νίκην τινὰ πρὸς βρα-
« χὺν καιρὸν κατ' αὐτῶν κερδᾶναι πρόθεῖτε, τύχοιτ' ἂν
« αὐτῆς ταῦτα ποιήσαντες. Τῶν θυγατέρων τὰς
« μάλιστ' εὐπρεπεῖς, καὶ βιάσασθαι καὶ νικῆσαι τὴν
« τῶν ὁρώντων σωφροσύνην ἱκανὰς διὰ τὸ κάλλος, ἀ-
« σκήσαντες τὴν εὐμορφίαν αὐτῶν ἐπὶ τὸ μᾶλλον εὐπρε-
« πὲς, πέμψατε πλησίον ἐσομένας τοῦ ἐκείνων στρατο-
« πέδου, καὶ δεομένοις συνεῖναι τοῖς νεανίαις αὐτῶν
« προστάξατε. Ἐπειδὰν δὲ κεχειρωμένους ὁρῶσι ταῖς
« ἐπιθυμίαις, καταλιπέτωσαν, καὶ παρακαλούντων μέ-
« νειν, μὴ πρότερον ἐπινευσάτωσαν, πρὶν ἂν πείσωσιν
« αὐτοὺς ἀφέντας τοὺς πατρώους νόμους καὶ τὸν τούτους
« αὐτοῖς θέμενον τιμᾶν Θεὸν τοὺς Μαδιανιτῶν καὶ Μωα-
« βιτῶν σέβωσιν. Οὕτω γὰρ αὐτοῖς τὸν Θεὸν ὀργισθή-
« σεσθαι ». Καὶ ὁ μὲν τοῦθ' ὑποθέμενος αὐτοῖς ᾤχετο.

ζ'. Τῶν δὲ Μαδιανιτῶν πεμφάντων τὰς θυγατέρας κατὰ τὴν ἐκείνου παραίνεσιν, οἱ τῶν Ἑβραίων ἁλίσκονται νέοι τῆς εὐπρεπείας αὐτῶν, καὶ παραγενόμενοι εἰς λόγους αὐταῖς παρεκάλουν μὴ φθονεῖν αὐτοῖς τῆς τοῦ κάλλους αὐτῶν ἀπολαύσεως μηδ' ἐκ τῆς τοῦ πλησιάζειν συνηθείας. Αἱ δ' ἁσμένως δεξάμεναι τοὺς λόγους συνῆσαν αὐτοῖς. Ἐνδησάμεναι δ' αὐτοὺς τῷ πρὸς αὐ-
τὰς ἔρωτι καὶ τῆς ἐπιθυμίας ἀκμαζούσης περὶ ἀπαλ-

« preces haud fas est mihi repudiare) age, alias aras erige-
« mus, sacra, similiter ac ante, faciamus, si forte Deum
« flectere possim, ut exsecrationibus hoc genus hominum
« devovere liceat ». Cumque Balacus id fieri permisisset, bis sacra facienti Deus non annuebat ut Israelitas diris prosequeretur, sacrisque tertium factis, aliis rursus aris erectis, ne tum quidem exsecrabatur Israelitas, sed in faciem pronum se sternens prædixit quæ calamitates regibus et urbibus clarissimis, quarum quasdam tum ne habitari quidem contigit, essent eventuræ, et quæ superioribus sæculis hominibus terra marique acciderint usque ad nostram ætatem. Et quum hæc omnia convenienter ejus vaticinio evenerint, hinc licet conjicere quod in reliquum tempus *alia* similiter eventura sint.

6. Balacus autem indignatus, quod sibi Israelitas diris non egerat, Balamum dimittit nullo honore auctum. Ille vero jam digrediens, quum in eo esset ut Euphratem trajiceret, accito Balaco et principibus Madianitarum, « Balace, in-
« quit, et vos qui adestis Madianitæ, (oportet enim me vel
« præter Dei voluntatem a vobis gratiam inire,) Hebræorum
« quidem genus nunquam funditus peribit, nec bello, nec
« peste, nec inopia terræ fructuum, nec alio casu inopinato
« delebitur. Dei enim providentiæ interest eos ab omni
« malo servare, neque sinere ut ejusmodi clades eis
« obveniat qua omnes interituri sunt. In mala autem non-
« nulla et calamitates ad breve tempus incident, a quibus
« licet deprimi humique affligi videantur, postea tamen re-
« florescent, ad formidinem eorum qui damna illis intu-
« lerant. Vos autem, si aliquantisper de illis victoriam re-
« portare velitis, voti eritis compotes, modo de mea
« sententia feceritis. Filiarum formosissimas, quæ pul-
« critudine sua inspicientium modestiam expugnare et vin-
« cere possent, ad summam elegantiam cultas et ornatas
« mittite, ut ante castra eorum obversentur, atque jubete
« ut juvenibus complexus expetentibus faciles se præbeant.
« Ubi vero cupidine captos et irretitos viderint, fugam si-
« mulent, et obsecrantibus ut maneant non prius annuant
« quam iis persuaserint ut, relictis patriis legibus et cultu
« Dei a quo eas acceperint, Madianitarum et Moabitarum
« deos colant. Sic enim succensebit iis Deus et irasce-
« tur. » Et ille quidem, quum hæc suggessisset, abiit.

7. Madianitis vero, sicut ille monuerat, filias mittentibus, Hebræorum juvenes illarum forma et venustate capiuntur; et in colloquium venientes enixe petebant ne sibi ex earum pulcritudine et familiari cum illis consuetudine voluptatem invideant. Illæ quidem lubenter hæc verba accipientes eis consenserunt. Quum autem amore illaqueatos vinctosque tenerent *puellæ* et cupidine vehementer flagrantes *viderent*, decedere parabant. Tum juvenes, dum in

λαγὴν ἐγίνοντο. Τοὺς δ' ἀθυμία δεινὴ πρὸς τὴν ἀναχώρησιν τῶν γυναικῶν κατέλαβε, καὶ λιπαροῦντες ἐνέκειντο μὴ σφᾶς καταλιπεῖν, ἀλλὰ γαμετὰς αὐτῶν ἐσομένας αὐτόθι μένειν καὶ δεσποίνας ἀποδειχθησομένας πάντων ὧν ὑπῆρχεν αὐτοῖς. Ταῦτα δὲ ὀμνύντες ἔλεγον καὶ τὸν Θεὸν μεσίτην ὧν ὑπισχνοῦντο ποιούμενοι, δακρύοντές τε καὶ πανταχόθεν αὐτοὺς ἐλεεινοὺς ταῖς γυναιξὶ κατασκευάζοντες εἶναι. Αἱ δ' ὡς δεδουλωμένους αὐτοὺς κατενόησαν καὶ τελέως ὑπὸ τῆς συνηθείας ἐχομένους, ἤρξαντο πρὸς αὐτοὺς λέγειν.

η'. « Ἡμῖν, ὦ κράτιστοι νεανιῶν, οἵκοί τε εἰσὶ πατρῷοι καὶ κτῆσις ἀγαθῶν ἄφθονος καὶ ἡ παρὰ τῶν γονέων καὶ τῶν οἰκείων εὔνοια καὶ στοργή. Κατ' οὐδενὸς τούτων πόρον ἐνθάδε διήκουσαι ἡμεῖς εἰς ὁμιλίαν ἤκομεν, οὐδ' ἐμπορευσόμεναι τὴν ὥραν τοῦ σώματος προσηκάμεθα τὴν ὑμετέραν ἀξίωσιν, ἀλλ' ἄνδρας ἀγαθοὺς καὶ δικαίους ὑπολαβοῦσαι τοιούτοις ὑμᾶς τιμῆσαι ξενίοις δεομένοις ἐπείσθημεν. Καὶ νῦν, ἐπεὶ φατὲ πρὸς ἡμᾶς φιλοστόργως ἔχειν καὶ λυπεῖσθε μελλουσῶν ἀναχωρεῖν, οὐδ' αὐταὶ τὴν δέησιν ὑμῶν ἀποστρεφόμεθα, πίστιν δ' εὐνοίας λαβοῦσαι, τὴν μόνην ἡμῖν ἀξιόλογον νομισθεῖσαν, ἀγαπήσομεν τὸν μεθ' ὑμῶν βίον ὡς γαμεταὶ διανύσαι. Δέος γὰρ μὴ καὶ κόρον τῆς ἡμετέρας ὁμιλίας λαβόντες ἔπειθ' ὑβρίσητε καὶ ἀτίμους ἀποπέμψητε πρὸς τοὺς γονεῖς. Συγγινώσκειν τε ταῦτα φυλαττομέναις ἠξίουν. » Τῶν δ' ἦν βούλονται πίστιν δώσειν ὁμολογούντων καὶ πρὸς μηδὲν ἀντιλεγόντων ὑπὸ τοῦ πρὸς αὐτὰς πόθου, « ἐπεὶ « ταῦτα, ἔφασαν, ὑμῖν δέδοκται, θεῖς δ' ἔθεσι καὶ τῷ « βίῳ πρὸς ἅπαντας ἀλλοτριώτατα χρῆσθε, ὡς καὶ τὰς « τροφὰς ὑμῖν ἰδιοτρόπους εἶναι καὶ τὰ ποτὰ μὴ κοινὰ « τοῖς ἄλλοις, ἀνάγκη βουλομένους ἡμῖν συνοικεῖν καὶ « θεοὺς τοὺς ἡμετέρους σέβειν. Καὶ οὐκ ἂν ἄλλο γέ« νοιτο τεκμήριον ἧς ἔχειν τε νῦν εὐνοίας φατὲ πρὸς « ἡμᾶς καὶ τῆς ἐσομένης ἢ τὸ τοὺς αὐτοὺς ἡμῖν θεοὺς « προσκυνεῖν. Μέμψαιτο δ' ἂν οὐδεὶς, εἰ γῆς εἰς ἣν « ἀφῖχθε τοὺς ἰδίους αὐτῆς θεοὺς προστρέποισθε, καὶ « ταῦτα τῶν μὲν ἡμετέρων κοινῶν ὄντων πρὸς ἅπαν« τας, τοῦ δ' ὑμετέρου πρὸς μηδένα τοιούτου τυγχάνον« τος. » Δεῖν οὖν αὐτοῖς ἔλεγον ἢ ταὐτὰ πᾶσιν ἡγεῖσθαι ἢ ζητεῖν ἄλλην οἰκουμένην, ἐν ᾗ βιώσονται μόνοι κατὰ τοὺς ἰδίους νόμους.

θ'. Οἱ δ' ὑπὸ τοῦ πρὸς αὐτὰς ἔρωτος κάλλιστα λέγεσθαι ταῦτα ὑπολαβόντες καὶ παραδόντες ἑαυτοὺς εἰς ἃ προεκαλοῦντο, παρέβησαν τὰ πάτρια, θεούς τε πλείονας εἶναι νομίσαντες, καὶ θύειν αὐτοῖς κατὰ νόμον τὸν ἐπιχώριον τοῖς καθιδρυσαμένοις προθέμενοι, ξενικοῖς τε βρώμασιν ἔχαιρον, καὶ πάντα εἰς ἡδονὴν τῶν γυναικῶν ἐπὶ τοὐναντίον οἷς ὁ νόμος αὐτῶν ἐκέλευσε ποιοῦντες διετέλουν, ὡς διὰ παντὸς ἤδη τοῦ στρατοῦ τὴν παρανομίαν χωρεῖν τῶν νέων καὶ στάσιν αὐτοῖς πολὺ χείρω τῆς προτέρας ἐμπεσεῖν, καὶ κίνδυνον παντελοῦς τῶν ἰδίων ἐθισμῶν ἀπωλείας. Ἅπαξ γὰρ τὸ

eo erant mulieres ut abirent, gravis mœror occupabat, precibusque *supplicibus instabant ne eos desererent*, sed conjuges illis futuræ et facultatum suarum omnium dominæ secum maneant. *Insuper et hæc jurisjurandi religione firmabant*, Deum promissorum testem sponsoremque invocando, lacrimisque et modis omnibus agendo ut eas ad miserationem flecterent. Illæ vero, ut eos suæ libidini subjectos et consuetudine sua firmiter devinctos animadverterunt, ad illos verba facere cœperunt.

8. « Nobis juvenum optimi, lares penatesque patrii sunt, « magnæque domi facultates, nec desunt nobis parentum « cognatorumque benevolentia et affectus. *Imo nullius* « istiusmodi rei inopia huc ad vobiscum colloquendum ve« *nimus*, neque *corporis formæ quæstum facturæ* vobis « supplicibus aures adhibuimus, sed vos viros esse bonos « justosque reputantes, ut tali vos hospitalis amicitiæ gra« tia donaremus, precibus vestris adductæ fuimus. Et « nunc, quoniam magno nostri amore vosmet teneri dicitis « et nobis digressuris tristitia afficimini, neque nos preces « vestras aversamur, sed quum eam benevolentiæ vestræ « fidem acceperimus, quæ sola nobis alicujus æstimari me« reatur, libenter vobiscum ut legitimæ uxores vitam age« mus. Jam enim periculum est ne, quum nostræ consue« tudinis satietas vos ceperit, nos hinc cum injuria et « contumelia ad parentes nostros ablegetis. Atque ita nobis « ignoscere ista caventibus volebant. » Illis vero fidem quamcunque vellent se daturos pollicentibus, nihilque eis præ affectus magnitudine et amoris ardore contradicentibus, « quandoquidem, *inquiunt*, ita vobis visum est, et mori« bus vitaque ab aliis diversissime utimini, ut et cibos vo« *bismet proprios*, nec potum cum aliis communem habea« tis, necesse est, si vultis nobiscum habitare, deos nostros « colatis. Nullum enim aliud signum erit præsentis vestræ « quam jactatis in nos benevolentiæ, aut futuræ *pignus*, « nisi eosdem nobiscum deos adoretis. Nec vobis vitio « verti debeat, si deos terræ, in quam pervenistis, proprios « veneremini, præsertim quum nostri in honore sint omni « populo, vester vero apud neminem. » Oportere igitur illos dicebant aut eadem quæ omnibus *aliis cultu persequenda* existimare, aut *alium terrarum orbem* quærere, ubi soli ex legibus sibi propriis vitam instituant.

9. *Illis autem, quod eas amore deperirent*, honestissima visa est hæc oratio : quo factum est ut illarum postulationi concedentes leges patrias violarent. *Et quum plures deos esse existimarint*, illisque gentium istarum ritu sacrificare decreverint, cibis etiam peregrinis utebantur, atque omnia in mulierum gratiam, contra ac lex eis præceperat, deinceps faciebant : ut jam per totum late exercitum serperet juvenum insolentia, et seditio priore pejor glisceret, periculumque esset ne patria instituta penitus in desuetudinem abirent. Juventus enim, degustatis semel peregrinis mo-

νέον γευσάμενον ξενικῶν ἐθισμῶν ἀπλήστως αὐτῶν ἐνεφορεῖτο, καὶ εἴ τινες τῶν πρώτων ἀνδρῶν διὰ πατέρων ἀρετὰς ἐπιφανεῖς ἦσαν, συνδιεφθείροντο.

ι'. Καὶ Ζαμβρίας ὁ τῆς Συμεωνίδος ἡγούμενος φυλῆς, Χοσβίᾳ συνὼν Μαδιανίτιδι, Σούρου θυγατρὶ τῶν ἐκείνῃ δυναστεύοντος ἀνδρὸς, κελευσθεὶς ὑπὸ τῆς γυναικὸς πρὸ τῶν Μωϋσεῖ δοχθέντων τὸ πρὸς ἡδονὴν αὐτῇ γενησόμενον, ἐθεράπευεν αὐτὴν, οὐ θύων τὰ πάτρια καὶ γάμον ἠγμένος ἀλλόφυλον. Ἐν τούτοις δ' ὄντων τῶν πραγμάτων, δείσας Μωϋσῆς μὴ γένηταί τι χεῖρον, συναγαγὼν εἰς ἐκκλησίαν τὸν λαὸν, οὐδενὸς μὲν κατηγόρει πρὸς ὄνομα, μὴ βουλόμενος εἰς ἀπόνοιαν περιστῆσαι τοὺς ἐκ τοῦ λανθάνειν μετανοῆσαι δυναμένους, ἔλεγε δὲ ὡς οὐκ ἄξια δρῶεν οὔτε αὐτῶν οὔτε πατέρων τὴν ἡδονὴν προτιμήσαντες τοῦ Θεοῦ καὶ τοῦ κατὰ τοῦτον βιοῦν· προσήκειν δὲ, ὡς ἔτι καὶ καλῶς αὐτοῖς ἂν ἔχειν, μεταβαλέσθαι, τὴν ἀνδρείαν ὑπολαμβάνουσιν οὐκ ἐν τῷ βιάζεσθαι τοὺς νόμους, ἀλλ' ἐν τῷ μὴ εἶκειν ταῖς ἐπιθυμίαις εἶναι. Πρὸς τούτοις δὲ οὐδ' εὔλογον ἔφασκε σωφρονήσαντας αὐτοὺς ἐπὶ τῆς ἐρήμου νῦν ἐν τοῖς ἀγαθοῖς ὄντας παροινεῖν, μηδὲ τὰ κτηθέντα ὑπὸ τῆς ἐνδείας δι' εὐπορίαν αὐτῶν ἀπολέσθαι. Καὶ ὁ μὲν ταῦτα λέγων ἐπειρᾶτο τοὺς νέους ἐπανορθοῦν καὶ εἰς μετάνοιαν ἀπάγειν ὧν ἔπραττον.

ια'. Ἀναστὰς δὲ μετ' αὐτὸν Ζαμβρίας, « ἀλλὰ σὺ « μὲν, εἶπεν, ὦ Μωϋσῆ, χρῶ νόμοις οἷς αὐτὸς ἐσπού- « δακας, ἐκ τῆς τούτων συνηθείας τὸ βέβαιον αὐτοῖς « παρεσχημένος, ἐπεὶ, μὴ τοῦτον αὐτῶν ἐχόντων τὸν « τρόπον, πολλάκις ἂν ἤδη κεκολασμένος ἔγνως ἂν οὐκ « εὐπαραλογίστους Ἑβραίους. Ἐμὲ δ' οὐκ ἂν ἀκόλουθον « οἷς σὺ προστάττεις τυραννικῶς λάβοις. Οὐ γὰρ « ἄλλο τι μέχρι νῦν ἢ προσχήματι νόμων καὶ τοῦ Θεοῦ « δουλείαν μὲν ἡμῖν, ἀρχὴν δὲ σαυτῷ κακουργεῖς, ἀφαι- « ρούμενος ἡμᾶς τὸ ἡδὺ καὶ τὸ κατὰ τὸν βίον αὐτεξού- « σιον, ὃ τῶν ἐλευθέρων ἐστὶ καὶ δεσπότην οὐκ ἐχόντων. « Χαλεπώτερος δ' ἂν οὗτος Αἰγυπτίων Ἑβραίοις γέ- « νοιτο, τιμωρεῖν ἀξιῶν κατὰ τοὺς νόμους τὴν ἑκάστου « πρὸς τὸ κεχαρισμένον αὐτῷ βούλησιν. Πολὺ δ' ἂν « δικαιότερον αὐτὸς τιμωρίαν ὑπομένοις τὰ παρ' ἑκά- « στοις ὁμολογούμενα καλῶς ἔχειν ἀφανίσαι προηρημέ- « νος, καὶ κατὰ τῆς ἁπάντων δόξης ἰσχυρὰν τὴν σεαυ- « τοῦ κατεσκευακὼς ἀτοπίαν. Ἐγὼ δ' ἂν στερούμην « εἰκότως ὧν πράττω νυνὶ, εἰ κρίνας ἀγαθὰ ταῦτα, ἔπειτα « περὶ αὐτῶν ὁμολογεῖν ἐν τούτοις ὀκνήσαιμι. Γύναιόν « τε ξενικὸν, ὡς φῂς, ἤγμαι, (παρ' ἐμαυτοῦ γὰρ « ἀκούσῃ τὰς ἐμὰς πράξεις ὡς παρ' ἐλευθέρου, καὶ γὰρ « οὐδὲ λαθεῖν προεθέμην,) θύω τε θεοῖς οἷς θύειν μοι « νομίζεται, δίκαιον ἡγούμενος παρὰ πολλῶν ἐμαυτῷ « πραγματεύεσθαι τὴν ἀλήθειαν, καὶ οὐχ ὥσπερ ἐν τυ- « ραννίδι ζῆν, τὴν ὅλην ἐξ ἑνὸς ἐλπίδα τοῦ βίου παντὸς « ἀνηρτηκότα· χαρείη τ' ἂν οὐδεὶς κυριώτερον αὐτὸν « περὶ ὧν πράξαιμι γνώμης τῆς ἐμῆς ἀποφαινόμενος. »

ιβ'. Τοῦ δὲ Ζαμβρίου ταῦτα περὶ ὧν αὐτός τε ἠδίκει καὶ τῶν ἄλλων τινὲς εἰπόντος, ὁ μὲν λαὸς ἡσύχαζε, φόβῳ τε τοῦ μέλλοντος καὶ τὸν νομοθέτην δὲ ὁρῶν μὴ

ribus, inexplebili desiderio in eos ferebatur : et si qui primorum populi ob majorum virtutem illustres exstiterunt, mali hujus contagione et ipsi afflabantur.

10. Quin et Zambrias, Symeonidis tribus princeps, qui consueverat Chosbiæ Madianitidi, Suris filiæ, gentis istius dynastæ, jussus a muliere ut contemptis Moysis placitis sui ad arbitrium se componeret, illi obsequutus est, sacra more non patrio faciens, et uxore ducta aliegena. Quum vero res ita se haberent, Moyses, veritus ne quid pejus accideret, convocato in concionem populo, neminem quidem nominatim accusavit, nolens eos in desperationem adducere, qui, modo laterent, ad sanitatem redire poterant. Dicebat autem ut ea patrarint, quæ et ipsis et majoribus in dedecus cedant et opprobrium, quod voluptati indulgere maluerint quam Deo servire vitamque ad ejus præscriptum agere : oportere tamen, ut et adhuc ipsis bene sit, pœnitentiam agere, istud demum fortitudinem esse existimando, non ut legibus vim inferant, sed ut cupiditates pravas compescant. Præterea autem absurdum esse aiebat, quod, quum in deserto modeste vixissent, nunc bonis circumfluentes supra modum insanirent, et quæ per inopiam essent adepti per affluentiam perditum irent. Et ille quidem, hæc iis subjiciendo, ætate minores in melius mutare conabatur, actorumque ad pœnitentiam adducere.

11. Proxime autem quum surrexisset Zambrias, « sed tu « quidem, inquit, o Moyses, utere legibus quibus ipse « studium adhibuisti et plurimum firmitatis ac roboris ex « consuetudine dedisti : nam hoc nisi ita se habuisset, sæpe « jam pœnas luisses et haud tutum esse verba dare He- « bræis didicisses. Me certe iis, quæ tu tyranni more « imperas, obsequentem non habebis. Non enim aliud « quidquam hactenus quam, sub legum ac religionis præ- « textu, nobis quidem servitutem, tibimet vero dominatum « malis artibus adstruisti, voluptatem nobis et ad arbitrium « vivendi libertatem adimens, quæ liberorum sunt et nul- « lius sub imperio degentium. Hebræos sane gravius quam « Ægyptii premet qui ad leges exigere et punire voluerit « quicquid voluntati nostræ quique morem gerentes feceri- « mus. Multo autem tu justius pœna afficiaris, quando- « quidem tibi in animo fuit abolere quæ omnium consensu « erant approbata, atque ita hoc comparavisti, ut, contra « quam alii sentiunt universi, tua valeret absurditas. Ego « vero merito privarer qua nunc utor sorte, si recta hæc « esse judicans postea de iis coram confiteri me pigeret. Et « mulierem peregrinam, ut ais, uxorem duxi, (accipis « enim a me ipso facta mea, ut ab homine libero ; neque « enim in animum induxi ut laterem,) et sacra diis facio, « quibus sacra facere mihi lex est, æquum esse existimans « a multis et plurimorum consensu mihi veritatem compa- « rare, et non sicuti sub tyrannide vivere, in uno vitæ « totius spem omnem reponendo. Neque erit cur quis læte- « tur, qui meis in rebus me ipso plus arbitrii se habere « ostenderit. »

12. Quum autem hæc Zambrias de iis, quæ ipse pariter ac alii quidam male commiserunt, protulisset, populus quiescebat, quod sollicitus quidem esset metu de futuris, legis-

περαιτέρω τὴν ἀπόνοιαν αὐτοῦ προαγαγεῖν ἐκ τῆς ἀντικρὺ διαμάχης θελήσαντα· περίστατο γὰρ μὴ πολλοὶ τῆς καὶ τῶν λόγων ἀσελγείας αὐτοῦ μιμηταὶ γενόμενοι ταράξωσι τὸ πλῆθος· καὶ διαλύεται μὲν ἐπὶ τούτοις ὁ σύλλογος. Προεληλύθει δ' ἂν ἐπὶ πλεῖον ἡ τοῦ κακοῦ πεῖρα, μὴ φθάσαντος Ζαμβρίου τελευτῆσαι ἐκ τοιαύτης αἰτίας. Φινεέσης, ἀνὴρ τά τε ἄλλα τῶν νεωτέρων κρείττων καὶ τῷ τοῦ πατρὸς ἀξιώματι πολὺ τοὺς ἡλικιώτας ὑπερέχων, (Ἐλεαζάρου γὰρ τοῦ ἀρχιερέως υἱὸς ἦν, Μωϋσέως δὲ ἀδελφόπαιδος υἱός,) περιαλγήσας τοῖς πεπραγμένοις ὑπὸ τοῦ Ζαμβρίου, καὶ πρὶν ἰσχυροτέραν γενέσθαι τὴν ὕβριν ὑπὸ τῆς ἀδείας, ἔργῳ τὴν δίκην αὐτῶν εἰσπράξασθαι διανοὺς, καὶ κωλῦσαι διαβῆναι τὴν παρανομίαν εἰς πλείονας, τῶν ἀρξαμένων οὐ κολαζομένων, (τόλμῃ δὲ ψυχῆς καὶ σώματος ἀνδρείᾳ τοσοῦτον προὔχων, ὡς μὴ πρότερον, εἴ τινι συσταίη τῶν δεινῶν, ἀπαλλάττεσθαι πρὶν ἢ καταγωνίσαθαι καὶ νίκην τὴν ἐπ' αὐτῷ λαβεῖν,) ἐπὶ τὴν τοῦ Ζαμβρίου σκηνὴν παραγενόμενος αὐτόν τε παίων τῇ ῥομφαίᾳ καὶ τὴν Χοσβίαν ἀπέκτεινεν. Οἱ δὲ νέοι πάντες, οἷς ἀρετῆς ἀντιποίησις ἦν καὶ τοῦ φιλοκαλεῖν, μιμηταὶ γενόμενοι τῆς Φινεέσου τόλμης ἀνῄρουν τοὺς ἐπὶ τοῖς ὁμοίοις Ζαμβρίου τὴν αἰτίαν εἰληφότας. Ἀπόλλυνται μὲν οὖν καὶ ὑπὸ τῆς τούτων ἀνδραγαθίας πολλοὶ τῶν παρανομησάντων. Ἐφθάρησαν δὲ πάντες καὶ λοιμῷ, ταύτην ἐνσκήψαντος αὐτοῖς τοῦ Θεοῦ τὴν νόσον· ὅσοι τε συγγενεῖς ὄντες, κωλύειν δέον, ἐξώτρυνον αὐτοὺς ἐπὶ ταῦτα, συναδικεῖν τῷ Θεῷ δοκοῦντες, ἀπέθνησκον. Ἀπώλλυντο μὲν οὖν ἐκ τῶν τάξεων ἄνδρες οὐκ ἐλάττους τετρακισχιλίων καὶ δισμυρίων.

ιγ'. Ὑπὸ δὲ ταύτης παροξυνθεὶς τῆς αἰτίας Μωϋσῆς ἐπὶ τὸν Μαδιανιτῶν ὄλεθρον τὴν στρατιὰν ἐξέπεμπε· περὶ ὧν τῆς ἐπ' αὐτοὺς ἐξόδου μετὰ μικρὸν ἀπαγγελοῦμεν, προδιηγησάμενοι πρῶτον ὃ παρελίπομεν· δίκαιον γὰρ ἐπὶ τούτῳ τὴν τοῦ νομοθέτου γνώμην μὴ παρελθεῖν ἀνεγκωμίαστον. Τὸν γὰρ Βάλαμον (παραληφθέντα ὑπὸ τῶν Μαδιανιτῶν ὅπως ἐπαράσηται τοῖς Ἑβραίοις, καὶ τοῦτο μὲν οὐ δυνηθέντα θείᾳ προνοίᾳ, γνώμην δ' ὑποθέμενον, ᾗ χρησαμένων τῶν πολεμίων ὀλίγου τὸ τῶν Ἑβραίων πλῆθος διεφθάρη τοῖς ἐπιτηδεύμασι, νοσησάντων δή τινων περὶ ταῦτα) μεγάλως ἐτίμησεν ἀναγράψας αὐτοῦ τὰς μαντείας. Καὶ παρὸν αὐτῷ σφετερίσαθαι τὴν ἐπ' αὐτοῖς δόξαν καὶ ἐξιδιώσασθαι, μηδενὸς ἂν γενομένου μάρτυρος τοῦ διελέγξοντος, ἐκείνῳ τὴν μαρτυρίαν ἀπέδωκε καὶ τῆς ἐπ' αὐτῷ μνήμης ἠξίωσε. Καὶ ταῦτα μὲν ὡς ἂν αὐτοῖς τισι δοκῇ, οὕτω σκοπείτωσαν.

ΚΕΦ. Z'.

Μωϋσῆς δὲ ὑπὲρ ὧν καὶ προείπομεν ἐπὶ τὴν Μαδιανῖτιν γῆν ἔπεμψε στρατιὰν, τοὺς πάντας εἰς δισχιλίους καὶ μυρίους, ἐξ ἑκάστης φυλῆς τὸν ἴσον ἀριθμὸν ἐπιλεξάμενος, στρατηγὸν δ' αὐτῶν ἀπέδειξε Φινεέσην, οὗ μικρὸν πρότερον ἐμνήσθημεν, φυλάξαντος τοῖς

latorem vero perspicere sibi videretur amplius nolle contendere, ne hominem insolentem magis irritaret: metuebat enim *Moyses*, ne multi, ad verborum illius intemperantiam sequendam adducti, populum motibus cierent. Atque ita quidem dimissa est concio. Fortasse autem ulterius mali vis serpsisset, nisi sublatus fuisset Zambrias hujusmodi ex causa. Phineeses, vir cetera juventutis facile princeps, patrisque dignitate omnium ejusdem ætatis eminentissimus, (Eleazari enim pontificis erat filius et Moysis ex fratre nepos,) doloris acerbitate victus ob ea quæ patrarat Zambrias, et, antequam ex impunitate in majus aliquod facinus cresceret insolentia, supplicium manu sua ab eo volens exigere, prohibereque ne ad plures manaret iniquitas, dum inulti essent *flagitii* auctores, (tanta enim erat animi magnitudine, adeoque præcellenti corporis robore, ut non prius, quum periculum aliquod aggredi constitueret, ab eo desisteret, quam illud expugnasset et victoriam de eo reportasset,) Zambriam, in tentorium ejus ingressus, pariter ac Chosbiam lanceæ ictu interemit. Juvenes autem omnes, qui virtutis aliquid sibi vindicarent et honestatis studio tenerentur, Phineesis fortitudinis exemplo accensi, ejusdem cum Zambria criminis reos interfecerunt. Multi itaque illorum, qui leges violarant, horum egregia virtute perempti sunt. Peste autem *reliqui* omnes perierunt, Deo hunc illis morbum immittente: et quotquot e cognatis, qui quum prohibere debuerint, eos ad hæc impulerunt, a Deo pro sceleris sociis habiti, pariter sublati erant. Mortui sunt itaque ex ordinibus in ea clade non pauciores viginti quattuor hominum millibus.

13. Hæc autem causa fuit cur Moyses, ira incitatus, ad Madianitas internecione delendos exercitum miserit. De qua expeditione mox verba faciemus, quum prius istud, a quo digressi sumus, narrando ad finem perduxerimus: nam par esse arbitror ut legislatoris hac in re consilium non prætereamus, sine laude. Balamum enim (qui a Madianitis accitus ad Hebræos exsecrandos, et Dei quidem providentia, ne hoc faceret, prohibitus, nihilo secius tamen tale consilium dedit, ut, hostibus eo usis, parum abfuerit quin populus universus suis *de religione* studiis depravaretur, quibusdam vana de iis opinione infectis) magno dignatus est honore, quod scriptis mandarit ejus vaticinia. Et quum ei licuisset omnem ex illis famam et gloriam sibi tribuere et privatim vindicare, præsertim quum nemo esset testis qui eum falsi arguere potuerit, illi testimonium perhibuit, ejusque memoriam literis consignavit. Sed hæc quisque, ut libuerit, ita consideret.

CAP. VII.

Moyses autem, ob causas quas ante memoravi, in terram Madianitarum misit exercitum, ad duodecim millia hominum, pari ex unaquaque tribu numero delecto, ducemque ipsis præfecit Phineesen, cujus paulo ante meminimus, ut qui Hebræis leges suas conservaverit, et de Zambria

Ἑβραίοις τοὺς νόμους καὶ τὸν παρανομοῦντα τούτους Ζαμβρίαν τιμωρησαμένου. Μαδιανῖται δὲ, προπυθόμενοι τὸν στρατὸν ἐπὶ σφᾶς ἐλαύνοντα καὶ ὅσον οὐδέπω παρεσόμενον, ἠθροίζοντό τε καὶ τὰς εἰσβολὰς τῆς χώρας, ᾗ προσεδέχοντο τοὺς πολεμίους, ἀσφαλισάμενοι περιέμενον αὐτούς. Ἐλθόντων δὲ καὶ συμβολῆς γενομένης, πίπτει τῶν Μαδιανιτῶν πλῆθος ἀσυλλόγιστον καὶ ἀριθμοῦ κρεῖττον, οἵ τε βασιλεῖς αὐτῶν ἅπαντες. Πέντε δὲ ἦσαν, Ὤρεός τε καὶ Σούρης, ἔτι δὲ Ῥοβέης τε καὶ Οὔρης, πέμπτος δὲ Ῥέκεμος, οὗ πόλις ἐπώνυμος τὸ πᾶν ἀξίωμα τῆς Ἀράβων ἐχουσα γῆς, καὶ μέχρι νῦν ὑπὸ παντὸς τοῦ Ἀραβίου τοῦ κτίσαντος βασιλέως τὸ ὄνομα Ἀρεκέμη καλεῖται, Πέτρα παρ' Ἕλλησι λεγομένη. Τραπέντων δὲ τῶν πολεμίων, οἱ Ἑβραῖοι διήρπασαν αὐτῶν τὴν χώραν, καὶ πολλὴν λείαν λαβόντες καὶ τοὺς οἰκήτορας γυναιξὶν ἅμα διαφθείραντες, μόνας τὰς παρθένους κατέλιπον, τοῦτο Μωϋσέως Φινεέσῃ κελεύσαντος, ὃς ἦκεν ἄγων τὸν στρατὸν ἀπαθῆ καὶ λείαν ἄφθονον· βόας μὲν γὰρ δισχιλίους καὶ πεντακισμυρίους, ὄϊς δὲ πεντακισχιλίους πρὸς μυριάσιν ἑπτὰ καὶ ἑξήκοντα, ὄνους δὲ ἑξακισμυρίους, χρυσοῦ δὲ καὶ ἀργύρου ἄπειρόν τι πλῆθος κατασκευῆς ἢ κατ' οἶκον ἐχρῶντο· ὑπὸ γὰρ εὐδαιμονίας καὶ ἀβροδίαιτοι σφόδρα ἐτύγχανον. Ἦχθησαν δὲ καὶ παρθένοι περὶ δισχιλίας καὶ τρισμυρίας. Μωϋσῆς δὲ μερίσας τὴν λείαν τῆς μὲν ἑτέρας τὸ πεντηκοστὸν Ἐλεαζάρῳ δίδωσι καὶ τοῖς ἱερεῦσι, Λευίταις δὲ τῆς ἑτέρας τὸ πεντηκοστὸν μέρος, τὴν δὲ λοιπὴν νέμει τῷ λαῷ. Καὶ διῆγον τὸ λοιπὸν εὐδαιμόνως, ἀφθονίας μὲν ἀγαθῶν αὐτοῖς ὑπ' ἀρετῆς γενομένης, ὑπὸ μηδενὸς δὲ σκυθρωποῦ ταύτης ἀπολαύειν ἐμποδιζόμενοι.

β'. Μωϋσῆς δὲ, γηραιὸς ἤδη τυγχάνων, διάδοχον ἑαυτοῦ Ἰησοῦν καθίστησιν ἐπί τε ταῖς προφητείαις καὶ στρατηγὸν εἴ που δεήσειε γενησόμενον, κελεύσαντος καὶ τοῦ Θεοῦ τούτῳ τὴν προστασίαν ἐπιτρέψαι τῶν πραγμάτων. Ὁ δὲ Ἰησοῦς πᾶσαν ἐπεπαίδευτο τὴν περὶ τοὺς νόμους παιδείαν καὶ τὸ θεῖον, Μωϋσέως ἐκδιδάξαντος.

γ'. Κάν τούτῳ δύο φυλαὶ Γάδου τε καὶ Ῥουβήλου καὶ τῆς Μανασσίτιδος ἡμίσεια, πλήθει τετραπόδων εὐδαιμονοῦντες καὶ τοῖς ἄλλοις ἅπασι, κοινολογησάμενοι παρεκάλουν τὸν Μωϋσῆν ἑλέσθαι αὐτοῖς Ἀμορῖτιν παρασχεῖν, διορίκτητον οὖσαν· ἀγαθὴν γὰρ εἶναι βοσκήματα τρέφειν. Ὁ δὲ ὑπολαβὼν αὐτοὺς δείσαντας τὴν πρὸς Χαναναίους μάχην πρόφασιν εὐπρεπῆ τὴν τῶν βοσκημάτων ἐπιμέλειαν εὑρέσθαι, κακίστους τε ἀπεκάλει καὶ δειλίας εὐσχήμονα πρόφασιν ἐπινοήσαντας αὐτοὺς μὲν βούλεσθαι τρυφᾶν ἀπόνως διάγοντας, πάντων τεταλαιπωρηκότων ὑπὲρ τοῦ κτήσασθαι τὴν αἰτουμένην ὑπ' αὐτῶν γῆν, μὴ θέλειν δὲ, συναραμένους τῶν ἐπιλοίπων ἀγώνων, γῆν, ἣν διαβᾶσιν αὐτοῖς τὸν Ἰορδάνην ὁ Θεὸς παραδώσειν ὑπέσχηται, ταύτην λαβεῖν, καταστρεψαμένους οὓς ἐκεῖνος ἀπέδειξεν ἡμῖν πολεμίους. Οἱ δ' ὁρῶντες ὀργιζόμενον αὐτὸν, καὶ δικαίως ἠρεθίeas violante supplicium sumpserit. Madianitæ vero, præsentientes contra se movere exercitum et non longe abesse, copias suas colligunt; regionisque aditibus, ubi hostes irrupturos esse putabant, munitis, eos exspectabant. Quum autem venissent, et conserta esset pugna, tanta Madianitarum cecidit multitudo quantam nec conjiciendo nec numerando consequi possumus, cunctique eorum reges. Quinque autem erant, Oeus et Sures, porro Robees et Ures, quintus vero Recemus, cui cognominis urbs in terra Arabiæ primas obtinet, ac etiamnum ab omnibus de nomine regis Arabici, qui eam condidit, Areceme vocatur, Græcis Petra dicta. Fusis fugatisque hostibus, regionem eorum diripuere Hebræi; multumque prædæ capientes, et incolas cum mulieribus interficientes, solis virginibus pepercerunt, quod hoc a Moyse in mandatis acceperat Phineeses. Qui cum exercitu incolumi rediit prædam opulentam agens, boum quidem quinquaginta duo millia, ovium vero sexcenta septuaginta quinque millia, asinorum autem sexaginta millia, vasorum denique aureorum et argenteorum vim ingentem, ad usum domesticum paratorum : nam ex opum magnitudine luxu diffluebant. Abductæ sunt etiam virginum circiter triginta duo millia. Moyses itaque prædam partitus, ejus quidem partem unam quinquagesimam Eleazaro dedit et sacerdotibus, Levitis autem alteram quinquagesimam; quod vero reliquum fuit, populo distribuit. Deinde vitam bene ac feliciter agebant, quod illis magna esset bonorum abundantia virtute parta, nulla tristitia molestiave eis inter fruendum oborta.

2. Moyses autem, jam ætate provectus, Jesum designavit, qui sibi in prophetæ et ducis, si opus foret, muniis succederet, Deo ipso jubente ut summum rerum imperium ei deferret. Jesus etenim omnem juris divini pariter ac humani peritiam assequutus est, Moyse præceptore usus.

3. Per idem tempus duæ tribus, Gadis et Rubeli, et dimidia Manassitis, magno pecorum numero et aliis rebus abundantes, de communi consilio orant obsecrantque Moysen ut sibi extra sortem traderet terram Amoritidem, bello partam : gregibus enim alendis perquam accommodam esse. Ille vero suspicatus eos prælia contra Chananæos metu detrectare, et pecorum curam ut honestum prætextum invenisse, ignavissimos eos appellat, et qui speciosum timiditati suæ prætextum excogitarint : velle quidem eos a labore vacuos luxu ætatem agere, quum *ceteri* omnes ærumnas pertulerint, ut terræ quæsitæ forent compotes : simul vero adire nolle reliquorum prælliorum discrimina, ut terram à Deo Jordanem trajicientibus promissam caperent, devictis illis quos a nobis pro hostibus Deus haberi jusserat. Illi vero ducem gravius commotum videntes, justaque de

σθαι πρὸς τὴν ἀξίωσιν αὐτῶν ὑπολαβόντες, ἀπελογοῦντο, μὴ διὰ φόβον τῶν κινδύνων, μηδὲ διὰ τὴν πρὸς τὸ πονεῖν μαλακίαν πεποιῆσθαι τὴν αἴτησιν, ἀλλ' ὅπως τὴν λείαν ἐν ἐπιτηδείοις καταλιπόντες εὔζωνοι πρὸς τοὺς ἀγῶνας καὶ τὰς μάχας χωρεῖν δύναιντο. Ἑτοίμους τε ἔλεγον αὐτοὺς, κτίσαντας πόλεις εἰς φυλακὴν τέκνων καὶ γυναικῶν καὶ κτήσεως, αὐτοῦ διδόντος, συναπιέναι τῷ στρατῷ. Καὶ Μωϋσῆς ἀρεσθεὶς τῷ λόγῳ, καλέσας Ἐλεάζαρον τὸν ἀρχιερέα καὶ Ἰησοῦν καὶ τοὺς ἐν τέλει πάντας, συνεχώρει τὴν Ἀμωρῖτιν αὐτοῖς ἐπὶ τῷ συμμαχῆσαι τοῖς συγγενέσιν ἕως ἂν καταστήσωνται τὰ πάντα. Λαβόντες οὖν ἐπὶ τούτοις τὴν χώραν, καὶ κτίσαντες πόλεις καρτερὰς, τέκνα καὶ γυναῖκας καὶ τἆλλα ὅσα συμπεριάγειν μέλλουσιν αὐτοῖς ἦν ἐμπόδια τοῦ πονεῖν, ἀπέθεντο εἰς αὐτάς.

δ'. Οἰκοδομεῖ δὲ καὶ Μωϋσῆς τὰς δέκα πόλεις, τὰς εἰς τὸν ἀριθμὸν τῶν ὀκτὼ καὶ τεσσαράκοντα γενησομένας, ὧν τρεῖς ἀπέδειξε τοῖς ἐπ' ἀκουσίῳ φόνῳ φευξομένοις, καὶ χρόνον ἔταξεν εἶναι τῆς φυγῆς τὸν αὐτὸν τῷ ἀρχιερεῖ, ἐφ' ᾧ δράσας τις τὸν φόνον ἔφυγε, μεθ' ὃν συνεχώρει τελευτήσαντα κάθοδον, ἐχόντων ἐξουσίαν τῶν τοῦ πεφονευμένου συγγενῶν κτείνειν, εἰ λάβοιεν ἔξω τῶν ὅρων τῆς πόλεως εἰς ἣν ἔφυγε τὸν πεφονευκότα· ἑτέρῳ δὲ οὐκ ἐπετέτραπτο. Αἱ δὲ πόλεις αἱ πρὸς τὰς φυγὰς ἀποδεδειγμέναι ἦσαν αἵδε· Βόσορα μὲν ἐπὶ τοῖς ὁρίοις τῆς Ἀραβίας, Ἀρίμανον δὲ τῆς Γαλαδηνῶν γῆς, καὶ Γαυλανὰν ἐν τῇ Βατανειάδι. Κτησαμένων δ' αὐτῶν καὶ τὴν Χαναναίων γῆν, τρεῖς ἕτεραι πόλεις ἐμελλον ἀνατεθήσεσθαι τῶν Λευιτίδων πόλεων τοῖς φυγάσιν εἰς κατοικισμὸν, Μωϋσέως ἐπιστείλαντος.

ε'. Μωϋσῆς δὲ, προσελθόντων αὐτῷ τῶν πρώτων τῆς Μανασσίτιδος φυλῆς, καὶ δηλούντων μὲν ὡς τεθνήκοι τις τῶν φυλετῶν ἐπίσημος ἀνὴρ Ὀλοφάντης ὄνομα, παῖδας μὲν οὐ καταλιπὼν ἄρσενας, θυγατέρας μέντοι, καὶ πυθομένων εἰ τούτων ὁ κλῆρος ἔσοιτο, φησὶν, εἰ μὲν μέλλουσί τινι συνοικεῖν τῶν φυλετῶν, μετὰ τοῦ κλήρου πρὸς αὐτοὺς ἀπιέναι, εἰ δ' ἐξ ἄλλης γαμοῖντό τισι φυλῆς, τὸν κλῆρον ἐν τῇ πατρῴᾳ φυλῇ καταλιπεῖν. Καὶ τότε μένειν ἑκάστου τὸν κλῆρον ἐν τῇ φυλῇ διετάξατο.

ΚΕΦ. Η'.

Τῶν δὲ τεσσαράκοντα ἐτῶν παρὰ τριάκονθ' ἡμέρας συμπεπληρωμένων, Μωϋσῆς ἐκκλησίαν ἐπὶ τῷ Ἰορδάνῃ συναγαγὼν, ὅπου νῦν πόλις ἐστὶν Ἀβιλὴ, φοινικόφυτον δ' ἐστὶ τὸ χωρίον, συνελθόντος τοῦ λαοῦ παντὸς λέγει τοιάδε.

β'. « Ἄνδρες συστρατιῶται καὶ τῆς μακρᾶς κοινωνοὶ « ταλαιπωρίας, ἐπεὶ, τῷ Θεῷ δοκοῦν ἦλθ', καὶ τῷ « γήρᾳ χρόνον ἐτῶν εἴκοσι καὶ ἑκατὸν ἠνυσμένον δεῖ με « τοῦ ζῆν ἀπελθεῖν, καὶ τῶν πέραν τοῦ Ἰορδάνου « πραχθησομένων οὐ μέλλω βοηθὸς ὑμῖν ἔσεσθαι καὶ « σύμμαχος, κωλυόμενος ὑπὸ τοῦ Θεοῦ, δίκαιον ἡγη- « σάμην μηδὲ νῦν ἐγκαταλιπεῖν τοὺμὸν ὑπὲρ τῆς ὑμε-

causa petitione illorum irritatum existimantes, pro se responderunt, se neque periculorum metu, neque animi mollitie, ut id sibi concederetur, postulasse, sed hoc tantum egisse, ut, præda in locis tutis commodisque relicta, expeditiores ad certamina et prælia ire possent. Se enim paratos esse aiebant, postquam oppida in præsidium liberorum et conjugum ac facultatum suarum ipso annuente instaurarint, una cum exercitu proficisci. Moyses autem, cui placebat illorum sermo, ad se vocat Eleazarum pontificem et Jesum ac ceteros magistratus, illisque concedit Amoritidem ea lege ut cognatis tribubus auxiliarentur, donec *cum Chananæis* esset debellatum. Regionem itaque ubi hac conditione acceperant, urbesque validis operibus muniverant, in illis deposuerunt liberos et conjuges et cetera quæcunque secum asportata labori futura erant impedimento.

4. Quin et Moyses decem urbes exstruit, inter illas quadraginta octo *sacras* recensendas, quarum tres in asyla tribuit, quo percussores, qui hominem per imprudentiam occiderint, confugerent: statuitque exsilii tempus vita pontificis, sub quo profugisset homicidii reus, definiendum: cujus post obitum domum reverti permisit, cognatis interempti potestatem habentibus homicidam occidendi, si eum extra urbis in quam confugerat fines egressum deprehenderent, præterea vero nemini licebat. Urbes autem in perfugium constitutæ hæ erant: Bosora quidem in Arabiæ confiniis, Arimanum vero in terra Galadenorum, et Gaulanan in Bataneade. At, quum Chananæam adepti essent, tres alias Levitarum civitates exsilium subeuntibus ad habitandum assignaturi erant, *hoc* Moyse imperante.

5. Moyses autem, eum adeuntibus primoribus tribus Manassitidis, eique indicantibus ut præcipuus quidam ex sua tribu paterfamilias Holophantes nomine obierit, liberis quidem masculis non relictis, sequioris tamen sexus aliquibus, atque eum interrogantibus an filiabus cessura esset hæreditas, respondit, si quidem alicui ex tribulibus nupserint, ut ei cum sorte sua accedant; sin vero viris ex alia semet elocarint, sortem in tribu paterna relinquendam esse. Et tunc decreto sancivit uniuscujusque hæreditatem in sua tribu permansuram esse.

CAP. VIII.

Quum autem anni quadraginta, diebus triginta exceptis, peracti essent, Moyses, concione advocata apud Jordanem, ubi nunc urbs est Abila, (est autem locus palmetis consitus,) omnique populo congregato, hujusmodi sermonem habet.

2. « Viri commilitones et longæ ærumnæ socii, quando- « quidem ita jam videtur Deo et oportet me ad tempus vi- « ginti et centum annorum senectute provectum e vita « emigrare, atque rerum trans Jordanem gerendarum vo- « bis non futurus sum adjutor et auxiliator, a Deo prohibi- « tus, æquum existimavi ne nunc quidem meum pro vestra

« τέρας εὐδαιμονίας πρόθυμον, ἀλλ' ἀΐδιόν τε ὑμῖν
« πραγματεύσασθαι τὴν τῶν ἀγαθῶν ἀπόλαυσιν καὶ
« μνήμην ἐμαυτῷ, γενομένων ὑμῶν ἐν ἀφθονίᾳ τῶν
« κρειττόνων. Φέρε οὖν ὑποθέμενος ὃν τρόπον ὑμεῖς τ'
« ἂν εὐδαιμονήσαιτε καὶ παισὶ τοῖς αὐτῶν καταλίποιτε
« κτῆσιν ἀγαθῶν ἀΐδιον παραθέμενος, οὕτως ἀπέλθω
« τοῦ βίου. Πιστεύεσθαι δὲ ἄξιός εἰμι διά τε τὰς πρό-
« τερον ὑπὲρ ὑμῶν φιλοτιμίας καὶ διὰ τὸ τὰς ψυχὰς
« ἐπὶ τελευτῇ γινομένας μετ' ἀρετῆς πάσης ὁμιλεῖν.
« Ὦ παῖδες Ἰσραήλου, μία πᾶσιν ἀνθρώποις ἀγαθῶν
« κτήσεως αἰτία, Θεὸς εὐμενής. Μόνος γὰρ οὗτος
« δοῦναί τε ταῦτα τοῖς ἀξίοις καὶ ἀφελέσθαι τῶν ἁμαρ-
« τανόντων εἰς αὐτὸν ἱκανός, ᾧ παρέχοντες ἑαυτοὺς,
« οἵους αὐτός τε βούλεται κἀγὼ τὴν διάνοιαν αὐτοῦ
« σαφῶς ἐξεπιστάμενος παραινῶ, οὐκ ἂν ὄντες μακα-
« ριστοὶ καὶ ζηλωτοὶ πᾶσιν [ἀτυχήσαιτέ ποτ' ἢ] παύ-
« σαισθε, ἀλλ' ὧν τε νῦν ὑμῖν ἐστιν ἀγαθῶν ἡ κτῆσις
« βεβαία μενεῖ, τῶν τε ἀπόντων ταχεῖαν ἕξετε τὴν πα-
« ρουσίαν. Μόνον οἷς ὑμᾶς ὁ Θεὸς βούλεται ἕπεσθαι,
« τούτοις πειθαρχεῖτε, καὶ μήτε νομίμων τῶν παρόντων
« ἄλλην προτιμήσητε διάταξιν, μήτ' εὐσεβείας, ἧς νῦν
« περὶ τὸν Θεὸν ἔχετε, καταφρονήσαντες εἰς ἄλλον με-
« ταστήσησθε τρόπον. Ταῦτα δὲ πράττοντες, ἀλκιμώ-
« τατοι μάχας διενεγκεῖν ἁπάντων ἔσεσθε καὶ μηδενὶ
« τῶν ἐχθρῶν εὐάλωτοι. Θεοῦ γὰρ παρόντος ὑμῖν βοη-
« θοῦ, πάντων περιφρονεῖν εὔλογον. Τῆς δ' ἀρετῆς
« ἔπαθλα ὑμῖν μεγάλα κεῖται πρὸς ἅπαντα τὸν βίον
« κτησαμένοις· αὕτη γὰρ πρῶτον ἀγαθῶν καὶ πρέσβιστόν
« ἐστιν, ἔπειτα καὶ τὴν τῶν ἄλλων χαρίζεται περιου-
« σίαν, ὡς καὶ πρὸς ἀλλήλους ὑμῖν χρωμένοις αὐτῇ
« μακάριστον ποιῆσαι τὸν βίον καὶ τῶν ἀλλοφύλων
« πλέον δοξαζομένους, ἀδήριτόν τε παρὰ τοῖς αὖθις τὴν
« εὔκλειαν ὑμῖν ὑπάρξαι. Τούτων δ' ἂν ἐφικέσθαι
« δυνηθείητε, εἰ τῶν νόμων, οὓς ὑπαγορεύσαντός μοι
« τοῦ Θεοῦ συνεταξάμην, κατήκοοι καὶ φύλακες γένοισθε
« καὶ μελετῶητε τὴν σύνεσιν αὐτῶν. Ἄπειμι δ' αὐ-
« τὸς χαίρων ἐπὶ τοῖς ὑμετέροις ἀγαθοῖς, παρατιθέμενος
« ὑμᾶς νόμῳ τε σωφροσύνης καὶ κόσμῳ τῆς πολιτείας,
« καὶ ταῖς τῶν στρατηγῶν ἀρεταῖς, οἳ πρόνοιαν ἕξου-
« σιν ὑμῶν τοῦ συμφέροντος. Θεός τε ὁ μέχρι νῦν ἡγε-
« μονεύσας ὑμῶν, καθ' οὗ βούλησιν κἀγὼ χρήσιμος
« ὑμῖν ἐγενόμην, οὐ μέχρι τοῦ δεῦρο ὑμῖν στήσει τὴν
« αὐτοῦ πρόνοιαν, ἀλλ' ἐφ' ὅσον αὐτοὶ βούλεσθε χρόνον
« τοῦτον ἔχειν προστάτην ἐν τοῖς τῆς ἀρετῆς ἐπιτηδεύ-
« μασι μένοντες, ἐπὶ τοσοῦτον αὐτοῦ χρήσεσθε τῇ προ-
« μηθείᾳ. Γνώμας τε ὑμῖν εἰσηγήσονται τὰς ἀρίστας,
« αἷς ἑπόμενοι τὴν εὐδαιμονίαν ἕξετε, ὁ ἀρχιερεὺς Ἐλεά-
« ζαρος καὶ Ἰησοῦς, ἥ τε γερουσία καὶ τὰ τέλη τῶν
« φυλῶν· ὧν ἀκροᾶσθε μὴ χαλεπῶς, γινώσκοντες ὅτι
« πάντες οἱ ἄρχεσθαι καλῶς εἰδότες καὶ ἄρχειν εἴσονται
« παρελθόντες εἰς ἐξουσίαν αὐτοῦ, τήν τε ἐλευθερίαν
« ἡγεῖσθε μὴ τὸ προσαγαναχτεῖν οἷς ἂν ὑμᾶς οἱ ἡγεμό-
« νες πράττειν ἀξιῶσιν. Νῦν μὲν γὰρ ἐν τῷ τοὺς
« εὐεργέτας ὑβρίζειν, ἐν τούτῳ τὴν παρρησίαν τίθεσθε·

« felicitate studium omittere, sed et vobis æternam bonorum
« fruitionem comparare et mihi ipsi memoriam, vobis
« meliorum copiam adeptis. Agedum igitur, postquam
« proposuero quomodo et vos felices esse possitis, natisque
« vestris sempiternam bonorum possessionem relinquere,
« sic ex vita discedam. Sum autem dignus cui credatur,
« tum propter præteritas pro vobis contentiones, tum quia
« animæ ad exitum perductæ cum omni virtute commer-
« cium habent. O filii Israelis, una omnibus felicitatis causa
« est Deus propitius. Nam hic solus potest et dignis dare
« et sontibus auferre; cui si præstiteritis vos ipsos quales
« et ipse vult et ego admoneo, mentem ejus aperte intelli-
« gens, nunquam infeliciter agetis, neque unquam beati
« esse desinetis atque omnibus conspicui, sed et possessio
« bonorum, quæ nunc sunt vobis, firma manebit, et futu-
« rorum celerem præsentiam habebitis. Tantum necesse
« est iis obediatis, quibus vos obsequi vult Deus: et neque
« legibus præsentibus aliam præponatis institutionem,
« neque contempta pietate, quam nunc erga Deum habetis,
« ad alios mores deficiatis. His autem faciendis omnium
« ad dimicandum præliis eritis fortissimi et nulli hostium
« expugnabiles. Deo enim vobis auxilium ferente, consen-
« taneum est ut omnes despiciatis. Virtutis autem præmia
« vobis magna sunt proposita, si eam in omnem vitam pos-
« sederitis. Ipsa nempe primum bonorum est et antiquissi-
« mum, deinde ceterorum abundantiam conciliat, siqui-
« dem, dum ea inter vos utamini, vitam vobis beatissimam
« faciet, magisque laudari quam externos, et ut sitis in gloria
« apud posteros certissima. Hæc autem assequi poteritis,
« si obedientes fueritis et legum, quas Deo mihi dictante
« condidi, custodes, earumque intelligentiam meditemini.
« Discedo autem ipse vestris bonis lætus, commendatis
« vobis et legi modestiæ et firmæ institutioni reipubli-
« cæ, et virtutibus imperatorum, qui utilitatis vestræ
« curam gerent. Deus quoque, qui vos hactenus rexit,
« cujus voluntate et ego vobis utilis fui, non *tantum*
« hucusque a vobis providentiam suam non intermittet,
« sed quam diu ipsi, in virtutis studiis manentes, eum præ-
« sidem habere voletis, tam diu providentia ejus utemini.
« Sententias etiam optimas, quas sequendo felices eritis,
« vobis exponent Eleazarus pontifex et Jesus, senatusque
« et tribuum magistratus: quibus non gravate obtempe-
« rate, intelligentes omnes qui pulcre sciant parere, etiam
« imperare scituros, si ad ejus rei potestatem pervenerint, et
« libertatem *esse* existimate non ægre ferre quæ duces
« vos facere postularint. Nunc enim libertatem in eo po-
« nitis ut beneficos contumelia afficiatis: quod sane si

« δ δὴ τοῦ λοιποῦ φυλαττομένοις ὑμῖν ἄμεινον ἕξει τὰ
« πράγματα. Μηδὲ τὴν ἴσην ἐπὶ τούτοις ὀργὴν ποτε
« λαμβάνετε, ἢ κατ' ἐμοῦ πολλάκις ἐτολμήσατε χρῆ-
« σθαι· γινώσκετε γὰρ ὡς πλεονάκις ἐκινδύνευσα ὑφ'
« ὑμῶν ἀποθανεῖν ἢ ὑπὸ τῶν πολεμίων. Ταῦτα δ' οὐκ
« ὀνειδίζων ὑμᾶς προὐθέμην, (οὐ γὰρ ἐπ' ἐξόδου τοῦ
« ζῆν δυσχεραίνοντας καταλιπεῖν ἠξίουν εἰς ἀνάμνησιν
« φέρων, μηδὲ παρ' ὃν ἔπασχον αὐτὰ καιρὸν ἐν ὀργῇ
« γενόμενος,) ἀλλ' ὥστε τοῦ σωφρονήσειν ὑμᾶς εἰς τὸ
« μέλλον κατ' αὐτό γε τοῦτ' ἀσφαλὲς εἶναι, καὶ μηδὲν
« εἰς τοὺς προεστηκότας ἐξυβρίσαι διὰ πλοῦτον, ὃς ὑμῖν
« πολὺς διαβᾶσι τὸν Ἰορδάνην καὶ τὴν Χαναναίαν κτη-
« σαμένοις περιστήσεται, ἐπεὶ προαχθέντες εἰς καταφρό-
« νησιν ὑπ' αὐτοῦ καὶ τῆς ἀρετῆς ὀλιγωρίαν, ἀπολεῖτε
« καὶ τὴν εὔνοιαν τὴν παρὰ τοῦ Θεοῦ. Ποιήσαντες δὲ
« τοῦτον ἐχθρὸν, τήν τε γῆν, ἣν νῦν κτᾶσθε, κρατη-
« θέντες ὅπλοις ὑπ' αὐτῶν αὖθις ἀφαιρεθήσεσθε μετὰ
« μεγίστων ὀνειδῶν, καὶ σκεδασθέντες διὰ τῆς οἰκουμέ-
« νης πᾶσαν ἐμπλήσετε τὴν γῆν καὶ θάλασσαν τῆς αὐ-
« τῶν δουλείας. Ἔσται δὲ ὑμῖν τούτων πεῖραν λαμ-
« βάνουσιν ἀνωφελὴς ἡ μετάνοια καὶ ἡ τῶν οὐ φυλα-
« χθέντων νόμων ἀνάμνησις· ὅθεν εἰ βούλοισθε τούτους
« ὑμῖν μένειν, τῶν πολεμίων μηδένας ὑπολείπεσθε κρα-
« τήσαντες αὐτῶν, ἀλλὰ πάντας ἀπολλύναι κρίνατε
« συμφέρειν, ἵνα μὴ ζώντων παραγευσάμενοι τῆς ἐκείνων
« ἐπιτηδεύσεως, διαφθείρητε τὴν πάτριον πολιτείαν.
« Ἔτι δὲ καὶ βωμοὺς καὶ ἄλση καὶ νεὼς ὁπόσους ἂν
« ἔχοιεν καταρρίπτειν παραινῶ καὶ δαπανᾶν πυρὶ τὸ
« γένος αὐτῶν καὶ τὴν μνήμην. Βεβαία γὰρ ἂν οὕτως
« ὑμῖν μόνοις ὑπάρξειεν ἡ τῶν οἰκείων ἀγαθῶν ἀσφά-
« λεια. Ἵνα δὲ μὴ δι' ἀμαθίαν τοῦ κρείττονος ἡ φύσις
« ὑμῶν πρὸς τὸ χεῖρον ἀπονεύσῃ, συνέθηκα ὑμῖν καὶ
« νόμους, ὑπαγορεύσαντός μοι τοῦ Θεοῦ, καὶ πολιτείαν,
« ἧς τὸν κόσμον φυλάξαντες πάντων ἂν εὐδαιμονέστατοι
« κριθείητε. »

γ'. Ταῦτα εἰπὼν δίδωσιν αὐτοῖς ἐν βιβλίῳ τοὺς νό-
μους καὶ τὴν διάταξιν τῆς πολιτείας ἀναγεγραμμένην.
Οἱ δὲ ἐδάκρυόν τε καὶ πολλὴν ἐπιζήτησιν ἐποιοῦντο τοῦ
στρατηγοῦ, μεμνημένοι τε ὧν κινδυνεύσειε καὶ προ-
θυμηθείη τῆς περὶ αὐτῶν σωτηρίας, καὶ δυσελπι-
στοῦντες περὶ τῶν μελλόντων ὡς οὐκ ἐσομένης ἄλλης
ἀρχῆς τοιαύτης, ἧττόν τε τοῦ Θεοῦ προνοησομένου διὰ
τὸ Μωϋσῆν εἶναι τὸν παρακαλοῦντα. Ὧν τε ἐπὶ τῆς
ἐρήμου μετ' ὀργῆς ὁμιλήσειαν αὐτῷ μετανοοῦντες,
ἤλγουν, ὡς ἅπαντα τὸν λαὸν εἰς δάκρυα προπεσόντα
κρεῖττον καὶ τῆς ἐκ λόγου παρηγορίας τὸ ὑπ' αὐτῶν
ποιῆσαι πάθος. Μωϋσῆς δ' αὐτοὺς παρηγόρει, καὶ
τοῦ δακρύων αὐτὸν ἄξιον ὑπολαμβάνειν ἁπάντων αὐ-
τοὺς χρῆσθαι τῇ πολιτείᾳ παρεκάλει. Καὶ τότε μὲν
οὕτω διελύθησαν.

δ'. Βούλομαι δὲ τὴν πολιτείαν πρότερον εἰπὼν τῷ
τε Μωϋσέως ἀξιώματι καὶ τῇ ἀρετῇ ἀναλογοῦσαν, καὶ
μαθεῖν παρέξων δι' αὐτῆς τοῖς ἐντευξομένοις οἷα τὰ
καθ' ἡμᾶς ἀρχῆθεν ἦν, οὕτως ἐπὶ τὴν τῶν ἄλλων τρα-

« deinceps cavebitis, vobis res melius se habebunt. Neque
« unquam tantam contra eos iram sumite quanta sæpe ausi
« estis adversus me uti : probe enim nostis sæpius de
« vita a vobis quam ab hostibus me periclitatum esse. Hæc
« autem vos monui, non ut exprobrem, (nolim enim in
« exitu vitæ hæc in memoriam revocando vos offensos re-
« linquere, quum ne eo quidem tempore, quo his afficiebar,
« fuerim iratus,) sed ut vos doceam tutum esse in poste-
« rum in hoc ipso moderate agere, ut nulla superiores
« injuria afficiatis opibus elati, quæ vobis trajecto Jordane
« et Chananæam adeptis multæ aderunt. Nam si ab iis ad
« fastidium et contemptum virtutis adducti fueritis, Dei
« etiam benevolentiam perdetis. Quando vero hunc vobis
« inimicum feceritis, rursum etiam terram, quam posside-
« bitis, maximis cum probris amittetis, armis victi ab
« hostibus, et per orbem dissipati totam terram et mare
« servitute vestra replebitis. Vobis autem horum periculum
« facientibus inutilis erit pœnitentia et legum non servata-
« rum recordatio. Quare si vultis has vobis manere, quum
« hostes superaveritis, nullos ex iis relinquite, sed omnes
« delere vobis expedire existimate, ne eis viventibus, mori-
« bus illorum degustatis, patriam corrumpatis institutionem.
« Præterea moneo ut et aras et lucos et templa, quotquot
« habebunt, dejiciatis, et genus et memoriam eorum igni
« aboleatis. Nam ita solum firma erit vobis bonorum pro-
« priorum securitas. Ut autem propter meliorum ignoran-
« tiam natura vestra in deterius non feratur, et leges vobis,
« dictante mihi Deo, composui, et reipublicæ institutio-
« nem, cujus si servaveritis ordinem, omnium felicissimi
« judicabimini. »

3. Hæc loquutus tradit eis leges et reipublicæ ordinationem in libro descriptam. Illi vero plorabant, et multum jam tum desiderium imperatoris capiebant, memores periculorum et studiorum quæ pro salute eorum suscepisset, et de futuris male sperantes, quod non essent similem principem habituri, Deumque minus illis provisurum *existimantes*, quoniam Moyses erat qui eum precibus exorabat. Et dolebant, eorum, quæ illi in deserto per iracundiam fecerant, pœnitentes : ita ut universus populus in lacrimas prolapsus ex his rebus majore affectus sit dolore quam ut verba possent eum consolari. Moyses autem solatium iis adhibebat, eosque a cogitando se lacrimis dignum esse abducens, admonebat ut reipublicæ institutione uterentur. Et tunc quidem ita digressi sunt.

4. Volo autem, ubi prius dixero de reipublicæ institutione, Moysis virtuti et dignitati consentanea, et lecturis ex ea discendum tradidero qualis olim fuerit rerum nostrarum status, ita transire ad rerum aliarum enarrationem:

πέσθαι διήγησιν. Γέγραπται δὲ πάνθ' ὡς ἐκεῖνος κατέλιπεν, οὐδὲν ἡμῶν ἐπὶ καλλωπισμῷ προσθέντων, οὐδ' ὅ τι μὴ καταλέλοιπε Μωϋσῆς. Νενεωτέρισται δ' ἡμῖν τὸ κατὰ γένος ἕκαστα τάξαι· σποράδην γὰρ ὑπ' ἐκείνου κατελείφθη γραφέντα, καὶ ὡς ἕκαστόν τι παρὰ τοῦ Θεοῦ πύθοιτο. Τούτου χάριν ἀναγκαῖον ἡγησάμην προδιαστείλασθαι, μὴ καί τις ἡμῖν παρὰ τῶν ὁμοφύλων ἐντυγχανόντων τῇ γραφῇ μέμψις ὡς διημαρτηκόσι γένηται. Ἔχει δὲ οὕτως ἡ διάταξις ἡμῖν τῶν νόμων τῶν ἀνηκόντων εἰς τὴν πολιτείαν. Οὓς δὲ κοινοὺς ἡμῖν καὶ πρὸς ἀλλήλους κατέλιπε, τούτους ὑπερεθέμην εἰς τὴν περὶ ἐθῶν καὶ αἰτιῶν ἀπόδοσιν, ἣν συναντιλαμβανομένου τοῦ Θεοῦ μετὰ ταύτην ἡμῖν τὴν πραγματείαν συντάξασθαι πρόκειται.

ε'. Ἐπειδὰν τὴν Χαναναίων γῆν κτησάμενοι καὶ σχολὴν ἐπὶ χρήσει τῶν ἀγαθῶν ἔχοντες πόλεις τὸ λοιπὸν ἤδη κτίζειν προαιρῆσθε, ταῦτα ποιοῦντες τῷ Θεῷ φίλα πράττετε, καὶ τὴν εὐδαιμονίαν βεβαίαν ἕξετε. Ἱερὰ πόλις ἔστω μία τῆς Χαναναίων γῆς ἐν τῷ καλλίστῳ καὶ δι' ἀρετὴν ἐπιφανεῖ, ἣν ἂν ὁ Θεὸς αὐτῷ διὰ προφητείας ἐκλέξηται. Καὶ νεὼς εἷς ἐν ταύτῃ ἔστω, καὶ βωμὸς εἷς ἐκ λίθων μὴ κατειργασμένων, ἀλλὰ λογάδην συγκειμένων, οἳ κονιάματι χρισθέντες εὐπρεπεῖς τε εἶεν καὶ καθάριοι πρὸς τὴν θέαν. Ἡ δ' ἐπὶ τοῦτον πρόσβασις ἔστω μὴ διὰ βαθμίδων, ἀλλὰ προσχώσεως αὐτῷ κατὰ πρανοῦς γενομένης. Ἐν ἑτέρᾳ δὲ πόλει μήτε βωμὸς μήτε νεὼς ἔστω· Θεὸς γὰρ εἷς καὶ τὸ Ἑβραίων γένος ἕν.

ς'. Ὁ δὲ βλασφημῆσαι τολμήσας Θεὸν καταλευσθεὶς κρεμάσθω δι' ὅλης ἡμέρας, καὶ ἀτίμως καὶ ἀφανῶς θαπτέσθω.

ζ'. Συνερχέσθωσαν δὲ εἰς ἣν ἀποφήνωσι πόλιν τὸν νεὼν τρὶς τοῦ ἔτους οἱ ἐκ τῶν περάτων τῆς γῆς, ἧς ἂν Ἑβραῖοι κρατῶσιν, ὅπως τῷ Θεῷ τῶν μὲν ὑπηργμένων εὐχαριστῶσι καὶ περὶ τῶν εἰς τὸ μέλλον παρακαλῶσι, καὶ συνόντες ἀλλήλοις καὶ συνευωχούμενοι προσφιλεῖς ὦσι. Καλὸν γὰρ εἶναι μὴ ἀγνοεῖν ἀλλήλους, ὁμοφύλους τε ὄντας καὶ τῶν αὐτῶν κοινωνοῦντας ἐπιτηδευμάτων. Τοῦτο δὲ ἐκ μὲν τῆς αὐτῆς ἐπιμιξίας αὐτοῖς ὑπάρξειν, τῇ τε ὄψει καὶ τῇ ὁμιλίᾳ μνήμην αὐτῶν ἐντιθέντας· ἀνεπιμίκτους γὰρ ἀλλήλοις μένοντας ἀλλοτριωτάτους αὐτοῖς νομισθήσεσθαι.

η'. Ἔστω δὲ καὶ δεκάτη τῶν καρπῶν ἐξιέρωσις ὑμῖν, χωρὶς ἧς διέταξα τοῖς ἱερεῦσι καὶ Λευίταις δίδοσθαι, ἣ πιπρασκέσθω μὲν ἐπὶ τῶν πατρίδων, εἰς δὲ τὰς εὐωχίας ὑπηρετείτω καὶ τὰς θυσίας τὰς ἐν τῇ ἱερᾷ πόλει. Δίκαιον γὰρ εἶναι τῶν ἐκ τῆς γῆς ἀναδιδομένων, ἣν ὁ Θεὸς αὐτοῖς κτήσασθαι παρέσχεν, ἐπὶ τιμῇ τοῦ δεδωκότος ἀπολαύειν.

θ'. Ἐκ μισθοῦ γυναικὸς ἡταιρημένης θυσίας μὴ τελεῖν· ἥδεσθαι γὰρ μηδενὶ τῶν ἀφ' ὕβρεως τὸ θεῖον· χείρω δ' οὐκ ἂν εἴη τῆς ἐπὶ τοῖς σώμασιν αἰσχύνης. Ὁμοίως μηδ' ἂν ἐπ' ὀχεύσει κυνὸς, ἤτοι θηρευτικοῦ ἢ

Omnia autem ut ille reliquit scripta sunt, nulla re a nobis ornatus gratia addita, neque quam Moyses non reliquerit. Ceterum hoc novum factum est a nobis, quod singula ad certa genera redegimus : nam ab eo relicta erant sparsim scripta et ut quidque a Deo sciscitatus erat. Hujus rei gratia operæ pretium esse existimavi hoc præmittere, ne in aliquam a tribulibus, qui in hoc scriptum inciderint, reprehensionem incurramus, quasi aberraverimus. Ita quidem se nobis habet legum ordinatio ad rationem civitatis pertinentium. Quas autem nobis communes inter nos reliquit, eas in commentarium de moribus et causis edendum distuli, quem Deo adjuvante post hoc opus componere nobis propositum est.

5. Quum igitur terram Chananæorum adepti, otiumque ad usum bonorum nacti, deinceps jam urbes ædificare statueritis, si hæc facietis, quod Deo gratum est præstabitis, et firmam stabilemque felicitatem habebitis. Una urbs sacra esto in pulcerrimo terræ Chananææ loco et ob præstantiam illustri, quem Deus sibi per vaticinium elegerit. Estoque unum in ea templum et ara una ex lapidibus non laboratis, sed collectim compositis, qui tectorio illiti decentes sint et aspectu nitidi. Ascensus vero ad eam esto non per gradus, sed terra per acclive ad illam aggesta. In alia autem urbe neque ara neque templum esto; nam Deus est unus unumque Hebræorum genus.

6. Qui autem Deo maledicere ausus fuerit, per diem lapidatus pendeat, ac sine honore et obscure sepeliatur.

7. Conveniant autem in urbem, in qua templum constituerint, ter in anno, ab extremis regionis, quam Hebræi tenuerint, ut Deo pro acceptis beneficiis gratias agant et de futuris eum precibus demereantur, atque consuetudinem inter se habendo simulque epulando benevolentiam alant. Honestum enim esse ut qui sint ejusdem generis eorundemque institutorum participes, alii aliis non ignoti sint : id quod ex hujusmodi consociatione futurum est, dum aspectu et alloquio sui recordationem efficiunt : nam si absque communitate maneant et consortio, erit ut a se invicem alienissimi habeantur.

8. Frugum etiam decuma consecretur, præter eam quam sacerdotibus et Levitis dandam esse instituí : quæ quidem in patriis vendatur, ad epulas vero adhibeatur et sacrificia eorum in urbe sacra. Æquum enim esse proventibus terræ, quam Deus eis possidendam tradiderit, ad datoris honorem frui.

9. Ex mercede mulieris prostitutæ ne fiant sacrificia : Dei enim numen nihil delectat a scelere profectum : non autem quidquam pejus esse potest corporum turpitudine. Similiter ne quis ex admissura canis, seu venatici seu cu-

ποιμνίων φύλακος, λάβῃ τις μισθὸν, ἐκ τούτου θύειν τῷ Θεῷ.

ι'. Βλασφημείτω δὲ μηδεὶς θεοὺς, οὓς πόλεις ἄλλαι νομίζουσι. Μὴ συλᾶν ἱερὰ ξενικὰ, μηδ' ἂν ἐπωνομασμένον ἢ τινι θεῷ κειμήλιον λαμβάνειν.

ια'. Μηδεὶς δ' ἐξ ὑμῶν κλωστὴν ἐξ ἐρίου καὶ λίνου στολὴν φορείτω· τοῖς γὰρ ἱερεῦσι μόνοις ταύτην ἀποδεδεῖχθαι.

ιβ'. Συνελθόντος δὲ τοῦ πλήθους εἰς τὴν ἱερὰν πόλιν ἐπὶ ταῖς θυσίαις ὀι' ἐτῶν ἑπτὰ, τῆς σκηνοπηγίας ἑορτῆς ἐνστάσης, ὁ ἀρχιερεὺς, ἐπὶ βήματος ὑψηλοῦ σταθεὶς ἐφ' οὗ γένοιτο ἐξάκουστος, ἀναγινωσκέτω τοὺς νόμους πᾶσι· καὶ μήτε γυνὴ μήτε παῖδες εἰργέσθωσαν τοῦ ἀκούειν, ἀλλὰ μηδὲ οἱ δοῦλοι. Καλὸν γὰρ ταῖς ψυχαῖς ἐγγραφέντας αὐτοὺς καὶ τῇ μνήμῃ φυλαχθῆναι, ὡς μηδέποτε ἐξαλειφθῆναι δυναμένους. Οὕτω γὰρ οὐδὲ ἁμαρτήσονται, μὴ δυνάμενοι λέγειν ἄγνοιαν τῶν ἐν τοῖς νόμοις διωρισμένων· οἵ τε νόμοι πολλὴν πρὸς ἁμαρτάνοντας ἄξουσι παρρησίαν, ὡς προλεγόντων αὐτοῖς ἃ πείσονται, καὶ ταῖς ψυχαῖς ἐγγραψάντων διὰ τῆς ἀκοῆς ἃ κελεύουσιν, ὥστε εἶναι διὰ παντὸς ἔνδον παρ' αὐτοῖς τὴν προαίρεσιν αὐτῶν, ἧς ὀλιγωρήσαντες ἠδίκησαν καὶ τῆς ζημίας αὐτοῖς αἴτιοι γεγόνασι. Μανθανέτωσαν δὲ καὶ οἱ παῖδες πρώτους τοὺς νόμους μάθημα κάλλιστον καὶ τῆς εὐδαιμονίας αἴτιον.

ιγ'. Δὶς δ' ἑκάστης ἡμέρας, ἀρχομένης τε αὐτῆς καὶ ὁπότε πρὸς ὕπνον ὥρα τρέπεσθαι, μαρτυρεῖν τῷ Θεῷ τὰς δωρεὰς, ἃς ἀπαλλαγεῖσιν αὐτοῖς ἐκ τῆς Αἰγυπτίων γῆς παρέσχε, δικαίας οὔσης φύσει τῆς εὐχαριστίας καὶ γενομένης ἐπ' ἀμοιβῇ μὲν τῶν ἤδη γεγονότων, ἐπὶ δὲ προτροπῇ τῶν ἐσομένων. Ἐπιγράφειν δὲ καὶ τοῖς θυρώμασιν αὐτῶν τὰ μέγιστα ὧν εὐηργέτησεν αὐτοὺς ὁ θεὸς, ἔν τε βραχίοσιν ἕκαστον διαφαίνειν· ὅσα τε τὴν ἰσχὺν ἀποσημαίνειν δύναται τοῦ Θεοῦ καὶ τὴν πρὸς αὐτοὺς εὔνοιαν, φέρειν ἐγγεγραμμένα ἐπὶ τῆς κεφαλῆς καὶ τοῦ βραχίονος, ὡς περίβλεπτον εἶναι πανταχόθεν τὸ περὶ αὐτοὺς πρόθυμον τοῦ Θεοῦ.

ιδ'. Ἀρχέτωσαν δὲ καθ' ἑκάστην πόλιν ἄνδρες ἑπτὰ, οἱ καὶ τὴν ἀρετὴν καὶ τὴν περὶ τὸ δίκαιον σπουδὴν προησκηκότες· ἑκάστῃ δὲ ἀρχῇ δύο ἄνδρες ὑπηρέται διδόσθωσαν ἐκ τῆς τῶν Λευιτῶν φυλῆς. Ἔστωσαν δὲ καὶ οἱ δικάζειν λαχόντες ταῖς πόλεσιν ἐν ἁπάσῃ τιμῇ, ὡς μήτε βλασφημεῖν ἐκείνων παρόντων μήτε θρασύνεσθαί τισιν ἐξεῖναι, τῆς πρὸς τοὺς ἐν ἀξιώματι τῶν ἀνθρώπων αἰδοῦς αὐτῶν εὐλαβεστέρους, ὥστε τοῦ Θεοῦ μὴ καταφρονεῖν, ἀπεργαζομένης. Οἱ δὲ δικασταὶ ἀποφήνασθαι κύριοι περὶ τοῦ δόξαντος αὐτοῖς ἔστωσαν, πλὴν εἰ μή τι χρήματα λαβόντας τις αὐτοὺς ἐπὶ διαφθορᾷ τοῦ δικαίου ἐνδείξαιτο, ἢ ἄλλην τινὰ αἰτίαν προφέροι, καθ' ἣν οὐ καλῶς ἐλέγχει αὐτοὺς ἀποφηναμένους. Οὔτε γὰρ κέρδει χαριζομένους οὔτ' ἀξιώματι προσῆκον πονηρὰς ποιεῖσθαι τὰς κρίσεις, ἀλλὰ τὸ δίκαιον ἐπάνω πάντων τιθεμένους. Ὁ γὰρ Θεὸς ἂν οὐ-

stodis ovilium, præmium accipiat, ut ex hoc Deo sacra offerat.

10. Nemo autem diis, quos ceteræ civitates existimant, contumeliam dicat. Ne liceat sacra extranea depeculari, neque capere donarium deo cuipiam dicatum.

11. Nemo ex vobis indumentum gerat ex lana linoque contextum : nam hoc sacerdotibus solis constitutum est.

12. Multitudine autem, ut celebret Umbraculorum festum, in sacram urbem congregata ad sacrificia septennalia, pontifex in edito suggestu stans, unde possit audiri, leges omnibus recitet : neque mulier, neque pueri ab audiendo arceantur, imo ne servi quidem. Decet enim eas animis inscriptas et memoriæ servari, ita ut nunquam deleri possint. Sic enim neque peccabunt, quum decretorum in legibus ignorationem caussari non possint : legum etiam contra peccantes plurimum valebit autoritas, utpote quæ eis prædixerint quæ sint passuri, animisque per auditum quæ jubent inscripserint, ut eis semper præsens sit earum consilium; quo spreto deliquerint et sibimet damni auctores fuerint. Primas autem leges etiam pueri discant, ut disciplinam pulcherrimam et felicitatis causam.

13. Bis quoque die, quum primum illucescit, et quum hora somni appetit, commemorent beneficia, quæ Deus e terra Ægyptiorum liberatis præstitit, natura ipsa gratiarum actionem postulante, ad præterita quidem rependenda, ad futura vero provocanda. Ostiis autem suis præcipua inscribant quæ eis benefecerit Deus, itidemque in brachiis quisque ostendat : et quæcunque Dei potentiam indicare possunt et erga ipsos benevolentiam, fronti et brachio inscripta gerant, ut undique perspicuum sit Dei erga eos studium.

14. Qualibet autem in urbe præsint septem viri, et in virtute et in studio æquitatis exercitati : unicuique autem magistratui tribuantur duo ministri e tribu Levitica. Quin et ii, quibus in civitatibus jus reddere obtigerit, omni in honore habeantur, ut neque liceat ulli illis præsentibus maledicere, neque insolentius agere, verecunda eorum reverentia erga homines in dignitate constitutos reddente timidiores, ut Deum contemnere non audeant. Judices autem potestatem habeant pronunciandi quicquid iis visum fuerit, nisi quis eos ad jus corrumpendum pecuniam accepisse ostenderit; aut aliam aliquam causam adduxerit, qua eos non recte pronunciasse coarguat. Haud enim congruum prava facere judicia, aut ad lucrum aut ad dignitatem respiciendo, sed jus et æquitatem rebus omnibus præferendo.

τω δόξειε καταφρονεῖσθαι, καὶ ἀσθενέστερος ἐκείνων οἷς ἄν τις κατὰ φόβον ἰσχύος προσνείμῃ τὴν ψῆφον κεκρίσθαι. Τοῦ γὰρ Θεοῦ ἰσχύς ἐστι τὸ δίκαιον. Τοῖς οὖν ἐν ἀξιώμασι τυγχάνουσι καταχαριζόμενός τις ἐκείνους τοῦ Θεοῦ δυνατωτέρους ποιεῖ. Ἂν δ' οἱ δικασταὶ μὴ νοῶσι περὶ τῶν ἐπ' αὐτοῖς παρατεταγμένων ἀποφήνασθαι, (συμβαίνει δὲ πολλὰ τοιαῦτα τοῖς ἀνθρώποις,) ἀκέραιον ἀναπεμπέτωσαν τὴν δίκην εἰς τὴν ἱερὰν πόλιν, καὶ συνελθόντες ὅ τε ἀρχιερεὺς καὶ ὁ προφήτης καὶ ἡ γερουσία τὸ δοκοῦν ἀποφαινέσθωσαν.

ιε'. Εἷς δὲ μὴ πιστευέσθω μάρτυς, ἀλλὰ τρεῖς, ἢ τὸ τελευταῖον δύο. Ὧν τὴν μαρτυρίαν ἀληθῆ ποιήσει τὰ προβεβιωμένα. Γυναικῶν δὲ μὴ ἔστω μαρτυρία, διὰ κουφότητα καὶ θράσος τοῦ γένους αὐτῶν. Μαρτυρείτωσαν δὲ μηδὲ δοῦλοι, διὰ τὴν τῆς ψυχῆς ἀγένειαν, οὓς ἢ διὰ κέρδος εἰκὸς ἢ διὰ φόβον μὴ τἀληθῆ μαρτυρῆσαι. Ἂν δέ τις ψευδῆ μαρτυρήσας πιστευθῇ, πασχέτω ταῦτ' ἐλεγχθείς, ὅσα ὁ καταμαρτυρηθεὶς πάσχειν ἔμελλεν.

ις'. Ἂν δὲ πραχθέντος φόνου ἔν τινι χώρᾳ μὴ εὑρίσκηται ὁ δράσας μηδ' ὑπονοῆταί τις ὡς διὰ μῖσος ἀπεκτονηκώς, ζητείτωσαν μὲν αὐτὸν μετὰ πολλῆς σπουδῆς, μήνυτρα προθέμενοι· μηδενὸς δὲ μηνύοντος, αἱ ἀρχαὶ τῶν πόλεων τῶν πλησίον τῇ χώρᾳ, ἐν ᾗ ὁ φόνος ἐπράχθη, καὶ ἡ γερουσία συνελθόντες μετρείτωσαν ἀπὸ τοῦ τόπου ἐν ᾧ κεῖται ὁ νεκρὸς τὴν χώραν. Ἡ δ' ἂν ᾖ πλησιαιτάτη πόλις, οἱ ἐν αὐτῇ δημόσιοι πριάμενοι δάμαλιν καὶ κομίσαντες εἰς φάραγγα καὶ ἀνεπιτήδειον ἀρότρῳ καὶ φυτοῖς χωρίον τοὺς τένοντας κοψάτωσαν τῆς βοός, καὶ χέρνιβας ἑλόμενοι ὑπὲρ κεφαλῆς τῆς βοὸς οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ ἡ γερουσία τῆς πόλεως ἐκείνης, καθαρὰς ἀναβησάτωσαν τὰς χεῖρας ἔχειν ἀπὸ τοῦ φόνου, καὶ μήτε δρᾶσαι μήτε δρωμένῳ παρατυχεῖν, ἐπικαλεῖσθαι δὲ ἵλεω τὸν Θεὸν καὶ μηκέτι τοιοῦτο δεινὸν συμβῆναι τῇ γῇ πάθος.

ιζ'. Ἀριστοκρατία μὲν οὖν κράτιστον καὶ ὁ κατ' αὐτὴν βίος, καὶ μὴ λάβοι πόθος ὑμᾶς ἄλλης πολιτείας, ἀλλὰ ταύτην στέργοιτε, τοὺς νόμους ἔχοντες δεσπότας καὶ κατὰ τούτους ἕκαστα πράττοντες. Ἀρκεῖ γὰρ ὁ Θεὸς ἡγεμὼν εἶναι. Βασιλέως δ' εἰ γένοιτο ἔρως ὑμῖν, ἔστω μὲν οὗτος ὁμόφυλος, πρόνοια δ' αὐτῷ δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς διὰ παντὸς ἔστω. Παραχωροίη δὲ οὗτος τοῖς μὲν νόμοις καὶ τῷ Θεῷ τὰ πλείονα τοῦ φρονεῖν, πρασσέτω δὲ μηδὲν δίχα τοῦ ἀρχιερέως καὶ τῆς τῶν γερουσιαστῶν γνώμης, γάμοις τε μὴ πολλοῖς χρώμενος, μηδὲ πλῆθος δυώκων χρημάτων μηδ' ἵππων, ὧν αὐτῷ παραγενομένων ὑπερήφανος ἂν τῶν νόμων ἔσοιτο. Κωλυέσθω δ', εἰ τούτων τι διὰ σπουδῆς ἔχοι, γίνεσθαι τοῦ συμφέροντος ὑμῖν δυνατώτερος.

ιη'. Ὅρους γῆς μὴ ἐξέστω κινεῖν μήτε οἰκείας μήτ' ἀλλοτρίας πρὸς οὓς ἔστιν ὑμῖν εἰρήνη· φυλαττέσθω δ' ὥσπερ Θεοῦ ψῆφον βέβαιον εἰς αἰῶνα κειμένην ἀναιρεῖν, ὡς πολέμων ἐντεῦθεν καὶ στάσεων γινομένων, ἐκ τοῦ

Nam si hoc non egerint, Deus contemni videretur, eisque *infirmior judicari quibus ob potentiæ metum suum* adjecerint suffragium : nam jus et æquum est potentia Dei. Qui igitur aliquid dignitate præditis indulget, illos facit Deo potentiores. Quodsi judices de relatis ad eos pronunciare nesciant, (talia autem hominibus non raro accidunt,) ad urbem sacram causam integram remittant, et convenientes pontifex et propheta et senatus id quod sibi visum fuerit decernant.

15. Uni autem testi ne credatur, sed tribus, aut ut minimum duobus : quorum testimonium ratum faciet vita ante acta. At mulierum ne sit testimonium, propter levitatem et sexus earum audaciam. Ac ne servi quidem testimonium dicant, propter animi ignobilitatem : quos aut propter lucrum aut propter metum vera non testari consentaneum est. Quodsi quis judicetur falsa testatus, convictus eadem patiatur quæ is passurus erat, contra quem dictum est testimonium.

16. Si autem cæde facta in agro aliquo auctor non inveniatur, neque ullus suspectus sit ex odio interfecisse, magna quidem cum diligentia eum quærant, indicii præmiis propositis. Quum autem nemo ejusmodi *quid* indicaverit, magistratus oppidorum agro ubi cædes facta est vicinorum et senatus congregati spatium a loco ubi mortuus jacet *circumquaque* metiantur. Ac quod oppidum occiso proximum fuerit, ejus magistratus juvencam, quam emerint, in vallem et locum non commodum aratro et stirpibus adducant, bovisque nervos abscindant, sumentesque aquam super caput bovis sacerdotes et Levitæ et senatus illius oppidi proclament se manus puras a cæde habere, neque fecisse, neque quum fieret adfuisse, Deum autem precari propitium et ut nullum posthac tam atrox facinus terræ accidat.

17. Optimatium quidem dominatio et vita sub ea optima est : neve vos capiat alterius institutionis reipublicæ desiderium, sed hac contenti estote, leges pro dominis habentes, et ex illorum præscripto omnia agentes. Satis est enim Deus qui præsit. Verum si regis cupiditas vos incesserit, is sit consanguineus, semperque ei cura sit justitiæ *reliquarumque* virtutum. Is autem legibus concedat Deoque summam prudentiæ, nihilque sine pontifice et senatorum sententia faciat, neque multis utens conjugiis, neque pecuniæ vim ingentem aut equorum multitudinem sectans, quæ consequutus leges insuper habere et fastidire possit. Prohibeatur autem, *si quid tale affectet*, fieri potentior, quam rebus vestris expediat.

18. Terminos terræ ne liceat movere, neque propriæ, neque alienæ eorum quibuscum vobis est pax : sed caveatur ne auferantur, tanquam firmus Dei calculus in sempiternum positus, quippe quum bella inde nascantur et seditiones,

πλεονεκτοῦντας προσωτέρω χωρεῖν βούλεσθαι τῶν ὅρων. Μὴ γὰρ μακρὰν εἶναι τοῦ καὶ τοὺς νόμους ὑπερβαίνειν τοὺς τὸν ὅρον μετακινοῦντας.

ιθ'. Γῆν ὁ φυτεύσας, πρὸ ἐτῶν τεσσάρων ἂν καρπὸν προβάλῃ τὰ φυτὰ, μήτε τῷ Θεῷ ἀπαρχὰς ἐντεῦθεν ἀποφερέτω μήτ' αὐτὸς χρήσθω· οὐ γὰρ κατὰ καιρὸν τοῦτον ὑπ' αὐτῶν ἐνεχθῆναι. Βιασαμένης δὲ τῆς φύσεως ἀώρως μήτε τῷ Θεῷ ἁρμόζειν μήτ' αὐτῷ τῷ δεσπότῃ χρῆσθαι. Τῷ δὲ τετάρτῳ τρυγάτω πᾶν τὸ γενόμενον, (τότε γὰρ ὥριον εἶναι,) καὶ συναγαγὼν εἰς τὴν ἱερὰν πόλιν κομιζέτω, καὶ σὺν τῇ δεκάτῃ τοῦ ἄλλου καρποῦ μετὰ τῶν φίλων εὐωχούμενος ἀναλισκέτω, καὶ μετ' ὀρφανῶν καὶ χηρευουσῶν γυναικῶν. Πέμπτου δὲ ἔτους κύριος ἔστω τὰ φυτὰ καρποῦσθαι.

κ'. Τὴν ἀμπέλοις κατάφυτον γῆν μὴ σπείρειν. Ἀρκεῖ γὰρ αὐτῇ τρέφειν τοῦτο τὸ φυτὸν, καὶ τῶν ἐξ ἀρότρου πόνων ἀπηλλάχθαι. Βουσὶν ἀροῦν τὴν γῆν, καὶ μηδὲν τῶν ἑτέρων ζώων σὺν αὐτοῖς ὑπὸ ζεύγλην ἄγοντας, ἀλλὰ κατ' οἰκεῖα γένη κἀκείνοις ποιεῖσθαι τὸν ἄροτον. Εἶναι δὲ καθαρὰ τὰ σπέρματα καὶ ἀνεπίμικτα, καὶ μὴ σύνδυο καὶ τρία σπείρειν. Οὐ γὰρ τῇ τῶν ἀνομοίων κοινωνίᾳ χαίρειν τὴν φύσιν. Μηδὲ κτήνεσιν ἐπάγειν ὅσα μὴ συγγενῆ. Δέος γὰρ ἐκ τούτου μὴ διαβῇ καὶ μέχρι τῶν ἀνθρώπων ἡ πρὸς τὸ ὁμόφυλον ἀτιμία, τὴν ἀρχὴν ἀπὸ τῶν περὶ τὰ μικρὰ καὶ τὰ φαῦλα πρότερον λαβοῦσα. Δεῖ δὲ μηδὲν εἶναι τοιοῦτον συγκεχωρημένον, ἐξ οὗ κατὰ μίμησιν παρατροπή τις τῶν κατὰ τὴν πολιτείαν ἔσοιτο. Ἄλλως οὐδὲ περὶ τῶν τυχόντων ἀμελεῖται τοῖς νόμοις, εἰδόσι προνοεῖσθαι τοῦ κατ' αὐτοὺς ἀμέμπτου.

κα'. Ἀμῶντας δὲ καὶ συναιροῦντας τὰ θέρη μὴ καλαμᾶσθαι, καταλιπεῖν δέ τινα καὶ τῶν δραγμάτων τοῖς βίου σπανίζουσιν, ἕρμαιον εἶναι τούτοις πρὸς διατροφήν. Ὁμοίως δὲ καὶ τῆς τρύγης ἀπολιπεῖν τὰς ἐπιφυλλίδας τοῖς πένησι, καὶ τῶν ἐλαιῶν παρεῖναί τι τοῦ καρποῦ πρὸς συλλογὴν τοῖς ἐξ ἰδίων οὐκ ἔχουσι μεταλαβεῖν. Οὐ τοσαύτη γὰρ ἂν ἐκ τῆς ἐπ' ἀκριβὲς αὐτῶν συλλογῆς εὐπορία τοῖς δεσπόταις γένοιτο, ὅση χάρις ἐκ τῶν δεομένων ἔλθοι· τό τε θεῖον τὴν γῆν προθυμοτέραν εἰς τὴν ἐκτροφὴν τῶν καρπῶν ἀπεργάσεται, μὴ τοῦ καθ' αὐτοὺς προνοουμένων λυσιτελοῦς, ἀλλὰ καὶ τῆς τῶν ἄλλων διατροφῆς λόγον ἐχόντων. Μηδὲ βοῶν, ὁπότε τρίβοιεν τοὺς στάχυας, ἀποδεῖν τὰ στόματα ἐπὶ τῆς ἅλωος. Οὐ γὰρ εἶναι δίκαιον εἴργειν τοὺς συνειργασμένους τοῦ καρποῦ καὶ περὶ τὴν γένεσιν αὐτοῦ πονήσαντας. Μηδὲ ὁπώρας ἀκμαζούσης κωλύειν ἅπτεσθαι τοὺς ὁδῷ βαδίζοντας, ἀλλ' ὡς ἐξ οἰκείων αὐτοῖς ἐπιτρέπειν ἐμπίπλασθαι, κἂν ἐγχώριοι τυγχάνωσι κἂν ξένοι, χαίροντας ἐπὶ τῷ παρασχεῖν αὐτοῖς τῶν ὡραίων μεταλαμβάνειν. Ἀποφέρεσθαι δ' αὐτοῖς μηδὲν ἐξέστω. Μηδὲ τρυγῶντες ὧν ἂν εἰς τὰς ληνοὺς κομίζωσιν εἰργέτωσαν τοὺς ὑπαντιάζοντας ἐπεσθίειν. Ἄδικον γὰρ ἀγαθῶν, ἃ κατὰ βούλησιν Θεοῦ παρῆλθεν εἰς τὸν βίον, φθονεῖν τοῖς ἐπιθυμοῦσιν αὐτῶν μεταλαμβάνειν, τῆς ὥρας ἐν ἀκμῇ

quod ultra terminos progredi velint avari. Neque enim a legibus transiliendis longe absunt qui limites de loco suo dimovent.

19. Qui terram conseverit, si stirpes ante quattuor annos fructum ediderint, neque primitias inde libet, neque ipse utatur : non enim ex eis suo tempore provenerunt. Natura autem immature conata neque Deo convenit neque ipsi domino uti. At quarto *anno* vindemiam omnium, quæ provenerint, agat, (tunc enim est tempestivum,) collectamque in urbem sacram ferat, et cum aliarum frugum decimis consumat epulans cum amicis et cum pupillis et mulieribus viduis. Quinto autem anno stirpium fruges percipiendi potestatem habeat.

20. Terra vitibus consita ne seminetur. Ei enim satis est hanc stirpem alere, et ab aratri laboribus esse liberam. Bubus aretur terra, et aliorum animalium nullum ad idem cum eis jugum subeundum adigatur, sed et per illa fiat aratio suis convenienter generibus. Semina autem sint pura et incommista, neve bina et trina serantur. Natura enim dissimilium non gaudet societate. Neque ad pecudes admittantur quæ non sint generis ejusdem : nam ex eo metus ne cognatorum dehonestamentum etiam ad homines usque transeat, sumpto ante principio ab iis quæ levia habentur et parva. Oportet autem nihil ejusmodi esse concessum, ex quo aliqua rerum in republica mutatio consequatur imitatione expressa. Quapropter et leges vulgaria non negligunt, scientes providendum esse ut nihil in ipsis possit reprehendi.

21. Metentes autem et demessa colligentes ne spicilegium faciant, sed et nonnullos victu egentibus relinquant manipulos, ut qui insperato prosint et ad alimoniam inveniantur. Similiter etiam de vindemia pauperibus relinquantur racemuli, et olearum frugum nonnihil prætermittatur, ut ab iis colligatur qui de suis quæ percipiant non habent. Non enim ex accurata in iis colligendis diligentia tantum commodi paritur dominis quantum gratiæ ex egentibus veniet : et Deus terram ad fructus alendos alacriorem efficiet, si non suæ *tantum* utilitati prospexerint, sed etiam alimenti aliorum rationem habuerint. Neque boum in area triturantium ora obligentur. Non enim æquum est eos a fructu arcere qui una laborarunt, ejusque in procreationem sese delassarunt. Neque viatores fructus maturos gustare prohibeantur, sed permittatur eis tanquam suis expleri, sive indigenæ sint sive peregrini, et gaudeant *domini* quod illis concedere possint de fructibus maturis participare. Nihil autem eis liceat asportare. Neque vindemiantes obvios iis vesci prohibeant, quæ in torcularia deferunt : iniquum est enim bona, quæ ex voluntate Dei ad victum provenerunt, iis invidere, qui frui desiderant, eorum tem-

τε οὔσης καὶ σπευδούσης ἀπελθεῖν, ὡς τῷ Θεῷ κεχαρισμένον ἂν εἴη. Κἂν ὑπ' αἰσχύνης τινὰς ὀκνοῦντας ἅψασθαι λαβεῖν παρακαλοῖεν, ὄντας μὲν Ἰσραηλίτας, ὡς κοινωνοὺς καὶ δεσπότας διὰ τὴν συγγένειαν, ἀφιγμένους δ' ἀλλαχόθεν ἀνθρώπους ξενίας τυγχάνειν ἀξιοῦντας, ὧν ὁ Θεὸς καθ' ὥραν αὐτοῖς παρέσχεν. Ἀναλώματα γὰρ οὐχ ἡγητέον ὅσα τις κατὰ χρηστότητα παρίησιν ἀνθρώπῳ λαμβάνειν, τοῦ Θεοῦ τὴν ἀρθονίαν τῶν ἀγαθῶν χορηγοῦντος οὐκ ἐπὶ τῷ καρποῦσθαι μόνοις, ἀλλὰ καὶ τῷ τοῖς ἄλλοις μεταδιδόναι φιλοτίμως, καὶ βουλομένου τῷ τρόπῳ τούτῳ τὴν ἰδίαν περὶ τὸν Ἰσραηλιτῶν λαὸν εὔνοιαν καὶ τὴν χορηγίαν τῆς εὐδαιμονίας καὶ τοῖς ἄλλοις ἐμφανίζεσθαι, ἐκ πολλοῦ τοῦ περιόντος αὐτοῖς κἀκείνοις μεταδιδόντων. Ὁ δὲ παρὰ ταῦτα ποιήσας πληγὰς μιᾷ λειπούσας τεσσαράκοντα τῷ δημοσίῳ σκύτει λαβὼν τιμωρίαν ταύτην αἰσχίστην ἐλεύθερος ὑπομενέτω, ὅτι τῷ κέρδει δουλεύσας ὕβρισε τὸ ἀξίωμα. Καλῶς γὰρ ὑμῖν ἔχει πεπειραμένοις ἐν Αἰγύπτῳ συμφορῶν καὶ κατὰ τὴν ἐρημίαν πρόνοιαν τῶν ἐν τοῖς ὁμοίοις ὑπαρχόντων ποιεῖσθαι, καὶ τυχόντας εὐπορίας ἐξ ἐλέου καὶ προνοίας τοῦ Θεοῦ, τὴν αὐτὴν ταύτην ἐξ ὁμοίου πάθους ἀπομερίζειν τοῖς δεομένοις.

κβ'. Ταῖς δὲ δεκάταις δυσὶν, ἃς ἔτους ἑκάστου προεῖπον τελεῖν, τὴν μὲν τοῖς Λευίταις, τὴν δ' ἑτέραν πρὸς τὰς εὐωχίας, τρίτην πρὸς αὐταῖς κατὰ ἔτος τρίτον συμφέρειν εἰς διανέμησιν τῶν σπανιζόντων, γυναιξί τε χήραις καὶ παισὶν ὀρφανοῖς. Τῶν δ' ὡραίων ὅ τι καὶ πρῶτον ἑκάστῳ τύχῃ γενόμενον, εἰς τὸ ἱερὸν κομιζέτωσαν, καὶ τὸν Θεὸν ὑπὲρ τῆς ἐνεγκαμένης αὐτὸ γῆς, ἣν αὐτοῖς κτήσασθαι παρέσχεν, εὐλογήσαντες, θυσίας ἃς ὁ νόμος αὐτοῖς ἐπιφέρειν κελεύει ἐπιτελέσαντες, τούτων τὰ πρωτόλεια τοῖς ἱερεῦσι διδότωσαν. Ἐπειδὰν δὲ ταῦτα ποιήσας τις, καὶ πάντων ταῖς δεκάταις ἅμα ταῖς εἰς τοὺς Λευίτας καὶ τὰς εὐωχίας τὰς ἀπαρχὰς ἀπενηνοχὼς ἀπίέναι μέλλῃ πρὸς αὐτὸν οἰκαδε, στὰς ἀντικρὺ τοῦ τεμενίσματος εὐχαριστησάτω μὲν τῷ Θεῷ, ὅτι τῆς ἀπ' Αἰγυπτίων αὐτοὺς ὕβρεως ἀπαλλάξας γῆν αὐτοῖς ἀγαθὴν καὶ πολλὴν ἔδωκε καρποῦσθαι, μαρτυράμενος δὲ ὡς τάς τε δεκάτας κατὰ τοὺς Μωϋσέως τελέσειε νόμους, αἰτησάσθω τὸν Θεὸν εὐμενῆ καὶ ἵλεων αὐτῷ διὰ παντὸς εἶναι, καὶ κοινῇ πᾶσιν Ἑβραίοις διαμένειν, φυλάττοντα μὲν ἃ ἔδωκεν αὐτοῖς ἀγαθὰ, προσκτίσαντα δὲ ὅσα δύναται χαρίζεσθαι.

κγ'. Γαμείτωσαν δὲ ἐν ὥρᾳ γάμου γενόμενοι παρθένους ἐλευθέρας γονέων ἀγαθῶν· ὁ δὲ μὴ μέλλων ἄγεσθαι παρθένον μὴ ζευγνύσθω συνοικοῦσαν ἄλλῳ νοθεύσας, μηδὲ λυπῶν τὸν πρότερον αὐτῆς ἄνδρα. Δούλας δὲ μὴ γαμεῖσθαι τοῖς ἐλευθέροις, μηδ' ἂν ὑπ' ἔρωτος πρὸς τοῦτό τινες ἐκβιάζωνται. Κρατεῖν δὲ τῆς ἐπιθυμίας τὸ εὐπρεπὲς καὶ τοῖς ἀξιώμασι πρόσφορον. Ἔτι δὲ μηδ' ἡταιρημένης εἶναι γάμον, ἧς δι' ὕβριν τοῦ σώματος τὰς ἐπὶ τῷ γάμῳ θυσίας ὁ Θεὸς οὐκ ἂν πρόσοιτο. Γένοιτο γὰρ ἂν οὕτω τῶν παίδων τὰ φρονήματα ἐλευθέρια καὶ πρὸς ἀρετὴν ὄρθια, εἰ μὴ τύχοιεν ἐκ γάμων

pestivitate et vigente et abire properante, prout Deo gratum fuerit. Quin etiam si qui præ verecundia attingere dubitent, ut capiant hortentur, Israelitas quidem ut socios et propter cognationem *rerum suarum* dominos, homines vero, qui aliunde advenerint, invitantes ut iis *munusculis* uti velint hospitalibus, quæ Deus ipsis tempestive præbuerit. Non enim *sibi* impendio esse putandum est quæ quis ex benignitate capere alteri permittit, Deo bonorum copiam suppeditante non solum ad fruendum, sed etiam ad liberaliter aliis dandum, volenteque hoc modo suam erga populum Israeliticum benevolentiam et felicitatis suppeditationem aliis quoque innotescere, dum etiam cum illis ea communicent quæ ipsis abunde supersunt. Qui vero contra hæc fecerit, plagis undequadragenis a publico fustuario acceptis pœnam hanc fœdissimam liber perpetiatur, quod lucro serviendo dignitatem læserit. Vobis pulcrum erit calamitates in Ægypto et per solitudinem expertis, eorum curam gerere qui in similibus versantur, et opum abundantiam ex misericordia et providentia Dei adeptis, hanc eandem egentibus ex simili sensu impertiri.

22. Præter duas decimas, quas quotannis solvere præcepi, alteram quidem Levitis, alterum vero ad epulationes, anno quoque tertio tertia conferatur, ad distribuenda quæ desunt mulieribus viduis et pueris orbis. Fructuum autem maturorum quicquid primum cuique provenisse contigerit, in templum deferant, Deoque pro terra unde manarint, quam eis possidendam tradidit, laudato, ac sacrificiis, quæ lex eos ferre jubet, rite peractis, horum primitias dent sacerdotibus. Postquam vero ea quis perfecerit, et adduxerit etiam decimas omnium, una cum primitiis quæ aut Levitis solvendæ erant aut in epulas insumendæ, ad suam domum abiturus, contra delubrum stans Deo quidem gratias agat, quod ab Ægyptiorum injuria liberatis terram uberem et amplam fruendam dederit : testatus vero se decimas ex Moysis legibus peregisse, Deum oret ut sibi semper benignus sit et propitius, atque omnibus communiter Hebræis præsens esse perseveret, servando quidem quæ eis largitus est bona, quæcunque vero donare potest adjiciendo.

23. Quum vero ad ætatem nuptiis idoneam pervenerint, uxores ducant virgines ingenuas, honestis parentibus natas : qui autem virginem non ducturus est, ne cum alio degentem sibi copulet, vel corruptam ab ipso, vel *alio modo* priorem ejus virum contristans. Porro servas ne ducant liberi, quamvis ad hoc ab amore impellantur. Nam ut quod decet plus valeat quam cupiditas, etiam ad dignitatem conducit. Præterea nec cum prostituta matrimonium incundum, cujus propter corporis probrum sacrificia nuptialia Deus non sit admissurus. Ita enim natorum ingenia fient liberalia, et ad virtutem erecta, si ex turpi conjugio non

φύντες αἰσχρῶν, μηδ' ἐξ ἐπιθυμίας οὐκ ἐλευθέρᾳ συνελθόντων. Εἰ δέ τις ὡς παρθένον μνηστευσάμενος, ἔπειτα μὴ τοιαύτην εὕροι, δίκην λαχὼν αὐτὸς μὲν κατηγορείτω, χρώμενος εἰς ἀπόδειξιν οἷς ἂν ἔχῃ τεκμηρίοις. Ἀπολογείσθω δὲ ὁ τῆς κόρης πατὴρ, ἢ ἀδελφὸς, ἢ ὃς ἂν μετὰ τούτους ἐγγυτέρω δοκῇ τοῦ γένους. Καὶ κριθεῖσα μὲν ἡ κόρη μὴ ἀδικεῖν συνοικείτω τῷ κατηγορήσαντι, μηδεμίαν ἐξουσίαν ἔχοντος ἐκείνου ἀποπέμπεσθαι αὐτὴν, πλὴν εἰ μὴ μεγάλας αἰτίας αὐτῷ παράσχοι καὶ πρὸς ἃς οὐδ' ἀντειπεῖν δυνηθείη. Τοῦ δὲ τολμηρῶς καὶ προπετῶς ἐπενεγκεῖν αἰτίαν καὶ διαβολὴν πρόστιμον ἐκτινέτω, πληγὰς τεσσαράκοντα μιᾷ λειπούσας λαμβάνων, καὶ πεντήκοντα σίκλους ἀποτινύτω τῷ πατρί. Ἂν δ' ἐξελέγξῃ τὴν παιδίσκην ἐφθαρμένην, δημότις μὲν οὖσα, τοῦ μὴ σωφρόνως προστῆναι τῆς παρθενίας ἄχρι νομίμων γάμων, καταλευέσθω· ἂν δ' ἐξ ἱερέων ᾖ γεγενημένη, καιέσθω ζῶσα. Δύο γυναικῶν οὐσῶν τινι, καὶ τῆς μὲν ἑτέρας ἐν τιμῇ σφόδρα καὶ εὐνοίᾳ κειμένης ἢ δι' ἔρωτα καὶ κάλλος ἢ κατ' ἄλλην αἰτίαν, τῆς δ' ἑτέρας ἐν ἐλάττονι μοίρᾳ τυγχανούσης, ἂν δ ἐκ τῆς ἀγαπωμένης παῖς γενόμενος, νεώτερος ὢν τοῦ ἐκ τῆς ἑτέρας φύντος, ἀξιοῖ διὰ τὴν πρὸς τὴν μητέρα τοῦ πατρὸς εὔνοιαν τῶν πρεσβείων τυγχάνειν, ὥστε διπλοῦν τὸ μέρος τῆς πατρῴας οὐσίας λαμβάνειν, (τοῦτο γὰρ ἐν τοῖς νόμοις διεταξάμην,) μὴ συγχεχωρήσθω. Ἄδικον γὰρ τὸν τῇ γενέσει πρεσβύτερον, ὅτι τὰ τῆς μητρὸς αὐτῷ ἧττονα, παρὰ τῇ διαθέσει τοῦ πατρὸς τῶν ὀφειλομένων αὐτῷ στέρεσθαι. Ὁ κόρην ἄλλῳ κατηγγυημένην φθείρας, εἰ μὲν πείσας καὶ πρὸς τὴν φθορὰν συγκάταινον λαβών, ἀποθνησκέτω σὺν αὐτῇ. Πονηροὶ γὰρ ὁμοίως ἑκάτεροι, ὁ μὲν τὸ αἴσχιστον πείσας ἑκουσίως ὑπομεῖναι, καὶ προτιμῆσαι τοῦτο τοῦ ἐλευθέρου γάμου τὴν κόρην, ἡ δὲ παρασχεῖν αὐτὴν πεισθεῖσα δι' ἡδονὴν ἢ διὰ κέρδος πρὸς τὴν ὕβριν. Ἐὰν δέ που μόνῃ περιπεσὼν βιάσηται μηδενὸς βοηθοῦ παρόντος, μόνος ἀποθνησκέτω. Ὁ φθείρας παρθένον μήπω κατηγγυημένην αὐτὸς γαμείτω. Ἢν δὲ τῷ πατρὶ τῆς κόρης μὴ δόξῃ συνοικίζειν αὐτῷ, πεντήκοντα σίκλους τιμὴν τῆς ὕβρεως καταβαλλέτω. Γυναικὸς δὲ τῆς συνοικούσης βουλόμενος διαζευχθῆναι καθ' ἃς δηποτοῦν αἰτίας, (πολλαὶ δ' ἂν τοῖς ἀνθρώποις τοιαῦται γίνοιντο,) γράμμασι μὲν περὶ τοῦ μηδέποτε συνελθεῖν ἰσχυριζέσθω. Λάθοι γὰρ ἂν οὕτως ἐξουσίαν ἡ γυνὴ συνοικεῖν ἑτέρῳ· πρότερον γὰρ οὐκ ἐφετέον. Εἰ δὲ καὶ πρὸς ἐκεῖνον κακωθείη, ἢ τελευτήσαντος αὐτοῦ θελήσειε γαμεῖν αὐτὴν ὁ πρότερος, μὴ ἐξεῖναι αὐτὴν ἐπανιέναι. Τὴν ἄτεκνον, τἀνδρὸς αὐτῇ τετελευτηκότος, ὁ ἀδελφὸς ἐκείνου γαμείτω· καὶ τὸν παῖδα τὸν γινόμενον τῷ τοῦ τεθνεῶτος καλέσας ὀνόματι, τρεφέτω τοῦ κλήρου διάδοχον. Τοῦτο γὰρ καὶ τοῖς δημοσίοις λυσιτελήσει γινόμενον, τῶν οἴκων οὐκ ἐλλειπόντων καὶ τῶν χρημάτων τοῖς συγγενέσι μενόντων· καὶ ταῖς γυναιξὶ κουφισμὸν οἴσει τῆς συμφορᾶς, τοῖς ἔγγιστα τῶν προτέρων ἀνδρῶν συνοικούσαις. Ἐὰν δὲ μὴ βούληται

fuerint geniti, neque ex libidine eorum qui cum *femina* non libera convenerint. Si quis aliquam pro virgine desponsam, postea talem non invenerit, ipse quidem actionem intendat et accuset, eis quæ ad rem demonstrandam habet indiciis usus. Puellæ vero causam agat pater, aut frater, aut qui post hos propius eam cognatione attingere videbitur. Et puella, si quidem judicatum fuerit eam non deliquisse, cum accusatore habitet, nullam eam dimittendi potestatem habente, nisi magnas ei causas præbeat et quibus nihil contradici possit. Quod si crimen et calumniam audacter et temere impegerit, pœnas ita luat, ut quadraginta una minus plagis acceptis, patri siclos quinquaginta solvat. Sin autem puellam corruptam coarguerit, si quidem popularis sit, quod usque ad legitimas nuptias virginitatem non prudenter defenderit, lapidibus obruatur: sin ex sacerdotibus nata sit, viva cremetur. Si cui sint duæ uxores, et alteram propter amorem aut pulcritudinem aut aliam ob causam magno honore et benignitate prosequatur, alteram autem minori observantia et affectu, si filius ex dilecta genitus, procreato ex altera junior, jus primogenituræ, propter patris erga matrem benevolentiam, consequi nitatur, ut rei paternæ duplicem partem accipiat, (hoc enim in legibus statui,) ne permittatur. Est enim iniquum ut natu major, quod in genere materno superetur, eis fraudetur quæ in patris testatione ei debentur. Qui puellam alteri desponsam vitiaverit, si quidem ei persuaserit et ad corruptelam consentientem habuerit, cum ea moriatur. Nam uterque juxta nequam est, ille quidem, qui puellam exorarit ultro rem turpissimam subire, eamque liberali conjugio anteponere; hæc vero, quod exorata fuerit, ut propter voluptatem aut propter lucrum sui copiam ad flagitium faceret. Sin autem solam alicubi nactus illam per vim violaverit, nemine qui defenderet præsente, solus moriatur. Qui virginem nondum desponsam compresserit, ipse eam in matrimonium ducat. Quodsi non videatur patri puellæ eam illi collocare, siclos quinquaginta injuriæ mulctam solvat. Qui vero ab uxore secum habitante quascunque ob causas disjungi velit, (multæ autem tales hominibus accidunt,) scripto confirmet se non amplius cum ea rem habiturum esse. Sic enim facultatem accipiet mulier cum alio habitandi: nam priusquam hoc fiat, *illud* non permittendum. Quodsi male habeat etiam apud illum alterum, aut eo vita defuncto prior eam ducere voluerit, ne liceat ei revenire. Liberis carentem, viro ejus mortuo, frater illius ducat, puerumque *ex ea* natum, defuncti nomine vocatum, in successionem hereditatis nutriat. Hoc si fiat, plurimum etiam reipublicæ proderit, dum familiæ non deficiant et facultates cognatis maneant, et feminis, cum priorum virorum proximis habitantibus, calamitatis allevationem afferet.

γαμεῖν ὁ ἀδελφὸς, ἐπὶ τὴν γερουσίαν ἐλθοῦσα ἡ γυνὴ μαρτυράσθω τοῦθ' ὅτι βουλομένην αὐτὴν ἐπὶ τοῦ οἴκου μένειν καὶ τεκνοῦν ἐξ αὐτοῦ μὴ προσδέχοιτο, ὑβρίζων τὴν τοῦ τεθνηκότος ἀδελφοῦ μνήμην. Ἐρομένης δὲ τῆς γερουσίας διὰ ποίαν αἰτίαν ἀλλοτρίως ἔχοι πρὸς τὸν γάμον, ἄν τε μικρὰν ἄν τε μείζω λέγῃ, πρὸς ταῦτα ῥεπέτω. Ὑπολύσασα δ' αὐτὸν ἡ γυνὴ τἀδελφοῦ τὰ σάνδαλα καὶ πτύσασα αὐτοῦ εἰς τὸ πρόσωπον, τούτων αὐτὸν ἄξιον εἶναι παρ' αὐτῆς λεγέτω τυγχάνειν, ὑβρίσαντα τὴν τοῦ κατοιχομένου μνήμην. Καὶ ὁ μὲν ἐκ τῆς γερουσίας ἀπίτω, τοῦτ' ἔχων ὄνειδος πρὸς ἅπαντα τὸν βίον, ἡ δ' ὥπερ ἂν βουληθῇ τινι τῶν δεομένων γαμείσθω. Ἂν δ' αἰχμαλώτου τις λάβῃ παρθένον, ἄν τε καὶ γεγαμημένην, βουλομένῳ συνοικεῖν μὴ πρότερον ἐξέστω εὐνῆς ἅψασθαι καὶ κοινωνίας, πρὶν ἢ ξυραμένην αὐτὴν καὶ πένθιμον σχῆμα ἀναλαβοῦσαν ἀποθρηνῆσαι συγγενεῖς καὶ φίλους τοὺς ἀπολωλότας ἐν τῇ μάχῃ, ὅπως τὸ ἐπ' αὐτοῖς κορέσασα λυπηρὸν, ἔπειθ' οὕτως ἐπ' εὐωχίας τράπηται καὶ γάμους. Καλὸν γὰρ εἶναι καὶ δίκαιον παιδοποιὸν παραλαμβάνοντα θεραπεύειν αὐτῆς τὸ βουλητὸν, ἀλλὰ μὴ τὴν ἰδίαν ἡδονὴν διώκοντα μόνον τοῦ κατ' αὐτὴν ἀμελεῖν κεχαρισμένου. Τριάκοντα δ' ἡμερῶν τῷ πένθει διελθουσῶν, (αὐτάρκεις γὰρ ἐπὶ τοῖς δακρύοις αὗται τῶν φιλτάτων τοῖς φρονίμοις,) τότε χωρεῖν ἐπὶ τὸν γάμον. Εἰ δ' ἐμπλησθεὶς τῆς ἐπιθυμίας ὑπερηφανήσειεν αὐτὴν γαμετὴν ἔχειν, μὴ κατ' ἐξουσίαν ἐχέτω καταδουλοῦν αὐτὴν, ἀλλ' ὅπη βούλεται χωρεῖν ἀπίτω, τὸ ἐλεύθερον ἔχουσα.

κδ'. Ὅσοι δ' ἂν τῶν νεωτέρων περιφρονῶσι τοὺς γονεῖς καὶ τιμὴν αὐτοῖς μὴ νέμωσιν, ἢ δι' αἰσχύνην ἢ διὰ σύνεσιν ἐξυβρίζοντες εἰς αὐτοὺς, πρῶτον μὲν λόγοις αὐτοὺς νουθετείτωσαν οἱ πατέρες, (αὐτάρκεις γὰρ ἐφ' υἱέσιν οὗτοι δικασταί,) συνελθεῖν μὲν ἀλλήλοις οὐχ ἡδονῆς ἕνεκα λέγοντες, οὐδὲ τῆς τῶν χρημάτων αὐξήσεως, κοινῶν τῶν ἑκατέροις ὑπαρχόντων γενομένων, ἀλλ' ὅπως παίδων τύχωσιν, οἳ γηροκομήσουσιν αὐτοὺς καὶ ὧν ἂν δέωνται παρ' αὐτῶν ἕξουσι. Γενόμενον δέ γε μετὰ χαρᾶς καὶ τοῦ τῷ Θεῷ χάριν εἰδέναι τὴν μεγίστην ἀράμενοι διὰ σπουδῆς ἀνεθρέψαμεν, μηδενὸς φειδὼ ποιούμενοι τοῦ καὶ δόξαντος εἰς σωτηρίαν τὴν σὴν καὶ παιδείαν τῶν ἀρίστων εἶναι χρησίμου. Νῦν δὲ (συγγνώμην γὰρ δεῖ νέμειν ἐφ' ἁμαρτήμασι νέων) ἀπόχρη σοι ὅσα τῆς εἰς ἡμᾶς τιμῆς ὠλιγώρησας, καὶ μεταβαλοῦ πρὸς τὸ σωφρονέστερον, λογισάμενος καὶ τὸν Θεὸν ἐπὶ τοῖς εἰς πατέρας τολμωμένοις χαλεπῶς ἔχειν, ὅτι καὶ αὐτὸς πατὴρ τοῦ παντὸς ἀνθρώπων γένους ἐστὶ, καὶ συνατιμοῦσθαι δοκεῖ τοῖς τὴν αὐτὴν αὐτῷ προσηγορίαν ἔχουσιν, οὐχ ὧν προσῆκεν αὐτοῖς παρὰ τῶν παίδων τυγχάνουσιν. Καὶ ὁ νόμος κολαστὴς γίνεται τῶν τοιούτων ἀπαραίτητος, οὗ σὺ μὴ πειραθείης. Κἂν μὲν τούτοις θεραπεύηται τὸ τῶν νέων αὔθαδες, ἀπαλλαττέσθωσαν τῶν ἐπὶ τοῖς ἠγνοημένοις ὀνειδῶν. Οὕτω γὰρ ἂν ὅ τε νομοθέτης ἀγαθὸς εἴη καὶ οἱ πατέρες εὐτυχεῖς, οὐκ ἐπιδόντες οὔτε

Quodsi frater nolit eam ducere, mulier convento senatu hoc ipsum testificetur, quod se, volentem in familia manere et ex eo liberos gignere, admittere noluerit, fratris defuncti memoriam injuria afficiens. Interrogante vero senatu quam ob causam a matrimonio abhorreat, sive parvam sive magnam afferat, eo inclinet. Uxor autem fratris, calceis ei detractis, faciemque ejus conspuens, dignum esse dicat qui hæc a se habeat, quod mortui memoriam læserit. Atque ille quidem e senatu abeat, in omnem vitam ignominia notatus, illa vero cuicunque voluerit poscenti nubat. Si quis autem captivam ceperit virginem, sive etiam nuptam, volenti eam in matrimonium accipere ne prius liceat lectum attingere et cum ea congredi quam ipsa tonsa, sumptoque lugubri habitu cognatos et amicos qui perierint in prælio deploraverit, ut quum dolorem, quem capit ex illis, satiaverit, ita demum ad epulas et nuptias se convertat. Nam pulcrum esse et æquum, ut qui mulierem, ex qua liberos suscepturus est, sibi adsciscat, voluntati ejus indulgeat, nec suam solum persequens voluptatem negligat quod illi gratum sit. Triginta vero diebus in luctu præteritis, (hæ enim sapientibus ad carissimos deflendos satis sunt,) tunc matrimonium adeat. Quodsi libidine expletus eam conjugem habere fastidiverit, servam eam faciendi potestatem ne habeat, sed *mulier*, quo ire voluerit, discedat, concessa ei libertate.

24. Quicunque vero adolescentum parentes *suos* contemnent, eisque *debitum* honorem non tribuent, aut probro *aliquo* aut de industria in eos contumeliosi, eos primum verbis castigent parentes, (hi enim idonei de filiis judices,) dicentes sese inter se congressos esse, non voluptatis causa, neque ut rebus utriusque factis communibus facultates amplificarent, sed ut liberos adipiscerentur, qui ipsos in senectute nutrirent, ipsisque ea, quibus indigerent, suppeditarent. Natum quidem, lætitia gestientes maximasque Deo gratias habentes, sublatum diligenter educavimus, nulli rei parcentes, quæ ad tuam salutem et rerum optimarum disciplinam utilis esse videbatur. Nunc autem (oportet enim veniam dare juvenum peccatis) satis habe hactenus honorem erga nos contempsisse, et redi ad sanitatem, tecum cogitans quod etiam Deus ea quæ adversum patres committuntur moleste ferat, quoniam et ipse est totius hominum generis parens, et in eis, cum quibus illi communis est appellatio, lædi videtur, quum quæ illis debebantur a liberis non obtineant. Atque lex talium vindex est inexorabilis, cujus absit ut tu facias periculum. Ac si quidem his adolescentum improbitas fuerit sanata, probris ob errata liberentur. Ita enim et bonus erit legislator et patres fortunati, qui neque filium neque filiam puniri

υἱὸν κολαζόμενον οὔτε θυγατέρα. Οὗ δ' ἂν οἱ λόγοι καὶ ἡ παρ' αὐτῶν διδασκαλία τοῦ σωφρονεῖν τὸ μηδὲν εἶναι φανῶσιν, ἐχθροὺς δ' ἀσπόνδους ποιῇ αὐτῷ τοὺς νόμους τοῖς συνεχέσι κατὰ τῶν γονέων τολμήμασι, προαχθεὶς ὑπ' αὐτῶν τούτων ἔξω τῆς πόλεως τοῦ πλήθους ἑπομένου καταλευέσθω, καὶ μείνας δι' ὅλης τῆς ἡμέρας εἰς θέαν τὴν ἁπάντων θαπτέσθω νυκτός. Οὕτω δὲ καὶ οἱ ὁπωσοῦν ὑπὸ τῶν νόμων ἀναιρεθῆναι κα τακριθέντες. Θαπτέσθωσαν δὲ καὶ οἱ πολέμιοι, καὶ νεκρὸς μηδὲ εἷς γῆς ἄμοιρος κείσθω, περαιτέρω τοῦ δικαίου τιμωρίαν ἐκτίνων.

κε'. Δανείζειν δὲ Ἑβραίων ἐπὶ τόκοις ἐξέστω μηδενὶ μήτε βρωτὸν μήτε ποτόν· οὐ γὰρ δίκαιον προσοδεύεσθαι τοῦ ὁμοφύλου τὰς τύχας· ἀλλὰ βοηθήσαντα ταῖς χρείαις αὐτοῦ κέρδος εἶναι νομίζειν τήν τ' ἐκείνων εὐχαριστίαν καὶ τὴν ἀμοιβὴν τὴν παρὰ τοῦ Θεοῦ γενησομένην ἐπὶ τῇ χρηστότητι.

κς'. Οἱ δὲ λαβόντες εἴτε ἀργύρια εἴτε τινὰ τῶν καρπῶν, ὑγρῶν ἢ ξηρῶν, κατὰ νοῦν αὐτοῖς τῶν παρὰ τοῦ Θεοῦ χωρησάντων, νομίζοντες μεθ' ἡδονῆς ἀποδιδότωσαν τοῖς δοῦσιν, ὥσπερ ἀποθέμενοι εἰς τὰ αὐτῶν, καὶ πάλιν, εἰ δεηθεῖεν, ἕξοντες. Ἂν δ' ἀναισχυντῶσι περὶ τὴν ἀπόδοσιν, μὴ πρὸς τὴν οἰκίαν βαδίσαντας ἐνεχυριάζειν πρὶν ἡ δίκη περὶ τούτου γένηται, τὸ δ' ἐνέχυρον αἰτεῖν ἔξω, καὶ τὸν ὀφείλοντα νομίζειν δι' αὐτοῦ, μηδὲν ἀντιλέγοντα τῷ μετὰ νόμου βοηθείας ἐπ' αὐτὸν ἥκοντι. Κἂν μὲν εὔπορος ᾖ ὁ ἠνεχυριασμένος, κατεχέτω τοῦτο μέχρι τῆς ἀποδόσεως ὁ δεδανεικώς· ἂν δὲ πένης, ἀποδιδότω πρὶν ἡλίου δυσμῶν, καὶ μάλιστα ἂν ἱμάτιον ᾖ τὸ ἐνέχυρον, ὅπως εἰς ὕπνον ἔχῃ τοῦτο, φύσει τοῦ Θεοῦ τοῖς πενομένοις ἔλεον νέμοντος. Μύλην δὲ καὶ τὰ περὶ ταύτην σκεύη μὴ ἐξεῖναι λαμβάνειν ἐνέχυρον, ὅπως μὴ στέρωνται καὶ τῶν πρὸς τὰ σιτία ὀργάνων, μηδ' ὑπ' ἐνδείας πάθωσί τι τῶν χειρόνων.

κζ'. Ἐπ' ἀνθρώπου μὲν κλοπῇ θάνατος ἔστω ἡ ζημία. Ὁ δὲ χρυσὸν ἢ ἄργυρον ὑφελόμενος τὸ διπλοῦν ἀποτινύτω. Κτείνας δ' ἐπὶ τοῖς κατ' οἶκον κλεπτομένοις τις ἀθῷος ἔστω, κἂν ᾖ πρὸς διορύγματι τοίχου. Βόσκημα δὲ ὁ κλέψας τετραπλῆν τὴν ζημίαν ἀποτινύτω, πλὴν βοός· πενταπλῆν δὲ ὑπὲρ τούτου καταβαλλέτω. Ὁ δὲ τὸ ἐπιτίμιον ἄπορος διαλύσασθαι δοῦλος ἔστω τοῖς καταδικασαμένοις.

κη'. Πραθεὶς δὲ ὁμοφύλῳ τις ἓξ ἔτη δουλευέτω, τῷ δὲ ἑβδόμῳ ἐλεύθερος ἀφείσθω. Ἐὰν δέ, τέκνων αὐτῷ γενομένων ἐκ δούλης παρὰ τῷ πριαμένῳ, διὰ τὴν εὔνοιαν καὶ τὴν πρὸς τὰ οἰκεῖα φιλοστοργίαν βούληται δουλεύειν, ἐνιαυτοῦ ἐνστάντος τοῦ ἰωβήλου (πεντηκοστὸς δὲ ἐνιαυτός ἐστιν) ἐλευθερούσθω, καὶ τὰ τέκνα καὶ τὴν γυναῖκα ἐλευθέραν ἀπαγόμενος.

κθ'. Ἐὰν δέ τις χρυσίον ἢ ἀργύριον εὕρῃ καθ' ὁδόν, ἐπιζητήσας τὸν ἀπολωλεκότα, καὶ κηρύξας τὸν τόπον ἐν ᾧ ηὗρεν, ἀποδότω, τὴν ἐκ τῆς ἑτέρου ζημίας ὠφέλειαν οὐκ ἀγαθὴν ὑπολαμβάνων. Ὁμοίως καὶ περὶ βοσκημάτων οἷς ἂν ἐντύχῃ τις κατ' ἐρημίαν πλανωμένοις

viderint. Ubi autem verba eorum et resipiscendi disciplina nihil proficere videantur, sed continuis contra parentes facinoribus leges sibi hostes faciat implacabiles, ab iis ipsis extra urbem sequente multitudine productus lapidetur, et, quum per totum diem ad spectaculum omnium manserit, noctu sepeliatur. Sic etiam qui legibus quoque modo rei capitalis condemnati fuerint. Sepeliantur autem hostes quoque, nec ullus terræ expers mortuus jaceat, ultra æquum pœnas dans.

25. Ne liceat ulli Hebræorum ad usuram dare neque cibum neque potum: non enim justum est in reditu habere fortunas tribulis: sed subvenientem ejus necessitatibus in lucro ponere et gratiarum actionem illius et remunerationem a Deo consequuturam ob humanitatem.

26. Qui autem mutuati sunt aut argentum, aut aliquid fructuum humidorum siccorumve, rebus ex sententia, Dei benignitate, succedentibus, hæc referentes cum alacritate reddant creditoribus, quasi apud se ipsos deponentes, et si *egeant rursum habituri. Si vero circa redditionem improbe* agant, ne liceat domum eorum ingressis pignora capere, petant priusquam de eo judicium factum sit; pignus autem foris petant et debitor ipse ferat, nihil ei contradicens, qui legis præsidio subnixus ad se venit. Ac si quidem locuples sit qui pignoravit, pignus retineat creditor donec reddatur mutuum; si pauper, ante solis occasum referat, præsertim si pignus sit vestimentum, ut id habeat ad somnum *capiendum*, Deo natura pauperibus misericordiam adhibente. Molam autem et instrumenta ejus ne liceat pignori capere, ne priventur etiam cibi parandi facultate, neve quid gravius ob inopiam patiantur.

27. In furto quidem hominis pœna esto mors. Qui vero aurum aut argentum surripuerit, duplum reddat. Si quis eorum aliquem *qui res e domo furto* eat ablatum occiderit, insons esto, etiamsi in pariete *tantum* suffodiendo *deprehendatur*. Furatus autem pecudem, quadruplo damnum rependat, nisi bos sit: nam pro hoc quintuplum reddat. Qui vero mulctæ solvendæ non erit, servus iis esto, quibus eam pendere damnas fuerit.

28. Venditus quis contribuli sex annos serviat, septimo *manumittatur*. Quodsi liberis ei ex serva natis apud emptorem propter benevolentiam et caritatem erga sua servire velit, anno jubilæo (est autem annus quinquagesimus) *liberetur*, et liberos et uxorem liberam abducens.

29. Si quis autem vel aurum vel argentum *in* via repererit, quæsito eo qui perdidit, locoque per præconem indicato quo reperit, restituat, utilitatem ex damno alterius nequaquam bonam esse reputans. Similiter etiam de pecudibus in quas errantes in deserto aliquis inciderit, domino

νοις, μὴ εὑρεθέντος τοῦ κυρίου παραχρῆμα παρ' αὐτῷ φυλαττέτω, μαρτυράμενος τὸν Θεὸν μὴ νοσφίζεσθαι ἀλλότρια.

λ'. Μὴ ἐξεῖναι δὲ παριέναι κτηνῶν τινι κακοπαθούντων ἢ ὑπὸ χειμῶνος πεπτωκότων ἐν πηλῷ, συνδιασώζειν δὲ καὶ τὸν πόνον οἰκεῖον ἡγησάμενον βοηθεῖν.

λα'. Μηνύειν δὲ καὶ τὰς ὁδοὺς τοῖς ἀγνοοῦσι, καὶ μὴ γέλωτα θηρωμένους αὐτοῖς ἐμποδίζειν πλάνῃ τὴν ἑτέρου χρείαν.

λβ'. Ὁμοίως μηδὲ βλασφημείτω τις τὸν ἄοπον καὶ τὸν ἐνεόν.

λγ'. Ἐν μάχῃ τις, ὅπου μὴ σίδηρος, πληγεὶς παραχρῆμα μὲν ἀποθανὼν ἐκδικείσθω, ταυτὸν παθόντος τοῦ πεπληχότος· ἂν δὲ κομισθεὶς παρ' ἑαυτὸν καὶ νοσήσας ἐπὶ πλείονας ἡμέρας ἔπειτα ἀποθάνῃ, ἀθῷος ἔστω ὁ πλήξας. Σωθέντος δὲ καὶ πολλὰ δαπανήσαντος εἰς τὴν νοσηλείαν, ἀποτιννύτω πάνθ' ὅσα παρὰ τὸν χρόνον τὸν τῆς κατακλίσεως ἀνάλωσε καὶ ὅσα τοῖς ἰατροῖς ἔδωκεν. Ὁ γυναῖκα λακτίσας ἔγκυον, ἂν μὲν ἐξαμβλώσῃ ἡ γυνή, ζημιούσθω χρήμασιν ὑπὸ τῶν δικαστῶν, ὡς παρὰ τὸ διαφθαρὲν ἐν τῇ γαστρὶ μειώσας τὸ πλῆθος· διδόσθω δὲ καὶ τῷ ἀνδρὶ τῆς γυναικὸς παρ' αὐτοῦ χρήματα. Θνησκούσης δ' ἐκ τῆς πληγῆς καὶ αὐτὸς ἀποθνησκέτω, ψυχὴν ἀντὶ ψυχῆς καταθέσθαι δικαιοῦντος τοῦ νόμου.

λδ'. Φάρμακον μήτε θανάσιμον μήτε τῶν εἰς ἄλλας βλάβας πεποιημένων Ἰσραηλιτῶν ἐχέτω μηδεὶς εἷς. Ἐὰν δὲ κεκτημένος φωραθῇ, τεθνάτω, τοῦτο πάσχων ὃ διέθηκεν ἂν ἐκείνους, καθ' ὧν τὸ φάρμακον ἦν παρεσκευασμένον.

λε'. Ὁ πηρώσας πασχέτω τὰ ὅμοια, στερόμενος οὗπερ ἄλλον ἐστέρησε, πλὴν εἰ μή τι χρήματα λαβεῖν ἐθελήσειεν ὁ πεπηρωμένος, αὐτὸν τὸν πεπονθότα κύριον τοῦ νόμου ποιοῦντος τιμήσασθαι τὸ συμβεβηκὸς αὐτῷ πάθος, καὶ συγχωροῦντος, ἢν μὴ βούληται γενέσθαι πικρότερος.

λς'. Βοῦν τοῖς κέρασι πλήττοντα ὁ δεσπότης ἀποσφαττέτω. Εἰ δ' ἐφ' ἅλωος κτείνειέ τινα πλήξας, αὐτὸς μὲν καταλευσθεὶς ἀποθνησκέτω, μηδ' εἰς τροφὴν εὔχρηστος εἶναι κατηξιωμένος. Ἐὰν δὲ καὶ ὁ δεσπότης ἐλέγχηται προειδὼς αὐτοῦ τὴν φύσιν καὶ μὴ φυλαξάμενος, καὶ αὐτὸς ἀποθνησκέτω ὡς αἴτιος τῷ ὑπὸ τοῦ βοὸς ἀνῃρημένῳ γεγενημένος. Ἐὰν δὲ δοῦλον ἢ θεράπαιναν ἀποκτείνῃ βοῦς, αὐτὸς μὲν καταλιθούσθω· τριάκοντα δὲ σίκλους ὁ κύριος τοῦ βοὸς ἀποτιννύτω τῷ δεσπότῃ τοῦ ἀνῃρημένου. Βοῦς δ' ἐὰν οὕτω πληγεὶς ἀποθάνῃ, πωλείσθωσαν καὶ ὁ τεθνεὼς καὶ ὁ πλήξας, καὶ τὴν τιμὴν τὴν ἀμφοτέρων οἱ δεσπόται αὐτῶν διανεμέσθωσαν.

λζ'. Οἱ δὲ φρέαρ ἢ λάκκον ὀρύξαντες ἐπιμελὲς ποιείσθωσαν ὥστε σανίδων ἐπιβολαῖς ἔχειν κεκλεισμένα, οὐχ ὅπως τινὲς εἴργοιντο ὑδρείας, ἀλλ' ἵνα μηδεὶς κίνδυνος ὡς ἐμπεσουμένοις ᾖ. Οὗ δ' ἂν εἰς ὄρυγμα τοιοῦτον μὴ κλειστὸν ἐμπεσὸν βόσκημά τινος διαφθαρῇ, τὴν τιμὴν

non statim invento apud se servet, Deum testatus se nolle aliena avertere.

30. Ne liceat præterire, quum jumenta alicui afflicta jacuerint aut in luto propter tempestatem collapsa, sed succurrat et subveniat, laborem etiam proprium existimans.

31. Etiam vias ignorantibus ostendant, neve, risum sibi aucupantes, errore alterius commodum impediant.

32. Similiter neque maledicat quisquam muto neque surdo.

33. Aliquis in contentione, ubi nullum fuerit ferrum, vulneratus continuo mortuus vindicetur, eo qui vulneraverit idem passo. Quodsi domum delatus dies complures ægrotaverit, et deinde mortuus fuerit, impunitus esto qui percussit. Si autem revaluerit et multa in ægrotationem insumpserit, solvat ille omnia quæcunque tempore decubitus impendit et quæcunque medicis erogavit. Qui mulierem prægnantem calce pulsaverit, si quidem abortum fecerit mulier, a judicibus pecunia multetur, ut qui ex fœtu in ventre corrupto populum minuerit : viro etiam mulieris ab eo dentur pecuniæ. Quodsi illa ex ictu moriatur, et ipse mortem subeundo pœnas luat, lege æquum esse censente, ut vita pro vita reponatur.

34. Nemo Israelitarum pharmacum habeat, neque letale, neque ad alias læsiones factum. Quodsi habuisse deprehensus fuerit, morte mulctetur, idem patiens quo illos affecisset, contra quos paratum erat pharmacum.

35. Qui mutilaverit *aliquem*, similia patiatur, privatus quo privavit alium, nisi forte mutilatus pecuniam malit accipere, lege *injuriam* passo plenam dante potestatem æstimandi casum qui ei accidit, et concedente *hoc facere*, nisi acerbior esse velit.

36. Bovem cornibus petentem dominus jugulet. Quod si aliquem in area percussum interfecerit, ipse quidem lapidatus moriatur, et ab esu hominum rejiciatur. Si vero dominus ingenium ejus ante scivisse convincatur, nec tamen custodivisse, ipse quoque morte plectatur, ut qui necato a bove mortis causa fuerit. Sin autem servum aut ancillam bos occiderit, ipse quidem lapidetur, dominus vero bovis triginta siclos interempti domino pendat. Quodsi bos ita *a bove* ictus mortuus fuerit, et mortuus et percussor vendantur, et domini eorum pretium utriusque inter se dividant.

37. Qui puteum aut lacum demiserint, diligenter curent ut tabulis impositis clausos habeant, non ut ulli aquatione arceantur, sed ut nullum in eos incidendi periculum sit. Cujus autem in talem scrobem non clausam pecus alicujus

αὐτοῦ τῷ δεσπότῃ καταβαλλέτω. Περιβαλλέσθω δὲ καὶ τοῖς στέγεσιν, ἅπερ ὡς ἀντὶ τείχους ὄντα οὐκ ἐάσει τινὰς ἀποκυλισθέντας ἀποβαλέσθαι.

λη'. Παρακαταθήκην δὲ, ὥσπερ ἱερόν τι καὶ θεῖον χρῆμα, ὁ παραλαβὼν φυλακῆς ἀξιούτω, καὶ μηδεὶς ἀποστερῆσαι θρασυνθείη τὸν πεπιστευκότα, μήτε ἀνὴρ μήτε γυνὴ, μηδ' εἰ χρυσὸν ἄπειρον μέλλοι κερδαίνειν καταφρονῶν τῷ μηδένα εἶναι τὸν ἐξελέγξοντα. Καθ' ὅλου μὲν γὰρ τὸ συνειδὸς ἐπιστάμενον τὸ αὑτοῦ προσῆκεν ἕκαστον εὖ πράττειν, καὶ μάρτυρ' ἀρκούμενον αὐτῷ πάντα ποιεῖν ἃ παρ' ἄλλων ἔπαινον αὐτῷ παρέξει, μάλιστα δὲ τὸν Θεὸν, ὃν οὐδεὶς πονηρὸς ὢν λανθάνει. Εἰ δὲ μηδὲν ἐπίδουλον ὁρῶν ὁ πιστευθεὶς ἀπολέσειεν, ἀφικόμενος ἐπὶ τοὺς ἑπτὰ κριτὰς ὀμνύτω τὸν Θεὸν, ὅτι μηδὲν παρὰ τὴν αὐτοῦ βούλησιν ἀπόλοιτο καὶ κακίαν, οὐδὲ χρησαμένου τινὶ μέρει αὐτῆς, καὶ οὕτως ἀνεπαιτίατος ἀπίτω. Χρησάμενος δὲ κἂν ἐλάχιστον μέρος τῶν πεπιστευμένων ἀπολέσας τύχῃ, τὰ λοιπὰ πάντα ἃ ἔλαβεν ἀποδοῦναι κατεγνώσθω. Ὁμοίως δὲ τῷ περὶ παρακαταθηκῶν, κἂν μισθόν τις ἀποστερήσῃ τῶν ἐπὶ σώμασι τοῖς αὑτῶν ἐργαζομένων, μεμνήσθω ὅτι οὐκ ἀποστερητέον ἀνδρὸς πένητος μισθὸν, εἰδότας ὡς ἀντὶ γῆς καὶ τῶν ἄλλων κτημάτων ὁ Θεὸς αὐτῷ τοῦτον εἴη παρεσχηκώς· ἀλλὰ μηδὲν ἀναβάλλεσθαι τὴν ἀπόδοσιν, ἀλλ' αὐθημερὸν ἐκτίνειν, ὡς μὴ βουλομένου τοῦ Θεοῦ τῆς ἐξ ὧν πεπόνηκε χρήσεως ὑστερεῖν τὸν εἰργασμένον.

λθ'. Παῖδας ὑπὲρ ἀδικίας πατέρων μὴ κολάζειν, ἀλλὰ διὰ τὴν ἐκείνων αὐτῶν ἀρετὴν οἰκτου μᾶλλον ἀξιοῦν, ὅτι μοχθηρῶν ἐγένοντο πατέρων, ἢ μίσους φύντας ἐκ φαύλων. Οὐδὲ μὴν πατράσιν υἱῶν ἁμαρτίαν λογιστέον, τῶν νέων πολλὰ παρὰ τὴν ἡμετέραν διδασκαλίαν ἑαυτοῖς ἐπιτρεπόντων, ὑπερηφανίᾳ τοῦ διδάσκεσθαι.

μ'. Γάλλους ἐκτρέπεσθαι καὶ σύνοδον φεύγειν τὴν μετ' αὐτῶν, ἀφελομένους αὐτοὺς τὸ ἄρρεν καὶ τὸν τῆς παιδοποιίας καρπὸν, ὃν ἀνθρώποις ἐπ' αὐξήσει τοῦ γένους ἡμῶν ὁ Θεὸς παρέσχεν. Ἐλαύνειν δὲ οὕτως ὡς ἐπὶ τέκνων σφαγῇ καὶ πρὸ τούτων ἀπολλύντας τὸ ἐκείνων αἴτιον· δῆλον γὰρ ὡς τῆς ψυχῆς αὐτοῖς τεθηλυσμένης μετεκοσμήσαντο πρὸς τοῦτο καὶ τὸ σῶμα· ὁμοίως δὲ καὶ πᾶν τὸ νομιζόμενον τέρας τοῖς ὁρῶσι. Μὴ ἐξεῖναι δὲ ποιεῖν ἐκτομίας, μήτε ἀνθρώπους μήτε τῶν ἄλλων ζώων.

μα'. Αὕτη μὲν οὖν ὑμῖν εἰρηνικὴ τῶν νόμων κατὰ τὴν πολιτείαν διάταξις ἔστω, καὶ ὁ Θεὸς εὐμενὴς ἀστασίαστον αὐτῆς τὸν κόσμον παρέξεται· γένοιτο δὲ χρόνος μηδὲ εἷς, ὃς καινίσει τι τούτων καὶ πρὸς τὸ ἐναντίον μεταβαλεῖ. Ἐπεὶ δὲ ἀνάγκη τὸ ἀνθρώπινον καὶ εἰς ἀβουλήτους ἢ κατὰ προαίρεσιν ταραχὰς καὶ κινδύνους ἐμπεσεῖν, φέρε καὶ περὶ τούτου βραχέα προσδιατάξωμεν, ὡς ἂν προειδότες ἃ χρὴ ποιεῖν ἐν τῇ χρείᾳ τῶν σωτηρίων εὐπορῆτε, καὶ μὴ τότε ἃ δεῖ ποιεῖν ἐπιζητοῦντες ἀπαρασκεύαστοι τοῖς καιροῖς παραπέσητε.

delapsum intereat, pretium ejus domino solvat. Quin et tectis circumdentur, quæ, vicem muri implentia, non sinent ullos devolutos exstingui.

38. Depositum qui accepit, tanquam rem sacram et divinam servet et custodiat, et nemo dolose *aliquid* componat ad eum, qui deposuit, fraudandum, neque vir, neque mulier, etiamsi auri vim immensam lucraturus sit, fretus securitate quod nullus sit qui redarguat. Nam omnino quidem convenit, unumquemque bene facere, animum suum sibi conscium esse credentem, et locupletem se ipsum testem habere ea se agere quæ ei ab aliis laudem pariant, et maxime Deum, quem nemo malus latet. Quodsi depositarius, nihil dolo malo ageus, *depositum* perdiderit, septem judices adeat, Deumque juret nihil sua voluntate et vitio perditum esse, neque se ulla parte ejus usum esse: atque ita innocens abeat. Quodsi vel minima parte creditorum usus forte perdiderit, ad reliqua omnia quæ accepit redhibenda damnetur. Similiter etiam ac in depositis, si quis mercedem eorum retinuerit qui corporibus suis operantur, meminerit hominis pauperis mercedem non esse retinendam, hoc ipsum cogitando, quod eam Deus illi præbuerit pro terris ac aliis possessionibus: quin et nihil differat solutionem, sed eodem die solvat, tanquam Deo nolente ut operarius careat laboris sui fructu.

39. Nati propter patrum culpam ne puniantur, sed propter suam ipsorum virtutem misericordia potius digni habeantur, quod ex improbis geniti fuerint parentibus, quam odio, quod vitiosis sati. Neque vero filiorum peccatum patribus est imputandum, quum adolescentes discendi fastidio multa præter nostram doctrinam sibi permittant.

40. Spadones abhorreantur, et eorum fugiatur congressio, quibus erepta sit virilitas, et generationis fructus, quem Deus hominibus ad generis nostri incrementum tribuit. Abigantur autem tanquam qui liberos peremerint, et antequam sint, id sustulerint quod causa eorum fuisset: perspicuum est enim, eos, quum effeminata sit ipsorum anima, in idem etiam corpore mutatos esse. Itidem etiam *abigatur* quicquid aspicientibus putatur monstrum. Neque homines castrare liceat, neque alia animalia.

41. Et hæc quidem vobis sit pacifica legum reipublicæ constitutio, et Deus propitius ordinem ejus a seditionibus imperturbatum conservabit: absit autem ut ullum veniat tempus, quod horum aliquid innovet et in contrarium mutet. Sed quoniam necesse est hominum genus, vel invito vel sua sponte, in turbas etiam et pericula incidere, age pauca etiam de his præterea ordinemus: ut quæ facienda sint prævidentes, salutaria, quum opus erit, habeatis, neque tunc requirentes quæ facere oporteat, imparati in

Γῆν, ἣν ὑμῖν ὁ Θεὸς ἔδωκε πόνων καταφρονοῦσι καὶ ψυχὰς πρὸς ἀρετὴν ἠσκημένοις, ἀπόλεμον μὲν νέμεσθαι παράσχοι τοῖς κεκτημένοις αὐτὴν, μήτε ἀλλοτρίων εἰς αὐτὴν ἐπὶ κακώσει στρατευσάντων, μήτε στάσεως ἐμφυλίου κατασχούσης ὑμᾶς· ὑφ' ἧς τἀναντία πατράσι τοῖς ἑαυτῶν πράττοντες ἀπολεῖτε τὰ ἐκείνοις νομισθέντα· χρώμενοί τε νόμοις, οὓς ἀγαθοὺς δοκιμάσας ὁ Θεὸς παραδίδωσι, διατελοίητε. Ἔργον δ' ὅ τι ἂν πολεμικὸν ἢ νῦν ὑφ' ὑμῶν ἢ ὕστερον ἐπὶ παίδων ὑμετέρων γένηται, τοῦθ' ὑπερόριον πραχθείη. Μέλλοντας δὲ πολεμεῖν πρεσβείας καὶ κήρυκας πέμπειν παρὰ τοὺς ἑκουσίως πολεμίους. Πρὸ γὰρ τῶν ὅπλων καλὸν εἶναι χρῆσθαι λόγοις πρὸς αὐτοὺς, δηλοῦντας ὅτι καὶ στρατιὰν πολλὴν ἔχοντες καὶ ἵππους καὶ ὅπλα, καὶ πρὸ τούτων εὐμενῆ τὸν Θεὸν καὶ σύμμαχον, ὅμως ἀξιοῦτε μὴ ἀναγκάζεσθαι πολεμεῖν αὐτοῖς, μηδὲ τὰ ἐκείνων ἀφαιρουμένους ἀβούλητον αὐτοῖς κέρδος προσλαμβάνειν. Καὶ πειθομένων μὲν, καλῶς ὑμᾶς ἔχειν τὴν εἰρήνην φυλάττειν· εἰ δὲ φρονοῦντες ἐφ' ἑαυτοῖς ὡς ἰσχύϊ διαφέρουσιν ἀδικεῖν ἐθέλοιεν, στρατὸν ἐπ' αὐτοὺς ἀγάγετε, στρατηγῷ μὲν αὐτοκράτορι χρώμενοι τῷ Θεῷ, ὑποστράτηγον δὲ χειροτονήσαντες ἕνα τὸν ἀρετῇ προὔχοντα. Πολυαρχία γὰρ, πρὸς τῷ τοῖς ὀξέως τι πράττειν ἀνάγκην ἔχουσιν ἐμπόδιον εἶναι, καὶ βλάπτειν πέφυκε τοὺς χρωμένους. Στρατὸν δὲ ἄγειν καθαρὸν, ἐκ πάντων τῶν ῥώμῃ σωμάτων καὶ ψυχῆς εὐτολμίᾳ διαφερόντων, τὸ δὲ δειλὸν ἀποκρίνοντας, μὴ τοὺς πολεμίους παρὰ τὸ ἔργον τραπὲν εἰς φυγὴν ὠφελήσῃ. Τούς τε νεωστὶ δειμαμένους οἰκίας, οἷς οὔπω χρόνος ἀπολαύσεως αὐτῶν ἐνιαύσιος, καὶ φυτεύσαντας, οὔπω δὲ καρπῶν μετεσχηκότας, ἐᾶν κατὰ χώραν, καὶ τοὺς μνηστευσαμένους δὲ καὶ νεωστὶ γεγαμηκότας, μὴ πόθῳ τούτων φειδόμενοι τοῦ ζῆν καὶ τηροῦντες αὐτοὺς εἰς τὴν τούτων ἀπόλαυσιν ἐθελοκακήσωσι [περὶ τὰς γυναῖκας].

μδ'. Στρατοπεδευσάμενοι δὲ προνοεῖσθε μή τι τῶν δυσχερεστέρων ἐργάσησθε. Πολιορκοῦντας δὲ καὶ ξύλων ἀπορουμένους εἰς ποίησιν μηχανημάτων μὴ κείρειν τὴν γῆν ἥμερα δένδρα κόπτοντας, ἀλλὰ φείδεσθαι, λογιζομένους ἐπ' ὠφελείᾳ ταῦτα τῶν ἀνθρώπων γεγονέναι, καὶ φωνῆς ἂν εὐπορήσαντα δικαιολογήσασθαι πρὸς ὑμᾶς, ὡς οὐδὲν αἴτια τοῦ πολέμου γεγονότα πάσχει κακῶς παρὰ δίκην, εἰ δύναμις αὐτοῖς ἦν καὶ μετοικήσαντα ἂν καὶ πρὸς ἄλλην μεταβάντα γῆν. Κρατήσαντες δὲ μάχῃ τοὺς ἀντιταξαμένους κτείνατε, τοὺς δ' ἄλλους ἐς τὸ τελεῖν ὑμῖν φόρους σώζετε, πλὴν τοῦ Χαναναίων ἔθνους. Τούτους γὰρ πανοικὶ χρῆναι ἀφανίσαι.

μγ'. Φυλάσσετε δὲ μάλιστα ἐν ταῖς μάχαις ὥστε μήτε γυναῖκα ἀνδρικῇ σκευῇ χρῆσθαι μήτε ἄνδρα στολῇ γυναικείᾳ.

μδ'. Πολιτείαν μὲν οὖν τοιάνδε Μωϋσῆς κατέλιπε, νόμους δ' ἔτει πρότερον τεσσαρακοστῷ γεγραμμένους παραδίδωσι, περὶ ὧν ἐν ἑτέρᾳ γραφῇ λέξομεν. Ταῖς δ' ἑξῆς ἡμέραις (συνεχὲς γὰρ ἐξεκλησίασεν) εὐλογίας

tempora periculosa incurratis. Faxit Deus ut terram, quam vobis dedit labores contemnentibus, animosque ad virtutem exercitatos habentibus in pace ac tranquillitate colant possidentes, sine perniciosis externorum incursionibus, et absque civili vos exagitante seditione, (per quam si patribus vestris contraria faciatis, instituta illorum perdetis, utque legibus semper utamini, quas Deus *ut* bonas comprobatas tradit. Si vero res bellica quæcunque acciderit, aut nunc a vobis *gerenda* aut postea apud seros nepotes, hæc extra limites geratur. Ceterum bellum gesturi legationes mittite et præcones ad hostes voluntarios. Decet enim, ante*quam* arma *inferantur*, verbis ad eos uti, declarando vos, quamvis et exercitum magnum habeatis et equos et arma, et ante hæc Deum propitium et auxiliarem, nolle tamen cogi bellum cum eis gerere, neque facultates illorum auferentes lucrum ipsis invitis comparare. Ac si quidem obtemperaverint, decet vos pacem servare: sin vero sibimet fidentes, ac si viribus præpollerent, vos lædere voluerint, exercitum in eos ducite, Deo quidem summo imperatore utentes, uno vero præstanti virtute secundarum partium duce creato. Nam multorum imperium, præterquam quod iis qui aliquid celeriter agere necesse habent impedimento sit, etiam utentibus obesse solet. Exercitus autem purus ducatur, delectis corporum robore animique audentia præcellentibus, timidis vero rejectis, ne, dum acie decernatur, in fugam versi hostibus prosint. Iique qui nuper domos ædificarint, quibus nondum per annum fruiti sunt, et qui conseverint, necdum fructus perceperint, domi *manere* sinantur, necnon sponsi et qui nuper uxores duxerint, ne harum rerum desiderio vitæ parcentes et se ipsos ad earum fruitionem servantes ultro se male gerant [propter uxores].

42. Castris autem positis providete ne quid sævum et improbum faciatis. Quum vero urbem obsideatis et ligna ad machinas conficiendas desideretis, ne terram attondete arbores mites ac frugiferas succidendo, sed iis parcite, eas in hominum utilitatem natas esse cogitantes, et si vocem haberent, vobiscum expostulaturas esse sese immerito malo affici, ut quæ belli causa non exstiterint, atque inde migraturæ fuerint et in aliam terram transituræ, si eis esset potestas. Quum autem prælio *hostes* superaveritis, eos qui in adversa acie steterint interficite, ceteros vero ad tributa vobis pendenda conservate, gente Chananæorum excepta: hos enim ad internecionem delere oportet.

43. Cavete autem maxime in prœliis ne vel femina ornatu virili utatur, vel vir stola muliebri.

44. Moyses igitur hujusmodi reipublicæ institutionem reliquit, leges vero quadragesimo anno ante reliquit, de quibus in alio libro dicemus. Sequentibus autem diebus (assidue enim concionabatur) faustas eis precationes tradit, et im-

αὐτοῖς δίδωσι, καὶ κατάρας ἐπὶ τοὺς μὴ κατὰ τοὺς νόμους ζησομένους, ἀλλὰ παραβησομένους τὰ ἐν αὐτοῖς διωρισμένα. Ἔπειτα ποίησιν ἑξάμετρον αὐτοῖς ἀνέγνω ἣν καταλέλοιπεν ἐν τῷ βιβλίῳ τῷ ἱερῷ, πρόρρησιν περιέχουσαν τῶν ἐσομένων, καθ' ἣν γέγονε πάντα καὶ γίνεται, μηδὲν ἐκείνου διημαρτηκότος τῆς ἀληθείας. Ταῦτ' οὖν τὰ βιβλία παραδίδωσι τοῖς ἱερεῦσι καὶ τὴν κιβωτὸν, εἰς ἣν καὶ τοὺς δέκα λόγους γεγραμμένους ἐν δυσὶ πλαξὶ κατέθεντο, καὶ τὴν σκηνήν· τῷ τε λαῷ παρήνησε κρατήσαντι τῆς γῆς καὶ ἱδρυθέντι μὴ λήθην λαβεῖν τῆς Ἀμαληκιτῶν ὕβρεως, ἀλλὰ στρατεύσαντας ἐπ' αὐτοὺς τιμωρίαν ἀπολαβεῖν ὧν ἐπὶ τῆς ἐρήμου τυγχάνοντας ἐποίησαν κακῶς· ἐξελόντας δὲ τὴν Χαναναίων γῆν καὶ πᾶσαν διαφθείραντας τὴν ἐν αὐτῇ πληθὺν καθὰ πρέπει, τὸν βωμόν τε ἀναστῆσαι πρὸς ἥλιον ἀνίσχοντα τετραμμένον, οὐ πόρρω τῆς Σικίμων πόλεως μεταξὺ δυοῖν ὀροῖν, Γαριζαίου μὲν τοῦ ἐκ δεξιῶν κειμένου, τοῦ δ' ἐξ ἀριστερᾶς Γιβάλου προσαγορευομένου· μερισθεῖσαν δὲ τὴν στρατιὰν καθ' ἓξ φυλὰς ἐπὶ τοῖν δυοῖν ὀροῖν ἀναστῆναι, καὶ σὺν αὐτοῖς Λευίτας τε καὶ τοὺς ἱερέας. Καὶ πρώτους μὲν τοὺς ἐπὶ τῷ Γαριζίν γενομένους εὔχεσθαι τὰ κάλλιστα τοῖς περὶ τὴν θρησκείαν τοῦ Θεοῦ καὶ τὴν τῶν νόμων φυλακὴν σπουδάζουσιν ὧν τε Μωϋσῆς εἶπε μὴ παρακρουσαμένοις, εὐφημεῖν δὲ τὰς ἑτέρας, καὶ τούτων πάλιν εὐχομένων, τὰς προηγμένας ἐπαινεῖν· ἔπειτα τοῖς ταῦτα παραβησομένοις κατάρας τίθεσθαι, ὑποφωνούσας ἀλλήλαις ἐπὶ κυρώσει τῶν λεγομένων. Ἀνέγραψε δὲ τὰς εὐλογίας καὶ τὰς κατάρας αὐτὸς, ὡς μηδέποτε ἐκλιπεῖν τὴν μάθησιν αὐτῶν ὑπὸ τοῦ χρόνου· ἃς δὴ καὶ τῷ βωμῷ τελευτῶν ἐνέγραψε κατὰ πλευρὰν ἑκατέραν, ἢ καὶ στάντα φησὶ τὸν λαὸν θῦσαί τε καὶ ὁλοκαυτῶσαι, καὶ μετ' ἐκείνην τὴν ἡμέραν οὐκέτ' ἐπενεγκεῖν ἱερεῖον ἕτερον· οὐ γὰρ εἶναι νόμιμον. Ταῦτ' οὖν Μωϋσῆς διέταξε, καὶ τὸ Ἑβραίων ἔθνος ἀκόλουθα τούτοις ποιοῦν διατελεῖ.

με'. Τῇ δ' ὑστεραίᾳ τὸν λαὸν σὺν γυναιξὶν ἅμα καὶ τέκνοις εἰς ἐκκλησίαν συναγαγὼν, ὡς παρεῖναι καὶ τὰ ἀνδράποδα, ὅρκου τῶν νόμων αὐτοὺς φυλακὴν ποιήσασθαι, καὶ τῆς τοῦ Θεοῦ διανοίας ἀκριβεῖς λογιστὰς γενομένους, μηδὲν εἰς αὐτοὺς μήτε συγγενείᾳ χαριζομένους μήτε εἴκοντας φόβῳ, μήτε ἄλλην καθάπαξ αἰτίαν κυριωτέραν τῆς τῶν νόμων φυλακῆς ὑπολαμβάνοντας παραδῆναι τούτους· ἀλλ' ἄν τέ τις τῶν ἐξ αἵματος συγχεῖν καὶ καταλύειν ἐπιχειρῇ τὴν κατ' αὐτοὺς πολιτείαν, ἄν τε πόλις, ἀμύνειν αὐτοὺς καὶ κοινῇ καὶ κατ' ἰδίαν, καὶ κρατήσαντας μὲν ἐξ αὐτῶν ἀνασπᾶν θεμελίων, καὶ μηδὲ τὸ ἔδαφος τῶν ἀπονοηθέντων εἰ δυνατὸν καταλιπεῖν· εἰ δ' ἀσθενοῖεν λαβεῖν τὴν τιμωρίαν, αὐτὸ τὸ μὴ κατὰ βούλησιν ἰδίαν ταῦτα γίνεσθαι δεικνύναι. Καὶ τὸ μὲν πλῆθος ὤμνυεν.

μς'. Ἐδίδασκε δὲ αὐτοὺς ὡς ἂν αἱ θυσίαι τῷ Θεῷ μᾶλλον κεχαρισμέναι γένοιντο, καὶ ὅπως ἂν οἱ στρατεύοντες ἐξίοιεν τεκμηρίῳ χρώμενοι τοῖς λίθοις, ὡς

precationes in eos qui ex legibus non viverent, sed contra præscripta earum agerent. Deinde carmen hexametrum eis recitavit, quod in sacro volumine *scriptum* reliquit, continens futurorum prædictionem, juxta quam omnia facta sunt atque fiunt, neque ille quicquam a veritate aberravit. Hos igitur libros sacerdotibus tradit, simul et arcam, in qua decem præcepta in duabus tabulis scripta recondiderunt, atque tabernaculum. Quin et populum admonuit, ut quum *Chananæorum* terram devicissent, et *in ea* consedissent, injuriæ ab Amalecitis acceptæ non obliviscerentur, sed facta in eos expeditione pœnas reposcerent maleficiorum, quibus illi ipsos affecerant quum essent in deserto. Occupata vero Chananæorum terra, omnique ejus multitudine ut par est deleta, aram exstruere *jussit* ad solem orientem versam, non procul ab urbe Sicimorum inter montes duos, Garizæo quidem ad dextram posito, ad lævam autem eo qui Gibalus nuncupatur: divisumque exercitum in senas tribus super duobus montibus statuere, et una cum illis Levitas et sacerdotes. Ac primum quidem illos in Garizæo faustissima eis apprecari, qui religionis Dei studiosi essent et custodiæ legis, neque ea quæ dixisset Moyses rejecissent, *sex* alias vero *tribus* bene illis ominari, et rursum his precantibus priores acclamare: deinde transgressoribus diras imprecari, alteras alteris ad dicta comprobanda et sancienda succinentes. Faustas autem precationes et exsecrationes scriptis consignavit ipse, ut earum disciplina nullo unquam tempore intermitteretur. Quas sane moriens etiam aræ inscribi jussit ex utroque latere, ubi etiam populo denunciat ut stans sacrificet et holocausta offerat, et post illam diem nunquam aliam victimam imponeret: non enim esse licitum. Hæc igitur Moyses instituit, atque gens Hebræorum his consentanea facere nunquam intermittit.

45. Postridie autem populo una cum mulieribus et parvulis ad concionem convocato, ut mancipia etiam adessent, adjuravit eos ut legum curam haberent, utque diligentes mentis Dei æstimatores eas non transgrederentur, nihil contra eas neque consanguinitati indulgentes, neque timori cedentes, neque aliam omnino causam legum conservatione potentiorem esse existimantes: verum, seu quisquam eorum consanguineus, seu civitas *quæpiam* reipublicæ eorum institutionem confundere et dissolvere conaretur, eos et publice et privatim ulciscerentur; ac si quidem eos superassent, funditus exscinderent, neque, si fieri posset, vel vestigium vecordi insolentia elatorum relinquerent: sin pœnas sumere non valerent, hoc saltem ostenderent, hæc nequaquam de voluntate sua facta esse. Et multitudo quidem juravit.

46. Docuit autem eos, quomodo sacrificia Deo fierent acceptiora, et quomodo in militiam exirent, signo capto ex lapillis, ut etiam prius declaravi. Jesus quoque vati-

καὶ τρότερον δεδήλωκα. Προεφήτευσε δὲ καὶ Ἰησοῦς Μωϋσέως παρόντος ἔτι, καὶ πάνθ' ὅσα πονήσειεν ὑπὲρ τῆς τοῦ λαοῦ σωτηρίας ἔν τε πολέμοις καὶ κατ' εἰρήνην, νόμους συντιθεὶς καὶ τὸν τῆς πολιτείας κόσμον συμπορίζων, ἀναλογιζόμενος προεῖπεν ὡς δηλώσειεν αὐτῷ τὸ θεῖον, ὅτι παραβάντες τὴν πρὸς αὐτὸν θρησκείαν πειραθήσονται κακῶν, ὡς ὅπλων τε αὐτοῖς πολεμίων πληρωθῆναι τὴν γῆν καὶ κατασκαφῆναι πόλεις, καὶ τὸν νεὼν καταπρησθῆναι, καὶ πραθέντας δουλεύειν ἀνδράσιν οὐδένα ληψομένοις οἶκτον ἐπὶ ταῖς συμφοραῖς αὐτῶν, μετανοήσειν δ' αὐτοὺς ἐπὶ μηδενὶ χρησίμῳ ταῦτα πάσχοντας. Ὁ μέντοι Θεὸς, ὁ κτίσας ὑμᾶς, πόλεις τε πολίταις ὑμετέροις ἀποδώσει καὶ τὸν ναόν. Ἔσεσθαι δὲ τὴν τούτων ἀποβολὴν οὐχ ἅπαξ, ἀλλὰ πολλάκις.

μζ'. Παρορμήσας δὲ τὸν Ἰησοῦν ἐπὶ τοὺς Χαναναίους στρατιὰν ἐξαγαγεῖν, ὡς τοῦ Θεοῦ συνεργοῦντος οἷς ἂν ἐπιχειρήσειε, καὶ πᾶσαν ἐπευφημήσας τὴν πληθὺν, « ἐπεὶ, φησὶ, πρὸς τοὺς ἡμετέρους ἅπειμι προγόνους, καὶ Θεὸς τήνδε μοι τὴν ἡμέραν τῆς πρὸς ἐκείνους ἀφίξεως ὥρισε, χάριν μὲν αὐτῷ ζῶν ἔτι καὶ παρὼν ὑμῖν ἔχειν ὁμολογῶ προνοίας τε τῆς ὑπὲρ ὑμῶν, ἣν οὐχ ὑπὲρ ἀπαλλαγῆς μόνον τῶν ἡμετέρων ἐποιήσατο κακῶν, ἀλλὰ καὶ δωρεᾶς τῶν κρειττόνων· ὅτι τε πονοῦντί μοι καὶ κατὰ πᾶσαν ἐπίνοιαν τῆς ἐπὶ τὸ βέλτιον ὑμῶν μεταβολῆς φροντίδα λαμβάνοντι συνηγωνίσατο, καὶ παρέσχεν ἅπασιν ἑαυτὸν εὐμενῆ ἡμῖν· μᾶλλον δ' αὐτὸς ἦν ὁ καὶ τὴν ἀφήγησιν αὐτῶν διδοὺς καὶ τὰ τέλη χαριζόμενος, ὑποστρατήγῳ χρώμενος ἐμοὶ καὶ ὑπηρέτῃ ὧν τὸν ὑμέτερον λαὸν εὐεργετεῖν ἠθέλησεν. Ἀνθ' ὧν προσευλογῆσαι τὴν τοῦ Θεοῦ δύναμιν, ᾧ μελήσει καὶ πρὸς τὸ μέλλον ὑμῶν, « ἀπαλλασσόμενος καλῶς ἔχειν ἡγησάμην, αὐτός τε « ταύτην ὀφειλομένην ἀμοιβὴν ἀποδιδοὺς καὶ καταλείπων εἰς μνήμην ὑμῖν τὸ σέβειν τε καὶ τιμᾶν πρόσηκειν τοῦτον ὑμῖν, καὶ τοὺς νόμους πάντων, ὧν τε « παρέσχηκε καὶ μένων εὐμενὴς ἔτι παρέξει, δώρημα « κάλλιστον φυλάττειν. Ὡς δεινὸν μὲν ἐχθρὸς καὶ « ἄνθρωπος νομοθέτης, ὑβριζομένων αὐτῷ τῶν νόμων « καὶ μάτην κειμένων· Θεοῦ δὲ μὴ πειραθείητε χαλεπαίνοντος ὑπὲρ ἀμελουμένων νόμων, οὓς αὐτὸς γενήσας ὑμῖν ἔδωκε. »

μη'. Μωϋσέως δὲ ταῦτα πρὸς τελευτὴν τοῦ βίου φήσαντος, καὶ μετ' εὐλογίας ἑκάστῃ τῶν φυλῶν προφητεύσαντος τὰ γενησόμενα, τὸ πλῆθος εἰς δάκρυα προύπεσεν, ὡς καὶ τὰς γυναῖκας στερνοτυπουμένας ἐμφανίζειν τὸ ἐπ' αὐτῷ τεθνηξομένῳ πάθος. Καὶ οἱ παῖδες δὲ θρηνοῦντες ἔτι μᾶλλον, ὡς ἀσθενέστεροι κρατεῖν λύπης, ἐδήλουν ὅτι τῆς ἀρετῆς αὐτοῦ καὶ μεγαλουργίας παρ' αὐτὴν τὴν ἡλικίαν συνίεσαν. Ἦν δὲ κατ' ἐπίνοιαν τοῖς τε νέοις καὶ προβεβηκόσιν ἄμιλλα τῆς λύπης. Οἱ μὲν γὰρ εἰδότες οἷου στέροιντο κηδεμόνος, περὶ τοῦ μέλλοντος ἀπεθρήνουν, τοῖς δὲ καὶ περὶ τούτου τὸ πένθος ἦν, καὶ ὅτι μήπω καλῶς τῆς ἀρετῆς

cinatus est, Moyse adhuc præsente : atque omnia expendens quæcunque pro salute populi faceret, tum in bellis tum in pace, dum leges componeret et rectam suppeditaret reipublicæ institutionem, prædixit, prout numen sibi declararet, eos religione in Deum violata mala experturos esse, ita ut terra eorum armis hostilibus oppleretur, et urbes funditus everterentur, et templum incenderetur, et ipsi venditi hominibus servirent, nullam ex calamitatibus eorum misericordiam capturis, ipsos autem, quum hæc paterentur, frustra pœnitentiam acturos esse. Deus tamen, qui vos creavit, civibus vestris et urbes et templum reddet. Fore autem amissionem eorum non semel, sed sæpe.

47. Tum Jesum cohortatus ad exercitum in Chananæos educendum, utpote Deo conatus ejus omnes adjuvante, et universæ multitudini bene ominatus, « quoniam, inquit, « ad majores nostros discedo, et Deus hanc mihi diem dis- « cessus ad illos præfinivit, gratias quidem illi vivus ad- « huc et apud vos præsens me habere profiteor, quum pro « vestri cura, quam non solum pro malorum nostrorum « depulsione gessit, sed et bonorum donatione; tum quod « mihi opitulatus est laboranti et in magna animi solliciti- « tudine versanti pro vestrum in melius mutatione, seque « nobis in omnibus propitium præstitit : potius autem erat « ipse qui et nobis ad ea aggredienda præivit, et exitus lar- « giebatur *felices*, me duce vicario utens et ministro be- « neficiorum, quibus populum vestrum afficere voluit. Pro « quibus æquum esse existimavi, ut Dei potentiam, cui « etiam in posterum vos curæ eritis, decedens collaudem : « et ipse utique hanc gratiam debitam ei reddens, vobis- « que *illud* in memoria relinquens, quod vobis convenit « eum venerari et honorare, et leges omnium, quæ vobis « dedit et propitius manens adhuc daturus est, munus pul- « cherrimum, servare. Equidem nostis quam gravis ho- « stis sit etiam homo legislator, dum leges ei læduntur et « temere spretæ jacent. Nolite vero Deum vobis ob le- « ges neglectas succensentem experiri, quas ipse conditor « vobis dedit. »

48. Hæc autem Moyse ad vitæ exitum loquuto et futura etiam unicuique tribui cum faustis ominibus vaticinato, in lacrimas prorumpit multitudo, ita ut etiam mulieres pectora tundentes dolorem ob eum moriturum ostenderent. Quin et pueri magis etiam plorantes, ut qui ad ægritudinem comprimendam imbecilliores, declarabant se virtutem ejus rerumque gestarum magnitudinem supra quam ætas illa fert intelligere. Erat autem ex animi sensu juvenes inter et grandiores doloris certamen. Hi enim scientes quali duce et præfecto orbarentur, de futuro plorabant; illis vero et de eodem luctus erat, et quod ab eo, virtute ejus

αὐτοῦ γεγευμένοις ἀπολείπεσθαι συνέβαινεν αὐτοῦ. Τὴν δ' ὑπερβολὴν τῆς τοῦ πλήθους οἰμωγῆς καὶ τῶν ὀδυρμῶν τεκμαίροιτο ἄν τις ἐκ τοῦ συμβάντος τῷ νομοθέτῃ. Καὶ γὰρ πεπεισμένος ἅπαντι τῷ χρόνῳ μὴ δεῖν ἐπὶ μελλούσῃ τελευτῇ κατηφεῖν, ὡς κατὰ βούλησιν αὐτὸ πάσχοντας Θεοῦ καὶ φύσεως νόμον, ἐπὶ τοῖς ὑπὸ τοῦ λαοῦ πραττομένοις ἐνικήθη δακρῦσαι. Πορευομένῳ δ' ἔνθεν οὗ ἔμελλεν ἀφανισθήσεσθαι, πάντες εἵποντο δεδακρυμένοι. Καὶ Μωϋσῆς τοὺς μὲν πόρρω τῇ χειρὶ κατασείων μένειν ἠρεμοῦντας ἐκέλευε, τοὺς δ' ἔγγιον λόγοις παρεκάλει, μὴ ποιεῖν αὐτῷ δακρυτὴν τὴν ἀπαλλαγὴν ἑπομένους. Οἱ δὲ καὶ τοῦτ' αὐτῷ χαρίζεσθαι κρίνοντες, τὸ κατὰ βούλησιν ἀπελθεῖν αὐτῷ τὴν ἰδίαν ἐφεῖναι, κατέχουσιν αὐτοὺς ἐν ἀλλήλοις δακρύοντες. Μόνη δ' ἡ γερουσία προὔπεμψεν αὐτὸν καὶ ὁ ἀρχιερεὺς Ἐλεάζαρος καὶ ὁ στρατηγὸς Ἰησοῦς. Ὡς δ' ἐπὶ τῷ ὄρει τῷ Ἀβαρεῖ καλουμένῳ ἐγένετο, (τοῦτο δ' ὑψηλὸν Ἱεριχοῦντος καταντικρὺ κεῖται, γῆν ἀρίστην τῶν Χαναναίων καὶ πλείστην παρέχον τοῖς ἐπ' αὐτοῦ κατοπτεύειν,) ἀπέπεμπε τὴν γερουσίαν. Ἀσπασομένου δὲ καὶ τὸν Ἐλεάζαρον αὐτοῦ καὶ Ἰησοῦν, καὶ προσομιλοῦντος αὐτοῖς ἔτι, νέφους αἰφνίδιον ὑπὲρ αὐτὸν στάντος ἀφανίζεται κατά τινος φάραγγος. Γέγραφε δ' αὐτὸν ἐν ταῖς ἱεραῖς βίβλοις τεθνεῶτα, δείσας μὴ δι' ὑπερβολὴν τῆς περὶ αὐτὸν ἀρετῆς πρὸς τὸ θεῖον αὐτὸν ἀναχωρῆσαι τολμήσωσιν εἰπεῖν.

μθ'. Ἐβίωσε δὲ τὸν πάντα χρόνον ἐτῶν εἴκοσι καὶ ἑκατὸν, ὧν ἦρξε τὸ τρίτον μέρος ἑνὶ λείποντι μηνί. Ἐτελεύτησε δὲ τῷ ὑστάτῳ μηνὶ τοῦ ἔτους, ὑπὸ μὲν Μακεδόνων Δύστρῳ καλουμένῳ, Ἀδάρῳ δὲ ὑφ' ἡμῶν, νουμηνίᾳ, συνέσει τε τοὺς πώποτ' ἀνθρώπους ὑπερβαλὼν καὶ χρησάμενος ἀριστα τοῖς νοηθεῖσιν, εἰπεῖν τε καὶ πλήθεσιν δμιλῆσαι κεχαρισμένος· τά τε ἄλλα καὶ τῶν παθῶν αὐτοκράτωρ, ὡς μηδ' ἐνεῖναί τι τούτων τῇ ψυχῇ δοκεῖν αὐτοῦ, καὶ γινώσκειν μόνον αὐτῶν τὴν προσηγορίαν, ἐκ τοῦ παρ' ἄλλοις αὐτὰ βλέπειν μᾶλλον ἢ παρ' αὐτῷ· καὶ στρατηγὸς μὲν ἐν ὀλίγοις, προφήτης δ' οἷος οὐκ ἄλλος, ὥσθ' ὅ τι ἂν φθέγξαιτο δοκεῖν αὐτοῦ λέγοντος ἀκροᾶσθαι τοῦ Θεοῦ. Πενθεῖ μὲν οὖν αὐτὸν ὁ λαὸς ἐφ' ἡμέρας τριάκοντα. Λύπη δὲ οὐκ ἄλλη κατέσχεν Ἑβραίους τοσαύτη τὸ μέγεθος, ὅση τότε Μωϋσέως ἀποθανόντος. Ἐπόθουν δ' αὐτὸν οὐχ οἱ πειραθέντες αὐτοῦ μόνον, ἀλλὰ καὶ οἱ τοῖς νόμοις ἐντυγχάνοντες αὐτοῦ δεινὴν ἐποιοῦντο τὴν ἐπιζήτησιν, τὸ περιὸν αὐτοῦ τῆς ἀρετῆς ἐκ τούτων λογιζόμενοι. Καὶ τὸ μὲν κατὰ Μωϋσῆν τέλος τοῦτον ἡμῖν δεδηλώσθω τὸν τρόπον.

nondum bene gustata, destitui acciderit. Licet autem alicui populi luctus et lamentationis magnitudinem ex eo conjicere quod legislatori accidit. Quamvis enim per omnem vitam persuasissimum habuit non oportere mœrore dejici ex interitu futuro, ut qui id ex voluntate Dei et naturæ lege paterentur, ea tamen quæ a populo fiebant ei fletum extorserunt. Quum autem inde eo proficisceretur, ubi erat e conspectu evaniturus, cum lacrimis omnes sequebantur. Ac Moyses jubebat ut qui longius quidem aberant quieti manerent, manu id innuens; propiores autem verbis hortabatur, ne se prosequendo decessum sibi lacrimabilem facerent. Illi vero etiam hoc ei concedendum esse existimantes, ut eum arbitratu suo e vita discedere sinerent, cohibent se ipsos inter se collacrimantes. Solus autem senatus eum deduxit, et Eleazarus pontifex, et Jesus imperator. Ut vero in monte Abari vocato constitit, (is autem excelsus e regione Hierichuntis situs est, ascendentibus eum Chananæorum terram optimam et amplissimam præbens despiciendam,) senatum dimisit. Interea vero, dum Eleazarum et Jesum amplecteretur, et adhuc cum eis sermones conferret, nube subito supra eum se demittente, videri desiit, in vallem quandam abreptus. In sacris autem libris scripsit se mortuum esse, veritus ne dicere auderent ipsum propter virtutis suæ magnitudinem ad Deum discessisse.

49. *Vixit autem omnino tempus viginti et centum annorum, quorum per tertiam partem tenuit principatum, dempto uno mense. At decessit ultimo anni mense, qui vocatur a Macedonibus quidem Dystrus, a nobis vero Adarus, novilunii tempore, et ingenio mortales omnes, qui unquam fuerunt, superans, et rebus excogitatis optime usus, miræque eloquentiæ et populo gratissimæ: ceterum ita affectionibus imperans, ut ne inesse quidem ulla earum animo ejus videretur, et nomina illarum magis eo quod illas in aliis hominibus conspiceret quam ex se ipso cognita haberet; et imperator quidem inter primos, vates autem qualis haud alius, ita ut quicquid eloqueretur, Deus ipse loquens audiri putaretur. Eum igitur per triginta dies ploravit populus. Luctus autem tantus magnitudine nunquam Hebræos tenuit, quantus tunc Moyse defuncto. Ipsum vero desiderabant non solum qui eum experti erant, sed et qui in leges ejus inciderint, vehementi ejus desiderio tenebantur, ex illis quam excellenti esset virtute conjicientes. Atque talem in modum a nobis declaratus sit Moysis exitus.*

ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

α'. Ὡς Ἰησοῦς ὁ στρατηγὸς τῶν Ἑβραίων, πολεμήσας πρὸς Χαναναίους καὶ κρατήσας αὐτῶν, τούτους μὲν διέφθειρε, τὴν δὲ γῆν κατακληρουχήσας διένειμε ταῖς φυλαῖς.

β'. Ὡς ἀποθανόντος τοῦ στρατηγοῦ παραβαίνοντες οἱ Ἰσραηλῖται τοὺς πατρίους νόμους μεγάλων ἐπειράθησαν συμφορῶν, καὶ στασιασάντων ἡ Βενιαμὶς διεφθάρη φυλὴ χωρὶς ἀνδρῶν ἑξακοσίων.

γ'. Πῶς μετὰ ταύτην τὴν κακοπραγίαν ἀσεβήσαντας αὐτοὺς ὁ Θεὸς Ἀσσυρίοις ἐδούλωσεν.

δ'. Ἡ διὰ Κενέζου τοῦ Ἀθνιήλου παιδὸς αὐτοῖς ἐλευθερία γενομένη, ἀρξάντος ἔτη τεσσαράκοντα, λεγομένου δὲ παρά θ' Ἕλλησι καὶ Φοίνιξι κριτοῦ.

ε' Ὅτι πάλιν ὁ λαὸς ἡμῶν ἐδούλευσε Μωαβίταις ὀκτωκαίδεκα ἔτη, καὶ ὑπό τινος Ἠούδου τῆς δουλείας ἀπηλλάγη, τὴν ἀρχὴν ἐπ' ἔτη κατασχόντος ὀγδοήκοντα.

ς'. Ὡς Χαναναίων αὐτοὺς καταδουλωσαμένων ἐπ' ἔτη εἴκοσιν ἠλευθερώθησαν ὑπὸ Βαράκου καὶ Δεβώρας, οἳ ἦρξαν αὐτῶν ἐπ' ἔτη τεσσαράκοντα.

ζ. Ὅτι πολεμήσαντες οἱ Ἀμαληκῖται τοῖς Ἰσραηλίταις ἐνίκησάν τε καὶ τὴν χώραν ἐκάκωσαν ἐπ' ἔτη ἑπτά.

η'. Ὡς Γεδεὼν αὐτοὺς ἠλευθέρωσεν ἀπὸ Ἀμαληκιτῶν καὶ ἦρξε τοῦ πλήθους ἐπὶ ἔτη τεσσαράκοντα.

θ'. Ὅτι μετ' αὐτὸν πολλοὶ γενόμενοι διάδοχοι τοῖς πέριξ ἔθνεσιν ἐπολέμησαν ἱκανῷ χρόνῳ.

ι'. Περὶ τῆς Σαμψῶνος ἀνδρείας, καὶ ὅσων κακῶν αἴτιος Παλαιστίνοις ἐγένετο.

ια'. Ὡς οἱ υἱοὶ Ἠλὶ τοῦ ἱερέως ἐσφάγησαν ἐν τῇ πρὸς Παλαιστίνους μάχῃ.

ιβ'. Ὡς ὁ πατὴρ αὐτῶν, ἀκούσας τὴν συμφορὰν, βαλὼν ἑαυτὸν ἀπὸ τοῦ θρόνου ἀπέθανεν.

ιγ'. Ὡς νικήσαντες ἐν τούτῳ τῷ πολέμῳ τοὺς Ἑβραίους οἱ Παλαιστῖνοι καὶ τὴν κιβωτὸν αὐτῶν αἰχμάλωτον παρέλαβον.

Περιέχει ἡ βίβλος χρόνον ἐτῶν τετρακοσίων ἑβδομήκοντα ἓξ.

ΚΕΦ. Α'.

Μωϋσέως δὲ τὸν προειρημένον τρόπον ἐξ ἀνθρώπων ἀπογεγονότος, Ἰησοῦς, ἁπάντων ἤδη τῶν ἐπ' αὐτῷ νενομισμένων τέλος ἐχόντων καὶ τοῦ πένθους λελωφηκότος, παρήγγειλεν ἐπὶ στρατείαν ἕτοιμον εἶναι τὸ πλῆθος. Πέμπει δὲ κατασκόπους εἰς Ἱεριχοῦντα, τήν τε δύναμιν αὐτῶν καὶ τίνα διάνοιαν ἔχουσιν αὐτοὶ γνωσόμενος. Αὐτὸς δὲ ἐξέταξε τὸν στρατὸν, ὡς κατὰ καιρὸν διαβησόμενος τὸν Ἰορδάνην. Ἀνακαλεσάμενος δὲ τοὺς τῆς Ῥουβηλίδος φυλῆς ἄρχοντας καὶ τοὺς τῆς Γάδιδος καὶ Μανασσήτιδος προεστῶτας, (ἐξ ἡμισείας γὰρ καὶ τῇδε τῇ φυλῇ τὴν Ἀμοραίαν κατοικεῖν ἐπετέτραπτο [τῆς Χαναναίων γῆς ἕβδομον οὖσαν μέρος],) ὑπεμίμνησκεν ἃ ὑπέσχηντο Μωϋσῇ, καὶ παρεκάλει χαριζομένους τῇ τε ἐκείνου προνοίᾳ, μηδ' ὅτε ἀπέθνησκε περὶ αὐτοὺς καμούσῃ, τῷ τε κοινῇ συμφέροντι παρέχειν αὐτοὺς εἰς τὰ παραγγελλόμενα προθύμους. Τῶν δ' ἑπομένων ὁπλίταις πεντακισμυρίοις ἀπὸ τῆς Ἀβίλης ἐπὶ τὸν Ἰορδάνην ἐξῆει σταδίους ἑξήκοντα.

β'. Καὶ στρατοπεδεύσαντος εὐθὺς οἱ κατάσκοποι

LIBER QUINTUS.

1. Quomodo Jesus, Hebræorum imperator, bello Chananæis illato iisque devictis, illos quidem internecione delevit, terram vero eorum tribubus sorte divisit.
2. Quomodo imperatore mortuo Israelitæ, patrias leges violantes, magnas experti sunt calamitates, ortaque seditione, tota Benjaminis tribus, præter viros sexcentos, interempta est.
3. Quomodo post hanc afflictionem Deus eos impie agentes Assyriis in servitutem tradidit.
4. Libertas ipsis per Cenezum Athnieli filium reddita, qui et principatum per annos quadraginta tenuit, et apud Græcos et Phœnices judex dictus est.
5. Quomodo populus noster rursum Moabitis servuit, et per Ehudam in libertatem vindicatur, qui imperium tenuit per annos octoginta.
6. Quomodo a Chananæis in servitutem redacti per annos viginti, a Baraco et Debora liberati sunt, qui rerum summæ præerant per annos quadraginta.
7. Quod Amalecitæ, bellum Israelitis inferentes, eos devicerunt, regionemque eorum per septem annos afflixerunt.
8. Quomodo eos ab Amalecitis liberavit Gedeon, populoque imperavit per annos quadraginta.
9. Quod plurimi ei in imperio succedentes cum gentibus circumquaque finitimis longo tempore bellum gesserunt.
10. De Sampsonis fortitudine, quantaque mala Palæstinis intulerit.
11. Quomodo filii Eli sacerdotis a Palæstinis in prælio cæsi sunt.
12. Quomodo pater eorum, audita hac calamitate, semetipsum de sella dejiciens mortem obiit.
13. Quomodo Palæstini in hoc bello, victoria ab Hebræis reportata, etiam arcam eorum captam abstulerunt.

Continet hic liber tempus annorum quadringentorum septuaginta sex.

CAP. I.

Quum autem Moyses, quemadmodum dixi, ex hominibus sublatus esset, Jesus, justis omnibus ei persolutis, luctuque sedato, denunciabat ut populus semet ad expeditionem faciendam pararet. Exploratores etiam in Hierichunta mittit, ut vires eorum et quam ipsi voluntatem haberent, cognosceret. At ille exercitum per ordines explicuit et instruxit, ut tempestive Jordanem trajiceret. Principes vero Rubelidis tribus convocans, atque etiam qui summæ rerum Gadidis atque Manassetidis *tribus* præerant, (nam et hujus tribus dimidiæ parti Amoræam habitare permissum erat [quæ terræ Chananæorum pars septima est],) eos illorum admonebat quæ Moysi polliciti erant, obsecrabatque ut in ejus gratiam, qui ne ultimo quidem vitæ momento eis prospiciendo defessus esset, et propter communem utilitatem alacriter semet ad promissorum fidem liberandam accingerent. Qui quum illum sequerentur, armatis quinquagies mille *militibus*, ab Abila ad Jordanem stadia sexaginta profectus est.

2. Quumque fuisset castra metatus, repente aderant spe-

παρῆσαν, μηδὲν ἀγνοήσαντες τῶν παρὰ τοῖς Χαναναίοις. Λαθόντες γὰρ τὸ πρῶτον ἅπασαν ἐπ' ἀδείας τὴν πόλιν αὐτῶν κατενόησαν, τῶν τε τειχῶν ὅσα καρτερὰ καὶ ὅσα μὴ τοῦτον ἔχοι τὸν τρόπαν αὐτοῖς ἀσφαλῶς, καὶ τῶν πυλίδων αἳ πρὸς εἴσοδον τῷ στρατοπέδῳ δι' ἀσθένειαν συνέφερον· ἡμέλουν δὲ θεωμένων οἱ ἐντυγχάνοντες, καθ' ἱστορίαν ξένοις προσήκουσαν ἀκριβῶς ἕκαστα πολυπραγμονεῖν τῶν ἐν τῇ πόλει νομίζοντες, ἀλλ' οὐχὶ διανοίᾳ πολεμίων. Ὡς δὲ γενομένης ὀψίας ὑποχωροῦσιν εἴς τι καταγώγιον τοῦ τείχους πλησίον, εἰς ὃ καὶ προήχθησαν δειπνοποιησάμενοι, καὶ περὶ ἀπαλλαγῆς αὐτοῖς τὸ λοιπὸν ἡ φροντὶς ἦν, μηνύονται τῷ βασιλεῖ περὶ δεῖπνον ὄντι κατασκεψόμενοί τινες τὴν πόλιν ἀπὸ τοῦ τῶν Ἑβραίων στρατοπέδου παρεῖναι, καὶ ὄντες ἐν τῷ τῆς Ῥαχάβης καταγωγίῳ μετὰ πολλῆς τῆς τοῦ λανθάνειν προνοίας ὑπάρχειν. Ὁ δ' εὐθὺς πέμψας πρὸς αὐτοὺς ἐκέλευσεν ἀγαγεῖν συλλαβόντας, ἵνα βασανίσας μάθοι τί καὶ βουλόμενοι παρεῖεν. Ὡς δ' ἔγνω τὴν ἔφοδον αὐτῶν ἡ Ῥαχάβη, (λίνου γὰρ ἀγκαλίδας ἐπὶ τοῦ τέγους ἔψυχε,) τοὺς μὲν κατασκόπους εἰς ταύτας ἀποκρύπτει, τοῖς δὲ πεμφθεῖσιν ὑπὸ τοῦ βασιλέως ἔλεγεν ὡς ξένοι τινὲς ἀγνῶτες ὀλίγῳ πρότερον ἢ δῦναι τὸν ἥλιον παρ' αὐτῇ δειπνήσαντες ἀπαλλαγεῖεν· οὓς εἰ φοβεροὶ τῇ πόλει δοκοῦσιν, ἢ κίνδυνον τῷ βασιλεῖ φέροντες ἦκον, ἀπόνως εἶναι λαβεῖν διωχθέντας. Οἱ δὲ, τῆς γυναικὸς οὕτως αὐτοὺς ὑπελθούσης, οὐδένα ὑπονοήσαντες δόλον ἀπῆλθον, οὐδ' ἐρευνήσαντες τὸ καταγώγιον. Ἐπεὶ δ' ὁρμήσαντες διώκειν καθ' ἃς ἐνόμιζον αὐτοὺς μάλιστα τῶν ὁδῶν ἀπέρχεσθαι, καὶ κατὰ τὰς εἰς τὸν ποταμὸν φερούσας, οὐδενὶ γνωρίσματι περιετύγχανον, παύονται τοῦ πονεῖν. Τοῦ δὲ θορύβου σταλέντος, ἡ Ῥαχάβη καταγαγοῦσα τοὺς ἄνδρας, καὶ τὸν κίνδυνον, ὃν ὑπὲρ τῆς αὐτῶν ὑπέλθοι σωτηρίας (ἁλοῦσαν γὰρ ἀποκρύπτουσαν αὐτοὺς οὐκ ἂν διαφυγεῖν τὴν ἐκ τοῦ βασιλέως τιμωρίαν, ἀλλὰ πανοικὶ αὐτὴν ἀπολέσθαι κακῶς) παρακαλέσασα διὰ μνήμης ἔχειν, ὅταν ἐγκρατεῖς τῆς Χαναναίων γῆς καταστάντες ἀμοιβὴν ἐκτῖσαι δύνωνται τῆς ἄρτι σωτηρίας, χωρεῖν ἐκέλευεν ἐπὶ τὰ οἰκεῖα, ὁμόσαντας ἢ μὴν σώσειν αὐτὴν καὶ τὰ αὐτῆς, ὅταν τὴν πόλιν ἁλόντες φθείρωσι πάντας τοὺς ἐν αὐτῇ, κατὰ τὸ ψήφισμα τὸ παρ' αὐτοῖς γενόμενον· ταῦτα γὰρ εἰδέναι σημείοις τοῖς ἐκ τοῦ Θεοῦ διδαχθεῖσαν. Οἱ δὲ καὶ περὶ τῶν παρόντων αὐτῇ χάριν ἔχειν ὡμολόγουν, καὶ περὶ τῶν μελλόντων αὖθις ὤμνυον ἔργῳ τὴν ἀμοιβὴν ἀποδώσειν· ἡνίκα δ' ἂν αἴσθηται μελλούσης ἁλίσκεσθαι τῆς πόλεως, συνεβούλευον κτῆσίν τε τὴν αὐτῆς καὶ τοὺς οἰκείους ἅπαντας εἰς τὸ καταγώγιον ἀποθεμένην ἐγκαθεῖρξαι, πρὸ τῶν θυρῶν ἀνατείνασαν φοινικίδας, ὅπως εἰδὼς τὴν οἰκίαν ὁ στρατηγὸς φυλάττηται κακῶς ποιεῖν. « Μηνύσομεν γὰρ αὐτῷ, ἔφασαν, διὰ τὸ σὸν [σώζεσθαι] πρόθυμον. Εἰ δέ τις ἐν τῇ μάχῃ πέσοι τῶν σῶν, σύ τε οὐκ ἂν ἡμῖν ἐπενέγκοις αἰτίαν, τόν τε Θεὸν, ὃν ὀμωμόκαμεν, παραιτούμεθα μηδὲν ὡς ἐπὶ παραβαίνουσι τοὺς ὅρκους δυσχεραῖναι. » Καὶ οἱ μὲν ταῦτα συνθέμενοι ἐχώ-

culatores, nihil eorum quæ apud Chananæos essent nescientes. Primo enim ignoti totam illorum urbem sine metu perlustrarunt, ac mœnia, qua valida erant, et qua parum tuta illis munimenta, portarumque etiam quænam infirmiores opportunum exercitui præberent introitum: qui autem forte obvii erant, *illos* contemplantes neglexerunt, existimantes eos, cognoscendi visendique causa, ut decet peregrinos, curiosis oculis res urbis perspicere, sed nequaquam animo hostili. Ut vero sub vesperam hospitium subierunt prope mœnia *civitatis*, quo perducti erant in cœnam, et jam tum de discessu solliciti esse cœperunt, regi cœnanti indicatum est venisse quosdam e castris Hebræorum ad urbem speculandam, et nunc apud Rachabam divertentes magnam ut abdite lateant curam adhibere. Ille vero confestim *satellites* in eos mittens, comprehensos ad se adduci jussit, ut eos torquendo disceret quo consilio istuc se contulerint. Ut vero aliquid de adventu eorum Rachabæ innotuit, (forte enim lini fasciculos super tectum siccabat,) sub illis quidem speculatores occulit, missis autem a rege dicebat hospites quosdam ignotos paullo ante solis occasum apud se cœnatos discessisse: quos, si metuendi viderentur civitati, aut ad periculum regi moliendum venissent, sine multo labore ab insequentibus comprehendi posse. At illi, muliere eos ita fallente, nihil doli suspicati abierunt, ne explorato quidem hospitio. Quum vero per vias excurrissent, quibus verisimile erat eos discedere, et eas quæ ad flumen ducebant, nullo invento vestigio, a labore *eos persequendi* destiterunt. Sedato autem tumultu, Rachaba viros deducens, et discrimen quod pro eorum salute adiret (se enim in ipsis occultandis deprehensam non posse regis vindictam effugere, sed cum universa domo sua perituram esse) ut in memoria tenerent, obsecrans, quando terra Chananæorum occupata penes eos esset, gratiam pro salute præsenti rependere, eos domum se recipere jubebat, jurisjurandi religione data, ipsam ipsiusque omnia servaturos esse, quum urbe expugnata omnes ejus incolas perimerent, prout ipsis decretum esset: hæc enim se novisse editis a Deo signis edoctam. At illi et de præsentibus gratias ei se habere fatebantur, pariterque de futuris jurabant se ei re ipsa gratiam relaturos esse. Suadebant autem ut, quum urbem captum iri intelligeret, et facultates suas et necessarios omnes in diversorio deponens concluderet, januis lemniscos puniceos appendens, ut imperator, quum domum noverit, ab illa lædenda caveat. « Ipsi enim, dixerunt, *eam* indicabimus, propter tuum [*nos* servandi] studium. Sin vero tuorum aliquis in pugna ceciderit, tute nobis ne vitio vertas, Deumque, per quem juravimus, deprecamur ne nobis *in tali casu* ut jusjurandum violantibus succenseat. » Et illi qui-

ρουν, διὰ τοῦ τείχους καθιμήσαντες ἑαυτοὺς, καὶ διασωθέντες πρὸς τοὺς οἰκείους ἐδήλωσαν ὅσα πράξαντες ἐπὶ τῆς πόλεως ἦκον. Ἰησοῦς τε τῷ ἀρχιερεῖ Ἐλεαζάρῳ καὶ τῇ γερουσίᾳ φράζει τὰ τοῖς σκοποῖς ὁμοσθέντα πρὸς τὴν Ῥαχάβην· οἱ δ' ἐπεκύρουν τὸν ὅρκον.

γ'. Δεδιότος δὲ τοῦ στρατηγοῦ τὴν διάβασιν, (μέγας γὰρ ἦν ὁ ποταμὸς τῷ ῥεύματι, καὶ οὔτε γεφύραις πορευτὸς, οὐ γὰρ ἔζευκτό πω πρότερον, βουλομένους τε γεφυροῦν οὐχ ἕξειν σχολὴν παρὰ τῶν πολεμίων ὑπελάμβανον, πορθμείων τε μὴ τυγχανόντων,) διαβατὸν αὐτοῖς ἐπαγγέλλεται ὁ Θεὸς ποιήσειν τὸν ποταμὸν, μειώσας αὐτοῦ τὸ πλῆθος. Καὶ δύο ἐπισχὼν ἡμέρας Ἰησοῦς διεβίβαζε τὸν στρατὸν καὶ τὴν πληθὺν ἅπασαν τοιούτῳ τρόπῳ. Προῆσαν μὲν οἱ ἱερεῖς τὴν κιβωτὸν φέροντες, ἔπειτα οἱ Λευῖται, τήν τε σκηνὴν καὶ τὰ πρὸς ὑπηρεσίαν ταῖς θυσίαις σκεύη κομίζοντες· εἵποντο δὲ τοῖς Λευίταις κατὰ φυλὰς ὁ πᾶς ὅμιλος, μέσους ἔχων παῖδας καὶ γυναῖκας, δεδιὼς περὶ αὐτῶν μὴ βιασθεῖεν ὑπὸ τοῦ ῥεύματος. Ὡς δὲ τοῖς ἱερεῦσι πρώτοις ἐμβᾶσιν πορευτὸς ἔδοξεν ὁ ποταμὸς, τοῦ μὲν βάθους ἐπεσχημένου, τοῦ δὲ κάχληκος, τῷ μὴ πολὺν εἶναι μηδ' ὀξὺν τὸν ῥοῦν ὥσθ' ὑποφέρειν αὐτὸν τῇ βίᾳ, ἀντ' ἐδάφους κειμένου, πάντες ἤδη θαρσαλέως ἐπεραιοῦντο τὸν ποταμὸν, οἷον αὐτὸν ὁ Θεὸς προεῖπε ποιήσειν, τοιοῦτον κατανοοῦντες. Ἔστησαν δὲ ἐν μέσῳ οἱ ἱερεῖς, ἕως οὗ διαβαίη τὸ πλῆθος καὶ τἀσφαλοῦς ἁψάμενον τύχοι. Πάντων δὲ διαβάντων ἐξῆσαν οἱ ἱερεῖς, ἐλεύθερον ἀφέντες ἤδη τὸ ῥεῦμα χωρεῖν κατὰ τὴν συνήθειαν. Καὶ ὁ μὲν ποταμὸς εὐθὺς ἐκβάντων αὐτὸν τῶν Ἑβραίων ηὔξετο καὶ τὸ ἴδιον ἀπελάμβανε μέγεθος.

δ'. Οἱ δὲ πεντήκοντα προελθόντες στάδια βάλλονται στρατόπεδον ἀπὸ δέκα σταδίων τῆς Ἱεριχοῦντος. Ἰησοῦς δὲ βωμὸν ἐκ τῶν λίθων ὧν ἕκαστος ἀνείλετο τῶν φυλάρχων ἐκ τοῦ βυθοῦ, τοῦ προφήτου κελεύσαντος, ἱδρυσάμενος, τεκμήριον γενησόμενον τῆς ἀνακοπῆς τοῦ ῥεύματος, ἔθυεν ἐπ' αὐτοῦ τῷ Θεῷ, καὶ τὴν Φάσκα ἑώρταζον ἐν ἐκείνῳ τῷ χωρίῳ, πάντων, ὧν αὐτοῖς πρότερον συνέβαινε σπανίζειν, τότε ῥᾳδίως εὐπορουῦντες. Τόν τε γὰρ σῖτον ἀκμάζοντα ἤδη τῶν Χαναναίων ἐθέριζον καὶ τὰ λοιπὰ λείαν ἦγον· τότε γὰρ αὐτοὺς καὶ ἡ τῆς μάννης ἐπελελοίπει τροφὴ, χρησαμένους ἐπὶ ἔτη τεσσαράκοντα.

ε'. Ὡς δὲ ταῦτα ποιούντων τῶν Ἰσραηλιτῶν οὐκ ἐπεξῆσαν οἱ Χαναναῖοι, τειχήρεις δ' ἡσύχαζον, πολιορκεῖν αὐτοὺς Ἰησοῦς ἔγνω. Καὶ τῇ πρώτῃ τῆς ἑορτῆς ἡμέρᾳ τὴν κιβωτὸν οἱ ἱερεῖς φέροντες, (περὶ δ' αὐτὴν ἐν κύκλῳ μέρος τι τῶν ὁπλιτῶν φυλάττον ἦν,) [οἱ] καὶ [προῆσαν] ἑπτὰ κέρασιν [αὐτῶν] σαλπίζοντες [καὶ] παρεκάλουν τὸν στρατὸν εἰς ἀλκὴν, περιώδευόν τε τὸ τεῖχος ἑπομένης καὶ τῆς γερουσίας. Καὶ μόνον σαλπισάντων τῶν ἱερέων, (τούτου γὰρ οὐδὲν ἐποίησαν περαιτέρω,) ἀνέζευξαν εἰς τὸ στρατόπεδον. Καὶ τοῦτο ἐπὶ ἡμέρας ἓξ ποιησάντων, τῇ ἑβδόμῃ τὸ ὁπλιτικὸν Ἰησοῦς συναγαγὼν καὶ τὸν λαὸν ἅπαντα, τὴν ἅλωσιν

dem hæc polliciti abibant, quum se fune de mœnibus demisissent, atque incolumes ad suos reversi iis renunciaverunt quæcunque in urbe gessissent. Tum Jesus Eleazaro pontifici et senatui indicat quæ fuerant ab exploratoribus Rachabæ jurata : atque illi jusjurandum confirmabant.

3. Imperatore autem de trajectu sollicito, (nam pleno tum alveo ferebatur fluvius, et pontibus transiri nequibat, nam nondum iis junctus erat, neque, si ponte jungere vellent, id hostes passuros esse arbitrabantur, neque navium copia erat,) Deus se facturum esse promisit ut fluvius illis trajiceretur, ejus abundantiam imminuendo. Atque Jesus, duobus præteritis diebus, exercitum totamque multitudinem tali modo traduxit. Sacerdotes quidem cum arca præibant : deinde Levitæ *ibant,* tabernaculum gestantes et vasa sacrificiorum ministerio destinata : Levitas autem tributim sequebatur turba universa, infantibus et mulieribus in medio constitutis, illis metuens ne vi fluminis abriperentur. Ut vero sacerdotibus primis ingressis vadari posse visus est fluvius, profunditate quidem ejus inhibita, glarea autem, quod neque multus neque celer fluxus esset ut ipsam vi auferre posset, pavimenti instar jacente, omnes jam audacter fluvium trajecere, qualem eum se facturum esse prædixerat Deus, talem *fieri* animadvertentes. Steterunt autem in medio sacerdotes, donec transiret multitudo et in tuto consisteret. Ubi omnes transierant, egressi sunt sacerdotes, liberum ac solitum cursum fluvio reddentes. Et fluvius quidem statim ut exierant Hebræi auctus est suamque recuperavit magnitudinem.

4. Illi vero quinquaginta stadia progressi castra decem stadiis ab Hierichunte locant. Jesus autem, aram a lapidibus, quos singuli tribuum principes ex alveo propheta jubente sustulerant, exstruens, *posteris* in monumentum fluminis repressi, super eam Deo sacrificavit; Paschatis etiam festum illic loci celebrant, rebus omnibus quibus prius contigerat eos egere, tunc facile abundantes. Nam et segetes Chananæorum maturas tum demetebant et reliqua prædam faciebant : tunc enim et mannæ cibus eos defecerat, quo per annos quadraginta fuerant usi.

5. Quum vero, Israelitis omnia late vastantibus, nullum in eos impetum facerent Chananæi, sed intra mœnia se continerent, eos obsidione premere decrevit Jesus. Et prima die festivitatis sacerdotes arcam gestantes, (eam vero in præsidium armata militum manus cingebat,) et septem cornubus clangentes [qui illos præcedebant], exercitum ad fortitudinem hortabantur, et muros in ambitum circuibant, senatu etiam sequente. Et quum buccinis solummodo sonuissent sacerdotes, (nihil enim hoc amplius faciebant,) ad castra reversi sunt. Cumque per sex continuos dies idem fecissent, septima Jesus, exercitum congregans omnemque populum, lætum illis de urbe capienda nun-

αὐτοῖς τῆς πόλεως εὐηγγελίσατο, ὡς κατ' ἐκείνην τὴν ἡμέραν αὐτοῖς τοῦ Θεοῦ ταύτην παρέξοντος, αὐτομάτως καὶ δίχα τοῦ πόνου τοῦ σφετέρου τῶν τειχῶν κατενεχθησομένων. Κτείνειν μέντοι γε πάνθ' ὅντινα οὖν λάβοιεν παρεκελεύετο, καὶ μήτε κάμνοντας ἀποστῆναι τοῦ φόνου τῶν πολεμίων μήτε ἐλέῳ παραχωρήσαντας φείσασθαι, μήτε περὶ ἁρπαγὴν γενομένους περιορᾶν φεύγοντας τοὺς ἐχθροὺς, ἀλλὰ τὰ μὲν ζῷα πάντα διαφθείρειν, μηδὲν αὐτοὺς εἰς ἰδίαν ὠφέλειαν λαμβάνοντας. Ὅσα δ' ἂν ἄργυρος ἢ καὶ χρυσὸς, ταῦτα ἐκέλευε συγκομίζοντας ἀπαρχὴν ἐξαίρετον τῶν κατωρθωμένων τῷ Θεῷ τηρεῖν, ἐκ τῆς πρώτου ἁλισκομένης πόλεως εἰληφότας· σώζειν δὲ μόνην Ῥαχάβην καὶ τὴν γενεὰν αὐτῆς, διὰ τοὺς γενομένους πρὸς αὐτὴν τοῖς κατασκόποις ὅρκους.

ς'. Ταῦτ' εἰπὼν καὶ διατάξας τὸν στρατὸν προσῆγεν ἐπὶ τὴν πόλιν. Περιήεσαν δὲ πάλιν τὴν πόλιν, ἡγουμένης τῆς κιβωτοῦ καὶ τῶν ἱερέων τοῖς κέρασιν ἐξοτρυνόντων τὴν δύναμιν πρὸς τὸ ἔργον. Καὶ περιελθόντων ἑπτάκις καὶ πρὸς ὀλίγον ἠρεμησάντων, κατέπεσε τὸ τεῖχος, μήτε μηχανῆς μήτε ἄλλης βίας αὐτῷ προσενεχθείσης ὑπὸ τῶν Ἑβραίων.

ζ'. Οἱ δ' εἰσελθόντες εἰς Ἱεριχοῦντα πάντας ἔκτεινον, τῶν ἐν αὐτῇ πρὸς τὴν παράδοξον τοῦ τείχους ἀνατροπὴν καταπεπληγότων καὶ τοῦ φρονήματος αὐτοῖς πρὸς ἄμυναν ἀχρείου γεγονότος. Ἀνῃροῦντο δ' οὖν ἐν ταῖς ὁδοῖς ἀποσφαττόμενοι, καὶ ἐν ταῖς οἰκίαις ἐπικαταλαμβανόμενοι· παρῃτεῖτο δ' οὐδὲν αὐτοὺς, ἀλλὰ πάντες ἀπώλλυντο ἄχρι καὶ γυναικῶν καὶ παιδίων. Καὶ νεκρῶν ἡ πόλις ἦν ἀνάπλεως καὶ διέφυγεν οὐδέν. Τὴν δὲ πόλιν ἐνέπρησαν ἅπασαν καὶ τὴν χώραν. Καὶ τὴν Ῥαχάβην σὺν τοῖς οἰκείοις εἰς τὸ καταγώγιον συμφυγοῦσαν ἔσωσαν οἱ κατάσκοποι, καὶ πρὸς αὐτὸν Ἰησοῦς ἀχθείσῃ χάριν ἔχειν ὡμολόγει τῆς σωτηρίας τῶν κατασκόπων, καὶ μηδὲν τῆς εὐεργεσίας ταύτης ἔλεγεν ἐν ταῖς ἀμοιβαῖς ἧττονα φανήσεσθαι. Δωρεῖται δ' αὐτὴν εὐθὺς ἀγροῖς καὶ διὰ τιμῆς εἶχε τῆς ἁπάσης.

η'. Τῆς δὲ πόλεως εἰ καί τι παρέλθοι τὸ πῦρ, κατέσκαπτε, καὶ κατὰ τῶν οἰκησάντων, εἴ τις πορθηθεῖσαν ἀνεγείρειν ἐθελήσειεν, ἀρὰς ἔθετο, ὅπως θεμελίους μὲν τειχῶν βαλλόμενος στερηθῇ τοῦ πρώτου παιδὸς, τελειώσας δὲ τὸν νεώτατον τῶν παίδων ἀποβάλῃ. Τῆς δὲ ἀρᾶς τὸ θεῖον οὐκ ἠμέλησεν, ἀλλ' ἐν τοῖς ὑστέροις ἀπαγγελοῦμεν τὸ περὶ αὐτὴν πάθος γενόμενον.

θ'. Ἄπειρον δέ τι πλῆθος ἐκ τῆς ἁλώσεως συναθροίζεται ἀργύρου τε καὶ χρυσοῦ καὶ πρὸς ἔτι χαλκοῦ, μηδενὸς παραβάντος τὰ δεδογμένα, μηδ' εἰς ἰδίαν ὠφέλειαν αὐτὰ διαρπασαμένων, ἀλλ' ἀποσχομένων ὡς ἤδη τῷ Θεῷ καθιερωμένων. Καὶ ταῦτα μὲν Ἰησοῦς τοῖς ἱερεῦσιν εἰς τοὺς θησαυροὺς παραδίδωσιν καταθέσθαι. Καὶ ἡ Ἱεριχοῦς μὲν τοῦτον ἀπώλετο τὸν τρόπον.

ι'. Ἄχαρος δέ τις, Ζεβεδίου παῖς ὢν ἐκ τῆς Ἰούδα φυλῆς, εὑρὼν χλαμύδα βασίλειον, ἐκ χρυσοῦ μὲν πᾶσαν ὑφασμένην, μᾶζαν δὲ χρυσοῦ σταθμὸν ἕλκουσαν σίκλων

cium attulit : illa nempe die Deo hanc ipsis tradituro, et mœnibus sponte ac sine militum labore corruituris. Verumtamen illis auctor erat *Jesus* ut omnes quotquot deprehenderent ferro perimerent, et neque lassitudine ab hostium cæde abstinerent, neque misericordia ac lenitate ducti *iis* parcerent, neque circa prædam occupati hostes e manibus elabi sinerent : sed animantia quidem omnia occiderent, nihil in rem suam vertentes. Quicquid vero auri ac argenti *repertum* fuerit, jussit ut istud comportantes in primitias eximias ob rem feliciter gestam Deo servarent *ut* spolia primæ urbis obsidione captæ : solam autem Rachabam cum sua cognatione in tuto collocarent, ob jusjurandum quo sese illi obstrinxerant exploratores.

6. Hæc quum dixisset et exercitum instruxisset, copias urbi admovebat. Urbem autem rursum circuibant, arca præcedente et sacerdotibus cornuum classico militem ad opus incitantibus. Quumque urbe septies circuita paulisper constitissent, mœnia concidere, nec machinis admotis nec ulla vi ab Hebræis adhibita.

7. Illi vero urbem ingressi omnes in ea trucidabant, ut qui inopinata murorum eversione consternati essent animoque defecti ad vim propulsandam. Itaque occidebant in plateis jugulati et in domibus oppressi. Nihil autem eos *a morte* eximebat, sed omnes perempti sunt, usque ad mulieres et infantes. Ac urbs mortuis oppleta est, nihilque effugiebat, sed urbem totam incendio vastarunt simul et regionem. Rachabam vero cum suis in diversorium confugientem periculo eripuerunt exploratores, eique Jesus ad se adductæ gratias se ob servatos speculatores habere professus est, certeque, dicebat, se non eum visum iri, qui pro hoc beneficio paria non referret. Mox autem eam agris donavit et omni in honore habuit.

8. Ceterum si quem urbis locum præteriret ignis, *eum* funditus diruebat, et contra habitatores, si quis vastatam instaurare vellet, diras imprecabatur, nimirum ut fundamenta quidem mœnium jaciens orbaretur filio primogenito, postquam vero absolverit, minimum natu filiorum amitteret. Diras autem non insuper habuit numen, sed in sequentibus calamitatem memorabimus quæ propter ea venerit.

9. Ex urbis autem excidio immensa vis argenti simul et auri, necnon et æris, coacervata est, nemine edictum transgredi auso, aut in proprium emolumentum ea diripere, sed abstinentibus ab rebus omnibus ut jam Deo consecratis. Et has quidem manubias Jesus sacerdotibus in thesauros reponendas tradidit. Ac Hierichuntis quidem eversio in hunc modum se habuit.

10. Acharus vero quidam, Zebediæ filius ex tribu Judæ, quum invenisset chlamydem regiam, totam auro contextam, una cum massula auri pondo siclis ducentis, et durum ad-

διακοσίων, καὶ δεινὸν ἡγησάμενος, ὃ κινδυνεύσας ἤρατο κέρδος, τοῦτο τῆς ἰδίας χρείας ἀφελόμενος δοῦναι φέρων τῷ Θεῷ καὶ μὴ δεομένῳ, ὄρυγμα βαθὺ ποιήσας ἐν τῇ αὐτοῦ σκηνῇ κατώρυξεν εἰς τοῦτο, λήσειν νομίζων ὡς τοὺς συστρατιώτας, οὕτω καὶ τὸν Θεόν.

ια'. Ἐκλήθη δὲ ὁ τόπος, ἐν ᾧ τὸ στρατόπεδον ἔβαλεν Ἰησοῦς, Γάλγαλα· σημαίνει δὲ τοῦτο ἐλευθέριον ὄνομα. Διαβάντες γὰρ τὸν ποταμὸν ἐλευθέρους αὐτοὺς ἤδη ἀπό τε τῶν Αἰγυπτίων καὶ τῆς ἐν τῇ ἐρήμῳ ταλαιπωρίας ἐγίνωσκον.

ιβ'. Μετὰ δ' ὀλίγας ἡμέρας τῆς Ἱεριχοῦντος συμφορᾶς πέμπει τρισχιλίους ὁπλίτας Ἰησοῦς εἰς Ἄνναν πόλιν ὑπὲρ τῆς Ἱεριχοῦντος κειμένην αἱρήσοντας· οἳ συμβαλόντων αὐτοῖς τῶν Ἀννιτῶν τραπέντες ἀποβάλλουσιν ἄνδρας ἓξ καὶ τριάκοντα. Τοῦτ' ἀγγελθὲν τοῖς Ἰσραηλίταις λύπην τε μεγάλην καὶ δεινὴν ἐποίησεν ἀθυμίαν, οὐ κατὰ τὸ οἰκεῖον τῶν ἀπολωλότων, καί τοι γε πάντων ἀνδρῶν ἀγαθῶν καὶ σπουδῆς ἀξίων διεφθαρμένων, ἀλλὰ κατὰ ἀπόγνωσιν. Πιστεύοντες γὰρ ἤδη τῆς γῆς ἐγκρατεῖς εἶναι καὶ σῶον ἕξειν ἐν ταῖς μάχαις τὸν στρατὸν, οὕτω τοῦ Θεοῦ προϋπεσχημένου, τεθαρρηκότας παραδόξως ἑώρων τοὺς πολεμίους. Καὶ σάκκους ἐπενδύντες ταῖς στολαῖς δι' ὅλης τῆς ἡμέρας ἐν δακρύοις ἦσαν καὶ πένθει, τροφῆς οὐδεμίαν ἐπιζήτησιν ποιούμενοι, μειζόνως δὲ τὸ συμβεβηκὸς εἶχον ἀχθόμενοι.

ιγ'. Βλέπων δὲ οὕτως ὁ Ἰησοῦς τήν τε στρατιὰν καταπεπληγυῖαν καὶ περὶ τῶν ὅλων πονηρὰν ἤδη τὴν ἐλπίδα λαμβάνουσαν, παρρησίαν λαμβάνει πρὸς τὸν Θεόν. « Ἡμεῖς γὰρ, εἶπεν, οὐχ ὑπ' αὐθαδίας προήχθημεν ὥστε ταύτην ὑπαγαγέσθαι τοῖς ὅπλοις τὴν « γῆν, ἀλλὰ Μωϋσέως τοῦ σοῦ δούλου πρὸς τοῦθ' ἡμᾶς « ἐξεγείραντος, ᾧ διὰ πολλῶν τεκμηρίων ἐπηγγέλλου « κτήσασθαι παρέξειν ἡμῖν τήνδε τὴν γῆν, καὶ τὸν « στρατὸν ἡμῶν ἀεὶ τῶν πολεμίων ποιήσειν τοῖς ὅπλοις « κρείττονα. Τινὰ μὲν οὖν κατὰ τὰς ὑποσχέσεις ἡμῖν ἀπήντησε τὰς σάς· νῦν δὲ παρὰ δόξαν ἑπταικότες καὶ « τῆς δυνάμεώς τινας ἀποβαλόντες ἐπί τε τούτοις ὡς « οὐ βεβαίων τῶν παρὰ σοῦ καὶ ὧν προεῖπε Μωϋσῆς « ἀχθόμεθα, καὶ χεῖρον ἡ τῶν μελλόντων ἐλπὶς ἡμᾶς « ἀνιᾷ τῇ πρώτῃ πείρᾳ τοιαύτῃ συντυχόντας. Ἀλλὰ « σὺ, δέσποτα, (δύναμις γάρ σοι τούτων ἴασιν εὑρεῖν,) « τό τε παρὸν ἡμῶν λυπηρὸν, νίκην παρασχόμενος, καὶ « τὸ περὶ τῶν αὖθις δύσελπι διακείμενον οὕτω τῆς διανοίας ἔξελε. »

ιδ'. Ταῦτα μὲν Ἰησοῦς ἐπὶ στόμα πεσὼν τὸν Θεὸν ἱκέτευε. Χρηματίσαντος δὲ ἀνίστασθαι τοῦ Θεοῦ καὶ καθαίρειν τὸν στρατὸν, μιάσματος ἐν αὐτῷ γεγονότος, κλοπῆς τε τῶν καθιερωμένων αὐτῷ χρημάτων τετολμημένης, (διὰ γὰρ ταῦτα τὴν νῦν αὐτοῖς ἦτταν συμπεσεῖν, ἀναζητηθέντος δὲ τοῦ δράσαντος καὶ κολασθέντος, νίκην αὐτοῖς ἀεὶ πορίζεσθαι τῶν πολεμίων,) φράζει ταῦτα πρὸς τὸν λαὸν Ἰησοῦς, καὶ καλέσας Ἐλεάζαρον τὸν ἀρχιερέα καὶ τοὺς ἐν τέλει κατὰ φυλὴν ἐκλήρου.

modum existimasset, quod periculo adito invenerit lucrum, istud in sui detrimentum Deo etiam non egenti offerre, foveam profundam intra tentorium suum deprimens, illic defodit, ratus fore ut Deum similiter ac commilitones lateret.

11. Locus autem ubi castra habuit Jesus, vocatus est Galgala : quod nomen libertatem denotat. Nam fluvium trajecti jam semet a miseriis, quas sub Ægyptiis et in deserto pertulerant, liberatos esse senserunt.

12. At paucis diebus a calamitate Hierichunti mittit Jesus tria millia armatorum ad urbem Annam supra Hierichuntem sitam, ut *eam* oppugnarent : qui, Annitis cum illis manus conserentibus, in fugam versi viros triginta sex amiserunt. Quod quum nunciatum fuisset Israelitis, in magnum mœrorem eos conjicit atque consternationem vehementem, non tam propter cognatos amissos, licet omnes qui perierunt viri fortes fuerint et valde æstimandi, quam propter desperationem. Nam quum crederent se jam ea regione potitos et salvum incolumemque in præliis exercitum habituros, Deo hoc illis promittente, contra opinionem hostes elatos videbant. Itaque saccum vestimentis inducentes tota die erant in luctu et lacrimis, de cibo capiendo ne minimum quidem solliciti, ut qui ægerrime quod acciderat tulerunt.

13. Jesus autem videns exercitum ita territum atque animis consternatum, et de rerum summa jam male sperantem, cum fiducia Deum alloquitur. « Nos enim, inquit, « non temeritate et audacia adducti sumus, ut terram hanc « armis in nostram potestatem redigeremus, sed Moyse servo « tuo ad hoc nos incitante, cui multis signis promiseras te « nobis hanc terram possidendam traditurum, teque effe- « cturum ut noster exercitus semper armis hostes superaret. Et quidem nonnulla ceciderunt, sicut tu nobis pol- « licitus es : nunc vero præter opinionem clade accepta, « et parte copiarum cæsa, quasi fides tuis parum constaret « promissis et iis quæ Moyses prædixit, haud leviter af- « fligimur, atque eo magis anxia de futuris spe pendemus, « quod res tam male nobis primo experimento facto evene- « rint. Tu ergo, domine, (potes enim hisce *malis* medici- « nam adhibere,) et præsentem mœrorem victoriam largiens « adime, et desperationem in posterum animo defectis ita « aufer. »

14. Ita quidem Jesus in faciem prolapsus Deum rogabat. Deo autem hoc ei responsum dante, ut surgeret et exercitum lustraret, qui flagitio semet polluerit, rerumque sibi dicatarum furtum facere sustinuerit, (propterea enim hanc illis cladem accidisse, inquisitione autem facta et pœna a sacrilego exacta, victoriam de hostibus semper reportaturos esse,) hæc populo declarat Jesus, et vocato Eleazaro pontifice et magistratibus, sortem per singulas tribus mittebat.

Τούτου δὲ τὸ τετολμημένον ἐκ τῆς Ἰούδα φυλῆς δηλοῦντος, κατὰ φρατρίας πάλιν προτίθησι τὸν κλῆρον ταύτης. Τὸ δὲ ἀληθὲς τοῦ κακουργήματος περὶ τὴν Ἀχάρου συγγένειαν ηὑρίσκετο. Κατ' ἄνδρα δὲ τῆς ἐξετάσεως γιγνομένης λαμβάνουσι τὸν Ἄχαρον. Ὁ δ' οὐκ ἔχων ἔξαρνος εἶναι, δεινῶς αὐτὸν τοῦ Θεοῦ ἐκπεριελθόντος, ὡμολόγει τε τὴν κλοπὴν καὶ τὰ φωρία παρῆγεν εἰς μέσον. Καὶ οὗτος μὲν εὐθὺς ἀναιρεῖται ἐν νυκτὶ ταφῆς ἀτίμου καὶ καταδίκῳ πρεπούσης τυγχάνει.

ιε'. Ἰησοῦς δὲ ἀγνίσας τὸν στρατὸν ἐξῆγεν ἐπὶ τὴν Ἄνναν αὐτοὺς, καὶ νυκτὸς τὰ περὶ τὴν πόλιν ἐνέδραις προλοχίσας ὑπὸ τὸν ὄρθρον συμβάλλει τοῖς πολεμίοις. Τῶν δὲ μετὰ θάρσους αὐτοῖς διὰ τὴν προτέραν νίκην ἐπιόντων, ὑποχωρεῖν προσποιησάμενος, ἕλκει τῷ τρόπῳ τούτῳ μακρὰν αὐτοὺς τῆς πόλεως, διώκειν οἰομένους καὶ ὡς ἐπὶ νίκῃ καταφρονοῦντας· ἔπειτ' ἀναστρέψας τὴν δύναμιν κατὰ πρόσωπον αὐτοῖς ποιεῖ σημεῖά τε δοὺς, ἃ πρὸς τοὺς ἐν ταῖς ἐνέδραις συνετέτακτο, κἀκείνους ἐπὶ τὴν μάχην ἐξανίστησιν. Οἱ δ' εἰσεπήδων εἰς τὴν πόλιν, τῶν ἔνδον περὶ τείχεσιν ὄντων, ἐνίων δὲ καὶ πρὸς θέαν τῶν ἔξω τὴν γνώμην περισπωμένων. Καὶ οἱ μὲν τὴν πόλιν ᾕρουν καὶ πάντας τοὺς ἐντυγχάνοντας ἔκτεινον, Ἰησοῦς δὲ τοὺς προσελθόντας εἰς τὰς χεῖρας βιασάμενος φεύγειν τρέπεται. Συνελαυνόμενοι δὲ ὡς εἰς ἀκέραιον τὴν πόλιν, ἐπεὶ καὶ ταύτην ἐχομένην ἑώρων, καὶ καταπιμπραμένην δμοῦ γυναιξὶ καὶ τέκνοις κατέλαβον, διὰ τῶν ἀγρῶν ᾔεσαν σκεδασθέντες, ἀμύνειν αὐτοῖς ὑπὸ μονώσεως οὐ δυνάμενοι. Τοιαύτης δὲ τῆς συμφορᾶς τοὺς Ἀννίτας καταλαβούσης, παίδων τε ὄχλος ἑάλω καὶ γυναικῶν καὶ θεραπείας καὶ τῆς ἄλλης ἀποσκευῆς ἄπειρόν τι πλῆθος. Ἀγέλας τε βοσκημάτων ἔλαβον οἱ Ἑβραῖοι καὶ χρήματα πολλὰ, (καὶ γὰρ πλούσιον ἦν τὸ χωρίον,) καὶ ταῦτα πάντα τοῖς στρατιώταις Ἰησοῦς διένειμε, γενόμενος ἐν Γαλγάλοις.

ις'. Γαβαωνῖται δὲ κατοικοῦντες ἔγγιστα τοῖς Ἱεροσολύμοις, τά τε τοῖς Ἱεριχουντίοις συμβεβηκότα πάθη καὶ τὰ τοῖς Ἀννίταις δρῶντες, καὶ πρὸς σφᾶς μεταβήσεσθαι τὸ δεινὸν ὑπονοοῦντες, Ἰησοῦν μὲν παρακαλεῖν οὐ διέγνωσαν· οὐδὲ γὰρ τεύξεσθαί τινος τῶν μετρίων ὑπελάμβανον, ἐπ' ὀλέθρῳ τοῦ Χαναναίων ἔθνους παντὸς πολεμοῦντος αὐτούς· Κεφηρίτας δὲ καὶ Καριαθιαριμίτας γείτονας ὄντας αὐτοῖς ἐπὶ συμμαχίαν παρεκάλουν, οὐδ' αὐτοὺς διαφεύξεσθαι τὸν κίνδυνον λέγοντες, εἰ φθάσειαν αὐτοὶ ληφθέντες ὑπὸ τῶν Ἰσραηλιτῶν, συνασπίσαντες δὲ αὐτοῖς διέγνωσαν διαβῆναι τὴν δύναμιν αὐτῶν. Προσδεξαμένων δὲ τοὺς λόγους αὐτῶν, πέμπουσι πρέσβεις πρὸς Ἰησοῦν φιλίαν σπεισομένους, οὓς μάλιστα τῶν πολιτῶν ἐδοκίμαζον ἱκανοὺς πρᾶξαι τὰ συμφέροντα τῷ πλήθει. Οἱ δὲ ὁμολογεῖν αὐτοὺς Χαναναίους ἐπισφαλὲς ἡγούμενοι, διαφεύξεσθαι δὲ τὸν διὰ τοῦτο κίνδυνον ὑπολαμβάνοντες, εἰ λέγοιεν ἑαυτοὺς μὴ προσήκειν κατὰ μηδὲν Χαναναίοις, ἀλλὰ πορρωτάτω τούτων κατοικεῖν, ἥκειν τε κατὰ πίστιν τῆς ἀρετῆς αὐτοῦ πολλὴν ἀνύσαντες ὁδὸν ἔφασκον καὶ τεκμήριον τοῦ λόγου

Hæc autem quum scelus in Judæ tribu commissum esse ostenderet, rursum per familias ejus sors mittebatur. Istud autem maleficium revera perpetratum esse deprehensum est in cognatione Achari. Quum vero viritim inquisitum esset, Acharum capiunt. At ille, quum infitias ire nequisset, Dei indicio graviter illum constringente, et furtum fatebatur et res surreptas in medium proferebat. Et ille quidem statim morte multatus noctu sepulturæ traditur ignominiosæ et qualis publico judicio damnatis tribui solet.

15. Jesus autem, exercitu lustrato, copias ad Annam ducit, et noctu dispositis circa urbem *insidiis prima luce cum* hostibus congreditur. Illi vero quum recenti victoria feroces audacter in Israelitas irruerent, ipse simulata fuga longius illos ab oppido abducit, *hostem* se persequi existimantes, et quasi victoria jam parta insolescentes : deinde conversis copiis obviam illis proficiscitur, et signa dans, de quibus convenerat, iis qui in insidiis erant, illos etiam ad pugnam excivit. *In urbem autem illi irrumpebant, dum cives in*tus circa muros versarentur, aliqui vero et in illis qui egressi fuerant observandis animo essent occupati. Et hi quidem urbem ceperunt, et obvium quemque occiderunt, Jesus vero manus conserentium phalanges perrumpens in fugam vertit. Compulsi autem in urbem quasi *adhuc* integram, quum et ipsam occupatam viderent et cum uxoribus et liberis *incensam* deprehenderent, per agros dispalati oberrabant, ad semetipsos, quod soli essent, defendendos viribus destituti. Postquam vero hujusmodi calamitas Annitis acciderat, multitudo puerorum et mulierum atque mancipiorum capta est, et aliorum vis ingens impedimentorum et sarcinarum. Quin et pecudum greges ceperunt Hebræi multumque pecuniæ, (opulenta enim erat ea regio,) et hæc omnia Jesus, quum esset in Galgalis, inter milites partitus est.

16. Ceterum Gabaonitæ, qui proxime Hierosolyma habitabant, calamitates, quæ Hierichuntinis evenerant atque Annitis, aspicientes, periculumque ad se transiturum esse suspicantes, Jesum *quidem* orare non statuerunt : neque enim quidquam æqui ab eo se impetraturos putabant, qui internecino bello totam Chananæorum gentem persequebatur. Cepheritas autem et Cariathiarimitas, qui vicini eis erant, in societatem invitarunt, dicentes nec ipsos posse periculum evadere, si eos *occuparent Israelitæ* : socia vero cum iis arma conjungentes, decreverunt copias eorum effugere. Illis autem iis quæ dixerant consentientibus, legatos ad Jesum mittunt cum eo amicitiæ fœdus inituros, quos ad ea agenda quæ omnibus expedirent civium maxime idoneos judicabant. At *illi se discrimen adire rati si* sernet Chananæos esse faterentur, hujusmodi autem periculum fugituros esse existimantes, modo dicerent se Chananæos nulla necessitudine attingere, sed sedes longo intervallo ab iis disjunctas habere, aiebantque se fide virtutis ejus adductos venisse, multorum dierum itinere confecto, habitumque suum ejus sermonis veritatis indicium ostendebant :

τούτου τὸ σχῆμα ὑπεδείκνυον· τὰς γὰρ ἐσθῆτας καινὰς ὅτε ἐξήεσαν οὖσας ὑπὸ τοῦ χρόνου τῆς ὁδοιπορίας αὐτοῖς τετρίφθαι· τρυχίνας γὰρ εἰς τὸ ταῦτα πιστοῦσθαι πρὸς αὐτοῦ ἐπίτηδες ἔλαβον. Στάντες οὖν εἰς μέσους ἔλεγον ὡς πεμφθεῖεν ὑπὸ τῶν Γαβαωνιτῶν καὶ τῶν περιοίκων πόλεων, πλεῖστον ἀπεχουσῶν τῆσδε τῆς γῆς, ποιησόμενοι πρὸς αὐτοὺς φιλίαν ἐφ' αἷς πάτριον αὐτοῖς ἐστι συνθήκαις. Μαθόντες γὰρ ἐκ Θεοῦ χάριτος καὶ δωρεᾶς τὴν Χαναναίων αὐτοῖς γῆν κτήσασθαι ὁεδόσθαι, τούτοις τε λίαν ἔλεγον ἥδεσθαι καὶ πολίτας ἀξιοῦν αὐτῶν γενέσθαι. Καὶ οἱ μὲν ταῦτα λέγοντες καὶ ἐπιδεικνύντες τὰ τεκμήρια τῆς ὁδοιπορίας, παρεκάλουν ἐπὶ συνθήκας καὶ φιλίαν τοὺς Ἑβραίους. Ἰησοῦς δὲ πιστεύσας οἷς ἔλεγον, ὡς οὐκ εἶεν τοῦ Χαναναίων ἔθνους, ποιεῖται πρὸς αὐτοὺς φιλίαν, καὶ Ἐλεάζαρος ὁ ἀρχιερεὺς μετὰ τῆς γερουσίας ὄμνυσιν ἕξειν τε φίλους καὶ συμμάχους, καὶ μηδὲν μοχλεύσεσθαι κατ' αὐτῶν ἄδικον, τοῖς ὅρκοις ἐπισυναινέσαντος τοῦ πλήθους. Καὶ οἱ μὲν ὧν ἤθελον τυχόντες ἐξ ἀπάτης ἀπῆεσαν πρὸς ἑαυτούς. Ἰησοῦς δὲ τῆς Χαναναίας στρατεύσας εἰς τὴν ὑπώρειαν, καὶ μαθὼν οὐ πόρρω τῶν Ἱεροσολύμων τοὺς Γαβαωνίτας κατῳκημένους καὶ τοῦ γένους ὄντας τῶν Χαναναίων, μεταπεμψάμενος αὐτῶν τοὺς ἐν τέλει, τῆς ἀπάτης αὐτοῖς ἐνεκάλει. Τῶν δ' οὐκ ἄλλην ἀφορμὴν σωτηρίας ἔχειν ἢ ταύτην προφασιζομένων, καὶ διὰ τοῦτ' ἐπ' αὐτὴν ἐξ ἀνάγκης καταφυγεῖν, συγκαλεῖ τὸν ἀρχιερέα Ἐλεάζαρον καὶ τὴν γερουσίαν· καὶ δημοσίους αὐτοὺς δικαιούντων ποιεῖν ἐπὶ τῷ μὴ παραβῆναι τὸν ὅρκον, ἀποδεικνύουσιν εἶναι τοιούτους. Καὶ οἱ μὲν τῆς καταλαβούσης αὐτοὺς συμφορᾶς τοιαύτην φυλακὴν καὶ ἀσφάλειαν ηὕραντο.

ιζ'. Τοῦ δὲ τῶν Ἱεροσολυμιτῶν βασιλέως χαλεπῶς φέροντος ἐπὶ τῷ μετατάξασθαι πρὸς τὸν Ἰησοῦν τοὺς Γαβαωνίτας, καὶ τοὺς τῶν πλησίον ἐθνῶν παρακαλέσαντος βασιλέας συνάρασθαι τῷ κατ' αὐτῶν πολέμῳ, τούτους παρόντας σὺν αὐτῷ (τέσσαρες δὲ ἦσαν) οἱ Γαβαωνῖται ἰδόντες καὶ στρατοπεδευσαμένους ἐπί τινι πηγῇ τῆς πόλεως οὐκ ἄπωθεν παρασκευάζεσθαι πρὸς πολιορκίαν, ἐπεκαλοῦντο σύμμαχον Ἰησοῦν. Ἐν τούτοις γὰρ ἦν αὐτοῖς τὰ πράγματα, ὡς ὑπὸ μὲν τούτων ἀπολεῖσθαι προσδοκᾶν, ὑπὸ δὲ τῶν ἐπ' ὀλέθρῳ τοῦ Χαναναίων γένους στρατευσάντων σωθήσεσθαι διὰ τὴν γενομένην φιλίαν ὑπολαμβάνειν. Καὶ Ἰησοῦς πανστρατιᾷ σπεύσας ἐπὶ τὴν βοήθειαν, καὶ δι' ἡμέρας καὶ νυκτὸς ἀνύσας, ὄρθριος οὐ προσμένουσι πολεμίοις ἐμπίπτει, καὶ τραπεῖσιν εἵπετο διώκων διὰ χωρίων ἐπικλινῶν· Βήθωρα καλεῖται. Ἔνθα καὶ τὴν τοῦ Θεοῦ συνεργίαν ἔμαθεν, ἐπισημήναντος αὐτοῦ βρονταῖς τε καὶ κεραυνῶν ἀφέσει καὶ χαλάζης καταφορᾷ μείζονος τῆς συνήθους. Ἔτι γε μὴν καὶ τὴν ἡμέραν αὐξηθῆναι πλέον, ὡς ἂν μὴ καταλαβοῦσα νὺξ ἐπισχῇ τὴν τῶν Ἑβραίων προθυμίαν, συνέπεσεν. Ὥστε καὶ λαμβάνει τοὺς βασιλέας Ἰησοῦς ἔν τινι κρυπτομένους σπηλαίῳ κατὰ Μακκηδά, καὶ κολάζει πάντας. Ὅτι δὲ τὸ μῆκος τῆς

nam vestes, quas domo exeuntes novas induissent, immensa viarum spatia peragrando detritas esse : cilicia enim data *opera sumpserant, ut ab eo fidem verbis impetrarent.* Stantes ergo in medio dicebant se missos a Gabaonitis et vicinis civitatibus, ab ea terra longe dissitis, cum illis amicitias juncturos fœderibus ritu patrio receptis. Nam intelligentes quod Dei gratia et munere illis concessum sit Chananæorum terram possidere, se *iis* ea de re valde gratulari dicebant, enixeque petere ut ab iis in civium numero habeantur. Et illi quidem ista loquentes, atque itineris indicia ostendentes, orabant Hebræos ut cum illis fœdera sancirent et amicitiam. Jesus autem dictis eorum credens, ut qui non essent de gente Chananæorum, eos in amicitiam recipit : et Eleazarus pontifex cum senatu juravit habituros se eos pro amicis et sociis, et nihil injusti contra eos molituros, in istud jusjurandum consentiente populo. Ac illi quidem dolo malo voti compotes ad suos reversi sunt. Jesus autem quum exercitum in submontanum Chananæorum tractum duxisset, et audisset Gabaonitas non longe ab Hierosolymis habitare et a Chananæis oriundos, magistratibus eorum accersitis, fraudis eos incusabat. Quum autem sibi non aliam ad salutem viam patere prætenderent, ideoque necessitate adactos hoc sibi effugium quæsivisse, Eleazarum pontificem et senatum convocat : eisque censentibus publicis ministeriis deputandos esse, ne fidem jurejurando datam violarent, operis hisce eos addixerunt. Et illi quidem, ab imminente calamitate hoc modo caverunt et tutos se præstiterunt.

17. Ceterum quum rex Hierosolymitarum indigne ferret Gabaonitas ad Jesum defecisse, et vicinarum gentium reges ad bellum simul contra eos gerendum accivisset, Gabaonitæ istos ei adesse videntes, (quattuor autem erant,) castrisque circa fontem quendam non longe ab urbe positis ad oppugnationem sese parare, Jesum in auxilium advocabant. Nam eo tum res eorum devenerant, ut ab his quidem perniciem exspectarent, ab illis vero, qui in Chananæorum gentis excidium bellum moverant, salvari se propter initas amicitias existimarent. Tum Jesus cum toto exercitu ut *illis* succurreret properans, die noctuque itinere continuato, hostes summo mane non exspectantes aggreditur ; quumque terga vertissent, per regionis declivia fugientes est persequutus. Bethora *is locus* dicitur. Atque illic Deum sibi in auxilium venisse didicit, manifesto indicio, quod tonitrua et fulmina missa fuerint et grando deciderit solito major. Quin et illud præterea contigit, quod dies producta est, ne a nocte appetente reprimeretur Hebræorum impetus. Quo factum est ut Jesus reges apud Maccela deprehenderit in spelunca quadam abditos, omnesque pœna affecerit. Quod vero longitudo diei eo tempore incremen-

ἡμέρας ἐπέδωκε τότε καὶ τοῦ συνήθους ἐπλεόνασε δηλοῦται διὰ τῶν ἀνακειμένων ἐν τῷ ἱερῷ γραμμάτων.

ιη'. Κατεστραμμένων δ' οὕτω τῶν περὶ τοὺς βασιλέας, οἳ τοὺς Γαβαωνίτας πολεμήσαντες ἐστράτευσαν, ἐπανῆει πάλιν τῆς Χαναναίας ἐπὶ τὴν ὀρεινὴν Ἰησοῦς, καὶ πολὺν τῶν ἐν αὐτῇ φόνον ἐργασάμενος καὶ λείαν λαβὼν παρῆν εἰς τὸ ἐν Γαλγάλοις στρατόπεδον. Τοῦ δὲ περὶ τῆς Ἑβραίων ἀρετῆς λόγου πολλοῦ φοιτῶντος εἰς τοὺς περιοίκους, κατάπληξις εἶχε τοὺς ἀκούοντας τὸ τῶν ἀπολωλότων πλῆθος, καὶ στρατεύουσιν ἐπ' αὐτοὺς οἱ περὶ Λίβανον ὄρος βασιλεῖς ὄντες Χαναναῖοι, καὶ οἱ ἐν τοῖς πεδινοῖς τῶν Χαναναίων, Παλαιστίνους προσλαβόντες, στρατοπεδεύουσι πρὸς Βηρώθῃ πόλει τῆς Γαλιλαίας τῆς ἄνω, Κεδέσης οὐ πόρρω· Γαλιλαίων δέ ἐστι καὶ τοῦτο τὸ χωρίον. Τοῦ δὲ στρατοῦ παντὸς ὁπλιτῶν μὲν ἦσαν μυριάδες τριάκοντα, μύριοι δ' ἱππεῖς καὶ ἅρματα δισμύρια. Καταπλήττει δὴ τὸ πλῆθος τῶν πολεμίων αὐτόν τε Ἰησοῦν καὶ τοὺς Ἰσραηλίτας, καὶ πρὸς τὴν ἐλπίδα τοῦ κρείττονος εὐλαβεστέρως εἶχον δι' ὑπερβολὴν τοῦ δέους. Τοῦ Θεοῦ δ' ἐξονειδίσαντος αὐτοῖς τὸν φόβον καὶ εἰ πλέον τῆς παρ' αὐτοῦ βοηθείας ποθοῦσιν, ὑποσχομένου τε νικήσειν τοὺς ἐχθροὺς καὶ κελεύσαντος τούς τε ἵππους ἀχρήστους ποιῆσαι καὶ τὰ ἅρματα πυρῶσαι, θαρσαλέος πρὸς τὰς ὑποσχέσεις τοῦ Θεοῦ γενόμενος ἐξώρμησεν ἐπὶ τοὺς πολεμίους, καὶ διὰ πέμπτης ἡμέρας ἐπ' αὐτοὺς ἐλθὼν συνάπτει, καὶ καρτερὰ μάχη γίνεται, καὶ φόνος κρείττων πίστεως παρὰ τοῖς ἀκροωμένοις. Διώκων δ' ἐπὶ πλεῖστον ἐξῆλθε, καὶ πᾶν τὸ στράτευμα τῶν ἐχθρῶν πλὴν ὀλίγων διέφθειρεν. Καὶ οἱ βασιλεῖς πάντες ἔπεσον· ὥστε τῶν ἀνθρώπων ἐπιλελοιπότων πρὸς τὸ κτείνεσθαι τοὺς ἵππους Ἰησοῦς αὐτῶν ἀνῄρει καὶ τὰ ἅρματα ἐνεπίμπρα, τήν τε χώραν ἐπ' ἀδείας διεπορεύετο, μηδενὸς τολμῶντος εἰς μάχην ἐπεξελθεῖν, ἀλλὰ πολιορκίᾳ τὰς πόλεις αἱρῶν καὶ πάλιν ὅ τι λάβοι φονεύων.

ιθ'. Ἔτος δὲ πέμπτον ἤδη παρεληλύθει, καὶ Χαναναίων οὐκέτ' οὐδεὶς ὑπελέλειπτο, πλὴν εἰ μή τινες ἐχυρότητι τειχῶν διέφυγον. Ἰησοῦς δὲ ἐκ τῶν Γαλγάλων ἀναστρατοπεδεύσας εἰς τὴν ὀρεινὴν ἱστᾷ τὴν ἱερὰν σκηνὴν κατὰ Σιλοῦν πόλιν· (ἐπιτήδειον γὰρ ἐδόκει τὸ χωρίον διὰ κάλλος, ἕως ἂν οἰκοδομεῖν ναὸν αὐτοῖς τὰ πράγματα παράσχῃ·) καὶ χωρήσας ἐντεῦθεν ἐπὶ Σικίμων σὺν ἅπαντι τῷ λαῷ βωμόν τε ἵστησιν ὅπου προεῖπε Μωϋσῆς καὶ νείμας τὴν στρατιὰν ἐπὶ μὲν τῷ Γαριζὶν ὄρει τὴν ἡμίσειαν ἵστησιν μοῖραν, ἐπὶ δὲ τῷ Γιβάλῳ τὴν ἡμίσειαν, ἐν ᾧ καὶ ὁ βωμός ἐστι, καὶ τὸ Λευϊτικὸν καὶ τοὺς ἱερέας. Θύσαντες δὲ καὶ ἀρὰς ποιησάμενοι, καὶ ταύτας ἐπὶ τῷ βωμῷ γεγραμμένας καταλιπόντες εἰς τὴν Σιλοῦν ἀνέζευξαν.

κ'. Ἰησοῦς δ' ἤδη γηραιὸς ὢν καὶ τὰς τῶν Χαναναίων πόλεις ὁρῶν οὐκ εὐάλωτους ὑπό τε τῆς τῶν χωρίων ἐν οἷς ἦσαν ἐχυρότητος καὶ τῆς τῶν τειχῶν ἰσχύος, ἃ τῇ φυσικῇ τῶν πόλεων πλεονεξίᾳ προσπεριβαλλόμενοι πρόσεδόκων τοὺς πολεμίους ἀφέξεσθαι πολιορκίας ὅτ'

tum ceperit et ultra consuetum creverit, palam est ex *sacris* literis in archivis templi repositis.

18. Regibus autem in hunc modum debellatis, qui Gabaonitas armis invaserant, in Chananææ montana reversus est Jesus : ibique magna cæde edita prædaque abacta, ad castra in Galgalis sese recepit. At quum fama de virtute Hebræorum in omnium ore atque sermone apud gentes vicinas percrebresceret, audita cæsorum multitudine attoniti hæserunt, ac reges Libanum montem accolentes, et ipsi Chananæi generis, expeditionem in eos susceperunt, quique in campestribus habitarunt Chananæi, Palæstinis adscitis, castra metarunt ad Berotham, oppidum Galilææ superioris, non procul a Cedesa : hic autem locus Galilæorum ditionis est. Totus autem exercitus constabat peditum trecentis millibus, equitum vero decem millibus, et curruum millibus viginti. Timore itaque perterruit hostium multitudo et Jesum ipsum et Israelitas, et propter metus magnitudinem vix ausi erant meliora sperare. Deo autem eis formidinem exprobrante, et si *quid* majus ope et auxilio desiderent ipsius, atque eis pollicente victoriam de hostibus, jubenteque ut eorum equis poplites succiderent et currus igne cremarent, concepta ex Dei promissis fiducia, contra hostes profectus est, dieque quinta illis supervenienti acie concurrit, et acriter pugnatum est, eaque strages edita quæ omnem audientium fidem superat. Effusos autem longe persequitur, demptisque paucis totum hostium exercitum interimit. Reges etiam ad unum omnes ceciderunt : adeo ut hominibus ad cædem deficientibus, equos eorum necaverit et currus igne absumpserit. Regionem deinde universam, nemine ad pugnam exire audente, secure peragrabat, urbes obsidione capiens, item quicquid deprehenderet occidens.

19. Jam vero exactus erat annus quintus, nec quisquam Chananæorum amplius supererat, nisi si qui murorum firmitate effugerant. Jesus autem, motis castris ex Galgalis, in montanis collocavit sacrum tabernaculum ad urbem Siluntem; (opportunus enim atque idoneus videbatur locus, propter amœnitatem, donec templum ædificari res Israelitarum paterentur;) atque inde cum omni populo Sicima profectus et altare statuit ubi Moyses præceperat, et dein exercitu diviso, in monte quidem Garizin dimidium ejus constituit, dimidium vero alterum in Gibalo, ubi et altare est, et Levitas et sacerdotes. Quum autem sacra fecissent et diras vibrassent, easque aræ inscriptas reliquissent, in Siluntem sunt reversi.

20. Ceterum Jesus jam ætate provectus urbesque Chananæorum expugnatu difficiles *esse* videns, tum ob locorum ubi sitæ erant munimenta, tum ob valida murorum præsidia, quibus ad urbes egregie natura munitas in circuitum adjectis exspectabant ut hostes ab obsidione absti-

ἀπόγνωσιν τοῦ λαβεῖν, (καὶ γὰρ ἐπ' ὀλέθρῳ τῷ ἑαυτῶν οἱ Χαναναῖοι μαθόντες τοὺς Ἰσραηλίτας ποιησαμένους τὴν ἔξοδον τὴν ἀπ' Αἰγύπτου, πρὸς τῷ τὰς πόλεις καρτερὰς ποιεῖν ἐκεῖνον ἅπαντ' ἦσαν τὸν χρόνον,) συναγαγὼν τὸν λαὸν εἰς τὴν Σιλοῦν ἐκκλησίαν παραγγέλλει. Καὶ σπουδῇ συνδραμόντων, τά τε ἤδη κατωρθωμένα καὶ τὰς γεγενημένας πράξεις, ὡς εἰσὶν ἄρισται καὶ τοῦ θείου τοῦ παρασχόντος αὐτὰς ἄξιαι καὶ τῆς ἀρετῆς τῶν νόμων οἷς κατακολουθοῦσιν, ἔλεγε, βασιλεῖς τε τριάκοντα καὶ ἕνα, τολμήσαντας αὐτοῖς εἰς χεῖρας ἐλθεῖν, κεχρατῆσθαι δηλῶν καὶ στρατιὰν, ὅση ποτὲ κατελπίσασα τῆς αὐτῶν δυνάμεως εἰς μάχην συνῆψεν, ἅπασαν διαφθαρεῖσαν, ὡς μηδὲ γενεὰν αὐτοῖς ὑπολελεῖφθαι. Τῶν δὲ πόλεων ἐπειδήπερ αἱ μὲν ἑαλώκεσαν, πρὸς ἃς δὲ δεῖ χρόνου καὶ μεγάλης πολιορκίας, διὰ τὴν τῶν τειχῶν ὀχυρότητα καὶ τὴν ἐπὶ ταύτῃ τῶν οἰκητόρων πεποίθησιν, ἠξίου τοὺς ἐκ τῆς περαίας τοῦ Ἰορδάνου συνεξορμήσαντας αὐτοῖς καὶ τῶν κινδύνων συναραμένους, ὄντας συγγενεῖς, ἀπολύειν ἤδη πρὸς τὰ οἰκεῖα, χάριν αὐτοῖς ὧν συνέκαμον ὁμολογοῦντας· ἕνα τε κατὰ φυλὴν, ἀρετῇ προὔχειν μαρτυρηθέντα, πέμπειν, οἳ τὴν γῆν ἐκμετρησόμενοι πιστῶς καὶ μηδὲν κακουργήσοντες δηλώσουσιν ἡμῖν ἀδόλως αὐτῆς τὸ μέγεθος.

κα'. Καὶ Ἰησοῦς μὲν, τούτους ποιησάμενος τοὺς λόγους, συγκάταινον ἔσχε τὸ πλῆθος, καὶ ἄνδρας τοὺς ἐκμετρησομένους τὴν χώραν αὐτῶν ἐξέπεμψε, παραδοὺς αὐτοῖς τινας γεωμετρίας ἐπιστήμονας, οὓς τἀληθὲς οὐκ ἔμελλε λήσεσθαι διὰ τὴν τέχνην, ἐντολὰς δοὺς ἀποτιμήσασθαι τῆς τε εὐδαίμονος ἰδίᾳ τὸ μέτρον γῆς καὶ τῆς ἧσσον ἀγαθῆς. Ἡ γὰρ φύσις τῆς Χαναναίων γῆς τοιαύτη τίς ἐστιν ὡς ἰδοί τις ἂν πεδία μεγάλα καὶ καρποὺς φέρειν ἱκανώτατα καὶ συγκρινόμενα μὲν ἑτέρᾳ γῇ πανευδαίμονα νομισθησόμενα, τοῖς δὲ Ἱεριχουντίων χωρίοις παραβαλλόμενα καὶ τοῖς Ἱεροσολυμιτῶν τὸ μηδὲν ἂν φανησόμενα. Καίτοι παντελῶς ὀλίγην αὐτῶν εἶναι τὴν γῆν συμβέβηκε, καὶ ταύτης ὀρεινὴν τὴν πολλὴν, ἀλλ' ὑπερβολὴν εἰς καρπῶν ἐκτροφήν τε καὶ κάλλος οὐκ ἀπολέλοιπεν ἑτέραις. Καὶ διὰ τοῦτο τιμητοὺς μᾶλλον ἢ μετρητοὺς τοὺς κλήρους εἶναι δεῖν ὑπέλαβε, πολλάκις ἑνὸς πλέθρου κἂν χιλίων ἀνταξίου γενομένου. Οἱ δὲ ἄνδρες οἱ πεμφθέντες, (δέκα δὲ ἦσαν,) περιοδεύσαντές τε καὶ τιμησάμενοι τὴν γῆν, ἐν ἑβδόμῳ μηνὶ παρῆσαν πρὸς αὐτὸν εἰς Σιλοῦντα πόλιν, ἔνθα τὴν σκηνὴν ἐστάκεισαν.

κβ'. Καὶ Ἰησοῦς Ἐλεάζαρόν τε καὶ τὴν γερουσίαν σὺν τοῖς φυλάρχοις παραλαβὼν νέμει ταῖς ἐννέα φυλαῖς καὶ τῶν Μανασσητῶν τοῖς ἡμίσεσι, κατὰ μέγεθος ἑκάστης τῶν φυλῶν τὴν μέτρησιν ποιησάμενος. Κληρώσαντος δὲ αὐτοῦ, ἡ μὲν Ἰούδα λαχοῦσα πᾶσαν αἱρεῖται τὴν καθύπερθεν Ἰουδαίαν, παρατείνουσαν μὲν ἄχρι τῶν Ἱεροσολύμων, τὸ δ' εὖρος ἕως τῆς Σοδομίτιδος λίμνης καθήκουσαν. Ἐν δὲ τῷ κλήρῳ τούτῳ πόλεις ἦσαν Ἀσκάλων καὶ Γάζα. Συμεωνὶς δὲ (δευτέρα γὰρ ἦν) ἔλαχε τῆς Ἰδουμαίας τὴν Αἰγύπτῳ τε καὶ τῇ Ἀραβίᾳ

rent, de iis potiundis desperantes, (nam Chananæi, cognito Israelitas in excidium suum ex Ægypto egressos esse, toto illo tempore in oppidis muniendis occupati fuerant,) conventu populi in Siluntem indicto concionem advocat. Quumque frequens concursus factus esset, eis recensuit quæ ad id temporis prospere evenerant, utque res quas gesserant pulcerrimæ essent et quales par erat Dei auspiciis geri, legumque quas amplexi essent dignitati convenientes : præterea commemorans reges triginta et unum, qui manus conserere ausi sint, prælio superatos, et exercitum, qui viribus suis aliquando fisus cum illis acie dimicaverit, totum internecione ita deletum, ut ne soboles quidem iis superesset. Ceterum quoniam ex urbibus aliæ quidem captæ essent, aliæ vero, ob murorum firmitudinem et incolarum in ea fiduciam, diuturnam validamque oppugnationem postularent, censebat eos qui ex regione Transjordaniana in communem expeditionem profecti fuerant et propter cognationem periculorum socios se adjunxerant, jam domum remittendos, gratiis pro ope ipsis et auxilio relatis : deinde ex singulis tribubus singulos, qui virtutis suæ præcellentis testimonium acciperent, delegandos, qui regionem bona fide permensi, omnique procul habita malitia, nobis sine dolo magnitudinem ejus renunciabunt.

21. Et Jesus quidem, quum hæc verba fecisset, populum universum sibi assentientem habuit, moxque viros ad terram illorum dimetiendam emisit, adjunctis ad eos quibusdam geometriæ peritis, quibus propter artem verum ignotum non erat futurum : mandans eis ut terræ felicis seorsum et minus bonæ mensuram æstimarent. Telluris enim Chananæorum natura ejusmodi est ut videre liceat campos magnos, eosque fructibus edendis aptissimos, qui alii quidem terræ collati fertilissimi haberi possint, at si cum Hierichuntiorum aut Hierosolymitanorum agris conferantur, nihil fere appariturі sunt. Ac quanquam iis accidit ut exiguum admodum terræ spatium incolerent, idque maxima ex parte montanum, eximia tamen fertilitate et pulcritudine nulli alii cedit. Quamobrem arbitrabatur ut magis ex æstimatione quam ex mensura sortitio fieri deberet, quum sæpe unum jugerum millenis contra non carum sit. At viri qui missi fuerant, (decem autem erant,) terra perlustrata et æstimata, septimo mense ad eum in Siluntem urbem reversi sunt, ubi tabernaculum constituerant.

22. Tum Jesus assumpto Eleazaro cum senatu et tribuum principibus divisit *regionem* novem tribubus et Manassitarum dimidiæ, cuique tribui agri portionem pro ejus magnitudine partitus. Quum iis sortitus esset, Judæ quidem sorte obtigit omnis superior Judæa Hierosolyma usque protensa, latitudine vero lacum Sodomiticum attingens. In hac autem sorte urbes erant Ascalon et Gaza. Symeonis vero tribui (nam secunda erat) obvenit Idumææ pars Æ-

πρόσορον οὖσαν. Βενιαμῖται δὲ τὴν ἀπὸ Ἰορδάνου ποταμοῦ ἔλαχον ἄχρι θαλάσσης μὲν τὸ μῆκος, τὸ δὲ πλάτος Ἱεροσολύμοις ὁριζομένην καὶ Βεθήλοις. Στενότατος δὲ ὁ κλῆρος οὗτος ἦν διὰ τὴν τῆς γῆς ἀρετήν· Ἱεριχοῦντα γὰρ καὶ τὴν Ἱεροσολυμιτῶν πόλιν ἔλαβον. Ἡ δ' Ἐφραίμου φυλὴ τὴν ἄχρι Γαδάρων ἀπὸ Ἰορδάνου ποταμοῦ μηκυνομένην ἔλαχεν, εὐρεῖαν δὲ ὅσον ἀπὸ Βεθήλων εἰς τὸ μέγα τελευτᾷ πεδίον. Τῆς δὲ Μανασσήτιδος οἱ ἡμίσεις ἀπὸ μὲν Ἰορδάνου μέχρι Δώρων πόλεως, πλάτος δὲ ἐπὶ Βηθσάνων, ἣ νῦν Σκυθόπολις καλεῖται. Καὶ μετὰ τούτους Ἰσάχαρις, Κάρμηλον τὸ ὄρος καὶ τὸν ποταμὸν τοῦ μήκους ποιησαμένη τέρματα, τὸ δ' Ἰταβύριον ὄρος τοῦ πλάτους. Ζαβουλωνῖται δὲ τὴν μέχρι Γεννησαρίτιδος λίμνης, καθήκουσαν δὲ περὶ Κάρμηλον καὶ θάλασσαν ἔλαχον. Τὴν δὲ ἀπὸ τοῦ Καρμήλου κοιλάδα προσαγορευομένην διὰ τὸ καὶ τοιαύτην εἶναι, Ἀσηρῖται φέρονται πᾶσαν τὴν ἐπὶ Σιδῶνος τετραμμένην. Ἄρκη δὲ πόλις ὑπῆρχεν αὐτῶν ἐν τῇ μερίδι, ἣ καὶ Ἐκδίπους. Τὰ δὲ πρὸς τὰς ἀνατολὰς τετραμμένα μέχρι Δαμασκοῦ πόλεως καὶ τῆς Γαλιλαίας τὰ καθύπερθεν Νεφθαλῖται παρέλαβον, ἕως τοῦ Λιβάνου ὄρους καὶ τῶν τοῦ Ἰορδάνου πηγῶν, αἳ τὴν ὁρμὴν ἐκ τοῦ ὄρους ἔχουσι τούτου, καθήκοντος τοῖς ὅροις κατὰ τὰ βόρεια πόλεως Ἄρκης παροικούσης. Δανῖται δὲ τῆς κοίλης ὅσα πρὸς δυόμενον τέτραπται τὸν ἥλιον λαγχάνουσιν, Ἀζώτῳ καὶ Δώροις ὁριζόμενοι, Ἰάμνειάν τε πᾶσαν καὶ Γέτταν, ἀπ' Ἀκάρωνος ἕως τοῦ ὄρους ἐξ οὗ ἡ Ἰούδα ἤρκτο φυλή.

κγ'. Καὶ ἓξ ἃ ἴσμεν ἔθνη τῶν υἱῶν τοῦ Χαναναίου φέροντα τὴν ἐπωνυμίαν διεῖλεν οὗτος Ἰησοῦς, καὶ τὴν γῆν ταῖς ἐννέα καὶ τῇ ἡμισείᾳ φυλαῖς ἔδωκε νέμεσθαι· τὴν γὰρ Ἀμορῖτιν, καὶ αὐτὴν οὕτως ἀφ' ἑνὸς τῶν Χαναναίου παίδων καλουμένην, Μωϋσῆς ἤδη προειληφὼς νενεμήκει ταῖς δυσὶ φυλαῖς καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ· τοῦτο δὲ καὶ πρότερον δεδηλώκειν. Τὰ δὲ περὶ Σιδῶνα καὶ Ἀρουκαίους καὶ Ἀμαθαίους καὶ Ἀριδέους ἀδιακόσμητα ἦν.

κδ'. Ἰησοῦς δὲ, τοῦ γήρως ἐμποδίζοντος ἤδη πράττειν ὅσα καὶ νοήσειε, τῶν τε μετ' αὐτὸν τὴν ἡγεμονίαν παραλαβόντων ἀμελῶς προστάντων τοῦ κοινῇ συμφέροντος, παρήγγειλε φυλῇ ἑκάστῃ, τοῦ γένους τῶν Χαναναίων μηδὲν ὑπολείπειν ἐν τῇ κατακεκληρωμένῃ γῇ, (τὴν γὰρ ἀσφάλειαν αὐτοῖς καὶ τὴν φυλακὴν τῶν πατρίων ἐθῶν ἐν μόνῳ τούτῳ βλαφθῆναι καὶ Μωϋσῆν αὐτοῖς ἤδη προειπεῖν καὶ τοῦτ' αὐτοὺς πεπεῖσθαι,) καὶ τοῖς Λευίταις δὲ τὰς ὀκτὼ καὶ τριάκοντα πόλεις ἀποδιδόναι· προειλήφεισαν γὰρ ἤδη κατὰ τὴν Ἀμοραίαν τὰς δέκα. Τούτων τρεῖς ἀπονέμει τοῖς φυγάσιν οἰκεῖν ἐν αὐταῖς, (πολλὴ γὰρ ἦν πρόνοια τοῦ μηδὲν ὧν Μωϋσῆς διέταξε παραλιπεῖν,) τῆς μὲν οὖν Ἰούδα φυλῆς Χεβρῶνα, Σίκιμα δὲ τῆς Ἐφραίμου, Κεδέσην δὲ τῆς Νεφθαλίτιδος· ἔστι δὲ τῆς καθύπερθεν Γαλιλαίας τοῦτο τὸ χωρίον. Νέμει δὲ καὶ τῆς λείας ὅσα ἦν ἔτι λοιπά· πλείστη δ' ἐγεγόνει. Καὶ μεγάλους πλούτους περιεβέβλητο, καὶ

gypto et Arabiæ contermina. At Benjamitæ terram sorte habuere eam, quæ ab Jordane fluvio longitudine quidem usque ad mare pertingit, latitudine vero Hierosolymis et Bethelis terminatur. Hæc autem sors angustissima erat propter soli bonitatem : nam Hierichuntem et Hierosolymitarum urbem acceperunt. Ephraimi autem tribus terram ab Jordane fluvio usque ad Gadara porrectam adepta est : latam vero in quantum patet a Bethelis ad Campum usque magnum. At tribus Manassitidis pars dimidia ab Jordane quidem usque Dora urbem *habuit*, latitudine vero ad Bethsana, quæ nunc Scythopolis vocatur. Atque post hos Isacharis Carmelum montem et fluvium longitudinis terminum nacta est, latitudinis autem Itabyrium montem. Zabulonitæ vero terram ad Gennesaritidem usque lacum, Carmelo autem et mari contiguam, sunt sortiti. Quæ vero regio post Carmelum sita est, convallis cognominata ex ipsa re, tota ea ad Sidonem obversa Aseritis cessit. Urbs autem Arce in eorum portione erat, quæ etiam Ecdipus *nuncupatur*. Illa vero quæ ad orientem spectant usque ad Damascum urbem et Galilæam superiorem sibi assumpserunt Nephthalitæ, ad Libanum usque montem et Jordanis fontes, qui ex monte prorumpunt, attingentes fines boreales urbis Arces finitimæ. Danitæ autem vallis quæcunque occidenti soli objacent, adepti sunt, Azoto et Doris clausi; omnemque Jamniam simul et Gettam ab Acarone ad montem usque, ex quo incipit tribus Judæ.

23. Ad hunc quidem modum sex quas novimus gentes a filiis Chananæi denominatas Jesus divisit, terramque earum novem cum dimidia tribubus habitandam dedit : Amoræam enim, et ipsam ab uno ex Chananæi filiis nominatam, Moyses jam ante duabus tribubus cum dimidia tribu Manasse distribuerat : hoc autem et supra memoravi. Loca vero circa Sidonem, et *quæ ad* Arucæos et Amathæos et Arideos *pertinebant*, nondum distributa erant.

24. Ceterum Jesus, quum a senectute impediretur ea efficere de quibus animo cogitaret, iique qui ei in imperio successerant paulo negligentius bono publico consulerent, unicuique tribui imperabat ut e terra, quæ sibi sorte obvenerat, totam Chananæorum gentem exscinderet et deleret, (securitatem enim suam legumque patriarum incolumitatem in hoc vertere Moysen etiam prædixisse, idemque ipsos persuasissimum habere,) dein vero ut Levitis urbes octo et triginta concederentur : jam enim decem in Amoræa acceperant. Harum tres profugis assignat ut illas incolerent, (magnæ enim ei curæ erat ne quid eorum omitteret quæ Moyses ordinaverat) et quidem Chebronem de tribu Judæ, Sicima vero ex Ephraimitica, et Cedesam de Nephthalitide : est autem hic locus in Galilæa superiori. Quin et prædæ quicquid reliquum erat *Israelitis* partitur : copia enim infinita reportata fuerat. Ac communiter omnes et privatim

κοινῇ πάντες καὶ κατ' ἰδίαν ἕκαστος, χρυσοῦ τε καὶ ἐσθήτων καὶ τῆς ἄλλης ἀποσκευῆς ἕνεκα, τετραπόδων δὲ πλήθους, ὅσων οὐδὲ ἀριθμὸν μαθεῖν ἦν, προσγενομένου.

κε'. Μετὰ δὴ ταῦτα συναγαγὼν εἰς ἐκκλησίαν τὸν στρατὸν τοῖς ὑπὲρ τὸν Ἰορδάνην κατὰ τὴν Ἀμοραίαν ἱδρυμένοις (συνεστράτευον δ' αὐτοῖς πεντακισμύριοι ὁπλῖται) ἔλεξε τάδε· « ἐπεὶ ὁ Θεὸς, πατὴρ καὶ δεσπό-
« της τοῦ Ἑβραίων γένους, γῆν τε κτήσασθαι ταύτην
« ἔδωκε, καὶ κτηθεῖσαν εἰς ἅπαν ἡμετέραν φυλάξειν
« ὑπέσχηται, συνεργίας δὲ τῆς παρ' ὑμῶν κατ' ἐντολὴν
« τὴν ἐκείνου δεομένοις αὐτοὺς εἰς ἅπαντα προθύμους
« ἐδώκατε, δίκαιον ὑμᾶς, μηδενὸς ἔτι δυσκόλου περι-
« μένοντος, ἀναπαύσεως ἤδη τυχεῖν φειδοῖ τῆς προθυ-
« μίας ὑμῶν, ἵν' εἰ καὶ πάλιν δεήσειεν ἡμῖν αὐτῆς, ἄο-
« κνον ἔχωμεν εἰς τὰ κατεπείξοντα καὶ μὴ τοῖς νῦν συγ-
« καμοῦσαν αὖθις βραδυτέραν. Χάρις τε οὖν ὑμῖν ὧν
« συνήρασθε κινδύνων, καὶ οὐχὶ νῦν μόνον, ἀλλὰ εἰς
« ἅπαν οὕτως ἕξομεν, ὄντες ἀγαθοὶ μεμνῆσθαι τῶν
« φίλων καὶ παρὰ τῇ διανοίᾳ κρατεῖν ὅσα παρ' αὐτῶν
« ὑμῖν ὑπῆρξεν, ὅτι τε τὴν ἀπόλαυσιν τῶν ὑπαρχόντων
« ὑμῖν ἀγαθῶν δι' ἡμᾶς ἀνεβάλεσθε, καὶ συμπονήσαν-
« τες εἰς ἃ νῦν εὐνοίᾳ Θεοῦ κατέστημεν, ἔπειθ' οὕτως
« ἐκρίνατε αὐτῶν μεταλαμβάνειν. Γέγονε δὲ πρὸς τοῖς
« ὑπάρχουσιν ἀγαθοῖς ἐκ τῶν σὺν ἡμῖν πόνων πλοῦτος
« ἄφθονος, λείαν τε πολλὴν ἐπαξομένους καὶ χρυσὸν
« καὶ ἄργυρον, καὶ τὸ τούτων ἔτι πλέον, ἢ παρ' ἡμῶν εὖ-
« νοια, καὶ τὸ πρὸς ὅ τι βουληθείητε κατ' ἀμοιβὴν
« πρόθυμον. Οὔτε γὰρ ὧν Μωϋσῆς προεῖπεν ἀπελεί-
« φθητε, καταφρονήσαντες ἐξ ἀνθρώπων ἀπελθόντος,
« οὔτ' ἔστιν οὐδὲν ἐφ' ᾧ μὴ χάριν ὑμῖν οἴδαμεν. Χαί-
« ροντας οὖν ὑμᾶς ἐπὶ τὰς κληρουχίας ἀπολύομεν, καὶ
« παρακαλοῦμεν μηδένα τῆς πρὸς ἡμᾶς συγγενείας ὅρον
« ὑπολαμβάνειν, μηδ', ὅτι μεταξὺ ποταμὸς οὗτός ἐστιν,
« ἑτέρους ἡμᾶς νομίσητε καὶ οὐχὶ Ἑβραίους. Ἀβρά-
« μου γὰρ ἅπαντες ἐσμὲν οἵ τ' ἐνθάδε κἀκεῖ κατοικοῦν-
« τες, Θεός τε εἷς ὃς τούς τε ἡμετέρους προγόνους καὶ
« τοὺς ὑμῶν αὐτῶν παρήγαγεν εἰς τὸν βίον· οὗ τῆς θρη-
« σκείας ἐπιμελεῖσθε καὶ πολιτείας, ἣν αὐτὸς διὰ Μωϋ-
« σέως διέταξε, φυλακὴν ἔχετε τὴν πᾶσαν. Ὡς ἐμ-
« μενόντων μὲν τούτοις καὶ τοῦ Θεοῦ παρέξοντος εὔνουν
« ἀεὶ εἶναι καὶ σύμμαχον ἑαυτὸν, ἐκτραπέντων δὲ εἰς
« ἑτέρων ἐθνῶν μίμησιν ἀποστραφησομένου τὸ γένος
« ὑμῶν ». Ταῦτα εἰπὼν, καὶ καθ' ἕνα τοὺς ἐν τέλει καὶ κοινῇ τὸ πλῆθος αὐτῶν ἀσπασάμενος, αὐτὸς μὲν ὑπέ-μεινε, προὔπεμπε δ' αὐτοὺς ὁ λαὸς οὐκ ἀδακρυτί, καὶ μόλις ἀλλήλων ἀπελύθησαν.

κς'. Διαβᾶσα δὲ τὸν ποταμὸν ἥ τε Ῥουβηλὶς φυλὴ καὶ Γαδὶς, καὶ ὅσοι τῶν Μανασσητῶν αὐτοῖς συνείποντο, βωμὸν ὑπὲρ τῆς ὄχθης ἱδρύονται τοῦ Ἰορδάνου, μνημεῖον τοῖς ἔπειτα γενησομένοις καὶ σύμβολον τῆς πρὸς τοὺς πέραν κατῳκημένους οἰκειότητος. Ἀκούσαντες δὲ οἱ πέραν βωμὸν ἱδρῦσθαι τοὺς ἀπολυθέντας οὐ μεθ' ἧς ἐκεῖνοι γνώμης ἀνέστησαν αὐτὸν, ἀλλ' ἐπὶ νεωτερι-

singuli magnis affluebant divitiis, propter vim ingentem auri et vestium ac reliquæ supellectilis, tanta accedente quadrupedum multitudine, quanta ne numero quidem comprehendi poterat.

25. Post hæc itaque advocato in concionem exercitu, ad eos qui ultra Jordanem juxta Amoræam sedes habuerunt (illi autem armatorum quinquagies mille erant qui una expeditionem susceperant) hunc in modum loquutus est : « Quum Deus, pater et dominus Hebræorum gentis, hanc « *nobis* terram possidendam dederit, possessamque sem-
« per se nobis conservaturum esse promiserit, ope autem
« vestra et auxilio egentibus promptissime ad omnia, ut
« Deus præceperat, vosmet obtuleritis, æquum est, quum
« nihil præterea arduum supersit, ut vos jam requiefcm
« habeatis, dum vestræ alacritati parcimus, ut si ea rursum
« nobis opus fuerit, ad pericula imminentia *depellenda*
« paratam habeamus, et non, *quasi* præsentibus defatiga-
« tam, in posterum tardiorem. Gratias itaque vobis pro
« discriminibus una nobiscum aditis *habemus*, et non nunc
« solum, sed in omne ævum pariter habituri sumus, ita a
« natura comparati ut amicos recordemur et in memoria
« retineamus quæcunque vestra ope nobis provenerunt,
« quodque bonorum vestrorum fruitionem propter nos dis-
« tuleritis, et laborantes circa ea quæ Dei benignitate asse-
« quuti sumus, post hæc vobis ita visum fuerit et ipsius
« eorum participes fieri. Magnæ autem ad vestras facul-
« tates ex communi nostrûm labore accessere divitiæ, (et
« prædæ multum atque auri et argenti hinc abducturi
« estis, et, quod pluris est quam ista omnia, nostram bene-
« volentiam atque alacritatem ad beneficium quodcunque
« volueritis referendum. Iis enim, quæ præcepit Moyses,
« ne tantillum quidem excidistis contempta mortui aucto-
« ritate, nec quicquam est, pro quo vobis gratias non agi-
« mus. Lætos igitur vos ad vestras possessiones dimitti-
« mus, ac obsecramus ut vestram nobiscum cognationem
« nullis terminis definiri existimetis, neve, quod inter nos
« fluvius hic intermeet, alios nos esse cogitetis quam He-
« bræos. Omnes enim ab Abramo sumus, qui vel hanc
« vel illam ripam incolimus, ac unus Deus tam nostros
« quam vestros majores in vitam eduxit : cujus cultui vo-
« bis cura adhibenda est eique reipublicæ formæ, quam ipse
« per Moysen instituit, omnia diligenter observando. Quo
« quidem fiet ut, dum in his permaneatis, Deus vobis pro-
« pitius futurus sit et adjutor; si vero ad aliarum gentium
« mores imitandos desciveritis, ille genus vestrum aver-
« sabitur ». Hæc quum dixisset, et unumquemque magistratuum singillatim, communiterque turbam universam salutasset, ipse quidem substitit, eos autem non sine lacrimis prosequebatur populus, atque ægre ab se invicem discesserunt.

26. Itaque quum fluvium trajecisset tribus Rubeli et Gadis, et quotquot Manassitarum eos erant sequuti, altare super ripam Jordanis statuunt, in monumentum apud posteros et signum necessitudinis cum iis qui *terram* trans Jordanem incolerent. Qui vero ex altera parte Jordanis erant, audientes aram a dimissis exstructam esse, non tamen qua voluntate eam erexerant, sed ad novum cultum

σμῷ καὶ ξενικῶν εἰσαγωγῇ θεῶν, οὐκ ἤθελον ἀπιστεῖν, ἀλλὰ περὶ τὴν θείαν θρησκείαν τὴν διαβολὴν πιθανὴν νομίζοντες, ἐνοπλοι ἦσαν, ὡς ἐπ' ἀμύνῃ τῶν τὸν βωμὸν ἱδρυσαμένων, περαιωσόμενοι τὸν ποταμὸν, καὶ κολάσοντες αὐτοὺς τῆς παρατροπῆς τῶν πατρίων ἐθῶν. Οὐ γὰρ ἐδόκει τὴν συγγένειαν αὐτοὺς λογίζεσθαι καὶ τὸ ἀξίωμα τῶν τὴν σίτιαν εἰληφότων, ἀλλὰ τὸ τοῦ Θεοῦ βουλητὸν καὶ ᾧ τρόπῳ τιμώμενος χαίρει. Καὶ οἱ μὲν ἐστράτευσαν ὑπ' ὀργῆς, ἐπέσχε δ' αὐτοὺς Ἰησοῦς καὶ ὁ ἀρχιερεὺς Ἐλεάζαρος καὶ ἡ γερουσία, λόγοις συμβουλεύοντες ἀπόπειραν αὐτῶν τῆς γνώμης λαβεῖν πρῶτον, ἔπειτ' ἂν κακοήθη μάθωσι τὴν διάνοιαν αὐτῶν, τότε τοῖς ὅπλοις χωρεῖν ἐπ' αὐτούς. Πέμπουσιν οὖν πρεσβευτὰς πρὸς αὐτοὺς, Φινεέσην τὸν υἱὸν Ἐλεαζάρου, καὶ δέκα σὺν αὐτῷ τῶν ἐν τιμῇ παρὰ τοῖς Ἑβραίοις, μαθησομένους τί καὶ φρονήσαντες τὸν βωμὸν ἐπὶ τῆς ὄχθης τοῦ ποταμοῦ διαβάντες ἔστησαν. Ὡς δὲ περαιωσαμένων καὶ πρὸς αὐτοὺς ἀφικομένων ἐκκλησία συνελέγη, στὰς Φινεέσης μείζω μὲν αὐτοὺς ἁμαρτεῖν ἔλεγεν ἢ ὥστε λόγοις ἐπιτιμηθέντας νενουθετῆσθαι πρὸς τὰ μέλλοντα· πλὴν οὐ πρὸς τὸ μέγεθος τῆς παρανομίας ἀπιδόντας εὐθὺς ἐφ' ὅπλα καὶ τὴν ἐκ χειρῶν τιμωρίαν ὁρμῆσαι, πρὸς δὲ τὸ συγγενὲς καὶ τὸ τάχα καὶ λόγοις ἂν σωφρονῆσαι σκοπήσαντας, οὕτω ποιήσασθαι τὴν πρεσβείαν, « ἵνα τὴν αἰτίαν μαθόντες, ὑφ' ἧς προήχθητε τὸν βωμὸν κατασκευάσαι, μή τι προπετεῖς δοκῶμεν ὅπλοις μετιόντες ὑμᾶς κατὰ λογισμὸν ὅσιον ποιησαμένους τὸν βωμὸν, εἰ δὲ ἄδικον, δικαίως ἀμυνώμεθα τῆς διαβολῆς ἐλεγχθείσης ἀληθοῦς. Οὐ γὰρ ἠξιοῦμεν ὑμᾶς πείρᾳ τῆς τοῦ Θεοῦ γνώμης ἐντὸς γεγενημένους καὶ νόμων ὧν αὐτὸς ἡμῖν δέδωκεν ἀκροατὰς ὑπάρχοντας, διαζευχθέντας ἡμῶν καὶ παρόντας εἰς τὸν ἴδιον κλῆρον, ὃν κατὰ χάριν τοῦ Θεοῦ καὶ τῆς ἐκείνου περὶ ὑμᾶς προνοίας ἐλάχετε, λήθην λαβεῖν αὐτοῦ, καὶ τὴν σκηνὴν καὶ τὴν κιβωτὸν καταλιπόντας καὶ βωμὸν ὃς ὑμῖν πάτριος, ξενικοὺς θεοὺς ἐπιφέρειν τοῖς Χαναναίων κακοῖς προσκεχωρηκότας. Ἀλλ' οὐδὲν ἀδικεῖν δόξετε μετανοήσαντες καὶ περαιτέρω μὴ μανέντες, νόμων δὲ πατρίων αἰδῶ καὶ μνήμην λαβόντες. Ἂν δ' ἐπιμένητε τοῖς ἡμαρτημένοις, οὐ παραιτησόμεθα τὸν ὑπὲρ τῶν νόμων πόνον, ἀλλὰ περαιωσάμενοι τὸν Ἰορδάνην τούτοις βοηθήσομεν, καὶ πρὸς αὐτῷ τῷ Θεῷ, μηδὲν ὑμᾶς Χαναναίων διαφέρειν ὑπολαμβάνοντες, ἀλλ' ὁμοίως ἐκείνοις διαφθείροντες. Μὴ γὰρ νομίσητε τῷ διαβεβηκέναι τὸν ποταμὸν καὶ τῆς τοῦ Θεοῦ δυνάμεως ἔξω γεγονέναι· πανταχοῦ δ' ἐν τοῖς τούτου ἐστέ· καὶ ἀποδρᾶναι τὴν ἐξουσίαν αὐτοῦ καὶ τὴν ἀπὸ ταύτης δίκην ἀδύνατον. Εἰ δ' οἴεσθε τὴν ἐνθάδε παρουσίαν ὑμῖν ἐμπόδιον εἶναι τοῦ σωφρονεῖν, οὐδὲν κωλύει πάλιν τὴν γῆν ὑμᾶς ἀναδάσασθαι καὶ ταύτην ἀνεῖναι μηλόβοτον. Ἀλλ' εὖ ποιήσετε σωφρονήσαντες καὶ ἐπὶ νεαροῖς μετατιθέμενοι τοῖς ἁμαρτήμασι. Καὶ παρακαλοῦμεν ὑμᾶς πρὸς παίδων καὶ γυναικῶν, μὴ παρασχεῖν ἡμῖν ἀνάγκην ἀμύνασθαι. Ὡς οὖν τῆς ὑμετέρας αὐτῶν σωτηρίας καὶ τῶν φιλτάdeosque peregrinos introducendos, *rumori* diffidere noluerunt, sed religionis *mutatæ* calumniam veri similem reputantes, arma corripuerunt ad eos, qui altare collocaverant, vindicta persequendos, fluvium transituri, et ob patrios ritus violatos pœnas ab iis exacturi. Existimabant enim non tam cognationis et dignitatis eorum, qui in hoc erant crimine, quam Dei voluntatis et istius quo gaudet cultus rationem habendam esse. Et illi quidem ira commoti ad expeditionem sese accinxerunt, Jesus autem et Eleazarus pontifex cum senatu ipsos cohibebant, suadentes ut sermonibus prius qua mente id fecissent experiri vellent, deinde si forte malo animo factum deprehensum esset, tum demum armis eos aggrederentur. Ad eos igitur legatos mittunt, Phineesem Eleazari filium, et cum eo decem alios præcipuæ apud Hebræos dignitatis, ut ex iis rescisceret quid sibi voluerint altare super ripam fluvii post transitum statuentes. Ut vero illi fluvium trajecerant et ad eos venerant, advocata est concio, et Phineeses *in medio* stans, majus illos in se peccatum admisisse aiebat quam ut verbis reprehensi in posterum *cavere* admoneantur : sed ipsos non ad culpæ magnitudinem respicientes protinus ad arma et ad ultionem manibus sumendam accurrisse, sed de cognatione cogitantes, atque spe fretos quod fortasse verbis ad sanam mentem reduci possint, hanc legationem suscepisse : « ut, causa cognita, qua moti altare exstruxistis, non temere vos armis persequi videamur, si pio animo aram posuistis; si vero injusto, jure vos ulciscamur, ubi accusationem veram esse constiterit. Vix enim credere potuimus vos, qui Dei voluntatem perspectam habuistis, et legum, quas ille vobis dedit, auditores exstitistis, disjunctos a nobis et in sortem propriam jam reversos, quam gratiæ Dei ejusque vestrûm curæ et providentiæ acceptam debetis, illius oblivisci posse, atque, tabernaculo et arca et altari patrio relictis, deos alienos introducere, moribus Chananæorum pravis obsequutos. Sed nihil mali commeruisse videbimini, ad pœnitentiam adducti et non ad majorem insaniam prolapsi, contra vero leges patrias reveriti et memoria complexi. Quodsi in delictis persistatis, nullum pro legibus laborem detrectabimus, sed fluvio superato earum ipsiusque pariter Dei honorem tuebimur, inter vos et Chananæos nihil interesse existimantes, sed *vos quoque* similiter atque illos perimentes. Cavete enim putetis vosmet, quia fluvium transistis, extra Dei postestatem evasisse. Ubique autem vos ambit ejus imperium, nec quoquo modo licet ejus potentiam et ex ea vindictam effugere. Si vero arbitremini *vestrum* ad hæc loca accessum obstare quominus recte sentiatis, vobis integrum erit terram iterum dividere, et hanc ipsam pecoribus compascuam relinquere. Sed bene agetis si ad sanam mentem redeatis et, dum nova peccata sunt, sententiam mutetis. Vosque per liberos ac conjuges obsecramus, ne nobis necessitatem dimicandi imponatis. Quasi vero vestra omnium salus vobisque cari-

των ὑμῖν ἐν τῇδε τῇ ἐκκλησίᾳ κειμένης, οὕτω βουλεύεσθε λόγοις ἡττηθῆναι συμφέρειν ὑπολαμβάνοντες ἢ πεῖραν ἔργων καὶ πολέμου περιμένειν.

κζ'. Τοσαῦτα τοῦ Φινεέσου διαλεχθέντος, οἱ προεστῶτες τῆς ἐκκλησίας καὶ τὸ πλῆθος αὐτὸ πᾶν ἤρξαντο περὶ τῶν ἐγκεκλημένων αὐτοῖς ἀπολογεῖσθαι καὶ μήτε συγγενείας τῆς πρὸς αὐτοὺς ἀποστήσεσθαι μήτε κατὰ νεωτερισμὸν ἀναστῆσαι τὸν βωμὸν λέγειν, ἀλλὰ Θεόν τε ἕνα γινώσκειν τὸν Ἑβραίοις ἅπασι κοινὸν καὶ τὸν πρὸ τῆς σκηνῆς βωμὸν [χάλκεον], ᾧ τὰς θυσίας ποιήσειν. Τὸν μέντοι γε νῦν ἀνασταθέντα, ὀι' ὃν καὶ ὕποπτοι γεγόνασιν, οὐ κατὰ θρησκείαν ἱδρῦσθαι, σύμβολον δὲ ὅπως εἴη καὶ τεκμήριον εἰς τὸν αἰῶνα τῆς πρὸς ὑμᾶς οἰκειότητος, καὶ ἀνάγκη τοῦ σωφρονεῖν καὶ τοῖς πατρίοις ἐμμένειν, ἀλλ' οὐχὶ παραβάσεως ἀρχή, ὡς ὑπονοεῖτε. Μάρτυς δ' ὑμῖν τοῦ ἐπὶ τοιαύτῃ τὸν βωμὸν αἰτίᾳ κατασκευάσαι γένοιτο ὁ Θεὸς ἀξιόχρεως. Ὅθεν ἀμείνονα περὶ ἡμῶν ἔχοντες ὑπόληψιν μηδὲν καταγινώσκετε τούτων, ἐφ' οἷς ἐξώλεις εἶναι δίκαιοι πάντες, ὅσοι τοῦ Ἀβράμου γένους ὄντες νεωτέροις ἐπιχειροῦσιν ἔθεσι καὶ τοῦ συνήθους τρόπου παρηλλαγμένοις.

κη'. Ταῦτα εἰπόντας ἐπαινέσας ὁ Φινεέσης παρῆν πρὸς Ἰησοῦν, καὶ τὰ παρ' αὐτῶν ἀνήγγειλε τῷ λαῷ. Ὁ δὲ χαίρων ὅτι μηδεμιᾷ ἀνάγκῃ στρατολογεῖν αὐτοὺς μέλλει, μηδ' εἰς αἷμα καὶ πόλεμον ἐξαγαγεῖν κατὰ ἀνδρῶν συγγενῶν, χαριστηρίους ὑπὲρ τούτων τῷ Θεῷ θυσίας ἐπετέλει. Καὶ διαλύσας μετὰ ταῦτα τὸ πλῆθος εἰς τὰς ἰδίας κληρουχίας Ἰησοῦς αὐτὸς ἐν Σικίμοις διῆγεν. Ἔτει δ' ὕστερον εἰκοστῷ (ὑπέργηρως γὰρ ἦν) μεταπεμψάμενος τοὺς ἐπ' ἀξιώματος μάλιστα τῶν πόλεων, καὶ τὰς ἀρχὰς καὶ τὴν γερουσίαν, καὶ τοῦ πλήθους ὅσον ἦν ἐφικτὸν αὐτῷ συναγαγών, ἐπεὶ παρῆσαν, τάς τε εὐεργεσίας τοῦ Θεοῦ ἁπάσας ἀνεμίμνησκεν αὐτούς· (πολλαὶ δ' ἦσαν τοῖς ἐκ ταπεινοῦ σχήματος εἰς τοῦτο δόξης καὶ περιουσίας προελθοῦσι·) φυλάττειν τε τὴν τοῦ Θεοῦ προαίρεσιν, ἔχουσαν οὕτω πρὸς αὐτούς, παρεκάλει, τιμῇ πάσῃ χρωμένους καὶ εὐσεβείᾳ μόνῃ φίλον αὐτοῖς διαμένειν τὸ θεῖον. Αὐτῷ γὰρ καλῶς ἔχειν ἀπιέναι μέλλοντι τοῦ ζῆν παραίνεσιν αὐτοῖς τοιαύτην καταλιπεῖν, κἀκείνους ἠξίου διὰ μνήμης ποιήσασθαι τὴν παρακέλευσιν.

κθ'. Καὶ ὁ μὲν τοσαῦτα πρὸς τοὺς παρόντας διαλεχθεὶς τελευτᾷ, βιοὺς ἑκατὸν ἔτη καὶ δέκα (ὧν Μωϋσεῖ μὲν ἐπὶ διδασκαλίᾳ τῶν χρησίμων συνδιέτριψε τεσσαράκοντα, στρατηγὸς δὲ μετὰ τὴν ἐκείνου τελευτὴν γίνεται πέντε καὶ εἴκοσι), ἀνὴρ μήτε συνέσεως ἐνδεὴς μήτε τοῦ τὰ νοηθέντα πρὸς τοὺς πολλοὺς σαφῶς ἐξενεγκεῖν ἄπειρος, ἀλλ' ἐν ἀμφοτέροις ἄκρος, πρός τε τὰ ἔργα καὶ τοὺς κινδύνους εὔψυχος καὶ μεγαλότολμος, πρυτανεῦσαί τε τὰ κατὰ τὴν εἰρήνην δεξιώτατος καὶ πρὸς ἅπαντα καιρὸν τὴν ἀρετὴν ἡρμοσμένος. Θάπτεται δὲ ἐν πόλει Θαμνᾷ τῆς Ἐφραίμου φυλῆς. Θνήσκει δὲ ὑπ' αὐτὸν τὸν καιρὸν καὶ Ἐλεάζαρος ὁ ἀρχιερεύς, Φινεέσῃ τῷ παιδὶ τὴν ἀρχιερωσύνην καταλιπών,

simorum in hac concione sita sit, ita consilium inite, melius esse rati verbis persuaderi, quam factorum bellique experimento stare. »

27. Quum hæc disseruisset Phineeses, qui præerant concioni populusque ipse universus cœperunt crimina sibi objecta diluere, dicebantque se neque a cognatione defecisse, neque innovandi studio aram erexisse, sed Deum unum agnoscere, Hebræis omnibus communem, atque illud [æneum] ante tabernaculum positum altare ad sacra facienda. At quod nunc ereximus, quodque vestræ suspicioni ansam præbuit, non religionis ergo exstructum est, sed ut signum sit et indicium in omne ævum necessitudinis quæ nobis vobiscum intercedit, atque necessitatem nobis imponat recte *de Deo* sentiendi ritibusque patriis adhærendi et non, ut vos suspicamini, transgressionis principium. Deus autem nobis testis sit locuples, quod eo nomine aram exstruendam esse fecerimus. Unde vobismet meliora de nobis persuadentes, nihil tale nobis imputetis, propter quod morte digni censendi sunt quotquot ab Abramo oriundi novis moribus studentes a receptis discedunt institutis.

28. Quum autem Phineeses hanc orationem habentes collaudasset, reversus est ad Jesum, et quæ illi fecissent populo narrabat. Hic vero gaudens quod nulla exercitum colligendi foret necessitas, nec ad cognatorum sanguinem fundendum et bellum cum iis gerendum ducendi essent, victimas pro gratiarum actione Deo offerebat. Ac post hæc, multitudine ad sua patrimonia dimissa, Jesus ipse Sicimis agebat. Anno autem post vicesimo (tum enim senio confectus erat) accitis oppidatim honoratioribus, et cum senatu magistratibus, atque e plebe quotquot commode congregare potuit, quum adessent, et illis cuncta Dei beneficia in memoriam revocavit, (plurimi autem iis contigerant ex humili conditione ad tantam gloriam et rerum abundantiam provectis,) Deique voluntati, eis adeo benignæ, obsequium præstare hortabatur, atque ipsum *Deum* omni honore afficere, utpote quod sola pietate futura numinis erga eos benevolentia uiteretur. Sibi enim jam opportunum esse e vita discessuro hujusmodi eis admonitionem relinquere, eosque rogabat ut adhortationem suam memoria tenerent.

29. Et ille quidem, quum ad eos qui aderant hæc verba fecisset, mortem obiit, postquam annos vix erat centum et decem, (quorum quadraginta cum Moyse, ut ab eo utilia disceret, commoratus est, illius vero post obitum imperium habuit quinque et viginti *annos*,) vir qui neque prudentia careret neque eloquio quo cogitata populo clare enunciaret, sed in utroque summus, tam in operibus et periculis fortis et magnanimus, quam in pacis consiliis magnæ solertiæ, virtutisque ad omne tempus accommodatæ. Sepultus est autem in oppido Thamnæ tribus Ephraimitidis. Eodem vero tempore moritur et Eleazarus pontifex, sacerdo-

καὶ μνημεῖον αὐτῷ καὶ τάφος ἐν Γαβαθᾷ πόλει τυγχάνει.

ΚΕΦ. Β'.

Μετὰ δὲ τὴν τούτων τελευτὴν Φινεέσης προφητεύει κατὰ τὴν τοῦ Θεοῦ βούλησιν, ἐπ' ἐξωλείᾳ τοῦ Χαναναίων γένους τῇ Ἰούδα φυλῇ παρασχεῖν τὴν ἡγεμονίαν, (καὶ γὰρ τῷ λαῷ διὰ σπουδῆς ἦν μαθεῖν τί καὶ τῷ Θεῷ δοκεῖ,) προσλαβούσῃ τὴν Συμεωνίδα φυλὴν, ἐφ' ᾧτε ἐξαιρεθέντων τῶν ἐκείνης ὑποτελῶν καὶ τοὺς ἐν αὐτῆς τῇ κληρουχίᾳ τοῦτο ποιῶσιν.

β.' Χαναναῖοι δ', ἀκμαζόντων αὐτοῖς κατ' ἐκεῖνον τὸν καιρὸν τῶν πραγμάτων, στρατῷ μεγάλῳ κατὰ Βεζέκην αὐτοὺς ὑπέμενον, τῷ βασιλεῖ τῶν Βεζεκηνῶν Ἀδωνιβεζέκῳ τὴν ἡγεμονίαν ἐπιτρέψαντες· (τὸ δὲ ὄνομα τοῦτο σημαίνει Βεζεκηνῶν κύριος· ἀδωνὶ γὰρ τῇ Ἑβραίων διαλέκτῳ κύριος λέγεται·) ἤλπιζόν τε κρατήσειν τῶν Ἰσραηλιτῶν, διὰ τὸ τεθνάναι Ἰησοῦν. Συμμίξαντες δ' αὐτοῖς οἱ Ἰσραηλῖται ταῖς δυσὶ φυλαῖς αἷς προεῖπον ἐμαχέσαντο λαμπρῶς, καὶ κτείνουσι μὲν αὐτῶν ὑπὲρ μυρίους, τρεψάμενοι δὲ τὸ λοιπὸν καὶ διώκοντες αἱροῦσι τὸν Ἀδωνιβέζεκον, ὃς ἀκρωτηριασθεὶς ὑπ' αὐτῶν φησὶν, « ἀλλ' οὐκ εἰς τὸ πᾶν ἄρα λήσεσθαι Θεὸν « ἔμελλον, τάδε πεπονθὼς, ἃ κατὰ δυοῖν καὶ ἑβδομήκοντα βασιλέων πρᾶξαι πρότερον οὐκ ἐνετράπην. » Καὶ ζῶντα μὲν κομίζουσιν ἕως Ἱεροσολύμων, τελευτήσαντα δὲ γῇ θάπτουσι. Καὶ διεξῆσαν αἱροῦντες τὰς πόλεις, πλείστας τε λαβόντες, ἐπολιόρκουν Ἱεροσόλυμα. Καὶ τὴν μὲν κάτω λαβόντες σὺν χρόνῳ πάντας ἔκτειναν τοὺς ἐνοικοῦντας, χαλεπὴ δ' ἦν ἡ καθύπερθεν αὐτοῖς αἱρεθῆναι τειχῶν ἐχυρότητι καὶ φύσει τοῦ χωρίου.

γ'. Ὅθεν μετεστρατοπέδευσαν εἰς Χεβρῶνα· καὶ ταύτην ἑλόντες κτείνουσι πάντας. Ὑπελέλειπτο δὲ τὸ τῶν γιγάντων ἔτι γένος, οἳ διὰ σωμάτων μεγέθη καὶ μορφὰς οὐδὲν τοῖς ἄλλοις ἀνθρώποις παραπλησίας παράδοξον ἦσαν θέαμα καὶ δεινὸν ἄκουσμα· δείκνυται καὶ νῦν ἔτι τούτων ὀστᾶ μηδὲν τοῖς ὑπὸ πίστιν ἐρχομένοις ἐοικότα. Καὶ τοῦτο μὲν τοῖς Λευίταις ἐξαίρετον γέρας ἔδοσαν μετὰ καὶ τῶν δισχιλίων πηχῶν· τὴν δὲ γῆν Χαλέβῳ δωρεὰν ἔδοσαν κατὰ Μωϋσέως ἐντολάς· οὗτος δ' ἦν τῶν κατασκόπων εἷς ὧν ἔπεμψε Μωϋσῆς εἰς τὴν Χαναναίαν. Διδόασι δὲ καὶ τοῖς Ἰοθόρου τοῦ Μαδιανίτου ἀπογόνοις (Μωϋσέως γὰρ ἦν γαμβρός) γῆν ἵνα νέμοιντο. Τὴν γὰρ πατρίδα καταλιπόντες ἠκολουθήκεσαν ἐκείνοις καὶ συνῆσαν αὐτοῖς ἐπὶ τῆς ἐρήμου.

δ'. Ἡ δὲ Ἰούδα φυλὴ καὶ Συμεωνὶς τὰς μὲν κατὰ τὴν ὀρεινὴν τῆς Χαναναίας πόλεις εἷλον, τῶν δ' ἐν τῷ πεδίῳ καὶ πρὸς θαλάσσῃ Ἀσκάλωνά τε καὶ Ἄζωτον. Διαφεύγει δ' αὐτοὺς Γάζα καὶ Ἀκκάρων· πεδίων γὰρ ὄντων καὶ πολλῆς ἁρμάτων εὐπορίας κακῶς ἐποίουν τοὺς ἐπελθόντας. Καὶ αἵδε μὲν αἱ φυλαὶ μεγάλως ἐκ τοῦ πολεμεῖν εὐδαιμονήσασαι ἀνεχώρησαν εἰς τὰς ἑαυτῶν πόλεις καὶ κατατίθενται τὰ ὅπλα.

tio Phinecsæ filio relicto, ejusque monumentum et sepulcrum exstat in urbe Gabatha.

CAP. II.

Horum autem post obitum Phineeses vaticinatus est juxta Dei voluntatem, ut in Chananæorum generis excidium Judæ tribus principatum acciperet, (nam populo curæ erat cognoscere quid Deo factu optimum videretur,) assumpta Symeonide tribu, ea lege ut tributariis ex Judæe ditione sublatis, idem facerent illis qui in Symeonis sorte relicti erant.

2. Chananæi autem, rebus illorum tum valde florentibus, cum magno exercitu apud Bezecam *urbem* eos exspectabant, imperio ad Adonibezecum Bezecenorum regem delato, (*id autem nomen Bezecenorum dominum significat*; nam adoni Hebræorum lingua dominus dicitur,) sperabantque de Israelitis se victoriam reportaturos esse, quod mortuus esset Jesus. Israelitarum vero duæ tribus prædictæ cum his congressæ egregie pugnaverunt, et illorum quidem *plus decem millia perimunt*, *reliquos vero in fugam* vertentes insequentesque Adonibezecum capiunt, qui, ab illis mutilatus, dixit, « non semper potui latere Deum, *jam* « eadem passus, quibus antea duos et septuaginta reges « afficere non erubui. » Et vivum quidem Hierosolyma *usque deportarunt*, *fato vero functum terræ mandaverunt*. Deinde regionem obierunt, ut urbes expugnarent, et, captis quamplurimis, Hierosolyma adorti sunt. Ac parte quidem inferiore tandem expugnata, omnes in ea habitantes occiderunt; superiorem vero obsidione capere illis ardua res erat, propter murorum firmitudinem locique naturam.

3. Quam ob rem castra moverunt ad Chebronem, atque ea capta omnes interficiunt. Relictum autem erat gigantum genus, qui ob corporis magnitudinem et formam multum aliis hominum dispares stupendum erant spectaculum et res auditu horrenda. Monstrantur etiamnum horum ossa, in nullo iis quæ sub fidem veniunt similia. Et hoc quidem *oppidum* Levitis eximio muneri dederunt cum *agro* etiam duûm millium cubitorum : terram vero *reliquam* Chalebo juxta mandatum Moysis donarunt : hic autem erat unus e speculatoribus, quos Moyses in Chananæam præmiserat. Quin et posteris Jothori Madianitæ (Moysis enim socer erat) terram, ut *eam* habitarent, tribuerunt. Patria enim relicta ipsos sequuti sunt, et cum eis erant in deserto.

4. At tribus Judæ et Symeonis urbes quidem *omnes* in montanis Chananææ ceperunt, in planitie vero et ora maritima *solas* Ascalonem et Azotum. Illos autem evasit Gaza et Accaron : nam quum essent in campestribus et curribus abundarent, impetum in eos facientes damno *semper* afficiebant. Ac istæ quidem tribus ex bello valde locupletatæ, suas in urbes se receperunt et arma deposuerunt.

ε'. Βενιαμῖται δὲ (τούτων γὰρ ἦν Ἱερουσόλυμα) τοῖς οἰκήτορσιν αὐτῶν συνεχώρησαν φόρους τελεῖν. Καὶ οὕτω παυσάμενοι πάντες οἱ μὲν τοῦ κτείνειν, οἱ δὲ κινδυνεύειν, ἐργάζεσθαι τὴν γῆν ηὐσχόλουν. Τὸ δ' αὐτὸ καὶ αἱ λοιπαὶ φυλαὶ τὴν Βενιαμῖτιν μιμησάμεναι ἐποίουν, καὶ τοῖς τελουμένοις ἀρκούμενοι φόροις ἐπέτρεπον τοῖς Χαναναίοις ἀπολέμοις εἶναι.

ς'. Ἡ δὲ Ἐφραίμου πολιορκοῦσα Βέθηλα τέλος οὐδὲν ἄξιον τοῦ χρόνου καὶ τῶν πόνων ἤρισκε τῆς πολιορκίας. Οἱ δὲ καίπερ ἀχθόμενοι τῇ καθέδρᾳ προσεκαρτέρουν· ἔπειτα συλλαβόντες τινὰ τῶν ἐν τῇ πόλει προσελθόντα ἐπὶ κομιδῇ τῶν ἀναγκαίων, τινὰς πίστεις ἔδοσαν αὐτῷ παραδόντι τὴν πόλιν σώσειν αὐτόν τε καὶ τοὺς συγγενεῖς αὐτοῦ· κἀκεῖνος ἐπὶ τούτοις ὤμνυε τὴν πόλιν αὐτοῖς ἐγχειριεῖν. Καὶ ὁ μὲν οὕτω προδοὺς σώζεται μετὰ τῶν οἰκείων, οἱ δὲ, ἀποκτείναντες ἅπαντας τοὺς ἐνοικοῦντας, εἶχον τὴν πόλιν.

ζ'. Καὶ μετὰ ταῦτα πρὸς μὲν τοὺς πολεμίους μαλακῶς εἶχον οἱ Ἰσραηλῖται, τῆς δὲ γῆς καὶ τῶν ταύτης ἔργων ἐπεμελοῦντο. Τῶν δὲ κατὰ τὸν πλοῦτον αὐτοῖς ἐπιδιδόντων, ὑπὸ τρυφῆς καὶ ἡδονῆς τοῦ κόσμου ὠλιγώρουν καὶ τῆς πολιτείας τῶν νόμων οὐκέτ' ἦσαν ἀκριβεῖς ἀκροαταί. Παροξυνθὲν δ' ἐπὶ τούτοις τὸ θεῖον ἀναιρεῖ πρῶτον μὲν ὡς φείσαιντο παρὰ τὴν αὐτοῦ γνώμην τῶν Χαναναίων, ἔπειθ' ὡς ἐκεῖνοι χρήσαιντο πολλῇ κατ' αὐτῶν ὠμότητι καιροῦ λαβόμενοι. Οἱ δὲ καὶ πρὸς τὰ παρὰ τοῦ Θεοῦ δυσθύμως εἶχον καὶ πρὸς τὸ πολεμεῖν ἀηδῶς, πολλά τε παρὰ τῶν Χαναναίων λαβόντες καὶ πρὸς τοὺς πόνους ἤδη διὰ τὴν τρυφὴν ἐκλελυμένοι. Καὶ συνέβαινεν ἤδη τὴν ἀριστοκρατίαν διεφθάρθαι, καὶ τὰς γερουσίας οὐκ ἀπεδείκνυσαν οὐδ' ἀρχὴν ἄλλην οὐδεμίαν τῶν πρότερον νενομισμένων· ἦσαν δὲ ἐν τοῖς ἀγροῖς ἡδονῇ τοῦ κερδαίνειν προσδεδεμένοι. Καὶ διὰ τὴν πολλὴν ἄδειαν στάσις αὐτοὺς πάλιν καταλαμβάνει δεινὴ, καὶ προήχθησαν εἰς τὸ πολεμεῖν ἀλλήλοις ἐκ τοιαύτης αἰτίας.

η'. Λευίτης ἀνὴρ τῶν δημοτικωτέρων τῆς Ἐφραίμου κληρουχίας ὢν καὶ ἐν ἐκείνῃ κατοικῶν ἄγεται γύναιον ἀπὸ Βηθλέμων· τῆς δὲ Ἰούδα φυλῆς τοῦτ' ἐστὶ τὸ χωρίον. Ἐρῶν δὲ σφόδρα τῆς γυναικὸς καὶ τοῦ κάλλους αὐτῆς ἡττημένος ἠτύχει τῶν παρ' ἐκείνης οὐχ ὁμοίων πειρώμενος. Ἀλλοτρίως δ' αὐτῆς ἐχούσης καὶ διὰ τοῦτο μᾶλλον ἐκκαιομένου τῷ πάθει, μέμψεις συνεχεῖς αὐτοῖς ἐγίνοντο· καὶ τέλος ἡ γυνὴ, πρὸς αὐτὰς βαρυνομένη, καταλιποῦσα τὸν ἄνδρα πρὸς τοὺς γονεῖς παραγίνεται μηνὶ τετάρτῳ. Χαλεπῶς δὲ φέρων ὁ ἀνὴρ ἐπὶ τῷ ἔρωτι ἦκε πρὸς τοὺς πενθερούς, καὶ διαλυσάμενος τὰς μέμψεις καταλλάττεται πρὸς αὐτήν. Καὶ τέσσαρας μὲν ἡμέρας αὐτόθι διαιτᾶται φιλοφρονουμένων αὐτὸν τῶν γονέων, τῇ δὲ πέμπτῃ, δόξαν ἀπιέναι πρὸς αὐτὸν, περὶ δείλην ἔξεισι· βράδιον γὰρ ἀπέλυον οἱ γονεῖς τὴν θυγατέρα καὶ τῆς ἡμέρας τριβὴν ἐποιοῦντο. Θεράπων δ' αὐτοῖς εἷς εἵπετο, καὶ ὄνος ἦν αὐτοῖς, ἐφ' ἧς ὀχεῖτο τὸ γύναιον. Γενομένων δὲ αὐτῶν κατὰ τὰ

5. Benjamitæ vero (nam horum in sorte erant Hierosolyma) habitantibus urbem concessere, ut ipsorum vectigales essent. Atque ita omnes quietem nacti, alii quidem a cædibus, alii vero a periculis, ad agrorum culturam se contulerunt. Reliquæ autem tribus et ipsæ Benjamitarum exemplo motæ idem fecerunt, ac tributorum solutione contenti permisere Chananæis a bello vacare.

6. Ephraimitica autem tribus quum copias Bethelis admovisset, tempore ac labore obsidioni impenso dignum nihil proficiebat. Illi tamen, quamvis *moram* ægre ferebant urbi assidere perseverarunt. Postea uno e civibus comprehenso, qui accederet ad necessaria curanda et importanda, incolumitatem illi et cognatis ejus fide data permittunt, si urbem proderet : isque juravit se ea conditione urbem illis traditurum esse. Ac ille quidem hoc modo proditor factus cum suis servatur, illi vero, incolis omnibus occisis, urbem occupabant.

7. Ac post hæc Israelitæ bellum intermittebant aut molliter gerebant, terræ vero colendæ rebusque rusticis operam navabant. Hisce autem divitem illis proventum edentibus, luxuria diffluentes et voluptate honestam disciplinam negligebant, legesque et instituta reipublicæ non amplius diligenter audiebant. Deus autem, ejusmodi flagitiis irritatus, oraculo eos admonet primum quidem quod contra voluntatem ejus Chananæis pepercerint, deinde quod illi, tempus opportunum nacti, crudelitatem eis *pro clementia* sint reposituri. At Israelitæ non solum ægre ferebant hanc Dei admonitionem, sed et a bello abhorrebant, tum quod multa e Chananæis commoda percipiebant, tum quod e luxu ad laborem facti erant segniores. Ac corrumpi jam cœperat optimatium status, et neque senatus legebatur, neque alii quales ante legitimi erant magistratus. Vitam autem in agris agebant, quæstus faciendi voluptati dediti. Atque in tanta licentia et securitate denuo gravis perturbatio incidit; ac eo usque processerunt ut bello se invicem lacesserent, tali de causa.

8. Vir *quidam* e Levitarum plebe, sortis Ephraimiticæ et in ea habitans, ex Bethlemis uxorem ducit : hic autem locus ad tribum Judæ attinet. Quum vero conjugem vehementer amaret, ejusque pulchritudine vinceretur, male se habuit quod pari amore illum non complexa esset. Porro quum illa alieniorem se gereret, ac ille præterea eo magis amore exardesceret, quotidianæ inter eos ortæ sunt querelæ : tandemque mulier, iis pressa et gravata, a viro digressa mense quarto ad parentes revertitur. At quum præ amore ægre id ferret maritus, ad soceros se contulit, ac querimoniis discussis cum uxore in gratiam redit. Et quattuor quidem dies eo loci commoratur, benigne lauteque a parentibus exceptus, quinta autem die, quum decrevisset domum repetere, circa meridiem egressus est; serius enim filiam dimittebant parentes atque moram faciebant ad inclinationem diei. Unus autem eos famulus sequebatur, eisque aderat asina qua mulier vehebatur. Quum autem circa

Ἱεροσόλυμα, (σταδίους δ' ἐληλύθεισαν ἤδη τριάκοντα,) συνεβούλευεν ὁ θεράπων καταχθῆναί που, μὴ καί τι καὶ τῆς νυκτὸς αὐτοὺς ὁδεύοντας καταλάβῃ δύσκολον, καὶ ταῦτα οὐδὲ πόρρω πολεμίων ὄντας, τοῦ καιροῦ πολλάκις ἐπισφαλῆ καὶ ὑποπτα ποιοῦντος καὶ τὰ φίλα. Τῷ δ' οὐκ ἤρεσεν ἡ γνώμη παρ' ἀλλοφύλοις ἀνδράσι ξενοῦσθαι, (Χαναναίων γὰρ ἦν ἡ πόλις,) ἀλλὰ προελθόντες εἴκοσι στάδια εἰς οἰκείαν ἠξίου κατάγεσθαι πόλιν. Καὶ κρατήσας τῇ γνώμῃ παρῆν εἰς Γαβὰν φυλῆς τῆς Βενιαμίτιδος. Ἤδη δὲ ὀψίας οὔσης καὶ μηδενὸς ἐπὶ ξενίαν τῶν κατὰ τὴν ἀγορὰν αὐτὸν παρακαλοῦντος, πρεσβύτης ἐξ ἀγροῦ κατιών, τῆς μὲν Ἐφραϊμίτιδος φυλῆς ὤν, ἐν δὲ τῇ Γαβᾷ διαιτώμενος, συντυγχάνων αὐτῷ τίς τε ὢν ἤρετο καὶ δι' ἃς αἰτίας στελλόμενος σκότους ἤδη τὰ πρὸς τὸ δεῖπνον αὐτῷ λαμβάνοι. Ὁ δὲ Λευίτης μὲν ἔφησεν εἶναι, γύναιον δὲ παρὰ τῶν γονέων ἄγων, πρὸς αὐτὸν ἀπιέναι· τὴν δ' οἴκησιν ἐδήλωσε τυγχάνειν ἐν τῇ Ἐφραίμου κληρουχίᾳ. Ὁ δὲ πρεσβύτης, καὶ διὰ τὴν συγγένειαν καὶ διὰ τὸ τὴν αὐτὴν φυλὴν νέμειν, καὶ μὴν διὰ τὴν συντυχίαν, παρ' αὐτὸν ξενισθησόμενον ἦγε. Νεανίαι δέ τινες τῶν Γαβαηνῶν, ἐπὶ τῆς ἀγορᾶς τὸ γύναιον θεασάμενοι καὶ τὴν εὐπρέπειαν θαυμάσαντες, ἐπεὶ παρὰ τῷ πρεσβύτῃ κατηγμένην ἔμαθον, καταφρονήσαντες τῆς ἀσθενείας καὶ τῆς ὀλιγότητος ἦκον ἐπὶ τὰς θύρας. Τοῦ δὲ πρεσβύτου παρακαλοῦντος ἀπαλλάττεσθαι καὶ μὴ προσφέρειν βίαν μηδὲ ὕβριν, ἠξίουν αὐτὸν παρασχόντα τὴν ξένην πραγμάτων ἀπηλλάχθαι. Ὡς δὲ συγγενῆ τε λέγοντος καὶ Λευῖτιν τοῦ πρεσβύτου, καὶ δράσειν αὐτοὺς δεινὰ ὑφ' ἡδονῆς εἰς τοὺς νόμους ἐξαμαρτάνοντας, ὠλιγώρουν τοῦ δικαίου καὶ κατεγέλων, ἠπείλουν δὲ ἀποκτείνειν αὐτὸν ἐμποδίζοντα ταῖς ἐπιθυμίαις αὐτῶν, εἰς ἀνάγκην περιηγμένος καὶ μὴ βουλόμενος τοὺς ξένους περιιδεῖν ὑβρισθέντας, τῆς ἑαυτοῦ θυγατρὸς αὐτοῖς παρεχώρει, πληρώσειν τε τὴν ἐπιθυμίαν αὐτοὺς λέγων νομιμώτερον, δίχα τῆς εἰς τοὺς ξένους ὕβρεως, αὐτός τε μηδὲν ἀδικήσειν οὓς ὑπεδέξατο τούτῳ τῷ τρόπῳ νομίζων. Ὡς δ' οὐδὲν τῆς σπουδῆς τῆν ἐπὶ τὴν ξένην ἐνεδίδοσαν, ἀλλ' ἐνέκειντο ταύτην παραλαβεῖν ἀξιοῦντες, ὁ μὲν ἱκέτευε μηδὲν τολμᾶν παράνομον, οἱ δ' ἁρπασάμενοι καὶ προσθέμενοι μᾶλλον τῷ βιαίῳ τῆς ἡδονῆς ἀπήγαγον πρὸς αὐτοὺς τὴν γυναῖκα, καὶ δι' ὅλης τῆς νυκτὸς ἐμπλησθέντες τῆς ὕβρεως ἀπέλυσαν περὶ ἀρχομένην ἡμέραν. Ἡ δὲ τεταλαιπωρημένη τοῖς συμβεβηκόσιν παρῆν ἐπὶ τὴν ξενίαν, καὶ ὑπὸ λύπης ὧν ἐπεπόνθει καὶ τοῦ μὴ τολμᾶν ὑπ' αἰσχύνης εἰς ὄψιν ἐλθεῖν τάνδρὶ (τοῦτον γὰρ μάλιστα τοῖς γεγενημένοις ἔχειν ἀνιάτως ἐλογίζετο) καταπεσοῦσα τὴν ψυχὴν ἀφίησιν. Ὁ δὲ ἀνὴρ αὐτῆς, οἰόμενος ὕπνῳ βαθεῖ κατεσχῆσθαι τὴν γυναῖκα καὶ μηδὲν σκυθρωπὸν ὑφορώμενος, ἀνεγείρειν ἐπειρᾶτο, παραμυθήσασθαι διεγνωκὼς, ὡς οὐκ ἐξ ἑκουσίου γνώμης αὐτὴν παράσχοι τοῖς καθυβρίσασιν, ἀλλὰ ἁρπασαμένων ἐπὶ τὴν ξενίαν αὐτῶν. Ὡς δὲ τελευτήσασαν ἔμαθεν, σωφρόνως πρὸς τὸ μέγεθος τῶν κακῶν

Hierosolyma essent, (triginta enim stadia *jam* fuerant progressi,) famulus suadebat ut aliquo diverterent, ne nocte iter facientes in pericula et difficultates inciderent, præsertim quum non longe abessent ab hostibus, tempore sæpe etiam amica loca parum tuta et suspecta reddente. Verum Levitæ non placuit id consilii, ut alienigenarum uteretur hospitio, (nam Chananæorum urbs erat,) sed *melius esse* censebat ut viginti stadiis emensis ad Israelitarum urbem diverterent. Illique quum assensum esset, inde pervenerunt ad Gabam tribus Benjamitidis *oppidum*. Quum vero sol jam occubuisset, ac nemo eorum, qui tum in foro versabantur, eos domum hospitio excepturus invitaret, senex rure rediens, qui de tribu quidem erat Ephraimitide, Gabæ vero tum commorabatur, illi obviam factus, quærit ab eo quisnam sit, et quam ob rem *illuc* veniens sub tenebras necessaria ad cœnam sibi peteret. Cui ille se quidem Levitam esse fatetur, uxoremque a parentibus domum abducere, habitare vero se referebat in sorte Ephraimitide. Senex autem quum propter cognationem, tum quod ipse in eadem tribu domicilium habuerit, et porro quod fortuito in eum inciderit, voluit ut apud se in hospitium diverteret. Gabaonitæ autem quidam adolescentes, qui mulierculam in foro viderant et formæ venustatem admirati erant, postquam apud senem diversari cognoverant, contempta imbecillitate *eorum* simul ac paucitate venerunt ad januas. Sene vero eis ut discederent supplicante, atque ut vi abstinerent et injuria, ipsum rogabant ut, facta peregrinæ copia, se negotio expediret. Quum autem senex diceret cognatam esse et Levitin, illosque atrox flagitium commissuros, qui propter voluptatem leges violarent, *illi* jus fasque despectui habebant et deridebant: quin et illum interficere minabantur, si libidini suæ diutius obstaret. At *senex* in angustias redactus nolensque ut hospites sineret contumelia affici, suam eis filiam cessit et produxit, dicensque minus esse peccati ut ea cupiditatem suam explerent quam ut hospites injuriæ exponeret, ratusque se hoc modo nihil injusti in eos, quos exceperat, commissurum. Quum vero illi nihil de eo quo in hospitem ferebantur desiderio remitterent, sed acrius instarent ut eam acciperent flagitantes, is quidem supplex orabat ne quid iniqui perpetrare auderent. At illi, magna vi usi ac magis magisque libidine furentes, abreptam mulierem domum ad se abducunt: eamque per totam noctem constuprantes et ludibrio habentes sub ortum auroræ dimiserunt. Illa vero iis, quæ ei acciderant, graviter afflicta ad hospitium revertitur: ac dolore plena ob ea quæ pertulerat, et præ pudore non ausa in conspectum mariti venire, (illum enim ægritudine insanabili laboraturum esse existimabat,) humi collapsa animam efflavit. Ejus autem maritus, eam somno profundo oppressam arbitrans, et nihil gravius suspicans, suscitare conabatur, quod eam consolari decreverit, utpote quæ se non sponte contumeliosis hominibus submiserit, sed illi eam in *illud* hospitium rapuerint. Ut vero defunctam esse intellexit, satis prudenter pro calamitatis magnitudine,

ἐπιθέμενος τῷ κτήνει νεκρὰν τὴν γυναῖκα κομίζει πρὸς αὐτὸν, καὶ διελὼν αὐτὴν κατὰ μέλος εἰς μέρη δώδεκα διέπεμψεν εἰς ἑκάστην φυλὴν, ἐντειλάμενος τοῖς κομίζουσι λέγειν τοὺς αἰτίους τῆς τελευτῆς γυναικὶ καὶ τὴν παροινίαν ταῖς φυλαῖς.

θ'. Οἱ δὲ ὑπό τε τῆς ὄψεως καὶ τῆς ἀκοῆς τῶν βεβιασμένων κακῶς διατεθέντες, πρότερον οὐδενὸς τοιούτου πεῖραν εἰληφότες, ὑπ' ὀργῆς ἀκράτου καὶ δικαίας εἰς τὴν Σιλοῦν συλλεγέντες καὶ πρὸ τῆς σκηνῆς ἀθροισθέντες εἰς ὅπλα χωρεῖν εὐθὺς ὥρμηντο καὶ χρήσασθαι τοῖς Γαβαηνοῖς ὡς πολεμίοις. Ἐπέσχε δ' αὐτοὺς ἡ γερουσία, πείσασα μὴ δεῖν ὀξέως οὕτω πρὸς τοὺς ὁμοφύλους ἐκφέρειν πόλεμον, πρὶν ἢ λόγοις διαλεχθῆναι περὶ τῶν ἐγκλημάτων, τοῦ νόμου μηδ' ἐπὶ τοὺς ἀλλοτρίους ἐφιέντος δίχα πρεσβείας καὶ τοιαύτης πρὸς τὸ μετανοῆσαι πείρας τοὺς δόξαντας ἀδικεῖν στρατιὰν ἀγαγεῖν. Καλῶς οὖν ἔχειν τῷ νόμῳ πειθομένους πέμψαι πρὸς τοὺς Γαβαηνοὺς ἐξαιτοῦντας τοὺς αἰτίους, καὶ παρεχομένων μὲν ἀρκεῖσθαι τῇ τούτων κολάσει, καταφρονησάντων δὲ τότε τοῖς ὅπλοις αὐτοὺς ἀμύνασθαι. Πέμπουσιν οὖν πρὸς τοὺς Γαβαηνοὺς κατηγοροῦντες τῶν νεανίσκων τὰ περὶ τὴν γυναῖκα καὶ πρὸς τιμωρίαν αἰτοῦντες τοὺς δράσαντας μὲν οὐ νόμιμα, γενομένους δὲ δικαίους ἀντ' αὐτῶν ἐκείνων ἀποθανεῖν. Οἱ δὲ Γαβαηνοὶ οὔτε τοὺς νεανίσκους ἐξέδοσαν καὶ δεινὸν ἀλλοτρίοις ὑπακούειν προστάγμασιν ἡγοῦντο πολέμου φόβῳ, μηδενὸς ἀξιοῦντες εἶναι χείρους ἐν τοῖς ὅπλοις, μήτε διὰ πλῆθος μήτε δι' εὐψυχίαν. Ἦσαν δὲ ἐν παρασκευῇ μεγάλῃ μετὰ καὶ τῶν ἄλλων φυλετῶν· συναπενοήθησαν γὰρ αὐτοῖς ὡς ἀμυνόμενοι βιαζομένους.

ι'. Ὡς δὲ τοιαῦτα ἠγγέλθη τοῖς Ἰσραηλίταις τὰ παρὰ τῶν Γαβαηνῶν, ὅρκους ποιοῦνται μηδένα σῴων ἀνδρὶ Βενιαμίτῃ δώσειν πρὸς γάμον θυγατέρα, στρατεύσειν τε ἐπ' αὐτοὺς μᾶλλον αὐτοῖς δι' ὀργῆς ὄντας ἢ τοῖς Χαναναίοις τοὺς προγόνους ἡμῶν παρειληφαμεν γενομένους. Παραχρῆμά τε ἐξῆγον ἐπ' αὐτοὺς τὸ στρατόπεδον μυριάδας τεσσαράκοντα ὁπλιτῶν, Βενιαμιτῶν δ' ὁπλιτικὸν ἦν δισμυρίων καὶ πεντακισχιλίων καὶ ἑξακοσίων, ὧν ἦσαν εἰς πεντακοσίους ταῖς λαιαῖς τῶν χειρῶν σφενδονᾶν ἄριστοι· ὥστε καὶ μάχης πρὸς τῇ Γαβᾷ γενομένης τρέπουσιν οἱ Βενιαμῖται τοὺς Ἰσραηλίτας, ἄνδρες τε πίπτουσιν ἐξ αὐτῶν εἰς δισμυρίους καὶ δισχιλίους· ἐφθάρησαν δὲ ἴσως ἂν καὶ πλείονες, εἰ μὴ νὺξ αὐτοὺς ἐπέσχε καὶ διέλυσε μαχομένους. Καὶ οἱ μὲν Βενιαμῖται χαίροντες ἀνεχώρουν εἰς τὴν πόλιν, οἱ δ' Ἰσραηλῖται καταπεπληγότες ὑπὸ τῆς ἥττης εἰς τὸ στρατόπεδον. Τῇ δ' ἐπιούσῃ πάλιν συμβαλόντων οἱ Βενιαμῖται κρατοῦσι, καὶ θνήσκουσι τῶν Ἰσραηλιτῶν ὀκτακισχίλιοι καὶ μύριοι, καὶ δείσαντες τὸν φόνον ἐξέλιπον τὸ στρατόπεδον. Παραγενόμενοι δὲ εἰς Βέθηλα, πόλιν ἔγγιστα κειμένην, καὶ νηστεύσαντες κατὰ τὴν ὑστεραίαν τὸν Θεὸν ἱκέτευον διὰ Φινεέσου τοῦ ἀρχιερέως παύσασθαι τῆς ὀργῆς τῆς πρὸς αὐτοὺς, καὶ ταῖς δυσὶν αὐτῶν ἥτταις ἀρκεσθέντα δοῦναι νίκην καὶ κράτος

mortuam mulierem jumento imposuit domumque reportavit, eamque membratim in duodecim partes dissecans ad tribum unamquamque dimisit, mandans perferentibus ut indicarent per tribus qui mulieri causa mortis fuerint eorumque petulantiam.

9. Illi autem et aspectu et auditu facinoris atrocitatis graviter commoti, qui antea nihil ejusmodi experti erant, iraque sincera et justa perciti, ad Siluntem convenerunt, et ante tabernaculum in concionem coacti, statim ut arma caperent magno studio decreverunt, et ut Gabaenos prohostibus haberent. Eos autem reprimebat senatus, suadens non oportere ita subito bellum inferri popularibus, priusquam querelæ verbis disceptatæ sint, quum lex ne in externos quidem permittat producere exercitum, nisi legatione prius missa, tentatisque viis similibus qui injuriam fecisse videantur ad saniorem mentem revocentur. Æquum igitur esse ut juxta legem ad Gabaenos *legati* mittantur, qui *sceleris* auctores *ad supplicium* deposcant, et illis quidem deditis, horum pœna se contentos esse debere; si vero contumaces fuerint, bello in eos vindicandum. Itaque mittunt ad Gabaenos juvenes accusatum de iis quæ mulieri acciderant, et ad pœnam eos postulatum eos qui nefaria perpetrarant et digni erant qui ob hæc ipsa morte plectantur. Gabaeni vero juvenes non dediderunt, et sibi contumeliæ esse existimarunt si alienis imperatis metu belli parerent, videri volentes nulli alii *populo* armis cedere aut per copiarum numerum aut virtutem. Magnus autem iis erat belli apparatus et ceteris etiam tribulibus: simul enim *hi* cum iis insolentia efferebantur tanquam adeos qui vim afferrent ulciscendos.

10. Ut vero Israelitis renunciata erant quæ facere in animum induxerant Gabaeni, jurant neminem ipsorum viro Benjamitæ filiam nuptum daturum, seque eos bello prosequuturos, magis iis irascentes quam majores nostros Chananæis *succensuisse* accepimus. Ac confestim contra eos eduxerunt exercitum quadringentorum millium armatorum, Benjamitarum arma ferentium quum essent viginti quinque millia sexcenti, ex quibus erant quingenti qui sinistra manu optimi erant funditores. Itaque apud Gabam prælio commisso, Benjamitæ in fugam vertunt Israelitas: virique ex eis ceciderunt ad viginti duo millia: et fortasse plures perlissent, nisi nox eos inhibuisset et prælium diremisset. Et Benjamitæ quidem gaudio exsultantes in urbem se recipiunt, Israelitæ vero in castra ex clade animo consternati. At sequenti die iterum acie congressi sunt, et Benjamitæ altera victoria potiuntur: atque Israelitarum cadunt octodecim millia, et cædem metuentes castra deseruerunt. Quum autem accessissent ad Bethela urbem in proximo sitam, et postridie jejunium egissent, Deo per Phineesen pontificem supplicabant ut sibi succensere desineret, atque duabus cladibus illatis contentus victoriam largiri dignaretur et vires

προελθόντες καὶ κατασκεψάμενοι γῆν ἀγαθὴν καὶ πάμφορον σημαίνουσι τοῖς αὐτῶν, οἱ δ' ὁρμηθέντες στρατῷ κτίζουσιν αὐτόθι πόλιν Δάνα, δμώνυμον τῷ Ἰακώβου παιδὶ, φυλῆς δ' ἐπώνυμον τῆς αὐτῶν.

β'. Τοῖς δ' Ἰσραηλίταις προὔβαινεν ὑπό τε ἀπειρίας τοῦ πονεῖν τὰ κακὰ καὶ ἀπὸ τῆς περὶ τὸ θεῖον ὀλιγωρίας. Μετακινηθέντες γὰρ ἅπαξ τοῦ κόσμου τῆς πολιτείας ἐπεφέροντο πρὸς τὸ καθ' ἡδονὴν καὶ βούλησιν ἰδίαν βιοῦν, ὡς καὶ τῶν ἐπιχωριαζόντων παρὰ τοῖς Χαναναίοις ἀναπίμπλασθαι κακῶν. Ὀργίζεται τοίνυν αὐτοῖς ὁ Θεὸς, καὶ ἦν σὺν πόνοις μυρίοις εὐδαιμονίαν ἐκτήσαντο, ταύτην ἀπέβαλον διὰ τρυφήν. Στρατεύσαντος γὰρ ἐπ' αὐτοὺς Χουσάρθου τοῦ τῶν Ἀσσυρίων βασιλέως, πολλούς τε τῶν παραταξαμένων ἀπώλεσαν καὶ πολιορκούμενοι κατὰ κράτος ἡρέθησαν. Εἰσὶ δ' οἱ διὰ φόβον ἑκουσίως αὐτῷ προσεχώρησαν, φόρους τε τοῦ δυνατοῦ μείζονας ἐπιταγέντες ἐτέλουν, καὶ ὕβρεις παντοίας ὑπέμενον ἕως ἐτῶν ὀκτώ. Μεθ' ἃ τῶν κακῶν οὕτως ἠλευθερώθησαν.

[Δ'.] γ'. Τῆς Ἰούδα φυλῆς τις Ὀθνίηλος τοὔνομα, Κενέζου υἱὸς, ὁραστήριος ἀνὴρ καὶ τὸ φρόνημα γενναῖος, χρησθὲν αὐτῷ μὴ περιορᾶν ἐν τοιαύτῃ τοὺς Ἰσραηλίτας ἀνάγκῃ κειμένους, ἀλλ' εἰς ἐλευθερίαν αὐτοὺς ἑξαιρεῖσθαι τολμᾶν, παρακελευσάμενος συλλαμβάνεσθαι τῶν κινδύνων τινὰς αὐτῷ, (ὀλίγοι δ' ἦσαν, οἷς αἰδὼς ἐπὶ τοῖς τότε παροῦσιν ἐτύγχανε καὶ προθυμία μεταβολῆς,) πρῶτον μὲν τὴν παρ' αὐτοῖς οὖσαν φρουρὰν τοῦ Χουσάρθου διαφθείρει, προσγενομένων δὲ πλειόνων τῶν συναγωνιζομένων ἐκ τοῦ μὴ διαμαρτεῖν περὶ τὰ πρῶτα τῆς ἐπιχειρήσεως, μάχην τοῖς Ἀσσυρίοις συνάπτουσι, καὶ πρὸς τὸ παντελὲς αὐτοὺς ἀπωσάμενοι, περαιοῦσθαι τὸν Εὐφράτην ἐβιάζοντο. Ὀθνίηλος δὲ, ὡς ἔργῳ πεῖραν αὑτοῦ δεδωκὼς τῆς ἀνδραγαθίας, γέρας ὑπὲρ αὐτῆς λαμβάνει παρὰ τοῦ πλήθους ἀρχὴν, ὥστε κρίνειν τὸν λαόν. Καὶ ἄρξας ἐπ' ἔτη τεσσαράκοντα, καταστρέφει τὸν βίον.

ΚΕΦ. Δ'.

Τελευτήσαντος δὲ τούτου πάλιν τὰ τῶν Ἰσραηλιτῶν ὑπὸ ἀναρχίας ἐνόσει πράγματα, καὶ τῷ μὴ διὰ τιμῆς ἄγειν τὸν Θεὸν μηδὲ τοῖς νόμοις ὑπακούειν ἔτι μᾶλλον ἐκακοῦντο, ὡς καταφρονήσαντα αὐτῶν τῆς ἀκοσμίας τῆς κατὰ τὴν πολιτείαν Ἐγλῶνα, τὸν τῶν Μωαβιτῶν βασιλέα, πόλεμον πρὸς αὐτοὺς ἐξενεγκεῖν, καὶ πολλαῖς μάχαις αὐτῶν κρατήσαντα καὶ τοὺς φρονήματι τῶν ἄλλων διαφέροντας ὑποτάξαντα πρὸς τὸ παντελὲς αὐτῶν τὴν δύναμιν ταπεινῶσαι, καὶ φόρους αὐτοῖς ἐπιτάξαι τελεῖν. Καθιδρύσας δ' αὐτῷ ἐν Ἰεριχοῦντι βασίλειον οὐδὲν τῆς εἰς τὸ πλῆθος κακώσεως παρέλιπεν εἰς τε πενίαν αὐτοὺς κατέστησεν, εἰς ὀκτωκαίδεκα ἔτη. Λαβὼν δ' οἶκτον ὁ Θεὸς τῶν Ἰσραηλιτῶν ἐφ' οἷς ἔπασχον, καὶ ταῖς ἱκετείαις αὐτῶν ἐπικλασθείς, ἀπήλλαξε τῆς ὑπὸ τοῖς Μωαβίταις ὕβρεως. Ἠλευθερώθησαν δὲ τῷ τρόπῳ τούτῳ.

progressi, et speculati terram bonam et fertilem, suos de ea certiores faciunt: qui mox cum exercitu illuc profecti Dana urbem condiderunt, cognominem uni ex Jacobi filiis, et a sua tribu denominatam.

2. Israelitis autem res in pejus lapsæ sunt, quod a labore essent desuefacti cultumque Dei negligerent. Nam quum semel ab honestæ institutionis disciplina defecerant, eo ferebantur ut pro libidine suoque arbitratu vitam agerent: quo factum est ut patriis et familiaribus Chananæorum vitiis ad satietatem usque indulgerent. Eis igitur irascitur Deus, ac felicitate, quam infinitis pæne laboribus adepti erant, luxu diffluentes exciderunt. Nam bellum eis inferente Chusarthe Assyriorum rege, et multos acie dimicantes amiserunt, et obsidione valida capti sunt. Quidam vero per timorem sese ei sponte addixerunt, et tributa, quæ vix solvendo erant, imperata solvere tenebantur, et omne genus contumelias per octo annos sufferebant. Quibus exactis hoc modo a calamitate sua liberati sunt.

[IV.] 3. Quidam e tribu Judæ, nomine Hothnielus, Cenezi filius, vir impiger magnique animi, oraculo monitus ne despiceret Israelitas in hujusmodi necessitatem adductos, sed in libertatem eos vindicare auderet, quum sibi aliquot periculi socios adscivisset, (pauci autem erant quos præsentis rerum status pudebat, quive eum in melius mutari desiderabant,) primo quidem præsidium suis a Chusarthe impositum interficit; numero vero commilitonum illi crescente ex eo, quod in primis ad quæ aggressus est non lapsus fuerit, prælium committunt cum Assyriis, et, quum eos universos in fugam conjecissent, Euphratem trajicere coegerunt. Hothnielus autem, ut qui re vera egregium fortitudinis suæ specimen dederit, in rei bene gestæ præmium principatum a populo accepit, ut eos judicaret. Et quum annis quadraginta imperasset, vitam cum morte commutavit.

CAP. IV. (V.)

Hoc autem mortuo rursum res Israelitarum, quum nemo populum imperio regeret, in pejus ruere cœperunt, et, quod nec Deo tribuerint honorem, nec legibus obedientiam, adhuc magis affligebantur, postquam Eglon, Moabitarum rex, qui propter relpublicæ perturbationem eos despiceret, bello adortus ipsos erat; et, quum multis prœliis eos vicisset, animoque ceteris elatiores sibi subjecisset, potentiam eorum prorsus depressit et tributa iis solvenda imperavit. Sede autem regia in Hierichunte sibi constituta, modis omnibus populum vexavit, fecitque ut in inopia per annos octodecim degerent. At Deus, Israelitarum ob calamitates quas perferebant misertus, atque precibus eorum supplicibus flexus, eos a Moabitarum injuriis liberavit. Hoc autem modo liberationem iis peperit.

β'. Τῆς Βενιαμίτιδος φυλῆς νεανίας, Ἠούδης μὲν τοὔνομα, Γήρᾳ δὲ πατρὸς, τολμῆσαί τε ἀνδρειότατος καὶ τῷ σώματι πρὸς τὰ ἔργα χρήσασθαι δυνατώτατος, τῶν χειρῶν τὴν ἀριστερὰν ἀμείνων καὶ ἀπ' ἐκείνης τὴν ἅπασαν ἰσχὺν ἔχων, κατῴκει μὲν ἐν Ἱεριχοῦντι καὶ αὐτὸς, συνήθης δὲ γίνεται τῷ Ἐγλῶνι, δωρεαῖς αὐτὸν θεραπεύων καὶ ὑπερχόμενος, ὡς διὰ τοῦτο καὶ τοῖς περὶ τὸν βασιλέα προσφιλῆ τυγχάνειν αὐτόν. Καί ποτε σὺν δυσὶν οἰκέταις δῶρα τῷ βασιλεῖ φέρων ξιφίδιον κρύφα τῷ δεξιῷ σκέλει περιδησάμενος εἰσῆλθε πρὸς αὐτόν· ὥρα δ' ἦν θέρους, καὶ τῆς ἡμέρας ἤδη μεσούσης ἀνεῖντο αἱ φυλακαὶ, ὑπό τε τοῦ καύματος καὶ πρὸς ἄριστον τετραμμένων. Δοὺς οὖν τὰ δῶρα τῷ Ἐγλῶνι ὁ νεανίσκος (διέτριβε δ' ἔν τινι δωματίῳ δεξιῶς πρὸς θέρος ἔχοντι) πρὸς ὁμιλίαν ἐτράπετο. Μόνοι δ' ἦσαν, τοῦ βασιλέως καὶ τοὺς ἐπεισιόντας τῶν θεραπόντων ἀπιέναι κελεύσαντος, διὰ τὸ πρὸς Ἠούδην ὁμιλεῖν. Καθῆστο δὲ ἐπὶ θρόνου, καὶ δέος εἰσῆλθε τὸν Ἠούδην μὴ διαμάρτῃ καὶ μὴ δῷ καιρίαν πληγήν. Ἀνίστησιν οὖν αὐτὸν, ὄνερ εἰπὼν ἔχειν ἐκ προστάγματος αὐτῷ δηλῶσαι τοῦ Θεοῦ. Καὶ ὁ μὲν πρὸς τὴν χαρὰν τὴν τοῦ ὀνείρατος ἀνεπήδησεν ἀπὸ τοῦ θρόνου. Πλήξας δ' αὐτὸν ὁ Ἠούδης εἰς τὴν καρδίαν καὶ τὸ ξιφίδιον ἐγκαταλιπὼν ἔξεισι προσκλίνας τὴν θύραν. Οἵ τε θεράποντες ἠρέμουν, εἰς ὕπνον τετράφθαι νομίζοντες τὸν βασιλέα.

γ'. Ὁ δὲ Ἠούδης τοῖς Ἱεριχουντίοις ἀποσημαίνων κρυπτῶς παρεκάλει τῆς ἐλευθερίας ἀντιλαμβάνεσθαι. Οἱ δὲ ἀσμένως τοῦτ' ἀκούσαντες αὐτοί τε εἰς τὰ ὅπλα ἦσαν καὶ διέπεμπον εἰς τὴν χώραν τοὺς ἀποσημαίνοντας κέρασιν οἴων· τούτοις γὰρ συγκαλεῖν τὸ πλῆθος πάτριον ἦν. Οἱ δὲ περὶ τὸν Ἐγλῶνα πολὺν μὲν χρόνον ἠγνόουν τὸ συμβεβηκὸς αὐτῷ πάθος· ἐπεὶ δὲ πρὸς ἑσπέραν ἦν, δείσαντες μή τι νεώτερον εἴη περὶ αὐτὸν γεγονὸς, εἰσῆλθον εἰς τὸ δωμάτιον, καὶ νεκρὸν εὑρόντες ἐν ἀμηχανίᾳ καθειστήκεσαν· καὶ πρὶν τὴν φρουρὰν συστραφῆναι, τὸ τῶν Ἰσραηλιτῶν αὐτοῖς ἐπέρχεται πλῆθος. Καὶ οἱ μὲν παραχρῆμα ἀναιροῦνται, οἱ δὲ εἰς φυγὴν τρέπονται, ὡς ἐπὶ τὴν Μωαβῖτιν σωθησόμενοι· ἦσαν δὲ ὑπὲρ μυρίους. Καὶ Ἰσραηλῖται, προκατειληφότες τοῦ Ἰορδάνου τὴν διάβασιν, διώκοντες ἔκτεινον, καὶ κατὰ τὴν διάβασιν πολλοὺς αὐτῶν ἀναιροῦσιν, διέφυγέ τε οὐδὲ εἷς τὰς χεῖρας αὐτῶν. Καὶ οἱ μὲν Ἑβραῖοι τούτῳ τῷ τρόπῳ τῆς ὑπὸ τοῖς Μωαβίταις δουλείας ἀπηλλάγησαν· Ἠούδης δὲ, ἐκ τῆς αἰτίας ταύτης τιμηθεὶς τοῦ πλήθους παντὸς ἡγεμονίᾳ, τελευτᾷ τὴν ἀρχὴν ἔτεσιν ὀγδοήκοντα κατασχών, ἀνὴρ καὶ δίκα τῆς προειρημένης πράξεως ἐπαίνου δίκαιος τυγχάνειν. Καὶ μετὰ τοῦτον Σανάγαρος, ὁ Ἀνάθου παῖς, αἱρεθεὶς ἄρχειν ἐν τῷ πρώτῳ τῆς ἀρχῆς ἔτει κατέστρεψε τὸν βίον.

2. Juvenis e tribu Benjamitide, nomine quidem Ehudes, Gera vero patre *natus*, tam ad magna audenda animi plenus, quam ad eadem exsequenda corpore validissimus, melior manuum sinistra et ab ea omne robur trahens, is Hierichunte quidem et ipse habitabat, familiarior vero factus est Egloni, muneribus ipsum *sibi* concilians et pleniori obsequio devinciens, ita ut eo nomine etiam ceteris, qui circa regem erant, carus admodum haberetur. Ac quum aliquando, duobus famulis comitatus, munera regi ferret, sica sub veste accinctus ad femur dextrum introiit ad regem. Erat autem æstatis tempus, et, quum jam meridies esset, remissius agebant custodes, tum propter æstum, tum quod ad prandium diverterint. Juvenis igitur, oblatis Egloni muneribus, (morabatur enim in cubiculo quodam æstati bene accommodato,) confabulari cum eo cœpit. Ac soli erant, rege famulos qui ingrederentur foras abire jubente, ut cum Ehude colloqueretur. Sedebat autem in solio, et timor incessit Ehuden ne falleret ictus et plagam minime letalem inferret. Ipsum igitur suscitavit, dicens se habere somnium ei ex Dei mandato narrandum. Et ille quidem præ gaudio, quod somnium esset auditurus, e throno exsiluit : Ehudes vero, ictu ei in cor impacto, et pugione in vulnere relicto, egreditur clausis post se foribus; ac famuli quiescebant, regem in somnum delapsum esse rati.

3. Ehudes vero, Hierichuntinis re clam indicata, ipsos hortabatur ut sese in libertatem assererent. Illi vero libenter hæc accipientes et ipsi ad arma accurrebant, et per totam regionem dimittebant qui id cornuum arietinorum sonitu significarent : hisce enim mos patrius erat populum convocare. Eglonis autem domestici diu ignorabant id quod ei acciderat : sed quum jam advesperasceret, veriti ne quid illi novi et insoliti contigisset, in cubiculum ingressi sunt; quumque mortuum invenissent, consilii inopes hærebant, et antequam præsidia in agmina cogi poterant, illis magno numero superveniunt Israelitæ. Et alii quidem e vestigio perempti sunt, alii vero fuga dilabuntur, ut in terram Moabiticam evaderent : erant autem ultra decem millia. Et Israelitæ, qui vada Jordanis præoccupaverant qua transitus erat, persequentes eos interimunt : et in ipso trajectu plurimos ex iis conficiunt, nec quisquam e manibus ipsorum effugit. Et Hebræi quidem hoc modo e servitute Moabitica liberati sunt. Ehudes autem ob hanc causam totius populi principatu honoratus est; et vita decedit, quum imperium per annos octoginta tenuisset : vir, etiamsi facinus præclarum jam memoratum non fecisset, laude dignus. Ac post hunc Sanagarus Anathi filius, electus ut regnaret, primo imperii anno vitam finivit.

ΚΕΦ. Ε'.

Ἰσραηλῖται δὲ πάλιν, (οὐδὲν γὰρ ἐπὶ διδαχῇ τοῦ κρείττονος ἐλάμβανον τῶν πρότερον ἠτυχημένων, ὑπό τε τοῦ μήτε σέβειν τὸν Θεὸν μήθ' ὑπακούειν τοῖς νόμοις,) πρὶν ἢ καὶ τῆς ὑπὸ Μωαβίταις ἀναπνεῦσαι δουλείας πρὸς ὀλίγον, ὑπὸ Ἰαβίνου τοῦ τῶν Χαναναίων βασιλέως καταδουλοῦνται. Οὗτος γὰρ ἐξ Ἀσώρου πόλεως ὁρμώμενος, (αὕτη δ' ὑπέρκειται τῆς Σεμεχωνίτιδος λίμνης,) στρατοῦ μὲν ὁπλιτῶν τριάκοντα ἔτρεφε μυριάδας, μυρίους δὲ ἱππέας, τρισχιλίων δὲ ἁρμάτων ἠνώρει. Ταύτης οὖν στρατηγῶν τῆς δυνάμεως ὁ Σισάρης, τιμῆς τῆς πρώτης παρὰ τῷ βασιλεῖ τυγχάνων, συνελθόντας πρὸς αὐτὸν τοὺς Ἰσραηλίτας ἐκάκωσε δεινῶς, ὥστε αὐτοῖς ἐπιτάξαι τελεῖν φόρους.

β'. Εἴκοσι μὲν οὖν ἔτη ταῦτα πάσχοντες ἤνυσαν, μήτε αὐτοὶ φρονεῖν ὑπὸ τῆς δυστυχίας ὄντες ἀγαθοὶ καὶ τοῦ Θεοῦ πλείονι χρόνῳ δαμάσαι θέλοντος αὐτῶν τὴν ὕβριν καὶ τὴν περὶ αὐτὸν ἀγνωμοσύνην, ἵνα μεταθέμενοι τοῦ λοιποῦ, σωφρονῶσι διδαχθέντες τὰς συμφορὰς αὐτοῖς ἐκ τῆς περιφρονήσεως τῶν νόμων ὑπάρξαι, Δεβώραν τινὰ προφῆτιν (μέλισσαν δὲ σημαίνει τοὔνομα κατὰ τὴν Ἑβραίων γλῶσσαν) ἱκέτευον δεηθῆναι τοῦ Θεοῦ λαβεῖν οἶκτον αὐτῶν καὶ μὴ περιιδεῖν ἀπολλυμένους αὐτοὺς ὑπὸ Χαναναίων. Ὁ δὲ Θεὸς ἐπένευσε σωτηρίαν αὐτοῖς, καὶ στρατηγὸν αἱρεῖται Βάρακον τῆς Νεφθαλίτιδος ὄντα φυλῆς. Βάρακος δέ ἐστιν ἀστραπὴ κατὰ τὴν Ἑβραίων γλῶσσαν.

γ'. Μεταπεμψαμένη δ' ἡ Δεβώρα τὸν Βάρακον, ἐπιλέξαντα τῶν νέων μυρίους ἐκέλευσε χωρεῖν ἐπὶ τοὺς πολεμίους· ἀποχρῆναι γὰρ τοσούτους, τοῦ Θεοῦ προειρηκότος καὶ νίκην ἐπισημήναντος. Βαράκου δὲ φαμένου οὐ στρατηγήσειν μὴ κἀκείνης αὐτῷ συστρατηγούσης, ἀγανακτήσασα, « σὺ μέν, εἶπε, γυναικὶ παρα« χωρεῖς ἀξιώματος ὅσον δέδωκεν ὁ Θεὸς, ἐγὼ δὲ οὐ « παραιτοῦμαι. » Καὶ συναθροίσαντες μυρίους ἐστρατοπεδεύσαντο πρὸς Ἰταβυρίῳ τῷ ὄρει. Ἀπήντα δὲ αὐτοῖς ὁ Σισάρης, τοῦ βασιλέως κελεύσαντος, καὶ στρατοπεδεύονται τῶν πολεμίων οὐκ ἄπωθεν. Τοὺς δ' Ἰσραηλίτας καὶ τὸν Βάρακον, καταπλαγέντας τὸ πλῆθος τῶν πολεμίων καὶ ἀναχωρεῖν διεγνωκότας, ἡ Δεβώρα κατεῖχε, τὴν συμβολὴν ποιεῖσθαι κατ' ἐκείνην κελεύουσα τὴν ἡμέραν· νικήσειν γὰρ αὐτοὺς καὶ συλλήψεσθαι τὸν Θεόν.

δ'. Συνήεσαν οὖν, καὶ προσμιγέντων αὐτῶν χειμὼν ἐπιγίνεται μέγας καὶ ὕδωρ πολὺ καὶ χάλαζα, τόν τε ὑετὸν κατὰ πρόσωπον ἤλαυνε τῶν Χαναναίων ἄνεμος, ταῖς ὄψεσιν αὐτῶν ἐπισκοτῶν, ὡς τὰς τοξείας ἀχρήστους αὐτοῖς εἶναι καὶ τὰς σφενδόνας· οἵ τε ὁπλῖται διὰ τὸ κρύος χρῆσθαι τοῖς ξίφεσιν οὐκ εἶχον. Τοὺς δ' Ἰσραηλίτας ἧττόν τε ἔβλαπτε κατόπιν γινόμενος ὁ χειμὼν καὶ πρὸς τὴν ἔννοιαν τῆς βοηθείας τοῦ Θεοῦ θάρσος ἐλάμβανον, ὥστε, εἰς μέσους ὠσάμενοι τοὺς πολεμίους, πολλοὺς αὐτῶν ἀπέκτειναν. Καὶ οἱ μὲν ὑπὸ τῶν Ἰσρα-

CAP. V. (VI.)

Rursus autem Israelitæ, (meliora enim ex prioribus calamitatibus nequaquam didicerant, ut qui nec Deum colerent nec legibus obtemperarent,) antequam ad breve tempus a Moabitica servitute respirarent, ab Jabino Chananæorum rege subjiciuntur. Is enim ex urbe Asoro ortus, (hæc vero sita est super Semechonitidem lacum,) exercitum quidem peditum alebat ad millia trecenta, equitum vero ad decem millia, currus autem ter mille habebat. His itaque copiis præfectus Sisares, apud regem dignitate primus, Israelitas cum ipso congressos graviter afflixit, adeo ut iis tributa imperarit.

2. Viginti quidem annos hæc pertulerunt, dum nec ipsi infortuniis ad bonitatem non proficiunt, et Deus illorum protervos et in ipsum ingratos animos diutius subigere voluit, ut tandem resipiscerent edocti calamitates e legum contemptu illis accidisse: *tunc autem* Deboram quandam vatem (apem significat nomen istud juxta linguam Hebraicam) obsecrant ut Deum precibus exoraret ut sortis illorum miseraretur, nec se pateretur a Chananæis deleri. Ac Deus salutem illis annuit, et ducem eligit Baracum e tribu Nephthalitide. Baracus vero fulgur significat ex Hebræorum lingua.

3. Debora autem, Baraco accersito, ei præcepit ut juvenum ad decem millia delectu habito, contra hostes proficisceretur: tantum enim copiarum sufficere, quum Deus ita præmonuerit et victoriam prænunciarit. Baraco vero dicente se nolle exercitum ducere, nisi et ipsa sibi in imperio juncta esset, indignata, « tu quidem, aiebat, mu« lieri de honore impertiris, quem Deus in te contulit, ego « vero *illum* non recuso. » Ac quum decem millia collegissent, castra posuerunt ad montem Itabyrium. Illis vero obviam fit Sisares, rege hoc ipsum imperante: et non longe ab hoste cum exercitu consedit. Israelitas autem et Baracum, hostium multitudine territos et de receptu jam cogitantes, retinuit Debora, jussitque ut illa die prælio decertarent: victoriam enim penes ipsos fore, Deumque illis opem et auxilium laturum.

4. Pugnam itaque ineunt, et acie dimicantibus magna ingruit tempestas, cum largo imbre et grandine, ventusque in adversos Chananæorum vultus pluviam egit, oculis eorum caliginem objiciens, ita ut jacula et fundæ illis nulli fuerint usui: gravis etiam armaturæ milites præ torpore gladios tenere non poterant. Israelitas vero tempestas, terga eorum diverberans, et minus offendebat, et inde majores animos sumebant, cogitantes Deum sibi in auxilium venisse, adeo ut in medios hostes irruentes ingentem eorum stragem ediderint. Ac alii quidem ab Israelitis, alii

ηλιτῶν, οἱ δ' ὑπὸ τῆς οἰκείας ἵππου ταραχθέντες ἔπεσον, ὡς ὑπὸ τῶν ἁρμάτων πολλοὺς ἀποθανεῖν. Σισάρης δὲ καταπηδήσας τοῦ ἅρματος, ὡς εἶδε τὴν τροπὴν γινομένην, φυγὼν ἀφικνεῖται παρά τινα τῶν Κενετίδων γυναῖκα, Ἰάλην ὄνομα, ἣ κρύψαι τε ἀξιώσαντα δέχεται καὶ ποτὸν αἰτήσαντι δίδωσι γάλα διεφθορὸς ἤδη. Ὁ δὲ πιὼν τοῦ μέτρου δαψιλέστερον εἰς ὕπνον τρέπεται· ἡ δὲ Ἰάλη κοιμωμένου σιδήρεον ἦλον ἐλάσασα σφύρῃ διὰ τοῦ στόματος κατὰ τοῦ χελυνίου διέπειρε τὸ ἔδαφος καὶ τοῖς περὶ τὸν Βάρακον μικρὸν ὕστερον ἐλθοῦσιν ἐπεδείκνυε τῇ γῇ προσηλωμένον. Καὶ οὕτω μὲν ἡ νίκη αὕτη περιέστη, κατὰ τὰ ὑπὸ Δεβώρας εἰρημένα, εἰς γυναῖκα, Βάρακος δὲ, στρατεύσας ἐπ' Ἀσωρον, Ἰαβῖνόν τε ὑπαντιάσαντα κτείνει καὶ, τοῦ στρατηγοῦ πεσόντος, καθελὼν εἰς ἔδαφος τὴν πόλιν, στρατηγεῖ τῶν Ἰσραηλιτῶν ἐπ' ἔτη τεσσαράκοντα.

ΚΕΦ. Ϛ'.

Τελευτήσαντος δὲ Βαράκου καὶ Δεβώρας κατὰ τὸν αὐτὸν καιρὸν, μετὰ ταῦτα Μαδιανῖται παρακαλέσαντες Ἀμαληκίτας τε καὶ Ἄραβας στρατεύουσιν ἐπὶ τοὺς Ἰσραηλίτας καὶ μάχῃ τε νικῶσι τοὺς συμβαλόντας καὶ τὸν καρπὸν δηώσαντες τὴν λείαν ὑπήγοντο. Τοῦτο δὲ ποιούντων ἐπ' ἔτη ἑπτὰ, εἰς τὰ ὄρη τῶν Ἰσραηλιτῶν ἀνεστάλη τὸ πλῆθος καὶ τῶν πεδίων ἐξεχώρουν, ὑπονόμους τε καὶ σπήλαια ποιησάμενοι, πᾶν ὅ τι τοὺς πολεμίους διέφυγεν ἐν τούτοις εἶχον φυλάττοντες. Οἱ γὰρ Μαδιανῖται, κατὰ ὥραν ἔτους στρατεύοντες, τὸν χειμῶνα γεωργεῖν τοῖς Ἰσραηλίταις ἐπέτρεπον, ὅπως ἔχωσι πεπονηκότων αὐτῶν εἰς ἃ βλάπτωσι. Λιμὸς δὴ ἦν καὶ σπάνις τροφῆς καὶ τρέπονται πρὸς ἱκετείαν τοῦ Θεοῦ, σώζειν αὐτοὺς παρακαλοῦντες.

(Η'.) β'. Καὶ Γεδεὼν ὁ Ἰωάσου παῖς, Μανασσίτιδος φυλῆς ἐν ὀλίγοις, δράγματα σταχύων φερόμενος κρυπτῶς εἰς τὴν ληνὸν ἔκοπτε· τοὺς γὰρ πολεμίους ἐδεδίει φανερῶς τοῦτο ποιεῖν ἐπὶ τῆς ἅλωος. Φαντάσματος δ' αὐτῷ παραστάντος νεανίσκου μορφῇ καὶ φήσαντος εὐδαίμονα καὶ φίλον τῷ Θεῷ, ὑποτυχὼν, « τοῦτο γοῦν, ἔφη, τεκμήριον τῆς εὐμενείας αὐτοῦ μέγιστον, τῇ ληνῷ με νῦν ἀντὶ ἅλωος χρήσασθαι. » Θαρρεῖν δὲ παρακελευσαμένου, καὶ πειρᾶσθαι τὴν ἐλευθερίαν ἀνασώζειν, ἀδυνάτως ἔχειν ἔλεγε· τήν τε γὰρ φυλὴν ἐξ ἧς ὑπῆρχε πλήθους ὑστερεῖν καὶ νέον αὐτὸν εἶναι, καὶ τηλικούτων πραγμάτων ἐπινοίας ἀσθενέστερον. Ὁ δὲ Θεὸς αὐτὸς ἀναπληρώσειν τὸ λεῖπον ἐπηγγέλλετο, καὶ νίκην παρέξειν Ἰσραηλίταις, αὐτοῦ στρατηγοῦντος.

γ'. Τοῦτ' οὖν διηγούμενος ὁ Γεδεὼν τισὶ τῶν νέων ἐπιστεύετο καὶ παραχρῆμα πρὸς τοὺς ἀγῶνας ἕτοιμον ἦν τὸ στρατιωτικὸν μυρίων ἀνδρῶν. Ἐπιστὰς δὲ κατὰ τοὺς ὕπνους ὁ Θεὸς τῷ Γεδεῶνι τήν τε ἀνθρωπίνην φύσιν αὐτῷ εἰλαυτὸν οὖσαν ἐδήλου καὶ πρὸς τοὺς ἀρετῇ διαφέροντας ἀπεχθανομένην, ὅπως τε μὴ τὴν

vero suo ab equitatu perturbati ceciderunt, adeo ut multi illorum a curribus *protriti* mortem oppeterent. Sisares autem, ut vidit suos terga vertere, e curru exsiliens fuga delatus est ad mulierem quandam Cenetidem, cui nomen erat Jale, quæ et rogantem ut se celaret excepit, et potum poscenti lac jam corruptum præbet. Ille autem, quum immodice bibisset, somno corripitur : at Jale dormienti clavum ferreum malleo per os sub labio in solum adegit, ac militibus Baraci post paululum venientibus terræ affixum ostendit. Atque sic quidem hæc victoria, prout vaticinata fuerat Debora, cessit mulieri : Baracus vero, cum exercitu Asorum contendens, et Jabinum, ei occurrentem, occidit; et, duce cæso et urbem funditus diruta, Israelitarum imperium tenuit annis quadraginta.

CAP. VI. (VII.)

Defunctis autem Baraco et Debora eodem fere tempore, post hæc Madianitæ, Amalecitis et Arabibus advocatis, bellum intulerunt Israelitis, *eosque acie* congressos prælio superarunt, et frugibus igne vastatis prædam abegerunt. Quumque hæc per septem annos continuos facerent, Israelitarum universi in montes concesserunt, et loca campestria reliquerunt : atque, cuniculos *sibimet* agentes et speluncas, quicquid hostium e manibus evaserat, in illis ut servaretur deposuerunt. Nam Madianitæ, æstatis tempore expeditionem facientes, hiemem Israelitis ad agros colendos permittebant, ut ex laboribus illorum haberent quod depopularentur. Fames itaque ingruebat et victus penuria : unde ad Deum precibus conversi sunt, ab ipso salutem implorantes.

(VIII.) 2. Ac Gedeon Joasi filius, unus e paucis de tribu Manassitide, spicarum manipulos ferens clam in torculare eos triturabat : metuebat enim propter hostes palam hoc in area facere. Spectro autem ei adstante adolescentis specie et beatum Deoque carum prædicante, commode respondens dixit, scilicet hoc esse benignitatis ejus maximum indicium, quod jam torculari vice area uteretur. Illo vero jubente bono esse animo, et conari ut libertatem recuperaret, subjiciebat fieri non posse : nam et tribui, ex qua esset, numerum deficere, seque juvenem esse, et qui de tantis aggrediendis ne cogitare quidem posset. Deus autem quicquid deesset sese suppeditaturum pollicebatur, et victoriam Israelitis daturum, modo ipse exercitum duceret.

3. Hanc itaque rem quum Gedeon juvenibus quibusdam enarraret, fidem inveniebat : et e vestigio ad acie dimicandum præsto erat exercitus ad decem hominum millia. Deus autem, Gedeoni in somnis apparens, homines eo esse ingenio declarabat, ut sese nimium diligerent, et alios virtute præcellentes odio haberent : ut, victoriam a Deo esse vi-

σμῷ καὶ ξενικῶν εἰσαγωγῇ θεῶν, οὐκ ἤθελον ἀπιστεῖν, ἀλλὰ περὶ τὴν θείαν θρησκείαν τὴν διαβολὴν πιθανὴν νομίζοντες, ἐνοπλοι ἦσαν, ὡς ἐπ' ἀμύνῃ τῶν τὸν βωμὸν ἱδρυσαμένων, περαιωσόμενοι τὸν ποταμὸν, καὶ κολάσοντες αὐτοὺς τῆς παρατροπῆς τῶν πατρίων ἐθῶν. Οὐ γὰρ ἐδόκει τὴν συγγένειαν αὐτοὺς λογίζεσθαι καὶ τὸ ἀξίωμα τῶν τὴν σὶτίαν εἰληφότων, ἀλλὰ τὸ τοῦ Θεοῦ βουλητὸν καὶ ᾧ τρόπῳ τιμώμενος χαίρει. Καὶ οἱ μὲν ἐστράτευσαν ὑπ' ὀργῆς, ἐπέσχε δ' αὐτοὺς Ἰησοῦς καὶ ὁ ἀρχιερεὺς Ἐλεάζαρος καὶ ἡ γερουσία, λόγοις συμβουλεύοντες ἀπόπειραν αὐτῶν τῆς γνώμης λαβεῖν πρῶτον, ἔπειτ' ἂν κακοήθη μάθωσι τὴν διάνοιαν αὐτῶν, τότε τοῖς ὅπλοις χωρεῖν ἐπ' αὐτούς. Πέμπουσιν οὖν πρεσβευτὰς πρὸς αὐτοὺς, Φινεέσην τὸν υἱὸν Ἐλεαζάρου, καὶ δέκα σὺν αὐτῷ τῶν ἐν τιμῇ παρὰ τοῖς Ἑβραίοις, μαθησομένους τί καὶ φρονήσαντες τὸν βωμὸν ἐπὶ τῆς ὄχθης τοῦ ποταμοῦ διαβάντες ἔστησαν. Ὡς δὲ περαιωσαμένων καὶ πρὸς αὐτοὺς ἀφικομένων ἐκκλησία συνελέγη, στὰς Φινεέσης μείζω μὲν αὐτοὺς ἁμαρτεῖν ἔλεγεν ἢ ὥστε λόγοις ἐπιτιμηθέντας νενουθετῆσθαι πρὸς τὰ μέλλοντα· πλὴν οὐ πρὸς τὸ μέγεθος τῆς παρανομίας ἀπιδόντας εὐθὺς ἐφ' ὅπλα καὶ τὴν ἐκ χειρῶν τιμωρίαν ὁρμῆσαι, πρὸς δὲ τὸ συγγενὲς καὶ τὸ τάχα καὶ λόγοις ἂν σωφρονῆσαι σκοπήσαντας, οὕτω ποιήσασθαι τὴν πρεσβείαν, « ἵνα τὴν αἰτίαν μαθόντες, ὑφ' ἧς προήχθητε τὸν βωμὸν κατασκευάσαι, μή τι προπετεῖς δοκῶμεν ὅπλοις μετιόντες ὑμᾶς κατὰ λογισμὸν ὅσιον ποιησαμένους τὸν βωμὸν, εἰ δὲ ἄδικον, δικαίως ἀμυνώμεθα τῆς διαβολῆς ἐλεγχθείσης ἀληθοῦς. Οὐ γὰρ ἠξιοῦμεν ὑμᾶς πείρᾳ τῆς τοῦ Θεοῦ γνώμης ἐντὸς γεγενημένους καὶ νόμων ὧν αὐτὸς ἡμῖν δέδωκεν ἀκροατὰς ὑπάρχοντας, διαζευχθέντας ἡμῶν καὶ παρόντας εἰς τὸν ἴδιον κλῆρον, ὃν κατὰ χάριν τοῦ Θεοῦ καὶ τῆς ἐκείνου περὶ ὑμᾶς προνοίας ἐλάχετε, λήθην λαβεῖν αὐτοῦ, καὶ τὴν σκηνὴν καὶ τὴν κιβωτὸν καταλιπόντας καὶ βωμὸν ὃς ὑμῖν πάτριος, ξενικοὺς θεοὺς ἐπιφέρειν τοῖς Χαναναίων κακοῖς προσεχωρηκότας. Ἀλλ' οὐδὲν ἀδικεῖν δόξετε μετανοήσαντες καὶ περαιτέρω μὴ μανέντες, νόμων δὲ πατρίων αἰδῶ καὶ μνήμην λαβόντες. Ἂν δ' ἐπιμένητε τοῖς ἡμαρτημένοις, οὐ παραιτησόμεθα τὸν ὑπὲρ τῶν νόμων πόνον, ἀλλὰ περαιωσάμενοι τὸν Ἰορδάνην τούτοις βοηθήσομεν, καὶ πρὸς αὐτῷ τῷ Θεῷ, μηδὲν ὑμᾶς Χαναναίων διαφέρειν ὑπολαμβάνοντες, ἀλλ' ὁμοίως ἐκείνοις διαφθείροντες. Μὴ γὰρ νομίσητε τῷ διαβεβηκέναι τὸν ποταμὸν καὶ τῆς τοῦ Θεοῦ δυνάμεως ἔξω γεγονέναι· πανταχοῦ δ' ἐν τοῖς τούτου ἐστέ· καὶ ἀποδρᾶναι τὴν ἐξουσίαν αὐτοῦ καὶ τὴν ἀπὸ ταύτης δίκην ἀδύνατον. Εἰ δ' οἴεσθε τὴν ἐνθάδε παρουσίαν ὑμῖν ἐμπόδιον εἶναι τοῦ σωφρονεῖν, οὐδὲν κωλύει πάλιν τὴν γῆν ὑμᾶς ἀναδάσασθαι καὶ ταύτην ἀνεῖναι μηλόβοτον. Ἀλλ' εὖ ποιήσετε σωφρονήσαντες καὶ ἐπὶ νεαροῖς μετατιθέμενοι τοῖς ἁμαρτήμασι. Καὶ παρακαλοῦμεν ὑμᾶς πρὸς παίδων καὶ γυναικῶν, μὴ παρασχεῖν ἡμῖν ἀνάγκην ἀμύνασθαι. Ὡς οὖν τῆς ὑμετέρας αὐτῶν σωτηρίας καὶ τῶν φιλτάτων ὑμῶν ἕνεκα παύσασθε τῆς ἀμαρτίας, καὶ μὴ ἐπιτείνετε τὸν θεὸν ἐφ' ὑμᾶς, ἀλλὰ τὸν ἤδη κεκινημένον καταστείλατε, καὶ τὴν ἐπὶ τοῖς ἁμαρτήμασιν ὀργὴν ἀφέντες, τὸν ἔλεον ἐπικαλεσάμενοι, ὃν ἐπὶ τοῖς μετανοοῦσιν ἔχει. Ἐὰν δὲ μὴ πείθησθε, ἀλλὰ τὸν ἐπὶ τοῖς ἁμαρτήμασιν ἐπιτείνητε θεὸν, ἐπὶ τοῖς ἀδικήμασιν ἡμῶν ἐπιθήσετε καὶ τὴν ἐπὶ τοῖς ἀδικουμένοις ὀργήν. Ἐπὶ τοσοῦτον γὰρ ἐπιτείνεται τὸ ἀδίκημα, ὅσον ἐπὶ τοῖς ἀδικουμένοις ἡ ὀργή. Ἐὰν δὲ ἐπὶ τοῖς ἁμαρτήμασιν ἡμῶν ἐπιτείνητε τὸν θεὸν, ἐπὶ τοῖς ἀδικήμασιν ἡμῶν ἐπιθήσετε καὶ τὴν ἐπὶ τοῖς ἀδικουμένοις ὀργήν. Ἐπὶ τοσοῦτον γὰρ ἐπιτείνεται τὸ ἀδίκημα, ὅσον ἐπὶ τοῖς ἀδικουμένοις ἡ ὀργή.

deosque peregrinos introducendos, *rumori* diffidere noluerunt, sed religionis *mutatæ* calumniam veri similem reputantes, arma corripuerunt ad eos, qui altare collocaverant, vindicta persequendos, fluvium transituri, et ob patrios ritus violatos pœnas ab iis exacturi. Existimabant enim non tam cognationis et dignitatis eorum, qui in hoc erant crimine, quam Dei voluntatis et istius quo gaudet cultus rationem habendam esse. Et illi quidem ira commoti ad expeditionem sese accinxerunt, Jesus autem et Eleazarus pontifex cum senatu ipsos cohibebant, suadentes ut sermonibus prius qua mente id fecissent experiri vellent, deinde si forte malo animo factum deprehensum esset, tum demum armis eos aggrederentur. Ad eos igitur legatos mittunt, Phineesem Eleazari filium, et cum eo decem alios præcipuæ apud Hebræos dignitatis, ut ex iis resciscerent quid sibi voluerint altare super ripam fluvii post transitum statuentes. Ut vero illi fluvium trajecerant et ad eos venerant, advocata est concio, et Phineeses *in medio* stans, majus illos in se peccatum admisisse aiebat quam ut verbis reprehensi in posterum *cavere* admoneantur : sed ipsos non ad culpæ magnitudinem respicientes protinus ad arma et ad ultionem manibus sumendam accurrisse, sed de cognatione cogitantes, atque spe fretos quod fortasse verbis ad sanam mentem reduci possint, hanc legationem suscepisse : « ut, causa cognita, qua moti altare exstruxistis, non temere vos armis persequi videamur, si pio animo aram posuistis; si vero injusto, jure vos ulciscamur, ubi accusationem veram esse constiterit. Vix enim credere potuimus vos, qui Dei voluntatem perspectam habuistis, et legum, quas ille vobis dedit, auditores exstitistis, disjunctos a nobis et in sortem propriam jam reversos, quam gratiæ Dei ejusque vestrùm curæ et providentiæ acceptam debetis, illius oblivisci posse, atque, tabernaculo et arca et altari patrio relictis, deos alienos introducere, moribus Chananæorum pravis obsequutos. Sed nihil mali commeruisse videbimini, ad pœnitentiam adducti et non ad majorem insaniam prolapsi, contra vero leges patrias reveriti et memoria complexi. Quodsi in delictis persistatis, nullum pro legibus laborem detrectabimus, sed fluvio superato earum ipsiusque pariter Dei honorem tuebimur, inter vos et Chananæos nihil interesse existimantes, sed *vos quoque* similiter atque illos perimentes. Cavete enim putetis vosmet, quia fluvium transistis, extra Dei postestatem evasisse. Ubique autem vos ambit ejus imperium, nec quoquo modo licet ejus potentiam et ex ea vindictam effugere. Si vero arbitremini *vestrum* ad hæc loca accessum obstare quominus recte sentiatis, vobis integrum erit terram iterum dividere, et hanc ipsam pecoribus compascuam relinquere. Sed bene agetis si ad sanam mentem redeatis et, dum nova peccata sunt, sententiam mutetis. Vosque per liberos ac conjuges obsecramus, ne nobis necessitatem dimicandi imponatis. Quasi vero vestra omnium salus vobisque cari-

των ὑμῖν ἐν τῇδε τῇ ἐκκλησίᾳ κειμένης, οὕτω βουλεύεσθε λόγοις ἡττηθῆναι συμφέρειν ὑπολαμβάνοντες ἢ πεῖραν ἔργων καὶ πολέμου περιμένειν.

κζ'. Τοσαῦτα τοῦ Φινεέσου διαλεχθέντος, οἱ προεστῶτες τῆς ἐκκλησίας καὶ τὸ πλῆθος αὐτὸ πᾶν ἤρξαντο περὶ τῶν ἐγκεκλημένων αὐτοῖς ἀπολογεῖσθαι καὶ μήτε συγγενείας τῆς πρὸς αὐτοὺς ἀποστήσεσθαι μήτε κατὰ νεωτερισμὸν ἀναστῆσαι τὸν βωμὸν λέγειν, ἀλλὰ Θεόν τε ἕνα γινώσκειν τὸν Ἑβραίοις ἅπασι κοινὸν καὶ τὸν πρὸ τῆς σκηνῆς βωμὸν [χάλκεον], ᾧ τὰς θυσίας ποιήσειν. Τὸν μέντοι γε νῦν ἀνασταθέντα, ὀι' ὃν καὶ ὑποπτοι γεγόνασιν, οὐ κατὰ θρησκείαν ἱδρῦσθαι, σύμβολον δὲ ὅπως εἴη καὶ τεκμήριον εἰς τὸν αἰῶνα τῆς πρὸς ὑμᾶς οἰκειότητος, καὶ ἀνάγκη τοῦ σωφρονεῖν καὶ τοῖς πατρίοις ἐμμένειν, ἀλλ' οὐχὶ παραβάσεως ἀρχή, ὡς ὑπονοεῖτε. Μάρτυς δ' ὑμῖν τοῦ ἐπὶ τοιαύτῃ τὸν βωμὸν αἰτίᾳ κατασκευάσαι γένοιτο ὁ Θεὸς ἀξιόχρεως. Ὅθεν ἀμείνονα περὶ ἡμῶν ἔχοντες ὑπόληψιν μηδὲν καταγινώσκετε τούτων, ἐφ' οἷς ἐξώλεις εἶναι δίκαιοι πάντες, ὅσοι τοῦ Ἀβράμου γένους ὄντες νεωτέροις ἐπιχειροῦσιν ἔθεσι καὶ τοῦ συνήθους τρόπου παρηλλαγμένοις.

κη'. Ταῦτα εἰπόντας ἐπαινέσας ὁ Φινεέσης παρῆν πρὸς Ἰησοῦν, καὶ τὰ παρ' αὐτῶν ἀνήγγειλε τῷ λαῷ. Ὁ δὲ χαίρων ὅτι μηδεμιᾷ ἀνάγκῃ στρατολογεῖν αὐτοὺς μέλλει, μηδ' εἰς αἷμα καὶ πόλεμον ἐξαγαγεῖν κατὰ ἀνδρῶν συγγενῶν, χαριστηρίους ὑπὲρ τούτων τῷ Θεῷ θυσίας ἐπετέλει. Καὶ διαλύσας μετὰ ταῦτα τὸ πλῆθος εἰς τὰς ἰδίας κληρουχίας Ἰησοῦς αὐτὸς ἐν Σικίμοις διῆγεν. Ἔτει δ' ὕστερον εἰκοστῷ (ὑπέργηρως γὰρ ἦν) μεταπεμψάμενος τοὺς ἐπ' ἀξιώματος μάλιστα τῶν πόλεων, καὶ τὰς ἀρχὰς καὶ τὴν γερουσίαν, καὶ τοῦ πλήθους ὅσον ἦν ἐφικτὸν αὐτῷ συναγαγών, ἐπεὶ παρῆσαν, τάς τε εὐεργεσίας τοῦ Θεοῦ ἁπάσας ἀνεμίμνησκεν αὐτούς· (πολλαὶ δ' ἦσαν τοῖς ἐκ ταπεινοῦ σχήματος εἰς τοῦτο δόξης καὶ περιουσίας προελθοῦσι·) φυλάττειν τε τὴν τοῦ Θεοῦ προαίρεσιν, ἔχουσαν οὕτω πρὸς αὐτούς, παρεκάλει, τιμῇ πάσῃ χρωμένους καὶ εὐσεβείᾳ μόνῃ φίλον αὐτοῖς διαμένειν τὸ θεῖον. Αὐτῷ γὰρ καλῶς ἔχειν ἀπιέναι μέλλοντι τοῦ ζῆν παραίνεσιν αὐτοῖς τοιαύτην καταλιπεῖν, κἀκείνους ἠξίου διὰ μνήμης ποιήσασθαι τὴν παρακέλευσιν.

κθ'. Καὶ ὁ μὲν τοσαῦτα πρὸς τοὺς παρόντας διαλεχθεὶς τελευτᾷ, βιοὺς ἑκατὸν ἔτη καὶ δέκα (ὧν Μωϋσεῖ μὲν ἐπὶ διδασκαλίᾳ τῶν χρησίμων συνδιέτριψε τεσσαράκοντα, στρατηγὸς δὲ μετὰ τὴν ἐκείνου τελευτὴν γίνεται πέντε καὶ εἴκοσι), ἀνὴρ μήτε συνέσεως ἐνδεὴς μήτε τοῦ τὰ νοηθέντα πρὸς τοὺς πολλοὺς σαφῶς ἐξενεγκεῖν ἄπειρος, ἀλλ' ἐν ἀμφοτέροις ἄκρος, πρός τε τὰ ἔργα καὶ τοὺς κινδύνους εὐψυχος καὶ μεγαλότολμος, πρυτανεῦσαί τε τὰ κατὰ τὴν εἰρήνην δεξιώτατος καὶ πρὸς ἅπαντα καιρὸν τὴν ἀρετὴν ἡρμοσμένος. Θάπτεται δὲ ἐν πόλει Θαμνᾷ τῆς Ἐφραίμου φυλῆς. Θνήσκει δὲ ὑπ' αὐτὸν τὸν καιρὸν καὶ Ἐλεάζαρος ὁ ἀρχιερεὺς, Φινεέσῃ τῷ παιδὶ τὴν ἀρχιερωσύνην καταλιπών,

simorum in hac concione sita sit, ita consilium inite, melius esse rati verbis persuaderi, quam factorum bellique experimento stare. »

27. Quum hæc disseruisset Phineeses, qui præerant concioni populusque ipse universus cœperunt crimina sibi objecta diluere, dicebantque se neque a cognatione defecisse, neque innovandi studio aram erexisse, sed Deum unum agnoscere, Hebræis omnibus communem, atque illud [æneum] ante tabernaculum positum altare ad sacra facienda. At quod nunc ereximus, quodque vestræ suspicioni ansam præbuit, non religionis ergo exstructum est, sed ut signum sit et indicium in omne ævum necessitudinis quæ nobis vobiscum intercedit, atque necessitatem nobis imponat recte *de Deo* sentiendi ritibusque patriis adhærendi et non, ut vos suspicamini, transgressionis principium. Deus autem nobis testis sit locuples, quod eo nomine aram exstruendam esse fecerimus. Unde vobismet meliora de nobis persuadentes, nihil tale nobis imputetis, propter quod morte digni censendi sunt quotquot ab Abramo oriundi novis moribus studentes a receptis discedunt institutis.

28. Quum autem Phineeses hanc orationem habentes collaudasset, reversus est ad Jesum, et quæ illi fecissent populo narrabat. Hic vero gaudens quod nulla exercitum colligendi foret necessitas, nec ad cognatorum sanguinem fundendum et bellum cum iis gerendum ducendi essent, victimas pro gratiarum actione Deo offerebat. Ac post hæc, multitudine ad sua patrimonia dimissa, Jesus ipse Sicimis agebat. Anno autem post vicesimo (tum enim senio confectus erat) accitis oppidatim honoratioribus, et cum senatu magistratibus, atque e plebe quotquot commode congregare potuit, quum adessent, et illis cuncta Dei beneficia in memoriam revocavit, (plurimi autem iis contigerant ex humili conditione ad tantam gloriam et rerum abundantiam provectis,) Deique voluntati, eis adeo benignæ, obsequium præstare hortabatur, atque ipsum *Deum* omni honore afficere, utpote quod sola pietate futura numinis erga eos benevolentia niteretur. Sibi enim jam opportunum esse e vita discessuro hujusmodi eis admonitionem relinquere, eosque rogabat ut adhortationem suam memoria tenerent.

29. Et ille quidem, quum ad eos qui aderant hæc verba fecisset, mortem obiit, postquam annos vix erat centum et decem, (quorum quadraginta cum Moyse, ut ab eo utilia disceret, commoratus est, illius vero post obitum imperium habuit quinque et viginti *annos*,) vir qui neque prudentia careret neque eloquio quo cogitata populo clare enunciaret, sed in utroque summus, tam in operibus et periculis fortis et magnanimus, quam in pacis consiliis magnæ solertiæ, virtutisque ad omne tempus accommodatæ. Sepultus est autem in oppido Thamnæ tribus Ephraimitidis. Eodem vero tempore moritur et Eleazarus pontifex, sacerdo-

καὶ μνημεῖον αὐτῷ καὶ τάφος ἐν Γαβαθᾷ πόλει τυγχάνει.

ΚΕΦ. Β'.

Μετὰ δὲ τὴν τούτων τελευτὴν Φινεέσης προφητεύει κατὰ τὴν τοῦ Θεοῦ βούλησιν, ἐπ' ἐξωλείᾳ τοῦ Χαναναίων γένους τῇ Ἰούδα φυλῇ παρασχεῖν τὴν ἡγεμονίαν, (καὶ γὰρ τῷ λαῷ διὰ σπουδῆς ἦν μαθεῖν τί καὶ τῷ Θεῷ δοκεῖ,) προσλαβούσῃ τὴν Συμεωνίδα φυλήν, ἐφ' ᾧτε ἐξαιρεθέντων τῶν ἐκείνης ὑποτελῶν καὶ τοὺς ἐν αὐτῆς τῇ κληρουχίᾳ τοῦτο ποιῶσιν.

β'. Χαναναῖοι δ', ἀκμαζόντων αὐτοῖς κατ' ἐκεῖνον τὸν καιρὸν τῶν πραγμάτων, στρατῷ μεγάλῳ κατὰ Βεζέκην αὐτοὺς ὑπέμενον, τῷ βασιλεῖ τῶν Βεζεκηνῶν Ἀδωνιβεζέκῳ τὴν ἡγεμονίαν ἐπιτρέψαντες· (τὸ δὲ ὄνομα τοῦτο σημαίνει Βεζεκηνῶν κύριος· ἀδωνὶ γὰρ τῇ Ἑβραίων διαλέκτῳ κύριος λέγεται·) ἤλπιζόν τε κρατήσειν τῶν Ἰσραηλιτῶν, διὰ τὸ τεθνάναι Ἰησοῦν. Συμμίξαντες δ' αὐτοῖς οἱ Ἰσραηλῖται ταῖς δυσὶ φυλαῖς αἷς προεῖπον ἐμαχέσαντο λαμπρῶς, καὶ κτείνουσι μὲν αὐτῶν ὑπὲρ μυρίους, τρεψάμενοι δὲ τὸ λοιπὸν καὶ διώκοντες αἱροῦσι τὸν Ἀδωνιβέζεκον, ὃς ἁκρωτηριασθεὶς ὑπ' αὐτῶν φησίν, « ἀλλ' οὐκ εἰς τὸ πᾶν ἄρα λήσεσθαι Θεὸν « ἔμελλον, τάδε πεπονθὼς, ἃ κατὰ δυοῖν καὶ ἑβδομήκοντα βασιλέων πρᾶξαι πρότερον οὐκ ἐνετράπην. » Καὶ ζῶντα μὲν κομίζουσιν ἕως Ἱεροσολύμων, τελευτήσαντα δὲ γῇ θάπτουσι. Καὶ διεξῆσαν αἱροῦντες τὰς πόλεις, πλείστας τε λαβόντες, ἐπολιόρκουν Ἱεροσόλυμα. Καὶ τὴν μὲν κάτω λαβόντες σὺν χρόνῳ πάντας ἔκτειναν τοὺς ἐνοικοῦντας, χαλεπὴ δ' ἦν ἡ καθύπερθεν αὐτοῖς αἱρεθῆναι τειχῶν ἐχυρότητι καὶ φύσει τοῦ χωρίου.

γ'. Ὅθεν μετεστρατοπέδευσαν εἰς Χεβρῶνα· καὶ ταύτην ἑλόντες κτείνουσι πάντας. Ὑπελέλειπτο δὲ τὸ τῶν γιγάντων ἔτι γένος, οἳ διὰ σωμάτων μεγέθη καὶ μορφὰς οὐδὲν τοῖς ἄλλοις ἀνθρώποις παραπλησίας παράδοξον ἦσαν θέαμα καὶ δεινὸν ἄκουσμα· δείκνυται καὶ νῦν ἔτι τούτων ὀστᾶ μηδὲν τοῖς ὑπὸ πίστιν ἐρχομένοις ἐοικότα. Καὶ τοῦτο μὲν τοῖς Λευίταις ἐξαίρετον γέρας ἔδοσαν μετὰ καὶ τῶν δισχιλίων πηχῶν· τὴν δὲ γῆν Χαλέβῳ δωρεὰν ἔδοσαν κατὰ Μωϋσέως ἐντολάς· οὗτος δ' ἦν τῶν κατασκόπων εἷς ὧν ἔπεμψε Μωϋσῆς εἰς τὴν Χαναναίαν. Διδόασι δὲ καὶ τοῖς Ἰοθόρου τοῦ Μαδιανίτου ἀπογόνοις (Μωϋσέως γὰρ ἦν γαμβρός) γῆν ἵνα νέμοιντο. Τὴν γὰρ πατρίδα καταλιπόντες ἠκολουθήκεσαν ἐκείνοις καὶ συνῆσαν αὐτοῖς ἐπὶ τῆς ἐρήμου.

δ'. Ἡ δὲ Ἰούδα φυλὴ καὶ Συμεωνὶς τὰς μὲν κατὰ τὴν ὀρεινὴν τῆς Χαναναίας πόλεις εἶλον, τῶν δ' ἐν τῷ πεδίῳ καὶ πρὸς θαλάσσῃ Ἀσκάλωνά τε καὶ Ἄζωτον. Διαφεύγει δ' αὐτοὺς Γάζα καὶ Ἀκκάρων· πεδίων γὰρ ὄντων καὶ πολλῆς ἁρμάτων εὐπορίας κακῶς ἐποίουν τοὺς ἐπελθόντας. Καὶ αἵδε μὲν αἱ φυλαὶ μεγάλως ἐκ τοῦ πολεμεῖν εὐδαιμονήσασαι ἀνεχώρησαν εἰς τὰς ἑαυτῶν πόλεις καὶ κατατίθενται τὰ ὅπλα.

tio Phineesæ filio relicto, ejusque monumentum et sepulcrum exstat in urbe Gabatha.

CAP. II.

Horum autem post obitum Phineeses vaticinatus est juxta Dei voluntatem, ut in Chananæorum generis excidium Judæ tribus principatum acciperet, (nam populo curæ erat cognoscere quid Deo factu optimum videretur,) assumpta Symeonide tribu, ea lege ut tributariis ex Judæ ditione sublatis, idem facerent illis qui in Symeonis sorte relicti erant.

2. Chananæi autem, rebus illorum tum valde florentibus, cum magno exercitu apud Bezecam *urbem* eos exspectabant, imperio ad Adonibezecum Bezecenorum regem delato, (id autem nomen Bezecenorum dominum significat; nam adoni Hebræorum lingua dominus dicitur,) sperabantque de Israelitis se victoriam reportaturos esse, quod mortuus esset Jesus. Israelitarum vero duæ tribus prædictæ cum his congressæ egregie pugnaverunt, et illorum quidem plus decem millia perimunt, reliquos vero in fugam vertentes insequentesque Adonibezecum capiunt, qui, ab illis mutilatus, dixit, « non semper potui latere Deum, *jam* « eadem passus, quibus antea duos et septuaginta reges « afficere non erubui. » Et vivum quidem Hierosolyma usque deportarunt, fato vero functum terræ mandaverunt. Deinde regionem obierunt, ut urbes expugnarent, et, captis quamplurimis, Hierosolyma adorti sunt. Ac parte quidem inferiore tandem expugnata, omnes in ea habitantes occiderunt; superiorem vero obsidione capere illis ardua res erat, propter murorum firmitudinem locique naturam.

3. Quam ob rem castra moverunt ad Chebronem, atque ea capta omnes interficiunt. Relictum autem erat gigantum genus, qui ob corporis magnitudinem et formam multum aliis hominum dispares stupendum erant spectaculum et res auditu horrenda. Monstrantur etiamnum horum ossa, in nullo iis quæ sub fidem veniunt similia. Et hoc quidem *oppidum* Levitis eximio muneri dederunt cum *agro* etiam duûm millium cubitorum: terram vero *reliquam* Chalebo juxta mandatum Moysis donarunt: hic autem erat unus e speculatoribus, quos Moyses in Chananæam præmiserat. Quin et posteris Jothori Madianitæ (Moysis enim socer erat) terram, ut *eam* habitarent, tribuerunt. Patria enim relicta ipsos sequuti sunt, et cum eis erant in deserto.

4. At tribus Judæ et Symeonis urbes quidem *omnes* in montanis Chananææ ceperunt, in planitie vero et ora maritima *solas* Ascalonem et Azotum. Illos autem evasit Gaza et Accaron: nam quum essent in campestribus et curribus abundarent, impetum in eos facientes damno *semper* afficiebant. Ac istæ quidem tribus ex bello valde locupletatæ, suas in urbes se receperunt et arma deposuerunt.

ε'. Βενιαμῖται δὲ (τούτων γὰρ ἦν Ἱεροσόλυμα) τοῖς οἰκήτορσιν αὐτῶν συνεχώρησαν φόρους τελεῖν. Καὶ οὕτω παυσάμενοι πάντες οἱ μὲν τοῦ κτείνειν, οἱ δὲ κινδυνεύειν, ἐργάζεσθαι τὴν γῆν ἠσχολοῦν. Τὸ δ' αὐτὸ καὶ αἱ λοιπαὶ φυλαὶ τὴν Βενιαμῖτιν μιμησάμεναι ἐποίουν, καὶ τοῖς τελουμένοις ἀρκούμενοι φόρους ἐπέτρεπον τοῖς Χαναναίοις ἀπολέμοις εἶναι.

ς'. Ἡ δὲ Ἐφραίμου πολιορκοῦσα Βέθηλα τέλος οὐδὲν ἄξιον τοῦ χρόνου καὶ τῶν πόνων ἤρισκε τῆς πολιορκίας. Οἱ δὲ καίπερ ἀχθόμενοι τῇ καθέδρᾳ προσεκαρτέρουν· ἔπειτα συλλαβόντες τινὰ τῶν ἐν τῇ πόλει προσελθόντα ἐπὶ κομιδῇ τῶν ἀναγκαίων, τινὰς πίστεις ἔδοσαν αὐτῷ παραδόντι τὴν πόλιν σώσειν αὐτόν τε καὶ τοὺς συγγενεῖς αὐτοῦ· κἀκεῖνος ἐπὶ τούτοις ὤμνυε τὴν πόλιν αὐτοῖς ἐγχειριεῖν. Καὶ ὁ μὲν οὕτω προδοὺς σώζεται μετὰ τῶν οἰκείων, οἱ δὲ, ἀποκτείναντες ἅπαντας τοὺς ἐνοικοῦντας, εἶχον τὴν πόλιν.

ζ'. Καὶ μετὰ ταῦτα πρὸς μὲν τοὺς πολεμίους μαλακῶς εἶχον οἱ Ἰσραηλῖται, τῆς δὲ γῆς καὶ τῶν ταύτης ἔργων ἐπεμελοῦντο. Τῶν δὲ κατὰ τὸν πλοῦτον αὐτοῖς ἐπιδιδόντων, ὑπὸ τρυφῆς καὶ ἡδονῆς τοῦ κόσμου ὠλιγώρουν καὶ τῆς πολιτείας τῶν νόμων οὐκέτ' ἦσαν ἀκριβεῖς ἀκροαταί. Παροξυνθὲν δ' ἐπὶ τούτοις τὸ θεῖον ἀναιρεῖ πρῶτον μὲν ὡς φείσαιντο παρὰ τὴν αὐτοῦ γνώμην τῶν Χαναναίων, ἔπειθ' ὡς ἐκεῖνοι χρήσαιντο πολλῇ κατ' αὐτῶν ὠμότητι καιροῦ λαβόμενοι. Οἱ δὲ καὶ πρὸς τὰ παρὰ τοῦ Θεοῦ δυσθύμως εἶχον καὶ πρὸς τὸ πολεμεῖν ἀηδῶς, πολλά τε παρὰ τῶν Χαναναίων λαβόντες καὶ πρὸς τοὺς πόνους ἤδη διὰ τὴν τρυφὴν ἐκλελυμένοι. Καὶ συνέβαινεν ἤδη τὴν ἀριστοκρατίαν διεφθάρθαι, καὶ τὰς γερουσίας οὐκ ἀπεδείκνυσαν οὐδ' ἀρχὴν ἄλλην οὐδεμίαν τῶν πρότερον νενομισμένων· ἦσαν δὲ ἐν τοῖς ἀγροῖς ἡδονῇ τοῦ κερδαίνειν προσδεδεμένοι. Καὶ διὰ τὴν πολλὴν ἄδειαν στάσις αὐτοὺς πάλιν καταλαμβάνει δεινὴ, καὶ προήχθησαν εἰς τὸ πολεμεῖν ἀλλήλοις ἐκ τοιαύτης αἰτίας.

η'. Λευίτης ἀνὴρ τῶν δημοτικωτέρων τῆς Ἐφραίμου κληρουχίας ὢν καὶ ἐν ἐκείνῃ κατοικῶν ἄγεται γύναιον ἀπὸ Βηθλέμων· τῆς δὲ Ἰούδα φυλῆς τοῦτ' ἐστὶ τὸ χωρίον. Ἐρῶν δὲ σφόδρα τῆς γυναικὸς καὶ τοῦ κάλλους αὐτῆς ἡττημένος ἠτύχει τῶν παρ' ἐκείνης οὐχ ὁμοίων πειρώμενος. Ἀλλοτρίως δ' αὐτῆς ἐχούσης καὶ διὰ τοῦτο μᾶλλον ἐκκαιομένου τῷ πάθει, μέμψεις συνεχεῖς αὐτοῖς ἐγίνοντο· καὶ τέλος ἡ γυνὴ, πρὸς αὐτὰς βαρυνομένη, καταλιποῦσα τὸν ἄνδρα πρὸς τοὺς γονεῖς παραγίνεται μηνὶ τετάρτῳ. Χαλεπῶς δὲ φέρων ὁ ἀνὴρ ἐπὶ τῷ ἔρωτι ἦκε πρὸς τοὺς πενθεροὺς, καὶ διαλυσάμενος τὰς μέμψεις καταλλάττεται πρὸς αὐτήν. Καὶ τέσσαρας μὲν ἡμέρας αὐτόθι διαιτᾶται φιλοφρονουμένων αὐτὸν τῶν γονέων, τῇ δὲ πέμπτῃ, δόξαν ἀπιέναι πρὸς αὐτὸν, περὶ δείλην ἔξεισι· βράδιον γὰρ ἀπέλυον οἱ γονεῖς τὴν θυγατέρα καὶ τῆς ἡμέρας τριβὴν ἐποιοῦντο. Θεράπων δ' αὐτοῖς εἷς εἵπετο, καὶ ὄνος ἦν αὐτοῖς, ἐφ' ἧς ὀχεῖτο τὸ γύναιον. Γενομένων δὲ αὐτῶν κατὰ τὰ

5. Benjamitæ vero (nam horum in sorte erant Hierosolyma) habitantibus urbem concessere, ut ipsorum vectigales essent. Atque ita omnes quietem nacti, alii quidem a cædibus, alii vero a periculis, ad agrorum culturam se contulerunt. Reliquæ autem tribus et ipsæ Benjamitarum exemplo motæ idem fecerunt, ac tributorum solutione contenti permisere Chananæis a bello vacare.

6. Ephraimitica autem tribus quum copias Bethelis admovisset, tempore ac labore obsidioni impenso dignum nihil proficiebat. Illi tamen, quamvis *moram* ægre ferebant urbi assidere perseverarunt. Postea uno e civibus comprehenso, qui accederet ad necessaria curanda et importanda, incolumitatem illi et cognatis ejus fide data promittunt, si urbem proderet : isque juravit se ea conditione urbem illis traditurum esse. Ac ille quidem hoc modo proditor factus cum suis servatur, illi vero, incolis omnibus occisis, urbem occupabant.

7. Ac post hæc Israelitæ bellum intermittebant aut molliter gerebant, terræ vero colendæ rebusque rusticis operam navabant. Hisce autem divitem illis proventum edentibus, luxuria diffluentes et voluptate honestam disciplinam negligebant, legesque et instituta reipublicæ non amplius diligenter audiebant. Deus autem, ejusmodi flagitiis irritatus, oraculo eos admonet primum quidem quod contra voluntatem ejus Chananæis pepercerint, deinde quod illi, tempus opportunum nacti, crudelitatem eis *pro clementia* sint reposituri. At Israelitæ non solum ægre ferebant hanc Dei admonitionem, sed et a bello abhorrebant, tum quod multa e Chananæis commoda percipiebant, tum quod e luxu ad laborem facti erant segniores. Ac corrumpi jam cœperat optimatium status, et neque senatus legebatur, neque alii quales ante legitimi erant magistratus. Vitam autem in agris agebant, quæstus faciendi voluptati dediti. Atque in tanta licentia et securitate denuo gravis perturbatio incidit; ac eo usque processerunt ut bello se invicem lacesserent, tali de causa.

8. Vir *quidam* e Levitarum plebe, sortis Ephraimiticæ et in ea habitans, ex Bethlemis uxorem ducit : hic autem locus ad tribum Judæ attinet. Quum vero conjugem vehementer amaret, ejusque pulchritudine vinceretur, male se habuit quod pari amore illum non complexa esset. Porro quum illa alieniorem se gereret, ac ille præterea eo magis amore exardesceret, quotidianæ inter eos ortæ sunt querelæ : tandemque mulier, iis pressa et gravata, a viro digressa mense quarto ad parentes revertitur. At quum præ amore ægre id ferret maritus, ad soceros se contulit, ac querimoniis discussis cum uxore in gratiam redit. Et quatuor quidem dies eo loci commoratur, benigne lauteque a parentibus exceptus, quinta autem die, quum decrevisset domum repetere, circa meridiem egressus est; serius enim filiam dimittebant parentes atque moram faciebant ad inclinationem diei. Unus autem eos famulus sequebatur, eisque erat asina qua mulier vehebatur. Quum autem circa

Ἱεροσόλυμα, (σταδίους δ' ἐληλύθεισαν ἤδη τριάκοντα,) συνεβούλευεν ὁ θεράπων καταχθῆναί που, μὴ καί τι καὶ τῆς νυκτὸς αὐτοὺς ὁδεύοντας καταλάβῃ δύσκολον, καὶ ταῦτα οὐδὲ πόρρω πολεμίων ὄντας, τοῦ καιροῦ πολλάκις ἐπισφαλῆ καὶ ὕποπτα ποιοῦντος καὶ τὰ φίλα. Τῷ δ' οὐκ ἤρεσεν ἡ γνώμη παρ' ἀλλοφύλοις ἀνδράσι ξενοῦσθαι, (Χαναναίων γὰρ ἦν ἡ πόλις,) ἀλλὰ προελθόντες εἴκοσι στάδια εἰς οἰκείαν ἡξίου κατάγεσθαι πόλιν. Καὶ κρατήσας τῇ γνώμῃ παρῆν εἰς Γαβὰν φυλῆς τῆς Βενιαμίτιδος. Ἤδη δὲ ὀψίας οὔσης καὶ μηδενὸς ἐπὶ ξενίαν τῶν κατὰ τὴν ἀγορὰν αὐτὸν παρακαλοῦντος, πρεσβύτης ἐξ ἀγροῦ κατιὼν, τῆς μὲν Ἐφραϊμίτιδος φυλῆς ὤν, ἐν δὲ τῇ Γαβᾷ διαιτώμενος, συντυγχάνων αὐτῷ τίς τε ὢν ἤρετο καὶ δι' ἃς αἰτίας στελλόμενος σκότους ἤδη τὰ πρὸς τὸ δεῖπνον αὐτῷ λαμβάνοι. Ὁ δὲ Λευίτης μὲν ἔφησεν εἶναι, γύναιον δὲ παρὰ τῶν γονέων ἄγων, πρὸς αὐτὸν ἀπιέναι· τὴν δ' οἴκησιν ἐδήλωσε τυγχάνειν ἐν τῇ Ἐφραίμου κληρουχίᾳ. Ὁ δὲ πρεσβύτης, καὶ διὰ τὴν συγγένειαν καὶ διὰ τὸ τὴν αὐτὴν φυλὴν νέμειν, καὶ μὴν διὰ τὴν συντυχίαν, παρ' αὐτὸν ξενισθησόμενον ἦγε. Νεανίαι δέ τινες τῶν Γαβανιτῶν, ἐπὶ τῆς ἀγορᾶς τὸ γύναιον θεασάμενοι καὶ τὴν εὐπρέπειαν θαυμάσαντες, ἐπεὶ παρὰ τῷ πρεσβύτῃ κατηγμένην ἔμαθον, καταφρονήσαντες τῆς ἀσθενείας καὶ τῆς ὀλιγότητος ἦκον ἐπὶ τὰς θύρας. Τοῦ δὲ πρεσβύτου παρακαλοῦντος ἀπαλλάττεσθαι καὶ μὴ προσφέρειν βίαν μηδὲ ὕβριν, ἠξίουν αὐτὸν παρασχόντα τὴν ξένην πραγμάτων ἀπηλλάχθαι. Ὡς δὲ συγγενῆ τε λέγοντος καὶ Λευῖτιν τοῦ πρεσβύτου, καὶ δράσειν αὐτοὺς δεινὰ ὑφ' ἡδονῆς εἰς τοὺς νόμους ἐξαμαρτάνοντας, ὠλιγώρουν τοῦ δικαίου καὶ κατεγέλων, ἠπείλουν δὲ ἀποκτείνειν αὐτὸν ἐμποδίζοντα ταῖς ἐπιθυμίαις αὐτῶν, εἰς ἀνάγκην περιηγμένος καὶ μὴ βουλόμενος τοὺς ξένους περιιδεῖν ὑβρισθέντας, τῆς ἑαυτοῦ θυγατρὸς αὐτοῖς παρεχώρει, πληρώσειν τε τὴν ἐπιθυμίαν αὐτοὺς λέγων νομιμώτερον, δίχα τῆς εἰς τοὺς ξένους ὕβρεως, αὐτός τε μηδὲν ἀδικήσειν οὓς ὑπεδέξατο τούτῳ τῷ τρόπῳ νομίζων. Ὡς δ' οὐδὲν τῆς σπουδῆς τὴν ἐπὶ τὴν ξένην ἐνεδίδοσαν, ἀλλ' ἐνέκειντο ταύτην παραλαβεῖν ἀξιοῦντες, ὁ μὲν ἱκέτευε μηδὲν τολμᾶν παράνομον, οἱ δ' ἁρπασάμενοι καὶ προσθέμενοι μᾶλλον τῷ βιαίῳ τῆς ἡδονῆς ἀπήγαγον πρὸς αὐτοὺς τὴν γυναῖκα, καὶ δι' ὅλης τῆς νυκτὸς ἐμπλησθέντες τῆς ὕβρεως ἀπέλυσαν περὶ ἀρχομένην ἡμέραν. Ἡ δὲ τεταλαιπωρημένη τοῖς συμβεβηκόσιν παρῆν ἐπὶ τὴν ξενίαν, καὶ ὑπὸ λύπης ὢν ἐπεπόνθει καὶ τοῦ μὴ τολμᾶν ὑπ' αἰσχύνης εἰς ὄψιν ἐλθεῖν τάνδρὶ (τοῦτον γὰρ μάλιστα τοῖς γεγενημένοις ἔχειν ἀνιάτως ἐλογίζετο) καταπεσοῦσα τὴν ψυχὴν ἀφῆκεν. Ὁ δὲ ἀνὴρ αὐτῆς, οἰόμενος ὕπνῳ βαθεῖ κατεσχῆσθαι τὴν γυναῖκα καὶ μηδὲν σκυθρωπὸν ὑφορώμενος, ἀνεγείρειν ἐπειρᾶτο, παραμυθήσασθαι διεγνωκὼς, ὡς οὐκ ἐξ ἑκουσίου γνώμης αὐτὴν παράσχοι τοῖς καθυβρίσασιν, ἀλλὰ ἁρπασαμένων ἐπὶ τὴν ξενίαν αὐτῶν. Ὡς δὲ τελευτήσασαν ἔμαθεν, σωφρόνως πρὸς τὸ μέγεθος τῶν κακῶν

Hierosolyma essent, (triginta enim stadia *jam* fuerant progressi,) famulus suadebat ut aliquo diverterent, ne nocte iter facientes in pericula et difficultates inciderent, præsertim quum non longe abessent ab hostibus, tempore sæpe etiam amica loca parum tuta et suspecta reddente. Verum Levitæ non placuit id consilii, ut alienigenarum uteretur hospitio, (nam Chananæorum urbs erat,) sed *melius esse* censebat ut viginti stadiis emensis ad Israelitarum urbem diverterent. Illique quum assensum esset, inde pervenerunt ad Gabam tribus Benjamitidis *oppidum*. Quum vero sol jam occubuisset, ac nemo eorum, qui tum in foro versabantur, eos domum hospitio excepturus invitaret, senex rure rediens, qui de tribu quidem erat Ephraimitide, Gabæ vero tum commorabatur, illi obviam factus, quærit ab eo quisnam sit, et quam ob rem *illuc* veniens sub tenebras necessaria ad cœnam sibi peteret. Cui ille se quidem Levitam esse fatetur, uxoremque a parentibus domum abducere, habitare vero se referebat in sorte Ephraimitide. Senex autem quum propter cognationem, tum quod ipse in eadem tribu domicilium habuerit, et porro quod fortuito in eum inciderit, voluit ut apud se in hospitium diverteret. Gabaonitæ autem quidam adolescentes, qui mulierculam in foro viderant et formæ venustatem admirati erant, postquam apud senem diversari cognoverant, contempta imbecillitate *eorum* simul ac paucitate venerunt ad januas. Sene vero eis ut discederent supplicante, atque ut vi abstinerent et injuria, ipsum rogabant ut, facta peregrinæ copia, se negotio expediret. Quum autem senex diceret cognatam esse et Levitin, illosque atrox flagitium commissuros, qui propter voluptatem leges violarent, *illi* jus fasque despectui habebant et deridebant: quin et illum interficere minabantur, si libidini suæ diutius obstaret. At *senex* in angustias redactus nolensque ut hospites sineret contumelia affici, suam eis filiam cessit et produxit, dicensque minus esse peccati ut ea cupiditatem suam expleret *quam ut hospites injuriæ exponeret*, ratusque se hoc modo nihil injusti in eos, quos exceperat, commissurum. Quum vero illi nihil de eo quo in hospitem ferebantur desiderio remitterent, sed acrius instarent ut eam acciperent flagitantes, is quidem supplex orabat ne quid iniqui perpetrare auderent. At illi, magna vi usi ac magis magisque libidine furentes, abreptam mulierem domum ad se abducunt: eamque per totam noctem constuprantes et ludibrio habentes sub ortum auroræ dimiserunt. Illa vero iis, quæ ei acciderant, graviter afflicta ad hospitium revertitur: ac dolore plena ob ea quæ pertulerat, et præ pudore non ausa in conspectum mariti venire, (*illum enim ægritudine insanabili laboraturum esse existimabat,*) humi collapsa animam efflavit. Ejus autem maritus, eam somno profundo oppressam arbitrans, et nihil gravius suspicans, suscitare conabatur, quod eam consolari decreverit, utpote quæ se non sponte contumeliosis hominibus submiserit, sed illi eam in *illud* hospitium rapuerint. Ut vero defunctam esse intellexit, satis prudenter pro calamitatis magnitudine,

ἐπιθέμενος τῷ κτήνει νεκρὰν τὴν γυναῖκα κομίζει πρὸς αὐτὸν, καὶ διελὼν αὐτὴν κατὰ μέλος εἰς μέρη δώδεκα διέπεμψεν εἰς ἑκάστην φυλὴν, ἐντειλάμενος τοῖς κομίζουσι λέγειν τοὺς αἰτίους τῆς τελευτῆς γυναικὶ καὶ τὴν παροινίαν ταῖς φυλαῖς.

θ'. Οἱ δὲ ὑπό τε τῆς ὄψεως καὶ τῆς ἀκοῆς τῶν βεβιασμένων κακῶς διατεθέντες, πρότερον οὐδενὸς τοιούτου πεῖραν εἰληφότες, ὑπ' ὀργῆς ἀκράτου καὶ δικαίας εἰς τὴν Σιλοῦν συλλεγέντες καὶ πρὸ τῆς σκηνῆς ἀθροισθέντες εἰς ὅπλα χωρεῖν εὐθὺς ὥρμηντο καὶ χρήσασθαι τοῖς Γαβαηνοῖς ὡς πολεμίοις. Ἐπέσχε δ' αὐτοὺς ἡ γερουσία, πείσασα μὴ δεῖν ὀξέως οὕτω πρὸς τοὺς ὁμοφύλους ἐκφέρειν πόλεμον, πρὶν ἢ λόγοις διαλεχθῆναι περὶ τῶν ἐγκλημάτων, τοῦ νόμου μηδ' ἐπὶ τοὺς ἀλλοτρίους ἐφιέντος δίχα πρεσβείας καὶ τοιαύτης πρὸς τὸ μετανοῆσαι πείρας τοὺς δόξαντας ἀδικεῖν στρατιὰν ἀγαγεῖν. Καλῶς οὖν ἔχειν τῷ νόμῳ πειθομένους πέμψαι πρὸς τοὺς Γαβαηνοὺς ἐξαιτοῦντας τοὺς αἰτίους, καὶ παρεχομένων μὲν ἀρκεῖσθαι τῇ τούτων κολάσει, καταφρονησάντων δὲ τότε τοῖς ὅπλοις αὐτοὺς ἀμύνασθαι. Πέμπουσιν οὖν πρὸς τοὺς Γαβαηνοὺς κατηγοροῦντες τῶν νεανίσκων τὰ περὶ τὴν γυναῖκα καὶ πρὸς τιμωρίαν αἰτοῦντες τοὺς ὁράσαντας μὲν οὐ νόμιμα, γενομένους δὲ δικαίους ἀντ' αὐτῶν ἐκείνων ἀποθανεῖν. Οἱ δὲ Γαβαηνοὶ οὔτε τοὺς νεανίσκους ἐξέδοσαν καὶ δεινὸν ἀλλοτρίοις ὑπακούειν προστάγμασιν ἡγοῦντο πολέμου φόβῳ, μηδενὸς ἀξιοῦντες εἶναι χείρους ἐν τοῖς ὅπλοις, μήτε διὰ πλῆθος μήτε δι' εὐψυχίαν. Ἦσαν δὲ ἐν παρασκευῇ μεγάλῃ μετὰ καὶ τῶν ἄλλων φυλετῶν· συναπενοήθησαν γὰρ αὐτοῖς ὡς ἀμυνόμενοι βιαζομένους.

ί'. Ὡς δὲ τοιαῦτα ἠγγέλθη τοῖς Ἰσραηλίταις τὰ παρὰ τῶν Γαβαηνῶν, ὅρκους ποιοῦνται μηδένα σφῶν ἀνδρὶ Βενιαμίτῃ δώσειν πρὸς γάμον θυγατέρα, στρατεύσειν τε ἐπ' αὐτοὺς μᾶλλον αὐτοῖς δι' ὀργῆς ὄντας ἢ τοῖς Χαναναίοις τοὺς προγόνους ἡμῶν παρειληφαμεν γενομένους. Παραχρῆμά τε ἐξῆγον ἐπ' αὐτοὺς τὸ στρατόπεδον μυριάδας τεσσαράκοντα ὁπλιτῶν, Βενιαμιτῶν δ' ὁπλιτικὸν ἦν δισμυρίων καὶ πεντακισχιλίων καὶ ἑξακοσίων, ὧν ἦσαν εἰς πεντακοσίους ταῖς λαιαῖς τῶν χειρῶν σφενδονᾶν ἄριστοι· ὥστε καὶ μάχης πρὸς τῇ Γαβᾷ γενομένης τρέπουσιν οἱ Βενιαμῖται τοὺς Ἰσραηλίτας, ἄνδρες τε πίπτουσιν ἐξ αὐτῶν εἰς δισμυρίους καὶ δισχιλίους· ἐφθάρησαν δὲ ἴσως ἂν καὶ πλείονες, εἰ μὴ νὺξ αὐτοὺς ἐπέσχε καὶ διέλυσε μαχομένους. Καὶ οἱ μὲν Βενιαμῖται χαίροντες ἀνεχώρουν εἰς τὴν πόλιν, οἱ δ' Ἰσραηλῖται καταπεπληγότες ὑπὸ τῆς ἥττης εἰς τὸ στρατόπεδον. Τῇ δ' ἐπιούσῃ πάλιν συμβαλόντων οἱ Βενιαμῖται κρατοῦσι, καὶ θνήσκουσι τῶν Ἰσραηλιτῶν ὀκτακισχίλιοι καὶ μύριοι, καὶ δείσαντες τὸν φόνον ἐξέλιπον τὸ στρατόπεδον. Παραγενόμενοι δὲ εἰς Βέθηλα, πόλιν ἔγγιστα κειμένην, καὶ νηστεύσαντες κατὰ τὴν ὑστεραίαν τὸν Θεὸν ἱκέτευον διὰ Φινεέσου τοῦ ἀρχιερέως παύσασθαι τῆς ὀργῆς τῆς πρὸς αὐτοὺς, καὶ ταῖς δυσὶν αὐτῶν ἥτταις ἀρκεσθέντα δοῦναι νίκην καὶ κράτος

mortuam mulierem jumento imposuit domumque reportavit, eamque membratim in duodecim partes dissecans ad tribum unamquamque dimisit, mandans perferentibus ut indicarent per tribus qui mulieri causa mortis fuerint eorumque petulantiam.

9. Illi autem et aspectu et auditu facinoris atrocitatis graviter commoti, qui antea nihil ejusmodi experti erant, iraque sincera et justa perciti, ad Siluntem convenerunt, et ante tabernaculum in concionem coacti, statim ut arma caperent magno studio decreverunt, et ut Gabaenos prohostibus haberent. Eos autem reprimebat senatus, suadens non oportere ita subito bellum inferri popularibus, priusquam querelæ verbis disceptatæ sint, quum lex ne in externos quidem permittat producere exercitum, nisi legatione prius missa, tentatisque viis similibus qui injuriam fecisse videantur ad saniorem mentem revocentur, Æquum igitur esse ut juxta legem ad Gabaenos *legati* mittantur, qui *sceleris* auctores *ad supplicium* deposcant, et illis quidem deditis, horum pœna se contentos esse debere; si vero contumaces fuerint, bello in eos vindicandum. Itaque mittunt ad Gabaenos juvenes accusatum de iis quæ mulieri acciderant, et ad pœnam eos postulatum eos qui nefaria perpetrarant et digni erant qui ob hæc ipsa morte plectantur. Gabaeni vero juvenes non dediderunt, et sibi contumeliæ esse existimarunt si alienis imperatis metu belli parerent, videri volentes nulli alii *populo* armis cedere aut per copiarum numerum aut virtutem. Magnus autem iis erat belli apparatus et ceteris etiam tribulibus: simul enim *hi* cum iis insolentia efferebantur tanquam adeos qui vim afferrent ulciscendos.

10. Ut vero Israelitis renunciata erant quæ facere in animum induxerant Gabaeni, jurant neminem ipsorum viro Benjamitæ filiam nuptum daturum, seque eos bello prosequuturos, magis iis irascentes quam majores nostros Chananæis *succensuisse* accepimus. Ac confestim contra eos eduxerunt exercitum quadringentorum millium armatorum, Benjamitarum arma ferentium quum essent viginti quinque millia sexcenti, ex quibus erant quingenti qui sinistra manu optimi erant funditores. Itaque apud Gabam prælio commisso, Benjamitæ in fugam vertunt Israelitas: virique ex eis ceciderunt ad viginti duo millia: et fortasse plures perissent, nisi nox eos inhibuisset et prælium diremisset. Et Benjamitæ quidem gaudio exsultantes in urbem se recipiunt, Israelitæ vero in castra ex clade animo consternati. At sequenti die iterum acie congressi sunt, et Benjamitæ altera victoria potiuntur: atque Israelitarum cadunt octodecim millia, et cædem metuentes castra deseruerunt. Quum autem accessissent ad Bethela urbem in proximo sitam, et postridie jejunium egissent, Deo per Phineesen pontificem supplicabant ut sibi succensere desineret, atque duabus cladibus illatis contentus victoriam largiri dignaretur et vires

κατὰ τῶν πολεμίων. Ὁ δὲ Θεὸς ἐπαγγέλλεται ταῦτα διὰ Φινεέσου προφητεύσαντος.

ια'. Ποιήσαντες οὖν τὴν στρατιὰν δύο μέρη, τὴν μὲν ἡμίσειαν προλοχίζουσι νυκτὸς περὶ τὴν πόλιν, οἱ δ' ἡμίσεις συνέβαλλον τοῖς Βενιαμίταις, ὑπεχώρουν τε ἐγκειμένων καὶ ἐδίωκον οἱ Βενιαμῖται, οἳ, τῶν Ἑβραίων ὑποφευγόντων ἠρέμα καὶ ἐπιπολὺ θελόντων εἰς ἅπαν αὐτοὺς ἐξελθεῖν, ἀναχωροῦσιν εἵποντο, ὡς καὶ τοὺς ἐν τῇ πόλει πρεσβύτας καὶ νέους ὑπολειφθέντας δι' ἀσθένειαν συνεκδραμεῖν αὐτοῖς, πανσυδὶ βουλομένους χειρώσασθαι τοὺς πολεμίους. Ὡς δὲ πολὺ τῆς πόλεως ἀπέσχον, ἐπαύσαντο μὲν φεύγοντες οἱ Ἑβραῖοι, ἐπιστραφέντες δ' ἵστανται πρὸς μάχην καὶ τοῖς ἐν ταῖς ἐνέδραις οὖσι τὸ σημεῖον αἴρουσιν ὃ συνέκειτο· οἱ δ' ἐξαναστάντες μετὰ βοῆς ἐπῆσαν τοῖς πολεμίοις· οἱ δὲ ἅμα τε ἠπατημένους αὐτοὺς ἤσθηντο καὶ ἐν ἀμηχανίᾳ συνειστήκεσαν καὶ εἴς τι κοῖλον συνελαθέντες καὶ φαραγγώδες χωρίον περιστάντες κατηκοντίσθησαν, ὥστε πάντας διαφθαρῆναι πλὴν ἑξακοσίων. Οὗτοι δὲ συστραφέντες καὶ πυκνώσαντες ἑαυτοὺς καὶ διὰ μέσων ὠσάμενοι τῶν πολεμίων ἔφυγον ἐπὶ τὰ πλησίον ὄρη, καὶ κατασχόντες ἱδρύθησαν, οἱ δ' ἄλλοι πάντες περὶ δισμυρίους ὄντες καὶ πεντακισχιλίους ἀπέθανον. Οἱ δὲ Ἰσραηλῖται τήν τε Γαβὰν ἐμπιπρᾶσι καὶ τὰς τε γυναῖκας καὶ τῶν ἀρρένων τοὺς μὴ ἐν ἀκμῇ διεχρήσαντο, τάς τε ἄλλας τῶν Βενιαμιτῶν πόλεις ταὐτὰ ῥῶσιν. Οὕτω τε ἦσαν παρωργισμένοι ὡς καὶ Ἰάβισον, τῆς Γαλαδίτιδος οὖσαν, ὅτι μὴ συμμαχήσειεν αὐτοῖς κατὰ τῶν Βενιαμιτῶν, πέμψαντες μυρίους καὶ δισχιλίους ἐκ τῶν τάξεων ἐκέλευσαν ἀνελεῖν. Καὶ φονεύουσι τὸ μάχιμον τῆς πόλεως οἱ πεμφθέντες σὺν τέκνοις καὶ γυναιξί, πλὴν τετρακοσίων παρθένων. Ἐπὶ τοσοῦτον ὑπ' ὀργῆς προήχθησαν τῷ κατὰ τὴν γυναῖκα πάθει προσλαβόντες καὶ τὸ κατὰ τὴν ἀναίρεσιν τῶν ὁπλιτῶν.

ιβ'. Μετάνοια δ' αὐτοὺς λαμβάνει τῆς τῶν Βενιαμιτῶν συμφορᾶς καὶ νηστείαν ἐπ' αὐτοῖς προέθεντο, καίτοι δίκαια παθεῖν αὐτοὺς ἀξιοῦντες εἰς τοὺς νόμους ἐξαμαρτάνοντας. Καὶ τοὺς διαφυγόντας αὐτῶν ἑξακοσίους διὰ πρεσβευτῶν ἐκάλουν, καθίδρυντο δὲ ἐπὶ πέτρας τινὸς Ῥοᾶς καλουμένης κατὰ τὴν ἔρημον. Οἱ δὲ πρέσβεις, ὡς οὐκ ἐκείνοις τῆς συμφορᾶς μόνοις γεγενημένης, ἀλλὰ καὶ αὐτοῖς τῶν συγγενῶν ἀπολωλότων, ὀδυρόμενοι, πράως ἔπειθον φέρειν καὶ συνελθεῖν εἰς ταὐτὸ, καὶ μὴ παντελῆ τῆς Βενιαμίτιδος φυλῆς ὄλεθρον τόγε ἐπ' αὐτοῖς καταψηφίσασθαι. « Συγχωροῦμεν δὲ ὑμῖν, ἔλεγον τὴν ἁπάσης τῆς φυλῆς γῆν καὶ λείαν ὅσην ἀπάγειν δυνηθείητε ». Οἱ δὲ, τῶν καθ' ἑαυτοὺς Θεοῦ ψήφῳ γεγονότων, καὶ κατ' ἀδικίαν τὴν αὐτῶν γνωσιμαχήσαντες, κατῆσαν εἰς τὴν πάτριον φυλὴν πειθόμενοι τοῖς προκαλουμένοις. Οἱ δ' Ἰσραηλῖται γυναῖκας αὐτοῖς τὰς τετρακοσίας ἔδοσαν παρθένους τὰς Ἰαβίτιδας, περὶ δὲ τῶν διακοσίων ἐσκόπουν ὅπως κἀκεῖνοι γυναικῶν εὐπορήσαντες παιδοποιῶνται. Γεγενημένων δ' αὐτοῖς ὅρκων, ὥστε μηδενὶ Βενιαμίτῃ συνοικῆσαι

contra hostes. Deus vero hæc ipsa per Phineesen vaticinantem pollicitus est.

11. Exercitu itaque in duas partes diviso, dimidiam quidem noctu in insidiis circa urbem collocant, reliqui vero pugnam conserebant cum Benjamitis, et sese subducebant quum illi instarent, eosque persequebantur Benjamitæ, qui Hebræis pedetentim suffugientibus et quammaxime volentibus ut ad unum omnes urbe egrederentur, retro cedentes insequebantur, ita ut senes pariter et juvenes, qui propter ætatem imbellem in urbe relicti fuerant, una cum iis procurrerent, ut totus populus collectus hostem vinceret expetentes. Postquam autem longe ab urbe discessum est, fugere desierunt Hebræi, et conversi aciem instaurant, atque in insidiis collocatis signum istud tollunt, de quo convenerat. Hi vero coorti cum clamore hostes aggressi sunt. Illi vero, simul ac se deceptos senserunt, eo redacti sunt, ut quid agerent plane nescirent, atque in vallem quandam compulsi et loco concavo circumdati telis sunt confossi, ita ut omnes interirent præter sexcentos. Illi vero conglobati et in densum agmen coacti per medios hostes erumpentes ad montes vicinos se fuga recipiebant, illisque occupatis ibidem per *aliquod tempus* manserunt. At ceteri omnes, numero circiter viginti quinque millia, ferro ceciderunt. Israelitæ vero et Gabam incenderunt, et mulieres pariter ac masculos impuberes peremerunt : similiterque in reliquas Benjamitarum urbes sævitum est. Atque adeo ira efferebantur, ut etiam Jabisum Galaditidis urbem, eo quod ipsis auxilium non tulerit contra Benjamitas, duodecim millibus ex suis ordinibus missis jusserint evertere. Missique illi perimunt quotquot in urbe arma ferre poterant una cum liberis et uxoribus, servatis tantum quadringentis virginibus. Eo *furoris* præ ira processerunt, ad ea quæ mulier *Levitica* passa est accedente *ingenti* militum cæde.

12. Illos autem *postea* pœnituit cladis Benjamitis illatæ, et ob ea jejunium indixerunt, quamvis eos supplicio merito plecti censuerint, ut qui in leges peccarint. Sexcentos quoque illos, qui effugerant, missis legatis revocabant : nam super petram quandam in deserto, quæ Rhoa dicitur, sese collocarant. Legati vero non illorum tantum vicem ob calamitatem acceptam dolentes, sed et suam in tot consanguineorum interitu, suadebant eis ut æquo animo ferrent et ad suos aggregarentur, neve, quantum in se esset, universam tribum Benjamiticam perditum irent. « Quin « vobis, inquiebant, concedimus totius tribus terram, et « prædæ quantum abigere potestis ». Illi autem, quod tam male res suæ ex Dei judicio ceciderant, et pro sua iniquitate *sibi factum esse* mutata sententia agnoscentes, ad patriæ tribus lares descenderunt, eos invitantibus morem gerentes. Israelitæ vero eis in uxores dederunt quadringentas illas virgines Jabiticas : et de docentis *reliquis* deliberabant, quo modo et illis uxores suppeterent ad prolem suscipiendam. Nam quum ante initium belli jurejurando cautum esset ne quis filiam ulli Benjamitarum locaret, nonnulli qui-

θυγατέρα, πρὸ τοῦ πολέμου, οἱ μὲν ὀλιγωρεῖν συνεβούλευον τῶν ὁμωμοσμένων, ὡς ὑπ' ὀργῆς ὁμόσαντες, οὐ γνώμῃ καὶ κρίσει, τῷ δὲ Θεῷ μηδὲν ἐναντίον ποιήσειν, εἰ φυλὴν ὅλην κινδυνεύσασαν ἀπολέσθαι σῶσαι δυνηθεῖεν, τάς τε ἐπιορκίας οὐχ ὅταν ὑπὸ ἀνάγκης γένωνται χαλεπὰς εἶναι καὶ ἐπισφαλεῖς, ἀλλ' ὅταν ἐν κακουργίᾳ τολμηθῶσι· τῆς δὲ γερουσίας πρὸς τὸ τῆς ἐπιορκίας ὄνομα σχετλιασάσης, ἔφη τις τούτοις τε γυναικῶν εὐπορίαν ἔχειν εἰπεῖν καὶ τηρήσειν τὸν ὅρκον. Ἐρομένων δὲ τὴν ἐπίνοιαν, « ἡμῖν, εἶπεν, τρὶς τοῦ « ἔτους εἰς Σηλὼ συνιοῦσιν ἑορτὴ κατὰ πανήγυριν « αἱ γυναῖκες καὶ αἱ θυγατέρες· τούτων κατὰ ἁρπαγὴν « ἐφείσθω γαμεῖν Βενιαμίταις ἃς ἂν δυνηθεῖεν, ἡμῶν « οὔτε προτρεπομένων οὔτε κωλυόντων. Πρὸς δὲ τοὺς « πατέρας αὐτῶν δυσχεραίνοντας καὶ τιμωρίαν λαμβάνειν ἀξιοῦντας φήσομεν αὐτοὺς αἰτίους φυλακῆς ἁμελήσαντας τῶν θυγατέρων, ὅτι τε δεῖ τῆς ὀργῆς ἐπὶ « Βενιαμίτας ἐφεῖναι, χρησαμένους αὐτῇ θᾶττον καὶ « ἀμέτρως ». Καὶ οἱ μὲν τούτοις πεισθέντες ψηφίζονται τὸν διὰ τῆς ἁρπαγῆς γάμον τοῖς Βενιαμίταις. Ἐνστάσης δὲ τῆς ἑορτῆς οἱ μὲν διακόσιοι, κατὰ δύο καὶ τρεῖς, πρὸ τῆς πόλεως ἐνήδρευον παρεσομένας τὰς παρθένους ἔν τε ἀμπελῶσι καὶ χωρίοις ἐν οἷς λήσειν ἐμελλον. Αἱ δὲ μετὰ παιδιᾶς οὐδὲν ὑφορώμεναι τῶν μελλόντων ἀφυλάκτως ὠδευον· οἱ δὲ σκεδασθεισῶν εἴχοντο ἐξαναστάντες. Καὶ οὗτοι μὲν οὕτω γαμήσαντες ἐπ' ἔργα τῆς γῆς ἐχώρησαν καὶ πρόνοιαν ἐποιήσαντο πάλιν εἰς τὴν προτέραν εὐδαιμονίαν ἐπανελθεῖν. Βενιαμιτῶν μὲν οὖν ἡ φυλή, κινδυνεύσασα τελέως ἐκφθαρῆναι, τῷ προειρημένῳ τρόπῳ κατὰ τὴν Ἰσραηλιτῶν σοφίαν σώζεται, ἠνθησέ τε παραχρῆμα καὶ ταχείαν εἰς τε τὸ πλῆθος καὶ τὰ ἄλλα πάντα ἐποιήσατο τὴν ἐπίδοσιν. Οὗτος μὲν οὖν ὁ πόλεμος οὕτω παύεται.

ΚΕΦ. Γ'.

Ὅμοια δὲ τούτοις παθεῖν καὶ τὴν Δανῖτιν συνέβη φυλήν, ἐξ αἰτίας τοιαύτης εἰς τοῦτο προαχθεῖσαν. Τῶν Ἰσραηλιτῶν ἐκλελοιπότων ἤδη τὴν ἐν τοῖς πολέμοις ἄσκησιν καὶ πρὸς τοῖς ἔργοις ὄντων τῆς γῆς, Χαναναῖοι, καταφρονήσαντες αὐτῶν, συνεποιήσαντο δύναμιν, οὐδὲν μὲν αὐτοὶ πείσεσθαι προσδοκῶντες, ὡς δὲ βεβαίαν τὴν τοῦ ποιήσειν κακῶς τοὺς Ἑβραίους ἐλπίδα λαβόντες, ἐπ' ἀδείας τὸ λοιπὸν οἰκεῖν τὰς πόλεις ἠξίουν. Ἅρματά τε οὖν συμπαρεσκευάζοντο καὶ τὸ ὁπλιτικὸν συνεκρότουν, αἵ τε πόλεις αὐτῶν συνεφρόνουν, καὶ τῆς Ἰούδα φυλῆς τὴν Ἀσκάλωνα καὶ Ἀκκάρωνα παρεσπάσαντο, ἄλλας τε πολλὰς τῶν ἐν τῷ πεδίῳ, καὶ Δανίτας εἰς τὸ ὄρος ἠνάγκασαν συμφυγεῖν, οὐδὲ ὀλίγον αὐτοῖς ἐπιβατὸν τοῦ πεδίου καταλιπόντες. Οἱ δ' οὔτε πολεμεῖν ὄντες ἱκανοὶ γῆν τε οὐκ ἔχοντες ἀρκοῦσαν πέμπουσιν ἐξ αὐτῶν πέντε ἄνδρας εἰς τὴν μεσόγειον, κατοψομένους γῆν εἰς ἣν μετοικήσαιντο. Οἱ δ' οὐ πόρρω τοῦ Λιβάνου ὄρους καὶ ἐλάσσονος Ἰορδάνου τῶν πηγῶν κατὰ τὸ μέγα πεδίον Σιδῶνος πόλεως ὁδὸν ἡμέρας μιᾶς

dem negligendum esse id sacramentum suadebant, quasi ira adducti eo sese obstrinxissent, non opinioni suæ et judicio obsequentes; Deo vero rem non ingratam facturos esse, si tribum integram, in extremum salutis discrimen adductam, ab interitu vindicarent; atque perjuria non quando necessitate extorta sint noxia esse et periculosa, sed quum dolose et malitiose fiant: senatu vero se miseros exclamante ad perjurii mentionem, aiebat quidam se habere dicere quo modo et cum istis connubia jungant et jurisjurandi religio servari possit. Quum autem eum de re excogitata interrogarent, « ter, inquiebat, in anno *nos* apud « Siluntem convenientes ad celebritatem sequuntur uxores « et filiæ: has, quas fortuna cuique per raptum obtulerit, « liceat Benjamitis in matrimonium ducere, nobis nec inci- « tantibus nec prohibentibus. Ad patres vero earum, si « rem ægre tulerint et vindictam postularint, dicemus ipsos « in culpa esse, qui filias negligenter custodiverint; et quod « non oporteat iræ in Benjamitas indulgere, qui jam antea « eam in illos immodice prompserint ». Atque illi quidem, quum hisce assensum esset, decreverunt ut Benjamitis liceret uxores rapto quærere. Instante autem festivitate, illi quidem ducenti, bini trinive, virginibus, dum ad solennitatem adventarent, ante urbem insidiabantur, in vineis aliisque locis in, quibus *commode* erant latituri. At illæ cum lusu, nihil futurorum suspicatæ, sine custodia iter faciebant: isti vero subito coorti dispersas corripiebant. Atque hi quidem, ita ductis uxoribus, agri culturæ operam navarunt, et providerunt ut ad pristinam felicitatem aliquando pervenirent. Benjamitarum itaque tribus, quæ parum abfuit quin tota interiret, eo quem diximus modo ab Israelitarum sapientia servata est, brevique admodum refloruit, et quam ocissime hominum multitudine aliisque rebus magna cepit incrementa. Et hoc quidem bellum hunc exitum habuit.

CAP. III.

Contigit autem ut hisce similia pateretur etiam tribus Danitica, quæ ex hujusmodi causa eo infelicitatis devenerat. Quum jam Israelitæ bellicæ rei studium intermisissent, agrisque colendis essent unice dediti, Chananæi, quibus cœperunt esse contemptui, copias collegerunt: non quod ab illis se aliquid passuros exspectarent, sed quod spe pleni existimarent se in posterum, modo Hebræos affligerent, securius urbes suas habitaturos. Igitur et currus mutua opera parabant, et exercitum conflabant; urbesque ipsorum in idem consentiunt, atque Ascalonem et Accaronem in sorte Judæ ad partes suas traxerunt, et alias quam plurimas in planitie *sitas:* coguntque Danitas in montana confugere, ne minimum quidem iis in regione campestri, ubi pedem figerent, relinquentes. Hi autem quum impares essent qui bellum illis inferrent, nec terræ spatium satis amplum haberent, miserunt ex suis quinque viros in mediterranea, locum exploraturos in quem colonias deducerent. Illi vero, non procul a Libano monte et minoris Jordanis fontibus, in campo magno Sidonis urbis itinere unius diei

προελθόντες καὶ κατασκεψάμενοι γῆν ἀγαθὴν καὶ πάμφορον σημαίνουσι τοῖς αὐτῶν, οἱ δ' ὁρμηθέντες στρατῷ κτίζουσιν αὐτόθι πόλιν Δάνα, ὁμώνυμον τῷ Ἰακώβου παιδὶ, φυλῆς δ' ἐπώνυμον τῆς αὐτῶν.

β'. Τοῖς δ' Ἰσραηλίταις προὔβαινεν ὑπό τε ἀπειρίας τοῦ πονεῖν τὰ κακὰ καὶ ἀπὸ τῆς περὶ τὸ θεῖον ὀλιγωρίας. Μετακινηθέντες γὰρ ἅπαξ τοῦ κόσμου τῆς πολιτείας ἐπεφέροντο πρὸς τὸ καθ' ἡδονὴν καὶ βούλησιν ἰδίαν βιοῦν, ὡς καὶ τῶν ἐπιχωριαζόντων παρὰ τοῖς Χαναναίοις ἀναπίμπλασθαι κακῶν. Ὀργίζεται τοίνυν αὐτοῖς ὁ Θεὸς, καὶ ἣν σὺν πόνοις μυρίοις εὐδαιμονίαν ἐκτήσαντο, ταύτην ἀπίβαλον διὰ τρυφήν. Στρατεύσαντος γὰρ ἐπ' αὐτοὺς Χουσάρθου τοῦ τῶν Ἀσσυρίων βασιλέως, πολλούς τε τῶν παραταξαμένων ἀπώλεσαν καὶ πολιορκούμενοι κατὰ κράτος ἡρέθησαν. Εἰσὶ δ' οἱ διὰ φόβον ἑκουσίως αὐτῷ προσεχώρησαν, φόρους τε τοῦ δυνατοῦ μείζονας ἐπιταγέντες ἐτέλουν, καὶ ὕβρεις παντοίας ὑπέμενον ἕως ἐτῶν ὀκτώ. Μεθ' ἃ τῶν κακῶν οὕτως ἠλευθερώθησαν.

[Δ'.] γ'. Τῆς Ἰούδα φυλῆς τις Ὀθνίηλος τοὔνομα, Κενέζου υἱὸς, δραστήριος ἀνὴρ καὶ τὸ φρόνημα γενναῖος, χρησθὲν αὐτῷ μὴ περιορᾶν ἐν τοιαύτῃ τοὺς Ἰσραηλίτας ἀνάγκῃ κειμένους, ἀλλ' εἰς ἐλευθερίαν αὐτοὺς ἐξαιρεῖσθαι τολμᾶν, παρακελευσάμενος συλλαμβάνεσθαι τῶν κινδύνων τινὰς αὐτῷ, (ὀλίγοι δ' ἦσαν, οἷς αἰδὼς ἐπὶ τοῖς τότε παροῦσιν ἐτύγχανε καὶ προθυμία μεταβολῆς,) πρῶτον μὲν τὴν παρ' αὐτοῖς οὖσαν φρουρὰν τοῦ Χουσάρθου διαφθείρει, προσγενομένων δὲ πλειόνων τῶν συναγωνιζομένων ἐκ τοῦ μὴ διαμαρτεῖν περὶ τὰ πρῶτα τῆς ἐπιχειρήσεως, μάχην τοῖς Ἀσσυρίοις συνάπτουσι, καὶ πρὸς τὸ παντελὲς αὐτοὺς ἀπωσάμενοι, περαιοῦσθαι τὸν Εὐφράτην ἐβιάζοντο. Ὀθνίηλος δὲ, ὡς ἔργῳ πεῖραν αὐτοῦ δεδωκὼς τῆς ἀνδραγαθίας, γέρας ὑπὲρ αὐτῆς λαμβάνει παρὰ τοῦ πλήθους ἀρχὴν, ὥστε κρίνειν τὸν λαόν. Καὶ ἄρξας ἐπ' ἔτη τεσσαράκοντα, καταστρέφει τὸν βίον.

ΚΕΦ. Δ'.

Τελευτήσαντος δὲ τούτου πάλιν τὰ τῶν Ἰσραηλιτῶν ὑπὸ ἀναρχίας ἐνόσει πράγματα, καὶ τῷ μὴ διὰ τιμῆς ἄγειν τὸν Θεὸν μηδὲ τοῖς νόμοις ὑπακούειν ἔτι μᾶλλον ἐκακοῦντο, ὡς καταφρονήσαντα αὐτῶν τῆς ἀκοσμίας τῆς κατὰ τὴν πολιτείαν Ἐγλῶνα, τὸν τῶν Μωαβιτῶν βασιλέα, πόλεμον πρὸς αὐτοὺς ἐξενεγκεῖν, καὶ πολλαῖς μάχαις αὐτῶν κρατήσαντα καὶ τοὺς φρονήματι τῶν ἄλλων διαφέροντας ὑποτάξαντα πρὸς τὸ παντελὲς αὐτῶν τὴν δύναμιν ταπεινῶσαι, καὶ φόρους αὐτοῖς ἐπιτάξαι τελεῖν. Καθιδρύσας δ' αὐτῷ ἐν Ἱεριχοῦντι βασίλειον οὐδὲν τῆς εἰς τὸ πλῆθος κακώσεως παρέλιπεν εἴς τε πενίαν αὐτοὺς κατέστησεν, εἰς ὀκτωκαίδεκα ἔτη. Λαβὼν δ' οἶκτον ὁ Θεὸς τῶν Ἰσραηλιτῶν ἐφ' οἷς ἔπασχον, καὶ ταῖς ἱκετείαις αὐτῶν ἐπικλασθείς, ἀπήλλαξε τῆς ὑπὸ τοῖς Μωαβίταις ὕβρεως. Ἠλευθερώθησαν δὲ τῷ τρόπῳ τούτῳ.

progressi, et speculati terram bonam et fertilem, suos de ea certiores faciunt: qui mox cum exercitu illuc profecti Dana urbem condiderunt, cognominem uni ex Jacobi filiis, et a sua tribu denominatam.

2. Israelitis autem res in pejus lapsæ sunt, quod a labore essent desuefacti cultumque Dei negligerent. Nam quum semel ab honestæ institutionis disciplina defecerant, eo ferebantur ut pro libidine suoque arbitratu vitam agerent: quo factum est ut patriis et familiaribus Chananæorum vitiis ad satietatem usque indulgerent. Eis igitur irascitur Deus, ac felicitate, quam infinitis pæne laboribus adepti erant, luxu diffluentes exciderunt. Nam bellum eis inferente Chusarthe Assyriorum rege, et multos acie dimicantes amiserunt, et obsidione valida capti sunt. Quidam vero per timorem sese ei sponte addixerunt, et tributa, quæ vix solvendo erant, imperata solvere tenebantur, et omne genus contumelias per octo annos sufferebant. Quibus exactis hoc modo a calamitate sua liberati sunt.

[IV.] 3. Quidam e tribu Judæ, nomine Hothnielus, Cenezi filius, vir impiger magnique animi, oraculo monitus ne despiceret Israelitas in hujusmodi necessitatem adductos, sed in libertatem eos vindicare auderet, quum sibi aliquot periculi socios adscivisset, (pauci autem erant quos præsentis rerum status pudebat, quive eum in melius mutari desiderabant,) primo quidem præsidium suis a Chusarthe impositum interficit; numero vero commilitonum illi crescente ex eo, quod in primis ad quæ aggressus est non lapsus fuerit, prælium committunt cum Assyriis, et, quum eos universos in fugam conjecissent, Euphratem trajicere coegerunt. Hothnielus autem, ut qui re vera egregium fortitudinis suæ specimen dederit, in rei bene gestæ præmium principatum a populo accepit, ut eos judicaret. Et quum annis quadraginta imperasset, vitam cum morte commutavit.

CAP. IV. (V.)

Hoc autem mortuo rursum res Israelitarum, quum nemo populum imperio regeret, in pejus ruere cœperunt, et, quod nec Deo tribuerint honorem, nec legibus obedientiam, adhuc magis affligebantur, postquam Eglon, Moabitarum rex, qui propter reipublicæ perturbationem eos despiceret, bello adortus ipsos erat; et, quum multis prœliis eos vicisset, animoque ceteris elatiores sibi subjecisset, potentiam eorum prorsus depressit et tributa iis solvenda imperavit. Sede autem regia in Hierichunte sibi constituta, modis omnibus populum vexavit, fecitque ut in inopia per annos octodecim degerent. At Deus, Israelitarum ob calamitates quas perferebant misertus, atque precibus eorum supplicibus flexus, eos a Moabitarum injuriis liberavit. Hoc autem modo liberationem iis peperit.

β'. Τῆς Βενιαμίτιδος φυλῆς νεανίας, Ἠούδης μὲν τοὔνομα, Γήρᾳ δὲ πατρὸς, τολμῆσαί τε ἀνδρειότατος καὶ τῷ σώματι πρὸς τὰ ἔργα χρήσασθαι δυνατώτατος, τῶν χειρῶν τὴν ἀριστερὰν ἀμείνων καὶ ἀπ' ἐκείνης τὴν ἅπασαν ἰσχὺν ἔχων, κατῴκει μὲν ἐν Ἱεριχοῦντι καὶ αὐτὸς, συνήθης δὲ γίνεται τῷ Ἐγλῶνι, δωρεαῖς αὐτὸν θεραπεύων καὶ ὑπερχόμενος, ὡς διὰ τοῦτο καὶ τοῖς περὶ τὸν βασιλέα προσφιλῆ τυγχάνειν αὐτόν. Καί ποτε σὺν δυσὶν οἰκέταις δῶρα τῷ βασιλεῖ φέρων ξιφίδιον κρύφα τῷ δεξιῷ σκέλει περιδησάμενος εἰσῆλθε πρὸς αὐτόν· ὥρα δ' ἦν θέρους, καὶ τῆς ἡμέρας ἤδη μεσούσης ἀνεῖντο αἱ φυλακαὶ, ὑπό τε τοῦ καύματος καὶ πρὸς ἄριστον τετραμμένων. Δοὺς οὖν τὰ δῶρα τῷ Ἐγλῶνι ὁ νεανίσκος (διέτριβε δ' ἔν τινι δωματίῳ δεξιῶς πρὸς θέρος ἔχοντι) πρὸς ὁμιλίαν ἐτράπετο. Μόνοι δ' ἦσαν, τοῦ βασιλέως καὶ τοὺς ἐπεισιόντας τῶν θεραπόντων ἀπιέναι κελεύσαντος, διὰ τὸ πρὸς Ἠούδην ὁμιλεῖν. Καθῆστο δὲ ἐπὶ θρόνου, καὶ δέος εἰσῆλθε τὸν Ἠούδην μὴ διαμάρτῃ καὶ μὴ δῷ καιρίαν πληγήν. Ἀνίστησιν οὖν αὐτὸν, ὄναρ εἰπὼν ἔχειν ἐκ προστάγματος αὐτῷ δηλῶσαι τοῦ Θεοῦ. Καὶ ὁ μὲν πρὸς τὴν χαρὰν τὴν τοῦ ὀνείρατος ἀνεπήδησεν ἀπὸ τοῦ θρόνου. Πλήξας δ' αὐτὸν ὁ Ἠούδης εἰς τὴν καρδίαν καὶ τὸ ξιφίδιον ἐγκαταλιπὼν ἔξεισι προσκλίνας τὴν θύραν. Οἵ τε θεράποντες ἠρέμουν, εἰς ὕπνον τετράφθαι νομίζοντες τὸν βασιλέα.

γ'. Ὁ δὲ Ἠούδης τοῖς Ἱεριχουντίοις ἀποσημαίνων κρυπτῶς παρεκάλει τῆς ἐλευθερίας ἀντιλαμβάνεσθαι. Οἱ δὲ ἀσμένως τοῦτ' ἀκούσαντες αὐτοί τε εἰς τὰ ὅπλα ἦσαν καὶ διέπεμπον εἰς τὴν χώραν τοὺς ἀποσημαίνοντας κέρασιν οἰῶν· τούτοις γὰρ συγκαλεῖν τὸ πλῆθος πάτριον ἦν. Οἱ δὲ περὶ τὸν Ἐγλῶνα πολὺν μὲν χρόνον ἠγνόουν τὸ συμβεβηκὸς αὐτῷ πάθος· ἐπεὶ δὲ πρὸς ἑσπέραν ἦν, δείσαντες μή τι νεώτερον εἴη περὶ αὐτὸν γεγονὸς, εἰσῆλθον εἰς τὸ δωμάτιον, καὶ νεκρὸν εὑρόντες ἐν ἀμηχανίᾳ καθειστήκεσαν· καὶ πρὶν τὴν φρουρὰν συστραφῆναι, τὸ τῶν Ἰσραηλιτῶν αὐτοῖς ἐπέρχεται πλῆθος. Καὶ οἱ μὲν παραχρῆμα ἀναιροῦνται, οἱ δὲ εἰς φυγὴν τρέπονται, ὡς ἐπὶ τὴν Μωαβῖτιν σωθησόμενοι· ἦσαν δὲ ὑπὲρ μυρίους. Καὶ Ἰσραηλῖται, προκατειληφότες τοῦ Ἰορδάνου τὴν διάβασιν, διώκοντες ἔκτεινον, καὶ κατὰ τὴν διάβασιν πολλοὺς αὐτῶν ἀναιροῦσιν, διέφυγέ τε οὐδὲ εἷς τὰς χεῖρας αὐτῶν. Καὶ οἱ μὲν Ἑβραῖοι τούτῳ τῷ τρόπῳ τῆς ὑπὸ τοῖς Μωαβίταις δουλείας ἀπηλλάγησαν· Ἠούδης δὲ, ἐκ τῆς αἰτίας ταύτης τιμηθεὶς τοῦ πλήθους παντὸς ἡγεμονίᾳ, τελευτᾷ τὴν ἀρχὴν ἔτεσιν ὀγδοήκοντα κατασχὼν, ἀνὴρ καὶ δίχα τῆς προειρημένης πράξεως ἐπαίνου δίκαιος τυγχάνειν. Καὶ μετὰ τοῦτον Σανάγαρος, ὁ Ἀνάθου παῖς, αἱρεθεὶς ἄρχειν ἐν τῷ πρώτῳ τῆς ἀρχῆς ἔτει κατέστρεψε τὸν βίον.

2. Juvenis e tribu Benjamitide, nomine quidem Ehudes, Gera vero patre *natus*, tam ad magna audenda animi plenus, quam ad eadem exsequenda corpore validissimus, melior manuum sinistra et ab ea omne robur trahens, in Hierichunte quidem et ipse habitabat, familiarior vero factus est Egloni, muneribus ipsum *sibi* concilians et pleniori obsequio devinciens, ita ut eo nomine etiam ceteris, qui circa regem erant, carus admodum haberetur. Ac quum aliquando, duobus famulis comitatus, munera regi ferret, sica sub veste accinctus ad femur dextrum introiit ad regem. Erat autem æstatis tempus, et, quum jam meridies esset, remissius agebant custodes, tum propter æstum, tum quod ad prandium diverterint. Juvenis igitur, oblatis Egloni muneribus, (morabatur enim in cubiculo quodam æstati bene accommodato,) confabulari cum eo cœpit. Ac soli erant, rege famulos qui ingrederentur foras abire jubente, ut cum Ehude colloqueretur. Sedebat autem in solio, et timor incessit Ehuden ne falleret ictus et plagam minime letalem inferret. Ipsum igitur suscitavit, dicens se habere somnium ei ex Dei mandato narrandum. Et ille quidem præ gaudio, quod somnium esset auditurus, e throno exsiluit : Ehudes vero, ictu ei in cor impacto, et pugione in vulnere relicto, egreditur clausis post se foribus; ac famuli quiescebant, regem in somnum delapsum esse rati.

3. Ehudes vero, Hierichuntinis re clam indicata, ipsos hortabatur ut sese in libertatem assererent. Illi vero libenter hæc accipientes et ipsi ad arma accurrebant, et per totam regionem dimittebant qui id cornuum arietinorum sonitu significarent : hisce enim mos patrius erat populum convocare. Eglonis autem domestici diu ignorabant id quod ei acciderat : sed quum jam advesperasceret, veriti ne quid illi novi et insoliti contigisset, in cubiculum ingressi sunt; quumque mortuum invenissent, consilii inopes hærebant, et antequam præsidia in agmina cogi poterant, illis magno numero superveniunt Israelitæ. Et alii quidem e vestigio perempti sunt, alii vero fuga dilabuntur, ut in terram Moabiticam evaderent : erant autem ultra decem millia. Et Israelitæ, qui vada Jordanis præoccupaverant qua transitus erat, persequentes eos interimunt : et in ipso trajectu plurimos ex iis conficiunt, nec quisquam e manibus ipsorum effugit. Et Hebræi quidem hoc modo e servitute Moabitica liberati sunt. Ehudes autem ob hanc causam totius populi principatu honoratus est; et vita decedit, quum imperium per annos octoginta tenuisset : vir, etiamsi facinus præclarum jam memoratum non fecisset, laude dignus. Ac post hunc Sanagarus Anathi filius, electus ut regnaret, primo imperii anno vitam finivit.

ΚΕΦ. Ε'.

Ἰσραηλῖται δὲ πάλιν, (οὐδὲν γὰρ ἐπὶ διδαχῇ τοῦ κρείττονος ἐλάμβανον τῶν πρότερον ἠτυχημένων, ὑπό τε τοῦ μήτε σέβειν τὸν Θεὸν μήθ' ὑπακούειν τοῖς νόμοις,) πρὶν ἢ καὶ τῆς ὑπὸ Μωαβίταις ἀναπνεῦσαι δουλείας πρὸς ὀλίγον, ὑπὸ Ἰαβίνου τοῦ τῶν Χαναναίων βασιλέως καταδουλοῦνται. Οὗτος γὰρ ἐξ Ἀσώρου πόλεως ὁρμώμενος, (αὕτη δ' ὑπέρκειται τῆς Σεμεχωνίτιδος λίμνης,) στρατοῦ μὲν ὁπλιτῶν τριάκοντα ἔτρεφε μυριάδας, μυρίους δὲ ἱππέας, τρισχιλίων δὲ ἁρμάτων ἠνώρει. Ταύτης οὖν στρατηγῶν τῆς δυνάμεως ὁ Σισάρης, τιμῆς τῆς πρώτης παρὰ τῷ βασιλεῖ τυγχάνων, συνελθόντας πρὸς αὐτὸν τοὺς Ἰσραηλίτας ἐκάκωσε δεινῶς, ὥστε αὐτοῖς ἐπιτάξαι τελεῖν φόρους.

β'. Εἴκοσι μὲν οὖν ἔτη ταῦτα πάσχοντες ἤνυσαν, μήτε αὐτοὶ φρονεῖν ὑπὸ τῆς δυστυχίας ὄντες ἀγαθοὶ καὶ τοῦ Θεοῦ πλείονι χρόνῳ δαμάσαι θέλοντος αὐτῶν τὴν ὕβριν καὶ τὴν περὶ αὐτὸν ἀγνωμοσύνην, ἵνα μεταθέμενοι τοῦ λοιποῦ, σωφρονῶσι διὰ χθέντες τὰς συμφορὰς αὐτοῖς ἐκ τῆς περιφρονήσεως τῶν νόμων ὑπάρξαι, Δεβώραν τινὰ προφῆτιν (μέλισσαν δὲ σημαίνει τοὔνομα κατὰ τὴν Ἑβραίων γλῶσσαν) ἱκέτευον δεηθῆναι τοῦ Θεοῦ λαβεῖν οἶκτον αὐτῶν καὶ μὴ περιδεῖν ἀπολλυμένους αὐτοὺς ὑπὸ Χαναναίων. Ὁ δὲ Θεὸς ἐπένευσε σωτηρίαν αὐτοῖς, καὶ στρατηγὸν αἱρεῖται Βάρακον τῆς Νεφθαλίτιδος ὄντα φυλῆς. Βάρακος δέ ἐστιν ἀστραπὴ κατὰ τὴν Ἑβραίων γλῶσσαν.

γ'. Μεταπεμψαμένη δ' ἡ Δεβώρα τὸν Βάρακον, ἐπιλέξαντα τῶν νέων μυρίους ἐκέλευσε χωρεῖν ἐπὶ τοὺς πολεμίους· ἀποχρῆναι γὰρ τοσούτους, τοῦ Θεοῦ προειρηκότος καὶ νίκην ἐπισημήναντος. Βαράκου δὲ φαμένου οὐ στρατηγήσειν μὴ κἀκείνης αὐτῷ συστρατηγούσης, ἀγανακτήσασα, « σὺ μὲν, εἶπε, γυναικὶ παρα- « χωρεῖς ἀξιώματος ὅσον δέδωκεν ὁ Θεὸς, ἐγὼ δὲ οὐ « παραιτοῦμαι. » Καὶ συναθροίσαντες μυρίους ἐστρατοπεδεύσαντο πρὸς Ἰταβυρίῳ τῷ ὄρει. Ἀπήντα δὲ αὐτοῖς ὁ Σισάρης, τοῦ βασιλέως κελεύσαντος, καὶ στρατοπεδεύονται τῶν πολεμίων οὐκ ἄπωθεν. Τοὺς δ' Ἰσραηλίτας καὶ τὸν Βάρακον, καταπλαγέντας τὸ πλῆθος τῶν πολεμίων καὶ ἀναχωρεῖν διεγνωκότας, ἡ Δεβώρα κατεῖχε, τὴν συμβολὴν ποιεῖσθαι κατ' ἐκείνην κελεύουσα τὴν ἡμέραν· νικήσειν γὰρ αὐτοὺς καὶ συλλήψεσθαι τὸν Θεόν.

δ'. Συνήεσαν οὖν, καὶ προσμιγέντων αὐτῶν χειμὼν ἐπιγίνεται μέγας καὶ ὕδωρ πολὺ καὶ χάλαζα, τόν τε ὑετὸν κατὰ πρόσωπον ἤλαυνε τῶν Χαναναίων ἄνεμος, ταῖς ὄψεσιν αὐτῶν ἐπισκοτῶν, ὡς τὰς τοξείας ἀχρήστους αὐτοῖς εἶναι καὶ τὰς σφενδόνας· οἵ τε ὁπλῖται διὰ τὸ κρύος χρῆσθαι τοῖς ξίφεσιν οὐκ εἶχον. Τοὺς δ' Ἰσραηλίτας ἧττόν τε ἔβλαπτε κατόπιν γινόμενος ὁ χειμὼν καὶ πρὸς τὴν ἔννοιαν τῆς βοηθείας τοῦ Θεοῦ θάρσος ἐλάμβανον, ὥστε, εἰς μέσους ὠσάμενοι τοὺς πολεμίους, πολλοὺς αὐτῶν ἀπέκτειναν. Καὶ οἱ μὲν ὑπὸ τῶν Ἰσρα-

CAP. V. (VI.)

Rursus autem Israelitæ, (meliora enim ex prioribus calamitatibus nequaquam didicerant, ut qui nec Deum colerent nec legibus obtemperarent,) antequam ad breve tempus a Moabitica servitute respirarent, ab Jabino Chananæorum rege subjiciuntur. Is enim ex urbe Asoro ortus, (hæc vero sita est super Semechonitidem lacum,) exercitum quidem peditum alebat ad millia trecenta, equitum vero ad decem millia, currus autem ter mille habebat. His itaque copiis præfectus Sisares, apud regem dignitate primus, Israelitas cum ipso congressos graviter afflixit, adeo ut iis tributa imperarit.

2. Viginti quidem annos hæc pertulerunt, dum nec ipsi infortuniis ad bonitatem non proficiunt, et Deus illorum protervos et in ipsum ingratos animos diutius subigere voluit, ut tandem resipiscerent edocti calamitates e legum contemptu illis accidisse: *tunc autem* Deboram quandam vatem (apem significat nomen istud juxta linguam Hebraicam) obsecrant ut Deum precibus exoraret ut sortis illorum miseraretur, nec se pateretur a Chananæis deleri. Ac Deus salutem illis annuit, et ducem eligit Baracum e tribu Nephthalitide. Baracus vero fulgur significat ex Hebræorum lingua.

3. Debora autem, Baraco accersito, ei præcepit ut juvenum ad decem millia delectu habito, contra hostes proficisceretur: tantum enim copiarum sufficere, quum Deus ita præmonuerit et victoriam prænunciarit. Baraco vero dicente se nolle exercitum ducere, nisi et ipsa sibi in imperio juncta esset, indignata, « tu quidem, aiebat, mu- « lieri de honore impertiris, quem Deus in te contulit, ego « vero *illum* non recuso. » Ac quum decem millia collegissent, castra posuerunt ad montem Itabyrium. Illis vero obviam fit Sisares, rege hoc ipsum imperante: et non longe ab hoste cum exercitu consedit. Israelitas autem et Baracum, hostium multitudine territos et de receptu jam cogitantes, retinuit Debora, jussitque ut illa die prælio decertarent: victoriam enim penes ipsos fore, Deumque illis opem et auxilium laturum.

4. Pugnam itaque ineunt, et acie dimicantibus magna ingruit tempestas, cum largo imbre et grandine, ventusque in adversos Chananæorum vultus pluviam egit, oculis eorum caliginem objiciens, ita ut jacula et fundæ illis nulli fuerint usui: gravis etiam armaturæ milites præ torpore gladios tenere non poterant. Israelitas vero tempestas, terga eorum diverberans, et minus offendebat, et inde majores animos sumebant, cogitantes Deum sibi in auxilium venisse, adeo ut in medios hostes irruentes ingentem eorum stragem ediderint. Ac alii quidem ab Israelitis, alii

ηλιτῶν, οἱ δ' ὑπὸ τῆς οἰκείας ἵππου ταραχθέντες ἔπεσον, ὡς ὑπὸ τῶν ἁρμάτων πολλοὺς ἀποθανεῖν. Σισάρης δὲ καταπηδήσας τοῦ ἅρματος, ὡς εἶδε τὴν τροπὴν γινομένην, φυγὼν ἀφικνεῖται παρά τινα τῶν Κενετίδων γυναῖκα, Ἰάλην ὄνομα, ἣ κρύψαι τε ἀξιώσαντα δέχεται καὶ ποτὸν αἰτήσαντι δίδωσι γάλα διεφθορὸς ἤδη. Ὁ δὲ πιὼν τοῦ μέτρου δαψιλέστερον εἰς ὕπνον τρέπεται· ἡ δὲ Ἰάλη κοιμωμένου σιδήρεον ἦλον ἐλάσασα σφύρῃ διὰ τοῦ στόματος κατὰ τοῦ χελυνίου διέπειρε τὸ ἔδαφος καὶ τοῖς περὶ τὸν Βάρακον μικρὸν ὕστερον ἐλθοῦσιν ἐπεδείκνυε τῇ γῇ προσηλωμένον. Καὶ οὕτω μὲν ἡ νίκη αὕτη περιέστη, κατὰ τὰ ὑπὸ Δεβώρας εἰρημένα, εἰς γυναῖκα, Βάρακος δὲ, στρατεύσας ἐπ' Ἀσωρον, Ἰαβῖνόν τε ὑπαντιάσαντα κτείνει καὶ, τοῦ στρατηγοῦ πεσόντος, καθελὼν εἰς ἔδαφος τὴν πόλιν, στρατηγεῖ τῶν Ἰσραηλιτῶν ἐπ' ἔτη τεσσαράκοντα.

ΚΕΦ. Ϛ'.

Τελευτήσαντος δὲ Βαράκου καὶ Δεβώρας κατὰ τὸν αὐτὸν καιρὸν, μετὰ ταῦτα Μαδιανῖται παρακαλέσαντες Ἀμαληκίτας τε καὶ Ἄραβας στρατεύουσιν ἐπὶ τοὺς Ἰσραηλίτας καὶ μάχῃ τε νικῶσι τοὺς συμβαλόντας καὶ τὸν καρπὸν δῃώσαντες τὴν λείαν ὑπήγοντο. Τοῦτο δὲ ποιούντων ἐπ' ἔτη ἑπτὰ, εἰς τὰ ὄρη τῶν Ἰσραηλιτῶν ἀνεστάλη τὸ πλῆθος καὶ τῶν πεδίων ἐξεχώρουν, ὑπονόμους τε καὶ σπήλαια ποιησάμενοι, πᾶν δ τι τοὺς πολεμίους διέφυγεν ἐν τούτοις εἶχον φυλάττοντες. Οἱ γὰρ Μαδιανῖται, κατὰ ὥραν ἔτους στρατεύοντες, τὸν χειμῶνα γεωργεῖν τοῖς Ἰσραηλίταις ἐπέτρεπον, ὅπως ἔχωσι πεπονηκότων αὐτῶν εἰς ἃ βλάπτωσι. Λιμὸς δὴ ἦν καὶ σπάνις τροφῆς καὶ τρέπονται πρὸς ἱκετείαν τοῦ Θεοῦ, σώζειν αὐτοὺς παρακαλοῦντες.

(Η'.) β'. Καὶ Γεδεὼν ὁ Ἰωάσου παῖς, Μανασσίτιδος φυλῆς ἐν ὀλίγοις, δράγματα σταχύων φερόμενος κρυπτῶς εἰς τὴν ληνὸν ἔκοπτε· τοὺς γὰρ πολεμίους ἐδεδίει φανερῶς τοῦτο ποιεῖν ἐπὶ τῆς ἅλωος. Φαντάσματος δ' αὐτῷ παραστάντος νεανίσκου μορφῇ καὶ φήσαντος εὐδαίμονα καὶ φίλον τῷ Θεῷ, ὑποτυχὼν, « τοῦτο γοῦν, ἔφη, τεκμήριον τῆς εὐμενείας αὐτοῦ μέγιστον, τῇ ληνῷ με νῦν ἀντὶ ἅλωος χρήσασθαι. » Θαρρεῖν δὲ παρακελευσαμένου, καὶ πειρᾶσθαι τὴν ἐλευθερίαν ἀνασώζειν, ἀδυνάτως ἔχειν ἔλεγε· τήν τε γὰρ φυλὴν ἐξ ἧς ὑπῆρχε πλήθους ὑστερεῖν καὶ νέον αὐτὸν εἶναι, καὶ τηλικούτων πραγμάτων ἐπινοίας ἀσθενέστερον. Ὁ δὲ Θεὸς αὐτὸς ἀναπληρώσειν τὸ λεῖπον ἐπηγγέλλετο, καὶ νίκην παρέξειν Ἰσραηλίταις, αὐτοῦ στρατηγοῦντος.

γ'. Τοῦτ' οὖν διηγούμενος ὁ Γεδεὼν τισὶ τῶν νέων ἐπιστεύετο καὶ παραχρῆμα πρὸς τοὺς ἀγῶνας ἕτοιμον ἦν τὸ στρατωτικὸν μυρίων ἀνδρῶν. Ἐπιστὰς δὲ κατὰ τοὺς ὕπνους ὁ Θεὸς τῷ Γεδεῶνι τήν τε ἀνθρωπίνην φύσιν αὐτῷ σίλαυτον οὖσαν ἐδήλου καὶ πρὸς τοὺς ἀρετῇ διαφέροντας ἀπεχθανομένην, ὅπως τε μὴ τὴν

vero suo ab equitatu perturbati ceciderunt, adeo ut multi illorum a curribus *protriti* mortem oppeterent. Sisares autem, ut vidit suos terga vertere, e curru exiliens fuga delatus est ad mulierem quandam Cenetidem, cui nomen erat Jale, quæ et rogantem ut se celaret excepit, et potum poscenti lac jam corruptum præbet. Ille autem, quum immodice bibisset, somno corripitur : at Jale dormienti clavum ferreum malleo per os sub labio in solum adegit, ac militibus Baraci post paululum venientibus terræ affixum ostendit. Atque sic quidem hæc victoria, prout vaticinata fuerat Debora, cessit mulieri : Baracus vero, cum exercitu Asorum contendens, et Jabinum, ei occurrentem, occidit; et, duce cæso et urbem funditus diruta, Israelitarum imperium tenuit annis quadraginta.

CAP. VI. (VII.)

Defunctis autem Baraco et Debora eodem fere tempore, post hæc Madianitæ, Amalecitis et Arabibus advocatis, bellum intulerunt Israelitis, *eosque acie* congressos prælio superarunt, et frugibus igne vastatis prædam abegerunt. Quumque hæc per septem annos continuos facerent, Israelitarum universi in montes concesserunt, et loca campestria reliquerunt : atque, cuniculos *sibimet* agentes et speluncas, quicquid hostium e manibus evaserat, in illis ut servaretur deposuerunt. Nam Madianitæ, æstatis tempore expeditionem facientes, hiemem Israelitis ad agros colendos permittebant, ut ex laboribus illorum haberent quod depopularentur. Fames itaque ingruebat et victus penuria : unde ad Deum precibus conversi sunt, ab ipso salutem implorantes.

(VIII.) 2. Ac Gedeon Joasi filius, unus e paucis de tribu Manassitide, spicarum manipulos ferens clam in torculare eos triturabat : metuebat enim propter hostes palam hoc in area facere. Spectro autem ei adstante adolescentis specie et beatum Deoque carum prædicante, commode respondens dixit, sicilicet hoc esse benignitatis ejus maximum indicium, quod jam torculari vice areæ uteretur. Illo vero jubente bono esse animo, et conari ut libertatem recuperaret, subjiciebat fieri non posse : nam et tribui, ex qua esset, numerum deficere, seque juvenem esse, et qui de tantis aggrediendis ne cogitare quidem posset. Deus autem quicquid deesset sese suppeditaturum pollicebatur, et victoriam Israelitis daturum, modo ipse exercitum duceret.

3. Hanc itaque rem quum Gedeon juvenibus quibusdam enarraret, fidem inveniebat : et e vestigio ad acie dimicandum præsto erat exercitus ad decem hominum millia. Deus autem, Gedeoni in somnis apparens, homines eo esse ingenio declarabat, ut sese nimium diligerent, et alios virtute præcellentes odio haberent : ut, victoriam a Deo esse vi-

νίκην παρέντες τοῦ Θεοῦ δοκεῖν νομίζωσιν ἰδίαν, ὡς πολὺς στρατὸς ὄντες καὶ πρὸς τοὺς πολεμίους ἀξιόμαχος. Ἵνα μάθωσιν οὖν βοηθείας τῆς αὐτοῦ ὂν τὸ ἔργον, συνεβούλευε περὶ μεσοῦσαν τὴν ἡμέραν, ἐν ἀκμῇ τοῦ καύματος ὄντος, ἄγειν τὴν στρατιὰν ἐπὶ τὸν ποταμὸν, καὶ τοὺς μὲν κατακλιθέντας καὶ οὕτω πίνοντας εὐψύχους ὑπολαμβάνειν, ὅσοι δ' ἂν ἐσπευσμένως καὶ μετὰ θορύβου πίνοντες τύχοιεν, τούτους δὴ νομίζειν ὑπὸ δειλίας τοῦτο πάσχειν καταπεπληγότας τοὺς πολεμίους. Ποιήσαντος δὲ τοῦ Γεδεῶνος κατὰ τὰς τοῦ Θεοῦ ὑποθήκας, τριακόσιοι ἄνδρες ηὑρέθησαν ταῖς χερσὶ μετὰ φόβου προσενεγκάμενοι τὸ ὕδωρ τεταραγμένως· ἔφησέ τε ὁ Θεὸς τούτους ἐπαγόμενον ἐπιχειρεῖν τοῖς πολεμίοις. Ἐστρατοπέδευον δὴ ὑπὲρ τοῦ Ἰορδάνου, μέλλοντες εἰς τὴν ἐπιοῦσαν περαιοῦσθαι.

δ'. Γεδεῶνος δ' ἐν φόβῳ καθεστῶτος, (καὶ γὰρ νυκτὸς ἐπιχειρεῖν αὐτῷ ὁ Θεὸς προειρήκει,) τοῦ δέους αὐτὸν ἀπαγαγεῖν βουλόμενος κελεύει προσλαβόντα ἕνα τῶν στρατιωτῶν πλησίον χωρεῖν ταῖς Μαδιανιτῶν σκευαῖς· παρ' αὐτῶν γὰρ ἐκείνων λήψεσθαι φρόνημα καὶ θάρσος. Πεισθεὶς δὲ ἦει, Φαρὰν τὸν ἑαυτοῦ θεράποντα παραλαβών. Καὶ πλησιάσας σκηνῇ τινι καταλαμβάνει τοὺς ἐν αὐτῇ ἐγρηγορότας καὶ τὸν ἕτερον ὄναρ διηγούμενον τῷ συσκηνοῦντι, ὥστε ἀκούειν τὸν Γεδεῶνα. Τὸ δὲ τοιοῦτον ἦν. Μᾶζαν ἐδόκει κριθίνην, ὑπ' εὐτελείας ἀνθρώποις ἄβρωτον, διὰ τοῦ στρατοπέδου κυλιομένην τὴν τοῦ βασιλέως σκηνὴν καταβαλεῖν καὶ τὰς τῶν στρατιωτῶν πάντων. Ὁ δὲ σημαίνειν ὅλεθρον τοῦ στρατοῦ τὴν ὄψιν ἔκρινε, λέγων ὅθεν τοῦτ' αὐτῷ συνιδεῖν ἐπῆλθε. Πᾶν τὸ σπέρμα τὸ καλούμενον κρίθινον εὐτελέστατον ὁμολογεῖσθαι τυγχάνειν, τοῦ δ' Ἀσιανοῦ παντὸς τὸ Ἰσραηλιτῶν ἐστιν ἰδεῖν νῦν ἀτιμότερον γεγενημένον, ὅμοιον δὲ τῷ κατὰ κριθὴν γένει· καὶ τὸ παρὰ τοῖς Ἰσραηλίταις νῦν μέγα φρονοῦν, τοῦτ' ἂν εἴη Γεδεὼν καὶ τὸ σὺν αὐτῷ στρατιωτικόν. Ἐπεὶ οὖν τὴν μᾶζαν φῆς ἰδεῖν τὰς σκηνὰς ἡμῶν ἀνατρέπουσαν, δέδια μὴ ὁ Θεὸς Γεδεῶνι τὴν καθ' ἡμῶν νίκην ἐπινένευκε.

ε'. Γεδεῶνα δὲ ἀκούσαντα τὸ ὄναρ ἐλπὶς ἀγαθὴ καὶ θάρσος ἔλαβε, καὶ προσέταξεν ἐν τοῖς ὅπλοις εἶναι τοὺς οἰκείους, διηγησάμενος αὐτοῖς καὶ τὴν τῶν πολεμίων ὄψιν. Οἱ δ' ἕτοιμοι πρὸς τὰ παραγγελλόμενα φρονηματισθέντες ὑπὸ τῶν δεδηλωμένων ἦσαν, καὶ κατὰ τετάρτην μάλιστα φυλακὴν προσῆγε τὴν αὐτοῦ στρατιὰν Γεδεών, εἰς τρία μέρη διελὼν αὐτήν· ἑκατὸν δ' ἦσαν ἐν ἑκάστῳ. Ἐκόμιζον δὲ πάντες ἀμφορέας κενοὺς καὶ λαμπάδας ἡμμένας, ὅπως μὴ κατάφωρος τοῖς πολεμίοις ἡ ἔφοδος αὐτῶν γένηται, καὶ ἐν τῇ δεξιᾷ κριοῦ κέρας· ἐχρῶντο δὲ τούτῳ ἀντὶ σάλπιγγος. Χωρίον δὲ πολὺ κατεῖχε τὸ τῶν πολεμίων στρατόπεδον, (πλείστην γὰρ αὐτοῖς εἶναι συνέβαινε κάμηλον,) καὶ κατὰ τὰ ἔθνη νεμηθέντες ὑφ' ἑνὶ κύκλῳ πάντες ἦσαν. Οἱ δὲ Ἑβραῖοι, προειρημένου αὐτοῖς, ὁπόταν γένωνται πλησίον τῶν πολεμίων, ἐκ συνθήματος σάλπιγξί τε ἠχήderi ægre concedentes, *eam* sibimet tribuant, magno utpote exercitui, dignoque qui cum hostibus congrediatur. Igitur ut opis divinæ rem esse addiscerent, consilium dedit ut meridie, quando æstas maxime vigeret, exercitum ad fluvium adduceret, eosque qui in genua procumberent, atque ita biberent, pro viris magnanimis haberet; quotquot vero cum festinatione et tumultu biberent, id facere crederet præ metu et ob terrorem ab hoste. Quum autem Gedeon, Dei monitis parens, hoc ipsum tentasset, trecenti homines reperti sunt, qui præ metu aquam manibus sumptam cum trepidatione ori admoverent. Tum jussit Deus ut eos secum ducens hostes adoriretur. Castra itaque ad Jordanem fluvium posuerunt, die proxima trajecturi.

4. Gedeone autem timore perculso, (etenim nocte hostes ut aggrederetur Deus præceperat,) volens eum omni metu eximere imperat *Deus* ut uno e militibus sibi adjuncto prope ad Madianitarum tentoria concederet : ab illis enim ipsis animos accepturum esse et fiduciam. Ibat autem prompto obsequio, assumpto secum Phara famulo suo. Quumque ad quoddam tentorium propius accessisset, *milites* in eo vigilantes offendit, atque alterum contubernali suo somnium narrantem, ita ut exaudiret Gedeon. Hoc autem modo se habuit *somnium*. Visus erat sibi *videre mazam hordeaceam*, *præ vilitate vix hominibus* comedendam, per castra provolutam, regis tentorium. et *dein* quæ militum omnium essent, dejecisse. Alter vero visionem totius exercitus interitum portendere pronunciabat, referens unde hoc ipsi conjecisse in mentem venerit. Semen omne hordeaceum sine controversia sordidissimum esse, Israelitas autem nunc videri Asiatici generis universi vilissimos esse factos, similesque frumento hordeaceo : et id quod inter Israelitas jam magnanimitatem præ se ferat, esse Gedeonem ejusque milites. Quia igitur dicis te vidisse mazam tentoria nostra evertentem, vereor ne Deus Gedeoni victoriam de nobis annuerit.

5. Gedeonem autem, audito hoc somnio, bona spes incessit et fiducia, edixitque suis, enarrata ipsis etiam hostium visione, ut arma expedirent. Illi vero, fortius *animati ex iis quæ indicaverat*, ad jussa exsequenda parati erant : ac circa quartam fere vigiliam copias suas educebat Gedeon, in tres cohortes divisas : atque singulæ centum hominum erant. Gestabant autem omnes amphoras vacuas et *in eis* faces ardentes, ne incursus illorum ab hostibus præsentiretur, et in dextra cornu arietinum : hoc enim vice tubæ utebantur. Hostium autem castra multum spatii occupabant, (nam contigit ut magnus illis esset camelorum numerus,) et, per gentes distributi, in unius circuli ambitu omnes continebantur. At Hebræi præmoniti ut, quum non longe ab hoste abessent, signo dato, cornubus

σαντες καὶ τοὺς ἀμφορέας κατεάξαντες, ὁρμῆσαι μετὰ τῶν λαμπάδων ἐπὶ τοὺς πολεμίους ἀλαλάξαντες, καὶ νικᾶν Θεοῦ Γεδεῶνι βοηθήσοντος, τοῦτ' ἐποίησαν. Ταραχὴ δὲ λαμβάνει τοὺς ἀνθρώπους ἔτι ὑπνοῦντας καὶ δείματα· νὺξ γὰρ ἦν καὶ ὁ Θεὸς τοῦτο ἤθελεν. Ἐκτείνοντο δὲ ὀλίγοι μὲν ὑπὸ τῶν πολεμίων, οἱ δὲ πλείους ὑπὸ τῶν συμμάχων, διὰ τὸ τῇ γλώσσῃ διαφωνεῖν. Ἅπαξ δὲ καταστάντες εἰς ταραχὴν πᾶν τὸ προστυχὸν ἀνῄρουν, νομίζοντες εἶναι πολέμιον. Φόνος δὲ πολὺς ἦν, καὶ φήμης πρὸς τοὺς Ἰσραηλίτας τῆς Γεδεῶνος νίκης ἀφικομένης, ἐν τοῖς ὅπλοις ἦσαν, καὶ διώξαντες λαμβάνουσι τοὺς πολεμίους ἐν κοίλῳ τινὶ χαράδραις περιειλημμένῳ, οὐ δυναμένους διαπεραῦναι, χωρίῳ, καὶ περιστάντες κτείνουσιν ἅπαντας καὶ δύο τῶν βασιλέων, Ὠρηβόν τε καὶ Ζῆβον. Οἱ δὲ λοιποὶ τῶν ἡγεμόνων τοὺς περιλειφθέντας τῶν στρατιωτῶν ἐνάγοντες (ἦσαν δὲ ὡς μύριοι καὶ ὀκτακισχίλιοι) στρατοπεδεύονται πόρρω πολὺ τῶν Ἰσραηλιτῶν. Γεδεὼν δ' οὐκ ἀπηγορεύκει πονῶν, ἀλλὰ δώξας μετὰ παντὸς τοῦ στρατοῦ καὶ συμβαλὼν ἅπαντας διέφθειρε τοὺς πολεμίους, καὶ τοὺς λοιποὺς ἡγεμόνας, Ζεβὴν καὶ Σαλμανάν, αἰχμαλώτους λαβὼν ἀνήγαγεν. Ἀπέθανον δ' ἐν αὐτῇ τῇ μάχῃ Μαδιανιτῶν τε καὶ τῶν συστρατευσαμένων αὐτοῖς Ἀράβων περὶ μυριάδας δώδεκα. Λεία τε πολλὴ, χρυσὸς καὶ ἄργυρος καὶ ὑφὴ καὶ κάμηλος καὶ ὑποζύγια, λαμβάνεται τοῖς Ἑβραίοις. Γεδεὼν δὲ, παραγενόμενος εἰς Ἐφρὰν, τὴν ἑαυτοῦ πατρίδα, κτείνει τοὺς τῶν Μαδιανιτῶν βασιλέας.

ς'. Ἡ δ' Ἐφραΐμιος φυλὴ τῇ Γεδεῶνος εὐπραγίᾳ δυσχεραίνουσα στρατεύειν ἐπ' αὐτὸν διεγνώκει, τὸ μὴ προαγγεῖλαι τὴν ἐπιχείρησιν αὐτοῖς τὴν κατὰ τῶν πολεμίων ἐγκαλοῦντες. Γεδεὼν δὲ, μέτριος ὢν καὶ πᾶσαν ἀρετὴν ἄκρος, οὐκ αὐτὸς ἔλεγεν αὐτοκράτορι χρησάμενος λογισμῷ τοῖς ἐχθροῖς ἐπιθέσθαι χωρὶς αὐτῶν, ἀλλὰ τοῦ Θεοῦ κελεύσαντος· τὴν δὲ νίκην οὐχ ἧττον αὐτῶν ἔφασκεν ἰδίαν ἢ τῶν ἐστρατευκότων εἶναι. Καὶ τούτοις παρηγορήσας αὐτῶν τὴν ὀργὴν τοῖς λόγοις μᾶλλον τοὺς Ἑβραίους ὠφέλησε τῆς ἐπὶ τῶν πολεμίων εὐπραξίας· ἐμφυλίου γὰρ αὐτοὺς στάσεως ἄρχειν μέλλοντας ἐρρύσατο. Τῆς μέντοι γε ὕβρεως ταύτης ἡ φυλὴ δίκην ἐξέτισεν, ἣν δηλώσομεν κατὰ καιρὸν ἴδιον.

ζ'. Γεδεὼν δὲ τὴν ἀρχὴν ἀποθέσθαι βουλόμενος, βιασθεὶς ἔσχεν αὐτὴν ἐπ' ἔτη τεσσαράκοντα, βραβεύων αὐτοῖς τὰ δίκαια καὶ περὶ τῶν διαφορῶν ἐπ' αὐτὸν βαδιζόντων, κύριά τε πάντα ἦν τὰ ὑπ' αὐτοῦ λεγόμενα. Καὶ ὁ μὲν γηραιὸς τελευτήσας ἐν Ἐφρὰν τῇ πατρίδι θάπτεται.

ΚΕΦ. Ζ'.

Παῖδες δὲ ἦσαν αὐτῷ γνήσιοι μὲν ἑβδομήκοντα, (πολλὰς γὰρ ἔγημε γυναῖκας,) νόθος δ' εἷς ἐκ παλλακῆς Δρούμας, Ἀβιμέλεχος τοὔνομα, ὃς μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἀναχωρήσας ἐπὶ Σίκιμα πρὸς τοὺς ἀπὸ μητρὸς συγγενεῖς (ἐντεῦθεν γὰρ ἦν) καὶ λαβὼν ἀργύριον

sonantes, et amphoras confringentes, cum facibus irruerent in hostes clamore sublato, et vincerent Deo Gedeoni auxiliante, hoc ipsum exsequuti sunt. Magna autem perturbatio et terriculamenta homines invaserunt vix somno suscitatos: nox enim erat, atque hoc voluit Deus. Ac pauci quidem ab hostibus interempti sunt, plures vero a sociis, quod magna esset inter eos sermonis diversitas. Ac quum semel in tumultu esse cœperunt, obvios omnes pro hostibus trucidabant. Multa autem cædes erat, et ubi Gedeonis victoriæ rumor ad Israelitas pervaserat, arma corripiebant: et persequuti deprehendunt hostes in cava, torrentibus circundata, quum trajicere nequirent, regione. Atque illos undique circumstantes ad unum omnes interficiunt, cum duobus regibus Orebo et Zebo. Reliqui autem imperatores, quod supererat exercitus secum abducentes, (erant enim ferme octodecim millia,) longius provecti procul ab Israelitis castra posuerunt. Gedeon autem non erat laboribus defatigatus, sed cum toto exercitu eos insequutus, et congressus, hostes universos interemit, ceterosque duces, Zeben et Salmanan, captivos factos reduxit. In ipso autem prælio ceciderunt Madianitarum et Arabum, qui eis auxilio venerant, circiter centum et viginti millia. Multa etiam præda, aurum et argentum et textilia et cameli et jumenta, Hebræis cessit. Gedeon vero, reversus in Ephran patriam suam, Moabitarum reges morte afficit.

6. Ceterum tribus Ephraimitis, ægre ferens prosperos Gedeonis successus, bello eum petere decreverat, *ipsi* objiciens quod re prius secum non communicata cum hostibus conflixerit. Gedeon autem, quum vir esset modestus et omni virtute excellens, respondit se non suo arbitratu hostem absque illis aggressum esse, sed jussu divino; et victoriam nihilo minus illorum esse aiebat, quam suam ipsorum qui militassent. Atque his verbis sedatâ eorum irâ plus emolumenti contulit in Hebræos quam rebus contra hostes præclare gestis. Illos enim, quum futurum esset ut civilis oriretur seditio, ab ea liberavit. Verum hujus contumeliæ illa tribus supplicium luit, quod suo tempore declarabimus.

7. Gedeon autem, quum ei in animo esset imperium deponere, compulsus est id retinere per annos quadraginta, judiciis præsidens, singulis de litibus *suis* eum adeuntibus, rataque habebantur omnia quæ ille pronunciaverat. Et is quidem, quum senex obiisset, apud Ephran in patria sepultus est.

CAP. VII. (IX.)

Erant autem ei filii e toro legitimo nati septuaginta, (nam multas duxerat uxores,) unus vero spurius e concubina Druma, cui nomen Abimelechus; qui patre mortuo ad cognatos suæ matris Sicima profectus, (inde enim orta fuit,) acceptaque ab iis pecunia, qui multis admodum injuriis erant

παρ' αὐτῶν, οἳ διὰ πλῆθος ἀδικημάτων ἦσαν ἐπίσημοι, ἀφικνεῖται σὺν αὐτοῖς εἰς τὸν πατρῷον οἶκον, καὶ κτείνει πάντας τοὺς ἀδελφοὺς, πλὴν Ἰωαθάμου· σώζεται γὰρ οὗτος διαφυγεῖν εὐτυχήσας. Ἀβιμέλεχος δὲ εἰς τυραννίδα τὰ πράγματα μεθίστησι, κύριον αὑτὸν ὅ τι βούλεται ποιεῖν ἀντὶ τῶν νομίμων ἀποδείξας, καὶ δεινῶς πρὸς τοῖς τοῦ δικαίου προϊσταμένους ἐκπικραινόμενος.

β'. Καί ποτε δημοτελοῦς Σικίμοις οὔσης ἑορτῆς, καὶ τοῦ πλήθους παντὸς ἐκεῖ συνειλεγμένου, ὁ ἀδελφὸς αὐτοῦ Ἰωάθαμος, ὃν καὶ διαφυγεῖν ἔφαμεν, ἀνελθὼν ἐπὶ τὸ ὄρος τὸ Γαριζὶν, (ὑπέρκειται δὲ τῆς Σικίμων πόλεως,) ἐκβοήσας εἰς ἐπήκοον, τοῦ πλήθους ἡσυχίαν αὐτῷ παρασχόντος, ἠξίου μαθεῖν τὰ ὑπ' αὐτοῦ λεγόμενα. Γενομένης δὲ σιγῆς εἶπεν ὡς τὰ δένδρα φωνὴν ἀνθρώπειον προϊέμενα, συνόδου γενομένης αὐτῶν, δεηθείη συκῆς ἄρχειν αὐτῶν. Ἀρνησαμένης δ' ἐκείνης, διὰ τὸ τῆς τιμῆς τῆς ἐπὶ τοῖς καρποῖς οἰκείας οὔσης ἀπολαύειν, οὐχ ὑπ' ἄλλων ἔξωθεν προσγινομένης, τὰ δένδρα τῆς ἐπὶ τὸ ἄρχεσθαι φροντίδος οὐκ ἀπελείπετο, ἐδόκει δ' αὐτοῖς ἀμπέλῳ τὴν τιμὴν παρασχεῖν· καὶ ἡ ἄμπελος χειροτονουμένη τοῖς αὐτοῖς τῇ συκῇ χρησαμένη λόγοις παρῃτεῖτο τὴν ἀρχήν. Τὸ δ' αὐτὸ καὶ τῶν ἐλαιῶν ποιησαμένων, ῥάμνος, ἐδεήθη γὰρ αὐτῆς ὥστε παραλαβεῖν τὴν βασιλείαν τὰ δένδρα, (πυρία δὲ ἀγαθὴ παρασχεῖν τῶν ξύλων ἐστίν,) ὑπισχνεῖται τὴν ἀρχὴν ἀναλήψεσθαι καὶ ἀόκνως ἔχειν. Δεῖ μέντοι συνιζάνειν αὐτὰ ὑπὸ τὴν σκιάν· εἰ δ' ὀλέθρον ἐπ' αὐτῇ φρονοῖεν, ὑπὸ τοῦ ἐνόντος πυρὸς διαφθαρεῖεν. Ταῦτα δ' οὐ γέλωτος ἕνεκα, φησί, λέγω, ὅτι δὲ πολλῶν ἀγαθῶν ἐκ Γεδεῶνος πεπειραμένοι περιορῶσιν Ἀβιμέλεχον ἐπὶ τῶν ὅλων ὄντα πραγμάτων σὺν αὐτῷ τοὺς ἀδελφοὺς ἀποκτείναντες, ὃν πυρὸς οὐδὲν διοίσειν. Καὶ ὁ μὲν ταῦτα εἰπὼν ὑπεχώρησεν καὶ διητᾶτο λανθάνων ἐν τοῖς ὄρεσι, δεδιὼς ἐπ' ἔτη τρία τὸν Ἀβιμέλεχον.

γ'. Μετ' οὐ πολὺ δὲ τῆς ἑορτῆς οἱ Σικιμῖται (μετενόησαν γὰρ ἐπὶ τοῖς Γεδεῶνος υἱοῖς πεφονευμένοις) ἐξελαύνουσι τὸν Ἀβιμέλεχον τῆς πόλεως καὶ τῆς φυλῆς. Οἱ δὲ κακοῦν τὴν πόλιν ἐφρόντιζον. Τῆς δ' ὥρας τῆς τοῦ τρυγᾶν γενομένης, ἐδεδίεσαν συλλέγειν τὸν καρπὸν προϊόντες, μή τι δράσῃ κακὸν αὐτοὺς Ἀβιμέλεχος. Ἐπιδημήσαντος δὲ πρὸς αὐτοὺς τῶν ἀρχόντων τινὸς Γαάλου σὺν ὁπλίταις καὶ συγγενέσι τοῖς αὐτοῦ, φυλακὴν οἱ Σικιμῖται δέονται παρασχεῖν αὐτοῖς, ἕως ἂν τρυγήσωσι. Προσδεξαμένου δὲ ἐκείνου τὴν ἀξίωσιν, προῆσαν καὶ Γαάλης σὺν αὐτοῖς, τὸ οἰκεῖον ἄγων ὁπλιτικόν. Ὅ τε οὖν καρπὸς μετὰ ἀσφαλείας συνάγεται, καὶ δειπνοῦντες κατὰ συμμορίας φανερῶς ἀπετόλμων ἤδη βλασφημεῖν τὸν Ἀβιμέλεχον, οἵ τε ἄρχοντες, ἐνέδραις καταλαμβανόμενοι τὰ περὶ τὴν πόλιν, πολλοὺς τῶν Ἀβιμελέχου συλλαμβάνοντες διέφθειρον.

δ'. Ζέβουλος δέ τις τῶν Σικιμιτῶν ἄρχων, ξένος ὢν Ἀβιμελέχου, ὅσα παροξύνειε Γαάλης τὸν δῆμον, πέμπων ἀγγέλους ἐμήνυεν αὐτῷ καὶ παρῄνει λοχᾶν

insignes, cum illis ad ædes paternas revertitur, fratresque omnes præter Joathamum interemit: hic enim fuga feliciter elapsus servatur. Abimelechus autem omnia in tyrannidem convertit, quicquid sibi pro arbitrio suo agere placuerit, id pro legitimo haberi volens, atque vehementer juris defensoribus inimicus infensusque.

2. Ac quum aliquando festum diem agerent Sicimis, et illuc populus universus conveniret, frater ipsius Joathamus, quem fuga evasisse diximus, conscenso clivo montis Garizin, (nam urbi Sicimis imminet,) et sublata voce ut exaudiri posset, silentium ei populo præbente, obsecravit ut animos attenderent ad ea quæ dicturus esset. Facto autem silentio, narrabat ut arbores voce humana utentes, quum in concionem coivissent, rogaverint ficum ut regnum in ipsas capesseret. Illa autem recusante, quod honore ex fructibus sibi propriis frui vellet, non qui ab aliis extra se proveniret, arbores a cogitatione imperium alicui deferendi non destiterunt; sed visum est eis viti principatum offerre: ac vitis, quum eam elegissent, iisdem verbis quibus ficus usa regnum deprecata est. Quum vero olea similiter honorem detrectasset, rhamnus, nam ab ipsa postulabant arbores ut regnum in ipsas susciperet, (inter ligna vero commodum est *illud* ad ignem accendendum,) pollicetur se imperium accepturum esse et impigre in eo administrando se gesturum. Verum illas oportet sub umbra *sua* considere: sin autem ipsi exitium struere pararent, igne ei insito absumptum iri. Hæc vero inquit *se* non risus movendi causa dicere, sed quod multis beneficiis a Gedeone affecti patienter sinant Abimelechum rerum summæ præesse, cum eo fratrum *suorum* necis participes; cujus ingenium nihil ab igne differre *apparaturum*. Atque ille hæc loquutus *sese* subduxit, et latenter habitabat in montibus, timore Abimelechum per triennium defugiens.

3. Haud multo post festum Sicimitæ (nam eos pœnituerat cædis in Gedeonis filios patratæ) Abimelechum ex urbe pariter et tribu expulerunt. Is vero *et qui cum eo erant* malum aliquod civitati inferre cogitabant. Quumque vindemiandi tempus instaret, proficisci in agros ut fructus colligerent plane metuebant, ne ipsos male mactaret Abimelechus. Quam autem ad eos immigrasset Gaales, unus e viris principibus, cum armatorum manu et cognatis suis, eum exorabant ut ipsis præsidio esset, dum vindemiatum irent. Postquam vero ille honorem acceperat, *ad opus* processerunt, unaque Gaales cum militum suorum coborte. Itaque et fruges domum secure advehuntur, et per sodalitia epulantes jam aperte ausi sunt Abimelecho maledicere, atque principes, loca circa urbem insidiis occupantes, multos ex Abimelechi satellitio comprehensos perimebant.

4. At Zebulus quidam e principibus Sicimitarum, hospes Abimelechi, nuncis missis ei indicabat, quomodo Gaales populum contra ipsum irritarit, simul etiam hortabatur ut

πρὸ τῆς πόλεως· πείσειν γὰρ Γαάλην ἐξελθεῖν ἐπ' αὐτὸν, καὶ τὸ λοιπὸν ἐπ' ἐκείνῳ τυγχάνειν, ὥστε ἀμύνασθαι. Γενομένου γὰρ τούτου, διαλλαγὰς αὐτῷ μνηστεύεσθαι πρὸς τὸν δῆμον. Ὁ τε οὖν Ἀβιμέλεχος ἐκάθισεν ἐνεδρεύων καὶ ὁ Γαάλης ἀφυλακτότερος διέτριβεν ἐπὶ τοῦ προαστείου καὶ Ζέβουλος σὺν αὐτῷ. Ἰδὼν δὲ ὁπλίτας ἐπιφερομένους Γαάλης πρὸς Ζέβουλον ἔλεγεν ἄνδρας αὐτοῖς ἐπιέναι καθωπλισμένους. Τοῦ δὲ σκιὰς εἶναι φαμένου τῶν πετρῶν, πλησίον ἤδη γενομένων τὸ ἀκριβὲς κατανοῶν, οὐ σκιὰς ἔλεγε ταῦτ' εἶναι, λόχον δ' ἀνδρῶν. Καὶ Ζέβουλος, « οὐ σὺ μέντοι, φησὶν, Ἀβιμελέχῳ κακίαν ἐπεκάλεις; τί οὖν οὐκ ἐπιδείκνυσαι τὸ τῆς ἀρετῆς μέγεθος εἰς μάχην αὐτῷ συμβαλών; » Γαάλης δὲ θορυβούμενος συνάπτει τοῖς Ἀβιμελέχου, καὶ πίπτουσι μέν τινες τῶν σὺν αὐτῷ, φεύγει δ' αὐτὸς εἰς τὴν πόλιν, τοὺς ἄλλους ἀγόμενος. Καὶ Ζέβουλος πολιτεύσται Γαάλην ἐκβληθῆναι τῆς πόλεως, κατηγορήσας ὡς μαλακῶς πρὸς τοὺς Ἀβιμελέχου στρατιώτας ἀγωνίσαιτο. Ἀβιμέλεχος δὲ, πυθόμενος ἐξελευσομένους αὖθις κατὰ τρυγητὸν τοὺς Σικιμίτας, ἐνέδραις προλοχίζεται τὰ περὶ τὴν πόλιν· καὶ προελθόντων, ἡ μὲν τρίτη μοῖρα τῆς στρατιᾶς καταλαμβάνει τὰς πύλας, ἀφαιρησομένη τὴν εἴσοδον τοὺς πολίτας, οἱ δ' ἄλλοι σκιδναμένους μεταθέουσι· πανταχοῦ τε φόνος ἦν. Καὶ κατασκάψας εἰς ἔδαφος τὴν πόλιν, (οὐ γὰρ ἀντέσχε πρὸς πολιορκίαν,) ἅλας κατὰ τῶν ἐρειπίων σπείρας προῆγε, καὶ Σικιμῖται πάντες οὕτως ἀπώλοντο. Ὅσοι δὲ κατὰ τὴν χώραν σκεδασθέντες διέφυγον τὸν κίνδυνον, οὗτοι συλλεγέντες ἐπί τινα πέτραν ὀχυρὰν ἐπ' αὐτῆς ἱδρύοντο, τειχίσαι τε ταύτην παρεσκευάζοντο. Ἔφθη τε τὴν διάνοιαν αὐτῶν Ἀβιμέλεχος μαθὼν ἐλθεῖν ἐπ' αὐτὴν μετὰ τῆς δυνάμεως, καὶ φακέλους ὕλης ξηρᾶς περιβαλὼν τῷ χωρίῳ, δι' αὐτοῦ φέρων ταὐτὸ ποιεῖν τῇ στρατιᾷ παρεκελεύσατο. Καὶ ταχέως περιληφθείσης ἐν κύκλῳ τῆς πέτρας τοῖς ξύλοις, πῦρ ἐμβάλλουσιν ὅσα τε μᾶλλον ἐξάπτειν φύσιν ἔχει, καὶ μεγίστην αἴρουσι φλόγα. Καὶ διαφεύγει μὲν ἀπὸ τῆς πέτρας οὐδεὶς, ἀλλ' ἅμα γυναιξὶ καὶ τέκνοις ἀπώλοντο, ἄνδρες μὲν περὶ πεντακοσίους καὶ χιλίους, τὸ δὲ ἄλλο πλῆθος ἱκανόν. Καὶ Σικιμίταις μὲν τοιαύτη συμφορὰ συνέπεσε, μείζονος καὶ τῆς ἐπ' αὐτῇ λύπης γενομένης, πλὴν ὅτι κατὰ δίκην ἐπ' ἀνδρὸς εὐεργέτου συνθεῖσι κακὸν τηλικοῦτον.

ε'. Ἀβιμέλεχος δὲ, τοῖς Σικιμιτῶν κακοῖς καταπλήξας τοὺς Ἰσραηλίτας, μειζόνων ἐφιέμενος δῆλος ἦν, καὶ μηδαμοῦ περιγράψων τὴν βίαν, εἰ μὴ πάντας ἀπολέσειεν. Ἦλαυνεν οὖν ἐπὶ Θήβας, καὶ τὴν μὲν πόλιν ἐξ ἐπιδρομῆς αἱρεῖ· πύργου δ' ὄντος ἐν αὐτῇ μεγάλου, εἰς ὃν πᾶν τὸ πλῆθος συνέφυγε, πολιορκεῖν τοῦτον παρεσκευάζετο. Καὶ αὐτὸν πλησίον ὁρμῶντα τῶν πυλῶν γυνὴ θραύσματι μύλης βαλοῦσα κατὰ τῆς κεφαλῆς τυγχάνει. Πεσὼν δὲ Ἀβιμέλεχος τὸν ὑπασπιστὴν παρεκάλει κτείνειν αὐτὸν, μὴ τῆς γυναικὸς ὁ θάνατος αὐτοῦ δόξειεν ἔργον. Καὶ ὁ μὲν τὸ προσταχθὲν

insidias ante urbem collocaret : se enim Gaalæ persuasurum ut *ipse* contra eum egrederetur, atque ita in sua potestate fore ut de eo vindictam sumeret. Quo facto spondere se quod gratiam cum populo initurus sit. Abimelechus igitur in insidiis considebat, et Gaales in suburbiis negligentius agebat, et cum eo Zebulus. Gaales autem, quum videret armatos ad se approperantes, ad Zebulum clamabat, versus se tendere viros armis instructos. Illo vero dicente, cautium umbras esse, quum propius aliquanto accederent, re accurate perpensa, non umbras esse aiebat, sed virorum cohortem. Cui Zebulus, « nonne tu, inquit, Abimelecho ignaviam objiciebas? cur igitur non ostendis qui vir sis, pugnam cum eo ineundo? » Gaales autem, animo consternatus, manus conserit cum Abimelecho, ac nonnulli quidem e suis prælio cadunt, at ipse se in urbem recipit, alios secum ducens. Interea Zebulus ita cum civitate agit ut Gaales ex ea ejiceretur, eum calumniatus quasi molliter et ignave cum Abimelechi militibus dimicasset. Ceterum Abimelechus, cognito quod Sicimitæ ad vindemiam egressuri essent, in locis circa urbem insidias disponit : quumque prodissent, tertia quidem exercitus pars portas occupat, ut cives aditu prohiberet, ceteri vero dispersos cursu persequuntur; et ubique cædes facta est. Ac urbe diruta et solo æquata, (nam sine obsidione dedita est,) saleque in ruderibus ejus seminato, agmine composito processit, atque ita Sicimitæ omnes deleti sunt. Quotquot autem per regionem dissipati periculum evaserant, hi, sese in turmam colligentes ad petram quandam bene munitam, super eam sedes figebant, et ad eam muro cingendam se comparabant. Sed Abimelechus, intellecto eorum consilio, prius ad eam cum suis omnibus copiis accessit : atque ipsemet ligni aridi fasces ferens, ut iis locum circumdaret, exercitum, ut idem facerent, hortabatur. Ac brevi lignis petræ in ambitum circumpositis, ignes injiciunt et quicquid natura facilius accendit et urit, maximamque flammam excitant. Et nemo quidem ex ea petra effugit, sed una cum uxoribus et liberis igne absumpti sunt, viri quidem circiter mille et quingenti, cetera vero multitudo numero magna. Et talis quidem calamitas in Sicimitas incidebat, majorque ex ea moror exstitisset, nisi juste pœnas dederint ob tantum mali viro de se egregie merito conflati.

5. Abimelechus autem, quum Israelitis ex Sicimitarum miseriis terrorem incussisset, palam præ se ferebat quod majora appeteret, et non prius violentiæ suæ modum esset adhibiturus quam universos exitio dedisset. Thebas itaque contendit, et urbem quidem subita incursione capit, quum vero turris in ea valida esset, in quam multitudo omnis confugiebat, eam oppugnare aggreditur. Atque, dum ipse cum impetu in portas irrueret, muliercula in caput ejus molæ fragmen dejicit. Abimelechus autem, humi collapsus, armigerum rogabat ut se perimeret, ne a muliere videretur interfectus. Et hic quidem imperata ei fecit : ille

αὐτῷ ἐποίει, ὁ δὲ τοιαύτην ὑπὲρ τῆς εἰς τοὺς ἀδελφοὺς παρανομίας ποινὴν ἐξέτισε καὶ τῶν εἰς Σικιμίτας αὐτῷ τετολμημένων. Τούτοις δὲ κατὰ τὴν Ἰωαθάμου μαντείαν ἡ συμφορὰ συνέπεσε. Τὸ μέντοι σὺν Ἀβιμελέχῳ στράτευμα, πεσόντος αὐτοῦ σκεδασθὲν, ἀνεχώρησεν ἐπὶ τὰ οἰκεῖα.

ς'. Τῶν δὲ Ἰσραηλιτῶν τὸν ἡγεμονίαν Ἰαείρης ὁ Γαλαδηνὸς ἐκ τῆς Μανασσίτιδος φυλῆς παραλαμβάνει, ἀνὴρ τά τε ἄλλα εὐδαίμων καὶ παῖδας ἀγαθοὺς πεποιημένος, τριάκοντα μὲν τὸν ἀριθμὸν, ἱππεύειν δὲ ἀρίστους, καὶ τῶν κατὰ τὴν Γαλαδηνὴν πόλεων ἀρχὰς ἐγκεχειρισμένους. Οὗτος δύο καὶ εἴκοσι ἔτη τὴν ἀρχὴν κατασχὼν τελευτᾷ γηραιὸς καὶ ταφῆς ἐν Καμῶνι πόλει τῆς Γαλαδηνῆς ἀξιοῦται.

ζ'. Πάντα δὲ τὰ τῶν Ἑβραίων εἰς ἀκοσμίαν καὶ ὕβριν τοῦ Θεοῦ καὶ τῶν νόμων ὑπεφέρετο, καὶ καταφρονήσαντες αὐτῶν Ἀμμανῖται καὶ Παλαιστῖνοι στρατῷ μεγάλῳ διήρπαζον τὴν χώραν, καὶ τὴν Περαίαν ἅπασαν κατασχόντες καὶ ἐπὶ τὴν τῶν λοιπῶν ἤδη κτῆσιν διαβαίνειν ἐτόλμων. Ἑβραῖοι δὲ, σωφρονισθέντες ὑπὸ τῶν κακῶν, εἰς ἱκετείας ἐτρέποντο τοῦ Θεοῦ καὶ θυσίας ἐπέφερον, παρακαλοῦντες αὐτὸν μετριάσαντα καὶ πρὸς τὴν δέησιν αὐτῶν ὑπαχθέντα παύσασθαι τῆς ὀργῆς. Ὁ δὲ Θεὸς μεταβαλόμενος εἰς τὸ ἡμερώτερον ἔμελλεν αὐτοῖς βοηθεῖν.

η'. Ἀμμανιτῶν δ' ἐστρατευκότων ἐπὶ τὴν Γαλαδηνὴν, ὑπήντων οἱ ἐπιχώριοι πρὸς τὸ ὄρος, δεόμενοι τοῦ στρατηγήσοντος. Ἦν δέ τις Ἰεφθὴς, ἀνὴρ διὰ τὴν πατρῴαν ἀρετὴν δυνατὸς καὶ δι' οἰκείαν ἑαυτοῦ στρατιὰν, ἣν ἔτρεφεν αὐτὸς μισθοφόρον. Πρὸς τοῦτον οὖν πέμψαντες ἠξίουν αὐτὸν συμμαχεῖν, ἐπαγγελλόμενοι παρασχεῖν εἰς ἅπαντ' αὐτῷ τὸν χρόνον τὴν ἰδίαν ἡγεμονίαν. Ὁ δ' οὐ προσίεται τὴν παράκλησιν αὐτῶν, ἐγκαλῶν ὅτι μὴ βοηθήσειαν αὐτῷ ὑπὸ τῶν ἀδελφῶν ἀδικουμένῳ περιφανῶς. Οὐ γὰρ ὄντα ὁμομήτριον αὐτοῖς, ἀλλὰ ξένον κατὰ τὴν μητέρα, δι' ἐρωτικὴν ἐπιθυμίαν ἐπαχθεῖσαν αὐτοῖς ὑπὸ τοῦ πατρὸς, ἐξέβαλον, καταφρονήσαντες τῆς αὐτοῦ ἀσθενείας. Καὶ ὁ μὲν διέτριβεν ἐν τῇ Γαλαδίτιδι καλουμένῃ χώρᾳ, πάντας τοὺς ὁποθενοῦν παραγινομένους πρὸς αὐτὸν ἐπὶ μισθῷ δεχόμενος. Ἐκλιπαρησάντων δ' αὐτῶν καὶ ὁμοσάντων εἰς ἀεὶ παρέξειν αὐτῷ τὴν ἡγεμονίαν, ἐστράτευε.

θ'. Καὶ ποιησάμενος ὀξεῖαν τὴν τῶν πραγμάτων πρόνοιαν, ἐν πόλει Μασφαθῇ καθίσας τὸν στρατὸν, πρεσβείαν πέμπει παρὰ τὸν Ἀμμανίτην, αἰτιώμενος τῆς ἁλώσεως. Ὁ δὲ ἀντιπέμψας ἠτιᾶτο τῶν Ἰσραηλιτῶν τὴν ἔξοδον τὴν ἀπ' Αἰγύπτου, καὶ τῆς Ἀμοραίας αὐτοὺς ἠξίου παραχωρεῖν, ὡς πατρῴας οὔσης ἀρχῆθεν. Ἀποκρινάμενος δὲ ὁ Ἰεφθὴς ὡς οὔτε τῆς Ἀμοραίας τοῖς προγόνοις αὐτῶν εὐλόγως ἐγκαλοῦσι, χάριν τε μᾶλλον τῆς Ἀμμανίτιδος αὐτοῖς ἔχειν ὀφείλουσι παρεθείσης, (δυνατὸν γὰρ Μωϋσεῖ καὶ ταύτην λαβεῖν,) παραχωρεῖν τε εἰπὼν γῆς, ἣν Θεοῦ κατακτησαμένου

vero hujusmodi supplicium dependit pro scelere in fratres et facinore quod in Sicimitas patrare ausus erat. Atque hæc clades illis juxta Joathami vaticinium accidit. Ceterum qui cum Abimelecho erant milites, illo mortuo dispersi, ad domum quisque suam redierunt.

6. Israelitarum autem imperium accipit Jaires Galadenus e tribu Manassitide, vir quum cetera felix, tum quod liberos fortes procreaverat, numero quidem triginta, equites vero egregios, et quibus urbium Galadenarum commissæ erant præfecturæ. Is, quum viginti et duos annos rebus illorum præfuisset, ingravescente ætate obiit, et in Camone, urbe Galadena, sepultus est.

7. Jam res Hebræorum ad perturbationem ordinis et Dei legumque contemptum ferebantur, Ammanitæque, et Palæstini, eos despectui habentes, cum magno exercitu regionem diripiebant, et, quum loca ultra Jordanem occupassent, ad reliqua possidenda ausi sunt trajicere. Hebræi vero, quum ex calamitatibus resipuissent, ad Deum precibus se convertebant, victimasque ei mactabant, ipsum implorantes ut, severitate cohibita, precibusque eorum supplicibus flexus, ab ira desisteret. Jamque Deus mitior et placidior factus, in animum induxit illis opitulari.

8. Quum vero Ammanitæ in Galadenam fuissent ingressi, istius regionis incolæ illis ad montem occurrebant, ducem desiderantes. Erat autem Jephthes quidam, vir patriis virtutibus pollens, proprioque exercitu quem sumptibus suis alebat. Ad hunc igitur missis nunciis, enixe petebant ut *ipsis* in auxilium veniret, pollicentes *se* principatum suum ei concessuros esse, quam diu viveret. Ille vero preces eorum non admittit, ipsis exprobrans quod nullam ipsi opem tulerint, dum a fratribus manifestam injuriam pateretur. Quum enim illis non esset frater uterinus, sed ex matre, quam pater amore captus illis induxerat, peregrinus, ipsum expulerant, contempta ejus imbecillitate. Et ille quidem in regione Galaditide vocata degebat, omnes, qui ad eum undecunque confluxerunt, dato stipendio excipiens. Tandem vero precibus expugnatus et jurejurando accepto in perpetuum ei daturos esse imperium, copias duxit.

9. Et quum mature quicquid facto opus erat providisset, exercitu in urbe Masphathe collocato, legatos mittit ad regem Ammanitarum, *per eos rerum injuria captarum* postulans. Ille vero *legatis* vicissim missis incusabat Israelitarum ex Ægypto egressum, et ab ipsis poscebat ut e regione Amoræa excederent, quasi patrum ipsius a tempore antiquo fuisset. Jephthes autem respondens quod non cum ratione Israelitarum progenitores de Amoræa *possessa* culparent, sed potius eis gratias agere deberent pro Ammanitide relicta, (nam Moysen potuisse et ipsam occupare,) ac quum *rex* jubeat ut de terra sua decederent *Israelitæ*,

ὑπὲρ τριακόσια ἔτη νέμονται, μάχεσθαι πρὸς αὐτοὺς ἔφησεν.

ι'. Καὶ τοὺς μὲν πρέσβεις ταῦτ' εἰπὼν ἀπέλυσεν, αὐτὸς δὲ εὐξάμενος νίκην, καὶ θυσιάσειν ὑποσχόμενος ἂν σῶος εἰς τὰ οἰκεῖα ὑποστρέψῃ, καὶ πᾶν ὅ τι καὶ πρῶτον αὐτῷ συντύχοι ἱερουργήσειν, συμβαλών τε νικᾷ παρὰ πολὺ καὶ φονεύων ἐδίωκε μέχρι πόλεως Μαλιάθης· καὶ διαβὰς εἰς τὴν Ἀμμανῖτιν, πόλεις τε ἠφάνισε πολλὰς καὶ λείαν ἤλασε καὶ τοὺς οἰκείους δουλείας ἀπήλλαξεν, ὀκτωκαίδεκα ἔτη ταύτην ὑπομείναντας. Ἀναστρέφων δὲ συμφορᾷ περιπίπτει κατ' οὐδὲν ὁμοίᾳ τοῖς κατωρθωμένοις αὐτῷ. Ὑπήντησε γὰρ ἡ θυγάτηρ αὐτῷ· μονογενὴς δ' ἦν ἔτι παρθένος. Ὁ δὲ ἀνοιμώξας ἐπὶ τῷ μεγέθει τοῦ πένθους κατεμέμφετο τῆς περὶ τὴν ὑπάντησιν σπουδῆς τὴν θυγατέρα· καθιέρωσε γὰρ αὐτὴν τῷ Θεῷ. Τῇ δὲ τὸ συμβησόμενον οὐκ ἀηδῶς προσέπεσεν ἐπὶ νίκῃ τοῦ πατρὸς καὶ ἐλευθερίᾳ τῶν πολιτῶν τεθνηξομένῃ· παρεκάλεσε δὲ, δύο μῆνας αὐτῇ παρασχόντα πρὸς τὸ μετὰ τῶν πολιτῶν ἀποθρηνῆσαι τὴν νεότητα, τότε ποιεῖν τὰ κατ' εὐχήν. Συγχωρήσας δὲ κατὰ τὸν προειρημένον χρόνον, μετὰ τοῦτον διελθόντα θύσας τὴν παῖδα ὁλοκαύτωσεν, οὔτε νόμιμον οὔτε τῷ Θεῷ κεχαρισμένην θυσίαν ἐπιτελῶν, μὴ διαβασανίσας τῷ λογισμῷ τὸ γενησόμενον, οἷον τὸ πραχθὲν δόξει τοῖς ἀκούσασι.

ια'. Τῆς δὲ Ἐφραίμου φυλῆς ἐπ' αὐτὸν στρατευσάσης, ὅτι μὴ κοινωνήσαιτο τὸν ἐπ' Ἀμμανίτας ἐλασίαν αὐτοῖς, ἀλλὰ μόνος καὶ τὴν λείαν ἔχοι καὶ τὴν ἐπὶ τοῖς πεπραγμένοις δόξαν, πρῶτον μὲν ἔλεγεν ὡς οὔτε λάθοιεν αὐτοὺς οἱ συγγενεῖς πολεμούμενοι, καλούμενοί τε πρὸς συμμαχίαν οὐ παρεγένοντο, δέον καὶ πρὸ δεήσεως ἐγνωκότας ἐπιχθῆναι· ἔπειθ' ὡς ἄδικα πράττειν ἐπιχειροῦσι τοῖς πολεμίοις οὐ τολμήσαντες εἰς χεῖρας ἐλθεῖν, ἐπὶ δὲ τοὺς συγγενεῖς ὡρμηκότες· ἠπείλει τε σὺν τῷ Θεῷ λήψεσθαι δίκην παρ' αὐτῶν, ἂν μὴ σωφρονῶσιν. Ὡς δ' οὐκ ἔπειθεν, ἀλλὰ συνέβαλεν αὐτοῖς ἐλθοῦσι μετὰ στρατιᾶς, ἡ μετάπεμπτος ἐκ τῆς Γαλαδηνῆς ἐληλύθει, φόνον τε πολὺν αὐτῶν εἰργάσατο, καὶ διώκων τραπέντας, προλαβὼν μέρει τινὶ προαπεσταλμένῳ τοῦ Ἰορδάνου τὰς διαβάσεις, κτείνει περὶ δισχιλίους καὶ τετρακισμυρίους γεγονότας.

ιβ'. Αὐτὸς δὲ ἄρξας ἓξ ἔτη τελευτᾷ, καὶ θάπτεται ἐν τῇ ἑαυτοῦ πατρίδι Σεβεῇ· τῆς Γαλαδηνῆς δ' ἐστὶν αὕτη.

ιγ'. Τελευτήσαντος δὲ Ἰεφθοῦ τὴν ἀρχὴν Ἀψάνης παραλαμβάνει, φυλῆς ὢν Ἰούδα, Βηθλεέμων δὲ πόλεως. Τούτῳ δὲ παῖδες ἦσαν ἑξήκοντα, τριάκοντα μὲν ἄρρενες, αἱ λοιπαὶ δὲ θυγατέρες, οὓς καὶ πάντας ζῶντας κατέλιπε, τὰς μὲν ἀνδράσιν ἐκδοὺς, τοῖς δὲ γυναῖκας ἠγμένος. Πράξας δ' οὐδὲν ἐν τῷ ἑπταετεῖ γεγονὼς χρόνῳ λόγου καὶ μνήμης ἄξιον, γηραιὸς ὢν ἀπέθανε, καὶ ταφῆς ἐν τῇ πατρίδι τυγχάνει.

ιδ'. Ἀψάνους δ' οὕτως ἀποθανόντος, οὐδ' ὁ μετ'

quam ultra trecentos jam annos, a Deo *sibi* acquisitam, tenuerint, dimicaturum cum illis se esse dicebat.

10. Et hæc quidem quum dixisset, dimisit legatos : ipse vero victoriam precatus, sacraque facturum sese pollicitus, si incolumis ad suos reverteretur, et quodcunque ei primum occurreret immolaturum, congressus *cum hostibus* et longe *eos* superat, et cum cæde persequutus est usque ad urbem Maliathen; ac quum trajecisset in Ammanitidem, urbes multas delevit et prædas egit; suosque populares a servitute liberavit, quam servierant annis duodeviginti. At revertens in calamitatem incidit, rebus a se feliciter gestis prorsus dissimilem. Nam ei *redeunti* occurrit filia, quæ unigenita ei erat et virgo adhuc. Ille autem, graviter ingemiscens præ doloris magnitudine, filiam reprehendebat, quod tanta festinatione ipsi obviam prodierit : nam Deo eam consecraverat. At illi non ingratum accidit quod eventurum erat, ut quæ pro victoria patris et civium libertate esset moritura : orabat autem ut duos sibi menses remitteret ad juventutem suam cum civibus deflendam, et tunc ei integrum esset votum solvere. Ille vero, quum liberam ipsi potestatem in tempus prædictum fecisset, eo elapso filiam mactatam in holocaustum obtulit, neque legitima neque Deo grata sacra faciens, quod ratiocinatione non explorarit quid futurum esset, quale judicium de facinore laturi essent qui id fama acciperent.

11. Quum autem tribus Ephraimitis ei bellum intulisset, quod cum iis non communicarit expeditionem in Ammanitas factam, sed solus et prædam habuerit et rerum gestarum gloriam, primo quidem dicebat neque ignorasse eos quod consanguinei bello premerentur, neque auxilium rogatos advenisse, quum oporteret eos ante preces re cognita certatim festinasse; dein quod ad iniqua patranda aggrederentur, qui cum hostibus non ausi pugnam conserere in cognatos impetum fecerint : et minabatur se ab iis pœnas Deo volente, ni sapere velint, expetiturum esse. Quum vero nihil verbis proficeret, sed cum illis venientibus congressus esset, accito e Galadena exercitu, et magnam illorum stragem edidit, et in fugam versos persequens, præmissis quibusdam qui vada Jordanis occuparent, quadraginta duo millia occidit.

12. Is autem, quum sex annos Israelitis imperasset, moritur, atque sepultus est in patria sua Sebee : ea vero terræ Galadenæ urbs est.

13. At Jephthe mortuo principatum accipit Apsanes, e tribu Judæ et Bethleemis oppido. Huic liberi erant sexaginta, triginta quidem mares, et totidem filiæ : quos omnes superstites reliquit; et has quidem viris collocaverat, illis vero puellas adsciverat. Quumque nihil dictu et memoratu dignum in imperio septenni gessisset, senex diem obiit, et in patria sua sepultus est.

14. Apsane autem ita defuncto, neque, qui post hunc

αὐτὸν παραλαβὼν τὴν ἡγεμονίαν Ἥλων, ἐπ' ἔτη δέκα κατασχὼν αὐτὴν, φυλῆς ὢν τῆς Ζαβούλου, ἔπραξέ τι σπουδῆς ἄξιον.

ιε'. Ἄβδων δὲ Ἐλλήλου παῖς, φυλῆς μὲν τῆς Ἐφραϊμίτιδος, πόλεως δὲ τῆς Φαραθωνιτῶν γεγονὼς, αὐτοκράτωρ ἡγεμὼν ἀποδειχθεὶς μετ' Ἥλωνα, μόνης ἂν τῆς εὐπαιδίας μνημονευθείη, μηδὲν ἔργον διὰ τὴν εἰρήνην καὶ τὴν ἄδειαν τῶν πραγμάτων λαμπρὸν μηδ' αὐτὸς εἰργασμένος. Υἱεῖς δ' ἦσαν αὐτῷ τεσσαράκοντα, καὶ τούτων γενεὰς καταλιπόντων τριάκοντα, ἤλαυνέ τε σὺν αὐτοῖς οὖσιν ἑβδομήκοντα, πᾶσιν ἱππάζει ἀρίστοις γεγενημένοις, καὶ, πάντας ὑπὲρ γῆς ἀπολιπὼν, θνήσκει γηραιὸς, καὶ ταφῆς ἐν Φαραθῶνι λαμπρᾶς τυγχάνει.

ΚΕΦ. Η'.

Μετὰ δὲ τοῦτον Παλαιστῖνοι τελευτήσαντα κρατοῦσι τῶν Ἰσραηλιτῶν, καὶ φόρους παρ' αὐτῶν ἐλάμβανον ἐπ' ἔτη τεσσαράκοντα. Ταύτης δ' ἐλευθεροῦνται τῆς ἀνάγκης τούτῳ τῷ τρόπῳ.

β'. Μανώχης τις, Δανιτῶν ἐν ὀλίγοις ἄριστος καὶ τῆς πατρίδος ὁμολογούμενος πρῶτος, εἶχε γύναιον ἐπ' εὐμορφίᾳ περίβλεπτον καὶ τῶν καθ' αὑτὸ διαφέρον. Παίδων δ' οὐ γινομένων αὐτῷ, δυσφορῶν ἐπὶ τῇ ἀπαιδίᾳ, τὸν Θεὸν ἱκέτευεν, ἐπὶ τὸ προάστειον συνεχῶς φοιτῶν μετὰ τῆς γυναικὸς, δοῦναι διαδοχὴν αὐτοῖς γνησίαν· μέγα δέ ἐστι τοῦτο τὸ πεδίον. Ἦν δὲ καὶ μανιώδης ὑπ' ἔρωτος ἐπὶ τῇ γυναικὶ καὶ διὰ τοῦτο ζηλότυπος ἀκρατῶς. Μονωθείσῃ δὲ τῇ γυναικὶ φάντασμα ἐπιφαίνεται, ἄγγελος τοῦ Θεοῦ, νεανίᾳ καλῷ παραπλήσιον καὶ μεγάλῳ, εὐαγγελιζόμενον αὐτῇ παιδὸς γονὴν κατὰ Θεοῦ πρόνοιαν, καλοῦ τε καὶ ῥώμην ἐπιφανοῦς, ὑφ' ᾧ πονήσειν Παλαιστίνους ἀνδρουμένῳ· παρήνει τε τὰς κόμας αὐτῷ μὴ ἀποκείρειν, ἔσται δ' αὐτῷ πρὸς ἄλλο μὲν πᾶν ποτὸν ἀποστροφὴ, τοῦ Θεοῦ τοῦτο προστάττοντος, πρὸς ὕδωρ δὲ μόνον οἰκειότης. Καὶ ὁ μὲν ταῦτ' εἰπὼν ᾤχετο, κατὰ βούλησιν ἐλθὼν τοῦ Θεοῦ.

γ'. Ἡ δὲ τἀνδρὶ παραγενομένῳ τὰ περὶ τοῦ ἀγγέλου ἐκδιηγήσατο, ἐκθαυμάζουσα τοῦ νεανίσκου τὸ κάλλος καὶ τὸ μέγεθος, ὡς ἐκεῖνον ἐκ τῶν ἐπαίνων εἰς ἔκπληξιν κατὰ ζηλοτυπίαν περιστῆναι καὶ ὑπόνοιαν τὴν ἐκ τοιούτου πάθους κινουμένην. Ἡ δὲ, βουλομένη τὴν ἄλογον τἀνδρὸς λύπην σταλῆναι, τὸν Θεὸν ἱκέτευε πάλιν πέμψαι τὸν ἄγγελον, ὡς ἂν καὶ τῷ ἀνδρὶ αὐτῆς ὁραθείη. Καὶ παραγίνεται πάλιν κατὰ χάριν τοῦ Θεοῦ ὁ ἄγγελος, ὄντων ἐν τῷ προαστείῳ, καὶ τῇ γυναικὶ φαίνεται τοῦ ἀνδρὸς μεμονωμένῃ. Ἡ δ' ἐπιμεῖναι δεηθεῖσα, ὡς ἂν ἀγάγοι τὸν ἄνδρα, συγχωρήσαντας μέτεισι τὸν Μανώχην. Ὁ δὲ θεασάμενος οὐδ' οὕτως ἐπαύσατο τῆς ὑπονοίας, ἠξίωσέ τε καὶ αὐτῷ δηλοῦν ὅσα καὶ τῇ γυναικὶ μηνύσειεν. Ἀρκέσειν δὲ φράσαντος ταύτην μόνην εἰδέναι, τίς εἴη λέγειν ἐκέλευεν, ἵνα τοῦ παιδὸς γενομένου χάριν αὐτῷ καὶ δωρεὰν παράσχωσιν.

principatum assumpsit, Eleon, e tribu Zabuli, ipsumque per decennium tenuit, magni aliquid momenti egit.

15. Abdon vero, Helleli filius, e tribu quidem Ephraimitide, ex urbe vero Pharathonitarum, cui post Elonem summum delatum erat imperium, propter bonos duntaxat liberos memorari meruit: ut qui in pace et rerum securitate vitam agens nihil præclari gesserit. Nam filios habuit quadraginta, et ex his nepotes triginta procreatos: et cum ipsis, qui septuaginta erant et omnes egregii equites, illi equitare mos erat: atque cunctos superstites relinquens senecta ætate moritur, et in Pharathone magnifice sepultus est.

CAP. VIII. (X.)

Post hunc autem vita defunctum Palæstini prælio superant Israelitas, et tributa ab eis exigebant per annos quadraginta. Ceterum ab hac necessitate in hunc modum liberati sunt.

2. Manoches quidam, Danitarum inter paucos optimus et patriæ sine controversia princeps, mulierculam habuit forma egregia suspiciendam et inter æquales suas præcellentem. At quum ex ea liberos non suscepisset, ægre ferens quod iis careret, Deo supplicabat, sæpiuscule cum uxore in suburbium egrediens (hoc autem erat campus magnus), ut ipsis liberos qui succederent legitimos daret. Perdite autem uxorem præ amore deperibat, adeoque zelotypia vehementi *erat* afflatus. Mulieri autem, quum sola esset relicta, spectrum apparuit, angelus Dei, quasi juvenis specie eminenti et pulcra, eique lætum nuncium afferens, ipsam ex Dei providentia filium pariturum esse, pulcrum et insignem robore, a quo ad virilem ætatem adolescente futurum esse ut affligantur Palæstini: præmonuitque ne capilli puero recidantur, utque ab omni quidem alio potu, Deo ita præcipiente, abstineat, aquam vero solam bibere assuescat. Et is quidem, quum hæc dixisset, discessit ut qui voluntate Dei veneret.

3. Illa vero marito reverso narrat quæ ab angelo acceperit, simul etiam prædicans juvenis pulcritudinem et proceritatem: adeo ut ille hisce laudibus ex zelotypia obstupesceret, et suspicionem haberet ex hujusmodi affectione ortam. At ipsa, volens absurdo mœrore virum levare, Deum supplex orabat ut rursum angelum mittere dignaretur, quo *ille* a conjuge etiam suo conspiceretur. Atque iterum ex gratia Dei advenit angelus, quum in suburbano versarentur, et mulieri apparuit a marito relictæ. Illa vero, precata ut paulisper maneret dum virum adducat, permittente illo, Manochen accersit. Is autem, quum *angelum* vidisset, ne tum quidem suspicari desiit, rogavitque ut sibi etiam illa declararet, quæ uxori indicaverit. Quum vero ille respondisset, sufficere ut mulieri soli innotesceret, *Manoches* jubebat quisnam esset dicere, ut nato filio gratias ei referre et munera dare possent. Ille autem quum dixisset

Τοῦ δὲ μηδέ τινων αὐτῷ δεῖσθαι φήσαντος, (οὐδὲ γὰρ κατὰ χρείαν ταῦτα εὐαγγελίσασθαι περὶ τῆς τοῦ παιδὸς γονῆς,) τοῦ δὲ μεῖναι παρακαλοῦντος καὶ ξενίων μετασχεῖν, οὐκ ἐπένευσε· πεισθεὶς δ' ὅμως λιπαροῦντος ἐπιμεῖναι ὡς ἂν ξένιον αὐτῷ τι κομίσῃ, καὶ θύσαντος ἔριφον τοῦ Μανώχου, καὶ τοῦτον ὀπτᾶν τῇ γυναικὶ κελεύσαντος, ἐπεὶ πάντ' ἦν εὐτρεπῆ, προσέταξεν ἐπὶ τῆς πέτρας ἀποθέσθαι τούς τε ἄρτους καὶ τὰ κρέα χωρὶς τῶν ἀγγείων. Καὶ ποιησάντων, ἅπτεται τῇ ῥάβδῳ ἧ εἶχε τῶν κρεῶν, τὰ δὲ, λάμψαντος πυρὸς, ἅμα τοῖς ἄρτοις ἐκαίετο, καὶ ὁ ἄγγελος διὰ τοῦ καπνοῦ ὥσπερ ὀχήματος ἀνιὼν εἰς οὐρανὸν αὐτοῖς φανερὸς ἦν. Μανώχην δὲ, φοβούμενον μή τι σφαλερὸν αὐτοῖς ἐκ τῆς ὄψεως τοῦ Θεοῦ γενήσοιτο, θαρρεῖν ἡ γυνὴ παρεκελεύετο· ἐπὶ γὰρ συμφέροντι τῷ αὐτῶν τὸν Θεὸν αὐτοῖς ὀραθῆναι.

δ'. Καὶ κύει τε ἐκείνη καὶ φυλακὴν εἶχε τῶν ἐντολῶν, καὶ γενόμενον τὸ παιδίον Σαμψῶνα καλοῦσιν· ἰσχυρὸν δ' ἀποσημαίνει τὸ ὄνομα. Ηὔξετο δ' ὁ παῖς ῥᾳδίως καὶ ὄῆλος ἦν προφητεύσων ὑπὸ τῆς περὶ τὴν δίαιταν σωφροσύνης καὶ τῆς τῶν τριχῶν ἀνέσεως.

ε'. Ἀφικόμενος δὲ μετὰ τῶν γονέων εἰς Θαμνὰ, πόλιν τῶν Παλαιστίνων, πανηγύρεως ἀγομένης, ἐρᾷ παρθένου τῶν ἐπιχωρίων, παρακαλεῖ τε τοὺς γονεῖς ἄγεσθαι πρὸς γάμον αὐτῷ τὴν κόρην. Τῶν δὲ ἀρνουμένων, διὰ τὸ μὴ ὁμόφυλον εἶναι, τοῦ Θεοῦ κατὰ τὸ Ἑβραίοις συμφέρον ἐπινοοῦντος τὸν γάμον, ἐκνικᾷ μνηστεύσασθαι τὴν παρθένον. Συνεχῶς δ' ἀπερχόμενος πρὸς τοὺς γονεῖς αὐτῆς συντυγχάνει λέοντι, καὶ γυμνὸς ὢν ἐκδεξάμενος αὐτὸν ἄγχει ταῖς χερσὶ, καὶ εἰς τὸ χωρίον τὸ ὑλῶδες ἐνδοτέρω τῆς ὁδοῦ ῥίπτει τὸ θηρίον.

ς'. Πάλιν τε ἀπιὼν πρὸς τὴν κόρην ἐπιτυγχάνει σμήνει μελιττῶν ἐν τῷ στήθει τοῦ λέοντος ἐκείνου νεοσσευκότων. Καὶ ἀνελόμενος τρία μέλιτος κηρία σὺν τοῖς λοιποῖς δώροις οἷς ἐκόμιζε δίδωσι τῇ παιδί. Τῶν δὲ Θαμνιτῶν παρὰ τὴν εὐωχίαν τὴν τῶν γάμων (εἱστία γὰρ αὐτοὺς ἅπαντας) διὰ δέος τῆς ἰσχύος τοῦ νεανίσκου τριάκοντα δόντων αὐτῷ τοὺς ἀκμαιοτάτους, λόγῳ μὲν ἑταίρους ἑσομένους, ἔργῳ δὲ φύλακας μή τι παρακινεῖν ἐθελήσειε, τοῦ πότου προβάντος καὶ παιδιᾶς οὔσης, οἷα φιλεῖ παρὰ τοὺς τοιούτους καιροὺς, ὁ Σαμψὼν εἶπεν, « ἀλλὰ προβάλλοντος ἐμοῦ λόγον εἰ λύσετε τοῦτον ἐφ' ἡμέρας ἑπτὰ ποιούμενοι τὴν ζήτησιν, ὀθόνας τε καὶ στολὰς γέρας τῆς συνέσεως κατ' ἄνδρα ἕκαστον φέρεσθε παρ' ἐμοῦ. » Φιλοτιμουμένων δὲ ὁμοῦ τε συνετῶν δόξαν καὶ κέρδος εὑρέσθαι καὶ λέγειν ἀξιούντων, φησὶν ὅτι τὸ πάμβορον γεγεννήκει βορὰν ἡδεῖαν ἐξ αὐτοῦ καὶ πάνυ ἀηδοῦς ὄντος. Τῶν δὲ ἐπὶ τρισὶν ἡμέραις οὐ δυναμένων ἐξευρεῖν τὸ νοούμενον, παρακαλούντων δὲ τὴν κόρην μαθοῦσαν παρὰ τοῦ ἀνδρὸς αὐτοῖς μηνῦσαι, (καὶ γὰρ ἠπείλουν αὐτὴν ἐμπρήσειν τοῦτο μὴ παράσχοῦσαν,) ὁ Σαμψὼν, δεομένης τῆς κόρης εἰπεῖν αὐτῇ, τὸ μὲν πρῶτον ἀντεῖχεν, ἐγκειμένης δ' αὐτῆς καὶ εἰς δάse nullius rei egere, (neque enim ob hanc causam læta hæc de filio nunciasse,) hic vero obsecraret ut maneret et lautia acciperet, non annuit: at victus precibus, dum etiam atque etiam rogaretur ut moram faceret donec munus aliquod hospitale ei afferretur, quum Manoches hœdum mactasset, mandassetque uxori ut eum coquendum curaret, paratis omnibus, jussit *angelus* ut super petram panes et carnes apponerentur absque vasculis. Quo facto, virga quam gestabat carnes tetigit, illæ vero, igne protinus emicante, una cum panibus ardebant; atque angelus, fumo usus loco vehiculi, in conspectu illorum in cœlum ascendebat. Manochen autem, quum haud mediocriter extimesceret ne quid periculi immineret ex viso numine, uxor bono esse animo jubet: nam e re fore ipsorum quod Deum aspexerint.

4. Atque illa et gravida facta est, et quæcunque *ei* præcepta erant observabat, natumque infantem Samsonem nominant. Fortem vero significat nomen *istud*. Puer autem valde crescebat: ac manifestum erat quod propheta evaderet, quum ex parsimonia ejus in victu, tum quod promissos aluerit capillos.

5. At cum parentibus Thamnam, urbem Palæstinorum, profectus, dum publica esset celebritas, virginis *cujusdam* indigenæ amore corripitur, rogatque parentes ut puellam sibi concilient in matrimonium. Illis vero recusantibus, quod non ejusdem esset gentis, is, Deo in Hebræorum commodum et emolumentum has excogitante nuptias, pervincit ut virgo ei desponsaretur. Quum autem crebro parentes ejus inviseret, in leonis occursum incidit et quum inermis esset cum excipiens, manibus strangulat, atque in saltum ad interiora viæ feram projicit.

6. Iterumque ad puellam proficiscens, offendit examen apum quæ in leonis pectore nidulos construxerant; atque inde tres mellis favos auferens eos, una cum reliquis quæ portabat muneribus, dono dat puellæ. Thamnitis autem, dum epulas faceret nuptiales, (illos enim omnes ad eas adhibuit,) triginta juvenes strenuissimos ei quasi sodales quidem futuros assignantibus, re ipsa vero custodes ne quid audacius perpetrare velit, quum compotatio increbresceret et ludere inciperent, ut ejusmodi solennitatibus fieri solet, Samson dicebat, « agedum, si fabulam, quam vobis proponam, mihi intra septem dies explicatam dederitis, lintea et vestes in sapientiæ præmium singuli a me accipietis. » Quum vero illi magnopere vellent simul sapientum gloriam ac lucri aliquid capere, atque *eum* dicere juberent, infit, « quod cuncta vorat cibum ex se jucundum procreavit, licet ipsum valde injucundum sit. » At illi quum per triduum haud potuerint investigare quid sibi velit, puellamque obsecrarint ut a viro *suo ænigmatis* sententiam ediseeret, quam ipsis indicaret, (quin etiam minabantur, se illam crematuros esse, nisi hoc præstiterit,) illa orante ut rem sibi patefaceret, Samson quidem primum ei resistebat: postea vero quum acrius instaret, et ad lacrimas veniret, eique objice-

κρυα προπιπτούσης καὶ τεκμήριον τιθεμένης τῆς πρὸς αὐτὴν δυσνοίας τὸ μὴ λέγειν αὐτῇ, μηνύει τὰ περὶ τὴν ἀναίρεσιν αὐτῇ τοῦ λέοντος, καὶ ὅτι μελίττας εὑρὼν ἐν τῷ στήθει αὐτοῦ τρία βαστάσας μέλιτος κηρία κομίσειεν αὐτῇ. Καὶ ὁ μὲν οὐδὲν ὑφορώμενος δολερὸν σημαίνει τὸ πᾶν, ἡ δ' ἐκφέρει τὸν λόγον τοῖς δεηθεῖσι. Κατὰ οὖν τὴν ἑβδόμην ἡμέραν, καθ' ἣν ἔδει τὸν προβληθέντα λόγον αὐτῷ διασαφεῖν, πρὶν ἢ δῦναι τὸν ἥλιον συνελθόντες, φασὶν, « οὔτε λέοντος ἡδέστερόν τι τοῖς ἐντυγχάνουσιν οὔτε ἥδιον μέλιτος χρωμένοις. » Καὶ ὁ Σαμψὼν εἶπεν οὐδὲ γυναικὸς εἶναί τι δολερώτερον, ἥτις ὑμῖν ἐκφέρει τὸ ἡμέτερον λόγον. Κἀκείνοις μὲν ἐδίδοσιν ἃ ὑπέσχετο, λείαν ποιησάμενος Ἀσκαλωνιτῶν τοὺς κατὰ τὴν ὁδὸν αὐτῷ συντυγχάνοντας, (Παλαιστῖνοι δ' εἰσὶ καὶ οὗτοι,) τὸν δὲ γάμον ἐκεῖνον παραιτεῖται, καὶ ἡ παῖς, ἐκφαυλίσασα τῆς ὀργῆς αὐτὸν, συνῆν τῷ αὐτοῦ φίλῳ νυμφοστόλῳ γεγονότι.

ζ'. Πρὸς δὲ τὴν ὕβριν ταύτην Σαμψὼν παροξυνθεὶς ἅπαντας ἔγνω σὺν αὐτῇ Παλαιστίνου μετέρχεσθαι. Θέρους δ' ὄντος καὶ πρὸς ἀμητὸν ἤδη τῶν καρπῶν ἀκμαζόντων, συλλαβὼν τριακοσίας ἀλώπεκας καὶ τῶν οὐρῶν ἐξάψας λαμπάδας ἡμμένας ἐξαφίησιν εἰς τὰς ἀρούρας τῶν Παλαιστίνων. Καὶ φθείρεται μὲν οὕτως αὐτοῖς ὁ καρπός· Παλαιστῖνοι δὲ γνόντες Σαμψῶνος εἶναι τὸ ἔργον καὶ τὴν αἰτίαν δι' ἣν ἔπραξε, πέμψαντες τοὺς ἄρχοντας εἰς Θαμνὰ, τὴν γενομένην αὐτοῦ γυναῖκα καὶ τοὺς συγγενεῖς ζῶντας κατέπρησαν, ὡς αἰτίους τῶν κακῶν γεγονότας.

η'. Σαμψὼν δὲ πολλοὺς ἐν τῷ πεδίῳ τῶν Παλαιστίνων ἀποκτείνας Αἰτὰν κατῴκει· πέτρα δ' ἐστὶν ὀχυρὰ τῆς Ἰούδα φυλῆς. Παλαιστῖνοι δ' ἐστράτευον ἐπὶ τὴν φυλὴν. Τῶν δ' οὐ δικαίως λεγόντων τιμωρίαν αὐτοὺς εἰσπράττεσθαι περὶ τῶν Σαμψῶνος ἁμαρτημάτων, φόρους αὐτοὺς τελοῦντας, εἰ βούλονται μὴ ἔχειν αἰτίαν, ἔφασαν αὐτοῖς ὑποχείριον Σαμψῶνα δοῦναι. Οἱ δὲ ἀνέγκλητοι βουλόμενοι τυγχάνειν παρῆσαν ἐπὶ τὴν πέτραν τρισχιλίοις ὁπλίταις, καὶ καταμεμψάμενοι τῶν εἰς Παλαιστίνους αὐτῷ τετολμημένων, ἄνδρας ἅπαντι τῷ γένει τῶν Ἑβραίων συμφορὰν ἐπενεγκεῖν δυναμένους, ἥκειν τε λέγοντες, ὅπως αὐτὸν λαβόντες ὑποχείριον δῶσιν αὐτοῖς, ἠξίουν ἑκόντι τοῦθ' ὑπομένειν. Ὁ δὲ λαβὼν ὅρκους παρ' αὐτῶν μηδὲν τούτων ποιήσειν περισσότερον, ἀλλὰ τοῖς ἐχθροῖς ἐγχειρεῖν μόνον, καταβὰς ἐκ τῆς πέτρας ἑαυτὸν ἐπὶ τῇ τῶν φυλετῶν τίθησιν ἐξουσίᾳ, κἀκεῖνοι δήσαντες αὐτὸν δυσὶ καλωδίοις ἦγον παραδοῦναι τοῖς Παλαιστίνοις. Καὶ γενομένων κατά τι χωρίον, ὃ Σιαγὼν καλεῖται νῦν διὰ τὴν Σαμψῶνος ἀνδραγαθίαν ἐπ' αὐτῷ γενομένην, πάλαι δ' ἦν ἀνώνυμον, οὐκ ἄπωθεν ἑστρατοπεδευκότων τῶν Παλαιστίνων, ἀλλ' ὑπαντώντων μετὰ χαρᾶς καὶ βοῆς ὡς ἐπὶ κατωρθωμένοις οἷς ἐβούλοντο, διαρρήξας τὰ δεσμὰ Σαμψὼν ἁρπασάμενος ὄνου σιαγόνα παρὰ ποσὶν οὖσαν εἰς τοὺς πολεμίους ὥσατο, καὶ παίων

ret, certissimo indicio esse se illam non amare, qui istud sibi aperire noluerit, declarat ei ut leonem jugulaverit, et quod, apibus in pectore ejus inventis, tres mellis favos ad ipsam apportarit. Atque ille quidem, nihil doli suspicans, rem totam ei exponit, illa vero sermonem efflagitantibus prodit. Itaque die septima, qua oportebat illos propositam rem ei explicatam dare, ante solis occasum convenientes, dicunt, « neque leone quidquam occurrentibus injucundius, neque melle gustantibus jucundius. » Atque Samson subjiciebat, « neque muliere quidquam fallacius, quæ ad vos detulit sermonem nostrum. Et is quidem illis dat quæ promiserat, præda facta ex Ascalonitis qui forte ei in via occurrunt, (nam et isti Palæstini sunt;) ab hisce autem nuptus refugit, atque puella, quæ eum ob iram despectui habuit, ipsius familiari nupsit, qui illius affinitatis conciliator fuerat.

7. Samson vero, vehementer hac contumelia irritatus, secum statuit omnes cum ea Palæstinos vindicta persequi. Quum autem æstas esset et ad messem maturæ jam essent fruges, captis trecentis vulpibus, et caudis illarum facibus ardentibus alligatis, in agros Palæstinorum *eas* immittit. Atque ita illis periit fructuum proventus : verum Palæstini, quum comperissent Samsonem facinoris auctorem esse, nossentque quid esset quod eum ad hoc impulerit, principibus Thamnam missis, mulierem, quæ illi uxor fuerat, ipsiusque cognatos vivos igni combusserunt, ut qui malorum causæ exstiterant.

8. Ceterum Samson quum multos in campo Palæstinorum occidisset, Ætam habitatum ibat : est autem petra munita in tribu Judæ. Hinc Palæstini contra tribum exercitum educunt. Quum vero dicerent *tribules* quod immerito a se pœnas exigerent propter Samsonis delicta, præsertim quum tributa omnia solvant, responsum est, si insontes haberi velint, Samsonem ipsis in manus tradendum esse. Illi, a reprehensione abesse volentes, cum tribus millibus armatorum ad rupem accessere, conquestique de facinoribus quæ in Palæstinos ausus fuerat, viros qui toti Hebræorum genti possent cladem inferre, dicentesque in hoc se venisse ut comprehensum eis dederent, rogabant ut lubenti animo hoc sustineret. Is vero, jurejurando ab illis accepto, se *injuriæ* nihil amplius ei facturos esse quam ut hostibus addiceretur, e petra descendens sese in tribulium potestatem permisit, atque illi revinctum duobus funibus Palæstinis tradendum ducebant. Quumque ad locum quendam appulissent, qui hodie Maxilla nuncupatur a præclaro Samsonis illic edito facinore, (olim enim nomine carebat,) Palæstinis non procul castra metantibus, sed in occursum ejus venientibus cum gaudio et vociferatione, ac si *ea* quæ expetiverant feliciter confecta essent, Samson, vinculis diruptis et arrepta asini maxilla, quæ ad pedes forte jacebat, in hostes irruit ; et [maxilla illos] feriens ad

[αὐτοὺς τῇ σιαγόνι] κτείνει εἰς χιλίους, τοὺς δ' ἄλλους τρέπεται ταραχθέντας.

θ'. Σαμψὼν δὲ μείζω ἢ χρὴ ἐπὶ τούτῳ φρονῶν, οὐ κατὰ Θεοῦ συνεργίαν ἔλεγε τοῦτο συμβῆναι, τὴν δ' ἰδίαν ἀρετὴν ἐπέγραψε τῷ γεγονότι, σιαγόνι τῶν πολεμίων τοὺς μὲν πεσεῖν, τοὺς δ' εἰς φυγὴν τραπῆναι διὰ τοῦ παρ' αὐτοῦ δέους αὐχῶν. Δίψους δ' αὐτὸν ἰσχυροῦ κατασχόντος, κατανοῶν ὡς οὐδέν ἐστιν ἀνθρώπειος ἀρετή, τῷ Θεῷ πάντα προσεμαρτύρει, καὶ καθικέτευε μηδὲν τῶν εἰρημένων πρὸς ὀργὴν λαβόντα τοῖς πολεμίοις αὐτὸν ἐγχειρίσαι, παρασχεῖν δὲ βοήθειαν πρὸς τὸ δεινὸν καὶ ῥύσασθαι τοῦ κακοῦ. Πρὸς οὖν τὰς ἱκετείας ἐπικλασθεὶς ὁ Θεὸς πηγὴν κατά τινος πέτρας ἀνίησιν ἡδεῖαν καὶ πολλήν· ὅθεν ὁ Σαμψὼν ἐκάλει τὸ χωρίον Σιαγόνα, καὶ μέχρι τοῦ δεῦρο τοῦτο λέγεται.

ι'. Μετὰ δὲ ταύτην τὴν μάχην Σαμψὼν, καταφρονῶν τῶν Παλαιστίνων, εἰς Γάζαν ἀφικνεῖται, καὶ ἔν τινι τῶν καταγωγίων διέτριβε. Μαθόντες δὲ τῶν Γαζαίων οἱ ἄρχοντες τὴν αὐτόθι παρουσίαν αὐτοῦ, τὰ πρὸ τῶν πυλῶν ἐνέδρας καταλαμβάνουσιν, ὅπως ἐξιὼν μὴ λάθῃ. Σαμψὼν δὲ (οὐ γὰρ λανθάνουσιν αὐτὸν ταῦτα μηχανησάμενοι) περὶ μεσοῦσαν ἤδη τὴν νύκτα ἀναστὰς ἐνράσσει ταῖς πύλαις, αὐταῖς τε φλιαῖς καὶ μοχλοῖς, ὅση τε ἄλλη περὶ αὐταῖς ἦν ξύλωσις, ἀράμενος κατωμαδὸν εἰς τὸ ὑπὲρ Χεβρῶνος ὄρος φέρων κατατίθησι.

ια'. Παρέβαινε δ' ἤθη τὰ πάτρια καὶ τὴν οἰκείαν δίαιταν παρεχάρασσε ξενικῶν μιμήσει ἐθισμῶν, καὶ τοῦτ' ἀρχὴ αὐτῷ κακοῦ γίνεται. Γυναικὸς γὰρ ἑταιριζομένης παρὰ τοῖς Παλαιστίνοις ἐρασθείς, Δαλίλης τοὔνομα, συνῆν αὐτῇ, καὶ τῶν Παλαιστίνων οἱ τοῦ κοινοῦ προεστῶτες ἐλθόντες πρὸς αὐτὴν πείθουσιν ἐπαγγελίαις μαθεῖν παρὰ τοῦ Σαμψῶνος τὴν αἰτίαν τῆς ἰσχύος, ὑφ' ἧς ἅληπτός ἐστι τοῖς ἐχθροῖς. Ἡ δὲ παρὰ πότον καὶ τοιαύτην συνουσίαν θαυμάζουσα τὰς πράξεις αὐτοῦ ἐτεχνίτευε μαθεῖν τίνι τρόπῳ τοσοῦτον προὔχει κατ' ἀρετήν. Ὁ δὲ Σαμψὼν (ἔτι γὰρ φρονεῖν ἰσχυρὸς ἦν) ἀντηπάτα τὴν Δαλίλην, φάμενος ὅτι, εἰ κλήμασιν ἑπτὰ δεθείη ἀμπελίνοις ἔτι καὶ περιειλεῖσθαι δυναμένοις, ἀσθενέστερος ἂν πάντων ἔσοιτο. Ἡ δὲ τότε μὲν ἡσύχασεν, ἀποσημήνασα δὲ τοῖς ἄρχουσι τῶν Παλαιστίνων ἐνήδρευσε τῶν στρατιωτῶν ἔνδον τινὰς, καὶ καθεύδοντα μεθύοντα κατέδησε τοῖς κλήμασιν κατὰ τὸ ἰσχυρότατον, ἔπειτ' ἀνεγείρασα ἐδήλου παρεῖναί τινας ἐπ' αὐτόν. Ὁ δὲ ῥήξας τὰ κλήματα βοηθεῖν ὡς ἐπερχομένων αὐτῷ τινων ἐπειρᾶτο. Καὶ ἡ γυνὴ, συνεχῶς ὁμιλοῦντος αὐτῇ τοῦ Σαμψῶνος, δεινῶς ἔχειν ἔλεγεν, εἰ κατ' ἀπιστίαν εὐνοίας τῆς πρὸς αὐτὸν μὴ λέγει ταῦθ' ἅπερ δεῖται, ὡς οὐ σιγησομένης ὅσα μὴ γινώσκεσθαι συμφέρειν οἶδεν αὐτῷ. Τοῦ δὲ πάλιν ἀπατῶντος αὐτὴν καὶ φήσαντος ἑπτὰ κάλοις δεθέντα τὴν ἰσχὺν ἀπολέσειν, ἐπεὶ καὶ τοῦτο ποιήσασα οὐδὲν ἤνυσε, τρίτον ἐνυφῆναι τὰς κόμας αὐτοῦ ἐμήνυσεν. Ὡς δ' οὐδὲ τούτου γενομένου ἀληθὲς ηὑρίσκετο, δεομένης

mille *virorum* occidit, ceteros vero metu turbatos in fugam vertit.

9. Samson autem, hanc ob rem plus justo elatus, illam non ex Dei auxilio ita cecidisse dicebat, sed suis viribus acceptum tulit quod factum fuerat, glorians alios quidem hostium a se prostratos esse, alios vero illius metu in fugam conjectos. Quum autem vehementi afflageretur siti, secum cogitans ut exiguæ admodum essent vires humanæ, Deo omnia adscribenda esse testatus est, eumque supplex orabat ne propter ea quæ dixisset ira commotus ipsum hostibus traderet, sed ei in discrimen adducto auxilium præsaret et a malo eximeret. Deus itaque precibus flexus fontem a petra quadam dulcem emittit ac copiosum : unde Samson locum istum Maxillam nominavit, et ad hunc usque diem ita appellatur.

10. Post hanc autem pugnam Samson, Palæstinos despiciens, Gazam profectus est et in loco meritorio deversabatur. Quod ubi Gazæorum principes intellexerunt, illuc ipsum venisse, loca ante portas insidiis occupant, ne clam se subduceret. At Samson (non enim ignorabat quæ parabantur) cum impetu irruit in portas, ipsasque una cum postibus et repagulis et reliquo apparatu ligneo, humeris sublatas in jugum montis, qui Chebroni imminet, vectas deposuit.

11. Desciscebat autem a patriis moribus, propriumque vitæ institutum in pejus mutavit consuetudines peregrinas imitando : id quod ei omnium malorum fit principium. Quum enim mulierem quandam meretricem adamasset, nomine Dalilam, cum ea consuescebat : quique Palæstinorum rei publicæ præerant, ipsam adeuntes, pollicitationibus persuadent ut a Samsone disceret quæ causa fuerit tanti roboris, ob quod invictus esset ab hostibus. Illa vero, inter pocula et ejusmodi consuetudinem res ejus gestas admirata, arte cognoscere conabatur qua ratione usquo adeo virtute excellebat. Samson autem (nam adhuc erat mentis compos) fraudem Dalilæ fraude eludebat, dicendo, si vinearum palmitibus, qui et adhuc contorqueri possint, revinctus fuerit, *ceteris* omnibus fore se viribus debiliorem. At illa, tunc quidem istis contenta erat, re vero cum principibus Palæstinorum ab ea communicata, intus milites quosdam in insidiis collocavit, illumque somno vinoque obrutum palmitibus quam arctissime potuit constringebat, deinde experrecto indicat quosdam adversus ipsum adesse. Is autem ruptis palmitum vinculis sese, ac si aliqui eum aggressuri essent, ad sui defensionem parabat. Ceterum mulier, Samsone usque cum ea consuetudine habente, ægre se ferre aiebat quod suæ in ipsum benevolentiæ diffisus noluerit ei dicere quod scire quammaxime desideret, ac si ipsa tacitura non esset quæ noverit ei non expedire ut aliis innotescerent. Samsone autem rursus feminam fallente dicenteque sibi septem funibus alligato vires esse defecturas, quum hoc etiam experta nihil profecisset, tertio is illi indicabat ut comas ejus *licio* intexeret. Quum autem hujusce rei experimento facto ne tum quidem verum inve-

τελευταῖον ὁ Σαμψών, (ἔδει γὰρ αὐτὸν συμφορᾷ περιπεσεῖν,) χαρίζεσθαι βουλόμενος τῇ Δαλίλῃ, « ἐμοῦ, φησίν, ὁ Θεὸς κήδεται, καὶ κατὰ τὴν ἐκείνου πρόνοιαν γεννηθεὶς κόμην ταύτην τρέφω, παρεγγυήσαντος μὴ ἀποκείρειν τοῦ Θεοῦ· τὴν γὰρ ἰσχὺν εἶναί μοι κατὰ τὴν ταύτης αὔξησιν καὶ παραμονήν. » Ταῦτα μαθοῦσα καὶ στερήσασα τῆς κόμης αὐτὸν παραδίδωσι τοῖς πολεμίοις, οὐκέτ' ὄντα ἰσχυρὸν ἀμύνασθαι τὴν ἔφοδον αὐτῶν. Οἱ δὲ ἐκκόψαντες αὐτοῦ τοὺς ὀφθαλμοὺς δεδεμένον ἄγειν παρέδοσαν.

ιϐ'. Προϊόντος δὲ τοῦ χρόνου ἤρξετο ἡ κόμη τῷ Σαμψῶνι. Καὶ ἑορτῆς οὔσης τοῖς Παλαιστίνοις δημοτελοῦς καὶ τῶν ἀρχόντων καὶ γνωριμωτάτων ἐν ταὐτῷ εὐωχουμένων, (οἶκος δ' ἦν δύο κιόνων στεγόντων αὐτοῦ τὸν ὄροφον,) ἄγεται μεταπεμψαμένων ὁ Σαμψὼν εἰς τὸ συμπόσιον, ὅπως ἐνυβρίσωσιν αὐτῷ παρὰ τὸν πότον. Ὁ δὲ δεινότερον τῶν κακῶν ὑπολαμβάνων τὸ μὴ δύνασθαι ὑβριζόμενος ἀμύνασθαι, τὸν χειραγωγοῦντα παῖδα πείθει, προσαναπαύσασθαι χρήζειν εἰπὼν ὑπὸ κόπου, τοῖς κίοσιν αὐτὸν ἐγγὺς ἀγαγεῖν. Ὡς δ' ἦκεν, ἐνσεισθεὶς αὐτοῖς ἐπικαταβάλλει τὸν οἶκον, ἀνατραπέντων τῶν κιόνων, τρισχιλίοις ἀνδράσιν, οἱ πάντες ἀπέθανον, ἐν αὐτοῖς δὲ καὶ Σαμψών. Καὶ τὸν μὲν τοιοῦτο κατέσχε τέλος, ἄρξαντα τῶν Ἰσραηλιτῶν εἴκοσιν ἔτη. Θαυμάζειν δὲ ἄξιον τῆς ἀρετῆς καὶ τῆς ἰσχύος καὶ τοῦ περὶ τὴν τελευτὴν μεγαλόφρονος τὸν ἄνδρα, καὶ τῆς ὀργῆς τῆς μέχρι τοῦ τελευτᾶν πρὸς τοὺς πολεμίους. Καὶ τὸ μὲν ὑπὸ γυναικὸς ἁλῶναι δεῖ τῇ φύσει τῶν ἀνθρώπων προσάπτειν ἧττονι ἁμαρτημάτων οὔσῃ, μαρτυρεῖν δὲ ἐκείνῳ τὴν εἰς τὰ ἄλλα πάντα τῆς ἀρετῆς περιουσίαν. Οἱ δὲ συγγενεῖς ἀράμενοι τὸ σῶμα αὐτοῦ θάπτουσιν ἐν Σαριασᾷ τῇ πατρίδι μετὰ τῶν συγγενῶν.

ΚΕΦ. Θ'.

Μετὰ δὲ τὴν Σαμψῶνος τελευτὴν προέστη τῶν Ἰσραηλιτῶν Ἠλεὶ ὁ ἀρχιερεύς. Ἐπὶ τούτου λιμῷ τῆς χώρας κακοπαθούσης αὐτῶν, Ἐλιμέλεχος ἐκ Βηθλεέμων, (ἔστι δ' ἡ πόλις αὕτη τῆς Ἰούδα φυλῆς,) ἀντέχειν τῷ δεινῷ μὴ δυνάμενος, τήν τε γυναῖκα Νααμὶν καὶ τοὺς παῖδας τοὺς ἐξ αὐτῆς αὐτῷ γεγεννημένους, Χελλίωνα καὶ Μάλλωνα, ἐπαγόμενος εἰς τὴν Μωαβῖτιν μετοικίζεται, καὶ προχωρούντων αὐτῷ κατὰ νοῦν τῶν πραγμάτων, ἄγεται τοῖς υἱοῖς γυναῖκας Μωαβίτιδας, Χελλίωνι μὲν Ὀρφάν, Ῥούθην δὲ Μάλλωνι. Διελθόντων δὲ δέκα ἐτῶν ὅ τε Ἐλιμέλεχος καὶ μετ' αὐτὸν οἱ παῖδες δι' ὀλίγου τελευτῶσι, καὶ ἡ Νααμὶς πικρῶς ἐπὶ τοῖς συμβεβηκόσι φέρουσα καὶ τὴν ὑπὸ τῶν φιλτάτων ἐρημίαν οὐχ ὑπομένουσα, δι' οὓς καὶ τῆς πατρίδος ἐξεληλύθει, πάλιν εἰς αὐτὴν ἀπηλλάττετο· καὶ γὰρ ἤδη καλῶς τὰ κατ' αὐτὴν ἐπυνθάνετο χωρεῖν. Οὐκ ἐκαρτέρουν δὲ διαζευγνύμεναι αὐτῆς αἱ νύμφαι, οὐδὲ παραιτουμένη βουλομένας συνεξορμᾶν πείθειν ἐδύνατο, ἀλλ' ἐγκειμένων εὐξαμένη γάμον εὐτυχέστερον αὐταῖς

nerit, preces ea adhibente, tandem Samson, (nam necesse erat ut in calamitatem incideret,) cum Dalila gratiam redintegrare volens, « mei, inquit, Deus curam habet, et ejus providentia natus hanc comam alo, Deo ne detondeatur præcipiente : vires enim mihi ita aucturas esse et permansuras, ut illa augeretur et conservaretur. » Quum hæc intellexisset comamque ei abrasisset, hostibus eum prodidit, quum jam non valeret illorum incursum propulsare. Illi vero, oculis ei effossis, *quibusdam* ut vinctum ducerent *ipsum* tradiderunt.

12. Procedente autem tempore cæsaries illi renascebatur. Quumque diem festum Palæstini publicum agerent, virique principes et notæ melioris eodem in loco epularentur, (domus enim erat, cujus tectum duæ sustinebant columnæ,) Samson ab illis accitus in convivium adducitur, ut ei inter compotandum illuderent. Ille vero malorum extremum esse existimans, quod ludibrio habitus *injuriam* ulcisci non potuerit, puero a quo manu ducebatur persuadet, dicens quod præ lassitudine paululum requiescere desideret, ut se columnis admoveret. Ut vero eo venerat, in illas magna vi se impulit, et domum subversis columnis dejicit, una cum tribus hominum millibus, qui omnes *ruina* oppressi sunt, interque eos etiam ipse Samson. Et ille quidem hujusmodi exitum habuit, quum annos viginti Israelitis imperasset. Convenit autem ut virum admiremur virtutis ergo et fortitudinis, pariterque ob magnanimitatem qua mortem oppetiit, et quod ad extremum usque spiritum hostibus succensuerit. Ac quod a muliere quidem captus fuerit, hominum ingenio adscribendum, quod facile ced t peccatis; ipsi vero testimonium tribuendum, quod cetera egregius fuerit et virtute excellens. Ejus autem cognati sublatum sepelierunt cum majoribus suis in Sariasa *urbe* patria.

CAP. IX. (XI.)

Post Samsonis autem obitum Israelitis præfuit Eli pontifex. Ejus tempore, regione ea fame valde laborante, Elimelechus oriundus Bethleemis, (est autem urbs illa tribus Judæ,) quum calamitatem tolerare non potuerit, assumpta uxore Naami filiisque ex ea ipsi natis Chellione et Mallone, in terram Moabiticam commigrat. Quumque res ei ex animi sententia procederent, feminas Moabiticas filiis suis matrimonio junxit, Chellioni quidem Orphan, Malloni vero Rutham. Annis autem decem exactis, Elimelechus filiique ejus brevi post eum tempore moriuntur, atque Naamis quæ ei acciderant acerbe ferens, seque in orbitate vix sustinens, post amissos sibi carissimos, quorum gratia etiam patriam reliquerat, iterum in eam se recipiebat : audierat enim jam omnia in ea bene prospereque cedere. Nurus autem ejus non patiebantur ut ab ea disjunctæ essent; neque, quum deprecaretur ne cum ea proficisci velint, persuadere potuit, sed, quum urgerent, precata eis felicius conjugium, quam id a

οὗ διημαρτήκεσαν παισὶ τοῖς αὐτῆς γαμηθεῖσαι, καὶ τῶν ἄλλων ἀγαθῶν κτῆσιν, ὅτι τε τὰ πρὸς αὐτὴν οὕτως ἐστὶ, μένειν αὐτόθι παρεκάλει, καὶ μὴ συμμεταλαμβάνειν αὐτῇ βούλεσθαι πραγμάτων ἀδήλων τὴν πάτριον γῆν καταλιπούσας. Ἡ μὲν οὖν Ὀρφὰ μένει πεισθεῖσα, τὴν δὲ Ῥούθην μὴ πεισθεῖσαν ἀπήγαγε, κοινωνὸν παντὸς τοῦ προστυχόντος γενησομένην.

β'. Ἐλθοῦσαν δὲ Ῥούθην μετὰ τῆς πενθερᾶς εἰς τὴν Βηθλεέμων Βόαζος, Ἐλιμελέχου συγγενὴς ὤν, δέχεται ξενίᾳ. Καὶ ἡ Νααμὶς, προσαγορευόντων αὐτὴν ὀνομαστὶ, « δικαιότερον, εἶπε, Μάραν καλοίητέ με· » σημαίνει δὲ καθ' Ἑβραίων γλῶσσαν Νααμὶς μὲν εὐτυχίαν, Μάρα δὲ ὀδύνην. Ἀμητοῦ δὲ ὄντος ἐξῄει καλαμησομένη κατὰ συγχώρησιν τῆς πενθερᾶς ἡ Ῥούθη, ὅπως τροφῆς εὐποροῖεν, καὶ εἰς τὸ Βοάζου τυχαίως ἀφικνεῖται χωρίον. Παραγενόμενος δὲ Βόαζος μετ' ὀλίγον καὶ θεασάμενος τὴν κόρην ἀνέκρινε τὸν ἀγροκόμον περὶ τῆς παιδός. Ὁ δὲ μικρὸν ἔμπροσθεν παρ' αὐτῆς ἅπαντα προπεπυσμένος ἐδήλου τῷ δεσπότῃ. Ὁ δὲ, τῆς περὶ τὴν πενθερὰν εὐνοίας ἅμα καὶ μνήμης τοῦ παιδὸς αὐτῆς ᾧ συνῴκησεν ἀσπασάμενος τὴν κόρην, καὶ εὐξάμενος αὐτῇ πεῖραν ἀγαθῶν, καλαμᾶσθαι μὲν αὐτὴν οὐκ ἠξίωσεν, θερίζειν δὲ πᾶν ὅ τι καὶ δύναιτο καὶ λαμβάνειν ἐπιτρέπει, προστάξας τῷ ἀγροκόμῳ μηδὲν αὐτὴν διακωλύειν λαμβάνειν, ἄριστόν τε παρέχειν αὐτῇ καὶ ποτὸν, ὁπότε σιτίζοι τοὺς θερίζοντας. Ῥούθη δὲ ἄλφιτα λαβοῦσα παρ' αὐτοῦ ἐφύλαξε τῇ ἑκυρᾷ, καὶ παρῆν ὀψὲ κομίζουσα μετὰ τῶν σταχύων· (ἐτετηρήκει δὲ αὐτῇ καὶ ἡ Νααμὶς ἀπόμοιραν βρωμάτων τινῶν, οἷς αὐτὴν ἐπολυώρουν οἱ γειτονεύοντες·) διηγεῖται δ' αὐτῇ καὶ τὰ παρὰ τοῦ Βοάζου πρὸς αὐτὴν εἰρημένα. Δηλωσάσης δ' ἐκείνης ὡς συγγενής ἐστι καὶ τάχα ἂν δι' εὐσέβειαν προνοήσειεν αὐτῶν, ἐξῄει πάλιν ταῖς ἐχομέναις ἡμέραις ἐπὶ καλάμης συλλογὴν σὺν ταῖς τοῦ Βοάζου θεραπαινίσιν.

γ'. Ἐλθὼν δὲ μετ' οὐ πολλὰς ἡμέρας καὶ Βόαζος, ἤδη τῆς κριθῆς λελικμημένης, ἐπὶ τῆς ἅλωος ἐκάθευδε. Τοῦτο πυθομένη ἡ Νααμὶς τεχνᾶται παρακατακλίνειν τὴν Ῥούθην αὐτῷ· (καὶ γὰρ ἔσεσθαι χρηστὸν αὐτοῖς ὁμιλήσαντα τῇ παιδί·) καὶ πέμπει τὴν κόρην ὑπνωσομένην αὐτοῦ παρὰ τοῖς ποσίν. Ἡ δὲ (πρὸς οὐδὲν γὰρ ἀντιλέγειν τῶν ὑπὸ τῆς ἑκυρᾶς κελευομένων ὅσιον ἡγεῖτο) παραγίνεται, καὶ παραυτίκα μὲν λανθάνει τὸν Βόαζον βαθέως καθυπνωκότα. Περιεγερθεὶς δὲ περὶ μέσην νύκτα καὶ αἰσθόμενος τῆς ἀνθρώπου παρακατακειμένης ἀνέκρινε τίς εἴη. Τῆς δ' εἰπούσης τοὔνομα, καὶ φαμένης ὡς αὐτὸν δεσπότην συγχωρεῖν, τότε μὲν ἡσυχίαν ἄγει, ὄρθριος δὲ, πρὶν ἢ τοὺς οἰκέτας ἅρξασθαι κινεῖσθαι πρὸς τὸ ἔργον, περιεγείρας αὐτὴν κελεύει τῶν κριθῶν λαβοῦσαν ὅ τι καὶ δύναιτο πορεύεσθαι πρὸς τὴν ἑκυρὰν, πρὶν ὀφθῆναί τισιν αὐτόθι κεκοιμημένην· φυλάττεσθαι γὰρ σῶφρον τὴν ἐπὶ τοιούτοις διαβολὴν, καὶ μάλιστ' ἐπὶ μὴ γεγονόσι. « Περὶ μέντοι τοῦ παντὸς οὕτω, φησὶν, ἔσται· ἐρωτᾶν τὸν ἔγγιστα ἐμοῦ τῷ γένει τυγχάquo exciderant filiis suis nuptæ, aliorumque bonorum possessionem, et, quod sua ita se haberent, illic manere obsecrabat, neve patria deserta se comitari vellent in rerum incertitudine. Et Orpha quidem, cui persuaserat, illic substitit; Rutham vero, cui non persuaserat, secum abduxit, cujusvis fortunæ sibi participem futuram.

2. Rutham autem cum socru in Bethleemorum urbem venientem hospitio excipit Boazus, Elimelechi cognatus. Ac Naamis, quum suo nomine appellaretur, « justius, inquit, me vocaretis Maram » : Hebræorum enim lingua Naamis quidem felicitatem significat, Mara vero dolorem. Messis autem tempore Rutha permissu socrus ad spicilegium faciendum egressa est, ut victus illis suppeteret, acciditque ut in Boazi fundum deveniret. At quum Boazus paulo post adesset, et conspicaretur puellam, de ea agri curatorem percontatus est. Is vero, quum antea ab ipsa omnia accepisset, domino ea declarabat. At ille, puellam amore amplexus, quum ob benevolentiam erga socrum, tum quod in memoriam revereretur filii ipsius cui nupta erat, atque ut fausta experiretur precatus, noluit quidem eam spicis colligendis occupari, sed permisit ut sibi ipsi meteret quantum posset ac sumeret, mandavitque villico ne eam *quidquam* sibi capere prohiberet, et ut prandium ac potum ei præberet, quando cibum præberet messoribus. Rutha vero polentam ab eo acceptam reservavit socrui, eamque vespere una cum spicis ad illam apportabat; (quin et ei Naamis servaverat partem ciborum, quos vicini, multa ipsam cura dignantes, ipsi contulerant;) atque socrui narrat quæ ei Boazus dixerat. Quum vero Naamis ei indicasset quod cognatus esset, et propter pietatem forsan curam earum habiturus, sequentibus etiam diebus ad spicas legendas exivit cum Boazi ancillis.

3 Post aliquot autem dies, quum jam ventilatum esset hordeum, ipse etiam Boazus venit et in area dormiebat, Quo audito Naamis excogitavit ut Rutham propter eum discumbere faceret; (nam et ipsis emolumento fore si is cum Rutha colloqueretur;) mittitque puellam ad pedes ejus dormituram. Illa vero (nam sibi religioni esse ducebat ulla in re socrus jussis contradicere) *ad aream recta* contendit, et in præsens quidem Boazum latuit profunde dormientem. Media autem nocte expergefactus et sentiens mulierem sibi accubantem, quæ ea esset interrogabat. Illa vero nomen indicante, et dicente se ipsi, domino suo, in manum venire, tunc quidem quiescit, mane vero prius quam famuli ad opus expergiscerentur, excitatam jussit, quum quantum ferre posset hordei cepisset, socrum adire, antequam alicui rescisceretur ipsam illic discubuisse : prudentis enim esse calumniam ex ejusmodi rebus cavere, præsertim quum nihil commissum fuerit. « Verum, inquit, de re universa ita constituetur. Ipsum oportet interrogem

νοντα, εἰ σοῦ χρεία γαμετῆς ἐστιν αὐτῷ, καὶ λέγοντι μὲν ἀκολουθήσεις ἐκείνῳ· παραιτουμένου δ' ἐν νόμῳ σε συνοικήσουσαν ἄξομαι. »

δ'. Ταῦτα τῇ ἑκυρᾷ δηλωσάσης, εὐθυμία κατεῖχεν αὐτὰς, ἐν ἐλπίδι τοῦ πρόνοιαν ἕξειν αὐτῶν Βόαζον γενομένας. Κἀκεῖνος ἤδη μεσούσης τῆς ἡμέρας κατελθὼν εἰς τὴν πόλιν τήν τε γερουσίαν συνῆγε καὶ μεταπεμψάμενος τὴν Ῥούθην ἐκάλει καὶ τὸν συγγενῆ· καὶ παραγενομένου φησὶν, « Ἐλιμελέχου καὶ τῶν υἱῶν αὐτοῦ κλήρων κρατεῖς; » ὁμολογήσαντος δὲ, συγχωρούντων τῶν νόμων κατὰ ἀγχιστείαν, « οὐκ οὖν, φησὶν ὁ Βόαζος, ἐξ ἡμισείας δεῖ μεμνῆσθαι τῶν νόμων, ἀλλὰ πάντα ποιεῖν κατ' αὐτούς. Μάλλωνος γὰρ δεῦρ' ἥκει γύναιον, ὅπερ, εἰ θέλεις τῶν ἀγρῶν κρατεῖν, γαμεῖν σε δεῖ κατὰ τοὺς νόμους. » Ὁ δὲ Βοάζῳ καὶ τοῦ κλήρου καὶ τῆς γυναικὸς παρεχώρει, συγγενεῖ μὲν ὄντι καὶ αὐτῷ τῶν τετελευτηκότων, εἶναι δὲ καὶ γυναῖκα λέγων αὐτῷ καὶ παῖδας ἤδη. Μαρτυράμενος οὖν ὁ Βόαζος τὴν γερουσίαν ἐκέλευσε τῇ γυναικὶ ὑπολῦσαι αὐτὸν προσελθοῦσαν κατὰ τὸν νόμον καὶ πτύειν εἰς τὸ πρόσωπον. Γενομένου δὲ καὶ τούτου, Βόαζος γαμεῖ τὴν Ῥούθην, καὶ γίνεται παιδίον αὐτοῖς μετ' ἐνιαυτὸν ἄρρεν. Τοῦτο ἡ Νααμὶς τιθηνουμένη κατὰ συμβουλίαν τῶν γυναικῶν Ὠβήδην ἐκάλεσεν ἐπὶ γηροκομίᾳ τῇ αὐτῆς τραφησόμενον· Ὠβήδης γὰρ κατὰ διάλεκτον τὴν Ἑβραίων ἀποσημαίνει δουλεύων. Ὠβήδου δὲ γίνεται Ἰσσαῖος, τούτου Δαυΐδης ὁ βασιλεύσας καὶ παισὶ τοῖς αὐτοῦ καταλιπὼν τὴν ἡγεμονίαν ἐπὶ μίαν καὶ εἴκοσι γενεὰς ἀνδρῶν. Τὰ μὲν οὖν κατὰ Ῥούθην ἀναγκαίως διηγησάμην, ἐπιδεῖξαι βουλόμενος τὴν τοῦ Θεοῦ δύναμιν, ὅτι τούτῳ παράγειν ἐρικτόν ἐστιν εἰς ἀξίωμα λαμπρὸν καὶ τοὺς ἐπιτυχόντας, εἰς οἷον ἀνήγαγε καὶ Δαυΐδην ἐκ τοιούτων γενόμενον.

ΚΕΦ. Ι'.

Ἑβραῖοι δὲ, τῶν πραγμάτων αὐτοῖς ὑπενεχθέντων, πάλιν πόλεμον ἐκφέρουσι Παλαιστίνοις, διὰ τὴν τοιαύτην αἰτίαν. Ἠλεὶ τῷ ἀρχιερεῖ δύο παῖδες ἦσαν, Ὀφνίς τε καὶ Φινεέσης. Οὗτοι καὶ πρὸς ἀνθρώπους ὕβρισταὶ γενόμενοι καὶ πρὸς τὸ θεῖον ἀσεβεῖς οὐδενὸς ἀπείχοντο παρανομήματος. Καὶ τὰ μὲν ἐφέροντο τῶν γερῶν κατὰ τιμὴν, ἃ δὲ ἐλάμβανον αὐτοῖς ἁρπαγῆς τρόπῳ, γυναῖκάς τε τὰς ἐπὶ θρησκείᾳ παραγινομένας ὕβριζον φθοραῖς, ταῖς μὲν βίαν προσφέροντες, τὰς δὲ δώροις ὑπαγόμενοι. Τυραννίδος δ' οὐδὲν ἀπέλειπεν ὁ βίος αὐτῶν. Ὅ τε οὖν πατὴρ αὐτοῖς ἐπὶ τούτοις χαλεπῶς εἶχεν, ὅσον οὐδέπω προσδοκῶν ἥξειν ἐκ Θεοῦ τιμωρίαν αὐτοῖς ἐπὶ τοῖς πραττομένοις, τό τε πλῆθος ἐδυσφόρει, κἀπειδὴ φράζει τὴν ἐσομένην συμφορὰν ὁ Θεὸς τοῖς παισὶν αὐτοῦ τῷ τε Ἠλεὶ καὶ Σαμουήλῳ τῷ προφήτῃ, παιδί ἔτι ὄντι, τότε φανερὸν ἐπὶ τοῖς υἱοῖς πένθος ἦγε.

β'. Βούλομαι δὲ τὰ περὶ τοῦ προφήτου πρότερον διεξελθὼν ἔπειθ' οὕτω τὰ περὶ τοὺς Ἠλεὶ παῖδας εἰπεῖν, καὶ τὴν δυστυχίαν τὴν τῷ παντὶ λαῷ Ἑβραίων

qui me tibi genere propinquior est, an te conjugem velit. Si quidem annuerit, ipsum sequeris : sin vero recusarit, te conjugem legitimam habebo. »

4. Hæc ubi dicta socrui renunciaverat, bono animo esse cœperunt, spei plenæ fore ut Boazus illarum curam susciperet. Atque ille jam media die descendens in urbem fecit ut senatus coiret, Ruthaque accita advocavit et propinquum : qui, quum accessisset, dixit ei, nonne Elimelechi et filiorum ejus bona possides? » Illo fatente, legibus ob propinquitatem permittentibus, « non igitur, ait Boazus, ex parte dimidia legum meminisse oportet, sed omnia facere secundum leges. Muliercula enim huc venit a Mallone relicta, quam ex legibus ducere debes, si fundos retinere vis. » Ille autem Boazo et mulierem et fundos cedit, quandoquidem et ipse foret defunctorum cognatus, dicens esse jam sibi uxorem et liberos. Boazus ergo senatum testificatus mulieri præcipiebat ut accedens calceum ei solveret et in faciem spueret. Atque hoc facto, Ruthaam duxit Boazus in matrimonium, annoque elapso natus est illis infans masculus. Hunc quum Naamis nutricarit, Obedem de consilio mulierum nominavit, ut qui ad curam senectutis ejus gerendam educaretur : nam Obed Hebræorum lingua idem est ac serviens. Ex Obede autem prognatus est Jessæus, ex hoc David, qui regnavit et liberis suis principatum reliquit usque ad primam et vicesimam virorum stirpem. Hæc quidem necesse habui de Rutha narrare, volens Dei potentiam ostendere, cui facile est etiam vulgares homines ad amplissimam dignitatem perducere, ad qualem Davidem evexit ex hujusmodi majoribus ortum.

CAP. X. (XI.)

Hebræi autem, rebus eorum in deterius lapsis, rursus bellum movent Palæstinis, talem ob causam. Eli pontifici duo filii erant, Ophnis et Phineeses. Illi, et in homines injuriosi et in Deum impii, non ulla ab nequitia abstinebant. Atque alia quidem munera ut honoraria auferebant, alia vero veluti rapto sibi vindicabant : mulieres etiam, religionis ergo sacra adeuntes, corruptelis dedecorabant, aliis quidem vim inferentes, alias vero donis pellicientes. Atque ita a tyrannide nihil differebat vitæ eorum consuetudo. Itaque et pater illis ob hæc graviter irascebatur, continuo exspectans ut Deus eos propter hæc facinora ulcisceretur, et populus ea ægerrime ferebat : ac postquam Deus futuram filiorum ejus cladem tam Eli quam Samuelo prophetæ etiamnum puero prædixerat, tunc palam ob filios luctum agebat.

2. Volo autem primo res prophetæ percensere, atque ita demum ea quæ spectant ad Eli filios, et infortunia universum populum Hebræorum affligentia, enarrare. Alca-

γενομένην. Ἀλκάνης, Λευίτης ἀνὴρ, τῶν ἐν μέσῳ πολιτῶν, τῆς Ἐφραίμου κληρουχίας, Ἀρμαθὰν πόλιν κατοικῶν, ἐγάμει δύο γυναῖκας, Ἄνναν τε καὶ Φενάνναν. Ἐκ δὴ ταύτης καὶ παῖδες αὐτῷ γίνονται· τὴν δ' ἑτέραν, ἄτεκνον οὖσαν, ἀγαπῶν διετέλει. Ἀφικομένου δὲ μετὰ τῶν γυναικῶν τοῦ Ἀλκάνου εἰς Σιλὼ πόλιν θῦσαι, (ἐνταῦθα γὰρ ἡ σκηνὴ τοῦ Θεοῦ ἐπεπήγει, καθὼς προειρήκαμεν,) καὶ πάλιν κατὰ τὴν εὐωχίαν νέμοντος μοίρας κρεῶν ταῖς τε γυναιξὶ καὶ τοῖς τέκνοις, ἡ Ἄννα θεασαμένη τοὺς τῆς ἑτέρας παῖδας τῇ μητέρι περικαθισαμένους, εἰς δάκρυά τε προὔπεσε καὶ τῆς ἀπαιδίας αὐτὴν ὠλοφύρετο καὶ τῆς μονώσεως. Καὶ τῆς τἀνδρὸς παραμυθίας τῇ λύπῃ κρατήσασα εἰς τὴν σκηνὴν ᾤχετο τὸν Θεὸν ἱκετεύουσα δοῦναι γονὴν αὐτῇ καὶ ποιῆσαι μητέρα, ἐπαγγελλομένη τὸ πρῶτον αὐτῇ γεννησόμενον καθιερώσειν ἐπὶ διακονίᾳ τοῦ Θεοῦ, δίαιταν οὐχ ὁμοίαν τοῖς ἰδιώταις ποιησόμενον. Διατριβούσης δ' ἐπὶ ταῖς εὐχαῖς πολὺν χρόνον, Ἠλεὶ ὁ ἀρχιερεὺς (ἐκαθέζετο γὰρ πρὸ τῆς σκηνῆς) ὡς παροινοῦσαν ἐκέλευσεν ἀπιέναι. Τῆς δὲ πιεῖν ὕδωρ φαμένης, λυπουμένην δ' ἐπὶ παίδων ἀπορίᾳ τὸν Θεὸν ἱκετεύειν, θαρρεῖν παρεκελεύετο, παρέξειν αὐτῇ παῖδα τὸν Θεὸν καταγγέλλων.

γ'. Παραγενομένη δ' εὐέλπις πρὸς τὸν ἄνδρα, τροφὴν χαίρουσα προσηνέγκατο, καὶ ἀναστρεψάντων εἰς τὴν πατρίδα κύειν ἤρξατο. Καὶ γίνεται παιδίον αὐτοῖς, ὃν Σαμούηλον προσαγορεύουσι· θεαίτητον ἄν τις εἴποι. Παρῆσαν οὖν ὑπὲρ τῆς τοῦ παιδὸς γενέσεως θύσοντες δεκάτας τε ἄφερον. Ἀναμνησθεῖσα δ' ἡ γυνὴ τῆς εὐχῆς τῆς ἐπὶ τῷ παιδὶ γεγενημένης, παρεδίδου τῷ Ἠλεὶ, ἀνατιθεῖσα τῷ Θεῷ προφήτην γενησόμενον. Κόμη τε οὖν αὐτῷ ἀνεῖτο καὶ ποτὸν ὕδωρ ἦν. Καὶ Σαμούηλος μὲν ἐν τῷ ἱερῷ διῆγε τρεφόμενος, Ἀλκάνῃ δ' ἐκ τῆς Ἄννης υἱεῖς τε ἄλλοι γίνονται καὶ τρεῖς θυγατέρες.

δ'. Σαμούηλος δὲ, πεπληρωκὼς ἔτος ἤδη δωδέκατον, προεφήτευε. Καί ποτε κοιμώμενον ὀνομαστὶ ἐκάλεσεν ὁ Θεός. Ὁ δὲ νομίσας ὑπὸ τοῦ ἀρχιερέως πεφωνῆσθαι, παραγίνεται πρὸς αὐτόν. Οὐ φαμένου δὲ καλέσαι τοῦ ἀρχιερέως, ὁ Θεὸς εἰς τρὶς τοῦτο ποιεῖ. Καὶ Ἠλεὶ διυπνισθείς φησι πρὸς αὐτὸν, « ἀλλ' ἐγὼ μὲν, Σαμούηλε, σιγὴν ὡς καὶ τὸ πρὶν ἦγον, Θεὸς δ' ἐστὶν ὁ καλῶν. Ἀλλὰ σήμαινε πρὸς αὐτὸν ὅτι παρατυγχάνω. » Καὶ τοῦ Θεοῦ φθεγξαμένου πάλιν ἀκούσας, ἠξίου λαλεῖν ἐπὶ τοῖς χρωμένοις· οὐ γὰρ ὑστερήσειν αὐτὸν ἐφ' οἷς ἂν θελήσειε διακονίας. Καὶ ὁ Θεὸς, « ἐπεὶ, φησὶ, παρα-
« τυγχάνεις, μάνθανε συμφορὰν Ἰσραηλίταις ἐσομένην
« λόγου μείζονα καὶ πίστεως τοῖς παρατυγχάνουσι· καὶ
« τοὺς Ἠλεὶ δὲ παῖδας ἡμέρᾳ μιᾷ τεθνηξομένους, καὶ
« τὴν ἱερωσύνην μετελευσομένην εἰς τὴν Ἐλεαζάρου
« οἰκίαν. Ἠλεὶ γὰρ τῆς ἐμῆς θεραπείας μᾶλλον τοὺς
« υἱοὺς καὶ παρὰ τὸ συμφέρον αὐτοῖς ἠγάπησε. » Ταῦτα βιασάμενος ὅρκοις εἰπεῖν αὐτῷ τὸν προφήτην Ἠλεὶ, (οὐ γὰρ ἐβούλετο λυπεῖν αὐτὸν λέγων,) ἔτι μᾶλλον βεβαιοτέραν εἶχε τὴν προσδοκίαν τῆς τῶν τέκνων ἀπωλείας.

nes, vir Levita, mediæ fortunæ civis de tribu Ephraimitide, urbem Armatham habitans, duas uxores duxit, Annam et Phenannam. Ex hac quidem liberos suscepit : tamen alteram, licet nullum ediderit partum, amare non destitit. Ceterum quum Alcanes una cum uxoribus in Siluntem urbem sacrificatum venisset, (illic enim fixum erat Dei tabernaculum, sicut ante memoravimus,) et in convivio portiones carnium uxoribus et liberis vicissim distribuisset, Anna, ut viderat alterius liberos matri undique assidentes, et in lacrimas prorumpebat, et suam sterilitatem et orbitatem deplorabat. Quumque in tanta esset mœstitia ut eam consolari non potuerit maritus, tabernaculum adiit, Deum supplex orans ut sibi daret prolem matremque se faceret, promittens se primum filium sibi natum ministerio divino consecraturam esse, qui victu consueto aliisque familiari non esset usurus. Et dum precibus diu incumberet, Eli pontifex (nam ante tabernaculum sedebat) tanquam parum sobriam discedere jubebat. Illa vero dicente se aquam potare, contristatamque quod liberos non haberet Deo supplicare, ipsam bono animo esse hortabatur, denuncians Deum ipsi daturum esse filium.

3. Tum demum bona cum spe ad maritum reversa, cibum læta sumpsit, et postquam se in patriam receperant, uterum gerere cœpit, eisque natus est filius, quem Samuelum nominant, quasi dicas a Deo petitum. Itaque aderant, pro puero nato sacra facturi, simulque decimas afferentes. Mulier autem recordata voti, quod pro puero nuncuparat, eum Eli tradidit, Deo prophetam futurum consecrans. Itaque et comam prolixam nutriebat, et aquam tantum potabat. Ac Samuelus quidem apud tabernaculum commorabatur et educabatur. Alcanæ autem alii quoque filii ex Anna, tresque filiæ progenitæ sunt.

4. Samuelus vero, anno ætatis duodecimo jam completo, prophetam agere cœpit. Et eum aliquando dormientem Deus nominatim vocavit. Ille vero, ratus a pontifice se vocari, eum adit. Quum autem diceret pontifex a se non vocatum esse, Deus hoc ter fecit. Tum Eli illuminatus eum sic alloquitur, « at ego, Samuele, *nunc* ut etiam ante silentium egi : Deus autem est, qui te vocat. Age, significa illi te præsto esse. » Rursus quum Deum loquentem audivisset, orabat ut sibi oracula aperire dignaretur; se enim in ministeriis, ad quæcunque voluisset, non segnem fore. Cui Deus, « quoniam, inquit, ades, disce
« cladem Israelitis imminere, majorem quam ut forte a
« quopiam narrari et credi possit : atque Eli filios una die
« morituros, et pontificatum in Eleazari familiam trans-
« iturum. Eli enim suum in filios amorem meo cultui
« illorumque commodis et rationibus prætulit ». Illa ipsa quum a propheta jurejurando extorsisset Eli, (nam ea narrando *Samuelus* ipsi mœrorem afferre nolebat,) ex eo jam certiorem interitus filiorum exspectationem habuit. Samueli

Σαμουήλου δ' ηὔξετο ἐπὶ πλέον ἡ δόξα, πάντων ὧν προεφήτευεν ἀληθινῶν βλεπομένων.

ΚΕΦ. ΙΑ'.

Κατὰ τοῦτον δὴ τὸν καιρὸν Παλαιστῖνοι στρατεύσαντες ἐπὶ τοὺς Ἰσραηλίτας στρατοπεδεύονται κατὰ πόλιν Ἀφεκάν. Δεξαμένων δ' ἐξ ὀλίγου τῶν Ἰσραηλιτῶν, συνήεσαν εἰς τὴν ἐχομένην καὶ νικῶσιν οἱ Παλαιστῖνοι· καὶ κτείνουσι μὲν τῶν Ἑβραίων εἰς τετρακισχιλίους, τὸ δὲ λοιπὸν πλῆθος συνδιώκουσιν εἰς τὸ στρατόπεδον.

β'. Δείσαντες δὲ περὶ τῶν ὅλων οἱ Ἑβραῖοι πέμπουσιν ὡς τὴν γερουσίαν καὶ τὸν ἀρχιερέα, τὴν κιβωτὸν τοῦ Θεοῦ κελεύοντες κομίζειν, ἵνα παρούσης αὐτῆς παρατασσόμενοι κρατῶσι τῶν πολεμίων· ἀγνοοῦντες ὅτι μείζων ἐστὶν ὁ καταψηφισάμενος αὐτῶν τὴν συμφορὰν τῆς κιβωτοῦ, δι' ὃν καὶ ταύτην ἐν τιμῇ συνέβαινεν εἶναι. Παρῆν τε οὖν ἡ κιβωτὸς καὶ οἱ τοῦ ἀρχιερέως υἱεῖς, τοῦ πατρὸς αὐτοῖς ἐπιστείλαντος, εἰ ληφθείσης τῆς κιβωτοῦ ζῆν ἐθελήσουσιν, εἰς ὄψιν αὐτῷ μὴ παραγενέσθαι. Φινεέσης δὲ ἦδη καὶ ἱερᾶτο, τοῦ πατρὸς αὐτῷ παρακεχωρηκότος διὰ τὸ γῆρας. Θάρσος οὖν ἐπιγίνεται πολὺ τοῖς Ἑβραίοις, ὡς διὰ τὴν ἄφιξιν τῆς κιβωτοῦ περιεσομένοις τῶν πολεμίων· κατεπλήττοντο δὲ οἱ πολέμιοι, δεδιότες τὴν παρουσίαν τῆς κιβωτοῦ τοῖς Ἰσραηλίταις. Ταῖς μέντοι γε ἑκατέρων προσδοκίαις οὐχ ὅμοιον ἀπήντησε τὸ ἔργον, ἀλλὰ συμβολῆς γενομένης, ἣν μὲν ἦλπιζον νίκην Ἑβραῖοι, τῶν Παλαιστίνων αὕτη γίνεται, ἣν δ' ἐφοβοῦντο ἥττην οὗτοι, ταύτην Ἑβραῖοι παθόντες ἔγνωσαν αὑτοὺς μάτην ἐπὶ τῇ κιβωτῷ τεθαρρηκότας. Ἐτράπησάν τε γὰρ εὐθὺς εἰς χεῖρας ἐλθόντες τῶν πολεμίων καὶ ἀπέβαλον εἰς τρισμυρίους, ἐν οἷς ἔπεσον καὶ οἱ τοῦ ἀρχιερέως υἱεῖς, ἥ τε κιβωτὸς ἥγετο πρὸς τῶν πολεμίων.

(IB'.) γ'. Ἀπαγγελθείσης δὲ τῆς ἥττης εἰς τὴν Σιλὼ καὶ τῆς αἰχμαλωσίας τῆς κιβωτοῦ, (Βενιαμίτης γάρ τις αὐτοῖς ἄγγελος ἀφικνεῖται νεανίας παρατετευχὼς τῷ γεγονότι,) πένθους ἀνεπλήσθη πᾶσα ἡ πόλις. Καὶ Ἠλεὶ ὁ ἀρχιερεὺς (ἐκαθέζετο γὰρ καθ' ἑτέρας τῶν πυλῶν ἐφ' ὑψηλοῦ θρόνου) ἀκούσας οἰμωγῆς, καὶ νομίσας νεώτερόν τι πεπρᾶχθαι περὶ τοὺς οἰκείους, καὶ μεταπεμψάμενος τὸν νεανίαν, ὡς ἔγνω τὰ κατὰ τὴν μάχην, ῥάων ἦν ἐπί τε τοῖς παισὶ καὶ τοῖς συνηγγελμένοις περὶ τὸ στρατόπεδον, ὡς ἂν προεγνωκὼς παρὰ τοῦ Θεοῦ τὸ συμβησόμενον καὶ προαπηγγελκώς· συνέχει γὰρ ἱκανῶς τὰ παρὰ τὴν προσδοκίαν συντυχόντα δεινά· ὡς δὲ καὶ τὴν κιβωτὸν ἤκουσεν ἡλωκέναι πρὸς τῶν πολεμίων, ὑπὸ τοῦ παρ' ἐλπίδας αὐτῷ τοῦτο προσπεσεῖν περιαλγήσας, ἀποκυλισθεὶς ἀπὸ τοῦ θρόνου τελευτᾷ, ὀκτὼ καὶ ἐνενήκοντα βιώσας ἔτη τὰ πάντα, καὶ τούτων τὰ τεσσαράκοντα κατασχὼν τὴν ἀρχήν.

δ'. Θνήσκει δὲ κατ' ἐκείνην τὴν ἡμέραν καὶ ἡ Φινεέσου τοῦ παιδὸς γυνή, μὴ καρτερήσασα ζῆν ἐπὶ τῇ τἀνδρὸς δυστυχίᾳ. Κυούσῃ μὲν αὐτῇ προσηγγέλθη τὸ περὶ τὸν ἄνδρα πάθος, τίκτει δ' ἑπταμηνιαῖον παῖδα,

autem gloria magis magisque crescebat, quod nihil ab eo prædictum irritum esse conspiceretur.

CAP. XI.

Itaque per idem tempus Palæstini, bello Israelitarum populo illato, castra posuerunt apud urbem Aphecam. Quum autem proxime illos exciperent Israelitæ, die sequenti congressi sunt, victoriamque reportant Palæstini : et Hebræorum quidem ad quattuor millia perimunt, reliquam vero multitudinem in castra persequuntur.

2. Quamobrem Hebræi, de rerum summa solliciti, mittunt ad *senatum atque pontificem qui arcam Dei* afferri postularent, ut ea inter illos versante in aciem instructi hostes superent; ignorantes eum, qui calamitatem illorum decreverat, majorem esse arca, propter quem contigit ut ipsa esset veneranda. Aderat igitur arca, simulque duo Eli filii, accepto a patre mandato, ut, si illos arca capta vivere non piguerit, in ipsius non audeant venire conspectum. Phineeses autem *tunc sacerdotio fungebatur, patre id propter* senectutem concedente. Hebræis itaque magna accrescit fiducia, ac si ex arca advecta hostibus forent superiores : contra autem hostes animis consternati sunt, metuentes ne arcæ præsentia Israelitis præsidio esset. At res non ita ceciderunt ac hi vel illi exspectarant : sed quum manus conseruerunt, victoria, quam sperabant Hebræi, a Palæstinis stetit; atque cladem, quam isti timore defugiebant, quum paterentur Hebræi, cognoverunt quod frustra in arca fiduciam reposuerint. Etenim statim ac pugna cum hostibus erat commissa, in fugam versi sunt et *viros* ad triginta millia desiderarunt, inter quos et pontificis filii occubuerunt : arca item in hostium potestatem redacta est.

(XII.) 3. Quum autem fama hujus cladis et arcæ captivitatis Siluntem percrebresceret, (nam illis nuncius venerat juvenis quidam Benjamita qui rebus interfuerat,) tota civitas luctu repleta est. Atque Eli pontifex (ad portarum enim alteram sublimis in sella sedebat) audito ejulatu suspicatus novi aliquid suis accidisse, accersitoque juvene, simul ac cognoverat eventum prælii, lenius ferebat filiorum cædem et quæ una nunciata erant de exercitus strage, ut qui præsciverat a Deo quod *futurum* erat, et *prædixerat*. maxime enim afficiunt mala quæ præter exspectationem cadunt : *ubi* vero etiam arcam in hostium manus venisse acceperat, ex rei adeo insperatæ nuncio quum valde indoluisset, e solio delapsus animam exhalavit, annos natus octo et nonaginta, atque per horum quadraginta imperio potitus.

4. Eadem vero die et Phineesis filii conjux defuncta est, quod vivere non sustinuerit post mariti infortunium. Ipsi quidem, quum gravida esset, nunciata erat viri clades, et puerum septimestrem enititur, ipsumque, utpote vitalem,

δν καὶ ζήσαντα Ἰοχάβην προσηγόρευσαν (σημαίνει δὲ ἀδοξίαν τὸ ὄνομα) διὰ τὴν προσπεσοῦσαν δύσκλειαν τότε τῷ στρατῷ.

ε'. Ἦρξε δὲ πρῶτος Ἠλεὶ, Ἰθαμάρου τοῦ ἑτέρου τῶν Ἀαρῶνος υἱῶν οἰκίας· (ἡ γὰρ Ἐλεαζάρου οἰκία τὸ πρῶτον ἱερᾶτο, παῖς παρὰ πατρὸς ἐπιδεχόμενοι τὴν τιμήν·) ἐκεινός τε Φινεέσῃ τῷ παιδὶ αὐτοῦ παραδίδωσι, μεθ' ὃν Ἀβιεζέρης υἱὸς ὢν αὐτοῦ τὴν τιμὴν παραλαβὼν παιδὶ αὐτοῦ Βουκὶ τοὔνομα αὐτὴν κατέλειπεν, παρ' οὗ διεδέξατο Ὄζις υἱὸς ὢν, μεθ' ὃν Ἠλεὶ ἔσχε τὴν ἱερωσύνην, περὶ οὗ νῦν ἦν ὁ λόγος, καὶ τὸ γένος τὸ ἀπ' ἐκείνου, μέχρι τῶν κατὰ τὴν Σολομῶνος βασιλείαν καιρῶν· τότε δὲ οἱ Ἐλεαζάρου πάλιν αὐτὴν ἀπέλαβον.

Jochaben nominarunt (nomen autem hoc infamiam significat) ex ignominia quam eo tempore acceperat exercitus.

5. Primus autem Eli ex familia Ithamari, alterius Aaronis filii, pontificatum obtinuit; nam ante in Eleazari domo fuit sacerdotium, dignitate a patre ad filium transmissa; atque ille Phineesi filio suo tradidit, post quem Abiezeres filius ejus acceptum honorem filio suo, cui nomen erat Buci, reliquit, a quo eum accepit Ozis filius ejus; post quem Eli, de quo nunc facta est narratio, sacerdotium habuit, ut et stirps ejus usque ad tempora regni Solomonis: tunc enim Eleazari posteri id recuperarunt.

ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

α'. Φθορὰ Παλαιστίνων καὶ τῆς γῆς αὐτῶν ἐξ ὀργῆς τοῦ Θεοῦ, διὰ τὴν αἰχμαλωτευθεῖσαν ὑπ' αὐτῶν κιβωτόν· καὶ τίνα τρόπον ἐπεμψαν αὐτὴν τοῖς Ἑβραίοις.

β'. Στρατεία Παλαιστίνων ἐπ' αὐτοὺς, καὶ νίκη Ἑβραίων, Σαμουήλου στρατηγοῦντος αὐτῶν τοῦ προφήτου.

γ'. Ὡς Σαμούηλος, διὰ τὸ γῆρας ἀσθενὴς ὢν τὰ πράγματα διοικεῖν, τοῖς αὑτοῦ παισὶ ταῦτα ἐνεχείρισεν.

δ'. Ὡς οὐ καλῶς προισταμένων ἐκείνων τῆς ἀρχῆς τὸ πλῆθος ὑπ' ὀργῆς ᾐτήσατο βασιλεύεσθαι.

ε'. Σαμουήλου πρὸς τοῦτο ἀγανάκτησις· καὶ βασιλέως αὐτοῖς ἀπόδειξις, Σαούλου τοὔνομα, κελεύσαντος τοῦ Θεοῦ.

ς'. Σαούλου στρατεία ἐπὶ τὸ Ἀμμανιτῶν ἔθνος, καὶ νίκη καὶ διαρπαγὴ τῶν πολεμίων.

ζ'. Ὡς στρατευσάμενοι πάλιν ἐπὶ τοὺς Ἑβραίους οἱ Παλαιστῖνοι ἠττήθησαν.

η'. Σαούλου πρὸς Ἀμαληκίτας πόλεμος καὶ νίκη.

θ'. Ὅτι παραβαίνοντος Σαούλου τὰς ἐντολὰς τοῦ προφήτου, Σαμούηλος ἄλλον ἀπέδειξε βασιλέα κρύφα, Δαυίδην ὄνομα, κατ' ἐπιτροπὴν Θεοῦ.

ι'. Ὡς καὶ πάλιν ἐπεστράτευσαν τοῖς Ἑβραίοις οἱ Παλαιστῖνοι, ἐπὶ Σαούλου βασιλεύοντος.

ια'. Μονομαχία Δαυίδου τότε πρὸς Γολίαθον, τὸν ἄριστον τῶν Παλαιστίνων, καὶ ἀναίρεσις τοῦ Γολιάθου, καὶ ἥττα τῶν Παλαιστίνων κρατερά.

ιβ'. Ὡς θαυμάσας τὸν Δαυίδην τῆς ἀνδρείας συνῴκισεν αὐτῷ τὴν θυγατέρα Σάουλος.

ιγ'. Ὅτι μετὰ ταῦτα ὑποπτον αὐτῷ τὸν Δαυίδην γενόμενον ὁ βασιλεὺς ἐσπούδασεν ἀποκτεῖναι.

ιδ'. Ὡς πολλάκις καὶ Δαυίδης κινδυνεύσας ἀποθανεῖν ὑπὸ Σαούλου διέφυγε, καὶ Σάουλον, δὶς ἐπ' αὐτῷ γενόμενον ὥστε ἀνελεῖν, οὐ διεχρήσατο.

ιε'. Ὡς στρατευσαμένων Παλαιστίνων ἐπὶ τοὺς Ἑβραίους ἠττήθησαν οἱ Ἑβραῖοι τῇ μάχῃ, καὶ ὁ βασιλεὺς αὐτῶν Σάουλος ἀπέθανε μετὰ τῶν παίδων μαχόμενος.

Περιέχει ἡ βίβλος χρόνον ἐτῶν λϐ'.

LIBER SEXTUS.

1. Clades Palæstinorum et terræ eorum, ex ira Dei propter arcam ab iis captam: et quo modo eam remiserint ad Hebræos.
2. Expeditio Palæstinorum in ipsos, et victoria Hebræorum ductu Samueli prophetæ.
3. Ut Samuelus, propter senectutem rebus administrandis parum idoneus, curam earum filiis suis commiserit.
4. Ut populus, quum illi in principatu male se gererent, ira incitatus regem petierit.
5. Samuelo ad hoc mota indignatio; isque regem eis designat, Saulum nomine, Deo ita jubente.
6. Saulus contra Ammanitarum gentem exercitum educit, atque hostes profligat spoliatque.
7. Ut Palæstini, rursus Hebræos armis aggressi, ab iis debellantur.
8. Sauli cum Ammanitis bellum, deque iis victoria.
9. Quod, cum Saulus prophetæ mandata transgrederetur, Samuelus clam alium creat regem, Davidem nomine, ex jussu Dei.
10. Quomodo novam expeditionem contra Hebræos, Saulo regnante, Palæstini susceperint.
11. Singulare certamen Davidis cum Goliatho, viro Palæstinorum fortissimo, atque Goliathi peremptio, et Palæstinorum strages.
12. Ut Saulus fortitudinem Davidis admiratus filiam ei in matrimonium collocavit.
13. Quod postea rex, quum Davidem suspectum haberet, ad eum perimendum se accinxit.
14. Ut aliquoties Davides, a Saulo in vitæ discrimen adductus, salvus effugit, bis tamen Saulo, quem in potestate habebat ut perdere posset, pepercit.
15. Hebræi, quum Palæstini in eos bellum moverent, prælio devicti sunt; in quo Saulus rex una cum filiis contra eos pugnans occubuit.

Continet liber tempus annorum duorum et triginta.

ΚΕΦ. Α'.

Λαβόντες δὲ οἱ Παλαιστῖνοι τὴν τῶν Ἑβραίων κιβωτὸν αἰχμάλωτον, ὡς προείρηκα μικρὸν ἔμπροσθεν, εἰς Ἄζωτον ἐκόμισαν πόλιν, καὶ παρὰ τὸν αὐτῶν θεὸν, ὥσπερ τ[illegible]άγουρον, (Δαγὼν δ' οὗτος ἐκαλεῖτο,) τιθέασι.

CAP. I.

Quum autem Palæstini arcam Hebræorum cepissent, quemadmodum paulo ante diximus, in urbem Azotum eam deportarunt, et ut quiddam e manubiis, juxta deum suum collocant: is enim Dagon appellabatur. Postridie vero

Τῇ δ' ἐπιούσῃ πάντες, ὑπὸ τὴν τῆς ἡμέρας ἀρχὴν εἰσιόντες εἰς τὸν ναὸν προσκυνῆσαι τὸν θεὸν αὐτῶν, ἐπιτυγχάνουσιν αὐτῷ τοῦτο ποιοῦντι τὴν κιβωτόν· ἔκειτο γὰρ ἀπ' αὐτῆς ἀποπεπτωκὼς τῆς βάσεως, ἐφ' ἧς ἑστὼς διετέλει. Καὶ βαστάσαντες πάλιν ἐφιστᾶσιν αὐτὸν ἐπὶ ταύτης, δυσφορήσαντες ἐπὶ τῷ γεγενημένῳ. Πολλάκις δὲ φοιτῶντες παρὰ τὸν Δαγῶνα καὶ καταλαμβάνοντες ὁμοίως ἐπὶ τοῦ προσκυνοῦντος τὴν κιβωτὸν σχήματος κείμενον, ἐν ἀπορίᾳ δεινῇ καὶ συγχύσει καθίσταντο. Καὶ τελευταῖον ἀπέσκηψεν εἰς τὴν τῶν Ἀζωτίων πόλιν καὶ τὴν χώραν αὐτῶν φθορὰν τὸ θεῖον καὶ νόσον. Ἀπέθνησκον γὰρ ὑπὸ δυσεντερίας, πάθους χαλεποῦ καὶ τὴν ἀναίρεσιν ὀξυτάτην ἐπιφέροντος· πρὶν γὰρ ἢ τὴν ψυχὴν αὐτοῖς εὐθανάτως ἀπολυθῆναι τοῦ σώματος, τὰ ἐντὸς ἀναφέροντες ἐξήμουν διαβεβρωμένα καὶ παντοίως ὑπὸ τῆς νόσου διεφθαρμένα. Τὰ δ' ἐπὶ τῆς χώρας μυῶν τλῆθος ἀνελθὸν τῆς γῆς κατέβλαψε, μήτε φυτῶν μήτε καρπῶν ἀποσχόμενον. Ἐν δὴ τούτοις ὄντες τοῖς κακοῖς οἱ Ἀζώτιοι καὶ πρὸς τὰς συμφορὰς ἀντέχειν οὐ δυνάμενοι συνῆκαν ἐκ τῆς κιβωτοῦ ταύτας αὐτοῖς ἀνασχεῖν, καὶ τὴν νίκην καὶ τὴν ταύτης αἰχμαλωσίαν οὐκ ἐπ' ἀγαθῷ γενομένην. Πέμπουσιν οὖν πρὸς τοὺς Ἀσκαλωνίτας, ἀξιοῦντες τὴν κιβωτὸν αὐτοὺς παρὰ σφᾶς δέξασθαι. Τοῖς δὲ οὐκ ἀηδὴς ἡ τῶν Ἀζωτίων δέησις προσέπεσεν, ἀλλ' ἐπινεύουσι μὲν αὐτοῖς τὴν χάριν, λαβόντες δὲ τὴν κιβωτὸν ἐν τοῖς ὁμοίοις δεινοῖς κατέστησαν. Συνεξεκόμισε γὰρ αὐτῇ τὰ τῶν Ἀζωτίων ἡ κιβωτὸς πάθη πρὸς τοὺς ἀπ' ἐκείνων αὐτὴν δεχομένους. Καὶ τρὸς ἄλλους παρ' αὐτῶν ἀποπέμπουσιν Ἀσκαλωνῖται. Μένει δ' οὐδὲ παρ' ἐκείνοις· ὑπὸ γὰρ τῶν αὐτῶν παθῶν ἐλαυνόμενοι πρὸς τὰς ἐχομένας ἀπολύουσι πόλεις. Καὶ τοῦτον ἐκπεριέρχεται τὸν τρόπον τὰς πέντε τῶν Παλαιστίνων πόλεις ἡ κιβωτός, ὥσπερ δασμὸν ἀπαιτοῦσα παρ' ἑκάστης τοῦ πρὸς αὐτὰς ἐλθεῖν, ἃ δι' αὐτὴν ἔπασχον.

β'. Ἀπειρηκότες δὲ τοῖς κακοῖς οἱ πεπειραμένοι καὶ τοῖς ἀκούουσιν αὐτὰ διδασκαλία γενόμενοι τοῦ μὴ προσδέξασθαι τὴν κιβωτόν ποτε πρὸς αὐτοὺς ἐπὶ τοιούτῳ μισθῷ καὶ τέλει, τὸ λοιπὸν ἐζήτουν μηχανὴν καὶ πόρον ἀπαλλαγῆς αὐτῆς. Καὶ συνελθόντες οἱ ἐκ τῶν πέντε πόλεων ἄρχοντες, Γίττης καὶ Ἀκκάρωνος καὶ Ἀσκάλωνος, ἔτι δὲ Γάζης καὶ Ἀζώτου, ἐσκόπουν τί δεῖ ποιεῖν. Καὶ τὸ μὲν πρῶτον ἐδόκει τὴν κιβωτὸν ἀποπέμπειν τοῖς οἰκείοις, ὡς ὑπερεκδικοῦντος αὐτὴν τοῦ Θεοῦ καὶ συνεπιδημησάντων αὐτῇ διὰ τοῦτο τῶν δεινῶν καὶ συνεισβαλόντων μετ' ἐκείνης εἰς τὰς πόλεις αὐτῶν. Ἦσαν δὲ οἱ λέγοντες τοῦτο μὲν μὴ ποιεῖν, μηδ' ἐξαπατᾶσθαι τὴν αἰτίαν τῶν κακῶν εἰς ἐκείνην ἀναφέροντας· οὐ γὰρ ταύτην εἶναι τὴν δύναμιν αὐτῆ καὶ τὴν ἰσχύν· οὐ γὰρ ἂν ποτ' αὐτῆς κηδομένου τοῦ Θεοῦ ὑπογείριον ἀνθρώποις γενέσθαι. Ἡσυχάζειν δὲ καὶ πρᾴως ἔχειν ἐπὶ τοῖς συμβεβηκόσι παρῄνουν, αἰτίαν τούτων οὐκ ἄλλην ἢ μόνην λογιζομένους τὴν φύσιν, ἣ καὶ σώμασι καὶ γῇ καὶ φυτοῖς καὶ πᾶσι τοῖς ἐξ αὐτῆς συνεστῶσι

cuncti in fanum prima luce ingredientes, ut deum suum adorarent, eum invenerunt hunc ipsum honorem arcæ præstantem : humi enim jacebat, basi prolapsus, cui perpetuo institerat. Eum itaque sublatum in eandem restituunt, ægerrime ferentes id quod acciderat. Quumque sæpius ad Dagonem accederent, pariterque eum ante arcam adorantis specie projectum reperirent, in magna erant anxietate animisque perturbati. Denique in Azotiorum urbem et regionem diram immisit Deus vastationem et morbum. Moriebantur enim intestinorum torminibus, gravi malo et necem acerbissimam inferente; nam priusquam anima ipsis per mortem convenienter solveretur corpore, viscera egerentes exesa et modis omnibus a morbo corrupta evomebant. Quicquid autem in provincia erat, mures innumeri e terra exorti graviter læserunt, nec stirpibus nec fructibus parcentes. Itaque dum Azotii his malis premerentur, nec amplius calamitates ferendo essent, intellexerunt arcam Dei in causa esse quod tam gravia paterentur, atque victoriam arcæque captivitatem sibi in damnum cessisse. Miserunt igitur ad Ascalonitas, obsecrantes ut eam ad se reciperent. Illis autem non ingrata accidit hæc supplicatio : quamobrem iis non ægre quidem concedunt quod petierunt. Quum vero arcam sumpsissent, eadem ipsis mala ingruebant : Azotiorum enim calamitates una cum arca importatæ erant iis, qui eam ab illis acceperunt. Ad alios igitur eam ablegant Ascalonitæ. Neque vero apud illos permansit : nam quum et ipsi ab eodem morbo vexarentur, ad vicinas eam dimittunt urbes. Atque in hunc modum quinque Palæstinorum urbes pervagata est arca, a qualibet tanquam præsentiæ suæ tributum vice exigens ea quæ propter eam passæ sunt.

2. Quum hisce autem suppliciis pæne conficerentur quotquot iis affecti erant, quique de istis audierant illorum exemplo moniti essent, ne arcæ præsentiam emerent tanta mercede et vectigali, tandem quæsiverunt qua arte et via ab ea semet expedirent. Et quum convenissent quinque civitatum principes, Gittæ et Accaronis et Ascalonis, itemque Gazæ et Azoti, dispiciebant quid facto opus esset. Ac primum quidem illis visum est ad suos remittendam esse arcam, quasi palam esset Deum ejus suscepisse vindictam, atque ideo calamitates cum ea in ipsos invasisse, simulque in urbes eorum ingressas esse. Erant autem qui dicerent hoc quidem nequaquam faciendum esse, fallique qui malorum causam illi acceptam ferrent. Non enim tantam ei potestatem esse et vim; neque si ejus curam habuisset Deus, in hominum manus venturum fuisse. Ceterum monebant ut quiescerent, et quicquid acciderat æquo animo ferrent, cogitantes non aliam esse eorundem causam quam ipsam rerum naturam, quæ et corporibus et terræ et plantis et omnibus mortali concretione satis, certis temporum

κατὰ χρόνων περιόδους τίκτει τοιαύτας μεταβολάς. Νικᾷ δὲ τὰς προειρημένας γνώμας ἀνδρῶν ἐν τε τοῖς ἐπάνω χρόνοις συνέσει καὶ φρονήσει διαφέρειν πεπιστευμένων συμβουλία, καὶ τότε μάλιστα δοξάντων ἁρμοζόντως λέγειν τοῖς παροῦσιν, οἳ μήτ' ἀποπέμπειν ἔφασαν δεῖν τὴν κιβωτὸν μήτε κατέχειν, ἀλλὰ πέντε μὲν ἀνδριάντας ὑπὲρ ἑκάστης πόλεως χρυσέους ἀναθεῖναι τῷ Θεῷ χαριστήριον, ὅτι προενόησεν αὐτῶν τῆς σωτηρίας, καὶ κατέσχεν ἐν τῷ βίῳ διωκομένους ἐξ αὐτοῦ παθήμασιν, οἷς οὐκέτι ἦν ἀντιβλέψαι, τοσούτους δὲ τὸν ἀριθμὸν μύας χρυσοῦς τοῖς κατανεμηθεῖσιν αὐτῶν καὶ διαφθείρασι τὴν χώραν ἐμφερεῖς· ἔπειτα βαλόντας εἰς γλωσσόκομον αὐτοὺς καὶ θέντας ἐπὶ τὴν κιβωτὸν, ἅμαξαν αὐτῇ καινὴν κατασκευάσαι, καὶ βόας ὑποζεύξαντας ἀρτιτόκους, τὰς μὲν πόρτεις ἐγκλεῖσαι καὶ κατασχεῖν, μὴ τοῖς μητράσιν ἐμποδὼν ἐπόμεναι γένωνται, πόθῳ δ' αὐτῶν ὀξυτέραν ποιῶνται τὴν πορείαν· ἐκείνας δ' ἐξελάσαντας τὴν κιβωτὸν φερούσας ἐπὶ τριόδου καταλιπεῖν, αὐταῖς ἐπιτρέψαντας ἣν βούλονται τῶν ὁδῶν ἀπελθεῖν· κἂν μὲν τὴν Ἑβραίων ἀπίωσιν καὶ τὴν τούτων χώραν ἀναβαίνωσιν, ὑπολαμβάνειν τὴν κιβωτὸν αἰτίαν τούτων τῶν κακῶν· ἂν δὲ ἄλλην τράπωνται, μεταδιώξωμεν αὐτὴν, ἔφασαν, μαθόντες ὅτι μηδεμίαν ἰσχὺν τοιαύτην ἔχει.

(Β'.) γ'. Ἔκριναν δ' αὐτὰ καλῶς εἰρῆσθαι καὶ τοῖς ἔργοις εὐθὺς τὴν γνώμην ἐκύρωσαν. Καὶ ποιήσαντες μὲν τὰ προειρημένα προάγουσι τὴν ἅμαξαν ἐπὶ τὴν τρίοδον καὶ καταλιπόντες ἀνεχώρησαν. Τῶν δὲ βοῶν τὴν ὀρθὴν ὁδὸν ὥσπερ ἡγουμένου τινὸς αὐταῖς ἀπιουσῶν, ἠκολούθουν οἱ τῶν Παλαιστίνων ἄρχοντες ποῦ ποτε στήσονται καὶ πρὸς τίνας ἥξουσι βουλόμενοι μαθεῖν. Κώμη δέ τις ἐστὶ τῆς Ἰούδα φυλῆς, Βηθσάμη ὄνομα. Εἰς ταύτην ἀφικνοῦνται αἱ βόες, καὶ πεδίου μεγάλου καὶ καλοῦ τὴν πορείαν αὐτῶν ἐκδεξαμένου, παύονται προσωτέρω χωρεῖν, στήσασαι τὴν ἅμαξαν αὐτόθι. Θέα δὲ ἦν τοῖς ἐν τῇ κώμῃ καὶ περιχαρεῖς ἐγίνοντο. Θέρους γὰρ ὥρᾳ πάντες ἐπὶ τὴν συγκομιδὴν τῶν καρπῶν ἐν ταῖς ἀρούραις ὑπάρχοντες, ὡς εἶδον τὴν κιβωτὸν, ὑφ' ἡδονῆς ἁρπαγέντες καὶ τὸ ἔργον ἐκ τῶν χειρῶν ἀφέντες ἔδραμον εὐθὺς ἐπὶ τὴν ἅμαξαν. Καὶ καθελόντες τὴν κιβωτὸν, καὶ τὸ ἄγγος ὃ τοὺς ἀνδριάντας εἶχε καὶ τοὺς μύας, τιθέασιν ἐπί τινος πέτρας, ἥτις ἦν ἐν τῷ πεδίῳ, καὶ θύσαντες λαμπρῶς τῷ Θεῷ καὶ κατευοχηθέντες τήν τε ἅμαξαν καὶ τοὺς βόας ὁλοκαύτωσαν. Καὶ ταῦτ' ἰδόντες οἱ τῶν Παλαιστίνων ἄρχοντες ὑπέστρεψαν ὀπίσω.

δ'. Ὀργὴ δὲ καὶ χόλος τοῦ Θεοῦ μέτεισιν, ὥστε ἑβδομήκοντα τῶν ἐκ τῆς Βηθσάμης κώμης, ὡς οὐκ ὄντας ἀξίους ἅψασθαι τῆς κιβωτοῦ (ἱερεῖς γὰρ οὐκ ἦσαν) καὶ προσελθόντας αὐτῇ βαλὼν ἀπέκτεινεν. Ἐκλαυσαν δὲ ταῦτα παθόντας αὐτοὺς οἱ κωμῆται, καὶ πένθος ἐπ' αὐτοὺς ἤγειραν οἷον εἰκὸς ἐπὶ θεοπέμπτῳ κακῷ, καὶ τὸν ἴδιον ἕκαστος ἀπεθρήνει. Τοῦ τε μένειν τὴν κιβωτὸν παρ' αὐτοῖς ἀναξίους ἀποφαίνοντες αὐτοὺς, πρὸς τὸ κοινὸν τῶν Ἑβραίων πέμψαντες ἐδήλουν ἀποδεδόσθαι

vicibus, hujusmodi mutationes afferat. Prædictas autem sententias vincit istorum virorum consilium, qui et antea crediti sunt intelligentia et prudentia præcellere, et tunc maxime visi sunt accommodate dicere ad præsens negotium; qui neque remittendam esse arcam censuerunt, neque retinendam: sed quinque simulacra aurea pro unaquaque civitatum quasi munus Deo consecranda, quod eorum saluti prospexerit, et vitam illis conservarit, quum ex ea malis depellerentur, quibus resistere non poterant, totidemque numero mures aureos iis similes qui regionem ipsorum populati sint atque vastarint. Deinde hisce in loculum inclusis et super arcam collocatis, currum novum ei fabricari jusserunt, vaccisque fœtis ei alligatis, vitulos quidem earum domi concludi et custodiri, ne matribus eas sequendo impedimento forent, eorum autem desiderio quam celerrime redirent. Quum vero illas arcam vehentes in trivium abegissent, ibi relinquendas esse, facta eis potestate abeundi quo velint: et si quidem Hebræos versus pergerent et in illorum regionem ascenderent, esset ut existimarent arcam illorum malorum causam exstitisse; sin vero alio deflecterent, illam persequendam esse dixerunt, facta inde conjectura, quod potestatem ejusmodi nullam haberet.

(II.) 3. Hæc autem bene ac sapienter dicta judicarunt, atque illico consilium factis comprobarunt. Et quum ea quæ jam diximus exsequuti essent, plaustrum in trivium deducunt, ibique relicto secesserunt. Vaccæ autem quum recta abirent et contenderent, non aliter ac si ab aliquo deducerentur, eas subsequebantur Palæstinorum principes, scire desiderantes ubi subsisterent et ad quosnam se conferrent. Est autem vicus quidam in tribu Judæ, nomine Bethsama. In fines ejus venerunt vaccæ, et quum eas, si processissent, campus magnus et pulcer excepturus esset, ulterius tamen non sunt progressæ, plaustrum illic sistentes. Erat autem omnibus in villa spectaculum, lætitiaque exsultabant. Æstatis enim tempore quum cuncti in agris ad fruges comportandas versarentur, ubi arcam animadverterunt, voluptate gestientes, et opus e manibus dimittentes, e vestigio ad plaustrum accurrebant. Atque arcam ex eo sublatam, capsamque in qua erant simulacra et mures, saxo cuidam, quod in campo erat, imposuerunt: et quum Deo magnifice sacra fecissent, seque epulis adhibuissent, plaustrum simul ac vaccas solido sacrificio incenderunt. Quo viso Palæstinorum principes retro ad suos reversi sunt.

4. Ceterum ira atque indignatio Dei eos persequitur, adeo ut septuaginta viros ex pago Bethsamæ, quippe indignos qui attingerent arcam (sacerdotes enim non erant), ad eam tamen accedentes, fulmine jacto interimeret. Ipsos autem hæc passos vici istius incolæ deplorarunt, eosque plangore prosequuti sunt qualem fas erat edere ob malum divinitus immissum, suumque mortuum unusquisque lugebat. Quamobrem sese indignos agnoscentes quibuscum arca commoraretur, nunciis ad commune Hebræorum con-

τὴν κιβωτὸν ὑπὸ τῶν Παλαιστίνων. Κἀκεῖνοι γνόντες τοῦτο, ἀποκομίζουσιν αὐτὴν εἰς Καριαθιαρίμαν, γείτονα πόλιν τοῖς Βηθσαμίταις, ἔνθα τινὸς Λευίτου τὸ γένος, Ἀμιναδάβου, ὀξὰν ἔχοντος ἐπὶ δικαιοσύνῃ καὶ θρησκείᾳ, καταβιοῦντος εἰς οἰκίαν τὴν κιβωτὸν ἤγαγον, ὥσπερ εἰς πρέποντα τῷ Θεῷ τόπον, ἐν ᾧ κατῴκει δίκαιος ἄνθρωπος. Ἐθεράπευον δὲ τὴν κιβωτὸν οἱ τούτου παῖδες, καὶ τῆς ἐπιμελείας ταύτης ἕως ἐτῶν εἴκοσι προέστησαν· τοσαῦτα γὰρ ἔμεινεν ἐν τῇ Καριαθιαρίμᾳ, ποιήσασα παρὰ τοῖς Παλαιστίνοις μῆνας τέσσαρας.

ΚΕΦ. Β'.

Τοῦ δὲ λαοῦ παντὸς ἐκείνῳ τῷ χρόνῳ, καθ' ὃν εἶχεν ἡ τῶν Καριαθιαριμιτῶν πόλις τὴν κιβωτὸν, ἐπ' εὐχὰς καὶ θυσίας τραπέντος τοῦ Θεοῦ, καὶ πολλὴν ἐμφανίζοντος τὴν περὶ αὐτὸν θρησκείαν καὶ φιλοτιμίαν, ὁ προφήτης Σαμούηλος ὁρῶν αὐτῶν τὴν προθυμίαν, ὡς εὔκαιρον πρὸς οὕτως ἔχοντας εἰπεῖν περὶ ἐλευθερίας καὶ τῶν ἀγαθῶν τῶν ἐν αὐτῇ, χρῆται λόγοις οἷς ᾤετο μάλιστα τὴν διάνοιαν αὐτῶν προσάξεσθαι καὶ πείσειν· « ἄνδρας γὰρ, εἶπεν, οἷς ἔτι νῦν βαρεῖς μὲν « πολέμιοι Παλαιστῖνοι, Θεὸς δ' εὐμενὴς ἄρχεται γί« νεσθαι καὶ φίλος, οὐκ ἐπιθυμεῖν ἐλευθερίας δεῖ μόνον, « ἀλλὰ καὶ ποιεῖν δι' ὧν ἂν ἔλθοι πρὸς ὑμᾶς, οὐδὲ « βούλεσθαι μὲν ἀπηλλάχθαι δεσποτῶν, ἐπιμένειν δὲ « πράττοντας ἐξ ὧν τοιοῦτοι διαμενοῦσιν· ἀλλὰ γίνεσθε « δίκαιοι καὶ τὴν πονηρίαν ἐκβαλόντες τῶν ψυχῶν καὶ « θεραπεύοντες αὐτὴν, ὅλαις ταῖς διανοίαις προστρέ« πεσθε τὸ θεῖον καὶ τιμῶντες διατελεῖτε. Ταῦτα γὰρ « ὑμῖν ποιοῦσιν ἥξει τὰ ἀγαθὰ, δουλείας ἀπαλλαγὴ « καὶ νίκη πολεμίων· ἃ λαβεῖν οὔθ' ὅπλοις οὔτε σω« μάτων ἀλκαῖς οὔτε πλήθει συμμάχων δυνατόν ἐστιν. « Οὐ γὰρ τούτοις ὁ Θεὸς ὑπισχνεῖται παρέξειν αὐτὰ, τῷ « δ' ἀγαθοὺς εἶναι καὶ δικαίους. Ἐγγυητὴς δ' αὐτοῦ τῶν « ὑποσχέσεων ἐγὼ γίνομαι ». Ταῦτ' εἰπόντος ἐπευφήμησε τὸ πλῆθος ἡσθὲν τῇ παραινέσει καὶ κατένευσεν αὐτὸ παρέξειν κεχαρισμένον τῷ Θεῷ. Συνάγει δ' αὐτοὺς ὁ Σαμούηλος εἰς τινα πόλιν λεγομένην Μασφάτην· κατοπτευόμενον τοῦτο σημαίνει κατὰ τὴν Ἑβραίων γλῶτταν. Ἐντεῦθεν ὑδρευσάμενοι σπένδουσι τῷ Θεῷ καὶ διανηστεύσαντες ὅλην τὴν ἡμέραν ἐπ' εὐχὰς τρέπονται.

β'. Οὐ λανθάνουσι δὲ τοὺς Παλαιστίνους ἐκεῖ συνελθόντες, ἀλλὰ μαθόντες οὗτοι τὴν ἄθροισιν αὐτῶν μεγάλῃ στρατιᾷ καὶ δυνάμει, κατ' ἐλπίδα τοῦ μὴ προσδοκῶσι μηδὲ παρεσκευασμένοις ἐπιπεσεῖσθαι, τοῖς Ἑβραίοις ἐπέρχονται. Καταπλήττει δ' αὐτοὺς τοῦτο καὶ εἰς ταραχὴν ἄγει καὶ δέος, καὶ δραμόντες πρὸς Σαμούηλον ἀναπεπτωκέναι τὰς ψυχὰς αὐτῶν ὑπὸ φόβου καὶ τῆς προτέρας ἥττης ἔφασκον, καὶ διὰ τοῦτ' ἠρεμεῖν, ἵνα μὴ κινήσωμεν τὴν τῶν πολεμίων δύναμιν. Σοῦ δ' ἀναγαγόντος ἡμᾶς ἐπ' εὐχὰς καὶ θυσίας καὶ ὅρκους, γυμνοῖς καὶ ἀνόπλοις ἐπεστρατεύκασιν οἱ πολέμιοι·

cillum missis, indicarunt redditam esse a Palæstinis arcam. Atque illi, hac re cognita, transferunt eam in Cariathiarimam, urbem vicinam Bethsamitis : ubi Levita quodam vitam agente, Aminadabo, qui magnæ erat existimationis ob justitiam et religionem, in domum arcam intulerunt, ut convenientem Deo locum, in quo vir justus habitabat. Ejus autem filii arcæ ministerio operabantur, atque huic rei curandæ per viginti annos præerant : tot enim in Cariathiarima mansit, quum apud Palæstinos quattuor menses fuisset.

CAP. II.

Quum autem populus universus illo tempore, quo arcam possidebat Cariathiarimitarum urbs, votis et sacrificiis operam daret, multumque religionis in Deum et magnum ejus studium præ se ferret, Samuelus propheta, animadverso eorum obsequio, quasi jam opportunum fuerit ad illos, quum ita se haberent, verba fecere de libertate et bonis quæ in ea insunt, oratione utitur maxime accommodata ad mentes eorum sibi conciliandas et persuadendas : « viros, « dicebat, quibus etiamnum hostes quidem graves sunt Pa« læstini, Deus vero incipit esse propitius et amicus, « non solum libertatem expetere oportet, sed etiam hæc « facere, quibus ea vobis assequenda est, nec velle quidem « a dominatu liberari, sed ea agere pergere quæ vos servi« tuti detinebunt : immo justitiam colite, atque nequitiam « ex animis abolendo, curationem ejus adhibentes, tota « mente Deo supplicate, ejusque in cultu perseverate. Hæc « si feceritis, erit ut bonis affluatis, a servitute liberemini, « et victoriam de hostibus reportetis : quæ neque armis, « neque corporum viribus, neque copiarum multitudine con« sequi quisquam potest. Non enim hisce res ejusmodi se « præbiturum esse pollicetur Deus, sed probitati et justitiæ. « Ego vero hæc promissa vobis rata fore spondeo. » Hæc quum dixisset, ei applaudebat populus, ex ista exhortatione lætitia elatus, consensitque ad id ipsum faciendum quod Deo gratum esset. Ipsos autem congregat Samuelus in urbem quandam Masphaten appellatam : quod nomen sermone Hebraico conspicuum significat. Ibi hausta aqua Deo libant, et quum tota die jejunassent, ad preces se convertunt.

2. Illic vero congregati non latent Palæstinos; sed hi, conventu eorum ipsi nunciato, cum magno exercitu et copiis, sperantes fore ut incautos et imparatos adorirentur, Hebræis superveniunt. Ii autem, ex hoc valde consternati, tumultuari incipiunt et pavore occupari; atque ad Samuelum accurrentes, animos sibi dicebant concidisse præ metu et ex memoria recentis cladis, adeoque quieturos se esse, « ne hostium potentiam in nos concitemus. Nam quum in nos nudos et inermes, qui tuo ductu et auspiciis ad supplicationes et victimas et juramenta convenimus, expeditionem jam fecerint hostes, non alia jam nobis salutis

ἐλπὶς οὖν ἡμῖν οὐκ ἄλλη σωτηρίας ἡμῶν ἢ μόνη ἡ παρὰ σοῦ καὶ τοῦ Θεοῦ ἱκετευθέντος ὑπὸ τοῦ παρασχεῖν ἡμῖν διαφυγεῖν Παλαιστίνους. Ὁ δὲ θαρρεῖν τε προτρέπεται καὶ βοηθήσειν αὐτοῖς τὸν Θεὸν ἐπαγγέλλεται. Καὶ λαβὼν ἄρνα γαλαθηνὸν ὑπὲρ τῶν ὅλων θύει, καὶ παρακαλεῖ τὸν Θεὸν ὑπερέχειν αὐτῶν τὴν δεξιὰν ἐν τῇ πρὸς Παλαιστίνους μάχῃ καὶ μὴ περιιδεῖν δεύτερον αὐτοὺς ἀτυχήσαντας. Ἐπήκοος δὲ γίνεται τῶν εὐχῶν ὁ Θεὸς, καὶ προσδεξάμενος εὐμενεῖ καὶ συμμάχῳ τῇ διανοίᾳ τὴν θυσίαν, ἐπινεύει νίκην αὐτοῖς καὶ κράτος. Ἔτι δ' ἐπὶ τοῦ βωμοῦ τὴν θυσίαν ἔχοντος τοῦ Θεοῦ καὶ μήπω πᾶσαν διὰ τῆς ἱερᾶς φλογὸς ἀπειληφότος, προῆλθεν ἐκ τοῦ στρατοπέδου ἡ τῶν πολεμίων δύναμις καὶ παρατάσσεται πρὸς μάχην, ἐπ' ἐλπίδι μὲν νίκης, ὡς ἀπειλημμένων ἐν ἀπορίᾳ τῶν Ἰουδαίων, μήτε ὅπλα ἐχόντων μήτε ὡς ἐπὶ μάχην ἐκεῖσε ἀπηντηκότων. Περιπίπτουσι δὲ οἷς οὐδ' εἰ προῦλεγέ τις ῥᾳδίως ἐπείσθησαν. Πρῶτον μὲν γὰρ αὐτοὺς ὁ Θεὸς κλονεῖ σεισμῷ καὶ τὴν γῆν αὐτοῖς ὑπότρομον καὶ σφαλερὰν κινήσας τίθησιν, ὡς σαλευομένης τε τὰς βάσεις ὑποφέρεσθαι καὶ διισταμένης εἰς ἕνια τῶν χασμάτων καταφέρεσθαι. Ἔπειτα βρονταῖς περιψοφήσας καὶ διαπύροις ἀστραπαῖς ὡς καταφλέξων αὐτῶν τὰς ὄψεις περιλάμψας, καὶ τῶν χειρῶν ἐκκροτήσας τὰ ὅπλα, γυμνοὺς εἰς φυγὴν ἀνέστρεψεν. Ἐπεξέρχεται δὲ Σαμούηλος μετὰ τῆς πληθύος, καὶ πολλοὺς κατασφάξας κατακολουθεῖ μέχρι Κορραίων, τόπου τινὸς οὕτω λεγομένου. Καὶ καταπήξας ἐκεῖ λίθον, ὥσπερ ὅρον τῆς νίκης καὶ τῆς φυγῆς τῶν πολεμίων, ἰσχυρὸν αὐτὸν προσαγορεύει, σύμβολον τῆς παρὰ τοῦ Θεοῦ γενομένης αὐτοῖς κατὰ τῶν ἐχθρῶν ἰσχύος.

γ'. Οἱ δὲ μετ' ἐκείνην τὴν πληγὴν οὐκ ἐπεστράτευσαν ἐπὶ τοὺς Ἰσραηλίτας, ἀλλ' ὑπὸ δέους καὶ μνήμης τῶν συμβεβηκότων ἡσύχαζον. Ὁ δ' ἦν πάλαι θάρσος τοῖς Παλαιστίνοις ἐπὶ τοὺς Ἑβραίους, τοῦτ' ἐκείνοις μετὰ τὴν νίκην ἐγένετο. Καὶ Σαμούηλος στρατεύσας ἐπ' αὐτοὺς ἀναιρεῖ πολλοὺς καὶ τὰ φρονήματ' αὐτῶν εἰς τὸ παντελὲς ταπεινοῖ, καὶ τὴν χώραν ἀφαιρεῖται, ἣν τῶν Ἰουδαίων ἀπετέμοντο πρότερον κρατήσαντες τῇ μάχῃ. Αὕτη δ' ἦν ἡ μέχρι πόλεως Ἀκκάρωνος ἀπὸ τῶν Γίττης ὀρῶν ἐκτεταμένη. Ἦν δὲ κατ' ἐκεῖνον τὸν καιρὸν φίλα τοῖς Ἰσραηλίταις τὰ ὑπολειπόμενα τῶν Χαναναίων.

ΚΕΦ. Γ'.

Ὁ δὲ προφήτης Σαμούηλος διακοσμήσας τὸν λαὸν καὶ πόλιν αὐτοῖς ἀποδοὺς, εἰς ταύτην ἐκέλευσε συνερχομένους περὶ τῶν πρὸς ἀλλήλους κρίνεσθαι διαφορῶν. Αὐτὸς δὲ δὶς τοῦ ἔτους ἐπερχόμενος τὰς πόλεις ἐδίκαζεν αὐτοῖς, καὶ πολλὴν ἐβράβευεν εὐνομίαν ἐπὶ χρόνον πολύν.

β'. Ἔπειθ' ὑπὸ γήρως βαρυνόμενος καὶ τὰ συνήθη πράττειν ἐμποδιζόμενος τοῖς υἱοῖς τὴν ἀρχὴν καὶ τὴν προστασίαν τοῦ πλήθους παραδίδωσιν· ὧν ὁ μὲν πρε-

nostræ superest spes quam in te et Deo a te implorato ut nobis daret e Palæstinorum manibus effugere. » At ille eos securo animo esse hortatur, promittitque Deum ipsis auxilium laturum esse. Et quum agnum subrumum cepisset, eo pro populo sacrificium facit, Deumque supplex orat ut eos in prælio a vi Palæstinorum defenderet, neque sineret eos iterum infortunio multari. Has autem preces exaudit Deus, et quum animo benigno et propitio sacrificium accepisset, innuit se ipsis victoriam daturum esse et potentiam aucturum. Quum autem adhuc Dei in altari esset victima, necdum tota sacra flamma absumpta, hostium copiæ et castris egressæ sunt, et sese ad pugnam instruunt, spe quidem victoriæ, ac si Judæi summis angustiis conclusi essent, qui nec arma haberent, nec eo loci ad pugnandum convenerint. Talis autem erat rerum eventus, ut si quis eas prædixisset, haud facile fidem invenisset Nam primum quidem eos concussione perturbat Deus, terramque quassatione illis subtremiscere parumque tutam fecit, ita ut vel ea agitata incerta ponerent vestigia, vel discedente in hiatum aliquem prolaberentur. Deinde quum tonitrubus circumsonasset atque igneis fulguribus quasi ad ora illis adurenda eos circumfulsisset, atque manibus arma excussisset, nudos in fugam conjecit. Tum vero Samuelus cum populo in eos irruit, multisque cæsis reliquos persequitur ad Corræa usque, locum quendam ita nominatum. Ac quum ibi saxum statuisset, veluti terminum victoriæ et hostium fugæ, id Validum appellat, in signum virium quibus eos ad hostes debellandos impertivit Deus.

3. Palæstini vero ea clade accepta exercitum non eduxerunt contra Israelitas, sed præ metu et memoria eorum quæ acciderant quiescebant. Fiducia autem, qua olim Palæstini animati erant in Israelitas, illorum esse cœpit post hanc victoriam. Et Samuelus, copiis in eos motis, magnas edit strages, atque elatos eorum animos prorsus deprimit: regionem etiam eis adimit, qua prius Judæos multaverant, quum eos prælio superassent. Illa vero a finibus Gittæ ad Accaronem usque civitatem longe lateque patebat. Reliqui autem Chananæorum eo tempore pacem et amicitiam cum Israelitis colebant.

CAP. III.

Porro Samuelus propheta, populo commode distributo, et sua singulis civitate assignata, jussit ut in eam convenirent ad res controversas dijudicandas. Ipse autem, bis anno urbes obiens, jus illis dicebat, et multo tempore judicia ex æquo exercebat.

2. Deinde, quum ætate gravis esset et invalidus, ut consuetis muniis sufficere non posset, filiis suis principatum et reipublicæ curam tradidit: quorum quidem grandiori Joelus,

σβύτερος Ἰώηλος προσηγορεύετο, τῷ δὲ νεωτέρῳ Ἀβία ὄνομα ἦν. Προσέταξε δὲ τὸν μὲν ἐν Βεθήλοις πόλει καθεζόμενον κρίνειν, τὸν δ' ἕτερον ἐν Βαρσουβαὶ, μερίσας τὸν ὑπακουσόμενον ἑκατέρῳ λαόν. Ἐγένοντο δὲ σαφὲς οὗτοι παράδειγμα καὶ τεκμήριον τοῦ μὴ τὸν τρόπον ὁμοίους τοῖς φύσασι γίνεσθαί τινας, ἀλλὰ τάχα μὲν χρηστοὺς καὶ μετρίους ἐκ πονηρῶν· τότε μέν γε φαύλους ἐξ ἀγαθῶν παρέσχον αὐτοὺς γενομένους. Τῶν γὰρ τοῦ πατρὸς ἐπιτηδευμάτων ἐκτρεπόμενοι καὶ τὴν ἐναντίαν ὁδὸν ἀπελθόντες δώρων καὶ λημμάτων αἰσχρῶν καθυφίεντο τὸ δίκαιον, καὶ τὰς κρίσεις οὐ πρὸς τὴν ἀλήθειαν, ἀλλὰ πρὸς τὸ κέρδος ποιούμενοι καὶ πρὸς τρυφὴν καὶ πρὸς διαίτας πολυτελεῖς ἀπονενευκότες πρῶτον μὲν ὑπεναντία ταῦτα ἔπρασσον τῷ Θεῷ, δεύτερον δὲ τῷ προφήτῃ, πατρὶ δὲ αὐτῶν, ὃς πολλὴν καὶ τοῦ τὸ πλῆθος εἶναι δίκαιον σπουδὴν εἰσεφέρετο καὶ πρόνοιαν.

(Δ'.) γ'. Ὁ δὲ λαὸς, ἐξυβριζόντων εἰς τὴν προτέραν κατάστασιν καὶ πολιτείαν τῶν τοῦ προφήτου παίδων, χαλεπῶς τε τοῖς πραττομένοις ἔφερε καὶ πρὸς αὐτὸν συντρέχουσι, (διέτριβε δ' ἐν Ἁρμαθᾷ πόλει,) καὶ τάς τε τῶν υἱῶν παρανομίας ἔλεγον καὶ ὅτι γηραιὸς αὐτὸς ὢν ἤδη καὶ παρειμένος ὑπὸ τοῦ χρόνου τῶν πραγμάτων οὐκέτι τὸν αὐτὸν προϊστάναι δύναται τρόπον· ἐδέοντό τε καὶ ἱκέτευον ἀποδεῖξαί τινα αὐτῶν βασιλέα, ὃς ἄρξειε τοῦ ἔθνους καὶ τιμωρήσαιτο Παλαιστίνους, ὀφείλοντας ἔτ' αὐτοῖς δίκας τῶν προτέρων ἀδικημάτων. Ἐλύπησαν δὲ σφόδρα τὸν Σαμούηλον οἱ λόγοι, διὰ τὴν σύμφυτον δικαιοσύνην καὶ τὸ πρὸς τοὺς βασιλέας μῖσος· ἤττητο γὰρ δεινῶς τῆς ἀριστοκρατίας, ὡς θείους καὶ μακαρίους ποιούσης τοὺς χρωμένους αὐτῇ τῇ πολιτείᾳ· ὑπὸ δὲ φροντίδος καὶ βασάνου τῆς ἐπὶ τοῖς εἰρημένοις οὔτε τροφῆς ἐμνημόνευσεν οὔτε ὕπνου, δι' ὅλης δὲ τῆς νυκτὸς στρέφων τὰς περὶ τῶν πραγμάτων ἐννοίας διεκαρτέρει.

δ'. Ἔχοντι δὲ οὕτως ἐμφανίζεται τὸ θεῖον καὶ παραμυθεῖται μὴ δυσφορεῖν ἐφ' οἷς ἠξίωσε τὸ πλῆθος, ὡς οὐχ ἑκεῖνον ὑπερηφανήσαντας, ἀλλ' ἑαυτὸν, ἵνα μὴ βασιλεὺς ᾖ μόνος· ταῦτα δὲ ἀφ' ἧς ἡμέρας ἐξήγαγεν αὐτοὺς ἐξ Αἰγύπτου μηχανᾶσθαι τὰ ἔργα. Λήψεσθαι μέντοι γε οὐκ εἰς μακρὰν μετάνοιαν αὐτοὺς ἐπίπονον, ὑφ' ἧς οὐδὲν μὲν ἀγένητον ἔσται τῶν ἐσομένων, ἐλεγχθήσονται δὲ καταφρονήσαντες καὶ βουλὰς οὐκ εὐχαρίστους πρὸς ἐμὲ καὶ τὴν σὴν προφητείαν λαβόντες. Κελεύω δή σε χειροτονεῖν αὐτοῖς ὃν ἂν ἐγώ σοι προείπω βασιλέα, προδηλώσαντα ποταπῶν τε οὗτοι πειραθήσονται βασιλευόμενοι κακῶν καὶ διαμαρτυράμενον ἐφ' οἷαν σπεύδουσι μεταβολήν.

ε'. Ταῦτα ἀκούσας Σαμούηλος ἅμα ἕῳ συγκαλέσας τοὺς Ἰουδαίους ἀποδείξειν αὐτοῖς βασιλέα ὡμολόγησεν, ἔφη δὲ δεῖν πρῶτον μὲν αὐτοῖς ἐκδιηγήσασθαι τὰ παρὰ τῶν βασιλέων ἐσόμενα καὶ ὅσοις συνενεχθήσονται κακοῖς. « Γινώσκετε γὰρ ὅτι πρῶτον μὲν ὑμῶν ἀποσπάσουσι τὰ τέκνα, καὶ τὰ μὲν αὐτῶν ἁρματηλάτας εἶναι

minori vero Abia nomen erat. Iis autem mandavit ut unus quidem in Bethelis, alter vero in Barsube sederet et judicia redderet, populum qui pareret inter eos partitus. Isti autem exemplo erant et indicio, non omnes moribus similes parentibus nasci, sed forte quidem ex malis probos et æquos : tunc vero sese ostendebant pravos ex bono prognatos. Nam a parentis institutis et studiis deflexi, diversamque ab eo viam ingressi, munerum ergo turpisque lucri jus pervertebant, ac in judiciis non ex veritate, sed ad emolumentum suum agentes, solutique in luxum et deliciis sumptuosis dediti, primum quidem hæc adversus Deum patrabant, dein vero contra voluntatem prophetæ, patris illorum, qui multum studii curæque impenderat ut multitudo justitiam coleret.

(IV.) 3. At populus, quum prophetæ filii priorem rerum statum et ordinem injuriis labefactarent, et commissa ægre ferebat, et ad Samuelum frequentes concurrunt, (tum enim in urbe Armatha habitabat,) atque non solum ei de filiorum iniquitatibus narrabant, sed etiam, quod præ senectute et ætatis debilitate non amplius rebus similiter ac antea administrandis par esset, eum orabant simul et obsecrabant ut aliquem ipsis regem crearet, qui posset gentem moderari et gubernare, et a Palæstinis pœnas sibi debitas exigere ob pristinas injurias. Hæc verba Samuelum valde sollicitum habuerunt et anxerunt, propter innatum justitiæ amorem et invisum sibi regium dominatum : nam vehementer captus erat optimatium regimine, ut quod ea reipublicæ forma utentes fere divinos faciat et beatos : verum ex jam dictis adeo curarum plenus erat et cruciatuum, ut nec cibi nec somni capiendi meminerit, sed per totam noctem vigilaret dum *varias* de rebus cogitationes in animo versaret.

4. Quum autem ita se haberet, ei apparuit Deus, eumque consolatur, non oportere ea, quæ postularet populus, ægre ferre, quando non illum, sed ipsummet sprevissent, ne solus rex esset. Hæc autem ab eo die, quo ex Ægypto educti fuerint moliri eos cœpisse. Verumtamen brevi illos pœnitentiam gravem molestamque acturos esse, per quam nihil quidem futuri erit infectum, at contemptus redarguentur, et quod consilia tam in me quam tuam erga prophetiam ingrata ceperint. Jubeo itaque te illum ipsum eis regem constituere quem præmonstravero, quum prius illis mala exposueris, quæ sub regibus passuri sint, et testificatus fueris in qualem se temere conjiciant *rerum* mutationem.

5. Hæc Samuelus quum audisset, convocatis prima luce Judæis, fassus est se regem illis creaturum esse : dicebat autem oportere primum quidem ipsis enarrari, quæ sub regibus futura essent, et quibus malis foret ut conflictarentur. « Scitote enim, *inquit*, quod primum quidem liberos a « vobis abstrahent, et alios quidem illorum currus agitare

« κελεύσουσι, τοὺς δ' ἱππεῖς καὶ σωματοφύλακας, δρο-
« μεῖς δὲ ἄλλους καὶ χιλιάρχους καὶ ἑκατοντάρχους·
« ποιήσουσι δὲ καὶ τεχνίτας, ὁπλοποιοὺς καὶ ἁρματο-
« ποιοὺς καὶ ὀργάνων τέκτονας, γεωργούς τε καὶ τῶν
« ἰδίων ἀγρῶν ἐπιμελητὰς καὶ σκαπανεῖς ἀμπέλων, καὶ
« οὐδέν ἐστιν ὃ μὴ κελευόμενοι ποιήσουσιν, ἀνδραπό-
« δων ἀργυρωνήτων τρόπον. Καὶ τὰς θυγατέρας δὲ
« ὑμῶν μυρεψοὺς ἀποφανοῦσι, καὶ ὀψοποιοὺς καὶ σιτο-
« ποιούς, καὶ πᾶν ἔργον, ὃ θεραπαινίδες ἐξ ἀνάγκης
« πληγὰς φοβούμεναι καὶ βασάνους ὑπηρετοῦσι. Κτῆ-
« σιν δὲ τὴν ὑμετέραν ἀφαιρήσονται, καὶ ταύτην εὐνού-
« χοις καὶ σωματοφύλαξι δωρήσονται, καὶ βοσκημάτων
« ἀγέλας τοῖς αὐτῶν προσνεμοῦσιν. Συνελόντι δ' εἰ-
« πεῖν, δουλεύσετε μετὰ πάντων τῶν ὑμετέρων τῷ βα-
« σιλεῖ καὶ τοῖς αὐτοῦ οἰκέταις· ὃς γενόμενος μνήμην
« ὑμῖν τῶνδε τῶν λόγων γεννήσει καὶ τὸ πάσχειν αὐτὰ
« καὶ μεταγνώσκοντας ἱκετεῦσαι τὸν Θεὸν ἐλεῆσαί τε
« ὑμᾶς καὶ δωρήσασθαι ταχεῖαν ἀπαλλαγὴν τῶν βασι-
« λέων. Ὁ δ' οὐ προσδέξεται τὰς δεήσεις ὑμῶν, ἀλλὰ
« παραπέμψας ἐάσει δικαίαν ὑποσχεῖν ὑμᾶς τιμωρίαν
« τῆς ἑαυτῶν κακοβουλίας. »

ς'. Ἦν δ' ἄρα καὶ πρὸς τὰς προρρήσεις τῶν συμβη-
σομένων ἀνόητον τὸ πλῆθος καὶ δύσκολον ἐξελεῖν τῆς
διανοίας κρίσιν ἤδη παρὰ τῷ λογισμῷ καθιδρυμένην.
Οὐδὲ γὰρ ἐπεστράφησαν, οὐδ' ἐμέλησεν αὐτοῖς τῶν
Σαμουήλου λόγων, ἀλλ' ἐνέκειντο λιπαρῶς, καὶ χει-
ροτονεῖν ἠξίουν ἤδη τὸν βασιλέα καὶ μὴ φροντίζειν τῶν
ἐσομένων. Ἐπὶ γὰρ τιμωρίᾳ τῶν ἐχθρῶν ἀνάγκη τὸν
πολεμήσοντα σὺν αὐτοῖς ἔχειν, καὶ οὐδὲν ἄτοπον εἶναι
τῶν πλησιοχώρων βασιλευομένων τὴν αὐτὴν ἔχειν αὐ-
τοὺς πολιτείαν. Ὁρῶν δ' αὐτοὺς μηδ' ὑπὸ τῶν προει-
ρημένων ἀπεστραμμένους ὁ Σαμούηλος, ἀλλ' ἐπιμένον-
τας, « νῦν μέν, εἶπεν, ἅπιτε πρὸς αὐτοὺς ἕκαστος, με-
« ταπέμψομαι δὲ ὑμᾶς εἰς δέον, ὅταν μάθω παρὰ τοῦ
« Θεοῦ τίνα δίδωσιν ὑμῖν βασιλέα. »

ΚΕΦ. Δ'.

Ἦν δέ τις ἐκ τῆς Βενιαμίτιδος φυλῆς ἀνὴρ εὖ γε-
γονὼς καὶ ἀγαθὸς τὸ ἦθος, Κεῖσος ὄνομα. Τούτῳ
παῖς ὑπῆρχεν. Ἦν δὲ νεανίας τὴν μορφὴν ἄριστος
καὶ τὸ σῶμα μέγας, τό τε φρόνημα καὶ τὴν διάνοιαν
ἀμείνων τῶν βλεπομένων. Σάουλον αὐτὸν ἐκάλουν.
Οὗτος ὁ Κεῖσος, ὄνων αὐτῷ ἐκ τῆς νομῆς καλῶν ἀπο-
πλανηθεισῶν, (ἤδετο γὰρ αὐταῖς ὡς οὐκ ἄλλῳ τινὶ τῶν
κτημάτων,) τὸν υἱὸν μεθ' ἑνὸς θεράποντος ἐπὶ ζήτησιν
τῶν κτηνῶν ἐξέπεμψε. Ὁ δὲ ἐπεὶ τὴν πάτριον πε-
ριῆλθε φυλὴν ἐξερευνῶν τὰς ὄνους, εἰς τὰς ἄλλας
ἀφίκετο· οὐδ' ἐν ταύταις ἐπιτυχὼν ἀπέναι διεγνώκει,
μὴ ποιήσῃ περὶ αὐτοῦ τῷ πατρὶ τὸ λοιπὸν τὴν φρον-
τίδα. Τοῦ δ' ἑπομένου θεράποντος, ὡς ἐγένοντο κατὰ
τὴν Ἁρμαθὰν πόλιν, εἶναι προφήτην ἐν αὐτῇ φήσαντος
ἀληθῆ καὶ πρὸς αὐτὸν βαδίζειν συμβουλεύοντος, (γνώ-
σεσθαι γὰρ παρ' αὐτοῦ τὸ περὶ τῶν ὄνων τέλος,)
οὐδὲν ἔχειν πορευθέντας εἶπεν ἀντὶ τῆς προφητείας, ὃ

« jubebunt, alios vero equites fieri et satellites, itemque
« antecursores, et tribunos ac centuriones : rursusque alios
« artifices facient, armorum et curruum et instrumentorum
« fabricatores; atque etiam aratores et agrorum suorum
« curatores, et vinearum fossores. Nihilque omnino est
« quod non agent, imperio illorum obsequentes, more
« servorum pretio emptorum. Quin et filias vestras un-
« guentarias, coquas et pistrices suas facient, et ad omne
« opus eas adhibebunt ad quod præstandum ex necessitate
« adiguntur ancillæ verberum metu et cruciatuum. Imo et
« possessiones vestras auferent, et eas spadonibus suis asse-
« clisque dabunt, pecorumque greges suorum aliquibus
« distribuent. Ac ut breviter dicam, servi eritis cum ve-
« stris omnibus regi ejusque famulis : qui creatus efficiet ut
« horum sermonum recordemini malaque illa passi resipi-
« scentes Deo supplicetis, ut vestri misereri dignetur, vos-
« que quam celerrime a regum dominatione liberet. Ille
« vero preces vestras non exaudiet, sed vosmet negligendo
« sinet ut mali consilii vestri justam pœnam luatis. »

6. Ad ea autem quæ de rebus eventuris prædicebat surda erat multitudo ac difficile ad opinionem præjudicatam ex animo evellendam, præsertim quum jam in mente firmata esset et stabilita. Nam neque a proposito dimoveri poterant, neque quidquam curæ erat illis quod diceret Samuelus, sed vehementer instabant, et postulabant ut jam regem crearet, nec de futuris semet sollicitum haberet. Nam ut hostes ulciscerentur necesse erat regem illis esse, qui in aciem secum prodiret, nihilque in eo absurdi esse, si, quum vicini regnarentur, ipsi simili in statu viverent. Quum vero vidisset Samuelus nihil illos movisse ea quæ prædicta fuerant, sed in eadem sententia perseverare, « nunc quidem, aiebat, « ad suam quisque domum discedite; quum autem oportebit, « vos accersam, quum primum a Deo accepero quem vobis « regem designet. »

CAP. IV. (V.)

Erat autem quidam ex tribu Benjamitide, vir bene natus et honestis moribus, nomine Cisus. Huic filius erat. Juvenis autem erat forma præstantissima et corpore procero et amplo, quique animo et ingenio plus pollebat quam specie externa. Saulum ipsum appellarunt. Hic Cisus, quum forte asinæ ejus pulcritudine conspicuæ a grege in pascuis aberrarent, (illis enim mirifice præ ceteris quæ possidebat capiebatur,) filium cum uno famulo ad jumenta perquirenda emisit. Ille vero, postquam tribum patriam asinas indagando circumiverat, profectus est ad alias : et quum in illis eas frustra quæsivisset, abire decrevit, ne patri deinceps sollicitudinem de se crearet. Ubi autem prope ad urbem Armatham ventum est, quum ipsius pedissequus eum submonuisset illic verum esse prophetam, consilumque dedisset ut illum adiret, (ab eo enim resciturum quid de asinabus factum esset,) nihil ipsis superesse dicebat, si consultum irent, quo prophetam remunerarent, quod jam exhausti

σθύτερος Ἰώηλος προσηγορεύετο, τῷ δὲ νεωτέρῳ Ἀβία ὄνομα ἦν. Προσέταξε δὲ τὸν μὲν ἐν Βεθήλοις πόλει καθεζόμενον κρίνειν, τὸν δ' ἕτερον ἐν Βαρσουβαί, μερίσας τὸν ὑπακουσόμενον ἑκατέρῳ λαόν. Ἐγένοντο δὲ σαφὲς οὗτοι παράδειγμα καὶ τεκμήριον τοῦ μὴ τὸν τρόπον ὁμοίους τοῖς φύσασι γίνεσθαί τινας, ἀλλὰ τάχα μὲν χρηστοὺς καὶ μετρίους ἐκ πονηρῶν· τότε μέν γε φαύλους ἐξ ἀγαθῶν παρέσχον αὐτοὺς γενομένους. Τῶν γὰρ τοῦ πατρὸς ἐπιτηδευμάτων ἐκτρεπόμενοι καὶ τὴν ἐναντίαν ὁδὸν ἀπελθόντες δώρων καὶ λημμάτων αἰσχρῶν καθυφίεντο τὸ δίκαιον, καὶ τὰς κρίσεις οὐ πρὸς τὴν ἀλήθειαν, ἀλλὰ πρὸς τὸ κέρδος ποιούμενοι καὶ πρὸς τρυφὴν καὶ πρὸς διαίτας πολυτελεῖς ἀπονενευκότες πρῶτον μὲν ὑπεναντία ταῦτα ἔπρασσον τῷ Θεῷ, δεύτερον δὲ τῷ προφήτῃ, πατρὶ δὲ αὐτῶν, ὃς πολλὴν καὶ τοῦ τὸ πλῆθος εἶναι δίκαιον σπουδὴν εἰσεφέρετο καὶ πρόνοιαν.

(Δ'.) γ'. Ὁ δὲ λαὸς, ἐξυβριζόντων εἰς τὴν προτέραν κατάστασιν καὶ πολιτείαν τῶν τοῦ προφήτου παίδων, χαλεπῶς τε τοῖς πραττομένοις ἔφερε καὶ πρὸς αὐτὸν συντρέχουσι, (διέτριβε δ' ἐν Ἁρμαθᾷ πόλει,) καὶ τάς τε τῶν υἱῶν παρανομίας ἔλεγον καὶ ὅτι γηραιὸς αὐτὸς ὢν ἤδη καὶ παρειμένος ὑπὸ τοῦ χρόνου τῶν πραγμάτων οὐκέτι τὸν αὐτὸν προϊστάναι δύναται τρόπον· ἐδέοντό τε καὶ ἱκέτευον ἀποδεῖξαί τινα αὐτῶν βασιλέα, ὃς ἄρξειε τοῦ ἔθνους καὶ τιμωρήσαιτο Παλαιστίνους, ὀφείλοντας ἔτ' αὐτοῖς δίκας τῶν προτέρων ἀδικημάτων. Ἐλύπησαν δὲ σφόδρα τὸν Σαμούηλον οἱ λόγοι, διὰ τὴν σύμφυτον δικαιοσύνην καὶ τὸ πρὸς τοὺς βασιλέας μῖσος· ἤττητο γὰρ δεινῶς τῆς ἀριστοκρατίας, ὡς θείους καὶ μακαρίους ποιούσης τοὺς χρωμένους αὐτῇ τῇ πολιτείᾳ· ὑπὸ δὲ φροντίδος καὶ βασάνου τῆς ἐπὶ τοῖς εἰρημένοις οὔτε τροφῆς ἐμνημόνευσεν οὔτε ὕπνου, δι' ὅλης δὲ τῆς νυκτὸς στρέφων τὰς περὶ τῶν πραγμάτων ἐννοίας διεκαρτέρει.

δ'. Ἔχοντι δὲ οὕτως ἐμφανίζεται τὸ θεῖον καὶ παραμυθεῖται μὴ δυσφορεῖν ἐφ' οἷς ἠξίωσε τὸ πλῆθος, ὡς οὐκ ἐκεῖνον ὑπερηφανήσαντας, ἀλλ' ἑαυτὸν, ἵνα μὴ βασιλεὺς ᾖ μόνος· ταῦτα δὲ ἀφ' ἧς ἡμέρας ἐξήγαγεν αὐτοὺς ἐξ Αἰγύπτου μηχανᾶσθαι τὰ ἔργα. Λήψεσθαι μέντοι γε οὐκ εἰς μακρὰν μετάνοιαν αὐτοὺς ἐπίπονον, ὑφ' ἧς οὐδὲν μὲν ἀγένητον ἔσται τῶν ἐσομένων, ἐλεγχθήσονται δὲ καταφρονήσαντες καὶ βουλὰς οὐκ εὐχαρίστους πρὸς ἐμὲ καὶ τὴν σὴν προφητείαν λαβόντες. Κελεύω δή σε χειροτονεῖν αὐτοῖς ὃν ἂν ἐγώ σοι προείπω βασιλέα, προδηλώσαντα ποταπῶν τε οὗτοι πειραθήσονται βασιλευόμενοι κακῶν καὶ διαμαρτυράμενον ἐφ' οἵαν σπεύδουσι μεταβολήν.

ε'. Ταῦτα ἀκούσας Σαμούηλος ἅμα ἕῳ συγκαλέσας τοὺς Ἰουδαίους ἀποδείξειν αὐτοῖς βασιλέα ὡμολόγησεν, ἔφη δὲ δεῖν πρῶτον μὲν αὐτοῖς ἐκδιηγήσασθαι τὰ παρὰ τῶν βασιλέων ἐσόμενα καὶ ὅσοις συνενεχθήσονται κακοῖς. « Γινώσκετε γὰρ ὅτι πρῶτον μὲν ὑμῶν ἀποσπάσουσι τὰ τέκνα, καὶ τὰ μὲν αὐτῶν ἁρματηλάτας εἶναι

minori vero Abia nomen erat. Iis autem mandavit ut unus quidem in Bethelis, alter vero in Barsube sederet et judicia redderet, populum qui pareret inter eos partitus. Isti autem exemplo erant et indicio, non omnes moribus similes parentibus nasci, sed forte quidem ex malis probos et æquos : tunc vero sese ostendebant pravos ex bono prognatos. Nam a parentis institutis et studiis deflexi, diversamque ab eo viam ingressi, munerum ergo turpisque lucri jus pervertebant, ac in judiciis non ex veritate, sed ad emolumentum suum agentes, solutique in luxum et deliciis sumptuosis dediti, primum quidem hæc adversus Deum patrabant, dein vero contra voluntatem prophetæ, patris illorum, qui multum studii curæque impenderat ut multitudo justitiam coleret.

(IV.) 3. At populus, quum prophetæ filii priorem rerum statum et ordinem injuriis labefactarent, et commissa ægre ferebat, et ad Samuelum frequentes concurrunt, (tum enim in urbe Armatha habitabat,) atque non solum ei de filiorum iniquitatibus narrabant, sed etiam, quod præ senectute et ætatis debilitate non amplius rebus similiter ac antea administrandis par esset, eum orabant simul et obsecrabant ut aliquem ipsis regem crearet, qui posset gentem moderari et gubernare, et a Palæstinis pœnas sibi debitas exigere ob pristinas injurias. Hæc verba Samuelum valde sollicitum habuerunt et anxerunt, propter innatum justitiæ amorem et invisum sibi regium dominatum : nam vehementer captus erat optimatium regimine, ut quod ea reipublicæ forma utentes fere divinos faciat et beatos : verum ex jam dictis adeo curarum plenus erat et cruciatuum, ut nec cibi nec somni capiendi meminerit, sed per totam noctem vigilaret dum *varias* de rebus cogitationes in animo versaret.

4. Quum autem ita se haberet, ei apparuit Deus, eumque consolatur, non oportere ea, quæ postularet populus, ægre ferre, quando non illum, sed ipsummet sprevissent, ne solus rex esset. Hæc autem ab eo die, quo ex Ægypto educti fuerint moliri eos cœpisse. Verumtamen brevi illos pœnitentiam gravem molestamque acturos esse, per quam nihil quidem futuri erit infectum, at contemptus redarguentur, et quod consilia tam in me quam tuam erga prophetiam ingrata ceperint. Jubeo itaque te illum ipsum eis regem constituere quem præmonstravero, quum prius illis mala exposueris, quæ sub regibus passuri sint, et testificatus fueris in qualem se temere conjiciant *rerum* mutationem.

5. Hæc Samuelus quum audisset, convocatis prima luce Judæis, fassus est se regem illis creaturum esse : dicebat autem oportere primum quidem ipsis enarrari, quæ sub regibus futura essent, et quibus malis foret ut conflictarentur. « Scitote enim, *inquit*, quod primum quidem liberos a « vobis abstrahent, et alios quidem illorum currus agitare

« κελεύσουσι, τοὺς δ' ἱππεῖς καὶ σωματοφύλακας, δρο-
« μεῖς δὲ ἄλλους καὶ χιλιάρχους καὶ ἑκατοντάρχους·
« ποιήσουσι δὲ καὶ τεχνίτας, ὁπλοποιοὺς καὶ ἁρματο-
« ποιοὺς καὶ ὀργάνων τέκτονας, γεωργούς τε καὶ τῶν
« ἰδίων ἀγρῶν ἐπιμελητὰς καὶ σκαπανεῖς ἀμπέλων, καὶ
« οὐδέν ἐστιν ὃ μὴ κελευόμενοι ποιήσουσιν, ἀνδραπό-
« δων ἀργυρωνήτων τρόπον. Καὶ τὰς θυγατέρας δὲ
« ὑμῶν μυρεψοὺς ἀποφανοῦσι, καὶ ὀψοποιοὺς καὶ σιτο-
« ποιούς, καὶ πᾶν ἔργον, ὃ θεραπαινίδες ἐξ ἀνάγκης
« πληγὰς φοβούμεναι καὶ βασάνους ὑπηρετοῦσι. Κτῆ-
« σιν δὲ τὴν ὑμετέραν ἀφαιρήσονται, καὶ ταύτην εὐνού-
« χοις καὶ σωματοφύλαξι δωρήσονται, καὶ βοσκημάτων
« ἀγέλας τοῖς αὐτῶν προσνεμοῦσιν. Συνελόντι δ' εἰ-
« πεῖν, δουλεύσετε μετὰ πάντων τῶν ὑμετέρων τῷ βα-
« σιλεῖ καὶ τοῖς αὐτοῦ οἰκέταις· ὃς γενόμενος μνήμην
« ὑμῖν τῶνδε τῶν λόγων γεννήσει καὶ τὸ πάσχειν αὐτὰ
« καὶ μεταγινώσκοντας ἱκετεῦσαι τὸν Θεὸν ἐλεῆσαί τε
« ὑμᾶς καὶ δωρήσασθαι ταχεῖαν ἀπαλλαγὴν τῶν βασι-
« λέων. Ὁ δ' οὐ προσδέξεται τὰς δεήσεις ὑμῶν, ἀλλὰ
« παραπέμψας ἐάσει δικαίαν ὑποσχεῖν ὑμᾶς τιμωρίαν
« τῆς ἑαυτῶν κακοβουλίας. »

ς'. Ἦν δ' ἄρα καὶ πρὸς τὰς προρρήσεις τῶν συμβη-
σομένων ἀνόητον τὸ πλῆθος καὶ δύσκολον ἐξελεῖν τῆς
διανοίας κρίσιν ἤδη παρὰ τῷ λογισμῷ καθιδρυμένην.
Οὐδὲ γὰρ ἐπεστράφησαν, οὐδ' ἐμέλησεν αὐτοῖς τῶν
Σαμουήλου λόγων, ἀλλ' ἐνέκειντο λιπαρῶς, καὶ χει-
ροτονεῖν ἠξίουν ἤδη τὸν βασιλέα καὶ μὴ φροντίζειν τῶν
ἐσομένων. Ἐπὶ γὰρ τιμωρίᾳ τῶν ἐχθρῶν ἀνάγκη τὸν
πολεμήσοντα σὺν αὐτοῖς ἔχειν, καὶ οὐδὲν ἄτοπον εἶναι
τῶν πλησιοχώρων βασιλευομένων τὴν αὐτὴν ἔχειν αὐ-
τοὺς πολιτείαν. Ὁρῶν δ' αὐτοὺς μηδ' ὑπὸ τῶν προει-
ρημένων ἀπεστραμμένους ὁ Σαμούηλος, ἀλλ' ἐπιμένον-
τας, « νῦν μέν, εἶπεν, ἄπιτε πρὸς αὐτοὺς ἕκαστος, με-
« ταπέμψομαι δὲ ὑμᾶς εἰς δέον, ὅταν μάθω παρὰ τοῦ
« Θεοῦ τίνα δίδωσιν ὑμῖν βασιλέα. »

ΚΕΦ. Δ'.

Ἦν δέ τις ἐκ τῆς Βενιαμίτιδος φυλῆς ἀνὴρ εὖ γε-
γονὼς καὶ ἀγαθὸς τὸ ἦθος, Κεῖσος ὄνομα. Τούτῳ
παῖς ὑπῆρχεν. Ἦν δὲ νεανίας τὴν μορφὴν ἄριστος
καὶ τὸ σῶμα μέγας, τό τε φρόνημα καὶ τὴν διάνοιαν
ἀμείνων τῶν βλεπομένων. Σάουλον αὐτὸν ἐκάλουν.
Οὗτος ὁ Κεῖσος, ὄνων αὐτῷ ἐκ τῆς νομῆς καλῶν ἀπο-
πλανηθεισῶν, (ἤδετο γὰρ αὐταῖς ὡς οὐκ ἄλλῳ τινὶ τῶν
κτημάτων,) τὸν υἱὸν μεθ' ἑνὸς θεράποντος ἐπὶ ζήτησιν
τῶν κτηνῶν ἐξέπεμψε. Ὁ δὲ ἐπεὶ τὴν πάτριον πε-
ριῆλθε φυλὴν ἐξερευνῶν τὰς ὄνους, εἰς τὰς ἄλλας
ἀφίκετο· οὐδ' ἐν ταύταις ἐπιτυχὼν ἀπιέναι διεγνώκει,
μὴ ποιήσῃ περὶ αὐτοῦ τῷ πατρὶ τὸ λοιπὸν τὴν φροντίδα. Τοῦ δ' ἑπομένου θεράποντος, ὡς ἐγένοντο κατὰ
τὴν Ἁρμαθὰν πόλιν, εἶναι προφήτην ἐν αὐτῇ φήσαντος
ἀληθῆ καὶ πρὸς αὐτὸν βαδίζειν συμβουλεύοντος, (γνώ-
σεσθαι γὰρ παρ' αὐτοῦ τὸ περὶ τῶν ὄνων τέλος,)
οὐδὲν ἔχειν πορευθέντας εἶπεν ἀντὶ τῆς προφητείας, ὃ

« jubebunt, alios vero equites fieri et satellites, itemque
« antecursores, et tribunos ac centeriones : rursusque alios
« artifices facient, armorum et curruum et instrumentorum
« fabricatores; atque etiam aratores et agrorum suorum
« curatores, et vinearum fossores. Nihilque omnino est
« quod non agent, imperio illorum obsequentes, more
« servorum pretio emptorum. Quin et filias vestras un-
« guentarias, coquas et pistrices suas facient, et ad omne
« opus eas adhibebunt ad quod præstandum ex necessitate
« adiguntur ancillæ verberum metu et cruciatuum. Imo et
« possessiones vestras auferent, et eas spadonibus suis asse-
« clisque dabunt, pecorumque greges suorum aliquibus
« distribuent. Ac ut breviter dicam, servi eritis cum ve-
« stris omnibus regi ejusque famulis : qui creatus efficiet ut
« horum sermonum recordemini malaque illa passi resipi-
« scentes Deo supplicetis, ut vestri misereri dignetur, vos-
« que quam celerrime a regum dominatione liberet. Ille
« vero preces vestras non exaudiet, sed vosmet negligendo
« sinet ut mali consilii vestri justam pœnam luatis. »

6. Ad ea autem quæ de rebus eventuris prædicebat surda erat multitudo ac difficile ad opinionem præjudicatam ex animo evellendam, præsertim quum jam in mente firmata esset et stabilita. Nam neque a proposito dimoveri poterant, neque quidquam curæ erat illis quod diceret Samuelus, sed vehementer instabant, et postulabant ut jam regem crearet, nec de futuris semet sollicitum haberet. Nam ut hostes ulciscerentur necesse erat regem illis esse, qui in aciem secum prodiret, nihilque in eo absurdi esse, si, quum vicini regnarentur, ipsi simili in statu viverent. Quum vero vidisset Samuelus nihil illos movisse ea quæ prædicta fuerant, sed in eadem sententia perseverare, « nunc quidem, aiebat,
« ad suam quisque domum discedite; quum autem oportebit,
« vos accersam, quum primum a Deo accepero quem vobis
« regem designet. »

CAP. IV. (V.)

Erat autem quidam ex tribu Benjamitide, vir bene natus et honestis moribus, nomine Cisus. Huic filius erat. Juvenis autem erat forma præstantissima et corpore procero et amplo, quique animo et ingenio plus pollebat quam specie externa. Saulum ipsum appellarunt. Hic Cisus, quum forte asinæ ejus pulcritudine conspicuæ a grege in pascuis aberrarent, (illis enim mirifice præ ceteris quæ possidebat capiebatur,) filium cum uno famulo ad jumenta perquirenda emisit. Ille vero, postquam tribum patriam asinas indagando circumiverat, profectus est ad alias : et quum in illis eas frustra quæsivisset, abire decrevit, ne patri deinceps sollicitudinem de se crearet. Ubi autem prope ad urbem Armatham ventum est, quum ipsius pedissequus eum submonuisset illic verum esse prophetam, consilumque dedisset ut illum adiret, (ab eo enim resciturum quid de asinabus factum esset,) nihil ipsis superesse dicebat, si consultum irent, quo prophetam remunerarent, quod jam exhausti

καὶ παράσχωσιν αὐτῷ· κεκενῶσθαι γὰρ ἤδη τῶν ἐφοδίων. Τοῦ δ' οἰκέτου τέταρτον αὐτῷ παρεῖναι σίκλου φήσαντος καὶ τοῦτο δώσειν, (ὑπὸ γὰρ ἀγνοίας τοῦ μὴ λαμβάνειν τὸν προφήτην μισθὸν ἐπλανῶντο,) παραγίνονται. Καὶ πρὸς ταῖς πύλαις περιτυχόντες παρθένοις ἐφ' ὕδωρ βαδιζούσαις, ἐρωτῶσιν αὐτὰς τοῦ προφήτου τὴν οἰκίαν. Αἱ δὲ σημαίνουσι, καὶ σπεύδειν παρεκελεύσαντο, πρὶν αὐτὸν εἰς τὸ δεῖπνον κατακλιθῆναι· πολλοὺς γὰρ ἑστιᾶν καὶ προκατακλίνεσθαι τῶν κεκλημένων. Ὁ δὲ Σαμούηλος διὰ τοῦτο πολλοὺς ἐπὶ τὴν ἑστίαν τότε συνήγαγε· δεομένῳ γὰρ κατὰ πᾶσαν ἡμέραν αὐτῷ τοῦ Θεοῦ προειπεῖν τίνα ποιήσει βασιλέα, τῇ παρελθούσῃ τοῦτον μηνύσαντος, (πέμψειν γὰρ αὐτὸς τινὰ νεανίσκον ἐκ τῆς Βενιαμίτιδος φυλῆς, κατὰ τήνδε τὴν ὥραν,) αὐτὸς μὲν ἐπὶ τοῦ δώματος καθεζόμενος ἐξεδέχετο τὸν καιρὸν γενέσθαι, πληρωθέντος δ' αὐτοῦ καταβὰς ἐπὶ τὸ δεῖπνον ἐπορεύετο. Συναντᾷ δὲ τῷ Σαούλῳ καὶ ὁ Θεὸς αὐτῷ σημαίνει τοῦτον εἶναι τὸν ἄρξειν μέλλοντα. Σάουλος δὲ πρόσεισι τῷ Σαμούήλῳ, καὶ προσαγορεύσας ἐδεῖτο μηνύειν τὴν οἰκίαν τοῦ προφήτου· ξένος γὰρ ὢν ἀγνοεῖν ἔφασκε. Τοῦ δὲ Σαμούήλου φράσαντος αὐτὸν εἶναι καὶ ἄγοντος ἐπὶ τὸ δεῖπνον, ὡς τῶν ὄνων ἐφ' ὧν τὴν ζήτησιν ἐκπεμφθεὶη σεσωσμένων, τά τε πάντων ἀγαθὰ ἔχειν αὐτῷ κεκυρωμένα, προστυχών, « ἀλλ' ἤττων, εἶπεν, ἐγὼ, δέσποτα, ταύτης τῆς ἐλπί- « δος καὶ φυλῆς μικροτέρας ἢ βασιλέας ποιεῖν καὶ πα- « τριᾶς ταπεινοτέρας τῶν ἄλλων πατριῶν. Σὺ δὲ παίζεις « καὶ γέλωτά με τίθεσαι περὶ μειζόνων ἢ κατὰ τὴν ἐμὴν « χρείαν διαλεγόμενος ». Ὁ δὲ προφήτης ἀγαγὼν αὐτὸν ἐπὶ τὴν ἑστίασιν κατακλίνει καὶ τὸν ἀκόλουθον ἐπάνω τῶν κεκλημένων· οὗτοι δ' ἦσαν ἑβδομήκοντα τὸν ἀριθμόν· προστάσσει δὲ τοῖς διακόνοις παραθεῖναι τῷ Σαούλῳ μερίδα βασιλικήν. Ἐπεὶ δ' ἡ κοίτης ὥρα προσῆγεν, οἱ μὲν ἀναστάντες ἀνέλυον πρὸς αὑτοὺς ἕκαστοι, ὁ δὲ Σάουλος παρὰ τῷ προφήτῃ σὺν τῷ θεράποντι κατεκοιμήθη.

β'. Ἅμα δὲ ἡμέρᾳ Σαμούήλος ἀναστήσας αὐτὸν ἐκ τῆς κοίτης προὔπεμψε. Καὶ γενόμενος ἔξω τῆς πόλεως ἐκέλευε τὸν μὲν θεράποντα ποιῆσαι προελθεῖν, ὑπολείπεσθαι δὲ αὐτόν· ἔχειν γὰρ αὐτῷ τι φράσαι μηδενὸς ἄλλου παρόντος. Καὶ ὁ μὲν Σάουλος ἀποπέμπεται τὸν ἀκόλουθον. Λαβὼν δ' ὁ προφήτης τὸ ἄγιον ἔλαιον καταχεῖ τῆς τοῦ νεανίσκου κεφαλῆς καὶ κατασπασάμενος, « ἴσθι, φησὶ, βασιλεὺς ὑπὸ τοῦ Θεοῦ κεχειροτο- « νημένος, ἐπὶ Παλαιστίνους τε καὶ τὴν ὑπὲρ Ἑβραίων « ἄμυναν. Τούτων δ' ἔσται σοι σημεῖον ὅ σε βούλο- « μαι προγινώσκειν. Ὅταν ἀπέλθῃς ἐντεῦθεν, καταλή- « ψει τρεῖς ἀνθρώπους ἐν τῇ ὁδῷ προσκυνῆσαι τὸν Θεὸν « πορευομένους εἰς Βέθηλα. Ὧν τὸν μὲν πρῶτον τρεῖς « ἄρτους ὄψει κομίζοντα, τὸν δὲ δεύτερον ἔριφον, ὁ τρί- « τος δὲ ἀσκὸν οἴνου φέρων ἀκολουθήσει. Ἀσπάσονταί « σέ σε οὗτοι καὶ φιλοφρονήσονται καὶ δώσουσί σοι ἄρ- « τους δύο· σὺ δ' λήψει. Κἀκεῖθεν ἥξεις εἰς τὸ Ῥαχήλας καλούμενον μνημεῖον, ὅπου συμβαλεῖς τῷ σε-

essent viaticis. At quum famulus subjecisset, sibi esse quadrantem sicli, eumque se daturum, (errabant enim quod nescirent prophetam mercedem non accipere), ad eum se conferunt. Atque ad portas obviam facti puellis, quæ aquatum exibant, quærunt ex eis ubi esset prophetæ domus. Illæ vero monstrant, jusseruntque properare, priusquam ille epulis accumberet : multos enim eum convivio excipere et ante invitatos discumbere. Tum autem Samuelus hac ipsa de causa plurimos ad epulum convocaverat. Nam quum ei quotidie Deum oranti ut prædiceret quem constituturus sit regem, pridie hunc ipsum indicasset, (illa enim hora missurum se Benjamitam quendam juvenem,) ille quidem in conclavi sedens exspectabat dum tempus adesset, eo vero exacto descendebat ad cœnam iturus. Saulo autem obviam fit atque ei suggerit Deus, hunc esse qui populum imperio regeret. Saulus vero ad Samuelum accedit, eumque salutatum rogabat ut sibi ostenderet ubinam propheta habitaret : se enim utpote hospitem hoc ignorare dicebat. Quum autem ille respondisset se eum esse, et ad cœnam duceret; asinas ad quas vestigandas esset missus salvas esse, ipsumque omnium bona in sua potestate habere, quod in ipsum inciderit : « at supra spem, aiebat, « meam sunt ista, domine, et de tribu sum minori quam ut « reges faceret, et de familia ceteris familiis humiliori. Tu « vero me ludis et deridendum propinas, ut qui de rebus « majoribus quam mea fert conditio loquaris. » At propheta ipsum ad convivium deducens accumbere facit, ejusque famulum, supra alios invitatos, (illi autem erant septuaginta numero,) jubetque ministris Saulo apponere portionem regiam. Quum vero hora cubitus venisset, alii quidem domum quisque suam discedebant, at Saulus apud prophetam cum famulo somno se dedit.

2. Quum autem sub ortum auroræ Samuelus illum e lectulo suscitasset, abeuntem deduxit. Atque, simul ac urbem egressus erat, monebat ut famulum juberet ipsos pervertere, ipse autem paulisper restaret : esse enim quod sine arbitris illi vellet dicere. Tum Saulus famulum quidem ablegat. Propheta autem sumptum sacrum oleum in caput juvenis effundit, eumque deosculatus, « scias, inquit, « regem te a Deo constitutum, ad Palæstinos persequendos « et Hebræos vindicandos. Horum autem tibi signum erit « quod te volo præscire. Quum hinc digressus fueris, offen- « des in itinere tres homines Bethela euntes ad Deum ado- « randum. Quorum primum quidem tres panes portantem « videbis, secundum vero hœdum, tertius autem utrem « vini bajulans eos comitabitur. Isti te salutabunt comi- « terque appellabunt, et duos tibi panes dabunt, tu vero « eos accipies. Et inde venies ad locum Rachelæ sepul- « crum nominatum, ubi homini occurres, qui tibi nunciabit

« σῶσθαί σοι τὰς ὄνους εὐαγγελιουμένῳ. Ἔπειτ' « ἐκεῖθεν ἐλθὼν εἰς Γαβαθὰ προφήταις ἐκκλησιάζουσιν « ἐπιτεύξει, καὶ γενόμενος ἔνθεος προφητεύσεις σὺν αὐ- « τοῖς, ὡς πάνθ' ὁντινοῦν ὁρῶντα ἐκπλήττεσθαί τε καὶ « θαυμάζειν, λέγοντα πόθεν εἰς τοῦτο εὐδαιμονίας ὁ « Κείσου παῖς παρῆλθεν; Ὅταν δέ σοι ταῦτα γένηται « τὰ σημεῖα, τὸν Θεὸν ἴσθι μετὰ σοῦ τυγχάνοντα, « ἀσπασαί τε τὸν πατέρα σου καὶ τοὺς συγγενεῖς. Ἥξεις « δὲ μετάπεμπτος εἰς Γάλγαλα ὑπ' ἐμοῦ, ἵνα χαρι- « στήρια τούτων θύσωμεν τῷ Θεῷ. » Φράσας ταῦτα καὶ προειπὼν ἀποπέμπει τὸν νεανίσκον. Τῷ Σαούλῳ δὲ πάντα κατὰ τὴν προφητείαν Σαμουήλου ἀπήντησεν.

γ'. Ὡς δ' ἦλθεν εἰς τὴν οἰκίαν τοῦ συγγενοῦς αὐτοῦ Ἀβηνάρου, (καὶ γὰρ ἐκεῖνον τῶν ἄλλων οἰκείων μᾶλλον ἔστεργεν,) ἀνερωτῶντος περὶ τῆς ἀποδημίας καὶ τῶν κατ' αὐτὴν γεγονότων, τῶν μὲν ἄλλων οὐδὲν ἀπεκρύψατο, οὐδ' ὡς ἀφίκοιτο παρὰ Σαμούηλον τὸν προφήτην, οὐδ' ὡς ἐκεῖνος αὐτῷ σεσῶσθαι τὰς ὄνους ἔφρασε· περὶ δὲ τῆς βασιλείας καὶ τῶν κατ' αὐτὴν, ἃ καὶ φθόνον ἀκουόμενα καὶ ἀπιστίαν ἔγειν ὤετο, σιωπᾷ πρὸς αὐτόν· καὶ οὐδὲ πρὸς εὖνουν σφόδρα δοκοῦντα εἶναι καὶ περισσότερον τῶν ἀφ' αἵματος ὑπ' αὐτοῦ στεργόμενον ἀσφαλὲς ἢ σῶφρον ἔδοξε μηνύειν· λογισάμενος, οἶμαι, τὴν ἀνθρωπίνην φύσιν οἷα ταῖς ἀληθείαις ἐστὶν, ὅτι βεβαίως οὐδεὶς εὔνους οὔτε φίλων οὔτε συγγενῶν, οὐδ' ἄχρι τῶν παρὰ τοῦ Θεοῦ λαμπρῶν ἀποσώζει τὴν διάθεσιν, ἀλλὰ πρὸς τὰς ὑπεροχὰς κακοήθεις τυγχάνουσιν ἤδη καὶ βάσκανοι.

δ'. Σαμούηλος δὲ συγκαλεῖ τὸν λαὸν εἰς Μασφαθὴν πόλιν, καὶ πρὸς αὐτὸν διατίθεται λόγους, οὓς κατ' ἐντολὴν φράζειν ἔλεγεν τοῦ Θεοῦ, ὅτι, τὴν ἐλευθερίαν αὐτοῖς ἐκείνου παρασχόντος καὶ τοὺς πολεμίους δουλώσαντος, ἀμνημονήσειαν τῶν εὐεργεσιῶν, καὶ τὸν μὲν Θεὸν ἀποχειροτονοῦσι τῆς βασιλείας, οὐκ εἰδότες ὡς συμφορώτατον ὑπὸ τοῦ πάντων ἀρίστου προστατεῖσθαι, Θεὸς δὲ πάντων ἄριστος, αἱροῦνται δ' ἔχειν ἄνθρωπον βασιλέα, ὃς ὡς κτήμασι τοῖς ὑποτεταγμένοις κατὰ βούλησιν καὶ ἐπιθυμίαν καὶ τῶν ἄλλων παθῶν ὁρμὴν χρήσεται, τῆς ἐξουσίας ἀφειδῶς ἐμφορούμενος, ἀλλ' οὐχ ὡς ἴδιον ἔργον καὶ κατασκεύασμα τὸ τῶν ἀνθρώπων γένος οὕτω διατηρῆσαι σπουδάσει, ὁ Θεὸς δὲ κατὰ ταύτην τὴν αἰτίαν κήδοιτο. Ἀλλ' ἐπεὶ δέδοκται ταῦτα ὑμῖν καὶ κεκράτηκεν ἡ πρὸς τὸν Θεὸν ὕβρις, τάχθητε πάντες κατὰ φυλάς τε καὶ σκῆπτρα, καὶ κλήρους βάλετε.

ε'. Ποιησάντων δὲ τοῦτο τῶν Ἑβραίων, ὁ τῆς Βενιαμίτιδος κλῆρος ἐξέπεσε. Ταύτης δὲ κληρωθείσης ἔλαχεν ἡ Ματρὶς καλουμένη πατριὰ, ἧς κατ' ἄνδρα κληρωθείσης λαγχάνει ὁ Κείσου βασιλεύειν παῖς Σάουλος. Γνοὺς δὲ τοῦτο ὁ νεανίσκος, φθάσας ἐκ ποδῶν αὐτὸν ποιεῖ, μὴ βουλόμενος, οἶμαι, δοκεῖν τὴν ἀρχὴν ἑκὼν λαμβάνειν. Ἀλλὰ τοσαύτην ἐνεδείξατο ἐγκράτειαν καὶ σωφροσύνην, ὥστε τῶν πλείστων οὐδ' ἐπὶ

« salvas esse asinas. Dein illinc quum ad Gabatha perve- « neris, incides in cœtum prophetarum, et divino correptus « spiritu cum eis vaticinaberis, adeo ut omnibus, quicun- « que viderint, rei miraculo attonitis mirari subeat, dicen- « tibus, Unde eo felicitatis devenit Cisi filius? Quum vero « hæc tibi signa evenisse contigerit, scito tibi Deum adesse : « patremque tuum et cognatos saluta. Venies autem Gal- « gala, quum te accersivero, ut pro his Deo pacificas ho- « stias immolemus ». Quum hæc dixisset et prænunciasset, juvenem dimittit. Saulo autem omnia acciderunt quæ Samuelus prædixerat.

3. Ut vero in domum reversus est Abenari cognati sui, (etenim ipsum præ ceteris sibi propinquis diligebat,) eo percontante quo ipsis iter fuerit, et quidnam eis in illo acciderit, aliorum nihil ipsum celavit, neque quod Samuelum prophetam adierit, neque quod is asinas sibi salvas esse dixerit : de regno autem rebusque eo spectantibus, quæ audita invidiam movere fidemque haud impetrare posse putabat, illa apud ipsum silentio transit; et neque tutum aut prudentis esse visum est ea cum illo communicare, etiamsi sibi amicissimus esse videretur, et quem magis quam consanguineos suos amaret, quod secum, ut arbitror, reputarit tale revera esse hominum ingenium, ut nemo neque amicorum neque cognatorum solide benevolus sit, neque usque dum quis felicitate a Deo cumuletur, eundem servet affectum, sed emineatiores quosque malevolentia prosequatur et invidia.

4. Porro Samuelus populum convocat ad urbem Masphathen, eosque iis verbis alloquitur, quæ ex Dei jussu se facere aiebat : quod, quum ipse illos in libertatem vindicasset et hostes iis subjecisset, beneficiorum parum memores fuerint, et ipsi quidem Deo regnum abjudicent, nescientes maxime e re sua ut omnium optimus ipsos moderaretur : Deus autem omnium præstantissimus. Verumtamen hominem sibi regem esse malunt; qui subditis tanquam pecudibus pro arbitrio et libidine et ex affectuum aliorum impetu dominabitur, potestati suæ immodice indulgens : atqui non ut a se factum et conditum ita conservare studebit humanum genus, quum Deus hanc ipsam ob causam *vestri* curam agat. Sed quoniam hæc vobis placuerunt, et eo contumeliæ in Deum deventum est, curate ut omnes juxta tribus et sceptra distributi sint, dein ut sortes jaciantur.

5. Quum autem Hebræi hoc fecissent, Benjamitidi tribui sors obvenit. Illa vero ducta per cognationes, designata est cognatio Matris appellata; quæ quum viritim sortiretur, Saulo Cisi filio regnum obtigit. Ceterum ubi hæc res juveni innotuit, illico se abscondit, nolens, ut arbitror, ad regnum videri lubenti animo accedere. Sed eam præ se tulit moderationem et modestiam, ut, quum plerique ex parva felicitate vix sui præ lætitia sint compotes, sed sese

μικραῖς εὐπραγίαις τὴν χαρὰν κατασχεῖν δυναμένων, ἀλλ' εἰς τὸ πᾶσι γενέσθαι φανεροὺς προπιπτόντων, ὁ δ' οὐ μόνον οὐδὲν ἐνέφηνε τοιοῦτον ἐπὶ βασιλείᾳ καὶ τῷ τοσούτων καὶ τηλικούτων ἐθνῶν ἀποδεδεῖχθαι δεσπότης, ἀλλὰ καὶ τῆς ὄψεως αὐτὸν τῆς τῶν βασιλευθησομένων ἐξέκλεψε, καὶ ζητεῖν αὐτὸν καὶ περὶ τοῦτο πονεῖν παρεσκεύασεν. Ὧν ἀμηχανούντων καὶ φροντιζόντων ὅτι γένοιτο ἀφανὴς ὁ Σάουλος, ὁ προφήτης ἱκετεύει τὸν Θεὸν δεῖξαι ποῦ ποτ' εἴη, καὶ παρασχεῖν εἰς ἐμφανὲς τὸν νεανίσκον. Μαθὼν δὲ παρὰ τοῦ Θεοῦ τὸν τόπον ἔνθα κέκρυπται ὁ Σάουλος, πέμπει τοὺς ἄξοντας αὐτὸν, καὶ παραγενόμενον ἵστησι μέσον τοῦ πλήθους. Ἐξεῖχε δ' αὐτῶν ἁπάντων καὶ τὸ ὕψος ἦν βασιλικώτατος.

ϛ'. Λέγει δὲ ὁ προφήτης, « τοῦτον ὑμῖν ὁ Θεὸς « ἔδωκε βασιλέα. Ὁρᾶτε δὲ ὡς καὶ κρείττων ἐστὶ « πάντων καὶ τῆς ἀρχῆς ἄξιος ». Ὡς δ' ἐπευφήμησε τῷ βασιλεῖ σωτηρίαν ὁ λαὸς, τὰ μέλλοντα συμβήσεσθαι καταγράψας αὐτοῖς ὁ προφήτης, ἀνέγνω τοῦ βασιλέως ἀκροωμένου, καὶ τὸ βιβλίον τίθησιν ἐν τῇ τοῦ Θεοῦ σκηνῇ, ταῖς μετέπειτα γενεαῖς εἰς μαρτύριον ὧν προείρηκε. Ταῦτ' ἐπιτελέσας ὁ Σαμούηλος ἀπολύει τὴν πληθύν. Καὶ αὐτὸς δὲ εἰς Ἀρμαθὰν παραγίνεται πόλιν· πατρὶς γὰρ ἦν αὐτῷ. Σαούλῳ δ' ἀπερχομένῳ εἰς Γαβαθὴν, ἐξ ἧς ὑπῆρχε, συνήρχοντο πολλοὶ μὲν ἀγαθοὶ, τὴν προσήκουσαν βασιλεῖ τιμὴν νέμοντες, πονηροὶ δὲ πλείους, οἳ κατεφρόνουν τ' αὐτοῦ καὶ τοὺς ἄλλους ἐχλεύαζον, καὶ οὔτε δῶρα προσέφερον οὔτ' ἐν σπουδῇ καὶ λόγῳ τὸ ἀρέσκεσθαι τὸν Σάουλον ἐτίθεντο.

ΚΕΦ. Ε'.

Μηνὶ δ' ὕστερον ἄρχει τῆς παρὰ πάντων αὐτῷ τιμῆς ὁ πρὸς Ναάσην πόλεμος, τὸν Ἀμμανιτῶν βασιλέα. Οὗτος γὰρ πολλὰ κακὰ τοὺς πέραν τοῦ Ἰορδάνου ποταμοῦ κατῳκημένους τῶν Ἰουδαίων διατίθησι, μετὰ πολλοῦ καὶ μαχίμου στρατεύματος διαβὰς ἐπ' αὐτοὺς, καὶ τὰς πόλεις αὐτῶν εἰς δουλείαν ὑπάγεται, ἰσχύι μὲν καὶ βίᾳ πρὸς τὸ παρὸν αὐτοὺς χειρωσάμενος, σοφίᾳ δὲ καὶ ἐπινοίᾳ πρὸς τὸ μηδ' αὖθις ἀποστάντας δυνηθῆναι τὴν ὑπ' αὐτῷ δουλείαν διαφυγεῖν, ἀσθενεῖς ποιῶν. Τῶν γὰρ ἢ κατὰ πίστιν ὡς αὐτὸν ἀφικνουμένων, ἢ λαμβανομένων πολέμου νόμῳ, τοὺς δεξιοὺς ὀφθαλμοὺς ἐξέκοπτε. Ἐποίει δὲ τοῦθ', ὅπως, τῆς ἀριστερᾶς αὐτοῖς ὄψεως ὑπὸ τῶν θυρεῶν καλυπτομένης, ἄχρηστοι παντελῶς εἶεν. Καὶ ὁ μὲν τῶν Ἀμμανιτῶν βασιλεὺς ταῦτ' ἐργασάμενος τοὺς πέραν τοῦ Ἰορδάνου ἐπὶ τοὺς Γαλαδηνοὺς λεγομένους ἐπεστράτευσε. Καὶ στρατοπεδευσάμενος πρὸς τῇ μητροπόλει τῶν πολεμίων, (Ἰαβὶς δ' ἐστὶν αὕτη,) πέμπει πρὸς αὐτοὺς πρέσβεις, κελεύων ἢ παραδοῦναι σφᾶς αὐτοὺς ἐπὶ τῷ τοὺς δεξιοὺς αὐτῶν ὀφθαλμοὺς ἐξορύξαι, ἢ πολιορκῆσαι ἠπείλει καὶ τὰς πόλεις αὐτῶν ἀναστήσειν· τὴν δ' αἵρεσιν ἐπ' αὐτοῖς εἶναι, πότερόν ποτε βραχύ τι τοῦ σώματος ἀποτεμεῖν ἐθέλουσιν, ἢ πάντες ἀπολωλέναι. Οἱ δὲ Γαλαδηνοὶ καταπλαγέντες πρὸς οὐδέτερον μὲν ἐτόλμη-

ostentantes omnium in oculos ingerant, ille, tot licet tantorumque populorum dominus constitutus, ab hujusmodi ostentatione ex regno sibi delato tam procul abfuit, ut sese e conspectu illorum quibus erat imperaturus clam subduxerit, feceritque ut ab illis non sine labore perquireretur. Quibus, quod Saulus nusquam comparuerit, ad angustias redactis et valde sollicitis, propheta Deum obsecrat, ut ostenderet ubi esset, et juvenem omnibus conspiciendum sisteret. Quum vero ex Deo rescivisset latebras in quas se abdiderat Saulus, mittit qui eum adducant. Ac postquam venit, in medio populi eum collocat. Illos vero omnes superemineabat, et ipsa statura præ ceteris forma esse regia videbatur.

6. Tum vero propheta, « Hunc, inquit, vobis regem « Deus tradidit. Videte ut excellit omnibus et imperio se « dignum prodit ». Quumque populus acclamasset, Vivat rex, propheta, qui illis perscripserat omnia quæ eventura essent, recitavit ea coram rege, librumque in Dei tabernaculo reposuit, ut in omne ævum testimonio esset quod ea prædixerit. Hæc ubi perfecerat Samuelus, populum domum dimittit : atque ipse in urbem Armatham profectus est; ei enim patria erat. Saulo vero Gabatham, ex qua erat, abeunte, boni quidem multi eum comitabantur, debitum regi honorem præstantes, plures vero improbi, qui et ipsum contemptui habebant et ceteros etiam irridebant, et neque munera afferebant, neque data opera aut verbis testari volebant sibi Saulum placere.

CAP. V.

At post unum mensem ei auctoritatem apud omnes peperit bellum, quod gessit cum Naase rege Ammanitarum. Hic enim Judæis ultra Jordanem habitantibus, expeditione in eos facta cum magno et forti exercitu, multa infert mala, urbesque eorum in servitutem adducit, eos quidem, quos vi et violentia in præsens subegerat, astuto callidoque commento eo impotentiæ redigens, ut si quando ab eo desciscere vellent, nulla eis superesset servitutis sub ipso effugiendæ potestas. Nam illis, qui aut fide data sese dediderunt, aut jure belli capti erant, dextros oculos effodiebat, eo consilio, ut, sinistro oculo illis sub scuto latente, prorsus essent inutiles. Et hæc quidem rex Ammanitarum quum fecisset habitantibus trans Jordanem, exercitum in eos educebat qui Galadeni vocantur. Ac castra metatus apud primariam hostium urbem (illa autem Jabis est,) legatos ad eos mittit cum monitis minisque, ut aut ea conditione deditionem facerent, ut dextros eis oculos erueret, aut exspectarent se ipsos obsessurum esse, urbesque eorum funditus eversurum : penesque illos esse eligendi optionem, utrum velint particulam corporis amittere, aut universi perire. Galadeni vero, metu perterriti, ad neutrum quidem horum ausi sunt quidquam respondere, neque si

σαν οὐδὲν εἰπεῖν, οὔτ' εἰ παραδιδόασιν αὐτοὺς οὔτ' εἰ πολεμοῦσιν, ἀνοχὴν δ' ἡμερῶν ἑπτὰ λαβεῖν ἠξίωσαν, ἵνα πρεσβευσάμενοι πρὸς τοὺς ὁμοφύλους παρακαλέσωσι συμμαχεῖν αὐτοῖς, καὶ εἰ μὲν ἔλθοι βοήθεια, πολεμῶσιν, εἰ δ' ἄπορα εἴη τὰ παρ' ἐκείνων, παραδώσειν αὐτοὺς ἔφασκον, ἐπὶ τῷ παθεῖν ὅ τι ἂν αὐτῷ δοκῇ.

β'. Ὁ δὲ Ναάσης, καταφρονήσας τοῦ τῶν Γαλαδηνῶν πλήθους καὶ τῆς ἀποκρίσεως αὐτῶν, δίδωσί τε αὐτοῖς τὴν ἀνοχὴν καὶ πέμπειν πρὸς οὓς ἂν θέλωσι συμμάχους ἐπιτρέπει. Πέμψαντες οὖν εὐθὺς κατὰ πόλιν τοῖς Ἰσραηλίταις διήγγελλον τὰ παρὰ τοῦ Ναάσου καὶ τὴν ἀμηχανίαν ἐν ᾗ καθεστήκεσαν. Οἱ δ' εἰς δάκρυα καὶ λύπην ὑπὸ τῆς ἀκοῆς τῶν περὶ τοὺς Ἰαβισηνοὺς προήχθησαν, καὶ πέρα τούτων οὐδὲν αὐτοῖς ἄλλο πράττειν συνεχώρει τὸ δέος. Γενομένων δὲ τῶν ἀγγέλων καὶ ἐν τῇ Σαούλου τοῦ βασιλέως πόλει καὶ τοὺς κινδύνους ἐν οἷς εἶναι συνέβαινε τοὺς Ἰαβισηνοὺς φρασάντων, ὁ μὲν λαὸς ταὐτὰ τοῖς πρώτοις ἔπασχεν, (ὠδύρετο γὰρ τὴν συμφορὰν τὴν τῶν συγγενῶν,) ὁ δὲ Σάουλος, ἀπὸ τῶν περὶ τὴν γεωργίαν παραγινόμενος ἔργων εἰς τὴν πόλιν ἐπιτυγχάνει κλαίουσι τοῖς αὑτοῦ πολίταις, καὶ πυθόμενος τὴν αἰτίαν τῆς συγχύσεως καὶ κατηφείας αὐτῶν, μανθάνει τὰ παρὰ τῶν ἀγγέλων. Καὶ ἔνθεος γενόμενος ἀποπέμπει μὲν τοὺς Ἰαβισηνούς, ὑποσχόμενος αὐτοῖς ἥξειν βοηθὸς τῇ τρίτῃ τῶν ἡμερῶν καὶ πρὶν ἥλιον ἀνασχεῖν κρατήσειν τῶν πολεμίων, ἵνα καὶ νενικηκότας ἤδη καὶ τῶν φόβων ἀπηλλαγμένους ὁ ἥλιος ἐπιτείλας ἴδῃ. Ὑπομεῖναι δ' ἐκέλευσέ τινας αὐτῶν ἡγησομένους τῆς ὁδοῦ.

(ς') γ'. Βουλόμενος δὲ φόβῳ ζημίας τὸν λαὸν εἰς τὸν πρὸς Ἀμμανίτας ἐπιστρέψαι πόλεμον καὶ συνελθεῖν αὐτοὺς ὀξύτερον, ὑποτεμὼν τῶν αὑτοῦ βοῶν τὰ νεῦρα, ταὐτὸ διαθήσειν ἠπείλησε τοὺς οὐκ ἀπαντῶντας, εἰ μὴ πρὸς τὸν Ἰορδάνην ὡπλισμένοι κατὰ τὴν ἐπιοῦσαν ἀπαντήσωσιν ἡμέραν καὶ ἀκολουθήσωσιν αὐτῷ καὶ Σαμουήλῳ τῷ προφήτῃ ὅπου ποτ' ἂν αὐτοὺς ἀγάγωσι. Τῶν δὲ δι' εὐλάβειαν τῆς κατεπηγγελμένης ζημίας εἰς τὸν ὡρισμένον καιρὸν συνελθόντων, ἐξαριθμεῖται ἐν Βαλᾷ τῇ πόλει τὸ πλῆθος· εὑρίσκει δὲ τὸν ἀριθμὸν χωρὶς τῆς Ἰούδα φυλῆς εἰς ἑβδομήκοντα μυριάδας συνειλεγμένους· τῆς δὲ φυλῆς ἐκείνης ἦσαν ἑπτὰ μυριάδες. Διαβὰς δὲ τὸν Ἰορδάνην καὶ σχοίνων δέκα δι' ὅλης τῆς νυκτὸς ἀνύσας ὁδὸν φθάνει μὲν ἥλιον ἀνίσχοντα, τριχῇ δὲ τὸ στράτευμα διελὼν ἐπιπίπτει πανταχόθεν αἰφνιδίως οὐ προσδοκῶσι τοῖς ἐχθροῖς. Καὶ συμβαλὼν εἰς μάχην ἄλλους τε πολλοὺς ἀποκτείνει τῶν Ἀμμανιτῶν καὶ Ναάσην τὸν βασιλέα. Τοῦτο λαμπρὸν ἐπράχθη τῷ Σαούλῳ τὸ ἔργον, καὶ πρὸς πάντας αὐτὸν τοὺς Ἑβραίους διήγγειλεν ἐπαινούμενον καὶ δόξης ἀπολαύοντα θαυμαστῆς ἐπ' ἀνδρείᾳ. Καὶ γὰρ εἴ τινες ἦσαν οἱ πρότερον αὐτοῦ κατεφρόνουν, τότε μετέστησαν ἐπὶ τὸ τιμᾶν καὶ πάντων ἄριστον νομίζειν. Οὐ γὰρ ἤρκεσεν αὐτῷ τοὺς Ἰαβισηνοὺς σεσωκέναι μόνον, ἀλλὰ καὶ τῇ τῶν Ἀμμανιτῶν ἐπιστρατεύσας χώρᾳ πᾶσαν αὐτὴν

semetipsos traderent, neque an bello rem experiri mallent. Sed petierunt sibi dies induciarum septem concedi, ut missis ad tribules suos legatis suppetias ab eis implorarent : et si quidem auxilio sibi venerint, bellum jungere; sin vero nullam opem ab iis impetrarint, sese illi dedituros esse dicebant, ea lege ut paterentur quicquid ipsi libuerit.

2. Naases autem, qui Galadenos contempsit illorumque responsum, simul dat eis inducias, sinitque ut quoscunque velint in auxilium evocent. Igitur nunciis statim per omnes Israelitarum urbes missis ea illis narrabant, quæ minitatus erat Naases, et in quas redacti essent angustias. Illi vero, audita hac Jabisenorum calamitate, ad lacrimas magnumque in mœrorem adducti sunt : timor autem eos omni facto et incepto prohibebat. Ac quum nuncii in Sauli regis civitatem venissent, et in quibus contigisset Jabisenos esse periculis declarassent, populus quidem similiter ac alii quos adierant dolore afficiebantur; (nam excitabant luctum ob cognatorum miseriam;) Saulus autem, ex opere rustico in urbem se recipiens, cives suos offendit lacrimis perfusos, atque percontatus quid iis accidisset, ut in tanta essent perturbatione et mœstitia, ab iis accipit quæ attulerunt legati. Atque divinitus afflatus Jabisenos quidem remittit, pollicitus eis se tertia die venturum auxilio, et ante solem exortum hostes superaturum, ita ut eos jamjam victores et timore liberatos sol oriens aspiceret. Quosdam autem illorum duces itineris secum manere jussit.

(VI.) 3. Volens autem populum ad bellum contra Ammanitas metu ne damno multarentur excitare, facereque ut quam celerrime convenirent, quum bobus suis nervos succidisset, comminatus est eodem modo se tractaturum eos qui sibi non afforent, nisi die proxima cum armis ad Jordanem præsto adessent, sequuturi ipsum et Samuelum prophetam quocunque eos ducerent. Eorum vero, qui sibi caventes a supplicio denunciato ad præfinitum tempus convenerant, multitudinis in urbe Bala facta est recensio : numerumque invenit virorum absque tribu Judæ ad septingenta millia confluxisse : illius autem tribus erant septuaginta millia. Transgressus dein Jordanem, et tota nocte decem schœnorum viam emensus, ante solis quidem ortum pervenit quo destinaverat. Quum autem exercitum trifariam partitus esset, derepente hostes nihil tale exspectantes undique adoritur, ac prælio commisso et alios quamplurimos peremit ipsumque regem Naasen. Res ista a Saulo præclare gesta erat, famaque ejus ingenti cum laude ad omnes Israelitas perlata est, atque mirabilem ob fortitudinem adeptus est gloriam. Nam et si qui erant qui prius ipsum contempserant, tum mutata sententia illum honore prosequebantur et omnium optimum esse existimabant. Non enim eo contentus erat, quod Jabisenos conservasset, sed et in Ammanitarum regionem facta irruptione, eam totam vastat et depopulatur, quumque multum prædæ cepisset, gloria

διὰ ταύτην τὴν ἀπόρρησιν οἱ γεωργοί, εἴ ποτε δεήσειε αὐτοὺς ἐπισκευάσαι τι τῶν ἐργαλείων, ἢ ὕννιν ἢ μάκελλαν ἢ ἄλλο τι τῶν εἰς γεωργίαν χρησίμων, φοιτῶντες εἰς τοὺς Παλαιστίνους ταῦτ' ἔπραττον. Ὡς δὲ ἠκούσθη τοῖς Παλαιστίνοις ἡ τῆς φρουρᾶς ἀναίρεσις, ἀγανακτήσαντές τε καὶ δεινὴν ὕβριν τὴν καταφρόνησιν ἡγησάμενοι στρατεύουσιν ἐπὶ τοὺς Ἰουδαίους, πεζῶν μὲν τριάκοντα μυριάσιν, ἅρμασι δὲ τρισμυρίοις· ἵππον δ' ἑξακισχιλίαν ἐπήγοντο, καὶ στρατοπεδεύονται πρὸς πόλει Μαχμᾶ. Τοῦτο Σάουλος ὁ τῶν Ἑβραίων βασιλεὺς μαθὼν εἰς Γάλγαλα καταβαίνει πόλιν, καὶ διὰ πάσης κηρύσσει τῆς χώρας ἐπ' ἐλευθερίᾳ καλῶν τὸν λαὸν ἐπὶ τὸν πόλεμον τὸν πρὸς Παλαιστίνους, τὴν δύναμιν ἐκφαυλίζων αὐτῶν καὶ διασύρων ὡς οὐκ ἀξιόλογον, οὐδ' ὥστε φοβεῖσθαι διακινδυνεύειν πρὸς αὐτούς. Κατανοήσαντες δὲ τὸ πλῆθος τῶν Παλαιστίνων οἱ τοῦ Σαούλου κατεπλάγησαν, καὶ οἱ μὲν εἰς τὰ σπήλαια καὶ τοὺς ὑπονόμους ἐκρυψαν ἑαυτούς, οἱ πλείους δὲ εἰς τὴν πέραν τοῦ Ἰορδάνου γῆν ἔφυγον· αὕτη δ' ἦν Γάδου καὶ Ῥουβήλου.

β'. Πέμψας δὲ Σάουλος πρὸς τὸν προφήτην ἐκάλει πρὸς αὐτὸν συνδιασκεψόμενον περὶ τοῦ πολέμου καὶ τῶν πραγμάτων. Ὁ δὲ περιμένειν αὐτὸν ἐκέλευσεν αὐτόθι καὶ παρασκευάζειν θύματα· μετὰ γὰρ ἡμέρας ἑξ πρὸς αὐτὸν ἥξειν, ὅπως θύσωσι τῇ ἑβδόμῃ τῶν ἡμερῶν, ἔπειθ' οὕτω συμβάλωσι τοῖς πολεμίοις. Καὶ περιμένει μὲν ὡς ὁ προφήτης ἐπέστειλεν, οὐκέτι μέντοιγε διατηρεῖ τὴν ἐντολήν, ἀλλ' ὡς ἑώρα βραδύνοντα μὲν τὸν προφήτην, αὐτὸν δὲ ὑπὸ τῶν στρατιωτῶν καταλειπόμενον, λαβὼν τὰ θύματα προσήγαγεν. Ἐπεὶ δὲ τὸν Σαμούηλον ἤκουσε προσιόντα, ὑπαντησόμενος ἐξῆλθεν. Ὁ δ' οὐκ ὀρθῶς αὐτὸν ἔφη πεποιηκέναι παρακούσαντα ὧν ἐπέστειλεν αὐτὸς καὶ φθάσαντα τὴν παρουσίαν, ἣν κατὰ βούλησιν γινομένην τοῦ θείου πρὸς τὰς εὐχὰς καὶ τὰς θυσίας τὰς ὑπὲρ τοῦ πλήθους προλάβοι, κακῶς ἱερουργήσας καὶ προπετὴς γενόμενος. Ἀπολογουμένου δὲ τοῦ Σαούλου καὶ περιμεῖναι μὲν τὰς ἡμέρας ἃς ὥρισε λέγοντος, ὑπὸ δὲ ἀνάγκης καὶ ἀναχωρήσεως τῶν αὐτοῦ στρατιωτῶν διὰ φόβον, στρατοπεδείας δὲ τῶν ἐχθρῶν ἐν Μαχμᾷ, καὶ ἀκοῆς τῆς πρὸς αὐτὸν εἰς Γάλγαλα καταβάσεως, ἐπειχθῆναι πρὸς τὴν θυσίαν, ὑπολαβὼν ὁ Σαμούηλος, « ἀλλὰ σύ, φησὶν, εἰ δίκαιος ἦσθα καὶ μὴ παρήκουσας ἐμοῦ, μηδ' « ὧν ὑπέθετό μοι περὶ τῶν παρόντων ὁ Θεὸς ὠλιγώρησας, ταχύτερος ἂν συνέφερε τοῖς πράγμασι γεγονὼς, « σοί τ' αὐτῷ πλεῖστον ἂν βασιλεῦσαι χρόνον ἐξεγένετο « καὶ τοῖς σοῖς ἐκγόνοις ». Καὶ Σαμούηλος μὲν ἀχθόμενος ἐπὶ τοῖς γεγενημένοις ἀνεχώρησε παρ' ἑαυτὸν, Σάουλος δὲ εἰς Γαβαὼν πόλιν, ἔχων ἑξακοσίους μεθ' ἑαυτοῦ μόνον, ἦκε σὺν Ἰωνάθῃ τῷ παιδί· τούτων δὲ οἱ πλείους οὐκ εἶχον ὅπλα, τῆς χώρας σπανιζούσης σιδήρου καὶ τῶν ὅπλα χαλκεύειν δυναμένων· οὐ γὰρ εἶων οἱ Παλαιστῖνοι ταῦτα εἶναι, καθὼς καὶ μικρὸν ἔμπροσθεν δεδηλώκαμεν. Διελόντες δὲ εἰς τρία μέρη

dictum agricolæ, si quando illis opus esset ut instrumenta sua inspicarent, puta vomerem, aut ligonem, aut aliud quidpiam eorum quibus in agrorum cultura utuntur, ad Palæstinos crebro euntes illa reficienda curabant. Ut vero de castro everso audiverunt Palæstini, indignati, et contemptum sui gravem esse injuriam interpretati, Judæis bellum inferunt. Adducebant peditum quidem trecenta millia, curruum autem triginta millia, equitum vero sex millia, atque castra metantur apud urbem Machmam. Hæc quum Saulus rex Hebræorum intellexisset, in urbem Galgala descendit, et dimissis per totam regionem præconibus populum libertatis tuendæ ergo ad bellum contra Palæstinos convocat, potentiam eorum *verbis* elevans, eique obtrectans tanquam esset spernenda, et quod nec tantillum dubitarent cum illis prælium committere. Qui vero cum Saulo erant, conspectis Palæstinorum copiis, animis valde consternati erant, ac alii quidem in speluncas et cuniculos sese abdunt, plures vero in terram Transjordanianam fuga dilapsi sunt: illa autem sortis erat Gadis et Rubeli.

2. Saulus vero, missis ad prophetam nunciis, eum ad se accersit una cum ipso de bello rebusque *præsentibus* consultaturum. Is vero jussit ut se illic opperiretur, atque pararet victimas: se enim post sex dies ad ipsum venturum esse, ut die septima sacra faciant, atque ita demum cum hostibus congrediantur. Et dum veniret, exspectat quidem, quemadmodum præceperat propheta, attamen non usquequaque mandato ejus obsequitur, sed ut cunctari quidem prophetam animadvertit, seque a militibus deseri, sumptis hostiis ipse eas aræ admovebat. Quum vero Samuelum advenire audivisset, ei obviam progressus est. At ille non recte eum fecisse dicebat, iis quæ ipse imperaverat non obtemperando, neque adventum ejus præstolando, quem, quum sit ex Dei voluntate constitutus ad preces et victimas pro populo offerendas, occuparit, inauspicato ausuque temerario sacris operatus. Saulo autem semet ei excusante, ac dicente se per tot dies quot præfiniverit moratum esse, ex necessitate vero et militum suorum discessu propter metum, hostium autem apud Machmam castrametatione, auditoque quod ad se in Galgala descenderent, ad sacra facienda impulsum esse; tum Samuelus, « sed tu, inquit, « si justus fuisses et mihi paruisses, neque ea quæ de præ« sentibus mihi suggessit Deus contempsisses, plus quam « rebus expediret festinando, contigisset ut et tu longo « tempore regnares, tuique similiter posteri ». Et Samuelus quidem moleste ferens quæ facta fuerant domum discessit, Saulus vero, sexcentos tantum milites secum habens, cum Jonatha filio in urbem Gabaon venit; atque illorum pluribus arma deerant, quod ea regio nec ferrum suppeditarit, nec qui arma fabricare poterant: nam quominus hæc essent Palæstini prohibebant, sicut et paulo ante declaravimus.

τὴν στρατιὰν οἱ Παλαιστῖνοι καὶ κατὰ τοσαύτας ὁδοὺς ἐπερχόμενοι τὴν τῶν Ἑβραίων χώραν ἐπόρθουν, βλεπόντων τε Σαούλου τοῦ βασιλέως αὐτῶν καὶ τοῦ παιδὸς Ἰωνάθου, ἀμῦναί τε τῇ γῇ (μεθ' ἑξακοσίων γὰρ μόνον ἦσαν) οὐ δυναμένων. Καθεζόμενοι δ' αὐτός τε καὶ ὁ παῖς αὐτοῦ καὶ ὁ ἀρχιερεὺς Ἀχίας, ἀπόγονος ὢν Ἠλεὶ τοῦ ἀρχιερέως, ἐπὶ βουνοῦ ὑψηλοῦ καὶ τὴν γῆν λεηλατουμένην ὁρῶντες, ἐν ἀγωνίᾳ δεινῇ καθειστήκεσαν. Συντίθεται δὲ ὁ Σαούλου παῖς τῷ ὁπλοφόρῳ κρύφα πορευθέντων αὐτῶν εἰς τὴν τῶν πολεμίων παρεμβολὴν ἐκδραμεῖν καὶ ταραχὴν ἐμποιῆσαι καὶ θόρυβον αὐτοῖς. Τοῦ δὲ ὁπλοφόρου προθύμως ἐφέψεσθαι φήσαντος ὅποι ποτ' ἂν ἡγῆται, κἂν ἀποθανεῖν δέῃ, προσλαβὼν τὴν τοῦ νεανίσκου συνεργίαν, καὶ καταβὰς ἀπὸ τοῦ βουνοῦ πρὸς τοὺς πολεμίους ἐπορεύετο. Ἦν δὲ τὸ τῶν πολεμίων στρατόπεδον ἐπὶ κρημνοῦ, τρισὶν ἄκραις εἰς λεπτὸν ἀπηκονημέναις μῆκος πέτρας ἐν κύκλῳ στεφανούσης ὥσπερ προβόλοις τὰς ἐπιχειρήσεις ἀπομαχόμενον· ἔνθεν συνέβαινεν ἠμελῆσθαι τὰς φυλακὰς τοῦ στρατοπέδου, διὰ τὸ φύσει περιεῖναι τῷ χωρίῳ τὴν ἀσφάλειαν, καὶ παντὶ νομίζειν ἀμήχανον εἶναι κατ' ἐκείνας οὐκ ἀναβῆναι μόνον, ἀλλὰ καὶ προσελθεῖν. Ὡς οὖν ἦκον εἰς τὴν παρεμβολήν, ὁ Ἰωνάθης παρεθάρρυνε τὸν ὁπλοφόρον, καὶ « προσβάλωμεν τοῖς πολεμίοις, ἔλεγε· κἂν μὲν ἀναβῆναι κελεύσωσιν ἡμᾶς πρὸς αὐτοὺς ἰδόντες, σημεῖον τοῦτο νίκης ὑπολαμβάνειν· ἐὰν δὲ φθέγξωνταί μηδὲν, ὡς οὐ καλοῦντες ὑμᾶς, ὑποστρέψωμεν. » Προσιόντων δ' αὐτῶν τῷ στρατοπέδῳ τῶν πολεμίων, ὑποφαινούσης ἤδη τῆς ἡμέρας, ἰδόντες οἱ Παλαιστῖνοι πρὸς ἀλλήλους ἔλεγον ἐκ τῶν ὑπονόμων καὶ τῶν σπηλαίων προϊέναι τοὺς Ἑβραίους. Καὶ πρὸς Ἰωνάθην καὶ τὸν ὁπλοφόρον αὐτοῦ, « δεῦτ', ἔφασαν, ἀνέλθετε πρὸς ἡμᾶς, ἵνα ὑμᾶς τιμωρησώμεθα τῶν τετολμημένων ἀξίως. » Ἀσπασάμενος δὲ τὴν φωνὴν ὁ τοῦ Σαούλου παῖς, ὡς νίκην αὐτῷ σημαίνουσαν, παραυτίκα μὲν ἀνεχώρησεν ἐξ οὗπερ ὤφθησαν τόπου τοῖς πολεμίοις· παραμειψάμενος δὲ τοῦτον ἐπὶ τὴν πέτραν ἦκεν, ἔρημον οὖσαν τῶν φυλαττόντων διὰ τὴν ὀχυρότητα. Κἀκεῖθεν ἀνερπύσαντες μετὰ πολλῆς ταλαιπωρίας ἐβιάσαντο τὴν τοῦ χωρίου φύσιν ὡς ἀνελθεῖν ἐπὶ τοὺς πολεμίους, ἐπιπεσόντες δ' αὐτοῖς κοιμωμένοις ἀποκτείνουσι μὲν ὡς εἴκοσι, ταραχῆς δὲ καὶ ἐκπλήξεως αὐτοὺς ἐγέμισαν, ὡς τινὰς μὲν φυγεῖν τὰς πανοπλίας ἀπορρίψαντας, οἱ δὲ πολλοὶ μὴ γνωρίζοντες ἑαυτοὺς, διὰ τὸ πολλῶν ἐθνῶν εἶναι, πολεμίους ὑπονοοῦντες ἀλλήλους, (καὶ γὰρ οὐκ εἴκαζον ἀναβῆναι πρὸς αὐτοὺς τῶν Ἑβραίων τοὺς δύο μόνους,) εἰς μάχην ἐτράποντο. Καὶ οἱ μὲν αὐτῶν ἀπέθνησκον κτεινόμενοι, τινὲς δὲ φεύγοντες κατὰ τῶν πετρῶν ὠθούμενοι κατεκρημνίζοντο.

γ'. Τῶν δὲ τοῦ Σαούλου κατασκόπων τεταράχθαι τὸ στρατόπεδον τῶν Παλαιστίνων φρασάντων τῷ βασιλεῖ, Σάουλος ἠρώτα μή τις εἴη τῶν αὐτοῦ κεχωρισμένος. Ἀκούσας δὲ τὸν υἱὸν καὶ σὺν αὐτῷ τὸν ὁπλοφόρον ἀπεῖναι, κελεύει τὸν ἀρχιερέα λαβόντα τὴν ἀρχιερατι-

Porro Palæstini quum exercitum in tria agmina divisissent et per totidem vias irruptionem facerent, Hebræorum regionem populabantur, dum Saulus eorum rex et filius *ejus* Jonathas inspectarent, et terram (quod cum illis sexaginta solummodo essent) defendere non valerent. Dum autem Saulus et filius ejus et Achias pontifex, ex posteris Eli pontificis, super colle excelso sederent et terram devastatam conspicerent, graviter animis angebantur. Filius vero Sauli constituit cum armigero suo ut clam digressi in castra hostium excurrerent, atque ibi tumultum et trepidationem concitarent. Quumque armiger promisisset se ipsum quocunque duxerit secuturum, etiamsi mortis periculum esset aditurus, *Jonathas*, assumpto sibi adjutore juvene, descensuque de colliculo facto, ad hostes contendebat. Erant autem castra eorum in loco prærupto sita, tribus prominentiis, ita acuminatis ut exigue admodum paterent, scopulis in ambitum euntibus, tanquam propugnaculis contra aggredientium impetum munita. Unde contingebat ut negligentius *custodirentur castra*, *quod locorum* natura undique tuta essent, ipsique existimarent nullo modo fieri posse ut quis ad *prominentias* istas accederet, multoque minus ut eas ascenderet. Quum igitur ad castra venissent, armigerum bono animo esse hortabatur Jonathas, aiebatque, « hostes adoriamur : et siquidem, quum nos viderint, ad ipsos nos ascendere jusserint, hoc ipsum victoriæ signum accipe, sin vero plane tacuerint, quasi nos non vocassent revertamur. » Quum vero propius ad castra hostium accederent, *die jam illucescente*, *tum* Palæstini, iis conspectis, inter se dicebant, ex cuniculis et speluncis se versus prorepere Hebræos. Deinde Jonatham et armigerum alloquuti sunt, « adeste, ad nos ascendite, ut pœnis, prout audacia commeruit, vos afficiamus. » Sauli autem filius vocem amplexus, ut victoriam ipsi addicentem, protinus quidem inde digressus est, ubi conspecti erant ab hostibus : loco autem mutato ad petram venit, propter firmitatem *suam* nullis præsidiis custoditam. Atque inde quum sursum magno cum labore erepsissent, difficultate ex natura loci superata in altum evaserunt ad hostes, eosque sopitos aggressi, *homines* quidem circiter viginti occiderunt, adeo autem eos tumultu et consternatione complerunt, ut nonnulli quidem armis abjectis in fugam se proriperent, plerique vero, suos non internoscentes, quod ex multis constarent gentibus, hostesque esse credentes, (non enim putabant duos tantum Hebræos ad ipsos penetrasse,) pugnam ineunt. Atque horum quidem alii mutuis cædibus intereunt, alii vero in fuga protrusi ex rupibus dejiciuntur.

3. Quum autem Sauli speculatores omnia in Palæstinorum castris tumultu misceri renunciassent regi, percontatus est Saulus ecquis e suis ab ipsis discessisset. Audito vero filium cum armigero abesse, jubet pontifici ut sumpta veste ea-

μικραῖς εὐπραγίαις τὴν χαρὰν κατασχεῖν δυναμένων, ἀλλ' εἰς τὸ πᾶσι γενέσθαι φανεροὺς προπιπτόντων, ὁ δ' οὐ μόνον οὐδὲν ἐνέφηνε τοιοῦτον ἐπὶ βασιλείᾳ καὶ τῷ τοσούτων καὶ τηλικούτων ἐθνῶν ἀποδεδεῖχθαι δεσπότης, ἀλλὰ καὶ τῆς ὄψεως αὐτὸν τῆς τῶν βασιλευθησομένων ἐξέκλεψε, καὶ ζητεῖν αὐτὸν καὶ περὶ τοῦτο πονεῖν παρεσκεύασεν. Ὧν ἀμηχανούντων καὶ φροντιζόντων ὅτι γένοιτο ἀφανὴς ὁ Σάουλος, ὁ προφήτης ἱκετεύει τὸν Θεὸν δεῖξαι ποῦ ποτ' εἴη, καὶ παρασχεῖν εἰς ἐμφανὲς τὸν νεανίσκον. Μαθὼν δὲ παρὰ τοῦ Θεοῦ τὸν τόπον ἔνθα κέκρυπται ὁ Σάουλος, πέμπει τοὺς ἄξοντας αὐτὸν, καὶ παραγενόμενον ἵστησι μέσον τοῦ πλήθους. Ἐξεῖχε δ' αὐτῶν ἁπάντων καὶ τὸ ὕψος ἦν βασιλικώτατος.

ϛ'. Λέγει δὲ ὁ προφήτης, « τοῦτον ὑμῖν ὁ Θεὸς « ἔδωκε βασιλέα. Ὁρᾶτε δὲ ὡς καὶ κρείττων ἐστὶ « πάντων καὶ τῆς ἀρχῆς ἄξιος ». Ὡς δ' ἐπευφήμησε τῷ βασιλεῖ σωτηρίαν ὁ λαὸς, τὰ μέλλοντα συμβήσεσθαι καταγράψας αὐτοῖς ὁ προφήτης, ἀνέγνω τοῦ βασιλέως ἀκροωμένου, καὶ τὸ βιβλίον τίθησιν ἐν τῇ τοῦ Θεοῦ σκηνῇ, ταῖς μετέπειτα γενεαῖς εἰς μαρτύριον ὧν προείρηκε. Ταῦτ' ἐπιτελέσας ὁ Σαμούηλος ἀπολύει τὴν πληθύν. Καὶ αὐτὸς δὲ εἰς Ἁρμαθὰν παραγίνεται πόλιν· πατρὶς γὰρ ἦν αὐτῷ. Σαούλῳ δ' ἀπερχομένῳ εἰς Γαβαθὴν, ἐξ ἧς ὑπῆρχε, συνήρχοντο πολλοὶ μὲν ἀγαθοὶ, τὴν προσήκουσαν βασιλεῖ τιμὴν νέμοντες, πονηροὶ δὲ πλείους, οἳ κατεφρόνουν τ' αὐτοῦ καὶ τοὺς ἄλλους ἐχλεύαζον, καὶ οὔτε δῶρα προσέφερον οὔτ' ἐν σπουδῇ καὶ λόγῳ τὸ ἀρέσκεσθαι τὸν Σάουλον ἐτίθεντο.

ΚΕΦ. Ε'.

Μηνὶ δ' ὕστερον ἄρχει τῆς παρὰ πάντων αὐτῷ τιμῆς ὁ πρὸς Ναάσην πόλεμος, τὸν Ἀμμανιτῶν βασιλέα. Οὗτος γὰρ πολλὰ κακὰ τοὺς πέραν τοῦ Ἰορδάνου ποταμοῦ κατῳκημένους τῶν Ἰουδαίων διατίθησι, μετὰ πολλοῦ καὶ μαχίμου στρατεύματος διαβὰς ἐπ' αὐτοὺς, καὶ τὰς πόλεις αὐτῶν εἰς δουλείαν ὑπάγεται, ἰσχύι μὲν καὶ βίᾳ πρὸς τὸ παρὸν αὐτοὺς χειρωσάμενος, σοφίᾳ δὲ καὶ ἐπινοίᾳ πρὸς τὸ μηδ' αὖθις ἀποστάντας δυνηθῆναι τὴν ὑπ' αὐτῷ δουλείαν διαφυγεῖν, ἀσθενεῖς ποιῶν. Τῶν γὰρ ἢ κατὰ πίστιν ὡς αὐτὸν ἀφικνουμένων, ἢ λαμβανομένων πολέμου νόμῳ, τοὺς δεξιοὺς ὀφθαλμοὺς ἐξέκοπτε. Ἐποίει δὲ τοῦθ', ὅπως, τῆς ἀριστερᾶς αὐτοῖς ὄψεως ὑπὸ τῶν θυρεῶν καλυπτομένης, ἄχρηστοι παντελῶς εἶεν. Καὶ ὁ μὲν τῶν Ἀμμανιτῶν βασιλεὺς ταῦτ' ἐργασάμενος τοὺς πέραν τοῦ Ἰορδάνου ἐπὶ τοὺς Γαλαδηνοὺς λεγομένους ἐπεστράτευσε. Καὶ στρατοπεδευσάμενος πρὸς τῇ μητροπόλει τῶν πολεμίων, (Ἰαβὶς δ' ἐστὶν αὕτη,) πέμπει πρὸς αὐτοὺς πρέσβεις, κελεύων ἢ παραδοῦναι σφᾶς αὐτοὺς ἐπὶ τῷ τοὺς δεξιοὺς αὐτῶν ὀφθαλμοὺς ἐξορύξαι, ἢ πολιορκῆσαι ἠπείλει καὶ τὰς πόλεις αὐτῶν ἀναστήσειν· τὴν δ' αἵρεσιν ἐπ' αὐτοῖς εἶναι, πότερόν ποτε βραχύ τι τοῦ σώματος ἀποτεμεῖν ἐθέλουσιν, ἢ πάντες ἀπολωλέναι. Οἱ δὲ Γαλαδηνοὶ καταπλαγέντες πρὸς οὐδέτερον μὲν ἐτόλμησαν ἀποκρίνασθαι, ἀλλὰ τὸν μὲν πρέσβυν ἀπέπεμψαν ἀπράκτους τῶν λόγων ἐπανήκοντα, πρεσβείαν δὲ πέμπουσιν εἰς τὴν Ῥωμαίων πόλιν, ἐπὶ συμμαχίᾳ καὶ φιλίᾳ δεησομένην. Ἐπεὶ δὲ ἐπὶ πολὺ τὸ τῆς πρεσβείας ἐμέλλησε, καὶ ἐν τούτῳ τὸ τῆς ἀπορίας ἐπέκειτο, ἐπιτρέπουσι τῷ Ναάσῃ τὸ δοκοῦν ποιεῖν. Ὁ δὲ ἐπὶ τούτοις ἐπαρθεὶς, καὶ τὸ μὴ ἀντιπράττεσθαι ἐπὶ τοῖς ἀπηνεστάτοις ἐκλαβὼν, ἐπὶ τὸ ἀκρωτηριάσαι τοὺς ὀφθαλμοὺς ἐτράπετο. Καὶ τοὺς μὲν ἄλλους ἐπὶ τούτῳ κατέστησε, τοὺς δὲ ἐπιτηδειοτάτους ἑαυτῷ τῶν ἐν τῇ πόλει ἐκπέμπει, τὸν ἕτερον ὀφθαλμὸν ἐξορύξαντας, ἵνα μὴ τὸ ἀκρωτηριάσαι τοὺς ἄλλους ἀπαγορεύσωσιν. Ἐπὶ τούτοις ἐπτὰ μῆνας ἐπολιόρκησε τὴν πόλιν, ἐν οἷς ἐπεὶ τὰ τείχη κατέβαλε, καὶ τὴν ἄκραν ἐκράτησε, τοὺς ἐν τέλει τῶν πολεμίων ἀνασκολοπίσας, τοὺς δὲ ἄλλους ἐξανδραποδισάμενος, ἐπὶ τὴν ἑαυτοῦ πάλιν ἀνέστρεφε.

CAP. V.

At post unum mensem ei auctoritatem apud omnes peperit bellum, quod gessit cum Naase rege Ammanitarum. Hic enim Judæis ultra Jordanem habitantibus, expeditione in eos facta cum magno et forti exercitu, multa infert mala, urbesque eorum in servitutem adducit, eos quidem, quos vi et violentia in præsens subegerat, astuto callidoque commento eo impotentiæ redigens, ut si quando ab eo desciscere vellent, nulla eis superesset servitutis sub ipso effugiendæ potestas. Nam illis, qui aut fide data sese dediderunt, aut jure belli capti erant, dextros oculos effodiebat, eo consilio, ut, sinistro oculo illis sub scuto latente, prorsus essent inutiles. Et hæc quidem rex Ammanitarum quum fecisset habitantibus trans Jordanem, exercitum in eos educebat qui Galadeni vocantur. Ac castra metatus apud primariam hostium urbem (illa autem Jabis est,) legatos ad eos mittit cum monitis minisque, ut aut ea conditione deditionem facerent, ut dextros eis oculos erueret, aut exspectarent se ipsos obsessurum esse, urbesque eorum funditus eversurum: penesque illos esse eligendi optionem, utrum velint particulam corporis amittere, aut universi perire. Galadeni vero, metu perterriti, ad neutrum quidem horum ausi sunt quidquam respondere, neque si

σαν οὐδὲν εἰπεῖν, οὔτ' εἰ παραδιδόασιν αὐτοὺς οὔτ' εἰ πολεμοῦσιν, ἀνοχὴν δ' ἡμερῶν ἑπτὰ λαβεῖν ἠξίωσαν, ἵνα πρεσβευσάμενοι πρὸς τοὺς ὁμοφύλους παρακαλέσωσι συμμαχεῖν αὐτοῖς, καὶ εἰ μὲν ἔλθοι βοήθεια, πολεμῶσιν, εἰ δ' ἄπορα εἴη τὰ παρ' ἐκείνων, παραδώσειν αὐτοὺς ἔφασκον, ἐπὶ τῷ παθεῖν ὅ τι ἂν αὐτῷ δοκῇ.

β'. Ὁ δὲ Ναάσης, καταφρονήσας τοῦ τῶν Γαλαδηνῶν πλήθους καὶ τῆς ἀποκρίσεως αὐτῶν, δίδωσί τε αὐτοῖς τὴν ἀνοχὴν καὶ πέμπειν πρὸς οὓς ἂν θέλωσι συμμάχους ἐπιτρέπει. Πέμψαντες οὖν εὐθὺς κατὰ πόλιν τοῖς Ἰσραηλίταις διήγγελλον τὰ παρὰ τοῦ Ναάσου καὶ τὴν ἀμηχανίαν ἐν ᾗ καθεστήκεσαν. Οἱ δ' εἰς δάκρυα καὶ λύπην ὑπὸ τῆς ἀκοῆς τῶν περὶ τοὺς Ἰαβισηνοὺς προήχθησαν, καὶ πέρα τούτων οὐδὲν αὐτοῖς ἄλλο πράττειν συνεχώρει τὸ δέος. Γενομένων δὲ τῶν ἀγγέλων καὶ ἐν τῇ Σαούλου τοῦ βασιλέως πόλει καὶ τοὺς κινδύνους ἐν οἷς εἶναι συνέβαινε τοὺς Ἰαβισηνοὺς φρασάντων, ὁ μὲν λαὸς ταὐτὰ τοῖς πρώτοις ἔπασχεν, (ὠδύρετο γὰρ τὴν συμφορὰν τὴν τῶν συγγενῶν,) ὁ δὲ Σάουλος, ἀπὸ τῶν περὶ τὴν γεωργίαν παραγινόμενος ἔργων εἰς τὴν πόλιν ἐπιτυγχάνει κλαίουσι τοῖς αὑτοῦ πολίταις, καὶ πυθόμενος τὴν αἰτίαν τῆς συγχύσεως καὶ κατηφείας αὐτῶν, μανθάνει τὰ παρὰ τῶν ἀγγέλων. Καὶ ἔνθεος γενόμενος ἀποπέμπει μὲν τοὺς Ἰαβισηνούς, ὑποσχόμενος αὐτοῖς ἥξειν βοηθὸς τῇ τρίτῃ τῶν ἡμερῶν καὶ πρὶν ἥλιον ἀνασχεῖν κρατήσειν τῶν πολεμίων, ἵνα καὶ νενικηκότας ἤδῃ καὶ τῶν φόβων ἀπηλλαγμένους ὁ ἥλιος ἐπιτείλας ἴδῃ. Ὑπομεῖναι δ' ἐκέλευσέ τινας αὐτῶν ἡγησομένους τῆς ὁδοῦ.

(ς') γ'. Βουλόμενος δὲ φόβῳ ζημίας τὸν λαὸν εἰς τὸν πρὸς Ἀμμανίτας ἐπιστρέψαι πόλεμον καὶ συνελθεῖν αὐτοὺς ὀξύτερον, ὑποτεμὼν τῶν αὑτοῦ βοῶν τὰ νεῦρα, ταὐτὸ διαθήσειν ἠπείλησε τοὺς οὐκ ἀπαντῶντας, εἰ μὴ πρὸς τὸν Ἰορδάνην ὡπλισμένοι κατὰ τὴν ἐπιοῦσαν ἀπαντήσωσιν ἡμέραν καὶ ἀκολουθήσωσιν αὐτῷ καὶ Σαμουήλῳ τῷ προφήτῃ ὅπου ποτ' ἂν αὐτοὺς ἀγάγωσι. Τῶν δὲ δι' εὐλάβειαν τῆς κατεπηγγελμένης ζημίας εἰς τὸν ὡρισμένον καιρὸν συνελθόντων, ἐξαριθμεῖται ἐν Βαλᾷ τῇ πόλει τὸ πλῆθος· εὑρίσκει δὲ τὸν ἀριθμὸν χωρὶς τῆς Ἰούδα φυλῆς εἰς ἑβδομήκοντα μυριάδας συνειλεγμένους· τῆς δὲ φυλῆς ἐκείνης ἦσαν ἑπτὰ μυριάδες. Διαβὰς δὲ τὸν Ἰορδάνην καὶ σχοίνων δέκα δι' ὅλης τῆς νυκτὸς ἀνύσας ὁδὸν φθάνει μὲν ἥλιον ἀνίσχοντα, τριχῇ δὲ τὸ στράτευμα διελὼν ἐπιπίπτει πανταχόθεν αἰφνιδίως οὐ προσδοκῶσι τοῖς ἐχθροῖς. Καὶ συμβαλὼν εἰς μάχην ἄλλους τε πολλοὺς ἀποκτείνει τῶν Ἀμμανιτῶν καὶ Ναάσην τὸν βασιλέα. Τοῦτο λαμπρὸν ἐπράχθη τῷ Σαούλῳ τὸ ἔργον, καὶ πρὸς πάντας αὐτὸν τοὺς Ἑβραίους διήγγειλεν ἐπαινούμενον καὶ δόξης ἀπολαύοντα θαυμαστῆς ἐπ' ἀνδρείᾳ. Καὶ γὰρ εἴ τινες ἦσαν οἱ πρότερον αὐτοῦ κατεφρόνουν, τότε μετέστησαν ἐπὶ τὸ τιμᾶν καὶ πάντων ἄριστον νομίζειν. Οὐ γὰρ ἤρκεσεν αὐτῷ τοὺς Ἰαβισηνοὺς σεσωκέναι μόνον, ἀλλὰ καὶ τῇ τῶν Ἀμμανιτῶν ἐπιστρατεύσας χώρᾳ πᾶσαν αὐτὴν

semetipsos traderent, neque an bello rem experiri mallent. Sed petierunt sibi dies induciarum septem concedi, ut missis ad tribules suos legatis suppetias ab eis implorarent : et si quidem auxilio sibi venerint, bellum jungere ; sin vero nullam opem ab iis impetrarint, sese illi dedituros esse dicebant, ea lege ut paterentur quicquid ipsi libuerit.

2. Naases autem, qui Galadenos contempsit illorumque responsum, simul dat eis inducias, sinitque ut quoscunque velint in auxilium evocent. Igitur nunciis statim per omnes Israelitarum urbes missis ea illis narrabant, quæ minitatus erat Naases, et in quas redacti essent angustias. Illi vero, audita hac Jabisenorum calamitate, ad lacrimas magnumque in mœrorem adducti sunt : timor autem eos omni facto et incepto prohibebat. Ac quum nuncii in Sauli regis civitatem venissent, et in quibus contigisset Jabisenos esse periculis declarassent, populus quidem similiter ac alii quos adierant dolore afficiebantur ; (nam excitabant luctum ob cognatorum miseriam ;) Saulus autem, ex opere rustico in urbem se recipiens, cives suos offendit lacrimis perfusos, atque percontatus quid iis accidisset, ut in tanta essent perturbatione et mœstitia, ab iis accipit quæ attulerunt legati. Atque divinitus afflatus Jabisenos quidem remittit, pollicitus eis se tertia die venturum auxilio, et ante solem exortum hostes superaturum, ita ut eos jamjam victores et timore liberatos sol oriens aspiceret. Quosdam autem illorum duces itineris secum manere jussit.

(VI.) 3. Volens autem populum ad bellum contra Ammanitas metu ne damno multarentur excitare, facereque ut quam celerrime convenirent, quum bobus suis nervos succidisset, comminatus est eodem modo se tractaturum eos qui sibi non afforent, nisi die proxima cum armis ad Jordanem præsto adessent, sequuturi ipsum et Samuelum prophetam quocunque eos ducerent. Eorum vero, qui sibi caventes a supplicio denunciato ad præfinitum tempus convenerant, multitudinis in urbe Bala facta est recensio : numerumque invenit virorum absque tribu Judæ ad septingenta millia confluxisse : illius autem tribus erant septuaginta millia. Transgressus dein Jordanem, et tota nocte decem schœnorum viam emensus, ante solis quidem ortum pervenit quo destinaverat. Quum autem exercitum trifariam partitus esset, derepente hostes nihil tale exspectantes undique adoritur, ac prælio commisso et alios quamplurimos peremit ipsumque regem Naasen. Res ista a Saulo præclare gesta erat, famaque ejus ingenti cum laude ad omnes Israelitas perlata est, atque mirabilem ob fortitudinem adeptus est gloriam. Nam et si qui erant qui prius ipsum contempserant, tum mutata sententia illum honore prosequebantur et omnium optimum esse existimabant. Non enim eo contentus erat, quod Jabisenos conservasset, sed et in Ammanitarum regionem facta irruptione, eam totam vastat et depopulatur, quumque multum prædæ cepisset, gloria

καταστρέφεται, καὶ πολλὴν λαβὼν λείαν λαμπρὸς εἰς
τὴν οἰκείαν ὑπέστρεψεν. Ὁ δὲ λαὸς ὑφ' ἡδονῆς τῶν
Σαούλῳ κατωρθωμένων ἔχαιρε μὲν ὅτι τοιοῦτον ἐχειρο-
τόνησε βασιλέα, πρὸς δὲ τοὺς οὐδὲν ὄφελος αὐτὸν ἔσε-
σθαι τοῖς πράγμασι λέγοντας ἐβόων, ποῦ νῦν εἰσὶν
οὗτοι; καὶ δότωσαν δίκην· καὶ πάνθ' ὅσα φιλεῖ λέγειν
ὄχλος ἐπ' εὐπραγίαις ἡρμένος πρὸς τοὺς ἐξευτελίζοντας
ἔναγχος τοὺς τούτων αἰτίους. Σάουλος δὲ τούτων μὲν
ἠσπάζετο τὴν εὔνοιαν καὶ τὴν περὶ αὐτὸν προθυμίαν,
ὤμοσε δὲ μή τινα περιόψεσθαι τῶν ὁμοφύλων ἀναιρού-
μενον ἐπ' ἐκείνης τῆς ἡμέρας· ἄτοπον γὰρ εἶναι τὴν
ὑπὸ τοῦ Θεοῦ δεδομένην νίκην αἵματι φῦραι καὶ φόνῳ
τῶν ἐκ ταὐτοῦ γένους αὐτοῖς, πρέπειν δὲ μᾶλλον πρὸς
ἀλλήλους εὐμενῶς διακειμένους ἑορτάζειν.

δ'. Σαμουήλου δὲ φήσαντος καὶ δευτέρᾳ δεῖν χει-
ροτονίᾳ Σαούλῳ τὴν βασιλείαν ἐπικυρῶσαι, συνίασι
πάντες εἰς Γάλγαλα πόλιν· ἐκεῖ γὰρ αὐτοὺς ἐκέλευσεν
ἐλθεῖν. Καὶ πάλιν ὁρῶντος τοῦ πλήθους ὁ προφήτης
χρίει τὸν Σάουλον τῷ ἁγίῳ ἐλαίῳ καὶ δεύτερον ἀναγο-
ρεύει βασιλέα. Καὶ οὕτως ἡ τῶν Ἑβραίων πολιτεία
εἰς βασιλείαν μετέπεσεν. Ἐπὶ γὰρ Μωϋσέως καὶ τοῦ
μαθητοῦ αὐτοῦ Ἰησοῦ, ὃς ἦν στρατηγός, ἀριστοκρατού-
μενοι διετέλουν. Μετὰ δὲ τὴν ἐκείνων τελευτὴν, ἔτεσι
τοῖς πᾶσι δέκα καὶ πρὸς τούτοις ὀκτὼ, τὸ πλῆθος αὐ-
τῶν ἀναρχία κατέσχε. Μετὰ ταῦτα δ' εἰς τὴν προτέ-
ραν ἐπανῆλθον πολιτείαν, τῶν κατὰ πόλεμον ἀρίστῳ
δόξαντι γεγενῆσθαι καὶ κατ' ἀνδρείαν περὶ τῶν ὅλων
δικάζειν ἐπιτρέποντες· καὶ διὰ τοῦτο τὸν χρόνον τοῦτον
τῆς πολιτείας Κριτῶν ἐκάλεσαν.

ε'. Ἐκκλησίαν δὲ Σαμούηλος ποιήσας ὁ προφήτης
τῶν Ἑβραίων, « ἐπόμνυμι, φησὶν, ὑμῖν τὸν μέγι-
« στον Θεὸν, ὃς τοὺς ἀδελφοὺς τοὺς ἀγαθοὺς ἐκείνους,
« λέγω δὴ Μωϋσῆν καὶ Ἀαρῶνα, παρήγαγεν εἰς τὸν
« βίον καὶ τοὺς πατέρας ἡμῶν ἐξήρπασεν Αἰγυπτίων
« καὶ τῆς ὑπ' αὐτοῖς δουλείας, μηδὲν μήτ' αἰδοῖ χαρι-
« ζομένους μήθ' ὑποστειλαμένους φόβῳ μήτε ἄλλῳ τινὶ
« πάθει παραχωρήσαντας εἰπεῖν εἴ τί μοι πέπρακται
« σκαιὸν καὶ ἄδικον ἢ κέρδους ἕνεκα, ἢ πλεονεξίας, ἢ
« χάριτος τῆς πρὸς ἄλλους, ἐλέγξαι δὲ εἰ καὶ τῶν τοιού-
« τῶν τι προσηκάμην, μόσχον ἢ πρόβατον ἃ πρὸς τρο-
« φὴν ἀνεμέσητον δοκεῖ λαμβάνειν, ἢ εἴ τινος ὑποζύγιον
« εἰς ἐμὴν ἀποσπάσας χρείαν ἐλύπησα, τούτων ἕν τι
« κατείπεῖν παρόντος ὑμῶν τοῦ βασιλέως ». Οἱ δὲ ἀνέ-
κραγον μηδὲν τούτων ὑπ' αὐτοῦ γεγονέναι, προστῆναι
δὲ ὁσίως αὐτὸν καὶ δικαίως τοῦ ἔθνους.

ς'. Σαμούηλος δὲ, ταύτης ἐξ ἁπάντων τῆς μαρτυ-
ρίας αὐτῷ γενομένης, « ἐπεὶ δεδώκατέ μοι, φησὶν, τὸ
« μηδὲν ἄτοπον ἐφ' ὑμᾶς περὶ ἐμοῦ δύνασθαι λέγειν,
« φέρε νῦν μετὰ παρρησίας ἀκούσατε ἐμοῦ λέγοντος ὅτι
« μεγάλα ἠσεβήσατε εἰς τὸν Θεὸν αἰτησάμενοι βασι-
« λέα. Διαμνημονεύειν δὲ ὑμᾶς προσῆκεν ὅτι σὺν
« ἑβδομήκοντα μόνοις ἐκ τοῦ γένους ἡμῶν ὁ πάππος
« Ἰάκωβος διὰ λιμὸν εἰς Αἴγυπτον ἦλθε. Κἀκεῖ πολ-
« λῶν μυριάδων ἐπιτεκνωθεισῶν, ἃς εἰς δουλείας καὶ

splendens in suas sedes reversus est. Populus autem ex voluptate, qua eos affecerant prosperi rerum sub Saulo successus, gaudebant quidem quod talem nacti essent regem, contra eos vero, qui illum nec res suas tueri nec augere posse dixerant, exclamabant, Ubi nunc sunt isti? pœnas exsolvant; atque alia omnia quæ solet populus felicitate sua elatus in eos projicere, qui paulo ante ejus auctores despexerant. Saulus interea studium quidem eorum et benevolentiam erga se collaudabat, verum jurejurando negavit se quenquam a tribulibus eo die conspecturum esse supplicio affectum : quippe absurdum fore ut victoria a Deo data sanguine et cæde eorum fœdaretur, qui ex eadem qua ipsi stirpe essent prognati : magis vero decere, mutuo amore epulisque diem celebrare.

4. Quum vero Samuelus pronunciasset altera etiam opus esse inauguratione, ut Saulo confirmaretur regnum, omnes sese in urbem Galgala congregant : nam ut in istum locum convenirent jusserat Samuelus. Ac rursum populo inspectante Saulum sacro oleo inungit propheta, iterumque declarat regem. Atque hoc modo Hebræorum respublica in regni formam commutata est. Nam sub Moyse et discipulo ejus Jesu, qui exercitui cum imperio præerat, in optimatium statu permanserunt. Eorum autem post obitum, annos omnes decem et octo præterea, populus non habuit summum magistratum. Postea vero ad pristinam regiminis formam redierunt, rerum omnium judicio ei, qui bello optimus esse et fortitudine præcellere videretur, permisso : quam ob rem hoc tempus, quo isto erant reipublicæ statu, Judicum appellarunt.

5. Samuelus autem propheta, quum Hebræos in concionem convocasset, ait, « adjuro vos per maximum Deum, « qui fratres bonos, Moysen *dicere* volo et Aaronem, in « hanc lucem misit, et patres vestros ex Ægyptiorum do- « minatu et qua ipsos premebant servitute eripuit, ut neque « pudori cedentes, neque ex metu aliquid imminuentes, « neque ulli affectui obsequentes, dicatis ecquid pravi et « injusti fecerim, aut quæstus gratia, aut plus justo habendi « cupidine, aut ut gratiam cum aliis inirem; coarguite *me* « si cujus vitulum aut ovem, aut simile quidpiam accepe- « rim, (quum tamen culpa vacare videatur, si quid in victum « cesserit,) aut si cujus jumentum meos in usus abripien- « do eum contristaverim, horum unum aliquid dicite, « rege vestro præsente ». Illi vero exclamarunt, horum nihil ab eo factum, sed sancte et juste genti præfuisse.

6. Samuelus autem, quum de eo universi præclarum adeo dedissent testimonium, inquit, « quoniam id mihi conces- « sistis, vos nihil mali mihi adhuc objicere posse, agite, « nunc animum mihi advortite dum vobis paulo liberius « dicam, vos rege flagitando graviter in Deum deliquisse. « Oportebat enim vos meminisse, quod cum septuaginta « solummodo nostri generis hominibus avus Jacobus fame « coactus in Ægyptum venerit. Quumque ibi in multas « myriadas illorum excrevisset soboles, eaque ab Ægyptiis

« χαλεπὰς ὕβρεις ἤγαγον οἱ Αἰγύπτιοι, ὁ Θεὸς, εὐξα-
« μένων τῶν πατέρων, χωρὶς βασιλέως παρέσχεν αὐτοῖς
« ῥύσασθαι τῆς ἀνάγκης τὸ πλῆθος, Μωϋσῆν αὐτοῖς
« καὶ Ἀαρῶνα ἀποπέμψας ἀδελφοὺς, οἳ ἤγαγον ὑμᾶς
« εἰς τήνδε τὴν γῆν, ἣν νῦν ἔχετε. Καὶ τούτων ἀπο-
« λαύσαντες ἐκ τοῦ Θεοῦ προδεδώκατε τὴν θρησκείαν
« καὶ τὴν εὐσέβειαν. Οὐ μὴν ἀλλὰ καὶ τοῖς πολεμίοις
« ὑποχειρίους γεγενημένους ἠλευθέρωσε, πρῶτον μὲν
« Ἀσσυρίων καὶ τῆς ἐκείνων ἰσχύος ὑπερτέρους ἀπεργα-
« σάμενος, ἔπειτα Ἀμμανιτῶν κρατῆσαι παρασχὼν καὶ
« Μωαβιτῶν, καὶ τελευταῖον Παλαιστίνων. Καὶ ταῦτα
« οὐ βασιλέως ἡγουμένου διεπράξασθε, ἀλλ' Ἰεφθοῦ καὶ
« Γεδεῶνος στρατηγούντων. Τίς οὖν ἔσχεν ὑμᾶς ἄνοια,
« φυγεῖν μὲν τὸν Θεὸν, ὑπὸ βασιλέα δὲ εἶναι θέλειν;
« Ἀλλ' ἐγὼ μὲν ἀπέδειξα τοῦτον ὃν αὐτὸς ἐπελέξατο.
« Ἵνα μέντοι γε φανερὸν ὑμῖν ποιήσω τὸν Θεὸν ὀργι-
« ζόμενον καὶ δυσχεραίνοντα τῇ τῆς βασιλείας ὑμῶν
« αἱρέσει, δηλῶσαι τοῦθ' ὑμῖν τὸν Θεὸν παρασκευάσω
« διὰ σημείων ἐναργῶς. Ὃ γὰρ οὐδέπω πρότερον εἶδεν
« ὑμῶν οὐδεὶς ἐνταῦθα γεγενημένον, θέρους ἀκμῇ χει-
« μῶνα, αἰτησάμενος τὸν Θεὸν παρέξω τοῦτο νῦν ὑμῖν
« ἐπιγνῶναι ». Καὶ ταῦτ' εἰπόντος πρὸς τὸ πλῆθος τοῦ
Σαμουήλου, βρονταῖς σημαίνει τὸ θεῖον καὶ ἀστραπαῖς
καὶ χαλάζης καταφορᾷ τὴν τοῦ προφήτου περὶ πάντων
ἀληθειαν, ὡς τεθαμβηκότας αὐτοὺς καὶ περιδεεῖς γε-
νομένους ἁμαρτεῖν τε ὁμολογεῖν καὶ κατ' ἄγνοιαν εἰς
τοῦτο προπεσεῖν, καὶ ἱκετεύειν τὸν προφήτην ὡς πατέρα
αὐτοῖς χρηστὸν καὶ ἐπιεικῆ τὸν Θεὸν εὐμενῆ καταστῆ-
σαι, καὶ ταύτην ἀφεῖναι τὴν ἁμαρτίαν, ἣν πρὸς οἷς
ἐξύβρισαν ἄλλοις καὶ παρενόμησαν προσεξειργάσαντο.
Ὁ δὲ ὑπισχνεῖται καὶ παρακαλέσειν τὸν Θεὸν συγγνῶ-
ναι περὶ τούτων αὐτοῖς καὶ πείσειν. Συνεβούλευε
μέντοι δικαίους εἶναι καὶ ἀγαθοὺς, καὶ μνημονεύειν
ἀεὶ τῶν διὰ τὴν παράβασιν τῆς ἀρετῆς αὐτοῖς κακῶν
συμπεσόντων καὶ τῶν σημείων τοῦ Θεοῦ καὶ τῆς Μωϋ-
σέως νομοθεσίας, εἰ σωτηρίας αὐτοῖς καὶ τῆς μετὰ τοῦ
βασιλέως εὐδαιμονίας ἐστὶν ἐπιθυμία. Εἰ δὲ τούτων
ἀμελήσουσιν, ἔλεγεν ἥξειν αὐτοῖς τε καὶ τῷ βασιλεῖ
μεγάλην ἐκ Θεοῦ πληγήν. Καὶ ὁ Σαμούηλος μὲν
ταῦτα τοῖς Ἑβραίοις προφητεύσας ἀπέλυσεν αὐτοὺς
ἐπὶ τὰ οἰκεῖα, βεβαιώσας ἐκ δευτέρου τῷ Σαύλῳ τὴν
βασιλείαν.

ΚΕΦ. Ϛ'.

Οὗτος δ' ἐπιλέξας ἐκ τοῦ πλήθους ὡς περὶ τρισχι-
λίους, τοὺς μὲν δισχιλίους ὥστε σωματοφυλακεῖν αὐτὸν
λαβὼν αὐτὸς διέτριβεν ἐν πόλει Βεθήλοις, Ἰωνάθῃ δὲ
τῷ παιδὶ τοὺς λοιποὺς δοὺς ὥστε σωματοφυλακεῖν αὐ-
τὸν εἰς Γαβὰς ἔπεμψεν. Ὁ δ' ἐκπολιορκεῖ τι φρούριον
τῶν Παλαιστίνων οὐ πόρρω Γαλγάλων. Οἱ γὰρ τῆς
Γαβᾶς Παλαιστῖνοι καταστρεφόμενοι τοὺς Ἰουδαίους
τά τε ὅπλα αὐτοὺς ἀφῃροῦντο καὶ τοὺς ὀχυρωτάτους τῆς
χώρας τόπους φρουραῖς κατελαμβάνοντο, καὶ σιδηρο-
φορεῖν χρῆσθαί τε καθάπαξ ἀπηγόρευον σιδήρῳ. Καὶ

« in gravem et contumeliosam adducta esset servitutem,
« Deus, a patribus *vestris* invocatus, absque rege eis
« auctor erat ut multitudo ex ista liberaretur necessitate,
« mittendo eis Moysen et Aaronem fratres, qui vos in hanc
« terram eduxerunt, quam nunc possidetis. Et tamen
« post ista a Deo accepta beneficia prodidistis pietatem ac
« religionem. Nihilominus vos in hostium potestatem re-
« dactos in libertatem asseruit, quum primum quidem effe-
« cerit ut superiores essetis Assyriorum potentia, deinde
« vobis dederit Ammanitas vincere et Moabitas, postremo
« que Palæstinos. Atque hæc confecistis, non regiis au-
« spiciis, sed ductu Jephthæ et Gedeonis. Quæ igitur vos
« cepit dementia, ut Dei quidem imperium detrectaretis,
« vosmet vero regi subjiceretis? Sed ego quidem istum
« creavi regem quem ille designavit. At vobis ut manife-
« stum fiat Deum irasci et indignari, quod regium domina-
« tum elegeritis, ita res comparabo ut Deus indiciis cer-
« tissimis hoc ipsum vobis ostendat. Quod enim nunquam
« quisquam vidit in hac regione, æstate media tempestatem,
« hoc ipsum quum Deum invocavero faciam ut vos conspi-
« ciatis ». Ac statim ut hæc ad populum dixerat Samuelus, tanta vi tonitruum ac fulgurum et grandinis prophetæ in omnibus veritati fidem adstruit Deus, ut admiratione et timore perculsi peccasse se cuncti profiterentur et per inscitiam eo prolapsos esse, atque a propheta contenderent ut veluti pater benignus mitisque propitium sibi redderet Deum, ita ut istud remitteret peccatum, quo tot alias suas contumelias et delicta cumularant. Ille vero pollicitus est se Deum ut illa ipsis condonaret rogaturum, simulque exoraturum. Verumtamem eis consilium dedit ut justi esse studerent et boni, semperque in memoria tenerent calamitates, in quas a virtute desciscendo inciderant, ac præterea signa a Deo edita legesque a Moyse latas, si ipsis incolumitatis suæque juxta ac regis felicitatis cupido incesserit. Sin vero ista neglexerint, fore aiebat ut ipsi una cum rege gravem a Deo plagam acciperent. Et quum Samuelus quidem hæc Hebræis prædixisset, illos domum quemque suam dimisit, regno iterum Saulo confirmato.

CAP. VI. (VII.)

Hic vero delectis ex multitudine circiter tribus millibus, quum ex eis duo quidem millia sibi in satellitium sumpsisset, ipse in urbe Bethelis commorabatur, at reliquos cum filio suo Jonathæ dedisset ut ei corporis custodes essent, eum Gabas mittebat. Ille autem in castro quodam Palæstinorum expugnando occupatur, quod a Galgalis non procul aberat. Nam qui Gabam incolebant Palæstini, debellatis Judæis, et arma ipsis auferebant, et munitissima regionis loca præsidiis tenebant, porro et a ferro gestando, ejusque usu in universum illos prohibebant. Atque ob hoc inter-

διὰ ταύτην τὴν ἀπόρρησιν οἱ γεωργοὶ, εἴ ποτε δεήσειε αὐτοὺς ἐπισκευάσαι τι τῶν ἐργαλείων, ἢ ὕννιν ἢ μάκελλαν ἢ ἄλλο τι τῶν εἰς γεωργίαν χρησίμων, φοιτῶντες εἰς τοὺς Παλαιστίνους ταῦτ' ἔπραττον. Ὡς δὲ ἠκούσθη τοῖς Παλαιστίνοις ἡ τῆς φρουρᾶς ἀναίρεσις, ἀγανακτήσαντές τε καὶ δεινὴν ὕβριν τὴν καταφρόνησιν ἡγησάμενοι στρατεύουσιν ἐπὶ τοὺς Ἰουδαίους, πεζῶν μὲν τριάκοντα μυριάσιν, ἅρμασι δὲ τρισμυρίοις· ἵππον δ' ἑξακισχιλίαν ἐπήγοντο, καὶ στρατοπεδεύονται πρὸς πόλει Μαχμᾶ. Τοῦτο Σάουλος ὁ τῶν Ἑβραίων βασιλεὺς μαθὼν εἰς Γάλγαλα καταβαίνει πόλιν, καὶ διὰ πάσης κηρύσσει τῆς χώρας ἐπ' ἐλευθερίᾳ καλῶν τὸν λαὸν ἐπὶ τὸν πόλεμον τὸν πρὸς Παλαιστίνους, τὴν δύναμιν ἐκφαυλίζων αὐτῶν καὶ διασύρων ὡς οὐκ ἀξιόλογον, οὐδ' ὥστε φοβεῖσθαι διακινδυνεύειν πρὸς αὐτούς. Κατανοήσαντες δὲ τὸ πλῆθος τῶν Παλαιστίνων οἱ τοῦ Σαούλου κατεπλάγησαν, καὶ οἱ μὲν εἰς τὰ σπήλαια καὶ τοὺς ὑπονόμους ἔκρυψαν ἑαυτούς, οἱ πλείους δὲ εἰς τὴν πέραν τοῦ Ἰορδάνου γῆν ἔφυγον· αὕτη δ' ἦν Γάδου καὶ Ῥουβήλου.

β'. Πέμψας δὲ Σάουλος πρὸς τὸν προφήτην ἐκάλει πρὸς αὑτὸν συνδιασκεψόμενον περὶ τοῦ πολέμου καὶ τῶν πραγμάτων. Ὁ δὲ περιμένειν αὐτὸν ἐκέλευσεν αὐτόθι καὶ παρασκευάζειν θύματα· μετὰ γὰρ ἡμέρας ἓξ πρὸς αὐτὸν ἥξειν, ὅπως θύσωσι τῇ ἑβδόμῃ τῶν ἡμερῶν, ἔπειθ' οὕτω συμβάλωσι τοῖς πολεμίοις. Καὶ περιμένει μὲν ὡς ὁ προφήτης ἐπέστειλεν, οὐκέτι μέντοιγε διατηρεῖ τὴν ἐντολήν, ἀλλ' ὡς ἑώρα βραδύνοντα μὲν τὸν προφήτην, αὐτὸν δὲ ὑπὸ τῶν στρατιωτῶν καταλειπόμενον, λαβὼν τὰ θύματα προσήγαγεν. Ἐπεὶ δὲ τὸν Σαμούηλον ἤκουσε προσιόντα, ὑπαντησόμενος ἐξῆλθεν. Ὁ δ' οὐκ ὀρθῶς αὐτὸν ἔφη πεποιηκέναι παρακούσαντα ὧν ἐπέστειλεν αὐτὸς καὶ φθάσαντα τὴν παρουσίαν, ἣν κατὰ βούλησιν γινομένην τοῦ θείου πρὸς τὰς εὐχὰς καὶ τὰς θυσίας τὰς ὑπὲρ τοῦ πλήθους προλάβοι, κακῶς ἱερουργήσας καὶ προπετὴς γενόμενος. Ἀπολογουμένου δὲ τοῦ Σαούλου καὶ περιμεῖναι μὲν τὰς ἡμέρας ἃς ὥρισε λέγοντος, ὑπὸ δὲ ἀνάγκης καὶ ἀναχωρήσεως τῶν αὐτοῦ στρατιωτῶν διὰ φόβον, στρατοπεδείας δὲ τῶν ἐχθρῶν ἐν Μαχμᾷ, καὶ ἀκοῆς τῆς πρὸς αὐτὸν εἰς Γάλγαλα καταβάσεως, ἐπειχθῆναι πρὸς τὴν θυσίαν, ὑπολαβὼν ὁ Σαμούηλος, « ἀλλὰ σὺ, φη-« σὶν, εἰ δίκαιος ἦσθα καὶ μὴ παρήκουσας ἐμοῦ, μηδ' « ὧν ὑπέθετό μοι περὶ τῶν παρόντων ὁ Θεὸς ὠλιγώρη-« σας, ταχύτερος ἂν συνέφερε τοῖς πράγμασι γεγονὼς, « σοί τ' αὐτῷ πλεῖστον ἂν βασιλεῦσαι χρόνον ἐξεγένετο « καὶ τοῖς σοῖς ἐκγόνοις ». Καὶ Σαμούηλος μὲν ἀχθόμενος ἐπὶ τοῖς γεγενημένοις ἀνεχώρησε παρ' ἑαυτὸν, Σάουλος δὲ εἰς Γαβαὼν πόλιν, ἔχων ἑξακοσίους μεθ' ἑαυτοῦ μόνον, ἦκε σὺν Ἰωνάθῃ τῷ παιδί· τούτων δὲ οἱ πλείους οὐκ εἶχον ὅπλα, τῆς χώρας σπανιζούσης σιδήρου καὶ τῶν ὅπλα χαλκεύειν δυναμένων· οὐ γὰρ εἴων οἱ Παλαιστῖνοι ταῦτα εἶναι, καθὼς καὶ μικρὸν ἔμπροσθεν δεδηλώκαμεν. Διελόντες δὲ εἰς τρία μέρη

dictum agricolæ, si quando illis opus esset ut instrumenta sua inspicarent, puta vomerem, aut ligonem, aut aliud quidpiam eorum quibus in agrorum cultura utuntur, ad Palæstinos crebro euntes illa reficienda curabant. Ut vero de castro everso audiverunt Palæstini, indignati, et contemptum sui gravem esse injuriam interpretati, Judæis bellum inferunt. Adducebant peditum quidem trecenta millia, curruum autem triginta millia, equitum vero sex millia, atque castra metantur apud urbem Machmam. Hæc quum Saulus rex Hebræorum intellexisset, in urbem Galgala descendit, et dimissis per totam regionem præconibus populum libertatis tuendæ ergo ad bellum contra Palæstinos convocat, potentiam eorum *verbis* elevans, eique obtrectans tanquam esset spernenda, et quod nec tantillum dubitarent cum illis prælium committere. Qui vero cum Saulo erant, conspectis Palæstinorum copiis, animis valde consternati erant, ac alii quidem in speluncas et cuniculos sese abdunt, plures vero in terram Transjordanianam fuga dilapsi sunt : illa autem sortis erat Gadis et Rubeli.

2. Saulus vero, missis ad prophetam nunciis, eum ad se accersit una cum ipso de bello rebusque *præsentibus* consultaturum. Is vero jussit ut se illic opperiretur, atque pararet victimas : se enim post sex dies ad ipsum venturum esse, ut die septima sacra faciant, atque ita demum cum hostibus congrediantur. Et dum veniret, exspectat quidem, quemadmodum præceperat propheta, attamen non usquequaque mandato ejus obsequitur, sed ut cunctari quidem prophetam animadvertit, seque a militibus deseri, sumptis hostiis ipse eas aræ admovebat. Quum vero Samuelum advenire audivisset, ei obviam progressus est. At ille non recte eum fecisse dicebat, iis quæ ipse imperaverat non obtemperando, neque adventum ejus præstolando, quem, quum sit ex Dei voluntate constitutus ad preces et victimas pro populo offerendas, occuparit, inauspicato ausuque temerario sacris operatus. Saulo autem semet ei excusante, ac dicente se per tot dies quot præfiniverit moratum esse, ex necessitate vero et militum suorum discessu propter metum, hostium autem apud Machmam castrametatione, auditoque quod ad se in Galgala descenderent, ad sacra facienda impulsum esse ; tum Samuelus, « sed tu, inquit, « si justus fuisses et mihi paruisses, neque ea quæ de præ-« sentibus mihi suggessit Deus contempsisses, plus quam « rebus expediret festinando, contigisset ut et tu longo « tempore regnares, tuique similiter posteri ». Et Samuelus quidem moleste ferens quæ facta fuerant domum discessit, Saulus vero, sexcentos tantum milites secum habens, cum Jonatha filio in urbem Gabaon venit ; atque illorum pluribus arma deerant, quod ea regio nec ferrum suppeditarit, nec qui arma fabricare poterant : nam quominus hæc essent Palæstini prohibebant, sicut et paulo ante declaravimus.

τὴν στρατιὰν οἱ Παλαιστῖνοι καὶ κατὰ τοσαύτας ὁδοὺς ἐπερχόμενοι τὴν τῶν Ἑβραίων χώραν ἐπόρθουν, βλεπόντων τε Σαούλου τοῦ βασιλέως αὐτῶν καὶ τοῦ παιδὸς Ἰωνάθου, ἀμῦναί τε τῇ γῇ (μεθ' ἑξακοσίων γὰρ μόνον ἦσαν) οὐ δυναμένων. Καθεζόμενοι δ' αὐτός τε καὶ ὁ παῖς αὐτοῦ καὶ ὁ ἀρχιερεὺς Ἀχίας, ἀπόγονος ὢν Ἠλεὶ τοῦ ἀρχιερέως, ἐπὶ βουνοῦ ὑψηλοῦ καὶ τὴν γῆν λεηλατουμένην ὁρῶντες, ἐν ἀγωνίᾳ δεινῇ καθειστήκεσαν. Συντίθεται δὲ ὁ Σαούλου παῖς τῷ ὁπλοφόρῳ κρύφα πορευθέντων αὐτῶν εἰς τὴν τῶν πολεμίων παρεμβολὴν ἐκδραμεῖν καὶ ταραχὴν ἐμποιῆσαι καὶ θόρυβον αὐτοῖς. Τοῦ δὲ ὁπλοφόρου προθύμως ἐφέψεσθαι φήσαντος ὅποι ποτ' ἂν ἡγῆται, κἂν ἀποθανεῖν δέῃ, προσλαβὼν τὴν τοῦ νεανίσκου συνεργίαν, καὶ καταβὰς ἀπὸ τοῦ βουνοῦ πρὸς τοὺς πολεμίους ἐπορεύετο. Ἦν δὲ τὸ τῶν πολεμίων στρατόπεδον ἐπὶ κρημνοῦ, τρισὶν ἄκραις εἰς λεπτὸν ἀπηκονημέναις μῆκος πέτρας ἐν κύκλῳ στεφανούσης ὥσπερ προβόλοις τὰς ἐπιχειρήσεις ἀπομαχόμενον· ἔνθεν συνέβαινεν ἠμελῆσθαι τὰς φυλακὰς τοῦ στρατοπέδου, διὰ τὸ φύσει περιεῖναι τῷ χωρίῳ τὴν ἀσφάλειαν, καὶ παντὶ νομίζειν ἀμήχανον εἶναι κατ' ἐκείνας οὐκ ἀναβῆναι μόνον, ἀλλὰ καὶ προσελθεῖν. Ὡς οὖν ἦκον εἰς τὴν παρεμβολήν, ὁ Ἰωνάθης παρεθάρρυνε τὸν ὁπλοφόρον, καὶ « προσβάλωμεν τοῖς πολεμίοις, ἔλεγε· κἂν μὲν ἀναβῆναι κελεύσωσιν ἡμᾶς πρὸς αὐτοὺς ἰδόντες, σημεῖον τοῦτο νίκης ὑπολαμβάνειν· ἐὰν δὲ φθέγξωνται μηδὲν, ὡς οὐ καλοῦντες ὑμᾶς, ὑποστρέψωμεν. » Προσιόντων δ' αὐτῶν τῷ στρατοπέδῳ τῶν πολεμίων, ὑποφαινούσης ἤδη τῆς ἡμέρας, ἰδόντες οἱ Παλαιστῖνοι πρὸς ἀλλήλους ἔλεγον ἐκ τῶν ὑπονόμων καὶ τῶν σπηλαίων προϊέναι τοὺς Ἑβραίους. Καὶ πρὸς Ἰωνάθην καὶ τὸν ὁπλοφόρον αὐτοῦ, « δεῦτ', ἔφασαν, ἀνέλθετε πρὸς ἡμᾶς, ἵνα ὑμᾶς τιμωρησώμεθα τῶν τετολμημένων ἀξίως. » Ἀσπασάμενος δὲ τὴν φωνὴν ὁ τοῦ Σαούλου παῖς, ὡς νίκην αὐτῷ σημαίνουσαν, παραυτίκα μὲν ἀνεχώρησεν ἐξ οὗπερ ὤφθησαν τόπου τοῖς πολεμίοις· παραμειψάμενος δὲ τοῦτον ἐπὶ τὴν πέτραν ἦκεν, ἔρημον οὖσαν τῶν φυλαττόντων διὰ τὴν ὀχυρότητα. Κἀκεῖθεν ἀνερπύσαντες μετὰ πολλῆς ταλαιπωρίας ἐβιάσαντο τὴν τοῦ χωρίου φύσιν ὡς ἀνελθεῖν ἐπὶ τοὺς πολεμίους, ἐπιπεσόντες δ' αὐτοῖς κοιμωμένοις ἀποκτείνουσι μὲν ὡς εἴκοσι, ταραχῆς δὲ καὶ ἐκπλήξεως αὐτοὺς ἐγέμισαν, ὡς τινὰς μὲν φυγεῖν τὰς πανοπλίας ἀπορρίψαντας, οἱ δὲ πολλοὶ μὴ γνωρίζοντες ἑαυτοὺς, διὰ τὸ πολλῶν ἐθνῶν εἶναι, πολεμίους ὑπονοοῦντες ἀλλήλους, (καὶ γὰρ οὐκ εἴκαζον ἀναβῆναι πρὸς αὐτοὺς τῶν Ἑβραίων τοὺς δύο μόνους,) εἰς μάχην ἐτράποντο. Καὶ οἱ μὲν αὐτῶν ἀπέθνησκον κτεινόμενοι, τινὲς δὲ φεύγοντες κατὰ τῶν πετρῶν ὠθούμενοι κατεκρημνίζοντο.

γ'. Τῶν δὲ τοῦ Σαούλου κατασκόπων τεταράχθαι τὸ στρατόπεδον τῶν Παλαιστίνων φρασάντων τῷ βασιλεῖ, Σάουλος ἠρώτα μή τις εἴη τῶν αὐτοῦ κεχωρισμένος. Ἀκούσας δὲ τὸν υἱὸν καὶ σὺν αὐτῷ τὸν ὁπλοφόρον ἀπεῖναι, κελεύει τὸν ἀρχιερέα λαβόντα τὴν ἀρχιερατι-

Porro Palæstini quum exercitum in tria agmina divisissent et per totidem vias irruptionem facerent, Hebræorum regionem populabantur, dum Saulus eorum rex et filius *ejus* Jonathas inspectarent, et terram (quod cum illis sexaginta solummodo essent) defendere non valerent. Dum autem Saulus et filius ejus et Achias pontifex, ex posteris Eli pontificis, super colle excelso sederent et terram devastatam conspicerent, graviter animis angebantur. Filius vero Sauli constituit cum armigero suo ut clam digressi in castra hostium excurrerent, atque ibi tumultum et trepidationem concitarent. Quumque armiger promisisset se ipsum quocunque duxerit secuturum, etiamsi mortis periculum esset adituros, *Jonathas*, assumpto sibi adjutore juvene, descensuque de colliculo facto, ad hostes contendebat. Erant autem castra eorum in loco prærupto sita, tribus prominentiis, ita acuminatis ut exigue admodum paterent, scopulis in ambitum euntibus, tanquam propugnaculis contra aggredientium *impetum munita*. Unde contingebat ut negligentius custodirentur castra, quod locorum natura undique tuta essent, ipsique existimarent nullo modo fieri posse ut quis ad *prominentias* istas accederet, multoque minus ut eas ascenderet. Quum igitur ad castra venissent, armigerum *bono animo esse* hortabatur Jonathas, aiebatque, « hostes adoriamur : et siquidem, quum nos viderint, ad ipsos nos ascendere jusserint, hoc ipsum victoriæ signum accipe, sin vero plane tacuerint, quasi nos non vocassent revertamur. » Quum vero propius ad castra hostium accederent, *die jam illucescente*, tum Palæstini, *iis conspectis*, inter se dicebant, ex cuniculis et speluncis se versus prorepere Hebræos. Deinde Jonatham et armigerum alloquuti sunt, « adeste, ad nos ascendite, ut pœnis, prout audacia commeruit, vos afficiamus. » Sauli autem filius vocem amplexus, ut victoriam *ipsi* addicentem, *protinus quidem* inde digressus est, ubi conspecti erant ab hostibus : loco autem mutato ad petram venit, propter firmitatem *suam* nullis præsidiis custoditam. Atque inde quum sursum magno cum labore erepsissent, difficultate ex natura loci superata in altum evaserunt ad hostes, eosque *sopitos aggressi*, *homines* quidem circiter viginti occiderunt, adeo autem eos tumultu et consternatione complerunt, ut nonnulli quidem armis abjectis in fugam se proriperent, plerique vero, suos non internoscentes, quod ex multis constarent gentibus, hostesque esse credentes, (*non enim putabant* duos tantum Hebræos ad ipsos penetrasse,) pugnam ineunt. Atque horum quidem alii mutuis cædibus intereunt, alii vero in fuga protrusi ex rupibus dejiciuntur.

3. Quum autem Sauli speculatores omnia in Palæstinorum castris tumultu misceri renunciassent regi, percontatus est Saulus ecquis e suis ab ipsis discessisset. Audito vero filium cum armigero abesse, jubet pontifici ut sumpta veste sa-

κὴν στολὴν προφητεύειν αὐτῷ περὶ τῶν μελλόντων. Τοῦ δὲ νίκην ἔσεσθαι καὶ κράτος κατὰ τῶν πολεμίων φράσαντος, ἐπεξέρχεται τοῖς Παλαιστίνοις καὶ τεταραγμένοις προσβάλλει καὶ φονεύουσιν ἀλλήλους. Προσρέουσι δ' αὐτῷ καὶ οἱ πρότερον εἰς τε τοὺς ὑπονόμους καὶ εἰς τὰ σπήλαια συμφυγόντες, ἀκούσαντες ὅτι νικᾷ Σάουλος. Γενομένων δὲ ὡς μυρίων ἤδη τῶν Ἑβραίων, διώκει τοὺς πολεμίους κατὰ πᾶσαν ἐσκορπισμένους τὴν χώραν. Εἴτε δὲ ὑπὸ τῆς ἐπὶ τῇ νίκῃ χαρᾶς οὕτω παραλόγως γενομένη, (συμβαίνει γὰρ μὴ κρατεῖν τοῦ λογισμοῦ τοὺς οὕτως εὐτυχήσαντας,) εἴθ' ὑπὸ ἀγνοίας, εἰς δεινὸν προπίπτει καὶ πολλὴν ἔχον κατάμεμψιν ἔργον. Βουλόμενος γὰρ ἑαυτῷ τε τιμωρῆσαι καὶ δίκην ἀπολαβεῖν παρὰ τῶν Παλαιστίνων, ἐπαρᾶται τοῖς Ἑβραίοις, ἵν' εἴ τις ἀποσχόμενος τοῦ φονεύειν τοὺς ἐχθροὺς φάγοι καὶ μὴ μέχρις οὗ νὺξ ἐπελθοῦσα τῆς ἀναιρέσεως καὶ τῆς διώξεως αὐτοὺς ἀποπαύσει τῶν πολεμίων, οὗτος ἐπάρατος ᾖ. Τοῦ δὲ Σαούλου τοῦτο φήσαντος, ἐπεὶ κατά τινα δρυμὸν ἐγένοντο βαθὺν καὶ μελισσῶν γέμοντα, τῆς Ἐφραίμου κληρουχίας, ὁ τοῦ Σαούλου παῖς, οὐκ ἐπακηκοὼς τῆς τοῦ πατρὸς ἀρᾶς οὐδὲ τῆς ἐπ' αὐτῇ τοῦ πλήθους ὁμολογίας, ἀποθλίψας τι κηρίον τοῦ μέλιτος ἤσθιε. Μεταξὺ δὲ γνοὺς ὅτι μετὰ δεινῆς ἀρᾶς ὁ πατὴρ ἀπεῖπεν γεύσασθαί τινα πρὸ ἡλίου δυσμῶν, ἐσθίων μὲν ἐπαύσατο, ἔφη δὲ οὐκ ὀρθῶς τοῦτο κωλῦσαι τὸν πατέρα· μετὰ μείζονος γὰρ ἰσχύος ἂν καὶ προθυμίας διώκοντας, εἰ τροφῆς μετελάμβανον, πολλῷ πλείονας καὶ λαβεῖν τῶν ἐχθρῶν καὶ φονεῦσαι.

δ'. Πολλὰς δ' οὖν κατακόψαντες μυριάδας τῶν Παλαιστίνων δείλης ὀψίας ἐπὶ διαρπαγὴν τοῦ στρατοπέδου τῶν Παλαιστίνων τρέπονται, καὶ λείαν πολλὴν καὶ βοσκήματα λαβόντες κατασφάζουσι καὶ ταῦτ' ἔναιμα κατήσθιον. Ἀπαγγέλλεται δὲ τῷ βασιλεῖ ὑπὸ τῶν γραμματέων ὅτι τὸ πλῆθος εἰς τὸν Θεὸν ἐξαμαρτάνει θῦσαν καὶ πρὶν ἢ τὸ αἷμα καλῶς ἀποπλῦναι καὶ τὰς σάρκας ποιῆσαι καθαρὰς ἐσθίον. Καὶ ὁ Σάουλος κελεύει κυλισθῆναι λίθον μέγαν εἰς μέσον, καὶ κηρύσσει θύειν ἐπ' αὐτοῦ τὸν ὄχλον τὰ ἱερεῖα καὶ τὰ κρέα μὴ σὺν τῷ αἵματι δαίνυσθαι· τοῦτο γὰρ οὐκ εἶναι τῷ Θεῷ κεχαρισμένον. Τοῦτο δὲ πάντων κατὰ τὴν πρόσταξιν τοῦ βασιλέως ποιησάντων, ἵστησιν ἐκεῖ βωμὸν ὁ Σάουλος καὶ ὁλοκαύτωσεν ἐκεῖ ἐπ' αὐτοῦ τῷ Θεῷ. Τοῦτον πρῶτον βωμὸν κατεσκεύασεν.

ε'. Ἄγειν δ' εὐθὺς ἐπὶ τὴν παρεμβολὴν τῶν πολεμίων ἐπὶ τὴν διαρπαγὴν τῶν ἐν αὐτῇ βουλόμενος πρὶν ἡμέρας, καὶ τῶν στρατιωτῶν οὐκ ὀκνούντων ἕπεσθαι, πολλὴν δ' εἰς ἃ προστάττει προθυμίαν ἐνδεικνυμένων, καλέσας ὁ βασιλεὺς Ἀχίτωβον τὸν ἀρχιερέα ἐκέλευσεν αὐτὸν γνῶναι, εἰ δίδωσιν ὁ Θεὸς αὐτοῖς καὶ συγχωρεῖ βαδίσασιν ἐπὶ τὸ στρατόπεδον τῶν ἐχθρῶν διαφθεῖραι τοὺς ἐν αὐτῷ τυγχάνοντας. Εἰπόντος δὲ τοῦ ἱερέως μὴ ἀποκρίνεσθαι τὸν Θεὸν, « ἀλλ' οὐ δίχα αἰτίας τινὸς, εἶπεν ὁ Σάουλος, πυνθανομένοις ἡμῖν φωνὴν οὐ δίδωσιν ὁ Θεὸς, ὃς πρότερον αὐτὸς προειμὶ cerdotali sibi de futuris vaticinaretur. Acceptoque responso, ipsum victorem fore et hostes viribus superaturum, egreditur in Palæstinos, ac perturbatos et ferrum in se ipsos convertentes adoritur. Ad ipsum vero se recipiunt etiam ii, qui ante in cuniculos et speluncas confugerant, simul ac de victoria Sauli audiverant. Quumque ad decem millia Hebræi jam crevissent, hostes persequitur per totam regionem passim dispalatos. Verum, sive propter gaudium ex victoria adeo inopinata, (nam fieri solet ut vix rationis et consilii compotes sint quibus tanta obtigerit felicitas,) sive per inscitiam, in grave malum incidit et rem multorum reprehensioni obnoxiam. Volens enim et semet vindicare et meritas pœnas a Palæstinis repetere, imprecatur Hebræis ut si quis a cæde hostium desistens cibum capiat, antequam nox superveniens eos ab hostibus occidendis et persequendis depulerit, hic ipse diris devoveatur. Quum vero Saulus hoc pronunciasset, postquam in silvam quandam sortis Ephraimiticæ, densam et apibus abundantem, venerant, Sauli filius, qui nihil de patris imprecatione inaudierat neu quod populus in eam consensisset, de melle et favo quodam expresso edebat. Interea autem cognito patrem diris gravibus interdixisse, ne quisquam ante solis occasum cibum gustaret, ab esu quidem abstinuit, at dicebat haud recte patrem istud vetasse : nam majore cum vi et alacritate insequentes, si aliquantulum cibo refecti essent, multo plures ex hostibus capturos et ferro perempturos fuisse.

4. Itaque cæsis Palæstinorum multis myriadibus, sub vesperam ad castra diripienda se convertunt, quumque multum prædæ et pecora cepissent, mactant, atque illa cum sanguine comedebant. Regi autem a scribis nunciatur militum vulgus inter sacrificandum in Deum peccare, quod, antequam sanguis prorsus ablueretur, carnesque purgarentur, edere sustinerent. Tum Saulus jubet saxum ingens in medium advolvi, edicitque turbæ ut super illud victimas offerrent, et carnibus cum sanguine non vescerentur : hoc enim Deo nequaquam gratum esse. Quum autem id omnes ex edicto regis præstitissent, illic Saulus aram exstruit, ibique Deo solidum super eam litat sacrificium. Hæc prima erat ara a Saulo constructa.

5. Volens autem e vestigio *suos* in hostium castra educere, ad ea priusquam illucesceret diripienda, præsertim quum milites sequi non gravarentur, sed magnam ad jussa ejus exsequenda præ se ferrent alacritatem, rex, accito Achitobo pontifice, jussit eum rescire an permitteret illis Deus concederetque ad castra hostium profectis ut omnes in iis repertos occiderent. Quum vero dixisset pontifex nolle Deum responsum reddere : « at jam non sine causa, « inquit Saulus, sciscitantibus nobis oraculum non edit « Deus, qui antea ipse prænunciabat omnia, et ne interro-

« νυσε πάντα καὶ μηδ' ἐπερωτῶσιν ἔφθανε λέγων,
« ἀλλ' ἔστι τι λανθάνον ἐξ ἡμῶν ἁμάρτημα πρὸς αὐτὸν
« αἴτιον τῆς σιωπῆς. Καὶ ὄμνυμί γε τοῦτον αὐτὸν ἤ
« μὴν, κἂν ὁ παῖς ὁ ἐμὸς Ἰωνάθης ᾖ τὸ ἁμάρτημα τοῦτο
« ἐργασάμενος, ἀποκτενεῖν αὐτὸν καὶ τὸν Θεὸν οὕτως
« ἱλάσασθαι, ὡς ἂν εἰ καὶ παρ' ἀλλοτρίου καὶ μηδὲν
« ἐμοὶ προσήκοντος τὴν ὑπὲρ αὐτοῦ δίκην ἀπελάμβα-
« νον. » Τοῦ δὲ πλήθους τοῦτο ποιεῖν ἐπιβοήσαντος,
παραχρῆμα πάντας ἵστησιν εἰς ἕνα τόπον· ἵσταται
δὲ καὶ αὐτὸς σὺν τῷ παιδὶ κατ' ἄλλο μέρος, καὶ κλήρῳ
τὸν ἡμαρτηκότα μαθεῖν ἐπεζήτει. Καὶ λαγχάνει
δοκεῖν οὗτος εἶναι Ἰωνάθης. Ἐπερωτώμενος δὲ ὑπὸ
τοῦ πατρὸς τί πεποίηκε καὶ πεπλημμέληκε καὶ τί παρὰ
τὸν βίον οὐκ ὀρθῶς οὐδὲ ὁσίως αὐτῷ διαπραξαμένῳ
συνέγνωκε, πάτερ, εἶπεν, ἄλλο μὲν οὐδέν, ὅτι δὲ χθὲς
ἀγνοῶν τὴν ἀρὰν αὐτοῦ καὶ τὸν ὅρκον μεταξὺ διώκων
τοὺς πολεμίους ἐγεύσατο κηρίου. Σάουλος δ' ἀπο-
κτείνειν αὐτὸν ὄμνυσι καὶ τῆς γενέσεως καὶ τῆς φύσεως
τῶν φίλτρων προτιμήσας τὸν ὅρκον. Ὁ δ' οὐ καταπλήτ-
τεται τὴν ἀπειλὴν τοῦ θανάτου, παραστησάμενος δὲ
εὐγενῶς καὶ μεγαλοφρόνως, « οὐδ' ἐγώ σε, φησὶν, ἱκε-
« τεύσω φείσασθαί μου, πάτερ· ἥδιστος δέ μοι ὁ θάνατος
« ὑπέρ τε τῆς σῆς εὐσεβείας γινόμενος καὶ ἐπὶ νίκῃ
« λαμπρᾷ· μέγιστον γὰρ παραμύθιον τὸ καταλιπεῖν
« Ἑβραίους Παλαιστίνων κεκρατηκότας. » Ἐπὶ τού-
τοις ὁ λαὸς πᾶς ἤλγησε καὶ συνέπαθεν, ὤμοσέ τε μὴ
περιόψεσθαι τὸν αἴτιον τῆς νίκης Ἰωνάθην ἀποθανόντα.
Καὶ τὸν μὲν οὕτως ἐξαρπάζουσι τῆς τοῦ πατρὸς ἀρᾶς,
αὐτοὶ δὲ εὐχὰς ὑπὲρ τοῦ νεανίσκου ποιοῦνται τῷ Θεῷ,
ὥστ' αὐτὸν ἀπολῦσαι τοῦ ἁμαρτήματος.

ς'. Καὶ ὁ Σάουλος εἰς τὴν ἑαυτοῦ πόλιν ὑπέστρεψε,
διαφθείρας ὡσεὶ μυριάδας ἓξ τῶν πολεμίων. Βασι-
λεύει δὲ εὐτυχῶς, καὶ τὰ πλησιόχωρα τῶν ἐθνῶν πο-
λεμήσας χειροῦται τό τε Ἀμμανιτῶν καὶ Μωαβιτῶν
καὶ Παλαιστίνους, Ἰδουμαίους, Ἀμαληκίτας τε καὶ
τὸν βασιλέα τῆς Σωβᾶς. Ἦσαν δὲ παῖδες αὐτῷ, τρεῖς
μὲν ἄρρενες, Ἰωνάθης καὶ Ἰεσοῦς καὶ Μέλχισος, θυ-
γατέρες δὲ Μερόβη καὶ Μιχάλα. Στρατηγὸν δὲ εἶχε
τὸν τοῦ θείου παῖδα Ἀβέννηρον· Νῆρος δ' ἐκείνος ἐκα-
λεῖτο. Νῆρος δὲ καὶ Κεῖσος ὁ Σαούλου πατὴρ ἀδελφοὶ
ἦσαν, υἱοὶ δὲ Ἀβιήλου. Ἦν δὲ καὶ πλῆθος ἁρμάτων
Σαούλῳ καὶ ἱππέων· οὓς ὁ' ἂν πολεμήσειε, νικήσας
ἀπηλλάσσετο, καὶ τοὺς Ἑβραίους εἰς εὐπραγίας
καὶ μέγεθος εὐδαιμονίας προηγάγετο καὶ τῶν ἄλλων
ἀπέδειξεν ἐθνῶν δυνατωτάτους. Τῶν δὲ νέων τοὺς ὀλ
μεγέθει καὶ κάλλει διαφέροντας φύλακας τοῦ σώματος
ἐποιεῖτο.

« gantes quidem occupabat : sed occultum est aliquod in
« eum delictum nostrum hujusce silentii causa. Equidem
« per hunc ipsum juro, me certe, si vel Jonathas filius
« meus hujus peccati auctor fuerit, eum interfecturum,
« atque hac ratione Deum placaturum, non secus ac si ab
« alieno et nulla mecum necessitudine conjuncto hanc ob
« rem supplicium sumerem. » Ac quum multitudo ut hoc
faceret exclamasset, illico omnes in unum locum statuit,
ipse vero cum filio ex altera parte sistitur, et sortibus quis
in culpa esset scire quærebat. Filque ut sors Jonatham
sontem esse indicaret. Interrogatus autem a patre quid
fecisset et qua re deliquisset, cujusve in vita agenda male-
ficii aut impietatis sibi conscius esset, pater, inquiebat,
aliud quidem nihil, nisi quod hesterno die, dum hostes
persequeretur, de favo degustaverit, exsecrationis ejus
atque juramenti ignarus. Saulus vero jurat se, generis et
naturæ illecebris jusjurandum præferre et illum occisurum.
Ille vero mortis intentatione nihil terretur, sed quum se in
medio constituisset generose et magnanime, « ne ego qui-
« dem, inquit, obsecrabo te, pater, ut mihi parcas. Dul-
« cissima mihi mors est, quam et pro tua pietate obiri con-
« tingit et post victoriam splendidam : maxima enim con-
« solatio est Hebræos relinquere Palæstinorum victores. »
Hisce indoluit populus universus, ejusque vicem miserat-
tus est, ac juravit haud laturos se ut occidatur Jonathas,
victoriæ auctor. Atque ita quidem hunc patris exsecra-
tioni subduxerunt, ipsi vero vota Deo faciunt pro juvene
ut ei peccatum remittere dignaretur.

6. Tum Saulus in urbem suam reversus est, cæsis circi-
ter sexaginta millibus hostium. Feliciter deinde regnavit,
ac gentes finitimas bello adortus, et Ammanitas et Moabitas
et Palæstinos, Idumæos etiam et Amalecitas, Sobæque re-
gem subigit. Habuit autem Saulus liberos, tres quidem
mares, Jonatham et Jesum et Melchisum, filias vero Mero-
ham et Michalam. Et ei dux exercitus erat Abennerus pa-
trui filius : is vero Nerus vocabatur. Nerus autem et Cisus,
pater Sauli, fratres erant, et Abieli filii. Abundabat autem
Saulus etiam curribus et equitatu, et cum quibuscunque
bellum gesserit, victor discedebat : auctor etiam erat ut
Hebræis prospere res succederent eosque ad magnam feli-
citatem perducebat, aliisque gentibus potentia superiores
reddidit. Ceterum juvenes, quoscunque proceritate et
magnitudine præcellere animadvertit, corporis custodes sibi
adsciscebat.

ΚΕΦ. Ζ'.

Σαμούηλος δὲ παραγενόμενος πρὸς τὸν Σάουλον
πεμφθῆναι πρὸς αὐτὸν ἔφασκεν ὑπὸ τοῦ Θεοῦ, ὅπως αὐ-
τὸν ὑπομνήσῃ ὅτι βασιλέα προκρίνας αὐτὸν ἁπάντων ὁ
Θεὸς ἀπέδειξε, καὶ διὰ τοῦτο πείθεσθαι καὶ κατήκοον
αὐτῷ γίνεσθαι, ὡς αὐτοῦ μὲν ἔχοντος τὴν τῶν ἐθνῶν

CAP. VIII. (VIII.)

Samuelus autem ad Saulum venit et a Deo ad ipsum se
missum esse dicebat, ut eum commoneret quod Deus
eum omnibus prælatum crearit regem, atque adeo par
esse ut obtemperet moremque ei gerat, quoniam ipse
quidem gentium habeat imperium, Deus vero ipsius esset

ἡγεμονίαν, τοῦ δὲ Θεοῦ καὶ τὴν κατ' ἐκείνου καὶ τῶν ὅλων πραγμάτων. Λέγειν τοίνυν ἔφασκε τὸν Θεὸν, « ἐπεὶ πολλὰ κακὰ τοὺς Ἑβραίους Ἀμαληκῖται διέθη- « καν κατὰ τὴν ἔρημον, ὅτε ἐξελθόντες ἀπ' Αἰγύπτου « εἰς τὴν νῦν ὑπάρχουσαν αὐτοῖς ἐστέλλοντο χώραν, « κελεύω πολέμῳ τιμωρησάμενον τοὺς Ἀμαληκίτας « καὶ κρατήσαντα μηδὲν αὐτῶν ὑπολιπεῖν, ἀλλὰ πάσης « διεξελθεῖν ἡλικίας, ἀρξαμένους ἀπὸ γυναικῶν κτεί- « νειν καὶ νηπίων, καὶ τοιαύτην ὑπὲρ ὧν τοὺς προγόνους « ἡμῶν εἰργάσαντο τιμωρίαν ἀπολαβεῖν· φείσασθαι δὲ « μήθ' ὑποζυγίων μήτε τῶν ἄλλων βοσκημάτων εἰς « ὠφέλειαν καὶ κτῆσιν ἰδίαν, ἅπαντα δ' ἀναθεῖναι τῷ « Θεῷ καὶ τὸ Ἀμαλήκου ὄνομα ταῖς Μωϋσέως κατα- « κολουθήσαντα ἐντολαῖς ἐξαλεῖψαι. »

β'. Ὡμολόγει δὲ ποιήσειν Σάουλος τὰ προστασσό- μενα, τὴν δὲ πειθαρχίαν τὴν πρὸς τὸν Θεὸν οὐκ ἐν τῷ ποιήσασθαι τὴν πρὸς τοὺς Ἀμαληκίτας στρατείαν λο- γιζόμενος εἶναι μόνον, ἀλλὰ καὶ τὴν ἑτοιμότητα καὶ τὸ τάχος ἀναβολῆς οὐ προσούσης ἔτι μᾶλλον ἐμφανίζει. Ἀθροίζει τε πᾶσαν τὴν δύναμιν, καὶ ταύτην ἐξαριθμή- σας ἐν Γαλγάλοις, εὑρίσκει τῶν Ἰσραηλιτῶν ἔξω τῆς Ἰούδα φυλῆς περὶ τεσσαράκοντα μυριάδας· ἥδε γὰρ ἡ φυλὴ καθ' αὑτήν ἐστι στρατιῶται τρισμύριοι. Σάου- λος δὲ ἐμβαλὼν εἰς τὴν τῶν Ἀμαληκιτῶν χώραν ἐνέ- δρας πολλὰς καὶ λόχους περὶ τὸν χείμαρρον τίθη- σιν, ὡς μὴ μόνον ἐκ τοῦ φανεροῦ μαχομένους αὐτοὺς κακῶς ποιεῖν, ἀλλὰ καὶ μὴ προσδοκῶσι κατὰ τὰς ὁδοὺς ἐπιπίπτειν καὶ κυκλουμένους ἀναιρεῖν. Καὶ δὴ συμ- βαλὼν αὐτοῖς εἰς μάχην τρέπεται τοὺς πολεμίους, καὶ διαφθείρει πάντας, φεύγουσιν ἐπακολουθῶν. Ὡς δὲ ἐκεῖνο τὸ ἔργον αὐτῷ κατὰ τὴν τοῦ Θεοῦ προφητείαν ἐχώρησε, ταῖς πόλεσι τῶν Ἀμαληκιτῶν προσέβαλε, καὶ τὰς μὲν μηχανήμασι, τὰς δὲ ὀρύγμασιν ὑπονόμοις καὶ τείχεσιν ἔξωθεν ἀντωκοδομημένοις, τὰς δὲ λιμῷ καὶ δίψει, τὰς δ' ἄλλοις τρόποις ἐκπολιορκήσας καὶ λαβὼν κατὰ κράτος, ἐπὶ σφαγὴν γυναικῶν καὶ νηπίων ἐχώρησεν, οὐδὲν ὠμὸν οὐδ' ἀνθρωπίνης σκληρότερον διαπράσσεσθαι φύσεως ἡγούμενος, πρῶτον μὲν πολε- μίους ταῦτα ὁρῶν, ἔπειτα προστάγματι Θεοῦ, ᾧ τὸ μὴ πείθεσθαι κίνδυνον ἔφερε. Λαμβάνει δὲ καὶ τὸν βα- σιλέα τῶν ἐχθρῶν Ἄγαγον αἰχμάλωτον· οὗ θαυμάσας τὸ κάλλος καὶ τὸ μέγεθος τοῦ σώματος σωτηρίας ἄξιον ἔκρινεν, οὐκ ἔτι τοῦτο ποιῶν κατὰ βούλησιν τοῦ Θεοῦ, πάθει δὲ νικώμενος ἰδίῳ καὶ χαριζόμενος ἀκαίρως περὶ ὧν οὐκ εἶχεν ἀκίνδυνον ἐξουσίαν οἴκτῳ. Ὁ γὰρ Θεὸς οὕτως ἐμίσησε τὸ τῶν Ἀμαληκιτῶν ἔθνος, ὡς μηδὲ νηπίων φείσασθαι κελεῦσαι, πρὸς ἃ μᾶλλον ἔλεος γί- νεσθαι πέφυκε, Σάουλος δὲ αὐτὸν τὸν βασιλέα καὶ τὸν ἡγεμόνα τῶν εἰς Ἑβραίους κακῶν ἔσωσε, τῆς μνήμης ὧν ἐπέστειλεν ὁ Θεὸς τὸ τοῦ πολεμίου κάλλος ἐπίπρο- σθεν ποιησάμενος. Συνεξήμαρτε δ' αὐτῷ καὶ τὸ πλῆ- θος· καὶ γὰρ ἐκεῖνοι τῶν ὑποζυγίων καὶ τῶν βοσκημά- των ἐφείσαντο καὶ διήρπασαν, μὴ τηρεῖν αὐτὰ τοῦ Θεοῦ κελεύσαντος, τά τε ἄλλα χρήματα καὶ τὸν πλοῦτον

et rerum omnium dominus. Aiebat igitur sic dixisse Deum, « quandoquidem Amalecitæ Hebræos in deserto « multis affecerunt injuriis, quum ex Ægypto egressi in eam « quam nunc tenent regionem contenderent, jubeo ut « bello Amalecitas persequutus, et victoria potitus, nemi- « nem eorum relinquat, sed in omnem grassandum æta- « tem, incipiendo a mulierum internecione et infantium, « atque hujusmodi pœnas ab iis pro malis majoribus no- « stris illatis exigendas esse; ac ne jumentis quidem aliis- « que pecudibus parcendum, emolumenti sui gratia et « possessionis, sed omnia Deo sacranda esse, atque Ama- « leci nomen, sicuti Moyses præceperat, penitus delen- « dum. »

2. Et Saulus quidem pollicitus est se jussa exsequuturum; ratus vero suam erga Deum obedientiam non in eo solum spectari, quod exercitum in Palæstinos educeret, sed præterea promptitudinem suam et celeritatem rem nihil differendo magis etiam ostendit. Imo copias suas omnes colligit, iisque in Galgala recensitis, Israelitas absque tribu Judæ comperit esse circiter quadringenta millia : nam tribus ista separatim habuit triginta millia. Saulus autem facta irruptione in Amalecitarum regionem, multas insidias et cohortes apud fluvium collocat, ut non solum marte aperto eos infestaret, sed ex improviso etiam per vias illos adoriretur et circumdatos opprimeret. Ac quum acie concurreret cum illis, hostes in fugam vertit, atque ad unum omnes perimit, dum fugientes insequitur. Posteaquam vero illo incepto prospere ex Dei prædictione successit, Amalecitarum urbes invadebat, ac quum alias quidem stratagematis, alias vero suffossionibus cuniculosis et externis operibus e regione structis, alias autem fame et siti, alias denique modis aliis expugnasset ac vi in potestatem suam redegisset, ad cædem feminarum etiam et puerorum processit, nihil existimans se crudele, aut naturæ humanæ adversum in eo facere, primum quidem, quod hostes erant in quos id fiebat, dein Dei jussu id exsequebatur, cui non obtemperare periculosum erat. Etiam Agagum hostium regem captivum ducit : cujus pulcritudinem et proceritatem corporis admiratus dignum qui servaretur judicabat, non jam hoc faciens ex voluntate Dei, sed proprio victus affectu, et misericordiæ, ubi ei non integrum erat sine periculo, intempestive cedens. Deus enim adeo gentem Amalecitarum odio habuit ut jusserit ne infantibus quidem parcere, ad quos miserandos sumus procliviores : at Saulus ipsum eorum regem et Hebræis malorum omnium auctorem servavit, eorum quæ præceperat Deus parum memor, dum majoris faceret hostis pulcritudinem. Et similiter atque ipse peccavit etiam populus : nam et illi jumentis et pecoribus pepercerunt, eaque *sibi* diripuerunt, etiamsi jusserat Deus ne quid eorum conservarent, imo et alias res et opes ex-

ἐξεφόρησαν· εἰ δέ τι μὴ σπουδῆς ἄξιον ἦν ὥστε κ ἡσασθαι, διέφθειραν.

γ'. Νικήσας δὲ Σάουλος ἅπαντας τοὺς ἀπὸ Πηλουσίου τῆς Αἰγύπτου καθήκοντας ἕως τῆς Ἐρυθρᾶς θαλάσσης, διέφθειρε τὰ τῶν πολεμίων, παραλιπὼν τὸ τῶν Σικιμιτῶν ἔθνος· οὗτοι γὰρ ἐν τῇ Μαδιηνῇ χώρᾳ μέσοι κατῴκηνται. Πρὸ δὲ τῆς μάχης πέμψας παρήγγειλεν αὐτοῖς ἀναχωρεῖν, μὴ τοῖς Ἀμαληκίταις κοινωνήσωσι τῆς συμφορᾶς· συγγενεῖς γὰρ αὐτοὺς ὄντας Ῥαγουήλου τοῦ Μωϋσέως πενθεροῦ σώζειν αἰτίαν ἔχειν.

δ'. Καὶ Σάουλος μὲν ὡς μηδενὸς παρακούσας ὧν ὁ προφήτης ἐπέστειλε μέλλοντι τὸν πρὸς Ἀμαληκίτας ἐκφέρειν πόλεμον, ἀλλ' ὡς ἐπὶ πᾶσιν ἐκείνοις ἀκριβῶς πεφυλαγμένοις νενικηκὼς τοὺς πολεμίους, οἴκαδε πρὸς αὐτὸν ὑπέστρεψε, χαίρων ἐπὶ τοῖς κατωρθωμένοις. Ὁ δὲ Θεὸς ἄχθεται ἐπί τε τῇ τοῦ βασιλέως τῶν Ἀμαληκιτῶν σωτηρίᾳ καὶ τῇ τῶν βοσκημάτων διαρπαγῇ τοῦ πλήθους, ὅτι μὴ συγχωρήσαντος αὐτοῦ ταῦτ' ἐπράχθη. Δεινὸν γὰρ ἡγεῖτο νικᾶν μὲν καὶ περιγίνεσθαι τῶν ἐχθρῶν, ἐκείνου τὴν ἰσχὺν διδόντος αὐτοῖς, καταφρονεῖσθαι δὲ καὶ παρακούεσθαι μηδὲ ὡς ἄνθρωπον βασιλέα. Μετανοεῖν οὖν ἔλεγε πρὸς τὸν προφήτην Σαμούηλον ἐπὶ τῷ χειροτονῆσαι βασιλέα τὸν Σάουλον, μηδὲν ὧν αὐτὸς κελεύσειε πράττοντα, τῇ δ' οἰκείᾳ βουλήσει χρώμενον. Σφόδρα ταῦτ' ἀκούσας ὁ Σαμούηλος συνεχύθη, καὶ δι' ὅλης τῆς νυκτὸς παρακαλεῖν ἤρξατο τὸν Θεὸν καταλλάττεσθαι τῷ Σαούλῳ καὶ μὴ χαλεπαίνειν. Ὁ δὲ τὴν συγγνώμην οὐκ ἐπένευσεν εἰς τὸν Σάουλον αἰτουμένῳ τῷ προφήτῃ, λογισάμενος οὐκ εἶναι δίκαιον ἁμαρτήμασι χαρίζεσθαι παραίτησιν· οὐ γὰρ ἐξ ἄλλου τινὸς φύεσθαι μᾶλλον ἢ τοῦ καταμαλακίζεσθαι τοὺς ἀδικουμένους· θηρωμένους γὰρ δόξαν ἐπιεικείας καὶ χρηστότητος λανθάνειν αὐτοὺς ταῦτα γεννῶντας. Ὡς οὖν ἀπεῖπεν ὁ Θεὸς τῇ τοῦ προφήτου δεήσει καὶ δῆλος ἦν μὴ μεταμελόμενος, ἅμ' ἡμέρᾳ Σαμούηλος εἰς Γάλγαλα παραγίνεται πρὸς Σάουλον. Θεασάμενος δ' αὐτὸν ὁ βασιλεὺς προστρέχει, καὶ κατασπασάμενος, τῷ Θεῷ, φησίν, εὐχαριστῶ, τῷ δόντι μοι τὴν νίκην· ἅπαντα μέντοι γε τὰ κεκελευσμένα παρ' αὐτοῦ πεπρᾶχθαι. Σαμούηλος δὲ πρὸς τοῦτ' ὑπολαβών, « πόθεν οὖν ἀκούω θρεμμάτων, εἶπε, καὶ ὑποζυγίων βοῆς ἐν τῷ στρατοπέδῳ; » Ὁ δὲ τὸν λαὸν ταῦτα εἰς θυσίας ἀπεκρίνατο τετηρηκέναι, τὸ μέντοι γε τῶν Ἀμαληκιτῶν γένος ἅπαν ἐξηφανίσθαι κατὰ τὴν ἐντολήν, καὶ περιλείπεσθαι ἄλλον μηδένα, πρὸς δ' αὐτὸν ἀγαγεῖν τηρήσαντα μόνον αὐτὸν τὸν βασιλέα. Περὶ οὗ τί δεῖν ποιεῖν βουλεύεσθαι πρὸς ἀλλήλους ἔφασκεν. Ὁ δὲ προφήτης οὐχὶ θυσίαις ἔλεγεν ἥδεσθαι τὸ θεῖον, ἀλλὰ τοῖς ἀγαθοῖς καὶ δικαίοις· οὗτοι δ' εἰσὶν οἱ τῇ βουλήσει καὶ ταῖς ἐντολαῖς αὐτοῦ κατακολουθοῦντες καὶ μηδὲν ἄλλο πραχθήσεσθαι καλῶς ὑφ' ἑαυτῶν νομίζοντες ἢ ὅ τι ἂν ποιήσωσι τοῦ Θεοῦ κεκελευκότος. Καταφρονεῖσθαι γὰρ οὐχ ὅταν αὐτῷ μὴ θύῃ τις, ἀλλ' ὅταν

portarunt : si quid vero posidere vix operæ pretium esset, corruperunt.

3. Quum autem Saulus subegisset universos quotquot a Pelusio in Ægypto pertingunt usque ad mare Rubrum, terram hostilem devastavit, sola Sicimitarum gente intacta : Hi enim in Madianiticæ regionis meditullio habitarunt. Eos vero, antequam acie decertaret, nunciis missis admonuit ut secederent, ne calamitatem cum Amalecitis participarent. Erat enim cur eos incolumes vellet, propter necessitudinem quæ illis cum Raguelo Moysis socero intercedebat.

4. Et Saulus quidem, ac si nihil eorum neglexerit, quæ ei bellum contra Amalecitas illaturo in mandatis dederat propheta, sed quasi omnibus istis curatis præstitisque ex hostibus victoriam esset adeptus, domum reversus est cum gaudio ob res prospere gestas. Deus autem regis Amalecitarum incolumitatem graviter fert et prædam pecudum a populo abactarum, quod ipso non permittente hæc fecissent. Nam indignum esse existimabat, quod quum hostes quidem, se vires largiente, vicissent et superassent, se tamen contemptui haberent et negligerent, et ne ut hominem quidem regem tractarent. Samuelo igitur prophetæ dicebat se pœnitere creati regis Sauli, qui non curet sua mandata exsequi, sed malit agere quod lubeat. His auditis Samuelus vehementer conturbatus est, atque incepit tota nocte Deum comprecari ut cum Saulo in gratiam rediret eique non succenseret. At ille, quantumlibet a propheta rogatus, veniam Saulo nequaquam annuit, quod non justum existimarit peccata precibus condonare : non enim aliunde magis nascuntur quam ex nimia eorum in quos peccatur indulgentia, qui dum lenitatis et benignitatis gloriam aucupantur, non animadvertunt se peccandi ansam dare. Quum igitur Deus preces prophetæ non admitteret, et certum esset eum nolle sententiam mutare, prima luce Samuelus ad Saulum Galgalis tum agentem proficiscitur. Illo vero conspecto rex ad eum accurrit, et quum eum salutasset, Deo, inquit, gratias ago, qui mihi victoriam dedit : omnia vero, quæ ille imperaverat, peracta esse. At Samuelus ad hæc subjiciens dicebat, « qui fit igitur ut vocem pecudum et jumentorum in castris audiam? » Ille vero respondit populum ea in sacrificia reservasse, verumtamen Amalecitarum gentem universam juxta mandatum Dei funditus excisam esse et deletam, et ne unum quidem superesse, nisi quod regem, quem solum conservaverit, ad se adduxerit captivum. De quo quid fieri oporteret, fore aiebat ut mutuo deliberarent. Tum propheta, non victimis, dicebat, oblectari Deum, sed viris bonis et justis : hi vero sunt qui illius voluntati et jussis obsequuntur, et qui nihil credunt recte a se fieri, nisi quod Dei jussu fecerint. Eum enim contemni, non quando ei non sacrificatur,

ἀπειθεῖν αὐτῷ δοκῇ. Παρὰ δὲ τῶν οὐχ ὑποτασσομένων οὐδ' ἀληθῆ καὶ μόνην τῷ Θεῷ κεχαρισμένην θρησκευόντων αὐτὸν θρησκείαν, οὔτ' ἂν πολλὰ καὶ πιμελῆ καταθύσωσιν ἱερεῖα, οὔτ' ἂν κόσμον ἀναθημάτων ἐξ ἀργύρου καὶ χρυσοῦ πεποιημένων προσφέρωσι, δέχεται ταῦτ' εὐμενῶς, ἀλλ' ἀποστρέφεται καὶ δείγματα τῆς πονηρίας, οὐκ εὐσέβειαν, ἡγεῖται. Τοῖς δ' ἓν καὶ μόνον τοῦθ' ὅ τι περ ἂν φθέγξηται καὶ κελεύσῃ ὁ Θεὸς διὰ μνήμης ἔχουσι καὶ τεθνάναι μᾶλλον ἢ παραβῆναί τι τούτων αἱρουμένοις ἐπιτέρπεται, καὶ οὐδὲ θυσίαν ἐπιζητεῖ παρ' αὐτῶν, καὶ παρὰ θυόντων δὲ, κἂν ᾖ λιτὰ τὰ πενίας, ἥδιον τὴν τιμὴν μᾶλλον ἢ παρὰ τῶν πλουσιωτάτων δεξιοῦται. Σὺ τοίνυν ἴσθι σαυτὸν δι' ὀργῆς ὄντα τῷ Θεῷ· κατεφρόνησας γὰρ καὶ κατημέλησας ὧν ἐπέστειλε. Πῶς οὖν οἴει τὴν θυσίαν ἂν αὐτὸν προσβλέπειν ἐξ ὧν κατέκρινεν ἀπολέσθαι γινομένην; πλὴν εἰ μὴ νομίζεις ὅμοιον ὀλέθρῳ τὸ θύεσθαι ταῦτα τῷ Θεῷ. Προσδόκα τοίνυν τὴν βασιλείαν ἀφαιρεθησόμενος καὶ τὴν ἐξουσίαν, ἀφ' ἧς ὁρμώμενος τοῦ παρασχόντος σοι Θεοῦ ταύτην ἠμέλησας. Σάουλος δὲ ἀδικεῖν ὡμολόγει καὶ τὴν ἁμαρτίαν οὐκ ἠρνεῖτο· παραβῆναι γὰρ τὰς ἐντολὰς τοῦ προφήτου· κατὰ μέντοι γε δέος καὶ τὸν ἀπὸ τῶν στρατιωτῶν φόβον μὴ κωλῦσαι διαρπάζοντας αὐτοὺς τὴν λείαν μηδ' ἐπισχεῖν. Ἀλλὰ συγγίνωσκε καὶ πρᾷος ἴσθι· φυλάξεσθαι γὰρ εἰς τοὐπιὸν ἁμαρτεῖν. Παρεκάλει δὲ τὸν προφήτην ὑποστρέψαντα θυσίας χαριστηρίους ἐπιτελέσαι τῷ Θεῷ. Ὁ δὲ (οὐ γὰρ ἑώρα τὸν Θεὸν διαλλαττόμενον,) ἀπῄει πρὸς ἑαυτόν.

(Θ') ε'. Σάουλος δὲ κατασχεῖν βουλόμενος τὸν Σαμούηλον ἐλλαμβάνεται τῆς διπλοΐδος, καὶ βιαίας τῆς ὁλκῆς διὰ τὸ μεθ' ὁρμῆς ἀπιέναι τὸν Σαμούηλον γενομένης διασχίζει τὸ ἱμάτιον. Τοῦ δὲ προφήτου τὴν βασιλείαν οὕτως αὐτοῦ διασχισθῆναι φήσαντος καὶ λήψεσθαι ταύτης ἀγαθὸν καὶ δίκαιον, (ἐμμένειν γὰρ τὸν Θεὸν τοῖς περὶ αὐτοῦ κεχριμένοις, ὡς τοῦ μεταβάλλεσθαι καὶ στρέφειν τὴν γνώμην ἀνθρωπίνου πάθους ὄντος, οὐχὶ θείας ἰσχύος,) ὁ Σάουλος ἀσεβῆσαι μὲν ἔλεγεν, ἀγένητα δὲ ποιῆσαι τὰ πεπραγμένα μὴ δύνασθαι· τιμῆσαί γε μὴν αὐτὸν παρεκάλει, τοῦ πλήθους ὁρῶντος σὺν αὐτῷ παραγενόμενον τὸν Θεὸν προσκυνῆσαι. Δίδωσι δὲ τοῦτο Σαμούηλος αὐτῷ καὶ συνελθὼν προσκυνεῖ τῷ Θεῷ. Ἄγεται δὲ καὶ ὁ τῶν Ἀμαληκιτῶν βασιλεὺς Ἄγαγος πρὸς αὐτόν. Καὶ πυνθανομένου πῶς εἴη πικρὸς ὁ θάνατος, εἶπεν, « ὡς σὺ πολλὰς μητέρας Ἑβραίων ἐπὶ τέκνοις ὀδύρεσθαι καὶ πένθος ἔχειν ἐποίησας, οὕτως ὀδυνήσεις ἐπὶ σαυτῷ διαφθαρέντι τὴν μητέρα. » Καὶ κελεύει παραχρῆμα αὐτὸν ἐν Γαλγάλοις ἀποθανεῖν, καὶ αὐτὸς δὲ εἰς Ἀρμαθὰν πόλιν ἀπαλλάσσεται.

ΚΕΦ. Η'.

Σάουλος δὲ ὁ βασιλεὺς αἰσθόμενος ὢν πειραθείη κακῶν ἐχθρὸν αὐτῷ τὸν Θεὸν κατασκευάσας, εἰς τὸ βασίλειον ἀναβαίνει Γαβᾶ (σημαίνει δὲ βουνὸν ἑρμη-

sed quum quis non dicto audiens esse videatur. Ab iis vero qui ei non obtemperant, nec tribuunt cultum verum solumque Deo gratum, etiamsi multas et opimas victimas immolent, aut donaria exquisitissima ex auro et argento conflata afferant, ne hæc quidem benigno placatoque animo accipit, sed ab his se avertit, et nequitiæ argumenta esse ducit, non pro pietate habet. At qui unum idque solum in memoria tenent, quod ipse pronunciaverit ac præceperit, mortemque malunt oppetere quam ejusmodi quidquam violare, his delectatur, ac ne sacrificium quidem ab iis requirit; verum ab his rem divinam facientibus, etiamsi vilia sint a paupertate data, honorem libentius accipit quam a quocunque alio vel locupletissimo. Tu itaque nosce Deum tibi graviter irasci: nam contempsisti ac neglexisti mandata ejus. Quamobrem qui potes existimare quod ad tuum respiciet sacrificium, ex iis adornatum quæ interitui et exitio destinaverat? nisi forte putas perinde esse ea Deo immolare ac perdere. Quapropter exspecta quod te vicissim regno privabit et potestate, qua subnixus ejus largitorem Deum insuper habuisti. Saulus autem fassus est se male agere, atque peccatum *suum* non negabat: se enim contra prophetæ mandatum fecisse; attamen ex metu et propter timorem sibi a militibus incussum illos non prohibuisse a prædæ direptione nec cohibuisse. Sed ignosce, *inquit*, et mitis esto: se enim cauturum esse ne deinceps peccet. Prophetam autem obsecrabat ut reverteretur et pacificas Deo hostias immolaret. Ille vero, quod nulla ex Deo in gratiam cum eo redeundi spes affulserit, in eo erat ut domum abiret.

(IX.) 5. At Saulus, volens Samuelum retinere, manu prehendit pallium, ac vi paulo majori adhibita, quod properantius discederet, vestimentum discindit. Quumque propheta dixisset fore ut sic regnum ejus dilaceraretur, illudque habiturum esse virum bonum et justum, (Deum enim suis de ipso stare decretis, quippe quod sententiam mutare et ab ea discedere humanæ fragilitatis sit, non Dei potentiæ, Saulus se quidem peccasse dicebat, sed quæ facta fuerint infecta reddere non posse, rogabatque saltem hoc honoris sibi coram populo haberet, ut secum profectus Deum adoraret. Hoc autem ei annuit Samuelus, simulque cum eo Deum adoratum ivit. Post hæc adductus est ad eum Agagus rex Amalecitarum. Qui quum sciscitaretur quo modo mors acerba res esset, dixit, « quemadmodum tu multis Hebræorum matribus cæsis earum filiis lamentationem et luctum excitasti, ita et tu matri tuæ dolorem afferes quum de morte tua inaudiverit. » Confestimque jubet ut Galgalis moreretur, ipse vero reversus est in urbem Armatham.

CAP. VIII. (IX.)

Saulus autem rex sentiens quæ mala expertus esset, qui fecerit ut Deus sibi inimicus esset, ascendit in regiam Gaba quod nomen ex interpretatione collem significat), nec un-

νευόμενον τὸ ὄνομα), καὶ μετ' ἐκείνην οὐκέτι τὴν ἡμέραν εἰς ὄψιν ἔρχεται τῷ προφήτῃ. Σαμουήλῳ δὲ λυπουμένῳ περὶ αὐτοῦ παύσασθαι μὲν τῆς φροντίδος ἐκέλευσεν ὁ Θεὸς, λαβόντι δὲ τὸ ἅγιον ἔλαιον εἰς Βηθλεέμην ἀπελθεῖν πόλιν πρὸς Ἰεσσαῖον παῖδα Ὠβήδου, καὶ χρῖσαι τῶν υἱῶν αὐτοῦ ὃν ἂν αὐτὸς ἐπιδείξῃ βασιλέα γενησόμενον. Ὁ δὲ εὐλαβεῖσθαι φήσας μὴ τοῦτο μαθὼν Σάουλος ἀνέλῃ λοχήσας αὐτὸν, ἢ καὶ φανερῶς, ὑποθεμένου τοῦ Θεοῦ καὶ δόντος ἀσφαλείας ὁδὸν ἦκεν εἰς τὴν προειρημένην πόλιν. Καὶ πάντες αὐτὸν ἠσπάζοντό τε καὶ τὴν αἰτίαν τῆς ἀφίξεως ἐπηρώτων. Ἔλεγε δὲ ἥκειν ἵνα θύσῃ τῷ Θεῷ. Ποιήσας οὖν τὴν θυσίαν, καλεῖ τὸν Ἰεσσαῖον μετὰ τῶν τέκνων ἐπὶ τὰ ἱερεῖα. Καὶ θεασάμενος αὐτοῦ τὸν πρεσβύτατον τῶν υἱῶν εὐμεγέθη καὶ καλὸν, εἰκασεν ἐκ τῆς εὐμορφίας τοῦτον εἶναι τὸν μέλλοντα βασιλεύειν. Διαμαρτάνει δὲ τῆς τοῦ Θεοῦ προνοίας. Ἐπερωτήσαντι γὰρ αὐτὸν εἰ χρίσειε τῷ ἐλαίῳ τὸν νεανίσκον, ὃν αὐτὸς ἐτεθαυμάκει καὶ τῆς βασιλείας ἄξιον κρίνειεν, οὐ τὰ αὐτὰ βλέπειν ἀνθρώπους εἶπε καὶ Θεόν. Ἀλλὰ σὺ μὲν εἰς τὸ κάλλος ἀπιδὼν τοῦ νεανίσκου καὶ δὴ τοῦτον ἡγῇ ἄξιον τοῦ βασιλεύειν εἶναι, ἐγὼ δὲ οὐ σωμάτων εὐμορφίας ἔπαθλον ποιοῦμαι τὴν βασιλείαν, ἀλλὰ ψυχῶν ἀρετῆς, καὶ ζητῶ ὅστις ταύτῃ ἐστὶ τελέως εὐπρεπὴς, εὐσεβείᾳ καὶ δικαιοσύνῃ καὶ ἀνδρείᾳ καὶ πειθοῖ, ἐξ ὧν τὸ ψυχῆς συνίσταται κάλλος, κατακεκοσμημένος. Ταῦτα φράσαντος τοῦ Θεοῦ, πάντας ἐκέλευσεν αὐτῷ τὸν Ἰεσσαῖον τοὺς υἱοὺς ἐπιδεῖξαι Σαμούηλος. Ὁ δὲ πέντε ἄλλους ἐποίησεν ἐλθεῖν, ὧν ὁ μὲν πρεσβύτερος Ἐλίαβος, ὁ δεύτερος Ἀμινάδαβος, Σάμαλος ὁ τρίτος, ὁ τέταρτος Ναθανάηλος, καὶ Ῥάηλος ὁ πέμπτος ἐκαλεῖτο, ὁ δὲ ἕκτος Ἄσαμος. Ἰδὼν δὲ καὶ τούτους ὁ προφήτης μηδὲν χείρους τοῦ πρεσβυτέρου ταῖς μορφαῖς, ἐπηρώτησε τὸν Θεὸν τίνα τούτων αἱρεῖται βασιλέα. Εἰπόντος δ' οὐδένα, πυνθάνεται τοῦ Ἰεσσαίου μὴ πρὸς τούτοις αὐτῷ καὶ ἄλλοι παῖδες εἰσί. Φήσαντος δὲ εἶναι Δαυίδην τοὔνομα, ποιμαίνειν δὲ καὶ τῆς βοσκημάτων φυλακῆς ἐπιμελεῖσθαι, κελεύει καλεῖν αὐτὸν ἐν τάχει· καταλιθῆναι γὰρ εἰς τὴν εὐωχίαν οὐκ εἶναι δυνατὸν αὐτοῖς ἐκείνου μὴ παρόντος. Ὡς δ' ἦκεν ὁ Δαυίδης μεταπεμφθεὶς ὑπὸ τοῦ πατρὸς, παῖς ξανθὸς μὲν τὴν χρόαν, γοργὸς δὲ τὰς ὄψεις καὶ καλὸς ἄλλως, οὗτός ἐστιν, εἰπὼν ἡσυχῇ πρὸς αὐτὸν Σαμούηλος, ὁ βασιλεύειν ἀρέσας τῷ Θεῷ, κατακλίνεται μὲν αὐτὸς, κατακλίνει δὲ ὑφ' αὐτὸν τὸν νεανίσκον, καὶ τὸν Ἰεσσαῖον μετὰ καὶ τῶν παίδων. Ἔπειτα λαβὼν ὀρῶντος τοῦ Δαυίδου τὸ ἔλαιον ἀλείφει τε αὐτὸν καὶ πρὸς τὸ οὖς ἠρέμα λαλεῖ, καὶ σημαίνει τοῦθ' ὅτι βασιλεύειν αὐτὸν ὁ Θεὸς ᾕρηται. Παρῄνει δ' εἶναι δίκαιον καὶ κατήκοον αὐτοῦ τῶν προσταγμάτων· οὕτω γὰρ αὐτῷ παραμενεῖν τὴν βασιλείαν ἐπὶ πολὺν χρόνον καὶ τὸν οἶκον λαμπρὸν καὶ περιβόητον γενήσεσθαι, καταστρέψεσθαι δὲ καὶ Παλαιστίνους, καὶ οἷς ἂν ἔθνεσι πολεμῇ νικῶντα καὶ περιόντα τῇ

quam post illam diem in prophetæ conspectum venit. Quum vero Samuelus vicem ejus doleret, ut hanc quidem sollicitudinem missam faceret jussit Deus, sacro vero oleo assumpto in urbem Bethleemen concederet ad Jessæum Obedæ filium, et de filiis ejus eum inungeret, quem ipse ei regnaturum esse significarit. Quumque diceret vereri se ne Saulus, si hoc senserit, vel per insidias vel aperta vi perniciem ipsi strueret, promittente Deo facienteque ut salvus proficisceretur, ad urbem prædictam pervenit. Atque eum omnes salutabant, simulque de adventus causa percontabantur. Dicebat autem se eo venisse ut Deo sacrificaret. Quum itaque rem divinam fecisset, Jessæum una cum liberis vocat, ut sacris vescerentur. Atque filiorum *ejus* natu maximum intuitus bene magnum et pulcrum, ex forma conjecit eximia hunc esse eum qui rex futurus esset. A Dei autem proposito aberravit. Nam quum ex eo quæsivisset, an istum oleo inungeret juvenem, quem admiratus fuerat, regnoque dignum judicabat, non eadem respondebat spectare Deum ac homines. At tu quidem ad juvenis formam egregiam respiciens, hunc sane idoneum existimas qui imperet, ego vero regnum non pono corporis pulcritudinis præmium, sed animi virtutis, atque istum requiro qui eo nomine sit omnibus numeris absolutus, pietate et justitia et fortitudine et obsequio, ex quibus animi constat pulcritudo, exornatus. Hæc quum Deus dixisset, Jessæo præcepit Samuelus ut in conspectum suum filios adduceret. Atque ille fecit ut quinque alii se sisterent, quorum ætate major Eliabus, secundus Aminadabus, tertius Samalus, quartus Nathanaelus, et quintus vocabatur Raelus, sextus vero Asamus. Propheta autem, quum et hos videret forma nequaquam cedere natu grandiori, Deum interrogavit quemnam horum regem deligeret. Datoque responso, neminem *ex hisce*, sciscitatur ex Jessæo, ecqui præterea ipsi essent liberi. Quumque is dixisset *unum* restare nomine Davidem, at pastorem agere pecorumque custodiæ operam dare, jubet istum statim evocari: ipsis enim, nisi ille adsit, epulis accumbere non licere. Ubi autem advenit Davides a patre accitus, adolescens colore flavus, vividis oculis, et ceterea pulcer, Hic est, quum tacite secum dixisset Samuelus, quem regnare Deo visum est, ipse quidem discumbit, sibi vero proximum juvenem collocat, ac *deinceps* Jessæum et filios *ejus*. Tum sumpto in conspectu Davidis oleo, et ipsum eo perfundit, submisseque in aurem dicit, et hoc signo est quod Deus ipsum regem elegerit. Monebatque ut justitiam coleret præceptisque ejus obtemperaret, atque ita regnum ei longo tempore permansurum ac domum splendidam fore celebremque; porro Palæstinos debellaturum esse, et cum quibuscunque gentibus bellum gesserit,

μάχῃ κλέος ἀοίδιμον ζῶντά τε ἕξειν καὶ τοῖς μεθ' αὑτὸν ἀπολείψειν.

β'. Καὶ Σαμούηλος μὲν ἀπαλλάσσεται ταῦτα παραινέσας, πρὸς δὲ τὸν Δαυίδην μεταβαίνει τὸ θεῖον καταλιπὸν τὸν Σάουλον. Καὶ ὁ μὲν προφητεύειν ἤρξατο, τοῦ θείου πνεύματος εἰς αὐτὸν μετοικισαμένου, τὸν Σάουλον δὲ περιήρχετο πάθη τινὰ καὶ δαιμόνια, πνιγμοὺς αὐτῷ καὶ στραγγάλας ἐπιφέροντα, ὡς τοὺς ἰατροὺς ἄλλην μὲν αὐτῷ θεραπείαν μὴ ἐπινοεῖν, εἰ δέ τις ἐστὶν ἐξάδειν δυνάμενος καὶ ψάλλειν ἐπὶ κινύρᾳ, τοῦτον ἐκέλευσαν ζητήσαντας, ὁπότ' αὐτῷ προσίοι τὰ δαιμόνια καὶ ταράττοι, ποιεῖν ὑπὲρ κεφαλῆς στάντα ψάλλειν καὶ τοὺς ὕμνους ἐπιλέγειν. Ὁ δ' οὐκ ἐμέλλησεν, ἀλλὰ ζητεῖσθαι προσέταξε τοιοῦτον ἄνθρωπον. Φήσαντος δέ τινος αὐτῷ τῶν παρόντων ἐν Βηθλεέμῃ πόλει τεθεᾶσθαι Ἰεσσαίου μὲν υἱόν, ἔτι δὲ παῖδα τὴν ἡλικίαν, εὐπρεπῆ δὲ καὶ καλόν, τά τε ἄλλα σπουδῆς ἄξιον καὶ δὴ καὶ ψάλλειν εἰδότα καὶ ᾄδειν ὕμνους καὶ πολεμιστὴν ἄκρον, πέμψας πρὸς τὸν Ἰεσσαῖον ἐκέλευσεν ἀποστέλλειν αὐτῷ τὸν Δαυίδην τῶν ποιμνίων ἀποσπάσαντα· βούλεσθαι γὰρ αὐτὸν ἰδεῖν περὶ τῆς εὐμορφίας καὶ ἀνδρείας ἀκούσας τοῦ νεανίσκου. Ὁ δὲ Ἰεσσαῖος πέμπει τὸν υἱὸν καὶ ξένια δοὺς κομίσαι τῷ Σαούλῳ. Ἐλθόντι δ' ἥσθη, καὶ ποιήσας ὁπλοφόρον διὰ πάσης ἦγε τιμῆς. Ἐξήδετο γὰρ ὑπ' αὐτοῦ καὶ πρὸς τὴν ἀπὸ τῶν δαιμόνων ταραχὴν, ὁπότε αὐτῷ ταῦτα προσέλθοι, μόνος ἰατρὸς ἦν, λέγων τε τοὺς ὕμνους καὶ ψάλλων ἐν τῇ κινύρᾳ καὶ ποιῶν ἑαυτοῦ γίνεσθαι τὸν Σάουλον. Πέμπει τοίνυν πρὸς τὸν πατέρα τοῦ παιδὸς Ἰεσσαῖον, ἐᾶσαι παρ' αὐτῷ τὸν Δαυίδην κελεύων· ἥδεσθαι γὰρ αὐτῷ βλεπομένῳ καὶ παρόντι. Τὸν δ' οὐκ ἀντειπεῖν τῷ Σαούλῳ, συνεχώρησε δὲ κατέχειν.

ΚΕΦ. Θ'.

Χρόνοις δ' ὕστερον οὐ πολλοῖς οἱ Παλαιστῖνοι πάλιν συνελθόντες καὶ δύναμιν ἀθροίσαντες μεγάλην ἐπίασι τοῖς Ἰσραηλίταις· καὶ μεταξὺ Σωχοῦς καὶ Ἀζηκᾶς καταλαμβανόμενοι στρατοπεδεύονται. Ἀντεπεξάγει δ' αὐτοῖς τὴν στρατιὰν καὶ Σάουλος, καὶ ἐπί τινος ὄρους στρατοπεδευσάμενος ἀναγκάζει τοὺς Παλαιστίνους τὸ μὲν πρῶτον στρατόπεδον καταλιπεῖν, ἐπὶ ὁμοίου δέ τινος ὄρους ἀντικρὺ τοῦ καταληφθέντος ὑπὸ τοῦ Σαούλου στρατοπεδεύσασθαι. Διέστησε δ' ἀπ' ἀλλήλων τὰ στρατόπεδα μέσος αὐλὼν τῶν ὀρῶν ἐφ' ὧν ἦν. Καταβὰς οὖν τις τῶν ἐκ τοῦ Παλαιστίνων στρατοπέδου, Γολιάθης ὄνομα, πόλεως δὲ Γίττης, ἀνὴρ παμμεγεθέστατος, (ἦν γὰρ πηχῶν τεσσάρων καὶ σπιθαμῆς, ὅπλα τῇ φύσει τοῦ σώματος ἀναλογοῦντα περικείμενος, θώρακα μὲν γὰρ ἐνεδέδυτο σταθμὸν ἄγοντα πέντε χιλιάδας σίκλων, κόρυθα δὲ καὶ κνημῖδας χαλκέας, ὁποίας εἰκὸς ἦν ἀνδρὸς οὕτω παραδόξου τὸ μέγεθος σκεπάσαι τὰ μέλη, δόρυ δὲ ἦν οὐ κοῦφον βάσταγμα δεξιᾶς, ἀλλ' ἐπὶ τῶν ὤμων

victorem pugnaque superiorem, gloriam, dum viveret, illustrem habiturum, posterisque suis relicturum.

2. Et Samuelus quidem, quum hæc *eum* monuisset, discedit, simulque numen relicto Saulo ad Davidem transit. Et hic quidem, postquam spiritus Dei ad ipsum migraverat, vaticinari cœpit, Saulum vero perturbationes quædam invaserunt et spiritus malefici, qui suffocationes illi et strangulationes creabant, ita ut medici nullam quidem curationem illi adhibere cogitarent, si quis vero esset excantandi peritus et cithara psallendi, jusserunt ut illo quæsito, quotiescunque ad eum mali accederent genii turbarentque, curæ illi esset ut ad caput ejus adstans psalleret et hymnos recitaret. Ille autem rem non distulit, sed mandavit ut hujusmodi hominem sibi providerent. Quumque unus qui aderat diceret, in urbe Bethleema se vidisse Jessæi filium, adhuc quidem ætate admodum juvenem, sed speciosum et pulcrum cæteraque magni faciendum, psallere scientem et hymnos canere, studiisque bellicis exercitatissimum; missis ad Jessæum nunciis jussit ut Davidem a gregibus abductum ad se mitteret; velle enim ipsum videre, quod multa de forma juvenis egregia et pulcritudine fama acceperit. Jessæus autem filium mittit, datis etiam muneribus quæ ad Saulum apportaret. Quumque venisset, eo delectatus est *Saulus*, et armigero usus eum in summo honore habebat. Ab illo vero excantabatur, et contra perturbationem a dæmonibus illatam, quum hujusmodi quid ei accideret, solus erat medicus, hymnos recitans et cithara psallens, faciensque ut Saulus sui compos fieret. Mittit igitus ad Jessæum patrem adolescentis, postulans ut Davides apud se maneret: illius enim conspectu et præsentia se mirifice capi. Is vero, Saulo non contradicendum ratus, concessit ut illum apud se retineret.

CAP. IX. (X.)

Ceterum aliquanto post Palæstini denuo congregati, coactisque magnis copiis, bellum Israelitis inferunt; atque loco inter Sochum et Azecam occupato, ibi castra metantur. Saulus autem adversus illos exercitum educit, et quum in monte quodam cum suis consedisset, facit ut Palæstini castra quidem priora relinquerent, simile vero jugum, e regione illius cui Saulus insederat, castris occuparent. Exercitus autem ab invicem diremit vallis, collibus in quibus consistebant interjecta. Itaque quum quidam e castris Palæstinorum descendisset, nomine Goliathes, et ex urbe Gitta, vir immanis staturæ, (erat enim sex cubitorum et unius spithamæ, armis cinctus magnitudini corporis congruentibus; nam thorace quidem indutus erat qui quinque millia siclorum pendebat, cuspide vero et ocreis æneis qualibus par erat viri magnitudinis adeo prodigiosæ membra tegi; hasta erat non leve gestamen dextræ, sed quam et ipse humeris sustinebat; quin et lanceam sexcentorum

αὐτὸ αἴρων ἔφερεν, εἶχέ δὲ καὶ λόγχην ἑξακοσίων σίκλων, εἵποντο δὲ πολλοὶ βαστάζοντες τὰ ὅπλα·) στὰς τοίνυν ὁ Γολιάθης οὗτος μεταξὺ τῶν παρατάξεων βοήν τε ἀφίησι μεγάλην καὶ πρὸς τὸν Σάουλον καὶ τοὺς Ἑβραίους λέγει· « μάχης μὲν ὑμᾶς καὶ κινδύνων « ἀπαλλάττω. Τίς γὰρ ἀνάγκη τὴν στρατιὰν ἡμῶν συμπεσοῦσαν κακοπαθεῖν; δότε δ' ὅστις ἐμοὶ μαχεῖται τῶν ὑμετέρων, καὶ βραβευθήσεται τὸ τοῦ πολέμου τέλος ἐν τῷ νενικηκότι· δουλεύσουσι γὰρ ἐκεῖνοι τοῖς ἑτέροις ὧν ἂν ὁ νικήσας γένηται. Πολὺ δὲ κρεῖττον εἶναι καὶ σωφρονέστερον ἑνὸς κινδύνῳ λαβεῖν ὃ βούλεσθε ἢ πάντων. » Ταῦτ' εἰπὼν ἀνεχώρησεν εἰς τὸν τῶν οἰκείων στρατόπεδον. Τῇ δ' ἐρχομένῃ πάλιν ἐλθὼν τοὺς αὐτοὺς ἐποιήσατο λόγους καὶ μέχρι τεσσαράκοντα ἡμερῶν οὐ διέλειπε προκαλούμενος ἐπὶ τοῖς προειρημένοις τοὺς πολεμίους, ὡς καταπλαγῆναι αὐτόν τε τὸν Σάουλον καὶ τὴν στρατιάν. Καὶ παρετάσσοντο μὲν εἰς μάχην, οὐκ ἤρχοντο δὲ εἰς χεῖρας.

β'. Τοῦ δὲ πολέμου συνεστηκότος τοῖς Ἑβραίοις καὶ τοῖς Παλαιστίνοις, ὁ Σάουλος ἀπέστειλε τὸν Δαυίδην πρὸς τὸν πατέρα Ἰεσσαῖον, ἀρκούμενος αὐτοῦ τοῖς τρισὶν υἱοῖς, οὓς ἐπὶ συμμαχίαν καὶ τοὺς κινδύνους ἔπεμψεν. Ὁ δὲ τὸ μὲν πρῶτον ἐπὶ τὰ ποίμνια πάλιν καὶ τὰς νομὰς τῶν βοσκημάτων παραγίνεται. Μετ' οὐ πολὺ δὲ ἔρχεται πρὸς τὸ στρατόπεδον τῶν Ἑβραίων πεμφθεὶς ὑπὸ τοῦ πατρὸς, κομίσαι τε τοῖς ἀδελφοῖς ἐφόδια καὶ γνῶναι τί πράττουσι. Τοῦ δὲ Γολιάθου πάλιν ἐλθόντος καὶ προκαλουμένου καὶ ὀνειδίζοντος ὅτι μηδεὶς ἐστιν ἀνδρεῖος ἐν αὐτοῖς, ὃς εἰς μάχην αὐτῷ τολμᾷ καταβῆναι, μεταξὺ τοῖς ἀδελφοῖς ὁμιλῶν ὁ Δαυίδης περὶ ὧν ἐπέστειλεν ὁ πατὴρ, ἀκούσας βλασφημοῦντος τὴν στρατιὰν καὶ κακίζοντος τοῦ Παλαιστίνου ἠγανάκτησε καὶ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ εἶπεν ἑτοίμως ἔχειν μονομαχῆσαι τῷ πολεμίῳ. Πρὸς τοῦθ' ὁ πρεσβύτατος τῶν ἀδελφῶν Ἐλίαβος ἐπέπληξεν αὐτῷ, τολμηρότερον παρ' ἡλικίαν καὶ ἀμαθῆ τοῦ προσήκοντος εἰπὼν, ἐκέλευσέ τε πρὸς τὰ ποίμνια καὶ τὸν πατέρα βαδίζειν. Καταιδεσθεὶς δὲ τὸν ἀδελφὸν ὑπεχώρησεν, καὶ πρός τινας τῶν στρατιωτῶν ἀπελάλησεν ὅτι θέλοι μάχεσθαι τῷ προκαλουμένῳ. Δηλωσάντων δ' εὐθὺς τῷ Σαούλῳ τὴν τοῦ νεανίσκου προαίρεσιν, μεταπέμπεται αὐτὸν ὁ βασιλεύς. Καὶ πυνθανομένου τί βούλεται καὶ λέγειν, « μὴ ταπεινὸν, εἶπεν, ἔστω φρόνημα, μηδ' « εὐλαβὲς, ὦ βασιλεῦ· καθαιρήσω γὰρ ἐγὼ τὴν ἀλαζο- « νείαν τοῦ πολεμίου, χωρήσας αὐτῷ διὰ μάχης, καὶ « τὸν ὑψηλὸν καὶ μέγαν ὑπ' ἐμαυτῷ βαλὼν, γένοιτο « μὲν ἂν αὐτὸ οὕτω καταγέλαστος, ἔνδοξον δὲ τὸ σὸν « στράτευμα, εἰ μηδ' ὑπ' ἀνδρὸς πολεμεῖν ἤδη δυνα- « μένου καὶ πιστευομένου παράταξιν καὶ μάχας, ἀλλ' « ὑπὸ παιδὸς ἔτι δοκοῦντος καὶ ταύτην ἔχοντος τὴν « ἡλικίαν ἀποθάνοι. »

γ'. Τοῦ δὲ Σαούλου τὸ μὲν τολμηρὸν αὐτοῦ καὶ τὴν εὐψυχίαν θαυμάζοντος, οὐ θαρροῦντος δὲ ἐπ' αὐτῷ διὰ τὴν ἡλικίαν, ἀλλ' ἀσθενέστερον εἶναι διὰ ταύτην

siclorum habebat, multique eum sequebantur arma portantes,) hic igitur Goliathes quum inter utramque aciem constitisset, ingenti utitur vociferatione, et ad Saulum et Hebræos clamat: « vos quidem a pugnæ discrimine et peri- « culis libero. Quæ nos adigit necessitas ut exercitus nostri « acie confligendo mala patiantur? date e vobis aliquem, « qui mecum descendet in certamen, atque de bello finiendo « statuetur ex eo qui vicerit; servient enim illi his alte- « ris, quorum civis superior fuerit. Multo enim melius « esse et consultissimum unius periculo quæ vultis assequi « quam omnium. » Hæc loquutus in castra ad suos reverti tur. Die autem proximo iterum egressus eadem verba fecit, ac per quadraginta dies conditionibus prædictis hostes provocare non destitit, adeo ut non mediocri terrore perculsi fuerint Saulus et exercitus. Et instructi quidem prodibant in aciem, neutri vero ad manus conserendas veniebant.

2. At quum bellum inter Hebræos et Palæstinos conflaretur, Saulus Davidem ad Jessæum patrem remiserat, tribus *aliis* ejus filiis contentus, quos in societatem belli et periculorum miserat. Ille vero primum quidem se ad greges rursus et pecus pascendum recipit. At non multo post ad Hebræorum castra venit missus a patre, ut et fratribus commeatum afferret, sciretque quid agerent. Quum autem rursus egrederetur Goliathes, et *Hebræos* provocaret, eisque exprobraret neminem illorum ea esse fortitudine, ut secum in certamen descendere auderet, Davides, dum colloqueretur cum fratribus de iis quæ ei mandaverat pater, audito ut Palæstinus exercitum probro afficiat et contemptui habeat, valde indignatus est, et ad fratres suos aiebat se paratum esse ad hostem singulari certamine excipiendum. Ad hoc Eliabus fratrum natu maximus eum objurgavit, dicendo eum supra quam ætas ferat audacem esse, et quid sibi deceret plane nescire, jussitque ut ad greges suos et ad patrem se conferret. Is vero fratrem reveritus digressus est, et apud militum quosdam verbis præ se tulit, quod vellet cum provocante congredi. Juvenis autem proposito statim ab illis ad Saulum relato, rex ad se jubet accersi. Ac quum ab eo requireret quidnam dicere vellet, « ne, inquit, ani- « mum despondeas, nec quid extimescas, o rex: ego ela- « tos hostis spiritus comprimam, simul ac cum ipso pugnam « conseruero, magnumque et procerum mihimet subjecero. « Sic quidem iste ab omnibus irridebitur, tuus vero exer- « citus gloriam consequetur, si non a viro ad bellum idoneo « aut aciei instruendæ ducendæque perito, sed ab illo qui « puer esse videatur, eaque revera sit ætate, occidi conti- « gerit. »

3. Quum autem Saulus illius quidem animum intrepidum alacremque miraretur, ei vero propter ætatem non confideret, sed ex ea imbecilliorem esse diceret quam ut cum vi-

πρὸς εἰδότα πολεμεῖν μάχεσθαι λέγοντος, « ταῦτ', εἶπε « Δαυίδης, ἐπαγγέλλομαι, τῷ Θεῷ θαρρῶν ὄντι μετ' « ἐμοῦ· πεπείραμαι γὰρ αὐτοῦ τῆς βοηθείας. Λέοντα « γὰρ ἐπελθόντα μου ποτὲ τοῖς ποιμνίοις καὶ ἁρπάσαντα « ἄρνα διώξας καταλαμβάνω, καὶ τὸν μὲν ἄρνα ἐκ τοῦ « στόματος ἐξαρπάζω τοῦ θηρὸς, αὐτὸν δὲ ὁρμήσαντα « ἐπ' ἐμὲ τῆς οὐρᾶς βαστάσας καὶ προσρήξας τῇ γῇ « διαφθείρω. Ταὐτὸ δὲ καὶ ἄρκον ἀμυνόμενος διατί- « θημι. Νομιζέσθω δὴ καὶ ὁ πολέμιος ἐκείνων εἶναί « τι τῶν θηρίων, ὀνειδίζων ἐκ πολλοῦ τὴν στρατιὰν καὶ « βλασφημῶν ἡμῶν τὸν Θεὸν, ὃς αὐτὸν ὑποχείριον ἐμοὶ « ποιήσει. »

δ'. Τῇ προθυμίᾳ τοιγαροῦν καὶ τῇ τόλμῃ τοῦ παι- δὸς ὅμοιον γενέσθαι τέλος παρὰ τοῦ Θεοῦ Σάουλος εὐ- ξάμενος, ἄπιθι, φησὶ, πρὸς τὴν μάχην. Καὶ περιθεὶς αὐτῷ τὸν αὑτοῦ θώρακα καὶ περιζώσας τὸ ξίφος καὶ περικεφαλαίαν ἁρμόσας ἐξέπεμψεν. Ὁ δὲ Δαυίδης βαρυνόμενος ὑπὸ τῶν ὅπλων, (οὐκ ἐγεγύμναστο γὰρ οὐδ' ἐμεμαθήκει φέρειν ὅπλα,) « ταῦτα μὲν, εἶπεν, ὦ « βασιλεῦ, σὸς ἔστω κόσμος τοῦ καὶ βαστάζειν δυνα- « μένου, συγχώρησον δὲ ὡς δούλῳ σου καὶ ὡς ἐγὼ « βούλομαι μάχεσθαι ». Τίθησιν οὖν τὰ ὅπλα, καὶ τὴν βακτηρίαν ἁράμενος, καὶ πέντε λίθους ἐκ τοῦ χει- μάρρου βαλὼν εἰς τὴν πήραν τὴν ποιμενικὴν καὶ σφεν- δόνην ἐν τῇ δεξιᾷ χειρὶ φέρων, ἐπὶ τὸν Γολιάθην ἐπο- ρεύετο. Καταφρονεῖ δὲ οὗτος ἰδὼν αὐτὸν ὁ πολέμιος ἐρχόμενον, καὶ προσέσκωψεν ὡς οὐχ οἷα πρὸς ἄνθρωπον ὅπλα νενόμισται ταῦτ' ἔχων μέλλοι μάχεσθαι, οἷς δὲ κύνας ἀπελαύνομεν καὶ φυλασσόμεθα. Μὴ αὐτὸν ἀντὶ ἀνθρώπου κύνα εἶναι δοκεῖ; Ὁ δ' οὐχὶ τοιοῦτον, ἀλλὰ καὶ χείρω κυνὸς αὐτὸν νομίζειν ἀπεκρίνατο. Κινεῖ δὲ πρὸς ὀργὴν τὸν Γολιάθην, καὶ ἀρὰς αὐτῷ τίθεται ἐκ τῆς προσηγορίας τοῦ Θεοῦ, καὶ δώσειν ἠπείλησε τὰς σάρκας αὐτοῦ τοῖς ἐπιγείοις καὶ τοῖς μεταρσίοις διασπάσασθαι. Ἀμείβεται δ' αὐτὸν ὁ Δαυίδης, « σὺ μὲν ἐπέρχῃ μοι ἐν ῥομφαίᾳ καὶ ἐν δόρατι καὶ ἐν θώρακι, ἐγὼ δὲ χωρῶν ἐπί σε τὸν Θεὸν ὥπλισμαι, ὃς σέ τε καὶ τὴν πᾶσαν ὑμῶν στρατιὰν χερσὶ ταῖς ἡμετέραις διολέσει. Καρατομήσω μὲν γάρ σε σήμερον καὶ τὸ ἄλλο σῶμα τοῖς ὁμοφύλοις κυσὶ παραβαλῶ, μαθήσονται δὲ πάντες ὅτι προέστηκεν Ἑβραίων τὸ θεῖον, καὶ ὅπλα ἡμῖν καὶ ἰσχὺς τούτου ἐστὶ τὸ κηδόμενον, ἡ δ' ἄλλη παρασκευὴ καὶ δύναμις ἀνωφελὴς, Θεοῦ μὴ παρόντος. » Ὁ δὲ Παλαιστῖνος ὑπὸ βάρους τῶν ὅπλων εἰς ὠκύτητα καὶ δρόμον ἐμπο- διζόμενος βάδην ἐπὶ τὸν Δαυίδην παραγίνεται, καταφρο- νῶν καὶ πεποιθὼς γυμνὸν ὁμοῦ καὶ παῖδα ἔτι τὴν ἡλι- κίαν ἀπόνως ἀναιρήσειν.

(ΙΑ'.) ε'. Ἅπαντᾷ δὲ ὁ νεανίσκος μετὰ συμμάχου μὴ βλεπομένου τῷ πολεμίῳ· Θεὸς δ' ἦν οὗτος. Καὶ ἀνελό- μενος ἐκ τῆς πήρας ὧν εἰς αὐτὴν κατέθηκεν ἐκ τοῦ χει- μάρρου λίθον ἕνα καὶ ἁρμόσας τῇ σφενδόνῃ βάλλει ἐπὶ τὸν Γολιάθην εἰς τὸ μέτωπον, καὶ διῆλθεν ἕως τοῦ ἐγκεφάλου τὸ βληθέν, ὡς εὐθὺς καρωθέντα πεσεῖν τὸν Γολιάθην ἐπὶ τὴν ὄψιν. Δραμὼν δ' ἐφίσταται τῷ πο-

ro pugnæ sciente congrederetur, « hæc, aiebat Davides, « polliceor, Deo fidens quod mecum erit : ejus enim exper- « tus sum auxilium. Nam leonem, quum greges meos ali- « quando adortus esset et agnum abripuisset, persequutus « apprehendi, et feræ quidem de faucibus agnum extorsi, « ipsam vero, quum in me insurrexisset, cauda sublatam « ac in humum adflictam occidi. Quin et idem plane feci, « dum ursum ulciscor. Itaque et hostis ille aliqua ex ea- « rum ferarum numero esse existimetur, multa in exercitum « probra jaciens, et in Deum nostrum convicia effundens, « qui ipsum mihimet subjiciet. »

4. Tum Saulus Deum precatus ut juveni omnia ex animi ejus prompti strenuique sententia succederent, Abi, inquit, ad pugnam. Et quum galeam illi suam imposuisset et accinxisset gladio loricaque induisset, dimittebat *eum*. Davides autem armis gravatus (non enim erat exercitatus, neque arma ferre didicerat) aiebat, « hæc quidem, o rex, « tua sint ornamenta, qui et illa gestare potes, mihi vero « ut servo tuo concede pugnam prout et ipse volo capes- « sere. » Arma itaque deponit, ac sublato baculo, et quinque e torrente lapidibus in peram pastoralem conjectis, dextraque manu fundam portans, ibat Goliatham versus. Quum autem hostis eum ita ad se accedentem vidisset, contemptui habet, et dicteriis eum incessit, quasi non armis, quibus adversus hominem uti moris est, ista gerens secum pugnaturus prodeat, sed quibus canes abigimus et ab illis cavemus. Num ipsum canem, non hominem esse putaret? Ille autem, non talem, sed cane etiam deteriorem eum existimare respondit. Hinc Goliatham ad iram commovet, et diras illi imprecatur ex Dei cognomine, atque minatus est se carnes ejus bestiis terrestribus daturum esse, et volucribus aeriis sparsurum. Illi vero subjicit Davides, « tu quidem cum gladio et hasta et lorica me aggrederis, mihi vero contra te venienti Deus pro armatura est, qui et te et totum vestrum exercitum manuum nostrarum viribus perdet. Nam hodie quidem caput tuum auferam, et reliquum corporis canibus tui similibus tradam, et discent omnes quod Deus præfectus fuerit Hebræis, ejusque providentia arma nobis viresque suppeditet : at aliusmodi parum valent apparatus et potentia, nisi Deus præsens cœptis adspiret. » Palæstinus autem, quominus festinaret et cursu uteretur armorum pondere impeditus, lento gradu Davidem versus proficiscitur, contemptum præ se ferens, fiduciaque fretus se facillime inermem simul ac ætate puerum perimere posse.

(XI.) 5. Verum occurrit juvenis cum adjutore quem hostis non videbat : ille autem Deus erat. Et quum e lapidibus, quo in peram ex torrente conjecerat, unum deprompsisset fundæque adaptasset, in adversam Goliathæ frontem jacit, qui vi sua ad cerebrum usque penetrabat, ita ut statim veterno correptus in faciem procideret Goliathes. Quum autem *Davides* cursu ad eum contendisset, super hostem jacentem

λεμίῳ κειμένῳ, καὶ τῇ ῥομφαίᾳ τῇ ἐκείνου, μάχαιραν οὐκ ἔχων αὐτὸς, ἀποτέμνει τὴν κεφαλὴν αὐτοῦ. Πεσὼν δ' ὁ Γολιάθης ἧττα καὶ φυγὴ γίνεται Παλαιστίνοις. Τὸν γὰρ δοκιμώτατον ἰδόντες ἐρριμμένον καὶ περὶ τῶν ὅλων δείσαντες οὐκ ἔτι μένειν διεγνώκεσαν, ἀλλ' αἰσχρᾷ καὶ ἀκόσμῳ φυγῇ παραδόντες αὐτοὺς ἐξαρπάζειν τῶν κινδύνων ἐπειρῶντο. Σάουλος δὲ καὶ πᾶς ὁ τῶν Ἑβραίων στρατὸς ἀλαλάξαντες ἐκπηδῶσιν εἰς αὐτοὺς, καὶ πολλοὺς ἀποσφάττοντες διώκουσιν ἄχρι τῶν Γίττης ὁρίων καὶ τῶν πυλῶν τῶν Ἀσκάλωνος. Καὶ θνήσκουσι μὲν τῶν Παλαιστίνων εἰς τρισμυρίους, δὶς δὲ τοσοῦτοι τραυματίαι γίνονται. Σάουλος δὲ ὑποστρέψας εἰς τὸ στρατόπεδον αὐτῶν διαρπάζει τὸ χαράκωμα καὶ ἐνέπρησεν, τὴν δὲ κεφαλὴν τοῦ Γολιάθου Δαυΐδης εἰς τὴν ἰδίαν σκηνὴν ἐκόμισε καὶ τὴν ῥομφαίαν ἀνέθηκε τῷ Θεῷ.

ΚΕΦ. Ι'.

Φθόνον δὲ καὶ μῖσος τοῦ Σαούλου πρὸς αὐτὸν αἱ γυναῖκες ἐρεθίζουσιν. Ὑπαντῶσαι γὰρ τῇ στρατιᾷ νικηφόρῳ μετὰ κυμβάλων καὶ τυμπάνων καὶ παντοίας χαρᾶς ᾖδον αἱ μὲν γυναῖκες, ὡς πολλὰς Σάουλος ἀπώλεσε Παλαιστίνων χιλιάδας, αἱ παρθένοι δὲ, ὡς μυριάδας Δαυΐδης ἀφανίσειε. Τούτων δ' ἀκούων ὁ βασιλεὺς, ὡς τὸ μὲν ἔλαττον τῆς μαρτυρίας αὐτὸς λάβοι, τὸ δὲ τῶν μυριάδων πλῆθος ἀνατεθείη τῷ νεανίσκῳ, καὶ λογισάμενος μηδὲν οὕτω μετὰ λαμπρὰν εὐφημίαν ἢ τὴν βασιλείαν ὑστερεῖν αὐτῷ, φοβεῖσθαι καὶ ὑποπτεύειν ἤρξατο τὸν Δαυΐδην. Καὶ τῆς μὲν πρώτης τάξεως (ἐπεὶ τῷ δέει πλησίον αὐτοῦ καὶ λίαν ἐγγὺς ἐδόκει, ἐποίησε γὰρ αὐτὸν ὁπλοφόρον) μεταστήσας ἀποδείκνυσι χιλίαρχον, δοὺς αὐτῷ χώραν ἀμείνονα μέν, σφαλερὰν δὲ, ὡς ἐνόμιζεν, αὐτῷ· ἐβούλετο γὰρ εἰς τοὺς πολεμίους αὐτὸν ἐκπέμπειν καὶ τὰς μάχας, ὡς ἐν τοῖς κινδύνοις τεθνηξόμενον.

β'. Δαυΐδης δὲ πανταχοῦ τὸν Θεὸν ἐπαγόμενος ὅποι ποτ' ἀφίκοιτο κατώρθου καὶ διευπραγῶν ἐβλέπετο, ὡς δι' ὑπερβολὴν τῆς ἀνδρείας τόν τε λαὸν αὐτοῦ καὶ τὴν Σαούλου θυγατέρα, παρθένον ἔτι οὖσαν, λαβεῖν ἔρωτα, καὶ τοῦ πάθους ὑπερκρατοῦς ὄντος γενέσθαι φανερὰν καὶ διαβληθῆναι πρὸς τὸν πατέρα. Ὁ δ' ὡς ἀφορμῇ χρησόμενος τῆς ἐπὶ Δαυΐδην ἐπιβουλῆς ἡδέως ἤκουσε, καὶ δώσειν προθύμως αὐτῷ τὴν παρθένον πρὸς τοὺς τὸν ἔρωτα μηνύσαντας αὐτῆς ἔφη, γενησόμενον ἀπωλείας καὶ κινδύνων αἴτιον αὐτῷ λῃψομένῳ. « Κατεγγυῶ γάρ, εἶπεν, αὐτῷ τὸν τῆς θυγατρός μου γάμον, ἂν ἑξακο-« σίας μοι κομίσῃ κεφαλὰς τῶν πολεμίων. Ὁ δὲ καὶ « γέρως οὕτω λαμπροῦ προτεθέντος καὶ βουλόμενος ἐπ' « ἔργῳ παραβόλῳ καὶ ἀπίστῳ λαβεῖν κλέος, ὁρμήσει μὲν ἐπὶ τὴν πρᾶξιν, διαφθαρήσεται δ' ὑπὸ τῶν Πα-« λαιστίνων, καὶ χωρήσει μοι τὰ κατ' αὐτὸν εὐπρεπῶς. « Ἀπαλλαγήσομαι γὰρ αὐτοῦ, δι' ἄλλων αὐτὸν, ἀλλ' « οὐχὶ δι' ἐμαυτοῦ κτείνας ». Διάπειραν δὴ τῆς τοῦ Δαυΐδου διανοίας κελεύει τοὺς οἰκέτας λαμβάνειν πῶς

constitit, strictoque illius ense, quod ipse gladium non habuerit, ei caput amputat. Verum concidente Goliatha superantur fugamque capessunt Palæstini. Nam spectatissimum *e suis* prostratum videntes, et de rerum summa metuentes, non amplius consistere decreverunt, sed in turpem et ignominiosam fugam semet conjicientes periculum evadere conabantur. Saulus autem et universus Hebræorum exercitus sublato clamore in eos irruunt, multisque cæsis, eos usque ad Gittæ fines et portas Ascalonis persequuntur. Et e Palæstinis quidem ceciderunt triginta circiter millia, et duplo plures vulnerati sunt. Porro Saulus, ad castra eorum reversus, munimenta diripit ac incendit, caput autem Goliathæ Davides in suum tentorium reportavit, et gladium Deo consecravit.

CAP. X. (XI.)

Sauli autem invidiam et odium in ipsum concitarunt mulieres. Exercitui enim triumphanti occurrentes cum cymbalis et tympanis et omne genus lætitia canebant, mulieres quidem, multas a Saulo occisas esse Palæstinorum chiliadas, virgines vero, myriadas a Davide deletas. Hæc autem *quum audiret* rex, *sibi quidem minus amplum tribui* testimonium, juveni vero multas myriadas adscribi; et secum reputaret, nihil adeo ei post gloriosam acclamationem deesse ac regnum, Davidem metuere et suspectum habere cœpit. Ac cum a priori quidem ordine (quod ex formidine nimis propinquus ipsi et vicinus videretur, quippe qui armiger ipsi constitutus erat) eum amovisset, militum tribunum creat, locum ei dans concesso quidem meliorem, sed periculosum, ut putabat, illi. Secum enim statuebat eum in hostes et pugnas emittere, ut pericula obeundo periret.

2. Davides autem Deum sibi ubique in auxilium adscischens quocunque se conferret, res prospere gerebat, eique omnia feliciter cedere conspiciebantur, adeo ut ex fortitudinis eminentia et populus et Sauli filia adhuc virgo amore ejus caperetur, affectuque prævalente manifesto se proderet et ad patrem deferretur. Ille vero, ut oblatam ad insidias Davidi struendum occasionem amplexurus, *hoc* libenter audivit, filiæque amorem ei renunciantibus dicebat, se alacriter illi virginem daturum, quod hoc foret ipsi accepturo periculorum et exitii causa. « Spondeo enim, aiebat, « me filiam meam ei collocaturum in matrimonium, si « sexcenta hostium capita mihi adducat. Nam ille, et quod « præmium adeo præclarum ipsi propositum esset, volens « que ex opere periculoso et incredibili gloriam adipisci, « ad rem quidem aggrediendam properabit; erit autem ut « a Palæstinis perimatur, et *sic* mihi pulcre procedent quæ « in illum molior. Ab eo enim liberabor, quum ipsum per « alios et non propria manu interfecero ». Jubet itaque domesticis ut Davidis mentem explorent, quomodo se

ἔχει πρὸς τὸ γῆμαι τὴν κόρην. Οἱ δ' ἤρξαντο διαλέγεσθαι πρὸς αὐτὸν, ὅτι στέργοι μὲν αὐτὸν ὁ βασιλεὺς Σάουλος καὶ ὁ λαὸς ἅπας, βούλεται δ' αὐτῷ κηδεῦσαι τὴν θυγατέρα. Ὁ δὲ, « μικρὸν ἆρ' ὑμῖν, εἶπε, δοκεῖ « γαμβρὸν γενέσθαι βασιλέως; ἐμοὶ δ' οὐχὶ τοιοῦτον « φαίνεται, καὶ μάλιστα ὄντι ταπεινῷ καὶ δόξης καὶ « τιμῆς ἀμοίρῳ ». Σάουλος δὲ, ἀγγειλάντων αὐτῷ τῶν οἰκετῶν τὰς τοῦ Δαυΐδου ἀποκρίσεις, « οὐ χρημάτων, ἔφη, « δεῖσθαί με φράζετε αὐτῷ οὐδὲ ἕδνων, (ἀπεμπολᾶν « γάρ ἐστι τοῦτο τὴν θυγατέρα μᾶλλον ἢ συνοικίζειν,) « γαμβροῦ δ' ἀνδρείαν ἔχοντος καὶ τὴν ἄλλην ἀρετὴν « ἅπασαν, ἣν ὁρᾶν ὑπάρχουσαν αὐτῷ. Βούλεσθαι δή « μοι παρ' αὐτοῦ λαβεῖν ἀντὶ τοῦ γάμου τῆς θυγατρὸς « οὐ χρυσὸν οὐδ' ἄργυρον, οὐδ' ὅπως ταῦτ' ἐκ τῶν τοῦ « πατρὸς οἰκίων κομίσῃ, Παλαιστίνων δὲ τιμωρίαν καὶ « κεφαλὰς αὐτῶν ἑξακοσίας. Αὐτῷ τε γὰρ ἐμοὶ τού« των οὐδὲν ἂν οὔτε προτιμότερον οὔτε λαμπρότερον « δῶρον γένοιτο, τῇ τε παιδί μου πολὺ τῶν νενομισμέ« νων ἕδνων ζηλωτότερον τὸ συνοικεῖν ἀνδρὶ τοιούτῳ « καὶ μαρτυρουμένῳ τὴν τῶν πολεμίων ἧτταν. »

γ'. Κομισθέντων δὲ τούτων πρὸς τὸν Δαυΐδην τῶν λόγων, ἡσθεὶς ἐπὶ τῷ τὸν Σάουλον ἐσπουδακέναι αὐτοῦ περὶ τὴν συγγένειαν, οὐδὲ βουλεύσασθαι περιμείνας, οὐδ' εἰ δυνατὸν ἢ δύσκολόν ἐστι τὸ προκείμενον ἔργον τῷ λογισμῷ περινοήσας, ὥρμησεν εὐθὺς μετὰ τῆς ἑταιρίας ἐπὶ τοὺς πολεμίους καὶ τὴν ὑπὲρ τοῦ γάμου κατηγγελμένην πρᾶξιν, καὶ (ὁ Θεὸς γὰρ ἦν ὁ πάντα ποιῶν εὐμαρῆ καὶ δυνατὰ τῷ Δαυΐδῃ) κτείνας πολλοὺς καὶ κεφαλὰς ἑξακοσίων ἀποτεμὼν ἦκε πρὸς τὸν βασιλέα, διὰ τῆς τούτων ἀποδείξεως τὸν ἀντὶ τούτων γάμον ἀπαιτῶν. Σάουλος δὲ οὐκ ἔχων ἀναφυγεῖν ἐκ τῶν ὑπεσχημένων, (αἰσχρὸν γὰρ ὑπελάμβανεν ἢ ψεύσασθαι δοκεῖν, ἢ δι' ἐπιβουλὴν, ἵν' ἀδυνάτοις ἐπιχειρῶν ὁ Δαυΐδης ἐπαποθάνῃ, τὸν γάμον ἐπηγγέλθαι,) δίδωσιν αὐτῷ τὴν θυγατέρα, Μιχάλαν ὀνόματι.

ΚΕΦ. ΙΑ'.

Ἔμελλε δὲ οὐκ ἐπὶ πολὺ τοῖς γεγενημένοις ἐμμενεῖν Σάουλος ἄρα. Ὁρῶν γὰρ τὸν Δαυΐδην παρὰ τῷ Θεῷ καὶ παρὰ τοῖς ὄχλοις εὐδοκιμοῦντα κατέδεισε, καὶ τὸν φόβον οὐκ ἔχων ἀποκρύψασθαι περὶ μεγάλων ὄντα, βασιλείας τε καὶ ζωῆς, ὧν καὶ θατέρου στερηθῆναι συμφορὰ δεινὴ, κτείνειν τὸν Δαυΐδην διεγνώκει, καὶ προστάσσει τὴν ἀναίρεσιν αὐτοῦ Ἰωνάθῃ τε τῷ παιδὶ καὶ τοῖς πιστοτάτοις τῶν οἰκετῶν. Ὁ δὲ τὸν πατέρα τῆς ἐπὶ τῷ Δαυΐδῃ μεταβολῆς θαυμάσας, οὐκ ἐπὶ μετρίοις ἀπὸ τῆς πολλῆς εὐνοίας, ἀλλ' ἐπὶ θανάτῳ γενομένης, καὶ τὸν νεανίσκον ἀγαπῶν καὶ τὴν ἀρετὴν αὐτοῦ καταιδούμενος, λέγει πρὸς αὐτὸν τὸ τοῦ πατρὸς ἀπόρρητον καὶ τὴν προαίρεσιν, συμβουλεύει μέντοι φυλάσσεσθαι γενόμενον ἐκποδὼν τὴν ἐπιοῦσαν ἡμέραν. Αὐτὸς γὰρ ἀσπάσεσθαι τὸν πατέρα καὶ τοῦ καιροῦ παραφανέντος αὐτῷ διαλεχθήσεσθαι περὶ αὐτοῦ, καὶ τὴν αἰτίαν μαθήerga puellæ conjugium habeat. Illi vero ad ipsum verba facere cœperunt, quod Saulus quidem rex cum populo universo eum amore prosequatur, velletque ei filiam suam connubio jungere. At ille respondebat, « num vos igitur « parvi ducitis regis fieri generum? mihi vero non ita « esse videtur, præsertim quum homo tenuis sim gloriæque « et honoris expers ». Saulus autem, quum ei domestici retulissent Davidis responsa, dicebat, « illi nunciate me « non pecuniis egere neque dote, (hoc enim esset filiam « vendere potius quam elocare,) sed genero qui fortitudine « et aliis omnibus virtutibus præcellat, quas me in ipso « videre. Velle itaque me ab eo pro filiæ nuptiis accipere, « non aurum aut argentum, neque ut hæc e paternis ædi« bus afferat, sed Palæstinorum supplicium et sexcenta il« lorum capita. Nam et mihi ipsi nullum aliud munus « hisce splendidius aut præstabilius potest accidere, atque « filiæ meæ dote legitima et usitata multo optabilius est, « cum tali viro matrimonium inire, et qui victoriæ de « hostibus reportatæ afferat testimonium. »

4. Hæc postquam verba Davidi nunciata sunt, eo delectatus, quod Saulus studuerit ipsum sibi cognatione conjungere, antequam se in consilium adhibuerit, aut secum animo reputaverit, an res proposita facile fieri possit necne, statim ad hostes cum sodalibus suis contendit, et ad opus sibi pro nuptiis denunciatum aggreditur, atque (Deus enim erat qui fecit ut Davidi cuncta facilia essent et possibilia) cæsis plurimis, abscissisque sexcentorum capitibus, ad regem revertebatur, ob ea in conspectum ejus adducta nuptias pro illis postulans. Saulus autem nihil habens quod obtenderet cur promissis non staret, (turpe enim ducebat ut aut quidquam mentitus videretur, aut nuptias ex insidiis pollicitus, ut Davides, factu difficillima adeundo, se morti objiceret,) ei filiam, Michalam nomine, nuptum locat.

CAP. XI. (XII.)

Attamen non erat ut Saulus diu his factis acquiesceret. Nam quum videret Davidem gratia tum apud Deum florere tum apud populum, *sibi ipsi* metuit, et quum metum occultare et dissimulare non valeret, utpote de rebus magnis, regno simul et vita, quorum vel altero privari gravis *est* calamitas, Davidem interficere in animum induxit, Jonathæque filio et domesticorum fidissimis in mandatis dedit ut eum tollerent. Ille vero demiratus quod de Davide adeo animum mutaverit, ut non solum, quum ipsi valde benevolus exstitisset, leviter eum læsurus, sed morte affecturus esset, ex amore erga juvenem et virtutis ejus reverentia prodit ei patris arcanum et propositum, et ei consulit sibi cavere, postridie semet e conspectu subducendo. Se enim patrem salutationis specie aditurum, et occasione oblata de ipso cum eo collocuturum, foreque ut causam *indignationis*

σεσθαι καὶ ταύτην ἐκφαυλίσειν, ὡς οὐ δεῖν ἐπ' αὐτῇ κτείνειν τοσαῦτα μὲν ἀγαθὰ τὸ πλῆθος ἐργασάμενον, εὐεργέτην δὲ αὐτοῦ γεγενημένον, δι' ἃ καὶ συγγνώμην ἂν ἐπὶ τοῖς μεγίστοις ἁμαρτήμασιν εἰκότως ἤρατο. Δηλώσω δέ σοι τὴν τοῦ πατρὸς γνώμην. Δαυίδης δὲ πεισθεὶς συμβουλίᾳ χρηστῇ ὑπεξίσταται τῆς τοῦ βασιλέως ὄψεως.

(ΙΓ'.) β'. Τῇ δ' ἐπιούσῃ πρὸς τὸν Σάουλον Ἰωνάθης ἐλθὼν ὡς ἱλαρόν τε καὶ χαίροντα κατέλαβεν, ἤρξατο λόγους αὐτῷ περὶ τοῦ Δαυίδου προσφέρειν. « Τί κατα-
« γνοὺς αὐτοῦ μικρὸν ἢ μεῖζον ἀδίκημα, ὦ πάτερ, προσ-
« έταξας ἀνελεῖν ἄνδρα, μέγα μὲν αὐτῷ πρὸς σωτη-
« ρίαν ὄφελος γεγενημένον, μεῖζον δὲ πρὸς τὴν Παλαι-
« στίνων τιμωρίαν, ὕβρεως δὲ καὶ χλευῆς ἀπαλλάξαντα
« τῶν Ἑβραίων λαὸν, ἣν ἐπὶ τεσσαράκοντα ἡμέρας
« ὑπέμεινε, μόνος τολμῶν ὑποστῆναι τὴν τοῦ πολεμίου
« πρόκλησιν, καὶ μετὰ ταῦτα κομίσαντα μὲν ὅσας ἐπε-
« τάχθη κεφαλὰς τῶν ἐχθρῶν, λαβόντα δ' ἐπὶ τούτῳ
« γέρας τὴν ἐμὴν ἀδελφὴν πρὸς γάμον· ὡς ἂν ἀλγεινό-
« τερος αὐτοῦ γένοιθ' ἡμῖν ὁ θάνατος οὐ διὰ τὴν ἀρετὴν
« αὐτοῦ μόνον, ἀλλὰ καὶ διὰ τὴν συγγένειαν. Συναδι-
« κεῖται γὰρ αὐτοῦ τῷ θανάτῳ καὶ ἡ σὴ θυγάτηρ, γη-
« ρείαν πρὶν ἢ τῆς συμβιώσεως εἰς ὄνησιν ἐλθεῖν μέλ-
« λουσα πειράζειν. Ταῦτα λογισάμενος μεταβαλοῦ πρὸς
« τὸ ἡμερώτερον καὶ μηδὲν ποιήσῃς κακὸν ἄνδρα πρῶ-
« τον μὲν ἡμᾶς εὐεργεσίαν μεγάλην εὐεργετήσαντα τὴν
« σὴν σωτηρίαν, ὅτε σοι τοῦ πονηροῦ πνεύματος καὶ
« τῶν δαιμονίων ἐγκαθεζομένων τὰ μὲν ἐξέβαλεν, εἰ-
« ρήνην δὲ ἀπ' αὐτῶν τῇ ψυχῇ σου παρέσχε· δευτέραν δὲ
« τὴν ἀπὸ τῶν πολεμίων ἐκδικίαν· αἰσχρὸν γὰρ τούτων
« ἐπιλελῆσθαι. » Τούτοις παρηγορεῖται τοῖς λόγοις Σάουλος, καὶ μηδὲν ἀδικήσειν τὸν Δαυίδην ὄμνυσι τῷ παιδί· κρείττων γὰρ ὀργῆς καὶ φόβου ὁ δίκαιος λογισμός. Ἰωνάθης δὲ μεταπεμψάμενος τὸν Δαυίδην σημαίνει τε αὐτῷ χρηστὰ καὶ σωτήρια τὰ παρὰ τοῦ πατρὸς, ἄγει δὲ πρὸς αὐτὸν, καὶ παρέμενε τῷ βασιλεῖ Δαυίδης ὥσπερ ἔμπροσθεν.

γ'. Κατὰ δὲ τοῦτον τὸν καιρὸν τῶν Παλαιστίνων στρατευσαμένων πάλιν ἐπὶ τοὺς Ἑβραίους, πέμπει μετὰ στρατιᾶς τὸν Δαυίδην πολεμήσοντα τοῖς Παλαιστίνοις. Καὶ συμβαλὼν πολλοὺς αὐτῶν ἀπέκτεινε καὶ νικήσας ἐπάνεισι πρὸς τὸν βασιλέα. Προσδέχεται δ' αὐτὸν ὁ Σάουλος, οὐχ ὡς ἤλπισεν ἀπὸ τοῦ κατορθώματος, ἀλλ' ὑπὸ τῆς εὐπραγίας αὐτοῦ λυπηθείς, ὡς ἐπισφαλέστερος αὐτὸς ἐκ τῶν ἐκείνου πράξεων γινόμενος. Ἐπεὶ δὲ πάλιν προσελθὼν αὐτὸν τὸ δαιμόνιον ἐθορύβει πνεῦμα καὶ συνετάραττε, καλέσας εἰς τὸ δωμάτιον, ἐν ᾧ κατέκειτο, κατέχων τὸ δόρυ προσέταξε τῷ ψαλμῷ καὶ τοῖς ὕμνοις ἐξᾴδειν αὐτόν. Ἐκείνου δὲ τὰ κελευσθέντα ποιοῦντος, διατεινάμενος ἀκοντίζει τὸ δόρυ. Καὶ τὸ μὲν προϊδόμενος ὁ Δαυίδης ἐξέκλινε, φεύγει δὲ εἰς τὸν οἶκον τὸν αὐτοῦ καὶ δι' ὅλης ἔμεινεν ἡμέρας αὐτόθι.

δ'. Νυκτὸς δὲ πέμψας ὁ βασιλεὺς ἐκέλευσεν αὐτὸν

cognoscat, eamque verbis extenuet, quod scilicet non oporteat ob istiusmodi rem illum occidere, qui tot beneficiis populum quidem affecerit, de ipso vero præclare meruerit, adeoque, si quammaxime peccasset, veniam jure consequi debeat. At ego te de patris animo certiorem faciam. Itaque Davides, bono consilio obsequutus, a regis ore oculisque concessit.

(XIII.) 2. Proxima autem die Jonathas ad Saulum profectus, quum eum hilarem et gaudio perfusum offendisset, cœpit de Davide apud ipsum orationem habere. « Ecquod peccatum,
« parvum magnumve, o pater, commissum esse arbitratus
« es, ut jusseris interfici virum, qui multum quidem tibi
« ipsi in salutem profuerit, magis vero contulerit ut res
« Palæstinis in supplicium cederent; porroque Hebræorum
« populum contumeliis et derisione, quam per quadraginta
« dies pertulerunt, liberarit, quum solus hosti provo-
« canti semet opponere ausus fuerit, et qui post hæc retulerit
« tot hostium capita quot ei imperata erant, præmium vero
« sororem meam in matrimonium acceperit, adeo ut mors
« ejus nobis eo magis luctuosa futura sit, non solum ipsius
« ob virtutem, sed et propter necessitudinem quæ ei nobi-
« scum intercedit. Ejus quippe ex interitu injuriam una
« patitur filia tua, quæ, priusquam ex sociali vitæ consue-
« tudine fructus perceperit, viduitatem expertura est. Hæc
« tecum reputando sine te ad mitiora flecti, nihilque ei mali
« inferas, qui primum quidem nobis magnum beneficium
« præstitit tuæ salutis, quando, quum tibi malî spiritus et
« dæmones insiderent, illos quidem ejecerit, tuæ autem
« animæ ab iis liberatæ tranquillitatem restituerit, deinde
« vero hostes vindicta fuerit persequutus : nam opprobrio
« tibi erit horum oblivisci. » Hisce sermonibus Saulus delinitur, juratque filio se nullam Davidi facturum injuriam. Iram enim metumque vicit justa ratiocinatio. Jonathas autem accersito ad se Davide indicat ei benigna et salutaria a patre, ipsumque ad eum adducit, atque apud regem remansit Davides, sicut antea.

3. Ceterum statim ab illo tempore, quum Palæstini adversus Hebræos copias iterum educerent, Davides cum exercitu mittitur, ut bellum Palæstinis jungeret. Ac congressus magna eos clade affecit, victorque reversus est ad regem. At non ita eum excipit Saulus, ut speraverat post rem feliciter administratam, sed prospero ejus successu mœstus, quasi ex rebus ab ipso gestis in regni discrimen veniret. Quum autem dæmonis spiritu correptus iterum agitaretur et conturbaretur, accitum in cubiculum, in quo decumbebat, hastam in manu tenens jussit citharæ pulsu et hymnis ipsum excantare. Illo vero jussa exsequente, hastam protensam in eum jaculatur. Atque Davides eam ictu præviso declinavit, et domum fuga se recipit, in eaque tota die permansit.

4. Noctu autem rex missis *lictoribus* mandat ut eum

ὄχρι τῆς ἕω φυλάττεσθαι, μὴ καὶ λάθῃ παντελῶς ἀφανὴς γενόμενος, ἵνα παραγενόμενος εἰς τὸ δικαστήριον καὶ κρίσει παραδοὺς ἀποκτείνῃ. Μιχάλα δὲ ἡ γυνὴ Δαυίδου, θυγάτηρ δὲ τοῦ βασιλέως, τὴν τοῦ πατρὸς μαθοῦσα διάνοιαν τῷ ἀνδρὶ παρίσταται δειλὰς ἔχουσα τὰς περὶ αὐτοῦ ἐλπίδας καὶ περὶ τῆς ἰδίας ψυχῆς ἀγωνιῶσα· οὐδὲ γὰρ αὐτὴν ζῆν ὑπομενεῖν ἐκείνου στερηθεῖσαν. « Καὶ μή σε, φησὶν, ἥλιος ἐνταυθοῖ καταλάβοι· οὐ γὰρ ἔτ' ὄψεταί σε. Φεῦγε δὲ, ὡς τοῦτό σοι δύναται παρασχεῖν ἡ παροῦσα νύξ, καὶ ποιήσεις δέ σοι ταύτην ὁ Θεὸς μακροτέραν. Ἴσθι γὰρ σαυτὸν, ἂν εὑρεθῇς ὑπὸ τοῦ πατρὸς, ἀπολούμενον. » Καὶ καθιμήσασα διὰ θυρίδος αὐτὸν ἐξέσωσεν. Ἔπειτα σκεπάσασα τὴν κλίνην ὡς ἐπὶ νοσοῦντι καὶ ὑποθεῖσα τοῖς περιβολαίοις ἧπαρ αἰγὸς, ἅμ' ἡμέρᾳ τοῦ πατρὸς αὐτῆς πέμψαντος ἐπὶ τὸν Δαυίδην, ὠχλῆσθαι διὰ τῆς νυκτὸς εἶπε τοῖς παροῦσιν, ἐπιδείξασα τὴν κλίνην κατακεκαλυμμένην καὶ τῷ πηδήματι τοῦ ἥπατος σαλεύοντος τὴν ἐπιβολὴν πιστωσαμένη τὸ κατακείμενον τὸν Δαυίδην ἀσθμαίνειν. Ἀπαγγειλάντων δὲ τῶν πεμφθέντων ὅτι γένοιτο διὰ τῆς νυκτὸς ἀσθενέστερος, ἐκέλευσεν οὕτως ἔχοντα κομισθῆναι· βούλεσθαι γὰρ αὐτὸν ἀνελεῖν. Ἐλθόντες δὲ καὶ ἀνακαλύψαντες τὴν κλίνην καὶ τὸ σόφισμα τῆς γυναικὸς εὑρόντες, ἀπήγγειλαν τῷ βασιλεῖ. Μεμφομένου δὲ τοῦ πατρὸς αὐτὴν ὅτι σώσειε μὲν τὸν ἐχθρὸν αὐτοῦ, κατασοφίσαιτο δ' αὐτὸν, ἀπολογίαν σκήπτεται πιθανήν. Ἀπειλήσαντα γὰρ αὐτὴν ἀποκτείνειν ἔφησε τυχεῖν ἐκ τοῦ δέους τῆς πρὸς τὸ σωθῆναι συνεργίας· ὑπὲρ ἧς συγγνῶναι καλῶς ἔχειν αὐτῇ, κατὰ ἀνάγκην, ἀλλὰ μὴ κατὰ προαίρεσιν γενομένης. Οὐ γὰρ οὕτως, ἔλεγεν, οἶμαι τὸν ἐχθρὸν ἐζήτεις ἀποκτεῖναι ὡς ἐμὲ σώζεσθαι. Καὶ συγγινώσκει μὲν τῇ κόρῃ Σάουλος, ὁ δὲ Δαυίδης ἐκφυγὼν τὸν κίνδυνον ἦκε πρὸς τὸν προφήτην Σαμούηλον εἰς Ἁρμαθὰν, καὶ τὴν ἐπιβουλὴν αὐτῷ τὴν τοῦ βασιλέως ἐξήλωσε, καὶ ὡς παρὰ μικρὸν ὑπ' αὐτοῦ τῷ δόρατι βληθεὶς ἀποθάνοι, μήτ' ἐν τοῖς πρὸς αὐτὸν κακὸς γενόμενος μήτ' ἐν τοῖς πρὸς τοὺς πολεμίους ἀγῶσιν ἀνανδρος, ἀλλ' ἐν ἅπασι μετὰ τοῦ Θεοῦ καὶ ἐπιτυχίας. Τοῦτο δ' ἦν αἴτιον Σαούλῳ τῆς πρὸς Δαυίδην ἀπεχθείας.

ε'. Μαθὼν δ' ὁ προφήτης τὴν τοῦ βασιλέως ἀδικίαν καταλείπει μὲν τὴν πόλιν Ἁρμαθὰν, ἀγαγὼν δὲ τὸν Δαυίδην ἐπί τινα τόπον, Γαλβαὰθ ὄνομα, ἐκεῖ διέτριβε σὺν αὐτῷ. Ὡς δ' ἀπηγγέλθη τῷ Σαούλῳ παρὰ τῷ προφήτῃ τυγχάνων ὁ Δαυίδης, πέμψας ὁπλίτας πρὸς αὐτὸν ἄγειν ἐκέλευσε συλλαβόντας. Οἱ δ' ἐλθόντες πρὸς τὸν Σαμούηλον καὶ καταλαβόντες προφητῶν ἐκκλησίαν τοῦ θείου μεταλαμβάνουσι πνεύματος καὶ προφητεύειν ἤρξαντο. Σάουλος δ' ἀκούσας ἄλλους ἔπεμψεν ἐπὶ τὸν Δαυίδην, κἀκείνων ταὐτὸ τοῖς πρώτοις παθόντων, πάλιν ἀπέστειλεν ἑτέρους· προφητευόντων δὲ καὶ τῶν τρίτων, τελευταῖον ὀργισθεὶς αὐτὸς ἐξώρμησεν. Ἐπεὶ δ' ἐγγὺς ἦν ἤδη, Σαμούηλος, πρὶν ἰδεῖν αὐτὸν, προφητεύειν ἐποίησεν. Ἐλθὼν δὲ πρὸς αὐτὸν Σάουλος ὑπὸ πολλοῦ πνεύματος ἐλαυνόμενος ἔκφρων γίνεται, καὶ

usque ad mane observarent, ne lateret omnino elapsus, ut in forum adductus et judicio traditus morte plectatur. At Michala, uxor Davidis, regis vero filia, quum quod patri erat in animo intellexisset, ad maritum accedit, de ipso inter spem metumque dubia, et de sua vita etiam admodum sollicita, ut quæ nec ipsa vivere sustineret illo orbata. « Cave, inquit, ne te sol hic loci offendat; ita enim erit ut te non amplius aspiciat. Fuge autem qua per noctis hujus tenebras licet, easque tibi producat Deus. Scito enim te, si deprehensus fueris, patris manibus periturum esse. » Atque quum per fenestram eum demisisset, a periculo conservavit. Deinde quum lectum contexisset, quasi propter ægrotantem, et stragulis capræ jecur subjecisset, prima luce quum pater illius ad Davidem misisset, dicebat, se totam noctem inquietam exegisse, lecto operto illis qui aderant ostenso, fideque commento suo facta, dum jecur moveretur, id quod jacebat esse Davidem anhelantem. Ubi vero a *nunciis* missis relatum erat quod per noctem male se haberet, jussit ut eum utcunque laborantem sibi afferrent; se enim velle illum perimere. Illi vero reversi, quum et lectum retexissent et fraudem a muliere compositam deprehendissent, ad regem rem detulerunt. Patre autem ipsam reprehendente, quod ejus quidem servaverit inimicum, ipsum vero deceperit, excusationem commenta est verisimilem. Mortem enim ei comminatum dixit metu extorsisse, ut sua ad semet conservandum opera uteretur: quamobrem ei debere ignosci, quod necessitate adacta et non sponte opem tulerit, adjiciebatque, « non enim puto te adeo inimici neci studere ac meæ saluti. « Et Saulus quidem puellæ ignoscit. Davides vero, quum fuga evasisset, Armatham ad Samuelum prophetam se contulit, eique insidias sibi a rege factas exposuit, quodque parum abfuerit quin mortem obiret ab ipso hasta trajectus, adeoque quum nec in eum mali quidquam patrasset, nec in pugnis cum hoste minus strenue se gessisset, sed in omnibus cum Dei auspiciis feliciterque egisset. Hæc Saulo odii in Davidem causa erat.

5. Propheta autem, quum intellexisset quam inique cum eo ageret rex, urbem quidem Armatham relinquit, secum vero ducto Davide in locum quendam Galbaath nominatum, illic cum eo aliquamdiu morabatur. Ut vero Saulo nunciatum est Davidem apud prophetam esse, nunciis missis in mandatis dedit ut eum comprehensum ad ipsum adducerent. Illi vero, quum ad Samuelum pervenissent et in prophetarum cœtum incidissent, Dei spiritu afflantur et vaticinari coperunt. Hoc vero ubi Saulus acceperat, alios misit ad Davidem capiendum, ac quum illis idem quod prioribus accidisset, alios denuo summittebat. At tertiis similiter vaticinantibus, tandem irarum plenus ipse eo properavit. Postquam vero propius jam aberat, Samuelus, antequam in conspectum veniret, fecit ut ille prophetam ageret. Quum vero Saulus ad ipsum pervenisset, vehementi spiritu agitatus non am-

τὴν ἐσθῆτα περιδύσας αὐτὸν, καταπεσὼν ἔκειτο δι' ὅλης ἡμέρας τε καὶ νυκτὸς, Σαμουήλου τε καὶ Δαυίδου βλεπόντων.

ς'. Ἰωνάθης δὲ ὁ Σαούλου παῖς, ἀφικομένου πρὸς αὐτὸν ἐκεῖθεν Δαυίδου, καὶ περὶ τῆς τοῦ πατρὸς ἀποδυρομένου ἐπιβουλῆς, καὶ λέγοντος ὡς οὐδὲν ἀδικήσας οὐδ' ἐξαμαρτὼν σπουδάζοιτο ὑπὸ τοῦ πατρὸς αὐτοῦ φονευθῆναι, μήτε αὐτῷ τοῦθ' ὑπονοοῦντι πιστεύειν παρεκάλει μήτε τοῖς διαβάλλουσιν, εἴ τινες ἄρα εἰσὶν οἱ τοῦτο πράττοντες, ἀλλ' αὐτῷ προσέχειν καὶ θαρρεῖν· μηδὲν γὰρ τοιοῦτον ἐπ' αὐτῷ φρονεῖν τὸν πατέρα. Φράσαι γὰρ ἂν αὐτῷ περὶ τούτου καὶ σύμβουλον παραλαβεῖν, τῇ κοινῇ γνώμῃ καὶ τἄλλα πράττοντα. Ὁ δὲ ὤμνυεν ἥ μὴν οὕτως ἔχειν, καὶ πιστεύοντ' ἠξίου προνοεῖν αὐτοῦ μᾶλλον ἢ καταφρονοῦντ' ἐπ' ἀληθέσι τοῖς λόγοις· τὸ δ' ἀληθὲς ὑπολαβεῖν, ὅταν ἢ θεάσηται πεφονευμένον αὐτὸν ἢ πύθηται. Μὴ λέγειν δ' αὐτῷ τὸν πατέρα περὶ τούτων ἔφασκεν, εἰδότα τὴν πρὸς αὐτὸν φιλίαν καὶ διάθεσιν.

ζ'. Λυπηθεὶς δ' ἐφ' οὕτω πιστωσαμένῳ τὴν τοῦ Σαούλου προαίρεσιν Ἰωνάθης ἐπηρώτα τίνος ἐξ αὐτοῦ βούλεται τυχεῖν. Ὁ δὲ, « οἶδα γὰρ, ἔφη, πάντα σε « χαρίζεσθαί μοι καὶ παρέχειν ἐθέλοντα. Νουμηνία « μὲν εἰς τὴν ἐπιοῦσάν ἐστιν· ἔθος δ' ἔχω δειπνεῖν σὺν « τῷ βασιλεῖ καθήμενος. Εἰ δή σοι δοκεῖ, πορευθεὶς « ἔξω τῆς πόλεως ἐν τῷ πεδίῳ, λανθάνων διαμενῶ. Σὺ « δ' ἐπιζητήσαντος αὐτοῦ λέγε πορευθῆναί με εἰς τὴν « πατρίδα Βηθλεέμην, ἑορτὴν μου τῆς φυλῆς ἀγούσης, « προστιθεὶς ὅτι σύ μοι συγκεχώρηκας. Κἂν μὲν, οἷον « εἰκὸς καὶ σύνηθές ἐστι λέγειν ἐπὶ φίλοις ἀποδημοῦσιν, « ἐπ' ἀγαθῷ βεβάδικεν, εἴπῃ, ἴσθι μηδὲν ὕπουλον παρ' « αὐτοῦ εἶναι μηδ' ἐχθρόν· ἂν δ' ὡς ἄλλως ἀποκρίνη- « ται, τοῦτ' ἔσται τεκμήριον τῶν κατ' ἐμοῦ βεβουλευ- « μένων. Μηνύσεις δέ μοι τὴν διάνοιαν τὴν τοῦ πα- « τρὸς, οἵκτῳ τε νέμων τοῦτο καὶ φιλίᾳ, δι' ἣν πί- « στεις τε παρ' ἐμοῦ λαβεῖν ἠξίωκάς αὐτός τε ἐμοὶ « δοῦναι δεσπότης ὢν οἰκέτῃ σῷ. Εἰ δ' εὑρίσκεις τι ἐν « ἐμοὶ πονηρὸν, αὐτὸς ἄνελε καὶ φθάσον τὸν πατέρα. »

η'. Πρὸς δὲ τὸ τελευταῖον δυσχεράνας τῶν λόγων Ἰωνάθης ποιήσειν ταῦτ' ἐπηγγείλατο, κἄν τι σκυθρωπὸν ὁ πατὴρ αὐτοῦ καὶ τὴν ἀπέχθειαν ἐμφανίζον ἀποκρίνηται, μηνύειν. Ἵνα δ' αὐτῷ θαρρῇ μᾶλλον, ἐξαγαγὼν αὐτὸν εἰς ὕπαιθρον καὶ καθαρὸν ἀέρα οὐδὲν παρήσειν ὑπὲρ τῆς Δαυίδου σωτηρίας ὤμνυε. « Τὸν γὰρ « Θεὸν, εἶπε, τοῦτον, ὃν πολὺν ὁρᾷς καὶ πανταχοῦ κε- « χυμένον, καὶ πρὶν ἑρμηνεῦσαί με τοῖς λόγοις τὴν διά- « νοιαν ἤδη μου ταύτην εἰδότα, μάρτυρα ποιοῦμαι τῶν « πρὸς σὲ συνθηκῶν, ὡς οὐκ ἀνήσω τὸν πατέρα πολλά- « κις αὐτοῦ τῆς προαιρέσεως διάπειραν λαμβάνων πρὶν « ἢ καταμαθεῖν εἴ τις ἐστὶ καὶ παρὰ τοῖς ἀπορρήτοις « αὐτοῦ τῆς ψυχῆς νόσος. Καταμαθὼν δ' οὐκ ἀπο- « κρύψομαι, καταμηνύσω δὲ πρὸς σὲ καὶ πρᾶον ὄντα « καὶ δυσμενῶς διακείμενον. Οἶδεν δὲ οὗτος ὁ Θεὸς « πῶς αὐτὸν εἶναι μετὰ σοῦ διὰ παντὸς εὔχομαι· ἔστι

plius suus esse videbatur, exutisque vestimentis toto die ac nocte tota humi stratus jacebat, inspectantibus Samuelo et Davide.

6. Quum autem Davides, illinc ad Jonatham Sauli filium profectus, de patris ejus insidiis conquereretur, diceretque ut pater ejus ipsi perimendo, nulla facta injuria aut peccato commisso, quammaxime studeat, *ille* eum obsecrabat ut neque suis de illo suspicionibus crederet, neque aliorum calumniis, si qui essent qui hujusmodi quid auderent, sed sibi animum adverteret et confideret : nihil enim tale in ipsum moliri patrem. Eum enim ipsi hoc fuisse indicaturum et in consilium adhibiturum, ut qui de communi sententia omnia ageret. Ille vero jurabat pro certo ita esse, rogabatque ut persuasus ipsius potius prospiceret saluti quam sermonis veritatem despectui haberet, et tum demum vera esse omnia existimaret, posteaquam ipsum exstinctum vel viderit vel audierit; adjiciebatque, nolle patrem de hisce quidquam cum eo communicare, quod norit qua in ipsum esset amicitia qualique affectu.

7. Jonathas autem tristis, quod ei adeo de Sauli proposito fidem fecerit, Davidem interrogabat num quid ab eo sibi fieri velit. Ille vero dicebat, « novi omnia te mihi con- « ferre meique in gratiam præstare velle. Equidem cras « novilunium agitur : soleo autem *eo die* cum rege accum- « bere ad epulas : quare, si ita tibi videtur, e civitate egres- « sus ruri latebo. At tu, si me requiret rex, dices me pe- « tiisse Bethleemen, patriam meam, quod tribus mea so- « lenne sacrum celebret, adjecto id permissu tuo factum. « Et si quidem, ut verisimile est et dici solet de amicis « peregre euntibus, dixerit, Fauste profectus est, scito « nihil ab eo agi dolose aut inimice. Sin vero aliter respon- « deat, hoc signo erit, quod aliquid in me animo agitaverit : « mihi autem renunciabis voluntatem patris, idque ex mise- « ricordia et amicitia, propter quam fidem a me accipere et « ipse dominus mihi servo tuo vicissim dare voluisti. Sed « si quid mali me commisisse senseris, tu me interficias et « patrem prævenias. »

8. Ceterum Jonathas verbis extremis ad indignationem adductus se quæ postulaverat facturum promittebat, et si quid asperius retulerit pater, et quod præ se ferat odium, se indicare velle. Ut vero ipsi magis confideret, ei in apertum educto purumque aerem jurejurando confirmat, se nihil non tentaturum quod Davidi in salutem esset. Aiebat enim, « Deum hunc, quem magnum esse animadvertis et per « omnia diffusum, quique priusquam verbis eloquar men- « tem meam jam novit, testem appello fœderis quod tecum « facio, me non cessaturum esse patris voluntatem modis « omnibus explorare, donec comperiam ecquid vitii in ani- « mæ ipsius involucris lateat. Quum vero ut se habeat intel- « lexero, id te non celabo, sed tibi indicabo, sive benignus « fuerit sive malevolus. Novit enim hic Deus ut ipsum tibi « propitium adesse perpetuo precor. Nam et nunc quidem te-

« μὲν γὰρ νῦν, καὶ οὐκ ἀπολείψει σε· ποιήσει δὲ τῶν « ἐχθρῶν, ἐάν τε ὁ πατὴρ ὁ ἐμὸς ἐάν τε ἐγὼ, χρείττο- « να. Σὺ μόνον μνημόνευε τούτων, κἂν ἀποθανεῖν μοι « γένηται, τὰ τέκνα μου σῶζε καὶ τὴν ὑπὲρ τῶν πα- « ρόντων μοι ἀμοιβὴν εἰς ἐκεῖνα κατάθου. » ταῦτ' ἐπο- μόσας ἀπολύει τὸν Δαυίδην, εἰς τινα τόπον ἀπελθεῖν τοῦ πεδίου φράσας, ἐν ᾧ γυμναζόμενος διετέλει. Γνοὺς γὰρ τὰ παρὰ τοῦ πατρὸς, ἤξειν πρὸς αὐτὸν ἔφησεν ἐκεῖ, μόνον ἐπαγόμενος παῖδα. « Κἂν τρία ἀκόντια βαλὼν ἐπὶ τὸν σκοπὸν κομίσαι τῷ παιδὶ προστάσσω τὰ ἀκόντια, (κεῖσθαι γὰρ ἔμπροσθεν αὐτοῦ,) γίνωσκε μηδὲν εἶναι φαῦλον παρὰ τοῦ πατρός· ἂν δὲ τἀναντία τούτων ἀκούσῃς μου λέγοντος, καὶ τὰ ἐναντία παρὰ τοῦ βασιλέως προσδόκα. Τῆς μέντοι γε ἀσφαλείας τεύξῃ παρ' ἐμοῦ, καὶ οὐδὲν μὴ πάθῃς ἄτοπον, ὅπως δὲ μνησθῇς τούτων παρὰ τὸν τῆς εὐπραγίας καιρὸν σκόπει καὶ τοῖς υἱοῖς μου γενοῦ χρήσιμος. » Δαυίδης μὲν οὖν ταύτας λαβὼν παρὰ Ἰωνάθου τὰς πίστεις, εἰς τὸ συγκείμενον ἀπηλ- λάγη χωρίον.

θ'. Τῇ δ' ἐρχομένῃ (νουμηνία δ' ἦν) ἀγνεύσας ὡς ἔθος εἶχεν ὁ βασιλεὺς ἦκεν ἐπὶ τὸ δεῖπνον. Καὶ παρακαθεσθέντων αὐτῷ τοῦ μὲν παιδὸς Ἰωνάθου ἐκ δε- ξιῶν, Ἀβεννήρου δὲ τοῦ ἀρχιστρατήγου ἐκ τῶν ἑτέρων, ἰδὼν τὴν τοῦ Δαυίδου καθέδραν κενὴν ἡσύχασεν, ὑπο- νοήσας οὐ καθαρεύσαντα αὐτὸν ἀπὸ συνουσίας ὑστε- ρεῖν. Ὡς δὲ καὶ τῇ δευτέρᾳ τῆς νουμηνίας οὐ πα- ρῆν, ἐπυνθάνετο παρὰ τοῦ παιδὸς Ἰωνάθου ὅ τι καὶ τῇ παρελθούσῃ καὶ ταύτῃ τοῦ δείπνου καὶ τῆς ἑστιάσεως ὁ τοῦ Ἰεσσαίου παῖς ἀπολέλειπται. Ὁ δὲ πεπορεῦσθαι κατὰ τὰς συνθήκας ἔφησεν αὐτὸν εἰς τὴν ἑαυτοῦ πατρίδα, τῆς φυλῆς ἑορτὴν ἀγούσης, ἐπιτρέ- ψαντος αὐτοῦ· παρακαλέσαι μέντοι καὶ τοῦτον ἐλθεῖν ἐπὶ τὴν θυσίαν. Κἂν συγχωρῇς, φησὶν, ἀπέρχομαι· τὴν γὰρ εὔνοιάν μου τὴν πρὸς αὐτὸν ἐπίστασαι. Τότε τὴν πρὸς Δαυίδην τοῦ πατρὸς Ἰωνάθης ἐπέγνω δυσ- μένειαν καὶ τρανῶς τὴν ὅλην αὐτοῦ βούλησιν εἶδεν. Οὐ γὰρ κατέσχε τῆς ὀργῆς Σάουλος, ἀλλὰ βλασφημιῶν ἐξ αὐτομόλων γεγεννημένον καὶ πολέμιον ἀπεκάλει, καὶ κοινωνὸν τοῦ Δαυίδου καὶ συνεργὸν ἔλεγε, καὶ μήτ' αὐτὸν αἰδεῖσθαι μήτε τὴν μητέρα αὐτοῦ ταῦτα φρονοῦντα, καὶ μὴ βουλόμενον πεισθῆναι τοῦθ', ὅτι μέ- χρις οὗ περίεστι Δαυίδης ἐπισφαλῶς αὐτοῖς τὰ τῆς βασιλείας ἔχει. Μετάπεμψαι τοιγαροῦν αὐτὸν, ἔφησεν, ἵνα δῷ δίκην. Ὑποτυχόντος δ' Ἰωνάθου, τί δ' ἀδι- κοῦντα κολάσασθαι θέλεις; οὐκέτ' εἰς λόγους καὶ βλα- σφημίας τὴν ὀργὴν ὁ Σάουλος ἐξήνεγκεν, ἀλλ' ἁρπά- σας τὸ δόρυ ἀνεπήδησεν εἰς αὐτὸν ἀποκτεῖναι θέλων. Καὶ τὸ μὲν ἔργον οὐκ ἔδρασε διακωλυθεὶς ὑπὸ τῶν φίλων, φανερὸς δ' ἐγένετο τῷ παιδὶ μισῶν τὸν Δαυίδην καὶ διαχρήσασθαι ποθῶν, ὡς παρὰ μικρὸν δι' ἐκεῖνον αὐτόχειρα καὶ τοῦ παιδὸς γεγονέναι.

ι'. Καὶ τότε μὲν ὁ τοῦ βασιλέως παῖς ἐκπηδήσας ἀπὸ τοῦ δείπνου καὶ μηδὲν ὑπὸ λύπης προσενέγκασθαι ξυνηθεὶς, κλαίων ἑαυτὸν μὲν τοῦ παρὰ μικρὸν ἀπολέ-

« cum est, et te non destituet, facietque, sive pater meus sive « ego tibi adverser, ut superior inimicis discedas. Tu horum « duntaxat memor esto, et, si me mori contigerit, liberos « meos serva, et gratiam mihi pro hisce debitam illis refer. » Quum in hæc jurasset, Davidem dimittit, jussum in certum agri locum secedere, in quo sese exercere solebat. Cognito enim patris animo, venturum se illuc dixit, puero solum secum adducto. « Et si, tribus jaculis ad scopum emissis, puero jussero ut illa petat, (fore enim ut ante ipsum jaceant,) pro certo nosce nihil triste a patre *metuendum* esse : quodsi contraria me dicere audieris, contraria similiter a rege exspecta. Verumtamen ego securitati tuæ prospiciam, et nihil mali patieris : tu vero, quum lætiora advenerint tempora, fac horum memineris, curaque ut liberis meis prosis. » Et Davides quidem, quum hanc fidem a Jonatha accepisset, in locum constitutum discessit.

9. Die vero sequenti (erat enim novilunium) rex, quum sese pro more purificasset, venit ad convivium. Quumque ei filius quidem Jonathas a dextris assideret, Abennerus vero legatus exercitus a sinistris, videns Davidis locum vacare tacuit, suspicatus ideo eum abesse quod a coitu non esset purus. Postquam autem postridie novilunii non adesset, quærebat ab Jonatha filio, qua de causa Jessæi filius tam pridie quam eo die a convivio et cœna abfuerit. Ille vero respondit eum ipsius permissu in patriam, ut convenerat, concessisse, tribu *sua* festum solenne agente : quin etiam ipsum ad sacrificium invitasse. Et si mihi, inquit, veniam dederis, eo proficiscor : nosti enim meam erga illum benevolentiam. Tunc deprehendit Jonathas quam infesto pater ipsius in Davidem esset animo, et voluntatem ejus plane perspectam habuit. Haud enim ab ira temperabat Saulus, sed convicia projiciens, a profugis natum hostemque appellabat, et socium Davidis adjutoremque esse dicebat; et neque ipsum revereri neque matrem suam dum ista cogitaret : nolleque hoc sibi persuasum habere, regnum ipsis parum tutum esse, quam diu supersit Davides. Arcesse igitur eum, inquit, ut supplicium luat. Quum vero Jonathas subjiceret, « quid commisit, ut tanta illum puniendi te incesseret cupido? » non amplius Saulus verbis probrisque iram exprompsit, sed arrepta hasta in ipsum insiluit, necem ei decernens. Et facinus quidem non perpetravit, ab amicis impeditus, verum jam filio haud dubium erat quin Davidem odio prosequeretur, eumque interficere desideraret, quum parum abfuerit a filio etiam propter illum manu sua perimendo.

10. Et tunc quidem regis filius e convivio se proripiens, ut qui præ mœrore cibum capere non potuerit, noctem fletu egit insomnem, quod et ipse de vita sua periclitatus fuerit,

σθαι, τοῦ κατακεκρίσθαι δ' ἀποθανεῖν Δαυίδην, διενυκτέρευσεν. Ἅμα δὲ ἡμέρᾳ πρὸ τῆς πόλεως εἰς τὸ πεδίον ὡς γυμνασόμενος μὲν, δηλώσων δὲ τῷ φίλῳ τὴν τοῦ πατρὸς διάθεσιν, ὡς συνέθετο, πρόεισι. Ποιήσας δὲ ὁ Ἰωνάθης τὰ συγκείμενα τὸν μὲν ἑπόμενον ἀπολύει εἰς τὴν πόλιν παῖδα, ὁ δ' ἐν ἐρημίᾳ τῷ Δαυίδῃ παρῆλθεν εἰς ὄψιν αὐτῷ καὶ λόγους. Ἀναφανεὶς δ' οὗτος πίπτει πρὸ τῶν Ἰωνάθου ποδῶν, καὶ προσκυνῶν σωτῆρα αὐτοῦ τῆς ψυχῆς ἀπεκάλει. Ἀνίστησι δ' ἀπὸ τῆς γῆς αὐτὸν, καὶ περιπλακέντες ἀλλήλοις μακρά τε ἠσπάζοντο καὶ δεδακρυμένα, τήν τε ἡλικίαν ἀποθρηνοῦντες αὐτῶν καὶ τὴν ἐφθονημένην ἑταιρίαν καὶ τὸν μέλλοντα διαχωρισμὸν, ὃς οὐδὲν αὐτοῖς ἐδόκει θανάτου διαφέρειν. Μόλις δ' ἐκ θρήνων ἀνανήψαντες καὶ μεμνῆσθαι τῶν ὅρκων ἀλλήλοις παρακελευσάμενοι διελύθησαν.

ΚΕΦ. ΙΒ'.

Δαυίδης δὲ φεύγων τὸν βασιλέα καὶ τὸν ἐξ αὐτοῦ θάνατον εἰς Ναβᾶν παραγίνεται πόλιν πρὸς Ἀχιμέλεχον τὸν ἱερέα, ὃς ἐπὶ τῷ μόνον ἥκοντα ἰδεῖν καὶ μήτε φίλον σὺν αὐτῷ μήτ' οἰκέτην παρόντα ἐθαύμασε, καὶ τὴν αἰτίαν τοῦ μηδένα εἶναι σὺν αὐτῷ μαθεῖν ἤθελεν. Ὁ δὲ πρᾶξιν ἀπόρρητον ἐπιταγῆναι πρὸς τοῦ βασιλέως ἔφησεν, εἰς ἣν συνοδίας αὐτῷ [βουλομένης μαθεῖν] οὐκ ἔδει. Τοὺς μέντοι θεράποντας εἰς τόνδε μοι τὸν τόπον ἀπαντᾶν προσέταξα. Ἠξίου δὲ λαβεῖν ἐφόδια. Φίλου γὰρ αὐτὸν ποιήσειν ἔργον παρασχόντα καὶ πρὸς τὸ προκείμενον συλλαμβανομένου. Τυχὼν δὲ τούτων ᾔτει καὶ ὅπλον τι μετὰ χεῖρας, ῥομφαίαν ἢ δοράτιον. Παρῆν δὲ καὶ Σαούλου δοῦλος γένος μὲν Σύρος, Δώηκος δ' ὄνομα, τὰς τοῦ βασιλέως ἡμιόνους νέμων. Ὁ δ' ἀρχιερεὺς ἔχειν μὲν αὐτὸς οὐδὲν εἶπέ τι τοιοῦτον, εἶναι δὲ τὴν Γολιάθου ῥομφαίαν, ἣν ἀποκτείνας τὸν Παλαιστῖνον αὐτὸς ἀναθείη τῷ Θεῷ.

β'. Λαβὼν δὲ ταύτην ὁ Δαυίδης ἔξω τῆς τῶν Ἑβραίων χώρας εἰς Γίτταν διέφυγε τὴν Παλαιστίνων, ἧς Ἄγχους ἐβασίλευεν. Ἐπιγνωσθεὶς δὲ ὑπὸ τῶν τοῦ βασιλέως οἰκετῶν καὶ φανερὸς αὐτῷ γενόμενος, μηνυόντων ἐκείνων ὅτι Δαυίδης ὁ πολλὰς ἀποκτείνας Παλαιστίνων μυριάδας εἴη, δείσας μὴ πρὸς αὐτοῦ θάνῃ καὶ τὸν κίνδυνον ὃν ἐξέφυγε παρὰ Σαούλου παρ' ἐκείνου πειραθῇ, προσποιεῖται μανίαν τε καὶ λύσσαν, ὡς ἀφρὸν κατὰ τοῦ στόματος αὐτοῦ φερόμενον, καὶ τὰ ἄλλα δὲ ὅσα συνίστησι μανίας πίστιν παρὰ τῷ Γιττῶν βασιλεῖ γεγενῆσθαι τῆς νόσου. Καὶ τοῖς οἰκέταις προσδυσχεράνας ὡς ἔκφρονα πρὸς αὐτὸν ἀγάγοιεν ἄνθρωπον, ἐκέλευσε τὸν Δαυίδην ὡς τάχος ἐκβαλεῖν.

γ'. Διασωθεὶς δὲ οὕτως ἐκ τῆς Γίττης, εἰς τὴν Ἰούδα παραγίνεται φυλήν. Καὶ ἐν τῷ πρὸς Ἀδουλλάμῃ πόλει σπηλαίῳ διατρίβων πέμπει πρὸς τοὺς ἀδελφοὺς δηλῶν αὐτοῖς ἔνθα εἴη. Οἱ δὲ μετὰ πάσης συγγενείας ἦκον πρὸς αὐτὸν καὶ τῶν ἄλλων δὲ, ὅσοις ἡ χρεία ἦν ἡ φόβος ἐκ Σαούλου τοῦ βασιλέως, συνερρύησαν πρὸς

et Davides morti esset destinatus. At prima luce ante urbem in agrum, specie quidem semet exercendi, re ipsa vero ut amico patris affectum indicaret, sicuti constitutum erat, processit. Quumque Jonathas omnia, in quæ convenerant, fecisset, puerum quidem pedissequum in urbem dimittit, ipse vero in solitudine Davidi in conspectum venit et colloquium. Quumque ille se ostendisset, Jonathæ ad pedes accidit et adorans animæ suæ servatorem appellabat. Illum vero a terra attollit et sibi invicem impliciti, diu sese mutuo et cum lacrimis deosculati sunt, sortem suam deplorantes, et quod ea essent ætate et suæ invideretur amicitiæ, porroque quod futurum esset ut locorum intervallo disjungerentur, id quod ipsis nihil a morte differre videbatur. Quum autem vix se ex luctu recollegissent, sese mutuo adhortati ut fidei jurejurando datæ forent memores, ab invicem discesserunt.

CAP. XII. (XIV.)

At Davides, regem fugiens necemque ab ipso *intentatam*, in urbem Nabam se confert ad Achimelechum sacerdotem, qui, quod solum venisse et sine amico famulove adesse viderit, miratus est, et scire desiderabat, quid causæ esset cur neminem secum adduxerit. Ille vero dicebat, regem sibi negotium secretum mandavisse, ad quod nullo comitatu ipsi [scire volente] opus esset: Verum hic loci me convenire famulos jussi. Porro supplicabat ut liceret viaticum accipere: nam eo suppeditato amici reique agendæ adjutoris officium sibi præstiturum esse. Hoc autem impetrato, petebat armorum quicquid ei ad manum esset, gladium aut hastam. At aderat etiam Sauli servus, gente quidem Syrus, nomine vero Doecus, qui regis mulas pascebat. Ceterum pontifex aiebat se quidem ejusmodi quid non habere, esse vero apud se Goliathæ gladium, quem occiso Palæstino ipse Deo consecraverit.

2. Hoc autem accepto, Davides extra ditionem Hebræorum aufugit in Gittam Palæstinorum *urbem*, in qua regnavit Anchus. Ab regis vero ministris agnitus, ipsique manifestus factus, illis ei dictitantibus hunc esse Davidem qui multas Palæstinorum myriadas occiderit, sibi metuens ne ab eo interficeretur, et periculum, quod apud Saulum effugerat, apud ipsum experiretur, furorem et rabiem simulat, ita ut ore spumam emiserit, et alia, quæ insaniæ fidem faciunt, morbi hujus apud Gittensium regem dederit indicia. Atqua *ille*, domesticis suis periratus, ut qui hominem mente alienatum sibi adducerent, jussit ut quamprimum foras ejicerent Davidem.

3. Quum ita e Gitta evasisset, in Judæ tribum se recipit. Atque in spelunca prope urbem Adullamam morans, ad fratres suos mittit qui nunciarent ubi ille esset. Illi vero cum tota cognatione sese ad eum contulerunt, necnon et alii, quibus angustæ res erant aut metus a Saulo rege injectus, eodem confluxerunt, seque ad omnia ejus arbitrio

αὐτὸν, καὶ ποιεῖν τὰ ἐκείνῳ δοκοῦντα ἑτοίμως ἔχειν ἔλεγον. Ἐγένοντο δὲ οἱ πάντες ὡσεὶ τετρακόσιοι. Θαρρήσας δὲ ὡς καὶ χειρὸς αὐτῷ καὶ συνεργίας ἤδη προσγεγενημένης, ἀπάρας ἐκεῖθεν ἀφικνεῖται πρὸς τὸν τῶν Μωαβιτῶν βασιλέα, καὶ τοὺς γονεῖς αὐτοῦ εἰς τὴν αὐτοῦ χώραν προσδεξάμενον, ἕως ἂν γνῷ τὸ καθ' αὐτὸν τέλος, ἔχειν παρεκάλει. Κατανεύσαντος δ' αὐτοῦ τὴν χάριν καὶ πάσης τοὺς γονεῖς τοῦ Δαυίδου τιμῆς, παρ' ὃν ἐτύγχανον παρ' αὐτῷ χρόνον, ἀξιώσαντος, * * *

δ'. Αὐτὸς δὲ, τοῦ προφήτου κελεύσαντος αὐτὸν τὴν μὲν ἐρημίαν ἐκλιπεῖν, πορευθέντα δ' εἰς τὴν κληρουχίαν τῆς Ἰούδα φυλῆς ἐν αὐτῇ διάγειν πείθεται, καὶ παραγενόμενος εἰς Σάρην πόλιν ἐν αὐτῇ κατέμενε. Σάουλος δ' ἀκούσας ὅτι μετὰ πλήθους ὀφθείη Δαυίδης, οὐκ εἰς τυχόντα θόρυβον καὶ ταραχὴν ἐνέπεσεν, ἀλλ' εἰδὼς τὸ φρόνημα τοῦ ἀνδρὸς καὶ τὴν εὐτολμίαν, οὐδὲν ἐξ αὐτοῦ μικρὸν ἀνακύψειν ἔργον, ὑφ' οὗ κλαύσεσθαι πάντως καὶ πονήσειν ὑπενόησε. Καὶ συγκαλέσας τοὺς φίλους καὶ τοὺς ἡγεμόνας καὶ τὴν φυλὴν ἐξ ἧς αὐτὸς ἦν πρὸς αὐτὸν ἐπὶ τὸν βουνὸν οὗ τὸ βασίλειον εἶχε, καὶ καθίσας ἐπ' Ἀρούρης, (τόπος δ' ἦν τις οὕτω προσαγορευόμενος,) τιμῆς πολιτικῆς περὶ αὐτὸν οὔσης καὶ τῆς τάξεως τῶν σωματοφυλάκων, λέγει πρὸς αὐτούς· « ἄνδρες « ὁμόφυλοι, μέμνησθε μὲν οἷδ' ὅτι τῶν ἐμῶν εὐεργεσιῶν, ὅτι καὶ ἀγρῶν τινας ἐποίησα δεσπότας καὶ τιμῶν τῶν ἐν τῷ πλήθει καὶ τάξεων ἠξίωσα. Πυνθάνομαι τοιγαροῦν εἰ μείζονας τούτων δωρεὰς καὶ πλείονας παρὰ τοῦ Ἰεσσαίου παιδὸς προσδοκᾶτε. « Οἶδα γὰρ ὅτι πάντες ἐκείνῳ προστίθεσθε, τοὐμοῦ παιδὸς Ἰωνάθου αὐτοῦ τε οὕτω φρονήσαντος καὶ ὑμᾶς ταὐτὰ πείσαντος. Οὐ γὰρ ἀγνοῶ τοὺς ὅρκους « καὶ τὰς συνθήκας τὰς πρὸς Δαυίδην αὐτῷ γεγενημένας, οὐδὲ ὅτι σύμβουλος μὲν καὶ συνεργὸς Ἰωνάθης « ἐστὶ τῶν κατ' ἐμοῦ συντεταγμένων. Μέλει δὲ ὑμῶν « οὐδενὶ περὶ τούτων, ἀλλὰ τὸ ἀποβησόμενον ἡσυχάζοντες σκοπεῖτε. » Σιωπήσαντος δὲ τοῦ βασιλέως ἄλλος μὲν οὐδεὶς ἀπεκρίνατο τῶν παρόντων, Δώηκος δὲ ὁ Σύρος, ὁ τὰς ἡμιόνους αὐτοῦ βόσκων, εἶπεν ὡς ἴδοι τὸν Δαυίδην εἰς Ναβᾶν πόλιν πρὸς Ἀχιμέλεχον ἐλθόντα τὸν ἀρχιερέα, τά τε μέλλοντα παρ' αὐτοῦ προφητεύσαντος μαθεῖν καὶ λαβόντα ἐφόδια καὶ τὴν ῥομφαίαν τοῦ Γολιάθου πρὸς οὓς ἐβούλετο μετὰ ἀσφαλείας προπεμφθῆναι.

ε'. Μεταπεμψάμενος οὖν τὸν ἀρχιερέα καὶ πᾶσαν αὐτοῦ τὴν συγγένειαν Σάουλος, « τί παθὼν, εἶπεν, ἐξ « ἐμοῦ δεινὸν καὶ ἄχαρι τὸν Ἰεσσαίου παῖδα προσε« δέξω, καὶ σιτίων μὲν αὐτῷ μετέδωκας καὶ ὅπλων, « ὄντι τῆς ἐμῆς βασιλείας ἐπιβούλῳ; τί γὰρ δὴ καὶ « περὶ τῶν μελλόντων ἐχρημάτιζες; οὐ γὰρ δή σε « φεύγων ἐμὲ καὶ μισῶν τὸν ἐμὸν οἶκον ἐλάνθανεν ». Ὁ δ' ἀρχιερεὺς οὐκ ἐπ' ἄρνησιν ἐτράπη τῶν γεγονότων, ἀλλὰ μετὰ παρρησίας ταῦτα παρασχεῖν ὡμολόγει, οὐχὶ Δαυίδῃ χαριζόμενος, ἀλλ' αὐτῷ. « Πολέμιον γὰρ σὸν οὐκ εἰδέναι ἔφασκε, πιστὸν δὲ ἐν τοῖς μά-

exsequenda paratos esse dicebant. Erant autem universi circiter quadringenti. Et jam fiducia elatus quod ei numerus creverit et auxilium venerit, eo loco relicto ad Moabitarum regem proficiscitur, ipsumque orabat ut, parentibus suis in ejus ditionem receptis, illos, dum sciret quid sibi futurum esset, præsidio tueretur. Illo vero hanc gratiam annuente parentesque Davidis quam diu cum eo essent omni honore prosequuto, * * *

4. At ipse, quum propheta ei imperasset ut e solitudine *quidem abiret*, in sortem vero tribus Judæ concedens *illic* habitaret, jussis obsequitur, et in Saram urbem se conferens ibidem commoratus est. Saulus autem, ubi audivit Davidem cum multorum comitatu esse conspectum, in non mediocrem conjectus est metum et perturbationem : nam viri animi elati fortisque non ignarus, magni aliquid ex ipso oriturum esse suspicatus est, quod certe luctum sibi crearet et molestiam. Atque ad se convocans amicos et duces, et tribum ex qua ipse erat, in collem ubi regiam habuit, sedensque in Arura, (locus quidam erat sic dictus,) magna urbanorum multitudine eum stipante totoque satellitio, eos *affatur* : « *equidem novi*, viri populares, quod « beneficentiæ meæ memineritis, utque agrorum dominos « constituerim, fecerimque ut honores apud populum con« sequamini et dignitatem. Vos igitur interrogo, num plura « et his majora munera ab Jessæi filio exspectetis : nam « compertum habeo vos universos ad eum inclinare, quum « filius meus Jonathas et ipse rebus illius studuerit, vobis« que ei favere persuaserit. Non enim ignoro quæ Davidi « juraverit, quæque cum illo fœdera inierit, neque quod « Jonathas quidem consilio suo et auxilio ea promoverit, « quæ contra me fieri decretum est. Vestrum vero ne« mini curæ sunt ista, sed quæ sint consequutura patienter « attenditis. » Quum autem rex tacuisset, alius quidem præsentium nemo quidquam respondit, Doecus vero Syrus, mularum ejus curator, dicebat se vidisse Davidem quum venerit in urbem Nabam ad Achimelechum pontificem, eumque quæ eventura essent ex eo vaticinante didicisse, commeatuque accepto et Goliathæ gladio incolumem ad quos volebat fuisse deductum.

5. Saulus igitur quum pontificem ejusque patriam omnem familiam accersi jussisset, « quid, inquit, mali aut ingrati « a me passus es qui Jessæi filium benigne exceperis, et « cibaria ei dederis et arma, regno meo *insidianti*? et cur « etiam de futuris ei ex oraculo pronunciavisti? sane « non tibi ignotum erat quod a me profugerit domumque « meam odio habeat ». Pontifex autem non id agebat ut facta infitiaretur, sed libere fatebatur se illa suppeditasse, non ut a Davide gratiam iniret, sed ab ipso. « Tibi enim « hostem esse ne scivisse quidem se aiebat, ministrum vero

λιστα δοῦλον καὶ χιλίαρχον, καὶ τὸ τούτων μεῖζον, γαμβρόν τε ἤδη καὶ συγγενῆ. Ταῦτα δ' οὐκ ἐχθροῖς παρέχειν τοὺς ἀνθρώπους, ἀλλὰ τοῖς εὐνοίᾳ καὶ τιμῇ τῇ πρὸς αὐτοὺς ἀρίστοις. Προφητεῦσαι δὲ οὐ νῦν πρῶτον αὐτῷ, πολλάκις δὲ καὶ ἄλλοτε τοῦτο πεποιηκέναι· φήσαντι δὲ ὑπὸ σοῦ πεμφθῆναι κατὰ πολλὴν σπουδὴν ἐπὶ πρᾶξιν, τὸ μηδὲν παρασχεῖν ὧν ἐπεζήτει, σοὶ μᾶλλον ἀντιλέγειν ἢ ἐκείνῳ περὶ αὐτῶν ἐλογιζόμην. Διὸ μηδὲν πονηρὸν κατ' ἐμοῦ φρονήσῃς, μηδὲ πρὸς ἃ νῦν ἀκούεις Δαυίδην ἐγχειρεῖν, πρὸς ταῦτα τὴν τότε μου δοκοῦσαν φιλανθρωπίαν ὑποπτεύσῃς. Φίλῳ γὰρ καὶ γαμβρῷ σῷ καὶ χιλιάρχῳ παρέσχον, οὐ πολεμίῳ. »

ς'. Ταῦτα λέγων ὁ ἀρχιερεὺς οὐκ ἔπεισε τὸν Σάουλον, ἀλλὰ δεινὸς μὲν ὁ φόβος μηδ' ἀληθεῖ πιστεύειν ἀπολογίᾳ, κελεύει δὲ τοῖς ὁπλίταις περιστᾶσιν αὐτὸν μετὰ τῆς γενεᾶς ἀποκτεῖναι. Μὴ θαρρούντων δ' ἐκείνων ἅψασθαι τοῦ ἀρχιερέως, ἀλλὰ τὸ θεῖον εὐλαβουμένων μᾶλλον ἢ τὸ παρακοῦσαι τοῦ βασιλέως, τῷ Σύρῳ Δωήκῳ προστάσσει τὸν φόνον. Καὶ παραλαβὼν ὁμοίους αὐτῷ πονηροὺς ἐκεῖνος ἀποκτείνει τὸν Ἀχιμέλεχον καὶ τὴν γενεὰν αὐτοῦ. Ἦσαν δὲ πάντες ὡς πέντε καὶ ὀγδοήκοντα καὶ τριακόσιοι. Πέμψας δὲ ὁ Σάουλος καὶ εἰς τὴν πόλιν τῶν ἱερέων Νοβᾶν πάντας τε αὐτοὺς ἀπέκτεινεν, οὐ γυναικῶν, οὐ νηπίων, οὐδ' ἄλλης ἡλικίας φεισάμενος, αὐτήν τε ἐνέπρησε. Διασώζεται δὲ παῖς εἷς Ἀχιμελέχου Ἀβιάθαρος ὄνομα. Ταῦτα μέντοι γε συνέβη καθὼς προεφήτευσεν ὁ Θεὸς τῷ ἀρχιερεῖ Ἠλεὶ, διὰ τὰς τῶν υἱῶν αὐτοῦ δύο παρανομίας εἰπὼν διαφθαρήσεσθαι τοὺς ἐκγόνους.

ζ'. Σάουλος δὲ ὁ βασιλεὺς, ὠμὸν οὕτως ἔργον διαπραξάμενος καὶ γενεὰν ὅλην ἀρχιερατικῆς ἀποσφάξας τιμῆς καὶ μήτ' ἐπὶ νηπίοις λαβὼν οἶκτον μήτ' ἐπὶ γέρουσιν αἰδῶ, καταβαλὼν δὲ καὶ τὴν πόλιν, ἣν πατρίδα καὶ τροφὸν τῶν ἱερέων καὶ προφητῶν αὐτόθι τὸ θεῖον ἐπελέξατο καὶ μόνην εἰς τὸ τοιούτους φέρειν ἄνδρας ἀπέδειξε, μαθεῖν ἅπασι παρέσχε καὶ κατανοῆσαι τὸν ἀνθρώπινον τρόπον, ὅτι μέχρις οὗ μέν εἰσιν ἰδιῶταί τινες καὶ ταπεινοὶ, τῷ μὴ δύνασθαι χρῆσθαι τῇ φύσει μηδὲ τολμᾶν ὅσα θέλουσιν, ἐπιεικεῖς εἰσι καὶ μέτριοι καὶ μόνον διώκουσι τὸ δίκαιον καὶ πρὸς αὐτὸ τὴν πᾶσαν ἔννοιάν τε καὶ σπουδὴν ἔχουσι. Τότε δὲ καὶ περὶ τοῦ θείου πεπιστεύκασιν ὅτι πᾶσι τοῖς γινομένοις ἐν τῷ βίῳ πάρεστι, καὶ οὐ τὰ ἔργα μόνον ὁρᾷ τὰ πραττόμενα, ἀλλὰ καὶ τὰς διανοίας ἤδη σαφῶς οἶδεν, ἀφ' ὧν μέλλοι ταῦτ' ἔσεσθαι. Ὅταν δὲ εἰς ἐξουσίαν παρέλθωσι καὶ δυναστείαν, τότε πάντ' ἐκεῖνα μετεκδυσάμενοι καὶ ὥσπερ ἐπὶ σκηνῆς προσωπεῖα τὰ ἤθη καὶ τοὺς τρόπους ἀποθέμενοι, μεταλαμβάνουσι τόλμαν, ἀπόνοιαν, καταφρόνησιν ἀνθρωπίνων τε καὶ θείων, καὶ ὅτε μάλιστα δεῖ τῆς εὐσεβείας αὐτοῖς καὶ τῆς δικαιοσύνης, ἔγγιστα τοῦ φθονεῖσθαι γεγενημένοι καὶ πᾶσι φανεροῖς ἐφ' οἷς ἂν νοήσωσιν ἢ πράξωσι καθεστῶσι, τόθ' ὡς οὐκέτι βλέποντος αὐτοὺς τοῦ Θεοῦ, ἢ διὰ τὴν

fidelissimum, et tribunum, et quod hisce majus, generum jam tuum et necessitudine conjunctum. Nam illis non inimicos impertire moris est hominibus, sed quos maxime benevolentia et honore prosequuntur. Pro eo autem non se nunc primum vaticinatum esse, sed et sæpius et alio in loco hoc fecisse : quumque se diceret a te omni festinatione missum ad aliquid agendum, si nihil horum præbuissem quæ desiderabat, tibi magis quam illi me ista abnuere putabam. Quare non est quod de me male sentias, aut ob ea quæ nunc Davidem moliri audis, meam, ut tunc visa est, humanitatem suspiceris. Nam amico et genero tuo et tribuno *eam* tribuebam, non hosti. »

6. Hæc quum diceret pontifex, Saulo non persuasit, sed metus usque eo valebat, ut ne justæ quidem excusationi haberetur fides. Jubet itaque militibus armatis ipsi circumdatis ut eum cum cognatione sua perimerent. Quumque illi non ausi essent manus afferre pontifici, et magis vererentur ne Deum offenderent, quam ne regi non obtemperarent, Doeco Syro cædem imperat. Atque ille, assumptis sibi facinorosis sui similibus, Achimelechum ejusque cognationem omnem occidit. Erant autem universi circiter trecenti octoginta quinque. Porroque quum in urbem sacerdotum Nabam misisset, omnes illius incolas perimebat, ne mulieribus quidem exceptis, aut infantibus, aliave ætate, et ipsam incendit. Verum unus ex Achimelechi filiis nomine Abiatharus servatus est. Illa utique acciderunt, prout Eli pontifici prædixerat Deus, illi propter duorum ipsius filiorum iniquitates suæ minatus progeniei interitum.

7. Rex autem Saulus crudeli adeo facinore edito, (quo et omnes stirpis sacerdotalis ferro interemit, neque teneram ætatem miseratus neque grandævos reveritus, urbemque præterea funditus evertit, quam in patriam et alumnam sacerdotum et prophetarum tum Deus delegerat, solamque ad viros id genus educandos destinaverat,) fecit ut omnes intelligerent perspicerentque hominum ingenium : quod tantisper dum privatam vitam agant humilisque sint fortunæ, quia tum naturæ obsequi nequeunt nec quod lubet facere audent, boni sunt et moderati, ac quod justum est unice persequuntur, et in id toto animo omnique studio incumbunt. Tunc etiam illis de Deo persuasum est, quod omnibus quæ in vita agunt homines intersit, et non solum opera quum fiant, sed et cogitationes multo ante exploratas habeat, unde illa proditura sunt. Quum vero ad potentiam et imperium provecti sunt, tunc hisce omnibus exuti et institutis moribusque, tanquam in scena personis, depositis, assumunt audaciam, insolentiam et rerum humanarum divinarumque contemptum, et quum maxime illic opus est pietate et justitia, ut qui invidiæ proxime constituti sunt, et ob cogitata et facta omnium in conspectu collocati, tunc quasi non amplius eos intueretur Deus, aut

ἐξουσίαν δεδιότος, οὕτως ἐμπαροινοῦσι τοῖς πράγμασιν. Ἃ δ' ἂν ἢ φοβηθῶσιν ἀκούσαντες, ἢ μισήσωσιν ἐθελήσαντες, ἢ στέρξωσιν ἀλόγως, ταῦτα κύρια καὶ βέβαια καὶ ἀληθῆ καὶ ἀνθρώποις ἀρεστὰ καὶ Θεῷ δοκοῦσι· τῶν δὲ μελλόντων λόγος αὐτοῖς οὐδὲ εἷς, ἀλλὰ τιμῶσι μὲν τοὺς πολλὰ ταλαιπωρήσαντας, τιμήσαντες δὲ φθονοῦσι· καὶ παραγαγόντες εἰς ἐπιφάνειαν οὐ ταύτης ἀφαιροῦνται μόνον τοὺς τετυχηκότας, ἀλλὰ διὰ ταύτην καὶ τοῦ ζῆν ἐπὶ πονηραῖς αἰτίαις καὶ δι' ὑπερβολὴν αὐτῶν ἀπιθάνοις. Κολάζουσι δ' οὐκ ἐπ' ἔργοις δίκης ἀξίοις, ἀλλ' ἐπὶ διαβολαῖς καὶ κατηγορίαις ἀβασανίστοις, οὐδ' ὅσους δεῖ τοῦτο παθεῖν, ἀλλ' ὅσους ἀποκτεῖναι δύνανται. Τοῦτο Σάουλος ἡμῖν ὁ Κείσου παῖς, ὁ πρῶτος μετὰ τὴν ἀριστοκρατίαν καὶ τὴν ἐπὶ τοῖς κριταῖς πολιτείαν Ἑβραίων βασιλεύσας, φανερὸν πεποίηκε, τριακοσίους ἀποκτείνας ἱερέας καὶ προφήτας ἐκ τῆς πρὸς Ἀχιμέλεχον ὑποψίας, ἐπικαταβαλὼν δὲ αὐτοῖς καὶ τὴν πόλιν καὶ τὸν ἐν τρόπῳ τινὶ ναὸν σπουδάσας ἱερέων καὶ προφητῶν ἔρημον καταστῆσαι, τοσούτους μὲν ἀνελὼν, μεῖναι δὲ ἐάσας οὐδὲ τὴν πατρίδα αὐτῶν, πρὸς τὸ καὶ μετ' ἐκείνους ἄλλους γενέσθαι.

η'. Ὁ δ' Ἀβιάθαρος ὁ τοῦ Ἀχιμελέχου παῖς, ὁ μόνος διασωθῆναι δυνηθεὶς ἐκ τοῦ γένους τῶν ὑπὸ Σαούλου φονευθέντων ἱερέων, φυγὼν πρὸς Δαυίδην τὴν τῶν οἰκείων αὐτοῦ συμφορὰν ἐδήλωσε καὶ τὴν τοῦ πατρὸς ἀναίρεσιν. Ὁ δ' οὐκ ἀγνοεῖν ἔφη ταῦτα περὶ αὐτοὺς ἐσόμενα ἰδὼν τὸν Δώηκον· ὑπονοῆσαι γὰρ διαβληθήσεσθαι πρὸς αὐτοῦ τὸν ἀρχιερέα τῷ βασιλεῖ, καὶ τῆς ἀτυχίας ταύτης αὐτοῖς αὐτὸν ἠτιᾶτο. Τὸ μένειν δ' αὐτόθι καὶ σὺν αὐτῷ διατρίβειν, ὡς οὐκ ἐν ἄλλῳ τόπῳ λησόμενον οὕτως, ἠξίου.

ΚΕΦ. ΙΓ'.

Κατὰ δὲ τοῦτον τὸν καιρὸν ἀκούσας ὁ Δαυίδης τοὺς Παλαιστίνους ἐμβεβληκότας εἰς τὴν Κιλλανῶν χώραν καὶ ταύτην διαρπάζοντας, δίδωσιν ἑαυτὸν στρατεύειν ἐπ' αὐτοὺς, εἰ ὁ Θεὸς παρὰ τοῦ προφήτου πυθόμενος ἐπιτρέπει νίκην. Τοῦ δὲ σημαίνειν φήσαντος, ἐξώρμησεν ἐπὶ τοὺς Παλαιστίνους μετὰ τῶν ἑταίρων, καὶ φόνον τε αὐτῶν πολὺν ἐξέχεε καὶ λείαν ἤλασε, καὶ παραμείνας τοῖς Κιλλανοῖς ἕως οὗ τὰς ἅλωνας καὶ τὸν καρπὸν συνείλον ἀδεῶς, Σαούλῳ τῷ βασιλεῖ μηνύεται παρ' αὐτοῖς ὤν. Τὸ γὰρ ἔργον καὶ τὸ κατόρθωμα οὐκ ἔμεινε παρ' οἷς ἐγένετο, φήμη δ' ἐπὶ πᾶν εἰς τε τὰς τῶν ἄλλων ἀκοὰς καὶ πρὸς τὰς τοῦ βασιλέως διεκομίσθη, αὐτό τε συνιστάνον καὶ τὸν πεποιηκότα. Χαίρει δὲ Σάουλος ἀκούσας ἐν Κίλλᾳ τὸν Δαυίδην, καὶ, Θεὸς ἤδη χερσὶ ταῖς ἐμαῖς ὑπέθετο αὐτὸν, εἰπὼν, ἐπεὶ καὶ συνηνάγκασεν ἐλθεῖν εἰς πόλιν τείχη καὶ πύλας καὶ μοχλοὺς ἔχουσαν, τῷ λαῷ παντὶ προσέταξεν ἐπὶ τὴν Κίλλαν ἐξορμῆσαι καὶ πολιορκήσαντι καὶ ἑλόντι τὸν Δαυίδην ἀποκτεῖναι. Ταῦτα δ' αἰσθόμενος ὁ Δαυίδης καὶ μαθὼν παρὰ τοῦ Θεοῦ ὅτι μείναντα παρ' αὐτοῖς οἱ Κιλλῖ-

ob potestatem metueret, ita demum in omnibus insolenter se efferunt. Si qua vero aut timuerint, quia nescio quid audiverint, aut oderint, quia ita illis placuerit, aut temere amaverint, hæc rata et firma et vera atque hominibus et Deo grata existimant. At futurorum nullam rationem habent, sed illos, qui multos pro ipsis exantlarunt labores, honore quidem prosequuntur, postea vero invidia; ac quum ad dignitatem illustrem evexerint, non solum eam adeptos possessione depellunt, sed et propter eam ipsam de vita, idque ex criminationibus maligne conflictis, tantæque magnitudinis ut sint incredibiles. Quin et neque pœnas infligunt ob facinora supplicio digna, sed ob calumnias et delationes absque ullo examine, neque in quos sævire oportet, sed quoscunque possunt morte afficere. Id quod Saulus Cisi filius, qui primus, postquam desiit optimatium status et regiminis sub Judicibus forma, in Hebræis regnavit, nobis manifestum fecit, qui trecentos sacerdotes et prophetas propter suspectum Achimelechum occidit, porroque urbem eorum funditus evertit et templum quodammodo sacerdotum et prophetarum inane reddere studuit; quum tot quidem interfecerit, et nec patriam eorum superesse passus fuerit, ut alii post illos suscitarentur.

8. Abiatharus autem Achimelechi filius, qui solus conservari potuit ex stirpe sacerdotum a Saulo peremptorum, Davidem cursu consequutus, suorum omnium cladem et patris interitum ei nunciavit. Ille vero dicebat se viso Doeco non ignorasse quod foret ut hæc illis acciderent: nam istanc ipsi incidisse suspicionem, illum pontifici apud regem calumniaturum esse, et hunc tantorum illis infortuniorum causam esse dicebat. Illic vero ut maneret et secum moraretur postulabat, quod nusquam alibi ita lateret.

CAP. XIII. (XIV.)

Per idem tempus, quum Davides accepisset Palæstinos in Cillanorum agrum irrupisse, eumque devastasse, se ipsum offert ad exercitum in eos educendum, modo Deus a prophete consultus victoriam annueret. Quum vero ille respondisset victoriam promitti, cum sociis suis impetum fecit in Palæstinos, multamque illorum stragem edidit, et prædam abegit, mora etiam apud Cillanos facta, donec frumentum ex areis frugesque secure colligerent. Saulo autem regi nunciatur apud illos morari. Nam quod ausus fuerit et quod ei prospere cesserit, non apud quos res gesta erat conclusum tenebatur, sed fama ejus late emanavit, et ad omnium aures, regisque inter ceteros, pervenit, in facti ejusque auctoris gloriam. Saulus autem certior factus Davidem in Cilla esse lætatur, atque, illum jam in suam venisse potestatem dicens a Deo, quoniam is in urbem eum compulisset muris et portis et repagulis munitam, jussit populo universo ut Cillam adorirentur, ac Davidem obsessum captumque interimerent. At Davides quum hæc intellexisset, et a Deo didicisset, Cillitas illum, si apud ipsos mane-

ται ἐκδώσουσι τῷ Σαούλῳ, παραλαβὼν τοὺς τετρακοσίους ἀπῆρεν ἀπὸ τῆς πόλεως εἰς τὴν ἔρημον ἐπάνω τῆς Ἐνγεδαΐν λεγομένης. Καὶ ὁ μὲν βασιλεὺς ἀκούσας αὐτὸν πεφευγότα παρὰ τῶν Κιλλιτῶν ἐπαύσατο τῆς ἐπ' αὐτὸν στρατείας.

β'. Δαυίδης δὲ ἐκεῖθεν ἄρας εἴς τινα τόπον Καινὴν καλουμένην τῆς Ζιφήνης παραγίνεται, εἰς ὃν Ἰωνάθης ὁ τοῦ Σαούλου παῖς συμβαλὼν αὐτῷ καὶ κατασπασάμενος θαρρεῖν τε καὶ χρηστὰς περὶ τῶν μελλόντων ἐλπίδας ἔχειν παρεκάλει καὶ μὴ κάμνειν τοῖς παροῦσι· βασιλεύσειν γὰρ αὐτὸν καὶ πᾶσαν τὴν Ἑβραίων δύναμιν ἕξειν ὑφ' αὑτῷ· φιλεῖν δὲ τὰ τοιαῦτα σὺν μεγάλοις ἁπαντᾶν πόνοις. Πάλιν δ' ὅρκους ποιησάμενος τῆς εἰς ἅπαντα τὸν βίον πρὸς ἀλλήλους εὐνοίας καὶ πίστεως, καὶ τὸν Θεὸν μάρτυρα καλέσας, ὧν ἐπηράσατο αὐτῷ παραβάντι τὰ συγκείμενα καὶ μεταβαλλομένῳ πρὸς τἀναντία, τὸν μὲν αὐτόθι καταλείπει μικρὰ τῶν φροντίδων καὶ τοῦ δέους ἐπικουφίσας, αὐτὸς δὲ πρὸς αὐτὸν ἐπανέρχεται. Οἱ δὲ Ζιφηνοὶ χαριζόμενοι τῷ Σαούλῳ μηνύουσιν αὐτῷ παρ' αὐτοῖς διατρίβειν τὸν Δαυίδην καὶ παραδώσειν ἔφασαν ἐπ' αὐτὸν ἐλθόντι· καταληφθέντων γὰρ τῶν τῆς Ζιφήνης στενῶν, οὐκ εἶναι φυγὴν αὐτῷ πρὸς ἄλλους. Ὁ δὲ βασιλεὺς ἐπῄνεσεν αὐτούς, χάριν ἔχειν ὁμολογήσας τὸν ἐχθρὸν αὐτῷ μεμηνυκόσι, καὶ οὐκ εἰς μακρὰν ἀμείψασθαι τῆς εὐνοίας ὑποσχόμενος αὐτούς, ἔπεμψε τοὺς ζητήσοντας τὸν Δαυίδην καὶ τὴν ἐρημίαν ἐξερευνήσοντας· αὐτὸς δ' ἀκολουθήσειν ἀπεκρίνατο. Καὶ οἱ μὲν ἐπὶ τὴν θήραν καὶ τὴν σύλληψιν τοῦ Δαυίδου προῆγον τὸν βασιλέα, σπουδάζοντες μὴ μόνον τῷ μηνῦσαι τὸν ἐχθρὸν αὐτῷ τὴν εὔνοιαν, ἀλλὰ καὶ τῷ παρασχεῖν αὐτὸν εἰς ἐξουσίαν φανερωτέραν καταστῆσαι. Διήρταρτον δὲ τῆς ἀδίκου καὶ πονηρᾶς ἐπιθυμίας, οἳ μηδὲν κινδυνεύσειν ἔμελλον ἐκ τοῦ μὴ ταῦτα ἐμφανίσαι τῷ Σαούλῳ, διὰ δὲ κολακείαν καὶ κέρδους ἐπιθυμίαν τε καὶ προσδοκίαν παρὰ τοῦ βασιλέως ἄνδρα θεοφιλῆ καὶ παρὰ δίκην ζητούμενον ἐπὶ θανάτῳ καὶ λανθάνειν δυνάμενον διέβαλον καὶ παραδώσειν ὑπέσχοντο. Γνοὺς γὰρ ὁ Δαυίδης τὴν τῶν Ζιφηνῶν κακοήθειαν καὶ τὴν τοῦ βασιλέως ἔφοδον, ἐκλείπει μὲν τὰ στενὰ τῆς ἐκείνων χώρας, φεύγει δ' ἐπὶ τὴν μεγάλην πέτραν τὴν οὖσαν ἐν τῇ Μάωνος ἐρήμῳ.

γ'. Ὥρμησε δ' ἐπ' ἐκείνην διώκειν Σάουλος. Κατὰ γὰρ τὴν ὁδὸν ἀναχωρήσαντα ἐκ τῶν στενῶν μαθὼν τὸν Δαυίδην, ἐπὶ τὸ ἕτερον μέρος τῆς πέτρας ἀπῆρεν. Ἀντιπεριέσπασαν δὲ τὸν Σάουλον ἀπὸ τῆς διώξεως τοῦ Δαυίδου, μέλλοντος ἤδη συλλαμβάνεσθαι, Παλαιστῖνοι, πάλιν ἐπὶ τὴν τῶν Ἑβραίων ἐστρατευκέναι χώραν ἀκουσθέντες. Ἐπὶ γὰρ τούτους ἀνέστρεψε, φύσει πολεμίους ὄντας, αὐτοὺς ἀμύνασθαι κρίνας ἀναγκαιότερον ἢ τὸν ἴδιον σπουδάζοντα λαβεῖν ἐχθρὸν ὑπεριδεῖν τὴν γῆν κακωθεῖσαν.

δ'. Καὶ Δαυίδης μὲν οὕτως ἐκ παραλόγου τὸν κίνδυνον διαφυγὼν εἰς τὰ στενὰ τῆς Ἐνγεδηνῆς ἀφικνεῖται. Σαούλῳ δὲ ἐκβαλόντι τοὺς Παλαιστίνους ἦκον ἀπαγγέλλοντες ὡς ὁ Δαυίδης ἐν τῇ ἐρήμῳ τῇ ἄνω τῆς Ἐνγεδαΐν πόλεως εἴη. Λαβὼν οὖν τοὺς τρισχιλίους ἐπελέξατο τοὺς ἀρίστους καὶ ἐπὶ τὸν Δαυίδην ἐστράτευσεν, ὑπολαβὼν ἐν τῇ ἐρήμῳ τῇ πρὸς τὴν Ἐνγεδαΐν εὑρήσειν αὐτόν. Καὶ ἐπειδὴ πρὸς τὰ ὄρη τὰ ὑπὲρ τῆς ἐρήμου ἐγένετο, ἐκεῖθεν ἐπὶ τὰς κορυφὰς ἀναβὰς τῶν ὀρῶν ἐθεάσατο τὰς ἐν τοῖς σπηλαίοις τῶν πετρῶν ἐνεδρεύοντας αὐτῷ καὶ τὸν Δαυίδην μετὰ τῶν ἑταίρων. Ἦν δὲ τὸ μὲν ὄρος ἀπόκρημνον καὶ δύσβατον, ἐν δὲ τοῖς κατὰ τὴν ἔρημον μέρεσιν ἦν σπήλαια μεγάλα καὶ πολλὰ καὶ ἐν αὐτοῖς ἀπόκρυφοι τόποι. Ἐνταῦθα τοίνυν ὁ Δαυίδης μετὰ τῶν ἑταίρων ἐνεδρεύων τὸν Σάουλον ἐθεάσατο μόνον εἰσιόντα εἰς τὸ σπήλαιον ἐν ᾧ καὶ αὐτὸς ἦν καὶ οἱ μετ' αὐτοῦ. Καὶ τῶν μὲν ἑταίρων τινὲς ἐπὶ τὸν Σάουλον ὁρμῆσαι καὶ τὸν ἐχθρὸν ἐκδικῆσαι παρεκάλουν, ὡς ἐν καιρῷ τὴν ἐπιβουλὴν ἐκτελέσοντες· ὁ δὲ Δαυίδης ἐκείνοις μὲν ἀντεῖπε καὶ κατέσχε τὴν ὁρμὴν αὐτῶν, ἀναστὰς δὲ λάθρα τὸν χιτῶνα τὸν Σαούλου τὸν ἄκρον ἀπέτεμε καὶ πάλιν ἐκαθέζετο. Μετὰ δὲ τοῦτο καὶ τὸν Σάουλον ἐξελθόντα καὶ τὸν τόπον ἐκλιπόντα ἐπεδίωκε βοῶν ὀπίσω καὶ τὸν βασιλέα καλῶν. Ὡς δὲ ἐπέστρεψε καὶ τὸν Δαυίδην ἐθεάσατο, προσκυνήσας ἔφη· Τί παρακούεις τῶν λεγόντων ἐπιβουλεύειν σοι τὸν Δαυίδην; Ἰδοὺ γὰρ καὶ τὸν χιτῶνα τὸν σὸν ἔχω τὸν ἄκρον ἀποτεμών· ἐδυνάμην δὲ καὶ τὴν κεφαλὴν ἀφελεῖν, εἰ τοιοῦτος ἦν ἐμοὶ περὶ σὲ γνώμην. Ἀλλ' ἐπειδὴ τὸν ἐμὸν ἐχθρὸν ἐν τῇ σῇ δυνάμει καὶ ἐξουσίᾳ γενόμενον οὐκ ἐτιμωρησάμην, ἀλλὰ καὶ τοὺς ἑταίρους ἐκώλυσα, τί ἂν ἄλλο ἢ τὴν ἐμὴν εὔνοιαν ἐπιδεικνύμενος ἐποίησα; Καὶ ὁ μὲν Σάουλος ἐπὶ τούτοις ἐπῄνεσε τὸν Δαυίδην καὶ ἐπὶ τῇ δικαιοσύνῃ καὶ τῇ μεγαλοψυχίᾳ θαυμάσας ἀπῆλθεν εἰς τὴν οἰκείαν· ὁ δὲ Δαυίδης μετὰ τῶν ἑταίρων ἀνέβη πρὸς τὰ ὀχυρώματα.

ret, Saulo dedituros esse, assumptis viris suis quadringentis, urbe egressus est in solitudinem supra Engedain quæ appellatur. Et rex quidem, audito illum Cillitis se subduxisse, expeditionem in eum omisit.

2. Davides autem inde profectus in locum quendam agri Zipheni venit, Cænam (*Novam*) vocatum, ubi Jonathas Sauli filius, quum ipsum convenisset et salutasset, eum hortabatur bono animo esse et de futuris bene sperare, malisque nequaquam cedere præsentibus : nam et regnaturum esse et Hebræorum copias omnes sua in potestate habiturum; res vero ejusmodi solere non nisi magnis laboribus acceptas referri. Quum autem iterum jurasset, quoad viveret, fidem inter ipsos et benevolentiam conservaturum, Deumque testem adhibuisset dirarum, quas sibimet imprecatus est, si fœdera violaret et in contrarium mutaretur, illum quidem ibi relinquit metu nonnihil ac sollicitudine levatum : ipse vero domum se recipit. At Zipheni, ut gratiam a rege inirent, Saulo nunciant Davidem apud se morari, dixeruntque quod ipsi, si ad se venire dignaretur, illum in manus traderent : occupatis enim Ziphenes angustiis, non posse eum ad alios effugere. Rex autem illos laudavit, gratias se illis habere fassus quod inimicum sibi indicaverant, brevique se illos benevolentiæ ergo remuneraturum esse promittens, misit qui Davidem perquirerent et solitudinem perlustrarent : dato hoc illis responso se secuturum esse. Et illi quidem, ut Davidem indagaret et prehenderet, regem impellebant, annitentes non solum inimicum ei indicando benevolentiam suam patefacere, sed et magis adhuc eum illius in potestatem plane rediguendo. At iniquo et maligno proposito exciderunt, qui, quando nullum adituri essent discrimen, si illa non patefecissent Saulo, ex adulandi tamen desiderio lucrique cupiditate et exspectatione a rege *consequendi*, virum Deo carum et præter jus ad mortem quæsitum et qui latere poterat insimulabant et regi dedituros esse pollicebantur. Nam Davides, quum ei innotuisset Ziphenorum animus malignus, simulque regis adventus, regionis quidem illorum angustias relinquit, fuga vero digreditur ad magnam petram in solitudine Maonis.

3. Eo autem Saulus properavit ad *Davidem* persequendum. Audito enim in itinere quod superatis angustiis evaserit, inde movit ad alterum petræ latus. Saulum vero a persecutione Davidis, quum in eo jam esset ut illum caperet, alio avocarunt Palæstini, rumore divulgato eos iterum in Hebræorum regionem incursionem fecisse. In eos enim, suapte natura *Hebræis* infestos, se retrorsum convertit, illorum injurias propulsare necessarium magis esse arbitratus quam, dum proprio inimico capiendo insisteret, terram *Hebræam* malis divexatam negligere.

4. Atque ita quidem Davides, periculo præter spem liberatus, ad agri Engedeni angustias se recipit. Palæstinis autem expulsis, ad Saulum venerunt quidam nuncian-

γέλλοντες τινὲς τὸν Δαυίδην ἐν τοῖς Ἐνγεδηνῆς διατρίβειν ὄροις. Λαβὼν δὲ τρισχιλίους ὁπλίτας ἐπιλέκτους ἐπ' αὐτὸν ἠπείγετο, καὶ γενόμενος πόρρω τῶν τόπων ὁρᾷ παρὰ τὴν ὁδὸν σπήλαιον βαθὺ καὶ κοῖλον εἰς πολὺ καὶ μῆκος ἀνεῳγὸς καὶ πλάτος, ἔνθα συνέβαινε τὸν Δαυίδην μετὰ τῶν τετρακοσίων κεκρύφθαι. Ἐπειγόμενος οὖν ὑπὸ τῶν κατὰ φύσιν εἴσεισιν εἰς αὐτὸ μόνος. Θεαθεὶς δ' ὑπό τινος τῶν μετὰ Δαυίδου καὶ φράσαντος τοῦ θεασαμένου πρὸς τὸν ἐχθρὸν αὐτοῦ παρὰ τοῦ Θεοῦ καιρὸν ἔχειν ἀμύνης, καὶ συμβουλεύοντος τοῦ Σαούλου ἀποτεμεῖν τὴν κεφαλὴν καὶ τῆς πολλῆς ἄλης αὐτὸν ἀπαλλάξαι καὶ ταλαιπωρίας, ἀναστὰς ἀποτέμνει μὲν τὴν πτέρυγα τοῦ ἱματίου μόνον οὗ ὁ Σάουλος ἠμπείχετο, μετανοήσας δ' εὐθὺς οὐ δίκαιον εἶπε φονεύειν τὸν αὐτοῦ δεσπότην οὐδὲ τὸν ὑπὸ τοῦ Θεοῦ βασιλείας ἀξιωθέντα. Καὶ γὰρ εἰ πονηρὸς οὗτος εἰς ἡμᾶς, ἀλλ' οὐκ ἐμὲ δεῖ τοιοῦτον εἶναι πρὸς αὐτόν. Τοῦ δὲ Σαούλου τὸ σπήλαιον ἐκλιπόντος, προσελθὼν ὁ Δαυίδης ἔκραξεν, ἀκοῦσαι Σάουλον ἀξιῶν. Ἐπιστραφέντος δὲ τοῦ βασιλέως, προσκυνεῖ τε αὐτὸν πεσὼν ἐπὶ πρόσωπον, ὡς ἔθος, καί φησιν, « οὐ πονηροῖς, ὦ βασιλεῦ, καὶ ψευδεῖς « πλάττουσι διαβολὰς παρέχοντα δεῖ σε τὰς ἀκοὰς χα« ρίζεσθαι μὲν ἐκείνοις τὸ πιστεύειν αὐτοῖς, τοὺς δὲ φιλ« τάτους δι' ὑπονοίας ἔχειν, ἀλλὰ τοῖς ἔργοις σκοπεῖν « τὴν ἁπάντων διάθεσιν. Διαβολὴ μὲν γὰρ ἀπατᾷ, « σαφὴς δ' ἀπόδειξις εὐνοίας τὰ πραττόμενα· καὶ « λόγος μὲν ἐπ' ἀμφότερα πέφυκεν ἀληθής τε καὶ « ψευδὴς, τὰ δ' ἔργα γυμνὴν ὑπ' ὄψει τὴν διάνοιαν τί« θησι. Τοίνυν ἐκ τούτων καλῶς ἔχειν με πρὸς σὲ καὶ « τὸν σὸν οἶκον ἐμοὶ πιστεῦσαι δεῖ καὶ μὴ τοῖς κατη« γοροῦσιν ἃ μήτε εἰς νοῦν ἐβαλόμην μήτε δύναται « γενέσθαι προσθέμενον διώκειν τὴν ἐμὴν ψυχήν, καὶ « μηδὲν μήθ' ἡμέρας μήτε νυκτὸς ἔχειν διὰ φροντίδος « ἢ τὴν ἐμὴν ἀναίρεσιν, ἣν ἀδίκως μεταπορεύῃ. Πῶς « γὰρ ψευδῆ περὶ ἐμοῦ δόξαν εἴληφας ὡς ἀποκτεῖναί σε « θέλοντος; ἢ πῶς οὐκ ἀσεβεῖς εἰς τὸν Θεὸν, ἄνθρωπον « σήμερον αὐτῷ τιμωρῆσαι δυνάμενον καὶ παρὰ σοῦ « λαβεῖν δίκην καὶ μὴ θελήσαντα μηδὲ τῷ καιρῷ τούτῳ « χρησάμενον, ὃν, εἴ σοι κατ' ἐμοῦ περιέπεσεν, οὐκ ἂν « αὐτὸς παρῆκας, διαχρήσασθαι ποθῶν καὶ νομίζων « πολέμιον; ὅτε γάρ σου τὸν πτέρυγα τοῦ ἱματίου ἀπέ« τεμον, τότε σου καὶ τὴν κεφαλὴν ἠδυνάμην ». Ἐπιδείξας δὲ τὸ ῥάκος ἰδεῖν πιστεύειν παρεῖχεν. « Ἀλλ' « ἐγὼ μὲν ἀπεσχόμην δικαίας ἀμύνης, φησὶ, σὺ δὲ « μῖσος ἄδικον οὐκ αἰδῇ κατ' ἐμοῦ φέρων. Θεὸς ταῦτα « δικάσειε καὶ τὸν ἑκατέρου τρόπον ἡμῶν ἐλέγξειε ». Σάουλος δὲ ἐπὶ τῷ παραδόξῳ τῆς σωτηρίας θαυμάσας καὶ τὴν τοῦ νεανίσκου μετριότητα καὶ φύσιν ἐκπλαγεὶς ἀνώμωξε. Τὸ δ' αὐτὸ κἀκείνου ποιήσαντος, αὐτὸν εἶναι δίκαιον στένειν ἀπεκρίνατο· « σὺ μὲν γὰρ, φησὶν, « ἀγαθῶν αἴτιός μοι γέγονας, ἐγὼ δὲ σοὶ συμφορῶν. « Ἐπεδείξω δὲ καὶ σήμερον τὴν ἐκείνων ἀρχαίαν ἔχοντα « σαυτὸν δικαιοσύνην, οἳ τοὺς ἐχθροὺς ἐν ἐρημίᾳ λαβόν« τες σώζειν παρήγγελλον. Πέπεισμαι δὴ νῦν ὅτι σοὶ

tes Davidem intra fines Engedenæ morari. Ille vero, assumptis tribus armatorum millibus selectis, ad eum contendebat. Quumque non longe a locis *illis* abesset, prope viam conspicit speluncam, profundam et cavam, atque in multam longitudinem et latitudinem patentem, qua tum forte Davides cum viris quadringentis delitescebat. Itaque stimulatus ad requisita naturæ solus in eam intravit. Conspectus autem erat ab aliquo e Davidis comitibus, eoque qui viderat eum dicente, jam adesse tempus ulciscendi inimicum a Deo oblatum, suadenteque ut Saulo caput amputaret, ad sese e vita erratica et ærumnis expediendum, surgens abscidit laciniam solummodo vestis quam gerebat, et statim pœnitentia ductus injustum facinus esse dicebat dominum suum occidere, eumve qui ad regiam dignitatem a Deo provectus est. Nam si ille in nos malignus, haud fas est ut par illi referam. Quum autem Saulus e spelunca egrederetur, Davides ad eum contendens exclamavit, Saulum obsecrans ut *ipsum* audire vellet. Quumque rex respexisset, adorat eum in faciem procidens, ut moris erat, dicitque, « non oportet, o rex, ut, improbis « vanasque calumnias confingentibus aurem admovens, « illis quidem fidem habere digneris, tibi vero amicissimos « in suspicionem vocari patiaris, sed potius ex rebus ipsis « spectari debet ut quisque in te animo sit affectus. Nam « calumniæ nos decipiunt, ex factis vero benevolentia clare « elucescit : et verba quidem comparata sunt ut utriusque, « et veri et falsi, speciem præ se ferant, facta vero nudum « animum conspiciendum sistunt. Ex his itaque mihi cre« dere oportet me tibi tuæque familiæ bene velle, non illis « ea mihi vitio vertentibus, quæ neque in mentem vene« runt, neque fieri potuerunt, assentiendo animam meam « persequi, et nihil die noctuque aliud cogitare, quam ut « mihi vitam adimas : quod tu inique moliris. Qui fit ut « tanto in errore de me verseris, quasi occidere te volue« rim? aut quomodo erit ut non sis in Deum impius, homi« nis, tanquam tibi inimici, necem expetens, qui, quum « hodie semet vindicare potuerit et a te pœnas exigere, « tibi pepercit, neque illa usus est opportunitate, quam, si « tibi ad mei perniciem contigisset, e manibus elabi non si« visses? quando enim vestis tuæ laciniam præcidebam, « potui tunc et caput amputasse ». Pannoque simul prolato verbis fidem adstruit. « Sed ego, inquit, ab justa quidem « vindicta abstinui, tu vero non erubescis odio me injusto « prosequi. Hanc causam Deus suscipiat, moresque no« stros redarguat ». Saulus autem, modo incredibili se servatum esse demiratus, ejusque modestia et ingenio attonitus ingemuit. Atque idem quum fecisset Davides, rex justius esse se ingemiscere respondit, « nam tu, inquit, « mihi bonorum causa exstitisti, ipse vero tibi calamitatum : « hodie etiam ostendisti priscam illorum in te vigere justi« tiam, qui inimicos in solitudine captos servandos esse « edixerunt. Itaque nunc persuasum habeo regnum tibi a

« τὴν βασιλείαν ὁ Θεὸς φυλάττει καὶ περιμένει σὲ τὸ « πάντων τῶν Ἑβραίων κράτος. Δὸς δή μοι πίστεις « ἐνόρκους μή μου τὸ γένος ἐξαφανίσαι μηδ' ἐμοὶ μνη- « σικακοῦντα τοὺς ἐμοὺς ἐκγόνους ἐξαπολέσαι, τηρῆ- « σαι δέ μοι καὶ σῶσαι τὸν οἶκον. » Ὁμόσας δὲ, καθὼς ἠξίωκε, Δαυίδης Σάουλον μὲν εἰς τὴν ἰδίαν ἀπέλυσε βασιλείαν, αὐτὸς δὲ μετὰ τῶν σὺν αὐτῷ εἰς τὴν Μασθηρῶν ἀνέβη στενήν.

ε'. Ἀποθνήσκει δὲ κατὰ τοῦτον τὸν καιρὸν καὶ Σαμούηλος ὁ προφήτης, ἀνὴρ οὐ τῆς τυχούσης ἀπολαύσας παρὰ τοῖς Ἑβραίοις τιμῆς. Ἀλλ' ἐνεφάνισε γὰρ τὴν ἀρετὴν αὐτοῦ καὶ τὴν τοῦ πλήθους πρὸς αὐτὸν εὔνοιαν τὸ πένθος, ὃ ἐπὶ πολὺν χρόνον ὁ λαὸς ἦγετο, καὶ ἡ περὶ τὴν ταφὴν αὐτοῦ καὶ τὴν τῶν νομιζομένων ἀναπλήρωσιν φιλοτιμία τε καὶ σπουδή. Θάπτουσι δ' αὐτὸν ἐν τῇ πατρίδι Ἀριμαθᾷ, καὶ ἐπὶ πολλὰς πάνυ ἡμέρας ἔκλαυσαν, οὐχ οἷον τοῦτο πάσχοντες ὡς ἐπ' ἀλλοτρίου τελευτῇ, ὡσεὶ οἰκεῖον δ' ἕκαστος ἴδιον ποθῶν. Ἐγένετο δ' ἀνὴρ δίκαιος καὶ χρηστὸς τὴν φύσιν, καὶ διὰ τοῦτο μάλιστα φίλος τῷ Θεῷ. Ἦρξε δὲ καὶ προέστη τοῦ λαοῦ μετὰ τὴν Ἠλεὶ τοῦ ἀρχιερέως τελευτὴν μόνος μὲν ἔτη δώδεκα, μετὰ δὲ τοῦ Σαούλου τοῦ βασιλέως δέκα πρὸς τοῖς ὀκτώ. Καὶ τὰ μὲν περὶ Σαμούηλον τοῦτο τὸ πέρας ἔσχεν.

ς'. Ἦν δέ τις τῶν Ζιφηνῶν ἐκ πόλεως Ἐμμᾶ πλούσιος καὶ πολυθρέμματος. Τρισχιλίων μὲν γὰρ αὐτῷ ποίμνη προβάτων ἐνέμετο, χιλίων δ' αἰγῶν. Ταῦτα Δαυίδης ἀσινῆ τηρεῖν τε καὶ ἀβλαβῆ παρήγγελλε τοῖς σὺν αὐτῷ, καὶ μήτε ὑπὸ ἐπιθυμίας μήτε ὑπὸ ἐνδείας, μήτε ὑπὸ τῆς ἐρημίας καὶ τοῦ δύνασθαι λανθάνειν καταβλάπτειν· τούτων δ' ἁπάντων ἐπάνω τίθεσθαι τὸ μηδὲν ἀδικεῖν καὶ τὸ τῶν ἀλλοτρίων ἅπτεσθαι δεινὸν ἡγεῖσθαι καὶ πρόσαντες τῷ Θεῷ. Ταῦτα δ' ἐδίδασκεν αὐτοὺς, οἰόμενος ἀνθρώπῳ χαρίσασθαι ἀγαθῷ καὶ ταύτης τυγχάνειν ἀξίῳ τῆς προνοίας. Ἦν δὲ Νάβαλος (τοῦτο γὰρ εἶχεν ὄνομα) σκληρὸς καὶ πονηρὸς τοῖς ἐπιτηδεύμασιν, ἐκ κυνικῆς ἀσκήσεως πεποιημένος τὸν βίον, γυναικὸς δ' ἀγαθῆς καὶ σώφρονος καὶ τὸ εἶδος σπουδαίας λελογχώς. Πρὸς οὖν τὸν Νάβαλον τοῦτον, καθ' ὃν ἔκειρε τὰ πρόβατα καιρὸν, πέμψας ὁ Δαυίδης ἄνδρας δέκα τῶν σὺν αὐτῷ, διὰ τούτων αὐτὸν ἀσπάζεται καὶ συνεύχεται τοῦτο ποιεῖν ἐπ' ἔτη πολλά· παρασχεῖν δὲ ἐξ ὧν δύνατός ἐστιν αὐτῷ παρεκάλει, μαθόντι παρὰ τῶν ποιμένων ὅτι μηδὲν αὐτοὺς ἠδικήκαμεν, ἀλλὰ φύλακες αὐτῶν τε καὶ τῶν ποιμνίων γεγόναμεν, πολὺν ἐν τῇ ἐρήμῳ διατρίβοντες ἤδη χρόνον· μετανοήσειν δ' οὐδὲν Δαυίδῃ παρασχόμενον. Ταῦτα δὲ τῶν πεμφθέντων διακονησάντων πρὸς τὸν Νάβαλον, ἀπανθρώπως σφόδρα καὶ σκληρῶς ἀπήντησεν. Ἐρωτήσας γὰρ αὐτοὺς τίς ἐστι Δαυίδης, ὡς τὸν υἱὸν ἤκουσεν Ἰεσσαίου, νῦν ἄρα, εἶπε, μέγα φρονοῦσιν ἐφ' ἑαυτοῖς οἱ δραπέται καὶ σεμνύνονται, τοὺς δεσπότας καταλιπόντες. Ὀργίζεται δ' αὐτῶν φρασάντων ὁ Δαυίδης, καὶ τετρακοσίους μὲν ὡπλισμένους αὐτῷ κελεύσας ἕπεσθαι, διακο-

« Deo adservari, tibique cessurum esse Hebræorum omnium « imperium. Quare jurejurando mihi fidem facias, te genus « meum non esse deleturum, neque injuriarum memorem « exitio daturum liberos meos, sed domum meam custo- « diturum esse et servaturum ». Quum autem in hæc, prout *rex* postulaverat, jurasset Davides, Saulum quidem in regnum suum dimisit, ipse vero cum suis ad angustias Mastherôn ascendit.

5. Sub hoc tempus et Samuelus propheta vita decessit, vir non vulgarem inter Hebræos honorem assecutus. Illud etenim virtutis ipsius et populi erga ipsum benevolentiæ indicium erat, quod eum diu luxerint et lamentarint, atque sepulturam ejus solennesque exsequias certatim et magno studio celebrarint. Sepelierunt autem eum in Armatha patria sua, multisque diebus eum defleverunt, non quasi in publico mœrore ex morte alieni, sed quasi suum quisque cognatum desideraret. A natura enim fictus formatusque erat ad justitiam et bonitatem, proptereaque Deo eximie carus. Imperavit autem populoque præfuit, solus quidem post mortem Eli pontificis annis duodecim, cum Saulo vero rege duodeviginti. Et hæc quidem, quæ ad Samuelum spectant, hunc finem habuerunt.

6. Tum vero erat Ziphenus quidam ex urbe Emma, locuples et multo pecore abundans. Nam in pascuis alebat ovium quidem tria millia, mille vero capras. Hæc Davides jussit suis curare ut integra atque salva forent, neque illa lædere ex nimia cupiditate, aut ex urgenti inopia, aut ex spe latendi in deserto; hisce vero omnibus antiquius habere nemini injuriam facere, atque nefas ducere Deoque adversum res alienas contrectare. Illos autem ita docebat, existimans se gratiam initurum esse a viro bono dignoque cui hæc cura adhiberetur. At Nabalus (hoc enim nomen habebat) duro erat ingenio et malis moribus, qui ex cynica consuetudine vitam instituerat, uxorem vero nactus bonam atque prudentem, formaque proba. Ad hunc igitur Nabalum, quo tempore ovium tonsuram faciebat, quum Davides decem viros e suis misisset, per illos eum salutat, simulque precatur ut in multos annos idem facere illi daretur : deinde vero obsecrabat ut sibi ex iis quibus plurimum pollebat aliquid impertiret, certior a pastoribus factus quod longo jam tempore in solitudine versati, nulla eos injuria affecerimus, sed illorum gregumque custodes fuerimus : futurum autem non esse ut ipsum pœniteat, si quid Davidi contulerit. At quum ii qui missi erant hæc peregissent ad Nabalum, ille inhumaniter admodum et aspere eos excipit. Nam ab iis percontatus quis esset Davides, ut audivit esse Jessæi filium, « nunc igitur, inquiebat, magnifice de se sentiunt fugitivi, seque insolentius efferunt, relictis dominis. » Davides autem, quum hæc illi retulissent, gravius commovetur, et quadringentis quidem armatis ipsum sequi jussis,

σίους δὲ φύλακας τῶν σκευῶν καταλιπὼν, (ἤδη γὰρ εἶχεν ἑξακοσίους,) ἐπὶ τὸν Νάβαλον ἐβάδιζεν, ὀμόσας ἐκείνῃ τῇ νυκτὶ τὸν οἶκον αὐτοῦ καὶ τὴν κτῆσιν ὅλην ἀφανίσειν. Οὐ γὰρ ἄχθεσθαι μόνον ὅτι γέγονεν ἀχάριστος εἰς αὐτοὺς, μηδὲν ἐπιδοὺς πολλῇ φιλανθρωπίᾳ πρὸς αὐτὸν χρησαμένοις, ἀλλ' ὅτι καὶ προσεβλασφήμησε καὶ κακῶς εἶπε μηδὲν ὑπ' αὐτῶν λελυπημένος.

Ϛ'. Δούλου δέ τινος τῶν τὰ ποίμνια φυλαττόντων τὰ τοῦ Ναβάλου πρὸς τὴν δέσποιναν μὲν αὐτοῦ, γυναῖκα δ' ἐκείνου, κατειπόντος ὅτι πέμψας ὁ Δαυΐδης αὐτῆς πρὸς τὸν ἄνδρα μηδενὸς τύχοι τῶν μετρίων, ἀλλὰ καὶ προσυβρισθείη βλασφημίαις δειναῖς, πάσῃ περὶ αὐτοὺς προνοίᾳ καὶ φυλακῇ τῶν ποιμνίων χρησάμενος, γεγονέναι δὲ τοῦτο ἐπὶ τῷ κακῷ τῷ τοῦ δεσπότου· καὶ ταῦτ' ἐκείνου φήσαντος, Ἀβιγαία (προσηγορεύετο γὰρ οὕτως) εὐθέως ἐπισάξασα τοὺς ὄνους καὶ πληρώσασα παντοίων ξενίων καὶ μηδὲν εἰποῦσα τἀνδρὶ, (ὑπὸ γὰρ μέθης ἀναίσθητος ἦν,) ἐπορεύετο πρὸς Δαυΐδην. Καταβαινούσῃ δὲ τὰ στενὰ τοῦ ὄρους ἀπήντησε Δαυΐδης μετὰ τετρακοσίων ἐπὶ Νάβαλον ἐρχόμενος. Θεασαμένη δ' αὐτὸν ἡ γυνὴ κατεπήδησεν καὶ πεσοῦσα ἐπὶ πρόσωπον προσεκύνει, καὶ τῶν μὲν Ναβάλου λόγων ἐδεῖτο μὴ μνημονεύειν, (οὐ γὰρ ἀγνοεῖν αὐτὸν ὅμοιον ὄντα τῷ ὀνόματι· Νάβαλος δὲ κατὰ τὴν Ἑβραίων γλῶτταν ἀφροσύνην δηλοῖ,) αὐτὴ δ' ἀπελογεῖτο μὴ θεάσασθαι τοὺς πεμφθέντας ὑπ' αὐτοῦ. « Διὸ συγγί-
« νωσκέ μοι, φησὶ, καὶ τῷ Θεῷ χάριν ἔχε κωλύοντί
« σε μιανθῆναι ἀνθρωπίνῳ αἵματι. Μένοντα γάρ σε
« καθαρὸν ἐκεῖνος αὐτὸς ἐκδικήσει παρὰ τῶν πονηρῶν.
« Ἃ γὰρ ἐκδέχεται κακὰ Νάβαλον, ταῦτα καὶ ταῖς τῶν
« ἐχθρῶν σου κεφαλαῖς συμπέσοι· γενοῦ δὲ εὐμενής
« μοι, κρίνας ἀξίαν τοῦ παρ' ἐμοῦ ταῦτα δέξασθαι, καὶ
« τὸν θυμὸν καὶ τὴν ὀργὴν τὴν ἐπὶ τὸν ἄνδρα μου καὶ
« τὸν οἶκον αὐτοῦ εἰς τὴν ἐμὴν τιμὴν ἄφες. Πρέπει
« γὰρ ἡμέρῳ σοι καὶ φιλανθρώπῳ τυγχάνειν, καὶ ταῦτα
« μέλλοντι βασιλεύειν ». Ὁ δὲ τὰ δῶρα δεξάμενος,
« ἀλλὰ σὲ, φησὶν, ὦ γύναι, Θεὸς εὐμενὴς ἤγαγε πρὸς
« ἡμᾶς τήμερον· οὐ γὰρ ἂν τὴν ἐπερχομένην ἡμέραν
« εἶδες, ἐμοῦ τὸν οἶκον τὸν Ναβάλου διὰ τῆσδε τῆς
« νυκτὸς ὁμόσαντος ἀπολέσαι καὶ μηδένα ὑμῶν ἀπολεί-
« ψειν ἀπὸ ἀνδρὸς πονηροῦ καὶ ἀχαρίστου πρὸς ἐμὲ καὶ
« τοὺς ἐμοὺς ἑταίρους γενομένου. Νῦν δὲ φθάσασα
« προέλαβες καταμειλίξασθαί μου τὸν θυμὸν, κηδομέ-
« νου σου τοῦ Θεοῦ. Ἀλλὰ Νάβαλος μὲν, κἂν ἀφεθῇ
« νῦν διὰ σὲ τῆς τιμωρίας, οὐ φεύξεται τὴν δίκην,
« ἀλλ' ὁ τρόπος αὐτὸν ἀπολεῖ, λαβὼν αἰτίαν ἄλλην. »

Η'. Ταῦτ' εἰπὼν ἀπολύει τὴν γυναῖκα· ἡ δὲ εἰς τὸν οἶκον ἐλθοῦσα καὶ καταλαβοῦσα τὸν ἄνδρα μετὰ πολλῶν εὐωχούμενον καὶ κεχαρωμένον ἤδη, τότε μὲν οὐδὲν τῶν γεγενημένων διεσάφει, τῇ δ' ἐπιούσῃ νήφοντι ἅπαντα δηλώσασα παρεθῆναι καὶ πᾶν ἐν αὐτῷ νεκρωθῆναι τὸ σῶμα ὑπὸ τῶν λόγων καὶ τῆς ἐπ' αὐτοῖς λύπης ἐποίησε. Καὶ δέκα οὐ πλείους ἐπιζήσας ἡμέρας τὸν

ducentis vero ad impedimenta custodienda relictis, (jam enim sexcentos coegerat,) ibat contra Nabalum, postquam juraverat se domum ejus et bona omnia ea nocte in nihilum redacturum. Se enim non id solum ægre ferre, quod animo fuerit in ipsos ingrato, nihil eis largitus, qui sese adversus ipsum multa cum humanitate gessissent, sed et quod conviciis et maledictis eos impeteret, nulla injuria ab ipsis affectus.

7. Quum vero servus quidam, ex iis qui Nabali greges custodiebant, heræ quidem suæ, Nabali vero uxori, enarraret quod Davides, missis *aliquot de suis* ad maritum ejus, ne quod æquum quidem esset impetrarit, sed e contra gravibus conviciis appetitus fuerit, quum *tamen* ipsis in gregum cura et custodia se quammaxime benignum præstiterit, hoc autem domino in damnum cessisse, illo ista loquto, Abigæa (ita enim vocabatur) cum asinos statim clitellari jussisset, et variis muneribus eos onerasset, ne verbo quidem facto ad maritum, (nam ex ebrietate haud mentis compos erat,) Davidi obviam proficiscebatur. Illi autem per montis angustias descendenti occurrit Davides cum viris quadringentis ad Nabalum contendens. Tum mulier, viso illo, confestim desiluit et in faciem procidens adorabat, supplexque petebat ut nollet verborum Nabali meminisse : non enim ignorare eum nomini suo plane respondere : nam Hebræorum lingua Nabalus stultitiam denotat; ipsa autem sese excusabat, quod neminem eorum viderit qui ab ipso missi fuerant. « Quare mihi, inquit, ignoscas
« precor, Deoque gratias age, qui tibi obstitit quominus
« humano sanguine manus polluas. Nam ille ipse, si in-
« contaminatus permanseris, ab iis qui maligni sunt pœnas
« exiget. Mala enim quæ Nabalum manent, illa in inimi-
« corum tuorum capita recidant. At mihi benignus sis, et
« ista a me accipere digneris, atque iram et indignationem
« qua in maritum ejusque domum commoveris, mei in ho-
« norem remittas. Te enim decet mansuetum esse atque
« humanum, præsertim quum sis regnaturus ». Ille vero muneribus acceptis ait, « Deus sane propitius te, o mu-
« lier, ad nos adduxit : alioqui crastina tibi non illuxisset
« dies, quum juraverim hac ipsa nocte eversum ire Nabali
« domum, vestrûmque neminem superstitem relicturum ex
« familia hominis maligni et in me meosque summe ingrati.
« Jam vero, tui curam gerente Deo, mature mihi obviam
« facta es, ut iram meam delinires. Sed Nabalus quidem,
« per te licet supplicio nunc eximatur, pœnam tamen non
« effugiet : sui enim sibi, ex alia occasione, exitio erunt
« mores. »

8. Hæc locutus mulierem dimisit. Illa vero, domum reversa virumque nacta cum multis epulantem et jam vino gravatum, tunc quidem nihil eorum quæ facta sunt exposuit, die vero sequenti, quum sobrio omnia declarasset, effecit ut vires ei solverentur, et totum corpus prope jam mortuum esset, propter *ejus* sermones et dolorem ex iis conceptum. Nec pluribus diebus, quam decem, vita pro-

βίον κατέστρεψε ὁ Νάβαλος. Ἀκούσας δ' αὐτοῦ τὴν τελευτὴν ὁ Δαυίδης ἐκδικηθῆναι μὲν αὐτὸν ὑπὸ τοῦ Θεοῦ καλῶς ἔλεγεν· ἀποθανεῖν γὰρ Νάβαλον ὑπὸ τῆς ἰδίας πονηρίας, καὶ δοῦναι δίκην αὐτῷ καθαρὰν ἔχοντι τὴν δεξιάν. Ἔγνω δὲ καὶ τότε τοὺς πονηροὺς ἐλαυνομένους ὑπὸ τοῦ Θεοῦ, καὶ μηδενὸς τῶν ἐν ἀνθρώποις ὑπερορῶντα, διδόντα δὲ τοῖς μὲν ἀγαθοῖς τὰ ὅμοια, τοῖς δὲ πονηροῖς ὀξεῖαν ἐπιφέροντα τὴν ποινήν. Πέμψας δ' αὐτοῦ πρὸς τὴν γυναῖκα συνοικήσουσαν καὶ γαμηθησομένην καλεῖ πρὸς αὑτόν· ἡ δὲ ἀναξία μὲν εἶναι καὶ ποδῶν ἅψασθαι τῶν ἐκείνου πρὸς τοὺς παρόντας ἔλεγεν, ὅμως δὲ μετὰ πάσης τῆς θεραπείας ἦλθε. Καὶ συνῴκησε μὲν αὐτῷ, ταύτην λαβοῦσα τὴν τιμὴν, καὶ διὰ τὸν τρόπον σώφρονα ὄντα καὶ δίκαιον τυχοῦσα ταύτης καὶ διὰ τὸ κάλλος. Εἶχε δὲ Δαυίδης γυναῖκα πρότερον, ἣν ἐξ Ἀβισάρου πόλεως ἔγημε· Μιχάλαν δὲ τὴν Σαούλου τοῦ βασιλέως θυγατέρα τὴν γενομένην τοῦ Δαυίδου γυναῖκα ὁ πατὴρ τῷ Φελτίᾳ υἱῷ Λίσου συνέζευξεν, ἐκ πόλεως ὄντι Γεθλᾶς.

θ'. Μετὰ ταῦτα τινὲς ἐλθόντες τῶν Ζιφηνῶν ἀπήγγειλαν τῷ Σαούλῳ ὡς εἴη πάλιν Δαυίδης ἐν τῇ χώρᾳ αὐτῶν, καὶ δύνανται συλλαβεῖν αὐτὸν, βουλομένῳ συνεργῆσαι. Ὁ δὲ μετὰ τρισχιλίων ὁπλιτῶν ἐβάδιζεν ἐπ' αὐτὸν, καὶ νυκτὸς ἐπελθούσης, ἐστρατοπέδευσεν ἐπί τινι τόπῳ Σεκελὰ λεγομένῳ. Δαυίδης δ' ἀκούσας τὸν Σάουλον ἐπ' αὐτὸν ἥκοντα, πέμψας κατασκόπους, ἐκέλευσε δηλοῦν αὐτῷ ποῦ τῆς χώρας Σάουλος ἤδη προσεληλύθει. Τῶν δ' ἐν Σεκελᾷ φρασάντων, διανυκτερεύει διαλαθὼν τοὺς ἰδίους, καὶ εἰς τὸ τοῦ Σαούλου στρατόπεδον παραγίνεται, ἐπαγόμενος τὸν ἐκ τῆς ἀδελφῆς αὐτοῦ Σαρουΐας Ἀβισαῖον, καὶ Ἀχιμέλεχον τὸν Χετταῖον. Τοῦ δὲ Σαούλου κοιμωμένου καὶ περὶ αὐτὸν ἐν κύκλῳ τῶν ὁπλιτῶν καὶ τοῦ στρατηγοῦ Ἀβεννήρου κειμένων, ὁ Δαυίδης εἰσελθὼν εἰς τὸ στρατόπεδον τὸ τοῦ βασιλέως, οὔτ' αὐτὸς ἀναιρεῖ τὸν Σάουλον, ἐπιγνοὺς αὐτοῦ τὴν κοίτην ἐκ τοῦ δόρατος, (τοῦτο γὰρ αὐτῷ παρεπεπήγει,) οὔτε τὸν Ἀβισαῖον βουλόμενον φονεῦσαι καὶ πρὸς τοῦτο ὡρμηκότα εἴασεν, ἀλλὰ τὸν ὑπὸ τοῦ Θεοῦ κεχειροτονημένον βασιλέα φήσας εἶναι δεινὸν ἀποκτεῖναι, κἂν ᾖ πονηρὸς, (ἕξειν γὰρ αὐτῷ παρὰ τοῦ δόντος τὴν ἀρχὴν σὺν χρόνῳ τὴν δίκην,) ἐπέσχε τῆς ὁρμῆς. Σύμβολον δὲ τοῦ κτεῖναι δυνηθεὶς ἀποσχέσθαι λαβὼν αὐτοῦ τὸ δόρυ καὶ τὸν φακὸν τοῦ ὕδατος, ὃς κοιμωμένῳ παρέκειτο τῷ Σαούλῳ, μηδενὸς αἰσθομένου τῶν ἐν τῷ στρατοπέδῳ, πάντων δὲ κατακοιμωμένων, ἐξῆλθεν ἀδεῶς πάντ' ἐργασάμενος ὅσα καὶ τοῦ καιροῦ διδόντος αὐτῷ καὶ τῆς τόλμης διέθηκε τοὺς τοῦ βασιλέως. Διαβὰς δὲ τὸν χείμαρρον καὶ ἐπὶ τὴν κορυφὴν ἀνελθὼν τοῦ ὄρους ὅθεν ἐμελλεν ἑξακουστὸς εἶναι ἐμβοήσας τοῖς στρατιώταις τοῦ Σαούλου καὶ τῷ στρατηγῷ Ἀβεννήρῳ, διανίστησιν αὐτοὺς ἐκ τοῦ ὕπνου, τοῦτόν τε ἐφώνει καὶ τὸν λαόν. Ἐπακούσαντος δὲ τοῦ στρατηγοῦ καὶ τίς ὁ καλέσας αὐτὸν ἐστὶν ἐρομένου, Δαυίδης εἶπεν, « ἐγὼ, παῖς μὲν Ἰεσσαίου, φυγὰς δὲ ὑμέτερος.

ducta, eam cum morte commutavit Nabalus. Davides autem, ut illum defunctum esse acceperat, a Deo quidem eum merito vindicatum esse dicebat; suapte enim malitia interiisse Nabalum, sibique pœnas persolvisse dextram habenti cædis puram. Quin et tum didicit scelestos a Deo exagitari, ipsumque omnium hominum neminem negligere, sed bonis quidem similia rependere, malis vero acrem pœnam infligere. Moxque missis ad uxorem ejus nunciis, ipsam, ut una secum esset sibique connubio jungeretur, ad se accersit. Illa vero ad eos, quum adessent, dicebat se indignam esse quæ vel pedes ejus amplecteretur, cum omni tamen observantia veniebat. Ac illi quidem nupsit, hunc honorem consecuta et propter modestiam suam bonosque mores, et propter formæ gratiam. Davides autem uxorem antea habuerat, quam ex urbe Abisaro duxerat: Michalam vero Sauli regis filiam, prius Davidi nuptam, pater ipsius Pheltiæ Lisi filio de civitate Gethla locaverat.

9. Aliquanto post Ziphenorum quidam venerunt, Sauloque nunciaverunt Davidem rursum in ipsorum regione esse, seque illum capere posse, modo ipse vellet illis auxilio esse. Tum ille cum tribus hominum millibus ad eum contendebat, et nocte appetente castra posuit in loco quodam, cui nomen Secela. Davides autem ut audierat Saulum contra se venire, missis exploratoribus, jussit sibimet nunciari ad quem regionis locum Saulus jam accessisset. Quum vero illi *Saulum* apud Secelam esse narrassent, clam suis pernoctavit, aditque Sauli castra, adducto secum Abisæo, sororis suæ Saruiæ filio, et Achimelecho Chettæo. Dum autem Saulus dormiret et circa eum milites in ambitu jacerent una cum Abennero exercitus duce, Davides, in regis tentorium ingressus, neque ipse regem, agnito ejus cubili ex hasta, (illa enim juxta eum defixa erat,) interficere sustinuit, neque Abisæum permisit, qui cupiebat et impetu ad eum occidendum ferebatur, sed quum grave esse dixisset regem a Deo creatum interimere quantumvis pravum, (ei enim ultionem tempore suo venturam ab eo qui imperium dederit,) conatum ejus repressit. Attamen ut appareret, quod quum potuisset eum occidere *manus* abstinuerit, capta ejus hasta et aquæ lenticula, quæ Saulo quiescenti erat admota, quum in castris nemo animadverterit, omnibus dormientibus, discessit, secure omnia exsecutus, quæ, prout tempus ei concederet, auderetve, in regios agere volebat. Torrentem vero transgressus, et conscenso montis vertice, unde facile poterat exaudiri, vociferatus ad Sauli milites et ad Abennerum exercitus ducem, e somno eos excitavit, atque ad hunc clamabat et populum. Quum autem *hoc* audierit exercitus dux, et rogaverit quisnam esset qui ipsum appellavisset, Davides aiebat, « ego, « Jessæi quidem filius, a vobis vero profugus. Sed qui

« Ἀλλὰ τί δή ποτε, μέγας τε ὢν καὶ τὴν πρώτην ἔχων « παρὰ τῷ βασιλεῖ τιμὴν, οὕτως ἀμελῶς τὸ τοῦ δε- « σπότου φυλάσσεις σῶμα, καὶ ὕπνος ἡδίων ἐστί σοι τῆς « τούτου σωτηρίας καὶ προνοίας; θανάτου γὰρ ταῦτα « ἄξια καὶ τιμωρίας, οἵ γε μικρὸν ἔμπροσθε εἰσελθόν- « τας τινὰς ἡμῶν εἰς τὸ στρατόπεδον ἐπὶ τὸν βασιλέα « καὶ πάντας τοὺς ἄλλους οὐκ ἐνοήσατε. Ζήτησον « οὖν τὸ δόρυ τοῦ βασιλέως καὶ τὸν φακὸν τοῦ ὕδατος, « καὶ μαθήσῃ πηλίκον ὑμᾶς ἔλαθε κακὸν ἐντὸς γενόμε- « νον ». Σάουλος δὲ γνωρίσας τὴν Δαυίδου φωνὴν καὶ μαθὼν ὅτι λαβὼν αὐτὸν ἔκδοτον ὑπὸ τοῦ ὕπνου καὶ τῆς τῶν φυλαττόντων ἀμελείας οὐκ ἀπέκτεινεν, ἀλλ' ἐφείσατο δικαίως ἂν αὐτὸν ἀνελών, χάριν ἔχειν αὐτῷ τῆς σωτηρίας ἔλεγε, καὶ παρεκάλει θαρροῦντα καὶ μηδὲν ἔτι πείσεσθαι δεινὸν ἐξ αὐτοῦ φοβούμενον ἀναχωρεῖν ἐπὶ τὰ οἰκεῖα· πεπεῖσθαι γὰρ ὅτι μηδ' αὐτὸν οὕτως ἀγαπήσειεν ὡς ὑπ' ἐκείνου στέργεται, ὃς τὸν μὲν φυλάττειν αὐτὸν δυνάμενον καὶ πολλὰ δείγματα τῆς εὐνοίας παρεσχημέ- νον ἐλαύνοι, καὶ τοσοῦτον ἐν φυγῇ χρόνον καὶ ταῖς περὶ τὴν ψυχὴν ἀγωνίαις ἠνάγκασε ζῆσαι, φίλων καὶ συγγε- νῶν ἔρημον, αὐτὸς δ' οὐ παύεται πολλάκις ὑπ' αὐτοῦ σωζόμενος, οὐδὲ τὴν ψυχὴν φανερῶς ἀπολλυμένην λαμ- βάνων. Ὁ δὲ Δαυίδης πέμψαντα ἀπολαβεῖν ἐκέλευσε τὸ δόρυ καὶ τὸν φακὸν τοῦ ὕδατος, ἐπειπὼν ὡς ὁ Θεὸς ἑκατέρῳ τῆς ἰδίας φύσεως καὶ τῶν κατ' αὐτὴν πεπρα- γμένων ἔσται δικαστὴς, ὃς ὅτι καὶ κατὰ τὴν παροῦσαν ἡμέραν ἀποκτεῖναί σε δυνηθεὶς ἀπεσχόμην οἶδε.

ι'. Καὶ Σάουλος μὲν δεύτερον διαφυγὼν τὰς Δαυίδου χεῖρας εἰς τὰ βασίλεια καὶ τὴν οἰκείαν ἀπηλλάσσετο, φοβηθεὶς δὲ Δαυίδης μὴ μένων αὐτόθι συλληφθῇ ὑπὸ τοῦ Σαούλου, τοῦτο συμφέρειν ἔκρινεν, εἰς τὴν Πα- λαιστίνην ἀναβὰς διατρίβειν ἐν αὐτῇ. Καὶ μετὰ τῶν ἑξακοσίων, οἳ περὶ αὐτὸν ἦσαν, παραγίνεται πρὸς Ἄγχοῦν τὸν Γίττης βασιλέα· μία δ' ἦν αὕτη τῶν πέντε πόλεων. Δεξαμένου δ' αὐτὸν τοῦ βασιλέως σὺν τοῖς ἀνδράσιν καὶ δόντος οἰκητήριον, ἔχων ἅμα καὶ τὰς δύο γυναῖκας, Ἀχιμὰν καὶ Ἀβιγαίαν, διῆγεν ἐν τῇ Γίττᾳ. Σαούλῳ δὲ ταῦτα ἀκούσαντι λόγος οὐκέτ' ἦν πέμπειν ἐπ' αὐτὸν ἢ βαδίζειν· δὶς γὰρ ἤδη κινδυνεῦσαι παρὰ μικρὸν ἐπ' ἐκείνῳ γενόμενον, συλλαβεῖν αὐτὸν σπουδάσαντα. Δαυίδῃ δ' οὐκ ἔδοξεν ἐν τῇ πόλει τῶν Γιττῶν μένειν, ἀλλ' ἐδεήθη τοῦ βασιλέως αὐτῶν, ἵν', ἐπειδὴ φιλανθρώπως αὐτὸν ὑπεδέξατο, καὶ τοῦτο χαρί- σηται, τόπον τινὰ τῆς χώρας δοὺς αὐτῷ πρὸς κατοί- κησιν· αἰδεῖσθαι γὰρ διατρίβων ἐν τῇ πόλει βαρὺς αὐτῷ καὶ φορτικὸς εἶναι. Δίδωσι δ' Ἄγχοῦς αὐτῷ κώμην τινὰ Σεκελὰν καλουμένην, ἣν βασιλεύσας ὁ Δαυίδης ἀγαπῶν ἴδιον κτῆμα ἐτίμησεν εἶναι καὶ οἱ παῖ- δες αὐτοῦ. Ἀλλὰ περὶ μὲν τούτων ἐν ἄλλοις δηλώσο- μεν. Ὁ δὲ χρόνος, ὃν κατῴκησεν Δαυίδης ἐν Σεκελᾷ τῆς Παλαιστίνης, ἐγένετο μῆνες τέσσαρες πρὸς ταῖς εἴκοσιν ἡμέραις. Ἐπερχόμενος δὲ λάθρα τοῖς πλησιο- χώροις τῶν Παλαιστίνων, Σερρίταις καὶ Ἀμαληκίταις, διήρπαζεν αὐτῶν τὴν χώραν, καὶ λείαν πολλὴν κτηνῶν

« fit ut tu vir magnus et apud regem ceteris honore præ- « latus, negligenter adeo custodias domini corpus? num « tibi magis volupe est somnum capere quam ejus salutis « curam gerere? Hæc enim mortis supplicio digna sunt, « quippe qui modo quosdam e nostris in castra ad regem et « ceteros omnes ingressos non persensistis. Quære itaque « ubi sit hasta regis et aquæ lenticula, et disces quantum « mali in castris commissi vos latuit ». Saulus autem, agnita Davidis voce intellectoque quod, quum deprehendis- set ipsum a somno et custodum negligentia proditum, non tamen occiderit, sed pepercerit, quum juste se perimere potuisset, gratias pro salute se illi habere dicebat, horta- baturque ut sumpta fiducia, et nihil amplius mali ab ipso metuens, domum suam reverteretur. Sibi enim persuasum esse quod non se ipsum ita amaret ut ab ipso diligeretur, quum eum quidem, qui ipsum custodire posset et multa benevolentiæ indicia dederit, persequeretur, et ad vitam tam diu in exsilio summaque de anima sua sollicitudine agendam adigeret, absque amicorum et cognatorum consortio, ipse vero adhuc ab eo conservari non cesset, animamque suam manifestum in discrimen adductam salvam reciperet. Da- vides autem jussit aliquem ab eo mitti, qui hastam recipe- ret et aquæ lenticulam, isto adjecto, fore ut Deus ipsos ex ingenio utrumque suo factisque inde prodeuntibus judicaret; qui norit quod, quum te hodie occidere potuissem, manus abstinuerim.

10. Et Saulus quidem, quum iterum ex Davidis manibus evasisset, in regiam et patriam suam reversus est; at Da- vides, veritus ne quando a Saulo caperetur si illic maneret, sibi consultius esse putabat ut in Palæstinam ascenderet, seque illius intra fines contineret. Itaque cum sexcentis, quos circa se habuit, ad Anchum concedit Gittæ regem : illa autem erat una e quinque *Palæstinæ* civitatibus. Et quum rex eum virosque excepisset, locumque ad habitan- dum dedisset, Gittæ degebat una cum duabus uxoribus Achima et Abigæa. Saulo autem, hac de re certiori facto, non jam curæ erat aut contra eum proficisci, aut ut milites mitteret : jam enim bis adeo periclitatum fuisse, ut parum abfuerit quin in ejus manus incideret, dum eum capere moliretur. Davidi autem non placuit in Gittensium urbe manere, sed regem eorum oravit ut, quum benigne eum ex- ceperit, hoc etiam concederet ut locum sibi aliquem in regione sua ad habitandum daret : vereri enim ne, si in urbe moraretur, ipsi molestiæ esset onerique. Tum An- chus vicum quendam, Secelam nomine, ei donavit, quem Davides regnum adeptus, quod cum dilexerit, pro pri- vata sua possessione habuit, ejusque similiter posteri. Sed de his quidem alibi dicemus. Temporis autem spa- tium, quo Davides in Secela moratus est, conficiebat quat- tuor menses cum viginti diebus. Atque in vicinæ regionis Palæstinos, Serritas et Amalecitas, clam incursiones fa- ciens, terram eorum diripiebat, multaque jumentorum et

καὶ καμήλων λαμβάνων ὑπέστρεφεν· ἀνθρώπων γὰρ ἀπείχετο, δεδιὼς μὴ καταμηνύσωσιν αὐτὸν πρὸς Ἄγχοῦν τὸν βασιλέα, τὸ μέντοι γε τῆς λείας μέρος αὐτῷ δωρεὰν ἔπεμπε. Τοῦ δὲ βασιλέως πυθομένου τίσιν ἐπιτιθέμενος τὴν λείαν ἀπήλασε, τοῖς πρὸς τὸν νότον τῶν Ἰουδαίων τετραμμένοις καὶ ἐν τῇ πεδιάδι κατοικοῦσιν εἰπὼν, πείθει τὸν Ἄγχοῦν φρονῆσαι οὕτως· ἤλπισε γὰρ οὗτος ὅτι Δαυίδης ἐμίσησε τὸ ἴδιον ἔθνος, καὶ δοῦλον ἕξειν παρ' ὃν ζῇ χρόνον ἐν τοῖς αὐτοῦ καταμένοντα.

ΚΕΦ. ΙΔ'.

Κατὰ δὲ τὸν αὐτὸν καιρὸν τῶν Παλαιστίνων ἐπὶ τοὺς Ἰσραηλίτας στρατεύειν διεγνωκότων καὶ περιπεμψάντων πρὸς τοὺς συμμάχους ἅπαντας, ἵνα συμπαρῶσιν αὐτοῖς εἰς τὸν πόλεμον εἰς Ῥεγγᾶν, ὅθεν ἔμελλον ἀθροισθέντες ἐξορμᾶν ἐπὶ τοὺς Ἑβραίους, ὁ τῶν Γιττῶν βασιλεὺς Ἄγχοῦς συμμαχήσαντα τὸν Δαυίδην αὐτῷ μετὰ τῶν ἰδίων ὁπλιτῶν ἐπὶ τοὺς Ἑβραίους ** ἠξίου. Τοῦ δὲ προθύμως ὑποσχομένου καὶ φήσαντος παραστῆναι καιρὸν ἐν ᾧ τὴν ἀμοιβὴν αὐτῷ τῆς εὐεργεσίας καὶ τῆς ξενίας ἀποδώσειν αὐτὸν, καὶ φύλακα τοῦ σώματος μετὰ τὴν νίκην καὶ τοὺς ἀγῶνας τοὺς πρὸς τοὺς πολεμίους κατὰ νοῦν χωρήσαντας αὐτοῖς ἐπηγγείλατο ποιήσειν αὐτὸν, τῇ τῆς τιμῆς καὶ πίστεως ὑποσχέσει τὸ πρόθυμον αὐτοῦ μᾶλλον αὔξων.

β'. Ἔτυχε δὲ Σάουλος, ὁ τῶν Ἑβραίων βασιλεὺς, τοὺς μὲν μάντεις καὶ τοὺς ἐγγαστριμύθους καὶ πᾶσαν τὴν τοιαύτην τέχνην ἐκ τῆς χώρας ἐκβεβληκὼς, ἔξω τῶν προφητῶν. Ἀκούσας δὲ τοὺς Παλαιστίνους ἤδη παρόντας καὶ ἔγγιστα Σούνης πολεως ἐν τῷ πεδίῳ κειμένης ἐστρατοπεδευκότας, ἐξώρμησεν ἐπ' αὐτοὺς μετὰ τῆς δυνάμεως. Καὶ παραγενόμενος πρὸς ὄρει τινὶ Γελβουὲ καλουμένῳ βάλλεται στρατόπεδον ἀντικρὺ τῶν πολεμίων. Ταράττει δ' αὐτὸν οὐχ ὡς ἔτυχεν ἰδόντα ἡ τῶν ἐχθρῶν δύναμις, πολλή τε οὖσα καὶ τῆς οἰκείας κρείττων ὑπονοουμένη· καὶ τὸν Θεὸν διὰ τῶν προφητῶν ἠρώτα περὶ τῆς μάχης καὶ τοῦ περὶ ταύτην ἐσομένου τέλους προειπεῖν. Οὐκ ἀποκρινομένου δὲ τοῦ Θεοῦ, ἔτι μᾶλλον ὁ Σάουλος κατέδεισε καὶ τὴν ψυχὴν κατέπεσε, τὸ κακὸν, οἷον εἰκὸς, οὐ παρόντος αὐτῷ κατὰ χεῖρα τοῦ Θεοῦ προορώμενος. Ζητηθῆναι δ' αὐτῷ κελεύει γύναιόν τι τῶν ἐγγαστριμύθων καὶ τὰς τῶν τεθνηκότων ψυχὰς ἐκκαλουμένων, ὡς οὕτω γνωσόμενος εἰ κατὰ νοῦν χωρεῖν αὐτῷ μέλλει τὰ πράγματα. Τὸ γὰρ τῶν ἐγγαστριμύθων γένος ἀνάγον τὰς τῶν νεκρῶν ψυχὰς δι' αὐτῶν προλέγει τοῖς δεομένοις τὰ ἀποβησόμενα. Μηνυθέντος δ' αὐτῷ παρά τινος τῶν οἰκετῶν εἶναί τι γύναιον τοιοῦτον ἐν πόλει Ἐνδώρῳ, λαθὼν πάντας τοὺς ἐν τῷ στρατοπέδῳ καὶ μετεκδὺς τὴν βασιλικὴν ἐσθῆτα, δύο παραλαβὼν οἰκέτας, οὓς ἤδει πιστοτάτους ὄντας, ἦκεν εἰς τὴν Ἔνδωρον πρὸς τὴν γυναῖκα, καὶ παρεκάλει μαντεύεσθαι καὶ ἀνάγειν αὐτῷ ψυχὴν οἵπερ ἂν αὐτὸς εἴποι. Τῆς δὲ γυναικὸς ἀπομαχομένης καὶ λεγούσης

camelorum præda auctus revertebat : nam hominibus abstinebat, præ metu ne se Anchо regi indicarent; manubiarum vero partem ei dono mittebat. Rege autem quærente quosnam adortus prædam abegerit, quum dixisset Judæos ad meridiem positos et planitiem incolentes, Ancho persuadet ut ita sentiret. In eam enim spem venerat, Davidem gentem suam odisse sibique, dum viveret, servum futurum esse, suis in terris subsistentem.

CAP. XIV. (XV.)

Sub idem tempus, quum Palæstini in Israelitas exercitum educere decrevissent, et circumquaque ad auxiliares suos omnes misissent, ut ad bellum gerendum convenirent Rengam, unde conferti in Hebræos impetum facturi erant, Anchus rex Gittensium Davidem orabat ut cum copiis suis sese ei socium adjungeret contra Hebræos ** Illo vero prompte operam suam pollicente, dicenteque adesse tempus pro beneficiis gratiaque hospitali vicem rependendi, *rex*, ut honorem et fidem promittendo alacritatem ejus augeret, fore denunciavit ut corporis custodiæ illud admoveret post victoriam et si daretur cum hostibus ex animi sententia acie dimicare.

2. Jam Saulus, Hebræorum rex, divinos quidem et ventriloquos, et quicunque hujusmodi artem exercerent, e regione *sua* expulerat, præter prophetas. Quum vero audisset jam in propinquo esse Palæstinos, et non procul ab urbe Suna in planitie positâ castra metatos esse, cum copiis suis ad eos properavit. Quinque accessisset ad montem quendam Gelboe vocatum, e regione hostium consedit. Non leviter autem perturbatur animadverso hostium exercitu, quem et numero et viribus suo præstare secum reputavit, Deumque per prophetas orabat ut sibi de pugna ejusque eventu *aliquid* prædicere dignaretur. Quum vero Deus non responderet, majori adhuc commotus est terrore, animoque concidit, malum, quale verisimile *erat*, mente præsagiens, si Deus sibi in auxilium non adforet. Attamen quæri sibi jubet mulierculam aliquam ex ventriloquis et mortuorum animos evocare peritam, quasi sic intellecturus an res ex ipsius sententia processuræ essent. Nam ventriloquorum genus, exciens defunctorum animas, per eas quæ sint eventura sciscitantibus prædicit. Cumque fuisset a quodam e suis ei nunciatum, hujusmodi mulierculam esse in urbe Endoro, insciis omnibus in exercitu et mutato regio habitu, assumptis duobus e suis quos sibi fidissimos esse novit, nocte Endorum venit ad mulierem, eamque obsecrabat ut divinaret, sibique excieret animam illius, quem ipse ei dixerit. Illa autem repugnante, dicenteque non

οὐ καταφρονήσειν τοῦ βασιλέως, ὃς τοῦτο τὸ γένος τῶν μάντεων ἐξήλασεν, οὐδ' αὐτὸν δὲ ποιεῖν καλῶς ἀδικηθέντα μηδὲν ὑπ' αὐτῆς, ἐνεδρεύοντα δὲ εἰς τὰ κεκωλυμένα λαβεῖν αὐτὴν ἵνα δῷ δίκην, ὥμοσε μηδένα γνώσεσθαι, μηδὲ παρ' ἄλλον ἄγειν αὐτῆς τὴν μαντείαν, ἔσεσθαι δ' ἀκίνδυνον. Ὡς δὲ τοῖς ὅρκοις αὐτὴν ἔπεισε μὴ δεδιέναι, κελεύει τὴν Σαμουήλου ψυχὴν ἀναγαγεῖν αὐτῷ. Ἡ δ' ἀγνοοῦσα τὸν Σαμούηλον ὅστις ἦν καλεῖ τοῦτον ἐξ ᾅδου. Φανέντος δ' αὐτοῦ, θεασάμενον τὸ γύναιον ἄνδρα σεμνὸν καὶ θεοπρεπῆ τεθαττεται, καὶ πρὸς τὴν ὄψιν ἐκπλαγέν, « οὐ σὺ, φησὶν, ὁ βασιλεὺς Σάουλος; » ἐδήλωσε γὰρ αὐτὸν ὁ Σαμούηλος. Ἐπινεύσαντος δ' ἐκείνου καὶ τὴν ταραχὴν αὐτῆς ἐρομένου πόθεν γένοιτο, βλέπειν εἶπεν ἀνελθόντα Θεῷ τινὰ τὴν μορφὴν ὅμοιον. Τοῦ δὲ τὴν εἰκόνα φράζειν εἰπόντος καὶ τὸ σχῆμα τοῦ θεαθέντος καὶ τὴν ἡλικίαν, γέροντα μὲν ἤδη καὶ ἔνδοξον ἐσήμαινεν, ἱερατικὴν δὲ περικείμενον διπλοΐδα. Ἐγνώρισεν ἐκ τούτων ὁ βασιλεὺς τὸν Σαμούηλον ὄντα, καὶ πεσὼν ἐπὶ τὴν γῆν ἠσπάζετο καὶ προσεκύνησε. Τῆς δὲ Σαμουήλου ψυχῆς πυθομένης διὰ τί κινήσειεν αὐτὴν καὶ ἀναχθῆναι ποιήσειε, τὴν ἀνάγκην ἀπωδύρετο· τοὺς πολεμίους γὰρ ἐπικεῖσθαι βαρεῖς αὐτῷ, αὐτὸν δὲ ἀμηχανεῖν τοῖς παροῦσιν, ἐγκαταλελειμμένον ὑπὸ τοῦ Θεοῦ καὶ μηδὲ προρρήσεως τυγχάνοντα μήτε διὰ προφητῶν μήτε δι' ὀνειράτων· καὶ διὰ τοῦτο ἐπὶ σὲ τὸν ἐμοῦ προνοησόμενον κατέφυγον. Σαμούηλος δὲ, τέλος αὐτὸν ἔχοντα ἤδη τῆς μεταβολῆς ὁρῶν, περισσὸν μὲν εἶπεν ἔτι καὶ παρ' ἐμοῦ βούλεσθαι μαθεῖν, τοῦ Θεοῦ καταλελοιπότος αὐτόν. « Ἄκουε γε μὴν ὅτι βασιλεῦσαι δεῖ Δαυίδην καὶ κατορθῶσαι τὸν πόλεμον, σὲ δὲ καὶ τὴν ἀρχὴν καὶ τὴν ζωὴν ἀπολέσαι, τοῦ Θεοῦ παρακούσαντα ἐν τῷ πρὸς τοὺς Ἀμαληκίτας πολέμῳ καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ φυλάξαντα, καθὼς προεφήτευσά σοι καὶ ζῶν. Ἴσθι τοίνυν καὶ τὸν λαὸν ὑποχείριον τοῖς ἐχθροῖς γενησόμενον, καὶ σαυτὸν μετὰ τῶν τέκνων αὔριον πεσόντα ἐπὶ τῆς μάχης καὶ μετ' ἐμοῦ γενησόμενον. »

γ'. Ταῦτα ἀκούσας ὁ Σάουλος ἄφωνος ὑπὸ τῆς λύπης ἐγένετο καὶ κατενεχθεὶς εἰς τοὔδαφος, εἴτε διὰ τὴν προσπεσοῦσαν ἐκ τῶν δεδηλωμένων ὀδύνην εἴτε διὰ τὴν ἔνδειαν, (οὐ γὰρ προσενήνεκτο τροφὴν τῇ παρελθούσῃ ἡμέρᾳ τε καὶ νυκτί,) ῥᾳδίως κατενήνεκτο. Μόλις δὲ ἑαυτοῦ γενόμενον συνηνάγκασεν ἡ γυνὴ γεύσασθαι, ταύτην αἰτουμένη παρ' αὐτοῦ τὴν χάριν ἀντὶ τῆς παραβόλου μαντείας, ἣν οὐκ ἐξὸν αὐτὴ ποιήσασθαι διὰ τὸν ἐξ αὐτοῦ φόβον, ἀγνοουμένου τίς ἦν, ὅμως ὑπέστη καὶ παρέσχεν. Ἀνθ' ὧν παρεκάλει τράπεζάν τε αὐτῷ παραθεῖναι καὶ τροφὴν, ὡς ἂν τὴν ἰσχὺν συλλεξάμενος εἰς τὸ τῶν οἰκείων ἀποσωθείη στρατόπεδον. Ἀντέχοντα δὲ καὶ τελέως ἀπεστραμμένον ὑπὸ τῆς ἀθυμίας ἐβιάσατο καὶ συνέπεισεν. Ἔχουσα δὲ μόσχον ἕνα συνήθη καὶ τῆς κατ' οἶκον ἐπιμελείας καὶ τροφῆς ἀξιούμενον ὑπ' αὐτῆς, ὡς γυνὴ χερνῆτις καὶ τούτῳ μόνῳ προσαναπαυομένη τῷ κτήματι, κατασφάξασα τοῦτον καὶ τὰ κρέα

contempturam esse regem, qui hoc divinorum genus exterminaverit, neque humanum esse factum, ut, qui ab ipsa nulla lacessitus esset injuria, eam insidiis ad vetita eliceret, quibus patrandis deprehensa ad supplicium traheretur, juravit *rex* neminem *hoc* resciturum esse, nec alteri *cuipiam* ejus divinationem proditurum, sed fore *ipsam* extra omne periculum. Ut vero jurejurando omnem ei timorem excusserat, jussit ut ipsi animam Samuelis excitaret. Illa autem ignorans quis esset Samuelus, ab inferis hunc evocat. Quumque ille apparuisset, mulier, conspicata virum gravem et majestate Deo digna, perturbatur, et ad adspectum perculsa, « nonne tu es, inquit, Saulus rex? » nam *ei* illum indicavit Samuelus. Quum vero ille annuisset et rogaret unde orta esset ejus perturbatio, aiebat se videre quendam *ex terra* ascendentem specie divina. Quumque ille dicere jussisset qua is qui apparuit figura esset, quove habitu, et qua ætate, eum jam senem quidem esse respondebat, formaque illustri, penula vero sacerdotali amictum. Ex hisce rex Samuelum esse agnovit, et in terram procidens salutabat et adorabat. Anima autem Samueli interrogante, cur se sedibus emoveri elicique fecerit? de necessitate querebatur *Saulus*: nam hostes sibi graves incumbere, ipsumque magnis in præsentia angustiis premi, a Deo desertum, ac neque per prophetas neque per somnia de futuris aliquid accipientem: quapropter ad te, qui mihi prospecturus sis, memet contuli. Samuelus autem, quum jam ei extremum vitæ diem adesse sentiret, supervacaneum quidem esse aiebat, velle adhuc et a me discere, quum sis a Deo derelictus. « Audi tamen oportere ut Davides regno admoveatur, bellumque feliciter conficiat, utque tu, sicuti et ego quum in vivis essem tibi prædixi, et imperium et vitam simul amittas, quoniam in bello Amalecitis illato Deo non obtemperaveris, et quæ præceperat non observaveris. Scito igitur fore ut populus hostibus addicatur, tuque ipse cum filiis cras in prælio cadens una mecum sis ».

3. His auditis Saulus præ mœrore obmutuit, et ad terram delatus, sive ob dolorem qui ex nunciatis ei inciderit sive propter inediam, (nam die præterito nocteque cibum non ceperat,) facile concidit. Quum vero ægre ad se ipsum redisset, mulier urgebat eum ut cibum sumeret, hanc gratiam ab ipso reposcens pro temeraria et audaci divinatione, quam, quum non liceret eam exercere ob metum ipsius, dum quis esset ignoraretur, in se tamen receperit præstiteritque. Pro quibus rogabat ut mensam ei cum cibo apponere, quo recreatis viribus ad suorum castra incolumis rediret. Quum vero ei resisteret et præ animi anxietate hæc aversaretur, illa *majori* vi institit adeoque persuasit. Quumque unicum haberet vitulum sibi familiarem, quem domi cum cura alere dignata erat, ut mulier manibus victum quæritans et hac sola possessione contenta vivens, illo mactato paratisque

παρασκευάσασα τοῖς οἰκέταις αὐτοῦ καὶ αὐτῷ παρατίθησι. Καὶ Σάουλος μὲν διὰ τῆς νυκτὸς ἦλθεν εἰς τὸ στρατόπεδον.

δ'. Δίκαιον δὲ ἀποδέξασθαι τῆς φιλοτιμίας τὴν γυναῖκα, ὅτι καίπερ τῇ τέχνῃ κεκωλυμένη χρήσασθαι ὑπὸ τοῦ βασιλέως, παρ' ἧς ἂν αὐτῇ τὰ κατὰ τὸν οἶκον ἦν ἀμείνω καὶ διαρκέστερα, καὶ μηδέποτε αὐτὸν πρότερον τεθεαμένη, οὐκ ἐμνησικάκησεν τῆς ἐπιστήμης τῆς ὑπ' αὐτοῦ καταγνωσθείσης, οὐκ ἀπεστράφη τε ὡς ξένον καὶ μηδέποτ' ἐν συνηθείᾳ γεγενημένον, ἀλλὰ συνεπάθησέ τε καὶ παρεμυθήσατο, καὶ πρὸς ἃ διέκειτο λίαν ἀηδῶς προετρέψατο, καὶ τὸ μόνον αὐτῇ παρὸν ὡς ἐν πενίᾳ, τοῦτο παρέσχεν ἐκτενῶς καὶ φιλοφρόνως, οὐθ' ὑπὲρ εὐεργεσίας ἀμειβομένη οὔτε χάριν μέλλουσαν θηρωμένη (τελευτήσοντα γὰρ αὐτὸν ἠπίστατο) φύσει τῶν ἀνθρώπων, ἢ πρὸς τοὺς ἀγαθόν τι παρεσχημένους φιλοτιμουμένων, ἢ παρ' ὧν ἄν τι δύνωνται λαβεῖν ὄφελος, τούτους προθεραπευόντων. Καλὸν οὖν ἐστι μιμεῖσθαι τὴν γυναῖκα, καὶ ποιεῖν εὖ πάντας τοὺς ἐν χρείᾳ γενομένους, καὶ μηδὲν ὑπολαμβάνειν ἄμεινον μηδὲ μᾶλλόν τι προσήκειν τῷ τῶν ἀνθρώπων γένει τούτου, μηδ' ἐφ' ᾧ τὸν Θεὸν εὐμενῆ καὶ χορηγὸν τῶν ἀγαθῶν ἕξομεν. Καὶ τὰ μὲν περὶ τῆς γυναικὸς ἐν τοσούτοις ἀρκεῖ δεδηλῶσθαι. Τὸν δὲ πόλεσι καὶ δήμοις καὶ ἔθνεσι συμφέροντα λόγον καὶ προσήκοντα τοῖς ἀγαθοῖς, ὑφ' οὗ προαχθήσονται πάντες ἀρετὴν διώκειν, καὶ δηλοῦντα δόξαν καὶ μνήμην αἰώνιον παρασχεῖν δυνησόμενον ποιήσομαι, πολλὴν καὶ βασιλεῦσιν ἐθνῶν καὶ ἄρχουσι πόλεων ἐπιθυμίαν καὶ σπουδὴν τῶν καλῶν ἐνθήσοντα, καὶ πρός τε τοὺς κινδύνους καὶ τὸν ὑπὲρ τῶν πατρίδων θάνατον προτρεψόμενον, καὶ πάντων καταφρονεῖν διδάξοντα τῶν δεινῶν. Ἔχω δ' αἰτίαν τοῦ λόγου τούτου Σάουλον τὸν τῶν Ἑβραίων βασιλέα. Οὗτος γὰρ, καίπερ εἰδὼς τὰ συμβησόμενα καὶ τὸν ἐπικείμενον θάνατον τοῦ προφήτου προειρηκότος, οὐκ ἔγνω φυγεῖν αὐτὸν, οὐδὲ φιλοψυχήσας προδοῦναι μὲν τοὺς οἰκείους τοῖς πολεμίοις, καθυβρίσαι δὲ τὸ τῆς βασιλείας ἀξίωμα, ἀλλὰ παραδοὺς αὑτὸν πανοικὶ μετὰ τῶν τέκνων τοῖς κινδύνοις καλὸν ἡγήσατο εἶναι πεσεῖν μετὰ τούτων ὑπὲρ τῶν βασιλευομένων μαχόμενος, καὶ τοὺς παῖδας ἀποθανεῖν μᾶλλον ἀγαθοὺς ὄντας ἢ καταλιπεῖν ἐπ' ἀδήλῳ τὸ ποταποὶ γενήσονται τὸν τρόπον· διαδοχὴν γὰρ καὶ γένος τὸν ἔπαινον καὶ τὴν ἀγήρω μνήμην ἕξειν. Οὗτος οὖν δίκαιος καὶ ἀνδρεῖος καὶ σώφρων ἐμοιγε δοκεῖ μόνος καὶ εἴ τις γέγονε τοιοῦτος ἢ γενήσεται, τὴν μαρτυρίαν ἐπ' ἀρετῇ καρποῦσθαι παρὰ πάντων ἄξιος. Τοὺς γὰρ μετ' ἐλπίδων ἐπὶ πόλεμον ἐξελθόντας καὶ σώους ἐπιστρέψοντας, ἐπειδάν τι διαπράξωνται λαμπρὸν, οὐ μοι δοκοῦσι καλῶς ποιεῖν ἀνδρείους ἀποκαλοῦντες ὅσοι περὶ τῶν τοιούτων ἐν ταῖς ἱστορίαις καὶ τοῖς ἄλλοις συγγράμμασιν εἰρήκασιν. Ἀλλὰ δίκαιοι μέν εἰσι κἀκεῖνοι τυγχάνειν ἀποδοχῆς, εὔψυχοι δὲ καὶ μεγαλότολμοι καὶ τῶν δεινῶν καταφρονηταὶ μόνοι δικαίως ἂν λέγοιντο πάντες οἱ Σάουλον μιμησάμενοι.

carnibus, *eas* famulis ejus ipsique apponit. Et Saulus quidem dum nox adhuc esset in castra revertebat.

4. Convenit autem laudare prolixam mulieris liberalitatem, quæ licet a rege artem exercere vetita, unde res suæ domi meliores fierent auctioresque, ipsumque nunquam antea viderit, injuriæ tamen ex scientia ab eo damnata haud meminit, neque illum sprevit et rejecit ut peregrinum nullaque ex consuetudine sibi notum, sed ipsius vicem doluit, eique solatium adhibuit, et ad ea quæ valde fastidierat adhortata est, et quod solum ipsi utpote pauperi suppetebat, hoc largiter et benigne illi impertiebat, neque pro beneficio vel tantillum remunerata, neque gratiam futuram aucupans (nam ipsum moriturum esse noverat) pro natura hominum, aut illis qui in ipsos boni aliquid contulerint modis omnibus studentium, eosve, a quibus vicissim commodi aliquid possunt accipere, pleniori obsequio demerentium. Pulcrum est itaque *illam* imitari mulierem, omnesque inopia laborantes sublevare, nihilque hac re præstantius existimare, aut generi humano convenientius, neque ex quo Deum adeo propitium et ad bona largienda promptum habituri simus. Atque hæc quidem de muliere *ista* dixisse sufficiat. Sermonem vero nunc faciam civitatibus et populis et gentibus utilem virisque bonis accommodum, quo ad virtutem sectandam omnes alliciantur, quique gloriam ostendet, et viam ad memoriam sempiternam muniet, magnumque etiam gentium regibus et civitatum principibus rerum præclararum desiderium studiumque injiciet, atque ad pericula et mortem pro patria subeundam incitamento erit, simul ac documento ut mala quæque graviora despiciant. Facit autem Saulus Hebræorum rex ut hunc sermonem instituam. Ille enim, licet novisset quæ eventura essent, mortemque sibi imminere ex prophetæ prædictione, haud tamen secum statuit eam effugere, aut vitæ amore suum exercitum hostibus prodere, atque adeo regiam majestatem dehonestare, sed, se ipsum cum tota sua domo liberisque objiciens periculis, præclarum esse duxit una cum illis pro populo sibi subjecto pugnando occumbere, maluitque ut filii, qui strenui essent, mortem oppeterent, quam ut in incerto relinqueret, quales moribus futuri sint: se enim successorum loco posterorumque laudem et perpetuam memoriam habiturum. Hic igitur justus et fortis et prudens mihi videtur solus, et si quis fuit talis aut futurus est, ut testimonium ob virtutem ei ab omnibus tribuatur. Haud enim mihi recte facere videntur qui ad bellum cum certa victoriæ reditusque incolumis spe profectos, etiamsi magnifici aliquid gesserint, fortes appellarunt, quoties illorum in historiis aliisve scriptis mentionem fecerint. Equidem et his sua laus debetur: verumtamen illi soli strenui, et magna ausi, et periculorum contemptores jure dici possunt, quicunque Saulum æmulati sunt. Nam

Τὸ μὲν γὰρ οὐκ εἰδότας τί μέλλει συμβήσεσθαι κατὰ τὸν πόλεμον αὐτοῖς μὴ μαλακισθῆναι περὶ αὐτὸν, ἀλλ' ἀδήλῳ τῷ μελλόντι παραδόντας αὐτοὺς ἐπ' αὐτοῦ σαλεύειν, οὐχ οὕτω γενναῖον, κἂν ἔργα πολλὰ διαπραξάμενοι τύχωσι, τὸ δὲ μηδὲν ἐν τῇ διανοίᾳ χρηστὸν προσδοκῶντας, ἀλλὰ προειδότας ὡς δεῖ θανεῖν, καὶ τοῦτο παθεῖν μαχομένους, εἶτα δὲ μὴ φοβηθῆναι μηδὲ καταπλαγῆναι τὸ δεινὸν, ἀλλ' ἐπ' αὐτὸ χωρῆσαι προγινωσκόμενον, τοῦτ' ἀνδρείου ἀληθῶς τεκμήριον ἔγωγε κρίνω. Σάουλος τοίνυν τοῦτο ἐποίησεν, ἐπιδείξας ὅτι πάντας μὲν προσῆκε τῆς μετὰ τὸν θάνατον εὐφημίας γλιχομένους ταῦτα ποιεῖν, ἐξ ὧν ἂν αὐτοῖς ταύτην καταλίποιεν, μάλιστα δὲ τοὺς βασιλέας, ὡς οὐκ ἐξὸν αὐτοῖς διὰ τὸ μέγεθος τῆς ἀρχῆς οὐ μόνον οὐ κακοῖς εἶναι περὶ τοὺς ἀρχομένους, ἀλλ' οὐδὲ μετρίως χρηστοῖς. Ἔτι τούτων πλείω περὶ Σαούλου καὶ τῆς εὐψυχίας λέγειν ἐδυνάμην, ὕλην ὑμῖν χορηγησάσης τῆς ὑποθέσεως, ἀλλ' ἵνα μὴ φανῶμεν ἀπειροκάλως αὐτοῦ χρώμενοι τοῖς ἐπαίνοις, ἐπάνειμι πάλιν ἀφ' ὧν εἰς τούτους ἐξέβην.

ε'. Κατεστρατοπεδευκότων γὰρ τῶν Παλαιστίνων, ὡς προεῖπον, καὶ κατὰ ἔθνη καὶ βασιλείας καὶ σατραπείας ἐξαριθμούντων τὴν δύναμιν, τελευταῖος βασιλεὺς παρῆλθεν Ἄγχους μετὰ τῆς ἰδίας στρατιᾶς καὶ μετὰ τοῦτον δ' ὁ Δαυίδης μετὰ τῶν ἑξακοσίων ὁπλιτῶν εἵπετο. Θεασάμενοι δ' αὐτὸν οἱ στρατηγοὶ τῶν Παλαιστίνων, πόθεν εἴησαν ἥκοντες οἱ Ἑβραῖοι καὶ τίνων καλεσάντων ἡρώτων τὸν βασιλέα. Ὁ δὲ Δαυίδην ἔλεγεν εἶναι, τὸν φυγόντα Σάουλον τὸν ἑαυτοῦ δεσπότην, καὶ πρὸς αὐτὸν ἐλθόντα δέξασθαι, καὶ νῦν τῆς χάριτος ἀμοιβὴν ἐκτῖσαι βουλόμενος καὶ τιμωρήσασθαι τὸν Σάουλον συμμαχεῖν αὐτοῖς. Ἐμέμφθη δὲ ὑπὸ τῶν στρατηγῶν ἄνδρα παρειληφὼς ἐπὶ συμμαχίᾳ πολέμιον, καὶ ἀποπέμπειν συνεβούλευον, μὴ καὶ λάθῃ μέγα δι' αὐτὸν κακὸν τοὺς φίλους ἐργασάμενος· καὶ γὰρ οὕτως αὐτῷ παρέξειν τοῦ καταλλαγῆναι πρόφασιν πρὸς τὸν δεσπότην, κακώσοντα τὴν ἡμετέραν δύναμιν· ὃ δὴ καὶ προορώμενοι εἰς τὸν τόπον, ὃν ἔδωκεν αὐτῷ κατοικεῖν, ἐκέλευον ἀποπέμπειν σὺν τοῖς ἑξακοσίοις ὁπλίταις· τοῦτον γὰρ εἶναι Δαυίδην ὃν ᾄδουσιν αἱ παρθένοι πολλὰς μυριάδας Παλαιστίνων ἀπολέσαντα. Ταῦτ' ἀκούσας ὁ τῶν Γιττῶν βασιλεὺς καὶ καλῶς εἰρῆσθαι λογισάμενος, καλέσας τὸν Δαυίδην, « ἐγὼ μὲν, « εἶπε, μαρτυρῶ σοι πολλὴν πρὸς ἐμὲ σπουδὴν καὶ « εὔνοιαν, καὶ διὰ τοῦτο σὲ σύμμαχον ἐπηγόμην· οὐ « δοκεῖ δὲ ταῦτα τοῖς στρατηγοῖς. Ἀλλ' ἄπιθι μεθ' « ἡμέραν εἰς ὃν ἔδωκά σοι τόπον, μηδὲν ὑπονοῶν ἄτοπον, κἀκεῖ φύλασσέ μοι τὴν χώραν, μή τινες εἰς « αὐτὴν τῶν πολεμίων ἐμβάλωσιν· ἔστι δὲ καὶ τοῦτο « συμμαχίας μέρος ». Καὶ Δαυίδης μὲν, ὡς ἐκέλευσεν ὁ τῶν Γιττῶν βασιλεὺς, ἦκεν εἰς Σεκελάν. Καθ' ὃν δὲ καιρὸν ἐξ αὐτῆς συμμαχήσων τοῖς Παλαιστίνοις ἀπῆλθε, τὸ τῶν Ἀμαληκιτῶν ἔθνος ἐπελθὸν αἱρεῖ τὴν Σεκελὰν κατὰ κράτος, καὶ ἐμπρήσαντες καὶ πολλὴν

ut aliqui, nescientes quidem quid ipsis in bello eventurum sit, non segniter illud aggrediantur, sed futuri incerto se committentes in eo jactentur, non adeo generosi est animi, quamvis multa egregia præstiterint : verum ut, quum nihil benigni cogitatione præceperint, sed moriendum esse præsciverint, idque in acie dimicando, tum vero neque terrerentur, neque malum expavescerent, sed ei præcognito obviam irent, hoc ego viri vere fortis indicium esse censeo. Hoc igitur Saulus fecit, ut ostenderet debere quidem omnes, qui gloriam post mortem expetunt, ista facere, ex quibus sibimet hæc ipsa accrescat, præcipue vero reges, illis non licere putans ob imperii magnitudinem non modo non malis esse erga subditos, sed ne mediocriter quidem bonis. Hisce adhuc plura de Saulo ejusque præcellenti fortitudine dicere potui, materia nobis ex argumento suppeditata : sed, ne *in ejus laudibus præter decorum me* jactare videar, revertor unde in hæc digressus sum.

5. Quum jam Palæstini, sicut antea dixi, castra metassent, et copias suas per gentes et regna et satrapias recensuissent, novissimus cum suo exercitu venit rex Anchus, ejusque agmina claudebat Davides cum sua militum sexcentorum cohorte. Illum autem ubi viderunt Palæstinorum duces, regem percontabantur undenam illis adessent isti Hebræi, et a quibus vocati. Ille vero Davidem esse dicebat, qui Saulum dominum suum fugerit, quemque ad se venientem excepe*rit* : at *nunc*, ut gratiam vicissim *referat*, deque Saulo vindictam sumat, ipsis suppetias afferre. A ducibus autem reprehensus est, quod hostili animo virum ad auxilium acciverit, suadebantque ut eum dimitteret, neve imprudenter per eum amicos magno afficiat damno : ipsum enim illi prætextum daturum esse redeundi in gratiam cum domino suo, vires nostras affligendo. Quod quum prævidissent, *Anchum* jusserunt eum cum militibus sexcentis remittere in locum, quem ipsi ad habitandum dederat : hunc enim esse illum Davidem quem virgines decantent ob multas Palæstinorum myriadas occisas. Hæc ubi audierat Gittensium rex, illosque recte monuisse reputaverat, accito ad se Davide, dicebat, « ego quidem studium tuum et benevolentiam « comprobo, propterea*que* te socium adducebam : verum « duces non ita de te existimant. Quare statim ab hac die « *in locum*, quem tibi donavi, discede, nihil mali suspi« cans, et illic esto meæ regioni in præsidium, ne qui « hostes in eam impetum faciant : nam et sic in societatis « partem venis ». Et Davides quidem, Gittensium regis jussis obsequens, se in Secelam recipiebat. Sub idem vero tempus quo ex ea egressus erat Palæstinis auxilium laturus, Amalecitarum gens, incursione facta, vi Secelam expugnant, et quum illam incendissent et multiplicem

λείαν ἄλλην ἔκ τε αὐτῆς ἐκείνης καὶ τῆς ἄλλης τῶν Παλαιστίνων χώρας λαβόντες ἀνεχώρησαν.

ς'. Ἐκπεπορθημένην δὲ τὴν Σεκελὰν καταλαβὼν ὁ Δαυίδης καὶ διηρπασμένα πάντα καὶ τὰς γυναῖκας τὰς ἑαυτοῦ (δύο γὰρ ἦσαν) καὶ τὰς γυναῖκας τῶν ἑταίρων σὺν τοῖς τέκνοις ἠχμαλωτισμένας, περιρρήγνυται εὐθὺς τὴν ἐσθῆτα, κλαίων δὲ καὶ ὀδυρόμενος μετὰ τῶν φίλων ἐπὶ τοσοῦτον παρείθη τοῖς κακοῖς, ὥστε αὐτὸν ἐκλιπεῖν ἤδη καὶ τὰ δάκρυα. Ἐκινδύνευσε δὲ καὶ βληθεὶς ὑπὸ τῶν ἑταίρων, ἀλγούντων ἐπὶ ταῖς αἰχμαλωσίαις τῶν γυναικῶν καὶ τῶν τέκνων, ἀποθανεῖν· αὐτὸν γὰρ τῶν γεγονότων ᾐτιῶντο. Ἀναζῶν δ' ἐκ τῆς λύπης καὶ τὴν διάνοιαν πρὸς τὸν Θεὸν ἀναστήσας παρεκάλεσε τὸν ἀρχιερέα Ἀβιάθαρον ἐνδύσασθαι τὴν ἀρχιερατικὴν στολήν, καὶ ἐπερωτῆσαι τὸν Θεὸν καὶ προφητεῦσαι εἰ διώξαντι τοὺς Ἀμαληκίτας δίδωσι καταλαβεῖν, καὶ σῶσαι μὲν τὰς γυναῖκας καὶ τὰ τέκνα, τιμωρήσασθαι δὲ τοὺς ἐχθρούς. Τοῦ δ' ἀρχιερέως διώκειν κελεύσαντος, ἐκπηδήσας μετὰ τῶν ἑξακοσίων ὁπλιτῶν εἵπετο τοῖς πολεμίοις. Παραγενόμενος δ' ἐπί τινα χείμαρρον, Βάσελον λεγόμενον, καὶ πλανωμένῳ τινὶ περιπεσὼν Αἰγυπτίῳ μὲν τὸ γένος, ὑπ' ἐνδείας καὶ λιμοῦ παρειμένῳ, (τρισὶ γὰρ ἡμέραις ἐν τῇ ἐρημίᾳ πλανώμενος ἄσιτος διεκαρτέρησε,) πρῶτον αὐτὸν ποτῷ καὶ τροφῇ παραστησάμενος καὶ ἀναλαβών, ἐπύθετο τίνος τε εἴη καὶ πόθεν. Ὁ δὲ γένος μὲν ἐσήμαινεν Αἰγύπτιος ὤν, καταλειφθῆναι δὲ ὑπὸ τοῦ δεσπότου δι' ἀρρωστίαν ἔπεσθαι μὴ δυνάμενον, ἐδήλου δ' αὐτὸν τῶν καταπρησάντων καὶ διηρπακότων ἄλλα τε τῆς Ἰουδαίας καὶ τὴν Σεκελὰν εἶναι. Χρησάμενος οὖν ὁ Δαυίδης τούτῳ ἐπὶ τοὺς Ἀμαληκίτας ὁδηγῷ καὶ καταλαβὼν αὐτοὺς ἐπὶ γῆς ἐρριμμένους, καὶ τοὺς μὲν ἀριστῶντας, τοὺς δὲ καὶ μεθύοντας ἤδη καὶ λελυμένους ὑπὸ τοῦ οἴνου, καὶ τῶν λαφύρων καὶ τῆς λείας ἀπολαύοντας, ἐπιπεσὼν αἰφνιδίως πολὺν αὐτῶν φόνον εἰργάσατο. Γυμνοὶ γὰρ ὄντες καὶ μηδὲν προσδοκῶντες τοιοῦτον, ἀλλὰ πρὸς τὸ πιεῖν καὶ εὐωχεῖσθαι τετραμμένοι, πάντες ἦσαν εὐκατέργαστοι. Καὶ οἱ μὲν αὐτῶν, ἔτι τῶν τραπεζῶν παρακειμένων, ἐπικαταλαμβανόμενοι παρ' αὐταῖς ἀνῃροῦντο, καὶ παρέσυρεν αὐτῶν τὰ σιτία καὶ τὴν τροφὴν τὸ αἷμα, τοὺς δὲ δεξιουμένους ἀλλήλους ταῖς προπόσεσι διέφθειρεν, ἐνίους δὲ καὶ πρὸς ὕπνον ὑπὸ τοῦ ἀκράτου κατενηνεγμένους. Ὁπόσοι δ' ἔφθησαν περιθέμενοι τὰς παρανοπλίας ἐξ ἐναντίας αὐτῷ στῆναι, τούτους οὐδὲν ἧττον εὐχερῶς τῶν γυμνῶν κατακειμένων ἀπέσφαττε. Διέμειναν δὲ οἱ σὺν τῷ Δαυίδῃ καὶ αὐτοὶ ἀναιροῦντες ἀπὸ πρώτης ὥρας ἕως ἑσπέρας, ὡς μὴ περιλειφθῆναι τῶν Ἀμαληκιτῶν πλείονας ἢ τετρακοσίους· καὶ οὗτοι δὲ δρομάσι καμήλοις ἐπιβάντες διέφυγον. Ἀνέσωσε δὲ τἆλλα πάντα ἃ διήρπασαν αὐτῶν οἱ πολέμιοι, καὶ τάς τε αὐτοῦ γυναῖκας καὶ τὰς τῶν ἑταίρων. Ὡς δὲ ἀναστραφέντες ἦκον ἐπὶ τὸν τόπον, ἔνθα διακοσίους μὴ δυναμένους αὐτοῖς ἕπεσθαι καταλελοίπεσαν ἐπὶ τῶν

prædam aliam tam ex illa ipsa quam ex reliqua Palæstinorum regione cepissent, abierunt.

6. Davides autem quum Secelam vastatam deprehendisset atque omnia direpta, uxoresque etiam suas (nam duæ erant) cum sodalium suorum uxoribus pariter ac liberis in captivitatem abductas, statim vestimenta sua lacerat, ac plorans et lamentans cum amicis in tantum malis indulsit, ut etiam lacrimæ eum deficerent. Quin et discrimen adiit, ne a comitibus, captivitatem uxorum et liberorum dolentibus, lapidatus interiret : quæ enim acciderant, ipsi vitio vertebant. Ubi autem se a mœrore recollegerat, mentemque ad Deum sustulerat, rogavit pontificem Abiatharum, ut vestem pontificalem indueret, Deumque interrogaret et ex oraculo referret, an insecuto Amalecitas daret eos adsequi, uxoresque et liberos salvos quidem recipere, ab hostibus vero pœnas repetere. Pontifice autem jubente ut *eos* persequeretur, exsiliens cum sexcentis suis militibus secutus est hostes. Quumque ad torrentem quendam nomine Baselum pervenisset, et in hominem errantem incidisset, genere quidem Ægyptium, inopia et fame languescentem, (nam per tres dies totidemque noctes in solitudine errans sine cibo permanserat,) postquam ei cibum et potum admoverat viresque ejus refecerat, quæsivit ex eo cujas et undenam esset. Atque ille se genere quidem Ægyptium esse indicabat, a domino vero relictum, quod propter invaletudinem sequi non potuerit. Quin et fatebatur se ex iis esse qui incenderant et diripuerant quum *loca* alia Judææ tum Secelam. Davides itaque eo duce usus ad Amalecitas *persequendos*, nactusque eos humi temere stratos, et alios quidem prandentes, alios vero jam ebrios et vino solutos, et spoliis prædaque sese oblectantes, ex improviso adortus magnam eorum stragem edidit. Nam quum nudi essent et inermes, et nihil tale suspicarentur, sed id solum agerent universi ut compotarent et epularentur, facile erat eos conficere. Et alii quidem illorum, dum mensis accumberent, deprehensi apud illas jugulati sunt, et sanguis frumentum eorum victumque secum abripuit, alios vero propinationibus sese excipientes occidit, rursusque alios ex crapula in somnum delapsos. At quotquot jam armaturam induerant ut ejus impetum sustinerent, non majori negotio quam qui nudi jacerent ferro peremit. Et qui cum Davide erant, etiam hi ab hora prima usque ad vesperam cædem facere perseverarunt, ut non plures ex Amalecitis prælio superfuerint quam quadringenti : et hi dromadibus camelis insidentes effugerunt. Atque ita quum alia omnia, quæ hostes diripuerant, recipit Davides, tum suas pariter ac suorum uxores. Quum autem reversi venissent ad locum, ubi ducentos, qui se sequi non potuerunt, ad impedimenta reliquerant, illi quidem quadringenti et alia

σκευῶν, οἱ μὲν τετρακόσιοι τῆς μὲν ἄλλης ὠφελείας τε καὶ λείας οὐκ ἠξίουν αὐτοῖς ἀπομερίζειν, οὐ συνακολουθήσαντος, ἀλλὰ μαλακισθέντας περὶ τὴν δίωξιν, ἀγαπήσειν δὲ σεσωσμένας τὰς γυναῖκας ἀπολαμβάνοντας ἔλεγον. Δαυίδης δὲ πονηρὰν καὶ ἄδικον αὐτῶν ταύτην ἀπέφηνε τὴν γνώμην· εἶναι γὰρ ἀξίους, τοῦ Θεοῦ παρασχόντος αὐτοῖς ἀμύνασθαι μὲν τοὺς πολεμίους, κομίσασθαι δὲ πάντα τὰ αὐτῶν, πᾶσιν ἐξ ἴσου τοῖς στρατευσαμένοις μερίζεσθαι τὴν ὠφέλειαν, καὶ ταῦτ' ἐπὶ φυλακῇ τῶν σκευῶν μεμενηκότων. Καὶ ἐξ ἐκείνου νόμος οὗτος ἐκράτησε παρ' αὐτοῖς, ἵνα ταὐτὰ τοῖς μαχομένοις λαμβάνωσιν οἱ τὰ σκεύη φυλάττοντες. Γενόμενος δὲ ἐν Σεκελᾷ Δαυίδης διεπέμψατο πᾶσι τοῖς ἐν τῇ Ἰούδα φυλῇ συνήθεσι καὶ φίλοις ἀπομοίρας τῶν λαφύρων. Καὶ τὰ μὲν περὶ τὴν Σεκελλῶν πόρθησιν καὶ Ἀμαληκιτῶν ἀναίρεσιν οὕτως ἐγένετο.

ζ'. Τῶν δὲ Παλαιστίνων συμβαλόντων καὶ καρτερᾶς μάχης γενομένης νικῶσι μὲν οἱ Παλαιστῖνοι καὶ πολλοὺς ἀναιροῦσι τῶν ἐναντίων, Σάουλος δὲ ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς καὶ οἱ παῖδες αὐτοῦ γενναίως ἀγωνιζόμενοι καὶ πάσῃ προθυμίᾳ χρώμενοι, ὡς ἐν μόνῳ τῷ καλῶς ἀποθανεῖν καὶ παραβόλως διακινδυνεῦσαι τοῖς πολεμίοις τῆς ὅλης αὐτοῖς δόξης ἀποκειμένης, (οὐδὲν γὰρ τούτου περισσότερον εἶχον,) ἐπιστρέφουσι πᾶσαν εἰς αὐτοὺς τὴν τῶν ἐχθρῶν φάλαγγα καὶ περικυκλωθέντες ἀποθνήσκουσι, πολλοὺς τῶν Παλαιστίνων καταβαλόντες. Ἦσαν δὲ τοῦ Σαούλου παῖδες, Ἰωνάθης καὶ Ἀμινάδαβος καὶ Μελχισός. Τούτων πεσόντων, τρέπεται τὸ τῶν Ἑβραίων πλῆθος, καὶ ἀκοσμία καὶ σύγχυσις γίνεται καὶ φόνος ἐπικειμένων τῶν πολεμίων. Σάουλος δὲ φεύγει τὸ καρτερὸν στῖφος ἔχων περὶ αὐτόν. Καὶ τῶν Παλαιστίνων ἐπιπεμψάντων ἀκοντιστὰς καὶ τοξότας, πάντας μὲν ἀποβάλλει πλὴν ὀλίγων, αὐτὸς δὲ λαμπρῶς ἀγωνισάμενος καὶ πολλὰ τραύματα λαβών, ὡς μηκέτι διακαρτερεῖν μηδ' ἀντέχειν ταῖς πληγαῖς, ἀποκτεῖναι μὲν αὐτὸν ἠσθένει, κελεύει δὲ τὸν ὁπλοφόρον, σπασάμενον τὴν ῥομφαίαν, ταύτην αὐτοῦ διελάσαι, πρὶν ζῶντα συλλαβεῖν αὐτὸν τοὺς πολεμίους. Μὴ τολμῶντος δὲ τοῦ ὁπλοφόρου κτεῖναι τὸν δεσπότην, αὐτὸς τὴν ἰδίαν σπασάμενος μάχαιραν καὶ στήσας ἐπὶ τὴν ἀκμὴν ῥίπτει κατ' αὐτῆς αὐτόν, καὶ μὴ δυνάμενος ὥσασθαι μηδ' ἐπερείσας διαβαλεῖν αὐτοῦ τὸν σίδηρον, περιστρέφεται. Καὶ νεανίσκου τινὸς ἑστῶτος πυθόμενος τίς εἴη καὶ μαθὼν ὡς Ἀμαληκίτης ἐστί, παρεκάλεσεν ἐπερείσαντα τὴν ῥομφαίαν, διὰ τὸ μὴ ταῖς χερσὶν αὐτὸν τοῦτο δύνασθαι ποιῆσαι, παρασχεῖν αὐτῷ τελευτὴν ὁποίαν αὐτὸς βούλεται. Ποιήσας δὲ τοῦτο καὶ περιελόμενος τὸν περὶ τὸν βραχίονα αὐτοῦ χρυσὸν καὶ τὸν βασιλικὸν στέφανον ἐκποδὼν ἐγένετο. Θεασάμενος δ' ὁ ὁπλοφόρος τὸν Σάουλον ἀνῃρημένον ἀπέκτεινεν ἑαυτόν. Διεσώθη δ' οὐδὲ τῶν σωματοφυλάκων τοῦ βασιλέως οὐδείς, ἀλλὰ πάντες ἔπεσον περὶ τὸ καλούμενον Γελβουὲ ὄρος. Ἀκούσαντες δὲ τῶν Ἑβραίων οἱ τὴν κοιλάδα πέραν

emolumenta et prædam cum iis partiri recusabant, ut qui se non comitati fuerint, sed præ ignavia hostem persequi destiterint, aiebantque contentos esse debere receptis uxoribus et liberis. Davides autem hanc eorum sententiam improbam esse et iniquam pronunciavit: par enim esse, Deo illis concedente hostes quidem ulcisci, sua vero omnia recuperare, ut universis militibus ex æquo dividantur emolumenta, præsertim quum ad impedimentorum custodiam remanserint. Atque ex illo ista apud eos lex obtinuit, ut æquas cum iis, qui in certamen descendunt, partes auferant ii qui impedimenta custodiunt. Quum autem Secelam pervenisset Davides, misit de præda omnibus ex tribu Judæ familiaribus suis et amicis. Atque ita quidem facta sunt quæ ad Secelensium direptionem et Amalecitarum cædem spectant.

7 Quum autem Palæstini congrederentur et acriter *utrinque* pugnaretur, superiores quidem fiunt Palæstini, plurimosque ex adversa acie sternunt, Saulus autem Israelitarum rex ejusque filii egregie pugnantes, summaque cum alacritate, quippe in eo solum, ut pulcre morerentur et intrepide cum hostibus dimicarent, sita esset omnis ipsorum gloria, (nihil enim pluris faciebant,) totam hostium phalangem in se convertunt, atque circumdati occumbunt, magna Palæstinorum strage edita. Erant autem Sauli filii Jonathas et Aminadabus et Melchisus. Isti quum cecidissent, populus Hebræorum in fugam vertitur, atque magna facta est perturbatio et confusio et cædes, hostibus a tergo instantibus. Saulus autem valida suorum caterva stipatus fugit, atque missis a Palæstinis jaculatoribus et sagittariis, maximam quidem eorum partem amittit, ipse vero quum pulcre dimicasset et multa vulnera accepisset, ut nec amplius pugnare nec plagas sustinere potuerit, infirmior quidem erat quam ut se ipsum interimeret; armigero vero imperat ut se stricto ense transfigeret, ne vivus in hostium potestatem veniret. Armigero autem non audente dominum occidere, ipse suo gladio educto, sibique ejus mucrone admoto, in eum se projicit, quumque ensem suum in se impellere non valeret neque eum sibi impingendo trajicere, sese circumagit. Atque juvene quodam propter eum adstante, quum interrogasset quisnam esset, audissetque esse Amalecitam, orabat ut gladio sibi ab eo impacto, id quod suis manibus perficere non posset, mortem sibi afferret qualem ipse expeteret. Hoc autem ille exsecutus, detractisque brachio aureis armillis capitique regia corona, prope abiit. Tum armiger, conspecta Sauli nece, semetipsum interemit. Atque nemo ex satellitibus regis in tutum evasit, sed omnes in monte Gelboe dicto ceciderunt. Hebræi vero, qui vallem

τοῦ Ἰορδάνου κατοικοῦντες καὶ οἱ ἐν τῷ πεδίῳ τὰς πόλεις ἔχοντες ὅτι Σάουλος πέπτωκε καὶ οἱ παῖδες αὐτοῦ καὶ τὸ σὺν αὐτῷ πλῆθος ἀπόλωλε, καταλιπόντες τὰς ἑαυτῶν πόλεις εἰς ὀχυρωτάτας κατέφυγον, οἱ δὲ Παλαιστῖνοι τὰς καταλελειμμένας ἐρήμους εὑρόντες κατῴκησαν.

η'. Τῇ δ' ἐπιούσῃ σκυλεύοντες οἱ Παλαιστῖνοι τοὺς τῶν πολεμίων νεκροὺς ἐπιτυγχάνουσι τοῖς τοῦ Σαούλου καὶ τῶν παίδων αὐτοῦ σώμασι, καὶ σκυλεύσαντες ἀποτέμνουσιν αὐτῶν τὰς κεφαλὰς, καὶ κατὰ πᾶσαν περιήγγειλαν τὴν χώραν πέμψαντες ὅτι πεπτώκασιν οἱ πολέμιοι. Καὶ τὰς μὲν πανοπλίας αὐτῶν ἀνέθηκαν εἰς τὸ Ἀστάρτειον, τὰ δὲ σώματα ἀνεσταύρωσαν πρὸς τὰ τείχη τῆς Βηθσὰν πόλεως, ἣ νῦν Σκυθόπολις καλεῖται. Ἐπεὶ δὲ ἤκουσαν οἱ ἐν Ἰαβισσῷ πόλει τῆς Γαλαδίτιδος κατοικοῦντες ὅτι λελώβηνται τὸν Σαούλου νεκρὸν καὶ τοὺς τῶν παίδων αὐτοῦ, δεινὸν ἡγησάμενοι περιιδεῖν ἀκηδεύτους, ἐξελθόντες οἱ ἀνδρειότατοι καὶ τόλμῃ διαφέροντες (ἡ δὲ πόλις αὕτη καὶ σώμασιν ἀλκίμους καὶ ψυχαῖς φέρει) καὶ δι' ὅλης τῆς νυκτὸς ὁδεύσαντες ἦλθον εἰς τὴν Βηθσὰν, καὶ προσελθόντες τῷ τείχει τῶν πολεμίων καὶ καθελόντες τὸ σῶμα Σαούλου καὶ τὰ τῶν παίδων αὐτοῦ κομίζουσιν εἰς Ἰαβισσὸν, μηδὲ τῶν πολεμίων αὐτοὺς κωλῦσαι δυνηθέντων ἢ τολμησάντων διὰ τὴν ἀνδρείαν. Οἱ δὲ Ἰαβισσηνοὶ πανδημεὶ κλαύσαντες θάπτουσι τὰ σώματα ἐν τῷ καλλίστῳ τῆς χώρας τόπῳ, Ἀρούρης λεγομένῳ· καὶ πένθος ἐφ' ἡμέραις ἑπτὰ σὺν γυναιξὶ καὶ τέκνοις ἐπ' αὐτοῖς ἦγαγον, κοπτόμενοι καὶ θρηνοῦντες τὸν βασιλέα καὶ τοὺς παῖδας αὐτοῦ, μήτε ποτοῦ μήτε τροφῆς γευσάμενοι.

θ'. Τοῦτο Σάουλος τὸ τέλος ἔσχε προφητεύσαντος Σαμουήλου, διὰ τὸ παρακοῦσαι τοῦ Θεοῦ τῶν ἐπ' Ἀμαληκίταις ἐντολῶν, καὶ ὅτι τὴν Ἀχιμελέχου τοῦ ἀρχιερέως γενεὰν καὶ Ἀχιμέλεχον αὐτὸν καὶ τὴν τῶν ἀρχιερέων πόλιν ἀνεῖλεν. Ἐβασίλευσε δὲ Σαμουήλου ζῶντος ἔτη ὀκτὼ πρὸς τοῖς δέκα· τελευτήσαντος δὲ δύο [καὶ εἴκοσι]. Καὶ Σάουλος μὲν οὕτω κατέστρεψε τὸν βίον.

trans Jordanem habitabant, quique urbes in planitie tenebant, quum audissent Saulum ejusque filios cecidisse, et universos qui cum eo erant periisse, relictis suis urbibus in munitissimas se receperunt. At Palæstini in relictis, quas desertas invenerant, ipsi sedem ceperunt.

8. Postridie, quum Palæstini hostes prælio occisos spoliarent, inciderunt in Sauli filiorumque ejus corpora, exutisque capita illorum absciderunt: atque nunciis per totam suam regionem missis divulgarunt, hostes *acie* cecidisse. Et armaturam quidem illorum in fano Astartes consecrarunt, corpora vero in cruces sustulerunt ad muros urbis Bethsanæ, quæ hodie Scythopolis appellatur. Postquam vero Jabissi, regionis Galaditidis urbis, incolæ acceperant truncata esse Sauli ac filiorum ejus cadavera, indignum rati ut insepulta esse paterentur, fortissimi quique et audacissimi egressi (viros enim corpore robustos et animis feroces alit hæc urbs) totaque nocte continuato itinere, Bethsanam venerunt, atque ad hostium muros aggressi, ablatisque Sauli ejusque filiorum corporibus, ea Jabissum deportarunt, quum hostes eos prohibere vel non potuissent, vel ausi non essent propter *ipsorum* virtutem. Jabisseni autem universi cum ploratu corpora eorum sepelierunt in pulcerrimo regionis loco, quem Aruran appellant; atque per septem dies cum uxoribus liberisque eos deflebant, pectora tundentes ac lugentes regem ejusque filios, ita ut neque potum degustarent neque cibum.

9. Hunc Saulus finem habuit, juxta Samueli vaticinium, quoniam Dei de Amalecitis non obtemperaverit mandatis, et quod totam Achimelechi cognationem sustulerit, ipsumque Achimelechum et urbem pontificum. Regnavit autem vivente Samuelo annis octodecim, post mortem vero ejus annis duobus [et viginti]. Et Saulus quidem hoc modo e vita excessit.

ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

α'. Ὡς Δαυίδης μὲν τῆς μιᾶς φυλῆς ἐβασίλευσεν ἐν Χεβρῶνι πόλει, τοῦ δ' ἄλλου πλήθους ὁ Σαούλου παῖς.

β'. Ὅτι, τούτου φονευθέντος ἐξ ἐπιβουλῆς φίλων, ἅπασαν τὴν βασιλείαν Δαυίδης παρέλαβεν.

γ'. Ὡς πολιορκήσας Ἱεροσόλυμα Δαυίδης καὶ λαβὼν τὴν πόλιν ἐξέβαλεν μὲν ἐξ αὐτῆς τοὺς Χαναναίους, ἐνῴκισε δ' εἰς αὐτὴν Ἰουδαίους.

δ'. Ὅτι Δαυίδης στρατεύσαντας ἐπ' αὐτὸν Παλαιστίνους ἐν Ἱεροσολύμοις ἐνίκησεν.

ε'. Ἡ γενομένη πρὸς Εἴραμον τῶν Τυρίων βασιλέα καὶ Δαυίδην φιλία.

ς'. Ὡς τοῖς πέριξ ἔθνεσι στρατεύσας Δαυίδης καὶ χειρωσάμενος φόρον ἐπέταξεν αὐτῷ τελεῖν.

ζ'. Ἡ γενομένη πρὸς Δαμασκηνοὺς Δαυίδου μάχη, καὶ νίκη.

LIBER SEPTIMUS.

1. Ut Davides quidem uni tribui imperavit in urbe Chebrone, populo autem reliquo Sauli filius.

2. Quod, illo amicorum insidiis occiso, Davides in universos imperium obtinuit.

3. Ut Davides, obsessis Hierosolymis captaque urbe, Chananæos quidem ex ea ejecit, Judæis vero eam habitandam dedit.

4. Quod Davides a Palæstinis bello impetitus apud Hierosolyma victoriam obtinuit.

5. Amicitiæ fœdus inter Hiramum Tyriorum regem et Davidem.

6. Ut Davides, quum in gentes finitimas expeditionem fecisset easque subegisset, tributum illis imperavit.

7. Davides cum Damascenis acie dimicat, victoriamque reportat.

η'. Πῶς ἐπὶ τοὺς Μεσοποταμίους στρατεύσας ἐκράτησε αὐτῶν.

θ'. Ὅτι, τῶν περὶ τὴν οἰκίαν αὐτῷ στασιασάντων, ὑπὸ τοῦ παιδὸς ἐξεβλήθη τῆς ἀρχῆς εἰς τὴν πέραν τοῦ Ἰορδάνου.

ι'. Ὡς στρατεύσας Ἀβεσάλωμος ἐπὶ τὸν πατέρα Δαυΐδην ἀπώλετο σὺν τῷ στρατῷ.

ια'. Πῶς εἰς τὴν βασιλείαν πάλιν ἀνῆλθε καὶ ἔζησεν εὐδαιμόνως.

ιβ'. Ὡς ἔτι περιὼν Σολομῶνα τὸν υἱὸν ἀπέδειξε βασιλέα.

ιγ'. Τελευτὴ Δαυΐδου, καταλιπόντος τῷ παιδὶ πολλὴν ὕλην ἀργυρίου τε καὶ χρυσοῦ καὶ λιθίας εἰς τὴν οἰκοδομὴν τοῦ ναοῦ.

8. Quomodo Mesopotamios, bello eis illato, devicit.

9. Quod, mota ab ipsius domesticis seditione, a filio ex imperio abactus erat in regionem Transjordanianam.

10. Ut Abesalomus, quum bellum patri Davidi intulisset, cum exercitu suo periit.

11. Quomodo *Davides* regnum recuperavit, et feliciter vixit.

12. Ut adhuc in vivis regem designat Solomonem filium.

13. Davides diem obit, argenti magna vi aurique et lapidum pretiosorum filio suo relicta ad templi constructionem.

Περιὸχει ἡ βίβλος χρόνον ἐτῶν τεσσαράκοντα.

Continet hic liber tempus annorum quadraginta.

ΚΕΦ. Α'.

Συνέβη δὲ ταύτην γενέσθαι τὴν μάχην καθ' ἣν ἡμέραν καὶ Δαυΐδης τοὺς Ἀμαληκίτας νικήσας εἰς Σεκελὰν ὑπέστρεψεν. Ἤδη δ' αὐτοῦ δύο ἡμέρας ἔχοντος ἐν τῇ Σεκελᾷ, τῇ τρίτῃ παραγίνεται διασωθεὶς ἐκ τῆς μάχης τῆς πρὸς Παλαιστίνους ὁ τὸν Σαοῦλον ἀνελὼν, τήν τε ἐσθῆτα περιερρηγμένος καὶ τὴν κεφαλὴν τέφρᾳ περιχεάμενος. Καὶ προσκυνήσας αὐτὸν πυνθανομένῳ πόθεν ἥκοι τοιοῦτος, ἀπὸ τῆς τῶν Ἰσραηλιτῶν μάχης ἔλεγε· γενέσθαι δ' ἀτυχὲς αὐτῆς τὸ τέλος ἐδήλου, πολλῶν μὲν ἀναιρεθεισῶν τοῖς Ἑβραίοις μυριάδων, πεσόντος δὲ καὶ τοῦ βασιλέως αὐτῶν Σαούλου μετὰ τῶν τέκνων. Ταῦτα δὲ σημαίνειν ἔφασκεν αὐτὸς παρατυχὼν τῇ τροπῇ τῶν Ἑβραίων καὶ τῷ βασιλεῖ πεφευγότι παρὼν δν κτεῖναι μέλλοντα ὑπὸ τῶν πολεμίων λαμβάνεσθαι παρακληθεὶς αὐτὸς ὡμολόγει. Τῇ ῥομφαίᾳ γὰρ αὐτὸν ἐπιπεσόντα διὰ τὴν τῶν τραυμάτων ὑπερβολὴν αὐτὸν ἀσθενῆσαι κατεργάσασθαι. Καὶ σύμβολα δ' αὐτοῦ τῆς ἀναιρέσεως ἐπεδείκνυε τόν τε περὶ τοῖς βραχίοσι χρυσὸν τοῦ βασιλέως καὶ τὸν στέφανον, ἃ περιδύσας τὸν Σαούλου νεκρὸν κομίσειεν αὐτῷ. Δαυΐδης δὲ μηκέτ' ἀπιστεῖν ἔχων, ἀλλ' ἐναργῆ τεκμήρια τοῦ Σαούλου θανάτου βλέπων, καταρρηγνύει μὲν τὴν ἐσθῆτα, κλαίων δὲ καὶ ὀδυρόμενος μετὰ τῶν ἑταίρων ὅλην διεκαρτέρησε τὴν ἡμέραν. Ἐποίει δ' αὐτῷ τὴν λύπην χαλεπωτέραν καὶ ὁ Σαούλου παῖς Ἰωνάθης, πιστότατός τε ὢν φίλος αὐτῷ καὶ σωτηρίας αἴτιος γεγενημένος. Τοσαύτην δ' ἐπεδείξατο τὴν ἀρετὴν καὶ τὴν πρὸς Σάουλον εὔνοιαν, ὡς μὴ μόνον ἐπὶ τεθνηκότι χαλεπῶς ἐνεγκεῖν, πολλάκις ὑπ' αὐτοῦ κινδυνεύσας ἀφαιρεθῆναι τὸν βίον, ἀλλὰ καὶ τὸν ἀποκτείναντα κολάσαι. Φήσας γὰρ πρὸς αὐτὸν ὡς αὐτὸς αὐτοῦ γένοιτο κατήγορος ἀνελὼν τὸν βασιλέα, καὶ μαθὼν ὡς εἴη πατρὸς Ἀμαληκίτου γένος, ἐκέλευσεν αὐτὸν ἀπολέσθαι. Ἔγραψε δὲ καὶ θρήνους καὶ ἐπιταφίους ἐπαίνους Σαούλου καὶ Ἰωνάθου, ὅσοι καὶ μέχρις ἐμοῦ διαμένουσιν.

β'. Ἐπεὶ δὲ τούτοις ἐξετίμησε τὸν βασιλέα, παυσάμενος τοῦ πένθους ἤρετο τὸν Θεὸν διὰ τοῦ προφήτου τίνα δίδωσιν αὐτῷ κατοικῆσαι πόλιν τῆς Ἰούδα κα-

CAPUT I.

Contigit autem ut eo die hæc pugna committeretur, quo Davides de Amalecitis victor Secelam est reversus. Quum vero jam biduum fuisset Secelæ, die tertio advenit e pugna cum Palæstinis elapsus qui Saulum interfecerat, laceratis vestibus et capite pulvere consperso. Isque, Davide adorato, ab eo interrogatus undenam ita veniret, ab Israelitarum pugna dicebat: ejus autem exitum tristem fuisse indicabat, multis quidem Hebræorum myriadibus cæsis, insuper vero rege ipsorum Saulo cum filiis suis interempto. Atque hæc se nunciare atebat ut qui Hebræis fusis fugatisque, regique post fugam adfuisset, quem, quum foret ut ab hostibus caperetur, ipse ab eo rogatus occidisse fatebatur. Nam quum ille in gladium incubuisset, ex vulneribus repetitis infirmior factus est quam ut se conficeret. Quin et cædis ipsius signa ostendebat, armillas regis aureas et coronam, quas Saulo mortuo detraxerat ut illi afferret. At Davides, quum non jam esset cur ei diffideret, post manifesta mortis Sauli indicia in conspectum ipsius adducta, vestimenta discidit, et cum amicis lugens ploransque totam diem exegit. Luctum vero ei acerbiorem fecit Jonathas Sauli filius, qui et amicus ei fidissimus et salutis ipsi auctor fuerat. Tam illustris autem ejus erat virtus, tantaque benevolentia Saulum prosecutus est, ut non solum ægerrime tulerit ejus interitum, sæpius licet ab eo in vitæ discrimen adductus, sed et occisorem illius supplicio affecerit. Nam quum ei dixisset quod ipse sui accusator exstiterit, se regem interfecisse, didicissetque oriundum esse patre genere Amalecita, eum interimi præcepit. Præterea autem nænias composuit et laudationes funebres in gratiam Sauli et Jonathæ, quæ etiamnum exstant.

2. Postquam vero regi hæc justa persolverat, luctu finito, Deum per prophetam consuluit, quamnam ex urbibus tribus quæ Judæ dicitur, ad habitandam sibi daret

λουμένης φυλῆς. Φήσαντος δ' αὐτοῦ διδόναι Χεβρῶνα, καταλιπὼν τὴν Σεκελὰν, εἰς ἐκείνην παραγίνεται, τάς τε γυναῖκας ἐπαγόμενος τὰς αὐτοῦ (δύο δὲ ἦσαν) καὶ τοὺς ὁπλίτας τοὺς σὺν αὐτῷ. Συνελθὼν δὲ πρὸς αὐτὸν ἅπας ὁ τῆς φυλῆς τῆς προειρημένης λαὸς ἀποδείκνυσιν αὐτὸν βασιλέα. Ἀκούσας δ' ὅτι τὸν Σάουλον καὶ τοὺς υἱοὺς αὐτοῦ θάψειαν οἱ ἐν Ἰαβίσσῳ τῆς Γαλαδίτιδος κατοικοῦντες, ἔπεμψε πρὸς αὐτοὺς ἐπαινῶν καὶ ἀποδεχόμενος αὐτῶν τὸ ἔργον, καὶ χάριτας ἀποδώσειν ἀντὶ τῆς πρὸς τοὺς τεθνηκότας σπουδῆς ὑπισχνούμενος, ἅμα δὲ καὶ δηλῶν ὡς ἡ Ἰούδα φυλὴ κεχειροτόνηκεν αὐτὸν βασιλέα.

γ'. Ὁ δὲ τοῦ Σαούλου μὲν ἀρχιστράτηγος Ἀβέννηρος, Νήρου δὲ παῖς, ἀνὴρ δραστήριος καὶ ἀγαθὸς τὴν φύσιν, ὡς ἔγνω πεσόντα τὸν βασιλέα καὶ τὸν Ἰωνάθην καὶ τοὺς δύο τοὺς ἄλλους αὐτοῦ παῖδας, ἠπείχθη εἰς τὴν παρεμβολὴν καὶ τὸν περιλειπόμενον ἐξαρπάσας υἱὸν αὐτοῦ, (Ἰέβοσθος δ' ἐκαλεῖτο,) διαβιβάζει πρὸς τοὺς πέραν τοῦ Ἰορδάνου, καὶ παντὸς ἀποδείκνυσι τοῦ πλήθους βασιλέα, πάρεξ τῆς Ἰούδα φυλῆς, βασίλειον δ' ἐποίησεν αὐτῷ τὴν κατὰ μὲν τὴν ἐπιχώριον γλῶτταν Μάναλιν, κατὰ δὲ τὴν Ἑλλήνων παρεμβολὰς λεγομένην. Ὥρμησε δ' ἐκεῖθεν Ἀβέννηρος μετὰ στρατιᾶς ἐπιλέκτου, συμβαλεῖν τοῖς ἐκ τῆς Ἰούδα φυλῆς προαιρούμενος· ὤργιστο γὰρ αὐτοῖς βασιλέα τὸν Δαυίδην κεχειροτονηκόσιν. Ἀπήντησε δ' αὐτῷ πεμφθεὶς ὑπὸ Δαυίδου Σαρουίας μὲν παῖς, πατρὸς δὲ Σουρὶ, ἐκ δὲ τῆς ἀδελφῆς Δαυίδου γεγονὼς αὐτῷ Ἰώαβος, ἀρχιστράτηγος ὢν αὐτοῦ, μετὰ καὶ τῶν ἀδελφῶν Ἀβεσσαίου καὶ Ἀσαήλου καὶ πάντων τῶν Δαυίδου ὁπλιτῶν. Καὶ περιτυχὼν ἐπί τινος κρηνίδος ἐν Γαβαῷ πόλει παρατάσσεται πρὸς μάχην. Τοῦ δ' Ἀβεννήρου φήσαντος πρὸς αὐτὸν, μαθεῖν βούλεσθαι πότερος αὐτῶν ἀνδρειοτέρους στρατιώτας ἔχει, συντίθεται παρ' ἀμφοτέρων δυοκαίδεκα μαχησομένους συμβαλεῖν. Προσελθόντες τοίνυν εἰς τὸ μεταξὺ τῶν παρατάξεων οἱ πρὸς τὴν μάχην ὑφ' ἑκατέρων τῶν στρατηγῶν ἐξειλεγμένοι καὶ τὰς αἰχμὰς ἐπ' ἀλλήλους ἀφέντες σπῶνται τὰς μαχαίρας, καὶ τῶν κεφαλῶν ἐκλαμβανόμενοι κατέχοντες αὐτοὺς ἔπαιον εἰς τὰς πλευρὰς καὶ τὰς λαγόνας ἀλλήλους ταῖς δομφαίαις, ἕως οὗ πάντες ὥσπερ ἐκ συνθήματος ἀπώλοντο. Πεσόντων δὲ τούτων συνέρρηξε καὶ ἡ λοιπὴ στρατιὰ, καὶ καρτερᾶς μάχης γενομένης ἡττήθησαν οἱ τοῦ Ἀβεννήρου. Καὶ τραπέντας οὐκ ἀνίει διώκων Ἰώαβος, ἀλλ' αὐτός τε ἐπέκειτο παρακελευόμενος τοὺς ὁπλίτας ἐκ ποδὸς ἕπεσθαι καὶ μὴ κάμνειν ἀναιροῦντας, οἵ τε ἀδελφοὶ προθύμως ἠγωνίσαντο καὶ ὁ διαφανέστερος τῶν ἄλλων μάλιστα ὁ νεώτερος Ἀσάηλος, ὃς ἐπί τε ποδῶν ὠκύτητι κλέος εἶχεν, (οὐ γὰρ ἀνθρώπους ἐνίκα μόνους, ἀλλὰ καὶ ἵππον καταστάντα εἰς ἅμιλλαν λέγουσι παραδραμεῖν,) καὶ τὸν Ἀβέννηρον ἐδίωκεν ὑπὸ ῥύμης καὶ τῆς ἐπ' ὀρθὸν φορᾶς εἰς οὐδέτερον ἐγκλιθεὶς τῶν μερῶν. Ἐπιστραφέντος δὲ τοῦ Ἀβεννήρου καὶ κατασοφίζεσθαι τὴν ὁρμὴν αὐτοῦ πειρωμένου, καὶ ποτὲ

Quumque respondisset, illi se dare Chebronem, relicta Secela in eam concedit, uxores suas secum adducens (duæ enim erant) suorumque militum cohortem. Ad eum autem populus tribus prædictæ omnis profectus ipsum regem creant. Quum vero audisset quod Jabisi, regionis Galaditidis urbis, incolæ Saulum ejusque filios sepelivissent, misit ad eos qui facinus eorum laudarent et approbarent, quique se illis gratias prò ipsorum in defunctos studio relaturum esse pollicerentur, prætereaque illi nunciarent, Judæ tribum regem se constituisse.

3. Ceterum Abennerus, imperator exercitus Sauli, Neri filius, vir impiger naturaque bonæ indolis, quum primum novit cecidisse regem una cum Jonatha et duobus aliis ejus filiis, reditu in castra accelerato, filioque ejus superstite abrepto, nomine Jebostho, cum eo trajicit ad populum in altera Jordanis ripa habitantem, et in universos Israelitas, excepta tribu Judæ, regem eum constituit. Regiam autem ei elegit ad locum, lingua quidem vernacula Manalin appellatum, Græca vero Castra. Ceterum Abennerus inde cum electissimis exercitus viris properavit, volens ante omnia prælio cum tribu Judæ congredi, ex indignatione quod Davidem regem creavissent. Joabus autem, matre quidem Saruiæ filius, patre vero Suri, Davidis autem sorore natus exercitus ipsius dux, ei occurrit, comitantibus Abeşsæo et Asaele fratribus suis, et universo Davidis exercitu. Et quum circa quendam fonticulum apud urbem Gabaon in eum incidisset, aciem ad prælium explicat. Quum autem Abennerus ei dixisset velle se resciscere utri ipsorum præstantiores essent milites, convenit inter eos ut duodeni utrinque pugnam committerent. Progressi igitur in medium inter acies qui in certamen ab utrorumque ducibus electi erant, quum hastas in se mutuo jecissent, stringunt gladios, prehensisque capitibus alteri alteros tenentes, latera et ilia sibi invicem gladiis confoderunt, usque dum omnes quasi ex pacto occumberent. Quum vero illi cecidissent, ceteri ex utroque exercitu conflixerunt, et postquam summis viribus dimicatum est, Abenneri milites succubuerunt. Versos deinde in fugam Joabus non destitit persequi, sed et ipse instabat, hortatus suos ut e vestigio insequerentur et nequaquam occidendo fatiscerent; fratres etiam ipsius acriter pugnarunt, præcipue natu minimus Asaelus præ reliquis maxime conspicuus, qui ex pedum etiam velocitate gloriam adeptus erat, (nam non homines solum celeritate superabat, sed et equum cum eo contendentem cursu prævertisse dicitur,) et tum Abennerum totis viribus rectaque insequebatur, in neutram partem deflexus. Quum autem Abennerus respexisset et impetum ejus eludere tentasset, et nunc quidem mo-

μὲν εἰπόντος ἑνὸς τῶν ἑαυτοῦ στρατιωτῶν ἀφέμενος τῆς διώξεως ἀφελέσθαι τὴν πανοπλίαν, πάλιν δ', ὡς οὐκ ἔπειθε τοῦτο ποιεῖν, κατασχεῖν αὐτὸν καὶ μὴ διώκειν παραινοῦντος, μὴ κτείνας αὐτὸν ἀπολέσῃ τὴν πρὸς τὸν ἀδελφὸν αὐτοῦ παρρησίαν· οὐ προσέμενον δὲ τοὺς λόγους, ἀλλ' ἐπιμείναντα τῇ διώξει, φεύγων ὡς εἶχε τὸ δόρυ πλήξας εἰς τοὐπίσω καιρίως, παραχρῆμα ἀπέκτεινεν. Οἱ δὲ μετ' αὐτοῦ διώκοντες τὸν Ἀβέννηρον ὡς ἦλθον ἐπὶ τὸν τόπον οὗ κεῖσθαι συνέβαινε τὸν Ἀσάηλον, περιστάντες τὸν νεκρὸν οὐκέτι τοὺς πολεμίους ἐδίωκον· ὁ δὲ Ἰώαβος αὐτὸς καὶ ὁ ἀδελφὸς αὐτοῦ Ἀβεσσαῖος, παραδραμόντες τὸ πτῶμα καὶ τῆς πλείονος ἐπὶ τὸν Ἀβέννηρον σπουδῆς αἰτίαν τὴν ὑπὲρ τοῦ τετελευτηκότος ὀργὴν λαβόντες, ἀπίστῳ τάχει καὶ προθυμίᾳ χρώμενοι, μέχρι τόπου τινὸς, ὃν Ἀμμάταν καλοῦσι, ἐδίωξαν τὸν Ἀβέννηρον, ἤδη περὶ δυσμὰς ὄντος ἡλίου. Ἀναβὰς δ' ἐπί τινα βουνὸν ὡς ἕστη ἐπ' ἐκείνῳ τῷ τόπῳ μετὰ τῆς Βενιαμίτιδος φυλῆς, αὐτούς τε κατεσκέπτετο καὶ τὸν Ἀβέννηρον. Τούτου δὲ ἀνακεκραγότος καὶ φήσαντος μὴ δεῖν ἄνδρας ὁμοφύλους εἰς ἔριδα καὶ μάχην παροξύνειν, (ἁμαρτεῖν γὰρ καὶ τὸν ἀδελφὸν αὐτοῦ Ἀσάηλον, ὃς παραινοῦντος μὴ διώκειν οὐκ ἐπείσθη καὶ διὰ τοῦτο βληθεὶς ἀπέθανε,) συμφρονήσας καὶ παράκλησιν ἡγησάμενος τούτους τοὺς λόγους ὁ Ἰώαβος ἀνακαλεῖ τῇ σάλπιγγι σημήνας τοὺς στρατιώτας καὶ τῆς ἐπὶ πολὺ διώξεως ἐπέσχε. Καὶ οὗτος μὲν ἐπ' ἐκείνου καταστρατοπεδεύεται τοῦ τόπου τὴν νύκτα ταύτην, Ἀβέννηρος δὲ δι' ὅλης αὐτῆς ὁδεύσας καὶ περαιωσάμενος τὸν Ἰορδάνην ποταμὸν ἀφικνεῖται πρὸς τὸν τοῦ Σαούλου παῖδα εἰς τὰς παρεμβολὰς Ἰέβοσθον. Τῇ δ' ἐχομένῃ τοὺς νεκροὺς Ἰώαβος ἐξαριθμήσας ἅπαντας ἐκήδευσεν. Ἔπεσον δὲ τῶν μὲν Ἀβεννήρου στρατιωτῶν ὡς τριακόσιοι καὶ ἑξήκοντα, τῶν δὲ Δαυίδου δέκα πρὸς τοῖς ἐννέα καὶ Ἀσάηλος· οὗ τὸ σῶμα κομίσαντες ἐκεῖθεν Ἰώαβος καὶ Ἀβεσσαῖος εἰς Βηθλεέμην καὶ θάψαντες ἐν τῷ πατρῴῳ μνήματι πρὸς Δαυίδην εἰς Χεβρῶνα παρεγένοντο. Ἤρξατο μὲν οὖν ἐξ ἐκείνου τοῦ χρόνου τοῖς Ἑβραίοις ἐμφύλιος πόλεμος καὶ διέμεινεν ἄχρι πολλοῦ, τῶν μὲν μετὰ Δαυίδου κρειττόνων ἀεὶ γινομένων καὶ πλεῖον ἐν τοῖς κινδύνοις φερομένων, τῶν δὲ Σάουλου παίδων καὶ τῶν ὑπηκόων αὐτῶν κατὰ πᾶσαν σχεδὸν ἡμέραν ἐλαττουμένων.

δ'. Ἐγένοντο δὲ κατὰ τοῦτον τὸν καιρὸν καὶ παῖδες Δαυίδῃ τὸν ἀριθμὸν ἓξ ἐκ γυναικῶν τοσούτων· ὧν ὁ μὲν πρεσβύτατος ἐκ μητρὸς Ἀχινᾶς γενόμενος Ἀμνῶν ἐκλήθη, ὁ δὲ δεύτερος ἐκ γυναικὸς Ἀβιγαίας Δανίηλος, τῷ τρίτῳ δ' ἐκ τῆς Θολομαίου θυγατρὸς Μαχάμης φύντι τοῦ Γεσσιρῶν βασιλέως Ἀβεσάλωμος ὄνομα· τὸν δέ γε τέταρτον Ἀδωνίαν ἐκ γυναικὸς Ἀγγίθης προσηγόρευσε, τὸν πέμπτον δὲ Σαφατίαν τῆς Ἀβιταάλης καὶ τὸν ἕκτον Γεθραάμην τῆς Αἰγλᾶς ἐπωνόμασε. Τοῦ δ' ἐμφυλίου πολέμου συνεστῶτος, καὶ συμπιπτόντων εἰς ἔργα καὶ μάχην πυκνῶς τῶν μεθ' ἑκατέρου τῶν βασιλέων, Ἀβέννηρος ὁ τοῦ Σαούλου παιδὸς ἀρχιστράτηγος

nuisset ut ab ipso persequendo desistens alicui militum suorum arma auferret, nunc vero, ubi ei hæc non persuaserat, precibus obsecrasset, ut se reprimeret et persequi desineret, ne occiso eo ipse fratris ejus in conspectum veniendi libertatem amitteret, atque ille his verbis nihil moveretur, sed insequi persisteret, *Abennerus* fugiens ut erat hastam torquet, et a tergo opportune ictu illato statim eum confecit. Qui vero cum eo Abennerum insectabantur, postquam in locum venerant, ubi forte Asaelus jacebat, mortuum circumstantes non amplius hostes persequebantur. Joabus autem et frater ejus Abessæus, cadaver cursu prætervecti, majorique studio ex ira ob *fratrem* occisum in Abennerum incitati, mira cum pernicitate et alacritate usque ad locum quendam, Ammatam nomine, Abennerum persequuti sunt, quum jam sol occideret. At colle quodam ascenso, in eo loco cum tribu Benjamitide constitit *Joabus*, et illos conspiciebat et Abennerum. Hic vero quum vocem sustulisset et dixisset non oportere inter populares contentionem et pugnam conciere in culpa enim fuisse fratrem ejus Asaelum, cui, ipso obsecrante, non persuasum esset ut ab insequendo cessaret, propterea que percussum occubuisse, Joabus ei assensus, seque hisce verbis admonitum esse ratus, signo tuba dato suos revocat, et ne ulterius persequerentur cohibebat. Et hic quidem in eo loco castris positis pernoctat, Abennerus vero tota nocte itinere continuato, Jordaneque fluvio trajecto in castra pervenit ad Jebosthum Sauli filium. Die autem sequenti Joabus recensitis *cæsorum* cadaveribus omnes sepulturæ mandavit. Ceciderunt autem ex Abenneri quidem exercitu circiter trecenti et sexaginta, e Davidicis vero undeviginti, præter Asaelum : cujus corpus quum Joabus et Abessæus inde Bethleemen deportassent et in sepulcro patrio sepelevissent, ad Davidem in Chebronem reversi sunt. Ex illo itaque tempore intestinum inter Hebræos gliscebat bellum et aliquamdiu perdurabat, ita ut Davidicis quidem vires semper augerentur, et ipsi in prœliis superarent, Sauli vero filiis et qui eis parebant quotidie fere minuerentur.

4. Sub hoc autem tempus et filii Davidi nati erant numero sex, e totidem uxoribus. Quorum natu quidem maximus, e matre Achina susceptus, Amnon vocabatur, secundus vero ex uxore Abigæa Danielus, tertio autem ex Machama Tholomæi regis Gessirarum filia prognato nomen erat Abesalomus : at quartum ex uxore Aggitha vocavit Adoniam : quintum vero Saphatiam ex Abitaala, sextumque ex Ægla *natum* Gethraaman cognominavit. Quum autem bellum civile conflatum esset, et crebro ad manus venirent confligerentque utriusque regis exercitus, Abennerus, partium Sauli filii imperator, qui et vir prudens erat, et mul-

τηγος, συνετός τε ὢν καὶ σφόδρα εὔνουν ἔχων τὸ πλῆθος, πάντας συμμεῖναι τῷ Ἰεβόσθῳ παρεσκεύασεν, καὶ διέμειναν ἱκανὸν χρόνον τὰ ἐκείνου φρονοῦντες. Ὕστερον δ' ἐν ἐγκλήματι γενόμενος ὁ Ἀβέννηρος καὶ λαβὼν αἰτίαν ὡς συνέλθοι τῇ Σαούλου παλλακῇ, Ῥαισφᾷ μὲν τοὔνομα, Σιβάθου δὲ θυγατρὶ, καὶ καταμεμφθεὶς ὑπὸ Ἰεβόσθου, περιαλγήσας καὶ θυμωθεὶς ὡς οὐ δικαίων τῶν παρ' αὐτοῦ τυγχάνοι πάσῃ προνοίᾳ περὶ αὐτὸν χρώμενος, ἠπείλησε μὲν τὴν βασιλείαν εἰς Δαυίδην περιστήσειν, ἐπιδείξειν δ' ὡς οὐ διὰ τὴν ἰδίαν ῥώμην καὶ σύνεσιν ἄρχοι τῶν πέραν Ἰορδάνου, διὰ δὲ τὴν αὐτοῦ στρατηγίαν τε καὶ πίστιν. Καὶ πέμψας εἰς Χεβρῶνα παρὰ Δαυίδην λαβεῖν ὅρκους τε καὶ πίστεις ἠξίου ἢ μὴν ἕξειν αὐτὸν ἑταῖρον καὶ φίλον ἀναπείσαντα τὸν λαὸν τοῦ Σαούλου μὲν ἀποστῆναι παιδὸς, αὐτὸν δὲ ἀποδείξαντα πάσης τῆς χώρας βασιλέα. Τοῦ δὲ Δαυίδου ποιησαμένου τὰς ὁμολογίας, (ἦσθη γὰρ ἐφ' οἷς Ἀβέννηρος διεπρεσβεύσατο πρὸς αὐτόν,) καὶ πρῶτον τεκμήριον παρασχεῖν τῶν συνθηκῶν ἀξιώσαντος ἀνασώσαντα πρὸς αὐτὸν Μιχάλαν τὴν γυναῖκα, μεγάλοις ὠνηθεῖσαν ὑπ' αὐτοῦ κινδύνοις καὶ Παλαιστίνων κεφαλαῖς ἑξακοσίαις, ἃς ὑπὲρ αὐτῆς ἐκόμισε τῷ πατρὶ Σαούλῳ, πέμπει μὲν αὐτῷ τὴν Μιχάλαν, ἀποσπάσας Φελτίου τοῦ τότε συνοικοῦντος αὐτῇ, πρὸς τοῦτο καὶ Ἰεβόσθου συμπράξαντος· ἐγεγράφει γὰρ αὐτῷ Δαυίδης τὴν γυναῖκα δικαίως ἀπολαβεῖν. Συγκαλέσας δὲ καὶ τοὺς γεγηρακότας τοῦ πλήθους καὶ ταξιάρχους καὶ χιλιάρχους, λόγους ἐποιήσατο πρὸς αὐτοὺς, ὡς ἔχοντας ἑτοίμως ἀποστῆναι μὲν Ἰεβόσθου, Δαυίδῃ δὲ προσθέσθαι, ταύτης ἀποστρέψειε τῆς ὁρμῆς, νῦν μέντοι γε ἐπιτρέποι χωρεῖν ᾗ βούλονται· καὶ γὰρ εἰδέναι τὸν Θεὸν διὰ Σαμουήλου τοῦ προφήτου Δαυίδην χειροτονήσαντα πάντων Ἑβραίων βασιλέα, προειπεῖν δ' ὅτι Παλαιστίνους ἐκεῖνος αὐτὸς τιμωρήσεται καὶ ποιήσει κρατήσας ὑποχειρίους. Ταῦτ' ἀκούσαντες οἱ πρεσβύτεροι καὶ ἡγεμόνες, ὡς καὶ τὴν Ἀβεννήρου γνώμην, ἣν πρότερον εἶχον αὐτοὶ περὶ τῶν πραγμάτων, σύμφωνον παρέλαβον, τὰ Δαυίδου φρονεῖν μετεβάλοντο. Πεισθέντων δὲ τούτων, Ἀβέννηρος συγκαλεῖ τὴν Βενιαμῖτιν φυλήν, (οἱ γὰρ ἐκ ταύτης ἅπαντες Ἰεβόσθου σωματοφύλακες ἦσαν,) καὶ ταὐτὰ πρὸς αὐτοὺς διαλεχθεὶς, ἐπεὶ μηδὲν ἀντικρούοντας ἑώρα, προστιθεμένους δ' οἷς ἐβούλετο, παραλαβὼν ὡς εἴκοσι τῶν ἑταίρων ἦκε πρὸς Δαυίδην, τοὺς ὅρκους παρ' αὐτοῦ λῃψόμενος αὐτὸς, (πιστότερα γὰρ τῶν δι' ἄλλου πραττομένων ὅσα δι' αὐτῶν ἕκαστοι ποιοῦμεν εἶναι δοκεῖ,) καὶ προσέτι τοὺς γενομένους αὐτῷ λόγους πρός τε τοὺς ἡγεμόνας καὶ τὴν φυλὴν ἅπασαν σημανῶν. Ὑποδεξαμένου δ' αὐτὸν φιλοφρόνως καὶ λαμπρᾷ καὶ πολυτελεῖ τραπέζῃ ξενίσαντος ἐπὶ συχνὰς ἡμέρας, ἠξίωσεν ἀφεθεὶς ἀγαγεῖν τὸ πλῆθος, ἵνα παρόντι καὶ βλεπομένῳ παραδοίη τὴν ἀρχήν.

ε'. Ἐκπέμψαντος δὲ τοῦ Δαυίδου τὸν Ἀβέννηρον, οὐδὲ ὀλίγον διαλιπὼν εἰς Χεβρῶνα ἦκεν Ἰώαβος ὁ ἀρχιστράτηγος αὐτοῦ, καὶ μαθὼν ὡς εἴη παρὼν πρὸς αὐ-

titudinem habuit in ipsum valde propensam, effecit ut omnes ab Jebostho starent, et aliquamdiu in ejus fide permanserunt. Postea vero, quum accusaretur Abennerus, eique objiceretur quod cum Sauli concubina (nomine quidem Ræspha, Sibathi vero filia) rem habuisset, et ab Jebostho reprehenderetur, dolore percitus iraque incensus, quasi meritam ab eo non acceperit gratiam, cujus rebus summa cum alacritate studuerit, minatus est quidem se regnum ad Davidem translaturum esse, palamque facturum quod non propria virtute et prudentia Transjordanianis imperaret, sed sua in exercitu gubernando peritia et fide; missisque in Chebronem ad Davidem legatis obsecrabat ut juramentum ab eo acciperet fidemque, quod ipsum habiturus esset socium et amicum, quando populo persuaserit ut a Sauli quidem filio deficerent, ipsum vero omnium Israelitarum regem constituerent. Postquam autem Davides fœdus cum eo percusserat, (nam grata ei erant ea quæ Abennerus apud ipsum per legatos egerat,) atque primum fidei sibi datæ indicium hoc postularat, ut ejus beneficio Michala uxor sibi restitueretur, quam magno sui periculo emerat, et sexcentis Palæstinorum capitibus pro illa ad Saulum patrem allatis, mittit ipsi Michalam *Abennerus*, a Pheltia, qui tunc eam in matrimonio habebat, abstractam, adjuvante etiam Jebostho: scripserat enim illi Davides ut uxorem suam jure reciperet. Deinde *Abennerus*, convocatis senioribus populi et centurionibus et tribunis, apud ipsos hujusmodi verba fecit, quod illos, quum in eo essent ut ab Jebostho desciscerent et sese Davidi adjungerent, ab isto impetu averterit, nunc vero illis potestatem faciat eundi quo vellent: nam et sibi compertum esse Deum, quum per Samuelem prophetam Davidem omnium Hebræorum regem constituisset, etiam prædixisse, fore ut ille ipse pœnas a Palæstinis exigeret, illosque devictos ipsis subjiceret. Quum hæc audissent seniores et duces, quodque Abennerus haud aliter ac illi ipsi prius senserit, eo adducti sunt ut Davidis auspicia sequerentur. Quum autem his persuasum esset, tribum Benjamiticam convocat, (nam ejus tribules omnes erant Jebosthi satellites,) atque hæc apud eos locutus, postquam illos non reniti animadvertisset, sed in suam sententiam concedere, e sociis circiter viginti assumptis ad Davidem se contulit, ut ipsemet ab eo jurisjurandi fidem acciperet, (iis enim quæ per alios fiunt firmiora esse videntur quæ nosmetipsi gerimus,) simulque ut sermonem, quem cum ducibus habuit tribuque universa, ei referret. Quum autem *Davides* illum benigne excepisset, mensæque splendidæ et magnificæ per aliquot dies adhibuisset, petiit *Abennerus* dimitti ad populum ei adducendum, ut præsenti videntique imperium traderet.

5. Ceterum ubi a Davide dimissus esset Abennerus, statim ut abiit Chebronem venit Joabus, copiarum Davidis imperator, cognitoque quod apud ipsum fuisset Abennerus,

τὸν Ἀβέννηρος καὶ μικρὸν ἔμπροσθεν ἀπηλλαγμένος ἐπὶ συνθήκαις καὶ ὁμολογίαις τῆς ἡγεμονίας, δείσας μὴ τὸν μὲν ἐν τιμῇ καὶ τῇ πρώτῃ ποιήσηται τάξει, συνεργόν τε τῆς βασιλείας ἐσόμενον καὶ τἄλλα δεινὸν ὄντα συνιδεῖν πράγματα καὶ τοὺς καιροὺς ὑποδραμεῖν, αὐτὸς δ' ἐλαττωθείη καὶ τῆς στρατηγίας ἀφαιρεθείη, κακοῦργον καὶ πονηρὰν ὁδὸν ἄπεισι. Καὶ πρῶτον μὲν ἐπιχειρεῖ διαβάλλειν αὐτὸν πρὸς τὸν βασιλέα, φυλάττεσθαι παραινῶν καὶ μὴ προσέχειν οἷς Ἀβέννηρος συντίθεται· πάντα γὰρ ποιεῖν αὐτὸν ἐπὶ τῷ βεβαιώσασθαι τῷ Σαούλου παιδὶ τὴν ἡγεμονίαν· ἐπὶ δὲ ἀπάτῃ καὶ δόλῳ πρὸς αὐτὸν ἐλθόντα μεθ' ἧς ἐβούλετο νῦν ἐλπίδος καὶ οἰκονομίας τῶν κατασκευαζομένων ἀπελθεῖν. Ὡς δ' οὐκ ἔπειθε τὸν Δαυίδην τούτοις οὐδὲ παροξυνόμενον ἑώρα, τρέπεται ταύτης τολμηροτέραν ὁδὸν, καὶ κρίνας Ἀβέννηρον ἀποκτεῖναι πέμπει τοὺς ἐπιδιώξοντας, οἷς καταλαβοῦσι προσέταξεν αὐτὸν καλεῖν ἐκ τοῦ Δαυίδου ὀνόματος, ὡς ἔχοντος αὐτοῦ τινὰ περὶ τῶν πραγμάτων πρὸς αὐτὸν, ἃ μὴ διεμνημόνευσε παρόντος, εἰπεῖν. Ἀβέννηρος δ' ὡς ἤκουσε τὰ παρὰ τῶν ἀγγέλων, (κατέλαβον γὰρ αὐτὸν ἐν τόπῳ τινὶ Βησιρᾷ καλουμένῳ, ἀπέχοντι τῆς Χεβρῶνος σταδίους εἴκοσι,) μηδὲν ὑπειδόμενος τῶν συμβησομένων ὑπέστρεψεν. Ὑπαντήσας δ' αὐτῷ πρὸς τῇ πύλῃ ὁ Ἰώαβος, καὶ δεξιωσάμενος ὡς μάλιστ' εὔνους καὶ φίλος, (ὑποκρίνονται γὰρ ἱκανῶς πολλάκις εἰς τὸ ἀνύποπτον τῆς ἐπιβουλῆς τὰ τῶν ἀληθῶς ἀγαθῶν οἱ πράγμασιν ἐγχειροῦντες ἀτόποις,) ἀποσπᾷ μὲν τῶν οἰκείων αὐτὸν, ὡς ἐν ἀπορρήτῳ διαλεξόμενος, παραγαγὼν δὲ εἰς τὸ ἐρημότερον τῆς πύλης, μόνος αὐτὸς ὢν σὺν Ἀβεσσαίῳ τῷ ἀδελφῷ σπασάμενος τὴν μάχαιραν ὑπὸ τὴν λαγόνα παίει. Καὶ τελευτᾷ μὲν Ἀβέννηρος τοῦτον ἐνεδρευθεὶς τὸν τρόπον ὑπὸ Ἰωάβου, ὡς μὲν αὐτὸς ἔλεγε τιμωρήσαντος Ἀσαήλῳ τῷ ἀδελφῷ, ὃν διώκοντα λαβὼν Ἀβέννηρος ἀπέκτεινεν ἐν τῇ πρὸς τῇ Χεβρῶνι μάχῃ, ὡς δὲ τἀληθὲς εἶχε, δείσαντος περὶ τῆς στρατηγίας καὶ τῆς παρὰ τῷ βασιλεῖ τιμῆς μὴ τούτων μὲν αὐτὸς ἀφαιρεθείη, λάβοι δὲ παρὰ Δαυίδου τὴν πρώτην τάξιν Ἀβέννηρος. Ἐκ τούτων ἄν τις κατανοήσειεν ὅσα καὶ πηλίκα τολμῶσιν ἄνθρωποι πλεονεξίας ἕνεκα καὶ ἀρχῆς καὶ τοῦ μηδενὶ τούτων παραχωρῆσαι. Κτήσασθαι γὰρ αὐτὰ ποθοῦντες διὰ μυρίων κακῶν λαμβάνουσι, καὶ δείσαντες ἀποβαλεῖν πολλῷ χείροσι τὸ βέβαιον αὐτοῖς τῆς παραμονῆς περιποιοῦσιν, ὡς οὐχ ὁμοίου δεινοῦ τυγχάνοντος μὴ πορίσασθαι τηλικοῦτο μέγεθος ἐξουσίας καὶ συνήθη τοῖς ἀπ' αὐτῆς ἀγαθοῖς γενόμενον ἔτι ταύτην ἀπολέσαι. Τούτου δὲ ὑπερβολὴν ἔχοντος συμφορᾶς, διὰ τοῦτο καὶ χαλεπώτερα μηχανῶνται καὶ τολμῶσιν ἔργα πάντες φόβῳ τοῦ ἀποβαλεῖν. Ἀλλὰ περὶ μὲν τούτων ἐν βραχέσιν ἀρκεῖ δεδηλῶσθαι.

ς'. Δαυίδης δ' ἀκούσας ἀνῃρημένον τὸν Ἀβέννηρον ἤλγησε μὲν τὴν ψυχὴν, ἐμαρτύρατο δὲ πάντας, ἀνατείνων εἰς τὸν Θεὸν τὴν δεξιὰν καὶ βοῶν ὡς οὔτε κοινωνὸς εἴη τῆς Ἀβεννήρου σφαγῆς οὔτε κατ' ἐντολὴν καὶ βούλησιν ἰδίαν ἀποθάνοι, ἀρὰς δὲ κατὰ τοῦ πεφονευκότος παυλο ante, pactis constitutisque omnibus de principatu, discessisset, veritus ne ille quidem in honore primoque loco haberetur, ut qui regnum ei conciliaturus esset, et præterea acri erat ingenio ad res perspiciendas et temporibus accommodandas, ipse vero imminueretur et exercitus imperium amitteret, malignam pravamque viam iniit. Et primum quidem eum apud regem calumniis adoritur, dictitans ut sibi de illo caveret, et iis quæ polliceretur Abennerus fidem non haberet: omnia enim illum agere ad principatum Saul filio stabiliendum, cum fraude vero doloque malo ad ipsum accessisse, eaque quam voluerit spe nunc fretum et omnibus pulcre paratis discessisse. Ubi vero hæc Davidi non persuaserat, ac ne tantillum quidem iis moveri senserat, ad audaciora aggreditur, statutoque secum Abennerum interimere, nuncios ad illum persequendum misit; quibus in mandatis dedit ut illum assequutŭ Davidis nomine revocarent, quasi ipse nonnulla de rebus suis cum eo communicanda haberet, quæ, dum ille adesset, ipsi e memoria exciderint. Abennerus autem, ut ea quæ retulerunt nuncii acceperat, (ipsum enim assequuti sunt in loco quodam, cui nomen Besira, viginti stadiis a Chebrone dissito,) nihil eorum quæ eventura erant suspicans reversus est. At Joabus, cum ei ad portam obviam venisset, et benigne excepisset, viri summe benevoli amicique speciem præ se ferens, (fit enim sæpiuscule ut, ne qua detur insidiarum suspicio, vere bonorum mores simulent quibus in animo est flagitii aliquid patrare,) ipsum quidem a suis seducit, quasi in secreto cum eo collocuturus, deductum vero in portæ locum solitarium, uno fratre Abessæo præsente, stricto gladio subter ilia percutit. Et Abennerus quidem diem obit, hoc modo insidiis exceptus ab Joabo, qui, ut ipse quidem dicebat, ultus fuerit fratrem Asaelum, quem Abennerus insequentem occiderat in prælio ad Chebronem, re autem vera quod timeret de imperio exercitus deque honore apud regem, ne hisce quidem ipse privaretur, primum vero honoris locum a Davide Abennerus acciperet. Ex his licet alicui perspicere quanta et qualia soleant homines audere ut superiora omnia habeant et principatum obtineant, et nemini hisce cedant. Nam dum ista adipisci desiderant, per mala innumera ad ea grassantur, et veriti ne eadem aliquando amittant, ut quam diutissime illis permaneant, etiam pejora facere non dubitant, existimantes haud adeo grave esse ad tantum potestatis fastigium non pervenire, ac commodis ejus jam assuetum iisdem excidere. Hoc autem quum rerum calamitosissimum sit, ideo omnes amittendi metu nihil utut arduum relinquunt quod non tentent audeantque perficere. Sed de his quidem satis est paucis admonuisse.

6. Davides autem, quum audisset Abennerum peremptum esse, animo quidem indoluit, dextraque ad Deum porrecta et voce sublata testatus est omnes, neque se Abenneri cædis conscium fuisse, neque *illum* se jubente volenteque occubuisse: diras autem graves necis ejus auctori impreca-

τος αὐτὸν δεινὰς ἐτίθετο, καὶ τὸν οἶκον ὅλον αὐτοῦ καὶ τοὺς συμπράξαντας ὑπευθύνους ἐποιεῖτο ταῖς ὑπὲρ τοῦ τετελευτηκότος ποιναῖς. Ἔμελε γὰρ αὐτῷ μὴ δόξαι παρὰ τὰς πίστεις καὶ τοὺς ὅρκους, οὓς ἔδωκεν Ἀβεννήρῳ, τοῦτο εἰργάσθαι. Προσέταξε μέντοι γε παντὶ τῷ λαῷ κλαίειν καὶ πενθεῖν τὸν ἄνδρα, καὶ τοῖς νομιζομένοις τιμᾶν αὐτοῦ τὸ σῶμα, περιρρηξαμένων μὲν τὰς ἐσθῆτας, ἐνδυσαμένων δὲ σάκκους· ταῦτα δὲ ποιεῖν προάγοντας τὴν κλίνην. Αὐτὸς δ' ἐφείπετο μετὰ τῶν γεγηρακότων καὶ τῶν ἐν ἡγεμονίαις ὄντων, κοπτόμενός τε καὶ τοῖς δακρύοις ἐνδεικνύμενος τό τε εὔνουν τὸ πρὸς τὸν ζῶντα καὶ τὴν ἐπὶ τεθνηκότι λύπην, καὶ ὅτι μὴ κατὰ τὴν αὐτοῦ γνώμην ἀνῄρηται. Θάψας δ' αὐτὸν ἐν Χεβρῶνι μεγαλοπρεπῶς, ἐπιταφίους τε συγγραψάμενος θρήνους, αὐτὸς ἐπὶ τοῦ τάφου στὰς πρῶτος ἀνεκλαύσατο καὶ παρέδωκε τοῖς ἄλλοις. Οὕτω δ' αὐτὸν ὁ Ἀβεννήρου συνέχει θάνατος, ὡς μηδὲ τροφὴν ἀναγκαζόντων αὐτὸν τῶν ἑταίρων λαβεῖν, ἀλλ' ὤμοσε γεύσασθαι μηδενὸς ἄχρις ἡλίου δυσμῶν. Ταῦτ' εὔνοιαν αὐτῷ παρὰ τοῦ πλήθους ἐγέννησεν. Οἵ τε γὰρ πρὸς τὸν Ἀβέννηρον φιλοστόργως διακείμενοι σφόδρα αὐτοῦ τὴν πρὸς αὐτὸν τιμὴν ἀποθανόντα καὶ φυλακὴν τῆς πίστεως ἠγάπησαν, ὅτι πάντων αὐτὸν ἀξιώσειε τῶν νομιζομένων ὡς συγγενῆ καὶ φίλον, ἀλλ' οὐχ ὡς ἐχθρὸν γενόμενον ὑβρίσειεν ἀκόσμῳ ταφῇ καὶ ἠμελημένῃ, τό τε ἄλλο πᾶν ὡς ἐπὶ χρηστῷ καὶ ἡμέρῳ τὴν φύσιν ἔχαιρε, τὴν αὐτὴν ἑκάστου λογιζομένου πρόνοιαν εἰς αὐτὸν τοῦ βασιλέως ἐν τοῖς ὁμοίοις, ὁποίων τυγχάνοντα τὸν Ἀβεννήρου νεκρὸν ἑώρα. Πρὸς τούτοις οὖν μάλιστα Δαυίδην γλίχεσθαι δόξης ἀγαθῆς, ποιούμενον πρόνοιαν ἣν εἰκὸς μὲν ἦν, ὡς οὐδεὶς ὑπενόησεν ὑπ' αὐτοῦ φονευθῆναι τὸν Ἀβέννηρον, ἔλεξε δὲ καὶ πρὸς τὸ πλῆθος ὡς αὐτῷ μὲν οὐχ ἡ τυχοῦσα γένοιτο λύπη ἀνδρὸς ἀγαθοῦ τετελευτηκότος, οὐ μικρὰ δὲ τοῖς Ἑβραίων πράγμασι βλάβη, στερηθέντων τοῦ σώζειν βουλαῖς τε ἀρίσταις καὶ ῥώμῃ χειρῶν ἐν τοῖς πολεμικοῖς ἔργοις δυναμένου. Ἀλλὰ Θεὸς μέν, εἶπεν, ᾧ μέλει πάντων, οὐκ ἐάσει τοῦτον ὑμῖν ἀνεκδίκητον. Ἐπίστασθε δὲ ὡς οὐδὲν ἐγὼ Ἰώαβον καὶ Ἀβεσσαῖον τοὺς Σαρουίας παῖδας ποιεῖν ἱκανός εἰμι, πλέον ἐμοῦ δυναμένους, ἀλλ' ἀποδώσει τὴν ὑπὲρ τῶν τετολμημένων αὐτοῖς ἀμοιβὴν τὸ θεῖον. Καὶ Ἀβέννηρος μὲν εἰς τοιοῦτο κατέστρεψε τέλος τὸν βίον.

ΚΕΦ. Β'.

Ἀκούσας δὲ τὴν τελευτὴν αὐτοῦ ὁ Σαούλου παῖς Ἰέβοσθος οὐ πρᾴως ἤνεγκεν, ἀνδρὸς ἐστερημένος συγγενοῦς καὶ τὴν βασιλείαν αὐτῷ παρασχόντος, ἀλλ' ὑπερεπάθησε, καὶ λίαν αὐτὸν ὠδύνησεν ὁ Ἀβεννήρου θάνατος. Οὐκ ἐπεβίωσε δ' οὐδ' αὐτὸς πολὺν χρόνον, ἀλλ' ὑπὸ τῶν Ἱερέμμωνος υἱῶν, ὧν τῷ μὲν Βαναάθα, τῷ δὲ ἑτέρῳ Θάννος ὄνομα ἦν, ἐπιβουλευθεὶς ἀπέθανεν. Οὗτοι γὰρ ὄντες τὸ μὲν γένος Βενιαμῖται, τοῦ δὲ πρώτου τάγματος, λογισάμενοι δ' ὡς, ἂν ἀποκτείνωσι τὸν

tus est, atque totam ipsius familiam et facinoris socios pœnis mortuo persolvendis devovebat. Erat enim sollicitus ne videretur præter fidem et jusjurandum, quod Abennero dederat, facinus illud patratum esse; et populo quidem universo præcepit ut virum deflerent et lugerent, et corpus ejus solennibus honorarent exsequiis, laniatis vestimentis suis atque saccis amicti; idque facerent lectum antecedentes. Ipse autem sequebatur cum senioribus virisque principibus, planctu et lacrimis indicans benevolentiam qua vivum, et mœrorem quo mortuum prosequebatur, quodque præter ipsius voluntatem interemptus fuerit. Ceterum quum ipsum in Chebrone magnifice sepelivisset, et lamentationes funebres conscripsisset, ipse super monumentum stans primus lamentatus est, dein fecit ut alii ploratum redintegrarent. Adeo autem eum conturbabat Abenneri interitus, ut ne alimentum quidem, amicis ipsum adigentibus, capere voluerit, sed jurarit nulla re gustaturum esse usque ad solis occasum. Hæc ei gratiam apud populum conciliarunt. Nam et qui Abennerum tenerrimo affectu diligebant, vehementer hunc defuncto præstitum ab eo honorem servatamque fidem probaverunt, quod ipsum ut cognatum et amicum, omnibus exsequiarum justis dignatus fuerit, et non ut inimicum turpis et neglectæ sepulturæ ignominia affecerit: et alii omnes de eo *ut* natura benigno mitique gaudebant, singuli secum reputantes regem sibi in similibus pari modo prospecturum esse, ac Abennerum mortuum ab eo curatum esse videbant. Igitur in his Davides bonæ famæ potissimum studebat, curam omnem et diligentiam, quam par erat, adhibendo, ita ut nemo Abennerum ejus voluntate occisum esse suspicaretur. Quin et in hæc verba locutus ad populum, quod ipse non mediocrem dolorem ceperit ex viri præstantis interitu, nec modicum res Hebræorum detrimentum, amisso viro, qui ipsos et optimo consilio et strenua manu, gliscente bello, tueri et servare potuisset. Verum Deus quidem, aiebat, cui res universæ curæ sunt, hunc vobis inultum esse non patietur. Sciatis autem velim me infirmiorem esse quam ut in Joabum et Abessæum Saruiæ filios animadvertam, sed Deus illis scelerum digna rependet. Et Abennerus quidem in hunc modum vitam finivit.

CAP. II.

Quum autem mortem ejus accepisset Jebosthus Sauli filius, non leviter id tulit, utpote viro orbatus sibi cognato, et qui regnum ipsi conciliarat, sed valde commotus erat, magnumque ei dolorem attulit Abenneri interitus. Ceterum et ipse non diu superstes erat, sed ex Hieremmonis filiorum (quorum alteri Banaothæ, alteri nomen erat Thannus) insidiis periit. Hi enim quum essent genere Benjamitæ et primi ordinis, ideoque existimarint, si Jebosthum perime-

Ἰέβοσθον, μεγάλων παρὰ Δαυίδου τεύξωνται δωρεῶν, καὶ στρατηγίας ἢ τινος ἄλλης πίστεως τὸ ἔργον αὐτοῖς ἔσται, παρὰ τὸ δωμάτιον μόνον εὑρόντες μεσημβρίζοντα καὶ κοιμώμενον τὸν Ἰέβοσθον, καὶ μήτε τοὺς φύλακας παρόντας μήτε τὴν θυρωρὸν ἐγρηγορυῖαν, ἀλλὰ καὶ αὐτὴν ὑπό τε τοῦ κόπου καὶ τῆς ἐργασίας ἣν μετεχειρίζετο καὶ τοῦ καύματος εἰς ὕπνον καταπεσοῦσαν, παρελθόντες εἰς τὸ δωμάτιον, ἐν ᾧ συνέβαινε κατακεκοιμῆσθαι τὸν Σαούλου παῖδα, κτείνουσιν αὐτόν. Καὶ τὴν κεφαλὴν ἀποτεμόντες καὶ δι' ὅλης τῆς νυκτὸς καὶ ἡμέρας ποιησάμενοι τὴν πορείαν, ὡς ἂν φεύγοντες ἐκ τῶν ἠδικημένων πρὸς τὸν λῃψόμενόν τε τὴν χάριν καὶ παρέξοντα τὴν ἀσφάλειαν, εἰς Χεβρῶνα παρεγένοντο, καὶ τὴν κεφαλὴν ἐπιδείξαντες τῷ Δαυίδῃ τὴν Ἰεβόσθου, συνίστων ἑαυτοὺς ὡς εὔνους καὶ τὸν ἐχθρὸν αὐτοῦ καὶ τῆς βασιλείας ἀνταγωνιστὴν ἀνῃρηκότας. Ὁ δ' οὐχ ὡς ἤλπιζον οὕτως αὐτῶν προσεδέξατο τὸ ἔργον, ἀλλ' εἰπών, « ὦ κάκιστοι καὶ παραχρῆμα δίκην ὑφέξοντες, « οὐκ ἔγνωτε πῶς ἐγὼ τὸν Σαούλου φονέα καὶ τὸν κο« μίσαντά μοι τὸν χρυσοῦν αὐτοῦ στέφανον ἠμυνάμην, « καὶ ταῦτ' ἐκείνῳ χαριζόμενον τὴν ἀναίρεσιν, ἵνα μὴ « συλλάβωσιν αὐτὸν οἱ πολέμιοι; ἢ μεταβεβλῆσθαί « με καὶ μηκέτ' εἶναι τὸν αὐτὸν ὑπωπτεύσατε, ὡς « χαίρειν κακούργοις ἀνδράσι καὶ χάριτας ἡγήσασθαι « τὰς κυριοκτόνους ὑμῶν πράξεις, ἀνῃρηκότων ἐπὶ τῆς « αὐτοῦ κοίτης ἄνδρα δίκαιον καὶ μηδένα μηδὲν κακὸν « ἐργασάμενον, ὑμᾶς δὲ καὶ διὰ πολλῆς εὐνοίας καὶ τι« μῆς ἐσχηκότα. Διὸ δώσετε ποινὴν μὲν αὐτῷ κολα« σθέντες, δίκην δ' ἐμοὶ τοῦ νομίσαντας ἡδέως ἕξειν με « τῇ Ἰεβόσθου τελευτῇ τοῦτον ἀνελεῖν· οὐ γὰρ ἐδύνασθε « μᾶλλον ἀδικῆσαι τὴν ἐμὴν δόξαν ἢ τοῦθ' ὑπολα« βόντες. » Ταῦτ' εἰπὼν πᾶσαν αἰκίαν αὐτοὺς αἰκισάμενος διεχρήσατο, καὶ τὴν Ἰεβόσθου κεφαλὴν ἐν τῷ Ἀβεννήρου τάφῳ πάντων ἀξιώσας ἐκήδευσε.

β'. Τούτων δὲ τοιοῦτο λαβόντων τέλος, ἦκον ἅπαντες οἱ τοῦ λαοῦ τῶν Ἑβραίων πρῶτοι πρὸς Δαυίδην εἰς Χεβρῶνα, οἵ τε χιλίαρχοι καὶ ἡγεμόνες αὐτῶν, καὶ παρεδίδοσαν αὐτοὺς, τήν τε εὔνοιαν ἣν ἔτι καὶ Σαούλου ζῶντος εἶχον πρὸς αὐτὸν ὑπομιμνήσκοντες, καὶ τὴν τιμὴν ἣν γενόμενον τότε χιλίαρχον τιμῶντες οὐ διέλιπον, ὅτι τε βασιλεὺς ὑπὸ τοῦ Θεοῦ διὰ Σαμουήλου τοῦ προφήτου χειροτονηθείη καὶ παῖδες αὐτοῦ, καὶ ὡς τὴν Ἑβραίων χώραν αὐτῷ σῶσαι καταγωνισαμένῳ Παλαιστίνους δέδωκεν ὁ Θεὸς, ἐμφανίζοντες. Ὁ δὲ ταύτης τε ἀποδέχεται τῆς προθυμίας αὐτοὺς καὶ παρακαλέσας διαμένειν, (οὐ γὰρ ἔσεσθαι μετάνοιαν αὐτοῖς ἐκ τοῦ τοιούτους εἶναι,) κατευωχήσας καὶ φιλοφρονησάμενος, ἔπεμψε τὸν λαὸν παρ' αὐτὸν ἄξοντας ἅπαντα. Καὶ συνῆλθον ἐκ μὲν τῆς Ἰούδα φυλῆς ὁπλιτῶν ὡς ὀκτακόσιοι καὶ ἑξακισχίλιοι, φοροῦντες ὅπλα θυρεὸν καὶ σειρομάστην· οὗτοι δὲ τῷ Σαούλου παιδὶ παρέμενον· (τούτων γὰρ χωρὶς ἡ Ἰούδα φυλὴ τὸν Δαυίδην ἀπέδειξε βασιλέα·) ἐκ δὲ τῆς Συμεῶνος φυλῆς ἑπτακισχίλιοι καὶ ἑκατόν· ἐκ δὲ τῆς Λευίτιδος τετρακισχίλιοι ἑπτακόσιοι, ἔχον-

rent, se magna esse a Davide dona consequuturos, sibique munia aut imperatoria aut alia quædam honorifica cessura esse, nacti solum Jebosthum in cubiculo meridiantem et dormientem, quum nec custodes adessent nec janitrix vigilaret, sed et ipsa præ labore et opere quod in manibus erat et æstu in somnum delapsa esset, ingressi in conclave, ubi Sauli filium dormivisse contigit, ipsum interficiunt. Dein præciso capite et per totam noctem et diem itinere facto, utpote ab iis quos læserant fugientes ad eum qui et gratiam accepturus esset et securitatem daturus, Chebronem pervenerunt, ostensoque Davidi Jebosthi capite, semetipsos ei commendabant, ut propensæ in eum voluntatis, et qui inimicum ejus et regni æmulum de medio sustulissent. At ille non adeo ac sperabant illorum facinore delectatus est, sed cum dixisset, « o sceleratissimi et jamjam supplicium « luituri, num nesciebatis quomodo ultus sim Sauli inter« fectorem, qui ad me coronam ejus auream apportaverat, « idque quum ipsius in gratiam illum interemerit, ne ab « hostibus caperetur? an me mutatum et non amplius eun« dem esse credidistis, ut viris maleficis delectarer, et pro « beneficio haberem domini cædem a vobis patratam, qui « virum justum suo in cubili jugulastis, et qui neminem « ulla unquam injuria affecit, vos vero maxima etiam be« nevolentia summisque honoribus prosecutus est? Qua« propter illi quidem pœnas persolvetis supplicio affecti, « itidemque mihi, quod arbitrati me ex ejus interitu gaudio « exsultaturum hunc sustuleritis. Haud enim gravius « existimationem meam lædere potuistis quam hujusmodi de me suspicione. » Hæc quum dixisset, jussit eos omne genus tormentis excruciatos ad mortem duci, caputque Jebosthi omni cum honore in sepulcro Abenneri sepelivit.

2. His itaque finitis, universi Hebræorum proceres ad Davidem Chebronem convenerunt, quum tribunis ac ducibus eorum, et semetipsos tradiderunt, cum suam in illum vivente adhuc Saulo benevolentiam commemorantes, tum honorem quo illum dum tribunus esset prosequi non destiterunt, simul etiam testificantes quod a Deo per Samuelem prophetam rex una cum suis filiis declaratus fuerit, ipsique soli concesserit Deus ut debellatis Palæstinis terram Hebræorum conservaret. At ille, alacri hoc in se studio collaudato, hortatusque ut in cœptis permanerent, (non enim fore ut eos unquam pœniteat quod tales se præstiterint,) convivio et omni comitate exceptos remisit, ut populum universum ad ipsum adducerent. Et convenerunt ex Judæ quidem tribu armatorum circiter sex millia et octingenti, arma gestantes scutum et lanceam: hi vero Sauli filio adhæserant; (nam seorsum ab illis Judæ tribus Davidem regem creaverat;) ex Symeonis autem tribu septem millia et centum; ex Levitica vero quattuor millia et septingenti,

τες ἄρχοντα Ἰώδαμον. Μετὰ τούτους ἦν ὁ ἀρχιερεὺς Σάδωκος, σὺν εἴκοσι καὶ δύο συγγενέσιν ἡγεμόσιν. Ἐκ δὲ τῆς Βενιαμίτιδος φυλῆς ὁπλίται τετρακισχίλιοι· ἡ γὰρ φυλὴ περιέμενεν ἔτι τῶν τοῦ γένους τοῦ Σαούλου τινὰ βασιλεῦσαι προσδοκῶσα· ἐκ δὲ τῆς Ἐφραίμου φυλῆς δισμύριοι καὶ ὀκτακόσιοι τῶν δυνατωτάτων καὶ κατ' ἰσχὺν διαφερόντων· ἐκ δὲ τῆς Μανασσήτιδος φυλῆς τοῦ ἡμίσους μύριοι ὀκτακισχίλιοι τῶν δυνατωτάτων· ἐκ δὲ τῆς Ἰσαχάρου φυλῆς διακόσιοι μὲν οἱ προγινώσκοντες τὰ μέλλοντα, ὁπλῖται δὲ δισμύριοι· ἐκ δὲ τῆς Ζαβουλῶνος φυλῆς ὁπλιτῶν ἐπιλέκτων πέντε μυριάδες· αὕτη γὰρ ἡ φυλὴ μόνη πᾶσα πρὸς Δαυίδην συνῆλθεν. Οὗτοι πάντες τὸν αὐτὸν ὁπλισμὸν εἶχον τοῖς τῆς Γάδου φυλῆς. Ἐκ δὲ τῆς Νεφθαλίτιδος φυλῆς ἐπίσημοι καὶ ἡγεμόνες χίλιοι, ὅπλοις χρώμενοι θυρεῷ καὶ δόρατι· ἠκολούθει δ' ἡ φυλὴ ἀναρίθμητος οὖσα. Ἐκ τῆς Δανίτιδος φυλῆς ἑκλεκτοὶ δισμύριοι ἑπτακισχίλιοι ἑξακόσιοι· ἐκ δὲ τῆς Ἀσείρου φυλῆς μυριάδες τέσσαρες. Ἐκ δὲ τῶν δύο φυλῶν τῶν πέραν τοῦ Ἰορδάνου καὶ τοῦ λοιποῦ τῆς Μανασσήτιδος φυλῆς ὡπλισμένων θυρεὸν καὶ δόρυ καὶ περικεφαλαίαν καὶ ῥομφαίαν μυριάδες δώδεκα. Καὶ αἱ λοιπαὶ φυλαὶ ῥομφαίαις ἐχρῶντο. Τοῦτο δὴ τὸ πλῆθος εἰς Χεβρῶνα πρὸς Δαυίδην συνῆλθε, μετὰ πολλῆς παρασκευῆς σίτων καὶ οἴνου καὶ τῶν πρὸς τροφὴν πάντων, καὶ μιᾷ γνώμῃ τὸν Δαυίδην βασιλεύειν ἐκύρωσαν. Ἐπὶ δὲ τρεῖς ἡμέρας ἑορτάσαντος τοῦ λαοῦ καὶ κατευωχηθέντος ἐν Χεβρῶνι, ὁ Δαυίδης μετὰ πάντων ἐκεῖθεν ἄρας ἦκεν εἰς Ἱεροσόλυμα.

Jodamum principem habentes. Post hos veniebat Sadocus pontifex cum duobus et viginti cognatis ducibus. Ex tribu autem Benjamitide quater mille ad militiam parati: hæc enim tribus adhuc suspensa erat exspectatione alicujus ex genere Sauli regnaturi. Ex tribu vero Ephraimitide viginti millia et octingenti ex potentissimis et viribus præstantissimis; ex dimidia vero tribu Manassetide octodecim millia potentissimorum; ex tribu autem Isachari ducenti quidem futurorum præscii, armatorum vero viginti millia; ex tribu autem Zabulonis militum lectissimorum quinquaginta millia: hæc enim tribus sola cum omnibus suis ad Davidem confluebat. Qui omnes eadem arma gerebant quæ tribus Gadi. Ex tribu vero Nephthalitide viri insignes et duces mille, armis utentes scuto et hasta: atque eos sequebatur tribus *sua*, innumera fere multitudo. Ex tribu autem Danitide selectorum viginti septem millia et sexcenti; ex tribu vero Aseri quadraginta millia; ex duabus autem tribubus Transjordanianis atque parte altera tribus Manassetidis centum viginti millia, quibus arma erant scutum et hasta galeaque ac gladius. Reliquæ etiam tribus gladiis utebantur. Hæc itaque multitudo ad Davidem Chebronem conveniebat cum multo apparatu frumenti et vini ceterorumque ad victum commodorum, et ad Davidem regem creandum concordarunt omnes. Quum vero tribus diebus festa celebrasset populus et epulatus esset in Chebrone, Davides cum omnibus illinc movens Hierosolyma est profectus.

ΚΕΦ. Γ'.

Τῶν δὲ κατοικούντων τὴν πόλιν Ἰεβουσαίων (γένος δ' εἰσὶν οὗτοι Χαναναίων) ἀποκλεισάντων αὐτῷ τὰς πύλας καὶ τοὺς πεπηρωμένους τὰς ὄψεις καὶ τὰς βάσεις καὶ πᾶν τὸ λελωβημένον στησάντων ἐπὶ χλεύῃ τοῦ βασιλέως ἐπὶ τοῦ τείχους, καὶ λεγόντων κωλύειν αὐτὸν εἰσελθεῖν τοὺς ἀναπήρους, (ταῦτα δὲ ἔπραττον καταφρονοῦντες τῇ τῶν τειχῶν ὀχυρότητι,) ὀργισθεὶς πολιορκεῖν ἦρξατο τὰ Ἱεροσόλυμα. Καὶ πολλῇ σπουδῇ καὶ προθυμίᾳ χρησάμενος ὡς διὰ τοῦ ταύτην ἑλεῖν εὐθὺς ἐμφανίσων τὴν ἰσχύν, καὶ καταπληξόμενος εἴ τινες ἄρα καὶ ἄλλοι τὸν αὐτὸν ἐκείνοις τρόπον διέκειντο πρὸς αὐτόν, λαμβάνει κατὰ κράτος τὴν κάτω πόλιν. Ἔτι δὲ τῆς ἄκρας λειπομένης, ἔγνω τιμῆς ὑποσχέσει καὶ γερῶν ὁ βασιλεὺς προθυμοτέρους ἐπὶ τὰ ἔργα τοὺς στρατιώτας παρασκευάσαι, καὶ τῷ διὰ τῶν ὑποκειμένων φαράγγων ἐπὶ τὴν ἄκραν ἀναβάντι καὶ ταύτην ἑλόντι στρατηγίαν ἅπαντος τοῦ λαοῦ δώσειν ἐπηγγείλατο. Πάντων δὲ φιλοτιμουμένων ἀναβῆναι καὶ μηδένα πόνον ὀκνούντων ὑφίστασθαι δι' ἐπιθυμίαν τῆς στρατηγίας, ὁ Σαρουίας παῖς Ἰώαβος ἔφθη τοὺς ἄλλους καὶ ἀναβὰς ἐβόησε πρὸς τὸν βασιλέα, τὴν στρατηγίαν ἀπαιτῶν.

β'. Ἐκβαλὼν δὲ τοὺς Ἰεβουσαίους ἐκ τῆς ἄκρας καὶ αὐτὸς ἀνοικοδομήσας τὰ Ἱεροσόλυμα πόλιν αὐτὴν

CAP. III.

Jebusæi vero qui urbem incolebant, (Chananæorum et ipsi generis sunt,) quum illi occlusissent portas atque homines cæcos et claudos et quosvis mutilos, in derisionem regis, imposuissent muro, dicerentque mutilos impedituros ne ipse ingrederetur, (hæc autem faciebant præ contemptu ob murorum firmitatem) ad iram concitatus Hierosolyma cœpit oppugnare. Et quum multum studii et alacritatis adhibuisset, utpote ex ejus expugnatione statim vires suas ostensurus, metumque incussurus aliis, si qui similiter ac illi in ipsum affecti essent, vi urbem inferiorem occupat. Quum vero arx adhuc remaneret, statuit rex pollicitatione præmii et honorum milites ad rem fortiter gerendam alacriores reddere, promisitque se ei totius exercitus imperium daturum esse, qui per subjecta præcipitia in arcem evasisset eamque occupasset. Quum vero eo certatim omnes eniterentur, et cupiditate præfecturæ accensi nullum laborem sustinere detrectarent, Joabus Saruiæ filius ceteros prævenit, et arce conscensa ad regem clamavit, copiarum imperium postulans.

2. Quum autem rex Jebusæos ex arce ejecisset, et ipse Hierosolyma instaurasset, urbem ipsam Davidis appellavit,

Δαυΐδου προσηγόρευσε, καὶ τὸν ἅπαντα χρόνον ἐν αὐτῇ διέτριβε βασιλεύων. Ὁ δὲ χρόνος ὃν τῆς Ἰούδα φυλῆς ἦρξε μόνης ἐν Χεβρῶνι ἐγένετο ἔτη ἑπτὰ καὶ μῆνες ἕξ. Ἀποδείξας δὲ βασίλειον τὰ Ἱεροσόλυμα λαμπροτέροις ἀεὶ καὶ μᾶλλον ἐχρῆτο τοῖς πράγμασι, τοῦ Θεοῦ προνοουμένου κρείττω ποιεῖν αὐτὰ καὶ λαμβάνειν ἐπίδοσιν. Πέμψας δὲ πρὸς αὐτὸν καὶ Εἴραμος ὁ Τυρίων βασιλεὺς φιλίαν καὶ συμμαχίαν συνέθετο. Ἔπεμψε δ' αὐτῷ καὶ δωρεὰς ξύλα κέδρινα καὶ τεχνίτας ἄνδρας, τέκτονας καὶ οἰκοδόμους, οἳ κατασκευάσειαν βασίλειον ἐν Ἱεροσολύμοις. Δαυΐδης δὲ τήν τε κάτω πόλιν περιλαβὼν καὶ τὴν ἄκραν συνάψας αὐτῇ ἐποίησεν ἓν σῶμα, καὶ περιτειχίσας ἐπιμελητὴν τῶν τειχῶν κατέστησεν Ἰώαβον. [Πρῶτος οὖν Δαυΐδης τοὺς Ἰεβουσαίους ἐξ Ἱεροσολύμων ἐκβαλὼν ἀφ' ἑαυτοῦ προσηγόρευσε τὴν πόλιν· ἐπὶ γὰρ Ἀβράμου τοῦ προγόνου ἡμῶν Σόλυμα ἐκαλεῖτο. Μετὰ ταῦτα δὲ αὐτὴν φασί τινες ὅτι καὶ Ὅμηρος ταῦτα ὠνόμασεν Σόλυμα· τὸ γὰρ ἱερὸν τὰ Σόλυμα κατὰ τὴν Ἑβραίων ὠνόμασε γλῶσσαν, ὅ ἐστιν ἀσφάλεια.] Ἦν δὲ πᾶς ὁ χρόνος ἀπὸ τῆς Ἰησοῦ τοῦ στρατηγοῦ ἐπὶ Χαναναίους στρατείας καὶ τοῦ πολέμου καθ' ὃν κρατήσας αὐτῶν κατένειμε ταύτην τοῖς Ἑβραίοις, καὶ οὐκ ἔτι τοὺς Χαναναίους ἐκβαλεῖν ἐξ Ἱεροσολύμων ἐδυνήθησαν οἱ Ἰσραηλῖται μέχρις οὗ Δαυΐδης αὐτοὺς ἐξεπολιόρκησεν, ἔτη πεντακόσια καὶ πεντεκαίδεκα.

γ'. Ποιήσομαι δὲ καὶ μνήμην Ὀόρνα, πλουσίου μὲν ἀνδρὸς τῶν Ἰεβουσαίων, οὐκ ἀναιρεθέντος δὲ ἐν τῇ Ἱεροσολύμων πολιορκίᾳ ὑπὸ Δαυΐδου διὰ τὴν πρὸς τοὺς Ἑβραίους εὔνοιαν αὐτοῦ καί τινα καὶ χάριν καὶ σπουδὴν πρὸς αὐτὸν γενομένην τὸν βασιλέα, ἣν μικρὸν ὕστερον εὐκαιρότερον σημανῶ. Ἔγημε δὲ καὶ ἄλλας γυναῖκας πρὸς ταῖς οὔσαις αὐτῷ Δαυΐδης καὶ παλλακὰς ἔσχεν. Ἐποιήσατο δὲ καὶ παῖδας ἕνδεκα ἀριθμὸν, οὓς προσηγόρευσεν Ἀμνοῦς, Ἐμνοῦς, Ἔβαν, Νάθαν, Σολομὼν, Ἰεβὰρ, Ἐλιὴν, Φάλνα, Ἐννηφὴν, Ἰενάε, Ἐλιφαλέ, ἔτι δὲ καὶ θυγατέρα Θαμάραν. Τούτων οἱ μὲν ἐννέα ἐξ εὐγενίδων ἦσαν γεγονότες, οὓς δὲ τελευταίους εἰρήκαμεν δύο, ἐκ τῶν παλλακίδων· Θαμάρα δὲ ὁμομήτριος Ἀβεσαλώμῳ ἦν.

ΚΕΦ. Δ'.

Γνόντες δ' οἱ Παλαιστῖνοι τὸν Δαυΐδην βασιλέα ὑπὸ τῶν Ἑβραίων ἀποδεδειγμένον στρατεύουσιν ἐπ' αὐτὸν εἰς Ἱεροσόλυμα, καὶ καταλαβόμενοι τὴν κοιλάδα τῶν Τιτάνων καλουμένην, (τόπος δέ ἐστιν οὐ πόρρω τῆς πόλεως,) ἐν αὐτῇ στρατοπεδεύονται. Ὁ δὲ τῶν Ἰουδαίων βασιλεὺς (οὐδὲν γὰρ ἄνευ προφητείας καὶ τοῦ κελεῦσαι τὸν Θεὸν, καὶ περὶ τῶν ἐσομένων λαβεῖν ἐγγυητὴν ἐκεῖνον ἑαυτῷ, ποιεῖν ἐπέτρεπεν) ἐκέλευσε τὸν ἀρχιερέα, τί δοκεῖ τῷ Θεῷ καὶ ποταπὸν ἔσται τὸ τῆς μάχης τέλος, προλέγειν αὐτῷ. Προφητεύσαντος δὲ νίκην καὶ κράτος, ἐξάγει τὴν δύναμιν ἐπὶ τοὺς Παλαι-

et quam diu imperium tenuit, in ea habitabat. Ceterum tempus, quo apud Chebronem solius tribus Judæ rex fuit, erat septem annorum et mensium sex. Postquam autem Hierosolymis regiam suam constituerat, res ei in dies magis magisque splendidæ esse cœperunt, Deo curante ut meliore essent conditione et incrementa caperent. Quin et Hiramus Tyriorum rex missa legatione amicitiam cum eo et societatis fœdus iniit. Misit etiam ad eum et dona, ligna cedrina atque artifices, et fabros lignarios et ædificatores, qui regiam Hierosolymis exstruerent. Davides autem, et urbem inferiorem complexus et arce cum ea conjuncta, unum corpus effecit, atque mœnibus circumpositis curatorem illorum Joabum constituit. [Primus itaque Davides, pulsis ex Hierosolymis Jebusæis, de suo nomine civitatem appellavit: nam sub Abramo progenitore nostro Solyma vocabatur. Posthac vero, dicunt nonnulli, etiam ab Homero urbem hanc Solyma appellatam: templum enim ex Hebræorum lingua Solyma nominavit, quod securitatem denotat.] Erat autem tempus omne, ex quo Jesus imperator exercitum in Chananæos eduxit, eisque bello devictis regionem Hebræis distribuit, atque ex Hierosolymis Chananæos ejicere nunquam potuerunt Israelitæ usque dum Davides eos expugnaret, annorum quingentorum et quindecim.

3. Convenit autem hic Oronnam memorare, virum quidem inter Jebusæos opulentum, non vero interemptum in Hierosolymorum obsidione a Davide, propter ejus erga Hebræos benevolentiam, et quoddam beneficium pariter ac studium, quo regem ipsum prosequutus est, ut paulo post loco magis opportuno declarabo. Davides etiam, præter eas quas habuit, uxores alias duxit, et concubinas sibi adsciscebat. Procreavit autem liberos etiam undecim, quorum nomina erant, Amnus, Emnus, Eban, Nathan, Solomon, Jebar, Elien, Phalna, Ennaphen, Jenae, Eliphale, et præterea filiam Thamaram. Horum novem quidem ex ingenuis nati erant, duo vero, quos proxime nominavimus, ex concubinis; Thamara autem ex eadem matre erat cum Abesalomo.

CAP. IV.

At Palæstini, postquam Davidem regem ab Hebræis creatum intellexerunt, exercitum in eum ducunt Hierosolyma, et occupata valle quæ Titanum appellatur, (locus autem est non procul ab urbe,) in ea castra metantur. Judæorum vero rex (nihil enim sine vaticinio aut Dei jussu, ejusve de futuris sponsione non innixus, sibi facere permittebat) præcepit pontifici ut quid Deo placeat, et qualis foret prælii eventus, sibi prædiceret. Quum autem victoriam et imperium prænunciasset, copias in Palæstinos educit, pugna-

στίνους· καὶ γενομένης συμβολῆς, αὐτὸς κατόπιν αἰφνιδίως ἐπιπεσὼν τοῖς πολεμίοις, τοὺς μὲν αὐτῶν ἀπέκτεινε, τοὺς δὲ εἰς φυγὴν ἐτρέψατο. Ὑπολάβῃ δὲ μηδεὶς ὀλίγην τὴν τῶν Παλαιστίνων στρατιὰν ἐλθεῖν ἐπὶ τοὺς Ἑβραίους τῷ τάχει τῆς ἥττης καὶ τῷ μηδὲν ἔργον ἐπιδείξασθαι γενναῖον μηδὲ μαρτυρίας ἄξιον στοχαζόμενος αὐτῶν τὴν βραδυτῆτα καὶ τὴν ἀγέννειαν, ἀλλὰ γινωσκέτω Συρίαν τε ἅπασαν καὶ Φοινίκην, καὶ πρὸς τούτοις ἄλλα ἔθνη πολλὰ καὶ μάχιμα συστρατεῦσαι αὐτοῖς καὶ τοῦ πολέμου κοινωνῆσαι· ὃ καὶ μόνον ἦν αἴτιον τοσαυτάκις αὐτοῖς νικωμένοις καὶ πολλὰς ἀποβάλλουσι μυριάδας μετὰ μείζονος ἐπιέναι τοῖς Ἑβραίοις δυνάμεως. Ἀμέλει καὶ ταύταις πταίσαντες ταῖς μάχαις τριπλασίῳ στρατῷ ἐπῆλθον τῷ Δαυίδῃ καὶ εἰς ταὐτὸ χωρίον ἐστρατοπεδεύσαντο. Πάλιν δὲ τοῦ βασιλέως τῶν Ἰσραηλιτῶν ἐρομένου τὸν Θεὸν περὶ τῆς περὶ τὴν μάχην ἐξόδου, προφητεύει ὁ ἀρχιερεὺς ἐν τοῖς ἅλσεσι τοῖς καλουμένοις Κλαυθμῶσι κατέχειν τὴν στρατιάν, οὐκ ἄπωθεν μὲν οὖσι τοῦ τῶν πολεμίων στρατοπέδου, κινεῖν δ' αὐτὸν μὴ πρότερον, μηδ' ἄρχεσθαι μάχης, πρὶν ἢ τὰ ἅλση σαλεύεσθαι μὴ πνέοντος ἀνέμου. Ὡς δ' ἐσαλεύθη τὰ ἅλση, καὶ ὁ καιρὸς ὃν αὐτῷ προεῖπεν ὁ Θεὸς παρῆν, οὐδὲν ἐπισχὼν ἐφ' ἑτοίμην ἤδη καὶ φανερὰν ἐξῆλθε τὴν νίκην. Οὐ γὰρ ὑπέμειναν αὐτὸν αἱ τῶν πολεμίων φάλαγγες, ἀλλ' εὐθὺς ἀπὸ τῆς πρώτης συμβολῆς τραπέντας ἐνέκειτο κτείνων, καὶ διώκει μὲν αὐτοὺς ἄχρι πόλεως Γαζάρων, (ἡ δὲ ἔστιν ὅρος αὐτῶν τῆς χώρας,) εἶτα διαπράσας αὐτῶν τὴν παρεμβολήν, καὶ πολὺν εὑρὼν ἐν αὐτῇ πλοῦτον, καὶ τοὺς θεοὺς αὐτῶν διέφθειρεν.

β'. Τοιούτου δ' ἀποβάντος καὶ ταύτης τῆς μάχης τοῦ τέλους, ἔδοξε Δαυίδῃ, συμβουλευσαμένῳ μετὰ τῶν γερόντων καὶ ἡγεμόνων καὶ χιλιάρχων, μεταπέμψασθαι τῶν ὁμοφύλων ἐξ ἁπάσης τῆς χώρας πρὸς αὑτὸν τοὺς ἐν ἀκμῇ τῆς ἡλικίας, ἔπειτα τοὺς ἱερεῖς καὶ Λευίτας, καὶ πορευθέντας εἰς Καριαθιάριμα μετακομίσαι τὴν τοῦ Θεοῦ κιβωτὸν ἐξ αὐτῆς εἰς Ἱεροσόλυμα, καὶ θρησκεύειν ἐν αὐτῇ λοιπὸν ἔχοντας αὐτὴν θυσίαις καὶ ταῖς ἄλλαις τιμαῖς αἷς χαίρει τὸ θεῖον. Εἰ γὰρ ἔτι Σαούλου βασιλεύοντος ταῦτ' ἔπραξαν, οὐκ ἂν δεινὸν οὐδὲν ἔπαθον. Συνελθόντος οὖν τοῦ λαοῦ παντὸς, καθὼς ἐβουλεύσαντο, παραγίνεται ὁ βασιλεὺς ἐπὶ τὴν κιβωτόν· ἣν βαστάσαντες ἐκ τῆς Ἀμιναδάβου οἰκίας οἱ ἱερεῖς καὶ ἐπιθέντες ἐφ' ἅμαξαν καινὴν ἕλκειν ἀδελφοῖς τε καὶ παισὶν ἐπέτρεψαν μετὰ τῶν βοῶν. Προῆγε δ' ὁ βασιλεὺς καὶ πᾶν σὺν αὐτῷ τὸ πλῆθος, ὑμνοῦντες τὸν Θεὸν καὶ ᾄδοντες πᾶν εἶδος μέλους ἐπιχώριον, σύν τε ἤχῳ ποικίλῳ κρουμάτων τε καὶ ὀρχήσεων καὶ ψαλμῶν, ἔτι δὲ καὶ σάλπιγγος καὶ κυμβάλων, κατάγοντες τὴν κιβωτὸν εἰς Ἱεροσόλυμα. Ὡς δ' ἄχρι τῆς Χειδῶνος ἅλωνος, τόπου τινὸς οὕτω καλουμένου, προῆλθον, τελευτᾷ Ὀζᾶς κατ' ὀργὴν τοῦ Θεοῦ. Τῶν βοῶν γὰρ ἐπινευσάντων, ἐκτείναντα τὴν χεῖρα καὶ κατασχεῖν τὴν κιβωτὸν θελήσαντα, ὅτι μὴ ὢν ἱερεὺς ἥψατο ταύτης, ἀποθανεῖν

que inita, ipse a tergo hostes ex improviso adortus, alios quidem eorum occidit, alios vero in fugam vertit. Nemo autem suspicetur exiguum Palæstinorum exercitum contra Hebræos venisse, ex celeritate cladis et quod nihil magni aut memoratu digni gesserint ignavos timidosque exstitisse conjiciens, sed sciat Syriam omnem et Phœnicen, et præterea alias gentes multas pugnacesque illis auxilium tulisse bellique participes fuisse: quod solum etiam causa erat cur tam sæpe victi ac multis myriadibus amissis denuo bellum cum Hebræis majoribus viribus redintegrarint. Verum ubi his quoque pugnis superati erant, copiis triplo majoribus in Davidem irruerunt, et eodem loco quo antea castra posuerunt. Rege autem Israelitarum iterum Deum interrogante quinam exitus pugnæ futurus esset, præmonet pontifex ut in silva quæ vocatur Planctus, non procul ab hostium castris, exercitum contineret, eum vero non prius moveret, pugnamve iniret, quam silva nullo perflante vento agitaretur. At simulac silva concussa erat, tempusque aderat quod Deus ei prædixerat, nihil moratus, ad victoriam jamjam paratam atque omnem extra aleam positam egredietur. Ejus enim impetum non sustinuerunt hostium phalanges, sed statim a primo congressu in fugam versis multa cum cæde ingruit, et illos quidem persequitur usque ad urbem Gazara, (ea autem regionis illorum limes est extremus,) dein castris eorum direptis, ubi multas opes deprehendit, deos etiam illorum disperdebat.

2. Quum autem et hanc pugnam adeo feliciter confecisset, visum est Davidi de communi seniorum et ducum et tribunorum consilio, ex omni regione ad se accersi tribulium quotquot integra erant ætate, deinde sacerdotes ac Levitas, atque ita profectos ad *oppidum* Cariathiarima arcam Dei ex eo Hierosolyma transferre, eaque illic deinceps collocata adorare cum sacrificiis ceterisque quibus numen delectatur honoribus. Si enim dum adhuc Saulus regnaret hæc præstitissent, nihil mali eis accidisset. Omni igitur populo sicuti decretum fuerat congregato, rex ad arcam contendit, quam sacerdotes ex ædibus Aminadabi elatam, novumque in plaustrum impositam, præter boves ei adjunctis, fratribus ejus et liberis agendam permiserunt. Præcedebat autem rex et cum eo multitudo, laudes Deo dicentes, cantantesque patria omne genus carmina, magnam cientes sonorum varietatem ex instrumentorum pulsu et saltatione et cantionibus, una cum buccinæ clangore et cymbalorum tinnitu, dum arcam Hierosolyma deducerent. Postquam autem ad Chidonis aream, locum quendam ita appellatum, processerant, accidit ut Ozas ex ira Dei mortis supplicium lueret. Nam quum boves inclinassent, et is manu admota arcam retinere voluisset, fecit *Deus*, quod a sacerdotio alienus arcam tetigerit, ut animam efflaret. Et rex quidem

16.

ἐποίησε. Καὶ ὁ μὲν βασιλεὺς καὶ ὁ λαὸς ἐδυσφόρησαν ἐπὶ τῷ θανάτῳ τοῦ Ὀζᾶ· ὁ δὲ τόπος, ἐν ᾧ ἐτελεύτησεν, ἔτι νῦν Ὀζᾶ διακοπὴ καλεῖται. Δείσας δὲ ὁ Δαυίδης καὶ λογισάμενος μὴ ταὐτὸ πάθῃ τῷ Ὀζᾷ δεξάμενος τὴν κιβωτὸν παρ' αὐτὸν ἐν τῇ πόλει, ἐκείνου, διότι μόνον ἐξέτεινεν τὴν χεῖρα πρὸς αὐτήν, οὕτως ἀποθανόντος, οὐκ εἰσδέχεται μὲν αὐτὴν πρὸς ἑαυτὸν εἰς τὴν πόλιν, ἀλλ' ἐκνεύσας εἴς τι χωρίον ἀνδρὸς δικαίου, Ὠβεδάμου ὄνομα, Λευίτου τὸ γένος, παρ' αὐτῷ τὴν κιβωτὸν τίθησιν. Ἐπιμένει δ' ἐπὶ τρεῖς ὅλους μῆνας αὐτόθι, καὶ τὸν οἶκον τὸν Ὠβεδάμου ηὔξησέ τε καὶ πολλῶν αὐτῷ μετέδωκεν ἀγαθῶν. Ἀκούσας δὲ ὁ βασιλεὺς ὅτι ταῦτα συμβέβηκεν Ὠβεδάμῳ, ὡς ἐκ τῆς προτέρας πενίας καὶ ταπεινότητος ἀθρόως εὐδαίμων καὶ ζηλωτὸς γέγονε παρὰ πᾶσι τοῖς ὁρῶσι καὶ πυνθανομένοις τὴν οἰκίαν αὐτοῦ, θαρσήσας, ὡς οὐδενὸς κακοῦ πειραθησόμενος, τὴν κιβωτὸν πρὸς αὐτὸν μετακομίζει, τῶν μὲν ἱερέων βασταζόντων αὐτήν, ἑπτὰ δὲ χορῶν οὓς διεκόσμησεν ὁ βασιλεὺς προαγόντων, αὐτοῦ δ' ἐν κιννύρᾳ παραπαίζοντος καὶ κροτοῦντος, ὥστε καὶ τὴν γυναῖκα Μιχάλαν, Σαούλου δὲ θυγατέρα τοῦ πρώτου βασιλέως, ἰδοῦσαν αὐτὸν τοῦτο ποιοῦντα χλευάσαι. Εἰσκομίσαντες δὲ τὴν κιβωτὸν τιθέασιν ὑπὸ τὴν σκηνήν, ἣν Δαυίδης ἔπηξεν αὐτῇ, καὶ θυσίας τε ἐπετέλεσε πολυτελεῖς καὶ εἰρηνικὰς ἀνήνεγκε, καὶ τὸν ὄχλον ἑστιᾷ ἅπαντα, καὶ γυναιξὶ καὶ ἀνδράσι καὶ νηπίοις διαδοὺς κολλυρίδα ἄρτου καὶ ἐσχαρίτην καὶ λάγανον τηγανιστὸν καὶ μερίδα θύματος. Καὶ τὸν μὲν λαὸν οὕτω κατευωχήσας ἐπεμψεν, αὐτὸς δ' εἰς τὸν οἶκον τὸν αὑτοῦ παραγίνεται.

γ'. Παραστᾶσα δ' αὐτῷ Μιχάλα ἡ γυνὴ, Σαούλου δὲ θυγάτηρ, τά τε ἄλλα αὐτῷ κατηύχετο καὶ παρὰ τοῦ Θεοῦ γενέσθαι ᾔτει πάνθ' ὅσα παρασχεῖν αὐτῷ δυνατὸν, εὐμενεῖ τυγχάνοντι· καὶ δὴ κατεμέμψατο ὡς ἀκοσμήσειεν ὀρχούμενος ὁ τηλικοῦτος βασιλεὺς καὶ γυμνούμενος ὑπὸ τῆς ὀρχήσεως καὶ ἐν δούλοις καὶ ἐν θεραπαινίσιν. Ὁ δ' οὐκ αἰδεῖσθαι ταῦτα ποιήσας εἰς τὸ τῷ Θεῷ κεχαρισμένον ἔφασκεν, ὃς αὐτὸν καὶ τοῦ πατρὸς αὐτῆς καὶ τῶν ἄλλων ἁπάντων προετίμησε, παίζειν τε πολλάκις καὶ χορεῦσαι μηδένα τοῦ δόξαι ταῖς θεραπαινίσιν αἰσχρὸν καὶ αὐτῇ τὸ γινόμενον ποιησάμενος λόγον. Ἡ δὲ Μιχάλα αὖτη Δαυίδῃ μὲν συνοικοῦσα παῖδας οὐκ ἐποιήσατο, γαμηθεῖσα δὲ ὕστερον ᾧ παρέδωκεν αὐτὴν ὁ πατὴρ Σάουλος, (τότε δὲ ἀποσπάσας αὐτὸς εἶχε,) πέντε παῖδας ἔτεκε. Καὶ περὶ μὲν τούτων κατὰ χώραν δηλώσομεν.

δ'. Ὁρῶν δὲ ὁ βασιλεὺς κατὰ πᾶσαν τὰ πράγματα αὐτῷ σχεδὸν ἡμέραν ἀμείνω γινόμενα ἐκ τῆς τοῦ Θεοῦ βουλήσεως, ἐνόμιζεν ἐξαμαρτάνειν αὐτὸν, εἰ μένων αὐτὸς ἐν οἴκοις ἐκ κέδρου πεποιημένοις, ὑψηλοῖς τε καὶ καλλίστην τὴν ἄλλην κατασκευὴν ἔχουσι, περιορᾷ τὴν κιβωτὸν ἐν σκηνῇ κειμένην, ἐβούλετο δὲ τῷ Θεῷ κατασκευάσαι ναὸν, ὡς Μωϋσῆς προεῖπεν. Καὶ περὶ τούτων Ναθάνᾳ τῷ προφήτῃ διαλεχθεὶς, ἐπεὶ ποιεῖν

populusque Ozæ mortem ægre tulerunt: locus autem, ubi exanimatus est, etiamnum Ozæ percussio vocatur. Tum veritus Davides, ratusque se forte idem quod Oza passurum si arcam in urbem domumque suam reciperet, quoniam ille manu tantum in eam protensa ita obierit, ipsam quidem ad se in urbem invehi noluit, sed quum divertisset in agrum quendam hominis justi, Obedami nomine, genere Levitæ, apud illum arcam deposuit. Isto autem per tres menses integros usa est hospitio, domumque Obedami divitiis auxit, ipsumque multis cumulavit beneficiis. Davides vero, postquam Obedamo res feliciter cessisse audiverat, adeo ut ex egeno antea et humili continuo opibus afflueret, eumque beatum omnes prædicarent qui vel domum ejus locupletem viderint vel fama acceperint, sumpto animo, ut qui nihil mali experturus esset, arcam ad se transfert, sacerdotibus quidem eam portantibus, septemque choris antecedentibus a rege institutis, ipso vero citharam pulsante et plaudente, adeo ut Michala, uxor ejus, Sauli vero regis primi filia, eum istud agentem conspicata ludibrio habuerit. Quum autem arcam intulissent et in tabernaculo collocassent quod ei Davides tetenderat, sacra fecit magno cum sumptu, et victimas pacificas obtulit, omnemque multitudinem convivio excepit, tam mulieribus quam viris ac parvulis singulas panis collyridas partitus et assaturam et laganum frixum et frustum de victima. Ac populum quidem istiusmodi epulis adhibitum dimisit, ipse vero suam ad domum se recipit.

3. Illi autem quum adstitisset Michala uxor ejus, Sauli filia, quum alia ei bene precata est, tum orabat ut a Deo ea omnia consequeretur quæ propitius largiri potest, reprehendit tamen, quod præter decorum tantus rex saltasset, et in conspectu servorum suorum et ancillarum inter saltandum se denudasset. At ille sibi non pudori esse dicebat ea fecisse quæ Deo gratissima, qui se et patri ipsius et ceteris omnibus prætulerit, foreque ut luderet sæpius et tripudiaret, dum nihil curaret quam turpe hoc ancillis ipsique videatur. Hæc autem Michala, Davidi quidem connubio juncta, uterum non gesserat, postea vero *alteri* nupta, cui eam tradidit Saulus pater, (tunc enim ille *a viro* abstractam tenebat,) quinque peperit liberos. Sed de his quidem suo loco dicemus.

4. Quum autem rex videret quotidie fere res suas Dei auspiciis meliores fieri auctioresque, se flagitii reum esse existimabat, si, quum ipse in cedrina domo maneret, excelsa pariter ac summo artificio exornata, arcam in tabernaculo jacere sineret. Constituit itaque Deo exædificare templum, sicuti prædixerat Moyses. Nathanaque propheta in consilium adhibito, quum is auctor esset ut faceret quicquid in

δ τι περ ὥρμηται προσέταξεν αὐτὸν, ὡς τοῦ Θεοῦ πρὸς ἅπαντ' αὐτῷ συνεργοῦ παρόντος, εἶχεν ἤδη περὶ τὴν τοῦ ναοῦ κατασκευὴν προθυμότερον. Τοῦ Θεοῦ δὲ κατ' ἐκείνην τὴν νύκτα τῷ Ναθάνᾳ φανέντος καὶ φράσαι κελεύσαντος τῷ Δαυίδῃ ὡς τὴν μὲν προαίρεσιν αὐτοῦ καὶ τὴν ἐπιθυμίαν λίαν ἀποδέχεται, μηδενὸς μὲν πρότερον εἰς νοῦν βαλομένου ναὸν αὐτῷ κατασκευάσαι, τούτου δὲ ταύτην τὴν διάνοιαν λαβόντος, οὐκ ἐπιτρέπειν δὲ πολλοὺς πολέμους ἠγωνισμένῳ καὶ φόνῳ τῶν ἐχθρῶν μεμιασμένῳ ποιῆσαι ναὸν αὐτῷ· μετὰ μέντοι γε τὸν θάνατον αὐτοῦ, γηράσαντος καὶ μακρὸν ἀνύσαντος βίον, ἔσεσθαι τὸν ναὸν ὑπὸ τοῦ παιδὸς τοῦ μετ' αὐτὸν τὴν βασιλείαν παραληψομένου, κληθησομένου δὲ Σολομῶνος, οὗ προστήσεσθαι καὶ προνοήσειν ὡς πατὴρ υἱοῦ κατεπηγγέλλετο, τὴν μὲν βασιλείαν τέκνων ἐκγόνοις φυλάξων καὶ παραδώσων, αὐτὸν δὲ τιμωρήσων, ἂν ἁμαρτὼν τύχῃ, νόσῳ καὶ γῆς ἀφορίᾳ. Μαθὼν ταῦτα παρὰ τοῦ προφήτου Δαυίδης καὶ περιχαρὴς γενόμενος ἐπὶ τῷ τοῖς ἐκγόνοις αὐτοῦ τὴν ἀρχὴν διαμένουσαν ἐγνωκέναι βεβαίως, καὶ τὸν οἶκον αὐτοῦ λαμπρὸν ἐσόμενον καὶ περιβόητον, πρὸς τὴν κιβωτὸν παραγίνεται, καὶ πεσὼν ἐπὶ πρόσωπον ἤρξατο προσκυνεῖν καὶ περὶ πάντων εὐχαριστεῖν τῷ Θεῷ ὧν τε αὐτῷ παρέσχηκεν ἤδη ἐκ ταπεινοῦ καὶ ποιμένος εἰς τηλικοῦτον μέγεθος ἡγεμονίας τε καὶ δόξης ἀναγαγὼν, ὧν τε τοῖς ἐκγόνοις αὐτοῦ καθυπέσχετο, καὶ τῆς προνοίας, ἣν Ἑβραίων καὶ τῆς τούτων ἐλευθερίας ἐποιήσατο. Ταῦτα εἰπὼν καὶ τὸν Θεὸν ὑμνήσας ἀπαλλάσσεται.

ΚΕΦ. Ε'.

Διαλιπὼν δὲ ὀλίγον χρόνον ἔγνω δεῖν ἐπὶ τοὺς Παλαιστίνους ἐκστρατεύειν, καὶ μηδὲν ἀργὸν μηδὲ ῥᾴθυμον ἐν τοῖς πράγμασιν ὁρᾶν γενόμενον, ἵν', ὡς τὸ θεῖον αὐτῷ προεῖπε, καταστρεψάμενος τοὺς πολεμίους ἐν εἰρήνῃ τὸ λοιπὸν τοὺς ἐκγόνους αὐτοῦ βασιλεύοντας καταλίποι. Καὶ συγκαλέσας πάλιν τὴν στρατιὰν, καὶ παραγγείλας αὐτῇ πρὸς πόλεμον ἑτοίμην καὶ παρεσκευασμένην τυγχάνειν, ὅτε ἔδοξεν αὐτῷ καλῶς ἔχειν τὰ παρ' αὐτῆς, ἄρας ἐκ τῶν Ἱεροσολύμων ἐπὶ τοὺς Παλαιστίνους ἦκε. Κρατήσας δ' αὐτῶν τῇ μάχῃ, πολλὴν τῆς χώρας ἀποτεμόμενος καὶ προσορίσας τῇ τῶν Ἑβραίων, ἐπὶ τοὺς Μωαβίτας τὸν πόλεμον μετήγαγε. Καὶ τὰ μὲν δύο μέρη τῆς στρατιᾶς αὐτῶν τῇ μάχῃ νικήσας διέφθειρε, τὸ δὲ λειπόμενον αἰχμάλωτον ἔλαβε. Φόρους τε αὐτοῖς ἐπιτάξας κατ' ἔτος τελεῖν, εἶτα ἐπὶ Ἀδράζαρον τὸν Ἀράου μὲν υἱὸν, βασιλέα δὲ τῆς Σωφηνῆς ἐστράτευσε καὶ συμβαλὼν αὐτῷ παρὰ τὸν Εὐφράτην ποταμὸν τῶν μὲν πεζῶν αὐτοῦ διέφθειρεν ὡς δισμυρίους, τῶν δὲ ἱππότων ὡς ἑπτακισχιλίους. Ἔλαβε δὲ καὶ αὐτοῦ ἅρματα χίλια, καὶ τὰ πλείω μὲν αὐτῶν ἠφάνισεν, ἑκατὸν δὲ μόνα προσέταξεν αὐτῷ φυλαχθῆναι.

(Ϛ'.) β'. Ἀκούσας δὲ ὁ Δαμασκοῦ καὶ Σύρων βασιλεὺς Ἀδαδος ὅτι πολεμεῖ Δαυίδης τὸν Ἀδράζαρον, φίλος ὢν αὐτῷ μετὰ δυνάμεως ἦκεν ἰσχυρᾶς συμμαχήσων·

animo haberet, quod Deus ei ad omnia auxilio esset et adjumento, majori adhuc templi exstruendi desiderio tenebatur. Quum autem Deus Nathanæ ea nocte apparuisset, jussissetque ut Davidi nunciaret sibi quidem voluntatem ejus et desiderium probari, præsertim quum nemo antea de templo ei exædificando cogitarit; verum, ei licet hoc facere in mentem venerit, non tamen se permittere ut qui multa bella obierit et hostium sanguine manus polluerit sibi templum constitueret; ceterum, quum plena ætate atque longissima vita functus obierit, exstruendum esse templum a filio, qui post eum regnaturus est, et Solomonis nomine vocabitur, cujus non aliter quam filii se custodiam acturum curamque habiturum pollicebatur, ita ut regnum quidem posteris ejus servaturus sit et traditurus, in ipsum vero, si quid deliquerit, morbis et terræ sterilitate animadversurus; Davides, hisce ex propheta acceptis magnaque ei lætitia oborta, quod jam norit propagini suæ imperium stabilitum iri, familiamque suam illustrem fore et celebrem, ad arcam se confert, procidensque in faciem cœpit adorare, Deoque gratias agere tam pro omnibus, quibus eum jamjam affecerat, *beneficiis*, ex statu humili vitaque pastoritia ad tantam imperii gloriæque magnitudinem adductum, quam pro iis quæ stirpi suæ promiserat, eaque quam susceperat Hebræorum et libertatis illorum cura. Quum hæc dixisset, Deoque hymnum ce inisset, digreditur.

CAP. V.

Aliquanto autem tempore post secum reputavit necesse esse Palæstinis bellum movere, nec res suas vel minimum otio et desidia marcescentes videre, ut, quemadmodum Deus ipsi prædixerat, hostibus debellatis pacatum in posterum ex stirpe sua regibus imperium relinqueret. Et convocato iterum exercitu, denunciatoque illis ut ad bellum se pararent et accingerent, quum primum visa ei sunt omnia in exercitu pulcre se habere, relictis Hierosolymis ad Palæstinos contendebat. Illis autem acie profligatis, et magna regionis parte mulctatis, eaque Hebræorum ditioni adjecta, in Moabitas bellum transferebat. Et duas quidem exercitus eorum partes victoria potitus ferro perimebat, quod vero reliquum erat in deditionem accipiebat. Ac, quum illis annuum tributum imperasset, statim in Adrazarum, Arai quidem filium, Sophenes autem regem, copias duxit, cumque eo juxta Euphratem fluvium pugna conserta, peditum quidem circiter viginti millia, equitum vero ad septies mille occidit. Quin et currus ipsius mille cepit: ac majorem quidem illorum partem destruxit, centum vero solummodo jussit sibi adservari.

(VI.) 2. Adadus autem Damasci et Syrorum rex, audito quod Davides Adrazaro bellum intulerat, valida cum manu ei, utpote ipsius amicus, ad auxiliandum veniebat: verum

ἀπῆλλαξε δ' οὐχ ὡς προσεδόκα συμβαλὼν πρὸς τῷ Εὐφράτῃ ποταμῷ, πταίσας δὲ τῇ μάχῃ καὶ πολλοὺς ἀπέβαλε τῶν στρατιωτῶν. Ἔπεσον γὰρ ὑπὸ τῶν Ἑβραίων ἀναιρούμενοι τῆς Ἀδάδου δυνάμεως δισμύριοι, οἱ δὲ λοιποὶ πάντες ἔφυγον. Μέμνηται δὲ τούτου τοῦ βασιλέως καὶ Νικόλαος ἐν τῇ τετάρτῃ τῶν ἱστοριῶν λέγων οὕτως· « μετὰ δὲ ταῦτα πολλῷ χρόνῳ ὕστερον « τῶν ἐγχωρίων τις, Ἄδαδος ὄνομα, πλεῖον ἰσχύσας « Δαμασκοῦ τε καὶ τῆς ἄλλης Συρίας, ἔξω Φοινίκης, « ἐβασίλευσε. Πόλεμον δὲ ἐξενέγκας πρὸς Δαυίδην « βασιλέα τῆς Ἰουδαίας καὶ πολλαῖς μάχαις κριθείς, « ὑστάτῃ τῇ παρὰ τὸν Εὐφράτην, ἐν ᾗ ἥττητο, ἄριστος « ἔδοξεν εἶναι βασιλέων ῥώμῃ καὶ ἀνδρείᾳ ». Πρὸς τούτοις δὲ καὶ περὶ τῶν ἀπογόνων αὐτοῦ φησιν ὡς μετὰ τὴν ἐκείνου τελευτὴν ἐξεδέχοντο παρ' ἀλλήλων καὶ τὴν βασιλείαν καὶ τὸ ὄνομα, λέγων οὕτως· « τελευτήσαν- « τος δ' ἐκείνου οἱ ἀπόγονοι ἐπὶ δέκα γενεὰς ἐβασίλευον, « ἑκάστου παρὰ τοῦ πατρὸς ἅμα τῇ ἀρχῇ καὶ τοὔνομα « τοῦτο ἐκδεχομένου, ὥσπερ οἱ Πτολεμαῖοι ἐν Αἰγύ- « πτῳ. Μέγιστον δὲ πάντων δυνηθεὶς ὁ τρίτος, ἀνα- « μαχέσασθαι βουλόμενος τὴν τοῦ προπάτορος ἧτταν, « στρατεύσας ἐπὶ Ἰουδαίους ἐπόρθησε τὴν νῦν Σαμα- « ρεῖτιν καλουμένην ». Οὗτος γάρ ἐστιν Ἄδαδος ὁ στρατευσάμενος ἐπὶ Σαμαρίαν, Ἀχάβου βασιλεύοντος τῶν Ἰσραηλιτῶν· περὶ οὗ κατὰ χώραν ὕστερον ἐροῦμεν.

γ'. Δαυίδης δὲ στρατευσάμενος ἐπὶ Δαμασκὸν καὶ τὴν ἄλλην Συρίαν, πᾶσαν αὐτὴν ὑπήκοον ἐποιήσατο, καὶ φρουρὰς ἐν τῇ χώρᾳ καταστήσας καὶ φόρους αὐτοῖς τελεῖν ὁρίσας ὑπέστρεψε, καὶ τάς τε χρυσᾶς φαρέτρας καὶ τὰς πανοπλίας, ἃς οἱ τοῦ Ἀδάδου σωματοφύλακες ἔφορουν, ἀνέθηκε τῷ Θεῷ εἰς Ἱεροσόλυμα, ἃς ὕστερον ὁ τῶν Αἰγυπτίων βασιλεὺς Σούσακος στρατεύσας ἐπὶ τὸν υἱωνὸν αὐτοῦ Ῥοβόαμον ἔλαβε, καὶ πολὺν ἄλλον ἐκ τῶν Ἱεροσολύμων ἐξεφόρησε πλοῦτον. Ταῦτα μὲν οὖν, ὅταν ἔλθωμεν ἐπὶ τὸν οἰκεῖον αὐτῶν τόπον, δηλώσομεν. Ὁ δὲ τῶν Ἑβραίων βασιλεύς, τοῦ Θεοῦ συμπνέοντος αὐτῷ καὶ τοὺς πολέμους συγκατορθοῦντος, ταῖς καλλίσταις τῶν Ἀδραζάρου πόλεων ἐπεστράτευσε, Βετταίᾳ καὶ Μάχωνι, καὶ λαβὼν αὐτὰς κατὰ κράτος διήρπασε. Χρυσὸς δ' ἐν αὐταῖς ηὑρέθη πάμπολυς καὶ ἄργυρος, ἔτι δὲ καὶ χαλκός, ὃν τοῦ χρυσοῦ κρείττονα ἔλεγον· ἐξ οὗ καὶ ὁ Σολομὼν τὸ μέγα σκεῦος, θάλασσαν δὲ καλούμενον, ἐποίησε καὶ τοὺς καλλίστους ἐκείνους λουτῆρας, ὅτε τῷ Θεῷ τὸν ναὸν κατεσκεύασεν.

δ'. Ὡς δὲ ὁ τῆς Ἀμάθης βασιλεὺς τὰ περὶ τὸν Ἀδράζαρον ἐπύθετο καὶ τὴν δύναμιν αὐτοῦ διεφθαρμένην ἤκουσε, δείσας περὶ αὐτοῦ καὶ τὸν Δαυίδην πρὶν ἐπ' αὐτὸν ἐλθεῖν φιλίᾳ καὶ πίστει γνοὺς ἐνδήσασθαι, πέμπει πρὸς αὐτὸν Ἀδώραμον υἱὸν αὐτοῦ, καὶ περὶ τοῦ τὸν Ἀδράζαρον ἐχθρὸν ὄντ' αὐτῷ πολεμῆσαι χάριν ἔχειν ὁμολογῶν καὶ συμμαχίαν πρὸς αὐτὸν καὶ φιλίαν ποιούμενος. Ἔπεμψεν αὐτῷ καὶ δῶρα, σκεύη τῆς ἀρχαίας κατασκευῆς, χρύσεα καὶ ἀργύρεα καὶ χάλκεα. Δαυί-

eventus non ex sententia ei processit congresso ad Euphratem fluvium, sed in prœlio lapsus magnam exercitus partem amisit. Nam ex Adadi acie ceciderunt viginti millia ab Hebræis cæsa, reliqui vero omnes terga vertebant. Hujus autem regis meminit etiam Nicolaus historiarum libro quarto in hæc verba: « multo post hæc tempore indigenarum « quidam nomine Adadus, præpollens factus, et Damascum « et Syriæ, præter Phœnicen, cetera regno tenuit. Suscepto « autem in Davidem Judææ regem bello, quum multis prœliis « decertasset, postremo ad Euphratem commisso, in quo « victus est, præstantissimus regum esse quum robore tum « fortitudine visus est. » Ad hæc autem et de posteris ejus narrat quod post illius obitum alius ab alio regnum simul et nomen acceperunt, hisce verbis: « eo mortuo posteri « ejus in decem ætates regnarunt, unoquoque a patre « simul cum imperio hoc etiam nomen accipiente, ut Pto- « lemæi in Ægypto. Horum vero tertius, quum multum « invalnisset, avi cladem bello instaurare volens, regionem, « quæ nunc Samaritis dicitur, populatus est. » In hoc autem a veritate non aberravit. Hic enim est Adadus qui, Achabo apud Iraelitas regnante, Samariam invasit: de quo suo loco dicturi sumus.

3. Davides autem, expeditione facta in Damascum et cetera Syriæ, ipsam totam in suam potestatem redegit, dispositisque per regionem præsidiis atque certo vectigali incolis imperato, est reversus, et aureas pharetras et armaturas, quibus amicti erant Adadi satellites, Deo Hierosolymis dedicavit, quas postea Susacus Ægyptiorum rex, exercitu in nepotem ejus Roboamum educto, capiebat, et cum multis aliis divitiis ex Hierosolymis exportavit. At enim hæc, quum in locum illis proprium ventum fuerit, declarabimus. Hebræorum autem rex, Deo cœptis ejus adspirante, curanteque ut bella ei prospere cederent, exercitum admovit pulcerrimis Adrazari urbibus, Bettæ et Machoni, easque vi expugnatas diripuit. In his autem magna vis auri argentique reperta est, prætereaque æris genus, quod auro pretiosius esse perhibebant, ex quo fecit Solomon magnum illud vas quod mare appellatum erat, et pulcerrima illa polubra, quum templum Deo adornaret.

4. Postquam vero Amathes rex Adrazari res intellexit, viresque ejus fractas esse audivit, sibi metuens, statuensque Davidem, priusquam ab eo invaderetur, sibimet amicitia et fide devincire, filium suum Adoramum ad eum mittit, qui ei nomine suo de Adrazaro, sibi etiam hoste, debellato gratularetur atque societatem cum eo et amicitiam iniret. Misit et dona ei, antiqui operis vasa aurea et argentea et ænea. Da-

δης δὲ ποιησάμενος τὴν συμμαχίαν πρὸς τὸν Θαῖνον (τοῦτο γὰρ ἦν ὄνομα τῷ βασιλεῖ τῆς Ἀμάθης) καὶ τὰ δῶρα δεξάμενος ἀπέλυσεν αὐτοῦ τὸν υἱὸν μετὰ τιμῆς τῆς πρεπούσης ἑκατέροις. Τὰ δὲ πεμφθέντα ὑπ' αὐτοῦ καὶ τὸν ἄλλον χρυσὸν καὶ ἄργυρον, ὃν ἐκ τῶν πόλεων εἰλήφει καὶ τῶν κεχειρωμένων ἐθνῶν, φέρων ἀνατίθησι τῷ Θεῷ. Οὐκ αὐτῷ δὲ πολεμοῦντι μόνῳ καὶ τῆς στρατιᾶς ἡγουμένῳ τὸ νικᾶν καὶ κατορθοῦν παρέσχεν ὁ Θεὸς, ἀλλὰ καὶ πέμψαντος αὐτοῦ μετὰ δυνάμεως εἰς τὴν Ἰδουμαίαν Ἀβεσσαῖον, τὸν Ἰωάβου τοῦ ἀρχιστρατήγου ἀδελφὸν, δι' ἐκείνου τὴν τῶν Ἰδουμαίων νίκην ἔδωκε· μυρίους γὰρ αὐτῶν καὶ ὀκτακισχιλίους Ἀβεσσαῖος διέφθειρε τῇ μάχῃ. Καὶ τὴν Ἰδουμαίαν ἅπασαν φρουραῖς διαλαβὼν ὁ βασιλεὺς φόρους ὑπέρ τε τῆς χώρας καὶ τῆς ἑκάστου κεφαλῆς παρ' αὐτῶν ἐδέχετο. Ἦν δὲ καὶ δίκαιος τὴν φύσιν καὶ τὰς κρίσεις πρὸς τὴν ἀλήθειαν ἀφορῶν ἐποιεῖτο. Στρατηγὸν δ' ἁπάσης εἶχε τῆς στρατιᾶς τὸν Ἰώαβον, ἐπὶ δὲ τῶν ὑπομνημάτων Ἰωσάφατον υἱὸν Ἀχίλου κατέστησεν· ἀπέδειξε δ' ἐκ τῆς Φινεέσου οἰκίας τὸν Σάδωκον ἀρχιερέα μετ' Ἀβιαθάρου, (φίλος γὰρ ἦν αὐτῷ·) γραμματέα δὲ Σεισὰν ἐποίησε· Βαναίᾳ δὲ τῷ Ἰωάδου τὴν τῶν σωματοφυλάκων ἀρχὴν παραδίδωσιν. Οἱ δὲ πρεσβύτεροι παῖδες αὐτοῦ περὶ τὸ σῶμα καὶ τὴν τούτου φυλακὴν ἦσαν.

ε'. Ἐμνήσθη δὲ καὶ τῶν πρὸς Ἰωνάθην τὸν Σαούλου παῖδα συνθηκῶν καὶ ὅρκων καὶ τῆς ἐκείνου πρὸς αὐτὸν φιλίας τε καὶ σπουδῆς. Πρὸς γὰρ τοῖς ἄλλοις ἅπασιν ἀγαθοῖς οἷς εἶχεν, ἔτι καὶ μνημονικώτατος τῶν εὖ ποιησάντων παρὰ τὸν ἄλλον χρόνον ὑπῆρχε. Προσέταξε γοῦν ἀναζητεῖν εἴ τις ἐκ τοῦ γένους αὐτοῦ σώζεται, ᾧ τὰς ἀμοιβὰς ἃς ὤφειλε τῷ Ἰωνάθῃ τῆς ἑταιρίας ἀποδώσει. Ἀχθέντος οὖν τινος, ἠλευθηρωμένου μὲν ὑπὸ Σαούλου, δυναμένου δὲ γινώσκειν τοὺς ἐκ τοῦ γένους αὐτοῦ περιόντας, ἀνέκρινεν εἴ τινα ἔχει λέγειν τῶν Ἰωνάθῃ προσηκόντων ζῶντα καὶ κομίσασθαι τὰς τῶν εὐεργεσιῶν χάριτας δυνάμενον, ὧν αὐτὸς ἔτυχε παρὰ Ἰωνάθου. Φήσαντος δ' υἱὸν αὐτοῦ περιλείπεσθαι, Μεμφίβοσθον ὄνομα, πεπηρωμένον τὰς βάσεις, (τῆς γὰρ τροφοῦ, μετὰ τὸ προσαγγελθῆναι τὸν πατέρα τοῦ παιδίου καὶ τὸν πάππον ἐν τῇ μάχῃ πεσόντας, ἁρπασαμένης καὶ φευγούσης ἀπὸ τῶν ὤμων αὐτὸν κατενεχθῆναι καὶ βλαβῆναι τὰς βάσεις,) μαθὼν ὅπου τε καὶ παρὰ τίνι τρέφεται, πέμψας πρὸς τὸν Μάχειρον εἰς Λαβαθὰ πόλιν, (παρὰ τούτῳ γὰρ ὁ τοῦ Ἰωνάθου παῖς ἐτρέφετο,) μεταπέμπεται πρὸς αὐτόν. Ἐλθὼν δὲ ὁ Μεμφίβοσθος πρὸς τὸν βασιλέα, πεσὼν ἐπὶ πρόσωπον προσεκύνησεν αὐτόν. Ὁ δὲ Δαυίδης θαρρεῖν τε προὐτρέπετο καὶ τὰ βελτίω προσδοκᾶν. Δίδωσι δ' αὐτῷ καὶ τὸν πατρῷον οἶκον καὶ πᾶσαν τὴν οὐσίαν, ἣν ὁ πάππος αὐτοῦ Σάουλος ἐκτήσατο, σύσσιτόν τε καὶ δμοτράπεζον ἐκέλευσεν εἶναι καὶ μηδεμίαν ἡμέραν ἀπολείπεσθαι τῆς σὺν αὐτῷ τραπέζης. Τοῦ δὲ παιδὸς προσκυνήσαντος ἐπί τε τοῖς λόγοις καὶ ταῖς δωρεαῖς, καλέσας τὸν Σιβὰν, τόν τε πατρῷον οἶκον ἔλεγε

vides autem, initia societate cum Thæno (ita enim appellabatur Amathes rex) acceptisque muneribus, filium ejus pro utriusque dignitate honorifice tractatum dimisit. Quæ vero ab illo missa erant, et reliquum auri argentique ex manubiis urbium gentiumque a se subactarum Deo consecravit. Non autem ipsi solummodo in acie dimicanti et exercitum ducenti vincere dedit Deus et prospere rem gerere, verum etiam misso cum copiis in Idumæam Abessæo, fratre Joabi exercituum ejus ducis, per ipsum de Idumæis victoriam reportare concessit. Illorum enim octodecim millia in prælio Abessæi ductu ceciderunt. Et quum Idumææ universæ præsidia imposuisset rex, tributa et pro agris et pro singulis capitibus ab Idumæis recipiebat. Erat autem et natura justus et judicia ad veritatem respiciens exercebat. Totius vero exercitus ducem habuit Joabum : a commentariis autem fecit Josaphatum Achili filium : at Sadocum e domo Phineesæ pontificem creavit cum Abiatharo, (amicus enim ei erat :) scribam autem Sisam constituit; Banææ vero Joadæ filio catellitum præfecturam dedit. Filii autem ejus natu majores corporis custodes habebantur ipsique præsidio erant.

5. Venit etiam ei in mentem fœderis cum Jonatha Sauli filio initi et fidei jurejurando datæ, illiusque erga se amicitiæ studiique. Nam ceteris omnibus ejus virtutibus accedebat quod eorum qui ei unquam beneficia contulerant semper meminerit. Itaque præcepit ut diligenter inquirerent an quis ex ejus stirpe superaret, cui gratias quas debebit referre posset pro jucunda olim cum Jonatha habita vitæ consuetudine. Quumque ad eum vir adductus esset e Sauli quidem libertis, qui vero scire poterat si quis adhuc ex genere illius in vivis esset, interrogavit num quem vivere exploratum habeat cum Jonatha sanguine conjunctum, quique a se posset beneficiis remunerari vice illorum quæ ipse a Jonatha acceperat. Quum autem ille respondisset filium ejus superesse nomine Memphibosthum, pedibus claudum, (nam dum nutrix, ut nunciatum erat pueri patrem avumque prælio cecidisse, eo festinanter arrepto fugeret, contigisse ut ille humeris excussus prolaberetur pedesque læderet,) postquam intellexit ubinam esset et apud quem educaretur, misit in Labathan urbem ad Machirum (nam apud eum educatus erat Jonathæ filius) qui illum ad se accerserent. Ubi vero ad regem venit Memphibosthus, in faciem procidens illum adoravit : Davides autem ut bono esset animo hortatus est et meliora *omnia* exspectaret. Ei vero domum paternam donat, et quicquid Sauli avi sui antea fuisset, jussitque ut sibi convictor esset et secum epulis accumberet, et ne uno quidem die sibi ad mensam non accederet. Quumque puer verborum donorumque gratia *eum* adorasset, *rex* Siba vocato dicebat se puero donasse

δεδωρῆσθαι τῷ παιδὶ καὶ πᾶσαν τὴν Σαούλου κτῆσιν, αὐτόν τε ἐκέλευσεν ἐργαζόμενον αὐτοῦ τὴν γῆν καὶ προνοούμενον, ἁπάντων τὴν πρόσοδον εἰς Ἱεροσόλυμα κομίζειν. Ἄγεται δ' αὐτὸν καθ' ἑκάστην ἡμέραν ἐπὶ τὴν αὐτοῦ τράπεζαν, αὐτόν τε τὸν Σιβὰν καὶ τοὺς υἱοὺς αὐτοῦ (ἦσαν δ' οὗτοι πεντεκαίδεκα) καὶ τοὺς οἰκέτας αὐτοῦ, τὸν ἀριθμὸν ὄντας εἴκοσιν, τῷ παιδὶ χαρίζεται Μεμφιβόσθῳ. Ταῦτα διαταξαμένου τοῦ βασιλέως, ὁ μὲν Σιβὰς προσκυνήσας καὶ πάντα ποιήσειν εἰπὼν ἀνεχώρησεν, ὁ δὲ Ἰωνάθου παῖς ἐν Ἱεροσολύμοις κατῴκει, συνεστιώμενος τῷ βασιλεῖ καὶ πάσης ὡς υἱὸς αὐτοῦ θεραπείας τυγχάνων. Ἐγένετο δ' αὐτῷ καὶ παῖς, ὃν Μιχὰν προσηγόρευσε.

ΚΕΦ. Ϛ'.

Καὶ οἱ μὲν περιλειφθέντες ἐκ τοῦ Σαούλου γένους καὶ Ἰωνάθου τούτων ἔτυχον παρὰ Δαυίδου τῶν τιμῶν. Τελευτήσαντος δὲ κατ' ἐκεῖνον τὸν καιρὸν τοῦ τῶν Ἀμμανιτῶν βασιλέως Ναάσου (φίλος δ' ἦν οὗτος αὐτῷ) καὶ διαδεξαμένου τὴν βασιλείαν αὐτοῦ τοῦ παιδὸς, πέμψας Δαυίδης πρὸς αὐτὸν παρεμυθήσατο, πράως τε φέρειν ἐπὶ τῷ θανάτῳ τοῦ πατρὸς παραινῶν καὶ τὴν αὐτὴν φιλίαν μένειν ἣ πρὸς ἐκεῖνον ἦν τούτῳ προσδοκᾶν. Οἱ δὲ τῶν Ἀμμανιτῶν ἄρχοντες κακοήθως, ἀλλ' οὐ κατὰ τὸν τοῦ Δαυίδου τρόπον, ταῦτ' ἐδέξαντο, καὶ παρώτρυναν τὸν βασιλέα, λέγοντες κατασκόπους πεπομφέναι τῆς χώρας Δαυίδην καὶ τῆς αὐτῶν δυνάμεως ἐπὶ προφάσει φιλανθρωπίας· φυλάττεσθαί τε συνεβούλευον καὶ μὴ προσέχειν τοῖς λόγοις αὐτοῦ, μὴ καὶ σφαλεὶς ἀπαρηγορήτῳ συμφορᾷ περιπέσῃ. Ταῦτ' οὖν δόξας πιθανώτερα λέγειν τοὺς ἄρχοντας ἢ τἀληθῆ εἶχεν, ὁ τῶν Ἀμμανιτῶν βασιλεὺς Ναάσης τοὺς παρὰ τοῦ Δαυίδου πεμφθέντας πρέσβεις χαλεπῶς περιὔβρισε. Ξυρήσας γὰρ αὐτῶν τὰ ἡμίση τῶν γενείων καὶ τὰ ἡμίση τῶν ἱματίων περιτεμὼν ἔργοις ἀπέλυσε κομίζοντας, οὐ λόγοις, τὰς ἀποκρίσεις. Ἰδὼν δὲ ταῦτα ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς ἠγανάκτησε καὶ δῆλος ἦν οὐ περιοψόμενος τὴν ὕβριν καὶ τὸν προπηλακισμὸν, ἀλλὰ πολεμήσων τοῖς Ἀμμανίταις καὶ τιμωρίαν αὐτῶν τῆς παρανομίας τῆς εἰς τοὺς πρεσβευτὰς εἰσπραξόμενος τὸν βασιλέα. Συνέντες δὲ οἵ τε ἀναγκαῖοι καὶ ἡγεμόνες ὅτι παρεσπονδήκασι καὶ δίκην ὑπὲρ τούτων ὀφείλουσιν, προπαρεσκευάζοντο εἰς τὸν πόλεμον· καὶ πέμψαντες πρὸς Σύρον τὸν τῶν Μεσοποταμιτῶν βασιλέα χίλια τάλαντα, σύμμαχον αὐτὸν ἐπὶ τούτῳ γενέσθαι τῷ μισθῷ παρεκάλεσαν καὶ Σουβάν. Ἦσαν δὲ τοῖς βασιλεῦσι τούτοις πεζῶν δύο μυριάδες. Προσεμισθώσαντό καὶ τὸν τῶν Ἀμαληκιτῶν βασιλέα καὶ τέταρτον Ἴστωβον ὄνομα, καὶ τούτους ἔχοντας μυρίους καὶ δισχιλίους ὁπλίτας.

(Ζ'.) β'. Οὐ κατεπλάγη δὲ τὴν συμμαχίαν καὶ τὴν τῶν Ἀμμανιτῶν δύναμιν ὁ Δαυίδης· τῷ Θεῷ δὲ πεποιθὼς ἐν τῷ δικαίως αὐτοῖς ἀνθ' ὧν ὑβρίσθη πολεμεῖν μέλλειν, Ἰώαβον τὸν ἀρχιστράτηγον, δοὺς αὐτῷ τῆς

domum paternam et quicquid Saulus habuerit, ipsique præcepit ut terram ejus colendam curaret, et omnium proventum Hierosolyma afferendum. Verum singulis diebus eum ad mensam suam adducit; ipsumque Sibam et filios ejus (erant autem isti quindecim) ejusque servos (numero viginti) puero dat Memphibostho. His ita a rege constitutis, Sibas quidem, quum *eum* adorasset, dixissetque se omnia facturum esse, discessit, Jonathæ vero filius Hierosolymis habitabat, regis mensæ adhibitus atque omni quasi filius ipsius observantia cultus. Natus est autem ipsi quoque filius, quem Micham appellavit.

CAP. VI.

Et Davides quidem relictos ex Sauli Jonathæque familia hisce dignatus est honoribus. Quum vero per idem tempus mortem obiisset Naases Ammanitarum rex (qui David amicus erat) et filius ejus ei in regno successisset, Davides, missis ad eum legatis, ipsum de patre consolatus est, simul adhortans ut et mortem ejus patienter ferret, et eandem amicitiam, quæ sibi cum illo intercesserat, mansuram exspectaret. Ammanitarum autem principes pravo malignoque animo, et non ex more et ingenio Davidis, hæc acceperunt, regique stimulos admoverunt, dicentes Davidem sub humani officii prætextu misisse qui regionem specularentur ipsorumque vires; ac proinde ei consilium dederunt ut sibi caveret, nec verbis ejus temere crederet, ne in calamitatem incideret, cui nulla adhiberi posset consolatio. Rex itaque Ammanitarum Naases, quum hanc principum orationem fide digniorem esse quam re vera erat sibimet persuasisset, legatos a Davide missos gravissima affecit injuria. Nam rasis ex altera parte barbis eorum et dimidio vestium præciso responsa factis, non verbis, relaturos dimisit. Quum autem hæc conspexisset Israelitarum rex, ægre rem tulit et præ se ferebat non neglecturum se injuriam cum contumelia conjunctam, sed bellum Ammanitis illaturum esse, et pœnas ob flagitium in legatos ab illis admissum a rege exacturum. Postquam vero regis necessarii et copiarum præfecti intellexerunt quod fœdera violarint et supplicia pro scelere luituri essent, mature sese ad bellum comparabant, missisque ad Syrum Mesopotamitarum regem mille talentis, illum ut hac mercede socius fieret obsecrarunt, prætereaque Subam. Habebant autem isti reges peditum viginti millia. Quin et Amalecitarum regem conduxerunt, et quartum nomine Istobum. Atque hi secum adducebant duodecim armatorum millia.

2. (VII.) At Davidem non perterruit hæc armorum consociatio et Ammanitarum potentia: sed Deo confisus, quod juste cum illis pro injuriis sibi illatis bellum esset gesturus, statim adversus illos Joabum imperatorem misit cum

στρατιᾶς τὸ ἀκμαιότατον, ἐξ αὐτῆς ἔπεμψεν ἐπ' αὐτούς. Ὁ δὲ, πρὸς τῇ μητροπόλει τῶν Ἀμμανιτῶν Ῥαβαθᾷ κατεστρατοπεδεύσατο. Τῶν δὲ πολεμίων ἐξελθόντων καὶ παραταξαμένων οὐχ ὁμοῦ, διχῇ δὲ, (τὸ μὲν γὰρ ἐπικουρικὸν ἐν τῷ πεδίῳ καθ' αὐτὸ ἐτάχθη, τὸ δὲ τῶν Ἀμμανιτῶν στράτευμα πρὸς ταῖς πύλαις ἀντικρὺ τῶν Ἑβραίων,) ἰδὼν τοῦτο Ἰώαβος ἀντιμηχανᾶται, καὶ τοὺς μὲν ἀνδρειοτάτους ἐπιλεξάμενος ἀντιπαρατάσσεται τῷ Σύρῳ καὶ τοῖς μετ' αὐτοῦ βασιλεῦσι, τὸ δ' ἄλλο παραδοὺς Ἀβεσσαίῳ τῷ ἀδελφῷ τοῖς Ἀμμανίταις ἐκέλευσεν ἀντιπαρατάξασθαι, εἰπὼν, ἂν τοὺς Σύρους ἴδῃ βιαζομένους αὐτὸν καὶ πλέον δυναμένους, μεταγαγόντα τὴν φάλαγγα βοηθεῖν αὐτῷ· τὸ δ' αὐτὸ τοῦτο ποιήσειν καὶ αὐτὸς, ἂν ὑπὸ τῶν Ἀμμανιτῶν αὐτὸν καταπονούμενον θεάσηται. Προπεμψάμενος οὖν τὸν ἀδελφὸν καὶ παρακαλέσας εὐψύχως καὶ μετὰ προθυμίας ἅπαντα δράσειν, αἰσχύνην φοβουμένους προτρεπούσης ἀγωνίσασθαι, τὸν μὲν ἀπέλυσε τοῖς Ἀμμανίταις μαχησόμενον, αὐτὸς δὲ τοῖς Σύροις συνέβαλε. Καὶ πρὸς ὀλίγον ἀντισχόντων αὐτῶν καρτερῶς, πολλοὺς μὲν αὐτῶν ἀπέκτεινεν Ἰώαβος, ἅπαντας δ' ἠνάγκασεν εἰς φυγὴν τραπῆναι. Τοῦτο ἰδόντες οἱ Ἀμμανῖται, καὶ δείσαντες τὸν Ἀβεσσαῖον καὶ τὴν μετ' αὐτοῦ στρατιὰν, οὐκ ἔμειναν, ἀλλὰ μιμησάμενοι τοὺς συμμάχους εἰς τὴν πόλιν ἔφυγον. Κρατήσας οὖν τῶν πολεμίων ὁ Ἰώαβος εἰς Ἱεροσόλυμα πρὸς τὸν βασιλέα λαμπρῶς ὑπέστρεψε.

γ'. Τοῦτο τὸ πταῖσμα τοὺς Ἀμμανίτας οὐκ ἔπεισεν ἠρεμεῖν, οὐδὲ μαθόντας τοὺς κρείττονας ἡσυχίαν ἄγειν, ἀλλὰ πέμψαντες πρὸς Χαλαμὰν τὸν τῶν πέραν Εὐφράτου Σύρων βασιλέα, μισθοῦνται τοῦτον ἐπὶ συμμαχίαν, ἔχοντα μὲν ἀρχιστράτηγον Σάβεκον, πεζῶν δὲ μυριάδας ὀκτὼ καὶ ἱππέων μυρίους. Γνοὺς δὲ ὁ τῶν Ἑβραίων βασιλεὺς πάλιν ἐπ' αὐτὸν τοὺς Ἀμμανίτας τοσαύτην δύναμιν συνηθροικότας οὐκέτι διὰ στρατηγῶν αὐτοῖς πολεμεῖν ἔκρινεν, ἀλλ' αὐτὸς σὺν ἁπάσῃ τῇ δυνάμει διαβὰς τὸν Ἰορδάνην ποταμὸν καὶ ὑπαντήσας αὐτοῖς συνάψας αὐτοῖς εἰς μάχην, ἐνίκησε. Καὶ ἀναιρεῖ μὲν αὐτῶν πεζῶν μὲν εἰς τέσσαρας μυριάδας, ἱππέων δ' εἰς ἑπτακισχιλίους, ἔτρωσε δὲ καὶ τὸν στρατηγὸν τοῦ Χαλαμᾶς Σάβεκον, ὃς ἐκ τῆς πληγῆς ἀπέθανεν. Οἱ δὲ Μεσοποταμῖται, τοιούτου γενομένου τοῦ τέλους τῆς μάχης, αὐτοὺς Δαυΐδῃ παρέδοσαν, καὶ δῶρα ἔπεμψαν αὐτῷ. Καὶ ὁ μὲν ὥρᾳ χειμῶνος ἀνέστρεψεν εἰς Ἱεροσόλυμα, ἀρχομένου δὲ τοῦ ἔαρος ἔπεμψε τὸν ἀρχιστράτηγον Ἰώαβον πολεμήσοντα τοῖς Ἀμμανίταις. Ὁ δὲ τήν τε γῆν ἅπασαν αὐτῶν ἐπεργόμενος διέφθειρε καὶ αὐτοὺς εἰς τὴν μητρόπολιν συγκλείσας Ῥαβαθὰν ἐπολιόρκει.

ΚΕΦ. Ζ'.

Συνέπεσε δὲ καὶ Δαυΐδῃ πταῖσμα δεινὸν, ὄντι φύσει δικαίῳ καὶ θεοσεβεῖ καὶ τοὺς πατρίους νόμους ἰσχυρῶς φυλάσσοντι. Θεασάμενος γὰρ δείλης ὀψίας ἀπὸ τοῦ

totius exercitus robore ipsi mandato. Atque ille ad primariam Ammanitarum urbem Rabatham castra posuit. Quum autem hostes egressi essent et non simul, sed seorsum aciem instruxissent, (copiæ quidem auxiliares solæ in *patenti* campo constitutæ erant, Ammanitarum vero exercitus ante portas e regione Hebræorum,) Joabus, hoc animadverso, stratagemata contraria facit, et fortissimorum quidem delectu habito eos contra Syrum ordinavit et reges qui cum eo erant, reliquos vero quum fratri Abessæo tradidisset, jussit ut eos Ammanitis opponeret, hoc dato consilio, ut si Syros ipsum premere videret et prævalere, acie conversa sibi auxilium ferret; idem vero istud et se facturum, si illum conspiceret ab Ammanitis gravius urgeri. Itaque quum fratrem deduxisset, et obsecrasset ut fortiter et cum alacritate omnia ageret, quæ ignominiam metuentibus soleat ad dimicandum animos addere, illum quidem cum Ammanitis pugnaturum dimisit, ipse vero cum Syris congressus est. Et quum illi aliquantisper magna vi restitissent, multos quidem illorum Joabus perimebat, *ceteros vero omnes eo impulit ut terga verterent*. Quo viso Ammanitæ, metu Abessæi et exercitus ejus, prælium non commiserunt, sed sociorum exemplum sequuti fuga urbem repetiverunt. Joabus itaque, hostibus fusis fugatisque, Hierosolyma ad regem cum splendore reversus est.

3. Non tamen hæc clades Ammanitis persuasit ut quiescerent, neque ut *Hebræos* superiores experti pacem colerent, sed missis legatis ad Chalamam Syrorum Transeuphratensium regem, ipsum mercede in societatem pertrahunt, qui Sabecum exercitus ducem habebat, peditum vero octoginta millia, et equitum decem millia. Postquam autem Hebræorum rex intellexit Ammanitas denuo contra se tam ingentem militum vim coegisse, non jam cum illis per duces suos bellare decrevit, sed ipse cum universo exercitu, Jordane fluvio trajecto, illis occurrit, prælioque commisso victoriam reportavit. Et ex illis quidem occidit peditum quadraginta circiter millia, equitum vero ad septies mille. Quin et Sabeco vulnus inflixit, exercitus Chalamæ duci, ex quo illum mori contigit. Mesopotamitæ vero, quum hujusmodi exitum pugna habuerit, semet Davidi dediderunt, eique dona miserunt. Et ille quidem hieme appetente Hierosolyma reversus est, at vere ineunte misit Joabum exercitus ducem ad bellum cum Ammanitis gerendum. Is autem incursione facta agros eorum omnes vastabat, ipsosque in Rabatham gentis metropolim compulsos obsidebat.

CAP. VII.

Verum Davides etiam in grave peccatum incidit, natura licet justus et pius, atque legum patriarum observator diligentissimus. Quum enim sub vesperam ex regiæ domus tecto,

δεδωρῆσθαι τῷ παιδὶ καὶ πᾶσαν τὴν Σαούλου κτῆσιν, αὐτόν τε ἐκέλευσεν ἐργαζόμενον αὐτοῦ τὴν γῆν καὶ προνοούμενον, ἁπάντων τὴν πρόσοδον εἰς Ἱεροσόλυμα κομίζειν. Ἄγεται δ' αὐτὸν καθ' ἑκάστην ἡμέραν ἐπὶ τὴν αὑτοῦ τράπεζαν, αὐτόν τε τὸν Σιβὰν καὶ τοὺς υἱοὺς αὐτοῦ (ἦσαν δ' οὗτοι πεντεκαίδεκα) καὶ τοὺς οἰκέτας αὐτοῦ, τὸν ἀριθμὸν ὄντας εἴκοσιν, τῷ παιδὶ χαρίζεται Μεμφιβόσθῳ. Ταῦτα διαταξαμένου τοῦ βασιλέως, ὁ μὲν Σιβὰς προσκυνήσας καὶ πάντα ποιήσειν εἰπὼν ἀνεχώρησεν, ὁ δὲ Ἰωνάθου παῖς ἐν Ἱεροσολύμοις κατῴκει, συνεστιώμενος τῷ βασιλεῖ καὶ πάσης ὡς υἱὸς αὐτοῦ θεραπείας τυγχάνων. Ἐγένετο δ' αὐτῷ καὶ παῖς, ὃν Μιχὰν προσηγόρευσε.

ΚΕΦ. Ϛ'.

Καὶ οἱ μὲν περιλειφθέντες ἐκ τοῦ Σαούλου γένους καὶ Ἰωνάθου τούτων ἔτυχον παρὰ Δαυίδου τῶν τιμῶν. Τελευτήσαντος δὲ κατ' ἐκεῖνον τὸν καιρὸν τοῦ τῶν Ἀμμανιτῶν βασιλέως Ναάσου (φίλος δ' ἦν οὗτος αὐτῷ) καὶ διαδεξαμένου τὴν βασιλείαν αὐτοῦ τοῦ παιδὸς, πέμψας Δαυίδης πρὸς αὐτὸν παρεμυθήσατο, πράως τε φέρειν ἐπὶ τῷ θανάτῳ τοῦ πατρὸς παραινῶν καὶ τὴν αὐτὴν φιλίαν μένειν ἣ πρὸς ἐκεῖνον ἦν τούτῳ προσδοκᾶν. Οἱ δὲ τῶν Ἀμμανιτῶν ἄρχοντες κακοήθως, ἀλλ' οὐ κατὰ τὸν τοῦ Δαυίδου τρόπον, ταῦτ' ἐδέξαντο, καὶ παρώτρυναν τὸν βασιλέα, λέγοντες κατασκόπους πεπομφέναι τῆς χώρας Δαυίδην καὶ τῆς αὐτῶν δυνάμεως ἐπὶ προφάσει φιλανθρωπίας· φυλάττεσθαί τε συνεβούλευον καὶ μὴ προσέχειν τοῖς λόγοις αὐτοῦ, μὴ καὶ σφαλεὶς ἀπαρηγορήτῳ συμφορᾷ περιπέσῃ. Ταῦτ' οὖν δόξας πιθανώτερα λέγειν τοὺς ἄρχοντας ἢ τἀληθῆ εἶχεν, ὁ τῶν Ἀμμανιτῶν βασιλεὺς Ναάσης τοὺς παρὰ τοῦ Δαυίδου πεμφθέντας πρέσβεις χαλεπῶς περιύβρισε. Ξυρήσας γὰρ αὐτῶν τὰ ἡμίση τῶν γενείων καὶ τὰ ἡμίση τῶν ἱματίων περιτεμὼν ἔργοις ἀπέλυσε κομίζοντας, οὐ λόγοις, τὰς ἀποκρίσεις. Ἰδὼν δὲ ταῦτα ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς ἠγανάκτησε καὶ δῆλος ἦν οὐ περιοψόμενος τὴν ὕβριν καὶ τὸν προπηλακισμὸν, ἀλλὰ πολεμήσων τοῖς Ἀμμανίταις καὶ τιμωρίαν αὐτῶν τῆς παρανομίας τῆς εἰς τοὺς πρεσβευτὰς εἰσπραξόμενος τὸν βασιλέα. Συνέντες δὲ οἵ τε ἀναγκαῖοι καὶ ἡγεμόνες ὅτι παρεσπονδήκασι καὶ δίκην ὑπὲρ τούτων ὀφείλουσιν, προπαρεσκευάζοντο εἰς τὸν πόλεμον· καὶ πέμψαντες πρὸς Σύρον τὸν τῶν Μεσοποταμιτῶν βασιλέα χίλια τάλαντα, σύμμαχον αὐτὸν ἐπὶ τούτῳ γενέσθαι τῷ μισθῷ παρεκάλεσαν καὶ Σουβάν. Ἦσαν δὲ τοῖς βασιλεῦσι τούτοις πεζῶν δύο μυριάδες. Προσεμισθώσαντό καὶ τὸν τῶν Ἀμαληκιτῶν βασιλέα καὶ τέταρτον Ἰστωβον ὄνομα, καὶ τούτους ἔχοντας μυρίους καὶ δισχιλίους ὁπλίτας.

(Ζ'.) β'. Οὐ κατεπλάγη δὲ τὴν συμμαχίαν καὶ τὴν τῶν Ἀμμανιτῶν δύναμιν ὁ Δαυίδης· τῷ Θεῷ δὲ πεποιθὼς ἐν τῷ δικαίως αὐτοῖς ἀνθ' ὧν ὑβρίσθη πολεμεῖν μέλλειν, Ἰώαβον τὸν ἀρχιστράτηγον, δοὺς αὐτῷ τῆς

domum paternam et quicquid Saulus habuerit, ipsique præcepit ut terram ejus colendam curaret, et omnium proventum Hierosolyma afferendum. Verum singulis diebus eum ad mensam suam adducit; ipsumque Sibam et filios ejus (erant autem isti quindecim) ejusque servos (numero viginti) puero dat Memphibostho. His ita a rege constitutis, Sibas quidem, quum *eum* adorasset, dixissetque se omnia facturum esse, discessit, Jonathæ vero filius Hierosolymis habitabat, regis mensæ adhibitus atque omni quasi filius ipsius observantia cultus. Natus est autem ipsi quoque filius, quem Micham appellavit.

CAP. VI.

Et Davides quidem relictos ex Sauli Jonathæque familia hisce dignatus est honoribus. Quum vero per idem tempus mortem obiisset Naases Ammanitarum rex (qui David amicus erat) et filius ejus ei in regno successisset, Davides, missis ad eum legatis, ipsum de patre consolatus est, simul adhortans ut et mortem ejus patienter ferret, et eandem amicitiam, quæ sibi cum illo intercesserat, mansuram exspectaret. Ammanitarum autem principes pravo malignoque animo, et non ex more et ingenio Davidis, hæc acceperunt, regique stimulos admoverunt, dicentes Davidem sub humani officii prætextu misisse qui regionem specularentur ipsorumque vires; ac proinde ei consilium dederunt ut sibi caveret, nec verbis ejus temere crederet, ne in calamitatem incideret, cui nulla adhiberi posset consolatio. Rex itaque Ammanitarum Naases, quum hanc principum orationem fide digniorem esse quam re vera erat sibimet persuasisset, legatos a Davide missos gravissima affecit injuria. Nam rasis ex altera parte barbis eorum et dimidio vestium præciso responsa factis, non verbis, relaturos dimisit. Quum autem hæc conspexisset Israelitarum rex, ægre rem tulit et præ se ferebat non neglecturum se injuriam cum contumelia conjunctam, sed bellum Ammanitis illaturum esse, et pœnas ob flagitium in legatos ab illis admissum a rege exacturum. Postquam vero regis necessarii et copiarum præfecti intellexerunt quod fœdera violarint et supplicia pro scelere luituri essent, mature sese ad bellum comparabant, missisque ad Syrum Mesopotamitarum regem mille talentis, illum ut hac mercede socius fieret obsecrarunt, prætereaque Subam. Habebant autem isti reges peditum viginti millia. Quin et Amalecitarum regem conduxerunt, et quartum nomine Istobum. Atque hi secum adducebant duodecim armatorum millia.

2. (VII.) At Davidem non perterruit hæc armorum consociatio et Ammanitarum potentia: sed Deo confisus, quod juste cum illis pro injuriis sibi illatis bellum esset gesturus, statim adversus illos Joabum imperatorem misit cum

στρατιᾶς τὸ ἀκμαιότατον, ἐξ αὐτῆς ἔπεμψεν ἐπ' αὐτούς. Ὁ δὲ, πρὸς τῇ μητροπόλει τῶν Ἀμμανιτῶν Ῥαβαθᾷ κατεστρατοπεδεύσατο. Τῶν δὲ πολεμίων ἐξελθόντων καὶ παραταξαμένων οὐχ ὁμοῦ, διχῇ δέ, (τὸ μὲν γὰρ ἐπικουρικὸν ἐν τῷ πεδίῳ καθ' αὐτὸ ἐτάχθη, τὸ δὲ τῶν Ἀμμανιτῶν στράτευμα πρὸς ταῖς πύλαις ἀντικρὺ τῶν Ἑβραίων,) ἰδὼν τοῦτο Ἰώαβος ἀντιμηχανᾶται, καὶ τοὺς μὲν ἀνδρειοτάτους ἐπιλεξάμενος ἀντιπαρατάσσεται τῷ Σύρῳ καὶ τοῖς μετ' αὐτοῦ βασιλεῦσι, τὸ δ' ἄλλο παραδοὺς Ἀβεσσαίῳ τῷ ἀδελφῷ τοῖς Ἀμμανίταις ἐκέλευσεν ἀντιπαρατάξασθαι, εἰπὼν, ἂν τοὺς Σύρους ἴδῃ βιαζομένους αὐτὸν καὶ πλέον δυναμένους, μεταγαγόντα τὴν φάλαγγα βοηθεῖν αὐτῷ· τὸ δ' αὐτὸ τοῦτο ποιήσειν καὶ αὐτὸς, ἂν ὑπὸ τῶν Ἀμμανιτῶν αὐτὸν καταπονούμενον θεάσηται. Προπεμψάμενος οὖν τὸν ἀδελφὸν καὶ παρακαλέσας εὐψύχως καὶ μετὰ προθυμίας ἅπαντα δράσειν, αἰσχύνην φοβουμένους προτρεπούσης ἀγωνίσασθαι, τὸν μὲν ἀπέλυσε τοῖς Ἀμμανίταις μαχησόμενον, αὐτὸς δὲ τοῖς Σύροις συνέβαλε. Καὶ πρὸς ὀλίγον ἀντισχόντων αὐτῶν καρτερῶς, πολλοὺς μὲν αὐτῶν ἀπέκτεινεν Ἰώαβος, ἅπαντας δ' ἠνάγκασεν εἰς φυγὴν τραπῆναι. Τοῦτο ἰδόντες οἱ Ἀμμανῖται, καὶ δείσαντες τὸν Ἀβεσσαῖον καὶ τὴν μετ' αὐτοῦ στρατιὰν, οὐκ ἔμειναν, ἀλλὰ μιμησάμενοι τοὺς συμμάχους εἰς τὴν πόλιν ἔφυγον. Κρατήσας οὖν τῶν πολεμίων ὁ Ἰώαβος εἰς Ἱεροσόλυμα πρὸς τὸν βασιλέα λαμπρῶς ὑπέστρεψε.

γ'. Τοῦτο τὸ πταῖσμα τοὺς Ἀμμανίτας οὐκ ἔπεισεν ἠρεμεῖν, οὐδὲ μαθόντας τοὺς κρείττονας ἡσυχίαν ἄγειν, ἀλλὰ πέμψαντες πρὸς Χαλαμὰν τὸν τῶν πέραν Εὐφράτου Σύρων βασιλέα, μισθοῦνται τοῦτον ἐπὶ συμμαχίαν, ἔχοντα μὲν ἀρχιστράτηγον Σάβεκον, πεζῶν δὲ μυριάδας ὀκτὼ καὶ ἱππέων μυρίους. Γνοὺς δὲ ὁ τῶν Ἑβραίων βασιλεὺς πάλιν ἐπ' αὐτὸν τοὺς Ἀμμανίτας τοσαύτην δύναμιν συνηθροικότας οὐκέτι διὰ στρατηγῶν αὐτοῖς πολεμεῖν ἔκρινεν, ἀλλ' αὐτὸς σὺν ἅπάσῃ τῇ δυνάμει διαβὰς τὸν Ἰορδάνην ποταμὸν καὶ ὑπαντήσας αὐτοῖς συνάψας αὐτοῖς εἰς μάχην, ἐνίκησε. Καὶ ἀναιρεῖ μὲν αὐτῶν πεζῶν μὲν εἰς τέσσαρας μυριάδας, ἱππέων δ' εἰς ἑπτακισχιλίους, ἔτρωσε δὲ καὶ τὸν στρατηγὸν τοῦ Χαλαμᾶς Σάβεκον, ὃς ἐκ τῆς πληγῆς ἀπέθανεν. Οἱ δὲ Μεσοποταμῖται, τοιούτου γενομένου τοῦ τέλους τῆς μάχης, αὐτοὺς Δαυΐδῃ παρέδοσαν, καὶ δῶρα ἔπεμψαν αὐτῷ. Καὶ ὁ μὲν ὥρᾳ χειμῶνος ἀνέστρεψεν εἰς Ἱεροσόλυμα, ἀρχομένου δὲ τοῦ ἔαρος ἔπεμψε τὸν ἀρχιστράτηγον Ἰώαβον πολεμήσοντα τοῖς Ἀμμανίταις. Ὁ δὲ τήν τε γῆν ἅπασαν αὐτῶν ἐπεργόμενος διέφθειρε καὶ αὐτοὺς εἰς τὴν μητρόπολιν συγκλείσας Ῥαβαθὰν ἐπολιόρκει.

ΚΕΦ. Ζ'.

Συνέπεσε δὲ καὶ Δαυΐδῃ πταῖσμα δεινὸν, ὄντι φύσει δικαίῳ καὶ θεοσεβεῖ καὶ τοὺς πατρίους νόμους ἰσχυρῶς φυλάσσοντι. Θεασάμενος γὰρ δείλης ὀψίας ἀπὸ τοῦ

totius exercitus robore ipsi mandato. Atque ille ad primariam Ammanitarum urbem Rabatham castra posuit. Quum autem hostes egressi essent et non simul, sed seorsum aciem instruxissent, (copiæ quidem auxiliares solæ in *patenti* campo constitutæ erant, Ammanitarum vero exercitus ante portas e regione Hebræorum,) Joabus, hoc animadverso, stratagemata contraria facit, et fortissimorum quidem delectu habito eos contra Syrum ordinavit et reges qui cum eo erant, reliquos vero quum fratri Abessæo tradidisset, jussit ut eos Ammanitis opponeret, hoc dato consilio, ut si Syros ipsum premere videret et prævalere, acie conversa sibi auxilium ferret; idem vero istud et se facturum, si illum conspiceret ab Ammanitis gravius urgeri. Itaque quum fratrem deduxisset, et obsecrasset ut fortiter et cum alacritate omnia ageret, quæ ignominiam metuentibus soleat ad dimicandum animos addere, illum quidem cum Ammanitis pugnaturum dimisit, ipse vero cum Syris congressus est. Et quum illi aliquantisper magna vi restitissent, multos quidem illorum Joabus perimebat, ceteros vero omnes eo impulit ut terga verterent. Quo viso Ammanitæ, metu Abessæi et exercitus ejus, prælium non commiserunt, sed sociorum exemplum sequuti fuga urbem repetiverunt. Joabus itaque, hostibus fusis fugatisque, Hierosolyma ad regem cum splendore reversus est.

3. Non tamen hæc clades Ammanitis persuasit ut quiescerent, neque ut *Hebræos* superiores experti pacem colerent, sed missis legatis ad Chalamam Syrorum Transeuphratensium regem, ipsum mercede in societatem pertrahunt, qui Sabecum exercitus ducem habebat, peditum vero octoginta millia, et equitum decem millia. Postquam autem Hebræorum rex intellexit Ammanitas denuo contra se tam ingentem militum vim coegisse, non jam cum illis per duces suos bellare decrevit, sed ipse cum universo exercitu, Jordane fluvio trajecto, illis occurrit, prælioque commisso victoriam reportavit. Et ex illis quidem occidit peditum quadraginta circiter millia, equitum vero ad septies mille. Quin et Sabeco vulnus inflixit, exercitus Chalamæ duci, ex quo illum mori contigit. Mesopotamitæ vero, quum hujusmodi exitum pugna habuerit, semet Davidi dediderunt, eique dona miserunt. Et ille quidem hieme appetente Hierosolyma reversus est, at vere ineunte misit Joabum exercitus ducem ad bellum cum Ammanitis gerendum. Is autem incursione facta agros eorum omnes vastabat, ipsosque in Rabatham gentis metropolim compulsos obsidebat.

CAP. VII.

Verum Davides etiam in grave peccatum incidit, natura licet justus et pius, atque legum patriarum observator diligentissimus. Quum enim sub vesperam ex regiæ domus tecto,

τέγους τῶν βασιλείων, ἐν ᾧ περιπατεῖν κατ' ἐκεῖνο τῆς ὥρας ἦν ἔθος, εἶδε γυναῖκα λουομένην ἐν τῇ αὐτῆς οἰκίᾳ ψυχρῷ ὕδατι, καλλίστην τὸ εἶδος καὶ πασῶν διαφέρουσαν, (ὄνομα αὐτῇ ἦν Βεερσαβή,) ἥττηταί τε τοῦ κάλλους τῆς γυναικὸς καὶ τὴν ἐπιθυμίαν κατασχεῖν οὐ δυνάμενος, μεταπεμψάμενος αὐτὴν, συνέρχεται. Γενομένης δ' ἐγκύου τῆς γυναικὸς καὶ πεμψάσης πρὸς τὸν βασιλέα, ὅπως τῷ ἁμαρτήματι σκέψηταί τινα τοῦ λαθεῖν δδὸν, (ἀποθανεῖν γὰρ αὐτὴν κατὰ τοὺς πατρίους προσήκει νόμους μεμοιχευμένην,) μεταπέμπεται τὸν Ἰωάβου μὲν ὁπλοφόρον ἐκ τῆς πολιορκίας, ἄνδρα δὲ τῆς γυναικὸς, Οὐρίαν ὄνομα· καὶ παραγενόμενον περί τε τῆς στρατιᾶς καὶ περὶ τῆς πολιορκίας ἀνέκρινε. Λέγοντος δὲ πάντα κατὰ νοῦν αὐτοῖς κεχωρηκέναι τὰ πράγματα, βαστάσας ἐκ τοῦ δείπνου μέρη προσδίδωσιν αὐτῷ, καὶ κελεύει πρὸς τὴν γυναῖκα ἀπελθόντα ἀναπαύσασθαι σὺν αὐτῇ. Ὁ δὲ Οὐρίας τοῦτο μὲν οὐκ ἐποίησε, παρεκοιμήθη δὲ τῷ βασιλεῖ σὺν τοῖς ἄλλοις ὁπλοφόροις. Ὡς δὲ γνοὺς τοῦθ' ὁ βασιλεὺς ἀνέκρινεν αὐτὸν ὅ τι μὴ πρὸς αὐτὸν εἰς τὴν οἰκίαν ἔλθοι μηδὲ πρὸς τὴν γυναῖκα διὰ τοσούτου χρόνου, πάντων τῶν ἀνθρώπων ταύτην ἐχόντων τὴν φύσιν, ὅταν ἔλθωσιν ἐξ ἀποδημίας, οὐκ εἶναι δίκαιον εἶπε τῶν συστρατιωτῶν αὐτοῦ καὶ τοῦ στρατηγοῦ χαμαὶ κοιμωμένων ἐν τῇ παρεμβολῇ καὶ τῇ τῶν πολεμίων χώρᾳ, μετὰ τῆς γυναικὸς αὐτὸν ἀναπαύεσθαι καὶ τρυφᾶν. Ταῦτα εἰπόντα μεῖναι τὴν ἡμέραν ἐκείνην προσέταξεν αὐτόθι, ὡς εἰς τὴν ἐπιοῦσαν ἀπολύσων αὐτὸν πρὸς τὸν ἀρχιστράτηγον. Κληθεὶς δ' ἐπὶ δεῖπνον ὑπὸ τοῦ βασιλέως Οὐρίας καὶ μέχρι μέθης προελθὼν ἐν τῷ πότῳ, δεξιουμένου τοῦ βασιλέως αὐτὸν ἐπίτηδες ταῖς προπόσεσιν, οὐδὲν ἧττον πάλιν πρὸ τῶν τοῦ βασιλέως θυρῶν ἐκοιμήθη, μηδεμίαν λαβὼν τῆς γυναικὸς ἐπιθυμίαν. Ἐπὶ τούτῳ δὲ δυσανασχετήσας ὁ βασιλεὺς ἔγραψε τῷ Ἰωάβῳ, κολάσαι προστάσσων τὸν Οὐρίαν, (ἁμαρτεῖν γὰρ αὐτὸν ἐδήλου,) καὶ τὸν τρόπον τῆς τιμωρίας, ἵνα μὴ γένηται φανερὸς αὐτὸς τοῦτο βουληθείς, ὑπέθετο. Κατὰ γὰρ τὸ δυσμαχώτατον αὐτὸν ἐκέλευσε μέρος τῶν πολεμίων τάξαι καὶ καθ' ὃ κινδυνεύσειε μαχόμενος ἀπολειφθεὶς μόνος· τοὺς γὰρ συμπαραστάτας ἀναχωρῆσαι ἐκ τῆς μάχης γενομένης ἐκέλευσε. Ταῦτα γράψας καὶ σημηνάμενος τῇ αὐτοῦ σφραγῖδι, τὴν ἐπιστολὴν ἔδωκεν Οὐρίᾳ κομίσαι πρὸς Ἰώαβον. Δεξάμενος δὲ τὰ γράμματα Ἰώαβος καὶ τὴν τοῦ βασιλέως προαίρεσιν ἀναγνούς, καθ' ὃν ἤδει τόπον τοὺς πολεμίους αὐτῷ χαλεποὺς γινομένους, κατὰ τοῦτον ἔστησε τὸν Οὐρίαν, δοὺς αὐτῷ τινας τῶν ἀρίστων τῆς στρατιᾶς· αὐτὸς δ' ἁπάσῃ τῇ δυνάμει προσεπιβοηθήσειν ἔφησεν, εἰ δυνηθεῖεν ἀνατρέψαντές τι τοῦ τείχους εἰσελθεῖν εἰς τὴν πόλιν. Ὄντα δ' αὐτὸν γενναῖον στρατιώτην καὶ δόξαν ἔχοντα παρά τε τῷ βασιλεῖ καὶ πᾶσι τοῖς δμοφύλοις ἐπ' ἀνδρείᾳ, χαίρειν τοῖς μεγάλοις πόνοις, ἀλλὰ μὴ προσαγανακτεῖν ἠξίου. Τοῦ δὲ Οὐρία προθύμως ὑποστάντος τὸ ἔργον, τοῖς μετ' αὐτοῦ παρατασσομένοις ἰδίᾳ καταλιπεῖν, ὅταν

ubi moris erat eo fere tempore deambulare, circumcirca prospiceret, mulierem se domi suæ aqua frigida lavantem animadvertit, forma egregiam et *aliis* omnibus excellentem, (nomen ei Beersabe erat,) feminæque pulcritudine captus est, et quum cupiditatem suam cohibere non posset, cum ea accersita rem habuit. Quum autem mulier facta esset gravida, regique misisset, ut de via delicti occultandi dispiceret (mori enim eam adulterio admisso ex patriis legibus oportebat,) *Davides* accersit ex obsidione Joabi armigerum, qui mulieris maritus erat, nomine Uriam. Ubi venit, ex eo sciscitatus est et de exercitu et de urbis oppugnatione. Quum autem diceret res omnes illis ex animo successisse, fercula ex convivio apportata ei dat, jubetque ut profectus ad uxorem cum ea requiesceret. At Urias hoc quidem non fecit, sed regi cum ceteris armigeris accubuit. Quum autem rex, ubi hoc rescivit, illum interrogaret cur se domum suam non receperit neque ad uxorem post longum adeo tempus, ut natura fert omnium hominum quum peregre reversi sint, haud æquum esse respondebat ut, quum sui commilitones et imperator humi dormirent in castris soloque hostili, ipse cum uxore semet recrearet deliciasque agitaret. Hæc locuto Davides præcepit ut illic maneret etiam eo die, sese vero postridie eum dimissurum esse ad imperatorem. Urias deinde a rege ad cœnam invitatus et usque ad ebrietatem potus, rege ipsum de industria crebris poculis excipiente, nihilominus tum quoque pro regis foribus obdormivit, nullo uxoris desiderio captus. Hanc rem rex ægerrime ferens Joabo per literas in mandatis dedit ut in Uriam pœna animadverteret, (ipsum enim peccasse significabat,) et modum quo puniretur, ne palam fieret quod ipse hoc voluerit, suggerebat. Jussit enim ut hostibus, qua maxime urgerent, illum objiceret, et ubi certissimum pugnando discrimen adiret, solus a ceteris destitutus : nam præcepit ut socii loco cederent quum primum commissum esset prælium. His ita scriptis et proprio sigillo obsignatis, epistolam Uriæ dedit ad Joabum perferendam. Joabus autem quum literas accepisset regisque voluntatem intellexisset, in eo loco Uriam statuit, ubi sciebat hostes sibi maxime infensos esse, adjunctis illi quibusdam e militibus fortissimis : atque se cum toto exercitu opem laturum dicebat, si parte aliqua muri eversa in urbem penetrare possint. Ipsum vero, quum esset miles strenuus, magnæque quum apud regem tum tribules suos omnes existimationis ob fortitudinem, monebat ut magnis laboribus gauderet, nec ægre ferret *mandata*. Uria autem alacriter opus suscipiente, commilitonibus ejus clam significavit ut,

ἐξορμήσοντας ἰδωσι τοὺς πολεμίους, ἐδήλωσεν. Προσβαλόντων δ' οὖν τῇ πόλει τῶν Ἑβραίων, δείσαντες οἱ Ἀμμανῖται μὴ κατ' ἐκεῖνον τὸν τόπον, καθ' ὃν Οὐρίαν συνέβαινε τετάχθαι, φθάσαντες ἀναβῶσιν οἱ πολέμιοι, προστησάμενοι τοὺς ἀνδρειοτάτους αὐτῶν καὶ τὴν πύλην ἀνοίξαντες αἰφνιδίως, μετὰ ῥύμης καὶ δρόμου πολλοῦ τοῖς ἐχθροῖς ἐπεξῆλθον. Ἰδόντες δ' αὐτοὺς οἱ σὺν τῷ Οὐρίᾳ πάντες ἀνεχώρησαν ὀπίσω, καθὼς Ἰώαβος αὐτοῖς προεῖπεν. Αἰσχυνθεὶς δ' Οὐρίας φυγεῖν καὶ τὴν τάξιν καταλιπεῖν ὑπέμεινε τοὺς πολεμίους, καὶ τὴν ὁρμὴν αὐτῶν ἐκδεξάμενος ἀναιρεῖ μὲν οὐκ ὀλίγους, κυκλωθεὶς δὲ καὶ ληφθεὶς ἐν μέσῳ τελευτᾷ· σὺν δ' αὐτῷ τινες καὶ ἄλλοι συγκατέπεσον τῶν ἑταίρων.

β'. Τούτων οὕτω γενομένων, ἔπεμψεν ἀγγέλους Ἰώαβος πρὸς τὸν βασιλέα, λέγειν ἐντειλάμενος αὐτοῖς ὡς σπουδάσαι μὲν ταχέως ἑλεῖν τὴν πόλιν, προσβαλὼν δὲ τῷ τείχει καὶ πολλοὺς ἀπολέσας ἀναχωρῆσαι βιασθείη· προστεθῆναι δὲ τούτοις, ἂν ὀργιζόμενον ἐπ' αὐτοῖς βλέπωσι, καὶ τὸν Οὐρίᾳ θάνατον. Τοῦ δὲ βασιλέως ἀκούσαντος ταῦτα παρὰ τῶν ἀγγέλων καὶ δυσφοροῦντος φάσκοντος ἁμαρτεῖν αὐτοὺς τῷ τείχει προσβαλόντας, δέον ὑπονόμοις καὶ μηχανήμασιν ἑλεῖν πειρᾶσθαι τὴν πόλιν, καὶ ταῦτ' ἔχοντας παράδειγμα τὸν Γεδεῶνος υἱὸν Ἀβιμέλεχον, ὃς ἐπεὶ τὸν ἐν Θήβαις πύργον ἑλεῖν ἐβούλετο βίᾳ, βληθεὶς ὑπὸ πρεσβύτιδος πέτρῳ κατέπεσε, καὶ ἀνδρειότατος ὢν διὰ τὸ δυσχερὲς τῆς ἐπιβολῆς αἰσχρῶς ἀπέθανεν· οὗ μνημονεύοντας ἔδει μὴ προσιέναι τῷ τείχει τῶν πολεμίων. Ἄριστον γὰρ ἁπάντων τῶν ἐν πολέμῳ πραχθέντων καὶ καλῶς καὶ ὡς ἑτέρως ἐν τοῖς αὐτοῖς κινδύνοις μνήμην ἔχειν, ὡς τὰ μὲν μιμεῖσθαι, τὰ δὲ φυλάττεσθαι. Ἐπεὶ δ' οὕτως ἔχοντα ἔγνω καὶ τὸν Οὐρίᾳ θάνατον ἐδήλωσεν ὁ ἄγγελος, παύεται μὲν τῆς ὀργῆς, Ἰωάβῳ δ' ἐκέλευσεν ἀπελθόντα λέγειν ἀνθρώπινον εἶναι τὸ συμβεβηκὸς, καὶ τὰ τοῦ πολέμου φύσιν ἔχειν τοιαύτην, ὥστε ποτὲ μὲν τοῖς ἐναντίοις εὖ πράττειν συμβαίνειν κατ' αὐτὸν, ποτὲ δὲ τοῖς ἑτέροις, τοῦ λοιποῦ μέντοι γε προνοεῖν τῆς πολιορκίας, ὅπως μηδὲν ἔτι πταίσωσι κατ' αὐτὴν, ἀλλὰ χώμασι καὶ μηχαναῖς ἐκπολιορκήσαντας καὶ παραστησαμένους τὴν μὲν πόλιν κατασκάψαι, πάντας δ' ἀπολέσαι τοὺς ἐν αὐτῇ. Καὶ ὁ μὲν ἄγγελος τὰ ὑπὸ τοῦ βασιλέως ἐντεταλμένα κομίζων πρὸς Ἰώαβον ἠπείγετο· ἡ δὲ τοῦ Οὐρίᾳ γυνὴ Βεερσαβὴ τὸν θάνατον τἀνδρὸς πυθομένη ἐπὶ συχνὰς αὐτὸν ἡμέρας ἐπένθησε· παυσαμένης δὲ τῆς λύπης καὶ τῶν ἐπ' Οὐρίᾳ δακρύων, ὁ βασιλεὺς εὐθὺς ἄγεται γυναῖκα, καὶ παῖς ἄρρην ἐξ αὐτῆς αὐτῷ γίνεται.

γ'. Τοῦτον οὐχ ἡδέως ἐπεῖδεν ὁ Θεὸς τὸν γάμον, ἀλλὰ δι' ὀργῆς ἔχων τὸν Δαυίδην, τῷ προφήτῃ Ναθάνᾳ φανεὶς κατὰ τοὺς ὕπνους ἐμέμψετο τὸν βασιλέα. Ὁ δὲ Ναθάνας, ἀστεῖος ὢν καὶ συνετὸς ἀνὴρ, λογισάμενος ὡς οἱ βασιλεῖς, ὅταν εἰς ὀργὴν ἐμπέσωσι, ταύτῃ πλέον ἢ τῷ δικαίῳ νέμουσι, τὰς μὲν παρὰ τοῦ Θεοῦ γεγενημένας ἀπειλὰς ἡσυχάσειν ἔκρινεν, ἄλλους δὲ

quum hostes erupturos viderent, desertum relinquerent. Itaque quum Hebræi urbem aggressi essent, veriti Ammanitæ ne in illo loco ubi Urias forte constitutus erat, propere ascenderent hostes, in prima acie fortissimis collocatis portaque subito reclusa, cum impetu magnoque cursu in eos eruptionem fecerunt. Illos autem ubi conspexerunt Uriæ milites, omnes sese subduxerunt, prout illis ante dixerat Joabus. At quum puderet Uriam tergum dare et aciem deserere, hostes sustinuit, et impetum eorum excipiens non paucos quidem perimit, verum circumdatus et captus in medio mortem occumbit; cum eo autem et alii nonnulli e sociis cadebant.

2. His ita gestis nuncios Joabus misit ad regem jussos ut dicerent quod operam quidem dederit ut urbem celeriter caperet, sed oppugnatione mœnia adortus, aliquammultis amissis recedere compulsus fuerit, istis vero, si propter ea ira correptum videant, mortem Uriæ adjicerent. Hæc autem rex quum a nunciis accepisset et ægre tulisset, dixissetque quod male fecerint mœnia cominus oppugnando, quum oportuerit cuniculis et machinis ad urbem capiendam aggredi, idque exemplum illis suppeditante Abimelecho Gedeonis filio, qui dum Thebis turrim vi capere vellet, ab anicula saxo percussus cecidit, et, quum vir esset fortissimus, propter incepti difficultatem cum dedecore vitam amittebat : cujus rei memores non debuissetis ad muros hostiles accedere. Optimum enim res omnes bello gestas, seu bene seu male, quum simile periculum inciderit, in memoriam revocare, unde quod imitetur, quodve vitet quisque sibi capiat. Postquam vero ita affectum esse regem cognoverat et *hinc* mortem Uriæ declaraverat nuncius, rex ab ira desistit et præcepit nuncio, ut abiret et Joabo diceret, humanum esse quod accidisset, eamque esse belli naturam, ut in eo quidem inimicis aliquando res prospere cedere contingat, aliquando vero alteris, debere tamen ipsum in posterum eam in obsidione curam adhibere, ut denuo dum res geratur nullatenus offendant, sed quum aggeribus et machinis urbem expugnarint et in potestatem suam redegerint, ipsam quidem funditus evertant, ejus vero incolas omnes conficiant perimantque. Et nuncius quidem cum hisce regis mandatis ad Joabum se propere recipiebat, uxor vero Uriæ Beersabe, postquam intellexit mortuum esse maritum, per aliquot dies eum deflevit et lamentata est. Quum autem a luctu et lacrimis pro Uria effusis desiisset, mox eam rex conjugem sibi ascivit, et ex ea filium sustulit.

3. Has nuptias Deus haud libenter aspexit, sed Davidi offensus, et prophetæ Nathanæ in somnis oblatus, regem accusabat. Nathanas autem, quum vir esset comis ac prudens, secum reputans ut reges, si quando irascantur, iram præ justitia sequi soleant, Dei quidem comminationes silentio premere statuebat, alios vero utiles apud ipsum

λόγους χρηστοὺς πρὸς αὐτὸν διεξῆλθε, καὶ δὴ τοιοῦτόν τινα τρόπον, περὶ οὗ καὶ τί φρονεῖ ποιῆσαι σαφὲς αὐτῷ παρεκάλει. « Δύο γάρ, ἔφησεν, » ἄνδρες τὴν αὐτὴν κα- « τῴκουν πόλιν, ὧν ὁ μὲν πλούσιος ἦν καὶ πολλὰς εἶχεν « ἀγέλας ὑποζυγίων τε καὶ θρεμμάτων καὶ βοῶν, τῷ « πένητι δ' ἀμνὰς μία ὑπῆρχε. Ταύτην μετὰ τῶν « τέκνων αὐτὸς ἀνέτρεφε, συνδιαιρούμενος αὐτῇ τὰ « σιτία, καὶ φιλοστοργίᾳ πρὸς αὐτὴν χρώμενος ἥ τις « ἂν χρήσαιτο καὶ πρὸς θυγατέρα. Ξένου δ' ἐπελ- « θόντος τῷ πλουσίῳ, τῶν μὲν ἰδίων οὐδὲν ἐκεῖνος βο- « σκημάτων ἠξίωσε καταθύσας εὐωχῆσαι τὸν φίλον, « πέμψας δὲ τὴν ἀμνάδα τοῦ πένητος ἀπέσπασε, καὶ « ταύτην παρασκευάσας εἱστίασε τὸν ξένον. » Σφόδρα δ' ἐλύπησεν ὁ λόγος οὗτος τὸν βασιλέα, καὶ πονηρὸν πρὸς τὸν Ναθάναν τὸν ἄνθρωπον ἐκεῖνον, ὅς γε τοῦτο τὸ ἔργον ἐτόλμησεν, ἀπεφήνατο, καὶ τετραπλῆν τε ἀποτῖσαι τὴν ἀμνάδα δίκαιον εἶναι καὶ πρὸς τούτῳ θανάτῳ κολασθῆναι. Ναθάνας δ' ὑποτυχὼν αὐτὸν ἔλεγεν ἐκεῖνον εἶναι τὸν ἄξιον ταῦτα παθεῖν, ὑφ' αὑτοῦ κεκριμένον τολμήσαντα μέγα καὶ δεινὸν ἔργον. Ἀνεκάλυπτε δ' αὐτῷ καὶ παρεγύμνου τὴν ὀργὴν τοῦ Θεοῦ, ποιήσαντος μὲν αὐτὸν βασιλέα τῆς Ἑβραίων δυνάμεως καὶ τῶν ἐν κύκλῳ πάντων ἐθνῶν πολλῶν καὶ μεγάλων κύριον, ῥυσαμένου δ' ἔτι πρὸ τούτων ἐκ τῶν Σαούλου χειρῶν, δόντος δ' αὐτῷ καὶ γυναῖκας ἃς δικαίως καὶ νομίμως ἠγάγετο, καταφρονηθέντος δ' ὑπ' αὐτοῦ καὶ ἀσεβηθέντος, ὃς ἀλλοτρίαν τε γήμας ἔχοι γυναῖκα καὶ τὸν ἄνδρα αὐτῆς ἀποκτείνειεν ἐκδοὺς τοῖς πολεμίοις. Δώσειν οὖν αὐτὸν ἀντὶ τούτων δίκας τῷ Θεῷ, καὶ βιασθήσεσθαι μὲν αὐτοῦ τὰς γυναῖκας ὑφ' ἑνὸς τῶν παίδων, ἐπιβουλευθήσεσθαι δὲ καὶ αὐτὸν ὑπ' ἐκείνου, καὶ τὸν ἁμάρτημα κρύφα τοῦτο ὁράσαντα φανερὰν τὴν ἐπ' αὐτῷ δίκην ὑφέξειν. Τεθνήξεσθαι δὲ καὶ τὸν παιδά σοι παραχρῆμα τὸν ἐξ αὐτῆς γεγεννημένον. Ταραχθέντος δ' ἐπὶ τούτοις τοῦ βασιλέως καὶ συγχυθέντος ἱκανῶς καὶ μετὰ δακρύων καὶ λύπης ἀσεβῆσαι λέγοντος, (ἦν γὰρ ὁμολογουμένως θεοσεβὴς καὶ μηδὲν ἁμαρτὼν ὅλως περὶ τὸν βίον ἢ τὰ περὶ τὴν Οὐρία γυναῖκα,) ᾤκτειρεν ὁ Θεὸς, καὶ διαλλάττεται, φυλάξειν αὐτῷ καὶ τὴν ζωὴν καὶ τὴν βασιλείαν ἐπαγγειλάμενος· μετανοοῦντι γὰρ περὶ γεγενημένων οὐκ ἔτι χαλεπῶς ἔχειν ἔφασκε. Καὶ Ναθάνας μὲν ταῦτα τῷ βασιλεῖ προφητεύσας οἴκαδ' ἐπανῆλθε.

δ'. Τῷ δ' ἐκ τῆς Οὐρία γυναικὸς γενομένῳ παιδὶ Δαυὶδῃ νόσον ἐνσκήπτει χαλεπὴν τὸ θεῖον· ἐφ' ᾗ δυσφορῶν ὁ βασιλεὺς τροφὴν μὲν ἐπὶ ἡμέρας ἑπτὰ, καίτοι γε ἀναγκαζόντων τῶν οἰκείων, οὐ προσηνέγκατο, μέλαιναν δὲ περιθέμενος ἐσθῆτα πεσὼν ἐπὶ σάκκου κατὰ γῆς ἔκειτο, τὸν Θεὸν ὑπὲρ τῆς τοῦ παιδὸς ἱκετεύων σωτηρίας· σφόδρα γὰρ ἔστεργεν αὐτοῦ τὴν μητέρα. Τῇ δ' ἑβδόμῃ τῶν ἡμερῶν τελευτήσαντος τοῦ παιδὸς, οὐκ ἐτόλμων τῷ βασιλεῖ τοῦτο μηνύειν οἱ θεράποντες, λογιζόμενοι μὴ γνοὺς ἔτι μᾶλλον ἀπόσχηται καὶ τροφῆς καὶ τῆς ἄλλης ἐπιμελείας, ὡς ἂν ἐπὶ πένθει τέκνου τε-

sermones habebat, idque tali quodam modo, de quo suam sententiam ut ipsi aperiret obsecrabat. « Duo, inquit, « viri eandem urbem incolebant, quorum alter quidem « opulentus erat et multos jumentorum greges oviumque « et boum possidebat, alter vero pauperculus unam « omnino habebat oviculam. Hanc simul cum liberis enu- « triebat suis, cibos cum ea partiens et eo ipsam affectu pro- « sequens quo quis etiam filiam prosequeretur. Quum autem « hospes diviti supervenisset, ille de suis pecoribus ne « unum quidem, ut amicum epulis adhiberet, mactare vo- « luit, sed, missis qui pauperis oviculam abriperent, quum « eam parasset, hospitem convivio excepit. » Sermo autem iste vehementer regem contristavit, hominemque qui hoc facinus patravit coram Nathana scelestum pronunciavit, justumque esse ut oviculam quadruplo pensaret, prætereaque morte mulctaretur. Tum Nathanas in hæc verba subjiciebat, ipsum esse illum hac animadversione dignum, suopte judicio damnatum ut qui ausus fuerit magnum adeo et atrox flagitium committere. Porro ante oculos posuit et patefecit iram Dei, qui ipsum quidem cunctorum Hebræorum regem constituerit, et omnium in circuitu gentium multarum magnarumque dominum, insuper autem e Sauli manibus olim liberaverit, dederitque ei conjuges quas juste et legitime duxerit, nihilominus tamen ab ipso spretus fuerit et male habitus, qui alienam uxorem matrimonio sibi junxerit, ejusque maritum hostibus proditum interimendum esse curaverit. Ipsum itaque pro istis Deo pœnas daturum, foreque ut suæ quidem uxores ab uno e filiis stuprum patiantur, ipse vero etiam ab eodem insidiis appetatur, et qui occulte hoc peccatum admiserit, pœnas pro eo luce palam subeat. Quin et erit ut puer tibi ex ea natus sine mora intereat. Quum autem hisce rex perturbatus esset et valde confusus, et cum lacrimis et mœrore se in Deum peccasse fateretur, (erat enim proculdubio vir pius, vitæque plane integer et sceleris purus, nisi quod forte in re Uriæ uxoris deliquerit,) ejus misertus est Deus, et cum eo in gratiam rediit, et regnum et vitam ei se servaturum est pollicitus. Quum enim ob ea quæ facta erant pœnitentiam agat, se non amplius ipsi succensere *Deus* dicebat. Et Nathanas quidem, postquam ista regi futura aperuerat, domum revertebatur.

4. Puerum autem, quem Uriæ conjux Davidi pepererat, Deus gravi morbo affecit. Quam rem Davides ægre ferens, cibum quidem per septem dies, vehementer licet instarent domestici, non degustabat, sed atra veste indutus et in saccum procumbens humi jacebat, Deo supplicans pro pueri salute : nam magno matris ejus amore flagrabat. Quum autem septimo die puer obiisset, hoc servi regis ei nunciare verebantur, quod conjicerent fore ut re cognita multo magis a cibo reliquaque cura corporis abstineret, ut in luctu ob defunctum filium, quum eo ægrotante adeo sese

τελευτηκότος, ὁπότε καὶ νοσοῦτος οὕτως ὑπὸ τῆς λύπης αὐτὸν ἐκάκου. Ταραττομένων δ' αἰσθόμενος τῶν οἰκετῶν ὁ βασιλεὺς καὶ ταῦτα πασχόντων ἃ μάλιστα συγχρύψαι τι θέλουσι συμβαίνει, συνεὶς ὅτι τέθνηκεν ὁ παῖς, προσφωνήσας ἕνα τῶν οἰκετῶν καὶ μαθὼν τἀληθὲς ἀνίσταται, καὶ λουσάμενος καὶ λαβὼν ἐσθῆτα λευκὴν εἰς τὴν σκηνὴν τοῦ Θεοῦ παραγίνεται· καὶ κελεύσας δεῖπνον αὐτῷ παρατεθῆναι, πολλὴν ἐπὶ τῷ παραλόγῳ τοῖς τε συγγενέσι καὶ τοῖς οἰκέταις ἔκπληξιν παρέσχεν, ὅτι μηδὲν τούτων ἐπὶ νοσοῦντι τῷ παιδὶ ποιήσας, πάνθ' ὁμοῦ τετελευτηκότος ἔπραττε. Τήν τε αἰτίαν δεηθέντες ἐπιτρέψαι πρῶτον αὐτοῖς πυθέσθαι παρεκάλουν εἰπεῖν τῶν γεγενημένων. Ὁ δὲ ἀμαθεῖς εἰπὼν αὐτοὺς, ἐδίδασκεν ὡς ἔτι μὲν ζῶντος τοῦ παιδὸς ἔχων ἐλπίδα σωτηρίας αὐτοῦ δεόντως πάντ' ἐποίει, τὸν Θεὸν ἡγούμενος τούτοις εὐμενῆ καταστήσειν· ἀποθανόντος δ' οὐκέτι χρείαν εἶναι λύπης ματαίας. Ταῦτ' εἰπόντος, ἐπῄνεσαν τὴν σοφίαν καὶ τὴν διάνοιαν τοῦ βασιλέως. Συνελθὼν δὲ τῇ γυναικὶ Βεερσαβῇ ἔγκυον αὐτὴν ἐποίησε, καὶ γενόμενον ἄρρεν παιδίον Σολομῶνα προσηγόρευσεν, οὕτω Ναθάνα τοῦ προφήτου κελεύσαντος.

ε'. Ἰώαβος δὲ τῇ πολιορκίᾳ τοὺς Ἀμμανίτας ἰσχυρῶς ἐκάκου, τῶν τε ὑδάτων αὐτοὺς ἀποτεμνόμενος καὶ τῆς τῶν ἄλλων εὐπορίας, ὡς πάνυ ταλαιπωρεῖν ἐνδείᾳ ποτοῦ καὶ τροφῆς. Ἐξ ὀλίγου γὰρ φρέατος ἠρύτοντο καὶ τούτου τεταμιευμένου, ὡς μὴ τελέως αὐτοὺς ἐπιλιπεῖν τὴν πηγὴν δαψιλέστερον χρωμένους. Γράφει δὲ τῷ βασιλεῖ ταῦτα δηλῶν καὶ παρακαλῶν αὐτὸν ἐπὶ τὴν αἵρεσιν τῆς πόλεως ἐλθεῖν, ἵνα τὴν νίκην αὐτὸς ἐπιγραφείη. Ταῦτ' Ἰωάβου γράψαντος, ἀποδεξάμενος αὐτὸν τῆς εὐνοίας καὶ τῆς πίστεως ὁ βασιλεὺς, παραλαβὼν τὴν σὺν αὐτῷ δύναμιν, ἦκεν ἐπὶ τὴν Ῥαβαθᾶς πόρθησιν, καὶ κατὰ κράτος ἑλὼν διαρπάσαι τοῖς στρατιώταις ἐφῆκεν. Αὐτὸς δὲ τὸν τοῦ βασιλέως τῶν Ἀμμανιτῶν λαμβάνει στέφανον, ἑλκοντα χρυσοῦ τάλαντον, καὶ πολυτελῆ λίθον ἔχοντα ἐν μέσῳ σαρδόνυχα. Ἐφόρει δ' αὐτὸν ἐπὶ τῆς κεφαλῆς διὰ παντὸς Δαυίδης. Πολλὰ δὲ καὶ ἄλλα σκῦλα λαμπρὰ καὶ πολύτιμα ηὗρεν ἐν τῇ πόλει, τοὺς δ' ἄνδρας αἰκισάμενος διέφθειρε. Ταὐτὰ δὲ καὶ τὰς ἄλλας τῶν Ἀμμανιτῶν πόλεις διέθηκεν, ἑλὼν αὐτὰς κατὰ κράτος.

ΚΕΦ. Η'.

Ἀναστρέψαντος δ' εἰς Ἱεροσόλυμα τοῦ βασιλέως, πταῖσμα αὐτοῦ τὴν οἰκίαν ἐξ αἰτίας τοιαύτης καταλαμβάνει. Θυγάτηρ ἦν αὐτῷ παρθένος μὲν ἔτι, τὸ δὲ κάλλος εὐπρεπὴς, ὡς ἁπάσας ὑπερβάλλειν τὰς εὐμορφοτάτας γυναῖκας, Θαμάρα ὄνομα, τῆς δ' αὐτῆς Ἀβεσαλώμῳ μητρὸς κεκοινωνηκυῖα. Ταύτης ὁ πρεσβύτερος τῶν Δαυίδου παίδων Ἀμνὼν ἐρασθεὶς, ὡς οὔτε διὰ τὴν παρθενίαν αὐτῆς οὔτε διὰ τὴν φυλακὴν τυχεῖν τῆς ἐπιθυμίας ἐδύνατο, χαλεπῶς διέκειτο, καὶ τό τε σῶμα τῆς ὀδύνης αὐτὸν κατεσθιούσης κατισχναίμœrore afflictaverit. Tum rex domesticos suos perturbatos sentiens, similiterque affectos atque illi qui maximopere aliquid celare expetunt, intellecto puerum esse mortuum, quum unum e domesticis compellasset et veritatem comperisset, surrexit, lotusque et veste candida sumpta ad Dei tabernaculum contendit : deinde præcipiens ut cœna sibi apponeretur, ex novo et inopinato consilio magnam et cognatis et domesticis admirationem movebat, quod quum nihil horum ægrotante puero fecisset, post ejus obitum omnia simul faceret. Ipsumque, præfatione adhibita ut percontari liceret, dicere obsecrabant quid causæ fuerit quod ita fecerit. Ille vero eos, quum rerum imperitos esse pronunciasset, hoc docebat, se adhuc quidem vivente puero, dum spem salutis ejus haberet, omnia pro re nata præstitisse, existimans hisce forsan placari posse Deum : illo autem mortuo inani mœrore non amplius opus esse. Hisce dictis, sapientiam regis et prudentiam prædicarunt. Cum uxore autem Beersabe congressus, ipsam gravidam fecit, infantemque masculum natum, Nathanæ prophetæ monitu, Solomonem appellavit.

5. Interea Joabus obsidione Ammanitas valde affligebat, et aqua illis præcisa et ceterarum rerum copia, ita ut potus simul et victus inopia in universum laborarent. Ex puteo enim exiguo hauriebant aquam eamque admensam, ne largius utentes fons plane deficeret. Hæc Joabus per literas regi significat, eumque obsecrat ut ad urbem capiendam properaret, quo ipsi victoria adscriberetur. Rex quum benevolentiam ejus fidemque collaudasset, assumptis quæ ipsi aderant copiis, ad Rabathæ expugnationem venit, eamque *mox* vi captam militi diripiendam permisit. Ipse vero regis Ammanitarum coronam sibi vindicat, auri talentum pendentem, et sardonychem magni pretii lapidem in medio habentem. Atque illam Davides perpetuo in capite gestabat. Quin et multa alia spolia splendida et pretiosa in urbe reperiebat, viros autem excruciatos occidebat. Nec mitius tractavit etiam alias Ammanitarum urbes, quas vi expugnaverat.

CAP. VIII. (VII.)

Rege autem Hierosolyma reverso, calamitas in domum ejus invasit ex hujusmodi causa. Filiam habebat adhuc virginem, tanta vero formæ venustate ut speciosissimas quasque mulieres pulcritudine vinceret, Thamaram nomine, et ex eadem qua Abesalomus matre *editam*. Hujus amore correptus Amnon, filiorum Davidis natu major, cum ea, tam quod virgo esset quam quod custodiretur, potiri non posset, male se habebat, ut et corpus dolore illum depascente macresceret et colorem immutaret. Ac Jona-

νετο καὶ τὴν χρόαν μετέβαλλεν. Δῆλος δὲ ταῦτα πάσχων γίνεται Ἰωνάθῃ τινὶ, συγγενεῖ καὶ φίλῳ· συνετὸς δ' ἦν οὗτος ἐν τοῖς μάλιστα καὶ τὴν διάνοιαν ὀξύς. Ὁρῶν οὖν καθ' ἑκάστην πρωΐαν τὸν Ἀμνῶνα μὴ κατὰ φύσιν ἔχοντα τῷ σώματι, προσελθὼν ἠρώτα φράσαι τὴν αἰτίαν αὐτῷ. Εἰκάζειν μέντοι γε αὐτὸς ἔλεγεν ἐξ ἐρωτικῆς οὕτως ἔχειν αὐτὸν ἐπιθυμίας. Τοῦ δὲ Ἀμνῶνος ὁμολογήσαντος τὸ πάθος, ὅτι τῆς ἀδελφῆς ἐρᾷ τυγχανούσης ὁμοπατρίας, ὁδὸν αὐτῷ καὶ μηχανὴν εἰς τὸ περιγενέσθαι τῶν εὐκταίων ὑπέθετο. Νόσον γὰρ ὑποκρίνασθαι παρήνεσεν· ἐλθόντα δὲ πρὸς αὐτὸν τὸν πατέρα πέμψαι τὴν ἀδελφὴν αὐτῷ διακονησομένην ἐκέλευσε παρακαλέσαι· βράω γὰρ ἔσεσθαι καὶ ταχέως ἀπαλλαγήσεσθαι τῆς νόσου, τούτου γινομένου. Καταπεσὼν οὖν ὁ Ἀμνὼν ἐπὶ τὴν κλίνην νοσεῖν προσεποιεῖτο κατὰ τὰς Ἰωνάθου ὑποθήκας. Παραγενομένου δὲ τοῦ πατρὸς καὶ σκεπτομένου πῶς ἔχοι, τὴν ἀδελφὴν ἐδεῖτο πέμψαι πρὸς αὐτόν· ὁ δ' εὐθὺς ἐκέλευσεν ἀχθῆναι. Ἠκούσῃ δὲ προσέταξεν ἄρτους αὐτῷ ποιῆσαι τηγανιστοὺς αὐτουργῷ γενομένῃ· προσοίσεσθαι γὰρ ἥδιον ἐκ τῶν ἐκείνης χειρῶν. Ἡ δ' ἐμβλέποντος τἀδελφοῦ φυράσασα τὸ ἄλευρον καὶ πλάσασα κολλυρίδας καὶ τηγανίσασα προσήνεγκεν αὐτῷ. Ὁ δὲ τότε μὲν οὐκ ἐγεύσατο, προσέταξε δὲ τοῖς οἰκέταις παραιτήσασθαι πάντας πρὸ τοῦ δωματίου· βούλεσθαι γὰρ ἀναπαύσασθαι θορύβου καὶ ταραχῆς ἀπηλλαγμένος. Ὡς δὲ τὸ κελευσθὲν ἐγένετο, τὴν ἀδελφὴν ἠξίωσεν εἰς τὸν ἐνδοτέρω οἶκον τὸ δεῖπνον αὐτῷ παρενεγκεῖν. Ποιησάσης δὲ τοῦτο τῆς κόρης, λαβόμενος αὐτῆς συνελθεῖν αὐτῷ πείθειν ἐπειρᾶτο. Ἀνακραγοῦσα δὲ ἡ παῖς, « ἀλλὰ μὴ σύ γε τοῦτο βιάσῃ με, μηδὲ ἀσεβήσῃς, εἶπεν, ἀδελφὲ, τοὺς νόμους παραβὰς καὶ δεινῇ περιβαλὼν σαυτὸν αἰσχύνῃ· παῦσαι δ' οὕτως ἀδίκου καὶ μιαρᾶς ἐπιθυμίας, ἐξ ἧς ὀνείδη καὶ κακοδοξίαν ὁ οἶκος ἡμῶν κερδανεῖ. » Συνεβούλευέ τε περὶ τούτου διαλεχθῆναι τῷ πατρί· συγχωρήσειν γὰρ ἐκεῖνον. Ταῦτα δ' ἔλεγε βουλομένη τὴν ὁρμὴν αὐτοῦ τῆς ὀρέξεως πρὸς τὸ παρὸν διαφυγεῖν. Ὁ δ' οὐ πείθεται, τῷ δ' ἔρωτι καιόμενος καὶ τοῖς τοῦ πάθους κέντροις μυωπιζόμενος βιάζεται τὴν ἀδελφήν. Μῖσος δ' εὐθέως μετὰ τὴν κορείαν εἰσέρχεται τὸν Ἀμνῶνα, καὶ προσλοιδορησάμενος ἐκέλευσεν ἀναστᾶσαν ἀπιέναι. Τῆς δὲ χείρω τὴν ὕβριν καὶ διὰ τοῦτο ἀποκαλούσης εἰ βιασάμενος αὐτὸς μηδ' ἄχρι νυκτὸς ἐπιτρέποι μεῖναι, παραχρῆμα δὲ ἀπαλλάττεσθαι κελεύσειεν ἡμέρᾳ καὶ φωτί, ἵνα καὶ μάρτυσι τῆς αἰσχύνης περιπέσοι, προσέταξεν αὐτὴν ἐκβαλεῖν τῷ οἰκέτῃ. Ἡ δὲ περιαλγὴς ἐπὶ τῇ ὕβρει καὶ τῇ βίᾳ γενομένῃ περιρρήξασα τὸν χιτωνίσκον (ἐφόρουν γὰρ αἱ τῶν ἀρχαίων παρθένοι χειριδωτοὺς ἄχρι τῶν σφυρῶν πρὸς τὸ μὴ βλέπεσθαι χιτῶνας) καὶ σποδὸν καταχεαμένη τῆς κεφαλῆς, ἀπῄει διὰ τῆς πόλεως μέσης βοῶσα καὶ ὀδυρομένη τὴν βίαν. Περιτυχὼν δ' αὐτῇ ὁ ἀδελφὸς Ἀβεσάλωμος, ἀνέκρινε τίνος αὐτῇ δεινοῦ συμβάντος οὕτως ἔχει. Κατειπούσης δ' αὐτῆς πρὸς αὐτὸν

thas quidam, cognatus ejus et amicus, animadvertit quod hæc patereturr : ille autem præclaræ erat sapientiæ et acris ingenii. Quolibet itaque mane observans Amnonem non adeo ut natura fert corpore valere, accessit illum rogans ut causam sibi indicaret. Se tamen conjicere dicebat hæc ei accidere ex amoris affectu. Postquam autem id ita esse Amnon declaraverat, quod sororem deamaret ex eodem secum patre, viam ipsi et commentum proposuit quo ad optata perveniret. Suasit enim ut ægritudinem simularet : quum vero pater ad eum veniret, jussit obsecrare ut sororem ad se mitteret quæ sibi ministraret; fore enim ut hoc facto melius se haberet et citius morbo liberaretur. Lecto igitur decubuit Amnon, morbo simulato, prout ei Jonathas suggesserat. Patre autem illum invisente et de valetudine percontante, petiit sororem ad se mitti. Isque e vestigio jussit adduci. Illa autem veniente præcepit ut ipsa operam præstans placentas faceret : libentius enim ex illius manibus comesurum. Quum vero in conspectu fratris farinam subegisset et collyridas formasset et coxisset, ipsi obtulit. At ille tunc non degustavit, sed famulis mandavit ut quotquot essent pro foribus cubiculi summoverent; velle enim quiescere turba et tumultu liberatus. Et postquam imperata fecerant, petiit a sorore ut sibi in conclave edulium afferret. Quum autem ei hac in re obsecuta esset puella, eam prehendens suadere laborabat ut sui copiam faceret. Puella vero, sublato clamore, dicebat, « at tu noli, frater, mihi vim inferre, noli flagitium committere, id agendo ut leges transgrediaris et magno temet pudore circumfundas. Omitte iniquam adeo fœdamque cupiditatem explere, ex qua opprobrium et infamia in familiam nostram redundabunt. » Eique consilium dedit ut hac de re cum patre colloqueretur : illum enim concessurum esse. Hæc autem dicebat volens impetum ejus cupiditatis in præsentia vitare. Ille vero noluit ei obsequi, sed amore ardens et œstro libidinis agitatus sorori vim intulit. At Amnoni, ut eam constupraverat, statim odio esse cœpit, atque conviciis aggressus jussit ut surgeret et discederet. Quum vero injuriam etiam eo graviorem esse clamaret, si ipse, qui stuprum obtulerat, non usque ad noctem manere permitteret, sed e vestigio inde die luceque facessere juberet, ut in turpitudinis suæ testes incideret, mandavit famulo ut eam foras ejiceret. Illa vero ob injuriam et vim gravi dolore percita, quum tuniculam lacerasset (virgines enim tunicas antiquitus ferebant manuleatas et ad talos usque demissas, ne facile conspicerentur) et caput pulvere conspersisset, per mediam urbem abibat, vociferans et vim sibi illatam deplorans. Frater autem Abesalomus ei forte obviam factus sciscitatus est quidnam mali acciderit ut ita se haberet. Quumque illa injuriam quæ passa erat ei narrasset, solatus eam hortaba-

τὴν ὕβριν, ἡσυχάζειν καὶ μετρίως φέρειν παρηγόρει καὶ μὴ νομίζειν ὑβρίσθαι φθαρεῖσαν ὑπ' ἀδελφοῦ. Ἡ δὲ πεισθεῖσα παύεται τῆς βοῆς καὶ τοῦ πρὸς πολλοὺς τὴν βίαν ἐκφέρειν, καὶ πολὺν χρόνον χηρεύουσα παρ' Ἀβεσαλώμῳ τῷ ἀδελφῷ διεκαρτέρησε.

β'. Γνοὺς δὲ τοῦθ' ὁ πατὴρ Δαυίδης τοῖς μὲν πεπραγμένοις ἤχθετο, φιλῶν δὲ τὸν Ἀμνῶνα σφόδρα, (πρεσβύτατος γὰρ ἦν υἱὸς αὐτῷ,) μὴ λυπεῖν αὐτὸν ἠναγκάζετο· ὁ δὲ Ἀβεσάλωμος ἐμίσει τε χαλεπῶς αὐτὸν καὶ λανθάνων καιρὸν εἰς ἄμυναν αὐτοῦ τῆς ἁμαρτίας ἐπιτήδειον παρεφύλασσεν. Ἔτος δ' ἤδη τοῖς περὶ τὴν ἀδελφὴν αὐτοῦ πταίσμασι διεληλύθει δεύτερον, καὶ μέλλων ἐπὶ τὴν τῶν ἰδίων κουρὰν ἐξιέναι θρεμμάτων εἰς Βελσεφῶν, (πόλις δ' ἔστιν αὕτη τῆς Ἐφραϊμίτιδος κληρουχίας,) παρεκάλει τὸν πατέρα σὺν καὶ τοῖς ἀδελφοῖς ἐλθεῖν πρὸς αὐτὸν ἐφ' ἑστίασιν. Παραιτησαμένου δ', ὡς ἂν μὴ βαρὺς αὐτῷ γένοιτο, τοὺς ἀδελφοὺς ἀποστεῖλαι παρεκάλεσε. Πέμψαντος δὲ, τοῖς ἰδίοις ἐκέλευσεν, ὁπηνίκα ἴδωσι τὸν Ἀμνῶνα μέθῃ παρειμένον καὶ κάρῳ, νεύσαντος αὐτοῦ φονεῦσαι μηδένα φοβηθέντας.

(Η'.) γ'. Ὡς δ' ἐποίησαν τὸ προσταχθέν, ἔκπληξις καὶ ταραχὴ τοὺς ἀδελφοὺς λαμβάνει, καὶ δείσαντες περὶ ἑαυτῶν ἐμπηδήσαντες τοῖς ἵπποις ἐφέροντο πρὸς τὸν πατέρα. Φθάσας δέ τις αὐτοὺς ἅπαντας ὑπὸ Ἀβεσαλώμου πεφονεῦσθαι τῷ πατρὶ προσήγγειλεν. Ὁ δ' ὡς ἐπὶ παισὶν ὁμοῦ τοσούτοις ἀπολωλόσι, καὶ τοῦθ' ὑπ' ἀδελφοῦ, τῆς λύπης κἀπὶ τῷ κτεῖναι δοκοῦντι γινομένης πικρότερον, συναρπαγεὶς ὑπὸ τοῦ πάθους οὔτε τὴν αἰτίαν ἀνέκρινεν οὔτ' ἄλλο τι μαθεῖν, οἷον εἰκὸς τηλικούτου προσηγγελμένου κακοῦ καὶ δι' ὑπερβολὴν ἀπιστίαν ἔχοντος, περιέμεινεν, ἀλλὰ καταρρηξάμενος τὴν ἐσθῆτα καὶ ῥίψας αὐτὸν ἐπὶ τὴν γῆν ἔκειτο πενθῶν τοὺς υἱοὺς ἅπαντας, καὶ τοὺς ἀποθανεῖν δεδηλωμένους καὶ τὸν ἀνῃρηκότα. Ὁ δὲ Σαμᾶς τοῦ ἀδελφοῦ αὐτοῦ παῖς Ἰωνάθης ἀνεῖναί τι τῆς λύπης παρεκάλει, καὶ περὶ μὲν τῶν ἄλλων μὴ πιστεύειν ὡς τεθνᾶσιν, (οὐδὲ γὰρ αἰτίαν εὑρίσκειν ὑπολαμβάνειν,) περὶ δ' Ἀμνῶνος ἐξετάζειν ἔφη δεῖν· εἰκὸς γὰρ διὰ τὴν Θαμάρας ὕβριν ἀποτολμῆσαι τὸν Ἀβεσάλωμον τὴν ἀναίρεσιν τὴν ἐκείνου. Μεταξὺ δὲ κτύπος ἵππων καὶ θόρυβος προσιόντων τινῶν αὐτοὺς ἐπέστρεψεν. Ἦσαν δ' οἱ τοῦ βασιλέως παῖδες οἱ διαδράντες ἀπὸ τῆς ἑστιάσεως. Ὑπαντᾷ δ' αὐτοῖς ὁ πατὴρ θρηνοῦσι λυπούμενος καὶ παρ' ἐλπίδας ὁρῶν οὓς ἠκηκόει μικρὸν ἔμπροσθεν ἀπολωλότας. Ἦν δὲ παρὰ πάντων δάκρυα καὶ στόνος, τῶν μὲν ὡς ἐπ' ἀδελφῷ τετελευτηκότι, τοῦ βασιλέως δ' ὡς ἐπὶ παιδὶ κατεσφαγμένῳ. Φεύγει δ' Ἀβεσάλωμος εἰς Γεθσούραν πρὸς τὸν πάππον τὸν πρὸς μητρὸς, δυναστεύοντα τῆς ἐκεῖ χώρας· καὶ τρισὶν ὅλοις ἔτεσι παρ' αὐτῷ καταμένει.

δ'. Τοῦ δὲ Δαυίδου προαίρεσιν ἔχοντος ἐπὶ τὸν Ἀβεσάλωμον πέμπειν, οὐκ ἐπὶ τιμωρίᾳ κατελευσόμενον, ἀλλ' ὅπως εἴη σὺν αὐτῷ, (καὶ γὰρ τὰ τῆς ὀργῆς ὑπὸ τοῦ χρόνου λελωφήκει,) πρὸς τοῦτο μᾶλλον αὐτὸν

fur ut quiesceret et moderate ferret, sibique in contumeliam cessisse non crederet, quum a fratre fuerit vitiata. Illa persuasa desiit a clamore et ab injuria in populum divulganda, et aliquammulto tempore deserta apud fratrem Abesalomum permansit.

2. Postquam autem hoc pater Davides rescivit, rem quidem ægerrime tulit, verum quum Amnonem valde diligeret, (erat enim filius ejus natu maximus,) necesse habuit illum dolore non afficere. At Abesalomus eum odio vehementi et occulto prosequens tempus ad peccatum ejus ulciscendum opportunum captabat. Quumque biennium jam præteriisset ex quo ista de sorore sua acciderant, atque ad greges suos tondendos iturus esset in Belsephon, (ista autem urbs est in sorte tribus Ephraimiticæ,) rogavit patrem simul et fratres ut ad se venirent et secum convivium agerent. Quo semet excusante quod nollet ei oneri esse, obsecravit ut fratres ipsius jussu mitterentur. Quum autem missi essent, *famulis* suis imperavit ut quum primum Amnonem vino somnoque gravatum animadvertissent, neminem veriti ad nutum suum illum trucidarent.

(VIII.) 3. Ut vero perpetratum est quod mandaverat, terror gravis et perturbatio fratres occupat, et sibi metuentes equis subito conscensis cursu ad patrem ferebantur. At quidam, quum illos prævenisset, omnes ab Abesalomo interfectos esse patri nunciavit. Ille autem, ob filios ut qui tot simul perierint, idque fratris scelere, dolore correptus, eoque ex illo qui cædis auctor visus est exacerbato, nec causam requirebat, nec minimum cunctabatur ut aliquid præterea audiret, sicuti par erat, malo nunciato adeo atroci et ob magnitudinem superante fidem, sed quum vestimenta lacerasset seque in terram prostravisset, procumbebat filios ad unum omnes luctu prosequens, et quos peremptos acceperat, et ipsum interfectorem. Jonathas vero, Samæ fratris ipsius filius, orabat ut parcius lugeret et de aliis quidem ne sibi persuaderet eos mortem obiisse, (nihil enim causæ esse quod ita suspicaretur,) sed de Amnone inquisitionem faciendam esse dicebat : nam verisimile Abesalomum ob injuriam Thamaræ factam ipsum interficere ausum esse. Interea vero sonitus equorum et venientium turba illos advertit. Erant autem regis filii qui e convivio effugerant. Atque ipsis pater flentibus occurrit mœrens, etiam quum præter spem videret quos paulo ante exstinctos esse audiverat. Omnes itaque lacrimas effundebant et gemitus, illi quidem pro mortuo fratre, rex vero pro filio interempto. At Abesalomus in Gethsuram ad avum maternum confugit, istius loci dynastam, et apud illum toto triennio commoratur.

4. Quum autem Davidi in mentem venisset ad filium Abesalomum mittere, non ut supplicium lueret venturum, sed ut una secum esset, (jam enim tempore sedata erat ira,) ipsum ad hoc Ioabus imperator acrius incitavit. Nam fecit ut

Ἰώαβος ὁ ἀρχιστράτηγος παρώρμησε. Γύναιον γάρ τι τὴν ἡλικίαν ἤδη προβεβηκὸς ἐποίησεν αὐτῷ προσελθεῖν ἐν σχήματι πενθίμῳ, ἢ παίδων ἐπὶ τῆς ἀγροικίας αὐτῇ διενεχθέντων καὶ πρὸς φιλονεικίαν τραπέντων, οὐδενὸς τοῦ καταπαῦσαι δυναμένου παραφανέντος, ἔλεγεν ὑπὸ θατέρου τὸν ἕτερον πληγέντα ἀποθανεῖν, ἠξίου τε, τῶν συγγενῶν ἐπὶ τὸν ἀνῃρηκότα ὡρμηκότων καὶ ζητούντων αὐτὸν ἀνελεῖν, χαρίσασθαι τὴν σωτηρίαν αὐτῇ τοῦ παιδὸς καὶ μὴ τὰς ἐπιλοίπους τῆς γηροκομίας αὐτὴν ἐλπίδας προσαφαιρεθῆναι· τοῦτο δ' αὐτῇ κωλύσαντα τοὺς βουλομένους ἀποκτεῖναι τὸν υἱὸν αὐτῆς παρέξειν· οὐ γὰρ ἐφίξειν ἐκείνους ἄλλῳ τινὶ τῆς σπουδῆς ἢ τῷ παρ' αὐτοῦ φόβῳ. Τοῦ δὲ συγκαταινέσαντος οἷς τὸ γύναιον ἱκέτευσεν, ὑπολαβὸν πάλιν πρὸς τὸν βασιλέα, « χάριν μέν, εἶπεν, οἶδά σου τῇ χρηστότητι κατοικτείραντός μου τὸ γῆρας καὶ τὴν παρὰ μικρὸν ἀπαιδίαν, ἀλλ' ἵνα βέβαια τὰ παρὰ τῆς σῆς μοι εἴη φιλανθρωπίας, τῷ σαυτοῦ παιδὶ πρῶτον καταλλάγηθι καὶ τὴν πρὸς αὐτὸν ὀργὴν ἄφες. Πῶς γὰρ ἂν πεισθείην ἐμοί σε ταύτην ἀληθῶς δεδωκέναι τὴν χάριν, αὐτοῦ σου μέχρι νῦν ἐφ' ὁμοίοις ἀπεχθανομένου τῷ παιδί; » τελέως δ' ἂν ἀνόητον εἶναι τὸ παρὰ γνώμην ἀποθανόντος τοῦ υἱοῦ ἄλλον προσθεῖναι ἐκουσίως. Συνίησι δ' ὁ βασιλεὺς ὑπόβλητον οὖσαν τὴν σκῆψιν ἐξ Ἰωάβου καὶ τῆς τούτου σπουδῆς, καὶ ἐπειδὴ παρὰ τῆς πρεσβύτιδος πυθόμενος οὕτως ἔχον τἀληθὲς ἔμαθε, προσκαλεσάμενος Ἰώαβον ἐπιτυχεῖν τε τοῦ προκειμένου κατὰ νοῦν ἔφασκε καὶ τὸν Ἀβεσάλωμον ἄγειν ἐκέλευσεν· οὐ γὰρ ἔτι χαλεπῶς ἔχειν πρὸς αὐτὸν, ἀλλ' ἤδη τὴν ὀργὴν καὶ τὸν θυμὸν ἀφεικέναι. Ὁ δὲ προσκυνήσας τὸν βασιλέα καὶ τοὺς λόγους ἀσπασάμενος ἐξώρμησεν εἰς τὴν Γεθσούραν παραυτίκα καὶ τὸν Ἀβεσάλωμον παραλαβὼν ἦκεν εἰς Ἱεροσόλυμα.

ε'. Προέπεμψε δ' ἔμπροσθεν ὁ βασιλεὺς πρὸς τὸν υἱὸν ὡς ἥξουσε παραγενόμενον, καὶ πρὸς ἑαυτὸν ἐκέλευσε χωρεῖν· οὔπω γὰρ οὕτως ἔχειν ὥστ' εὐθὺς ἰδεῖν κατελθόντα. Καὶ ὁ μέν, τοῦτο τοῦ πατρὸς κελεύσαντος, ἐξέκλινε τὴν ὄψιν αὐτοῦ καὶ διετέλει τῆς παρὰ τῶν οἰκείων θεραπείας τυγχάνων, οὐκ ἐπεβέβλαπτο δ' εἰς τὸ κάλλος ὑπότε τῆς λύπης καὶ τοῦ μὴ τυγχάνειν τῆς προσηκούσης ἐπιμελείας υἱῷ βασιλέως, ἀλλ' ἔτι ἐξεῖχε καὶ διέπρεπε πάντας τῷ τε εἴδει καὶ τῷ μεγέθει τοῦ σώματος καὶ τοὺς ἐν πολλῇ τρυφῇ διαιτωμένους ὑπερέβαλλε. Τοσοῦτο μέντοι γε ἦν τὸ βάθος τῆς κόμης αὐτῷ ὡς μόλις αὐτὴν ἡμέραις ἀποκείρειν ὀκτὼ, σταθμὸν ἕλκουσαν σίκλους διακοσίους, οὗτοι δέ εἰσι πέντε μναῖ. Διέτριψε μέντοι γ' ἐν τοῖς Ἱεροσολύμοις ἔτη δύο, τριῶν μὲν ἀρρένων πατὴρ γενόμενος, μιᾶς δὲ θυγατρὸς, τὴν μορφὴν ἀρίστης, ἣν ὁ Σολομῶνος υἱὸς Ῥοβόαμος ὕστερον λαμβάνει· καὶ γίνεται παιδίον ἐξ αὐτῆς, Ἀβίας ὄνομα. Πέμψας δ' ὁ Ἀβεσάλωμος πρὸς Ἰώαβον ἐδεῖτο αὐτοῦ τελέως καταπραῦναι τὸν πατέρα, καὶ δεηθῆναι ὅπως αὐτῷ συγχωρήσῃ πρὸς αὐτὸν ἐλθόντι θεάσασθαί τε καὶ προσειπεῖν. Καταμελήσαντος δὲ Ἰωάβου, τῶν

muliercula quædam, ætate jam provecta, sumpto lugubri vestitu regem adiret, quæ orto ruri inter filios suos dissidio, eoque in rixam erumpente, quum nemo esset qui litem dirimeret, aiebat alterum ab altero ictum occubuisse, atque obsecrabat, eo quod cognati in interfectorem impetum fecerint, ejusque cædem expetant, ut filii salutem sibi concederet, nec reliquam senectutis suæ curandæ spem sibi auferri pateretur, sed precibus suis indulgeret, eos reprimendo qui filium suum ad necem poscant : illos enim nulla re nisi ipsius metu a proposito averti posse. Quum autem ille mulierculæ postulatis annuisset, tum illa regem excipiens dicebat, « tuæ quidem benignitati gratias ago, qui « meam senectutem et quæ prope a me aberat orbitatem « miseratus es, sed ut rata habeantur quæ pro tua humanitate mihi pollicitus es, tuum ipsius filium prius in gratiam recipe et ab ira in illum desiste : alioqui quomodo « possem mihi persuasum habere te vere hanc mihi gratiam « fecisse, quum tibi ipsi ob similem injuriam filius tuus adhuc « invisus sit : » quin et plane insipientis esse, quum unus filius præter voluntatem ceciderit, velle ut alter etiam ad eum abeat. Tum regi suboluit hoc commentum esse ab Joabo ejusque in Abesalomum studio; ac postquam anicula interrogata rem ita se habere comperuit, et ad Joabum accitum dicebat se assecutum mente esse quod ipsi proposuisset, jussitque ut Abesalomum reduceret : non enim se amplius illi succensere, sed jam iram et indignationem missam fecisse. Ille vero, adorato rege, verbisque ejus lubenti animo acceptis, e vestigio Gethsuram properavit, et assumptum secum Abesalomum Hierosolyma reduxit.

5. Rex autem, ut audierat filium adventare, ante præmisit ad eum jussitque domum suam concedere; nondum enim ita se affectum, ut reversum videre statim sustineat. Atque ille quidem, quum ita pater ei imperasset, illius conspectum non subiit, domique se continebat, istis officiis contentus quibus eum sui prosequebantur. Nec tamen aliquid ejus pulcritudini decessit, vel propter mœrorem, vel quod ejusmodi illi non adhibita fuerit cura quæ regis filio convenit, sed adhuc eminebat omnesque præcellebat specie ac proceritate corporis, et vel eos superabat qui multis in deliciis vitam agerent. At tam densa ei erat cæsaries, ut vix intra octo dies detonderetur, siclos ducentos appendens : isti autem quinque minas conficiunt. Hierosolymis quidem biennium commoratus est, trium quidem filiorum pater factus, unius vero filiæ, forma præstantissimæ, quam Roboamus Solomonis filius *uxorem* accipit : et ex ea natus est puerulus nomine Abias. Deinde Abesalomus nunciis ad Joabum missis ipsum orabat ut patrem sibi prorsus placaret, et precibus contenderet ut ipsi daretur in conspectum ejus venire et cum eo colloqui. Quum autem Joabus *hoc fa-*

ἰδίων τινὰς ἀποστείλας τὴν ὁμοροῦσαν αὐτῷ χώραν ἐπυρπόλησεν. Ὁ δὲ τὸ πραχθὲν μαθὼν ἦκε πρὸς τὸν Ἀβεσάλωμον, ἐγκαλῶν τε αὐτῷ καὶ τὴν αἰτίαν πυνθανόμενος. Ὁ δέ, « στρατήγημα τοῦτ', εἶπεν, ηὗρον « ἀγαγεῖν σε πρὸς ἡμᾶς δυνάμενον ἀμελοῦντα τῶν ἐντο- « λῶν, ἃς ἵνα μοι τὸν πατέρα διαλλάξῃς ἐποιούμην. « Καὶ δὴ δέομαί σου παρόντος ἡμερῶσαί μοι τὸν γεγεν- « νηκότα· ὡς ἔγωγε δεινοτέραν τῆς φυγῆς κρίνω τὴν « κάθοδον, ἔτι τοῦ πατρὸς ἐν ὀργῇ διαμένοντος ». Πει- σθεὶς δ' ὁ Ἰώαβος καὶ τὴν ἀνάγκην αὐτοῦ κατοικτείρας ἐμεσίτευσε πρὸς τὸν βασιλέα, καὶ διαλεχθεὶς περὶ τοῦ παιδὸς, οὕτως αὐτὸν ἡδέως διατίθησιν ὡς εὐθέως καλέσαι πρὸς αὐτόν. Τοῦ δὲ ῥίψαντος αὑτὸν ἐπὶ τοῦ ἐδάφους καὶ συγγνώμην αἰτουμένου τῶν ἡμαρτημένων, ἀνίστησί τε καὶ τῶν γεγονότων ἀμνηστίαν ἐπαγγέλλεται.

ΚΕΦ. Θ'.

Ὁ δὲ Ἀβεσάλωμος, τοιούτων αὐτῷ τῶν παρὰ τοῦ πατρὸς καὶ βασιλέως ἀποβάντων, πολλοὺς μὲν ἵππους ἐν ὀλίγῳ πάνυ χρόνῳ, πολλὰ δὲ ἅρματα ἐκέκτητο, καὶ ὁπλοφόροι περὶ αὐτὸν ἦσαν πεντήκοντα· καθ' ἑκάστην δ' ἡμέραν ὄρθριος πρὸς τὰ βασίλεια παρεγίνετο, καὶ τοῖς ἐπὶ τὰς κρίσεις ἥκουσι καὶ ἐλαττουμένοις πρὸς ἡδονὴν ὁμιλῶν, ὡς παρὰ τὸ μὴ συμβούλους ἀγαθοὺς εἶναι τῷ πατρὶ τάχα αὐτῶν καὶ ἀδίκως ἐπταικότων περὶ τὴν κρίσιν, εὔνοιαν αὑτῷ παρὰ πάντων κατεσκεύαζε, λέγων ὡς αὐτὸς ἂν εἰ ταύτην εἶχε τὴν ἐξουσίαν, πολλὴν αὐτοῖς ἐβράβευσεν εὐνομίαν. Τούτοις δημαγωγῶν τὸ πλῆθος, ὡς βεβαίαν ἔχειν ἤδη τὴν παρὰ τῶν ὄχλων εὔνοιαν ἐνόμιζε, μετὰ δὲ τὴν τοῦ πατρὸς αὐτοῦ καταλλαγὴν τεσσάρων ἐτῶν ἤδη διεληλυθότων, ἐδεῖτο προσελθὼν εἰς Χεβρῶνα συγχωρῆσαι πορευθέντι θυσίαν ἀποδοῦναι τῷ Θεῷ· φεύγοντα γὰρ αὐτὸν τοῦτο εὔξασθαι. Τοῦ δὲ Δαυίδου τὴν ἀξίωσιν ἀφέντος πορεύεται, καὶ πολὺς ἐπισυνέρρευσεν ὄχλος, ἐπὶ πολλοὺς αὐτοῦ διαπέμψαντος.

β'. Παρῆν δὲ καὶ ὁ Δαυίδου σύμβουλος ὁ Γελμωναῖος Ἀχιτόφελος, καὶ διακόσιοί τινες ἐξ αὐτῶν Ἱεροσολύμων, οὐκ εἰδότες μὲν τὴν ἐπιχείρησιν, ὡς δ' ἐπὶ θυσίαν μετεσταλμένοι· καὶ βασιλεὺς ὑπὸ πάντων ἀποδείκνυται, τοῦτο γενέσθαι στρατηγήσας. Ὡς δ' ἀπηγγέλθη ταῦτα Δαυίδῃ καὶ παρ' ἐλπίδας αὐτῷ τὰ παρὰ τοῦ παιδὸς ἠκούσθη, δείσας ἅμα καὶ τῆς ἀσεβείας καὶ τῆς τόλμης αὐτὸν θαυμάσας, ὅτι μηδὲ τῆς ἐπὶ τοῖς ἡμαρτημένοις συγγνώμης ἐμνημόνευσεν, ἀλλ' ἐκείνων πολὺ χείροσι καὶ παρανομωτέροις ἐπεβάλετο, βασιλείᾳ πρῶτον μὲν ὑπὸ τοῦ Θεοῦ δεδομένῃ, δεύτερον δ' ἐπ' ἀφαιρέσει τοῦ γεγεννηκότος, ἔγνω φεύγειν εἰς τὰ πέραν τοῦ Ἰορδάνου, καὶ συγκαλέσας τῶν φίλων τοὺς ἐπιτηδειοτάτους, καὶ περὶ τῆς τοῦ παιδὸς ἀπονοίας κοινολογησάμενος αὐτοῖς, καὶ περὶ πάντων ἐπιτρέψας κριτῇ τῷ Θεῷ, καταλιπὼν τὰ βασίλεια φυλάσσειν δέκα παλλακίσιν, ἀπῆρεν ἐκ τῶν Ἱεροσολύμων, τοῦ τε ἄλλου πλήθους προθύμως αὐτῷ συνεξορμήσαντος καὶ τῶν ἑξα-

cere negligeret, quibusdam de suis immissis, agrum ejus suo adsitum incendit. Tum is, cognito facinore, ad Abesalomum veniebat, ipsum accusans et cur ita fecerit percontans. Ille vero dicebat, « hoc strategema excogitavi, « quod te ad nos posset adducere, mandata quæ tibi de « patre mihi conciliando dedi minus curantem : ideoque te « præsentem oro obtestorque ut mihi placatum reddas geni- « torem : nam ego me existimo pejus haberi post reditum « quam in exsilio, quum pater in ira permaneat ». Tum Joabus persuasus et necessitatem illius miseratus, pro eo apud regem intercessit, et suis de filio *Abesalomo* sermonibus fecit ut ita animo afficeretur rex, ut confestim eum ad se vocaret. Quumque ille humi procidisset et peccatorum veniam implorasset, *eum* et manu tollit *rex* et anteactorum oblivionem ei pollicetur.

CAP. IX. (VIII.)

Abesalomus autem, ista a patre et rege ex animi sententia assequutus, brevi admodum tempore et magnum equitatum et multos currus sibi comparavit, et satellitium armatorum quinquaginta. Singulis vero diebus mane ad regiam adibat, et cum iis, qui ad jus petendum veniebant et causa cadebant, ad voluptatem sermonem conferens, quasi quod patri non adessent boni consiliarii, forsan ipsi etiam contra jus causa cecidissent, ab omnibus sibi benevolentiam conciliabat, dicens ipsum, si ea sibi data esset potestas, jus illis multa cum æquitate redditurum. His *artibus* quum populum sibi conciliaret blandiendo, ubi multitudinis benevolentiam sibi jam firmum esse existimabat, quattuor annis, ex quo cum patre in gratiam redierat, præteritis, accedens orabat ut sibi permitteret ire Chebronem ad victimam Deo mactandam : nam dum exsul esset, id se votum nuncupasse. Davide autem *ejus* petitioni concedente, proficiscitur, et quum ad multos hinc inde misisset, ad eum ingens hominum vis confluxit.

2. Inter ceteros aderat Davidis consiliarius Achitophelus Gelmonæus, et ducenti viri ex ipsis Hierosolymis, totius quidem negotii ignari, sed quasi ad sacra facienda accersiti : atque rex ab omnibus declaratur, strategemate ut hoc fieret adhibito. Postquam vero hæc Davidi nunciabantur, ipsique inopinato audita erant quæ filius patraverat, metuens ipsum pariter ac miratus propter audaciam et impietatem, quod ne veniæ quidem peccatis datæ meminerit, sed ad alia illis multo pejora et iniquiora animum adjecerit, primum quidem ut regnum a Deo donatum affectaret, dein vero ut genitori hoc eriperet, in loca trans Jordanem fugere decrevit, convocatisque amicis sui studiosissimis, et consiliis cum iis de filii insolentia communicatis, atque omnibus Dei judicio commissis, ab Hierosolymis, regiæ domus custodia decem concubinis relicta, discessit, cum alia multitudine alacriter cum eo egressa, tum illa sexcentorum

χοσιων ὁπλιτῶν, οἳ καὶ τῆς πρώτης αὐτῷ φυγῆς ἐκοινώνουν, ὅτ' ἔζη Σάουλος. Τὸν δ' Ἀβιάθαρον καὶ Σάδωκον τοὺς ἀρχιερέας, συναπαίρειν αὐτῷ διεγνωκότας, καὶ Λευίτας ἅπαντας μετὰ τῆς κιβωτοῦ μένειν ἔπεισεν, ὡς τοῦ Θεοῦ καὶ μὴ μετακομιζομένης αὐτῆς ῥυσομένου. Ἐνετείλατο δ' ἕκαστα τῶν γινομένων λάθρα διαγγέλλειν αὐτῷ. Πιστοὺς δ' ἔσχε πρὸς πάντα διακόνους παῖδας Ἀχιμὰν μὲν Σαδώκου, Ἰωνάθην δ' Ἀβιαθάρου. Ἦλθε δ' ὁ Γιτθαῖος συνεξώρμησεν αὐτῷ, βιασάμενος τὴν τοῦ Δαυίδου βούλησιν· μένειν γὰρ αὐτὸν ἀνέπειθεν· καὶ διὰ τοῦτο μᾶλλον εὔνους αὐτῷ κατεφάνη. Ἀναβαίνοντος δ' αὐτοῦ διὰ τοῦ Ἐλαιῶνος ὄρους γυμνοῖς τοῖς ποσὶ καὶ πάντων σὺν αὐτῷ δακρυόντων, ἀγγέλλεται καὶ ὁ Ἀχιτόφελος συνὼν τῷ Ἀβεσαλώμῳ καὶ τὰ τούτου φρονῶν. Ἐπέτεινε δ' αὐτῷ τὸ λυπηρὸν τοῦτο ἀκουσθὲν, καὶ τὸν Θεὸν ἐπεκαλεῖτο δεόμενος ἀπαλλοτριῶσαι τὴν Ἀβεσαλώμου διάνοιαν πρὸς τὸν Ἀχιτόφελον· ἐδεδίει γὰρ μὴ τἀναντία συμβουλεύων πείσειεν αὐτὸν, ἀνὴρ ὢν φρενήρης καὶ συνιδεῖν τὸ λυσιτελὲς ὀξύτατος. Γενόμενος δ' ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους ἀπεσκόπει τὴν πόλιν, καὶ μετὰ πολλῶν δακρύων, ὡς ἂν βασιλείας ἐκπεσὼν, ηὔχετο τῷ Θεῷ. Συνήντησε δ' αὐτῷ φίλος ἀνὴρ καὶ βέβαιος Χουσὶ ὄνομα. Τοῦτον ὁρῶν τὴν ἐσθῆτα κατερρηγμένον καὶ τὴν κεφαλὴν σποδοῦ πλήρη καὶ θρηνοῦντα τὴν μεταβολὴν παρηγόρει καὶ παύσασθαι τῆς λύπης παρεκάλει, καὶ τέλος ἱκέτευσεν ἀπελθόντα πρὸς τὸν Ἀβεσάλωμον, ὡς τὰ ἐκείνου φρονοῦντα, τά τε ἀπόρρητα τῆς διανοίας αὐτοῦ κατανοεῖν καὶ ταῖς Ἀχιτοφέλου συμβουλίαις ἀντιπράττειν· οὐ γὰρ τοσοῦτον ὠφελήσειν αὐτῷ συνεργόμενον ὅσον παρ' ἐκείνῳ γενόμενον. Καὶ ὁ μὲν πεισθεὶς τῷ Δαυίδῃ καταλιπὼν αὐτὸν ἦκεν εἰς Ἱεροσόλυμα. Ἀφικνεῖται δὲ εἰς αὐτὰ μετ' οὐ πολὺ καὶ Ἀβεσάλωμος.

γ'. Ὀλίγον δὲ τῷ Δαυίδῃ προελθόντι Σιβᾶς ὁ τοῦ Μεμφιβόσθου δοῦλος συνήντησεν, ὃν προνοησόμενον ἀπεστάλκει τῶν κτήσεων, ἃς δεδώρητο τῷ Ἰωνάθου τοῦ Σαούλου παιδὸς υἱῷ, μετὰ ζεύγους ὄνων καταπεφορτισμένων τοῖς ἐπιτηδείοις, ἐξ ὧν ἐκέλευσε λαμβάνειν ὧν αὐτός τε καὶ οἱ σὺν αὐτῷ δέοιντο. Πυνθανομένῳ δὲ ποῦ καταλέλοιπε τὸν Μεμφίβοσθον, ἐν Ἱεροσολύμοις ἔλεγε, προσδοκῶντα χειροτονηθήσεσθαι βασιλέα διὰ τὴν ὑπάρχουσαν ταραχὴν, εἰς μνήμην ὧν ηὐεργέτησεν αὐτοὺς Σάουλος. Ἀγανακτήσας δ' ἐπὶ τούτῳ, πάνθ' ὅσα τῷ Μεμφιβόσθῳ παρεχώρησε Σιβᾷ χαρίζεται· πολὺ γὰρ δικαιότερον αὐτὸν ἐκείνου ταῦτ' ἔχειν ἐπέγνωκε. Καὶ ὁ μὲν Σιβᾶς περιχαρὴς ἦν.

δ'. Δαυίδῃ δὲ γενομένῳ κατὰ Βαουρὶν, τόπον οὕτω καλούμενον, ἐπέρχεται τοῦ Σαούλου συγγενὴς Σεμεεὶ μὲν ὄνομα, υἱὸς δὲ Γηρᾶ, καὶ λίθοις τε ἔβαλεν αὐτὸν καὶ ἐκακηγόρει. Περιστάντων δὲ τῶν φίλων καὶ σκεπόντων, ἔτι μᾶλλον ὁ Σεμεεὶ βλασφημῶν διετέλει, μιαιφόνον καὶ πολλῶν ἀρχηγὸν κακῶν ἀποκαλῶν. Ἐκέλευε δὲ καὶ τῆς γῆς ὡς ἐναγῆ καὶ ἐπάρατον ἐξιέναι, καὶ τῷ Θεῷ χάριν ἔχειν ὡμολόγει τῆς βασιλείας αὐτὸν

cohorte qui prioris ipsius Saulo vivente fugæ comites fuerant. Abiathāro vero et Sadoco pontificibus, quibus is animo erat eum comitari, et Levitis omnibus ut maneren cum sacra arca persuasit, quod Deus ea etiam non translat salutem allaturus esset. Mandavit autem ut de rebus gestis singulis ipsum clam certiorem facerent. Ministrosqu sibi in omnibus fideles habuit *pontificum* filios, Sadoc quidem Achimam, Jonatham vero Abiathari. Ethi quoqu Gitthæus cum eo profectus est, etiam præter Davidis voluntatem : nam ipsi ut *domi* maneret persuadere conabatur : et ex hoc ipso conspectior erat ejus in ipsum benevolentia. Quum autem Davides per clivum Olivarum nudis pedibus ascenderet, et omnes qui cum eo erant lacrimis indulgerent, nunciatum est Achitophelum esse apud Abesalomum et cum illo sentire. Quæ res audita luctum ei magis intendebat : precibusque Deum implorabat, ut Abesalomi animum ab Achitophelo alienaret. Nam verebatur ne contra se ei dando consilia apud ipsum fidem inveniret, quum vir prudens esset et in dispiciendo quid facto opus esset acutissimus. Postquam autem in montis jugum pervenerat, urbem respiciebat, et multis cum lacrimis, ac si regno excidisset, Deo preces effundebat. Tum vero ei obviam factus est vir amicus et fidelis, Chusi nomine. Hunc conspicatus veste lacerata et capite pulvere oppleto, resque mutatas lugentem, solatium ei adhibebat, et obsecrabat ut a mœrore desisteret, postremoque supplex ab ipso petiit ut ad Abesalomum, simulato ejus partium studio, digressus, et arcana animi ejus exploraret, et Achitopheli consiliis adversaretur : nam si secum pergeret, tantum prodesse non posse, quantum si ad eum concesserit. Atque ita a Davide persuasus, eo relicto Hierosolyma se contulit. Eodemque non multo post venit et Abesalomus.

3. Ceterum Davidi paululum progresso occurrit Sibas Memphibosthi servus, quem ad prædia procuranda miserat, filio Jonathæ Sauli filii ab ipso donata, agens præ se duos asinos necessario apparatu onustos, ex quibus petiit ut accipere dignaretur quicquid ipsi suisque opus esset. Quum autem *Davides* ex eo quæreret, ubinam Memphibosthum reliquisset, Hierosolymis, dicebat, spei plenum fore ut, rebus jam turbatis, ob Sauli meritorum memoriam populi suffragiis rex crearetur. Hanc autem ob rem indignatus, omnia quæ Memphibostho concesserat Sibæ largitur : multo enim justius esse agnovit ut hic quam ille istis frueretur. Et Sibas quidem gaudio exsultabat.

4. Ubi vero Davides pervenit ad locum Baurin appellatum, supervenit cognatus Sauli, nomine quidem Semei, Geræ vero filius, et lapidibus eum impetebat et convicia jaciebat. Quum vero amici regem circumstarent et protegerent, eo magis maledicendo procedebat Semei, sanguinarium atque malorum auctorem vocitans. Quin et ex regione ut tanquam impurus et exsecrandus excederet jubebat, Deoque se gra-

ἀφελομένῳ, καὶ διὰ παιδὸς ἰδίου τὴν ὑπὲρ ὧν ἥμαρτεν εἰς τὸν ἑαυτοῦ δεσπότην δίκην αὐτὸν εἰσπραξαμένῳ. Πάντων δ' ἐπ' αὐτὸν ἠρθισμένων ὑπ' ὀργῆς, καὶ μάλιστα Ἀβεσσαίου, διαχρήσασθαι βουλομένου τὸν Σεμεεί, Δαυίδης αὐτὸν τῆς ὀργῆς ἐπέσχε. « Μὴ τοῖς « παροῦσι κακοῖς ἑτέραν προσεξεργασώμεθα, φησί, « καινοτέραν ἀφορμήν. Οὐ γὰρ δὴ τοῦ προσλυσσῶντός μοι τούτου κυνὸς αἰδώς τις ἢ φροντὶς ὑπέρχεται, « τῷ Θεῷ δὲ εἶκω, δι' ὃν οὗτος ἐφ' ἡμᾶς ἀπενοήθη. « Θαυμαστὸν δ' οὐδὲν ὑπὸ τούτου με ταῦτα πάσχειν, « ὅπου γε καὶ παιδὸς ἀσεβοῦς πεπείραμαι. Ἀλλὰ « ἔσται τις ἴσως οἶκτος ἡμῖν ἐκ τοῦ Θεοῦ, καὶ κρατήσομεν τῶν ἐχθρῶν τούτου θελήσαντος. » Ἦνυεν οὖν τὴν ὁδὸν, οὐ φροντίζων τοῦ Σεμεεὶ παρὰ τὸ ἕτερον μέρος τοῦ ὄρους διατρέχοντος καὶ πολλὰ κακηγοροῦντος. Παραγενόμενος δ' ἐπὶ τὸν Ἰορδάνην ἀνελάμβανε τοὺς ἰδίους ἐνταῦθα κεκοπωμένους.

ε'. Ἀβεσαλώμου δὲ καὶ Ἀχιτοφέλου τοῦ συμβούλου παραγενομένων εἰς Ἱεροσόλυμα σὺν ἅπαντι τῷ λαῷ, καὶ Δαυίδου φίλος ἦκε πρὸς αὐτούς· καὶ προσκυνήσας αὐτὸν συνηύχετο τὴν βασιλείαν εἰς αἰῶνα καὶ τὸν ἅπαντα μεῖναι χρόνον. Φήσαντος δ' ἐκείνου πρὸς αὐτὸν, τί δήποτε, φίλος ἐν τοῖς μάλιστα τοῦ πατρὸς αὐτοῦ γεγενημένος καὶ πρὸς ἅπαντα πιστὸς εἶναι δόξας, οὐ σὺν αὐτῷ νῦν ἐστιν, ἀλλὰ καταλιπὼν ἐκεῖνον μεταβαίνει πρὸς αὐτὸν, δεξιῶς ἀποκρίνεται καὶ σωφρόνως. Εἶπε γὰρ ἕπεσθαι δεῖν αὐτὸν τῷ Θεῷ καὶ τῷ παντὶ πλήθει. « Τούτων οὖν μετὰ σοῦ, δέσποτα, γεγενημένων, εἰκότως ἕπομαι κἀγώ· τὴν γὰρ βασιλείαν ἔλαβες παρὰ τοῦ Θεοῦ. Τὴν αὐτὴν μέντοι γε πίστιν καὶ εὔνοιαν ἐνδείξομαι, πιστευόμενος εἶναι φίλος, ἣν οἶσθά με τῷ πατρί σου παρεσχημένον. Ἀγανακτεῖν δὲ οὐδὲν προσῆκε τοῖς παροῦσιν· οὐ γὰρ εἰς ἄλλην οἰκίαν ἡ βασιλεία μεταβέβηκε, μεμένηκε δὲ ἐπὶ τῆς αὐτῆς, υἱοῦ παραλαβόντος. Ταῦτα λέγων ἔπειθεν· ὕποπτον γὰρ αὐτὸν εἶχε. Καὶ καλέσας τὸν Ἀχιτόφελον συνεβουλεύετο αὐτῷ τί δεῖ ποιεῖν. Ὁ δὲ παρήνεσε ταῖς τοῦ πατρὸς αὐτοῦ παλλακαῖς συνελθεῖν· ἐκ τούτου γὰρ εἴσεσθαι τὸν λαὸν ἔλεγε, πιστεύσαντα ὡς ἀδιάλλακτά σοι τὰ πρὸς αὐτόν ἐστι, καὶ μετὰ πολλῆς συστρατεύσεσθαι προθυμίας ἐπὶ τὸν πατέρα· μέχρι γὰρ δεῦρο φανερὰν ἔχθραν ἀναλαμβάνειν δεδιέναι, προσδοκῶντας ὑμᾶς ὁμονοήσειν. Πεισθεὶς δὲ τῇ συμβουλίᾳ κελεύει σκηνὴν αὐτῷ πῆξαι τοὺς οἰκέτας ἐπὶ τοῦ βασιλείου, τοῦ πλήθους ὁρῶντος· καὶ παρελθὼν συνέρχεται ταῖς τοῦ πατρὸς παλλακαῖς. Ταῦτα δ' ἐγένετο κατὰ τὴν Ναθάνας προφητείαν, ἣν τῷ Δαυίδῃ σημαίνων τὴν ἐκ τοῦ παιδὸς ἐσομένην ἐπίθεσιν προεφήτευσε.

(Θ'.) ς'. Ποιήσας δ' Ἀβεσάλωμος τὰ παραινεθέντα αὐτῷ ὑπὸ τοῦ Ἀχιτοφέλου, δεύτερον αὐτὸν συμβουλεύειν ἠξίου περὶ τοῦ πολέμου τοῦ πρὸς τὸν πατέρα. Μυρίους δ' αὐτὸν ἐπιλέκτους αἰτήσαντος ἐκείνου καὶ τὸν πατέρα κτείνειν αὐτοῦ καὶ τοὺς σὺν αὐτῷ σώους ἀνάξειν ὑποτίας habere fatebatur, qui eum regno exuerit, et per proprium filium pœnas ab eo exegerit peccatorum quæ in dominum suum commisisset. Quum autem omnes ira in ipsum concitarentur, et præcipue Abessæus, cui in animo erat Semei interficere, Davides irascentis impetum cohibebat. « Absit, inquit, ut malis præsentibus aliam novorum occasionem adjiciamus. Nulla enim reverentia aut cura ducor « canis hujus rabie in me invadentis, sed Deo cedo, per « quem in nos insanus factus est. Nihil vero miri quod « hæc ab eo patiar, quando filium etiam impium expertus « fuerim. Sed fortasse Deus nobis misericordiam adhibebit, et hostes nobis ipsius ex voluntate succumbent ». Viam itaque pergebat, nihil morans Semei per alterum montis latus discurrentem et fortiter conviciantem. Quum autem venisset ad Jordanem, tum suos defatigatos reficiebat.

5. At ubi Abesalomus cum Achitophelo consiliario, omni populo comitante, Hierosolyma venerat, etiam Davidis amicus ipsos adibat, ac, adorato Abesalomo, precabatur ipsi imperium perpetuum et in omne ævum permansurum. Quum autem ille ad ipsum dixisset, curnam, quum inter præcipuos patris ipsius amicos fuerit et in omnibus fidissimus esse visus, non cum illo nunc sit, sed eo deserto ad ipsum transierit, scite prudenterque respondet. Nam dicebat, se sequi oportere Deum et populum universum. « Hos itaque quum tibi, domine, adesse viderim, ego quoque eos merito sequor : a Deo enim regnum accepisti. Et eandem quidem fidem et benevolentiam tibi ostendam, in amicis habitus, quam nosti me patri tuo præstitisse. Ægre autem ferre me rerum præsentem statum haud conveniebat : nam in aliam regnum non transiit familiam, sed in eadem mansit, filio succedente. » His verbis fidem fecit : nam in suspicione fuerat. Advocato deinde Achitophelo, *Abesalomus* eum consulebat quid facto opus esset. Is vero suasit ut cum patris pellicibus congrederetur : ex hoc enim populum sciturum crediturumque dicebat fieri non posse ut unquam cum eo in gratiam redeas ; atque adeo multa cum alacritate contra patrem simul militaturum : nam hactenus veritos esse apertas suscipere inimicitias, conventurum inter vos exspectantes. Huic autem consilio obsequutus jussit famulis ut super domo regia tabernaculum sibi tenderent, inspectante populo : eoque ingressus cum pellicibus patris concubuit. Atque ista acciderunt quemadmodum vaticinatus erat Nathanas, quum Davidi prædiceret fore ut filius ipsum adoriretur.

(IX.) 6. Abesalomus autem ea exsequutus quæ ipsum monuerat Achitophelus, iterum ab eo postulabat ut de bello cum patre gerendo consilium daret. Quum vero ille decem mille lectos viros ab eo petiisset et patrem ipsius interimere pollicitus esset, et qui secum proficiscerentur salvos redu-

σχομένου, καὶ βεβαίαν τότε τὴν βασιλείαν ἔσεσθαι φήσαντος, Δαυΐδου μηκέτι ζῶντος, ἀρεσθεὶς τῇ γνώμῃ μεταπαλεῖται τὸν Χουσὶ, τὸν Δαυΐδου φίλον, (οὕτω γὰρ αὐτὸν ἐκεῖνος ἐκάλει,) καὶ τὴν Ἀχιτοφέλου γνώμην αὐτῷ δηλώσας τί καὶ αὐτῷ δοκεῖ περὶ αὐτῆς ἐπυνθάνετο. Ὁ δὲ συνιδὼν ὅτι γενομένων ὧν Ἀχιτόφελος συνεβούλευσε κινδυνεύσει Δαυΐδης συλληφθεὶς ἀποθανεῖν, ἐναντίαν ἐπειρᾶτο γνώμην εἰσφέρειν. « Οὐ γὰρ « ἀγνοεῖς, εἶπεν, ὦ βασιλεῦ, τὴν τοῦ πατρὸς καὶ τὴν « τῶν σὺν αὐτῷ νῦν ὄντων ἀνδρείαν, ὅτι καὶ πολλοὺς « πεπολέμηκε καὶ πάντοτε κρατῶν τῶν πολεμίων ἀπῆλ« λακται. Νῦν δὲ εἰκὸς αὐτὸν ἐπὶ στρατοπέδου μένειν· « στρατηγῆσαι γὰρ ἱκανώτατος καὶ προϊδεῖν ἀπάτην « ἐπερχομένων πολεμίων· ἀλλὰ κατὰ τὴν ἑσπέραν « ἀπολιπὼν τοὺς ἰδίους ἢ εἴς τινα τῶν αὐλώνων αὐτὸν « ἀποχρύψει, ἢ πρὸς πέτρᾳ τινὶ λοχήσει. Συμβαλόντων « δὲ τῶν ἡμετέρων, οἱ μὲν ἐκείνου πρὸς μικρὸν ὑποχω« ρήσουσι, θαρρήσαντες δ' ὡς τοῦ βασιλέως αὐτοῖς « ἐγγὺς ὄντος ἀντιστήσονται· καὶ μεταξὺ τούτων μα« χομένων ὁ πατὴρ ἐπιφανεὶς ἐξαίφνης τοῖς μὲν εὐψυ« χίαν πρὸς τοὺς κινδύνους παρασκευάσει, τοὺς δὲ « σοὺς καταπλήξεται. Παράθου δὴ τοίνυν καὶ τὴν « ἐμὴν συμβουλίαν τῷ λογισμῷ, καὶ ταῦτ' ἐπιγνοὺς « ἄριστα, τὴν μὲν Ἀχιτοφέλου γνώμην παραίτησαι, « πέμψας δ' εἰς πᾶσαν τὴν χώραν τῶν Ἑβραίων « παράγγειλον αὐτοῖς τὴν ἐπὶ τὸν πατέρα σου στρα« τείαν. Καὶ παραλαβὼν αὐτὸς τὴν δύναμιν τοῦ « πολέμου γίνου στρατηγὸς καὶ μὴ πιστεύσῃς τοῦτον « ἑτέρῳ. Νικήσειν γὰρ προσδόκα ῥᾳδίως αὐτὸν, ἂν ἐν « φανερῷ καταλάβῃς ὄντα μετ' ὀλίγων, αὐτὸς πολλὰς « ἔχων μυριάδας βουλομένων τὴν περὶ σὲ σπουδὴν « ἐπιδείξασθαι καὶ προθυμίαν. Ἂν δ' ὁ πατὴρ αὐτὸν « εἰς πολιορκίαν περικλείσῃ, μηχανήμασι καὶ [ὀρύγμα« σιν] ὑπονόμοις καθαιρήσομεν ἐκείνην τὴν πόλιν ». Ταῦτ' εἰπὼν ηὐδοκίμησε μᾶλλον Ἀχιτοφέλου· τῆς γὰρ ἐκείνου γνώμης ἡ τούτου προεκρίθη παρ' Ἀβεσαλώμῳ. Θεὸς μέντοι γε ἦν ὁ τῇ τούτου διανοίᾳ τὴν τοῦ Χουσὶ συμβουλίαν συστήσας ἀμείνονα εἶναι δοκεῖν.

ζ'. Σπεύσας δὲ πρὸς τοὺς ἀρχιερέας Σάδωκον καὶ Ἀβιάθαρον, τήν τε Ἀχιτοφέλου γνώμην ἐξειπὼν αὐτοῖς καὶ τὴν ἑαυτοῦ, καὶ ὅτι δέδοκται τὰ ὑπ' αὐτοῦ παραινεθέντα πράττειν, ἐκέλευσε μηνύειν πέμψαντας Δαυΐδῃ καὶ φανερὰ ποιεῖν τὰ συμβεβουλευμένα, καὶ προσπαρακελεύσασθαι ταχέως διαβῆναι τὸν Ἰορδάνην, μὴ μεταγνοὺς ὁ παῖς αὐτοῦ διώκειν ὁρμήσῃ, καὶ πρὶν ἐν ἀσφαλείᾳ γένηται φθάσας καταλάβῃ. Οἱ δὲ ἀρχιερεῖς ἐξεπίτηδες τοὺς υἱοὺς ἔξω τῆς πόλεως κεκρυμμένους εἶχον, ὅπως διακομίσωσι πρὸς τὸν Δαυΐδην τὰ πραττόμενα. Πέμψαντες οὖν πιστὴν θεραπαινίδα πρὸς αὐτοὺς, φέρουσαν τὰ βεβουλευμένα ὑπὸ Ἀβεσαλώμου, προσέταξαν μετὰ σπουδῆς ταῦτα Δαυΐδῃ σημαίνειν. Οἱ δ' οὐδὲν εἰς ἀναβολὰς καὶ μέλλησιν ὑπερέθεντο, λαβόντες δὲ τὰς τῶν πατέρων ἐντολὰς εὐσεβεῖς ἅμα καὶ

eturum, et tum demum imperium ipsi firmum fore stabileque dixisset, Davide e vivis sublato, hac sententia delectatus Chusi accersit, Davidis amicum, (ita enim ille eum vocabat,) eique proposita Achitopheli sententia ab eo quæsivit quid ipsi hac de re videretur. At ille intellecto, si hæc fierent quæ suaserat Achitophelus, id discriminis aditurum esse Davidem ut captus mortem oppeteret, operam dedit ut contrariam afferret sententiam. « Non enim ignoras, aie« bat, o rex, virtutem patris tui et eorum qui eum nunc « comitantur, quod et multa bella gesserit, et semper ho« stium victor evaserit. Nunc autem verisimile est ipsum « in castris versari, quippe sollertissimum in strategematis « excogitandis dolisque hostium aggredientium præsentien« dis : sed nocte suis relictis, aut in valle aliqua delitescet, « aut ad rupem aliquam in insidiis erit. Quum autem nostri « manus conserent, ipsius milites quidem paulatim pedem « referent, mox vero audentiores facti, quasi illis in pro« pinquo sit rex, sese opponent : et dum pugna res ge« ritur, pater ex improviso conspectus illis quidem animos « ad pericula *subeunda* adjiciet, tuis vero metum et con« sternationem afferet. Expende igitur meum quoque « consilium, et si hæc optima esse agnoveris, Achitopheli « quidem sententiam rejice, nunciis vero in omnem Hebræo« rum regionem missis impera illis ut expeditionem contra « patrem tuum suscipiant. Deinde assumptis copiis tuo « ductu tuisque auspiciis geratur bellum, neque alterius « fidei committatur. Nihil enim magis exspectandum « quam ut illum facile superaturus sis, modo in aperto « campo assequaris paucis munitum, quum ipse multas mi« litum myriadas habeas, qui maxime expetunt suum in te « studium ostendere et alacritatem. Quodsi pater intra « mœnia ad obsidionem *tolerandam* se concluserit, machi« nis et cuniculis [fossis] urbem istam expugnabimus ». Hæc quum dixisset, majori pollebat auctoritate quam Achitophelus : nam hujus *consilio* illius sententiam prætulit Abesalomus. Verum hoc ipsum effecit Deus, ut Chusi consilium illi res secum reputanti melius videretur.

7. At *Chusi* quum ad Sadocum et Abiatharum pontifices properasset, atque Achitocheli sententiam et suam eis exposuisset, quodque optimum visum esset ea agere quæ ipse suaserat, jussit ut mitterent qui Davidi indicatum irent et ista consilia palam facerent, adhortarenturque ut sine mora Jordanem trajiceret, ne forte filius mutata sententia ipsum persequi festinaret, et, priusquam in tutum se recipiat, comprehendat. Pontifices autem de industria curaverant ut extra urbem laterent filii, relaturi ad Davidem quid ageretur. Fideli igitur ad ipsos missa ancilla, secum ferente quæ Abesalomo decreta essent, præceperunt ut de istis Davidem propere admonendum curarent. Illi vero nec mora nec procrastinatione rem distulerunt, sed patris mandatis acceptis sese pios fidosque ministros ostendebant, et, quum

πιστοὶ γίνονται διάκονοι, καὶ τῆς ὑπηρεσίας τὸ τάχος καὶ τὴν ὀξύτητα κρίναντες ἄριστον εἶναι ἠπείγοντο συμβαλεῖν Δαυίδῃ. Γενομένους δ' αὐτοὺς ἀπὸ σταδίων τῆς πόλεως δύο θεῶνταί τινες ἱππεῖς καὶ διαβάλλουσι πρὸς τὸν Ἀβεσάλωμον. Ὁ δ' εὐθὺς ἔπεμψε τοὺς συλληψομένους. Νοήσαντες δὲ τοῦτο οἱ τῶν ἀρχιερέων παῖδες, ἐκτραπέντες τῆς ὁδοῦ παραχρῆμα εἰς κώμην τινὰ τῶν Ἱεροσολύμων οὐκ ἄπωθεν ἑαυτοὺς ἔδωκαν· (Βαχουρὶς ἦν ὄνομα τῇ κώμῃ·) γυναικὸς δ' ἐδεήθησάν τινος κρύψαι καὶ παρασχεῖν αὐτοῖς τὴν ἀσφάλειαν. Ἡ δὲ καθιμήσασα τοὺς νεανίσκους εἰς φρέαρ, καὶ πλάκας ἄνωθεν ἐρίων ἐπιβαλοῦσα, ὡς ἦκον οἱ διώκοντες αὐτοὺς καὶ περὶ αὐτῶν ἀνέκρινον εἰ θεάσαιτο, ἰδεῖν μὲν οὐκ ἠρνήσατο, μείναντας γὰρ παρ' αὐτῇ πάλιν ἀπελθεῖν· εἰ μέντοι γε συντόμως διώξουσι, καταλήψεσθαι προὔλεγεν. Ὡς δ' ἐπὶ πολὺ διώξαντες οὐ κατέλαβον, ἀνέστρεψαν εἰς τοὐπίσω. Θεασαμένη δ' αὐτοὺς ἀναζεύξαντας ἡ γυνὴ καὶ μηδένα φόβον τοῖς νεανίσκοις ἀπ' αὐτῶν ἔτι συλλήψεως εἶναι, ἀνιμήσασα τὴν προκειμένην ὁδὸν ἀνύειν παρεκελεύσατο, καὶ πολλῇ σπουδῇ κατὰ χεῖρα χρησάμενοι περὶ τὴν ὁδοιπορίαν ἦκον πρὸς Δαυίδην· καὶ πάντα ἀκριβῶς ἐδήλωσαν αὐτῷ τὰ παρ' Ἀβεσαλώμου βεβουλευμένα. Ὁ δὲ διαβῆναι τὸν Ἰορδάνην τοὺς μεθ' ἑαυτοῦ προσέταξεν, ἤδη νυκτὸς οὔσης, καὶ μηδὲν ὀκνεῖν δι' αὐτήν.

η'. Ἀχιτόφελος δὲ, τῆς γνώμης αὐτοῦ παρευδοκιμηθείσης, ἐπιβὰς τοῦ κτήνους ἐξώρμησεν εἰς Γελμῶνα τὴν πατρίδα καὶ συγκαλέσας τοὺς οἰκείους ἅπαντας, ἃ συνεβούλευσεν Ἀβεσαλώμῳ, ταῦτ' αὐτοῖς διεξῆλθε, καὶ ὡς οὐ πεισθεὶς φανερός ἐστιν οὐκ εἰς μακρὰν ἀπολούμενος. Δαυίδην δὲ κρατήσειν μέλλειν ἔλεγε καὶ ἐπανήξειν ἐπὶ τὴν βασιλείαν. Ἄμεινον οὖν ἔφησεν εἶναι τοῦ ζῆν αὐτὸν ἐξαγαγεῖν ἐλευθέρως καὶ μεγαλοφρόνως ἢ παρασχεῖν αὑτὸν εἰς κόλασιν Δαυίδῃ καθ' οὗ πάντα συνέπραττεν Ἀβεσαλώμῳ. Ταῦτα διαλεχθεὶς καὶ παρελθὼν εἰς τὸ μυχαίτατον τῆς οἰκίας, ἀνήρτησεν αὑτόν. Καὶ τὸν μὲν Ἀχιτόφελον, τοιούτου θανάτου δικαστὴν αὐτῷ γενόμενον, καθελόντες ἐκ τῆς ἀγχόνης ἐκήδευσαν οἱ προσήκοντες· ὁ δὲ Δαυίδης διαβὰς τὸν Ἰορδάνην, καθὼς προειρήκαμεν, εἰς Παρεμβολὰς, καλλίστην καὶ ὀχυρωτάτην πόλιν, παραγίνεται. Δέχονται δ' αὐτὸν ἀσμενέστατα πάντες οἱ πρῶτοι τῆς χώρας, κατά τε αἰδὼ τῆς πρώτης φυγῆς καὶ κατὰ τιμὴν τῆς προτέρας εὐπραγίας. Ἦσαν δ' οὗτοι Βερζελαῖος ὁ Γαλαδίτης, καὶ Σιφὰρ ὁ τῆς Ἀμμανίτιδος δυνάστης, καὶ Μάχειρος ὁ τῆς Γαλαδίτιδος χώρας πρῶτος. Οὗτοι πᾶσαν αὐτῷ καὶ τοῖς ἐκείνου τῶν ἐπιτηδείων εὐθηνίαν παρέσχον, ὡς μήτε κλίνας ἐπιλιπεῖν ἐστρωμένας μήτε ἄρτους καὶ οἶνον, ἀλλὰ καὶ θυμάτων ἀφθονίαν χορηγῆσαι, καὶ τῶν εἰς ἀνάπαυσιν ἅμα κεκοπωμένοις καὶ τροφὴν χρησίμων εὐπορίαν διαρκῆ παρασχεῖν.

in obsequio præstando celeritatem adhibere et velocitatem optimum esse existimarent, Davidi obviam ire maturabant. Illos vero, quum duobus stadiis ab urbe abessent, equites aliquot forte conspiciunt, atque indicant Abesalomo. Is vero statim ad capiendum eos misit. At quum hoc animadvertissent pontificis filii, via divertentes illico in vicum quendam non longe ab Hierosolymis se contulerunt; (Bachures vico nomen erat;) mulierem autem quandam rogaverunt ut latebras daret ipsisque securitatem præstaret. Illa vero quum juvenes in puteum fune demisisset, lanamque coactam ori ejus obduxisset, ut ad eam venerunt qui illos persequebantur, et ex ea quæsiverunt num eos vidisset, sibi quidem conspectos esse non negavit, paululum enim secum moratos denuo discessisse : fore tamen prædicebat ut eos comprehendant, si modo e vestigio subsequerentur. At postquam longe illos insequuti non deprehenderunt, retrorsum se recepere. Mulier autem, quum eos revertisse vidisset et non amplius juvenibus metuendum esse ab illis ne caperentur, per funem rursum extractos iter propositum conficere jussit; prompteque viam ire festinantes ad Davidem pervenerunt, et accurate ei omnia indicarunt quæ decreverat Abesalomus. Ille vero suis omnibus imperavit ut Jordanem trajicerent, etiamsi nox esset, ac ob eam nihil cunctarentur.

8. At Achitophelus, quum suo non obtemperatum esset consilio, conscenso jumento Gelmonem in patriam suam contendit, suisque omnibus convocatis, exposuit eis quæ Abesalomo consuluerat, quodque ipsi non auscultaverit, pro certo brevi periturum. Davidem enim victorem fore aiebat et in regnum restitutum iri. Præstare igitur dixit libere magnoque animo e vita exire quam Davidi, contra quem operam navarit Abesalomo, sese dare ad supplicium. Hæc effatus et in intimam domum digressus, semetipsum suspendit. Et Achitophelum quidem, qui suopte judicio hujusmodi morti se addixerat, cognati ejus laqueo demptum sepulturæ mandarunt. Verum Davides, Jordane, ut ante diximus, superato, Castra pervenit, urbem pulcerrimam ac munitissimam, omnesque regionis optimates eum libentissime excipiunt, tam quod eos puduerit primæ ipsius fugæ, quam quod eum in honore habuerint ob priorem felicitatem. Erant autem isti Berzelæus Galadita, et Siphar Ammanitidis dynastes, et Machirus regionis Galaditidis primas. Hi omnia ipsi et qui cum eo erant omnia ad vitam necessaria largiter suppeditabant, ut neque lectos stratos eis deesse paterentur, nec panem ac vinum, sed et magnam pecudum abundantiam ministrarent, rerumque ad lassatorum quietem pariter atque ad victum utilium copiam assiduam præberent.

ΚΕΦ. Ι'.

Καὶ οἱ μὲν ἐν τούτοις ἦσαν· Ἀβεσάλωμος δὲ ἀθροίσας μεγάλην στρατιὰν τῶν Ἑβραίων ἦγεν ἐπὶ τὸν πατέρα, καὶ διαβὰς τὸν Ἰορδάνην ποταμὸν οὐ πόρρω κατέζευξε τῶν Παρεμβολῶν ἐν τῇ Γαλαδιτῶν χώρᾳ, καταστήσας στρατηγὸν πάσης τῆς δυνάμεως Ἀμεσσὰν εἰς τὴν Ἰωάβου τάξιν τοῦ συγγενοῦς αὐτοῦ. Πατρὸς μὲν γὰρ ἦν Ἰεθάρσου, μητρὸς δὲ Ἀβιγαίας· αὕτη δὲ καὶ Σαρουία ἡ Ἰωάβου μήτηρ ἀδελφαὶ ἦσαν Δαυίδου. Ὡς δ' ἐξαριθμήσας τοὺς σὺν αὐτῷ Δαυίδης περὶ τετρακισχιλίους ηὗρεν ὄντας, οὐκ ἔγνω μένειν πότ' ἐπ' αὐτὸν ὁ Ἀβεσάλωμος ἐλθῇ. Προσθεὶς δὲ τοῖς οὖσι χιλιάρχους καὶ ἑκατοντάρχους, καὶ διελὼν εἰς τρία μέρη τὴν στρατιὰν, τὸ μὲν τῷ στρατηγῷ παρέδωκεν Ἰωάβῳ, τὸ δὲ τῷ ἀδελφῷ αὐτοῦ Ἀβεσσαίῳ, τὴν δὲ τρίτην μοῖραν ἐνεχείρισεν Ἐθαίῳ, συνήθει μὲν ὄντι καὶ φίλῳ, ἐκ δὲ τῆς Γιττῶν πόλεως ὑπάρχοντι. Βουλόμενον δὲ συνεκστρατεύειν αὐτὸν οὐκ εἴασαν οἱ φίλοι, γνώμῃ κατασχόντες σοφωτάτῃ. Νικηθέντες μὲν γὰρ σὺν αὐτῷ πᾶσαν ἀποβαλεῖν ἐλπίδα χρηστὴν ἔφασκον· ἂν δὲ ἡττηθέντες ἐνὶ μέρει τῆς δυνάμεως τῷ λοιπῷ πρὸς αὐτὸν φύγωσιν, ἀμείνονα παρασκευάσειν αὐτὸν ἰσχύν. Ὑπονοήσειν δὲ καὶ τοὺς πολεμίους εἰκός ἐστιν ἄλλο μετ' αὐτοῦ στράτευμα εἶναι. Ἡσθεὶς δὲ τῇ συμβουλίᾳ ταύτῃ μένειν μὲν αὐτὸς ἐν ταῖς Παρεμβολαῖς ἔκρινεν, ἐκπέμπων δὲ τοὺς φίλους καὶ τοὺς στρατηγοὺς ἐπὶ τὸν πόλεμον παρεκάλει προθυμίαν ἐναποδείξασθαι καὶ πίστιν καὶ μνήμην, εἴ τινος τῶν μετρίως ἐχόντων παρ' αὐτοῦ ἔτυχον· φείσασθαι δὲ καὶ τοῦ παιδὸς Ἀβεσαλώμου κρατήσαντας ἠντιβόλει, μὴ κακὸν αὐτὸν ἐργάσηταί τι τελευτήσαντος αὐτοῦ. Καὶ ὁ μὲν νίκην αὐτοῖς ἐπευξάμενος ἐκπέμπει τὴν στρατιάν.

β'. Ἰωάβου δὲ παρατάξαντος τὴν δύναμιν ἀντικρὺ τῶν πολεμίων ἐν τῷ πεδίῳ τῷ Μεγάλῳ, ἐξόπισθεν περιβεβλημένῳ δρυμὸν, ἀντεξάγει τὴν στρατιὰν καὶ Ἀβεσάλωμος, καὶ συμβολῆς γενομένης ἔργα μεγάλα χειρῶν τε καὶ τόλμης παρ' ἀμφοτέρων ἐπεδείκνυντο, τῶν μὲν ὑπὲρ τοῦ τὴν βασιλείαν ἀπολαβεῖν Δαυίδην παρακινδυνευόντων καὶ πάσῃ προθυμίᾳ χρωμένων, τῶν δ' ἵνα μὴ καὶ ταύτην Ἀβεσάλωμος ἀφαιρεθῇ, καὶ δῷ τῷ πατρὶ δίκας κολασθεὶς ἀνθ' ὧν ἐτόλμησεν, οὐδὲν ὀκνούντων οὔτε ποιεῖν οὔτε πάσχειν· ἔτι δὲ τῶν μὲν πλειόνων, ἵνα μὴ κρατηθῶσιν ὑπὸ τῶν σὺν Ἰωάβῳ καὶ τοῖς σὺν αὐτῷ στρατηγοῖς ὄντων ὀλίγων, (αἰσχύνην γὰρ αὐτοῖς τοῦτ' εἶναι μεγίστην,) τῶν δὲ Δαυίδου στρατιωτῶν, ἵνα τῶν τοσούτων μυριάδων κρατήσωσιν, φιλοτιμουμένων ἔρις ἐγένετο καρτερὰ, καὶ νικῶσιν οἱ Δαυίδου, ῥώμῃ τε προύχοντες καὶ τῇ τῶν πολεμικῶν ἐπιστήμῃ. Φεύγοντας δὲ διὰ δρυμῶν καὶ φαράγγων ἑπόμενοι τοὺς μὲν ἐλάμβανον, πολλοὺς δὲ ἀνῄρουν, ὡς φεύγοντας πεσεῖν πλείονας ἢ μαχομένους· ἔπεσον γὰρ ὡς δισμύριοι ἐπ' ἐκείνης τῆς ἡμέρας. Οἱ δὲ τοῦ Δαυίδου πάντες ὥρμησαν ἐπὶ τὸν Ἀβεσάλωμον· φανερὸς γὰρ αὐτοῖς ὑπό τε τοῦ

CAP. X. (IX.)

Atque illis quidem ita se res habebant. At Abesalomus, magno in patrem coacto Hebræorum exercitu, trajectoque Jordane fluvio, constitit non longe a Castris in Galaditarum regione, Amessa, loco Joabi cognati ejus, exercitui præposito. Nam is patre quidem Jetharsa *prognatus erat*, matre vero Abigæa; hæc autem et Saruia mater Joabi sorores erant Davidis. At quum Davides copiis suis recensitis quattuor millia virorum invenisset, decrevit non exspectare dum Abesalomus ipsum adoriretur, sed tribunis et centurionibus super eos constitutis, divisoque in tres partes exercitu, unam quidem Joabo imperatori tribuit, alteram vero fratri ejus Abessæo, tertiam autem tradidit Ethæo, suo quidem familiari et amico, e Gittensium vero urbe oriundo. Ipsum autem, cum exercitu profecturum, retinuerunt amici, idque sapientissimo consilio. Nam si cum illo vincerentur, omni de spe bona se dejectum iri dicebant: quodsi una parte exercitus victi, cum reliqua ad ipsum se recipiant, fore ut ipse in melius vires redintegret. Quin et verisimile est hostes suspicaturos, ipsi alium exercitum adesse. Quum hoc ei gratum esset consilium, ipse quidem apud Castra manere constituit. At dum amicos et duces ad bellum dimitteret, hortabatur ut se fortes et fideles ejusque memores præstarent, si quo beneficio ab eo affecti fuerint: orabat vero et obsecrabat ut victoria potiti juveni parcerent Abesalomo, ne illo mortuo aliquid mali in se ipsum statueret. Atque victoriam illis precatus exercitum emittit.

2. Quum vero Joabus contra hostes aciem explicuisset in Magno campo, a tergo silva cincto, Abesalomus ex adverso suos eduxit, et congressi utrinque rem præclare gesserunt, tam magna audendo quam fortiter pugnando, his quidem, ut Davides amissum imperium recuperet, nulli non periculo semet objicientibus, summamque alacritatem adhibentibus, illis vero omnia facere et pati paratis, ne Abesalomus occupatum amittat, et patri supplicium solvat ausis debitum: insuper his quidem, quum plures essent, ne a paucis illis superentur, qui cum Joabo erant ejusque ducibus, (nam hoc ipsum illis in maximum cessurum esse opprobrium,) Davidis vero militibus ut tot myriadas debellarent magnopere laborantibus, summa contentione pugnatum est, tandemque victoriam reportant Davidici, quod viribus præstarent artisque militaris peritia. Quum vero fugientes per saltus et abrupta sequerentur, nonnullos quidem ceperunt, multos vero interfecerunt, ita ut plures fuga quam pugna perierint: ea enim die ferme viginti millia virorum ceciderunt. Davidici autem omnes magno cum impetu ferebantur in Abesalomum: ipsis enim conspicuus

κάλλους καὶ τοῦ μεγέθους ἐγένετο. Δείσας δὲ μὴ καταλάβωσιν αὐτὸν οἱ πολέμιοι, ἐπιβὰς τῆς ἡμιόνου τῆς βασιλικῆς ἔφευγε· φερόμενος δὲ μετὰ ῥύμης καὶ ὑπὸ τοῦ σάλου καὶ τῆς κινήσεως κοῦφος ὢν, ἐμπλακείσης αὐτῷ τῆς κόμης τραχεῖ δένδρῳ μεγάλοις ἐπιπολὺ κλάδοις ἐκτεταμένῳ, παραδόξως ἀνακρήμναται, καὶ τὸ μὲν κτῆνος ὑπὸ ὀξύτητος ὡς ἐπικείμενον τὸν δεσπότην ἔτι φέρον ἐχώρει προσωτέρω, ὁ δ' ἐκ τῶν κλάδων αἰωρούμενος ἐκρατεῖτο τοῖς πολεμίοις. Τοῦτόν τις ἰδὼν τῶν Δαυΐδου στρατιωτῶν, ἐδήλωσεν Ἰωάβῳ, καὶ πεντήκοντα σίκλους ἂν αὐτῷ δεδωκέναι τοῦ στρατηγοῦ φήσαντος εἰ βαλὼν ἀπέκτεινε τὸν Ἀβεσάλωμον, « οὐδ' εἰ χιλίους, εἶπεν, ἔμελλές μοι παρέξειν, τοῦτ' ἂν διέθηκά μου τὸν τοῦ δεσπότου παῖδα, καὶ ταῦτ' ἐκείνου πάντων ἡμῶν ἀκουόντων φείσασθαι τοῦ νεανίσκου δεηθέντος. » Ὁ δὲ κελεύσας αὐτῷ δεῖξαι ποῦ κρεμάμενον ἴδοι τὸν Ἀβεσάλωμον, τοξεύσας κατὰ τῆς καρδίας ἀπέκτεινεν. Οἱ δὲ τὰ τοῦ Ἰωάβου κομίζοντες ὅπλα, περιστάντες ἐν κύκλῳ τὸ δένδρον κατασπῶσι τὸν νεκρὸν, καὶ τὸν μὲν εἰς χάσμα βαθὺ καὶ ἀφανὲς ῥίψαντες ἐπιβάλλουσιν αὐτῷ λίθους, ὥστ' ἀναπληρωθῆναι καὶ τὸ σχῆμα τάφου καὶ μέγεθος λαβεῖν· σημήνας δὲ ἀνακλητικὸν ὁ Ἰώαβος ἀπέσχετο τοῦ διώκειν τοὺς οἰκείους στρατιώτας τὴν τῶν πολεμίων δύναμιν, φειδόμενος τῶν ὁμοφύλων.

γ'. Ἔστηκε δ' Ἀβεσάλωμος ἐν τῇ κοιλάδι τῇ βασιλικῇ στήλην λίθου μαρμαρίνου δύο σταδίους ἀπέχουσαν Ἱεροσολύμων, ἣν προσηγόρευσεν ἰδίαν χεῖρα, λέγων ὡς καὶ τῶν τέκνων αὐτῷ διαφθαρέντων ἐν τῇ στήλῃ μενεῖ τὸ ὄνομα. Τέκνα γὰρ ἦσαν αὐτῷ τρία μὲν ἄρρενα, θυγάτηρ δὲ μία Θαμάρα τοὔνομα, ὡς προειρήκαμεν. Συνοικησάσης δ' αὐτῆς τῷ Δαυΐδου υἱωνῷ Ῥοβοάμῳ, γίνεται παῖς ὁ διαδεξάμενος τὴν βασιλείαν Ἀβίας. Καὶ περὶ μὲν τούτων ἐν ὑστέροις οἰκειότερον τῇ ἱστορίᾳ δηλώσομεν. Μετὰ δὲ τὴν Ἀβεσαλώμου τελευτὴν, ὁ μὲν λαὸς εἰς τὰ οἰκεῖα διεσπάρη.

(Ι'.) δ'. Ἀχιμὰς δὲ ὁ Σαδώκου τοῦ ἀρχιερέως υἱὸς Ἰωάβῳ προσελθὼν ἐδεῖτο αὐτοῦ τὴν νίκην ἐπιτρέψαι πορευθέντι Δαυΐδῃ μηνῦσαι, καὶ ὅτι τῆς παρὰ τοῦ Θεοῦ βοηθείας ἔτυχε καὶ προνοίας εὐαγγελίσασθαι, καὶ τὸν μὲν, οὐ προσήκειν εἰπὼν αὐτῷ καλῶν ἄγγελον ἀεὶ γεγενημένον νῦν ἀπιέναι δηλώσοντα θάνατον τῷ βασιλεῖ τοῦ παιδὸς αὐτοῦ, μένειν ἠξίου, καλέσας δὲ τὸν Χουσὶ, ἐκείνῳ προσέταξε τὸ ἔργον, ἵν' ὅπερ αὐτὸς εἶδε, τοῦτο μηνύσειε τῷ βασιλεῖ. Τοῦ δ' Ἀχιμᾶ πάλιν δεηθέντος αὐτὸν ἐπὶ τὴν ἀγγελίαν ἀφεῖναι, (περὶ μόνης γὰρ αὐτὸν ποιήσεσθαι τῆς νίκης, ἡσυχάσειν δὲ περὶ τῆς Ἀβεσαλώμου τελευτῆς,) ἐπέτρεψεν αὐτῷ τὴν πρὸς τὸν Δαυΐδην ἄφιξιν. Καὶ τὴν ἐπιτομωτέραν ἐκλαβὼν τῶν ὁδῶν (καὶ γὰρ μόνος αὐτὴν ἐγίνωσκε) τὸν Χουσὶ φθάνει. Καθεζομένῳ δὲ Δαυΐδῃ μεταξὺ τῶν πυλῶν καὶ παραμένοντι πότ' αὐτῷ τις ἐλθὼν ἀπὸ τῆς μάχης ἀπαγγείλῃ τὰ κατ' αὐτὴν, τῶν σκοπῶν τις ἰδὼν τὸν Ἀχιμᾶν τρέχοντα καὶ μήπω τίς ἐστι γνωρίσαι δυνάμενος εἶπε πρὸς τὸν Δαυΐδην βλέπειν τινὰ παραγινόμενον πρὸς αὐτόν. Τοῦ

erat tam ob pulcritudinem quam ob proceritatem. At is veritus ne vivus in hostium manus veniret, conscensa mula regia effuso cursu fugiebat. Quumque rapide ferretur atque agitatione motuque levis esset, implicita ei cæsarie asperæ arbori, magnis ramis maxime patulæ, miro modo suspenditur et jumentum quidem eadem pergebat velocitate ac si dominum insidentem haberet, ille vero in altum a ramis sublatus hostibus circumdatur. Quem quum unus e Davidis militibus conspiceret, Joabo nunciavit, ac quinquaginta siclos se illi daturum fuisse dicente imperatore, si confodisset Abesalomum, respondit, « nec si mille daturus fuisses, hoc domini mei filio fecissem, præsertim quum nobis omnibus audientibus ille oraverit ut juveni parceretur. » Ille vero, quum ei imperasset ut ipsi ostenderet ubinam Abesalomum pendentem viderit, conjecta in cor sagitta eum interemit. Joabi autem armigeri, qui orbe facto ei adstiterunt, mortuum arbori detrahunt, et quum ipsum quidem in voraginem profundam et obscuram projecissent, in eam lapides devolvunt congeruntque, usque dum impleretur et tumuli speciem et magnitudinem acciperet: Joabus vero, quum receptui cecinisset, milites suos ab hostium copiis, quod populo consanguineo parcebat, persequendis cohibuit.

3. Sibimet autem Abesalomus erexerat in valle regia columnam lapidis marmorei, duobus stadiis dissitam ab Hierosolymis, quam appellavit manum suam, dicens quod etiamsi liberi sibi perirent, in ista columna nomen ipsius esset mansurum. Nam tres liberos habebat, duos quidem filios, filiam vero unam, Thamaram nomine, quemadmodum jam ante diximus. Ea autem quum Davidis nepoti Roboamo nupta esset, peperit filium Abiam, qui postea regnum accepit. Ac de his quidem infra in loco suo et narrationi magis proprio dicemus. Post obitum autem Abesalomi, populo dissipato, ad domum quisque suam se receperunt.

(X.) 4. Jam vero Achimas, Sadoci pontificis filius, adito Joabo petiit ab eo ut sibi liceret ire Davidi indicatum quod victoriam reportarit, lætumque nuncium allatum, quod ei Dei auxilio curaque freto prospere omnia ceciderint, hunc quidem, non decere dicens, qui semper ei lætorum nuncius exstiterit, nunc proficisci regi nunciaturum filium obiisse, obsecrabat ut maneret, at Chusi vocato negotium mandavit, ut quod ipse vidisset id regi indicaret. Quum vero Achimas denuo eum rogaret ut nunciatum mitteretur, (ipsum enim de victoria solummodo mentionem facturum esse, de morte vero filii taciturum,) ei permisit Davidem adire. Atque per viarum compendia profectus (nam ea ipsi soli nota erant) prævertit Chusi. Sedente autem Davide inter portas atque exspectante dum aliquis e prælio veniens sibi res in eo gestas nunciaret, speculatorum unus, quum prospiceret Achimam currentem, et non adhuc quis esset dignoscere posset, aiebat ad Davidem videre se quempiam ad ipsum advenientem. Quum vero dixisset rex bonum

δ' ἄγγελον ἥκειν φήσαντος ἀγαθὸν, μετ' ὀλίγον ἕπεσθαί τινα καὶ ἕτερον ἐδήλωσεν αὐτῷ. Κἀκεῖνον δὲ ἄγγελον [ἀγαθὸν] εἰπόντος, ἰδὼν τὸν Ἀχιμὰν ὁ σκοπὸς ἐγγὺς ἤδη γεγενημένον, τὸν Σαδώκου παῖδα τοῦ ἀρχιερέως προστρέχειν ἐσήμαινεν. Ὁ δὲ Δαυΐδης περιχαρὴς γενόμενος ἀγαθῶν ἄγγελον τοῦτον ἔφησεν εἶναι καί τι τῶν εὐκταίων αὐτῷ φέρειν ἀπὸ τῆς μάχης.

ε'. Καὶ μεταξὺ ταῦτα λέγοντος τοῦ βασιλέως φανεὶς ὁ Ἀχιμὰς προσκυνεῖ τὸν βασιλέα, καὶ πυθομένῳ περὶ τῆς μάχης νίκην εὐαγγελίζεται καὶ κράτος. Ἐρομένου δ' εἴ τι καὶ περὶ τοῦ παιδὸς ἔχοι λέγειν, αὐτὸς μὲν ἔφασκεν εὐθὺς ὁρμῆσαι πρὸς αὐτὸν τῆς τροπῆς τῶν πολεμίων γενομένης, ἀκοῦσαι δὲ μεγάλης βοῆς ὀιωκόντων τὸν Ἀβεσάλωμον, καὶ πλεῖον τούτου μὴ μαθεῖν δύνασθαι διὰ τὸ πεμφθέντα ὑπὸ Ἰωάβου δηλῶσαι τὴν νίκην ἐπείγεσθαι. Παραγενομένου δὲ τοῦ Χουσὶ καὶ προσκυνήσαντος καὶ τὴν νίκην σημήναντος, περὶ τοῦ παιδὸς αὐτὸν ἀνέκρινεν. Ὁ δ', « ἐχθροῖς, εἶπε, τοῖς σοῖς οἷα συμβέβηκεν Ἀβεσαλώμῳ γένοιτο. » Οὗτος ὁ λόγος οὐδὲ τὴν ἐπὶ τῇ νίκῃ χαρὰν εἶασεν οὔτ' αὐτῷ μεῖναι μεγίστην οὖσαν οὔτε τοῖς στρατιώταις. Αὐτὸς μὲν γὰρ ἀναβὰς ἐπὶ τὸ ὑψηλότατον τῆς πόλεως ἀνεκαλεῖτο τὸν υἱὸν, τυπτόμενος τὰ στέρνα καὶ τὴν κεφαλὴν σπαραττόμενος καὶ παντοίως αὐτὸν αἰκιζόμενος, καὶ, « τέκνον, ἐκβοῶν, εἴθε μοι τὸν θάνατον ἐπελθεῖν ἐγένετο καὶ ἅμα σοι τελευτῆσαι. » Φύσει γὰρ ὢν φιλόστοργος πρὸς ἐκεῖνον ἔτι μᾶλλον συμπαθῶς εἶχεν. Ἡ στρατιὰ δὲ καὶ ὁ Ἰώαβος, ἀκούσαντες ὅτι πενθεῖ τὸν υἱὸν οὕτως ὁ βασιλεὺς, ᾐσχύνθησαν μετὰ τοῦ τῶν νενικηκότων σχήματος εἰσελθεῖν εἰς τὴν πόλιν, κατηρεῖς δὲ καὶ δεδακρυμένοι πάντες ὡς ἀφ' ἥττης παρῆλθον. Κατακαλυψαμένου δὲ τοῦ βασιλέως καὶ στένοντος τὸν υἱὸν, εἴσεισι πρὸς αὐτὸν Ἰώαβος καὶ παρηγορῶν, « ὦ δέσποτα, φησὶ, λανθάνεις διαθάλλων σαυτὸν οἷς ποιεῖς, ὅτι τοὺς μὲν ἀγαπῶντάς σε καὶ περὶ σοῦ κινδυνεύοντας καὶ σαυτὸν καὶ τὴν σὴν γενεὰν δοκεῖς μισεῖν, στέργειν δὲ τοὺς ἐχθροτάτους καὶ ποθεῖν· οὐκέτ' ὄντας, οἳ δίκῃ τεθνήκασιν. Εἰ γὰρ Ἀβεσάλωμος ἐκράτησε καὶ τὴν βασιλείαν βεβαίως κατέσχεν, οὐδενὸς ἂν ἡμῶν ὑπελείφθη λείψανον, ἀλλὰ πάντες ἄν, ἀπὸ σοῦ καὶ τῶν σῶν ἀρξάμενοι τέκνων, ἀπωλώλειμεν οἰκτρῶς, οὐ κλαιόντων ἡμᾶς τῶν πολεμίων, ἀλλὰ χαιρόντων καὶ τοὺς ἐλεοῦντας ἐπὶ τοῖς κακοῖς κολαζόντων. Σὺ δ' οὐκ αἰσχύνῃ ταῦτα ποιῶν ἐπὶ μᾶλλον ἐχθρῷ, ὅτι σὸς υἱὸς ὢν ἀσεβὴς οὕτως ἐγένετο. Παυσάμενος οὖν τῆς ἀδίκου λύπης προελθὼν ὄφθητι τοῖς σαυτοῦ στρατιώταις καὶ τῆς περὶ τοῦ ἀγῶνος προθυμίας εὐχαρίστησον· ὡς ἐγὼ τήμερον, ἂν ἐπιμένῃς τοῖς ἄρτι πραττομένοις, ἀναπείσας ἀποστῆναί σου τὸν λαὸν καὶ τὴν βασιλείαν ἑτέρῳ παραδοῦναι, τότε σοι πικρότερον καὶ ἀληθὲς ποιήσω τὸ πένθος. » Ταῦτ' εἰπὼν Ἰώαβος ἀπέστρεψεν ἀπὸ τῆς λύπης καὶ ἤγαγεν εἰς τὸν περὶ τῶν πραγμάτων λογισμὸν τὸν βασιλέα. Μετασχηματίσας δὲ αὐτὸν Δαυΐδης καὶ ποιήσας ἐπιτήδειον εἰς τὴν τοῦ πλήθους

venire nuncium, ille paulo post et alterum quendam sequi regi indicavit. Ubi rex et illum nuncium bonum pronunciarat speculator, ubi Achimam conspexerat jam propius admotum, Sadoci pontificis filium accurrere significavit. Davides autem admodum lætatus, hunc bonorum nuncium esse aiebat, et quod optatis respondeat sibi e pugna afferre.

5. Ac dum ista rex diceret, comparuit Achimas, regemque adorabat, scitantique de pugna victoriam nunciat et imperium. Quum vero interrogaret quid de filio exploratum haberet, ille quidem dicebat, se statim, ubi in fugam versi fuerint hostes, magno cursu ad ipsum contendisse, ingentem vero clamorem audivisse militum Abesalomum insequentium, nec præterea quicquam comperti habere potuisse, quod missus ab Joabo ad victoriam nunciandam valde festinarit. At quum Chusi advenisset, et adorasset, eumque victoriæ nuncio impertisset, ex eo etiam de filio quæsivit. Ille vero, « inimicis, aiebat, eveniant tuis ea quæ Abesalomo acciderunt. » Hæc verba in causa fuerunt ut nec rex ipse neque milites ipsius in voluptate ex victoria licet maxima *diutius* permanerent. Nam ille quidem, editissima urbis parte conscensa, invocabat filium, sibi tundens pectora capitisque capillos dilacerans, et modis omnibus sese afflictans, ac vociferans, « o fili, utinam in me invasisset mors, « et simul tecum obire contigisset. » Quum enim natura esset affectu in suos propensissimo, etiam majorem ipsi impertiebatur misericordiam. Exercitum autem et Joabum, audito quod rex ita filium lugeret, puduit triumphantium more in urbem ingredi, sed mœrore dejecti et lacrimis suffusi, quasi clade accepta, intraverunt. Quumque rex vultu velato consideret, filiumque gemeret, Joabus ad eum introiit, et solatium adhibens, « domine, inquit, non intelligis « ita te gerendo convicium te tibi ipsum facere, dum istos « quidem qui te amant, proque te pericula subeunt, teque « ipsum et familiam tuam odisse videris, tibi vero inimicis- « simos diligere, exstinctosque desiderare, qui morte me- « ritissima affecti sunt. Si enim Abesalomus vicisset et « regnum confirmasset, ne tantillum quidem ex nobis omni- « bus reliquum fecisset, sed omnes, a te tuisque initio « facto, miserandum in modum periissemus, ita ut nos non « plorarent inimici, sed gauderent, atque eos qui nostram « vicem miserarentur pœnis castigarent. Te vero non pudet « ista facere hominis gratia maxime inimici, qui quum esset « tuus filius, tantopere in te fuit impius. Age itaque, missa « hac iniqua tristitia, prodi in conspectum tuorum mili- « tum, et gratias illis redde pro alacritate quam in decer- « tando exhibuerunt. Nam ego hodie, si pergas ea facere « quæ hactenus fecisti, persuadebo populo ut a te deficiat et « regnum alii tradat, et tunc amariorem et verum faciam « tibi luctum. » Hisce verbis Joabus regem avertit a tristitia, eoque adduxit ut de rebus gerendis cogitaret. Nam ubi habitum mutaverat Davides, seque composuerat ut in populi

θέαν, πρὸς ταῖς πύλαις ἐκάθισεν, ὡς ἅπαντα τὸν λαὸν ἀκούσαντα συνδραμεῖν πρὸς αὐτὸν καὶ κατασπάσασθαι. Καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον.

ΚΕΦ. ΙΑ'.

Οἱ δ' ἐκ τῆς μάχης ἀναχωρήσαντες τῶν Ἑβραίων τῶν Ἀβεσαλώμου, γενόμενοι παρ' ἑαυτοῖς ἕκαστοι, διεπέμποντο κατὰ πόλεις, ὑπομιμνήσκοντες αὐτοὺς ὧν εὐηργέτησεν αὐτοὺς Δαυίδης, καὶ τῆς ἐλευθερίας ἣν ἐκ πολλῶν καὶ μεγάλων ῥυσάμενος αὐτοὺς πολέμων παρέσχε, μεμφόμενοι δ' ὅτι τῆς βασιλείας αὐτὸν ἐκβαλόντες ἄλλῳ ταύτην ἐνεχείρισαν, καὶ νῦν τεθνηκότος τοῦ κατασταθέντος ὑπ' αὐτῶν ἡγεμόνος οὐ παρακαλοῦσι Δαυίδην παύσασθαι μὲν τῆς ὀργῆς, εὐνοϊκῶς δὲ πρὸς αὐτοὺς ἔχειν, τῶν δὲ πραγμάτων, καθὼς ἤδη καὶ πρότερον, ποιεῖσθαι πρόνοιαν, τὴν βασιλείαν ἀπολαβόντα. Ταῦτα μὲν οὖν συνεχέστερον ἀπηγγέλλετο τῷ Δαυίδῃ, κἀκεῖνος οὐδὲν ἧττον ἔπεμψε πρὸς Σάδωκον καὶ Ἀβιάθαρον τοὺς ἀρχιερέας, ἵνα τοῖς ἄρχουσι τοῖς τῆς Ἰούδα φυλῆς διαλεχθῶσιν, ὡς αἰσχρόν ἐστιν αὐτοῖς ἄλλας φυλὰς πρὸ ἐκείνης Δαυίδην χειροτονῆσαι βασιλέα, καὶ ταῦθ' ὑμῶν συγγενῶν ὄντων καὶ κοινὸν αἷμα πρὸς αὐτὸν κεκληρωμένων. Τὰ δ' αὐτὰ καὶ Ἀμεσσᾷ τῷ στρατηγῷ προσέταξεν αὐτοὺς λέγειν, ὅτι τῆς ἀδελφῆς υἱὸς ὢν αὐτοῦ μὴ πείθει τὸ πλῆθος Δαυίδῃ τὴν βασιλείαν ἀποδοῦναι· προσδοκᾶν δὲ παρ' αὐτοῦ μὴ διαλλαγὴν μόνον, (τοῦτο γὰρ ἤδη γεγονέναι,) ἀλλὰ καὶ τὴν ἅπαντος τοῦ λαοῦ στρατηγίαν, ἣν αὐτῷ καὶ Ἀβεσάλωμος παρέσχεν. Καὶ οἱ μὲν ἀρχιερεῖς ἃ μὲν τοῖς τῆς φυλῆς ἄρχουσι διελέχθησαν, ἃ δὲ τὸν Ἀμεσσὰν ἔπεισαν, τὰ παρὰ τοῦ βασιλέως πρὸς αὐτὸν εἰπόντες, ἐγχειρεῖν ταῖς ὑπὲρ αὐτοῦ φροντίσι. Καὶ πείθει γε τὴν φυλὴν παραχρῆμα πέμψαι πρὸς Δαυίδην πρέσβεις, παρακαλοῦντας εἰς τὴν ἰδίαν αὐτὸν ἐπανελθεῖν βασιλείαν. Τὸ δ' αὐτὸ καὶ πάντες ἐποίουν οἱ Ἰσραηλῖται, προτρεψαμένου τοῦ Ἀμεσσᾶ.

β'. Τῶν δὲ πρέσβεων ἀφικομένων πρὸς αὐτὸν εἰς Ἱεροσόλυμα παρεγένετο. Πάντας δὲ τοὺς ἄλλους ἔφθασεν ἡ Ἰούδα φυλὴ πρὸς τὸν Ἰορδάνην ποταμὸν ἀπαντῆσαι τῷ βασιλεῖ, καὶ ὁ Γηρᾶ παῖς Σεμεεὶ μετὰ χιλίων ἀνδρῶν, οὓς ἐκ τῆς Βενιαμίτιδος φυλῆς ἐπήγετο· καὶ Σιβᾶς δὲ ἀπελεύθερος Σαούλου, καὶ οἱ παῖδες αὐτοῦ, πεντεκαίδεκα τὸν ἀριθμὸν ὄντες, μετὰ οἰκετῶν εἴκοσιν. Οὗτοι σὺν τῇ Ἰούδα φυλῇ τὸν ποταμὸν ἐγεφύρωσαν, ἵνα ῥᾷστα διαβῇ μετὰ τῶν ἰδίων ὁ βασιλεύς. Ὡς δ' ἦκεν ἐπὶ τὸν Ἰορδάνην, ἠσπάσατο μὲν αὐτὸν ἡ Ἰούδα φυλή, προσέπεσε δ' ἀναβὰς ἐπὶ τὴν γέφυραν Σεμεεὶ, καὶ κατασχὼν αὐτοῦ τοὺς πόδας ἐδεῖτο συγγνῶναι περὶ τῶν εἰς αὐτὸν ἡμαρτημένων, καὶ μὴ γενέσθαι πικρὸν αὐτῷ, μηδὲ τοῦτο πρῶτον ἡγήσασθαι τὴν τιμωρίαν ἐν ἐξουσίᾳ γενόμενον, λογίσασθαι δ' ὅτι καὶ μετανοήσας ἐφ' οἷς ἐσφάλη πρῶτος ἐλθεῖν πρὸς αὐτὸν ἔσπευσε. Ταῦτα δὲ ἀντιβολοῦντος αὐτοῦ καὶ οἰκτιζομένου, Ἀβεσσαῖος ὁ Ἰωάβου ἀδελφὸς, « διὰ

conspectum venire posset, ad portas semet collocavit, ita ut hoc audito universus populus ad eum salutandum concurrerit. Et ista quidem ita se habuerunt.

CAP. XI. (X.)

Hebræi autem, quotquot Abesalomum sequuti ex pugna evaserant, quum domum quisque suam se recepissent, per urbes *nuncios* dimittebant, admonentes incolas beneficiorum quæ a Davide acceperant, atque libertatis, in quam ipsos e multis magnisque bellis servatos vindicaverit, querentesque quod Davidem regno expulerint, aliique summam imperii tradiderint, et nunc exstincto quem ipsi sibi principem constituerint, Davidem supplices non obsecrent, ut iram deponeret et ipsos benevolentia prosequeretur, verum ut regno recepto curam eandem, quam ante, reipublicæ impenderet. Et de hisce quidem crebri nuncii ad Davidem veniebant, isque nihilominus Sadoco et Abiathare pontificibus *significatum* misit, ut *in hanc sententiam* cum principibus tribus Judæ loquerentur, illis dedecori esse ut aliæ tribus prius quam ipsa Davidem regem crearent, præsertim quum vos cognati sitis et consanguinei. Præterea illis mandavit ut et eadem dicerent ad Amessam imperatorem, quod, quum esset ipsi ex sorore nepos, populo non persuaderet regnum Davidi restitutum ire : licere autem ei ab ipso exspectare, non solum ut in gratiam secum redeat, id quod jam factum esset, sed ut totius exercitus dux fieret, quemadmodum fuerit sub Abesalomo. Et pontifices quidem quum principes tribus alloquuti sunt, tum Amessæ persuaserunt, ubi ei dixerant quæ a rege acceperant, ut de ipso *reducendo* consilia iniret. Atque is tribum eo perduxit, ut e vestigio legatos ad Davidem mitterent, orantes ut in regnum suum reverteretur. Idem autem et omnes fecerunt Israelitæ, hortatu Amessæ.

2. Quum autem legati ad eum pervenissent, Hierosolyma se contulit. Ante alios vero omnes tribus Judæ regi ad Jordanem fluvium occurrit, cumque his Semei Geræ filius, mille viris eum comitantibus, quos e tribu Benjamitica secum adducebat; prætereaque Sibas Sauli libertus, filiique ejus quindecim numero cum famulis viginti. Hi una cum tribu Judæ fluvium ponte junxerunt, ut rex cum suis nullo negotio transire posset. Ut vero ad Jordanem pervenit, eum quidem tribus Judæ salutavit, Semei vero ponte conscenso procidit, regisque pedibus prehensis orabat ut suis in eum peccatis ignosceret, nolletque ipsum acerbe tractare, neque potestatem adeptus id primum existimaret ut supplicium adhibeat, sed reputaret secum quod erratorum pœnitentia ductus ei primus occurrere festinarit. At dum illa verbis supplicibus rogaret, suique miserationem excitaret, Abessæus Joabi frater subjiciebat, « idcircone non jam mo-

« τοῦτο οὖν, εἶπεν, οὐ τεθνήξῃ βλασφημήσας τὸν ὑπὸ « τοῦ Θεοῦ κατασταθέντα βασιλεύειν; » Δαυίδης δ' ἐπιστραφεὶς εἰς αὐτὸν, « οὐ παύσεσθ', εἶπεν, ὦ Σαρου- « ίας παῖδες; μὴ κινήσητε πάλιν ἡμῖν καινὰς ἐπὶ ταῖς « πρώταις ταραχὰς καὶ στάσεις. Οὐ γὰρ ἀγνοεῖν « ὑμᾶς προσῆκεν ὅτι σήμερον ἄρχομαι τῆς βασιλείας. « Διὸ πᾶσιν ἀφιέναι τὰς κολάσεις τοῖς ἀσεβήσασιν « ὄμνυμι καὶ μηδένα τῶν ἁμαρτόντων ἐπεξελθεῖν. « Σύ τε, εἶπεν, ὦ Σεμεεὶ, θάρρει, καὶ δείσῃς μηδὲν « ὡς τεθνηξόμενος ». Ὁ δὲ προσκύνησας αὐτὸν προῆ- γεν.

γ'. Ἀπήντησε δὲ αὐτῷ καὶ ὁ Σαούλου υἱωνὸς Μεμ- φίβοσθος, ῥυπαράν τε τὴν ἐσθῆτα περικείμενος καὶ τὴν κόμην βαθεῖαν καὶ κατημελημένην ἔχων. Μετὰ γὰρ τὴν Δαυίδου φυγὴν οὔτ' ἀπεκείρατο λυπούμενος οὔτ' ἐκάθηρε τὴν ἐσθῆτα, κατακρίνας αὑτοῦ συμφορὰν ταύ- την ἐπὶ τῇ τοῦ βασιλέως μεταβολῇ. Διεβέβλητο δὲ καὶ ὑπὸ τοῦ ἐπιτρόπου Σιβᾶ πρὸς αὐτὸν ἀδίκως. Ἀσπα- σαμένου δ' αὐτοῦ καὶ προσκυνήσαντος, ἤρξατο πυν- θάνεσθαι, τί δήποτ' οὐ συνεξῆλθεν αὐτῷ, καὶ κοινωνὸς ἦν τῆς φυγῆς. Ὁ δ' ἀδίκημα τοῦτ' ἔλεγεν εἶναι Σιβᾶ· « κελευσθεὶς γὰρ παρασκευάσαι τὰ πρὸς τὴν ἔξοδον « οὐκ ἐφρόντισεν, ἀλλ' ὥσπερ ἀνδραπόδου τινὸς οὕτω « παρῆκουσεν. Εἰ μέντοι γε τὰς βάσεις εἶχον ἐρρω- « μένας, οὐκ ἂν ἀπελείφθην σου, χρῆσθαι πρὸς τὴν φυ- « γὴν ταύταις δυνάμενος. Οὐ τοῦτο δὲ μόνον ἠδίκησέ « μου τὴν πρὸς σὲ, δέσποτα, εὐσέβειαν, ἀλλὰ καὶ « προσδιέβαλε καὶ κατεψεύσατο κακουργῶν. Ἀλλ' « οἶδα γὰρ ὅτι τούτων οὐδὲν ἡ σὴ διάνοια προσίεται, « δικαία τε οὖσα καὶ τὴν ἀλήθειαν, ἣν ἰσχύειν βούλε- « ται καὶ τὸ θεῖον, ἀγαπῶσα. Μείζονα γὰρ κινδυνεύ- « σας παθεῖν ὑπὸ τοῦ πάππου τοὐμοῦ, καὶ τῆς ὅλης « ἡμῶν γενεᾶς ὀφειλούσης εἰς ἐκεῖνα ἀπολωλέναι, σὺ « μέτριος καὶ χρηστὸς ἐγένου, τότε μάλιστα πάντων « ἐκείνων λήθην ποιησάμενος, ὅτ' ἐξουσίαν τῆς ὑπὲρ « αὐτῶν τιμωρίας εἶχεν ἡ μνήμη. Φίλον δὲ σὸν ἔκρι- « νας ἐμὲ καὶ ἐπὶ τῆς τραπέζης εἶχες ὁσημέραι, καὶ « οὐδὲν ἀπέλειπον τῶν συγγενῶν τοῦ μάλιστα τιμωμέ- « νου. » Ταῦτ' εἰπόντος, οὔτε τὸν Μεμφίβοσθον ἔγνω κολάζειν οὔθ' ὡς καταψευσάμενον τὸν Σιβὰν καταδι- κάζειν· ἀλλ' ὑπὲρ μὲν τοῦ μὴ μετὰ Σιβᾶ πρὸς αὐ- τὸν ἐλθεῖν ἐκείνῳ πάντα χαρίσασθαι φήσας, αὐτῷ δὲ συγγινώσκειν ὑπέσχετο, τὰ ἡμίση τῆς οὐσίας αὐτῷ κε- λεύσας ἀποδοθῆναι. Ὁ δὲ Μεμφίβοσθος, « πάντα « μὲν, εἶπεν, ἐχέτω ὁ Σιβὰς, ἐμοὶ δ' ἀπόχρη τὸ σὲ τὴν « βασιλείαν ἀπολαβεῖν. »

δ'. Βερζελαῖον δὲ τὸν Γαλαδίτην, ἄνδρα μέγαν καὶ καλὸν, καὶ πολλὰ παρεσχημένον ἐν ταῖς Παρεμβολαῖς αὐτῷ, Δαυίδην τε προπέμψαντα μέχρι τοῦ Ἰορδάνου, παρεκάλει συνελθεῖν ἕως τῶν Ἱεροσολύμων· γηροκομή- σειν γὰρ αὐτὸν ἐν πάσῃ τιμῇ, καὶ ὡς πατρὸς ἐπιμελη- θήσεσθαι, καὶ προνοήσειν ἐπηγγέλλετο. Ὁ δὲ πόθῳ τῶν οἴκοι παρῃτεῖτο τὴν μετ' αὐτοῦ διατριβὴν, καὶ τὸ γῆρας λεγων οὐ τοιοῦτον αὐτῷ τυγχάνειν ὥστε ἀπο-

« rieris, qui ei maledicere ausus es quem Deus in regni « sede constituerat? » Davides autem ad illum conversus ait, « non quiescetis, Saruiæ filii? ne redintegrate nobis « novas, prioribus vix sopitis, turbas et seditiones. Nam « vos ignorare haud fas erat quod hodie regnum ineo. Quam- « obrem juro omnibus qui in me impii fuerint supplicia « condonare, neque in quenquam qui peccaverit animad- « vertere. Tu vero, adjiciebat, o Semei, bono animo « esto, neu metuas, quasi jamjam oppetenda tibi mors es- « set. » Atque ille, rege adorato, progrediebatur.

3. Etiam Sauli nepos Memphibosthus ei obviam venit, veste sordida amictus et promissum neglectumque capillitium gerens. Nam post fugam Davidis præ mœrore neque comam totonderat nec vestem abluerat, ut qui regis mutationem suam esse calamitatem reputaverit. Præterea falso a Siba procuratore suo apud ipsum insimulatus fuerat. Postquam autem ille *regem* salutaverat et adoraverat, cœpit eum *rex* interrogare qua de causa non simul secum exisset, fugæque particeps fuisset. Is vero respondit hanc sibi a Siba illatam esse injuriam : « nam jussus omnia « ad profectionem *necessaria* parare, nihil curavit, sed « verba mea, ac si mancipium essem, contempsit. Sane « si pedibus integris fuissem, fieri haud poterat ut a te « separarer, si quidem iis ad fugam uti licuisset. At ille « non contentus erat meæ erga te, domine, pietati obesse, « verum insuper me calumniis adortus est et mendaciis « improbe confictis. Sed novi omnem hisce in mentem « tuam præclusum esse aditum, quæ et justa est et amans « veritatis, quam Deus etiam ipse vult prævalere. Nam « quum ex avo meo majora adieris *discrimina*, propter- « eaque tota nostra familia periisse meruerit, tu commo- « dum benignumque temet ostendisti, tunc præcipue illo- « rum omnium oblitus, quum oblivisci non potueris in tua « esse potestate ut illa vindices. Ad hæc tu me in amico- « rum tuorum numero esse voluisti, et quotidie mensa « adhibebas, nullaque in re a cognatorum tuorum honora- « tissimo quoque differebam. » Quum hæc dixisset, neque in Memphibosthum *rex* statuit supplicio uti, neque Sibam ut calumniatorem judicio perfundere : sed præfatus se quidem, quod cum Siba sibi non obviam venerit, huic omnia largitum esse, ei tamen, ubi imperaverat dimidium bonorum ipsi restitui, veniam dare pollicebatur. Tum vero Memphibosthus subjicit, « imo totum habeat Siba, mihi « vero satis est te regnum recepisse. »

4. Berzelæum autem Galaditam, virum grandem ac bonum, quique ipsi dum apud Castra esset multa suppeditavit, ipsumque ad Jordanem usque deduxit, obsecrabat Davides ut secum iret Hierosolyma : ipsum enim eum in senectute omni cum honore tractaturum esse, eique tanquam patri curam adhibiturum et provisurum esse spondebat. At ille antiquæ sedis suorumque desiderio cum eo vivere recusabat, atque dicens, se non ibi esse senectutis ut voluptati-

λαύειν τῶν ἡδέων, εἰς ὀγδοήκοντα ἔτη προβεβηκότος, ἀλλ' ὥστε καταλύσεως ἤδη καὶ ταφῆς προνοεῖν, ἐπὶ ταύτην ἠξίου βουλόμενον αὐτῷ χαρίζεσθαι τὰ κατ' ἐπιθυμίαν ἀπολῦσαι. Οὔτε γὰρ τροφῆς οὔτε ποτοῦ συνιέναι διὰ τὸν χρόνον, ἀποκεκλεῖσθαι δ' αὐτῷ καὶ τὰς ἀκοὰς ἤδη πρὸς αὐλῶν ἤχους καὶ μέλη τῶν ἄλλων ὀργάνων, ὅσα παρὰ βασιλεῦσι τέρπει τοὺς συνδιαιτωμένους. Οὕτω δὲ λιπαρῶς δεομένου, « σὲ μέν, εἶπεν, « ἀπολύω, τὸν δὲ υἱὸν Ἀχίμανον ἄφες μοι· πάντων « γὰρ αὐτῷ μεταδώσω τῶν ἀγαθῶν. » Καὶ Βερζελαῖος μὲν καταλιπὼν τὸν υἱὸν, καὶ προσκυνήσας τὸν βασιλέα, καὶ πάντων ἐπευξάμενος αὐτῷ τέλος ὧν ἔχει κατὰ ψυχὴν, οἴκαδε ὑπέστρεψεν. Παραγίνεται δ' εἰς Γάλγαλα Δαυΐδης, τοῦ λαοῦ παντὸς ἤδη τὸ ἥμισυ περὶ αὐτὸν ἔχων καὶ τὴν Ἰούδα φυλήν.

ε'. Ἀφικνοῦνται δ' εἰς Γάλγαλα πρὸς αὐτὸν οἱ τῆς χώρας πρῶτοι μετὰ πολλῆς πληθύος καὶ τὴν Ἰούδα φυλὴν κατεμέμφοντο λάθρα πρὸς αὐτὸν ἐλθοῦσαν, ὡς δεῖν ὁμοῦ πάντας μιᾷ γνώμῃ ποιήσασθαι τὴν ὑπάντησιν. Οἱ δ' ἄρχοντες τῆς Ἰούδα φυλῆς μὴ δυσχεραίνειν αὐτοὺς ἠξίουν προληφθέντας· καὶ γὰρ συγγενεῖς ὄντες αὐτοῦ, καὶ διὰ τοῦτο μᾶλλον προνοούμενοι καὶ στέργοντες φθάσαι, οὐ μέντοι γε διὰ τὸ προελθεῖν δῶρα λαβεῖν αὐτοὺς, ἵν' ἔχωσιν ἐπὶ τούτῳ δυσφορεῖν, ὕστεροι πρὸς αὐτὸν ἐλθόντες. Ταῦτα τῶν τῆς Ἰούδα φυλῆς ἡγεμόνων εἰπόντων, οἱ τῶν ἄλλων ἄρχοντες οὐχ ἡσύχασαν, ἀλλ', « ἡμεῖς μέν, ἔφασαν, ὦ ἀδελφοὶ, θαυμάζομεν ὑμᾶς αὐτῶν ἀποκαλοῦντας μόνων « συγγενῆ τὸν βασιλέα· ὁ γὰρ τὴν ἁπάντων ἐξουσίαν « παρὰ τοῦ Θεοῦ λαβὼν, πάντων ἡμῶν εἶναι συγγενὴς « κρίνεται. Καὶ διὰ τοῦθ' ὁ μὲν λαὸς ἅπας ἔνδεκα « μοίρας ἔχει, μίαν δ' ὑμεῖς, καὶ πρεσβύτεροι ἐσμὲν, « καὶ οὐκ ἐποιήσατε δίκαια κρύφα καὶ λεληθότως ἐλ« θόντες πρὸς τὸν βασιλέα. »

ς'. Τοιαῦτα τῶν ἡγεμόνων πρὸς ἀλλήλους διαλεχθέντων, ἀνήρ τις πονηρὸς καὶ στάσει χαίρων, ὄνομα Σαβαῖος, υἱὸς τῆς Βενιαμίτιδος φυλῆς Βοχορίου, στὰς ἐν μέσῳ πρὸς τὸ πλῆθος μέγα βοήσας εἶπεν, « οὔτ' ἔχει « τις ἡμῶν παρὰ Δαυΐδου μοίρας, οὔτε κλῆρον παρὰ « τῷ Ἰεσσαίου παιδί. » Καὶ μετὰ τοὺς λόγους σαλπίσας κέρατι σημαίνει πόλεμον πρὸς τὸν βασιλέα. Καὶ πάντες ἠκολούθησαν ἐκείνῳ Δαυΐδην καταλιπόντες· μόνη δὲ αὐτῷ παρέμεινεν ἡ Ἰούδα φυλὴ, καὶ κατέστησεν αὐτὸν εἰς τὸ ἐν Ἱεροσολύμοις βασίλειον. Καὶ τὰς μὲν παλλακὰς, αἷς ὁ υἱὸς αὐτοῦ συνῆλθεν Ἀβεσάλωμος, εἰς ἄλλην μετήγαγεν οἰκίαν, πάντα προστάξας αὐταῖς χορηγεῖν τὰ ἐπιτήδεια τοὺς ἐπιμελομένους, αὐτὸς δ' οὐκ ἐπλησίαζεν αὐταῖς. Ἀποδείκνυσι δὲ καὶ τὸν Ἀμεσσὰν στρατηγὸν, καὶ τὴν τάξιν αὐτῷ, ἐφ' ἧς Ἰώαβος ἦν, δίδωσιν· ἐκέλευσέ τε στρατιὰν ὅσην δύναται συναγαγόντα ἐκ τῆς Ἰούδα φυλῆς μεθ' ἡμέρας τρεῖς ὡς αὐτὸν ἐλθεῖν, ἵνα παραδοὺς αὐτῷ πᾶσαν τὴν δύναμιν ἐκπέμψῃ πολεμήσοντα τὸν υἱὸν Βοχορίου. Ἐξελθόντος δὲ τοῦ Ἀμεσσᾶ καὶ περὶ τὴν ἄθροισιν τῆς

bus frueretur, quum jam annum octogesimum attigerit, sed ut obitui et sepulturæ prospiceret, ad hæc ab ipso, si sibi quod gratum esset facere voluerit, dimitti petebat. Nam per ætatem se neque cibi neque potus jucunda intelligere posse, imo etiam aures sibi occludi ad tibiarum sonos et modulationem aliorum instrumentorum, quibus oblectari soleant qui cum regibus vivant. Ita instanter rogante, rex, « te quidem, aiebat, dimitto, filium vero Achimanum per« mitte mihi : nam ei de bonis omnibus impertiam ». Et Berzelæus quidem, relicto filio et rege adorato, precatusque ut omnia ei prospere cederent quæ in animo agitaret, domum est reversus. Davides vero Galgala pervenit, jam dimidium totius populi circa se habens et Judæ tribum.

5. Galgala autem ad eum veniunt primores regionis, magna eos comitante multitudine, conquestique sunt de tribu Judæ, quod ad eum clam se contulisset, quum simul omnes unanimes obviam processisse debuerint. Principes vero tribus Judæ illos orabant, ne dolerent quod anticipati fuerint : nam quum ejus cognati essent, idcirco majore se cura et amore prævertisse alios, non tamen munera, quia præcesserint, se accepisse, ita ut inde justas rem ægre ferendi causas habeant qui serius ad eum venerint. Hæc quum dixissent tribus Judæ duces, non acquieverunt ceterarum tribuum principes, sed, « nos quidem, responde« runt, mirari subit, o fratres, quod regem vos vestrum « solorum cognatum appelletis : nam qui in omnes potesta« tem a Deo accepit, is nos omnes cognatione attingere « censendus est. Ideo quum totus quidem populus undecim « partes habeat, vos vero unam, et natu majores sumus, « et vos præter æquum fecistis, qui furtim et nobis insciis « vosmet ad regem recepistis. »

6. Dum in hunc modum inter se colloquebantur duces, vir quidam improbus et seditionis amans, nomine Sabæus, Bochoriæ filius, tribus Benjamitidis, quum se in medium proripuisset, magna voce clamabat ad multitudinem, « nemo nostrûm habet ab Davide partem, aut ab Jessæi « filio sortem. » Atque ubi hæc dixerat, inflato cornu bellum regi denunciat. Tum omnes illum sequuti sunt, Davide relicto. Sola autem ei permansit tribus Judæ, ipsumque in regia Hierosolymis collocavit. Et fecit quidem *rex* ut concubinæ, cum quibus congressus erat filius ejus Abesalomus, in alias ædes migrarent, jussis curatoribus omnia eis necessaria suppeditare, ipse vero ad eas non accedebat. Dein autem Amessam imperatorem constituit, locumque ei dedit quem Joabus obtinuerat, præcepitque ut, collectis quantas posset e tribu Judæ copiis, post triduum ad se veniret, ut omni exercitu ei cum imperio tradito ipsum contra Bochoriæ filium emitteret. Quum autem egressus esset Amessa et in militum delectu instituendo procrastinasset,

στρατιᾶς βραδύνοντος, ὡς οὐκ ἐπανήει, τῇ τρίτῃ τῶν ἡμερῶν ὁ βασιλεὺς πρὸς τὸν Ἰώαβον ἔλεγεν οὐκ εἶναι σύμφορον ἀνοχὴν τῷ Σαβαίῳ διδόναι, μὴ, γενόμενος ἐν πλείονι παρασκευῇ, μειζόνων κακῶν καὶ πραγμάτων αἴτιος ἡ Ἀβεσάλωμος αὐτοῖς κατέστη γένηται. « Μὴ περίμενε τοίνυν ἔτι μηδὲν, ἀλλὰ τὴν οὖσαν παραλαβὼν δύναμιν καὶ τοὺς ἑξακοσίους μετὰ Ἀβεσσαίου τοῦ ἀδελφοῦ σου δίωκε τὸν πολέμιον, καὶ ὅπου ποτ' ἂν αὐτὸν καταλάβῃς ὄντα, πειράθητι συμβαλεῖν. Σπούδασον δ' αὐτὸν φθάσαι, μὴ πόλεις ὀχυρὰς καταλαβόμενος ἀγῶνας ἡμῖν καὶ πολλοὺς ἱδρῶτας παρασκευάσῃ. »

ζ'. Ἰώαβος δ' οὐκέτι μέλλειν ἔκρινεν, ἀλλὰ τόν τε ἀδελφὸν καὶ τοὺς ἑξακοσίους παραλαβὼν καὶ ὅση λοιπὴ δύναμις ἦν ἐν τοῖς Ἱεροσολύμοις ἕπεσθαι κελεύσας, ἐξώρμησεν ἐπὶ τὸν Σαβαῖον. Ἦδη δὲ ἐν Γαβαῷ (κώμη δ' ἐστὶν αὕτη σταδίους ἀπέχουσα τεσσαράκοντα τῶν Ἱεροσολύμων) γεγενημένος, πολλὴν Ἀμεσσᾶ δύναμιν ἀγαγόντος, ἀπήντησεν αὐτῷ. Περιζωσάμενος δὲ μάχαιραν καὶ θώρακα ἐνδεδυμένος Ἰώαβος, προσιόντος ἀσπάσασθαι τοῦ Ἀμεσσᾶ, φιλοτέχνως τὴν μάχαιραν αὐτομάτως ἐκ τῆς θήκης ἐποίησεν ἐκπεσεῖν. Βαστάσας δ' αὐτὴν ἀπὸ τῆς γῆς καὶ τῇ ἑτέρᾳ τὸν Ἀμεσσὰν ἐγγὺς γενόμενον ὡς καταφιλήσων τοῦ γενείου λαβόμενος, οὐ προειδόμενον εἰς τὴν γαστέρα πλήξας ἀπέκτεινεν, ἀσεβὲς ἔργον διαπραξάμενος καὶ παντελῶς ἀνόσιον, ἀγαθὸν νεανίαν καὶ συγγενῆ καὶ μηδὲν ἀδικήσαντα ζηλοτυπήσας τῆς στρατηγίας καὶ τῆς παρὰ τῷ βασιλεῖ πρὸς αὐτὸν ἰσοτιμίας. Διὰ ταύτην γὰρ τὴν αἰτίαν καὶ τὸν Ἀβέννηρον ἐφόνευσεν. Ἀλλ' ἐκεῖνο μὲν αὐτοῦ τὸ παρανόμημα πρόφασις εὐπρεπὴς συγγνωστὸν ἐδόκει ποιεῖν, ὁ ἀδελφὸς Ἀσάηλος ἐκδεδικῆσθαι νομιζόμενος· τοῦ δ' Ἀμεσσᾶ φόνου οὐδὲν τοιοῦτον ἔσχε παρακάλυμμα. Ἀποκτείνας δὲ τὸν συστράτηγον ἐδίωκε τὸν Σαβαῖον, καταλιπὼν ἕνα πρὸς τῷ νεκρῷ, βοᾶν ἐντειλάμενος πρὸς τὴν στρατιὰν ὅτι τέθνηκε μὲν Ἀμεσσᾶς δικαίως καὶ μετ' αἰτίας κολαζόμενος, εἰ δὲ φρονεῖτε τὰ τοῦ βασιλέως, ἕπεσθε αὐτοῦ τῷ στρατηγῷ Ἰωάβῳ καὶ Ἀβεσσαίῳ τῷ τούτου ἀδελφῷ. Κειμένου δὲ τοῦ σώματος ἐπὶ τῆς ὁδοῦ καὶ παντὸς τοῦ πλήθους ἐπ' αὐτῷ συρρέοντος, καὶ, οἷα ὄχλος φιλεῖ, ἐθαύμαζον πλέον προσιστάμενοι, βαστάσας ἐκεῖθεν ὁ φύλαξ καὶ κομίσας εἴς τι χωρίον ἀπωτάτω τῆς ὁδοῦ, τίθησιν αὐτόθι καὶ καλύπτει ἱματίῳ. Τούτου γενομένου, πᾶς ὁ λαὸς ἠκολούθησε τῷ Ἰωάβῳ. Διώξαντι δ' αὐτῷ διὰ πάσης τῆς Ἰσραηλιτῶν χώρας τὸν Σαβαῖον, δηλοῖ τις ἐν ὀχυρᾷ πόλει τυγχάνειν αὐτὸν, Ἀβελμαχέᾳ λεγομένῃ. Παραγενόμενος δ' ἐκεῖ καὶ τῇ στρατιᾷ περικαθίσας τὴν πόλιν καὶ χαράκωμα περὶ αὐτὴν πηξάμενος, ὑπορύσσειν ἐκέλευσε τοῖς στρατιώταις τὰ τείχη καὶ καταβάλλειν αὐτά· μὴ δεξαμένων γὰρ αὐτὸν τῶν ἐν τῇ πόλει, χαλεπῶς πρὸς αὐτοὺς διετέθειτο.

η'. Γύναιον δέ τι σῶφρον καὶ συνετὸν, ἐν ἐσχάτοις ἤδη τὴν πατρίδα κειμένην θεασάμενον, ἀναβὰν ἐπὶ τὸ τεῖχος προσκαλεῖται διὰ τῶν ὁπλιτῶν τὸν Ἰώαβον.

comperto ipsum non maturare reditum, tertio die rex ad Joabum dicebat, haud sibi expedire in re Sabæi dilationem pati, ne forte copiis majoribus comparatis plus damni det plusque negotii facessat quam ab Abesalomo acceperint. « Itaque ne tantillum jam cunctare, sed assumptis qui ad manus sunt militibus et sexcentorum cohorte cum Abessæo fratre tuo hostem persequere, et ubicunque illum fueris assequutus, fac ei congrediaris. Ocius vero te move ut illum prævenias, ne urbes munitas nactus in causa sit nobis dimicationum multique sudoris. »

7. Joabus autem secum statuebat nihil morari, sed fratre virisque sexcentis assumptis, reliquisque qui tum Hierosolymis aderant militibus ipsum comitari jussis, ad Sabæum persequendum profectus est. Quumque Gabaon pervenisset, (ille autem vicus est, quadraginta stadiis ab Hierosolymis distans,) Amessæ, qui magnum adduxerat exercitum, obviam factus est. At Joabus quum gladio accinctus esset et thorace indutus, accedente ad eum salutandum Amessa, id de industria egit ut ensis quasi sponte e vagina excideret, eoque mox a terra sublato, et altera manu, tanquam Amessam prope adstantem deosculari vellet, barba prehensa, nihil advertentem, vulnere in ventre facto, occidit, facinus nefarium et omnino flagitiosum perpetrans, quod juveni bono et cognato et innocenti ab ipso invideretur propter munus imperatorium, atque honorem eum ipsius dignitate ex regis gratia æquatum. Hac enim de causa jam ante Abennerum interfecit. Sed illud quidem ipsius scelus honesti species excusare videbatur, quod fratrem Asaelum vindicasse existimaretur; Amessæ vero cædi nihil hujusmodi prætendi potuit. Cæso autem imperatore Sabæum persequebatur, uno relicto apud cadaver, cui jusserat clamare ad exercitum, Amessam juste peremptum esse, meritoque supplicio affectum; qui vero regi faverent Joabum, cui exercitus imperium datum esset, fratremque ejus Abessæum sequi debere. Quum autem corpus ad viam jaceret, totaque multitudo ad id confluueret, majorique, ut in vulgo fieri solet, admiratione tenerentur prope adstantes, custos quum inde tulisset et in agrum procul a via asportasset, illic depositum veste operit. Quo facto omnes perrexerunt Joabum sequi. Illi vero, dum per totam regionem Israeliticam Sabæum persequitur, indicat quidam eum se recepisse in urbem munitam quæ Abelmachea vocatur. Eo autem quum se contulisset et exercitu urbem obsedisset, vallo etiam ei circumjecto, imperavit militibus ut muros ejus suffoderent et everterent: nam quod urbis istius cives ipsum non receperant, valde eis irascebatur et succensebat.

8. Verum muliercula quædam, proba simul et sapiens, quum patriam in extremum periculum adductam cerneret, conscensis mœnibus Joabum per milites ad colloquium evo-

Προσελθόντος δ' ἥρξατο λέγειν ὡς ὁ Θεὸς τοὺς βασιλεῖς καὶ τοὺς στρατηγοὺς ἀποδείξειεν, ἵνα τοὺς πολεμίους τοὺς Ἑβραίων ἐξάγωσι καὶ παρέχωσιν αὐτοῖς εἰρήνην ἁπάντων. Σὺ δὲ σπουδάζεις μητρόπολιν Ἰσραηλιτῶν καταβαλεῖν καὶ πορθῆσαι μηδὲν ἐξαμαρτοῦσαν. Ὁ δ' Ἴλεων μὲν εὔχεται τὸν Θεὸν αὐτῷ διαμένειν, αὐτὸς δ' οὕτως ἔχειν εἶπεν ὡς μηδένα τοῦ λαοῦ φονεῦσαι, οὐχ ὅτι πόλιν ἐξελεῖν βούλεσθαι τηλικαύτην, λαβὼν μέντοι παρ' αὐτῶν τὸν ἀντάραντα τῷ βασιλεῖ πρὸς τιμωρίαν Σαβαῖον υἱὸν τοῦ Βοχορίου, παύσεσθαι τῆς πολιορκίας καὶ τὴν στρατιὰν ἀπάξειν. Ὡς δ' ἤκουσεν ἡ γυνὴ τὰ παρὰ τοῦ Ἰωάβου, μικρὸν ἐπισχεῖν δεηθεῖσα (τὴν γὰρ κεφαλὴν εὐθέως αὐτῷ ῥιφήσεσθαι τὴν τοῦ πολεμίου) καταβαίνει πρὸς τοὺς πολίτας, καὶ « βούλεσθ', « εἰποῦσα, κακοὶ κακῶς μετὰ τέκνων ἀπολέσθαι καὶ « γυναικῶν ὑπὲρ ἀνθρώπου πονηροῦ καὶ μηδὲ τίς ἐστι « γνωρίμου, καὶ τοῦτον ἔχειν ἀντὶ Δαυίδου τοῦ τοσαῦτα « εὐεργετήσαντος ἡμᾶς βασιλέως, καὶ πρὸς δύναμιν « τοσαύτην καὶ τηλικαύτην ἀνταίρειν μίαν πόλιν; » πείθει τὴν κεφαλὴν ἀποτεμόντας τοῦ Σαβαίου ῥῖψαι ταύτην εἰς τὸ Ἰωάβου στράτευμα. Τούτου γενομένου σημήνας ἀνακλητικὸν ὁ τοῦ βασιλέως στρατηγὸς ἔλυσε τὴν πολιορκίαν. Καὶ παραγενόμενος εἰς Ἱεροσόλυμα παντὸς ἀποδείκνυται πάλιν τοῦ λαοῦ στρατηγός. Καθίστησι δὲ καὶ Βαναίαν ὁ βασιλεὺς ἐπὶ τῶν σωματοφυλάκων καὶ τῶν ἑξακοσίων, Ἀδώραμον δ' ἐποίησεν ἐπὶ τῶν φόρων, καὶ Σαβάθην καὶ Ἀχίλαον ἐπὶ τῶν ὑπομνηματογράφων, Σουσὰν δὲ γραμματέα, Σάδωκον δὲ καὶ Ἀβιάθαρον ἀπέφηνεν ἱερεῖς.

ΚΕΦ. ΙΒ'.

Μετὰ δὲ ταῦτα τῆς χώρας λιμῷ φθειρομένης, ἱκέτευσε Δαυίδης τὸν Θεὸν ἐλεῆσαι τὸν λαὸν, καὶ τὴν αἰτίαν αὐτῷ καὶ τὴν ἴασιν φανερὰν ποιῆσαι τῆς νόσου. Τῶν δὲ προφητῶν εἰπόντων βούλεσθαι τὸν Θεὸν ἐκδικίας τυχεῖν τοὺς Γαβαωνίτας, οὓς Σάουλος ὁ βασιλεὺς ἀπο-κτείνας ἠσέβησεν ἐξαπατήσας, καὶ τοὺς ὅρκους αὐτοῖς, οὓς ὁ στρατηγὸς Ἰησοῦς ὤμοσε καὶ ἡ γερουσία, μὴ φυλάξας· ἐὰν τοίνυν δίκην ἢν αὐτοὶ θέλουσιν οἱ Γαβαωνῖται λαβεῖν ὑπὲρ τῶν ἀνῃρημένων, ταύτην αὐτοῖς παράσχῃ, διαλλαγήσεσθαι καὶ τὸν ὄχλον ἀπαλλάξειν τῶν κακῶν ἐπηγγέλλετο. Ὡς οὖν ταῦτα παρὰ τῶν προφητῶν ἔμαθεν ἐπιζητεῖν τὸν Θεὸν, μεταπέμπεται τοὺς Γαβαωνίτας καὶ τίνος βούλονται τυχεῖν ἐπηρώτα. Τῶν δ' ἐκ τοῦ γένους τοῦ Σαούλου παραλαβεῖν ἑπτὰ παῖδας ἀξιωσάντων πρὸς τιμωρίαν, ὁ βασιλεὺς ἀναζητήσας παρέδωκεν αὐτοῖς, Μεμφιβόσθου φεισάμενος τοῦ Ἰωνάθου παιδός. Παραλαβόντες δ' οἱ Γαβαωνῖται τοὺς ἄνδρας ὡς ἐβούλοντο ἐκόλασαν. Ἤρξατο δ' ὕειν παραχρῆμα ὁ Θεὸς καὶ τὴν γῆν πρὸς γονὴν καρπῶν ἀνακαλεῖν, ἀπολύσας τοῦ πρότερον αὐχμοῦ. Καὶ πάλιν ηὐθήνησεν ἡ τῶν Ἑβραίων χώρα. Στρατεύεται δὲ μετ' οὐ πολὺν χρόνον ὁ βασιλεὺς ἐπὶ Παλαιστίνους,

cat. Quumque accessisset, dicere exorsa est quod Deus reges et exercitus duces constituerit, ut Hebræorum hostes amoverent, facerentque ut pacem cum omnibus colerent. Tu vero conaris primariam Israelitarum urbem, quæ nihil deliquit, expugnare et depopulari. Atque ille quidem Deum propitium sibi permanere precatur, ipsum vero non ita se habere dicebat ut e populo quempiam perditum iret, nedum sibi in animo esset ut urbem adeo magnam excisam velit : sed, si ipsi ad supplicium dederetur Sabæus Bochoriæ filius, qui contra regem rebellaverit, ab obsidione discessurum et exercitum abducturum esse. Ubi Joabi verba acceperat mulier, ipsum obtestata ut paulisper a vi desisteret, (fore enim ut caput perduellis de muro ipsi confestim projiceretur,) ad cives descendit, et quum dixis-« set, vultisne mali cum liberis et conjugibus male perire « propter hominem improbum et plane ignotum, eumque « pro Davide, cujus tanta in nos exstant beneficia, regem « habere, unamque urbem tam magno validoque exercitui « resistere? » perficit ut illi abscissum Sabæi caput ad Joabi milites projicerent. Tum regii exercitus dux, ubi receptui cecinerat, obsidionem solvit, et Hierosolyma reversus denuo copiis universis præficitur. Præterea rex Banajam præposuit satellitibus et sexcentorum cohorti, voluitque ut Adoramus esset a tributis, et Sabathes et Achilaus a commentariis, atque Susam scribam constituit, et Sadocum et Abiatharum pontifices.

CAP. XII. (X.)

Post hæc autem fame regionem premente, Davides supplex a Deo petiit ut populi misereretur, et causam morbi ejusque remedium indicare vellet. Quumque prophetæ respondissent postulare Deum ut Gabaonitæ vindicarentur, quos Saulus rex deceptos præter jus et fas interemerit, non servato juramento quod illis olim Jesus imperator et senatus juraverit : verum, si Gabaonitis pœnas pro cæsis civibus, quas ipsi voluerint exigere, permittat rex, se cum ipsis in gratiam rediturum et populum a calamitate liberaturum promittebat. Tum, ut hæc Deum requirere ex prophetis intellexerat, Gabaonitas ad se accersit, eosque interrogabat quid sibi fieri vellent. Quum vero illi septem Sauli sobolis homines ad supplicium deposcerent, rex perquisitos eis tradidit, ita ut Memphibostho Jonathæ filio parceretur. Postquam vero viros acceperant Gabaonitæ, pro arbitrio pœnis mulctarunt. Quo facto Deus cœpit illico pluere, et terram ad fructuum productionem revocare, liberatam ab ea quæ fuerat siccitate, rursusque rerum copia et abundantia affluit Hebræorum regio. Aliquanto autem post bello Palæstinos rex adoritur, et commisso prælio

καὶ συνάψας μάχην αὐτοῖς καὶ τρεψάμενος ἐμονώθη διώκων. Καὶ γενόμενος ἔκλυτος ὤφθη ὑπό τινος τῶν πολεμίων, Ἀχμωνος μὲν τοὔνομα, Ἀράφου δὲ παιδός. Οὗτος ἦν μὲν καὶ ἀπόγονος τῶν γιγάντων· ἔχων δὲ καὶ ξυστὸν, οὗ τὴν λαβὴν συνέλκειν σταθμὸν τριακοσίους σίκλους, καὶ θώρακα ἁλυσιδωτὸν καὶ ῥομφαίαν, ὥρμησεν ἐπιστραφεὶς ὡς ἀποκτείνων τὸν τῶν πολεμίων βασιλέα· παρεῖτο γὰρ ὑπὸ τοῦ κόπου. Ἐπιφανεὶς δ' ἐξαίφνης Ἀβεσσαῖος ὁ Ἰωάβου ἀδελφὸς τὸν βασιλέα μὲν ὑπερήσπισε περιβὰς κείμενον, ἀπέκτεινε δὲ τὸν πολέμιον. Ἤνεγκε δ' ἐπὶ τῷ παρ' ὀλίγον κινδυνεῦσαι τὸν βασιλέα χαλεπῶς τὸ πλῆθος. Καὶ οἱ ἡγεμόνες ὥρκωσαν αὐτὸν μηκέτι εἰς μάχην ἀπαντῆσαι σὺν αὐτοῖς, μὴ δι' ἀνδρείαν καὶ προθυμίαν παθών τι τῶν δεινῶν στερήσῃ τὸν λαὸν τῶν δι' αὐτὸν ἀγαθῶν, ὅσα τε ἤδη παρέσχηκε καὶ ὅσων ἔτι μεθέξουσι πολὺν βιώσαντος χρόνον.

β'. Συνελθόντων δὲ τῶν Παλαιστίνων εἰς Γαζάραν πόλιν, ἀκούσας ὁ βασιλεὺς ἔπεμψεν ἐπ' αὐτοὺς στρατιάν. Ἠρίστευσε δὲ τότε καὶ σφόδρα ηὐδοκίμησεν Σοβάκχης ὁ Χετταῖος, εἷς τῶν περὶ Δαυίδην ἀνδρειοτάτων. Ἀπέκτεινε γὰρ πολλοὺς τῶν αὐχούντων προγόνους τοὺς γίγαντας καὶ μέγα ἐπ' ἀνδρείᾳ φρονούντων, αἴτιός τε τῆς νίκης τοῖς Ἑβραίοις ἐγένετο. Καὶ μετ' ἐκείνην τὴν ἧτταν πάλιν ἐπολέμησαν οἱ Παλαιστῖνοι. Καὶ στρατιὰν ἐπ' αὐτοὺς Δαυΐδου πέμψαντος, ἠρίστευσε Νεφάνος ὁ συγγενὴς αὐτοῦ. Μονομαχήσας γὰρ τῷ πάντων ἀνδρειοτάτῳ τῶν Παλαιστίνων ἀπέκτεινεν αὐτὸν, καὶ τοὺς ἄλλους εἰς φυγὴν ἔτρεψε, πολλοί τε αὐτῶν ἀπέθανον μαχόμενοι. Διαλιπόντες δ' ὀλίγον χρόνον ἐστρατοπέδευσαν πρὸς τῇ Γίττᾳ πόλει τῶν ὅρων τῆς Ἑβραίων χώρας οὐκ ἄπωθεν. Ἦν δ' αὐτοῖς ἀνὴρ τὸ μὲν ὕψος ἓξ πηχῶν, δακτύλους δ' ἐν ἑκατέρᾳ τῶν βάσεων καὶ τῶν χειρῶν ἑνὶ περισσοτέρους εἶχε τῶν κατὰ φύσιν. Ἐκ τῆς οὖν πεμφθείσης ἐπ' αὐτοὺς ὑπὸ Δαυΐδου στρατιᾶς τούτῳ μονομαχήσας Ἰωνάθης ὁ Σαμᾶ υἱὸς ἀνεῖλέ τε αὐτὸν, καὶ τῆς ὅλης νίκης ὁπλὴ γενόμενος δόξαν ἀριστείας ἀπηνέγκατο· καὶ οὗτος γὰρ ὁ Παλαιστῖνος ηὔχει τῶν γιγάντων ἀπόγονος εἶναι· Μετὰ δὲ ταύτην τὴν μάχην οὐκ ἔτι τοῖς Ἰσραηλίταις ἐπολέμησαν.

γ'. Ἀπηλλαγμένος δ' ἤδη πολέμων ὁ Δαυΐδης καὶ κινδύνων καὶ βαθείας ἀπολαύων τὸ λοιπὸν εἰρήνης, ᾠδὰς εἰς τὸν Θεὸν καὶ ὕμνους συνετάξατο μέτρου ποικίλου· τοὺς μὲν γὰρ τριμέτρους, τοὺς δὲ πενταμέτρους ἐποίησεν. Ὄργανά τε κατασκευάσας ἐδίδαξε πρὸς αὐτὰ τοὺς Λευίτας ὑμνεῖν τὸν Θεὸν, κατά τε τὴν τῶν καλουμένων Σαββάτων ἡμέραν καὶ κατὰ τὰς ἄλλας ἑορτάς. Ἡ δὲ τῶν ὀργάνων ἰδέα τοιαύτη τίς ἐστι τὸν τρόπον. Ἡ μὲν κινύρα δέκα χορδαῖς ἐξημμένη τύπτεται πλήκτρῳ, ἡ δὲ νάβλα δώδεκα φθόγγους ἔχουσα τοῖς δακτύλοις κρούεται. Κύμβαλά τε ἦν πλατέα καὶ μεγάλα χάλκεα. Καὶ περὶ μὲν τούτων ἐπὶ

quum eos in fugam vertisset, in persequutione solus relictus est. Quumque defatigatus esset, forte ab uno ex hostilibus conspectus est, nomine quidem Acmone, Araphæ vero filio. Et hic quidem erat de genere Gigantum; lanceam autem gerens, cujus manubrium trecentos siclos pendebat, atque thoracem catenatum et gladium, *e fuga* conversus in eum irruit, certus occidere hostium regem: nam præ lassitudine pæne fatiscebat. At Abessæus Joabi frater, qui derepente apparuit, regem quidem jacentem protexit, hostem vero interfecit. Ægre autem tulit populus quod rex parum abfuerit quin discrimen adierit: eumque jurejurando obstrinxerunt principes non iterum egressurum esse secum in prælium, ne, si ex fortitudine pugnandique ardore mali aliquid gravioris passus fuerit, omnia ab ipso manantia populo perirent et interciderent beneficia, non solum quæ ab eo jam acceperant, sed et quæ vita ipsius longius producta porro accepturi essent.

2. Palæstinis autem ad urbem Gazaram congregatis, rex, quum primum hoc cognovit, exercitum in ipsos expedivit. At tunc quidem strenuissime dimicavit et laudem præclaram adeptus est Sobacches Chettæus, unus ex iis quos fortissimos habuit Davides. Nam eorum multos occidit qui se ex Gigantibus ortos esse gloriabantur, et propter fortitudinem magnifice de se sentiebant, effecitque ut Hebræi superiores discederent. Atque post cladem istam acceptam Palæstini bellum redintegrarunt; ac misso in eos a Davide exercitu strenue se gessit Nephanus, ipsius cognatus. Singulari enim certamine cum fortissimo Palæstinorum congressus, ipsum interemit, et reliquos terga dare coegit, et plurimi eorum in acie ceciderunt. Nec longo post intervallo castra metati sunt ad urbem Gittam, quæ non longe a finibus Hebræorum regionis distabat. Habebantque secum hominem sex cubitos altum, cui etiam in utroque pede et utraque manu digiti erant uno plures quam naturæ convenit. Huic itaque Jonathas Samæ filius ex exercitu contra illos a Davide misso singulari pugna congreditur, ipsumque peremit, et quum magnum momentum attulerit ad totam victoriam, præcellentis fortitudinis gloriam retulit: nam et iste Palæstinus se a Gigantibus prognatum esse jactabat. Post hanc demum pugnam Israelitas bello lacessere desierunt.

3. Jam vero Davides bellis et periculis perfunctus pacemque deinceps profundam agitans, odas in Deum hymnosque composuit, vario carminum genere. Etenim tam versus trimetros adhibuit quam pentametros. Et quum instrumenta confecisset, Levitas docuit ad ea Dei laudes canere, non solum Sabbatorum quæ appellantur die, sed et aliis festis solennibus. Ista autem instrumenta hujusmodi sunt specie. Cinyra quidem decem intenta chordis plectro percutitur; nabla vero duodecim sonos habens digitis pulsatur. Cymbala ad hæc ærea erant magna lataque. Atque de illis qui-

τοσοῦτον ἡμῖν, ὥστε μὴ τελέως ἀγνοεῖν τὴν τῶν προειρημένων ὀργάνων φύσιν, ἀρκούντως λέλεκται.

δ'. Τῷ δὲ βασιλεῖ πάντες ἦσαν οἱ περὶ αὐτὸν ἀνδρεῖοι· τούτων δ' οἱ διασημότατοι καὶ λαμπροὶ τὰς πράξεις ὀκτὼ καὶ τριάκοντα. Ὧν πέντε μόνον διηγήσομαι τὰ ἔργα· φανερὰς γὰρ καὶ τὰς τῶν ἄλλων ἀρετὰς ἀρκέσουσιν οὗτοι ποιῆσαι. Δυνατοὶ γὰρ ἦσαν οὗτοι καὶ χώρας ὑπάγεσθαι καὶ μεγάλων ἐθνῶν κρατῆσαι. Πρῶτος μὲν οὖν, Ἰέσσαμος υἱὸς Ἀχεμαίου, ὃς πολλάκις εἰς τὴν παράταξιν ἐμπηδῶν τῶν πολεμίων, οὐ πρὶν ἀνεπαύσατο μαχόμενος, πρὶν ἐννακοσίους αὐτῶν κατέβαλε. Μετ' αὐτὸν ἦν Ἐλεάζαρος, υἱὸς Δωδείου, ὃς ἦν μετὰ τοῦ βασιλέως ἐν Ἀρασάμῳ. Οὗτός ποτε, τῶν Ἰσραηλιτῶν καταπλαγέντων τὸ πλῆθος τῶν Παλαιστίνων καὶ φευγόντων, μόνος ἔμεινε, καὶ συμπεσὼν τοῖς πολεμίοις ἀπέκτεινεν αὐτῶν πολλούς, ὡς ὑπὸ τοῦ αἵματος προσκολληθῆναι τὴν ῥομφαίαν αὐτοῦ τῇ δεξιᾷ, καὶ τοὺς Ἰσραηλίτας ἰδόντας τετραμμένους ὑπ' αὐτοῦ τοὺς Παλαιστίνους καταβάντας ἀπὸ τῶν ὀρέων διώκειν, καὶ θαυμαστὴν καὶ διαβόητον τότε νίκην ἄρασθαι, τοῦ μὲν Ἐλεαζάρου κτείνοντος, ἑπομένου δὲ τοῦ πλήθους καὶ σκυλεύοντος τοὺς ἀναιρουμένους. Τρίτος δὲ ἦν Ἰλοῦ μὲν υἱὸς, Κησαβαῖος δὲ ὄνομα. Καὶ οὗτος ἐν τοῖς πρὸς Παλαιστίνους ἀγῶσιν, εἰς τόπον Σιαγόνα λεγόμενον αὐτῶν παραταξαμένων, ὡς οἱ Ἑβραῖοι πάλιν τὴν δ'ναμιν φοβηθέντες οὐκ ἔμειναν, ὑπέστη μόνος ὡς στράτευμα καὶ τάξις, καὶ τοὺς μὲν αὐτῶν κατέβαλεν, τοὺς δ' οὐ καρτερήσαντας αὐτοῦ τὴν ἰσχὺν καὶ τὴν βίαν, ἀλλ' εἰς φυγὴν ἀποστραφέντας ἐδίωξε. Ταῦτα μὲν ἔργα χειρῶν καὶ μάχης οἱ τρεῖς ἐπεδείξαντο. Καθ' ὃν δὲ καιρὸν ἐν Ἱεροσολύμοις ὄντος τοῦ βασιλέως ἐπῆλθεν ἡ τῶν Παλαιστίνων δύναμις πολεμῆσαι, Δαυίδης μὲν ἐπὶ τὴν ἀκρόπολιν ἀνῆλθεν, ὡς προειρήκαμεν, πευσόμενος τοῦ Θεοῦ περὶ τοῦ πολέμου· τῆς δὲ τῶν ἐχθρῶν παρεμβολῆς ἐν τῇ κοιλάδι κειμένης, ἣ μέχρι Βηθλεέμων πόλεως διατείνει, σταδίους Ἱεροσολύμων ἀπεχούσης εἴκοσι, ὁ Δαυίδης τοῖς ἑταίροις, « καλὸν ὕδωρ, εἶπεν, ἔχομεν ἐν τῇ πατρίδι μου, καὶ μάλιστα τὸ ἐν τῷ λάκκῳ τῷ πρὸς τῇ πύλῃ, » θαυμάζων εἴ τις ἐξ αὐτοῦ πιεῖν αὐτῷ κομίσειε, μᾶλλον ἐθελήσειν ἢ εἰ πολλὰ χρήματα δοίη. Ταῦτ' ἀκούσαντες οἱ τρεῖς ἄνδρες οὗτοι παραχρῆμα ἐκδραμόντες καὶ διὰ μέσου τοῦ τῶν πολεμίων ὁρμήσαντες στρατοπέδου ἦκον εἰς Βηθλεέμ, καὶ τοῦ ὕδατος ἀρυσάμενοι πάλιν διὰ τῆς παρεμβολῆς ὑπέστρεψαν πρὸς τὸν βασιλέα, ὡς τοὺς Παλαιστίνους, καταπλαγέντας αὐτῶν τὸ θράσος καὶ τὴν εὐψυχίαν, ἠρεμῆσαι καὶ μηδὲν ἐπ' αὐτοὺς τολμῆσαι καταφρονήσαντας τῆς ὀλιγότητος. Κομισθέντος δὲ τοῦ ὕδατος οὐκ ἔπιεν ὁ βασιλεὺς, κινδύνῳ καὶ αἵματι φήσας ἀνθρώπων αὐτὸ κεκομίσθαι, καὶ διὰ τοῦτο μὴ προσήκειν αὐτὸ πιεῖν· ἔσπεισε δὲ ἀπ' αὐτοῦ τῷ Θεῷ καὶ περὶ τῆς σωτηρίας τῶν ἀνδρῶν ηὐχαρίστησεν αὐτῷ. Μετὰ τούτους ἦν ὁ Ἰωάβου ἀδελφὸς Ἀβεσσαῖος· καὶ γὰρ οὗτος μιᾷ ἡμέρᾳ τῶν πολεμίων ἑξακοσίους ἀπέκτεινεν. Πέμπτος

dem haec a nobis eatenus dicta sufficiant, ne prorsus ignoretur instrumentorum istorum natura.

4. Porro omnes, quos circa se habuit rex, spectatæ erant fortitudinis : horum tamen maxime illustres magnæque ob res præclare gestas celebritatis octo præcipue et triginta erant, quorum quinque tantum ob egregia facinora commemorabo : ex illis etenim abunde perspectæ erunt ceterorum virtutes. Nam isti adeo viribus pollebant ut et regiones subigere et gentes magnas debellare potuerint. Et primus quidem Jessæmus Achemæi filius, qui, non semel in hostium aciem se conjiciens, pugnandi finem prius non fecit quam nongentos ex illis occidisset. Secundum hunc fuit Eleazarus, filius Dodiæ, qui cum rege erat apud Arasamum. Hic, quum aliquando Israelitæ hostium multitudine consternati essent in fugam, unicus substitit, et cum hostibus congressus multos illorum occidit, ut cruore gladius ejus dextræ adhæserit, et Israelitæ, ubi viderant Palæstinos ab ipso in fugam versos, descensu facto e montibus, eos persequerentur, et tunc mirandam plane celebremque victoriam reportarent, Eleazaro quidem stragem edente, multitudine vero sequente et cæsos spoliante. Tertius autem erat Ili quidem filius, nomine vero Cesabæus. Et hic in certaminibus quæ cum Palæstinis conseruerunt, quum in loco qui Maxilla dicitur, acies ex adverso constitissent, postquam Hebræi rursus copiis illorum perterriti fugere cœperant, solus instar exercitus et aciei substitit, et alios quidem illorum sternebat, alios vero ipsius vim et impetum non sustinentes, sed in fugam se conjicientes, insectatus est. Atque has quidem res manibus pugnaque tres isti præclare gesserunt. Quo vero tempore, quum rex esset Hierosolymis, ex inopinato venit Palæstinorum exercitus bellum illaturus, Davides quidem in arcem ascendit, ut ante diximus, Dei oraculum de bello consulturus, castris vero hostium in ea valle positis quæ usque ad Bethleem urbem pertingit, viginti stadiis ab Hierosolymis distantem, Davides sociis dicebat, « bonam aquam habemus in patria mea, maxime in puteo portæ vicino, » mirans si quisquam eam inde sibi bibendam afferret, *quod* sane *se* malle quam ut magnam opum vim *sibi* daret. Hisce auditis tres isti viri e vestigio excurrerunt, et quum per media hostium castra prorupissent, ad Bethleem venerunt, haustaque *de puteo* aqua rursus per castra ad regem reversi sunt, adeo ut Palæstini, eorum audacia animique fortitudine attoniti, quieverint, nihilque in ipsos ausi fuerint, etiamsi eos præ paucitate contempserant. Quum autem allata esset aqua, bibere noluit rex, dicens ipsam ad se periculo et sanguine hominum advectam esse, ideoque haud fas esse ut eam biberet : Deo autem inde libavit, eique pro virorum incolumitate gratias egit. Post hos fuit Abessæus Joabi frater : nam et hic una die sexcentos hostes interfecit. Quintus Banajas, genere sa-

Βαναίας, ὁ ἱερεὺς τῷ γένει. Προκληθεὶς γὰρ ὑπ' ἀδελφῶν διασήμων ἐν τῇ Μωαβίτιδι χώρᾳ, κατ' ἀρετὴν ἐκράτησεν αὐτῶν. Καὶ πάλιν αὐτὸν ἀνδρὸς Αἰγυπτίου τὸ γένος, θαυμαστοῦ τὸ μέγεθος, προκαλεσαμένου, γυμνὸς ὡπλισμένον δόρατί τε τῷ ἐκείνου βαλὼν ἀπέκτεινε· περιελόμενος γὰρ αὐτοῦ τὸν ἄκοντα καὶ ζῶντα ἔτι καὶ μαχόμενον σκυλεύσας τοῖς ἰδίοις αὐτὸν ὅπλοις διεχρήσατο. Προσαριθμήσαι δ' ἄν τις αὐτοῦ καὶ τοῦτο ταῖς προειρημέναις πράξεσιν ἢ ὡς πρῶτον αὐτῶν κατ' εὐψυχίαν ἢ ὡς ὅμοιον. Νίφοντος γὰρ τοῦ Θεοῦ λέων εἴς τινα λάκκον ὀλισθὼν ἐνέπεσε· στενοῦ δ' ὄντος τοῦ στομίου δῆλος ἦν ἀφανὴς ἐσόμενος, ἐμφραγέντος αὐτοῦ τῇ χιόνι. Πόρον οὖν οὐδένα βλέπων ἐξόδου καὶ σωτηρίας ἐβρυχᾶτο. Τοῦ δὲ θηρὸς ἀκούσας ὁ Βαναίας (ὥδευε γὰρ τότε) καὶ πρὸς τὴν βοὴν ἐλθὼν καταβὰς εἰς τὸ στόμιον, πλήξας αὐτὸν μαχόμενον τῷ μετὰ χεῖρας ξύλῳ, παραχρῆμα ἀπέκτεινε. Καὶ οἱ λοιποὶ δὲ τριάκοντα τρεῖς τοιοῦτοι τὰς ἀρετὰς ὑπῆρχον.

ΚΕΦ. ΙΓ'.

Ὁ δὲ βασιλεὺς Δαυΐδης βουλόμενος γνῶναι πόσαι μυριάδες εἰσὶ τοῦ λαοῦ, τῶν Μωϋσέως ἐντολῶν ἐκλαθόμενος, ὃς προεῖπεν, ἐὰν ἐξαριθμηθῇ τὸ πλῆθος, ὑπὲρ ἑκάστης κεφαλῆς αὐτοῦ τῷ Θεῷ τελέσειν ἡμίσικλον, προσέταξεν Ἰωάβῳ τῷ στρατηγῷ, πορευθέντι πάντα τὸν ὄχλον ἐξαριθμῆσαι. Τοῦ δ' οὐκ ἀναγκαῖον εἶναι φήσαντος τοῦτο ποιῆσαι, οὐκ ἐπείσθη, προσέταξε δὲ μηδὲν μελλήσαντι βαδίζειν ἐπὶ τὴν ἐξαρίθμησιν τῶν Ἑβραίων. Ἰώαβος δὲ τοὺς ἄρχοντας τῶν φυλῶν παραλαβὼν καὶ γραμματεῖς ἐπιὼν τὴν τῶν Ἰσραηλιτῶν χώραν, καὶ τὸ πλῆθος ὅσον ἐστὶ κατανοήσας, ὑπέστρεψεν εἰς Ἱεροσόλυμα πρὸς τὸν βασιλέα μετὰ μῆνας ἐννέα καὶ ἡμέρας εἴκοσι, καὶ τὸν ἀριθμὸν ἀπέδωκε τῷ βασιλεῖ τοῦ λαοῦ χωρὶς τῆς Βενιαμίτιδος φυλῆς· ἐξαριθμῆσαι γὰρ αὐτὴν οὐκ ἐφθασεν, ἀλλ' οὐδὲ τὴν Λευιτῶν φυλήν· μετενόησε γὰρ ὁ βασιλεὺς εἰς τὸν Θεὸν ἁμαρτών. Ἦν δὲ τῶν ἄλλων Ἰσραηλιτῶν ἀριθμὸς ἐνενήκοντα μυριάδες ὅπλα βαστάζειν καὶ στρατεύεσθαι δυναμένων, ἡ δὲ Ἰούδα φυλὴ καθ' ἑαυτὴν τεσσαράκοντα μυριάδες ἦσαν.

β'. Τῶν δὲ προφητῶν δηλωσάντων τῷ Δαυΐδῃ ὅτι δι' ὀργῆς ἐστιν αὐτῷ ὁ Θεὸς, ἱκετεύειν ἤρξατο καὶ παρακαλεῖν εὐμενῆ γίνεσθαι καὶ συγγινώσκειν ἡμαρτηκότι. Γάδον δὲ τὸν προφήτην ἔπεμψεν ὁ Θεὸς πρὸς αὐτὸν, τρεῖς αἱρέσεις κομίζοντα, ὅπως ἐκλέξηται τούτων ἣν ἂν δοκιμάσῃ· πότερον θέλει λιμὸν γενέσθαι κατὰ τὴν χώραν ἐπὶ ἔτη ἑπτὰ, ἢ τρεῖς μῆνας πολεμήσας ὑπὸ τῶν ἐχθρῶν ἡττηθῆναι, ἢ λοιμὸν ἐνσκῆψαι καὶ νόσον ἐπὶ τρεῖς ἡμέρας τοῖς Ἑβραίοις. Ὁ δ' εἰς ἀμήχανον ἐκλογὴν μεγάλων κακῶν ἐμπεσὼν ἐλυπεῖτο καὶ σφόδρα ἦν συγκεχυμένος. Τοῦ δὲ προφήτου τοῦτο δεῖν ἐξ ἀνάγκης γενέσθαι φήσαντος καὶ κελεύσαντος ἀποκρίνασθαι ταχέως, ἵνα ἀπαγγείλῃ τὴν αἵρεσιν αὐτοῦ

cerdos. A duobus enim fratribus, inter Moabitas illustribus, provocatus, strenuitate sua illos superavit. Ac rursus quum vir genere Ægyptius, stupendæ magnitudinis, eum provocasset, inermis armatum et suo ipsius gladio percussum interemit: nam quum ipsi hastam extorsisset, et vivum adhuc et pugnantem spoliasset, suis ipsum armis confecit. Quin et hoc facinoribus ejus jam memoratis accenseri meruit, aut ut primum illorum, si magnanimitatis ratio habeatur, aut ut par. Deo enim nivem mittente, in puteum quendam lapsu cecidit leo; quumque os angustum esset, illo nive occluso, in manifesto erat vitæ periculo. Itaque de exitu et salute desperans rugire cœpit. At Banajas fera audita (tunc enim iter faciebat) atque eo unde clamor profectus, quum in puteum descendisset, repugnantem ictu baculi, quem in manibus gestabat, continuo occidit. Reliqui autem triginta tres etiam pari virtute præditi erant.

CAP. XIII. (X.)

Ceterum quum Davidi regi in animo esset cognoscere quot myriadibus constaret populus, immemor mandatorum Moysis, qui prædixerat ut, si populus numeraretur, in singula ejus capita sicli semissis Deo offerri deberet, Joabo copiarum duci imperavit ut regionem obiret et multitudinis universæ censum ageret. Illo vero dicente nihil necesse esse ut hoc faceret, regi non persuadetur, sed jussit ut sine ulla mora proficisceretur ad Hebræos recensendos. Ioabus autem assumptis principibus tribuum et scribis, quum Israelitarum terram perlustrasset, et quanta esset multitudo computasset, post menses novem et dies viginti Hierosolyma reversus est ad regem, eique numerum populi retulit, excepta tribu Benjamitica: nam eam nondum ad censum vocaverat, neque tribum Leviticam. Quippe regem, ut qui in Deum deliquerit, facti pœnituit. Erat autem Israelitarum numerus nongenta millia hominum qui arma ferre et militiæ nomen dare poterant, Judæ vero tribus seorsum quadringenta millia conficiebat.

2. Deinde quum Davidi declarassent vates Deum ipsi periratum esse, supplex orare cœpit et obsecrare ut propitius fieret sibique noxam ignosceret. Tum Deus ad ipsum misit Gadum vatem, qui tres optiones ad eum deferret, ut harum unam eligeret quam maxime omnium probaret, velitne suis in finibus septem annos fame laborare, an post bellum per tres menses gestum ab hostibus vinci, an Hebræos pestilentiæ morbo grassante tribus diebus cum eo conflictari. Ille vero, quod inter mala adeo gravia difficilis esset electio, discruciabatur atque valde confusus erat. At quum vates dixisset necesse esse ut hoc fieret, jussissetque statim responsum dare, ut optionem ab eo factam Deo renunciaret, rex secum reputans quod, si famem optaret,

τῷ Θεῷ, λογισάμενος ὁ βασιλεὺς ὡς εἰ λιμὸν αἰτήσειεν δόξειε τοῦτο πεποιηκέναι τοῖς ἄλλοις, αὐτῷ μὲν ἀφόβως, ὅτι πολὺν αὐτὸς ἐγκεκλεισμένον ἔχοι σῖτον, ἐκείνοις δὲ βλαβερῶς, ἂν δέ γε ἕληται τοὺς τρεῖς μῆνας νικωμένους αὐτούς, ὅτι τοὺς ἀνδρειοτάτους ἔχοι περὶ αὐτὸν καὶ φρούρια καὶ ὡς διὰ τοῦτο μηδὲν φοβούμενος εἵλετο τὸν πόλεμον, ἠτήσατο πάθος κοινὸν καὶ βασιλεῦσι καὶ τοῖς ἀρχομένοις, ἐν ᾧ τὸ δέος ἴσον ἁπάντων γίνεται, προειπὼν ὅτι πολὺ κρεῖττον εἰς τὰς τοῦ Θεοῦ χεῖρας ἐμπεσεῖν ἢ τὰς τῶν πολεμίων.

γ'. Ταῦτ' ἀκούσας ὁ προφήτης ἀπήγγειλε τῷ Θεῷ. Ὁ δὲ τὸν λοιμὸν καὶ τὴν φθορὰν ἔπεμψε τοῖς Ἑβραίοις. Ἀπέθνησκον δ' οὐ μονοτρόπως, οὐδ' ὥστε ῥᾴδιον κατανοῆσαι γενέσθαι τὴν νόσον, ἀλλὰ τὸ μὲν κακὸν ἓν ἦν, μυρίαις δ' αὐτοὺς αἰτίαις καὶ προφάσεσιν οὐδ' ἐπινοῆσαι δυναμένους ἀνήρπαζεν. Ἄλλος γὰρ ἐπ' ἄλλῳ διερθείρετο καὶ λανθάνον ἐπερχόμενον τὸ δεινὸν ὀξεῖαν τὴν τελευτὴν ἐπέφερε, τῶν μὲν αἰφνιδίως μετ' ἀλγημάτων σφοδρῶν καὶ πικρᾶς ὀδύνης τὴν ψυχὴν ἀφιέντων, ἐνίων δὲ καὶ μαραινομένων τοῖς παθήμασι καὶ μηδ' εἰς κηδείαν ὑπολειπομένων, ἀλλ' ἐν αὐτῷ τῷ κάμνειν εἰς τὸ παντελὲς δαπανωμένων. Οἱ δ' αἰφνίδιον σκότους αὐτοῖς τὰς ὄψεις ὑποδραμόντος περιπνιγεῖς ἀπώμωζον, ἔνιοι δὲ τῶν οἰκείων τινὰ κηδεύοντες ἐπαπέθνησκον ἀτελέσι ταῖς ταφαῖς. Ἀπώλοντο δὲ, ἀρξαμένης ἕωθεν τῆς λοιμικῆς νόσου φθείρειν αὐτοὺς ἕως ὥρας ἀρίστου, μυριάδες ἑπτά. Ἐξέτεινε δὲ ὁ ἄγγελος τὴν χεῖρα ἐπὶ τὰ Ἱεροσόλυμα τὸ δεινὸν κἀκεῖσε πέμπων. Ὁ δὲ βασιλεὺς σάκκον ἐνδεδυμένος ἔκειτο κατὰ τῆς γῆς, ἱκετεύων τὸν Θεὸν καὶ δεόμενος ἤδη λωφῆσαι καὶ τοῖς ἀπολωλόσιν ἀρκεσθέντα παύσασθαι. Ἀναβλέψας δ' εἰς τὸν ἀέρα ὁ βασιλεὺς καὶ θεασάμενος τὸν ἄγγελον δι' αὐτοῦ φερόμενον ἐπὶ τὰ Ἱεροσόλυμα καὶ μάχαιραν ἐσπασμένον, εἶπε πρὸς τὸν Θεὸν ὡς αὐτὸς εἴη δίκαιος κολασθῆναι ὁ παιμήν, τὰ δὲ ποίμνια σώζεσθαι, μηδὲν ἐξαμαρτόντα, καὶ ἠντιβόλει τὴν ὀργὴν εἰς αὐτὸν καὶ τὴν γενεὰν αὐτοῦ πᾶσαν ἀποσκῆπτειν, φείδεσθαι δὲ τοῦ λαοῦ.

δ'. Κατακούσας δὲ ὁ Θεὸς τῆς ἱκεσίας ἔπαυσε τὸν λοιμὸν, καὶ πέμψας Γάδον τὸν προφήτην ἐκέλευσεν αὐτὸν ἀναβῆναι παραχρῆμα εἰς τὴν ἅλω τοῦ Ἰεβουσαίου Ὁρόννα, καὶ οἰκοδομήσαντα βωμὸν ἐκεῖ τῷ Θεῷ θυσίας ἐπιτελέσαι. Δαυίδης δ' ἀκούσας οὐκ ἠμέλησεν, ἀλλ' εὐθὺς ἔσπευδεν ἐπὶ τὸν παρηγγελμένον αὐτῷ τόπον. Ὁρόννας δὲ τὸν σῖτον ἅλοων, ἐπεὶ τὸν βασιλέα προσιόντα καὶ τοὺς παῖδας αὐτοῦ πάντας ἐθεάσατο, προσέδραμεν αὐτῷ καὶ προσεκύνησεν. Ἦν δὲ τὸ μὲν γένος Ἰεβουσαῖος, φίλος δ' ἐν τοῖς μάλιστα Δαυίδου καὶ διὰ τοῦτ' αὐτὸν οὐδὲν εἰργάσατο δεινὸν, ὅτε τὴν πόλιν κατεστρέψατο, ὡς μικρὸν ἔμπροσθεν ἐδηλώσαμεν. Τοῦ δὲ Ὁρόννα πυνθανομένου τί παρείη πρὸς τὸν δοῦλον ὁ δεσπότης, εἶπεν ὠνήσασθαι παρ' αὐτοῦ τὴν ἅλω, ὅπως βωμὸν ἐν αὐτῇ κατασκευάσῃ τῷ Θεῷ καὶ ποιήσῃ θυσίαν. Ὁ δὲ καὶ τὴν ἅλω εἶπε καὶ τὰ

contra alios *hoc* facere videretur, dum ipse quidem extra metum esset, ut qui multum frumenti reconditum haberet, illi vero pessime acciperentur; sin autem per tres menses ipsos debellari eligeret, quod a viris fortissimis stiparetur, et loca ei essent præsidiis munita, propterea nihil timentem bellum elegisse *diceretur*; malum infligi voluit regibus cum subditis commune, unde par metus omnibus incutiatur, præfatus melius esse in Dei quam in hostium manus incidere.

3. Ista quum vates accepisset, Deo nunciatum ivit. Tum ille pestem et interitum immisit Hebræis. Uno autem modo non obierunt, neque ita ut facile fuerit morbum cognoscere, sed malum quidem unum erat, ipsos vero ex innumeris causis et occasionibus, quum nihil consilii capere possent, abripiebat. Alius enim super alium interibat, et ægritudo clam ingruens mortem quam celerrime afferebat, aliis quidem derepente cum gravissimis doloribus et acerbo cruciatu animam effantibus, nonnullis vero iis quæ passi sunt maceratis, et ne ad sepulturam quidem relictis, sed ipso morbo plane consumptis Alii rursus subito tenebris ob oculos obortis præfocati ejulabant, nonnullique, domesticorum alicui justa solventes, sepultura nondum absoluta moriebantur. Peste autem mane exorsa et usque ad prandii tempus grassante, absumpta sunt septuaginta millia. Jamque angelus manum suam in Hierosolyma intendit, ut ea etiam eodem malo multaret. At rex saccum indutus humi jacebat, Deum obsecrans oransque ut pestem sedaret et jam mortuis contentus de cetero quiesceret. Oculis autem in aerem sublatis, conspectoque angelo qui Hierosolyma ferebatur gladio evaginato, ad Deum exclamabat, se utpote pastorem dignum esse supplicio, greges vero servari meruisse, ut qui nihil mali commiserint, supplexque poscebat ut ira in ipsum ipsiusque domum patriam universam sæviret, populoque parceret.

9. Tum Deus precibus exauditis luem compescuit ac misso ad eum Gado vate ei præcepit ut confestim ascenderet in aream Oronnæ Jebusæi, araque constructa illic Deo sacrificia perageret. Davides autem hoc audito quod mandatum erat non neglexit, sed illico ad locum sibi indicatum properabat. At Oronnas, in frumento triturando occupatus, ut vidit regem cum filiis omnibus versus se tendentem, ad ipsum accurrit eumque adoravit. Erat autem genere ille Jebusæus, Davidis præcipuus amicus: quapropter nihil mali adversus illum admisit, ubi urbem istam evertebat, ut paulo ante indicavimus. Porro Oronna percontante cur ad servum dominus accederet, respondebat, ad emendam ab eo aream, ut in ea altare Deo exstrueret et sacra faceret. At ille et aream et aratra et boves in holocaustum se ei largiri di-

ἄροτρα καὶ τοὺς βόας εἰς ὁλοκαύτωσιν χαρίζεσθαι, καὶ τὸν Θεὸν ἡδέως εὔχεσθαι τὴν θυσίαν προσέσθαι. Ὁ δὲ βασιλεὺς ἀγαπᾶν μὲν αὐτὸν τῆς ἁπλότητος καὶ τῆς μεγαλοψυχίας ἔλεγε καὶ δέχεσθαι τὴν χάριν, τιμὴν δ' αὐτὸν ἠξίου λαμβάνειν πάντων· οὐ γὰρ εἶναι δίκαιον προῖκα θυσίαν ἐπιτελεῖν. Τοῦ δὲ Ὀρόννα φήσαντος ποιεῖν ὅ τι βούλεται, πεντήκοντα σίκλων ὠνεῖται παρ' αὐτοῦ τὴν ἅλω, καὶ οἰκοδομήσας τὸν βωμὸν ἱερούργησε καὶ ὁλοκαύτωσε καὶ θυσίας ἀνήνεγκεν εἰρηνικάς. Καταπραΰνεται δὲ τούτοις τὸ θεῖον, καὶ πάλιν εὐμενὲς γίνεται. Συνέβη δ' εἰς ἐκεῖνον ἀγαγεῖν τὸν τόπον Ἄβραμον τὸν υἱὸν αὐτοῦ Ἴσακον ὥστε ὁλοκαυτῶσαι, καὶ μέλλοντος ἀποσφάττεσθαι τοῦ παιδὸς κριὸν ἐξαίφνης ἀναφανῆναι παρεστῶτα τῷ βωμῷ, ὃν καὶ κατέθυσεν ὁ Ἄβραμος ἀντὶ τοῦ παιδὸς, ὡς προειρήκαμεν. Ὁρῶν δ' ὁ βασιλεὺς Δαυΐδης τῆς εὐχῆς αὐτοῦ τὸν Θεὸν ἐπήκοον γεγενημένον καὶ τὴν θυσίαν ἡδέως προσδεξάμενον, ἔκρινε τὸν τόπον ἐκεῖνον ὅλον βωμὸν προσαγορεῦσαι τοῦ λαοῦ παντὸς καὶ οἰκοδομῆσαι ναὸν τῷ Θεῷ. Ταύτην εὐστόχως ἀφῆκεν εἰς τὸ γενησόμενον τὴν φωνήν· ὁ γὰρ Θεὸς τὸν προφήτην ἀποστείλας πρὸς αὐτὸν ἐκεῖ ναὸν ἔλεγεν οἰκοδομήσειν αὐτοῦ τὸν υἱὸν τὸν μέλλοντα μετ' αὐτὸν τὴν βασιλείαν διαδέχεσθαι.

ΚΕΦ. ΙΔ'.

Μετὰ δὲ ταύτην τὴν προφητείαν ἐκέλευσεν ὁ βασιλεὺς ἐξαριθμηθῆναι τοὺς παροίκους, καὶ ηὑρέθησαν εἰς ὀκτὼ μυριάδας καὶ δέκα. Ἐκ τούτων ἀπέδειξε λατόμους μὲν τοὺς ὀκτακισμυρίους, τὸ δὲ ἄλλο πλῆθος παραφέρειν τοὺς λίθους· τρισχιλίοις δὲ καὶ πεντακοσίοις τοῖς ἐργαζομένοις ἐξ αὐτῶν ἐπέστησεν. Ἡτοίμασε δὲ καὶ πολὺν σίδηρον καὶ χαλκὸν εἰς τὰ ἔργα καὶ ξύλα κέδρινα πολλὰ καὶ παμμεγεθέστατα, Τυρίων αὐτῷ ταῦτα πεμπόντων καὶ Σιδωνίων. Ἐπεστάλκει γὰρ αὐτοῖς τὴν τῶν ξύλων χορηγίαν, πρός τε τοὺς φίλους ἔλεγε ταῦτα παρασκευάζεσθαι νῦν, ἵνα τῷ μέλλοντι παιδὶ βασιλεύειν μετ' αὐτὸν ἑτοίμην τὴν ὕλην τῆς οἰκοδομίας τοῦ ναοῦ καταλείπῃ, καὶ μὴ τότε συμπορίζῃ νέος ὢν καὶ τῶν τοιούτων ἄπειρος διὰ τὴν ἡλικίαν, ἀλλὰ παρακειμένην ἔχων ἐπιτελῇ τὸ ἔργον.

β'. Καλέσας δὲ τὸν παῖδα Σολομῶνα κατασκευάσαι τῷ Θεῷ ναὸν αὐτὸν ἐκέλευσε διαδεξάμενον τὴν βασιλείαν, λέγων ὡς αὐτὸν βουλόμενον κωλύσειεν ὁ Θεὸς αἵματι καὶ πολέμοις πεφυρμένον, προείποι δ' ὅτι Σολομὼν οἰκοδομήσει τὸν ναὸν αὐτῷ, παῖς νεώτατος καὶ τοῦτο κληθησόμενος τοὔνομα, οὗ προνοήσειν μὲν αὐτὸς ὡς πατὴρ ἐπηγγέλλετο, τὴν δ' Ἑβραίων χώραν εὐδαίμονα καταστήσειν ἐπ' αὐτοῦ τοῖς τε ἄλλοις ἀγαθοῖς καὶ δὴ τῷ μεγίστῳ πάντων, εἰρήνῃ καὶ πολέμων ἀπαλλαγῇ καὶ στάσεων ἐμφυλίων. Σὺ τοίνυν, ἐπεὶ καὶ πρὸ τῆς γενέσεως ἀπεδείχθης βασιλεὺς ὑπὸ τοῦ Θεοῦ, πειρῶ τά τε ἄλλα γίνεσθαι τῆς τούτου προνοίας ἄξιος, εὐσεβὴς ὢν καὶ δίκαιος καὶ ἀνδρεῖος, καὶ τὰς ἐντολὰς αὐτοῦ

cebat, Deumque precari lubenti animo ut sacrificium acciperet. Rex vero aiebat se ipsum simplicitatis ergo et magnanimitatis diligere, et accipere hanc ab eo gratiam, sed obsecrabat eum, ut certo pretio ista omnia sibi addiceret: haud enim fas esse gratuito bestias immolare. Quum vero Oronnas dixisset se facturum esse quicquid vellet, quinquaginta siclis aream ab illo emit rex, araque exstructa rem divinam fecit et solida cremavit sacrificia et victimas pacificas obtulit: quibus placatus est Deus, iterumque propitius factus. Contigit autem ut hic locus esset in quem Abramus olim filium suum Isacum adduxerat, ut eo solidum faceret sacrificium, et, quum ad puerum jugulandum se accingeret, aries ex improviso apparuit altari adstans, quem Abramus pro filio, quemadmodum supra diximus, immolavit. Videns autem Davides orationem suam a Deo exauditam esse, suumque sacrificium ab eo benigne acceptum, censebat totum illum locum appellare aram populi universi, templumque Deo ædificare. Quod sane apposite ad id quod erat futurum pronunciabat: nam Deus per vatem ad eum missum dicebat fore ut templum eo loci extrueret ipsius filius, qui ei in regno ipse successurus esset.

CAP. XIV. (XI.)

Hoc autem vaticinio accepto jussit rex ut recenserentur inquilini, et inventa sunt eorum centum et octoginta millia. Ex his quidem octoginta millia constituit lapicidas, reliquam vero multitudinem ad convehendos lapides deputavit, atque ex istis ter mille et quingentos operariis præfecit. Etiam magnam vim ferri ac æris in opera *designata* paravit, et materiam cedrinam multam et stupendæ magnitudinis, Tyriis et Sidoniis hanc illi mittentibus. His enim per literas significaverat ut ligna ipsi suppeditarent, dicebatque suis amicis hæc se jam apparare, ut filio ipsi successuro materiem ad manus congestam templo ædificando relinqueret, et ne tunc illam conquireret, quum juvenis esset et propter ætatem istiusmodi rerum imperitus, sed eam in promptu habens opus absolveret.

2. Accito deinde Solomoni filio mandavit ut, ubi primum imperium adeptus esset, templum Deo construeret, dicens quod ipsum, quum id facere in animum induxisset, prohibuerit Deus, utpote sanguine et bellis pollutum, verumtamen prædixerit fore ut Solomon ex filiis natu minimus sibi templum ædificaret, qui scilicet hoc nomine vocaretur, cujus se quidem veluti patrem curam habiturum esse pollicebatur, terræ vero Hebræorum sub ipso felicitatem largiturum quum aliis bonis cumulatam, tum eo quod omnium maximum est, pace et quiete ab hostibus et discordiis civilibus. Tu itaque, quum a Deo, etiam antequam natus eras, rex fueris designatus, da operam ut et cetera dignum te præbeas ejus providentia, pietatem colens et

καὶ τοὺς νόμους, οὓς διὰ Μωϋσέως ἡμῖν ἔδωκε, φύλαττε καὶ τοῖς ἄλλοις μὴ παραβαίνειν ἐπίτρεπε. Τὸν δὲ ναὸν, ὃν ὑπὸ σοῦ βασιλεύοντος εἵλετο αὐτῷ γενέσθαι, σπούδασον ἀποδοῦναι τῷ Θεῷ, μὴ καταπλαγεὶς τὸ μέγεθος τοῦ ἔργου, μηδὲ ἀποδειλιάσῃς πρὸς αὐτό· πάντα γὰρ σοὶ πρὸ τῆς ἐμαυτοῦ τελευτῆς ἕτοιμα ποιήσω. Γίνωσκε δὴ χρυσοῦ μὲν ἤδη τάλαντα συνειλεγμένα μύρια, δέκα δὲ ἀργυρίου μυριάδας ταλάντων· χαλκὸν δὲ καὶ σίδηρον ἀριθμοῦ πλείονα συντέθεικα, ξύλων δὲ καὶ λίθων ὕλην ἄφθονον. Ἔχεις δὲ καὶ λατόμων πολλὰς μυριάδας καὶ τεκτόνων· ἂν δέ τι τούτοις σοὶ προσδέῃ, σὺ προσθήσεις. Γινομένου τοίνυν τούτου ἀρεστὸς ἔσῃ τῷ Θεῷ αὐτὸν ἔχων προστάτην. Προσπαρεκελεύσατο δὲ καὶ τοὺς ἄρχοντας τοῦ λαοῦ τῆς οἰκοδομίας συλλαμβάνεσθαι τῷ παιδὶ καὶ πάντων ἀδεεῖς ὄντας τῶν κακῶν περὶ τὴν τοῦ Θεοῦ θρησκείαν εὐσχολεῖν. Καρπώσεσθαι γὰρ αὐτοὺς ἀντὶ τούτων εἰρήνην καὶ εὐνομίαν, οἷς ἀμείβεται τοὺς εὐσεβεῖς καὶ δικαίους ὁ Θεὸς ἀνθρώπους. Οἰκοδομηθέντος δὲ τοῦ ναοῦ, τὴν κιβωτὸν εἰς αὐτὸν ἀποθέσθαι προσέταξε καὶ τὰ ἅγια σκεύη, πρὸ πολλοῦ ναὸν ὀφείλοντα ἔχειν, εἰ τῶν ἐντολῶν τοῦ Θεοῦ μὴ παρήκουσαν ἡμῶν οἱ πατέρες, ἐντειλαμένου μετὰ τὸ τὴν γῆν ταύτην κατασχεῖν οἰκοδομῆσαι ναὸν αὐτῷ. Ταῦτα μὲν πρὸς τοὺς ἡγεμόνας ὁ Δαυίδης καὶ τὸν υἱὸν αὐτοῦ διελέχθη.

γ'. Πρεσβύτερος δὲ ὢν ἤδη καὶ τοῦ σώματος αὐτῷ ψυχομένου διὰ τὸν χρόνον, δύσριγος ὑπῆρχεν, ὡς μηδ' ὑπὸ τῆς ἐπιβολῆς ἐκ πολλῶν ἱματίων γενομένης ἀναθερμαίνεσθαι. Συνελθόντων δὲ τῶν ἰατρῶν καὶ συμβουλευσάντων ὅπως ἐξ ἁπάσης τῆς χώρας εὐειδὴς ἐπιλεχθεῖσα παρθένος συγκαθεύδῃ τῷ βασιλεῖ, (τοῦτο γὰρ αὐτῷ πρὸς τὸ ῥῖγος ἔσεσθαι βοήθημα, θαλπούσης αὐτὸν τῆς κόρης,) εὑρίσκεται ἐν πόλει γυνὴ μία πασῶν τὸ εἶδος ἀρίστη γυναικῶν, Ἀβησάκη τοὔνομα, ἣ συγκοιμωμένη μόνον τῷ βασιλεῖ συνεθέρμαινεν αὐτόν· ὑπὸ γὰρ γήρως ἦν πρὸς τὰ ἀφροδίσια καὶ γυναικὸς ὁμιλίαν ἀσθενής. Ἀλλὰ περὶ μὲν ταύτης τῆς παρθένου μετ' ὀλίγον δηλώσομεν.

δ'. Ὁ δὲ τέταρτος υἱὸς Δαυίδου, νεανίας εὐειδὴς καὶ μέγας, ἐκ γυναικὸς αὐτῷ Αἰγίθης γεγονὼς, Ἀδωνίας δὲ προσαγορευόμενος, ἐμφερὴς ὢν Ἀβεσαλώμῳ τὴν διάνοιαν, αὐτὸς ὡς βασιλεύσων ἐπῆρτο, καὶ πρὸς τοὺς φίλους ἔλεγεν ὡς τὴν ἀρχὴν αὐτὸν δεῖ παραλαβεῖν. Κατεσκεύασε δὲ ἅρματα πολλὰ καὶ ἵππους καὶ πεντήκοντα ἄνδρας τοὺς προδρόμους. Ταῦθ' ὁρῶν ὁ πατὴρ οὐκ ἐπέπληττεν, οὐδ' ἐπεῖχεν αὐτὸν τῆς προαιρέσεως, οὐδὲ μέχρι τοῦ πυθέσθαι διὰ τί ταῦτα πράττει προήχθη. Συνεργοὺς δ' εἶχεν Ἀδωνίας τὸν στρατηγὸν Ἰώαβον καὶ τὸν ἀρχιερέα Ἀβιάθαρον, μόνοι δ' ἀντέπραττον ὁ ἀρχιερεὺς Σάδωκος καὶ ὁ προφήτης Ναθάνας καὶ Βαναίας ὁ ἐπὶ τῶν σωματοφυλάκων καὶ Σεμεῖς ὁ Δαυίδου φίλος καὶ πάντες οἱ ἀνδρειότατοι. Τοῦ δὲ Ἀδωνία παρασκευασαμένου δεῖπνον ἔξω τῆς πόλεως παρὰ τὴν πηγὴν τὴν ἐν τῷ βασιλικῷ παραδείσῳ καὶ πάντας κα-

justitiam atque fortitudinem; et mandata ejus atque leges per Moysen traditas custodi, et ne patiare alios peccare. Templum autem, quod te regnante strui sibi voluit, modis omnibus age ut Deo perficiatur, nihil attonitus operis magnitudine, neque ejus difficultatem pertimescens: nam ut omnia tibi ante obitum meum parata siat efficiam. Scito sane collecta jam esse auri quidem decem millia talentorum, argenti vero centum millia. Quin et æs et ferrum innumerabile congessi, et ad hæc lapidum et lignorum materiæ vim immensam. Prætereaque habes fabrorum lapidariorum et lignariorum multas myriadas, et si quid hisce defuerit, tu supplebis. Quapropter hoc opere absoluto gratus eris Deo, ejus gaudens patrocinio. At post hæc populi etiam principes adhortatus est ut in structura filium adjutarent et ab omni malo immunes Dei cultui curando vacarent. Fore enim ut pro his vicissim accipiant pacem pulcramque rerum administrationem, quibus homines pios justosque remunerare solet Deus. Quum autem templum fuerit exstructum, jussit arcam in eo reponi et vasa sacra, quæ multo ante templum habuisse debuerant, nisi patres nostri mandata Dei neglexissent, qui præceperat ut, quum primum nacti fuissent hanc terram, ipsi templum ædificarent. Atque ista quidem Davides ad principes filiumque suum locutus est.

3. Jam vero ætate ingravescente, ejusque corpore præ senio frigescente, algosus factus est, ut ne multarum quidem vestium injectu calesceret. Quum autem medici convenissent suasissentque ut virgo forma præcellenti per totam regionem conquisita una cum rege dormiret, (id enim contra frigus auxilium fore, fovente eum puella,) inventa est in urbe una femina omnium feminarum pulcerrima, Abesace nomine, quæ solummodo cum rege somno se dando eum calefaciebat: nam præ senectute rebus venereis uti et cum feminis consuescere non valebat. Sed de hac virgine mox infra dicemus.

4. Adonias autem quartus Davidis filius, juvenis singulari pulcritudine et proceritate, ex uxore Ægitha ei natus, nomine Adonias, ingenio Abesalomo similis, ipse regni spe elatus erat, et amicis dicebat oportere ipsum imperium suscipere. Atque currus multos et equos et præcursores viros quinquaginta sibi comparavit. Quæ quum pater videret, neque ipsum *verbis* castigabat, neque reprimebat quominus ejusmodi quid animo versaret, ac ne eo quidem procedebat ut quare ista ageret sciscitaretur. Adjutores autem Adonias habebat Joabum imperatorem et Abiatharum pontificem, soli vero resistebant Sadocus pontifex et Nathanas vates, et Banajas satellitum præfectus, et Semeis Davidis amicus, virorumque fortissimorum cohors. Quum autem Adonias convivium apparasset extra urbem ad fontem qui est in horto regio, eoque fratres suos omnes præter

λέσαντος τοὺς ἀδελφοὺς χωρὶς Σολομῶνος, παραλαβόντος δὲ καὶ τὸν στρατηγὸν Ἰώαβον καὶ Ἀβιάθαρον καὶ τοὺς ἄρχοντας τῆς Ἰούδα φυλῆς· οὗτοι μὲν πάντες παρῆσαν· τοὺς δὲ περὶ τὸν ἀρχιερέα Σάδωκον καὶ Ναθάναν τὸν προφήτην καὶ τὸν ἐπὶ τῶν σωματοφυλάκων Βαναίαν καὶ πάντας τοὺς ἐκ τῆς ἐναντίας αἱρέσεως οὐκ ἐκάλεσεν ἐπὶ τὴν ἑστίασιν. Τοῦτο πρὸς τὴν Σολομῶνος κατεμήνυσε μητέρα Βεερσαβὴν Ναθάνας ὁ προφήτης, ὡς Ἀδωνίας βασιλεύς ἐστι καὶ τοῦτ' ἀγνοεῖ Δαυίδης, συνεβούλευέ τε σώζειν αὐτὴν καὶ τὸν παῖδα Σολομῶνα, καὶ πρὸς Δαυίδην προσελθοῦσαν μόνην λέγειν ὡς αὐτὸς μὲν ὁμόσειε μετ' αὐτὸν Σολομῶνα βασιλεύειν, μεταξὺ δ' Ἀδωνίας τὴν ἀρχὴν ἤδη παραλάβοι. Ταῦτα δὲ τῷ βασιλεῖ διαλεγομένης, ὁ προφήτης ἐπεισελεύσεσθαι καὶ αὐτὸς ἔφησε καὶ τοῖς λόγοις αὐτῆς ἐπιμαρτυρήσειν. Ἡ δὲ Βεερσαβὴ πεισθεῖσα τῷ Ναθάνᾳ πάρεισι πρὸς τὸν βασιλέα, καὶ προσκυνήσασα καὶ λόγον αἰτησαμένη πάντ' αὐτῷ καθὼς ὁ προφήτης ὑπέθετο διεξέρχεται, τό τε δεῖπνον τὸ Ἀδωνία καὶ τοὺς ὑπ' αὐτοῦ κεκλημένους, Ἀβιάθαρον τὸν ἀρχιερέα καὶ Ἰώαβον τὸν ἄρχοντα, καὶ τοὺς υἱοὺς αὐτοῦ χωρὶς Σολομῶνος καὶ τῶν ἀναγκαίων αὐτοῦ φίλων μηνύσασα. Ἔλεγέ τε πάντα τὸν λαὸν ἀφορᾶν τίνα χειροτονήσειε βασιλέα, παρεκάλει τε κατὰ νοῦν ἔχειν ὡς μετὰ τὴν ἀπαλλαγὴν αὐτοῦ βασιλεύσας αὐτήν τε καὶ Σολομῶνα τὸν υἱὸν αὐτῆς ἀναιρήσει.

ε'. Διαλεγομένης δ' ἔτι τῆς γυναικὸς ἤγγειλαν οἱ τοῦ δωματίου προεστῶτες ὅτι βούλεται Ναθάνας ἰδεῖν αὐτόν. Τοῦ δὲ βασιλέως ἐκδέξασθαι κελεύοντος, εἰσελθὼν, εἰ τήμερον ἀποδείξειε τὸν Ἀδωνίαν βασιλέα καὶ παραδοίη τὴν ἀρχὴν, ἐπυνθάνετο. Λαμπρὸν γὰρ αὐτὸν ποιήσαντα δεῖπνον κεκληκέναι τοὺς υἱοὺς αὐτοῦ πάντας χωρὶς Σολομῶνος, καὶ τὸν στρατηγὸν τὸν Ἰώαβον, οἳ μετὰ κρότου καὶ παιδιᾶς εὐωχούμενοι πολλῆς αἰώνιον αὐτῷ συνεύχονται τὴν ἡγεμονίαν· ἐκάλεσέ τε οὔτε ἐμὲ οὔτε τὸν ἀρχιερέα Σάδωκον οὔτε Βαναίαν τὸν ἐπὶ τῶν σωματοφυλάκων. Δίκαιον δ' εἶναι ταῦτα γινώσκειν ἅπαντας, εἰ κατὰ τὴν σὴν γνώμην ἐγένετο. Ταῦτα τοῦ Ναθάνα φήσαντος, ὁ βασιλεὺς ἐκέλευσε καλέσαι τὴν Βεερσαβὴν πρὸς αὐτόν. Ἐκεχωρήκει γὰρ ἐκ τοῦ δωματίου, προφήτου παραγενομένου. Τῆς δὲ γυναικὸς ἐλθούσης, « ὄμνυμί σοι, φησὶ, τὸν « μέγιστον Θεὸν, ἦ μὴν τὸν υἱόν σου Σολομῶνα βασι« λεύσειν, ὡς καὶ πρότερον ὤμοσα, καὶ τοῦτον ἐπὶ τοῦ« μοῦ καθεδεῖσθαι θρόνου, καὶ τοῦτ' ἔσται σήμερον. » Προσκυνησάσης δ' αὐτὸν τῆς γυναικὸς καὶ μακρὸν εὐξαμένης αὐτῷ βίον, Σάδωκον μεταπέμπεται τὸν ἀρχιερέα καὶ Βαναίαν τὸν ἐπὶ τῶν σωματοφυλάκων. Καὶ παραγενομένοις κελεύει παραλαβεῖν Ναθάναν τε τὸν προφήτην καὶ τοὺς περὶ τὴν αὐλὴν ὁπλίτας ἅπαντας, καὶ ἀναβιβάσαντας τὸν υἱὸν αὐτοῦ Σολομῶνα ἐπὶ τὴν βασιλικὴν ἡμίονον ἔξω τῆς πόλεως ἀγαγεῖν ἐπὶ τὴν πηγὴν τὴν λεγομένην Γηὼν καὶ περιχρίσαντας τὸ ἅγιον ἔλαιον ἀποδεῖξαι βασιλέα. Τοῦτο δὲ ποιῆσαι προσέ-

Solomonem vocasset, quin et secum assumpsisset Joabum imperatorem et Abiatharum et principes tribus Judæ : hi quidem omnes aderant, Sadocum vero pontificem et Nathanam vatem et Banajam satellitum præfectum, et quotquot ab altera parte steterunt, non invitaverat ad convivium. Hujus rei indicium ad Solomonis matrem Beersaben detulit Nathanas vates, Adoniam scilicet pro rege se gerere, idque inscio Davide, deditque ei consilium ut suæ filiique Solomonis saluti prospiceret, et sola ad Davidem ingressa ei diceret quod ipse quidem juraverit sibi in regno successurum esse Solomonem, interim vero Adonias imperium jam susceperit. Dum autem hæc ad regem loqueretur, se superventurum esse præterea dicebat vates, verbisque ipsius fidem facturum. Beersabe paruit Nathanæ et regem adit, et quum eum adorasset veniamque dicendi petiisset, omnia sicuti vates monuerat ordine recenset, facto indicio, ut convivium apparaverit Adonias, et Joabum exercitus ducem vocaverit, et Abiatharum pontificem, et filios ipsius, exceptis Solomone ejusque necessariis amicis. Addebat etiam totum populum *suspensum* exspectare quemnam regem declararet, orabatque ipsum et obsecrabat ut secum reputaret quod ille, si post ipsius discessum regnarit, et ipsam et Solomonem filium suum esset perempturus.

5. Muliere autem adhuc cum rege loquente, cubiculi præfecti ei nunciatum veniunt Nathanam velle ipsum videre. Rege autem jubente ut illum exciperent, ingressus percontabatur an hodie regem declararit Adoniam, eique imperium tradiderit. Hunc enim splendido convivio adornato filios ejus omnes excepto Solomone invitasse et Joabum imperatorem, qui cum plausu multoque joco epulantes imperium illi æternum apprecantur : quum neque me, neque Sadocum pontificem, neque Banajam satellitum præfectum vocaverit. Æquum vero esse ut omnibus innotescat num hæc gerantur ex tua sententia. Postquam hæc dixerat Nathanas, rex Beersaben acciri jussit : excesserat enim cubiculo ad vatis adventum. Quumque mulier se stitisset, « juro, inquit, tibi per Deum maximum, filium « tuum Solomonem certe regnaturum esse, ut jam ante « juravi, eumque in solio meo sessurum, idque hac ipsa « die. » Ubi autem mulier regem adoraverat, eique longam vitam precata fuerat, Sadocum pontificem ad se accersit *rex* et Banajam satellitum præfectum, ipsisque comparentibus jubet ut assumpto Nathana vate et militibus omnibus qui circa aulam essent, impositoque filio ipsius Solomone in mulam regiam, extra urbem illum deducerent ad fontem qui vocatur Geon, sacroque oleo circumfuso inunctum regem declararent. Hoc autem negotium Sadoco pontifici

ταξε Σάδωκον τὸν ἀρχιερέα καὶ Ναθάναν τὸν προφήτην, ἀκολουθοῦντάς τε προσέταξε διὰ μέσης τῆς πόλεως τοῖς κέρασιν ἐπισαλπίζοντας βοᾶν, εἰς αἰῶνα Σολομῶνα τὸν βασιλέα καθίσαι ἐπὶ τοῦ βασιλικοῦ θρόνου· ἵνα γνῷ πᾶς ὁ λαὸς ἀποδεδειγμένον αὐτὸν ὑπὸ τοῦ πατρὸς βασιλέα. Σολομῶνι δ' ἐντέταλται περὶ τῆς ἀρχῆς, ἵνα εὐσεβῶς καὶ δικαίως προστῇ τοῦ Ἑβραίων ἔθνους παντὸς καὶ τῆς Ἰούδα φυλῆς. Βαναία δὲ εὐξαμένου τὸν Θεὸν Σολομῶνι εὐμενῆ γενέσθαι, μηδὲ μικρὸν διαλιπόντες ἀναβιβάζουσιν ἐπὶ τὴν ἡμίονον τὸν Σολομῶνα· καὶ προαγαγόντες ἔξω τῆς πόλεως ἐπὶ τὴν πηγὴν καὶ τῷ ἐλαίῳ χρίσαντες εἰσῆγον εἰς τὴν πόλιν ἐπευφημοῦντες καὶ τὴν βασιλείαν αὐτῷ γενέσθαι πολυχρόνιον εὐχόμενοι καὶ παραγαγόντες εἰς τὸν οἶκον τὸν βασιλικὸν καθίζουσιν αὐτὸν ἐπὶ τοῦ θρόνου. Καὶ πᾶς ὁ λαὸς ἐπ' εὐωχίαν εὐθὺς ἐτράπη καὶ ἑορτὴν, χορεύων καὶ αὐλοῖς τερπόμενος, ὡς ὑπὸ τοῦ πλήθους τῶν ὀργάνων ἅπασαν περιηχεῖσθαι τὴν γῆν καὶ τὸν ἀέρα.

ς'. Ὡς δ' ἤσθοντο τῆς βοῆς Ἀδωνίας τε καὶ οἱ παρόντες ἐπὶ τὸ δεῖπνον, ἐταράχθησαν, ὅ τε στρατηγὸς Ἰώαβος ἔλεγεν οὐκ ἀρέσκεσθαι τοῖς ἤχοις οὐδὲ τῇ σάλπιγγι. Παρακειμένου δὲ τοῦ δείπνου, καὶ μηδενὸς γευομένου, πάντων δ' ἐπ' ἐννοίας ὑπαρχόντων, εἰστρέχει πρὸς αὐτοὺς ὁ τοῦ ἀρχιερέως Ἀβιαθάρου παῖς Ἰωνάθης. Τοῦ δ' Ἀδωνία θεασαμένου τὸν νεανίαν ἡδέως καὶ προσειπόντος ἀγαθὸν ἄγγελον, ἐδήλου πάντ' αὐτοῖς τὰ περὶ τὸν Σολομῶνα καὶ τὴν Δαυίδου τοῦ βασιλέως γνώμην, ἀναπηδήσαντες δ' ἐκ τοῦ συμποσίου ὅ τε Ἀδωνίας καὶ οἱ κεκλημένοι πάντες ἔφευγον πρὸς ἑαυτοὺς ἕκαστοι. Φοβηθεὶς δ' Ἀδωνίας τὸν βασιλέα περὶ τῶν γεγονότων ἱκέτης γίνεται τοῦ Θεοῦ, καὶ τῶν τοῦ θυσιαστηρίου κεράτων, ἃ δὴ προεῖχεν, ἑλλαβόμενος. Δηλοῦται τοῦτο Σολομῶνι πεποιηκὼς, καὶ πίστεις ἀξιῶν παρ' αὐτοῦ λαβεῖν, ὥστε μὴ μνησικακῆσαι μηδ' ἐργάσασθαι δεινὸν αὐτῷ μηδέν. Ὁ δὲ, ἡμέρως πάνυ καὶ σωφρόνως τῆς μὲν τότε ἁμαρτίας αὐτὸν ἀφῆκεν ἀθῷον, εἰπὼν δ' εἰ ληφθείη τι πάλιν καινοποιῶν, ἑαυτῷ αἴτιον τῆς τιμωρίας ἔσεσθαι. Καὶ πέμψας αὐτὸν ἀνίστησιν ἀπὸ τῆς ἱκεσίας. Ἐλθόντα δὲ πρὸς αὐτὸν καὶ προσκυνήσαντα, εἰς τὴν ἰδίαν οἰκίαν ἀπελθεῖν ἐκέλευσε μηδὲν ὑφορώμενον, καὶ τοῦ λοιποῦ παρέξειν αὐτὸν ἀγαθὸν ὡς αὐτῷ τοῦτο συμφέρον ἥξιου.

ζ'. Βουλόμενος δὲ Δαυίδης παντὸς τοῦ λαοῦ ἀποδεῖξαι τὸν υἱὸν βασιλέα, συγκαλεῖ τοὺς ἄρχοντας εἰς Ἱεροσόλυμα, καὶ τοὺς ἱερεῖς καὶ τοὺς Λευίτας. Ἐξαριθμήσας δὲ τούτους πρῶτον εὑρίσκει τῶν ἀπὸ τριάκοντα ἐτῶν ἕως πεντήκοντα τρισμυρίους ὀκτακισχιλίους, ἐξ ὧν ἀπέδειξεν ἐπιμελητὰς μὲν τῆς οἰκοδομίας τοῦ ναοῦ δισμυρίους τρισχιλίους, κριτὰς δὲ τοῦ λαοῦ καὶ γραμματεῖς τούτων ἑξακισχιλίους, πυλωροὺς δὲ τετρακισχιλίους τοῦ οἴκου τοῦ Θεοῦ, καὶ τοσούτους ὑμνῳδοὺς τοῦ Θεοῦ, ᾄδοντας τοῖς ὀργάνοις οἷς Δαυίδης κατεσκεύασε, καθὼς προειρήκαμεν. Διεμέρισε δ' αὐτοὺς κατὰ πατριὰς, καὶ χωρίσας ἐκ τῆς φυλῆς τοὺς ἱερεῖς

et Nathanæ vati dari voluit, illisque mandavit ut eum per mediam urbem comitantes, cornibus inflatis clamarent, « in *omne* ævum solo regio sedeat Solomon rex, » ut pro comperto habeat populus universus regem eum a patre constitutum. Solomoni autem de regno in mandatis dedit ut pie et juste præsit omni Hebræorum populo et Judæ tribui. Quumque Banajas vota nuncupasset, ut Deus Solomoni propitius adsit, protinus Solomonem mulæ imponunt, deductumque extra urbem ad fontem oleoque inunctum rursus in urbem cum faustis acclamationibus reducebant, vota facientes ut quam diutissime regnet : dein in domum regiam adductum in throno collocant. Moxque totus populus ad convivia diemque festum celebrandum convertebatur, choris tibiisque sese oblectantes, ut ex ingenti instrumentorum numero terra simul omnis et aer undique circumsonaret.

6. Ut vero clamorem acceperunt Adonias ejusque convivæ, animis consternati erant, et Joabus imperator dicebat, sibi non placere sonitum istum nec tubam. Dumque appositum esset convivium et nemo de eo degustaret, sed omnes cogitatione defixi tenerentur, accurrit ad eos Jonathas pontificis Abiathari filius. Quum vero Adonias juvenem conspexisset libens, bonumque nuncium vocasset, illis rem totam de Solomone regisque Davidis voluntate exposuit. Tum omnes et Adonias et qui ab eo invitati fuerant, quum propere e convivio surrexissent, domum quisque suam diffugiebant. Adonias autem, veritus regem ob ea quæ in eum admiserat, Deo fit supplex, cornibus etiam altaris, quæ scilicet prominebant, ab eo prehensis. Nunciatur Solomoni quod hoc fecerit *Adonias*, quodque fidem jurejurando sibi dari obsecret, ipsum nec injuriæ memorem fore, nec mali aliquid sibi illaturum. At ille clementer admodum prudenterque ob istud quidem peccatum ei veniam dedit et impunitatem, monito tamen, si posthac in novis rebus moliendis fuerit deprehensus, sibimet debere pœnam acceptam ferre. Deinde misit qui illum a supplicatione excitarent. Quumque ad eum venisset et adorasset, domum suam jussit discedere, nihil mali suspicantem, ac in posterum ut semet virum bonum præstet monuit, quod ipsi in emolumentum sit cessurum.

7. Quum autem Davidi in animo esset filium totius populi regem declarare, convocat principes Hierosolyma una cum sacerdotibus ac Levitis. Atque hisce primum numeratis, invenit virorum triginta octo millia a trigesimo ad quinquagesimum annum : ex quibus curatores quidem templi ædificandi constituit viginti tria millia, judices vero populi et scribas eorum sex millia, janitores autem domus Dei quattuor millia, totidemque qui Deum laudarent, canentes ad instrumenta a Davide facta, quemadmodum ante diximus. Illos autem in familias distribuit, et separatis a

ηὗρε τούτων εἴκοσι τέσσαρας πατριάς· καὶ ἐκ μὲν τῆς Ἐλεαζάρου οἰκίας ἐκκαίδεκα, ἐκ δὲ τῆς Ἰθαμάρου ὀκτώ. Διέταξέ τε μίαν πατριὰν διακονεῖσθαι τῷ Θεῷ ἐπὶ ἡμέρας ὀκτὼ, ἀπὸ σαββάτου ἐπὶ σάββατον. Καὶ οὕτως αἱ πατριαὶ πᾶσαι διεκληρώσαντο, Δαυΐδου παρόντος καὶ Σαδώκου καὶ Ἀβιαθάρου τῶν ἀρχιερέων καὶ πάντων τῶν ἀρχόντων. Καὶ ἡ πρώτη μὲν ἀναβᾶσα πατριὰ ἐγράφη πρώτη, ἡ δὲ δευτέρα ἀκολούθως ἄχρι τῶν εἴκοσι τεσσάρων. Καὶ διέμεινεν οὗτος ὁ μερισμὸς ἄχρι τῆς σήμερον ἡμέρας. Ἐποίησε δὲ καὶ τῆς Λευίτιδος φυλῆς εἴκοσι μέρη καὶ τέσσαρα, καὶ κληρωσαμένων κατὰ τὸν αὐτὸν ἀνέβησαν τρόπον ταῖς τῶν ἱερέων ἐφημερίσιν ἐπὶ ἡμέρας ὀκτώ. Τοὺς δ' ἀπογόνους τοῦ Μωϋσέως ἐτίμησεν· ἐποίησε γὰρ αὐτοὺς φύλακας τῶν θησαυρῶν τοῦ Θεοῦ καὶ τῶν ἀναθημάτων ἃ συνέβη τοὺς βασιλεῖς ἀναθεῖναι, διέταξε δὲ πᾶσι τοῖς ἐκ τῆς Λευίτιδος φυλῆς καὶ τοῖς ἱερεῦσι δουλεύειν νύκτα καὶ ἡμέραν τῷ Θεῷ, καθὼς αὐτοῖς ἐπέστειλε Μωϋσῆς.

η'. Μετὰ ταῦτα διεμέρισε πᾶσαν τὴν στρατιὰν εἰς δώδεκα μοίρας, σὺν ἡγεμόσι καὶ ἑκατοντάρχοις καὶ ταξιάρχοις. Εἶχε δ' ἑκάστη τῶν μοιρῶν δισμυρίους καὶ τετρακισχιλίους, ὧν ἐκέλευσε προσεδρεύειν κατὰ τριάκονθ' ἡμέρας ἀπὸ τῆς πρώτης ἕως τῆς ὑστάτης Σολομῶνι τῷ βασιλεῖ σὺν τοῖς χιλιάρχοις καὶ ἑκατοντάρχοις. Κατέστησε δὲ καὶ ἄρχοντας ἑκάστης μοίρας ὃν ἀγαθὸν ἤδει καὶ δίκαιον, ἐπιτρόπους τε τῶν θησαυρῶν καὶ κωμῶν καὶ ἀγρῶν ἄλλους, καὶ κτηνῶν, ὧν οὐκ ἀναγκαῖον ἡγησάμην μνησθῆναι τῶν ὀνομάτων.

θ'. Ὡς δ' ἕκαστα τούτων κατὰ τὸν προειρημένον διέταξε τρόπον, εἰς ἐκκλησίαν συγκαλέσας τοὺς ἄρχοντας τῶν Ἑβραίων καὶ τοὺς φυλάρχους, καὶ τοὺς ἡγεμόνας τῶν διαιρέσεων, καὶ τοὺς ἐπὶ πάσης πράξεως ἢ κτήσεως τοῦ βασιλέως τεταγμένους, στὰς ἐφ' ὑψηλοτάτου βήματος ὁ βασιλεὺς ἔλεξε πρὸς τὸ πλῆθος, « ἀδελφοὶ καὶ ὁμοεθνεῖς, γινώσκειν ὑμᾶς βούλομαι ὅτι ναὸν « οἰκοδομῆσαι τῷ Θεῷ διανοηθεὶς χρυσόν τε πολὺν « παρεσκευασάμην καὶ ἀργύρου ταλάντων μυριάδας « δέκα. Ὁ δὲ Θεὸς ἐκώλυσέ με διὰ τοῦ προφήτου « Ναθάνα διά τε τοὺς ὑπὲρ ὑμῶν πολέμους καὶ τῷ φόνῳ « τῶν ἐχθρῶν μεμιάνθαι τὴν δεξιάν, τὸν δὲ υἱὸν ἐκέ« λευσε τὸν διαδεξόμενον τὴν βασιλείαν κατασκευάσαι « τὸν ναὸν αὐτῷ. Νῦν οὖν ἐπεὶ καὶ τῷ προγόνῳ ἡμῶν « Ἰακώβῳ δυοκαίδεκα παίδων γενομένων ἴστε τὸν Ἰού« δαν ἀποδειχθέντα βασιλέα ἐμέ τε τῶν ἀδελφῶν ἓξ « ὄντων προχριθέντα καὶ τὴν ἡγεμονίαν λαβόντα παρὰ « τοῦ Θεοῦ, καὶ μηδένα τούτων δυσχεράναντα, οὕτως « ἀξιῶ κἀγὼ τοὺς ἐμαυτοῦ παῖδας μὴ στασιάζειν πρὸς « ἀλλήλους, Σολομῶνος τὴν βασιλείαν παρειληφότος, « ἀλλ' ἐπισταμένους ὡς ὁ Θεὸς αὐτὸν ἐξελέξατο φέρειν « ἡδέως αὐτὸν δεσπότην. Οὐ δεινὸν γὰρ Θεοῦ θέλον« τος οὐδ' ἀλλοτρίῳ κρατοῦντι δουλεύειν· χαίρειν δ' ἐπ' « ἀδελφῷ ταύτης τυχόντι τῆς τιμῆς προσῆκεν, ὡς κοι« νωνοῦντας αὐτῆς. Εὔχομαι δὴ τὰς ὑποσχέσεις τοῦ « Θεοῦ παρελθεῖν εἰς τέλος καὶ τὴν εὐδαιμονίαν ταύτην

tribu sacerdotibus, horum viginti quattuor familias invenit : et ex Eleazari quidem domo sedecim, ex Ithamari vero octo; instituitque ut una familia ministraret Deo per dies octo, a sabbato usque ad sabbatum. Atque sic familiæ omnes sortem *suam* acceperunt in præsentia Davidis, et Sadoci et Abiathari pontificum, et omnium principum. Et familia quidem cujus sors prima exiit, scripta est prima, secunda vero deinceps usque ad vigesimam quartam. Atque hæc divisio mansit in hodiernum diem. Fecit autem et de tribu Levitarum classes viginti quattuor, factaque sortitione, illis obtigerunt vices similiter ac sacerdotibus per dies octo. At honore dignatus est Moysis posteros : constituit enim eos custodes thesaurorum Dei et donariorum, quæ a regibus fuerint dedicata, sancivitque ut Levitæ omnes et sacerdotes continuato diem noctemque ministerio servirent Deo, prout Moyses ipsis præceperat.

8. Post hæc exercitum totum in duodecim cohortes distribuit, singulis *cohortibus* duces et centuriones et tribunos assignando. Cohors autem unaquæque vicena quaterna millia continebat, quos per triginta dies a prima ad ultimam Solomoni regi præsto esse jussit una cum tribunis et centurionibus. Quin et viros quos bonos esse noverat justosque unicuique cohorti præesse voluit, ærarii etiam quæstores, vicorumque curatores et agrorum alios constituit, nonnullosque rei pecuariæ præfecit, quos nominatim *omnes* recensere haud necessarium esse duxi.

9. Postquam autem horum singula modo dicto ordinaverat, advocatis in concionem Hebræorum magistratibus et tribuum principibus et cohortum ducibus, ad hæc omnibus qui aut regis negotia ulla aut facultates procurabant, rex quum in tribunali celsissimo constitisset, multitudinem sic alloquutus est : « fratres et populares, nolo vos ignorare « quod, quum mihi in animo esset ædem Deo construere, « tum auri multum paravi tum argenti centum millia talen« torum. At Deus per Nathanam vatem mihi ne facerem « interdixit, quod multa pro vobis bella gerendo ho« stium cæde dextram polluerim : voluit autem ut filius, « regni successor, ipsi templum exstrueret. Nunc igitur, « quandoquidem scitis Judam, Jacobo licet proavo nostro « essent filii duodecim, regem declaratum fuisse, me« que, quum sex fratres essent, prælatum et a Deo « imperium accepisse, nec eorum quenquam id ægre tu« lisse, ita ego quoque oro obtestorque liberos meos ut « nolint seditionem commovere, Solomone imperium con« sequuto, sed cognito quod Deus ipsum delegerit, eundem « lubenti animo dominum ferre velint. Haud enim grave, « Deo ita volente, vel extraneo rerum potienti servire : « æquum vero de fratre ad tantum honoris fastigium evecto « sibimet gratulari, ut qui ejusdem *fortunæ* socii et parti« cipes sitis. Equidem precor ut rata habeantur Dei « promissa, atque hæc ipsa felicitas, quam Solomone re« gnante se largiturum esse pollicitus est, per regionem

« ἀνὰ πᾶσαν τὴν χώραν σπαρῆναι καὶ τὸν ἅπαντα ταύτῃ
« παραμένειν χρόνον, ἣν αὐτὸς ἐπηγγείλατο παρέξειν
« ἐπὶ Σολομῶνος βασιλέως. Ἔσται δὲ ταῦτα βέβαια
« καὶ καλὸν ἕξει πέρας, ἂν εὐσεβῇ καὶ δίκαιον σαυτὸν
« καὶ φύλακα τῶν πατρίων παρέχῃς νόμων, ὦ τέκνον·
« εἰ δὲ μή, τὰ χείρω προσδόκα ταῦτα παραβαίνων. »

ι'. Ὁ μὲν οὖν βασιλεὺς τούτους ποιησάμενος τοὺς λόγους ἐπαύσατο. Τὴν δὲ διαγραφὴν καὶ τὴν διάταξιν τῆς οἰκοδομίας τοῦ ναοῦ πάντων ὁρώντων ἔδωκε Σολομῶνι, θεμελίων καὶ οἴκων καὶ ὑπερῴων, ὅσοι τε τὸ πλῆθος καὶ πηλίκοι τὸ ὕψος καὶ τὸ εὖρος γένοιντο, ὅσα τε σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, τούτων τὸν σταθμὸν ὥρισεν. Προσπαρώρμησε δὲ καὶ λόγοις αὐτὸν πάσῃ χρήσασθαι προθυμίᾳ περὶ τὸ ἔργον, καὶ τοὺς ἄρχοντας καὶ τὴν τῶν Λευιτῶν φυλὴν συναγωνίσασθαι, διά τε τὴν ἡλικίαν καὶ διὰ τὸ τὸν Θεὸν ἐκεῖνον ἐλέσθαι καὶ τῆς οἰκοδομίας τοῦ ναοῦ καὶ τῆς βασιλείας προστάτην. Εὐμαρῆ δ' αὐτοῖς καὶ οὐ σφόδρα ἐπίπονον τὴν οἰκοδομίαν ἀπέφηνεν, αὐτοῦ πολλὰ μὲν τάλαντα χρυσίου, πλείω δ' ἀργυρίου, καὶ ξύλα, τεκτόνων τε πλῆθος καὶ λατόμων ἤδη παρασκευασαμένου, σμαράγδου τε καὶ πάσης ἰδέας λίθου πολυτελοῦς. Καὶ νῦν δ' ἔτι τῆς ἰδίας ἀπ' ἀρχῆς διακόσια καὶ ἄλλα τρισχίλια τάλαντα χρυσοῦ καθαροῦ παρέξειν ἔλεγεν εἰς τὸ ἄδυτον, καὶ εἰς τὸ ἅρμα τοῦ Θεοῦ τοὺς Χερουβεῖς, οὓς ἐφεστάναι δεήσει τὴν κιβωτὸν καλύπτοντας. Σιωπήσαντος Δαυίδου, πολλὴ καὶ τῶν ἀρχόντων καὶ τῶν ἱερέων καὶ τῆς Λευίτιδος φυλῆς προθυμία συμβαλλομένων καὶ ποιουμένων ἐπαγγελίας λαμπρὰς καὶ μεγαλοπρεπεῖς ἐγένετο. Χρυσοῦ μὲν γὰρ ὑπέστησαν εἰσοίσειν τάλαντα πεντακισχίλια καὶ στατῆρας μυρίους, ἀργυρίου δὲ μύρια τάλαντα, καὶ σιδήρου μυριάδας ταλάντων πολλάς. Καὶ εἴ τινι λίθος ἦν πολυτελής, ἐκόμισε καὶ παρέδωκεν εἰς τοὺς θησαυρούς· ὧν ἐπετρόπευσεν ὁ Μωϋσέως ἔκγονος Ἴαλος.

ια'. Ἐπὶ τούτοις ἥσθη τε ὁ λαὸς ἅπας καὶ Δαυίδης, τὴν σπουδὴν καὶ τὴν φιλοτιμίαν τῶν ἀρχόντων καὶ ἱερέων καὶ τῶν ἄλλων ἁπάντων ὁρῶν, καὶ τὸν Θεὸν εὐλογεῖν ἤρξατο μεγάλῃ βοῇ, πατέρα τε καὶ γένεσιν τῶν ὅλων ἀποκαλῶν καὶ δημιουργὸν ἀνθρωπίνων καὶ θείων, οἷς αὐτὸν ἐκόσμησε προστάτην τε καὶ κηδεμόνα γένους τῶν Ἑβραίων καὶ τῆς τούτων εὐδαιμονίας ἧς τε αὐτῷ βασιλείας ἔδωκεν. Ἐπὶ τούτοις εὐξάμενος τῷ τε παντὶ λαῷ τὰ ἀγαθὰ καὶ τῷ παιδὶ Σολομῶνι διάνοιαν ὑγιῆ καὶ δικαίαν καὶ πᾶσι τοῖς τῆς ἀρετῆς μέρεσιν ἐρρωμένην, ἐκέλευσε καὶ τὸ πλῆθος εὐλογεῖν τὸν Θεόν. Καὶ οἱ μὲν πεσόντες ἐπὶ τὴν γῆν προσεκύνησαν, ηὐχαρίστησαν δὲ καὶ Δαυίδῃ περὶ πάντων ὧν αὐτοῦ τὴν βασιλείαν παραλαβόντος ἀπέλαυσαν. Τῇ δ' ἐπιούσῃ θυσίας τῷ Θεῷ παρέστησαν, μόσχους χιλίους καὶ κριοὺς τοσούτους καὶ χιλίους ἀμνούς, οὓς ὁλοκαύτωσαν· ἔθυσαν δὲ καὶ τὰς εἰρηνικὰς θυσίας, πολλὰς μυριάδας ἱερείων κατασφάξαντες. Καὶ δι' ὅλης τῆς ἡμέρας ἑώρτασεν ὁ βασιλεὺς σὺν παντὶ τῷ λαῷ, καὶ Σολομῶνα δεύτερον ἔχρισαν τῷ ἐλαίῳ, καὶ ἀπέδειξαν αὐτὸν βασιλέα, καὶ Σάδωκον ἀρχιερέα τῆς

« omnem longe lateque diffundatur, æternumque in ea du-
« ratura sit. Ista autem firma manebunt et felicem exitum
« habebunt, si te, o fili, pium justumque præstiteris, le-
« gumque patriarum custodem et vindicem : sin minus,
« exspecta omnia tibi male cessura esse dum contra ista
« facias. »

10. Et rex quidem, quum in hæc verba loquutus esset, orationem finivit. Templi autem ædificandi delineationem et ordinationem omnium in conspectu Solomoni tradidit, substructionum et ædicularum inferiorum et superiorum; dein quot numero essent quantaque altitudine et latitudine, et quo pondere quæque vasa tam aurea quam argentea fieri deberent, præfinivit. Ipsum autem verbis hortatus est ut summum studium et alacritatem operi adhiberet, simulque principes et tribum Leviticam, ut ei auxilio esse velint, tum quia nondum ad adultam ætatem pervenerit, tum quia Deus ipsum elegerit et ad templum exstruendum et ad populum imperio regendum. Ceterum ostendit ædificium haud fore rem magnæ difficultatis aut immensi laboris, quoniam ipse multa quidem auri talenta præparaverit, plura vero argenti, ut et ligna et fabros quamplurimos et lapicidas, smaragdosque et lapides omne genus pretiosos. Et nunc etiam ex sui imperii reditibus ducenta, prætereaque tria millia talentorum auri puri se suppeditaturum esse dicebat ad sacrarium, et ad Dei currum Cherubes, quos arcæ insistere oportebit eam obtegentes. Postquam autem Davides conticuerat, principes et sacerdotes et tribus Levitica magna cum alacritate contulerunt, et multa liberaliter et magnifice polliciti sunt. Nam in se receperunt auri quidem talentorum quinque millia daturos et decies mille stateras, argenti vero talentorum decem millia, ferrique talentorum multas myriadas. Ad hæc si cui lapillus erat pretiosus, attulit eum et in thesauros tradidit; quorum curam agebat Ialus ex Moyse oriundus.

11. His lætus erat et populus universus et Davides, quum videret quo studio principes et sacerdotes et reliqui omnes certatim ferrentur : atque Deum elata voce laudare cœpit, patrem atque genitorem mundi universi appellans et effectorem rerum humanarum divinarumque, quibus semet præesse voluerit simul et gentis Hebræorum curam suscipere, eorumque felicitatis pariter ac regni quod ipse ab eo acceperat. Deinde et fausta precatus populo universo et Solomoni filio mentem sanam et integram et omni virtute corroboratam, jussit populum quoque Deo laudes dicere. Et illi quidem in terram procidentes *Deum* adorarunt, ac præterea Davidi gratias egere pro omnibus quæ ipso regnante perceperant. Postridie vero ejus diei hostias ad Deum adduxerunt, mille vitulos, totidemque arietes, et mille agnos, quos solidis sacrificiis immolarunt; insuper et victimas pacificas obtulerunt, multis myriadibus hostiarum mactatis. Atque tota die rex et populus universus epulati sunt, et Solomonem iterum oleo inunxerunt, ipsumque regem creaverunt, et

πληθύος ἁπάσης. Εἴς τε τὸ βασίλειον ἀγαγόντες Σολομῶνα καὶ καθίσαντες αὐτὸν ἐπὶ θρόνου τοῦ πατρῴου, ἀπ' ἐκείνης τῆς ἡμέρας ὑπήκουον αὐτῷ.

ΚΕΦ. ΙΕ'.

Μετ' ὀλίγον δὲ χρόνον καὶ Δαυίδης καταπεσὼν εἰς νόσον ὑπὸ γήρως καὶ συνιδὼν ὅτι μέλλοι τελευτᾶν, καλέσας τὸν υἱὸν Σολομῶνα διελέχθη πρὸς αὐτὸν τοιάδε· « ἐγὼ μέν, ὦ τέκνον, εἰς τὸ χρεὼν ἤδη καὶ πατέρας τοὺς « ἐμοὺς ἀπαλλάσσομαι, κοινὴν ὁδὸν ἁπάντων τῶν τε « νῦν ὄντων καὶ τῶν ἐσομένων πορευόμενος, ἐξ ἧς οὐκέθ' « οἷόν τε ἐπανελθόντα γνῶναι τί κατὰ τὸν βίον πράττε- « ται. Διὸ ζῶν ἔτι καὶ πρὸς αὐτῷ γεγονὼς ἄρτι τῷ « τελευτᾶν παραινῶ σοι ταῦθ' ἃ καὶ πρότερον ἔφην συμ- « βουλεύσας, δικαίῳ μὲν εἶναι πρὸς τοὺς ἀρχομένους, « εὐσεβεῖ δὲ πρὸς τὸν τὴν βασιλείαν δεδωκότα Θεὸν, φυ- « λάττειν δ' αὐτοῦ τὰς ἐντολὰς καὶ τοὺς νόμους, οὓς αὐτὸς « διὰ Μωϋσέως κατέπεμψεν ἡμῖν, καὶ μήτε χάριτι μήτε « θωπείᾳ μήτ' ἐπιθυμίᾳ μήτ' ἄλλῳ πάθει προστεθειμένον « τούτων ἀμελῆσαι. Τὴν γὰρ τοῦ θείου πρὸς σαυτὸν « εὔνοιαν ἀπολεῖς, παραβὰς τὰ νόμιμα, καὶ πρὸς ἅπαντ' « αὐτοῦ τὴν ἀγαθὴν ἀποστρέψεις πρόνοιαν. Τοιοῦτον « δέ σε αὐτὸν παρέχων ὁποῖον εἶναί τε δεῖ κἀγώ τε πα- « ρακαλῶ, καθέξεις ἡμῶν τὴν βασιλείαν τῷ γένει, καὶ « οἶκος ἄλλος Ἑβραίων οὐκ ἂν δεσπόσειεν, ἀλλ' ἡμεῖς « αὐτοὶ διὰ τοῦ παντὸς αἰῶνος. Μέμνησο δὲ καὶ τῆς « Ἰωάβου τοῦ στρατηγοῦ παρανομίας, ἀποκτείναντος « διὰ ζηλοτυπίαν δύο στρατηγοὺς δικαίους καὶ ἀγαθούς, « Ἀβέννηρον τὸν Νήρου παῖδα καὶ τὸν Ἀμεσσὰν υἱὸν « Ἰεθράνου, ὧν ὅπως ἄν σοι δόξῃ τὸν θάνατον ἐκδίκη- « σον, ἐπεὶ καὶ κρείττων ἐμοῦ καὶ δυνατώτερος ὁ Ἰώα- « βος ὢν μέχρι νῦν τὴν δίκην διέφυγε. Παρατίθημι « δέ σοι καὶ τοὺς Βερζελαίου τοῦ Γαλαδίτου παῖδας, οὓς « ἐν τιμῇ πάσῃ καὶ προνοίᾳ τοῦτ' ἐμοὶ χαριζόμενος « ἕξεις. Οὐ προκατάρχομεν γὰρ εὐποιίας, ἀλλ' ἀμοι- « βὴν ὧν ὁ πατὴρ αὐτῶν παρὰ τὴν φυγὴν ὑπῆρξέ μοι « χρεολυτοῦμεν. Καὶ τὸν Γηρᾶ δὲ υἱὸν Σεμεεὶ, τὸν « ἐκ τῆς Βενιαμίτιδος φυλῆς, ὃς πολλὰ βλασφημήσας « με παρὰ τὴν φυγὴν, ὅτ' εἰς Παρεμβολὰς ἐπορευόμην, « ἀπήντησεν ἐπὶ Ἰορδάνην καὶ πίστεις ἔλαβεν ὡς μη- « δὲν αὐτὸν παθεῖν τότε, νῦν ἐπιζητήσας αἰτίαν εὔλο- « γον ἄμυναι. »

β'. Ταῦτα παραινέσας τῷ παιδὶ περί τε τῶν ὅλων πραγμάτων καὶ περὶ τῶν φίλων καὶ οὓς ἤδει τιμωρίας ἀξίους γεγενημένους, ἀπέθανεν, ἔτη μὲν βιώσας ἑβδομήκοντα, βασιλεύσας δὲ ἑπτὰ μὲν ἐν Χεβρῶνι τῆς Ἰούδα φυλῆς καὶ μῆνας ἕξ, ἐν Ἱεροσολύμοις δὲ ἁπάσης τῆς χώρας τρία καὶ τριάκοντα. Οὗτος ἄριστος ἀνὴρ ἐγένετο, καὶ πᾶσαν ἀρετὴν ἔχων ἣν ἔδει τῷ βασιλεῖ καὶ τοσούτων ἐθνῶν σωτηρίαν ἐγχειρισμένῳ προσεῖναι. Ἀνδρεῖός τε γὰρ ἦν ὡς οὐκ ἄλλος τις, ἐν δὲ τοῖς ὑπὲρ τῶν ὑπηκόων ἀγῶσι πρῶτος ἐπὶ τοὺς κινδύνους ὥρμα, τῷ πονεῖν καὶ μάχεσθαι παρακελευόμενος τοὺς στρατιώτας ἐπὶ τὰς πράξεις, ἀλλ' οὐχὶ τῷ προστάττειν ὡς δεσπότης,

Sadocum pro populo universo sacerdotem. Quumque Solomonem in regiam deduxissent, eumque in solio paterno collocassent, ex ea die illi paruerunt.

CAP. XV. (XII.)

Paulo autem post Davides, quum ex senectute in morbum incidisset, vidissetque jam instare sibi mortem, accito Solomone, hisce verbis illum alloquutus est : « ego qui- « dem, o fili, jam in eo sum ut fato concedam et ad patres « meos abeam, viamque ingrediar omnibus qui nunc sunt « aut futuri sunt ineundam, quam remetiri nemini licet, « ut quid in hac vita geratur exploratum habeat. Quapro- « pter vivens adhuc et jam morti proximus ea te moneo, « quæ et antea dixeram, tibi suadendo ut erga sub- « ditos quidem sis justus, erga Deum vero pius, qui « tibi regnum dedit, utque custodias præcepta ejus et le- « ges, quas nobis per Moysen mittendas curavit, et cave « ne quid tibi propositum negligas, aut gratiæ cedens, aut « assentatione aut cupiditate abreptus, aliave animi per- « turbatione. Nam ex Dei erga te benevolentia excides, si « qua contra legum præscripta feceris, atque in omnibus « bonam ejus providentiam a te alienabis. Quodsi ita te « erga illum gesseris ut et decet te et ipse te hortor, « efficies ut regnum in familia nostra maneat, et nulla alia « domus præter nostram Hebræis imperet in omne ævum. « Præterea fac memineris iniquitatis Joabi imperatoris, qui « invidiæ ostro percitus duos exercitus duces, viros justos « bonosque, interemit, Abennerum Neri filium et Amessan « filium Jethranæ. Quorum mortem, ut tibi visum fuerit, « ulciscere, quandoquidem Joabus, utpote me viribus supe- « rior potentiorque, hactenus supplicium evasit. Commendo « autem tibi etiam Berzelæi Galaditæ liberos, quos mei « gratia omni honore curaque dignaberis. Neque enim in « eos primi beneficium conferimus, sed illos pro officiis re- « muneramus, quæ pater illorum in me contulit, quum in « fugam me dedissem. Etiam Semei Geræ filium, e tribu « Benjamitide, qui mihi fugienti diris modis maledixit, « quando Castra petebam, moxque mihi ad Jordanem ob- « viam factus fidem incolumitatis tunc a me impetravit, « ubi justam causam nactus fueris, noli committere ut « impunitus abeat. »

2. His mandatis filio et de summa rerum et de amicis, deque iis quos noverat pœna dignos, e vita excessit, quum vixisset quidem annos septuaginta, ac regnasset Hebrone quidem in Judæ tribum annos septem et sex menses, Hierosolymis autem in omnem regionem tres et triginta. Hic vir optimus erat et omnibus virtutibus præditus, quibus regem ornari oportebat, cui tot gentium salus commissa esset. Nam et omnibus fortitudinis gloria antecellebat, et quum certamina pro subditis iniret, primus ferebatur in pericula, labores perferendo pugnandoque milites ad res gerendas excitans, non domini more imperando; optime per-

νοῆσαί τε καὶ συνιδεῖν καὶ περὶ τῶν μελλόντων καὶ τῆς τῶν ἐνεστηκότων οἰκονομίας ἱκανώτατος, σώφρων, ἐπιεικὴς, χρηστὸς πρὸς τοὺς ἐν συμφοραῖς ὑπάρχοντας, δίκαιος, φιλάνθρωπος, & μόνοις ἐξαίρετα τοῖς βασιλεῦσιν εἶναι προσῆκε, μηδὲν ὅλως παρὰ τοσοῦτο μέγεθος ἐξουσίας ἁμαρτὼν ἢ τὸ περὶ τὴν Οὐρία γυναῖκα. Κατέλειπε δὲ καὶ πλοῦτον ὅσον οὐκ ἄλλος βασιλεὺς οὔθ' Ἑβραίων οὔτ' ἄλλων ἐθνῶν.

γ'. Ἔθαψε δ' αὐτὸν ὁ παῖς Σολομὼν ἐν Ἱεροσολύμοις διαπρεπῶς, τοῖς τε ἄλλοις οἷς περὶ κηδείαν νομίζεται βασιλικὴν ἅπασι, καὶ δὴ καὶ πλοῦτον αὐτῷ πολὺν καὶ ἄφθονον συνεκήδευσεν· ὧν τὴν ὑπερβολὴν τεκμαίροιτ' ἄν τις ῥᾳδίως ἐκ τοῦ λεχθησομένου. Μετὰ γὰρ χρόνον ἐτῶν χιλίων καὶ τριακοσίων Ὑρκανος ὁ ἀρχιερεὺς, πολιορκούμενος ὑπὸ Ἀντιόχου τοῦ Εὐσεβοῦς ἐπικληθέντος, υἱοῦ δὲ Δημητρίου, βουλόμενος χρήματ' αὐτῷ δοῦναι ὑπὲρ τοῦ λῦσαι τὴν πολιορκίαν καὶ τὴν στρατιὰν ἀπαγαγεῖν, καὶ ἀλλαχόθεν οὐκ εὐπορῶν, ἀνοίξας ἕνα οἶκον τῶν ἐν τῷ Δαυΐδου μνήματι, καὶ βαστάσας τρισχίλια τάλαντα μέρος ἔδωκεν Ἀντιόχῳ, καὶ διέλυσεν οὕτω τὴν πολιορκίαν, καθὼς καὶ ἐν ἄλλοις δεδηλώκαμεν. Μετὰ δὲ τοῦτον ἐτῶν πολλῶν διαγενομένων πάλιν Ἡρώδης ὁ βασιλεὺς ἕτερον ἀνοίξας οἶκον ἀνείλετο χρήματα πολλά. Ταῖς μέντοι γε θήκαις τῶν βασιλέων οὐδεὶς αὐτῶν ἐπέτυχεν· ἦσαν γὰρ ὑπὸ τὴν γῆν μηχανικῶς κεκηδευμέναι πρὸς τὸ μὴ φανερὰ εἶναι τοῖς εἰς τὸ μνῆμα εἰσιοῦσιν. Ἀλλὰ περὶ μὲν τούτων ἡμῖν ἐπὶ τοσοῦτον ἀπόχρη δεδηλῶσθαι.

ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

α'. Ὡς Σολομὼν τὴν βασιλείαν παραλαβὼν τοὺς ἐχθροὺς ἀνεῖλε.
β'. Περὶ τῆς σοφίας αὐτοῦ καὶ τῆς συνέσεως καὶ τοῦ πλούτου.
γ'. Ὅτι πρῶτος τὸν ἐν Ἱεροσολύμοις ναὸν ᾠκοδόμησεν.
δ'. Ὡς τελευτήσαντος Σολομῶνος ὁ λαὸς ἀποστὰς τοῦ παιδὸς αὐτοῦ Ῥοβοάμου τῶν δέκα φυλῶν τῶν ὑπηκόων τινὰ Ἱεροβόαμον ἀπέδειξε βασιλέα, τῶν δὲ δύο φυλῶν ὁ υἱὸς αὐτοῦ ἐβασίλευσεν.
ε'. Ὡς Σούσακος ὁ Αἰγυπτίων βασιλεὺς στρατευσάμενος ἐπὶ τὰ Ἱεροσόλυμα καὶ κατασχὼν τὴν πόλιν τὸν πλοῦτον αὐτῆς εἰς Αἴγυπτον μετήνεγκεν.
ς'. Στρατεία Ἱεροβοάμου, τοῦ τῶν Ἰσραηλιτῶν βασιλέως, ἐπὶ τὸν υἱὸν τοῦ Ῥοβοάμου Ἀβίαν, καὶ ἥττα.
ζ'. Ὅτι τὴν Ἱεροβοάμου γενεὰν Βασάνης τις ὄνομα διαφθείρας αὐτὸς τὴν βασιλείαν ἔσχεν.
η'. Αἰθιόπων ἐπιστρατεία τοῖς Ἱεροσολύμοις, βασιλεύοντος αὐτῶν Ἀσάνου τοῦ Ἀβία παιδὸς καὶ διαφθορὰ τοῦ στρατοῦ.
θ'. Ὡς τῆς Βασάνου γενεᾶς διαφθαρείσης ἐβασίλευσε τῶν Ἰσραηλιτῶν Ζαμάρης καὶ ὁ υἱὸς αὐτοῦ Ἄχαβος.
ι'. Ὡς Ἄδαδος, Δαμασκοῦ καὶ Συρίας βασιλεὺς, δὶς ἐπ' Ἄχαβον στρατευσάμενος ἡττήθη.
ια'. Ἀμμανιτῶν καὶ Μωαβιτῶν ἐπιστρατευσαμένων ἐπ' Ἰωσαφάτην τῶν Ἱεροσολύμων βασιλέα ἥττα.
ιβ'. Ὡς Ἄχαβος ἐπὶ Σύρους στρατευσάμενος ἡττήθη τῇ μάχῃ καὶ αὐτὸς ἀπώλετο.

Περιέχει ἡ βίβλος χρόνων ἐτῶν ρξγ'.

spiciebat simul et considerabat tam futura quam rationem expediendi instantia, modestus, mitis, erga calamitosos benignus, justus, humanus; in his quæ fas est ut reges sibi propria vindicent, ne omnino quidem potestatis magnitudine peccavit, præterquam in eo quod spectat ad Uriæ uxorem. Tantam præterea opum vim reliquit, quantam nemo alius regum nec Hebræorum nec aliarum gentium.

3. Sepelivit autem eum filius Solomon Hierosolymis magnifice, et præter cetera omnia, quæ in regum funeribus fieri solebant, multas etiam ingentesque divitias cum eo sepeliit : quarum magnitudinem facile sit alicui conjectare ex iis quæ dicturus sum. Nam post spatium annorum mille et trecentorum Hyrcanus pontifex oppugnatus ab Antiocho, cognomine Pio, filio Demetrii, volens pecuniam ei dare, ut obsidione absisteret et exercitum abduceret, quum aliunde ei nihil suppeteret, aperta cella una monumenti Davidis, et inde deportatis tribus talentorum millibus, partem Antiocho dedit, et ita se ab oppugnatione liberavit, sicut et alibi indicavimus. Post hunc autem, multis annis elapsis, iterum Herodes rex, alia cella reclusa, inde magnas opes sustulit. Verumtamen ad loculos *qui* regum *cineres continent* neuter eorum pervenit : singulari enim arte ita erant sub terram conditi, ut ingredientibus in monumentum nihil plane appareret. Sed hæc quidem hactenus nos dixisse sufficiat.

LIBER OCTAVUS.

1. Quomodo Solomon imperio accepto inimicos peremit.
2. De ejus sapientia, scientia, et divitiis.
3. Quod primus templum *Dei* Hierosolymis ædificavit.
4. Quomodo Solomone defuncto populus, a Roboamo ejus filio deficiens, Hieroboamum, e subditis unum, decem tribuum regem declaravit, duarum vero tribuum imperium penes Solomonis filium mansit.
5. Quomodo Susacus Ægyptiorum rex, in Hierosolyma exercitu educto, et urbe capta, divitias ejus in Ægyptum deportavit.
6. Hieroboami, Israelitarum regis, contra Abiam filium Roboami expeditio et clades.
7. Quod quidam nomine Basanes, stirpe Hieroboami excisa, imperium ipse occupavit tenuitque.
8. Æthiopum in Hierosolymitanos expeditio, quum apud illos regnaret Asanes filius Abiæ, et exercitus eorum interitus.
9. Quomodo, Basanis genere exstirpato, Israelitarum imperium habuit Zamaras, et dein filius ejus Achabus.
10. Quomodo Adadus, Damasci et Syriæ rex, bis contra Achabum ducto exercitu, cladem accepit.
11. Ammanitæ et Moabitæ, quum bellum intulissent Josaphatæ Hierosolymorum regi, victi discedunt.
12. Quomodo Achabus, contra Syros profectus, pugna superatus est et ipse disperiit.

Continet liber tempus annorum CLXIII.

ΚΕΦ. Α'

Περὶ μὲν οὖν Δαυίδου καὶ τῆς ἀρετῆς αὐτοῦ καὶ ὅσων ἀγαθῶν αἴτιος γενόμενος τοῖς ὁμοφύλοις πολέμους τε καὶ μάχας ὅσας κατορθώσας γηραιὸς ἐτελεύτησεν, ἐν τῇ πρὸ ταύτης βίβλῳ δεδηλώκαμεν. Σολομῶνος δὲ τοῦ παιδὸς αὐτοῦ, νέου τὴν ἡλικίαν ἔτι ὄντος, τὴν βασιλείαν παραλαβόντος, ὃν ἔτι ζῶν ἀπέφηνε τοῦ λαοῦ δεσπότην κατὰ τὴν τοῦ Θεοῦ βούλησιν, καθίσαντος ἐπὶ τὸν θρόνον, ὁ μὲν πᾶς ὄχλος ἐπευφήμησεν, οἷον εἰκὸς ἐπ' ἀρχομένῳ βασιλεῖ, τελευτῆσαι καλῶς αὐτῷ τὰ πράγματα, καὶ πρὸς γῆρας ἀφικέσθαι λιπαρὸν καὶ παυδαίμονα τὴν ἡγεμονίαν.

β'. Ἀδωνίας δὲ, ὃς καὶ τοῦ πατρὸς ἔτι ζῶντος ἐπεχείρησε τὴν ἀρχὴν κατασχεῖν, παρελθὼν πρὸς τὴν τοῦ βασιλέως μητέρα Βεερσαβὴν καὶ φιλοφρόνως αὐτὴν ἀσπασάμενος, πυθομένης εἰ καὶ διά χρείαν τινὰ πρὸς αὐτὴν ἀφῖκται, καὶ δηλοῦν κελευούσης ὡς ἡδέως παρεξομένης, ἤρξατο λέγειν ὅτι γινώσκοι μὲν τὴν βασιλείαν καὶ αὐτὴ καὶ διὰ τὴν ἡλικίαν καὶ διὰ τὴν τοῦ πλήθους προαίρεσιν οὖσαν αὐτοῦ, μεταβάσης δὲ πρὸς Σολομῶνα τὸν υἱὸν αὐτῆς κατὰ τὴν τοῦ Θεοῦ γνώμην στέργει καὶ ἀγαπᾷ τὴν ὑπ' αὐτὸν δουλείαν καὶ τοῖς παροῦσιν ἥδεται πράγμασιν. Ἐδεῖτο δ' οὖν διακονῆσαι πρὸς τὸν ἀδελφὸν αὐτῷ καὶ πεῖσαι δοῦναι τῷ πατρὶ συγκοιμώμενην πρὸς γάμον αὐτῷ Ἀβισάκην· οὐ γὰρ πλησιάσαι τὸν πατέρα διὰ τὸ γῆρας αὐτῇ, μένειν δ' ἔτι παρθένον. Ἡ δὲ Βεερσαβὴ καὶ διακονήσειν σπουδαίως ὑπέσχετο καὶ καταπράξασθαι τὸν γάμον δι' ἀμφότερα, τοῦ τε βασιλέως αὐτῷ χαρίσασθαί τι βουλησομένου καὶ δεησομένης αὐτῆς λιπαρῶς. Καὶ ὁ μὲν εὐέλπις ἀπαλλάττεται περὶ τοῦ γάμου, ἡ δὲ τοῦ Σολομῶνος μήτηρ εὐθέως ὥρμησεν ἐπὶ τὸν υἱὸν διαλεξομένη περὶ ὧν Ἀδωνίᾳ δεηθέντι κατεπηγγείλατο. Καὶ προϋπαντήσαντος αὐτῇ τοῦ παιδὸς καὶ περιπλακέντος, ἐπεὶ παρήγαγεν αὐτὴν εἰς τὸν οἶκον οὗ συνέβαινεν αὐτῷ κεῖσθαι τὸν βασιλικὸν θρόνον, καθίσας ἐκέλευσεν ἕτερον ἐκ δεξιῶν τεθῆναι τῇ μητρί. Καθεσθεῖσα δ' ἡ Βεερσαβὴ, « μίαν, εἶπεν, « ὦ παῖ, χάριν αἰτουμένη μοι κατάνευσον, καὶ μηδὲν « ἐξ ἀρνήσεως δύσκολον μηδὲ σκυθρωπὸν ἀπεργάσῃ. » Τοῦ δὲ Σολομῶνος προστάττειν κελεύοντος (πάντα γὰρ ὅσιον εἶναι μητρὶ παρέχειν) καί τι προσμεμψαμένου τὴν ἀρχὴν ὅτι μὴ μετ' ἐλπίδος ἥδη βεβαίας τοῦ τυχεῖν ὧν ἀξιοῖ ποιεῖται τοὺς λόγους, ἀλλ' ἀρνησιν ὑφορωμένη, δοῦναι τὴν παρθένον αὐτὸν Ἀβισάκην Ἀδωνίᾳ ταδελφῷ πρὸς γάμον παρεκάλει.

γ'. Λαβὼν δὲ πρὸς ὀργῆς ὁ βασιλεὺς τὸν λόγον ἀποπέμπεται μὲν τὴν μητέρα, μειζόνων δ' ὀρέγεσθαι πραγμάτων εἰπὼν Ἀδωνίαν καὶ θαυμάζειν πῶς οὐ παραχωρῆσαι καὶ τῆς βασιλείας ὡς πρεσβυτέρῳ παρακαλεῖ, τὸν γάμον αὐτῷ τὸν Ἀβισάκης αἰτουμένη, φίλους ἔχοντι δυνατοὺς, Ἰώαβον τὸν στρατηγὸν καὶ Ἀβιάθαρον τὸν ἱερέα. Μεταπεμψάμενος δὲ Βαναίαν τὸν ἐπὶ τῶν σωματοφυλάκων, ἀποκτεῖναι προσέταξεν αὐτῷ τὸν ἀδελ-

CAP. I.

Jam vero de Davide et ejus virtute, quantorumque bonorum popularibus suis auctor exstiterit, et quantis bellis feliciter gestis pugnisque bene pugnatis senio confectus decesserit, in libro antecedente enarravimus. Quum autem Solomon ejus filius admodum adolescens principatum accepisset, a patre dum adhuc in vivis esset populi dominus Dei voluntate declaratus, et in solio consedisset, universa quidem multitudo, ut sub novi regni exordia fieri solet, faustis acclamationibus ei ut omnia prospere cederent precata est, utque florentibus imperii rebus ad beatam perveniret senectutem.

2. Ceterum Adonias, qui vivo adhuc patre de regno occupando cogitavit, quum ad regis matrem Beersaben accessisset, eamque blande salutasset, illa percontata an ulla re egens ad ipsam veniat, jubenteque ut ipsi mentem *suam* aperiret, utpote non gravate *quæ vellet* concessuræ, orsus est dicere, etiam ipsam quidem nosse quod tam ætatis prærogativa quam voluntate populi ipsius fuerit regnum, sed quum ita Deo visum sit ut translatum esset in filium ipsius Solomonem, se quidem servitutem sub ipso diligere et amare, præsentique rerum statui acquiescere. Adeoque ipsam obsecrabat ut cum fratre pro se ageret, eique persuaderet ut Abisace, quæ cum patre dormire consueverat, sibi in matrimonium daretur; patrem enim cum ea propter senectutem non esse congressum, et proinde adhuc virginem manere. Tum Beersabe se illi sedulam operam daturam esse pollicita est, nuptiasque ideo conciliaturam esse, tum quod rex ultro fratri gratificare voluerit, tum quod ipsa instanter oraret. Et ille quidem spei plenus fore sibi has nuptias discedit, Solomonis vero mater recta ad filium contendit, ut cum eo de iis sermocinaretur quæ supplici Adoniæ promiserat. Atque filius quum ei obviam processisset, ipsamque complexu excepisset, et in cubiculum ubi tunc temporis solium erat regium deduxisset, eo occupato, aliud a dextra matri apponi jussit. Postquam vero consedit Beersabe, « mihi, inquit, unum a te, fili, postulanti « annue, et nihil morosi tetricive denegando facias. » Solomone autem jubente ut ipsi imperaret, quod fas esset matri omnia concedere, postquam prius eam paululum etiam reprehenderat, quod non cum certa spe impetrandi quod vellet verba fecerit, sed quasi repulsam laturam esse metuerit, tum illa obsecrabat ut is virginem Abisacen fratri Adoniæ nuptum daret.

3. At rex, hac oratione non leviter offensus, matrem quidem dimittit, Adoniam vero majora appetere dicens, seque mirari quod non postularet ut ei tanquam natu majori regno cederet, quum ei deposcat Abisaces conjugium, amicos potentes habenti Joabum imperatorem et Abiatharum sacerdotem. Moxque accito Banaja satellitum præfecto, mandavit ei ut fratrem Adoniam interimeret. Vo-

φὸν Ἀδωνίαν. Καλέσας δὲ τὸν Ἀβιάθαρον τὸν ἱερέα, « θανάτου μέν, εἶπε, ῥύεταί σε τά τε ἄλλα ὅσα τῷ « πατρί μου συνέκαμες καὶ ἡ κιβωτὸς ἦν σὺν αὐτῷ με- « τήνεγκας. Ταύτην δέ σοι τὴν τιμωρίαν ἐπιτίθημι, « ταξαμένῳ μετὰ Ἀδωνίᾳ καὶ τὰ ἐκείνου φρονήσαντι, « μήτε ἐνθάδε ἴσθι μήτε εἰς ὄψιν ἀπάντα τὴν ἐμήν, « ἀλλὰ εἰς τὴν πατρίδα πορευθεὶς ἐν τοῖς ἀγροῖς ζῆθι, « καὶ τοῦτον ἄχρι τελευτῆς ἔχε τὸν βίον, ἁμαρτὼν τοῦ « μηκέτι εἶναι δικαίως ἐν ἀξίᾳ. » Καταλύεται μὲν οὖν ἀπὸ τῆς ἱερατικῆς τιμῆς ὁ Ἰθαμάρου οἶκος διὰ τὴν προειρημένην αἰτίαν, καθὼς καὶ τῷ Ἀβιαθάρου πάππῳ προεῖπεν ὁ Θεὸς Ἠλεί· μετέβη δ' εἰς τὸ Φινεέσου γέ- νος, πρὸς Σάδωκον. Οἱ δὲ ἰδιωτεύσαντες ἐκ τοῦ Φι- νεέσου γένους, καθ' ὃν καιρὸν εἰς τὴν Ἰθαμάρου οἶκον ἡ ἀρχιερωσύνη μετῆλθεν, Ἠλεὶ πρώτου ταύτην παρα- λαβόντος, ἦσαν οὗτοι· ὁ τοῦ ἀρχιερέως Ἰωσήπου υἱὸς Βοκκίας, τούτου δὲ Ἰωάθαμος, Ἰωαθάμου δὲ Μαραίω- θος, Μαραιώθου δὲ Ἀροφαῖος, Ἀροφαίου δὲ Ἀχίτωβος, Ἀχιτώβου δὲ Σάδωκος, ὃς πρῶτος ἐπὶ Δαυίδου τοῦ βασιλέως ἀρχιερεὺς ἐγένετο.

δ'. Ἰώαβος δὲ ὁ στρατηγὸς τὴν ἀναίρεσιν ἀκούσας τὴν Ἀδωνία περιδεὴς ἐγένετο· φίλος γὰρ ἦν αὐτῷ μᾶλ- λον ἢ τῷ βασιλεῖ Σολομῶνι. Καὶ κίνδυνον ἐκ τού- του διὰ τὴν πρὸς ἐκεῖνον εὔνοιαν οὐκ ἀλόγως ὑποπτεύων καταφεύγει μὲν ἐπὶ τὸ θυσιαστήριον, ἀσφάλειαν δὲ ἐνόμιζεν αὐτῷ πορισεῖν ἐκ τῆς πρὸς τὸν Θεὸν εὐσεβείας τοῦ βασιλέως. Ὁ δὲ ἀπαγγειλάντων αὐτῷ τινῶν τὴν Ἰωάβου γνώμην πέμψας Βαναίαν ἐκέλευσεν ἀναστή- σαντα αὐτὸν ἐπὶ τὸ δικαστήριον ἄγειν ὡς ἀπολογησό- μενον. Ἰώαβος δὲ οὐκ ἔφη καταλείψειν τὸ ἱερὸν, ἀλλ' αὐτοῦ τεθνήξεσθαι μᾶλλον ἢ ἐν ἑτέρῳ χωρίῳ. Βαναίου δὲ τὴν ἀπόκρισιν τῷ βασιλεῖ δηλώσαντος, προσέταξε Σολομὼν ἐκεῖ τὴν κεφαλὴν αὐτοῦ ἀποτεμεῖν, καθὼς βούλεται, καὶ ταύτην λαβεῖν τὴν δίκην ὑπὲρ τῶν δύο στρατηγῶν, οὓς αὐτὸς ἀνοσίως ἀπέκτεινε, θάψαι δ' αὐτοῦ τὸ σῶμα, ὅπως τὰ μὲν ἁμαρτήματα μηδέποτε καταλίπῃ τὸ γένος τὸ ἐκείνου, τῆς δὲ Ἰωάβου τελευ- τῆς αὐτός τε καὶ ὁ πατὴρ ἀθῷοι τυγχάνωσι. Καὶ Βα- ναίας μὲν τὰ κελευσθέντα ποιήσας αὐτὸς ἀποδείκνυται στρατηγὸς πάσης τῆς δυνάμεως, Σάδωκον δὲ μόνον ποιεῖ ἀρχιερέα ὁ βασιλεὺς εἰς τὸν Ἀβιαθάρου τόπον, ὃν μετεστήσατο.

ε'. Σεμεεῖ δ' ὧδε προτέταξεν, οἰκίαν οἰκοδομήσαντι μένειν ἐν Ἱεροσολύμοις αὐτῷ προσεδρεύοντα καὶ μὴ διαβαίνειν τὸν χείμαρρον Κεδρῶνος ἔχειν ἐξουσίαν· πα- ρακούσαντι δὲ τούτῳ θάνατον ἔσεσθαι τὸ πρόστιμον. Τῷ δὲ μεγέθει τῆς ἀπειλῆς καὶ ὅρκους αὐτὸν προσηνάγ- κασεν ποιήσασθαι. Σεμεεῖ δὲ χάριν οἷς προσέταξεν αὐτῷ Σολομὼν ἔχειν φήσας καὶ ταῦτα ποιήσειν προσομό- σας, καταλιπὼν τὴν πατρίδα τὴν διατριβὴν ἐν τοῖς Ἱερο- σολύμοις ἐποιεῖτο. Διελθόντων δὲ τριῶν ἐτῶν, ἀκούσας δύο δούλους ἀποδράντας αὐτὸν ἐν Γίττῃ τυγχάνοντας, ὥρμησεν ἐπὶ τοὺς οἰκέτας. Ἐπανελθόντος δὲ μετ' αὐ- τῶν ὁ βασιλεὺς αἰσθόμενος, ὡς καὶ τῶν ἐντολῶν αὐτοῦ

cato deinde Abiatharo sacerdote, « te, inquit, mortis sup- « plicio eximunt, tum quidem alioquin istæ calamitates « quarum cum patre meo particeps fuisti, tum quod una « cum eo arcam transtulisti. Hanc autem tibi, Adoniam « secuto ejusque partibus studenti, pœnam constituo, ut « neque hic moreris, neque in conspectum meum venias, « sed quum in patriam tuam te contuleris, in agris degas, « et usque dum moriaris in vita istac maneas, quum « adeo deliqueris, ut haud fas sit te in officio diutius ma- « nere. » Et ob causam quidem jam memoratam a domo Ithamari ablatus est honos sacerdotalis, quemadmodum Deus Eli avo Abiathari prædixerat, transiitque in stirpem Phineesis ad Sadocum. Qui vero ex Phineesis genere vitam egerant privatam, eo tempore quo pontificalis dignitas in Ithamari domum translata ibi mansit, Eli primum eam recipiente, isti fuere : Boccias pontificis Josephi filius, hujus autem Joathamus, Joathami vero Maræothus, Maræothi autem Arophæus, Arophæi vero Achitobus, Achitobi autem Sadocus, qui primus Davide regnante pontifex est creatus.

4. Porro Joabus imperator, fama necis Adoniæ ad eum perlata, haud mediocriter expavescebat : ejus enim amicitiam magis quam regis Solomonis coluerat. Atque ab eo periculum sibi imminere, propter suam in istum benevolentiam, non temere suspicatus, ad altare confugit, atque in ea opinione erat, se in tuto fore ex regis in Deum pietate. At ille, ubi ei a nonnullis nunciatum erat Joabi consilium, misso eo Banaja, jussit ut eum excitum ad tribunal causam suam acturum duceret. Joabus autem dicebat se sacrarium nequaquam relicturum esse, sed istic loci potius quam alibi usquam moriturum esse. Quod responsum postquam regi Banajas retulit, præcepit Solomon ut illic ei, uti postu- lat, caput amputaret, et hoc de eo supplicium sumeret pro duobus exercitus ducibus, quos ipse nefarie occiderat, corpus vero ejus sepelire, ut peccata in posteros ipsius in perpetuum redundent, ipse vero ac pater morte Joabi insontes sint. Et Banajas quidem quæ mandata erant exsequutus ipse copiis universis præficitur, Sadocum autem solum rex pontificem constituit loco Abiathari, ab ipso dimissi.

5. Deinde Semei edixit ut domo Hierosolymis exstructa assidue secum esset, et torrentem Cedronem transire non auderet : quod si secus fecerit, morte mulctandum esse. Tam magna autem interminatione non contentus, jurejurando etiam eum adegit. Semei vero Solomoni, ob ea quæ sibi mandaverit, se gratias habere professus, quum imperata se facturum esse jurasset, patria relicta Hierosolymis habitabat. Triennio autem post quum audisset duos ejus servos, qui aufugerant, Gittam se contulisse, ad famulos *retrahen- dos* properavit. Rex autem posteaquam rescivit eum una cum illis reversum, utque mandata ejus contemptui habuerit,

καταφρονήσαντος καὶ, τὸ μεῖζον, τῶν ὅρκων τοῦ Θεοῦ μηδεμίαν ποιησαμένου φροντίδα, χαλεπῶς εἶχε, καὶ καλέσας αὐτὸν, « οὐ σὺ, φησὶν, ὤμοσας μὴ καταλεί-« ψειν ἐμὲ, μηδὲ ἐξελεύσεσθαί ποτε ἐκ ταύτης τῆς πό-« λεως εἰς ἄλλην; Οὔκουν ἀποδράσῃ τὴν τῆς ἐπιορκίας « δίκην, ἀλλὰ καὶ ταύτης καὶ ὧν τὸν πατέρα μου παρὰ « τὴν φυγὴν ὕβρισας τιμωρήσομαί σε πονηρὸν γενόμε-« νον, ἵνα γνῷς ὅτι κερδαίνουσιν οὐδὲν οἱ κακοὶ μὴ « παρ' αὐτὰ τἀδικήματα κολασθέντες, ἀλλὰ παντὶ τῷ « χρόνῳ, ᾧ νομίζουσιν ἀδεεῖς εἶναι μηδὲν πεπονθότες, « αὔξεται καὶ γίνεται μεῖζων ἡ κόλασις αὐτοῖς ἧς ἂν « παραυτίκα πλημμελήσαντες ἔδοσαν. » Καὶ Σεμεεῖ μὲν κελευσθεὶς Βαναίας ἀπέκτεινεν.

ΚΕΦ. Β'.

Ἤδη δὲ τὴν βασιλείαν βεβαίως ἔχων ὁ Σολομὼν καὶ τῶν ἐχθρῶν κεκολασμένων ἄγεται τὴν Φαραώθου τοῦ τῶν Αἰγυπτίων βασιλέως θυγατέρα, καὶ κατασκευάσας τὰ τείχη τῶν Ἱεροσολύμων πολλῷ μείζω καὶ ὀχυρώτερα τῶν πρόσθεν ὄντων, διεῖπε τὰ πράγματα λοιπὸν ἐπὶ πολλῆς εἰρήνης, μηδ' ὑπὸ τῆς νεότητος πρός τε δικαιοσύνην καὶ φυλακὴν τῶν νόμων καὶ μνήμην ὧν ὁ πατὴρ τελευτῶν ἐπέστειλε βλαπτόμενος, ἀλλὰ πάνθ' ὅσα οἱ τοῖς χρόνοις προβεβηκότες καὶ πρὸς τὸ φρονεῖν ἀκμάζοντες μετὰ πολλῆς ἀκριβείας ἐπιτελῶν. Ἔγνω δ' εἰς Χεβρῶνα παραγενόμενος ἐπὶ τοῦ χαλκοῦ θυσιαστηρίου τοῦ κατασκευασθέντος ὑπὸ Μωϋσέως, θῦσαι τῷ Θεῷ, καὶ χίλια τὸν ἀριθμὸν ὁλοκαύτωσεν ἱερεῖα. Τοῦτο δὲ ποιήσας μεγάλως ἔδοξε τὸν Θεὸν τετιμηκέναι. Φανεὶς γὰρ αὐτῷ κατὰ τοὺς ὕπνους ἐκείνης τῆς νυκτὸς ἐκέλευσεν αἰρεῖσθαι τίνας ἀντὶ τῆς εὐσεβείας παράσχῃ αὐτῷ δωρεάς. Σολομὼν δὲ τὰ κάλλιστα καὶ μέγιστα καὶ Θεῷ παρασχεῖν ἥδιστα καὶ λαβεῖν ἀνθρώπῳ συμφορώτατα τὸν Θεὸν ᾔτησεν· οὐ γὰρ χρυσὸν οὐδ' ἄργυρον, οὐδὲ τὸν ἄλλον πλοῦτον, ὡς ἄνθρωπος καὶ νέος, ἠξίωσεν αὐτῷ προσγενέσθαι· ταῦτα γὰρ σχεδὸν νενόμισται παρὰ τοῖς πλείστοις μόνα σπουδῆς ἄξια καὶ Θεοῦ δῶρα εἶναι· ἀλλὰ, « δός μοι, φησὶ, δέσποτα, νοῦν « ὑγιῆ καὶ φρόνησιν ἀγαθὴν, οἷς ἂν τὸν λαὸν ταλήθῃ « καὶ τὰ δίκαια λαβὼν κρίνοιμι. » Τούτοις ἥσθη τοῖς αἰτήμασιν ὁ Θεὸς, καὶ τά τε ἄλλα πάνθ', ὧν οὐκ ἐμνήσθη παρὰ τὴν ἐκλογὴν, δώσειν ἐπηγγείλατο, πλοῦτον, δόξαν, πολεμίων κάθεξιν, καὶ πρὸ πάντων σύνεσιν καὶ σοφίαν, οἵαν οὐκ ἄλλος τις ἀνθρώπων ἔσχεν οὔτε βασιλέων οὔτ' ἰδιωτῶν, φυλάξειν δὲ καὶ τοῖς ἐκγόνοις αὐτοῦ τὴν βασιλείαν ἐπὶ πλεῖστον ὑπισχνεῖτο χρόνον, ἂν δίκαιός τε ὢν διαμένῃ καὶ πειθόμενος αὐτῷ καὶ τὸν πατέρα μιμούμενος ἐν οἷς ἦν ἄριστος. Ταῦτα τοῦ Θεοῦ Σολομὼν ἀκούσας ἀνεπήδησεν εὐθὺς ἐκ τῆς κοίτης καὶ προσκυνήσας αὐτὸν ὑπέστρεψεν εἰς Ἱεροσόλυμα, καὶ πρὸ τῆς σκηνῆς μεγάλας ἐπιτελέσας θυσίας, κατευώχει τοὺς ἰδίους ἅπαντας.

β'. Ταύταις δὲ ταῖς ἡμέραις κρίσις ἐπ' αὐτὸν ἦλθη δυσχερὴς, ἧς τὸ τέλος εὑρεῖν ἦν ἐπίπονον. Τὸ δὲ

et, quod majus, jusjurandum Deo factum non curaverit, ægre rem tulit : eoque accersito, « nonne tu, inquit, jurasti « te nunquam a me discessurum esse, neque ex hac urbe in « aliam egressurum? Non igitur effugies perjurii pœnam : « verum ob istud pariter ac contumelias, quibus patrem « meum fugientem affecisti, pœnas mihi dabis sceleribus « coopertus, ut scias nihil inde lucrari malos, quod fla-« grante delicto non puniantur, sed per omne tempus, quo « propter impunitatem securi esse videntur, augeri ipsisque « graviorem fieri pœnam, quam si statim scelere commisso « eam subiissent. » Atque ita Semei jussu regis Banajas interfecit.

CAP. II.

Solomon autem, ubi jam sublatis inimicis imperium sibi firmaverat, Pharaothæ Ægyptiorum regis filiam duxit uxorem, atque instauratis Hierosolymorum mœnibus, ut ampliora essent pariter ac munitiora quam antea, summa pacis tranquillitate deinde rempublicam administravit, nihil ei obstante adolescentia quominus vel justitiam coleret et leges custodiret, vel quæ a patre morituro acceperat memoria conservaret : verum non secus ac viri provectioris ætatis consummatæque prudentiæ, omnia exquisito judicio transegit. Porro statuit Chebronem proficisci et super aram æneam, quam Moyses fabricari curaverat, Deo sacrificare, atque mille solidas hostias immolavit. Quum autem hoc præstitisset, magnopere visus est Deum honorasse. Nam nocte, quæ proxime sequuta est, ei per quietem apparuit, jussitque ut posceret quod sibi pro pietate ab ipso dari vellet. Solomon vero pulcerrima et maxima a Deo petiit, quæque illi ad largiendum gratissima et homini ad accipiendum utilissima : non enim aurum aut argentum aut alias divitias, ut homo et juvenis, sibi accumulari poposcit, (fere enim ista sola plerisque magni æstimantur, et inter Dei munera habentur,) sed, « da mihi, inquit, « domine, mentem sanam rectumque judicium, ut vera « justaque tenendo jus populo dicam. » Hac petitione adeo delectatus erat Deus, ut et alia omnia quorum in optione sua non meminerit, se ei daturum esse promiserit, opes, gloriam, de hostibus imperium, et præ omnibus scientiam ac sapientiam, quantis nemo alius vel regum vel privatorum præditus fuerit. Insuper et regnum seris ejus nepotibus se conservaturum esse pollicitus est, modo justus esse pergat, sibique obtemperet, et patrem in quibus excellebat quam maxime referat. Ubi hæc a Deo acceperat Solomon, e fecto statim prosiluit, numenque veneratus Hierosolyma revertit, et mactatis ante tabernaculum plurimis victimis, suos omnes epulis adhibuit.

2. Hisce autem diebus judicium ad eum delatum est arduum, quod difficile erat dirimere. Rem vero, de qua

πρᾶγμα, περὶ οὗ συνέβαινεν εἶναι τὴν δίκην, ἀναγκαῖον ἡγησάμην δηλῶσαι, ἵνα τοῖς ἐντυγχάνουσιν τό τε δύσκολον τῆς κρίσεως γνώριμον ὑπάρξῃ καὶ τοιούτων μεταξὺ πραγμάτων γινόμενοι λάβωσιν, ὥσπερ ἐξ εἰκόνος τῆς τοῦ βασιλέως ἀγχινοίας, τὸ ῥᾳδίως ἀποφαίνεσθαι περὶ τῶν ζητουμένων δυνηθῆναι. Δύο γυναῖκες ἑταῖραι τὸν βίον ἦκον ἐπ' αὐτὸν, ὧν ἡ ἀδικεῖσθαι δοκοῦσα πρώτη λέγειν ἤρξατο. « Οἰκῶ μὲν, εἶπεν, ὦ βασιλεῦ, μετὰ ταύτης ἐν ἑνὶ δωματίῳ. Συνέβη δ' ἀμφοτέραις ἡμῖν ἐπὶ μιᾶς ἡμέρας ἀποτεκεῖν κατὰ τὴν αὐτὴν ὥραν ἄρρενα παιδία. Τρίτης δὲ ἡμέρας διελθούσης, ἐπικοιμηθεῖσα τῷ αὐτῆς παιδίῳ αὕτη, τοῦτο μὲν ἀποκτείνει, βαστάσασα δὲ τοὐμὸν ἐκ τῶν γονάτων πρὸς αὑτὴν μεταφέρει καὶ τὸ νεκρὸν ἐμοῦ κοιμωμένης εἰς τὰς ἀγκάλας μου τίθησιν. Πρωὶ δὲ θηλὴν ὀρέξαι βουλομένη τῷ παιδίῳ τὸ μὲν ἐμὸν οὐχ ἡῦρον, τὸ δὲ ταύτης νεκρὸν ὁρῶ μοι παρακείμενον· ἀκριβῶς γὰρ κατανοήσασα τοῦτο ἐπέγνων. Ὅθεν ἀπαιτῶ τὸν ἐμὸν υἱὸν, καὶ οὐκ ἀπολαμβάνουσα καταπέφευγα, δέσποτα, ἐπὶ τὴν παρὰ σοῦ βοήθειαν. Τῷ γὰρ εἶναι μόνας ἡμᾶς καὶ μηδένα τὸν ἐξελέγξαι δυνάμενον φοβεῖσθαι καταφρονοῦσα ἰσχυρῶς ἀρνουμένη παραμένει. » Ταῦτ' εἰπούσης ὁ βασιλεὺς ἀνέκρινε τὴν ἑτέραν τί τοῖς εἰρημένοις ἀντιλέγειν ἔχοι. Τῆς δὲ ἀρνουμένης τοῦτο πεποιηκέναι, τὸ δὲ παιδίον τὸ ἑαυτῆς ζῆν λεγούσης, τὸ δὲ τῆς ἀντιδίκου τεθνηκέναι, μηδενὸς ἐπινοοῦντος τὴν κρίσιν, ἀλλὰ ὥσπερ ἐπ' αἰνίγματι περὶ τὴν εὕρεσιν αὐτοῦ πάντων τῇ διανοίᾳ τετυφλωμένων, μόνος ὁ βασιλεὺς ἐπενόησέ τι τοιοῦτον. Κελεύσας κομισθῆναι τὸ νεκρὸν καὶ τὸ ζῶν παιδίον μεταπέμπεταί τινα τῶν σωματοφυλάκων, καὶ σπασάμενον προσέταξε τὴν μάχαιραν ἀμφότερα διχοτομῆσαι τὰ παιδία, ὅπως ἑκατέρα λάβωσιν ἀνὰ ἥμισυ τοῦ τε ζῶντος καὶ τοῦ τετελευτηκότος. Ἐπὶ τούτῳ πᾶς μὲν ὁ λαὸς λανθάνων ἐχλεύαζεν ὡς μειράκιον τὸν βασιλέα, μεταξὺ δὲ τῆς μὲν ἀπαιτούσης καὶ ἀληθοῦς μητρὸς ἀνακραγούσης τοῦτο μὴ ποιεῖν, ἀλλὰ παραδιδόναι τῇ ἑτέρᾳ τὸ παιδίον ὡς ἐκείνης, ἀρκεῖσθαι γὰρ τῷ ζῆν αὐτὸ καὶ βλέπειν μόνον κἂν ἀλλότριον δοκῇ, τῆς δ' ἑτέρας ἑτοίμως ἐχούσης διαιρούμενον ἰδεῖν τὸ παιδίον καὶ προσέτι βασανισθῆναι καὶ αὐτὴν ἀξιούσης, ὁ βασιλεὺς ἐπιγνοὺς τὰς ἑκατέρων φωνὰς ἀπὸ τῆς ἀληθείας γεγενημένας, τῇ μὲν ἀνακραγούσῃ τὸ παιδίον προσέκρινε, μητέρα γὰρ αὐτὴν ἀληθῶς εἶναι, τῆς δὲ ἄλλης κατέγνω πονηρίαν, τό τε ἴδιον ἀποκτεινάσης καὶ τὸ τῆς φίλης σπουδαζούσης ἀπολλύμενον θεάσασθαι. Τοῦτο μέγα δεῖγμα καὶ τεκμήριον τῆς τοῦ βασιλέως φρονήσεως καὶ σοφίας ἐνόμιζε τὸ πλῆθος· κἀξ ἐκείνης λοιπὸν τῆς ἡμέρας ὡς θείαν ἔχοντι διάνοιαν αὐτῷ προσεῖχον.

γ'. Στρατηγοὶ δ' αὐτῷ καὶ ἡγεμόνες ἦσαν τῆς χώρας ἁπάσης οἵδε. Τῆς μὲν Ἐφραίμου κληρουχίας Οὔρης, ἐπὶ δὲ τῆς Βηθλεέμης τοπαρχίας ἦν Διόκλητος· τὴν δὲ τῶν Δώρων καὶ τὴν παραλίαν Ἀβινάδαβος εἶχεν ὑφ' αὐτῷ, γεγαμηκὼς τὴν Σολομῶνος θυγατέρα.

disceptari contigit, exponere necessarium duxi, ut et qui hæc legerint quanta de ea decernendi fuerit difficultas intelligant, et qui in hujusmodi negotiis versentur, regiæ sollertiæ exemplar intuendo de quæsitis facile pronunciare possint. Mulleres duæ meretrices ad ipsum venerunt, quarum altera, cui injuria facta esse videbatur, prima dicere orsa est. « Ego « quidem, dicebat, o rex, in uno cum hac cubiculo ha- « bito. Accidit autem utrique nostrûm ut una die masculos « infantes circa eandem horam pareremus. At tertio post « die, ista somnolento in puerulum suum incubitu ipsum « quidem opprimit, meum vero e gremio meo sublatum ad « se transfert, et mortuum quiescenti mihi in ulnas impo- « suit. Mane autem, quum infanti vellem mammam admo- « vere, meum quidem non inveni, hujus vero mortuum « lateri meo video accumbere : rem enim, omnibus accurate « perpensis, ita esse comperui. Quare filium meum po- « stulo ; et quum illum non receperim, ad tuam opem implo- « randam, domine, confugio. Nam eo quod nos solæ « fuerimus, nullusque subsit metus alicujus qui possit re- « darguere, confisa constanter et fortiter factum negat. » Ubi hæc dixerat, rex alteram interrogavit, ecquid habeat dictis objiciendum. Illa autem infitiante se hoc fecisse, et asseverante suum vivere filium, adversariæ vero interiisse, quum nemo existimare potuerit quid decernendum esset, sed omnes, quasi ænigma fuerit, in eo evolvendo mentis cæcitate laborarent, solus rex tale quiddam excogitavit. Jussis afferri infantibus tam vivo quam mortuo, satellitum quendam ad se evocat, imperatque stricto gladio puerum utrumque dissecare in duas partes, ut utraque dimidium accipiat tam vivi quam mortui. Hanc ob rem populus quidem universus regem ut adolescentem clam irridebat. Inter hæc autem quum reposcens ac vera mater exclamasset, ne hoc ageretur, sed potius alteri tanquam suus tradatur infans, sibi enim sufficere, modo vivat ipsumque conspiciat, licet alterius esse videatur; altera vero parata esset puerum videre divisum, atque insuper vellet ipsam quoque *matrem* dolore excruciari, rex, animadverso utriusque voces ex animo esse, illi quidem quæ exclamaverat puerum adjudicabat, (ipsam enim revera esse matrem,) alterius vero malitiam damnabat, ut quæ et suum peremerat, et amicæ filium exstinctum videre cuperet. Hoc populo visum est magnum esse argumentum indiciumque regis prudentiæ simul et sapientiæ : atque ex illo deinceps die ipsi tanquam divina mente prædito auscultabant.

3. Militiæ autem præfecti ipsi erant præsidesque regionis omnis hi. Ephraimi quidem sorti præerat Ures, toparchiæ vero Bethleemiticæ Dioclerus : regionem autem Dorensem et maritimam omnem sibi subjectam habebat Abinadabus, qui Solomonis filiam duxerat. At Campus magnus erat sub

Τὸ δὲ μέγα πεδίον ἦν ὑπὸ Βαναΐα τῷ Ἀχίλου παιδὶ, προσεπῆρχε δὲ καὶ τῆς ἄχρι Ἰορδάνου πάσης. Τὴν δὲ Γαλααδῖτιν καὶ Γαυλανῖτιν ἕως τοῦ Λιβάνου ὄρους καὶ πόλεις ἑξήκοντα μεγάλας καὶ ὀχυρωτάτας ἔχων ὑφ' αὐτὸν Γαβάρης διεῖπεν. Ἀχινάδαβος δὲ τῆς Γαλιλαίας ὅλης ἄχρι Σιδῶνος ἐπετρόπευε, συνοικῶν καὶ αὐτὸς θυγατρὶ Σολομῶνος Βασίμα τοὔνομα. Τὴν δὲ περὶ Ἀρκὴν παραλίαν εἶχε Βανακάτης, Σαφάτης δὲ τὸ Ἰταβύριον ὄρος καὶ Κάρμηλον καὶ τὴν κάτω Γαλιλαίαν [ἄχρι τοῦ ποταμοῦ Ἰορδάνου χώραν]. Ἐπὶ δὲ τούτων εἷς πᾶσαν ἐπετέτραπτο. Σεμεεῖ δὲ τὴν τῆς Βενιαμίτιδος κληρουχίαν ἐγχεχείριστο, Γαβάρης δὲ εἶχε τὴν πέραν τοῦ Ἰορδάνου χώραν. Ἐπὶ δὲ τούτων εἷς πάλιν ἄρχων ἀποδέδεικτο. Θαυμαστὴν δὲ ἐπίδοσιν ἔλαβεν ὅ τε τῶν Ἑβραίων λαὸς καὶ ἡ Ἰούδα φυλὴ, πρὸς γεωργίαν τραπέντων καὶ τὴν τῆς γῆς ἐπιμέλειαν. Εἰρήνης γὰρ ἀπολαύοντες καὶ πολέμοις καὶ ταραχαῖς μὴ περισπώμενοι καὶ προσέτι τῆς ποθεινοτάτης ἐλευθέριας ἀκρατῶς ἐμφορούμενοι πρὸς τὸ συναύξειν ἕκαστος τὰ οἰκεῖα καὶ ποιεῖν ἄξια πλείονος ὑπῆρχεν.

δ'. Ἦσαν δὲ καὶ ἕτεροι τῷ βασιλεῖ ἡγεμόνες, οἳ τῆς τε Σύρων γῆς καὶ τῶν ἀλλοφύλων, ἥτις ἦν ἀπ' Εὐφράτου ποταμοῦ διήκουσα μέχρι τῆς Αἰγυπτίων, ἐπῆρχον, ἐκλέγοντες αὐτῷ φόρους παρὰ τῶν ἐθνῶν. Συνετέλουν δὲ καὶ τῇ τραπέζῃ καθ' ἡμέραν καὶ τῷ δείπνῳ τοῦ βασιλέως σεμιδάλεως μὲν κόρους τριάκοντα, ἀλεύρου δ' ἑξήκοντα, σιτιστοὺς δὲ βόας δέκα καὶ νομάδας βόας εἴκοσι, σιτιστοὺς δὲ ἄρνας ἑκατόν. Ταῦτα πάντα πάρεξ τῶν ἐπ' ἄγρας, ἐλάφων λέγω καὶ βουβάλων καὶ τῶν πτηνῶν καὶ ἰχθύων, ἐκομίζετο καθ' ἡμέραν τῷ βασιλεῖ παρὰ τῶν ἀλλοφύλων. Τοσοῦτον δὲ πλῆθος ἦν ἁρμάτων Σολομῶνι, ὡς τέσσαρας εἶναι μυριάδας φατνῶν τῶν ὑπεζευγμένων ἵππων. Χωρὶς δὲ τούτων ἦσαν ἱππεῖς δισχίλιοι καὶ μύριοι, ὧν οἱ μὲν ἡμίσεις τῷ βασιλεῖ προσήδρευον ἐν Ἱεροσολύμοις, οἱ δὲ λοιποὶ κατὰ τὰς βασιλικὰς διεσπαρμένοι κώμας ἐν αὐταῖς κατέμενον. Ὁ δ' αὐτὸς ἡγεμὼν, ὁ τὴν τοῦ βασιλέως δαπάνην πεπιστευμένος, καὶ τοῖς ἵπποις ἐχορήγει τὰ ἐπιτήδεια, συγκομίζων εἰς ὃν ὁ βασιλεὺς διέτριβε τόπον.

ε'. Τοσαύτη δ' ἦν ἡν ὁ Θεὸς Σολομῶνι παρέσχε φρόνησιν καὶ σοφίαν, ὡς τούς τ' ἀρχαίους ὑπερβάλλειν ἀνθρώπους καὶ μηδὲ τοὺς Αἰγυπτίους, οἳ πάντων συνέσει διενεγκεῖν λέγονται, συγκρινομένους λείπεσθαι παρ' ὀλίγον, ἀλλὰ καὶ πλεῖστον ἀφεστηκότας τῆς βασιλέως φρονήσεως ἐλέγχεσθαι. Ὑπερῆρε δὲ καὶ διήνεγκε σοφίᾳ καὶ τῶν κατὰ τὸν αὐτὸν καιρὸν δόξαν ἐχόντων παρὰ τοῖς Ἑβραίοις ἐπὶ δεινότητι· ὧν οὐ παρελεύσομαι τὰ ὀνόματα. Ἦσαν δὲ Ἐθάνος καὶ Αἰμάνος καὶ Χαλκέος καὶ Δάρδανος, υἱοὶ Ἡμάωνος. Συνετάξατο δὲ καὶ βιβλία [περὶ] ᾠδῶν καὶ μελῶν πέντε πρὸς τοῖς χιλίοις, καὶ παραβολῶν καὶ εἰκόνων βίβλους τρισχιλίας. Καθ' ἕκαστον γὰρ εἶδος δένδρου παραβολὴν εἶπεν, ἀπὸ ὑσσώπου ἕως κέδρου. Τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ

Banaja filio Achili, qui omni etiam regioni imperitabat quæ ad Jordanem usque pertingit. Galaaditicam vero et Gaulaniticam *provinciam* usque montem Libanum, urbes sexaginta magnas et munitissimas sua in ditione habens, Gabares regebat. Achinadabus autem Galilæam omnem Sidonem usque procurabat, habens et ipse in matrimonio Solomonis filiam nomine Basimam. Maritimam vero circa Arcen Banacates obtinebat, atque Saphates Itabyrium montem et Carmelum et inferiorem Galilæam [usque ad Jordanem fluvium]. At unus illis superior totius *regionis* curator erat constitutus. Semei autem tribus Benjamitidis sors commissa erat, atque Gabares regionem Transjordanianam tenebat. His vero rursum unus præpositus erat. Miro autem incremento auctæ sunt res Hebræorum et tribus Judæ, populo ad agrorum colendorum curandorumque studium converso. Nam pace fruentes, et neque bellis neque turbis distracti, ac præterea optatissima libertate ad satietatem usque propinata, omni cura et cogitatione in hoc incubuerunt, ut sua quisque augeret et majoris pretii faceret.

4. Erant autem regi et alii præfecti, qui et Syrorum et alienigenarum terræ omni, a fluvio Euphrate Ægyptum usque pertingenti, præerant, e gentibus ipsi tributa colligentes. Atque *isti* regis victui in singulos dies ejusque conviviis conferebant similæ quidem coros triginta, farinæ vero sexaginta, boves autem altiles decem, et armentales viginti, et agnos altiles centum. Hæc omnia præter capturas ex venatione, cervos inquam et bubalos et aves et pisces, regi ab allenigenis quotidie advehebantur. Porro tantus erat Solomoni curruum numerus, ut quadraginta haberet præsepiorum millia equorum jugalium. Verum præter hæc erant duodecim millia equitum, quorum pars quidem dimidia Hierosolymis circa regem versabatur, reliqui vero per villas regias dispersi in illis manebant. Idem vero præfectus, cui mandati erant sumptus regii, equis etiam necessaria suppeditabat, in eum locum advecta ubi rex erat.

5. Tanta autem erat sapientia et prudentia, qua Solomonem donavit Deus, ut et priscæ ætatis hominibus præstiterit et vel Ægyptios, qui omnes scientia superare feruntur, cum eo comparatos non paululum vicerit, sed plurimum a regis sapientia abfuisse demonstrarit. Quin et quotquot apud Hebræos isto ævo perspicaciæ laudem assequuti sunt, ingenii præstantia supergressus est, iisque antecelluit; quorum nomina non præteribo. Erant autem Ethanus et Æmanus, et Chalceus et Dardanus, filii Emaonis. Composuit etiam libros odarum et canticorum quinque supra mille, et proverbiorum et similitudinum ter mille. Nam de quavis arboris specie parabolam dixit ab hyssopo usque ad cedrum. Similiter autem et de jumentis et de ceteris etiam

κτηνῶν καὶ τῶν τ' ἐπιγείων ἁπάντων ζώων καὶ τῶν νηκτῶν καὶ τῶν ἀερίων. Οὐδεμίαν γὰρ τούτων φύσιν ἠγνόησεν οὐδὲ παρῆλθεν ἀνεξέταστον, ἀλλ' ἐν πάσαις ἐφιλοσόφησε καὶ τὴν ἐπιστήμην τῶν ἐν αὐταῖς ἰδιωμάτων ἄκραν ἐπεδείξατο. Παρέσχε δ' αὐτῷ μαθεῖν ὁ Θεὸς καὶ τὴν κατὰ τῶν δαιμόνων τέχνην εἰς ὠφέλειαν καὶ θεραπείαν τοῖς ἀνθρώποις. Ἐπῳδάς τε συνταξάμενος, αἷς παρηγορεῖται τὰ νοσήματα, τρόπους ἐξορκώσεων κατέλιπεν, οἷς ἐνδούμενοι τὰ δαιμόνια ὡς μηκέτ' ἐπανελθεῖν ἐκδιώκουσι. Καὶ αὕτη μέχρι νῦν παρ' ἡμῖν ἡ θεραπεία πλεῖστον ἰσχύει. Ἱστόρησα γάρ τινα Ἐλεάζαρον τῶν ὁμοφύλων, Οὐεσπασιανοῦ παρόντος καὶ τῶν υἱῶν αὐτοῦ καὶ χιλιάρχων καὶ ἄλλου στρατιωτικοῦ πλήθους, τοὺς ὑπὸ τῶν δαιμονίων λαμβανομένους ἀπολύοντα τούτων. Ὁ δὲ τῆς θεραπείας τρόπος τοιοῦτος ἦν. Προσφέρων ταῖς ῥισὶ τοῦ δαιμονιζομένου τὸν δακτύλιον, ἔχοντα ὑπὸ τῇ σφραγῖδι ῥίζαν ἐξ ὧν ὑπέδειξε Σολομών, ἔπειτα ἐξεῖλκεν ὀσφρωμένῳ διὰ τῶν μυκτήρων τὸ δαιμόνιον. Καὶ πεσόντος εὐθὺς τοῦ ἀνθρώπου μηκέτ' εἰς αὐτὸν ἐπανελθεῖν ὥρκου, Σολομῶνός τε μεμνημένος καὶ τὰς ἐπῳδὰς, ἃς συνέθηκεν ἐκεῖνος, ἐπιλέγων. Βουλόμενος δὲ πεῖσαι καὶ παραστῆσαι τοῖς παρατυγχάνουσιν ὁ Ἐλεάζαρος ὅτι ταύτην ἔχει ἰσχὺν, ἐτίθει μικρὸν ἔμπροσθεν ἤτοι ποτήριον πλῆρες ὕδατος ἢ ποδόνιπτρον, καὶ τῷ δαιμονίῳ προσέταττεν ἐξιόντι τοῦ ἀνθρώπου ταῦτ' ἀνατρέψαι καὶ παρασχεῖν ἐπιγνῶναι τοῖς ὁρῶσιν ὅτι καταλέλοιπε τὸν ἄνθρωπον. Γινομένου δὲ τούτου σαφὴς ἡ Σολομῶνος καθίστατο σύνεσις καὶ σοφία, δι' ἣν, ἵνα γνῶσιν ἅπαντες τὸ μεγαλεῖον αὐτοῦ τῆς φύσεως καὶ τὸ θεοφιλὲς καὶ λάθῃ μηδὲν τῶν ὑπὸ τὸν ἥλιον τοῦ βασιλέως περὶ πᾶν εἶδος ἀρετῆς ὑπερβολὴ, περὶ τούτων εἰπεῖν προήχθημεν.

ς'. Ὁ δὲ τῶν Τυρίων βασιλεὺς Εἴραμος, ἀκούσας ὅτι Σολομὼν τὴν τοῦ πατρὸς διεδέξατο βασιλείαν, ὑπερήσθη, (φίλος γὰρ ἐτύγχανε τῷ Δαυΐδῃ,) καὶ πέμψας πρὸς αὐτὸν ἠσπάζετό τε καὶ συνέχαιρεν ἐπὶ τοῖς παροῦσιν ἀγαθοῖς. Ἀποστέλλει δὲ πρὸς αὐτὸν Σολομὼν γράμματα δηλοῦντα τάδε.

ΣΟΛΟΜΩΝ ΕΙΡΑΜΩΙ ΒΑΣΙΛΕΙ.

« Ἴσθι μου τὸν πατέρα βουληθέντα κατασκευάσαι τῷ « Θεῷ ναὸν ὑπὸ τῶν πολέμων καὶ τῶν συνεχῶν στρα« τιῶν κεκωλυμένον· οὐ γὰρ ἐπαύσατο πρότερον τοὺς « ἐχθροὺς καταστρεφόμενος πρὶν ἢ πάντας αὐτοὺς « φόρων ὑποτελεῖς ἐποίησεν. Ἐγὼ δὲ χάριν οἶδα τῷ « Θεῷ τῆς παρούσης εἰρήνης, καὶ διὰ ταύτην εὐσχολῶν « οἰκοδομῆσαι τῷ Θεῷ βούλομαι τὸν οἶκον· καὶ γὰρ ὑπ' « ἐμοῦ τοῦτον ἔσεσθαι τῷ πατρί μου προεῖπεν ὁ Θεός. « Διὸ παρακαλῶ σε συμπέμψαι τινὰς τοῖς ἐμοῖς εἰς « Λίβανον τὸ ὄρος κόψοντας ξύλα· πρὸς γὰρ τομὴν « ὕλης ἐπιστημονέστερον ἔχουσι τῶν ἡμετέρων Σιδώ« νιοι. Μισθὸν δ' ὃν ἂν ὁρίσῃς ἐγὼ τοῖς ὑλουργοῖς πα« ρέξω. »

terrestribus animantibus, ut de iis quæ per aquam pariter ac aerem feruntur. Ne unius quidem horum naturam ignoravit, aut inexploratam reliquit, sed de omnibus philosophico modo disseruit, et scientiam proprietatum earum summam se adeptum esse ostendit. Concessit ei etiam Deus ut disceret artem contra malos dæmones ad utilitatem et curationem hominum. Et quum excantationes composuisset, quibus leniantur morbi, etiam formas adjurationum reliquit, quibus vincientes dæmonia ejiciunt ut nunquam revertantur. Atque hoc sanationis genus etiamnum apud nos plurimum valet. Vidi enim ex popularibus meis quendam Eleazarum, coram Vespasiano et filiis ejus et tribunis reliquisque militibus, ex dæmonum potestate ab iis obsessos liberantem. Modus autem istius curationis erat talis. Naso dæmoniaci admoto annulo, cujus pala una ex radicibus inclusa erat, quas indicaverat Solomon, paulo post ex naribus odorantis extrahebat dæmonem. Tum homine statim collapso *dæmonem* adjurabat ne in hunc postea reverteretur, Solomonis mentionem faciens, et incantationes ab eo compositas recitans. Porro volens Eleazarus illis qui aderant persuadere manifestumque facere quod hanc vim habuerit, non longe inde collocabat aut poculum aqua plenum aut polubrum, dæmonique imperabat ut homine egrediens illa evertat, atque faciat ut spectantes intelligant quod hominem reliquisset. Hoc autem facto, palam erat Solomonis sapientia et scientia. Ideoque ut omnibus nota sit ingenii ejus magnitudo, quamque carus Deo fuerit, utque nemini, quem sol intuetur, lateat regis in omni genere virtutis excellens præstantia, ad verba de hisce facienda adducti fuimus.

6. Porro Tyriorum rex Hiramus, audito quod Solomon patri in regnum successisset, magnopere gavisus est, (nam Davidi erat amicus,) et per legatos ipsum salutabat, eique gratulabatur de præsenti felicitate. At Solomon ad eum literas mittit his verbis.

SOLOMON HIRAMO REGI.

« Scias velim quod pater meus, quum in animum induxis« set ædificare templum Deo, bellis et continuis expedi« tionibus fuerit impeditus. Non enim prius hostes debel« lare desiit, donec eos omnes tributum ferre coegerat. « Ego vero Deo gratias ago pro ea qua nunc fruor pace, ac « propterea otio abundans jam statuo domum Deo exstru« ere : eam etenim me conditurum esse, Deus patri meo « prædixit. Quamobrem te oro atque obsecro ut aliquos una « cum meis mitti jubeas in montem Libanum ad ligna exci« denda : nam in materia cædenda Sidonii nostratibus « peritiores sunt. Ipse vero mercedem quantam tu consti« tueris fabris materiariis solvam. »

ζ'. Ἀναγνοὺς δὲ τὴν ἐπιστολὴν Εἴραμος καὶ τοῖς ἐπεσταλμένοις ἡσθεὶς ἀντιγράφει τῷ Σολομῶνι.

ΒΑΣΙΛΕΥΣ ΕΙΡΑΜΟΣ ΒΑΣΙΛΕΙ ΣΟΛΟΜΩΝΙ.

« Τὸν μὲν Θεὸν εὐλογεῖν ἄξιον ὅτι σοι τὴν πατρῴαν « παρέδωκεν ἡγεμονίαν, ἀνδρὶ σοφῷ καὶ πᾶσαν ἀρετὴν « ἔχοντι. Ἐγὼ δὲ τούτοις ἡδόμενος ἅπαντα ὑπουρ- « γήσω τὰ ἐπεσταλμένα. Τεμῶν γὰρ ξύλα πολλὰ καὶ « μεγάλα κέδρου τε καὶ κυπαρίσσου διὰ τῶν ἐμῶν ἐπὶ « θάλασσαν καταπέμψω, καὶ κελεύσω τοὺς ἐμοὺς « σχεδίαν πηξαμένους εἰς ὃν ἂν βουληθῇς τόπον τῆς « σαυτοῦ χώρας πλεύσαντας ἀποθέσθαι· ἔπειθ' οἱ « σοὶ διακομίσουσιν εἰς Ἱεροσόλυμα. Ὅπως δὲ καὶ « σὺ παράσχῃς ἡμῖν ἀντὶ τούτων σῖτον, οὗ διὰ τὸ νῆσον « οἰκεῖν δεόμεθα, φρόντισον. »

η'. Διαμένει δ' ἄχρι τῆς τήμερον τὰ τῶν ἐπιστολῶν τούτων ἀντίγραφα οὐκ ἐν τοῖς ἡμετέροις μόνον σωζόμενα βιβλίοις, ἀλλὰ καὶ παρὰ Τυρίοις· ὥστ' εἴ τις θελήσειε τὸ ἀκριβὲς μαθεῖν, δεηθεὶς τῶν ἐπὶ τῶν Τυρίων γραμματοφυλακίων δημοσίων, εὕροι ἂν συμφωνοῦντα τοῖς εἰρημένοις παρ' ἡμῶν τὰ παρ' ἐκείνοις. Ταῦτα μὲν οὖν διεξῆλθον βουλόμενος γνῶναι τοὺς ἐντευξομένους ὅτι μηδὲν μᾶλλον ἔξω τῆς ἀληθείας λέγομεν, μηδὲ πιθανοῖς τισι καὶ πρὸς ἀπάτην καὶ τέρψιν ἐπαγωγοῖς τὴν ἱστορίαν διαλαμβάνοντες τὴν μὲν ἐξέτασιν φεύγειν πειρώμεθα, πιστεύεσθαι δ' εὐθὺς ἀξιοῦμεν, οὐδὲ συγκεχωρημένον ἡμῖν, κατεξανισταμένοις τοῦ πρέποντος τῆς πραγματείας, ἀθώοις ὑπάρχειν, ἀλλὰ μηδεμίᾶς ἀποδοχῆς τυγχάνειν παρακαλοῦντες, ἂν μὴ μετὰ ἀποδείξεως καὶ τεκμηρίων ἰσχυρῶν ἐμφανίζειν δυνώμεθα τὴν ἀλήθειαν.

θ'. Ὁ δὲ βασιλεὺς Σολομὼν, ὡς ἐκομίσθη τὰ παρὰ τοῦ Τυρίων βασιλέως γράμματα, τήν τε προθυμίαν αὐτοῦ καὶ τὴν εὔνοιαν ἐπῄνεσε, καὶ οἷς ἠξίωσε, τούτοις αὐτὸν ἠμείψατο, σίτου μὲν αὐτῷ κατ' ἔτος πέμψας δισμυρίους κόρους, καὶ τοσούτους ἐλαίου βάδους· ὁ δὲ βάδος δύναται ξέστας ἑβδομήκοντα δύο. Τὸ δ' αὐτὸ μέτρον καὶ οἴνου παρεῖχεν. Ἡ μὲν οὖν Εἰράμου φιλία καὶ Σολομῶνος ἀπὸ τούτων ἔτι μᾶλλον ηὔξησε, καὶ διαμενεῖν ὤμοσαν εἰς ἅπαν. Ὁ δὲ βασιλεὺς ἐπέταξε παντὶ τῷ λαῷ φόρον ἐργάτας τρισμυρίους, οἷς ἄπονον τὴν ἐργασίαν κατέστησε, μερίσας αὐτὴν συνετῶς. Μυρίους γὰρ ἐποίησε κόπτοντας ἐπὶ μῆνα ἕνα ἐν τῷ Λιβάνῳ ὄρει, δύο δὲ μῆνας ἀναπαύεσθαι παραγινομένους ἐπὶ τὰ οἰκεῖα, μέχρις οὗ πάλιν οἱ δισμύριοι τὴν ἐργασίαν ἀναπληρώσωσι κατὰ τὸν ὡρισμένον χρόνον. Ἔπειθ' οὕτω συνέβαινε τοῖς πρώτοις μυρίοις διὰ τετάρτου μηνὸς ἅπαντᾶν ἐπὶ τὸ ἔργον. Ἐγεγόνει δ' ἐπίτροπος τοῦ φόρου τούτου Ἀδώραμος. Ἦσαν δ' ἐκ τῶν παροικιῶν, οὓς Δαυίδης κατελελοίπει, τῶν μὲν παρακομιζόντων τὴν ὑλείαν καὶ τὴν ἄλλην ὕλην ἑπτὰ μυριάδες, τῶν δὲ λατομούντων ὀκτάκις μύριοι· τούτων δ' ἐπιστάται τρισχίλιοι καὶ τριακόσιοι. Προστετάχει δὲ λίθους μὲν αὐτοὺς τέμνειν μεγάλους εἰς τοὺς τοῦ ναοῦ θεμελίους,

7. Hiramus autem quum has literas legisset, mandatisque multum lætatus esset, Solomoni rescripsit.

Rex Hiramus Regi Solomoni.

« Deum laudare par est, qui paternum imperium tibi « tradiderit, viro sapienti et omni virtute prædito. Atque « ego, his delectatus, quæcunque per literas petiisti tibi « suppeditabo. Ligno enim multo magnoque exciso, ce- « drino pariter ac cyparissino, mihi curæ erit ut meorum « opera ad mare devehatur, meisque imperabo, ut rate con- « nexa ad quemcunque volueris tuæ regionis locum mari « navigato ea deponant : deinde tuis licebit ea Hierosolyma « deportare. Tu autem fac cures ut pro his frumentum « nobis suppeditetur, quo nobis opus est, utpote insulam « habitantibus. »

8. Etiamnum autem manent harum literarum exemplaria, non tantum in nostris libris conservata, sed et apud Tyrios, adeo ut si quis voluerit pro certo rem nosse, rogatis iis qui publicis tabulariis præsunt apud Tyrios, inventurus sit quæ ab iis dicta fuerint consentanea illis quæ nos diximus. Atque hæc quidem oratione persequutus sum volens lectores pro comperto habere nobis in animo esse nihil præter veritatem dicere, neque verisimilibus quibusdam et ad homines decipiendos delectandosque accommodis historiam distinguendo operam quidem dare ut examen fugiamus, postulare autem ut *narrationi* statim credatur ; neque nobis concessum esse ut, facta ab historiæ decoro discessione, a culpa simus immunes, sed oramus atque obsecramus ut nemo nostra hæc approbatione sua dignari velit, nisi veritatem demonstratam dare certisque indiciis confirmare possimus.

9. Rex autem Solomon, quum ad eum allatæ essent regis Tyriorum literæ, promptum ejus obsequium et benevolentiam valde laudavit, et quæ ab ipso petiit vicissim ei subministravit, mittendo quotannis tritici quidem viginti cororum millia, oleique totidem bados : badus autem capit sextarios septuaginta duo. Eandem vero ei mensuram etiam vini præbebat. Et ab istis quidem initiis magis magisque crevit amicitia inter Solomonem et Hiramum, seque in ea perpetuo mansuros esse jurarunt. Imperavit autem Solomon populo universo tributum operariorum trigiuta millia, quibus ut ministerium non esset laboriosum effecit scienter illud atque perite dividendo. Constituit enim ut deni milleni in mensem unum ligna in monte Libano cæderent, per duos autem menses quietem agerent domum quisque suam regressi, donec reliqui viceni milleni suum opus itidem absolverint. Ita demum tempore præfinito contigit ut quarto quoque mense primi deni milleni ad opus redirent. Huic vero tributo exigendo præerat Adoramus. Porro erant ex inquilinis, quos Davides reliquerat, vectores quidem saxorum et ceteræ materiæ septuagies mille, lapicidarum vero octoginta millia. His autem præfecti *erant* ter mille et trecenti. In mandatis præterea dederat ut saxa quidem ingentia illi exciderent in templi funda-

ἁρμόσαντας δὲ πρῶτον καὶ συνδήσαντας ἐν τῷ ὄρει καταχομίζειν οὕτως εἰς τὴν πόλιν. Ἐγένετο δὲ ταῦτα οὐ παρὰ τῶν οἰκοδόμων τῶν ἐγχωρίων μόνον, ἀλλὰ καὶ ὧν ὁ Εἴραμος ἔπεμψε τεχνιτῶν.

ΚΕΦ. Ι'.

Τῆς δ' οἰκοδομίας τοῦ ναοῦ Σολομὼν ἤρξατο τέταρτον ἔτος ἤδη τῆς βασιλείας ἔχων μηνὶ δευτέρῳ, ὃν Μακεδόνες μὲν Ἀρτεμίσιον καλοῦσιν, Ἑβραῖοι δὲ Ἰὰρ, μετὰ ἔτη πεντακόσια καὶ ἐνενήκοντα καὶ δύο τῆς ἀπ' Αἰγύπτου τῶν Ἰσραηλιτῶν ἐξόδου, μετὰ δὲ χίλια καὶ εἴκοσι ἔτη τῆς Ἀβράμου εἰς τὴν Χαναναίαν ἐκ τῆς Μεσοποταμίας ἀφίξεως, ἀπὸ δὲ τῆς ἐπομβρίας μετὰ χίλια καὶ τετρακόσια καὶ τεσσαράκοντα. Ἀπὸ δὲ τοῦ πρώτου γεννηθέντος Ἀδάμου ἕως οὗ τὸν ναὸν ᾠκοδόμησεν ὁ Σολομὼν διεληλύθει τὰ πάντα ἔτη τρισχίλια καὶ ἑκατὸν καὶ δύο. Καθ' ὃν δὲ ὁ ναὸς ἤρξατο οἰκοδομεῖσθαι χρόνον, κατ' ἐκεῖνον ἔτος ἤδη τῆς ἐν Τύρῳ βασιλείας ἑνδέκατον ἐνειστήκει Εἰράμῳ. Ἀπὸ δὲ τῆς οἰκήσεως Τύρου εἰς τὴν οἰκοδομίαν τοῦ ναοῦ διαγεγόνει χρόνος ἐτῶν τεσσαράκοντα καὶ διακοσίων.

β'. Βάλλεται μὲν οὖν τῷ ναῷ θεμελίους ὁ βασιλεὺς ἐπὶ μήκιστον τῆς γῆς βάθος, ὕλης λίθων ἰσχυρᾶς καὶ πρὸς χρόνον ἀντέχειν δυναμένης, οἵ τε τῇ γῇ συμφυέντες ἔμελλον καὶ ἔδαφος καὶ ἔρεισμα τῆς ἐποικοδομηθησομένης κατασκευῆς ἔσεσθαι καὶ διὰ τὴν κάτωθεν ἰσχὺν οἴσειν ἀπόνως τὸ μέγεθός τε τῶν ἐποικοδομηθησομένων καὶ κάλλους πολυτέλειαν, ἣ βάρος ἔμελλεν οὐχ ἥττων εἶναι τῶν ἄλλων ὅσα πρὸς ὕψος καὶ πρὸς ὄγκον κόσμου τε χάριν καὶ μεγαλουργίας ἐπενοεῖτο. Ἀνήγαγον δ' αὐτὸν ἄχρι τῆς ὀροφῆς ἐκ λευκοῦ λίθου πεποιημένον. Τὸ μὲν οὖν ὕψος ἦν ἑξήκοντα πηχῶν, τῶν δ' αὐτῶν καὶ τὸ μῆκος, εὖρος δ' εἴκοσι. Κατὰ τούτου δὲ ἄλλος ἦν ἐγηγερμένος, ἴσος τοῖς μέτροις, ὥστε εἶναι τὸ πᾶν ὕψος τῷ ναῷ πηχῶν ἑκατὸν καὶ εἴκοσι. Τέτραπτο δὲ πρὸς τὴν ἀνατολήν. Τὸ δὲ πρόναον αὐτοῦ προέστησαν ἐπὶ πήχεις μὲν εἴκοσι τὸ μῆκος, πρὸς τὸ εὖρος τοῦ οἴκου τεταγμένον, ἔχον δὲ πλάτους πήχεις δέκα, ὕψος δὲ ἀνεγηγερμένον πηχῶν ἑκατὸν εἴκοσι. Περιῳκοδόμησε δὲ τὸν ναὸν ἐν κύκλῳ τριάκοντα βραχέσιν οἴκοις, οἳ συνοχή τε τοῦ παντὸς ἔμελλον ἔσεσθαι διὰ πυκνότητα καὶ πλῆθος ἔξωθεν περικείμενοι. Καὶ δὴ καὶ τὰς εἰσόδους αὐτοῖς δι' ἀλλήλων κατεσκεύασεν. Ἕκαστος δὲ τῶν οἴκων τούτων εὖρος μὲν εἶχεν πέντε πήχεις, μήκους δὲ τοὺς αὐτοὺς, ὕψος δὲ εἴκοσι. Ἐπῳκοδόμηντο δὲ τούτοις ἄγωθεν ἕτεροι οἶκοι καὶ πάλιν ἄλλοι κατ' αὐτῶν, ἴσοι καὶ τοῖς μέτροις καὶ τῷ ἀριθμῷ, ὡς τὸ πᾶν ὕψος αὐτοὺς λαβεῖν τῷ κάτωθεν οἴκῳ παραπλήσιον· ὁ γὰρ ὑπερῷος οὐκ ἦν περιῳκοδομημένος· ὄροφος δ' αὐτοῖς ἐπεβέβλητο κέδρου. Καὶ τοῖς μὲν οἴκοις οὗτος ἴδιος ἦν ἑκάστῳ, πρὸς τοὺς πλησίον οὐ συνάπτων, τοῖς δ' ἄλλοις ὑπῆρχεν ἡ στέγη κοινὴ δι' ἀλλήλων δεδομημένη μηκίσταις δοκοῖς καὶ διηκούσαις ἁπάντων, ὡς τοὺς μέσους τοίχους ὑπὸ τῶν αὐτῶν συγκρατουμένους

menta; quum vero in monte ea prius aptassent et colligassent, ita in urbem conveherent. Hæc autem ita faciebant non solum structores indigenæ, sed et artifices ab Hiramo missi.

CAP. III. (II.)

Solomon autem templum ædificare cœpit regni sui anno quarto, mense secundo, quem Macedones quidem Artemisium vocant, Hebræi vero Iar, post quingentos nonaginta duos annos ab exitu Israelitarum ex Ægypto, post mille autem et viginti annos ab Abrami migratione ex Mesopotamia in Chananæam, post mille vero et quadringentos et quadraginta a diluvio. Ab Adamo autem primo formato usque ad tempus quo Solomon ædificavit templum, in universum effluxerant anni ter mille centum et duo. Illo vero tempore quo templum cœptum est ædificari, tunc undecimum in regno Tyri annum jam agebat Hiramus. A Tyro autem condita usque ad exstructionem templi elapsi sunt anni quadraginta et ducenti.

2. Et rex quidem in altissimam terræ profunditatem jacit fundamenta templi, ex lapidum materia firmitate prædita et vi temporis injuriis resistendi, quique cum terra coalescentes solum et firmamentum futuri essent operi superstruendo, et propter robur infernum facile laturi ædificii futuri molem et sumptuosum ornamentorum apparatum, qui pondere non minor foret quam reliqua quæ ad celsitudinem et amplitudinem *conferebant*, decorisque et magnificentiæ gratia excogitabantur. Illud autem eduxerunt usque lacunar ex saxo candenti constructum. Et altum quidem erat sexaginta cubitos, totidem vero et longum, latum autem viginti. In hoc vero erat aliud ædificium paribus mensuris, ita ut tota altitudo templi centum et viginti cubitis constaret. Versum autem erat ad orientem. Vestibulum autem ejus ad introitum statuerunt, longum viginti cubitos, ad mensuram latitudinis ædis, latum vero decem cubitos, celsitudine autem evectum ad centum viginti cubitos. Porro ædiculas templo per circuitum astruebat triginta, quæ extrinsecus circumjectæ totum propter crebritatem ipsarum et multitudinem erant cohibiturræ. Quin etiam effecit ut earum aditus essent per alias in alias. Unaquæque autem ex hisce ædiculis patebat quidem in latitudinem quinque cubitos, totidem vero in longitudinem, et viginti cubitis attollebatur. Super has autem aliæ ædiculæ exstructæ erant, et in his rursum aliæ, omnes pari cum ipsis invicem mensura et numero, ita ut omnes simul inferius ædificium altitudine æquarent : nam pars ejus superior nullis erat domunculis circumdata. Tectum autem illis impositum erat cedrinum. Et ædiculæ quidem suum quæque *tectum* habebant, cum proximis nequaquam cohærens, ceteris vero commune tectum erat ex longissimis trabibus consertum, ad utrumque latus pertingentibus, adeo ut medii parietes ab iisdem lignis contenti pro-

ξύλων ἐρρωμενεστέρους διὰ τοῦτο γίνεσθαι. Τὴν δ' ὑπὸ τὰς δοκοὺς στέγην τῆς αὐτῆς ὕλης ἐβάλετο πᾶσαν ἐξεσμένην εἰς φατνώματα καὶ προσκόλλησιν χρυσοῦ. Τοὺς δὲ τοίχους κεδρίναις διαλαβὼν σανίσι χρυσὸν αὐτοῖς ἐνετόρευσεν, ὥστε στίλβειν ἅπαντα τὸν ναὸν καὶ περιλάμπεσθαι τὰς ὄψεις τῶν εἰσιόντων ὑπὸ τῆς αὐγῆς τοῦ χρυσοῦ πανταχόθεν φερομένης. Ἡ δ' ὅλη τοῦ ναοῦ οἰκοδομία κατὰ πολλὴν τέχνην ἐκ λίθων ἀκροτόμων ἐγένετο, συντεθέντων ἁρμονίως πάνυ καὶ λείως, ὡς μήτε σφῦραν μήτε ἄλλου τινὸς ἐργαλείου τεκτονικοῦ τοῖς κατανοοῦσιν ἐργασίαν δηλοῦσθαι, ἀλλὰ δίχα τῆς τούτων χρήσεως πᾶσαν ἡρμόσθαι τὴν ὕλην προσφυῶς, ὡς ἑκούσιον τὴν ἁρμονίαν αὐτῆς δοκεῖν μᾶλλον ἢ τῆς τῶν ἐργαλείων ἀνάγκης. Ἐφιλοτέχνησε δὲ ὁ βασιλεὺς ἄνοδον εἰς τὸν ὑπερῷον οἶκον διὰ τοῦ εὔρους τοῦ τοίχου· οὐ γὰρ εἶχεν θύραν μεγάλην κατὰ τῆς ἀνατολῆς ὡς εἶχεν ὁ κάτωθεν οἶκος, ἀλλ' ἐκ τῶν πλευρῶν ἦσαν αἱ εἴσοδοι διὰ μικρῶν πάνυ θυρῶν. Διέλαβε δὲ τὸν ναὸν καὶ ἔνδοθεν καὶ ἔξωθεν ξύλοις κεδρίνοις, ἁλύσεσι παχείαις συνδεδεμένοις, ὥστε ἀντ' ὀχυρωμάτων καὶ ῥώμης τοῦτο αὐτοῖς εἶναι.

γ'. Διελὼν δὲ τὸν ναὸν εἰς δύο, τὸν μὲν ἔνδοθεν οἶκον εἴκοσι πηχῶν ἐποίησεν ἄδυτον εἶναι, τὸν δὲ τεσσαράκοντα πηχῶν ἅγιον ναὸν ἀπέδειξεν. Ἐκτεμὼν δὲ τὸν μέσον τοῖχον θύρας ἐπέστησε κεδρίνας, χρυσὸν αὐταῖς πολὺν ἐνεργασάμενος καὶ τορείαν ποικίλην. Κατεπέτασε δὲ ταύτας ὕφεσιν εὐανθεστάτοις ἐξ ὑακίνθου καὶ πορφύρας καὶ κόκκου πεποιημένοις, οὐ μὴν ἀλλὰ καὶ βύσσου λαμπροτάτης καὶ μαλακωτάτης. Ἀνέθηκε δ' εἰς τὸ ἄδυτον εἴκοσι πηχῶν τὸ εὖρος, τῶν δ' αὐτῶν καὶ τὸ μῆκος, δύο χερουβεῖς ὁλοχρύσους, πηχῶν ἑκατέραν τὸ ὕψος πέντε. Δύο δ' ἦσαν ἑκατέρᾳ πτέρυγες ἐπὶ πέντε πήχεις ἐκτεταμέναι· διὸ καὶ οὐ μακρὰν ἀπ' ἀλλήλων αὐτὰς ἀνέστησεν, ἵνα τῶν πτερύγων τῇ μὲν ἅπτωνται τοῦ κατὰ νότον κειμένου τοίχου τοῦ ἀδύτου, τῇ δὲ κατὰ βορρᾶν, αἱ δ' ἄλλαι πτέρυγες αὐταῖς συνάπτουσαι τεθείσῃ μεταξὺ αὐτῶν τῇ κιβωτῷ σκέπῃ τυγχάνωσι. Τὰς δὲ χερουβεῖς οὐδεὶς ὁποῖαί τινες ἦσαν εἰπεῖν οὐδ' εἰκάσαι δύναται. Κατέστρωσε δὲ καὶ τοῦ ναοῦ τὸ ἔδαφος ἐλάσμασι χρυσοῦ, ἐπέθηκε δὲ καὶ τῷ πυλῶνι τοῦ ναοῦ θύρας πρὸς τὸ ὕψος τοῦ τοίχου συμμεμετρημένας, εὖρος ἐχούσας πηχῶν εἴκοσι, καὶ ταύτας κατεκόλλησε χρυσῷ. Συνελόντι δ' εἰπεῖν, οὐδὲν εἴασε τοῦ ναοῦ μέρος οὔτε ἔξωθεν οὔτε ἔνδοθεν ὃ μὴ χρυσὸς ἦν. Κατεπέτασε δὲ καὶ ταύτας τὰς θύρας ὁμοίως ταῖς ἐνδοτέρω καταπετάσμασι. Ἡ δὲ τοῦ προνάου πύλη τούτων οὐδὲν εἶχε.

δ'. Μεταπέμπεται δ' ἐκ Τύρου Σολομὼν παρὰ Εἰράμου τεχνίτην, Χείραμον ὄνομα, μητρὸς μὲν ὄντα Νεφθαλίτιδος τὸ γένος, (ἐκ γὰρ ταύτης ὑπῆρχε τῆς φυλῆς,) πατρὸς δὲ Οὐρίου, γένους Ἰσραηλιτῶν. Οὗτος ἅπαντος μὲν ἐπιστημόνως εἶχεν ἔργου, μάλιστα δὲ τεχνίτης ἦν χρυσὸν ἐργάζεσθαι καὶ ἄργυρον καὶ χαλκόν· ὑφ' οὗ δὴ καὶ πάντα κατὰ τὴν τοῦ βασιλέως βούλησιν τὰ περὶ

pterea firmiores redderentur. Porro trabibus fornicem subjiciebat ex eadem materia, eumque ad laquearia dedolatum et ad aurum inserendum. Parietes autem, quum tabulis cedrinis eos incrustasset, cælatura ex auro induxit, ita ut templum omne fulgore colluceret et illustraretur, atque oculos ingredientium perstringeret auri splendore undique diffuso. Tota vero templi fabrica multa cum arte exstructa est ex lapidibus politis, apta admodum lævique commissura junctis conditisque, ut intuentibus nullum usquam mallei aut cujuslibet instrumenti fabrilis appareret indicium, sed illis non adhibitis materiam omnem congrue coagmentatam fuisse, ita ut sua sponte potius cohærere videretur quam ferramentorum vi. Porro ascensum in superius domus tabulatum commentus est rex *per cochleam* parietis crassitudine *inclusam*. Non enim ei erat janua magna ad orientem, sicuti domui erat inferiori, sed a lateribus adibatur per parva ostiola. Templum autem tam intus quam extra complexus est asseribus cedrinis, crassis catenis inter se constrictis, adeo ut hoc illis vice firmamentorum et roboris esset.

3. Quum autem templum in duas partes divisisset, ædem quidem interiorem, viginti cubitorum, in adytum seposuit, exteriorem vero, quadraginta cubitorum, sanctuarium esse constituit. In scissura vero medii parietis fores posuit cedrinas multo auro obductas et variis cælaturis. Illis autem vela prætendit pulcerrima florum variatione, hyacintho et purpura et cocco intexta, necnon et bysso splendidissima et mollissima. Porro in adyto, viginti cubitos in latitudinem patente totidemque in longitudinem, duas cherubes dedicavit, totas auro tectas, utramque in altitudinem quinque cubitorum. Utrique etiam alæ erant in quinos cubitos expansæ. Quare non longe ab invicem eas collocabat, ut unâ quidem alarum australem parietem adyti attingerent, aliâ vero septentrionalem, ceteræ autem alæ earum cohærentes arcam in medio positam obtegerent. At quales foerint hæ cherubes nemo dicere potest aut conjicere. Quin et templi pavimentum petalis aureis instravit. Portæ etiam templi fores aptavit, parietis altitudini proportione respondentes, latas cubitos viginti, iisque jungendis aurum adhibuit. Atque, ut summatim dicam, nullam templi partem reliquit, aut intus aut extra, quæ non esset auro illita. Istis præterea januis aulæa oppandit illis similia quibus interiores oppansæ erant. Ceterum vestibuli janua nihil horum habuit.

4. Solomon autem Tyro accersit ab Hiramo artificem Chiramum, ex matre quidem genere Nephthalitide, (nam ex illa erat tribu,) patre vero Uria Israelitis oriundo. Hic omnis quidem opificii scientia pollebat, præcipue vero peritus erat auri et argenti et æris fabrificiendi: a quo sane omnia circa templum elaborata sunt ad voluntatem regis.

τὸν ναὸν ἐξεμηχανήθη. Κατεσκεύασε δὲ ὁ Χείραμος οὗτος καὶ στύλους δύο χαλκοῦς ἔσωθεν, τὸ πάχος τεσσάρων δακτύλων. Ἦν δὲ τὸ μὲν ὕψος τοῖς κίοσιν ὀκτωκαίδεκα πηχῶν, ἡ δὲ περίμετρος δέκα καὶ δύο δακτύλων. Χωνευτὸν δὲ ἐφ' ἑκατέρᾳ κεφαλῇ κρίνον ἐφειστήκει, τὸ ὕψος ἐπὶ πέντε πήχεις ἐγηγερμένον· ᾧ περιέκειτο δίκτυον ἐλάτῃ χαλκέᾳ περιπεπλεγμένον, καλύπτον τὰ κρίνα. Τούτου δὲ ἀπήρτηντο κατὰ διστοιχίαν καὶ ῥοιαὶ διακόσιαι. Τούτων τῶν κιόνων τὸν μὲν ἕτερον κατὰ τὴν δεξιὰν ἔστησε τοῦ προπυλαίου παραστάδα, καλέσας αὐτὸν Ἰαχίν, τὸν δὲ ἕτερον κατὰ τὴν ἀριστερὰν, ὀνομάσας αὐτὸν Βοάζ.

ε'. Ἐχώνευσε δὲ καὶ θάλασσαν χαλκῆν εἰς ἡμισφαίριον ἐσχηματισμένην. Ἐκλήθη δὲ τὸ χαλκούργημα θάλασσα διὰ τὸ μέγεθος· ἦν γὰρ ὁ λουτὴρ τὴν διάμετρον πηχῶν δέκα καὶ ἐπὶ παλαιστιαῖον πάχος κεχωνευμένος. Ὑπερήρειστο δὲ καὶ κατὰ τὸ μεσαίτατον τοῦ κύτους σπεῖρα περιαγομένη εἰς ἕλικας δέκα· ἦν δὲ τὴν διάμετρον πήχεως. Περιειστήκεσαν δὲ περὶ αὐτὴν μόσχοι δώδεκα πρὸς τὰ κλίματα τῶν τεσσάρων ἀνέμων ἀποβλέποντες, καθ' ἕκαστον αὐτῶν τρεῖς, ἔσω τὰ ὀπίσθια νενευκότες, ὥστ' αὐτοῖς ἐπικαθέζεσθαι τὸ ἡμισφαίριον, κατὰ περιαγωγὴν ἔνδον ἐπινεῦον. Ἐδέχετο δὲ ἡ θάλασσα βάδους τρισχιλίους.

ς'. Ἐποίησε δὲ καὶ λουτῆρων δέκα βάσεις χαλκᾶς τετραγώνους. Τούτων ἑκάστη μῆκος γεγόνει πήχεων πέντε, πλάτος τεσσάρων, ὕψος ἕξ. Συνεκέκλειστο δὲ τὸ ἔργον κατὰ μέρος τετορευμένον οὕτως. Τέσσαρες ἦσαν κιονίσκοι κατὰ γωνίαν ἑστῶτες τετράγωνοι, τὰ πλευρὰ τῆς βάσεως ἐξ ἑκατέρου μέρους ἐν αὐτοῖς ἔχοντες ἐξηρμοσμένα. Ἦν δὲ ταῦτα τριχῇ διηρημένα· ἑκάστην δὲ χώραν ὅρος ἐπεῖχεν εἰς ὑπόβασιν κατεσκευασμένον· ἐφ' οἷς ἐτετόρευτο πῇ μὲν λέων, πῇ δὲ ταῦρος καὶ ἀετός. Ἐπὶ δὲ τῶν κιονίσκων ὁμοίως ἐξείργαστο τοῖς κατὰ τὰ πλευρὰ τετορευμένοις. Τὸ δὲ πᾶν ἔργον ἐπὶ τεσσάρων αἰωρούμενον τροχῶν εἵστηκει. Χωνευτοὶ δ' ἦσαν οὗτοι, πλήμνας καὶ ἄντυγας πήχεως καὶ ἡμίσους ἔχοντες τὴν διάμετρον. Ἐθαύμασεν ἄν τις τὰς ἁψῖδας τῶν τροχῶν θεασάμενος πῶς συντετορευμέναι καὶ τοῖς πλευροῖς τῶν βάσεων προσηνωμέναι ἁρμονίως ταῖς ἄντυξιν ἐνέκειντο· ἦσαν δ' ὅμως οὕτως ἔγουσαι. Τὰς δὲ γωνίας ἄνωθεν συνέκλειον ὦμοι χειρῶν ἀνατεταμένων, οἷς ἐπεκάθητο σπεῖρα κατὰ κοῖλον ἐπικειμένη τὸν λουτῆρα, ταῖς χερσὶν ἐπαναπαυόμενον ἀετοῦ καὶ λέοντος αὐταῖς ἐφηρμοσμένων, ὡς σύμφυτα ταῦτ' εἶναι δοκεῖν τοῖς ὁρῶσι. Μεταξὺ δὲ τούτων φοίνικες ἦσαν τετορευμένοι. Τοιαύτη μὲν ἡ κατασκευὴ τῶν δέκα βάσεων ὑπῆρχε. Προσεξείργαστο δὲ καὶ κυθρογαύλους δέκα λουτῆρας στρογγύλους χαλκοῦς· ὧν ἕκαστος ἐχώρει τεσσαράκοντα χοεῖς. Τὸ γὰρ ὕψος εἶχε τεσσάρων πηχῶν, καὶ τοσούτοις ἀπ' ἀλλήλων αὐτοῖς διειστήκει τὰ χείλη. Τίθησι δὲ τοὺς λουτῆρας τούτους ἐπὶ τῶν δέκα βάσεων τῶν κληθεισῶν μεχωνώθ. Πέντε δὲ λουτῆρας ἵστησιν ἐξ ἀριστεροῦ μέρους τοῦ ναοῦ,

Foris autem et hic Chiramus formavit duas columnas æneas, crassitudine quattuor digitorum. Atque surgebant quidem istæ columnæ in altitudinem octonûm denûm cubitorum, circuitus vero illarum *erat* digitorum octodecim. Utriusque autem columnæ capiti imposuit capitulum fusile lilii specie, in quinûm cubitorum altitudinem excitatum, cui circumdatum erat opus reticulatumpalmulis æneis perplexum, quod lilia tegebat. Inde autem dependebant bini malogranatorum ordines, ducentorum numero. Harum columnarum unam quidem ad dextram vestibuli antam statuebat, Iachin nominatam, alteram vero ad sinistram, Boaz vocatam.

5. Fudit autem et mare æneum in hemisphærii speciem. Illud vero opus a metallario confectum ex sui amplitudine mare appellatum est : erat enim labrum secundum diametrum cubitorum decem et ad palmi crassitudinem fusum erat. Suffulciebatur autem ad ipsum alvei meditullium spira in decem orbiculos circumducta, eratque diametro cubiti unius. Circumstabant autem circum illam juvenci duodecim, versus regiones quattuor ventorum adspicientes, ad unumquemque ventum tres, cum posterioribus introrsum vergentibus, ut eis hemisphærium incumberet, secundum circumactum intus depressius. Continebat autem hoc mare bados ter mille.

6. Fecit præterea labrorum decem bases æneas quadrangulas. Harum singulæ quinque cubitos in longitudinem, in latitudinem quattuor patebant, in altitudinem sex. Opus autem, quum per partes cælatum esset, ad hunc modum compactum erat. Quatuor erant columellæ, ad totidem angulos dispositæ, forma quadrangulari, quibus latera basium utrinque adaptata erant et inserta. Erant autem hæc tripartita. Unamquamque autem aream mons obtinebat, in baseos speciem effictus : quibus insistebat cælatus vel leo vel taurus vel aquila. Columellæ etiam haud secus ac latera cælaturis erant ornatæ. Totum vero opus quatuor rotis suspendebatur. Illæ autem fusiles erant cum modiolis et radiis diametri sesquicubitalis. Mirum esset videre rotarum curvaturas, quomodo rotundatæ et lateribus basium coaptatæ radiis congrue insisterent : nihilominus autem ita se habebant. Angulos vero superne continebant manuum extensarum humeri, quibus incumbebat spira fundo apposita lavacri, requiescentis super manibus leonis et aquilæ qui illis adaptati erant, ut ista spectantibus ejusdem conflaturæ esse viderentur. Hisce vero intersertæ erant palmæ cælatæ. Hujusmodi quidem structuræ erant decem bases. Præterea autem fecit decem cythrogaulos, lavacra ænea rotunda, quorum singula capiebant choas quadraginta. Erat enim *hoc vas* altitudine quaternûm cubitorum, et tantundem ab alterutris labia ejus recedebant. Hæc autem lavacra *istis* decem basibus imposuit, quæ mechonoth appellabantur. Porro quinque lavacra

(ἐτέτραπτο δὲ τοῦτο κατὰ βορέαν ἄνεμον,) καὶ τοσούτους ἐκ τοῦ δεξιοῦ πρὸς νότον ἀφορῶντας εἰς τὴν ἀνατολήν. Κατὰ δ' αὐτὸ καὶ τὴν θάλασσαν ἀνέθηκε. Πληρώσας δὲ ὕδατος αὐτούς τε καὶ τὴν θάλασσαν, τὴν μὲν θάλασσαν ἀπέδειξεν εἰς τὸ νίπτειν τοὺς εἰς τὸν ναὸν εἰσιόντας ἱερεῖς ἐν αὐτῇ τὰς χεῖρας καὶ τοὺς πόδας, μέλλοντας ἀναβαίνειν ἐπὶ τὸν βωμόν· τοὺς δὲ λουτῆρας εἰς τὸ καθαίρειν τὰ ἐντὸς τῶν ὁλοκαυτουμένων ζώων καὶ τοὺς πόδας αὐτῶν.

ζ'. Κατεσκεύασε δὲ καὶ θυσιαστήριον χάλκεον πηχῶν εἴκοσι τὸ μῆκος καὶ τοσούτων τὸ εὖρος, τὸ δὲ ὕψος δέκα, πρὸς τὰς ὁλοκαυτώσεις. Ἐποίησε δὲ αὐτοῦ καὶ τὰ σκεύη πάντα χάλκεα, ποδιστῆρας καὶ ἀναληπτῆρας. Οὐ μὴν ἀλλὰ πρὸς τούτοις Χείραμος καὶ λαβίδας καὶ ἅρπαγας καὶ πᾶν σκεῦος ἐδημιούργησεν ἐκ χαλκοῦ, τὴν αὐγὴν ὁμοίου χρυσῷ καὶ τὸ κάλλος. Τραπεζῶν τε πλῆθος ἀνέθηκεν ὁ βασιλεὺς, καὶ μίαν μὲν μεγάλην χρυσέαν, ἐφ' ἧς ἐτίθεσαν τοὺς ἄρτους τοῦ Θεοῦ, καὶ ταύτῃ παραπλησίας μυρίας πρὸς αὐταῖς ἑτέρῳ τρόπῳ γεγενημένας· ἐφ' ὧν ἐπέκειτο τὰ σκεύη, φιάλαι τε καὶ σπονδεῖα, χρύσεα μὲν δισμύρια, ἀργύρεα δὲ τετρακισμύρια. Καὶ λυχνίας δὲ μυρίας ἐποίησε κατὰ τὴν Μωϋσέως προσταγήν· ἐξ ὧν μίαν ἀνέθηκεν εἰς τὸν ναὸν, ἵνα καίηται καθ' ἡμέραν ἀκολούθως τῷ νόμῳ· καὶ τράπεζαν μίαν ἐπικειμένην ἄρτους πρὸς τὸ βόρειον τοῦ ναοῦ μέρος ἀντικρὺ τῆς λυχνίας· ταύτην γὰρ κατὰ νότον ἔστησεν. Ὁ δὲ χρύσεος βωμὸς μέσος αὐτῶν ἔκειτο. Ταῦτα πάντα εἶχεν ὁ τῶν τεσσαράκοντα πήχεων οἶκος πρὸ τοῦ καταπετάσματος τοῦ ἀδύτου· εἰς τοῦτο γὰρ ἡ κιβωτὸς ἔμελλε κεῖσθαι.

η'. Οἰνοχόας δ' ὁ βασιλεὺς μυριάδας ὀκτὼ κατεσκεύασε καὶ φιαλῶν χρυσέων δέκα, ἀργυρέας δὲ διπλασίονας· πινάκων δὲ χρυσέων, εἰς τὸ προσφέρειν ἐν αὐτοῖς πεφυραμένην σεμίδαλιν τῷ βωμῷ, μυριάδας ὀκτὼ, τούτων δ' ἀργυροῦς διπλασίονας· κρατῆρας δὲ, οἷς ἐνεφύρων τὴν σεμίδαλιν μετ' ἐλαίου, χρυσέους μὲν ἑξακισμυρίους, ἀργυρέους δὲ οἷς τοσούτους. Τὰ μέτρα δὲ τοῖς Μωϋσέως, λεγομένοις δὲ εἶν καὶ ἀσσάρων, παραπλήσια, χρύσεα μὲν δισμύρια, ἀργύρεα δὲ διπλάσια. Θυμιατήρια δὲ χρυσᾶ, ἐν οἷς ἐκομίζετο τὸ θυμίαμα εἰς τὸν ναὸν, δισμύρια. Ὁμοίως ἄλλα θυμιατήρια, οἷς ἐκόμιζον ἀπὸ τοῦ μεγάλου βωμοῦ πῦρ ἐπὶ τὸν μικρὸν βωμὸν τὸν ἐν τῷ ναῷ, πεντακισμύρια. Στολὰς δὲ ἱερατικὰς τοῖς ἀρχιερεῦσι, σὺν ποδήρεσιν ἐπωμίσι καὶ λογείῳ καὶ λίθοις, χιλίας. Ἡ δὲ στεφάνη, εἰς ἣν Μωϋσῆς τὸν Θεὸν ἔγραψε, μία ἦν, καὶ διέμεινεν ἄχρι τῆσδε τῆς ἡμέρας. Τὰς δὲ ἱερατικὰς στολὰς ἐκ βύσσου κατεσκεύασε, καὶ ζώνας εἰς ἕκαστον πορφύρας μυρίας, καὶ σαλπίγγων, κατὰ Μωϋσέως ἐντολὴν, μυριάδας εἴκοσι, καὶ στολῶν τοῖς ὑμνῳδοῖς τῶν Λευϊτῶν ἐκ βύσσου μυριάδας εἴκοσι· καὶ τὰ ὄργανα τὰ μουσικὰ καὶ πρὸς τὴν ὑμνῳδίαν ἐξηυρημένα, ἃ καλεῖται νάβλαι καὶ κινύραι, ἐξ ἠλέκτρου κατεσκεύασε τετρακισμυρίας.

θ'. Ταῦτα πάντα ὁ Σολομὼν εἰς τὴν τοῦ Θεοῦ τι-

in sinistra templi parte posuit, (erat autem hæc ad aquilonem versa,) et totidem in dextra ad austrum, ita ut orientem respicerent. Illac etiam mare *æneum* collocavit. Quum autem illa et mare aqua implesset, mare quidem constituit ad abluendum in eo manus et pedes sacerdotum, qui ad altare ascensuri erant; lavacra vero ad purganda intestina animalium, quæ tota adolenda erant, eorumque pedes.

7. Fabricavit autem et altare æneum, viginti cubitorum longitudine, totidemque latitudine, altitudine vero decem, ad solida sacrificia consumenda. Porro fecit etiam vasa ejus ex ære omnia, lebetes et amulas. Quinimo Chiramus ad hæc et forcipes et harpagones, et omne instrumentum confecit ex ære, splendore et pulcritudine aurum referente. Mensas quoque multas dedicavit rex, et unam quidem magnam auream, cui imponebant Dei panes, atque huic similes decies mille, modo ab illis diverso factas: super quas vasa ponebantur et phialæ et pateræ, aureæ quidem vigesies mille, argentearum vero quadraginta millia. Insuper et candelabra fecit decem mille, juxta præceptum Moysis: ex quibus unum in templo dedicavit, ut interdiu luceret secundum legem, et mensam unam panes impositos habentem ad septentrionale templi latus ex adverso candelabri: hoc enim ad austrum collocavit. Aureum vero altare medio inter hæc posuit. Ista omnia continebat domus quadraginta cubitorum, ante vela adyto oppansa in hoc enim arca erat reponenda.

8. Faciendos insuper curavit rex urceolos vinarios, octoginta millia numero, et phialarum aurearum decem millia, argenteas vero duplo plures; lancium item aurearum, ad afferendam in eis similam maceratam ad altare, octoginta millia, duplum vero argentearum numerum; craterum quoque, in quibus similam oleo subigebant, sexaginta millia aureorum, argenteorum vero bis totidem. Mensurarum autem Mosaicis, hin et assaron appellatis, similium, aurearum quidem *erant* viginti millia, argenteæ vero duplo plures. Porro acerræ aureæ, quibus odoramenta in templum inferebantur, vigesies mille: similiter et aliæ acerræ, quibus ignem deferebant a magno altari in parvum intra templum situm, quinquagesies mille. Porro stolas sacerdotales mille *paravit* in usum pontificum, cum epomidibus talaribus et rationali et lapidibus. Corona vero, cui Moyses nomen Dei inscripsit, una fuit, et ad hodiernum usque diem permansit. Stolas autem sacerdotales ex bysso fieri curavit, cum zonis pro unoquoque purpureis decies mille, et tubarum, quales Moyses præscripsit, ducena millia; item stolas byssinas Levitis hymnorum cantoribus ducenties mille: instrumenta item musica et in hymnorum cantum inventa, quæ nablæ et cinyræ vocantur, ex electro confecit quadragies mille.

9. Ista omnia Solomon, sumptibus haud parcens, sed

μὴν πολυτελῶς καὶ μεγαλοπρεπῶς κατεσκεύασε, μηδενὸς φεισάμενος, ἀλλὰ πάσῃ φιλοτιμίᾳ περὶ τὸν τοῦ ναοῦ κόσμον χρησάμενος, ἃ καὶ κατέθηκε τοῖς θησαυροῖς τοῦ Θεοῦ. Περιέβαλε δὲ τοῦ ναοῦ κύκλῳ γείσιον μὲν κατὰ τὴν ἐπιχώριον γλῶτταν, θριγκὸν δὲ παρ' Ἕλλησι λεγόμενον, εἰς τρεῖς πήχεις ἀναγαγὼν τὸ ὕψος, εἴρξοντα μὲν τοὺς πολλοὺς τῆς εἰς τὸ ἱερὸν εἰσόδου, μόνοις δὲ ἀνειμένην αὐτὴν τοῖς ἱερεῦσι σημανοῦντα. Τούτου δ' ἔξωθεν ἱερὸν ᾠκοδόμησεν ἐν τετραγώνῳ σχήματι, στοὰς ἐγείρας μεγάλας καὶ πλατείας καὶ πύλαις ὑψηλαῖς ἀνεῳγμένας, ὧν ἑκάστη πρὸς ἕκαστον τῶν ἀνέμων ἐτέτραπτο χρυσέαις κλειομένη θύραις. Εἰς τοῦτο τοῦ λαοῦ πάντες οἱ διαφέροντες ἁγνείᾳ καὶ παρατηρήσει τῶν νομίμων εἰσῄεσαν. Θαυμαστὸν δὲ καὶ λόγου παντὸς ἀπέφηνε μεῖζον, ὡς δὲ εἰπεῖν καὶ τῆς ὄψεως, τὸ τούτων ἔξωθεν ἱερόν. Μεγάλας γὰρ ἐγχώσας φάραγγας, ἃς διὰ βάθος ἄπειρον οὐδὲ ἀπόνως νεύσαντας ἦν ἰδεῖν, καὶ ἀναβιβάσας εἰς τετρακοσίους πήχεις τὸ ὕψος, ἰσοπέδους τῇ κορυφῇ τοῦ ὄρους, ἐφ' ἧς ὁ ναὸς ᾠκοδόμητο, κατεσκεύασε. Καὶ διὰ τοῦτο ὕπαιθρον ὂν τὸ ἔξωθεν ἱερὸν ἴσον ὑπῆρχε τῷ ναῷ. Περιλαμβάνει δ' αὐτὸ καὶ στοαῖς διπλαῖς μὲν τὴν κατασκευήν, λίθου δ' αὐτοφυοῦς τὸ ὕψος κίοσιν ἐπερηρεισμέναις· ὀροφαὶ δ' αὐταῖς ἦσαν ἐκ κέδρου φατνώμασιν ἀνεζεσμέναι. Τὰς δὲ θύρας τῷ ἱερῷ τούτῳ πάσας ἐπέστησεν ἐξ ἀργύρου.

ΚΕΦ. Δ'.

Τὰ μὲν οὖν ἔργα ταῦτα καὶ τὰ μεγέθη καὶ κάλλη τῶν τε οἰκοδομημάτων καὶ τῶν εἰς τὸν ναὸν ἀναθημάτων Σολομὼν ὁ βασιλεὺς ἐν ἔτεσιν ἑπτὰ συντελέσας, καὶ πλούτου καὶ προθυμίας ἐπίδειξιν ποιησάμενος, ὡς ἄν τις ἰδὼν ἐνόμισεν ἐν τῷ παντὶ κατασκευασθῆναι χρόνῳ, ταῦτα ἐν οὕτως ὀλίγῳ πρὸς τὸ μέγεθος συγκρινομένῳ τοῦ ναοῦ συμπερανθῆναι, γράψας τοῖς ἡγεμόσι καὶ πρεσβυτέροις τῶν Ἑβραίων ἐκέλευσεν ἅπαντα τὸν λαὸν συναγαγεῖν εἰς Ἱεροσόλυμα, ὀψόμενόν τε τὸν ναὸν καὶ μετακομιοῦντα τὴν τοῦ Θεοῦ κιβωτὸν εἰς αὐτόν. Καὶ περιαγγελθείσης τῆς εἰς τὰ Ἱεροσόλυμα πᾶσιν ἀφίξεως ἑβδόμῳ μηνὶ μολις συνίασιν, ὑπὸ μὲν τῶν ἐπιχωρίων θισρὶ, ὑπὸ δὲ τῶν Μακεδόνων ὑπερβερεταίῳ λεγομένῳ. Συνέδραμε δὲ εἰς τὸν αὐτὸν χρόνον καὶ ὁ τῆς σκηνοπηγίας καιρὸς, ἑορτῆς σφόδρα παρὰ τοῖς Ἑβραίοις ἁγιωτάτης καὶ μεγίστης. Βαστάσαντες οὖν τὴν κιβωτὸν καὶ τὴν σκηνὴν, ἣν Μωϋσῆς ἐπήξατο, καὶ πάντα τὰ πρὸς τὴν διακονίαν τῶν θυσιῶν τοῦ Θεοῦ σκεύη, μετεκόμιζον εἰς τὸν ναόν. Προῆγον δὲ μετὰ θυσιῶν αὐτός τε ὁ βασιλεὺς καὶ ὁ λαὸς ἅπας καὶ οἱ Λευῖται σπονδαῖς τε καὶ πολλῶν ἱερείων αἵματι τὴν ὁδὸν καταντλοῦντες, καὶ θυμιῶντες ἄπειρόν τι θυμιαμάτων πλῆθος, ὡς ἅπαντα τὸν πέριξ ἀέρα πεπληρωμένον καὶ τοῖς πορρωτάτω τυγχάνουσιν ἡδὺν ἀπαντᾶν, καὶ γνωρίζειν ἐπιδημίαν Θεοῦ καὶ κατοικισμὸν, κατ' ἀνθρωπίνην δόξαν, εἰς νεοδόμητον αὐτῷ καὶ καθιερωσυμμα in templo exornando liberalitate usus, sumptuose et magnifice apparavit; quæ etiam in thesauros Dei recondidit. Templo autem septum in orbem circumdedit, quod vernacula quidem lingua gision appellamus, Græcis vero θριγκὸς dicitur, in altitudinem trium cubitorum evectum, quod populum ab ingressu in templum prohiberet, solis vero sacerdotibus aditum patere significaturum esset. At extra hoc septum fanum exstruxit specie quadrangula, cum porticibus magnis ac latis et patentibus in portas altas, quarum singulæ singulos ventos spectabant et foribus auratis claudebantur. In hoc cuilibet e populo, modo non polluto et præscriptorum legis observanti, intrare licebat. Dici autem non potest ac vix etiam oculis credi quam mirandum fecerit illud exterius fanum. Quum enim terra aggesta valles magnas implesset, quas propter immensam profunditatem oculis dejectis difficile erat intueri, et in altitudinem sustulisset quadringentorum cubitorum, effecit ut ejusdem essent celsitudinis cum vertice montis, in quo exstructum erat templum. Ac propterea fani exterioris subdialis area templi solo æquabatur. Illud autem circumdedit porticibus structura quidem duplicibus, columnis vero e nativo saxo sublime sustentatis, atque illis impositum erat tectum e cedro in laquearia dedolatum. Huic autem fano januas omnes fecit ex argento.

CAP. IV.

Et Solomon quidem rex, quum hæc opera atque ædificia tam magna et splendida, una cum donariis in templo reponendis, septennio confecisset, et præclarum divitiarum et promptitudinis specimen dedisset, ut quæ, si quis ea perlustraret, ætatem integram *hominis* poscere videbantur, brevi adeo, cum templi magnitudine collata, tempore fuerint absoluta, literis ad duces et senatores Hebræorum missis, jussit ut populus omnis Hierosolyma congregaretur, et templum visuri et arcam Dei in illud translaturi. Et quum omnibus denunciatum fuisset ut Hierosolyma proficiscerentur, septimo demum mense vix eo convenerunt, ab indigenis quidem thisri, a Macedonibus vero dicto hyperberetæo. Incidit autem in idem tempus et umbraculorum solennitas, festum apud Hebræos plane sanctissimum et maximum. Quum igitur arcam sustulissent, et tabernaculum quod Moyses struxerat, omnemque supellectilem ad ministerium sacrificiorum Dei paratam, ea transferebant in templum. Præcedebant autem cum hostiis et ipse rex et populus universus et Levitæ, libaminibus et multo victimarum sanguine viam perfundentes, et infinitam suffitum vim adolentes, ut totus circumquaque aer oppletus etiam longissime remotos suavitatis odore exciperet, et indicaret Deum in profectione esse, atque, ut hominibus videbatur, habitatum venire locum sibi recens exstructum

μένον χωρίον· καὶ γὰρ οὐδ' ὑμνοῦντες οὐδὲ χορεύοντες ἕως οὗ πρὸς τὸν ναὸν ἦλθον ἔκαμον. Τούτῳ μὲν οὖν τῷ τρόπῳ τὴν κιβωτὸν μετήνεγκαν. Ὡς δ' εἰς τὸ ἄδυτον αὐτὴν μετενεγκεῖν ἔδει, τὸ μὲν ἄλλο πλῆθος μετέστη, μόνοι δὲ κομίσαντες οἱ ἱερεῖς μεταξὺ τῶν χερουβὶμ τῶν δύο κατέθεσαν. Αἱ δὲ τοὺς ταρσοὺς συμπλέξασαι (καὶ γὰρ οὕτως ἦσαν ὑπὸ τοῦ τεχνίτου κατεσκευασμέναι) τὴν κιβωτὸν ὡς ὑπὸ σκηνῇ τινι καὶ θόλῳ κατεσκέπασαν. Εἶχε δὲ ἡ κιβωτὸς οὐδὲν ἕτερον ἢ δύο λιθίνας πλάκας, αἳ τοὺς δέκα λόγους τοὺς ὑπὸ τοῦ Θεοῦ Μωϋσῇ λαληθέντας ἐν Σιναίῳ ὄρει ἐγγεγραμμένους αὐταῖς ἔσωζον. Τὴν δὲ λυχνίαν καὶ τὴν τράπεζαν καὶ τὸν βωμὸν τὸν χρύσεον ἔστησαν ἐν τῷ ναῷ πρὸ τοῦ ἀδύτου, κατὰ τοὺς αὐτοὺς τόπους, οὓς καὶ τότε ἐν τῇ σκηνῇ κείμενοι κατεῖχον, καὶ τὰς καθημερινὰς θυσίας ἀνέφερον. Τὸ δὲ θυσιαστήριον τὸ χάλκεον ἵστησι πρὸ τοῦ ναοῦ ἀντικρὺ τῆς θύρας, ὡς ἀνοιχθείσης αὐτὸ καταπρόσωπον εἶναι, καὶ βλέπεσθαι τὰς ἱερουργίας καὶ τὴν τῶν θυσιῶν πολυτέλειαν Τὰ δὲ λοιπὰ σκεύη πάντα συναθροίσας ἔνδον εἰς τὸν ναὸν κατέθετο.

β'. Ἐπεὶ δὲ πάντα διακοσμήσαντες οἱ ἱερεῖς τὰ περὶ τὴν κιβωτὸν ἐξῆλθον, ἄφνω πίλημα νεφέλης οὐ σκληρὸν οὐδ' οἷον ὥρᾳ χειμῶνος ὑετοῦ γέμον ἵσταται, κεχύμενον δὲ καὶ περιεχραμένον εἰς τὸν ναὸν εἰσερρύη, καὶ ταῖς μὲν ὄψεσι τῶν ἱερέων, ὡς μηδὲ καθορᾶν ἀλλήλους, ἐπεσκότει, ταῖς δὲ διανοίαις ταῖς ἁπάντων φαντασίαν καὶ δόξαν παρεῖχεν ὡς τοῦ Θεοῦ κατεληλυθότος εἰς τὸ ἱερὸν καὶ κατεσκηνωκότος ἡδέως ἐν αὐτῷ. Καὶ οἱ μὲν ἐπὶ ταύτης εἶχον αὐτοὺς τῆς ἐννοίας. Ὁ δὲ βασιλεὺς Σολομὼν ἐξεγερθεὶς (ἔτυχε γὰρ καθεζόμενος) ἐποιήσατο λόγους πρὸς τὸν Θεὸν, οὓς τῇ θείᾳ φύσει πρέποντας ὑπελάμβανε καὶ καλῶς ἔχειν αὐτῷ λέγειν. « Σὺ γάρ, εἶπεν, οἶκον μὲν αἰώνιον ἔχεις, ὦ δέσποτα, « κἀξ ὧν σαυτῷ εἰργάσω γεγονότα, τὸν οὐρανὸν οἶδαμεν « καὶ ἀέρα καὶ γῆν καὶ θάλασσαν, δι' ὧν ἁπάντων « οὐδὲ τούτοις ἀρκούμενος κεχώρηκας. Τοῦτον δέ σοι « κατεσκεύασα τὸν ναὸν ἐπώνυμον, ὡς ἂν ἀπ' αὐτοῦ « σοι τὰς εὐχὰς θύοντες καὶ καλλιεροῦντες ἀναπέμπω- « μεν εἰς τὸν ἀέρα, καὶ πεπεισμένοι διατελοίημεν ὅτι « πάρει καὶ μακρὰν οὐκ ἀφέστηκας. Τῷ μὲν γὰρ « πάντα τε ἐφορᾶν καὶ πάντα ἀκούειν, οὐδὲ νῦν ὅπου « σοι θέμις οἰκεῖν ἀπολείπεις τοῦ πᾶσιν ἔγγιστα εἶναι, « μάλιστα δ' ἑκάστῳ καὶ βουλευομένῳ καὶ διὰ νυκτὸς « καὶ ἡμέρας συμπάρει. » Ταῦτ' ἐπιθειάσας πρὸς τὸν Θεὸν ἀπέστρεψεν εἰς τὸ πλῆθος τοὺς λόγους, ἐμφανίζων τοῦ Θεοῦ τὴν δύναμιν αὐτοῖς καὶ τὴν πρόνοιαν, ὅτι Δαυὶδῃ τῷ πατρὶ περὶ τῶν μελλόντων ἅπαντα, καθὼς ἀποβέβηκεν ἤδη τὰ πολλὰ καὶ γενήσεται τὰ λείποντα, δηλώσειε, καὶ ὡς αὐτὸς ἐπιθείη τὸ ὄνομα τῷ μήπω γεγενημένῳ, καὶ τίς μέλλοι καλεῖσθαι προείποι, καὶ ὅτι τὸν ναὸν οὗτος οἰκοδομήσει αὐτῷ, βασιλεὺς μετὰ τὴν τοῦ πατρὸς τελευτὴν γενόμενος. Ἃ βλέποντας κατὰ τὴν ἐκείνου προφητείαν ἐπιτελῆ τὸν Θεὸν εὐλογεῖν ἠξίου, καὶ περὶ μηδενὸς ἀπογινώσκειν ὧν ὑπέσχηται πρὸς εὐ-

et consecratum : quippe neque hymnos canentibus, neque choreas agentibus, dum ad templum accederent, oborta est lassitudo. Et hoc quidem modo arcam transtulerunt. Quum vero jam in adytum inferri deberet, reliqua quidem multitudo abscessit, soli vero sacerdotes, qui *eam* gestaverant, inter duas cherubes collocarunt. Illæ vero consertis alarum extremitatibus (etenim ita ab artifice fabricatæ erant) arcam velut umbella quadam et tholo protexerunt. Arca vero nihil aliud habebat præter duas tabulas lapideas, quæ decem verba, a Deo in Sinæo monte Moysi prolata, eis inscripta servabant. Candelabrum autem et mensam et altare aureum *posuerunt in templo ante adytum*, iisdem in locis, quæ et olim, quum in tabernaculo sita essent, tenuerant, et quotidiana sacrificia offerebant. Altare autem æneum ante templum locavit ex adverso ostii, *ita* ut *eo* aperto illud oculis expositum esset, et adspectaretur rei sacræ peractio et magna victimarum opulentia. Et quum ceteram omnem supellectilem coegisset, *eam* intra templum reposuit.

2. Postquam vero sacerdotes, omnibus quæ ad arcam spectabant constitutis, ex sacrario egressi erant, derepente nubes conglobata, non rigida nec qualis hiberno tempore pluvia gravida conspicitur, sed mollis et temperata, in templum illabitur, et tantam quidem oculis sacerdotum caliginem offudit, ut alius alium intueri non potuerit, omnium vero mentibus cogitationem et opinionem excitavit, Deum jam in templum descendisse, libenterque illud in domicilium sibi delegisse. Atque *illi* quidem hæc secum reputabant. Rex autem Solomon, quum surrexisset, (tunc enim forte sedebat,) ad Deum verba fecit, quæ naturæ divinæ aptissima esse rebatur sibique convenire ut faceret. « Tu, inquit, « domum quidem sempiternam habes, o domine, et ex « *iis quæ tibimet condidisti* factam, cælo scilicet et aere et « terra et mari, per quæ omnia, nec illorum ambitu con- « clusus, pervadis. Hoc vero tuo nomini constitui templum, « ut ex eo preces, rem sacram facientes litantesque, sursum « in aerem mittamus, idque ea constanti opinione quod hic « ades, et non longe recessisti. Nam ex eo quidem quod « universa videas et omnia audias, neque ubi nunc tibi fas « est habitare cunctis præsens esse desinis, sed præsertim « cum singulis etiam te consulentibus nocte dieque simul « ades. » Hisce Deum obtestatus, ad populum orationem convertit, illis repræsentans Dei potentiam simul et providentiam : quod Davidi patri suo futura omnia, prout *eorum* pleraque jam evenerunt et reliqua eventura sunt, patefecerit, utque ille nondum nato nomen indiderit, et quis foret appellandus prædixerit, et quod ipse templum ei ædificaturus esset, rex factus post patris obitum. Quæ quum juxta illius vaticinium adimpleta vidissent, eos admonebat ut Deo benedicerent, neque de ulla re quam ad felicitatem ipso-

δαιμονίαν ὡς οὐκ ἐσομένου, πιστεύοντας ἐκ τῶν ἤδη βλεπομένων.

γ'. Ταῦτα διαλεχθεὶς πρὸς τὸν ὄχλον ὁ βασιλεὺς ἀφορᾷ πάλιν εἰς τὸν ναὸν καὶ τὴν δεξιὰν εἰς τὸν ὄχλον ἀνασχὼν, « ἔργοις μὲν, εἶπεν, οὐ δυνατὸν ἀνθρώποις « ἀποδοῦναι Θεῷ χάριν ὑπὲρ ὧν εὖ πεπόνθασιν· ἀπρος- « δεὲς γὰρ τὸ θεῖον ἁπάντων καὶ κρεῖττον τοιαύτης « ἀμοιβῆς· ᾧ δὲ τῶν ἄλλων ζώων ὑπὸ σοῦ, δέσποτα, « κρείττονες γεγόναμεν, τούτῳ τὴν σὴν εὐλογεῖν μεγα- « λειότητα καὶ περὶ τῶν ὑπηργμένων εἰς τὸν ἡμέτερον « οἶκον καὶ τὸν Ἑβραίων λαὸν εὐχαριστεῖν ἀνάγκη. « Τίνι γὰρ ἄλλῳ μᾶλλον ἱλάσασθαί τε μηνίοντα καὶ « διαμένοντα εὐμενῆ δεξιώτερόν ἐστιν ἡμῖν ἢ φωνῇ, ἣν « ἐξ ἀέρος τε ἔχομεν καὶ δι' αὐτοῦ πάλιν ἀνιοῦσαν οἴ- « δαμεν; χάριν οὖν ἔχειν δι' αὐτῆς ὁμολογῶ σοι περί τε « τοῦ πατρὸς πρῶτον, ὃν ἐξ ἀφανοῦς εἰς τοσαύτην ἀνή- « γαγες δόξαν, ἔπειθ' ὑπὲρ ἐμαυτοῦ πάντα μέχρι τῆς « παρούσης ἡμέρας ἃ προεῖπας πεποιηκότι, δέομαί τε « τοῦ λοιποῦ χορηγεῖν ὅσα Θεῷ δύναμις ἀνθρώποις ὑπὸ « σοῦ τετιμημένοις καὶ τὸν οἶκον τὸν ἡμέτερον αὔξειν « εἰς ἅπαν, ὡς καὶ ὡμολόγησας Δαυίδῃ τῷ πατρί μου « καὶ ζῶντι καὶ παρὰ τὴν τελευτὴν, ὅτι παρ' ἡμῖν ἡ βα- « σιλεία μενεῖ καὶ τὸ ἐκείνου γένος αὐτὴν διαδοχαῖς « ἀμείψει μυρίαις. Ταῦτ' οὖν ἡμῖν ἐπάρκεσον καὶ « παισὶ τοῖς ἐμοῖς ἀρετὴν ἣ σὺ χαίρεις παρασχοῦ. Πρὸς « δὴ τούτοις ἱκετεύω καὶ μοῖράν τινα τοῦ σοῦ πνεύμα- « τος εἰς τὸν ναὸν ἀποικίσαι, ὡς ἂν καὶ ἐπὶ γῆς ἡμῖν « εἶναι δοκῇς. Σοὶ μὲν γὰρ μικρὸν οἰκητήριον καὶ τὸ « πᾶν οὐρανοῦ καὶ τῶν κατὰ τοῦτον ὄντων κύτος, οὐχ « ὅτι γε οὗτος ὁ τυχὼν ναός· ἀλλὰ φυλάσσειν τε ἀπόρ- « θητον ἐκ πολεμίων ὡς ἴδιον εἰς ἅπαν καὶ προνοεῖν ὡς « οἰκείου κτήματος παρακαλῶ. Κἂν ἁμαρτών ποτε ὁ « λαὸς τύχῃ, ἔπειτα πληγῇ τινι κακωθῇ διὰ τὴν ἁμαρ- « τίαν ἐκ σοῦ, γῆς ἀκαρπίᾳ καὶ φθορᾷ λοιμικῇ ἤ τινι « τούτων τῶν παθημάτων οἷς σὺ τοὺς παραβάντας τι « τῶν ὁσίων μετέρχῃ, καὶ καταφύγῃ πᾶς ἀθροισθεὶς « εἰς τὸν ναὸν ἱκετεύων σε καὶ σωθῆναι δεόμενος, ἐπή- « κοος αὐτοῦ γενόμενος ὡς ἔνδον ὢν ἐλεήσῃς καὶ τῶν « συμφορῶν ἀπαλλάξῃς. Ταύτην δ' οὐχ Ἑβραίοις « μόνον δέομαι παρὰ σοῦ τὴν βοήθειαν εἶναι σφαλεῖ- « σιν, ἀλλὰ [γὰρ] κἂν ἀπὸ περάτων τῆς οἰκουμένης « τινὲς ἀφίκωνται, κἂν ὁπόθεν δηποτοῦν προστρεπόμε- « νοι καὶ τυχεῖν τινὸς ἀγαθοῦ λιπαροῦντες, ὃς αὐτοῖς « ἐπήκοος γενόμενος. Οὕτω γὰρ ἂν μάθοιεν πάντες « ὅτι σὺ μὲν αὐτὸς ἐβουλήθης παρ' ἡμῖν κατασκευα- « σθῆναί σοι τὸν οἶκον, ἡμεῖς δ' οὐκ ἀπάνθρωποι τὴν « φύσιν ἐσμὲν, οὐδ' ἀλλοτρίως πρὸς τοὺς οὐχ ὁμοφύ- « λους ἔχομεν, ἀλλὰ πᾶσι κοινὴν τὴν ἀπὸ σοῦ βοή- « θειαν καὶ τὴν τῶν ἀγαθῶν ὄνησιν ὑπάρχειν ἐθελή- « σαμεν. »

δ'. Εἰπὼν ταῦτα καὶ βίψας ἑαυτὸν ἐπὶ τὴν γῆν καὶ ἐπὶ πολλὴν ὥραν προσκυνήσας, ἀναστὰς θυσίας τῷ βωμῷ προσῆγε, καὶ γεμίσας τῶν ὁλοκλήρων ἱερείων, ἐναργέστατα τὸν Θεὸν ἡδέως ἔγνω ἅπασαν τὴν θυσίαν

rum promiserit, ac si eam non præstiturus esset, desperarent, ex iis quæ jam conspexerint illi fidem habentes.

3. His populum affatus rex rursum templum versus aspicit, dextraque in multitudinem porrecta dicebat, « fieri « non potest ut homines operibus quidem gratiam Deo pro « acceptis beneficiis reddant : nullius enim rei numen divi- « num indiget, majusque quam ut ei fiat id genus remune- « ratio : verum quo ceteris animantibus a te, domine, su- « periores sumus constituti, eo nos tuam laudare majesta- « tem et pro his, quibus familiam nostram atque Hebræo- « rum populum dignatus es, gratias agere necesse habemus. « Qua enim alia potiori faustisque magis auspiciis convenit « iratum propitium reddere perpetuoque benignum conser- « vare quam voce, quam et ex aere haurimus, iterumque « per eum sursum ferri novimus? Ejus igitur beneficio tibi « gratias jam ago, de patre meo primum, quem ex ob- « scuro ad tantam gloriam provexisti, deinde quod mihi « ipsi in diem hodiernum omnia, quæcunque es pollicitus, « præstiteris, precorque ut in posterum largiaris quæ Deus « hominibus, quos vult honoratos, largiri potest, et familiam « nostram in omne ævum auctam velis, quemadmodum « Davidi patri meo et viventi et morienti promisisti, quod « apud nos regnum sit permansurum, et genus illius per vices « innumeras illud accepturum sit. Hæc igitur nobis quæso « suppedites, liberisque meis virtutem quæ tibi grata est « impertiaris. Ad hæc supplex oro ut spiritus tui par- « tem in templum migrare facias, ut etiam in terris esse « nobis videaris. Nam et cœlum omne tibi quidem parvum « est domicilium, et eorum quæ in eo sunt profunditas, « nedum hoc qualecunque templum : verumtamen te obte- « stor atque precor, hoc templum custodi et ab omni va- « statione hostili ut proprium protege, ejusque tanquam « possessionis tuæ curam gerito. Et si quando populus in « te deliquerit, atque adeo clade aliquâ ob peccatum a te « afficiatur, terræ sterilitate et pestis contagione, aliisve « ejusmodi malis, quibus in jura sacra violantes soles ani- « madvertere, ac deinde magna frequentia ad templum sup- « plex confugerit, salutem votis expetens, exauditis illorum « precibus, tanquam in æde habitans, sortis illorum mise- « rere eosque a calamitatibus libera. Hanc vero non solum « Hebræis in peccata prolapsis a te opem peto, sed etiam « si ab orbis finibus aliqui advenerint, aut ex quocunque « demum loco ad te supplicandum sese converterint et « boni quidpiam a te impetrare desiderarint, postulata illis « concedito. Sic enim omnibus manifestum erit quod tu « quidem ipse hanc ædem apud nos tibi exstrui volueris, « nos vero non ita a natura comparatos esse ut humanitatis « simus expertes, aut alienigenis iniqui et infesti, sed li- « benter feramus te communiter omnibus tum adjutorem « esse tum bonorum omnium largitorem. »

4. Quum hæc dixisset et humi se prostravisset et aliquandiu adorasset, in pedes erectus hostias aræ admovit, quumque eam solidis victimis replevisset, sacrificium Deo gratum esse et acceptum comperuit, signo maxime illustri. Ignis

προσδεχόμενον. Πῦρ γὰρ ἐξ ἀέρος διαδραμὸν καὶ πάντων ὁρώντων ἐπὶ τὸν βωμὸν ἆξαν ἅπασαν τὴν θυσίαν ἥρπασε καὶ κατεδαίσατο. Τοιαύτης δὲ τῆς ἐπιφανείας γενομένης ὁ μὲν λαὸς δήλωσιν εἶναι ταῦτ' εἰκάσας τῆς ἐν τῷ ναῷ τοῦ Θεοῦ διατριβῆς ἐσομένης καὶ ἡσθεὶς προσεκνύει πεσὼν ἐπὶ τοῦ ἐδάφους. Ὁ δὲ βασιλεὺς εὐλογεῖν τε ἤρξατο καὶ τὸ πλῆθος ταὐτὸ ποιεῖν παρώρμα, δείγματα μὲν ἔχοντας ἤδη τῆς τοῦ Θεοῦ πρὸς αὐτοὺς εὐμενείας, εὐχομένους δὲ τοιαῦτα ἀποβαίνειν ἀεὶ τὰ παρ' ἐκείνου καὶ τὴν διάνοιαν αὐτοῖς καθαρὰν ἀπὸ πάσης φυλάττεσθαι κακίας ἐν δικαιοσύνῃ καὶ θρησκείᾳ καὶ τῷ τὰς ἐντολὰς τηρεῖν, ἃς διὰ Μωϋσέως αὐτοῖς ἔδωκεν ὁ Θεὸς, διαμένουσιν· ἔσεσθαι γὰρ οὕτως εὔδαιμον τὸ Ἑβραίων ἔθνος καὶ παντὸς ἀνθρώπων γένους μακαριώτερον. Παρεκάλει τε μνημονεύειν ὡς οἷς ἐκτήσαντο τὰ παρόντα ἀγαθὰ, τούτοις αὐτὰ καὶ βέβαια ἕξουσι καὶ μείζω καὶ πλείω καταστήσουσι. Οὐ γὰρ λαβεῖν αὐτὰ μόνον δι' εὐσέβειαν καὶ δικαιοσύνην, ἀλλὰ καὶ καθέξειν διὰ ταῦτα προσήκειν ὑπολαμβάνειν· εἶναι δὲ τοῖς ἀνθρώποις οὐχ οὕτω μέγα τὸ κτήσασθαί τι τῶν οὐχ ὑπαρχόντων ὡς τὸ σῶσαι τὰ περιποιηθέντα καὶ μηδὲν ἁμαρτεῖν εἰς βλάβην αὐτῶν.

ε'. Ὁ μὲν οὖν βασιλεὺς διαλεχθεὶς ταῦτα πρὸς τὸ πλῆθος διαλύει τὴν ἐκκλησίαν, τελέσας θυσίας ὑπέρ τε ἑαυτοῦ καὶ πάντων Ἑβραίων, ὡς μόσχους μὲν καταθῦσαι μυρίους καὶ δισχιλίους, προβάτων δὲ μυριάδας δώδεκα. Τὸν γὰρ ναὸν τότε πρῶτον ἔγευσεν ἱερουργημάτων καὶ κατευωχήθησαν ἐν αὐτῷ πάντες σὺν γυναιξὶ καὶ τέκνοις Ἑβραῖοι· ἔτι δὲ καὶ τὴν σκηνοπηγίαν καλουμένην ἑορτὴν πρὸ τοῦ ναοῦ λαμπρῶς καὶ μεγαλοπρεπῶς ἐπὶ δὶς ἑπτὰ ἡμέρας ἦγαγεν ὁ βασιλεὺς σὺν ἅπαντι τῷ λαῷ κατευωχούμενος.

ς'. Ἐπεὶ δ' εἶχεν αὐτοῖς ἀποχρώντως ταῦτα καὶ μηδὲν ἐνέδει τῇ περὶ τὸν Θεὸν εὐσεβείᾳ, πρὸς αὐτοὺς ἕκαστοι τοῦ βασιλέως ἀπολύσαντος ἀπῆεσαν, εὐχαριστήσαντες τῷ βασιλεῖ τῆς τε περὶ αὐτοὺς προνοίας καὶ ὧν ἐπεδείξατο ἔργων, καὶ εὐξάμενοι τῷ Θεῷ παρασχεῖν αὐτοῖς ἐπὶ πολὺν χρόνον Σολομῶνα βασιλέα· τήν τε πορείαν ἐποιοῦντο μετὰ χαρᾶς καὶ παιδιᾶς, ὕμνους εἰς τὸν Θεὸν ᾄδοντες, ὡς ὑπὸ τῆς ἡδονῆς ἀπόνως τὴν ὁδὸν τὴν ἐπὶ τὰ οἰκεῖα πάντας ἀνύσαι. Καὶ οἱ μὲν τὴν κιβωτὸν εἰς τὸν ναὸν εἰσαγαγόντες καὶ τὸ μέγεθος καὶ τὸ κάλλος ἱστορήσαντες αὐτοῦ, καὶ θυσιῶν ἐπ' αὐτῷ μεγάλων καὶ ἑορτῶν μεταλαβόντες, εἰς τὰς αὑτῶν ἕκαστοι πόλεις ὑπέστρεψαν· ὄναρ δ' ἐπιφανὲν τῷ βασιλεῖ κατὰ τοὺς ὕπνους ἐσήμηνεν αὐτοῦ τῆς εὐχῆς ἐπήκοον τὸν Θεὸν γεγονέναι καὶ ὅτι φυλάξει τε τὸν ναὸν καὶ διὰ παντὸς ἐν αὐτῷ μενεῖ, τῶν ἐκγόνων αὐτοῦ καὶ τῆς ἁπάσης πληθύος τὰ δίκαια ποιούσης. Αὐτὸν δὲ πρῶτον ἐμμένοντα ταῖς τοῦ πατρὸς ὑποθήκαις ἔλεγεν εἰς ὕψος καὶ μέγεθος εὐδαιμονίας ἀνοίσειν ἄπειρον, καὶ βασιλεύσειν ἀεὶ τῆς χώρας τοὺς ἐκ τοῦ γένους αὐτοῦ καὶ τῆς Ἰούδα φυλῆς· προδόντα μέντοι τὰ ἐπι-

enim per aerem delatus, et cum impetu in altare omnium in conspectu irruens, victimas totas corripuit et absumpsit. Hac autem specie oculis oblata, populus quidem, conjectura inde facta Deum his declarasse se in templo habitaturum esse, lætus in terræ solum procidens adorabat. Rex vero et Deo cœpit benedicere, et populum ut idem facerent hortabantur, jam perspectam quidem habentes Dei erga se benevolentiam, de cetero vero precantes ut quæ ab eo proveniunt sibi semper æque optata accidant, utque mentem eorum puram ab omni peccati labe custodire dignetur in justitia ejusque cultu præceptisque observandis, quæ ipsis per Moysen dedit Deus, permanentium : sic enim Hebræis *prospere cedent omnia, et ceteris mortalibus erunt beatiores.* Simulque eos obsecrabat in memoria habere quod quibus artibus bona præsentia comparassent, eisdem et illa conservaturi essent, et majora ac cumulatiora facturi. Haud enim existimandum hæc solummodo pietati et justitiæ accepta deberi, sed et ab illis esse ut firma maneant et stabilia : porro hominibus non adeo magnum esse parare quæ desiderent quam parta tueri et nullum peccatum, quo læsi possint, admittere.

5. Et rex quidem his multitudinem affatus concionem dimisit, sacris primum factis tam pro semet quam pro Hebræis universis, ita ut vitulorum quidem viginti millia mactarit, balantum vero centum et viginti millia. Nam templum tum primum victimarum cruore imbutum est, et in eo Hebræi omnes cum uxoribus et liberis convivio excepti sunt; ac præterea festum, quod scenopegia vocabatur, ante templum per bis septem dies rex splendide et magnifice celebravit, *cum populo universo epulatus.*

6. Quum autem illis abunde satisfactum esset nihilque plane deesset erga Deum pietati, singuli, quum rex eos dimisisset, domum quisque suam reversi sunt, actis prius regi gratiis pro sua illorum cura et operibus quæ fecerat, precibusque Deo fusis ut Solomonem regem ipsis quam diutissime conservaret. Iter etiam faciebant lætitia gestientes, hymnosque Deo canentes, ita ut voluptate deleniti omnes viam, qua domum irent, sine molestia confecerint. Et illi quidem, qui arcam in templum intulerant, ejusque magnitudinem et pulcritudinem conspexerant, atque adeo magnorum *sacrificiorum et festivitatum participes facti* erant, ad suas quique civitates regressi sunt. Somnium vero, regi per quietem obortum, ei indicabat Deum ipsius exaudivisse preces, quodque templum conservare voluerit, in eoque perpetuo habitare, posteris ipsius totoque populo justitiam colentibus. Ipsum autem inprimis, si patris monitis insisterit, ad celsitudinem felicitatis et magnitudinem immensam se provecturum esse dicebat, nec unquam defore ex stirpe ipsius tribuque Judæ qui regioni huic imperet : sin autem a legis institutis desciverit eorumque *oblitus*

τηδεύματα καὶ λήθην αὐτῶν ποιησάμενον καὶ ξενικοὺς θεοὺς θρησκεύειν μεταβαλλόμενον πρόρριζον ἐκκόψειν, καὶ μήτε τοῦ γένους τι λείψανον αὐτοῦ ἐάσειν μήτε τὸν Ἰσραηλιτῶν λαὸν ἀπαθῆ παρόψεσθαι, πολέμοις δ' αὐτοὺς καὶ κακοῖς ἐξαφανίσειν μυρίοις, κἀκ τῆς γῆς, ἣν τοῖς πατράσιν αὐτῶν ἔδωκεν, ἐκβαλὼν ἐπήλυδας ἀλλοτρίας καταστήσειν, τὸν δὲ ναὸν τὸν νῦν οἰκοδομηθέντα καταπρησθησόμενον τοῖς ἐχθροῖς παραδώσειν καὶ διαρπαγησόμενον, κατασκάψειν δὲ καὶ τὴν πόλιν χερσὶ τῶν πολεμίων, καὶ ποιήσειν μύθων ἄξια τὰ παρ' αὐτοῖς κακὰ καὶ πολλῆς δι' ὑπερβολὴν μεγέθους ἀπιστίας, ὡς τοὺς προσοίκους ἀκούοντας τὴν συμφορὰν θαυμάζειν καὶ τὴν αἰτίαν πολυπραγμονεῖν, δι' ἣν οὕτως ἐμισήθησαν Ἑβραῖοι τῷ Θεῷ, πρότερον εἰς δόξαν καὶ πλοῦτον ὑπ' αὐτοῦ προαχθέντες, καὶ παρὰ τῶν ὑπολειπομένων ἀκούειν ἐξομολογουμένων τὰς ἁμαρτίας αὐτῶν, καὶ τὰς τῶν πατρίων νομίμων παραβάσεις. Ταῦτα μὲν οὖν αὐτῷ τὸν Θεὸν εἰπεῖν κατὰ τοὺς ὕπνους ἀναγέγραπται.

ΚΕΦ. Ε'.

Μετὰ δὲ τὴν τοῦ ναοῦ κατασκευὴν, ἐν ἔτεσιν ἑπτὰ, καθὼς προειρήκαμεν, γενομένην, τὴν τῶν βασιλείων οἰκοδομίαν κατεβάλετο, ἣν ἔτεσι τρισὶ καὶ δέκα μόλις ἀπήρτισεν. Οὐ γὰρ τὸν αὐτὸν ἐσπουδάζετο τρόπον ὄνπερ καὶ τὸ ἱερὸν, ἀλλὰ τὸ μὲν, καίπερ ὂν μέγα καὶ θαυμαστῆς ἐργασίας καὶ παραδόξου τετυχηκὸς, ἔτι καὶ τοῦ Θεοῦ συνεργοῦντος εἰς ὃν ἐγίνετο, τοῖς προειρημένοις ἔτεσιν ἔλαβε πέρας, τὰ δὲ βασίλεια, πολὺ τῆς ἀξίας τοῦ ναοῦ καταδεέστερα τυγχάνοντα, τῷ μήτε τὴν ὕλην ἐκ τοσούτου χρόνου καὶ τῆς αὐτῆς ἡτοιμάσθαι φιλοτιμίας καὶ βασιλεῦσιν οἰκητήριον, ἀλλὰ μὴ Θεῷ γίνεσθαι, βράδιον ἠνύσθη. Καὶ αὐτὰ μὲν οὖν ἄξια λόγου καὶ κατὰ τὴν εὐδαιμονίαν τῆς Ἑβραίων χώρας καὶ τοῦ βασιλέως ᾠκοδομήθη· τὴν δὲ ὅλην αὐτῶν διάταξιν καὶ τὴν διάθεσιν εἰπεῖν ἀναγκαῖον, ἵν' οὕτως ἐκ τούτου στοχάζεσθαι καὶ συνορᾶν ἔχωσι τὸ μέγεθος οἱ τῇ γραφῇ μέλλοντες ἐντυγχάνειν.

β'. Οἶκος ἦν μέγας καὶ καλὸς πολλοῖς στύλοις ἐρηρεισμένος, ὃν εἰς τὰς κρίσεις καὶ τὴν τῶν πραγμάτων διάγνωσιν πλῆθος ὑποδέξασθαι καὶ χωρῆσαι σύνοδον ἀνθρώπων ἐπὶ δίκας συνελθυθότων κατεσκεύασεν, ἑκατὸν μὲν πηχῶν τὸ μῆκος, εὖρος δὲ πεντήκοντα, τὸ δ' ὕψος τριάκοντα, κίοσι μὲν τετραγώνοις ἀνειλημμένον ἐκ κέδρου πᾶσιν, ἐστεγασμένον δὲ Κορινθίως, ἰσομέτροις δὲ φλιαῖς καὶ θυρώμασι τριγλύφοις ἀσφαλῆ τε δμοῦ καὶ κεκαλλωπισμένον. Ἕτερος δὲ οἶκος ἦν ἐν μέσῳ κατὰ ὅλου τοῦ πλάτους τεταγμένος, τετράγωνος, εὖρος πηχῶν τριάκοντα, ἀντικρὺς ἔχων ναὸν, παχέσι στύλοις ἀνατεταμένον. Ἦν δὲ ἐν αὐτῷ ἐξέδρα διαπρεπὴς, ἐν ᾗ καθεζόμενος ὁ βασιλεὺς ἔκρινεν· ᾗ παρέζευκτο κατεσκευασμένος ἄλλος οἶκος τῇ βασιλίσσῃ, καὶ τὰ λοιπὰ τὰ πρὸς τὴν δίαιταν καὶ τὰς ἀναπαύσεις οἰκήματα μετὰ τὴν τῶν πραγμάτων ἀπόλυσιν, ἑστρωμένα πάντα σα-

fuerit et ad deorum peregrinorum cultum se contulerit, fore ut radicibus ipsum exscinderet, et neque vel tantillas generis ipsius reliquias superesse sineret, neque populum Israelitarum a calamitatibus immunem relinqueret, sed ipsos bellis et cladibus innumeris exstingueret, atque e terra, quam patribus ipsorum dederit, ejectos, aliena in regione collocaret, templum quoque nunc exstructum, incendendum diripiendumque traderet inimicis; quin et urbem hostium manibus suffossam everteret, faceretque ut mala quibus succumberent fabulæ esse mereantur, et vix credenda ob stupendam magnitudinem, ita ut finitimi audita calamitate attoniti hæreant et curiosius quærant quam ob causam Deus sic odio habuerit Hebræos, quos antea honore affecerat et divitiis auxerat, atque ab iis, qui supersint, responsum ferant, confitentibus, quoniam peccaverint et patrias leges violaverint. Atque hisce quidem Deum per quietem Solomonem affatum esse literis consignatum est.

CAP. V. (II.)

Post templi autem ædificationem, quæ septennio, ut ante diximus, facta est, ad structuram regiæ aggrediebatur, quam annis tredecim vix absolvit. Neque enim adeo huic operi insudabat ac templo: sed illud quidem, magnum licet, cuique mirandum et incredibile adhibitum est artificium, Deo etiam, cujus gratia erat exstructum, simul opem ferente, annis memoratis ad finem perductum est: regia vero magnificentia multum templo cedens, quod nec tam diu ante nec tanto cum studio parata fuerit materia, quodque regibus, non Deo, futura esset domicilium, tardius est absoluta. Verumtamen et illa memorabilis et convenienter regionis regisque felicitati exædificata: omnem autem ejus ordinationem et dispositionem explicare necesse habeo, ut magnitudinem ejus conjectura perspiciant qui forte in hæc scripta inciderint.

2. Domus erat ampla et pulcra, multis columnis suffulta, quam ad populum in causis dicendis et rebus dijudicandis excipiendum condidit, et ad cœtum hominum capiendum quum ad judicia convenerint. Longitudo quidem centum patebat cubitos, latitudo vero quinquaginta, atque altitudo triginta; columnis quidem quadrangulis sustentata, iisque ex cedro omnibus, tecta vero more Corinthiaco, additis antis parilibus cum valvis triglyphis ad ornamentum simul et munimentum. Alia autem domus erat juxta totam latitudinem in medio collocata, quadrangula, lata triginta cubitos, ex adverso habens templum, validis columnis in altum evectum. Atque in ea erat exedra magnifica, ubi rex sedebat ad jus dicendum; cui adjuncta erat domus altera in usum reginæ exstructa, aliaque demum ædificia ad victum capiendum animumque relaxandum, quum finita essent negotia, constrata omnia tabulis cedrinis. Et hæc

νίσι τετμημέναις ἐκ κέδρου. Καὶ τὰ μὲν ᾠκοδομήσατο λίθοις δεκαπήχεσιν, ἑτέρῳ δὲ πριστῷ τοὺς τοίχους καὶ πολυτελεῖ κατημφίεσεν, ὃς εἰς κόσμον ἱερῶν καὶ βασιλείων οἴκων θεωρίαν γῇ μεταλλεύεται, τοῖς φέρουσιν αὐτὸν τόποις ἐπαινουμένη. Καὶ τὸ μὲν ἀπ' αὐτοῦ κάλλος ἐπὶ τριστοιχίαν ἦν ἐνυφασμένον, τετάρτη δὲ μοῖρα γλυφέων παρεῖχε θαυμάζειν ἐπιστήμην, ὑφ' ὧν πεποίητο δένδρα καὶ φυτὰ παντοῖα, σύσκια τοῖς κλάδοις καὶ τοῖς ἐκκρεμαμένοις αὐτῶν πετάλοις, ὡς ὑπονοεῖν αὐτὰ καὶ σαλεύεσθαι δι' ὑπερβολὴν λεπτότητος, καλύπτοντα τὸν ὑπ' αὐτοῖς λίθον. Τὸ δὲ ἄλλο μέχρι τῆς στέγης χριστὸν ἦν καὶ καταπεποικιλμένον χρώμασι καὶ γραφαῖς. Προσκατεσκεύασε δὲ πρὸς τούτοις ἄλλα τε πρὸς τρυφὴν οἰκήματα καὶ δὴ καὶ στοὰς μηκίστας καὶ ἐν καλῷ τῶν βασιλείων κειμένας, ἐν αἷς λαμπρότατον οἶκον εἰς ἑστιάσεις καὶ συμπόσια χρυσοῦ περίπλεων. Καὶ τἆλλα δέ, ὅσα τοῦτον ἔχειν ἔοικε πρὸς τὴν τῶν ἑστιωμένων ὑπηρεσίαν, σκεύη πάντ' ἐκ χρυσοῦ κατεσκεύαστο. Δύσκολον δ' ἐστὶ καταριθμήσασθαι καὶ διηγήσασθαι τὸ μέγεθος καὶ τὴν ποικιλίαν τῶν βασιλείων, ὅσα μὲν ἦν αὐτοῖς τὰ μέγιστα οἰκήματα, πόσα δὲ τὰ τούτων ὑποδεέστερα, καὶ πόσα ὑπόγαια καὶ ἀφανῆ, τό τε τῶν ἀνειμένων εἰς ἀέρα κάλλος καὶ τὰ ἄλση πρὸς θεωρίαν ἐπιτερπεστάτην καὶ θέρους ὑποφυγὴν καὶ σκέπην εἶναι τοῖς σώμασιν. Ἐν κεφαλαίῳ δ' εἰπεῖν, τὴν ὅλην οἰκοδομίαν ἐκ λίθου λευκοῦ καὶ κέδρου καὶ χρυσοῦ καὶ ἀργύρου πᾶσαν ἐποιήσατο, τοὺς ὀρόφους καὶ τοὺς τοίχους τοῖς ἐγκλειομένοις χρυσῷ λίθοις διανθίσας τὸν αὐτὸν τρόπον ὡς καὶ τὸν τοῦ Θεοῦ ναὸν τούτοις κατηγλάϊσεν. Εἰργάσατο δὲ ἐξ ἐλέφαντος θρόνον παμμεγεθέστατον ἐν κατασκευῇ βήματος, ἔχοντα μὲν ἓξ ἀναβαθμούς, ἑκάστῳ δὲ τούτων ἐξ ἑκατέρου μέρους δύο λέοντες ἐφειστήκεσαν, τοσούτων ἄνωθεν ἄλλων ἐφεστώτων. Τὸ δ' ἐνήλατον τοῦ θρόνου χεῖρες ἦσαν δεχόμεναι τὸν βασιλέα. Ἀνεκέκλιτο δ' εἰς μόσχου προτομὴν τὰ κατόπιν αὐτοῦ βλέποντος, χρυσῷ δὲ ἅπας ἦν δεδεμένος.

γ'. Ταῦτα ὁ Σολομὼν εἰκοσαετίᾳ κατασκευάσας, ἐπεὶ πολὺν μὲν αὐτῷ χρυσὸν, πλείω δ' ἄργυρον ὁ τῶν Τυρίων βασιλεὺς Εἴραμος εἰς τὴν οἰκοδομίαν συνήνεγκεν, ἔτι δὲ καὶ ξύλα κέδρου καὶ πίτυος, ἀντεδωρήσατο καὶ αὐτὸς μεγάλαις δωρεαῖς τὸν Εἴραμον, σῖτόν τε κατ' ἔτος πέμπων αὐτῷ καὶ οἶνον καὶ ἔλαιον, ὧν μάλιστα διὰ τὸ νῆσον οἰκεῖν, ὡς καὶ προειρήκαμεν ἤδη, χρῄζων διετέλει. Πρὸς τούτοις δὲ καὶ πόλεις αὐτῷ τῆς Γαλιλαίας εἴκοσι μὲν τὸν ἀριθμὸν, οὐ πόρρω δὲ τῆς Τύρου κειμένας, ἐχαρίσατο· ἃς ἐπελθὼν καὶ κατανοήσας Εἴραμος καὶ δυσαρεστήσας τῇ δωρεᾷ πέμψας πρὸς Σολομῶνα μὴ δεῖσθαι τῶν πόλεων ἔλεγεν, καὶ ἐκτοτε προσηγορεύθησαν Χαβαλὼν γῆ· μεθερμηνευόμενον γὰρ τὸ Χαβαλὼν κατὰ Φοινίκων γλῶτταν οὐκ ἀρέσκον σημαίνει. Καὶ σοφίσματα δὲ καὶ λόγους αἰνιγματώδεις διεπέμψατο πρὸς τὸν Σολομῶνα ὁ τῶν Τυρίων βασιλεὺς, παρακαλῶν ὅπως αὐτῷ τούτους σαφηνίσῃ καὶ

quidem partim ex lapidibus decemcubitalibus ædificavit, alio vero sectili lapide et pretioso muros incrustavit, qui, *in templorum ornamentum et regiarum ædium* pompam, terra perquiritur locis eum ferentibus nobilitata. Et ex eo quidem tribus ordinibus contexto elucebat pulcritudo, quarta vero pars præ se ferebat admirabile sculptorum artificium, a quibus expressæ erant arbores ac omne genus stirpes, opacæ ramis foliisque ab iis pendentibus, idque excellenti adeo subtilitate, ut agitari quodammodo viderentur, lapidem iis subjectum occultantes. Reliquum vero usque ad lacunar opere albario tectum erat, et variis coloribus et picturis distinctum. Ad hæc et alia exstruxit ædificia voluptatibus adhibendis, insuper et porticus longissimas *in commodo regiæ loco* positas, atque in iis conclave splendidissimum in epulationes et compotationes auro undique ornatum. Atque alia etiam quæcunque huic necessaria supellex, quo convivæ exciperentur, omnis ex auro erat fabricata. Difficile autem est recensere magnitudinem et varietatem basilicarum, et quanta erant illarum majora cubicula, *et quam multa hisce minora*, quotque sub terra et ab aspectu remota, nec non et pulcritudinem locorum apricorum, atque nemora quæ simul visum delectarent et corpora in æstatis ardore reciperent et ab eo defenderent. In summa, fecit ut totum ædificium e saxo candenti et cedro atque auro et argento constaret; atque tecta et parietes, quum lapides auro inclusos similiter ac *in templo Dei eleganter* intertexisset, hisce illustravit. Quin et ex ebore fecit solium immensæ magnitudinis, specie tribunalis, cui sex erant gradus. Horum autem in singulis ex utraque parte stabant duo leones, totidem aliis superne adstantibus. At loco sessionis manus erant regem excipientes. Reclinabatur autem in dimidiatum juvencum, tergum suum respicientem, totumque auro vinctum erat.

3. Quum hæc Solomon viginti annis perfecisset, quoniam ipsi ad operum structuram multam quidem auri vim, majorem vero argenti *contulerat* Hiramus Tyriorum rex, ac præterea cedrinam piceamque materiam, vicissim et ipse magnis donis Hiramum remuneravit, quotannis et frumentum ei mittens et vinum et oleum, quibus, quod insulam, ut et ante diximus, habitaret, perpetuo egebat. Ad hæc autem etiam *Galilææ* urbes, viginti quidem numero, Tyro vero finitimas, ei dono obtulit. Quas quum Hiramus adiisset et perlustrasset, eique donum displicuisset, nunciis ad Solomonem missis dicebat sibi non opus esse his civitatibus, atque ex illo tempore appellatæ erant terra Chabalon: nam Chabalon, *si interpreteris*, juxta Phœnicum linguam id significat, quod minus placet. Quin et argutias et griphos ad Solomonem misit Tyriorum rex, rogans eum ut illas sibi explicaret, atque omnem de quæ-

τῆς ἀπορίας τῶν ἐν αὐτοῖς ζητουμένων ἀπαλλάξῃ. Τὸν δὲ δεινὸν ὄντα καὶ συνετὸν οὐδὲν τούτων παρῆλθεν, ἀλλὰ πάντα νικήσας τῷ λογισμῷ καὶ μαθὼν αὐτῶν τὴν διάνοιαν ἐφώτισε. Μέμνηται δὲ τούτων τῶν δύο βασιλέων καὶ Μένανδρος, ὁ μεταφράσας ἀπὸ τῆς Φοινίκων διαλέκτου τὰ Τυρίων ἀρχεῖα εἰς τὴν Ἑλληνικὴν φωνὴν, λέγων οὕτως· « τελευτήσαντος δὲ Ἀβιβάλου, « διεδέξατο τὴν βασιλείαν παρ' αὐτοῦ ὁ υἱὸς αὐτοῦ Εἴ« ραμος, ὃς βιώσας ἔτη πεντήκοντα τρία ἐβασίλευσε « τριάκοντα καὶ τέσσαρα. Οὗτος ἔχωσε τὸ εὐρύχωρον « καὶ τόν τε χρυσοῦν κίονα τὸν ἐν τοῖς τοῦ Διὸς ἀνέθη« κεν, ἔτι τε ὕλην ξύλων ἀπελθὼν ἐκ τοῦ ὄρους « τοῦ λεγομένου Λιβάνου εἰς τὰς τῶν ἱερῶν στέγας, κα« θελών τε τὰ ἀρχαῖα ἱερὰ καὶ ναὸν ᾠκοδόμησε τοῦ « Ἡρακλέους καὶ τὸν τῆς Ἀστάρτης, πρῶτός τε τοῦ « Ἡρακλέους ἔγερσιν ἐποιήσατο ἐν τῷ Περιτίῳ μηνί· « τοῖς τε Ἰουδαίοις ἐπεστρατεύσατο μὴ ἀποδιδοῦσι τοὺς « φόρους, καὶ ὑποτάξας πάλιν αὐτῷ ἀνέστρεψεν. Ἐπὶ « τούτου ἦν Ἀβδήμονος παῖς νεώτερος, ὃς ἀεὶ ἐνίκα τὰ « προβλήματα, ἃ ἐπέτασσε Σολομὼν ὁ Ἱεροσολύμων βα« σιλεύς. » Μνημονεύει δὲ καὶ Δῖος λέγων οὕτως· « Ἀβι« βάλου τελευτήσαντος υἱὸς αὐτοῦ Εἴραμος ἐβασίλευ« σεν. Οὗτος τὰ πρὸς ἀνατολὰς μέρη τῆς πόλεως προσ« έχωσε, καὶ μεῖζον τὸ ἄστυ ἐποίησε, καὶ τοῦ Ὀλυμ« πίου Διὸς τὸ ἱερὸν καθ' ἑαυτὸ ἐγχώσας τὸν μεταξὺ « τόπον συνῆψε τῇ πόλει καὶ χρυσοῖς ἀναθήμασιν ἐκό« σμησεν. Ἀναβὰς δὲ εἰς τὸν Λίβανον ὑλοτόμησε πρὸς « τὴν τῶν ἱερῶν κατασκευήν. » Τὸν δὲ τυραννοῦντα Ἱεροσολύμων Σολομῶνα πέμψαι φησὶ πρὸς τὸν Εἴραμον αἰνίγματα, καὶ παρ' αὐτοῦ λαβεῖν ἀξιοῦντα, τὸν δὲ μὴ δυνηθέντα διακρῖναι τῷ λύσαντι χρήματα ἀποτίνειν. Ὁμολογήσαντα δὲ τὸν Εἴραμον καὶ μὴ δυνηθέντα λῦσαι τὰ αἰνίγματα πολλὰ τῶν χρημάτων εἰς τὸ ἐπιζήμιον ἀναλῶσαι. Εἶτα δι' Ἀβδήμονά τινα Τύριον ἄνδρα τὰ προτεθέντα λῦσαι καὶ αὐτὸν ἄλλα προβαλεῖν, ἃ μὴ λύσαντα τὸν Σολομῶνα πολλὰ τῷ Εἰράμῳ προσαποτῖσαι χρήματα. Καὶ Δῖος μὲν οὕτως εἰρηκεν.

ΚΕΦ. Ϛ'.

Ἐπεὶ δ' ἑώρα τὰ τῶν Ἱεροσολύμων τείχη ὁ βασιλεὺς πύργων πρὸς ἀσφάλειαν δεόμενα καὶ τῆς ἄλλης ὀχυρότητος, (πρὸς γὰρ τὸ ἀξίωμα τῆς πόλεως ἡγεῖτο δεῖν καὶ τοὺς περιβόλους εἶναι,) ταῦτά τε προσεπεσκεύαζε καὶ πύργοις αὐτὰ μεγάλοις προσεξῆρεν. Ὠκοδόμησε δὲ καὶ πόλεις ταῖς βαρυτάταις ἐναρίθμους, Ἀσωρόν τε καὶ Μαγεδὼν, τὴν τρίτην δὲ Γαζαρὰ, τὴν τῆς Παλαιστίνων χώρας ὑπάρχουσαν, ἣν Φαραὼν ὁ τῶν Αἰγυπτίων βασιλεὺς στρατευσάμενος καὶ πολιορκήσας αἱρεῖ κατὰ κράτος, ἀποκτείνας δὲ πάντας τοὺς ἐνοικοῦντας αὐτὴν κατέσκαψεν, εἶτα δωρεὰν ἔδωκε τῇ αὐτοῦ θυγατρὶ Σολομῶνι γεγαμημένῃ· διὸ καὶ ἀνήγειρεν ὁ βασιλεὺς αὐτὴν, οὖσαν ὀχυρὰν φύσει καὶ πρὸς πολέμους καὶ τὰς τῶν καιρῶν μεταβολὰς χρησίμην εἶναι δυναμένην. Οὐ πόρρω δ' αὐτῆς ἄλλας ᾠκοδόμησε δύο πόλεις· Βητ-

stionibus in illis involutis dubitationem tolleret. Hunc vero, quum mira esset sagacitate et intelligentia, nihil horum fugiebat, sed quum omnia rationis vi superasset, et quid sibi vellent intellexisset, *ea* reddidit perspicua. Horum autem duorum regum meminit etiam Menander, qui e Phœnicum lingua Tyriorum tabularia in sermonem Græcum transtulit, ita dicens : « defuncto autem Abibalo, successit « ei in regno filius ejus Hiramus, qui regnavit annos tri« ginta et quattuor, vita ad annum quinquagesimum ter« tium producta. Hic aggeravit Amplum *qui dicitur* lo« cum, et auream columnam posuit, quæ in Jovis est « templo, ac præterea excisum profectus est lignorum « materiam e monte Libano appellato, ad tecta templo« rum, atque antiqua sacraria demolitus, et Herculis tem« plum ædificavit et Astartæ, primusque Herculis fanum « erexit mense Peritio. Expeditionem etiam contra Iy« cæos suscepit, quod tributa non solverint, quumque eos « sibi iterum subjecisset, reversus est. Hujus temporibus « clarebat Abdemonis filius natu minor, qui difficultatem « problematum, quæ *sibi explicari* jussit Solomon Hie« rosolymorum rex, semper superabat. » Insuper et meminit Dius, ita dicens : « Abibalo mortuo regnavit filius « ejus Hiramus, qui ad orientalem urbis plagam sitos aggeres « comportavit, urbemque ampliorem reddidit, atque Jovis « Olympii templum, seorsum positum, spatio quod inter« cedebat terra repleto, urbi annexuit, ornavitque aureis « donariis. Deinde quum in Libanum ascendisset, ad templo« rum structuram ligna excidit. » Præterea dicit Solomonem, qui Hierosolymis tunc regnabat, ad Hiramum ænigmata misisse, pariter rogantem ab ipso ut alia acciperet, quique solvere nequiret, ab interprete pecunia mulctaretur. Hiramum vero, quum conditionem accepisset, et ænigmata non potuisset explicare, magnam pecuniæ vim pro mulcta pependisse. Postea per Abdemonem quendam, hominem Tyrium, solvisse ea quæ proposita erant, rursumque alia proposuisse, quibus solvendis quum hæsisset Solomon, Hiramo ab eo multum pecuniæ persolutum. Atque Dius ita quidem scripsit.

CAP. VI. [II.]

Ceterum rex, quum videret mœnia Hierosolymorum turribus aliisque ad securitatem egere, (septa enim et munimenta debere urbis dignitati respondere existimabat,) istæc extructa addidit, eaque magnis turribus altius evexit. Porro urbes condidit quæ validissimis accenseri merentur, Asorum, Magedon, atque tertiam Gazara, in regione Palæstinorum sitam, quam Pharaon rex Ægyptiorum, quum bello eam adortus esset et obsidione cinxisset, vi expugnat, et incolis ejus omnibus occisis solo æquavit, ac deinde filiæ suæ Solomoni nuptæ dedit donum. Quamobrem denuo rex eam ædificavit, quod esset natura munita, ac commoda admodum esse posset, bello orto, factave temporum vicissitudine. Nec procul ab ea duas alias urbes condidit, quarum

χώρα τῇ ἑτέρᾳ ὄνομα ἦν, ἡ δὲ ἑτέρα Βαλὲθ ἐκαλεῖτο. Προσκατεσκεύασε δὲ καὶ ἄλλας ταύταις εἰς ἀπόλαυσιν καὶ τρυφὴν ἐπιτηδείως ἐχούσας, τῇ τε τῶν ἀέρων εὐκρασίᾳ καὶ τοῖς ὡραίοις εὐῤῥείαις καὶ νάμασιν ὑδάτων ἐνδρόσους. Ἐμβαλὼν δὲ καὶ εἰς τὴν ἔρημον τὴν ἐπάνω Συρίας καὶ κατασχὼν αὐτὴν ἔκτισεν ἐκεῖ πόλιν μεγίστην, δύο μὲν ἡμερῶν ὁδὸν ἀπὸ τῆς ἄνω Συρίας διεστῶσαν, ἀπὸ δ' Εὐφράτου μιᾶς, ἀπὸ δὲ τῆς μεγάλης Βαβυλῶνος ἓξ ἡμερῶν ἦν τὸ μῆκος. Αἴτιον δὲ τοῦ τὴν πόλιν οὕτως ἀπὸ τῶν οἰκουμένων μερῶν τῆς Συρίας ἀπῳκίσθαι τὸ κατωτέρω μὲν μηδαμοῦ τῆς γῆς ὕδωρ εἶναι, πηγὰς δ' ἐν ἐκείνῳ τῷ τόπῳ μόνον εὑρεθῆναι καὶ φρέατα. Ταύτην οὖν τὴν πόλιν οἰκοδομήσας καὶ τείχεσιν ὀχυρωτάτοις περιβαλὼν Θαδάμορα ὠνόμασε, καὶ τοῦτ' ἔτι νῦν καλεῖται παρὰ τοῖς Σύροις, οἱ δὲ Ἕλληνες αὐτὴν προσαγορεύουσιν Πάλμυραν.

β'. Σολομὼν μὲν οὖν ὁ βασιλεὺς ταῦτα κατ' ἐκεῖνον τὸν καιρὸν πράττων διετέλει. Πρὸς δὲ τοὺς ἐπιζητήσαντας, ὅ τι πάντες οἱ τῶν Αἰγυπτίων βασιλεῖς ἀπὸ Μιναίου τοῦ Μέμφιν οἰκοδομήσαντος, ὃς ἔτεσι πολλοῖς ἔμπροσθεν ἐγένετο τοῦ πάππου ἡμῶν Ἀβράμου, μέχρι Σολομῶνος, πλειόνων ἐτῶν ἢ τριακοσίων καὶ χιλίων μεταξὺ διεληλυθότων, Φαραῶθαι ἐκλήθησαν, ἀπὸ τοῦ μετὰ τοὺς ἐν τῷ μεταξὺ χρόνους ἄρξαντος βασιλέως Φαραῶνος τὴν προσηγορίαν λαβόντες, ἀναγκαῖον ἡγησάμην εἰπεῖν, ἵνα τὴν ἄγνοιαν αὐτῶν ἀφέλω καὶ ποιήσω τοῦ ὀνόματος φανερὰν τὴν αἰτίαν. Ὁ Φαραὼν κατ' Αἰγυπτίους βασιλέα σημαίνει. Οἶμαι δ' αὐτοὺς ἐκ παίδων ἄλλοις χρωμένους ὀνόμασιν, ἐπειδὰν δὲ βασιλεῖς γένωνται, τὸ σημαῖνον αὐτῶν τὴν ἐξουσίαν κατὰ τὴν πάτριον γλῶτταν μετονομάζεσθαι. Καὶ γὰρ οἱ τῆς Ἀλεξανδρείας βασιλεῖς ἄλλοις ὀνόμασι καλούμενοι πρότερον, ὅτε τὴν βασιλείαν ἔλαβον, Πτολεμαῖοι προσηγορεύθησαν ἀπὸ τοῦ πρώτου βασιλέως. Καὶ οἱ Ῥωμαίων δὲ αὐτοκράτορες ἐκ γενετῆς ἀπ' ἄλλων χρηματίσαντες ὀνομάτων Καίσαρες καλοῦνται, τῆς ἡγεμονίας καὶ τῆς τιμῆς τὴν προσηγορίαν αὐτοῖς θεμένης, ἀλλ' οὐχ οἷς ὑπὸ τῶν πατέρων ἐκλήθησαν τούτοις ἐπιμένοντες. Νομίζω δὲ καὶ Ἡρόδοτον τὸν Ἁλικαρνασσέα διὰ τοῦτο μετὰ Μιναῖον τὸν οἰκοδομήσαντα Μέμφιν τριάκοντα καὶ τριακοσίους βασιλέας Αἰγυπτίων γενέσθαι λέγοντα μὴ δηλῶσαι αὐτῶν τὰ ὀνόματα, ὅτι κοινῶς Φαραῶθαι ἐκαλοῦντο. Καὶ γὰρ μετὰ τὴν τούτων τελευτὴν γυναικὸς βασιλευσάσης λέγει τοὔνομα Νίκαυλιν καλῶν, δηλῶν ὡς τῶν μὲν ἀῤῥένων βασιλέων τὴν αὐτὴν προσηγορίαν ἔχειν δυναμένων, τῆς δὲ γυναικὸς οὐκέτι κοινωνεῖν ἐκείνης, καὶ διὰ τοῦτο εἶπεν αὐτῆς τὸ φύσει δεῆσαν ὄνομα. Ἐγὼ δὲ καὶ ἐν τοῖς ἐπιχωρίοις ἡμῶν βιβλίοις ηὗρον ὅτι μετὰ Φαραώθην τὸν Σολομῶνος πενθερὸν οὐκέτι οὐδεὶς τοῦτο τὸ ὄνομα βασιλεὺς Αἰγυπτίων ἐκλήθη, καὶ ὅτι ὕστερον ἦκε πρὸς Σολομῶνα ἡ προειρημένη γυνὴ βασιλεύουσα τῆς Αἰγύπτου καὶ τῆς Αἰθιοπίας. Περὶ μὲν οὖν ταύτης μετ' οὐ πολὺ δηλώσομεν· νῦν δὲ τούτων ἐπεμνήσθην, ἵνα

altera Betchora, altera Raleth vocabatur. Præter has insuper alias ædificavit, opportune sitas ad fruendum voluptatibus et deliciis, et bona aeris temperie et fructuum æstivorum ubertate beatas, et copiosis aquarum laticibus irriguas. Deinde ingressus in desertum quod est supra Syriam, eoque potitus, condidit illic urbem maximam, duorum quidem dierum itinere a superiore Syria distantem, unius vero ab Euphrate, atque a magna Babylone sex omnino diebus remotam. Urbem autem illam tam procul a cultis Syriæ partibus positam esse in causa est quod infra quidem nusquam terrarum sit aqua, fontes vero et putei in illo solo loco reperiantur. Quum hanc igitur urbem exstruxisset et firmissimis muris cinxisset, Thadamora appellavit, et sic vocatur etiamnum a Syris, Græci vero Palmyram nominant.

2. Et tum quidem Solomon rex in istis agendis erat occupatus. Ad eos autem qui quæsiverint cur omnes Ægyptiorum reges a Minæo, qui Memphin condidit quique multis annis Abramum avum nostrum præcessit, usque ad Solomonem, per annorum plus quam trecentorum et mille intervallum, Pharaothæ dicti fuerint, ab eo, qui interjectis post temporibus imperavit, Pharaonis appellatione desumpta, necessarium esse dicere existimavi, ut eorum ignorantia tollatur, nominisque ratio manifesta reddatur. Pharaon Ægyptiis regem sonat. Opinor autem ipsos a pueritia aliis nominibus usos, postquam vero reges facti fuerint, ab eo denominari quod patria lingua potestatem eorum indicat. Nam et Alexandriæ reges, quum antea aliis nominibus vocarentur, ubi primum regnum adepti erant, Ptolemæi appellati sunt a primo rege. Immo et Romanorum imperatores, a nativitate aliis nominibus insigniti, Cæsares appellantur, nomine illis indito a principatu et honore, iisdem non adservatis nominibus quibus a patribus suis erant appellati. Idque in causa fuisse arbitror, quod Herodotus Halicarnasseus post Minæum, qui Memphin condidit, trecentos triginta reges in Ægypto regnasse dixerit, eorum nominibus suppressis, utpote quod Pharaothæ communiter vocati fuerint. Ceterum muliere post horum obitum imperium adepta, nomen ejus profert Nicaulin appellans, nimirum quod masculi quidem reges eandem appellationem habere potuerint, femina vero illam indipisci nequiverit, ac propterea nomen retulit conveniens ipsius naturæ. Ego autem et in nostræ gentis commentariis reperi quod post Pharaotham Solomonis socerum nemo Ægyptiorum regum amplius hoc nomine appellatus fuerit, quodque postea ad Solomonem venerit mulier prædicta, tunc temporis Ægypti pariter ac Æthiopiæ imperium tenens. Et de ista quidem paulo post plura dicemus: nunc vero

παραστήσω τὰ ἡμέτερα βιβλία καὶ τὰ παρ' Αἰγυπτίοις περὶ πολλῶν ὁμοφωνοῦντα.

γ'. Ὁ δὲ βασιλεὺς Σολομὼν τοὺς ἀπὸ τῶν Χαναναίων οὐχ ὑπακούοντας, οἳ ἐν τῷ Λιβάνῳ διέτριβον ὄρει καὶ μέχρι πόλεως Ἀμάθης, ὑποχειρίους ποιησάμενος φόρον αὐτοῖς προσεπέταξε καὶ πρὸς τῷ θητεύειν αὐτῷ καὶ τὰς οἰκετικὰς χρείας ἐκτελεῖν καὶ πρὸς γεωργίαν κατ' ἔτος ἐξ αὐτῶν ἐπελέγετο. Τῶν γὰρ Ἑβραίων οὐδεὶς ἐδούλευεν, (οὐδ' ἦν εὔλογον ἔθνη πολλὰ τοῦ Θεοῦ δεδωκότος αὐτοῖς ὑποχείρια, δέον ἐκ τούτων ποιεῖσθαι τὸ θητικὸν ἢ ἐκείνους κατάγειν εἰς τοῦτο τὸ σχῆμα,) ἀλλὰ πάντες ἐν ὅπλοις ἐφ' ἁρμάτων καὶ ἵππων στρατευόμενοι μᾶλλον ἢ δουλεύοντες διῆγον. Τῶν δὲ Χαναναίων, οὓς εἰς τὴν οἰκετίαν ἀπήγαγεν, ἄρχοντας ἀπέδειξε πεντακοσίους καὶ πεντήκοντα τὸν ἀριθμόν, οἳ τὴν ὅλην αὐτῶν ἐπιτροπὴν εἰλήφεσαν παρὰ βασιλέως, ὥστε διδάσκειν αὐτοὺς τὰ ἔργα καὶ τὰς πραγματείας, ἐφ' ἃς ἂν αὐτῶν ἔχρῃζεν.

δ'. Ἐναυπηγήσατο δὲ ὁ βασιλεὺς ἐν τῷ Αἰγυπτιακῷ κόλπῳ σκάφη πολλὰ τῆς Ἐρυθρᾶς θαλάσσης ἔν τινι τόπῳ λεγομένῳ Γασιωνγαβὲλ, ὃς οὐ πόρρω Αἰλανῆς πόλεως, ἣ νῦν Βερενίκη καλεῖται· αὕτη γὰρ ἡ χώρα τὸ πρὶν Ἰουδαίων ἦν. Ἔτυχε δὲ καὶ τῆς ἁρμοζούσης εἰς τὰς ναῦς δωρεᾶς παρὰ Εἰράμου τοῦ Τυρίων βασιλέως· ἄνδρας γὰρ αὐτῷ κυβερνήτας καὶ τῶν θαλασσίων ἐπιστήμονας ἔπεμψεν ἱκανοὺς, οἷς ἐκέλευσε πλεύσαντας μετὰ καὶ τῶν ἰδίων οἰκονόμων εἰς τὴν πάλαι μὲν Σώφειραν, νῦν δὲ Χρυσῆν γῆν καλουμένην (τῆς Ἰνδικῆς ἐστὶν αὕτη) χρυσὸν αὐτῷ κομίσαι. Καὶ συναθροίσαντες ὡς τετρακόσια τάλαντα πάλιν ἀνεχώρησαν πρὸς τὸν βασιλέα.

ε'. Τὴν δὲ τῆς Αἰγύπτου καὶ τῆς Αἰθιοπίας τότε βασιλεύουσαν γυναῖκα, σοφίᾳ διαπεπονημένην καὶ τἄλλα θαυμαστὴν, ἀκούουσαν τὴν Σολομῶνος ἀρετὴν καὶ φρόνησιν, ἐπιθυμία τῆς ὄψεως αὐτοῦ καὶ τῶν ὑσημέραι περὶ τῶν ἐκεῖ λεγομένων πρὸς αὐτὸν ἤγαγε. Πεισθῆναι γὰρ ὑπὸ τῆς πείρας, ἀλλ' οὐχ ὑπὸ τῆς ἀκοῆς (ἦν εἰκὸς ἐστι καὶ ψευδεῖ δόξῃ συγκατατίθεσθαι καὶ μεταπεῖσαι πάλιν, ὅλη γὰρ ἐπὶ τοῖς ἐπαγγέλλουσι κεῖται) θέλουσα πρὸς αὐτὸν ἐλθεῖν διέγνω, μάλιστα τῆς σοφίας αὐτοῦ βουλομένη λαβεῖν πεῖραν αὐτὴ προτείνασα καὶ λῦσαι τὸ ἄπορον τῆς διανοίας δεηθεῖσα. Ἦκε δ' εἰς Ἱεροσόλυμα μετὰ πολλῆς δόξης καὶ πλούτου παρασκευῆς· ἐπηγάγετο γὰρ καμήλους χρυσίου μεστὰς καὶ ἀρωμάτων ποικίλων καὶ λίθου πολυτελοῦς. Ὡς δ' αὐτὴν ἀφικομένην ἡδέως ὁ βασιλεὺς προσεδέξατο, τά τε ἄλλα περὶ αὐτὴν φιλότιμος ἦν καὶ τὰ προβαλλόμενα σοφίσματα ῥᾳδίως τῇ συνέσει καταλαμβανόμενος θᾶττον ἢ προσεδόκα τις ἐπελύετο. Ἡ δ' ἐξεπλήσσετο μὲν καὶ τὴν σοφίαν τοῦ Σολομῶνος, οὕτως ὑπερβάλλουσαν αὐτὴν καὶ τῆς ἀκουομένης τῇ πείρᾳ κρείττω καταμαθοῦσα, μάλιστα δ' ἐθαύμαζε τὰ βασίλεια τοῦ τε κάλλους καὶ τοῦ μεγέθους, οὐχ ἧττον δὲ τῆς διατάξεως τῶν οἰκοδομημάτων· καὶ γὰρ ἐν ταύτῃ πολλὴν τοῦ

ideo hæc memoravi, ut ostenderem libros nostros et Ægyptiorum in multis consentire.

3. Solomon autem rex eos ex Chananæis qui imperium ejus detrectabant, qui in monte Libano habitabant et usque ad urbem Amathen, quum subegisset, tributum eis imperavit, et ut mercenarii ipsius essent, servilibusque operibus fungerentur, et ad agros colendos quotannis ex iis quosdam eligebat. Hebræorum enim nemo serviebat, (nec æquum erat, quum tam multas gentes Deus illis subdidisset, quando ex istis oportuerit servitia potius habere quam illos ad hanc conditionem adigere,) sed omnes armati maluerunt curribus et equis militare quam in servitute vitam agere. Chananæis autem, quos ad ministeria abduxit, præfectos constituit quingentos et quinquaginta, qui omnem illorum curam regis mandato in se susceperunt, adeo ut eos docerent et ad officiorum munera instruerent, in quibus illorum opera egeret.

4. Porro rex in sinu Ægyptiaco multa ædificavit navigia, in quodam loco ad mare rubrum qui nominatur Gasiongabel, qui non procul ab Ælana urbe, quæ nunc Berenice vocatur : nam hæc regio olim in Judæorum potestate erat. Hirami autem Tyriorum regis munificentia etiam classi instruendæ accommoda adjutus est. Viros enim gubernatores et rerum marinarum peritos aliquammultos ei misit, quibus præcepit *Solomon* ut cum dispensatoribus suis in regionem Indiæ olim quidem Sophiram, nunc vero Auream terram nominatam navigarent, et aurum sibi afferrent. Et quum *illi* collegissent circiter quadringenta talenta, iterum ad regem reversi sunt.

5. Feminam autem Ægypto et Æthiopiæ imperitantem, sapientiæ studiis exercitam, et cetera quoque egregiam, audita Solomonis virtute et sapientia, ad ipsum adduxit cupido eum videndi et *audiendi* quæ ille de rebus circa se quoque die diceret. Nam ab experientia persuaderi volens, non fama et auditione (quæ, utpote a narrantium fide pendens, falsæ nonnunquam, ut fieri solet, opinioni assentitur, iterumque in contrariam vertitur) ad illum venire decrevit, eo præcipue animo, ut sapientiæ ejus experimentum faceret ipsa, illa proponendo quæ intelligere nequibat, rogandoque ut ea sibi explicata daret. Venit igitur Hierosolyma cum magna gloria et multo opum apparatu : secum enim adducebat camelos auro et aromatibus variis atque lapillis pretiosis onustos. Quum autem rex eam venientem libenter excepisset, et in ceteris ei obnixe studebat, et argutias propositas intellectu facile comprehendens opinione celerius solvebat. Illa vero et ad Solomonis quidem sapientiam stupebat, quum excellentem adeo ejus præstantiam ea quam fama acceperat majorem comperisset; præcipue vero regiam admirabatur quum ob pulcritudinem tum ob magnitudinem, et nihilo minus ob ædificiorum ordinationem : nam et in ea perspectam habuit magnam regis sapientiam. At

βασιλέως καθεώρα φρόνησιν. Ὑπερεξέπληττε δ' αὐτὴν ὅ τε οἶκος Δρυμῶν ἐπικαλούμενος Λιβάνου καὶ ἡ τῶν καθ' ἡμέραν δείπνων πολυτέλεια, καὶ τὰ τῆς παρασκευῆς αὐτοῦ καὶ διακονίας, ἥ τε τῶν ὑπηρετούντων ἐσθὴς καὶ τὸ μετ' ἐπιστήμης αὐτῶν περὶ τὴν διακονίαν εὐπρεπὲς, οὐχ ἥκιστα δὲ καὶ αἱ καθ' ἡμέραν ἐπιτελούμεναι τῷ Θεῷ θυσίαι καὶ τὸ τῶν ἱερέων καὶ Λευϊτῶν περὶ αὐτὰς ἐπιμελές. Ταῦθ' ὁρῶσα καθ' ἡμέραν ὑπερεθαύμαζε, καὶ κατασχεῖν οὐ δυνηθεῖσα τὴν ἔκπληξιν τῶν βλεπομένων, φανερὰν ἐποίησεν αὐτὴν θαυμαστικῶς διακειμένην. Πρὸς γὰρ τὸν βασιλέα προήχθη λόγους εἰπεῖν, ὑφ' ὧν ἠλέγχθη σφόδρα τὴν διάνοιαν ἐπὶ τοῖς προειρημένοις ἡττημένη. « Πάντα μὲν γάρ, εἶπεν, « ὦ βασιλεῦ, τὰ δι' ἀκοῆς εἰς γνῶσιν ἐρχόμενα μετ' « ἀπιστίας παραγίνεται· τῶν δὲ σῶν ἀγαθῶν ὧν αὐτός « τε ἔχεις ἐν σαυτῷ, λέγω δὲ τὴν σοφίαν καὶ τὴν φρό« νησιν, καὶ ὧν ἡ βασιλεία σοι δίδωσιν, οὐ ψευδὴς ἄρα « ἡ φήμη πρὸς ἡμᾶς διῆλθεν, ἀλλ' οὖσα ἀληθὴς πολὺ « καταδεεστέραν τὴν εὐδαιμονίαν ἀπέφηνεν ἧς ὁρῶ « νῦν παροῦσα. Τὰς μὲν γὰρ ἀκοὰς πείθειν ἐπεχείρει « μόνον, τὸ δὲ ἀξίωμα τῶν πραγμάτων οὐχ οὕτως « ἐποίει γνώριμον ὡς ἡ ὄψις αὐτὸ καὶ τὸ παρ' αὐτοῖς « εἶναι συνίστησιν. Ἔγωγ' οὖν, οὐδὲ τοῖς ἀπαγγελλο« μένοις διὰ πλῆθος καὶ μέγεθος ὧν ἐπυνθανόμην πι« στεύουσα, πολλῷ πλείω τούτων ἱστόρησα. Καὶ « μακάριόν τε τὸν Ἑβραίων λαὸν εἶναι κρίνω, δούλους « τε τοὺς σοὺς καὶ φίλους, οἳ καθ' ἡμέραν τῆς σῆς « ἀπολαύουσιν ὄψεως καὶ τῆς σοφίας ἀκροώμενοι διατε« λοῦσιν. Εὐλογήσειεν ἄν τις γοῦν τὸν Θεὸν, ἀγαπήσαντα τήνδε τὴν χώραν καὶ τοὺς ἐν αὐτῇ κατοικοῦντας οὕτως ὥστε σὲ ποιῆσαι βασιλέα. »

ς'. Παραστήσασα δὲ καὶ διὰ τῶν λόγων πῶς αὐτὴν διέθηκεν ὁ βασιλεὺς, ἔτι καὶ ταῖς δωρεαῖς τὴν διάνοιαν αὐτῆς ἐποίησε φανεράν. Εἴκοσι μὲν γὰρ αὐτῷ τάλαντα ἔδωκε χρυσίου, ἀρωμάτων τε πλῆθος ἀσυλλόγιστον, καὶ λίθον πολυτελῆ. Λέγουσι δ' ὅτι καὶ τὴν τοῦ ὀποβαλσάμου ῥίζαν, ἣν ἔτι καὶ νῦν ἡμῶν ἡ χώρα φέρει, δούσης ταύτης τῆς γυναικὸς ἔχομεν. Ἀντεδωρήσατο δ' αὐτὴν καὶ Σολομὼν πολλοῖς ἀγαθοῖς, καὶ μάλισθ' ὧν κατ' ἐπιθυμίαν ἐξελέξατο· οὐδὲν γὰρ ἦν ὅ τι δεηθεῖσα λαβεῖν οὐ παρέσχεν, ἀλλ' ἑτοιμότερος ὢν αὐτὸς κατὰ τὴν οἰκείαν ἐχαρίζετο προαίρεσιν, καὶ ἅπερ ἐκείνη τυχεῖν ἠξίου προϊέμενος, τὴν μεγαλοφροσύνην ἐπεδείκνυτο. Καὶ ἡ μὲν τῶν Αἰγυπτίων καὶ τῆς Αἰθιοπίας βασίλισσα, ὧν προειρήκαμεν τυχοῦσα καὶ μεταδοῦσα πάλιν τῷ βασιλεῖ τῶν παρ' αὐτῆς, εἰς τὴν οἰκείαν ὑπέστρεψεν.

maximam illi admirationem movebat et domus Silva Libani vocata et quotidianæ mensæ magnificentia, et quæ *ad apparatum regium famulatumque spectabant*, necnon administrorum vestitus, atque decorum quod in ministrando scite observabant. Non minori autem ei admirationi erant sacrificia quæ Deo singulis diebus faciebant, et sacerdotum et Levitarum circa ea cura et diligentia. Hisce quotidie visis, vehementer attonita hærebat, quumque adeo ad eorum aspectum perculsa esset et commota ut se continere non potuerit, palam fecit se mirum in modum affectam esse. Eo enim processit ut cum rege sermones sereret, quibus mentem suam *spectaculis* prædictis plane victam esse monstravit. « Equidem omnia, o rex, dicebat, quæ « ex rumore disseminato ad nos perveniunt, dubitationem « secum afferunt: de tuis vero bonis, quæ aut in te sita sunt, « sapientia *scilicet* ac prudentia, aut quæ regnum *tuum* « tibi suppeditat, non vana utique ad nos perlata est fama, « sed, vera licet, tuam tamen felicitatem ea quam nunc co« ram intueor multo minorem ad nos detulit. Nam *ea* qui« dem hoc solum agebat ut auribus persuaderet, res vero non « ita pro dignitate repræsentavit, atque eas ex visu ac præ« sentia notas exploratasque habui. Quo factum est ut ego, « iis quæ nunciabantur, quod multa adeo et magna fuerint « quæ audiveram, nequaquam credens, hisce multo ma« jora conspexerim. Porro et Hebræorum populum felicem « esse arbitror, et servos tuos et amicos, quibus datum est « quotidie vultum tuum aspicere, tuamque perpetuo audi« re sapientiam. Laudandus itaque est Deus, qui regio« nem hanc ejusque incolas adeo dilexit, ut te regem con« stitueret. »

6. Quum autem etiam verbis ostendisset quo modo eam affecerit rex, insuper et muneribus mentem suam quam testatissimam fecit. Nam ipsi donavit viginti auri talenta, et immensam aromatum vim, magnique pretii lapillos. Aiunt etiam quod opobalsami radicem, quam nostra etiamnum terra edit, huic mulieri acceptam ferimus. Illi autem Solomon bona vicissim multa dedit, maximeque ea quorum desiderio teneri visa est: nihil enim, quod ipsum poposcerat, ei negavit, sed, quum esset promptior, sponte sua in eam conferebat, ac largiendo quæcunque illa accipere cuperet, generosum animum ostendebat. Atque ita Ægyptiorum et Æthiopiæ regina, ea quæ diximus assequuta, et regi de suis etiam elargita, in patriam se recepit.

ΚΕΦ. Ζ'.

Κατὰ δὲ τὸν αὐτὸν καιρὸν κομισθέντων ἀπὸ τῆς Χρυσῆς καλουμένης γῆς λίθων πολυτελῶν τῷ βασιλεῖ καὶ ξύλων πευκίνων, τοῖς ξύλοις εἰς ὑποστηρίγματα τοῦ τε ναοῦ καὶ τῶν βασιλείων κατεχρήσατο, καὶ πρὸς τὴν τῶν μουσικῶν ὀργάνων κατασκευὴν, κινύρας τε

CAP. VII. (II.)

Eodem autem tempore allatis ex Aurea quæ dicitur terra pretiosis lapillis regi et piceis lignis, lignis usus est ad facienda tum templi tum regiæ fulcra, et ad instrumenta musica fabricanda, et citharas et nabla, quibus Levitæ

καὶ νάβλας, ὅπως ὑμνῶσιν οἱ Λευῖται τὸν Θεόν. Πάντων δὲ τῶν πώποτε κομισθέντων αὐτῷ τὰ κατ' ἐκείνην τὴν ἡμέραν ἐνεχθέντα καὶ μεγέθει καὶ κάλλει διέφερεν. Ὑπολάβῃ δὲ μηδεὶς ὅτι τὰ τῆς πεύκης ξύλα τοῖς νῦν εἶναι λεγομένοις καὶ ταύτην ὑπὸ τῶν πιπρασκόντων τὴν προσηγορίαν ἐπὶ καταπλήξει τῶν ὠνουμένων λαμβάνουσιν ἔστι παραπλήσια. Ἐκεῖνα γὰρ τὴν μὲν ἰδέαν ἐμφερῆ τοῖς συκίνοις γίνεται, λευκότερα δέ ἐστι καὶ στίλβει πλέον. Τοῦτο μὲν οὖν πρὸς τὸ μηδένα τὴν διαφορὰν ἀγνοῆσαι μηδὲ τὴν φύσιν τῆς ἀληθοῦς πεύκης, ἐπεὶ διὰ τὴν τοῦ βασιλέως χρείαν ἐμνήσθημεν αὐτῆς, εὔκαιρον εἶναι καὶ φιλάνθρωπον δηλῶσαι νομίσαντες, εἰρήκαμεν.

β'. Ὁ δὲ τοῦ χρυσοῦ σταθμὸς τοῦ κομισθέντος αὐτῷ τάλαντα ἑξακόσια καὶ ἑξήκοντα ἓξ, μὴ συγκαταριθμουμένου καὶ τοῦ ὑπὸ τῶν ἐμπόρων ὠνηθέντος, μηδ' ὧν οἱ τῆς Ἀραβίας τοπάρχαι καὶ βασιλεῖς ἔπεμπον αὐτῷ δωρεῶν. Ἐχώνευσε δὲ τὸν χρυσὸν εἰς διακοσίων κατασκευὴν θυρεῶν, ἀνὰ σίκλους ἀγόντων ἑξακοσίους. Ἐποίησε δὲ καὶ ἀσπίδας τριακοσίας, ἀγούσης ἑκάστης μνᾶς χρυσίου τρεῖς. Ἀνέθηκε δὲ ταῦτα φέρων εἰς τὸν οἶκον τὸν Δρυμῶνα Λιβάνου καλούμενον. Οὐ μὴν ἀλλὰ καὶ τὰ ἐκπώματα διὰ χρυσοῦ καὶ λίθου τὰ πρὸς τὴν ἑστίασιν ὡς ἔνι μάλιστα φιλοτέχνως κατεσκεύασε, καὶ τὴν ἄλλην τῶν σκευῶν δαψίλειαν χρυσέαν ἅπασαν ἐμηχανήσατο. Οὐδὲν γὰρ ἦν ὅ τις ἀργύρῳ ἐπίπρασκεν ἢ πάλιν ἐωνεῖτο. Πολλαὶ γὰρ ἦσαν ναῦς, ἃς ὁ βασιλεὺς ἐν τῇ Ταρσικῇ λεγομένῃ θαλάττῃ καταστήσας ἀπάγειν εἰς τὰ ἐνδοτέρω τῶν ἐθνῶν παντοίαν ἐμπορίαν προσέταξεν· ὧν ἐξεμπολουμένων ἄργυρος καὶ χρυσὸς ἐκομίζετο τῷ βασιλεῖ καὶ πολὺς ἐλέφας Αἰθίοπές τε καὶ πίθηκοι. Τὸν δὲ πλοῦν ἀπιοῦσαί τε καὶ ἐπανερχόμεναι τρισὶν ἔτεσιν ἤνυον.

γ'. Φήμη δὲ λαμπρὰ πᾶσαν ἐν κύκλῳ τὴν χώραν περιήρχετο διαδοῦσα τὴν Σολομῶνος ἀρετὴν καὶ σοφίαν, ὡς τούς τε πανταχῇ βασιλέας ἐπιθυμεῖν εἰς ὄψιν αὐτῷ παραγενέσθαι, τοῖς λεγομένοις δι' ὑπερβολὴν ἀπιστοῦντας, καὶ δωρεαῖς μεγάλαις προσεμφανίζειν τὴν περὶ αὐτὸν σπουδήν. Ἔπεμπον γὰρ αὐτῷ σκεύη χρυσᾶ καὶ ἀργυρᾶ καὶ ἁλουργεῖς ἐσθῆτας καὶ ἀρωμάτων γένη πολλὰ καὶ ἵππους καὶ ἅρματα, καὶ τῶν ἀχθοφόρων ἡμιόνων ὅσους καὶ ῥώμῃ καὶ κάλλει τὴν τοῦ βασιλέως ὄψιν εὖ διαθήσειν ἐπελέγοντο· ὥστε τοῖς οὖσιν αὐτῷ πρότερον ἅρμασι καὶ ἵπποις ἐκ τῶν πεμπομένων προσθέντα ποιῆσαι τὸν μὲν τῶν ἁρμάτων ἀριθμὸν τετρακοσίοις περισσότερον, (ἦν γὰρ αὐτῷ πρότερον χίλια,) τὸν δὲ τῶν ἵππων δισχιλίοις (ὑπῆρχον γὰρ αὐτῷ δισμύριοι ἵπποι). Ἥσκηντο δ' οὗτοι πρὸς εὐμορφίαν καὶ τάχος, ὡς μήτ' ἐκπρεπεστέρους ἄλλους εἶναι συμβάλλειν αὐτοῖς μήτε ὠκυτέρους, ἀλλὰ καλλίστους τε πάντων δρᾶσθαι, καὶ ἀπαραμίλλητον αὐτῶν εἶναι τὴν ὀξύτητα. Ἐπεκόσμουν δ' αὐτοὺς καὶ οἱ ἀναβαίνοντες, νεότητι μὲν πρῶτον ἀνθοῦντες ἐπιτερπεστάτῃ, τὸ δὲ ὕψος ὄντες περίοπτοι καὶ πολὺ τῶν ἄλλων ὑπερέχοντες, μηκίστας μὲν καθειμέ-

hymnos Deo canerent. Omnibus vero unquam antea ad eum advectis præstabant ea quæ tunc temporis erant apportata, tam pulcritudine quam magnitudine. Nemo autem existimet fuisse illa piceæ ligna iis similia quæ nunc esse dicuntur, et hanc a vendentibus appellationem accipiunt, ut ementibus incutiant admirationem. Illa enim similitudine quidem ficulnea referunt, sed candidiora sunt et splendidiora. Et hoc quidem, ne quis discrimen veræque piceæ naturam ignoret, dicere visum est id quod manifestum facere et tempestivum et humani ingenii officium esse duximus, quum ejus, utpote quod regi usui fuerit, meminerimus.

2. Erat autem auri pondus quod illi proveniebat, sexcenta et sexaginta sex talenta, illo quidem non annumerato quod emptum erat a mercatoribus, neque eo quod Arabiæ toparchæ regesque dono illi mittebant. Aurum vero conflavit, ut ex eo faceret scuta ducenta, siclos sexcentos singula pendentia. Trecentosque clypeos etiam fecit, quorum singuli tres auri minas pendebant. Atque hæc in domo, quæ Silva Libani vocatur, reposuit. Quinimo et pocula, quibus convivas exciperet, ex auro et lapide summo artificio elaborata paravit, ceteraque vasa, quorum vis ingens erat, ex auro omnia fabrefecit. Nihil enim erat quod quis argento venderet aut contra emeret. Nam magna erat classis, quam rex, in mari quod vocatur Tarsicum constitutam, ad interiores gentes omne genus merces asportare jussit : quibus commutatis aurum et argentum regi afferebatur, multumque eboris, et Æthiopes, et simiæ. Atque navigatione, dum iret rediretque classis, triennium absumebatur.

3. Famæ autem celebritas, quæ de Solomonis virtute et sapientia increbuit, omnes circumquaque regiones peragrabat, adeo ut qui ubique essent reges, sermonibus utpote fidem superantibus haud credentes, ejus in conspectum prodeundi desiderio flagrarent, magnisque muneribus sui in ipsum studii darent testimonium. Nam mittebant ipsi vasa aurea et argentea, et vestes purpureas, et multa aromatum genera, et equos currusque, et mulos ad sarcinas vehendas, quoscumque et robore et pulcritudine excellentes regem voluptate affecturos esse rebantur, adeo ut, si curribus et equis, quos ante habuerat, accenserentur qui missi erant, curruum quidem numerum quadringentis et amplius auctiorem effecerint, (prius enim ipsi mille erant,) equorum vero numerum duobus millibus (nam ante habebat equorum viginti millia). Isti autem ut et forma et celeritate præstarent exercitati erant, adeo ut nec alii formosiores exstarent aut velociores qui cum iis conferri possent, sed et pulcerrimi omnium conspicerentur, ceterosque pernicitate superarent. His autem decus adjiciebant etiam ii qui eos conscenderunt, primum quidem juventute florentes oculis gratissima, deinde statura conspicui et supra reliquos

νοι χαίτας, ἐνδεδυμένοι δὲ χιτῶνας τῆς Τυρίας πορφύρας. Ψῆγμα δὲ χρυσίου καθ' ἡμέραν αὐτῶν ἐπέσηθον ταῖς κόμαις, ὡς στίλβειν αὐτῶν τὰς κεφαλὰς τῆς αὐγῆς τοῦ χρυσίου πρὸς τὸν ἥλιον ἀνταναklωμένης. Τούτων περὶ αὐτὸν ὄντων ὁ βασιλεὺς καθωπλισμένων καὶ τόξα ἐξηρτημένων, ἐφ' ἅρματος αὐτὸς ὀχούμενος καὶ λευκὴν ἡμφιεσμένος ἐσθῆτα, πρὸς ἕω ἔθος εἶχεν ἐξορμᾶν. Ἦν δὲ χωρίον τι ἀπὸ δύο σχοίνων Ἱεροσολύμων ὃ καλεῖται μὲν Ἠθάμ, παραδείσοις δὲ καὶ ναμάτων ἐπιρροίαις ἐπιτερπὲς ὁμοῦ καὶ πλούσιον. Εἰς τοῦτο τὰς ἐξόδους αἰωρούμενος ἐποιεῖτο.

δ'. Θείᾳ δὲ περὶ πάντα χρώμενος ἐπινοίᾳ τε καὶ σπουδῇ, καὶ λίαν ὢν φιλόκαλος, οὐδὲ τῶν ὁδῶν ἠμέλησεν, ἀλλὰ καὶ τούτων τὰς ἀγούσας εἰς Ἱεροσόλυμα βασίλειον οὖσαν λίθῳ κατέστρωσε μέλανι, πρός τε τὸ ῥᾴστην εἶναι τοῖς βαδίζουσιν καὶ πρὸς τὸ δηλοῦν τὸ ἀξίωμα τοῦ πλούτου καὶ τῆς ἡγεμονίας. Διαμερίσας δὲ τὰ ἅρματα καὶ διατάξας, ὥστε ἐν ἑκάστῃ πόλει τούτων ἀριθμὸν ὡρισμένον ὑπάρχειν, αὐτὸς μὲν περὶ αὐτὸν ἐτήρησεν ὀλίγα, τὰς δὲ πόλεις ταύτας ἁρμάτων προσηγόρευσε. Τοῦ δ' ἀργυρίου τοσοῦτον ἐποίησε πλῆθος ἐν Ἱεροσολύμοις ὁ βασιλεὺς ὅσον ἦν καὶ τῶν λίθων, καὶ τῶν κεδρίνων ξύλων, οὐ πρότερον ὄντων, ὥσπερ καὶ τῶν δένδρων τῶν συκαμίνων πληθύει τὰ τῆς Ἰουδαίας πεδία. Προσέταξε δὲ καὶ τοῖς ἐμπόροις Αἰγύπτου κομίζουσιν αὐτῷ πιπράσκειν τὸ μὲν ἅρμα σὺν ἵπποις δυσὶν ἑξακοσίων δραχμῶν ἀργυρίου, αὐτός τε τοῖς τῆς Συρίας βασιλεῦσιν καὶ τοῖς πέραν Εὐφράτου διέπεμπεν αὐτούς.

ε'. Γενόμενος δὲ πάντων βασιλέων ἐνδοξότατος καὶ θεοφιλέστατος, καὶ φρονήσει καὶ πλούτῳ διενεγκὼν τῶν πρὸ αὐτοῦ τὴν Ἑβραίων ἀρχὴν ἐσχηκότων, οὐκ ἐπέμεινε τούτοις ἄχρι τελευτῆς, ἀλλὰ καταλιπὼν τὴν τῶν πατρίων ἐθισμῶν φυλακήν, οὐκ εἰς ὅμοιον οἷς προειρήκαμεν αὐτοῦ τέλος κατέστρεψεν. Εἰς δὲ γυναῖκας ἐκμανὴς καὶ τὴν τῶν ἀφροδισίων ἀκρασίαν, οὐ ταῖς ἐπιχωρίοις μόναις ἠρέσκετο, πολλὰς δὲ καὶ ἐκ τῶν ἀλλοτρίων ἐθνῶν γήμας, Σιδωνίας καὶ Τυρίας καὶ Ἀμμανίτιδας καὶ Ἰδουμαίας, παρέβη μὲν τοὺς Μωϋσέως νόμους, ὃς ἀπηγόρευσε συνοικεῖν ταῖς οὐχ ὁμοφύλοις, τοὺς δ' ἐκείνων ἥρξατο θρησκεύειν θεούς, ταῖς γυναιξὶ καὶ τῷ πρὸς αὐτὰς ἔρωτι χαριζόμενος, τοῦτ' αὐτὸ ὑπιδομένου τοῦ νομοθέτου καὶ προειπόντος μὴ γαμεῖν τὰς ἀλλοτριοχώρους, ἵνα μὴ τοῖς ξένοις ἐπιπλακέντες ἔθεσι τῶν πατρίων ἀποστῶσι, μηδὲ τοὺς ἐκείνων σέβωσι θεούς, παρέντες τιμᾶν τὸν ἴδιον. Ἀλλὰ τούτων μὲν κατημέλησεν ὑπενεχθεὶς εἰς ἡδονὴν ἀλόγιστον ὁ Σολομών. Ἀγαγόμενος δὲ γυναῖκας ἀρχόντων καὶ διασήμων θυγατέρας ἑπτακοσίας τὸν ἀριθμὸν καὶ παλλακὰς τριακοσίας, πρὸς δὲ ταύταις καὶ τὴν τοῦ βασιλέως τῶν Αἰγυπτίων θυγατέρα, εὐθὺς μὲν ἐκρατεῖτο πρὸς αὐτῶν, ὥστε μιμεῖσθαι τὰ παρ' ἐκείνων, καὶ τῆς εὐνοίας καὶ φιλοστοργίας ἠναγκάζετο παρέχειν αὐταῖς δεῖγμα τὸ βιοῦν ὡς αὐταῖς πάτριον ἦν. Προ-

multum eminentes, promissa cæsarie compti, Tyriæque purpuræ tunicis induti. Ad hæc scobem auream capillis quotidie inspergebant, ita ut capita ipsis radiarent, fulgore auri ad solem repercusso. His stipatus rex armatis et arcubus instructis, ipse curru gestatus et veste candenti amictus prima luce solebat urbem egredi. Erat autem locus quidam duobus schœnis ab Hierosolymis dissitus, qui Etham vocabatur, hortis et aquarum laticibus amœnus simul et copiosus. In hunc sublime vectus subinde proficiscebatur.

4. Quum autem summa sollertia et diligentia in omnibus uteretur et elegantiarum valde studiosus esset, ne viarum quidem curam insuper habuit, sed et harum quotquot Hierosolyma regiæ sedem ducebant nigro lapide constravit, tum ut commeantibus itu facilis esset *via*, tum ut divitiarum et imperii magnificentiam ostenderet. Curribus vero distributis dispositisque, ut singulis civitatibus certus eorum numerus esset, ipse quidem paucos apud se habuit, istas autem urbes curruum appellavit. Fecit etiam rex ut argenti Hierosolymis non minor foret copia quam et lapidum, cedrisque Judææ campos, ubi antea non visebantur, haud secus ac sycamoris complevit. Quin et mercatoribus Ægypti *res inde* deferentibus præcepit ut ipsi currus cum duobus equis addiceretur sexcentis drachmis argenteis, et ipse eos Syriæ regibus et Transeuphratensibus mittebat.

5. Quum autem exstitisset omnium regum gloriosissimus Deoque carissimus, et prudentia et divitiis omnes superasset qui ante illum Hebræorum imperium tenuerant, in iisdem ad extremum non permansit, sed a patriis moribus et institutis desciscendo haud convenienter iis, quæ jam memoravimus, vitam finivit. Nam insano feminarum amore ardens, rebusque venereis utens intemperanter, indigenarum consuetudine non acquiescebat, sed et multas ex gentibus extraneis ducendo, Sidonias et Tyrias et Ammanitidas et Idumæas, leges Moysis violavit, qui cavebat ne quis cum muliere alienigena matrimonio jungeretur, cœpitque illorum deorum cultui addici, uxoribus suoque in illas amori obsequens. Id quod ipse legislator suspectum habuerat, adeoque præmonuerat uxores ab alienis regionibus non esse accipiendas, ne ipsi externis ritibus impliciti a patriis deficerent, et ad illarum deos colendos pellicerentur, sui *Dei* honore spreto et neglecto. Sed istis quidem animum non advertit Solomon, insanæ voluptatis illecebris captus. Quum vero, præter *Pharaonis* Ægyptiorum regis filiam, uxores habuisset numero septingentas et concubinas trecentas, statim in earum potestatem concedebat, ut eadem, quæ illæ, facere non recusaverit, eoque ventum est ut, ad dandum suæ erga ipsas benevolentiæ magnique amoris indicium, in patrios illarum mores transire necesse habue-

βαινούσης δὲ τῆς ἡλικίας καὶ τοῦ λογισμοῦ διὰ τὸν χρόνον ἀσθενοῦντος ἀντέχειν πρὸς τὴν μνήμην τῶν ἐπιχωρίων ἐπιτηδευμάτων, ἔτι μᾶλλον τοῦ ἰδίου μὲν Θεοῦ κατωλιγώρησε, τοὺς δὲ τῶν γάμων τῶν ἐπεισάκτων τιμῶν διετέλει. Καὶ πρὸ τούτων δὲ ἁμαρτεῖν αὐτὸν ἔτυχε καὶ σφαλῆναι περὶ τὴν φυλακὴν τῶν νομίμων, ὅτε τὰ τῶν χαλκῶν βοῶν ὁμοιώματα κατεσκεύασε τῶν ὑπὸ τῇ θαλάττῃ τῷ ἀναθήματι καὶ τῶν λεόντων τῶν περὶ τὸν θρόνον τὸν ἴδιον (οὐδὲ γὰρ ταῦτα ποιεῖν ὅσιον) εἰργάσατο. Κάλλιστον δ' ἔχων καὶ οἰκεῖον παράδειγμα τῆς ἀρετῆς τὸν πατέρα καὶ τὴν ἐκείνου δόξαν, ἣν αὐτῷ συνέβη καταλιπεῖν διὰ τὴν πρὸς τὸν Θεὸν εὐσέβειαν, οὐ μιμησάμενος αὐτὸν, καὶ ταῦτα δὶς αὐτῷ τοῦ Θεοῦ κατὰ τοὺς ὕπνους φανέντος καὶ τὸν πατέρα μιμεῖσθαι παραινέσαντος, ἀκλεῶς ἀπέθανεν. Ἦκεν οὖν εὐθὺς ὁ προφήτης ὑπὸ τοῦ Θεοῦ πεμφθεὶς, οὔτε λανθάνειν αὐτὸν ἐπὶ τοῖς παρανομήμασι λέγων οὔτ' ἐπὶ πολὺ χαιρήσειν τοῖς πραττομένοις ἀπειλῶν, ἀλλὰ ζῶντος μὲν οὐκ ἀφαιρεθήσεσθαι τὴν βασιλείαν, ἐπεὶ τῷ πατρὶ Δαυίδῃ τὸ θεῖον αὐτὸν ὑπέσχετο διάδοχον ποιήσειν ἐκείνου, τελευτήσαντος δὲ τὸν υἱὸν αὐτοῦ ταῦτα διαθήσειν, οὐχ ἅπαντα μὲν τὸν λαὸν ἀποστήσας αὐτοῦ, δέκα μὲν φύλας παραδοὺς αὐτοῦ τῷ δούλῳ, δύο δὲ μόνας καταλιπὼν τῷ υἱωνῷ τοῦ Δαυίδου, δι' αὐτὸν ἐκεῖνον, ὅτι τὸν Θεὸν ἠγάπησεν, καὶ διὰ τὴν πόλιν Ἱεροσόλυμα, ἐν ᾗ ναὸν ἔχειν ἐβουλήθη.

ς'. Ταῦτα ἀκούσας Σολομὼν ἤλγησε καὶ σφοδρῶς συνεχύθη, πάντων αὐτῷ σχεδὸν τῶν ἀγαθῶν, ἐφ' οἷς ζηλωτὸς ἦν, εἰς μεταβολὴν ἐρχομένων πονηράν. Οὐ πολὺς δὲ διῆλθε χρόνος ἀφ' οὗ κατήγγειλεν ὁ προφήτης αὐτῷ τὰ συμβησόμενα, καὶ πολέμιον ἐπ' αὐτὸν εὐθὺς ἤγειρεν ὁ Θεὸς, Ἄδερον μὲν ὄνομα, τὴν δ' αἰτίαν τῆς ἔχθρας λαβόντα τοιαύτην. Παῖς οὗτος ἦν, Ἰδουμαῖος γένος, ἐκ βασιλικῶν σπερμάτων. Καταστρεψαμένου δὲ τὴν Ἰδουμαίαν Ἰωάβου τοῦ Δαυίδου στρατηγοῦ καὶ πάντας τοὺς ἐν ἀκμῇ καὶ φέρειν ὅπλα δυναμένους διαφθείραντος μησὶν ἓξ, μόνος οὗτος φυγὼν ἦκε πρὸς τὸν Φαραῶνα τῶν Αἰγυπτίων βασιλέα. Ὁ δὲ φιλοφρόνως αὐτὸν ὑποδεξάμενος οἶκόν τε αὐτῷ δίδωσι καὶ χώραν εἰς διατροφὴν, καὶ γενόμενον ἐν ἡλικίᾳ λίαν ἠγάπα, ὡς καὶ τῆς αὐτοῦ γυναικὸς αὐτῷ δοῦναι πρὸς γάμον τὴν ἀδελφὴν, ὄνομα Θαφίνην· ἐξ ἧς υἱὸς αὐτῷ γενόμενος τοῖς τοῦ βασιλέως παισὶ συνανετράφη. Ἀκούσας οὖν τὸν Δαυίδου θάνατον ἐν Αἰγύπτῳ καὶ τὸν Ἰωάβου, προσελθὼν ἐδεῖτο τοῦ Φαραῶνος ἐπιτρέπειν αὐτῷ βαδίζειν εἰς τὴν πατρίδα. Τοῦ δὲ βασιλέως ἀνακρίνοντος τίνος ἐνδεὴς ὢν ἢ τί παθὼν ἐσπούδακε καταλιπεῖν αὐτὸν, ἐνοχλῶν πολλάκις καὶ παρακαλῶν, τότε μὲν οὐκ ἀφείθη, κατ' ἐκεῖνον δὲ τὸν καιρὸν, καθ' ὃν ἤδη Σολομῶνι τὰ πράγματα κακῶς ἔχειν ἤρχετο διὰ τὰς προειρημένας παρανομίας καὶ τὴν ὀργὴν τὴν ἐπ' αὐτοῖς τοῦ Θεοῦ, συγχωρήσαντος Φαραῶνος ὁ Ἄδερος ἦκεν εἰς τὴν Ἰδουμαίαν. Καὶ μὴ δυνηθεὶς αὐτὴν ἀποστῆσαι τοῦ Σολομῶνος (κατεῖχετο γὰρ φρουραῖς πολ-

rit. Ætate autem ingravescente et ratione inde debiliore facta quam ut gentilia instituta in memoriam revocare potuerit, magis adhuc Deum quidem suum neglexit, in illorum vero, quos alienigenarum nuptiæ invexerant, cultu perseveravit. Etiam antea contigerat ut offenderet et in legis præceptis observandis laberetur, quando boum æneorum simulacra fecit sub donario, quod maris nomine appellabatur, et leonum *effigies* suum circa solium (neque enim istas facere licitum erat) fabricari curavit. Quum autem patrem pulcerrimum et familiare virtutis exemplum habuerit gloriæque illius hæreditatem, quam illi ob pietatem erga Deum datum erat filio relinquere, hic tamen ejus vestigiis non institerit, idque postquam ei Deus in somnis semel atque iterum apparuerat, præceperatque ut patris mores imitaretur, non sine dedecore mortem obiit. Ad eum itaque statim post hæc vates accedit a Deo missus, ipsum inter tot flagitia nequaquam latere dicens, minitansque fore ut diu istis factis non lætaretur, verum ipsi quidem dum viveret non ereptum iri regnum, quod Davidi patri promisisset Deus, se facturum esse ut ille ei in imperio succederet; quum vero obiisset, istud mali illaturum esse filio, non tamen ut populum universum ab eo secedere faceret, sed ut decem quidem tribus servo illius traderet, duas vero solas nepoti Davidis relinqueret, idque illius gratia, quod Deum dilexerit, et urbis Hierosolymorum, ubi templum habere voluerit.

6. Solomoni his auditis obortus est dolor, animoque valde erat perturbatus, omnibus fere bonis suis, quæ ipsum beatum reddiderant, in pejus mutatis. Verum non ita multum temporis interim fuit, ex quo vates quæ eventura erant illi nunciarat, dum adversarium ei Deus suscitavit, Aderum nomine; cui cum illo inimicitiæ intercesserant hujusmodi de causa. Hic puer erat, genere Idumæus, de regio sanguine. Quum vero Joabus copiarum Davidis præfectus Idumæam subegisset, atque adultos omnes et qui arma ferre poterant sex mensium spatio peremisset, solus ille fuga elapsus ad Pharaonem regem Ægypti se contulerat. Ille autem, quum benigne eum excepisset, et domum ei dedit et agrum unde viveret, et postquam adolevit, valde eum diligebat, ita ut conjugis suæ sororem, Thaphinen nomine, ei in matrimonium daret: ex qua filium sustulit, qui una cum regis liberis erat educatus. At postquam apud Ægyptios intellexit Davidem mortuum esse pariterque Joabum, Pharaone adito, ab eo petiit ut in patriam revertere ipsi liceret. Pharaone autem interrogante, qua re egens quave injuria affectus ipsum relinquere cuperet, quum sæpius ipsi importune insisteret multumque eum obsecraret, tunc quidem non dimissus est; illo autem tempore, ut jam res Solomonis labare et affligi cœperant ob peccata ante dicta et Dei propter illa indignationem, permissu Pharaonis Idumæam repetebat Aderus. Et quum eam frustra ad defectionem a Solomone sollicitasset, (nam

λαῖς καὶ οὐκ ἦν ἐλεύθερος δι' αὐτὰς οὐδ' ἐπ' ἀδείας ὁ νεωτερισμός,) ἄρας ἐκεῖθεν εἰς τὴν Συρίαν ἀφίκετο. Συμβαλὼν δ' ἐκεῖ τινὶ Ῥααζάρῳ μὲν τοὔνομα, τὸν δὲ τῆς Σωφηνῆς ἀποδεδρακότι βασιλέα Ἀδράζαρον δεσπότην ὄντα, καὶ λῃστεύοντι τὴν χώραν, εἰς φιλίαν αὐτῷ συνάψας, ἔχοντι περὶ αὐτὸν στῖφος λῃστρικὸν, ἀναβαίνει, καὶ κατασχὼν τὴν ἐκεῖ Συρίαν βασιλεὺς αὐτῆς ἀποδείκνυται, καὶ κατατρέχων τὴν τῶν Ἰσραηλιτῶν γῆν ἐποίει κακῶς καὶ διήρπαζε Σολομῶνος ἔτι ζῶντος. Καὶ ταῦτα μὲν ἐκ τοῦ Ἀδέρου συνέβαινε πάσχειν τοὺς Ἑβραίους.

ζ'. Ἐπιτίθεται δὲ Σολομῶνι καὶ τῶν ὁμοφύλων τις Ἱεροβόαμος, υἱὸς Ναβαταίου, κατὰ προφητείαν πάλαι γενομένην αὐτῷ τοῖς πράγμασιν ἐπελπίσας. Παῖδα γὰρ αὐτὸν ὑπὸ τοῦ πατρὸς καταλειφθέντα καὶ ὑπὸ τῇ μητρὶ παιδευόμενον ὡς εἶδε γενναῖον καὶ τολμηρὸν Σολομὼν ὄντα τὸ φρόνημα, τῆς τῶν τειχῶν οἰκοδομίας ἐπιμελητὴν κατέστησεν, ὅτε τοῖς Ἱεροσολύμοις τὸν κύκλον περιέβαλεν. Οὕτω δὲ τῶν ἔργων προενόησεν, ὥστε ὁ βασιλεὺς αὐτὸν ἀπεδέξατο καὶ γέρας αὐτῷ στρατηγίαν ἐπὶ τῆς Ἰωσήπου φυλῆς ἔδωκεν. Ἀπερχομένῳ δὲ τῷ Ἱεροβοάμῳ κατ' ἐκεῖνον τὸν καιρὸν ἐκ τῶν Ἱεροσολύμων συνήντησε προφήτης, ἐκ πόλεως μὲν Σιλὼ, Ἀχίας δὲ ὄνομα. Καὶ προσαγορεύσας αὐτὸν ἀπήγαγεν ἐκ τῆς ὁδοῦ μικρὸν ἀπονεύσας εἴς τι χωρίον, εἰς ὃ μὴ παρῆν μηδὲ εἷς ἄλλος· σχίσας δ' εἰς δώδεκα φάρση τὸ ἱμάτιον, ὅπερ ἦν αὐτὸς περιβεβλημένος, ἐκέλευσε τὸν Ἱεροβόαμον λαβεῖν τὰ δέκα, προειπὼν ὅτι « ταῦτα ὁ Θεὸς βούλεται, καὶ σχίσας τὴν Σολο-
« μῶνος ἀρχὴν τῷ παιδὶ μὲν τῷ τούτου, διὰ τὴν πρὸς
« Δαυίδην γενομένην ὁμολογίαν αὐτῷ, μίαν φυλὴν
« καὶ τὴν ἐξῆς αὐτῆς δίδωσι, σοὶ δὲ τὰς δέκα, Σολο-
« μῶνος εἰς αὐτὸν ἐξαμαρτόντος καὶ ταῖς γυναιξὶ καὶ
« τοῖς ἐκείνων θεοῖς αὐτὸν ἐκδεδωκότος. Εἰδὼς οὖν τὴν
« αἰτίαν δι' ἣν μετατίθησι τὴν αὐτοῦ γνώμην ἀπὸ Σο-
« λομῶνος ὁ Θεὸς, δίκαιος εἶναι πειρῶ καὶ φύλαττε τὰ
« νόμιμα, προκειμένου σοὶ τῆς εὐσεβείας καὶ τῆς πρὸς
« Θεὸν τιμῆς ἆθλου μεγίστου τῶν ἁπάντων, γενήσεσθαι
« τηλικοῦτον ἡλίκον οἶσθα Δαυίδην γενόμενον. »

η'. Ἐπαρθεὶς οὖν τοῖς τοῦ προφήτου λόγοις ὁ Ἱεροβόαμος, φύσει θερμὸς ὢν νεανίας καὶ μεγάλων ἐπιθυμητὴς πραγμάτων, οὐκ ἠρέμει. Γενόμενος δὲ ἐν τῇ στρατηγίᾳ καὶ μεμνημένος τῶν ὑπὸ Ἀχίᾳ δεδηλωμένων, ἀναπείθειν ἐπεχείρει τὸν λαὸν ἀφίστασθαι Σολομῶνος καὶ κινεῖν καὶ παρατάττειν εἰς αὐτὸν τὴν ἡγεμονίαν. Μαθὼν δὲ τὴν διάνοιαν αὐτοῦ καὶ τὴν ἐπιβουλὴν ὁ Σολομὼν ἐζήτει συλλαβὼν αὐτὸν ἀνελεῖν. Φθάσας δὲ τοῦτο γνῶναι Ἱεροβόαμος πρὸς Σούσακον φεύγει τὸν Αἰγυπτίων βασιλέα, καὶ μέχρι τῆς Σολομῶνος τελευτῆς ἐκεῖ μείνας τό τε μηδὲν ὑπ' αὐτοῦ παθεῖν ἐκέρδησε καὶ τὸ τῇ βασιλείᾳ φυλαχθῆναι. Ἀποθνήσκει δὲ ὁ Σολομὼν ἤδη γηραιὸς ὢν, βασιλεύσας μὲν ὀγδοήκοντα ἔτη, ζήσας δὲ ἐνενήκοντα τέσσαρα· θάπτεται δὲ ἐν Ἱεροσολύμοις, ἅπαντας ὑπερβαλὼν εὐδαι-

multis præsidiis obsepta erat, adeo ut impune res novas moliri non potuerit,) profectus inde in Syriam transiit. Illic vero obviam factus cuidam Raazaro nomine, qui ab Adrazaro Sophenes rege domino suo aufugerat et regionem latrociniis vexabat, junctus ei amicitiæ fœdere, qui latronum manu stipatus erat, sursum progreditur, eaque Syriæ parte occupata, rex ejus declaratur, et excursionibus in Israelitarum ditionem factis, dum adhuc in vivis esset Solomon, eam infestabat et diripiebat. Atque istiusmodi quidem Hebræis ex Adero accidit calamitas.

7. Ad hæc autem ejusdem gentis homo, Hieroboamus, Nabataei filius, Solomonem adoritur, ad bene sperandum de rebus adductus prophetæ oraculo sibi olim edito. Is, a patre puer relictus, a matre educatus erat: quem quum Solomon animadvertisset forti magnoque animo præditum, murorum structuræ eum præfecit, quando Hierosolyma mœnibus cingebat. Opera autem tam bene curavit, ut rex eum approbaret laudaretque, eique præmium daret præfecturam tribus Josephi. Ubi vero Hieroboamus sub idem tempus Hierosolymis egreditur, vates ei occurrit ex Silunte oppido, Achias nomine. Qui quum illum salutasset, e via paululum deflexus secum in agrum quendam abduxit, ubi nemo præterea aderat, scissoque in duodecim frusta pallio, quo ipse erat amictus, jussit Hieroboamum decem sumere, præfatus, « Deus ista vult, scissoque Solomonis
« imperio, filio quidem ejus, quod illi se ita facturum esse
« promisisset Davidi, tribum unam cum altera ei finitima
« dat, tibi vero decem, quod Solomon in ipsum deliquit,
« atque mulieribus et diis earum totum se dedidit. Quare
« quum tibi exploratum sit cur Deus animi sententiam
« de Solomone mutaverit, fac justitiam colas legisque in-
« stituta conserves, præsertim quum ob pietatem ac religio-
« nem præmium omnium maximum tibi sit propositum,
« nimirum ut eo colloceris dignitatis fastigio, ad quod Da-
« videm nosti fuisse provectum. »

8. Hieroboamus itaque, juvenis natura fervidus et magnarum rerum appetens, his vatis sermonibus elatus non quiescebat. Quum vero ad præfecturam se contulisset, ipsique in memoriam venissent quæ Achias declaraverat, illico cœpit populum sollicitare ut a Solomone deficerent, et res novas moliri, idque agere ut principatus ipsi cederet. Solomon autem, ejus voluntate et insidiis intellectis, eum quærebat ut comprehensum perimeret. At Hieroboamus, quum mature hoc rescivisset, ad Susacum Ægyptiorum regem profugit, atque illic manendo usque ad Solomonis interitum, non solum id assequutus est ut nihil mali ab ipso pateretur, sed ut regno etiam servaretur. Solomon autem jam admodum senex vita decedit, quum regnasset quidem per annos octoginta, vixisset autem nonaginta quattuor, sepeliturque Hierosolymis, omnium regum felicissimus et

μονίᾳ τε καὶ πλούτῳ καὶ φρονήσει τοὺς βασιλεύσαντας, εἰ μὴ ὅσα γε πρὸς γῆρας ὑπὸ τῶν γυναικῶν ἀπατηθεὶς παρενόμησε· περὶ ὧν καὶ τῶν δι' αὐτὰς κακῶν συμπεσόντων Ἑβραίοις εἰς καιρὸν ἕτερον ἔδοξέ μοι διασαφῆσαι.

ΚΕΦ. Η'.

Μετὰ δὲ τὴν τοῦ Σολομῶνος τελευτὴν διαδεξαμένου τοῦ παιδὸς αὐτοῦ τὴν βασιλείαν Ῥοβοάμου, ὃς ἐκ γυναικὸς Ἀμμανίτιδος ὑπῆρχεν αὐτῷ γεγονώς, Νοομᾶς τοὔνομα, πέμψαντες εὐθὺς εἰς τὴν Αἴγυπτον οἱ τῶν ὄχλων ἄρχοντες, ἐκάλουν τὸν Ἱεροβόαμον. Ἀφικομένου δὲ πρὸς αὐτοὺς εἰς Σίκιμα πόλιν καὶ Ῥοβόαμος εἰς αὐτὴν παραγίνεται· ἐδέδοκτο γὰρ αὐτῷ ἐκεῖσε συνελθοῦσι τοῖς Ἰσραηλίταις ἀποδεῖξαι αὐτὸν βασιλέα. Προσελθόντες οὖν οἵ τε ἄρχοντες αὐτῷ τοῦ λαοῦ καὶ Ἱεροβόαμος παρεκάλουν λέγοντες ἀνεῖναί τι τῆς δουλείας αὐτοῖς καὶ γενέσθαι χρηστότερον τοῦ πατρός· βαρὺν γὰρ ὑπ' ἐκείνῳ ζυγὸν αὐτοὺς ὑπενεγκεῖν· εὐνούστεροι δὲ ἔσεσθαι πρὸς αὐτὸν καὶ ἀγαπήσειν τὴν δουλείαν διὰ τὴν ἐπιείκειαν ἢ διὰ τὸν φόβον. Ὁ δὲ μετὰ τρεῖς ἡμέρας εἰπὼν αὐτοῖς ἀποκρίνεσθαι περὶ ὧν ἀξιοῦσιν, ὕποπτος μὲν εὐθὺς γίνεται, μὴ παραχρῆμα ἐπινεύσας αὐτοῖς τὰ πρὸς ἡδονήν· πρόχειρον γὰρ ἠξίουν εἶναι τὸ χρηστὸν καὶ φιλάνθρωπον, καὶ τοῦτ' ἐν νέῳ. Ἐδόκει δ' ὅμως καὶ τὸ βουλεύσασθαι τοῦ μὴ παραυτίκα ἀπειπεῖν ἀγαθῆς ἐλπίδος ἔχεσθαι.

β'. Συγκαλέσας δὲ τοὺς πατρῴους φίλους, ἐσκοπεῖτο μετ' αὐτῶν ποταπὴν δεῖ ποιήσασθαι τὴν ἀπόκρισιν πρὸς τὸ πλῆθος. Οἱ δ', ἅπερ εἰκὸς τοὺς εὔνους καὶ φύσιν ὄχλων εἰδότας, παρῄνουν αὐτῷ φιλοφρόνως ὁμιλῆσαι τῷ λαῷ καὶ δημοτικώτερον ἢ κατὰ βασιλείας ὄγκον· χειρώσεσθαι γὰρ οὕτως εἰς εὔνοιαν αὐτὸν, φύσει τῶν ὑπηκόων ἀγαπώντων τὸ προσηνὲς καὶ τὸ παρὰ μικρὸν ἰσότιμον τῶν βασιλέων. Ὁ δ' ἀγαθὴν οὕτω καὶ συμφέρουσαν ἴσως πρὸς τὸ πᾶν, εἰ δὲ μή, πρός γε τὸν τότε καιρὸν ὅτ' ἔδει γενέσθαι βασιλέα, γνώμην ἀπεστράφη, τοῦ Θεοῦ ποιήσαντος, οἶμαι, κατακριθῆναι τὸ συμφέρον ὑπ' αὐτοῦ. Καλέσας δὲ τὰ μειράκια τὰ συντεθραμμένα καὶ τὴν τῶν πρεσβυτέρων αὐτοῖς συμβουλίαν εἰπὼν, τί δοκεῖ ποιεῖν αὐτοῖς ἐκέλευσε λέγειν. Τὰ δὲ (οὔτε γὰρ ἡ νεότης οὔτε ὁ Θεὸς ἠφίει νοεῖν τὰ κρείττω) παρῄνεσαν ἀποκρίνεσθαι τῷ λαῷ τὸν βραχύτερον αὐτοῦ δάκτυλον τῆς τοῦ πατρὸς ὀσφύος εἶναι παχύτερον, καὶ εἰ σκληρότητος ἐπειράθησαν ἐκείνου, πολὺ μᾶλλον αὐτοῦ λήψεσθαι πεῖραν δυσκόλου, καὶ εἰ μάστιξιν αὐτοὺς ἐνουθέτει, σκορπίοις τοῦτο ποιήσειν αὐτὸν προσδοκᾶν. Τούτοις ἡσθεὶς ὁ βασιλεὺς καὶ δόξας προσήκειν τῷ τῆς ἀρχῆς ἀξιώματι τὴν ἀπόκρισιν, ὡς συνῆλθεν ἀκουσόμενον τὸ πλῆθος τῇ τρίτῃ τῶν ἡμερῶν, μετεώρου τοῦ λαοῦ παντὸς ὄντος καί τι λέγοντος ἀκοῦσαι τοῦ βασιλέως ἐσπουδακότος, οἰομένου δέ τι καὶ φιλάνθρωπον, τὴν τῶν μειρακίων αὐτοῖς συμβουλίαν, παρεὶς τὴν τῶν φίλων, ἀπεκρίνατο. Ταῦτα δ' ἐπράτ-

opulentissimus atque prudentissimus, exceptis iis in quibus jam senescens peccavit, a mulieribus in errorem inductus: de quibus, pariterque de malis quæ inde consequuta sunt et Hebræos afflixerunt, visum est mihi alio tempore narrationem facere.

CAP. VIII. (III.)

Ceterum post mortem Solomonis filio ejus Roboamo in regnum succedente, qui ex muliere Ammanitide, Nooma nomine, ei natus erat, plebis duces, nunciis statim in Ægyptum missis, Hieroboamum revocabant. Quum autem ad eos in urbem Sicima venisset, etiam Roboamus eodem pervenit: ipsi enim placuerat Israelitis, qui eo convenerant, semet regem ostendere. Eum ergo adeuntes principes populi simul et Hieroboamus supplici voce rogarunt, ut aliquid de servitio ipsis remitteret, et patre suo clementior esse vellet: ipsos enim grave sub eo jugum pertulisse; fore autem ut eos sibi magis benevolos habeat, libentiusque ei servituros, si mitius illos tractet, quam si metu coerceat. Ille vero, quum dixisset se post triduum ipsis de iis quæ postularunt responsurum, statim quidem in suspicionem venit, quod sine mora votis eorum non annuisset: nam ingenium hominum, præsertim in adolescentia, ad benignitatem et humanitatem proclive esse censebant. Bonæ tamen spei aliquid subesse videbatur, quod *ea de re* consultaverit et non e vestigio repulsam dederit.

2. Ille autem, convocatis paternis amicis, eos in consilium adhibuit de responso quod populo dari oporteret. Atque isti, id quod viros benevolos vulgique indolis gnaros facere verisimile erat, ei suaserunt ut populo se humanum præberet comiterque illos alloqueretur, et se aliquanto magis demitteret quam ferret fastus regius: ea enim via capturum esse multitudinis favorem, quum ita natura comparatum sit ut subditi nihil adeo ament ac ut reges illis benignos et fere pares se præstent. At is utilem adeo sententiam et forsan in omne tempus profuturam, sin minus, tum certe quum regem fieri oporteret, aversatus est, Deo, ut puto, id agente, ut istud condemnaret quod ad rem suam faceret: accitisque juvenibus, qui cum eo educati erant, illisque exposito quod senes ei dederant consilio, jussit proferre quid ipsis facto opus esse videretur. Illi autem, quia nec per ætatem poterant, nec Deus sinebat meliora cernere, suaserunt ut populo responderet, suorum digitorum minimum crassiorem esse quam sui patris medium corporis truncum; quodsi *servitutis* duritatem sub illo experti fuerint, multo magis experiundo ipsum durum difficilemque esse sensuros, ac si ille in eos scuticis animadverterit, exspectandum ut ipse scorpiis animadvertat. His delectatus rex ratusque imperii dignitatem decere hoc responsum, postquam tertia die populus ad audiendum convenit, cunctis exspectatione suspensis omnique studio agentibus ut verba regis audirent, existimantibus eum benigni aliquid humanique dicturum esse, neglecto amicorum consilio ex juvenum sententia respondit.

τετο κατὰ τὴν τοῦ Θεοῦ βούλησιν, ἵνα λάβῃ τέλος ἃ προεφήτευσεν Ἀχίας.

γ'. Πληγέντες δὲ ὑπὸ τῶν λόγων ὡς ὑπὸ σιδήρου καὶ ἀλγήσαντες ὡς ἐπὶ πείρᾳ τοῖς εἰρημένοις ἠγανάκτησαν, καὶ μέγα πάντες ἐκβοήσαντες οὐκέτι οὐδὲν αὐτοῖς εἶναι συγγενὲς πρὸς Δαυίδην καὶ τοὺς ἀπ' αὐτοῦ μετ' ἐκείνην ἔφασαν τὴν ἡμέραν· παραχωρεῖν δ' αὐτῷ μόνον τὸν ναὸν, ὃν ὁ πατὴρ αὐτοῦ κατεσκεύασεν, εἰπόντες καταλείψειν ἠπείλησαν. Οὕτω δ' ἔσχον πικρῶς καὶ τὴν ὀργὴν ἐτήρησαν ὡς πέμψαντος αὐτοῦ τὸν ἐπὶ τῶν φόρων Ἀδώραμον, ἵνα καταπραΰνῃ καὶ συγγνόντας τοῖς εἰρημένοις, εἴ τι προπετὲς ὑπὸ νεότητος καὶ δύσκολον ἦν ἐν αὐτοῖς, ποιήσειε μαλακωτέρους, οὐχ ὑπέμειναν, ἀλλὰ βαλόντες αὐτὸν λίθοις ἀπέκτειναν. Τοῦτ' ἰδὼν Ῥοβόαμος καὶ νομίσας αὐτὸν βεβλῆσθαι τοῖς λίθοις, οἷς τὸν ὑπηρέτην ἀπέκτεινεν αὐτοῦ τὸ πλῆθος, δείσας μὴ καὶ ἔργῳ πάθῃ τὸ δεινὸν, ἐπιβὰς εὐθὺς ἐπὶ ἅρματος ἔφυγεν εἰς Ἱεροσόλυμα. Καὶ ἡ μὲν Ἰούδα φυλὴ καὶ ἡ Βενιαμῖτις χειροτονοῦσιν αὐτὸν βασιλέα, τὸ δὲ ἄλλο πλῆθος ἀπ' ἐκείνης τῆς ἡμέρας τῶν Δαυίδου παίδων ἀποστὰν τὸν Ἱεροβόαμον ἀπέδειξε τῶν πραγμάτων κύριον. Ῥοβόαμος δὲ ὁ Σολομῶνος παῖς, ἐκκλησίαν ποιήσας τῶν δύο φυλῶν ἃς εἶχεν ὑπηκόους, οἷός τε ἦν λαβὼν ὀκτωκαίδεκα παρ' αὐτῶν στρατοῦ μυριάδας ἐπιλέκτους ἐξελθεῖν ἐπὶ τὸν Ἱεροβόαμον καὶ τὸν λαὸν, ὅπως πολεμήσας ἀναγκάσῃ δουλεύειν σφίσιν. Κωλυθεὶς δὲ ὑπὸ τοῦ Θεοῦ διὰ τοῦ προφήτου ποιήσασθαι τῆς στρατείαν, (οὐ γὰρ εἶναι δίκαιον τοὺς ὁμοφύλους πολεμεῖν οὗτος ἔλεγε, καὶ ταῦτα κατὰ τὴν τοῦ Θεοῦ πρόρρησιν τῆς τοῦ πλήθους ἀποστάσεως γεγενημένης,) οὐκέτ' ἐξῆλθε. Διηγήσομαι δὲ πρῶτον ὅσα Ἱεροβόαμος ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς ἔπραξεν, εἶτα δὲ τούτων ἐχόμενα τὰ ὑπὸ Ῥοβοάμου τοῦ τῶν δύο φυλῶν βασιλέως γεγενημένα δηλώσομεν. Φυλαχθείη γὰρ ἂν οὕτως ἄχρι παντὸς τῆς ἱστορίας τὸ εὔτακτον.

δ'. Ὁ τοίνυν Ἱεροβόαμος οἰκοδομήσας βασίλειον ἐν Σικίμῃ πόλει, ἐν ταύτῃ τὴν δίαιταν εἶχε· κατεσκεύασε δὲ καὶ ἐν Φανουὴλ πόλει λεγομένῃ. Μετ' οὐ πολὺ δὲ τῆς σκηνοπηγίας ἑορτῆς ἐνίστασθαι μελλούσης, λογισάμενος ὡς ἐὰν ἐπιτρέψῃ τῷ πλήθει προσκυνῆσαι τὸν Θεὸν εἰς Ἱεροσόλυμα πορευθέντι καὶ ἐκεῖ τὴν ἑορτὴν διαγαγεῖν, μετανοῆσαν ἴσως καὶ δελεασθὲν ὑπὸ τοῦ ναοῦ καὶ τῆς θρησκείας τῆς ἐν αὐτῷ τοῦ Θεοῦ καταλείψει μὲν αὐτὸν, προσχωρήσει δὲ τῷ πρώτῳ βασιλεῖ, καὶ κινδυνεύσει τούτου γενομένου τὴν ψυχὴν ἀποβαλεῖν, ἐπιτεχνᾶταί τι τοιοῦτον. Δύο ποιήσας δαμάλεις χρυσᾶς καὶ οἰκοδομήσας ναΐσκους τοσούτους, ἕνα μὲν ἐν Βεθήλῃ πόλει, τὸν ἕτερον δὲ ἐν Δάνῃ, (ἡ δέ ἐστι πρὸς ταῖς πηγαῖς τοῦ μικροῦ Ἰορδάνου,) τίθησι τὰς δαμάλεις ἐν ἑκατέρῳ τῶν ἐν ταῖς προειρημέναις πόλεσι ναΐσκων· καὶ συγκαλέσας τὰς δέκα φυλὰς ὧν αὐτὸς ἦρχεν, ἐδημηγόρησε τούτους ποιησάμενος τοὺς λόγους· « ἄνδρες ὁμόφυλοι, « γινώσκειν ὑμᾶς νομίζω τοῦτο, ὅτι πᾶς τόπος ἔχει τὸν

Hæc vero ex Dei voluntate gerebantur, ut eventus illa comprobaret, quæ prædixerat Achias.

3. Istis autem verbis veluti ferro percussi, dictisque haud secus ac experiundo graviter affecti, ad indignationem adducti sunt, unoque ore magna cum vociferatione dixerunt ex illo die nihil ipsis affinitatis esse cum Davide ejusque progenie, adjectoque se illi solum cedere templo quod pater ipsius exstruxerat, eum relicturos esse minati sunt. Atque adeo erant exacerbati et iracundia eo usque exarserunt, ut, quum ad eos misisset rex Adoramum tributis præfectum, qui *sævientes* mitigaret, et veniam dictis impetrando, si quid in illis juveniliter temerarium fuerit et submorosum, redderet placatiores, non sustinuerint, sed lapidibus obrutum necarint. Quum hoc vidisset Roboamus et existimasset se iisdem lapidibus peti quibus ministrum suum populus interemerat, veritus ne revera id mali pateretur, illico curru conscenso Hierosolyma se fuga recipit. Et Judæ quidem tribus atque Benjamitica regem eum constituere, cetera vero multitudo, inde ab illo die a Davidis stirpe alienata, summæ rei præfecerunt Hieroboamum. Roboamus autem Solomonis filius, duarum tribuum, quas sibi obtemperantes habuit, concione advocata, quum ex earum exercitu hominum centum et octoginta millia lectorum sibi assumpsisset, proficisci parabat contra Hieroboamum populumque, ut eos armorum vi sibi servire cogeret. Verum a Deo per vatem ab expeditione inhibitus, (ille enim submonebat haud fas esse ut qui ex eadem gente sint bellum iis inferrent, præsertim quum auctore Deo facta fuerit hæc populi secessio,) non jam egressus est. Mihi autem statutum est prius narrare quæ gesserit Hieroboamus Israelitarum rex, ac tum demum res gestas a Roboamo duarum tribuum rege memorare. Sic enim per omnia suus historiæ ordo conservabitur.

4. Quum itaque Hieroboamus regiam construxisset in civitate Sicima, in ea habitavit; atque aliam insuper ædificari curavit in urbe Phanuel dicta. Non multo post quum scenopegiæ festum instaret, reputans secum, si populo concesserit ire Hierosolyma ut Deum adorarent, festumque illic agitarent, fore ut fortasse pœnitentia ducti, ac templi splendore cultusque in eo divini apparatu capti, ipsum relinquerent et ad regem priorem se reciperent, adeoque inde in vitæ discrimen adduceretur, tale quid excogitavit. Quum duas vitulas ex auro conflavisset, illisque duo delubra exstruxisset, unum quidem in urbe Bethela, alterum vero in Dane, (hæc autem est apud fontes Jordanis minoris,) vitulas in utroque urbium prædictarum delubro posuit : quumque decem tribus, quibus ipse præerat, convocasset, pro concione in hunc modum eas est allocutus : « viri populares, vos « hoc non nescire arbitror quod omnis locus habeat Deum,

« Θεὸν, καὶ οὐκ ἔστιν ἓν ἀποδεδειγμένον χωρίον ἐν ᾧ « πάρεστιν, ἀλλὰ πανταχοῦ τε ἀκούει καὶ τοὺς θρη- « σκεύοντας ἐφορᾷ. Ὅθεν οὖ μοι δοκεῖ νῦν ἐπείγειν « ὑμᾶς εἰς Ἱεροσόλυμα πορευθέντας εἰς τὴν τῶν ἐχθρῶν « πόλιν μακρὰν οὕτως ὁδὸν προσκυνεῖν. Ἄνθρωπος « γὰρ κατεσκεύασε τὸν ναόν· πεποίηκα δὲ κἀγὼ δύο « χρυσᾶς δαμάλεις ἐπωνύμους τῷ Θεῷ, καὶ τὴν μὲν « ἐν Βεθήλῃ πόλει καθιέρωσα, τὴν δὲ ἐν Δάνῃ, ὅπως « ὑμῶν οἱ τούτων ἔγγιστα τῶν πόλεων κατῳκημένοι « προσκυνήσωσιν εἰς αὐτὰς ἀπερχόμενοι τὸν Θεόν. « Ἀποδείξω δέ τινας ὑμῖν καὶ ἱερεῖς ἐξ ὑμῶν καὶ Λευί- « τας, ἵνα μὴ χρείαν ἔχητε τῆς Λευίτιδος φυλῆς καὶ « τῶν Ἀαρῶνος υἱῶν. Ἀλλ' ὁ βουλόμενος ὑμῶν ἱερεὺς « εἶναι προσενεγκάτω μόσχον τῷ Θεῷ καὶ κριὸν, ἃ καὶ « τὸν πρῶτον ἱερέα φασὶν Ἀαρῶνα πεποιηκέναι. » Τοῦτ' εἰπὼν ἐξηπάτησε τὸν λαὸν καὶ τῆς πατρῴου θρη- σκείας ἀποστάντας ἐποίησε παραβῆναι τοὺς νόμους. Ἀρχὴ κακῶν ἐγένετο τοῦτο τοῖς Ἑβραίοις καὶ τοῦ πο- λέμῳ κρατηθέντας ὑπὸ τῶν ἀλλοφύλων αἰχμαλωσίᾳ περιπεσεῖν. Ἀλλὰ ταῦτα μὲν κατὰ χώραν δηλώ- σομεν.

ε'. Ἐνστάσης δὲ τῆς ἑορτῆς ἑβδόμῳ μηνὶ, βουλό- μενος καὶ αὐτὸς ἐν Βεθήλῃ ταύτην ἀγαγεῖν, ὥσπερ ἐώρταζον καὶ αἱ δύο φυλαὶ ἐν Ἱεροσολύμοις, οἰκοδομεῖ μὲν θυσιαστήριον πρὸ τῆς δαμάλεως, γενόμενος δ' αὐτὸς ἀρχιερεὺς ἐπὶ τὸν βωμὸν ἀναβαίνει σὺν τοῖς ἰδίοις ἱερεῦσι. Μέλλοντος δ' ἐπιφέρειν τὰς θυσίας καὶ τὰς ὁλοκαυτώσεις ἐν ὄψει τοῦ λαοῦ παντὸς, παραγίνεται πρὸς αὐτὸν ἐξ Ἱεροσολύμων προφήτης, Ἰαδὼν ὄνομα, τοῦ Θεοῦ πέμψαντος, ὃς σταθεὶς ἐν μέσῳ τῷ πλήθει τοῦ βασιλέως ἀκούοντος εἶπε τάδε, πρὸς τὸ θυσιαστή- ριον ποιούμενος τοὺς λόγους· « ὁ Θεὸς ἔσεσθαί τινα « προλέγει ἐκ τοῦ Δαυίδου γένους, Ἰωσίαν ὄνομα, ὃς « ἐπὶ σοῦ θύσει τοὺς ψευδοϊερεῖς τοὺς κατ' ἐκεῖνον τὸν « καιρὸν γεννησομένους, καὶ τὰ ὀστᾶ τῶν λαοπλάνων « τούτων καὶ ἀπατεώνων καὶ ἀσεβῶν ἐπὶ σοῦ καύσει. « Ἵνα μέντοι γε πιστεύσωσιν οὗτοι τοῦθ' οὕτως ἕξειν, « σημεῖον αὐτοῖς προερῶ γενησόμενον. Ῥαγήσεται « τὸ θυσιαστήριον παραχρῆμα καὶ πᾶσα ἡ ἐπ' αὐ- « τοῦ πιμελὴ τῶν ἱερείων ἐπὶ γῆν χυθήσεται. » Ταῦτ' εἰπόντος τοῦ προφήτου, παροξυνθεὶς ὁ Ἱεροβόαμος ἐξέτεινε τὴν χεῖρα, κελεύων συλλαβεῖν αὐτόν. Ἐκτε- ταμένη δ' ἡ χεὶρ εὐθὺς παρείθη, καὶ οὐκέτι ἴσχυσεν αὐτὴν πρὸς ἑαυτὸν ἀναγαγεῖν, ἀλλὰ νεναρκηκυῖαν καὶ νεκρὰν εἶχεν ἀπηρτημένην. Ἐρράγη δὲ καὶ τὸ θυ- σιαστήριον, καὶ κατηνέχθη πάντα τὰ ἀπ' αὐτοῦ, καθὼς προεῖπεν ὁ προφήτης. Μαθὼν δὲ ἀληθῆ τὸν ἄνθρω- πον καὶ θείαν ἔχοντα πρόγνωσιν, παρεκάλεσεν αὐτὸν δεηθῆναι τοῦ Θεοῦ ἀναζωπυρῆσαι τὴν δεξιὰν αὐτῷ. Καὶ ὁ μὲν ἱκέτευσε τὸν Θεὸν τοῦτ' αὐτῷ παρασχεῖν. Ὁ δὲ τῆς χειρὸς τὸ κατὰ φύσιν ἀπολαβούσης χαίρων ἐπ' αὐτῇ τὸν προφήτην παρεκάλει δειπνῆσαι παρ' αὐτῷ. Ἰαδὼν δ' ἔφησεν οὐχ ὑπομένειν εἰσελθεῖν πρὸς αὐτὸν, οὐδὲ γεύσασθαι ἄρτου καὶ ὕδατος ἐν ταύτῃ τῇ

« ejusque præsentia nullo loco definito includatur, sed ubi- « que exaudiat et cultores suos respiciat. Quod quum ita « sit, mihi non placet vos nunc urgere ut longo adeo iti- « nere Hierosolyma, urbem hostilem, contendatis religionis « ergo. Homo enim templum illud statuit; et ego feci duas « vitulas aureas Deo cognomines, et unam quidem in urbe « Bethela dedicavi, alteram in Dane, ut vestrûm quicunque « loca earum utrique proxima habitent, eo se conferant ad « Deum colendum. Vobis autem quosdam ex vobismet « ipsis sacerdotes creabo et Levitas, ne quid Leviticam tri- « bum et Aaronis progeniem desideretis. Igitur cuicunque « vestrûm in animo est sacerdotem fieri, offerat vitulum « Deo et arietem : id quod aiunt primum sacerdotem Aaro- « nem fecisse. » His verbis populum decepit auctorque erat ut a patria religione discedendo contra leges facerent. Hebræis hoc caput et origo malorum exstitit, atque ut bello ab alienigenis devicti in captivitatem inciderent. Sed hæc quidem suo loco narrabimus.

5. Septimo mense, quum jam imminueret festiva solennitas, volens et ipse eam apud Bethelam celebrare, sicut a duabus tribubus Hierosolymis agebatur, ante vitulam quidem altare exstruit, ipse vero pontifex factus cum suis sacerdotibus ad illud ascendit. At quum in eo esset ut victimas et solida sacrificia in conspectu totius populi aræ admoveret, ipsi ex Hierosolymis jussu Dei vates supervenit, Jadon nomine, qui in media turba constitutus hæc rege audiente loquutus est, sermone ad altare verso : « hoc tibi prædicit Deus, « fore ut nascatur quidam de genere Davidis, Josias no- « mine, qui super te mactabit istius ævi falsos sacerdotes, « ac præterea horum impostorum et deceptorum atque « impiorum ossa super te cremabit. Verum ut isti cre- « dant hoc ita eventurum esse, signum illis prænunciabo « mox sequuturum. Illico ara findetur, et omnis super il- « lam victimarum adeps humi diffundetur. » Ut hæc dixerat vates, Hieroboamus irritatus, protensa manu, jubet illum comprehendi. At manus, quam intenderat, subito lan- guescebat, nec potuit eam denuo ad se retrahere, sed tor- pore illi obriguit et mortua demittebatur. Porro diffissa est ara, et cuncta ex ea effusa sunt, sicuti vates prædixe- rat. Quum autem intellexisset hominem esse veracem et ex Dei afflatu futura prænoscere, rogavit eum ut Deum deprecaretur, quo ipsi restituatur dextra. Atque is quidem Deum orabat ut hoc regi effectum redderet : ille vero, quum manus ad suum statum redilsset, ea de re gaudens vatem obsecrabat ut secum prandeat. Tum Jadon dicebat se non audere in domum ejus introire, aut tantillum ex

πόλει· τοῦτο γὰρ αὐτῷ τὸν Θεὸν ἀπειρηκέναι, καὶ τὴν ὁδὸν ἣν ἦλθεν ὅπως μὴ δι' αὐτῆς ποιήσηται τὴν ἐπιστροφήν, ἀλλὰ δι' ἄλλης, ἔφασκε. Τοῦτον μὲν οὖν ἐθαύμαζεν ὁ βασιλεὺς τῆς ἐγκρατείας, αὐτὸς δ' ἦν ἐν φόβῳ, μεταβολὴν αὐτοῦ τῶν πραγμάτων ἐκ τῶν προειρημένων οὐκ ἀγαθὴν ὑπονοῶν.

ΚΕΦ. Θ'.

Ἦν δέ τις ἐν τῇ πόλει πονηρὸς πρεσβύτης ψευδοπροφήτης, ὃν εἶχεν ἐν τιμῇ Ἱεροβόαμος, ἀπατώμενος ὑπ' αὐτοῦ τὰ πρὸς ἡδονὴν λέγοντος. Οὗτος τότε μὲν κλινήρης ἦν διὰ τὴν ἀπὸ τοῦ γήρως ἀσθένειαν. Τῶν δὲ παίδων αὐτῷ ὁηλωσάντων τὰ περὶ τοῦ παρόντος ἐξ Ἱεροσολύμων προφήτου καὶ τῶν σημείων τῶν γενομένων, καὶ ὡς παρεθεῖσαν αὐτῷ τὴν δεξιὰν Ἱεροβόαμος εὐξαμένου πάλιν ἐκείνου ζῶσαν ἀπολάβοι, δείσας μὴ παρευδοκιμήσειεν αὐτὸν ὁ ξένος παρὰ τῷ βασιλεῖ καὶ πλείονος ἀπολαύοι τιμῆς, προσέταξε τοῖς παισὶν εὐθὺς ἐπιστρώσασι τὸν ὄνον ἕτοιμον πρὸς ἔξοδον αὐτῷ παρασκευάσαι. Τῶν δὲ σπευσάντων ὃ προσετάγησαν, ἐπιβὰς ἐδίωξε τὸν προφήτην, καὶ καταλαβὼν ἀναπαυόμενον ὑπὸ δένδρῳ βαθεῖ καὶ σκιὰν ἔχοντι ὄρυος εὐμεγέθους, ἠσπάσατο πρῶτον, εἶτα ἐμέμφετο μὴ παρ' αὐτὸν εἰσελθόντα καὶ ξενίων μεταλαβόντα. Τοῦ δὲ φήσαντος κεκωλύσθαι πρὸς τοῦ Θεοῦ γεύσασθαι παρά τινι τῶν ἐν ἐκείνῃ τῇ πόλει, « ἀλλ' οὐχὶ παρ' ἐμοὶ, εἶπεν, πάντως ἀπηγόρευκέ σοι τὸ θεῖον παραθέσθαι τράπεζαν. Προφήτης γάρ εἰμι κἀγὼ καὶ τῆς αὐτῆς σοι κοινωνὸς πρὸς αὐτὸν θρησκείας, καὶ πάρειμι νῦν ὑπ' αὐτοῦ πεμφθεὶς ὅπως ἀγάγω σε πρὸς ἐμαυτὸν ἑστιασόμενον. » Ὁ δὲ ψευσαμένῳ πεισθεὶς ἀνέστρεψεν. Ἀριστώντων δ' ἔτι καὶ φιλοφρονουμένων, ὁ Θεὸς ἐπιφαίνεται τῷ Ἰαδῶνι, καὶ παραβάντα τὰς ἐντολὰς αὐτοῦ τιμωρίαν ὑφέξειν ἔλεγε καὶ ποταπὴν ἐδήλου. Λέοντα γὰρ αὐτῷ κατὰ τὴν ὁδὸν ἀπερχομένῳ συμβαλεῖν ἔφρασεν, ὑφ' οὗ διαφθαρήσεσθαι καὶ τῆς ἐν τοῖς πατρῴοις μνήμασι ταφῆς ἀμοιρήσειν. Ταῦτα δ' ἐγίνετο, οἶμαι, κατὰ τὴν τοῦ Θεοῦ βούλησιν, ὅπως μὴ προσέχοι τοῖς τοῦ Ἰαδῶνος λόγοις Ἱεροβόαμος, ἐληλεγμένῳ ψεύδει. Πορευομένῳ τοίνυν τῷ Ἰαδῶνι πάλιν εἰς Ἱεροσόλυμα συμβάλλει λέων, καὶ κατασπάσας αὐτὸν ἀπὸ τοῦ κτήνους ἀπέκτεινε. Καὶ τὸν μὲν ὄνον οὐδὲν ὅλως ἔβλαψε· παρακαθεζόμενος δὲ ἐφύλασσε κἀκεῖνον καὶ τὸ τοῦ προφήτου σῶμα, μέχρις οὗ τινες τῶν ὁδοιπόρων ἰδόντες ἀπήγγειλαν ἐλθόντες εἰς τὴν πόλιν τῷ ψευδοπροφήτῃ. Ὁ δὲ τοὺς υἱοὺς πέμψας ἐκόμισεν εἰς τὴν πόλιν τὸ σῶμα, καὶ πολυτελοῦς μὲν κηδείας ἠξίωσεν, ἐντειλάμενος τοῖς παισὶ καὶ αὐτὸν ἀποθανόντα σὺν ἐκείνῳ θάψαι, λέγων ἀληθῆ μὲν εἶναι πάνθ' ὅσα προεφήτευσε κατὰ τῆς πόλεως ἐκείνης καὶ τοῦ θυσιαστηρίου καὶ τῶν ἱερέων καὶ τῶν ψευδοπροφητῶν, ὑβρισθήσεσθαι δ' αὐτὸς μετὰ τὴν τελευτὴν οὐδὲν σὺν ἐκείνῳ ταφείς, τῶν ὀστῶν οὐ γνωσθησομένων. Κηδεύσας οὖν τὸν προφήτην καὶ ταῦτα ἐντειλάμενος τοῖς υἱοῖς, πονηρὸς ὢν καὶ

pane et aqua ista in urbe degustare : hoc enim ipsi Deum interdixisse, nec licere eadem, qua venerat, via reverti, *sed per aliam iter sibi faciundum* aiebat. Et *illum quidem* rex propter ejus abstinentiam mirabatur, de se vero coepit esse sollicitus, ne res suæ, ex prædictis conjecturam faciendo, *in pejus mutarentur*.

CAP. IX. (IH.)

Erat autem in urbe senex quidam improbus, falsus vates, quem in honore habebat Hieroboamus, deceptus ab illo ut qui omnia ad gratiam loqueretur. Hic quidem tum lecto erat affixus, quod præ senio esset viribus defectus. Quum vero ipsius filii ei omnia de vate narrassent qui Hierosolymis venerat, quæque edita essent signa, utque Hieroboamus manum sibi torpore enectam, ipso Deum orante, sanam salvamque denuo recepisset, veritus ne peregrinus plus apud regem quam ipse auctoritate polleret, et in majori haberetur veneratione, mandavit filiis ut e vestigio asinum instratum ad iter sibi expedirent. Illis autem impigre jussa exsequutis, inscendit, vatemque subsequitur, atque eum sub alta et umbrosa quercus bene magnæ arbore quiescentem nactus, primo salutavit, deinde eum reprehendebat quod ad ipsum non divertisset et hospitalia non accepisset. Quumque ille respondisset *sibi a Deo interdictum* esse ne apud quenquam ea in urbe quidquam gustaret, « atqui non apud me, inquit, *te vetuit Deus mensæ hospitali admoveri*. Nam ego quoque vates sum, eumque eadem qua tu religione veneror : atque nunc adsum ab eo missus ut te mihi convivam adducam. » *Ille vero fide mentienti habita reversus* est. Adhuc autem illis prandentibus blandoque sermone sese oblectantibus, Deus apparet Jadoni, et, quod contra mandatum ejus fecisset, dicebat poenam daturum esse, simulque qualis foret denunciabat. Nam leonem ipsi digredienti in via occursurum esse dixit, foreque ut ab eo interimeretur, atque expers esset sepulturæ in majorum suorum monumentis. Haec autem Deo ita volente contigisse arbitror, quo minus Hieroboamus animum adverteret Jadonis verbis, utpote mendacio manifesto. Jadoni igitur Hierosolyma redeunti obviam fit leo, ipsumque a jumento detractum necavit. Atque asinum quidem nihil omnino laesit, adsidens vero et eum custodiebat et vatis cadaver, donec quidam illac transeuntes id conspicati *in oppidum venerunt, atque falso vati rem nunciarunt*. Tum ille, filiis suis in hoc missis, corpus ejus in urbem reportavit, ipsumque magnificis cohonestavit exsequiis, suisque filiis praecepit ut se, *quum mortuus fuerit, eodem in sepulcro* conderent, dicens vera quidem esse omnia quae ille vaticinatus esset contra urbem illam et altare et sacerdotes et falsos vates, ipsum vero injuria post mortem fore immunem, si cum eo sepeliretur, utpote quod ossa ipsorum dignosci non possent. Quum itaque justa vati persolvisset, atque filiis ista mandasset, improbus et impius, Hieroboa-

ἀσεβὴς, πρόσεισι τῷ Ἱεροβοάμῳ καὶ, « τί δήποτ' « ἐταράχθης, εἶπεν, ὑπὸ τῶν τοῦ ἀνοήτου λόγων; » Ὡς δὲ καὶ τὰ περὶ τὸ θυσιαστήριον αὐτῷ καὶ τὴν αὐτοῦ χεῖρα διηγήσατο ὁ βασιλεὺς, θεῖον ἀληθῶς καὶ προφήτην ἄριστον ἀποκαλῶν, ἤρξατο ταύτην αὐτοῦ τὴν δόξαν ἀναλύειν κακουργῶν καὶ πιθανοῖς περὶ τῶν γεγενημένων χρώμενος λόγοις βλάπτειν αὐτῶν τὴν ἀλήθειαν. Ἐπεχείρει γὰρ πείθειν αὐτὸν ὡς ὑπὸ κόπου μὲν ἡ χεὶρ αὐτοῦ ναρκήσειε, βαστάζουσα τὰς θυσίας, εἶτ' ἀνεθεῖσα πάλιν εἰς τὴν αὐτῆς ἐπανέλθοι φύσιν, τὸ δὲ θυσιαστήριον, ὃν καινὸν καὶ δεξάμενον θυσίας πολλὰς καὶ μεγάλας, ῥαγείη καὶ πέσοι διὰ βάρος τῶν ἐπενηνεγμένων. Ἐδήλου δ' αὐτῷ καὶ τὸν θάνατον τοῦ τὰ σημεῖα ταῦτα προειρηκότος, ὡς ὑπὸ λέοντος ἀπόλοιτο· οὕτως οὐδὲν οὔτ' εἶχεν οὔτ' ἐφθέγξατο προφήτου. Ταῦτ' εἰπὼν πείθει τὸν βασιλέα καὶ τὴν διάνοιαν αὐτοῦ τελέως ἀποστρέψας ἀπὸ τοῦ Θεοῦ καὶ τῶν δικαίων καὶ ὁσίων ἔργων ἐπὶ τὰς ἀσεβεῖς πράξεις παρώρμησεν. Οὕτω δ' ἐξύβρισεν εἰς τὸ θεῖον καὶ παρενόμησεν ὡς οὐδὲν ἄλλο καθ' ἡμέραν ζητεῖν ἢ τί καινὸν καὶ μιαρώτερον τῶν ἤδη τετολμημένων ἐργάσηται. Καὶ τὰ μὲν περὶ Ἱεροβοάμου ἐπὶ τοῦ παρόντος ἐν τούτοις ἡμῖν δεδηλώσθω.

ΚΕΦ. Ι'.

Ὁ δὲ Σολομῶνος υἱὸς Ῥοβόαμος, ὁ τῶν δύο φυλῶν βασιλεὺς, ὡς προειρήκαμεν, ᾠκοδόμησε πόλεις ὀχυρὰς τε καὶ μεγάλας Βηθλεὲμ καὶ Ἠταμὲ καὶ Θεκωὲ καὶ Βηθσοὺρ καὶ Σωχὼ καὶ Ὀδολλὰμ καὶ Ἰπὰν καὶ Μάρισσαν καὶ Ζιφὰ καὶ Ἀδωραΐμ καὶ Λαχὶς καὶ Ἀζηκὰ καὶ Σαραΐμ καὶ Ἠλὼμ καὶ Χεβρῶνα. Ταύτας μὲν ἐν τῇ Ἰούδα κληρουχίᾳ πρώτας ᾠκοδόμησε. Κατεσκεύασε δὲ καὶ ἄλλας μεγάλας ἐν τῇ Βενιαμίτιδι κληρουχίᾳ. Καὶ τειχίσας φρουράς τε κατέστησεν ἐν ἁπάσαις καὶ ἡγεμόνας, σῖτόν τε πολὺν καὶ οἶνον καὶ ἔλαιον τά τε ἄλλα πρὸς διατροφὴν ἐν ἑκάστῃ τῶν πόλεων ἀφιλῶς ἀπέθετο· πρὸς δὲ τούτοις θυρεοὺς καὶ σειρομάστας εἰς πολλὰς μυριάδας. Συνῆλθον δὲ οἱ παρὰ πᾶσι τοῖς Ἰσραηλίταις ἱερεῖς πρὸς αὐτὸν εἰς Ἱεροσόλυμα καὶ Λευῖται, καὶ εἴ τινες ἄλλοι τοῦ πλήθους ἦσαν ἀγαθοὶ καὶ δίκαιοι, καταλιπόντες αὐτῶν τὰς πόλεις, ἵνα θρησκεύσωσιν ἐν Ἱεροσολύμοις τὸν Θεόν· οὐ γὰρ ἡδέως εἶχον προσκυνεῖν ἀναγκαζόμενοι τὰς δαμάλεις, ἃς Ἱεροβόαμος κατεσκεύασε. Καὶ ηὔξησαν τὴν Ῥοβοάμου βασιλείαν ἐπ' ἔτη τρία. Γήμας δὲ συγγενῆ τινα καὶ τρεῖς ποιησάμενος ἐξ αὐτῆς παῖδας ἦγετο ὕστερον καὶ τὴν ἐκ τῆς Ἀβεσαλώμου θυγατρὸς Θαμάρης, Μαχάνην ὄνομα, καὶ αὐτὴν οὖσαν συγγενῆ· καὶ παῖς ἄρρην ἐξ αὐτῆς αὐτῷ γίνεται, ὃν Ἀβίαν προσηγόρευσε. Τέκνα δὲ εἶχε καὶ ἐξ ἄλλων γυναικῶν πλείονα, πασῶν δὲ μᾶλλον ἔστερξε τὴν Μαχάνην. Εἶχε δὲ τὰς μὲν νόμῳ συνοικούσας αὐτῷ γυναῖκας ὀκτωκαίδεκα, παλλακὰς δὲ τριάκοντα. Καὶ υἱοὶ μὲν αὐτῷ γεγόνεισαν ὀκτὼ καὶ εἴκοσι, θυγατέρες δὲ ἑξήκοντα. Διάδοχον δ' ἀπέδειξε τῆς βασιλείας τὸν ἐκ τῆς

mum adit, ac, « quid ita perturbatus es, inquit, istius « insipientis sermonibus? » Postquam vero rex quæ altari suæque manui accidissent illi enarrasset, hominem vere divinum vatemque optimum appellans, cæpit hanc ejus opinionem vafre et malitiose agendo labefactare, et verisimilibus de iis quæ facta erant rationibus utendo veritatem eorum debilitare. Conabatur enim ei persuadere manum quidem ejus lassitudine obtorpuisse, dum victimas portaret, ac deinde, quum paululum quievisset, ad se rediisse, altare vero, quippe recens exstructum et multis magnisque victimis ei impositis, ex nimio onere rerum ei incumbentium disruptum cecidisse. Porro ipsi etiam mortem ejus nunciabat, qui signa ista prædixerat, ut scilicet a leone occisus perierit, adeo ut nihil habuerit vel loquutus fuerit quod vatem argueret. His dictis regi persuasit et, quum animum ejus prorsus a Deo avertisset et a sanctis justisque operibus, ad iniquitates agitandas eum perpulit. Adeo autem in Deum contumeliosus erat et injuriosus, ut quotidie nihil aliud quæreret quam ut novo aliquo magisque detestabili scelere semet obstringeret. Atque ista quidem nobis de Hieroboamo in præsens dicta sunto.

CAP. X. (III.)

Roboamus autem Solomonis filius, qui, ut ante diximus, in duas tribus regnavit, urbes munitas magnasque condidit, Bethleem et Etame et Thecoe et Bethsur et Socho et Odollam et Ipan et Marisam et Zipha et Adoraim et Lachis et Azeca et Saraim et Elom et Chebrona. Has quidem in sorte Judæ primas ædificavit. Alias vero magnas insuper instauravit in sorte Benjamitide. Et quum eas munivisset, et præsidia in omnibus constituit et duces, multumque frumenti et vini et olei aliaque ad victum in unaquaque urbe largiter recondidit, ac præterea scuta et lanceas in multas myriadas. Atque ad eum in Hierosolyma sese aggregarunt sacerdotes et Levitæ ex omnibus Israelitarum finibus, et si qui alii e populo boni erant et justi, relictis suis sedibus, ut Deum Hierosolymis colerent : ægre enim ferebant ut ad vitularum venerationem adigerentur, quas fecerat Hieroboamus. Atque ita per tres annos auxerunt regni Roboami vires. Quum autem cognatam quandam in matrimonium duxisset, et tres ex ea liberos sustulisset, duxit postea et aliam, ipsamque cognatam, Machanam nomine, ex filia Abesalomi Thamara natam; filiusque ex illa ei nascitur, quem Abiam vocavit. Etiam ex aliis liberos complures suscepit uxoribus, omnium vero maxime amavit Machanam. Nam uxores quidem habuit legitimas octodecim, concubinas vero triginta : et ex his filii ei geniti sunt duodetriginta et filiæ sexaginta. Voluit autem

Μαχάνης Ἀβίαν, καὶ τοὺς θησαυροὺς αὐτῷ καὶ τὰς ὀχυρωτάτας πόλεις ἐπίστευσεν.

β'. Αἴτιον δ', οἶμαι, πολλάκις γίνεται κακῶν καὶ παρανομίας τοῖς ἀνθρώποις τὸ τῶν πραγμάτων μέγεθος καὶ ἡ πρὸς τὸ βέλτιον αὐτῶν τροπή. Τὴν γὰρ βασιλείαν αὐξανομένην οὕτω βλέπων Ῥοβόαμος εἰς ἀδίκους καὶ ἀσεβεῖς ἐξετράπη πράξεις καὶ τῆς τοῦ Θεοῦ θρησκείας καταπεφρόνηκεν, ὡς καὶ τὸν ὑπ' αὐτῷ λαὸν μιμητὴν γενέσθαι τῶν ἀνομημάτων. Συνδιαφθείρεται γὰρ τὰ τῶν ἀρχομένων ἤθη τοῖς τῶν ἡγεμόνων τρόποις, καὶ ὡς ἔλεγχον τῆς ἐκείνων ἀσελγείας τὴν αὐτῶν σωφροσύνην παραπέμποντες ὡς ἀρετῇ ταῖς κακίαις αὐτῶν ἕπονται. Οὐ γὰρ ἔνεστιν ἀποδέχεσθαι δοκεῖν τὰ τῶν βασιλέων ἔργα μὴ ταὐτὰ πράττοντας. Τοῦτο τοίνυν συνέβαινε καὶ τοῖς ὑπὸ Ῥοβοάμῳ τεταγμένοις, ἀσεβοῦντος αὐτοῦ καὶ παρανομοῦντος, σπουδάζειν μὴ προσκρούσωσι τῷ βασιλεῖ, θέλοντες εἶναι δίκαιοι. [Δ'.] Τιμωρὸν δὲ τῶν εἰς αὐτὸν ὕβρεων ὁ Θεὸς ἐπιπέμπει τὸν τῶν Αἰγυπτίων βασιλέα Σούσακον· περὶ οὗ πλανηθεὶς Ἡρόδοτος τὰς πράξεις αὐτοῦ Σεσώστρει προσάπτει. Οὗτος γὰρ ὁ Σούσακος πέμπτῳ ἔτει τῆς Ῥοβοάμου βασιλείας ἐπιστρατεύεται μετὰ πολλῶν αὐτῷ μυριάδων· ἅρματα μὲν γὰρ αὐτῷ χίλια καὶ διακόσια τὸν ἀριθμὸν ἐξηκολούθει, ἱππέων δὲ μυριάδες ἑξ, πεζῶν δὲ μυριάδες τεσσαράκοντα. Τούτων τοὺς πλείστους Λίβυας ἐπήγετο καὶ Αἰθίοπας. Ἐμβαλὼν οὖν εἰς τὴν χώραν τῶν Ἑβραίων καταλαμβάνεται τὰς ὀχυρωτάτας τῆς Ῥοβοάμου βασιλείας πόλεις ἀμαχητί, καὶ ταύτας ἀσφαλισάμενος ἔσχατον ἐπῆλθε τοῖς Ἱεροσολύμοις.

γ'. Ἐγκεκλεισμένου δὲ τοῦ Ῥοβοάμου καὶ τοῦ πλήθους ἐν αὐτοῖς διὰ τὴν Σουσάκου στρατείαν καὶ τὸν Θεὸν ἱκετευόντων δοῦναι νίκην καὶ σωτηρίαν, οὐκ ἔπεισαν τὸν Θεὸν ταχθῆναι μετ' αὐτῶν. Ὁ δὲ προφήτης Σαμαίας ἔφησεν αὐτοῖς τὸν Θεὸν ἀπειλεῖν ἐγκαταλείψειν αὐτούς, ὡς καὶ αὐτοὶ τὴν θρησκείαν αὐτοῦ κατέλιπον. Ταῦτ' ἀκούσαντες εὐθὺς ταῖς ψυχαῖς ἀνέπεσον, καὶ μηδὲν ἔτι σωτήριον ὁρῶντες ἐξομολογεῖσθαι πάντες ὥρμησαν ὅτι δικαίως αὐτοὺς ὁ Θεὸς ὑπερόψεται, γενομένους περὶ αὐτὸν ἀσεβεῖς καὶ συγχέοντας τὰ νόμιμα. Κατιδὼν δ' αὐτοὺς ὁ Θεὸς οὕτω διακειμένους καὶ τὰς ἁμαρτίας ἀνθομολογουμένους, οὐκ ἀπολέσειν αὐτοὺς εἶπε πρὸς τὸν προφήτην, ποιήσειν μέντοι γε τοῖς Αἰγυπτίοις ὑποχειρίους, ἵνα μάθωσι πότερον ἀνθρώπῳ δουλεύειν ἐστὶν ἀπονώτερον ἢ Θεῷ. Παραλαβὼν δὲ Σούσακος ἁμαχητὶ τὴν πόλιν, δεξαμένου Ῥοβοάμου διὰ τὸν φόβον, οὐκ ἐνέμεινε ταῖς γενομέναις συνθήκαις, ἀλλ' ἐσύλησε τὸ ἱερὸν καὶ τοὺς θησαυροὺς ἐξεκένωσε τοῦ Θεοῦ καὶ τοὺς βασιλικούς, χρυσοῦ καὶ ἀργύρου μυριάδας ἀναριθμήτους βαστάσας καὶ μηδὲν ὅλως ὑπολιπών. Περιεῖλε δὲ καὶ τοὺς χρυσοῦς θυρεοὺς καὶ τὰς ἀσπίδας, ἃς κατεσκεύασε Σολομὼν ὁ βασιλεύς· οὐκ εἴασε δὲ οὐδὲ τὰς χρυσᾶς φαρέτρας, ἃς ἀνέθηκε Δαυίδης τῷ Θεῷ, λαβὼν παρὰ τοῦ τῆς Σωφηνῆς βασιλέως. Καὶ τοῦτο ποιήσας ἀνέστρεψεν εἰς τὰ οἰκεῖα.

ut ei in regnum succederet Abias Machanæ filius, ejusque fidei thesauros urbesque munitissimas credidit.

2. Plerumque autem fieri arbitror ut malorum et iniquitatis causa hominibus sit rerum magnitudo, earumque in melius mutatio. Nam Roboamus, quum vidisset regnum suum tanta cepisse incrementa, in omne nefas et scelus abiit, Deique cultum et religionem sprevit, adeo ut populus ei subjectus factorum ejus iniquorum imitator fieret. Ita enim comparatum est ut cum principum moribus subditorum etiam mores corrumpi soleant, utque hi relicta sua modestia, quippe quæ illorum petulantiam redarguat, principum vitia non aliter atque virtutes sequantur. Nisi enim eadem, quæ reges, faciant, haud erit ut facta ab iis approbare videantur. Iis itaque qui Roboamo paruerunt hoc ipsum accidebat, ut, dum is impie ageret legesque violaret, illi operam darent, ne regis animum offenderent, justi esse studentes. [IV.] Deus autem Susacum Ægyptiorum regem mittit, qui contumeliarum in ipsum pœnas exigeret : de quo in errorem lapsus Herodotus ejus res gestas Sesostridi attribuit. Hic enim Susacus anno regni Roboami quinto exercitum contra illum adduxit multis myriadibus constantem. Illum enim comitati sunt currus numero mille ducenti, equitum vero sexaginta millia, peditum denique quadringenta millia. Adductorum plerique Libyes erant et Æthiopes. Quum igitur in Hebræorum regionem irrupisset, validissimas Roboami urbes sine pugna cepit, iisque præsidio firmatis postremo Hierosolyma invasit.

3. Quum autem Roboamus populusque in urbe inclusi tenerentur ob Susaci expeditionem, Deoque supplicarent ut victoriam ipsis daret et salutem, Deum, ut ab illis staret, adducere non potuerunt. Illis vero dixit Samæas vates, Deum ipsis denunciasse se illos deserturum esse, prout ipsi cultum ejus et religionem deseruerant. Ubi hæc audiverant, statim animis conciderunt, nullamque spem salutis reliquam cernentes confiteri omnes cœperunt jure Deum facturum esse si se despexerit, qui in illum impii exstiterint, legisque instituta perturbent et contaminent. Deus autem, quum eos videret ita animis affectos et delicta invicem confitentes, vati dicebat fore ut illos non perdat, subditurum tamen esse Ægyptiis, ut intelligant utrum horum facilius sit, homini servire an Deo. Ubi autem Susacus urbem sine pugna in suam potestatem redegerat, Roboamo præ metu eum excipiente, pactis quibus convenerant non mansit, sed templum diripuit, thesaurosque tam Deo sacros quam regios exinanivit, myriadibus innumeris auri argentique exportatis, ut nihil prorsus relictum esset. Quin et aurea scuta detraxit et clypeos quos Solomon rex fecerat; ac ne pharetras quidem aureas reliquit, quas Davides a Sophenes rege acceptas Deo dedicaverat. Ac, quum hæc perpetrasset, demum reversus est. Hujus autem expedi-

Μέμνηται δὲ ταύτης τῆς στρατείας καὶ ὁ Ἁλικαρνασσεὺς Ἡρόδοτος, περὶ μόνον τὸ τοῦ βασιλέως πλανηθεὶς ὄνομα, καὶ ὅτι ἄλλοις τε πολλοῖς ἐπῆλθεν ἔθνεσι καὶ τὴν Παλαιστίνην Συρίαν ἐδουλώσατο, λαβὼν ἀμαχητὶ τοὺς ἀνθρώπους τοὺς ἐν αὐτῇ. Φανερὸν δ' ὅτι τὸ ἡμέτερον ἔθνος βούλεται δηλοῦν κεχειρωμένον ὑπὸ τοῦ Αἰγυπτίου. Λέγει γὰρ ὅτι στήλας κατέλειπεν ἐν τῇ τῶν ἀμαχητὶ παραδόντων αὐτοὺς αἰδοῖα γυναικῶν ἐγγράψας· Ῥοβόαμος δ' αὐτῷ παρέδωκεν ὁ ἡμέτερος βασιλεὺς ἀμαχητὶ τὴν πόλιν. Φησὶ δὲ καὶ Αἰθίοπας παρ' Αἰγυπτίων μεμαθηκέναι τὴν τῶν αἰδοίων περιτομήν· « Φοίνικες γὰρ καὶ Σύριοι οἱ ἐν τῇ Παλαιστίνῃ « ὁμολογοῦσι παρ' Αἰγυπτίων μεμαθηκέναι. » Δῆλον οὖν ἐστιν ὅτι μηδένες ἄλλοι περιτέμνονται τῶν ἐν τῇ Παλαιστίνῃ Σύρων ἢ μόνοι ἡμεῖς. Ἀλλὰ περὶ μὲν τούτων ἕκαστοι λεγέτωσαν ὅ τι ἂν αὐτοῖς δοκῇ.

δ'. Ἀναχωρήσαντος δὲ Σουσάκου, Ῥοβόαμος ὁ βασιλεὺς ἀντὶ μὲν τῶν χρυσέων θυρεῶν καὶ τῶν ἀσπίδων χάλκεα ποιήσας τὸν αὐτὸν ἀριθμὸν παρέδωκε τοῖς τῶν βασιλείων φύλαξιν. Ἀντὶ δὲ τοῦ μετὰ στρατηγίας ἐπιφανοῦς καὶ τῆς ἐν τοῖς πράγμασι λαμπρότητος διάγειν ἐβασίλευσεν ἐν ἡσυχίᾳ πολλῇ καὶ δέει, πάντα τὸν χρόνον ἐχθρὸς ὢν Ἱεροβοάμῳ. Ἐτελεύτησε δὲ βιώσας ἔτη πεντήκοντα καὶ ἑπτά, βασιλεύσας δ' αὐτῶν ἑπτακαίδεκα, τὸν τρόπον ἀλαζὼν ἀνὴρ καὶ ἀνόητος, καὶ διὰ τὸ μὴ προσέχειν τοῖς πατρῴοις φίλοις τὴν ἀρχὴν ἀπολέσας. Ἐτάφη δ' ἐν Ἱεροσολύμοις ἐν ταῖς θήκαις τῶν βασιλέων. Διεδέξατο δ' αὐτοῦ τὴν βασιλείαν ὁ υἱὸς Ἀβίας, ὀγδοον ἤδη καὶ δέκατον ἔτος Ἱεροβοάμου τῶν δέκα φυλῶν βασιλεύοντος. Καὶ ταῦτα μὲν τοιοῦτον ἔσχε τέλος. Τὰ δὲ περὶ Ἱεροβόαμον ἀκόλουθα τούτων ἔχομεν, πῶς κατέστρεψε τὸν βίον, διεξελθεῖν. Οὗτος γὰρ οὐ διέλιπεν οὐδὲ ἠρέμησεν εἰς τὸν Θεὸν ἐξυβρίζων, ἀλλὰ καθ' ἡμέραν ἐπὶ τῶν ὑψηλῶν ὀρῶν βωμοὺς ἀνιστὰς καὶ ἱερεῖς ἐκ τοῦ πλήθους ἀποδεικνὺς διετέλει.

ΚΕΦ. ΙΑ'.

Ταῦτα δ' ἔμελλεν οὐκ εἰς μακρὰν τὰ ἀσεβήματα καὶ τὴν ὑπὲρ αὐτῶν δίκην εἰς τὴν αὐτοῦ κεφαλὴν καὶ πάσης αὐτοῦ τῆς γενεᾶς τρέψειν τὸ θεῖον. Κάμνοντος δ' αὐτῷ κατ' ἐκεῖνον τὸν καιρὸν τοῦ παιδὸς, ὃν Ὄβίμην ἐκάλουν, τὴν γυναῖκα αὐτοῦ προσέταξε τὴν στολὴν ἀποθεμένην καὶ σχῆμα λαβοῦσαν ἰδιωτικὸν πορευθῆναι πρὸς Ἀχίαν τὸν προφήτην· εἶναι γὰρ θαυμαστὸν ἄνδρα περὶ τῶν μελλόντων προειπεῖν· (καὶ γὰρ περὶ τῆς βασιλείας αὐτῷ τοῦτον δεδηλωκέναι·) παραγενομένην δ' ἐκέλευσε περὶ τοῦ παιδὸς ἀνακρίνειν ὡς ξένην εἰ διαφεύξεται τὴν νόσον. Ἡ δὲ μετασχηματισαμένη, καθὼς αὐτῇ προσέταξεν ὁ ἀνὴρ, ἦκεν εἰς Σιλὼ πόλιν· ἐκεῖ γὰρ διέτριβεν ὁ Ἀχίας. Καὶ μελλούσης εἰς τὴν οἰκίαν αὐτοῦ εἰσιέναι, τὰς ὄψεις ἠμαυρωμένου διὰ τὸ γῆρας, ἐπιφανεὶς ὁ Θεὸς ἀμφότερα αὐτῷ μηνύει, τήν τε Ἱεροβοάμου γυναῖκα πρὸς αὐτὸν ἀφιγμένην καὶ τί δεῖ περὶ

tionis meminit etiam Herodotus Halicarnassensis, in solo regis nomine errans, *refertque* illum gentes alias complures invasisse, atque Syriam Palæstinam sibi subjecisse, cunctis in ea regione hominibus sine prælio captis. Manifestum est autem quod nostram gentem designare voluerit ab Ægyptio subactam. Narrat enim hunc in terra illorum, qui semet sine pugna dediderant, columnas reliquisse, quibus pudenda muliebria insculpserat. Roboamus sane rex noster, priusquam Martis aleam experiretur, urbis deditionem ei fecit. Porro dicit Æthiopas ab Ægyptiis circumcisionem virilium accepisse : « nam et Phœnices et Syrii « qui sunt in Palæstina, didicisse id ab Ægyptiis et ipsi con« fitentur. » Ceterum constat nullos alios circumcidi in Palæstina Syrorum præterquam nos. Sed de *his singuli ita* loquantur prout ipsis visum fuerit.

4. Post Susaci autem discessum Roboamus rex pro aureis scutis et clypeis pari numero ære facta regiæ custodibus commisit. Quumque ei non contigerit inter expeditiones illustres et res splendide gestas vitam agere, summa in quiete regnavit cum metu conjuncta, quod perpetuo cum *Hieroboamo inimicitias gereret. Obiit autem, quum vixisset* annos quinquaginta et septem, et septemdecim ex illis in regno exegisset, vir vanus et imprudens, et qui patris amicorum consiliis non obsequutus magnam imperii partem amisit. Sepultus est Hierosolymis in regiis conditoriis. Ipsi vero in regnum successit filius Abias, anno duodevigesimo regni Hieroboami in decem tribus. Atque ista quidem hujusmodi exitum habuere. Superest vero ut deinceps dicamus de Hieroboamo, quemadmodum et ipse vitam finiverit. Nam *ille* nihil reliqui fecit neque cessavit quin in Deum contumelias ederet, sed aras super montes excelsos construere pergebat *atque sacerdotes* ex vulgo creare.

CAP. XI. (IV.)

Futurum autem erat non longo post intervallo ut Deus ista flagitia pœnamque illis debitam in ipsius caput generisque ejus universi recidere faceret. Quumque sub id tempus filius ejus ægrotaret, quem Obimen appellabant, uxori suæ mandat ut veste sua deposita habituque privato assumpto ad Achiam vatem se conferret; (esse enim hunc *virum in futuris prædicendis mirificum; nam* et de regno sibi id quod accidisse hunc ipsum indicasse;) jussitque, ubi eo perveniret, ut quasi peregrina de filio percontaretur an e morbo esset evasurus. Illa habitu mutato, prout a marito jussa fuerat, ad urbem Siluntem veniebat; illic enim Achias agebat. Quæ quum in eo esset ut domum ejus intraret, cæcutientis et oculis præ senio torpentis, Deus ei apparuit utrumque indicans, et Hieroboami uxorem se ad ipsum contulisse, et quid ei de quibus sciscitatura adsit respondere oporteat.

ὧν πάρεστιν ἀποκρίνασθαι. Παρούσης δὲ τῆς γυναικὸς εἰς τὴν οἰκίαν ὡς ἰδιώτιδος καὶ ξένης ἀνεβόησεν· « εἴσελθε, ὦ γύναι Ἱεροβοάμου, τί κρύπτεις σαυτήν; « τὸν γὰρ Θεὸν οὐ λανθάνεις, ὃς ἀφιξομένην τέ μοι φα- « νεὶς ἐδήλωσε καὶ προσέταξε τίνας ποιήσομαι τοὺς λό- « γους ». Ἀπελθοῦσαν οὖν πρὸς τὸν ἄνδρα ἔφραζεν αὐτῷ ταῦτα λέγειν· « ἐπεὶ σὲ μέγαν ἐκ μικροῦ καὶ « μηδὲν ὄντος ἐποίησα καὶ ἀποσχίσας τὴν βασιλείαν « ἀπὸ τοῦ Δαυίδου γένους σοὶ ταύτην ἔδωκα, σὺ δὲ « τούτων ἠμνημόνησας καὶ τὴν ἐμὴν θρησκείαν κα- « ταλιπὼν χωνευτοὺς θεοὺς κατασκευάσας ἐκείνους « ἐτίμησας, οὕτω τε πάλιν καθαιρήσω καὶ πᾶν ἐξο- « λοθρεύσω σου τὸ γένος καὶ κυσὶ καὶ ὄρνισι βορὰν « ποιήσω γενέσθαι. Βασιλεὺς γὰρ ἐξεγείρεταί τις « ὑπ' ἐμοῦ τοῦ λαοῦ παντὸς, ὃς οὐδὲν ἀπολείψει τοῦ « Ἱεροβοάμου γένους. Μεθέξει δὲ τῆς τιμωρίας καὶ « τὸ πλῆθος ἐκπεσὸν τῆς ἀγαθῆς γῆς καὶ διασπαρὲν εἰς « τοὺς πέραν Εὐφράτου τόπους, ὅτι τοῖς βασιλέως ἀσε- « βήμασι κατηκολούθησε καὶ τοὺς ὑπ' αὐτοῦ γενομένους « προσκυνεῖ θεοὺς, τὴν ἐμὴν θυσίαν ἐγκαταλιπόν. Σὺ « δὲ, ὦ γύναι, ταῦτα ἀπαγγέλλουσα σπεῦδε πρὸς τὸν « ἄνδρα. Τὸν δὲ υἱὸν καταλήψῃ τεθνηκότα· σοῦ γὰρ « εἰσιούσης εἰς τὴν πόλιν ἀπολείψει τὸ ζῆν αὐτόν· τα- « φήσεται δὲ κλαυσθεὶς ὑπὸ τοῦ πλήθους παντὸς, κοινῷ « τιμηθεὶς πένθει· καὶ γὰρ μόνος τῶν ἐκ τοῦ Ἱερο- « βοάμου γένους ἀγαθὸς οὗτος ἦν. » Ταῦτα αὐτοῦ προφητεύσαντος, ἐκπηδήσασα ἡ γυνὴ τεταραγμένη καὶ τῷ τοῦ προειρημένου παιδὸς θανάτῳ περιαλγὴς, θρηνοῦσα διὰ τῆς ὁδοῦ καὶ τὴν μέλλουσαν τοῦ τέκνου κοπτομένη τελευτὴν, ἀθλία τοῦ πάθους ἠπείγετο κακοῖς ἀμηχάνοις, καὶ σπουδῇ μὲν ἀτυχεῖ χρωμένη διὰ τὸν υἱὸν, (ἔμελλε γὰρ αὐτὸν ἐπειχθεῖσα θᾶττον ὄψεσθαι νεκρὸν,) ἀναγκαίᾳ δὲ διὰ τὸν ἄνδρα. Καὶ παραγενομένη τὸν μὲν ἐκπεπνευκότα, καθὼς εἶπεν ὁ προφήτης, ηὗρε, τῷ δὲ βασιλεῖ πάντα ἀπήγγελλεν.

(Ε'.) β'. Ἱεροβόαμος δὲ οὐδενὸς τούτων φροντίσας, πολλὴν ἀθροίσας στρατιὰν ἐπὶ τὸν Ῥοβοάμου παῖδα, τῶν δύο φυλῶν τὴν βασιλείαν τοῦ πατρὸς διαδεξάμενον, Ἀβίαν ἐξεστράτευσε πολεμήσων· κατεφρόνει γὰρ αὐτοῦ διὰ τὴν ἡλικίαν. Ὁ δ' ἀκούσας τὴν ἔφοδον τὴν Ἱεροβοάμου, πρὸς αὐτὴν οὐ κατεπλάγη, γενόμενος δ' ἐπάνω καὶ τῆς νεότητος τῷ φρονήματι καὶ τῆς ἐλπίδος τοῦ πολεμίου, στρατιὰν ἐπιλεξάμενος ἐκ τῶν δύο φυλῶν ἀπήντησε τῷ Ἱεροβοάμῳ εἰς τόπον τινὰ καλούμενον ὄρος Σεμαρών. Καὶ στρατοπεδευσάμενος ἐγγὺς αὐτοῦ τὰ πρὸς τὴν μάχην ηὐτρέπιζεν. Ἦν δ' ἡ δύναμις αὐτοῦ μυριάδες τεσσαράκοντα, ἡ δὲ τοῦ Ἱεροβοάμου στρατιὰ διπλασίων ἐκείνης. Ὡς δὲ τὰ στρατεύματα πρὸς τὰ ἔργα καὶ τοὺς κινδύνους ἀντιπαρετάσσετο καὶ συμβαλεῖν ἔμελλε, στὰς ἐφ' ὑψηλοῦ τινος τόπου Ἀβίας καὶ τῇ χειρὶ κατασείσας τὸ πλῆθος καὶ τὸν Ἱεροβόαμον ἀκοῦσαι πρῶτον αὐτοῦ μεθ' ἡσυχίας ἠξίωσε. Γενομένης δὲ σιωπῆς ἤρξατο λέγειν. « Ὅτι μὲν τὴν ἡγεμο- « νίαν ὁ Θεὸς Δαυίδῃ καὶ τοῖς ἐκγόνοις αὐτοῦ κατένευ-

Muliere autem, tanquam peregrina et privata, ad domum ejus accedente, exclamavit, « ingredere, o uxor Hiero- « boami, cur te ipsam dissimulas? nam Deum latere non « potes, qui et me per visionem de adventu tuo præmonuit, « præcepitque quibus te verbis affarer. » Quando itaque ad maritum reversa esset, jussit ut hæc ei renunciaret: « quan- « doquidem ego te magnum e parvo et nihili homine feci, ab- « scissoque Davidicæ domui regno te donavi, tu vero horum « immemor, meoque cultu post tergum rejecto, eo deve- « neris ut deos *ex auro* conflaveris eosque colueris, ita ego « te rursum e medio tollam, et omne genus tuum ad inter- « necionem perdam, faciamque ut a canibus ac volucribus « devoretur. Quidam enim a me in Israelitas rex suscita- « bitur, qui neminem ex Hieroboami genere superstitem « est relicturus. Quin et populus hujusce supplicii particeps « erit, excidet quippe felice terra, sparsusque per loca « Transeuphratensia exsulabit, quod impietatis regis socium « se fecerit, deosque ab illo factos adorarit, sacris meis re- « lictis. Tu vero, o mulier, i propere ad maritum hæc « illi enunciatum. Ceterum filium invenies mortuum: « nam simulac pedem in urbem immiseris, ille morietur, « atque ab universo deploratus populo sepelietur, publico « luctu cohonestatus: hic etenim unicus erat e stirpe « Hieroboami in quo boni quidquam inventum est. » Ubi hæc ille vaticinatus fuerat, mulier perturbata, puerique jam dicti mortem ægre ferens se proripuit, viam luctu et plangore complens, ac misera malis ex calamitate urgebatur ineluctabilibus, festinatione utens ob filium quidem infelici, (nam quo magis properaret, eo ipsum citius exstinctum visura erat,) viro tamen necessaria. Atque ita domum reversa filium quidem, prout vates dixerat, anima jam efflata mortuum offendit, regi autem cuncta enarravit.

(V.) 2. At Hieroboamus nihil hæc curans, magnum collectum exercitum in expeditionem eduxit, ut bello persequeretur Abiam Roboami filium, qui patri in regnum duarum tribuum successerat: eum enim, quod esset adolescentulus admodum, contempsit. Ille vero, audito adventu Hieroboami, haudquaquam perterritus est, sed animo supra juvenis ætatem et supra quam hostis speraverat, ubi exercitum e duabus tribubus collegerat, Hieroboamo occurrit in quodam loco qui mons Semaron appellatur. Et prope illum castra metatus, omnia ad pugnam necessaria parabat. Secum autem habebat quadringenta millia, Hieroboami vero exercitus duplo major erat. Quumque jam milites ex adverso starent ad dimicandum et pericula subeunda accincti, atque in eo essent ut manus consererent, Abias ex edito quodam loco, quum manu significasset, populum et Hieroboamum rogavit ut prius ipsum quiete audire vellent. Factoque silentio orsus est in hæc verba. « Vos quidem non ignoratis Davidi ejusque « posteris principatum dedisse Deum in omne ævum: ipse

« σεν εἰς ἅπαντα χρόνον οὐδ' ὑμεῖς ἀγνοεῖτε· θαυμάζω « δὲ πῶς ἀποστάντες τοὐμοῦ πατρὸς τῷ δούλῳ Ἱερο- « βοάμῳ προσέθεσθε καὶ μετ' ἐκείνου πάρεστε νῦν ἐπὶ « τοὺς ὑπὸ τοῦ Θεοῦ βασιλεύειν κεχριμένους πολεμή- « σοντες καὶ τὴν ἀρχὴν ἀφαιρησόμενοι τὴν ὑπάρχουσαν. « Τὴν μὲν γὰρ πλείω μέχρι νῦν Ἱεροβόαμος ἀδίκως « ἔχει· ἀλλ' οὐκ οἶμαι ταύτης αὐτὸν ἀπολαύσειν ἐπὶ « πλείονα χρόνον. Ἀλλὰ δοὺς καὶ τοῦ παρεληλυθότος « δίκην τῷ Θεῷ παύσεται τῆς παρανομίας καὶ τῶν ὕ- « βρεων, ἃς οὐ διαλέλοιπεν εἰς αὐτὸν ὑβρίζων καὶ ταῦτὰ « ποιεῖν ὑμᾶς ἀναπεπεικώς· οἳ μηδὲν ἀδικηθέντες ὑπὸ « τοὐμοῦ πατρὸς, ἀλλ' ὅτι μὴ πρὸς ἡδονὴν ἐκκλησιάζων « ὡμίλησεν, ἀνθρώπων πονηρῶν συμβουλίᾳ πεισθείς, « ἐγκατελίπετε μὲν τῷ δοκεῖν ὑπ' ὀργῆς ἐκεῖνον, ταῖς « δ' ἀληθείαις αὐτοὺς ὑπὸ τοῦ Θεοῦ καὶ τῶν ἐκείνου νό- « μων ἀπεσπάσατε. Καίτοι συνεγνωκέναι καλῶς εἶ- « χεν ὑμᾶς οὐ λόγων μόνων δυσκόλων ἀνδρὶ νέῳ καὶ « δημαγωγίας ἀπείρῳ, ἀλλ' εἰ καὶ πρός τι δυσχερὲς ἡ « νεότης αὐτὸν καὶ ἡ ἀμαθία τῶν πραττομένων ἐξῆγεν « ἔργον, διά τε Σολομῶνα τὸν πατέρα καὶ τὰς εὐεργε- « σίας τὰς ἐκείνου· παραίτησιν γὰρ εἶναι δεῖ τῆς τῶν « ἐκγόνων ἁμαρτίας τὰς τῶν πατέρων εὐποιίας. Ὑμεῖς « δ' οὐδὲν τούτων ἐλογίσασθε οὔτε τότε οὔτε νῦν, ἀλλ' ἦ- « κετε στρατὸς ἐφ' ὑμᾶς τοσοῦτος, τίνι καὶ πεπιστευκὼς « περὶ τῆς νίκης, ἢ ταῖς χρυσαῖς δαμάλεσι καὶ τοῖς « ἐπὶ τῶν ὀρῶν βωμοῖς, ἃ δείγματα τῆς ἀσεβείας ἐστὶν « ὑμῶν, ἀλλ' οὐχὶ τῆς θρησκείας; ἢ τὸ πλῆθος ὑμᾶς « εὐέλπιδας ἀπεργάζεται τὴν ἡμετέραν στρατιὰν ὑπερ- « βάλλον; ἀλλ' οὐδ' ἡτισοῦν ἰσχὺς μυριάδων στρατοῦ « μετὰ ἀδικημάτων πολεμοῦντος. Ἐν γὰρ μόνῳ τῷ « δικαίῳ καὶ τῷ πρὸς θεῖον εὐσεβεῖ τὴν βεβαιοτάτην « ἐλπίδα τοῦ κρατεῖν τῶν ἐναντίων ἀποκεῖσθαι συμβέ- « βηκεν, ἥτις ἐστὶ παρ' ἡμῖν τετηρηκόσιν ἀπ' ἀρχῆς τὰ « νόμιμα καὶ τὸν ἴδιον Θεὸν σεβομένοις, ὃν οὐ χεῖρες « ἐποίησαν ἐξ ὕλης φθαρτῆς, οὐδ' ἐπίνοια πονηροῦ βα- « σιλέως ἐπὶ τῇ τῶν ὄχλων ἀπάτῃ κατεσκεύασεν, ἀλλ' « ὃς ἔργον ἐστὶν αὐτοῦ καὶ ἀρχὴ καὶ τέλος τῶν ἁπάν- « των. Συμβουλεύω τοιγαροῦν ὑμῖν ἔτι καὶ νῦν μετα- « γνῶναι καὶ λαβόντας ἀμείνω λογισμὸν παύσασθαι τοῦ « πολεμεῖν, καὶ τὰ πάτρια καὶ τὸ προαγαγὸν ὑμᾶς ἐπὶ « τοσοῦτο μέγεθος εὐδαιμονίας γνωρίσαι. »

γ'. Ταῦτα μὲν Ἀβίας διελέχθη πρὸς τὸ πλῆθος. Ἔτι δ' αὐτοῦ λέγοντος λάθρα τινὰς τῶν στρατιωτῶν ὁ Ἱεροβόαμος ἔπεμψε περικυκλωσομένους τὸν Ἀβίαν, ἔκ τινων οὐ φανερῶν τοῦ στρατοπέδου μερῶν. Μέσου δ' αὐτοῦ περιληφθέντος τῶν πολεμίων, ἡ μὲν στρατιὰ κατέδεισε καὶ ταῖς ψυχαῖς ἀνέπεσεν, ὁ δ' Ἀβίας παρεθάρρυνε καὶ τὰς ἐλπίδας ἔχειν ἐν τῷ Θεῷ παρεκάλει· τοῦτον γὰρ οὐ κεκυκλῶσθαι πρὸς τῶν πολεμίων. Οἱ δὲ ὁμοῦ πάντες ἐπικαλεσάμενοι τὴν παρὰ τοῦ Θεοῦ συμμαχίαν, τῶν ἱερέων τῇ σάλπιγγι σημηνάντων, ἀλαλάξαντες ἐχώρησαν ἐπὶ τοὺς πολεμίους. Καὶ τῶν μὲν ἔθραυε τὰ φρονήματα καὶ τὰς ἀκμὰς αὐτῶν ἐξέλυσεν ὁ Θεὸς, τὴν δὲ Ἀβίᾳ στρατιὰν ὑπερτέραν ἐποίησεν. Ὅσος

« vero miror qui factum sit ut, patre meo deserto, vosmet « Hieroboamo servo adjunxeritis, et cum illo nunc prodea- « tis contra eos, quos Deus regnaturos esse decreverat, « pugnare parati, et quod reliquum est imperii *iis* auferre. « Partem quidem ejus majorem etiam nunc Hieroboamus « inique tenet: haud tamen erit, opinor, ut longius aliquanto « ea fruatur. Verum quum etiam præteritorum supplicium « Deo dederit, ab iniquitatibus et contumeliis cessabit, quas « hucusque in eum admisit, vobis quoque auctor ut eadem « flagitia faceretis, qui nulla a patre meo injuria affecti, nisi « quod in concione, malorum hominum consiliis obsequutus, « haud ita grata usus fuerit allocutione, illum quidem iræ « specie reliquistis, revera autem vosmet a Deo ejusque « legibus subduxistis. Atqui æquum erat adolescentulo « populique tractandi ignaro, vel propter Solomonem pa- « trem et illius beneficia, veniam indulsisse, non solum ob « verba duriuscula, sed etiamsi eum ad facinus grave et « odiosum impulissent ætas immatura rerumque agendarum « imperitia. Nam oportet parentum meritis posterorum « errata condonari. Vos vero eo tempore nullam eorum « rationem habuistis, ac ne nunc quidem habetis, sed ad- « versum nos venistis ingens sane exercitus. Qua tandem re « freti victoriam exspectatis, num aureis vitulis et aris in « locis editioribus exstructis, quæ non religionis, sed im- « pietatis vestræ indicia sunt? an multitudo, qua nobis « superiores estis, spem vobis facit victoriæ? At nihil sane « valet vel myriadum vis in exercitu, si maleficiis coo- « pertus bellum gerat. Nam in justitia sola ac pietate fir- « missimam de hostibus victoriam reportandi spem sitam « esse contigit: quæ scilicet a nobis stant, qui jam inde a « principio legis instituta servavimus, et nostrum Deum « coluimus, quem non manus artificis ex fragili materia « fabricata est, nec regis scelerati mens ad populum deci- « piendum excogitavit, sed qui ex se est, et principium « rerum omnium et finis. Quamobrem nunc quoque vos « adhortor ut resipiscatis, et meliora consilia sequuti a bello « desistatis, tandemque patria agnoscatis instituta et id « quod vos ad tantam felicitatis magnitudinem provexit. »

3. Hæc quidem Abias ad populum verba fecit. At dum adhuc loqueretur, suorum quosdam clam emisit Hieroboamus e castrorum locis non animadversis, ut Abiam circumdarent. Illo autem medio hostium undique comprehenso, pavore consternati sunt milites animisque concide- runt. At suos Abias confirmavit, eosque hortatus est ut in Deo fiduciam reponerent: hunc enim non posse ab hostibus circumclusum teneri. Tum illi simul omnes, quum Dei auxilium implorassent, et sacerdotes tubis eccinissent, clamore sublato hostes aggressi sunt. Et illorum quidem animos fregit Deus, eorumque spirituum vim sol- vit, Abiæ vero exercitum superiorem fecit. Nam totidem

γὰρ οὐδέποτε ἐμνημονεύθη φόνος ἐν πολέμῳ γεγονέναι οὔθ' Ἑλλήνων οὔτε βαρβάρων, τοσούτους ἀποκτείναντες τῆς Ἱεροβοάμου δυνάμεως, θαυμαστὴν καὶ διαβόητον νίκην παρὰ τοῦ Θεοῦ λαβεῖν ἠξιώθησαν. Πεντήκοντα γὰρ μυριάδας τῶν ἐχθρῶν κατέβαλον καὶ τὰς πόλεις αὐτῶν διήρπασαν τὰς ὀχυρωτάτας ἑλόντες κατὰ κράτος, τήν τε Βεθήλην καὶ τὴν τοπαρχίαν αὐτῆς καὶ τὴν Ἰσανὰν καὶ τὴν τοπαρχίαν αὐτῆς. Καὶ Ἱεροβόαμος μὲν οὐκέτι μετὰ ταύτην τὴν ἧτταν ἴσχυσεν, ἐφ' ὅσον Ἀβίας περιῆν χρόνον. Τελευτᾷ δ' οὗτος ὀλίγον τῇ νίκῃ χρόνον ἐπιζήσας, ἔτη βασιλεύσας τρία, καὶ θάπτεται μὲν ἐν Ἱεροσολύμοις ἐν ταῖς προγονικαῖς θήκαις. Ἀπολείπει δὲ υἱοὺς μὲν δύο καὶ εἴκοσι, θυγατέρας δὲ ἑκκαίδεκα· πάντας δὲ τούτους ἐκ γυναικῶν δεκατεσσάρων ἐτεκνώσατο. Διεδέξατο δ' αὐτοῦ τὴν βασιλείαν ὁ υἱὸς Ἄσανος καὶ ἡ μήτηρ τοῦ νεανίσκου, Μαχαία τοὔνομα. Τούτου κρατοῦντος τῆς εἰρήνης ἀπέλαυσεν ἡ χώρα τῶν Ἰσραηλιτῶν ἐπὶ ἔτη δέκα.

δ'. Καὶ τὰ μὲν περὶ Ἀβίαν, τὸν Ἱεροβοάμου τοῦ Σολομῶνος, οὕτω παρειλήφαμεν. Ἐτελεύτησε δὲ καὶ Ἱεροβόαμος ὁ τῶν δέκα φυλῶν βασιλεὺς, ἄρξας ἔτη δύο καὶ εἴκοσι. Διαδέχεται δ' αὐτὸν ὁ παῖς Νάδαβος, δεύτερον ἔτος ἤδη τῆς βασιλείας Ἀσάνου διεληλυθότος. Ἦρξε δὲ ὁ τοῦ Ἱεροβοάμου παῖς ἔτη δύο, τῷ πατρὶ τὴν ἀσέβειαν καὶ τὴν πονηρίαν ἐμφερὴς ὤν. Ἐν δὲ τούτοις τοῖς δυσὶν ἔτεσι στρατευσάμενος ἐπὶ Γαβαθὼ πόλιν Παλαιστίνων οὖσαν, πολιορκίᾳ λαβεῖν αὐτὴν προσέμενεν. Ἐπιβουλευθεὶς δὲ ἐκεῖ ὑπὸ φίλου τινὸς, Βασάνου ὄνομα, Μαχείλου δὲ παιδὸς, ἀποθνήσκει· ὃς μετὰ τὴν τελευτὴν αὐτοῦ τὴν βασιλείαν παραλαβὼν ἅπαν τὸ Ἱεροβοάμου γένος διέφθειρε. Καὶ συνέβη κατὰ τὴν τοῦ Θεοῦ προφητείαν τοὺς μὲν ἐν τῇ πόλει τῶν Ἱεροβοάμου συγγενῶν ἀποθνήσκοντας ὑπὸ κυνῶν σπαραχθῆναι καὶ δαπανηθῆναι, τοὺς δ' ἐν τοῖς ἀγροῖς ὑπ' ὀρνίθων. Ὁ μὲν οὖν Ἱεροβοάμου οἶκος τῆς ἀσεβείας αὐτοῦ καὶ τῶν ἀνομημάτων ἀξίαν ὑπέσχε δίκην.

ΚΕΦ. ΙΒ'.

Ὁ δὲ τῶν Ἱεροσολύμων βασιλεὺς Ἄσανος ἦν τὸν τρόπον ἄριστος καὶ πρὸς τὸ θεῖον ἀφορῶν καὶ μηδὲν μήτε πράττων μήτ' ἐννοούμενος, ὃ μὴ πρὸς τὴν εὐσέβειαν εἶχε καὶ τὴν τῶν νομίμων φυλακὴν τὴν ἀναφοράν. Κατώρθωσε δὲ τὴν αὐτοῦ βασιλείαν ἐκκόψας εἴ τι πονηρὸν ἦν ἐν αὐτῇ καὶ καθαρεύσας ἀπὸ πάσης κηλίδος. Στρατοῦ δ' εἶχεν ἐπιλέκτων ἀνδρῶν, ὡπλισμένων θυρεὸν καὶ σειρομάστην, ἐκ μὲν τῆς Ἰούδα φυλῆς μυριάδας τριάκοντα, ἐκ δὲ τῆς Βενιαμίτιδος ἀσπίδας φορούντων καὶ τοξοτῶν μυριάδας πέντε καὶ εἴκοσι. Ἤδη δὲ αὐτοῦ δέκα ἔτη βασιλεύοντος στρατεύει μεγάλῃ δυνάμει Ζαραῖος ἐπ' αὐτὸν ὁ τῆς Αἰθιοπίας βασιλεὺς, ἐνενήκοντα μὲν πεζῶν μυριάσιν, ἱππέων δὲ δέκα, τριακοσίοις δ' ἅρμασι. Καὶ μέχρι πόλεως Μαρίσσης (ἔστι δ' αὕτη τῆς Ἰούδα φυλῆς) ἐλάσαντος αὐτοῦ μετὰ τῆς οἰκείας

ex copiis Hieroboami cæsis, quot non alia belli strage cecidisse memorantur vel apud Græcos vel barbaros, mirabilem celebremque victoriam Dei auspiciis consequuti sunt. Quingenta enim hostium millia prostraverunt, et urbes eorum munitissimas vi captas diripuerunt, Bethelamque et ejus præfecturam, atque Isanam et præfecturam ejus. Nec deinceps post hanc cladem potestate valuit Hieroboamus, quam diu Abias superstes erat. Is autem diem obiit non multo post hanc victoriam partam, postquam tres annos regnaverat, sepultusque est Hierosolymis in majorum suorum conditoriis, relictis filiis quidem duobus et viginti, filiabus vero sedecim : istos autem omnes ex quattuordecim uxoribus sustulerat. In regnum autem ei successit filius Asanus, et mater juvenis, cui Machaja nomen erat. Dum is regnaret, Israelitarum regio per decem annos pace fruebatur.

4. Et ista quidem de Abia filio Roboami filii Solomonis ita accepimus. Vita decessit etiam Hieroboamus decem tribuum rex, postquam regnaverat annos duos et viginti. Ei vero successit Nadabus filius ejus, quum jam alterum annum in regno Asanus exegisset. Atque annos duos regnavit Hieroboami filius, similiter ac pater nequam et improbus. In his autem duobus annis exercitum eduxit contra urbem Gabatho, quæ Palæstinorum erat, et in obsidione perstabat ut eam caperet. Illic vero amici cujusdam, Basanis nomine, Macheli vero filii, insidiis interiit, qui, post mortem ejus regno occupato, universam Hieroboami stirpem interfecit. Atque accidit, prout Deus fore prædixerat, ut alii quidem ex Hieroboami cognatis, in urbe interempti, a canibus laniati absumerentur, alii vero in agris ab alitibus. Atque ita quidem Hieroboami domus pœnas impietati ejus et sceleribus debitas pertulit.

CAP. XII. (VI.)

Asanus autem Hierosolymorum rex erat vir moribus optimis ac Dei studiosus, quique nihil vel faceret vel cogitaret nisi quod ad pietatem respiciebat legumque observantiam. Porro cuncta ad regni sui utilitatem composuit, quicquid mali in eo erat resecando, omnemque immunditiem tollendo. Habuit autem lectorum virorum exercitum, ex tribu quidem Judæ scutatorum et lancearium trecenta millia, ex tribu vero Benjamitica, clypeatorum et sagittariorum ducenta et quinquaginta millia. Ceterum quum jam decem annos regnasset, Zaræus Æthiopiæ rex contra eum cum magnis copiis expeditionem facit, ducens peditum quidem nongenta millia, equitum vero centum *millia*, adjunctis trecentis curribus. Qui cum ad urbem Marissam (est autem hæc in tribu Judæ)

δυνάμεως ἀπήντησεν Ἄσανος· καὶ ἀντιπαρατάξας αὐτῷ τὴν στρατιὰν ἔν τινι φάραγγι Σαφθὰ λεγομένῃ, τῆς πόλεως οὐκ ἄπωθεν, ὡς κατεῖδε τὸ τῶν Αἰθιόπων πλῆθος, ἀναβοήσας νίκην ᾔτει παρὰ τοῦ Θεοῦ, καὶ τὰς πολλὰς ἐλεῖν μυριάδας τῶν πολεμίων. Οὐδὲ γὰρ ἄλλῳ τινὶ θαρσήσας ἔλεγεν ἢ τῇ παρ' αὐτοῦ βοηθείᾳ, δυναμένῃ καὶ τοὺς ὀλίγους ἀπεργάσασθαι κρείττους τῶν πλειόνων καὶ τοὺς ἀσθενεῖς τῶν ὑπερεχόντων, ἀπαντῆσαι πρὸς μάχην τῷ Ζαραίῳ.

β'. Ταῦτα λέγοντος Ἀσάνου, νίκην ἐσήμαινεν ὁ Θεὸς, καὶ συμβαλὼν μετὰ χαρᾶς τῶν προδεδηλωμένων ὑπὸ τοῦ Θεοῦ, πολλοὺς ἀποκτείνει τῶν Αἰθιόπων, καὶ τραπέντας εἰς φυγὴν ἐδίωξεν ἄχρι τῆς Γεραρίτιδος χώρας. Ἀφέμενοι δὲ τῆς ἀναιρέσεως ἐπὶ τὴν διαρπαγὴν τῶν πόλεων ἐχώρησαν (ἦλω γὰρ ἡ Γεράρων) καὶ κατὰ τῆς παρεμβολῆς αὐτῶν, ὡς πολὺν μὲν ἐκφορῆσαι χρυσὸν, πολὺν δὲ ἄργυρον, λείαν τε πολλὴν ἀπαγαγεῖν, καμήλους καὶ ὑποζύγια καὶ βοσκημάτων ἀγέλας. Ἄσανος μὲν οὖν καὶ ἡ σὺν αὐτῷ στρατιὰ τοιαύτην παρὰ τοῦ Θεοῦ νίκην λαβόντες καὶ ὠφέλειαν ἀνέστρεφον εἰς Ἱεροσόλυμα. Παραγενομένοις δὲ αὐτοῖς ἀπήντησε κατὰ τὴν ὁδὸν προφήτης Ἀζαρίας ὄνομα. Οὗτος ἐπισχεῖν κελεύσας τῆς ὁδοιπορίας ἤρξατο λέγειν πρὸς αὐτοὺς ὅτι ταύτης εἶεν τῆς νίκης παρὰ τοῦ Θεοῦ τετυχότες, ὅτι δικαίους καὶ ὁσίους αὐτοὺς παρέσχον καὶ πάντα κατὰ τὴν βούλησιν τοῦ Θεοῦ πεποιηκότας. Ἐπιμενοῦσι μὲν οὖν ἔφασκεν ἀεὶ τὸ κρατεῖν αὐτοὺς τῶν ἐχθρῶν καὶ τὸ ζῆν μετ' εὐδαιμονίας παρέξειν τὸν Θεὸν, ἀπολιποῦσι δὲ τὴν θρησκείαν ἅπαντα τούτων ἐναντία συμβήσεσθαι, καὶ γενήσεσθαι χρόνον ἐκεῖνον ἐν ᾧ μηδεὶς ἀληθὴς εὑρεθήσεται προφήτης ἐν τῷ ὑμετέρῳ ὄχλῳ, οὐδὲ ἱερεὺς τὰ δίκαια χρηματίζων, ἀλλὰ καὶ αἱ πόλεις ἀνάστατοι γενήσονται καὶ τὸ ἔθνος κατὰ πάσης σπαρήσεται γῆς, ἔπηλυν βίον καὶ ἀλήτην βιωσόμενον. Καιρὸν δ' αὐτοῖς ἔχουσι συνεβούλευεν ἀγαθοῖς γίνεσθαι καὶ μὴ φθονῆσαι τῆς εὐμενείας αὐτοῖς τοῦ Θεοῦ. Ταῦτ' ἀκούσας ὁ βασιλεὺς καὶ ὁ λαὸς ἐχάρησαν καὶ πολλὴν πρόνοιαν ἐποιοῦντο κοινῇ τε πάντες καὶ κατ' ἰδίαν τοῦ δικαίου. Διέπεμψε δ' ὁ βασιλεὺς καὶ τοὺς ἐν τῇ χώρᾳ τῶν νομίμων ἐπιμελησομένους.

γ'. Καὶ τὰ μὲν Ἀσάνου τοῦ βασιλέως τῶν δύο φυλῶν ἐν τούτοις ὑπῆρχεν· ἐπάνειμι δὲ ἐπὶ τὸν τοῦ πλήθους τῶν Ἰσραηλιτῶν βασιλέα Βασάνην, τὸν ἀποκτείναντα τὸν Ἱεροβοάμου υἱὸν Νάδαβον καὶ κατασχόντα τὴν ἀρχήν. Οὗτος γὰρ ἐν Θαρσῇ πόλει διατρίβων καὶ ταύτην οἰκητήριον πεποιημένος εἴκοσι μὲν ἐβασίλευσεν ἔτη καὶ τέσσαρα, πονηρὸς δὲ καὶ ἀσεβὴς ὑπὲρ Ἱεροβόαμον καὶ τὸν υἱὸν αὐτοῦ γενόμενος πολλὰ καὶ τὸ πλῆθος κακὰ διέθηκε καὶ τὸν Θεὸν ἐξύβρισεν. Ὃς αὐτῷ πέμψας Ἰηοῦν τὸν προφήτην προεῖπε διαφθερεῖν αὐτοῦ πᾶν τὸ γένος καὶ τοῖς αὐτοῖς οἷς καὶ τὸν Ἱεροβοάμου κακοῖς περιέβαλεν οἶκον ἐξολέσειν, ὅτι βασιλεὺς ὑπ' αὐτοῦ γενόμενος οὐκ ἠμείψατο τὴν εὐεργεσίαν τῷ δικαίως προστῆναι τοῦ πλήθους καὶ εὐσεβῶς· (ἅπερ αὐ-

cum exercitu suo pervenisset, occurrit ei Asanus, et instructa contra eum acie in valle quadam, cui nomen Saphtha, non procul ab urbe, ubi Æthiopum multitudinem conspexit, voce sublata victoriam a Deo poscebat, utque ipsi daretur multas adeo hostium myriadas occidere. Neque enim alia re aliqua nixum se aiebat quam illius auxilio, cujus est paucos pluribus et imbecilles viribus præstantioribus superiores facere, ausum esse cum Zaræo acie dimicare.

2. Dum hæc Asanus diceret, signum victoriæ dedit Deus, atque prœlio alacriter inito propter ea quæ fore prænunciarat Deus, magnam Æthiopum stragem edidit, reliquosque in fugam conversos in regionem Gerariticam persequutus est. Et quum a cæde facienda destitissent, ad urbes diripiendas processerunt (nam capta erat urbs Gerara) et ad castra hostium spolianda, adeo ut auri argentique vim immensam prædamque ingentem extulerint, camelos ad hæc et jumenta et pecorum greges. Atque ita quidem Asanus ejusque exercitus, tanta Dei auxilio victoria parta tantisque emolumentis, Hierosolyma repetiverunt. Quum autem non longe abessent, eis in via occurrit vates, Azarias nomine, qui ad eos, postquam iter paululum supprimere jusserat, orsus est dicere, hanc victoriam illis a Deo esse concessam, quod justos se sanctosque præstitissent, Deique in omnibus voluntati fuissent obsequuti. Quodsi ita, adjiciebat, ut cœperant perrexerint, facturum esse Deum ut hostes semper superent et vitam feliciter agant; sin vero a religione desciverint, fore ut omnia his contraria ipsis accidant, venturumque esse tempus illud in quo neque verus in universo populo reperietur vates, neque sacerdos qui justa decernet. Immo etiam urbes eversum iri, gentemque per totum terrarum orbem dissipatum, ut advenarum et erronum vitam actura sit. Quapropter illis suadebat ut, dum per tempus liceret, probitati studerent et Dei benignitatem sibimet non inviderent. His auditis rex populusque gaudio exsultarunt, jurique et æquo tam publice quam privatim omni cura et cogitatione incumbebant; misitque rex hinc inde qui id agerent, ut per *universam* regionem legis instituta servarentur.

3. Atque ita quidem se habebant Asani res duorum tribuum regis: jam vero ad Basanem revertor, populi Israelitici regem, qui Nadabum Hieroboami filium interfecerat et regnum occupaverat. Ille igitur in Tharsa urbe habitans, ibi etiam domicilio sibi collocato, viginti quidem annos et quattuor regnavit, improbus vero et nequam factus supra Hieroboamum ejusque filium, malis quamplurimis populum attrivit et Deo contumelias intulit. Qui, misso ad eum Jehu vate, prædixit se totum ipsius genus excisurum et iisdem cladibus, quibus Hieroboami domum affecerat, perditurum esse, quod rex a se constitutus beneficium non remunerarit justo pioque imperio populum regendo; (quod quum ipsis inprimis, qui ita fecerunt, prodesset, deinceps

τοῖς πρῶτον τοῖς οὖσι τοιούτοις ἀγαθὰ, ἔπειτα τῷ Θεῷ φίλα) τὸν δὲ κάκιστον Ἱεροβόαμον ἐμιμήσατο καὶ τῆς ψυχῆς ἀπολομένης τῆς ἐκείνου ζῶσαν ἐν αὐτῷ τὴν πονηρίαν ἐνεδείξατο. Πεῖραν οὖν ἔξειν εἰκότως τῆς ὁμοίας συμφορᾶς αὐτὸν ἔλεγεν, ὅμοιον αὐτῷ γενόμενον. Βασάνης δὲ, προακηκοὼς τὰ μέλλοντα αὐτῷ συμβήσεσθαι κακὰ μεθ' ὅλης τῆς γενεᾶς ἐπὶ τοῖς τετολμημένοις, πρὸς τὸ λοιπὸν δέον ἡσυχάσαι, ἵνα μὴ μᾶλλον πονηρὸς δόξας ἀποθάνῃ, καὶ περὶ τῶν παρῳχημένων ἐκ τοῦ τότε γοῦν μετανοῆσαι, ὅπως συγγνώμης παρὰ τοῦ Θεοῦ τύχῃ, ὥσπερ οἱ προκειμένων αὐτοῖς ἄθλων, ἐπὰν περί τι σπουδάσωσιν, οὐ διαλείπουσι περὶ τοῦτο ἐνεργοῦντες, οὕτω καὶ Βασάνης, προειρηκότος αὐτῷ τοῦ προφήτου τὰ μέλλοντα, ὡς ἐπ' ἀγαθοῖς τοῖς μεγίστοις κακοῖς, ὀλέθρῳ γένους καὶ οἰκίας ἀπωλείᾳ, χείρων ἐγένετο καὶ καθ' ἑκάστην ἡμέραν ὥσπερ ἀθλητὴς κακίας τοῖς περὶ ταύτην πόνοις προσετίθει. Καὶ τελευταῖον τὴν στρατιὰν παραλαβὼν πάλιν ἐπῆλθε πόλει τινὶ τῶν οὐκ ἀφανῶν Ἀραμαθῶνι τοὔνομα, σταδίους ἀπεχούσῃ Ἱεροσολύμων τεσσαράκοντα, καὶ καταλαβόμενος αὐτὴν, ὠχύρου, προδιεγνωκὼς καταλιπεῖν ἐν αὐτῇ δύναμιν, ἵνα ἐκεῖθεν ὡρμημένοι τὴν Ἀσάνου βασιλείαν κακώσωσι.

δ'. Φοβηθεὶς δὲ Ἄσανος τὴν ἐπιχείρησιν τοῦ πολεμίου καὶ λογισάμενος ὡς πολλὰ διαθήσει κακὰ τὴν ὑπ' αὐτῷ βασιλευομένην πᾶσαν ὁ καταλειφθεὶς ἐν Ἀραμαθῶνι στρατὸς, ἔπεμψε πρὸς τὸν Δαμασκηνῶν βασιλέα πρέσβεις καὶ χρυσὸν καὶ ἄργυρον, παρακαλῶν συμμαχίαν καὶ ὑπομιμνήσκων ὅτι καὶ πατρῴα φιλία πρὸς ἀλλήλους ἐστὶν αὐτοῖς. Ὁ δὲ τῶν χρημάτων τὸ πλῆθος ἀσμένως ἐδέξατο καὶ συμμαχίαν ἐποιήσατο πρὸς αὐτὸν, διαλύσας τὴν πρὸς τὸν Βασάνην φιλίαν· καὶ πέμψας εἰς τὰς ὑπ' αὐτοῦ βασιλευομένας πόλεις τοὺς ἡγεμόνας τῆς ἰδίας δυνάμεως ἐκέλευσε κακοῦν αὐτάς. Οἱ δὲ τὰς μὲν ἐνεπίμπρασαν, τὰς δὲ διήρπασαν πορευθέντες, τήν τε Ἀϊῶνα λεγομένην καὶ Δάνα καὶ Ἀβελλάνην καὶ ἄλλας πολλάς. Ταῦτα ἀκούσας ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς τοῦ μὲν οἰκοδομεῖν καὶ ὀχυροῦν τὴν Ἀραμαθῶνα ἐπαύσατο, μετὰ δὲ σπουδῆς ὡς βοηθήσων τοῖς οἰκείοις κακουμένοις ἀνέστρεψεν. Ἄσανος δὲ ἐκ τῆς παρεσκευασμένης ὑπ' αὐτοῦ πρὸς τὴν οἰκοδομίαν ὕλης πόλεις ἀνήγειρεν ἐν αὐτῷ τῷ τόπῳ δύο καρτερὰς· ἡ μὲν Γαβὰ ἐκαλεῖτο, ἡ δὲ Μασφά. Καὶ μετὰ ταῦτα μὲν καιρὸν οὐκ ἔσχεν ὁ Βασάνης τῆς ἐπὶ Ἄσανον στρατείας· ἐφθάσθη γὰρ ὑπὸ τοῦ γρεὼν, καὶ θάπτεται μὲν ἐν Θαρσῇ πόλει, παραλαμβάνει δ' αὐτοῦ τὴν ἀρχὴν παῖς Ἤλανος. Οὗτος ἄρξας ἐπ' ἔτη δύο τελευτᾷ, φονεύσαντος αὐτὸν ἐξ ἐπιβουλῆς Ζαμάρου τοῦ ἱππάρχου τῆς ἡμισείας τάξεως. Κατευωχηθέντα γὰρ αὐτὸν παρὰ τῷ οἰκονόμῳ αὐτοῦ Ὅλσα τοὔνομα πείσας ἐπιδραμεῖν τῶν ὑφ' αὐτὸν ἱππέων τινὰς, ἀπέκτεινε δι' αὐτῶν μεμονωμένον τῶν περὶ αὐτὸν ὁπλιτῶν καὶ ἡγεμόνων· οὗτοι γὰρ ἅπαντες περὶ τὴν πολιορκίαν τῶν Γαβαθῶν ἐγίνοντο τῆς Παλαιστίνων.

Deo esset gratum;) sed nequissimi Hieroboami mores imitatus fuerit; cujus perdita anima, ipsius in se viventem improbitatem ostenderit. Præterea dicebat, quum illi similis exstiterit, similem calamitatem merito experturum esse. Basanes autem, licet ante audivisset quæ mala ipsi stirpique ejus universæ eventura essent ob flagitia ab ipso perpetrata, quum in posterum desistere oporteret, ne pluribus sceleribus cooperiri visus moreretur, et ex illo certe tempore præteritorum pœnitendo veniam a Deo impetrare, quemadmodum ii qui propositis sibi præmiis, postquam rei alicui studere cœperint, sine intermissione ei operam dant, ita et Basanes, quum vates ei futura prædixisset, propositis malorum maximis, tanquam bonis, generis sui pernicie et domus interitu, deterior factus est, et quotidie, ac si athletæ pro malitia personam gereret, suos pro ea labores intendebat. Postremoque, quum exercitum iterum eduxisset, aggressus est urbem quandam non ignobilem, Aramathonem nomine, quadraginta stadiis ab Hierosolymis dissitam, eamque captam muniebat, quod secum jam ante statuerat præsidium in ea collocare, ut sui excursionibus inde factis Asani regnum infestarent.

4. Veritus autem Asanus hostis motum conatumque, animoque versans quam multa mala universæ suæ regioni relictus apud Aramathonem exercitus inferre posset, misit ad regem Damascenorum legatos et aurum et argentum ferentes, ejus societatem implorans, eumque istius, quæ a patribus illis secum intercesserit, amicitiæ admonens. Atque ille et pecuniam omnem libenter accepit et societatem cum eo iniit, dirempta quæ ei cum Basane erat amicitia; missisque militum suorum ducibus in illius ditionis urbes jussit ut eas vexarent. Illi autem eo profecti alias quidem incenderunt, alias vero diripuerunt, et urbem Ahionem appellatam et Dana et Abellanam, aliasque multas. Qua re audita Israelitarum rex ab Aramathone ædificanda et munienda abstinuit, festinanterque reversus est, quasi suis male habitis opem laturus. Asanus autem ex materia ab eo ad exstructiones parata duas in illo ipso loco urbes validas erexit, quarum una Gaba vocatur, altera vero Masphia. Nec postea quidem Basani per tempus licebat expeditionem contra Asanum suscipere: nam morte fatali præventus est. In urbe quidem Tharsa sepelitur, ei vero in regnum succedit filius Elanus. Hic quum duos annos regnasset, perit, per insidias cæsus a Zamare dimidiæ partis equitatus præfecto. Nam per quosdam ex equitibus suis, quibus persuaserat in eum impetum facere apud Olsan dispensatorem suum epulantem interfecit, desertum a satellitibus suis et ducibus: hi enim universi occupati erant in obsidione Gabathorum Palæstinorum urbis.

(Z'.) ε'. Φονεύσας δὲ τὸν Ἤλανον ὁ ἵππαρχος Ζαμάρης αὐτὸς βασιλεύει, καὶ πᾶσαν τὴν Βασάνου γενεὰν κατὰ τὴν Ἰηοῦς προφητείαν διαφθείρει. Τῷ γὰρ αὐτῷ τρόπῳ συνέβη τὸν οἶκον αὐτοῦ πρόρριζον ἀπολέσθαι διὰ τὴν ἀσέβειαν ὡς καὶ τὸν Ἱεροβοάμου διαφθαρέντα γεγράφαμεν. Ἡ δὲ πολιορκοῦσα τὴν Γαβαθώνην στρατιὰ πυθομένη τὰ περὶ τὸν βασιλέα καὶ ὅτι Ζαμάρης ἀποκτείνας αὐτὸν ἔχει τὴν βασιλείαν, καὶ αὐτὴ τὸν ἡγούμενον αὐτῆς Ἀμαρῖνον ἀπέδειξε βασιλέα, ὃς ἀπὸ τῆς Γαβαθώνης ἀναστήσας τὸν στρατὸν εἰς Θαρσὴν παραγίνεται τὸ βασίλειον, καὶ προσβαλὼν τῇ πόλει κατὰ κράτος αἱρεῖ. Ζαμάρης δὲ τὴν πόλιν ἰδὼν ἠρημωμένην συνέφυγεν εἰς τὸ μυχαίτατον τῶν βασιλείων, καὶ ὑποπρήσας αὐτὸ συγκατέκαυσεν αὐτόν, βασιλεύσας ἡμέρας ἑπτά. Διέστη δ' εὐθὺς ὁ τῶν Ἰσραηλιτῶν λαὸς, καὶ ὁ μὲν αὐτῶν Θαμναῖον βασιλεύειν ἤθελον, οἱ δὲ τὸν Ἀμαρῖνον. Νικήσαντες δ' οἱ τοῦτον ἄρχειν ἀξιοῦντες ἀποκτείνουσι τὸν Θαμναῖον, καὶ παντὸς βασιλεύει ὁ Ἀμαρῖνος τοῦ ὄχλου. Τριακοστῷ δὲ ἔτει τῆς Ἀσάνου βασιλείας ἦρξεν ὁ Ἀμαρῖνος ἔτη δώδεκα· τούτων τὰ μὲν ἓξ ἐν Θαρσῇ πόλει, τὰ δὲ λοιπὰ ἐν Σεμαρεῶνι λεγομένῃ πόλει, ὑπὸ δὲ Ἑλλήνων Σαμαρείᾳ καλουμένῃ. Προσηγόρευσε δ' αὐτὴν αὐτὸς Σεμαρεῶνα, ἀπὸ τοῦ τὸ ὄρος ἀποδομένου αὐτῷ, ἐφ' ᾧ κατεσκεύασε τὴν πόλιν, Σεμάρου. Διέφερε δ' οὐδενὶ τῶν πρὸ αὐτοῦ βασιλευσάντων ἢ τῷ χείρων αὐτῶν εἶναι. Ἅπαντες γὰρ ἐζήτουν πῶς ἀποστήσωσιν ἀπὸ τοῦ Θεοῦ τὸν λαὸν τοῖς καθ' ἡμέραν ἀσεβήμασι, καὶ διὰ τοῦτο δι' ἀλλήλων αὐτοὺς ὁ Θεὸς ἐποίησεν ἐλεῖν καὶ μηδένα τοῦ γένους ὑπολιπεῖν. Ἐτελεύτησε δὲ καὶ οὗτος ἐν Σαμαρείᾳ· διαδέχεται δ' αὐτὸν ὁ παῖς Ἄχαβος.

ς'. Μαθεῖν δ' ἔστιν ἐκ τούτων ὅσην τὸ θεῖον ἐπιστροφὴν ἔχει τῶν ἀνθρωπίνων πραγμάτων, καὶ πῶς μὲν ἀγαπᾷ τοὺς ἀγαθοὺς, μισεῖ δὲ τοὺς μοχθηροὺς καὶ προρρίζους ἀπόλλυσιν. Οἱ μὲν γὰρ τῶν Ἰσραηλιτῶν βασιλεῖς ἄλλος ἐπ' ἄλλῳ διὰ τὴν παρανομίαν καὶ τὰς ἀδικίας ἐν ὀλίγῳ χρόνῳ πολλοὶ κακῶς διαφθαρέντες ἠρέθησαν καὶ τὸ γένος αὐτῶν· ὁ δὲ τῶν Ἱεροσολύμων καὶ τῶν δύο φυλῶν βασιλεὺς Ἄσανος δι' εὐσέβειαν καὶ δικαιοσύνην εἰς μακρὸν καὶ εὔδαιμον ὑπὸ τοῦ Θεοῦ προήχθη γῆρας καὶ τεσσαράκοντα καὶ ἓν ἄρξας ἔτος εὐμοίρως ἀπέθανε. Τελευτήσαντος δ' αὐτοῦ διεδέξατο τὴν ἡγεμονίαν ὁ υἱὸς Ἰωσαφάτης, ἐκ γυναικὸς Ἀβίδας τοὔνομα γεγενημένος. Τοῦτον μιμητὴν Δαυίδου τοῦ προπάππου κατά τε ἀνδρείαν καὶ εὐσέβειαν ἅπαντες ἐν τοῖς ἔργοις ὑπέλαβον. Ἀλλὰ τὰ περὶ μὲν τούτου τοῦ βασιλέως οὐ νῦν κατεπείγει λέγειν.

ΚΕΦ. ΙΓ'.

Ὁ δὲ Ἄχαβος ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς κατῴκει μὲν ἐν Σαμαρείᾳ, τὴν δ' ἀρχὴν κατέσχεν ἓως ἐτῶν εἴκοσι καὶ δύο, μηδὲν κινήσας τῶν πρὸ αὐτοῦ βασιλέων, εἰ μὴ ὅσα γε πρὸς τὸ χεῖρον καθ' ὑπερβολὴν πονηρίας ἐπενόησεν, ἅπαντα δ' αὐτῶν τὰ κακουργήματα καὶ

(VII.) 5. Quum autem Zamares equitum dux Elanum interemisset, ipse pro eo regnum occupat, omnesque ex Basanis stirpe juxta Jehu vaticinium ad unum sustulit. Eodem enim modo ipsius familiam funditus perire contigit, quo Hieroboami domum exstinctam esse scripsimus. Interea qui Gabathonam obsidebat exercitus, auditis quæ regi acciderant, et quod Zamares occisi a se regnum invasisset, et ipse ducem suum Amarinum regem creat, qui motis castris a Gabathona ad Tharsam regiam proficiscitur, et impressione in urbem facta, eam vi expugnat. Zamares autem, urbem videns desolatam, in intimam regiam se recipiebat, atque igne ei subjecto se ipsum cum ea concremavit, postquam septem dies regnaverat. Tum vero divisus est Israelitarum populus, quorum alii Thamnæum, alii autem Amarinum regnare volebant. At quum ii vicissent, qui regnum huic deferri postulabant, Thamnæum perimunt, atque Amarinus totius populi rex factus est. Anno autem regni Asani trigesimo *regnum iniit*, idque tenuit annos duodecim, sex quidem in Tharsa, reliquos vero in urbe quæ Semareon appellatur, et a Græcis Samaria dicitur. Ipse autem Semareonem denominavit a Semaro, qui ei montem vendiderat quem exstructa urbe occupavit. Inter hunc vero et priores reges nihil intererat nisi quod illis fuerit sceleratior. Omnes enim magnopere studebant quo modo populum quotidianis impietatibus a Deo abalienarent, ideoque fecit Deus ut alius alium e medio tolleret, nemoque e familia superstes esset relictus. Etiam hic diem suum obiit Samariæ, eique in regnum succedit filius Achabus.

6. Atque hinc licet intelligere quantum Deus res humanas respiciat, utque bonos quidem amore prosequatur, improbos vero odio habeat et funditus perdat. Israelitarum enim reges propter flagitia et impietatem haud longo tempore alii quidem ab aliis malo interitu sublati sunt, stirpe etiam illorum excisa : Asanus vero Hierosolymorum et duarum tribuum rex ob pietatem et justitiam ad summam vita beata provectus est senectutem, annoque regni sui primo et quadragesimo felici fato obit. Ipso autem defuncto imperium suscepit filius Josaphates, ex muliere Abida nomine natus. Hunc in operibus omnes existimarunt proavum Davidem imitatum esse in virtute et pietate. Sed de iis quæ ad hunc regem spectant nondum tempus est dicendi.

CAP. XIII. (VII.)

Achabus autem Israelitarum rex habitabat quidem in Samaria, regnum vero tenebat annos duos et viginti, nihil de institutis priorum regum immutans, præterquam in iis quæ ipse in pejus immani nequitiæ deditus excogitavit, omnium illorum facinorum nefariorum et in Deum contume-

τὴν πρὸς τὸ θεῖον ὕβριν ἐκμιμησάμενος, καὶ μάλιστα τὴν Ἱεροβοάμου ζηλώσας παρανομίαν. Καὶ γὰρ οὗτος δαμάλεις τὰς ὑπ' ἐκείνου κατασκευασθείσας προσεκύνησε, καὶ τούτοις ἄλλα παράδοξα προσεμηχανήσατο. Ἔγημε δὲ καὶ γυναῖκα, θυγατέρα μὲν Ἰθωβάλου τοῦ Τυρίων καὶ Σιδωνίων βασιλέως, ᾗ Ἰεζαβέλη ἦν ὄνομα, ἀφ' ἧς τοὺς ἰδίους αὐτῆς θεοὺς προσκυνεῖν ἔμαθεν. Ἦν δὲ τὸ γύναιον δραστήριόν τε καὶ τολμηρὸν, εἰς τοσαύτην δ' ἀσέλγειαν καὶ μανίαν προὔπεσεν, ὥστε καὶ ναὸν τῷ Τυρίων θεῷ, ὃν Βῆλον προσαγορεύουσιν, ᾠκοδόμησε καὶ ἄλσος παντοίων δένδρων κατεφύτευσε. Κατέστησε δὲ καὶ ἱερεῖς καὶ ψευδοπροφήτας τούτῳ τῷ θεῷ. Καὶ αὐτὸς δ' ὁ βασιλεὺς πολλοὺς τοιούτους περὶ αὑτὸν εἶχεν, ἀνοίᾳ καὶ πονηρίᾳ πάντας ὑπερβεβληκὼς τοὺς πρὸ αὐτοῦ.

β'. Προφήτης δή τις τοῦ μεγίστου Θεοῦ, ἐκ πόλεως Θεσβώνης τῆς Γαλααδίτιδος χώρας, προσελθὼν Ἀχάβῳ προλέγειν αὐτῷ τὸν Θεὸν ἔφασκε μήτε ὕσειν αὐτὸν ἐν ἐκείνοις τοῖς ἔτεσι μήτε δρόσον καταπέμψειν εἰς τὴν χώραν, εἰ μὴ φανέντος αὐτοῦ. Καὶ τούτοις ἐπομόσας ἀνεχώρησεν εἰς τὰ πρὸς νότον μέρη, ποιούμενος παρὰ χειμάρρῳ τινὶ τὴν διατριβὴν, ἐξ οὗ καὶ τὸ ποτὸν εἶχε· τὴν γὰρ τροφὴν αὐτῷ καθ' ἡμέραν κόρακες προσέφερον. Ἀναξηρανθέντος δὲ τοῦ ποταμοῦ δι' ἀνομβρίαν, εἰς Σαρεφθὰ πόλιν οὐκ ἄπωθεν τῆς Σιδῶνος καὶ Τύρου (μεταξὺ γὰρ κεῖται) παραγίνεται, τοῦ Θεοῦ κελεύσαντος· εὑρήσειν γὰρ ἐκεῖ γυναῖκα χήραν, ἥτις αὐτῷ παρέξει τροφάς. Ὡν δ' οὐ πόρρω τῆς πύλης ὁρᾷ γυναῖκα χερνῆτιν ξυλιζομένην. Τοῦ δὲ Θεοῦ δηλώσαντος ταύτην εἶναι τὴν μέλλουσαν αὐτὸν διατρέφειν, προσελθὼν ἠσπάσατο καὶ κομίσαι ὕδωρ παρεκάλεσεν, ὅπως πίῃ, καὶ πορευομένης μεταπεμψάμενος καὶ ἄρτον ἐνεγκεῖν ἐκέλευσε. Τῆς δ' ὁμοσάσης μηδὲν ἔχειν ἔνδον ἢ μίαν ἀλεύρου δράκα καὶ ὀλίγον ἔλαιον, πορεύεσθαι δὲ συνειλεγμένην τὰ ξύλα, ἵνα φυράσασα ποιήσῃ αὐτῇ καὶ τῷ τέκνῳ ἄρτον, μεθ' ὃν ἀπολεῖσθαι λιμῷ δαπανηθέντα μηκέτι μηδενὸς ὄντος ἔλεγεν, « ἀλλὰ θαρσοῦσα, εἶπεν, ἄπιθι, καὶ τὰ κρείσσω προδοκῶσα, καὶ ποιήσασα πρῶτον ἐμοὶ βραχὺν κόμισον. Προλέγω γὰρ σοὶ μηδέποτε ἐπιλείψειν ἀλεύρων ἐκεῖνο τὸ ἄγγος, μηδ' ἐλαίου τὸ κεράμιον, μέχρις οὗ ἂν ὕσῃ ὁ Θεός. » Ταῦτ' εἰπόντος τοῦ προφήτου, παραγενομένη πρὸς αὐτὸν ἐποίησε τὰ εἰρημένα, καὶ αὐτή τε ἔσχε καὶ τῷ τέκνῳ ἐχορήγει τὴν διατροφὴν καὶ τῷ προφήτῃ. Ἐπέλιπε δ' οὐδὲν αὐτοὺς τούτων ἄχρις οὗ καὶ ὁ αὐχμὸς ἐπαύσατο. Μέμνηται δὲ τῆς ἀνομβρίας ταύτης καὶ Μένανδρος ἐν ταῖς Ἰθωβάλου τοῦ Τυρίων βασιλέως πράξεσι λέγων οὕτως· « ἀβροχία τε ἐπ' αὐτοῦ ἐγένετο, ἀπὸ τοῦ Ὑπερβερεταίου μηνὸς ἕως τοῦ ἐχομένου ἔτους τοῦ Ὑπερβερεταίου. Ἱκετείαν δ' αὐτοῦ ποιησαμένου, κεραυνοὺς ἱκανοὺς βεβληκέναι. Οὗτος πόλιν Βότρυν ἔκτισε τὴν ἐπὶ Φοινίκῃ, καὶ Αὔζαν τὴν ἐν Λιβύῃ. » Καὶ ταῦτα μὲν, δηλῶν τὴν ἐπ' Ἀχάβου γενομένην ἀνομβρίαν (κατὰ γὰρ καὶ τοῦτον καὶ Ἰθώβαλος ἐβασίλευσε Τυρίων) ὁ Μένανδρος ἀναγέγραφεν.

liarum factus imitator, atque præ ceteris Hieroboami scelerum æmulus. Nam et vitulas ab illo fictas formatasque adoravit, et alia adhuc magis absurda commentus est. In matrimonium præterea accepit filiam Ithobali Tyriorum et Sidoniorum regis, cui nomen erat Jezabela, a qua patrios didicit illius deos colere. Erat autem muliercula animi irrequieti et magnæ audaciæ, atque in tantam petulantiam et insaniam prolapsa est ut et templum Tyriorum deo, quem Belum vocant, ædificaret et lucum omnis generis arborum plantaret. Porro et sacerdotes et falsos vates huic deo instituit. Quin ipse etiam rex tales multos circa se habebat, amentia et improbitate omnes ante se supergressus.

2. Vates igitur quidam summi Dei, ex Thesbona Galaaditidis regionis urbe, Achabum adiit, dicebatque Deum prænunciasse ipsi quod nec pluviam per hos annos daturus sit, nec rorem immissurus in terram istam, donec ipse compareret. Quumque hæc jurejurando firmasset, versus plagam australem concessit, ibique ad torrentem quendam manet, qui potum ipsi suppeditabat : nam corvi cibum ei quotidie afferebant. Sed quum aruisset fluvius, quod non pluebat, jussu Dei ad urbem Sarephtham proficiscitur, non procul a Sidone ac Tyro (nam media interjacet) · fore enim ut illic inveniret mulierem viduam, quæ ipsum esset alitura. Atque ubi non longe a porta aberat, cernit mulierem operariam ligna colligentem. Quum autem Deus ei significasset hanc esse illam quæ ei victum ministratura esset, propinquior factus eam salutavit, et obsecravit ut paulum aquæ afferat ad bibendum, illamque euntem quum revocasset, jussit ut panem etiam secum ferat. Illa vero quum jurasset nihil sibi domi esse præter unum farinæ pugillum et paulum olei, seque collecto uno aut altero ligno abire, ut subacta farina sibi ac filio panem conficiat; quem ubi comedissent, fame ipsos absumptum iri dicebat, quandoquidem nihil aliud superesset : « atqui bono animo, inquit, abi, et lætiora sperans; ac primum mihi paululum paratum affer. Nam tibi prædico, non unquam istius vasis farinam consumptum iri neque amphoræ oleum, donec a Deo pluerit. » Ubi hæc dixerat vates, illa domum se recepit, jussisque obsequuta est : atque et ipsa habebat et filio pariter ac vati victum suppeditabat. Horum vero neutrum eos defecit, donec siccitas esse desierit. Meminit autem hujus inopiæ pluviarum etiam Menander, qui dum res gestas Ithobali Tyriorum regis narrat, sic loquitur : « pluviarum sub eo « defectus erat a mense Hyperberetæo ad Hyperberetæum « sequentis anni. Illo vero suppliciter Deum precato, ma« gna vis tonitruum insequuta est. Hic urbem Botryn in « Phœnice condidit et Auzam in Libya. » Et hæc quidem Menander, siccitatem indicans quæ sub Achabo acciderat, (nam illius tempore Tyrios rexit Ithobalus,) in commentarios suos retulit.

γ'. Ἡ δὲ γυνὴ, περὶ ἧς πρὸ τούτων εἴπομεν, ἡ τὸν προφήτην διατρέφουσα, τοῦ παιδὸς αὐτῇ καταπεσόντος εἰς νόσον, ὡς καὶ τὴν ψυχὴν ἀφεῖναι καὶ δόξαι νεκρὸν, ἀνακλαιομένη καὶ ταῖς χερσὶν αὐτὴν αἰκιζομένη, καὶ φωνὰς οἷας ὑπηγόρευε τὸ πάθος ἀφιεῖσα, κατηγόρει τῆς παρ' αὐτὴν παρουσίας τὸν προφήτην, ὡς ἐλέγξαντα τὰς ἁμαρτίας αὐτῆς, καὶ διὰ τοῦτο τοῦ παιδὸς τετελευτηκότος. Ὁ δὲ παρεκελεύετο θαρρεῖν καὶ παραδοῦναι τὸν υἱὸν αὐτῆς· ζῶντα γὰρ αὐτὸν ἀποδώσειν. Παραδούσης οὖν βαστάσας εἰς τὸ δωμάτιον, ἐν ᾧ διέτριβεν αὐτὸς, καὶ καταθεὶς ἐπὶ τῆς κλίνης ἀνεβόησε πρὸς τὸν Θεὸν οὐ καλῶς ἀμείψασθαι τὴν ὑποδεξαμένην καὶ θρέψασαν, τὸν υἱὸν αὐτῆς ἀφαιρησόμενον, ἐδεῖτό τε τὴν ψυχὴν εἰσπέμψαι πάλιν τῷ παιδὶ καὶ παρασχεῖν αὐτῷ τὸν βίον. Τοῦ δὲ Θεοῦ κατοικτειρήσαντος μὲν τὴν μητέρα, βουληθέντος δὲ καὶ τῷ προφήτῃ χαρίσασθαι τὸ μὴ δόξαι πρὸς αὐτὴν ἐπὶ κακῷ παρεῖναι, παρὰ πᾶσαν προσδοκίαν ἀνεβίωσεν. Ἡ δ' εὐχαρίστει τῷ προφήτῃ, καὶ τότε σαφῶς ἔλεγε μεμαθηκέναι ὅτι τὸ θεῖον αὐτῷ διαλέγεται.

δ'. Χρόνου δ' ὀλίγου διελθόντος παραγίνεται πρὸς Ἄχαβον τὸν βασιλέα κατὰ βούλησιν τοῦ Θεοῦ δηλώσων αὐτῷ τὸν γενησόμενον ὑετόν. Λιμὸς δὲ τότε κατεῖχε τὴν χώραν ἅπασαν καὶ πολλὴ τῶν ἀναγκαίων ἀπορία, ὡς μὴ μόνον ἀνθρώπους αὐτῶν σπανίζειν, ἀλλὰ καὶ τὴν γῆν μηδ' ὅσα τοῖς ἵπποις καὶ τοῖς ἄλλοις κτήνεσι πρὸς νομὴν ἐστι χρήσιμα διὰ τὴν ἀνομβρίαν ἀναδιδόναι. Τὸν οὖν ἐπιμελόμενον αὐτοῦ τῶν κτημάτων ὁ βασιλεὺς καλέσας Ὠβεδίαν ἀπιέναι βούλεσθαι πρὸς αὐτὸν εἶπεν ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων καὶ τοὺς χειμάρρους, ἵν' εἴ που παρ' αὐτοῖς εὑρεθείη πόα, ταύτην εἰς τροφὴν ἀμησάμενοι τοῖς κτήνεσιν ἔχωσι, καὶ περιπέμψαντα κατὰ πᾶσαν τὴν οἰκουμένην τοὺς ζητήσοντας τὸν προφήτην Ἠλίαν οὐχ ηὑρηκέναι. Συνέπεσθαι δὴ ἐκέλευσε κἀκεῖνον αὐτῷ. Δόξαν οὖν ἐξορμᾶν αὐτοὺς, μερισάμενοι τὰς ὁδοὺς ὅ τε Ὠβεδίας καὶ ὁ βασιλεὺς ἀπῄεσαν ἕτερος ἑτέραν τῶν ὁδῶν. Συνεβεβήκει δὲ, καθ' ὃν Ἰεζαβέλη ἡ βασίλισσα καιρὸν τοὺς προφήτας ἀπέκτεινε, τοῦτον ἑκατὸν ἐν τοῖς ὑπογείοις σπηλαίοις κρύψαι προφήτας καὶ τρέφειν αὐτοὺς ἄρτον χορηγοῦντα μόνον καὶ ὕδωρ. Μονωθέντι δ' αὖ ἀπὸ τοῦ βασιλέως Ὠβεδίᾳ συνήντησεν αὐτῷ ὁ προφήτης Ἠλίας· καὶ πυθόμενος παρ' αὐτοῦ τίς εἴη καὶ μαθὼν προσεκύνησεν αὐτόν. Ὁ δὲ πρὸς τὸν βασιλέα βαδίζειν ἐκέλευσε καὶ λέγειν ὅτι παρείη πρὸς αὐτόν. Ὁ δὲ, τί κακὸν ὑπ' αὐτοῦ πεπονθότα πρὸς τὸν ἀποκτεῖναι ζητοῦντα καὶ πᾶσαν ἐρευνήσαντα γῆν πέμπειν αὐτὸν ἔλεγεν, ἢ τοῦτ' ἀγνοεῖν αὐτὸν ὅτι μηδένα τόπον κατέλιπεν, εἰς ὃν οὐκ ἀπέστειλε τοὺς ἀνάξοντας, εἰ λάβοιεν, ἐπὶ θανάτῳ; καὶ γὰρ εὐλαβεῖσθαι πρὸς αὐτὸν ἔφασκε, μὴ τοῦ Θεοῦ φανέντος αὐτῷ πάλιν εἰς ἄλλον ἀπέλθῃ τόπον, εἶτα διαμαρτὼν αὐτοῦ πέμψαντος τοῦ βασιλέως καὶ μὴ δυναμένου εὑρεῖν ὅπου ποτ' εἴη γῆς, ἀποθάνῃ. Προνοεῖν οὖν αὐτοῦ τῆς σωτηρίας παρεκάλει, τὴν περὶ τοὺς

3. Mulier autem, de qua paulo ante diximus, quæ vatem aluit, quum filius ejus in morbum incidisset, ita ut animam efflaret et mortuus videretur, lamentans et manibus semet tundens, et voces quas dolor exprimebat emittens, vatis ad se adventum in culpam convertebat, quasi peccata ipsius coarguerit, adeoque filius mortem obierit. Ille vero bono animo esse hortabatur sibique filium suum tradere: illum enim ipsum vivum redditurum esse. Quem quum tradidisset, *acceptum* in cubiculum tulit, in quo ipse versari solebat, eoque in cubili collocato ad Deum exclamavit haud meritam gratiam mulieri retulisse, quæ ipsum hospitio exceperit et aluerit, filium ei eripiendo, orabatque ut animam in puerum remigrare faceret, ipsique vitam restitueret. Deo itaque et matris miserto, et vati quoque gratificari volente ne ad eam ipsius malo videretur accessisse, præter omnem exspectationem revixit puer. Illa vero vati gratias agebat, et tunc se clare intellexisse dicebat Deum cum illo colloqui.

4. Brevi post tempore ad Achabum regem, Deo ita volente, proficiscitur, indicaturus ei venturam pluviam. Tum vero fames totam regionem infestabat et magna rerum necessariarum penuria, ut non solum homines earum inopia laborarent, sed terra ne ea quidem quæ equis et cæteris jumentis ad pastum facerent præ siccitate ederet. Rex igitur vocato Obedia, rerum suarum procuratore, ipsi dicebat se velle ad fontes fluviorum abire et torrentes, ut ita, si forte gramen istic inveniretur, illud demessum in jumentorum pabulum haberent; ac, quum per totum orbem misisset qui Eliam vatem perquirerent, non reperisse. Jussit igitur eum ut ipsi comitaretur. Itaque quum illis proficisci placuisset, terram obeundam ita diviserunt, ut Achabus una, Obedias altera via seorsum irent. Acciderat autem, dum Jezabela regina in vates cædibus sæviret, ut iste centum vates in speluncis subterraneis abditos pane solum et aqua sustentaret. Tum vero Obediæ, a rege digresso, obviam factus est vates Elias: et percunctatus eum quis esset, agnitum adoravit. Vates autem ipsi præcepit ut regem adiret eique diceret, coram se sistere *Eliam*. At ille, quid in te peccavi, aiebat, aut commerui, ut me ad eum mitteres qui te ubique gentium ad necem quæsivit? an hoc ipsum ignoras, nullum ab eo relictum esse locum in quem non dimiserit qui te deprehensum, ut mortem oppeteres, adducerent? Etenim se timere illi dicebat ne, postquam Deus ei apparuerit, se alio transferat, atque ita ipse, quum regis jussu *arcessitum* non offenderit neque rex usquam terrarum reperire potuerit, morte mulctetur. Eum itaque obsecrabat ut ipsius salutis rationem haberet, commemo-

ὁμοτέχνους αὐτοῦ σπουδὴν λέγων, ὅτι σώσειεν ἑκατὸν προφήτας, Ἰεζαβέλης πάντας τοὺς ἄλλους ἀνῃρηκυίας, καὶ ἔχοι κεκρυμμένους αὐτοὺς καὶ τρεφομένους ὑπ' αὐτοῦ. Ὁ δὲ μηδὲν δεδιότα βαδίζειν ἐκέλευε πρὸς τὸν βασιλέα, δοὺς αὐτῷ πίστεις ἐνόρκους, ὅτι πάντως κατ' ἐκείνην Ἀχάβῳ φανήσεται τὴν ἡμέραν.

ε'. Μηνύσαντος δὲ τῷ βασιλεῖ τοῦ Ὠβεδίου τὸν Ἠλίαν, ὑπήντησεν ὁ Ἀχάβος, καὶ διήρετο μετ' ὀργῆς εἰ αὐτὸς εἴη ὁ τὸν Ἑβραίων λαὸν κακώσας καὶ τῆς ἀκαρπίας αἴτιος γεγενημένος. Ὁ δ' οὐδὲν ὑποθωπεύσας αὐτὸν εἶπεν ἅπαντα τὰ δεινὰ πεποιηκέναι καὶ τὸ γένος αὐτοῦ, ξενικοὺς εἰσενηνοχότα τῇ χώρᾳ θεοὺς καὶ τούτους σέβοντα, τὸν ἴδιον αὐτῶν, ὃς μόνος ἐστὶ θεός, ἀπολελοιπότα, καὶ μηδεμίαν ἔτι πρόνοιαν αὐτοῦ ποιούμενον. Νῦν μέντοι γε ἀπελθόντα ἐκέλευε πάντα τὸν λαὸν εἰς τὸ Καρμήλιον ὄρος ἀθροῖσαι πρὸς αὐτὸν, καὶ τοὺς προφήτας αὐτοῦ καὶ τῆς γυναικὸς, εἰπὼν ὅσοι τὸν ἀριθμὸν εἶησαν, καὶ τοὺς τῶν ἄλσεων προφήτας, ὡς τετρακοσίους τὸ πλῆθος ὄντας. Ὡς δὲ συνέδραμον πάντες εἰς τὸ προειρημένον ὄρος Ἀχάβου διαπέμψαντος, σταθεὶς αὐτῶν ὁ προφήτης Ἠλίας μεταξὺ, μέχρι πότε διῃρημένους αὐτοὺς τῇ διανοίᾳ καὶ ταῖς δόξαις οὕτω βιώσειν ἔφασκε. Νομίσαντας μὲν γὰρ τὸν ἐγχώριον Θεὸν ἀληθῆ καὶ μόνον ἕπεσθαι τούτῳ καὶ ταῖς ἐντολαῖς αὐτοῦ παρήνει, μηδὲν δὲ τοῦτον ἡγουμένους, ἀλλὰ περὶ τῶν ξενικῶν ὑπειληφότας ὡς ἐκείνους δεῖ θρησκεύειν, αὐτοῖς συνεβούλευε κατακολουθεῖν. Τοῦ δὲ πλήθους μηδὲν πρὸς ταῦτα ἀποκρινομένου, ᾔτησεν Ἠλίας, πρὸς διάπειραν τῆς τε τῶν ξενικῶν θεῶν ἰσχύος καὶ τῆς τοῦ ἰδίου, μόνος ὢν αὐτοῦ προφήτης, ἐκείνων δὲ τετρακοσίους ἐχόντων, λαβεῖν αὐτός τε βοῦν καὶ ταύτην θύσας ἐπιθεῖναι ξύλοις, πυρὸς οὐχ ὑφαφθέντος, κἀκείνους ταὐτὰ ποιήσαντας ἐπικαλέσασθαι τοὺς ἰδίους θεοὺς ἀνακαῦσαι τὰ ξύλα· γενομένου γὰρ τούτου μαθήσεσθαι τότε τὴν ἀληθῆ φύσιν τοῦ Θεοῦ. Ἀρεσάσης δὲ τῆς γνώμης ἐκέλευσεν Ἠλίας τοὺς προφήτας ἐκλεξαμένους βοῦν πρώτους τε θῦσαι καὶ τοὺς αὑτῶν ἐπικαλέσασθαι θεούς. Ἐπεὶ δ' οὐδὲν ἀπήντα παρὰ τῆς εὐχῆς αὐτοῖς καὶ τῆς ἐπικλήσεως θύσασι τοῖς προφήταις, σκώπτων ὁ Ἠλίας μεγάλῃ βοῇ καλεῖν αὐτοὺς ἐκέλευε τοὺς θεούς· ἢ γὰρ ἀποδημεῖν αὐτοὺς, ἢ καθεύδειν. Τῶν δ' ἀπ' ὄρθρου τοῦτο ποιούντων μέχρι μέσης ἡμέρας, καὶ τεμνόντων αὑτοὺς μαχαίραις καὶ σειρομάσταις κατὰ τὸ πάτριον ἔθος, μέλλων αὐτὸς ἐπιτελεῖν τὴν θυσίαν, ἐκέλευσε τοὺς μὲν ἀναχωρῆσαι, τοὺς δὲ ἐγγὺς προσελθόντας τηρεῖν αὐτὸν, μὴ πῦρ λάθρα τοῖς ξύλοις ἐμβάλῃ. Τοῦ δὲ ὄχλου προσελθόντος, λαβὼν δώδεκα λίθους κατὰ φυλὴν τοῦ λαοῦ τῶν Ἑβραίων, ἀνέστησεν ἐξ αὐτῶν θυσιαστήριον καὶ περὶ αὐτὸ δεξαμενὴν ὤρυξε βαθυτάτην. Καὶ συνθεὶς τὰς σχίζας ἐπὶ τοῦ βωμοῦ καὶ κατ' αὐτῶν ἐπιθεὶς τὰ ἱερεῖα, τέσσαρας ἀπὸ τῆς κρήνης ὑδρίας προσέταξε πληρωθείσας ὕδατος κατασκεδάσαι τοῦ θυσιαστηρίου, ὡς ὑπερβαλεῖν αὐτὸ καὶ τὴν δεξαμενὴν ἅπασαν ὕδατος γεμισθῆναι πηγῆς ἀναδοθείσης.

rans etiam quam studiosus fuerit eadem atque Elias profitentium, ut centum vates, ceteris omnibus a Jezabela occisis, exitio eripuerit, quos etiam adhuc clam servet alatque. At vates contra præcipiebat ut nihil metuens regem adeat, fide jurejurando data se illa die certo in Achabi conspectum venturum.

5. Postquam autem Obedias Eliæ indicium Achabo fecerat, occurrit ei Achabus, iraque commotus illum interrogabat an is esset qui Hebræorum populum afflixerit et sterilitatis auctor exstiterit. Ille vero nihil subblandiens ipsum aiebat genusque ipsius mala omnia sibi intulisse, ut qui deos alienos in regionem invexerit eosque coluerit, proprio ipsorum deo, qui solus sit deus, relicto et ne minima quidem ejus cura habita. Ceterum nunc ut abiret jussit, totumque populum in montem Carmelum ad se convocaret, simulque suos et uxoris vates, dicto etiam quot numero essent, ac præterea lucorum vates, homines circiter quadringentos. Ubi vero omnes a rege acciti ad montem jam dictum convenerant, Elias vates in medio illorum constitit, et, quousque, inquit, dubiis animis ambiguaque sententia vitam agetis? Si quidem patrium Deum verum et solum esse existimarent, ut illum sequerentur ejusque mandata hortabatur; sin vero hunc pro nihilo habentes in ea de peregrinis fuerint opinione, oportere se cultum illis tribuere, suadebat ut istis adhærerent. Populo autem nihil ad hæc respondente, petiit Elias, ad explorandam deorum peregrinorum suique vim et potentiam, quum ipse solus ejus vates superesset, illi vero quadringentos haberent, ut et ipse bovem acciperet eamque mactatam lignis imponeret, nullo igne subaccenso, et illos, postquam eadem fecissent, deos suos invocarent ut ligna velint accendere: hoc enim facto veram Dei naturam dignosci posse. Quum autem hæc sententia placuisset, præcepit Elias ut vates isti, bove delecta, priores rem sacram facerent suosque deos invocarent. Postquam vero precibus et invocationibus nihil profecerant vates qui hostias obtulerant, Elias per derisum eos hortabatur, ut magna voce deos suos clamarent: aut enim eos aliquo profectos esse, aut forte dormire. Illis autem a diluculo usque ad meridiem hoc ipsum facientibus, et se ipsos more patrio gladiis et lanceis secantibus, quum jam ipse victimam mactaturus esset, illos quidem jussit ut secederent, populo vero ut propius accedentes ipsum observarent, ne clam ignem lignis injiceret. At postquam illi accesserunt, acceptis duodecim lapidibus, pro numero tribuum populi Hebræorum, ex illis erexit altare, et circa id alveum fodit bene profundum. Quumque frusta lignorum in ara struxisset, mandavit ut quattuor hydrias aqua ex fonte repletas in altare effunderent, usquedum circa illud redundaret, ita ut totus alveus aqua e fonte immissa impleretur. His

σης. Ταῦτα δὲ ποιήσας ἤρξατο εὔχεσθαι τῷ Θεῷ, καὶ καλεῖν αὐτὸν καὶ ποιεῖν τῷ πεπλανημένῳ πολὺν ἤδη χρόνον λαῷ φανεράν τὴν αὐτοῦ δύναμιν. Καὶ ταῦτα λέγοντος ἄφνω πῦρ ἐκ τοῦ οὐρανοῦ τοῦ πλήθους ὁρῶντος ἐπὶ τὸν βωμὸν ἔπεσε καὶ τὴν θυσίαν ἐδαπάνησεν, ὡς ἀνακαῆναι καὶ τὸ ὕδωρ καὶ ψαφαρὸν γενέσθαι τὸν τόπον.

ς'. Οἱ δ' Ἰσραηλῖται τοῦτο ἰδόντες ἔπεσον ἐπὶ τὴν γῆν καὶ προσεκύνουν ἕνα Θεὸν, καὶ μέγιστον καὶ ἀληθινὸν ἀποκαλοῦντες, τοὺς δ' ἄλλους ὀνόματα ὑπὸ φαύλου καὶ ἀνοήτου δόξης πεποιημένα. Συλλαβόντες δ' αὐτῶν καὶ τοὺς προφήτας ἀπέκτειναν, Ἠλία τοῦτο παραινέσαντος. Ἔφη δὲ καὶ τῷ βασιλεῖ πορεύεσθαι πρὸς ἄριστον μηδὲν ἔτι φροντίσαντα· μετ' ὀλίγον γὰρ ὄψεσθαι τὸν Θεὸν ὕοντα. Καὶ ὁ μὲν Ἄχαβος ἀπηλλάγη, Ἠλίας δὲ ἐπὶ τὸ ἀκρωτήριον τοῦ Καρμήλου ἀναβὰς ὄρους καὶ καθίσας ἐπὶ τῆς γῆς προσηρείσατο τοῖς γόνασι τὴν κεφαλὴν, καὶ τὸν θεράποντα ἐκέλευσεν ἀνελθόντα ἐπί τινα σκοπὴν εἰς τὴν θάλασσαν ἀποβλέπειν, κἂν ἴδῃ νεφέλην ἐγειρομένην ποθὲν, φράζειν αὐτῷ· μέχρι γὰρ τότε καθαρῷ εἶναι συνέβαινε τῷ ἀέρι. Τοῦ δὲ ἀναβάντος καὶ πολλάκις μηδὲν ὁρᾶν φήσαντος, ἕβδομον ἤδη βαδίσας ἑορακέναι μελαινόμενον εἶπέ τι τοῦ ἀέρος, οὐ πλέον ἴχνους ἀνθρωπίνου. Ὁ δ' Ἠλίας ταῦτ' ἀκούσας πέμπει πρὸς τὸν Ἄχαβον, κελεύων αὐτὸν εἰς τὴν πόλιν ἀπέρχεσθαι πρὶν ἢ καταρραγῆναι τὸν ὄμβρον. Καὶ ὁ μὲν εἰς Ἰεσράηλαν πόλιν παραγίνεται· μετ' οὐ πολὺ δὲ τοῦ ἀέρος ἀχλύσαντος καὶ νέφεσιν καλυφθέντος, πνεῦμά τε λάβρον ἐπιγίνεται καὶ πολὺς ὄμβρος. Ὁ δὲ προφήτης ἔνθεος γενόμενος τῷ τοῦ βασιλέως ἅρματι μέχρι τῆς Ἰεσραήλας Ἰζάρου πόλεως συνέδραμε.

ζ'. Μαθοῦσα δὲ ἡ τοῦ Ἀχάβου γυνὴ Ἰεζαβέλη τά τε σημεῖα τὰ ὑπὸ τοῦ Ἠλίου γενόμενα καὶ ὅτι τοὺς προφήτας αὐτῆς ἀπέκτεινεν, ὀργισθεῖσα πέμπει πρὸς αὐτὸν ἀγγέλους, ἀπειλοῦσα δι' αὐτῶν ἀποκτείνειν αὐτὸν, ὡς κἀκεῖνος τοὺς προφήτας αὐτῆς ἀπολέσειε. Φοβηθεὶς δὲ ὁ Ἠλίας φεύγει εἰς πόλιν Βηρσουβεὲ λεγομένην, (ἐπ' ἐσχάτοις δ' ἔστιν αὕτη τῆς χώρας τῶν τὴν Ἰούδα φυλὴν ἐχόντων κατὰ τὴν Ἰδουμαίων γῆν,) καταλιπὼν δὲ ἐκεῖ τὸν θεράποντα εἰς τὴν ἔρημον ἀνεχώρησεν. Εὐξάμενος δ' ἀποθανεῖν (οὐ γὰρ δὴ κρείττων εἶναι τῶν πατέρων, ἵνα ἐκείνων ἀπολωλότων αὐτὸς ζῇν ηὐχήσατο) κατεκοιμήθη πρός τινι δένδρῳ. Διεγείραντος δ' αὐτόν τινος, ἀναστὰς εὑρίσκει παρακειμένην αὐτῷ τροφὴν καὶ ὕδωρ. Φαγὼν δὲ καὶ συλλεξάμενος ἐκ τῆς τροφῆς ἐκείνης τὴν δύναμιν, εἰς τὸ Σιναῖον καλούμενον ὄρος παραγίνεται, οὗ Μωϋσῆς τοὺς νόμους παρὰ τοῦ Θεοῦ λέγεται λαβεῖν. Εὑρὼν δ' ἐν αὐτῷ σπήλαιόν τι κοῖλον εἴσεισι, καὶ διετέλει ποιούμενος ἐν αὐτῷ τὴν μονήν. Ἐρομένης δέ τινος αὐτὸν φωνῆς ἐξ ἀδήλου τί παρεὶη καταλελοιπὼς τὴν πόλιν ἐκεῖσε, διὰ τὸ κτεῖναι μὲν τοὺς προφήτας τῶν ξενικῶν θεῶν, πεῖσαι δὲ τὸν λαὸν ὅτι μόνος εἴη Θεὸς ὢν ἐξ ἀρχῆς ἐθρήσκευσαν,

peractis Deum cœpit orare et ad ipsum clamare ut etiam populo, qui jam diu erraverit, suam ostenderet potentiam. Atque adhuc eo loquente, ignis derepente cœlo delapsus, populo inspectante, in aram cecidit et hostiam absumpsit, ita ut etiam aqua concremaretur et locus fieret aridus.

6. Quum autem hoc vidissent Israelitæ, in terram procidebant, unumque Deum adorabant, et maximum et solum verum appellantes, alios vero nomina esse a prava et stulta opinione conficta. Tunc et vates suos comprehensos necarunt, id quod fieri jusserat Elias. Deinde is regem monebat ut abiret ad prandium, cetera nihil sollicitus : brevi enim visurum esse Deum pluere. Et Achabus quidem discedebat, Elias vero in verticem Carmeli ascendit, et quum humi desedisset, caput genibus applicuit, jussitque famulum ut conscensa quadam specula mare aspectaret, et indicaret sicubi nubem excitari viderit : nam ad id temporis cœlo esse sudo et sereno contigit. At quum ille ascendisset, sæpiusque nihil cerni retulisset, septimo demum reversus aiebat se animadvertisse aliquid in cœlo nigrescere, non tamen amplius hominis vestigio. His vero auditis, Elias ad Achabum mittit, jubens ut in urbem ire contendat, priusquam diffracta nube delabatur pluvia. Ac ille quidem ad Israelam proficiscitur. Non multo autem post, cœlo obscurato et nubibus obducto, vehemens oritur ventus multoque cum imbre ingruit. Atque vates, spiritu Dei instinctus, currum regis cursu comitabatur, donec ventum est ad Iesraelam Izari urbem.

7. Jezabela vero Achabi uxor quum intellexisset quæ prodigia ab Elia edita erant, quodque suos vates ferro trucidaverat, gravius commota illi per nuncios ad eum missos minatur se illum occisuram, quemadmodum ipse vates suos occiderit. Quibus Elias territus fugit in urbem, cui nomen Bersubee, (illa autem est in oris extremis regionis tribus Judæ juxta Idumæam,) ibique relicto famulo suo, ipse in desertum abiit. Quumque mortem optasset, (se enim majoribus suis haud meliorem esse, ut illis mortuis ipse vitæ desiderio teneretur,) sub arbore quadam jacens obdormivit. Ab aliquo autem excitatus, quum surrexisset appositum sibi cibum invenit et aquam : quumque comedisset, collectis ex isto cibo viribus inde proficiscitur ad montem Sinæum appellatum, in quo fertur Moyses leges a Deo accepisse. Ubi quum speluncam profundam offendisset, ingreditur, et in ea commorabatur. Quum autem vox aliqua eum ex occulto interrogaret quid illic ageret urbe relicta; tum ille, quod deorum quidem peregrinorum vates interfecerit, populo vero persuaserit solum esse Deum quem ab

ἔφησε ζητεῖσθαι ἐπὶ τούτῳ πρὸς τιμωρίαν ὑπὸ τῆς γυναικὸς τοῦ βασιλέως. Πάλιν δὲ ἀκούσας προελθεῖν εἰς τὸ ὕπαιθρον τῇ ἐπιούσῃ, (γνώσεσθαι γὰρ οὕτω τί δεῖ ποιεῖν,) προῆλθεν ἐκ τοῦ σπηλαίου μεθ' ἡμέραν, καὶ σεισμοῦ τε ἐπακούει καὶ λαμπρὰν πυρὸς αὐγὴν ὁρᾷ. Καὶ γενομένης ἡσυχίας φωνὴ θεία μὴ ταράττεσθαι τοῖς γινομένοις αὐτὸν παρακελεύεται, (κρατήσειν γὰρ οὐδένα τῶν ἐχθρῶν αὐτοῦ,) προσέταξέ τε ὑποστρέψαντα εἰς τὴν οἰκίαν ἀποδεῖξαι τοῦ πλήθους βασιλέα Ἰηοῦν τὸν Νεμεσσαίου παῖδα, ἐκ Δαμασκοῦ δὲ τῶν Σύρων Ἀζάηλον, ἀντ' αὐτοῦ δὲ προφήτην Ἐλισσαῖον ὑπ' αὐτοῦ γενήσεσθαι ἐκ πόλεως Ἀβελᾶς· διαφθερεῖ δὲ τοῦ ἀσεβοῦς ὄχλου τοὺς μὲν Ἀζάηλος, τοὺς δὲ Ἰηοῦς. Ὁ δ' Ἠλίας ὑποστρέφει ταῦτ' ἀκούσας εἰς τὴν Ἑβραίων χώραν, καὶ τὸν Σαφάτου παῖδα Ἐλισσαῖον καταλαβὼν ἀροῦντα καὶ μετ' αὐτοῦ τινας ἄλλους ἐλαύνοντας ζεύγη δώδεκα, προσελθὼν ἐπέρριψεν αὐτῷ τὸ ἴδιον ἱμάτιον. Ὁ δ' Ἐλισσαῖος εὐθέως προφητεύειν ἤρξατο, καὶ καταλιπὼν τοὺς βόας ἠκολούθησεν Ἠλίᾳ. Δεηθεὶς δὲ συγχωρῆσαι αὐτῷ τοὺς γονεῖς ἀσπάσασθαι, κελεύσαντος τοῦτο ποιεῖν, ἀποταξάμενος αὐτοῖς εἵπετο· καὶ ἦν Ἠλίου τὸν ἅπαντα χρόνον τοῦ ζῆν καὶ μαθητὴς καὶ διάκονος. Καὶ τὰ μὲν περὶ τοῦ τοιούτου προφήτου τοιαῦτα ἦν.

η'. Ναβοῦθος δέ τις ἦν ἀπὸ πόλεως Ἰζάρου, ἀγροῦ γειτῶν ὢν τοῦ βασιλέως. Παρακαλοῦντος δ' αὐτὸν ἀποδόσθαι τιμῆς ὅσης βούλεται τὸν πλησίον αὐτοῦ τῶν ἰδίων ἀγρὸν, ἵνα συνάψας ἓν αὐτὸ ποιήσῃ κτῆμα, εἰ δὲ μὴ βούλοιτο χρήματα λαβεῖν, ἐπιτρέποντος ἐκλέξασθαι τῶν ἀγρῶν τινα τῶν ἐκείνου, τοῦτο μὲν οὔ φησι ποιήσειν, αὐτὸς δὲ τὴν ἰδίαν καρπώσεσθαι γῆν ἣν ἐκληρονόμησε τοῦ πατρός. Λυπηθεὶς δ' ὡς ἐφ' ὕβρει τῷ μὴ τὰ ἀλλότρια λαβεῖν ὁ βασιλεὺς, οὔτε λουτρὸν προσηνέγκατο οὔτε τροφήν. Τῆς δὲ Ἰεζαβέλης τῆς γυναικὸς αὐτοῦ πυνθανομένης ὅ τι λυπεῖται καὶ μήτε λούεται μήτε ἄριστον αὐτῷ παρατίθεται μήτε δεῖπνον, διηγήσατο αὐτῇ τὴν Ναβούθου σκαιότητα, καὶ ὡς χρησάμενος ἐπιεικέσι πρὸς αὐτὸν λόγοις καὶ βασιλικῆς ἐξουσίας ὑποδεεστέροις ὑβρισθείη, μὴ τυχὼν ὧν ἠξίου. Ἡ δὲ μὴ μικροψυχεῖν ἐπὶ τούτοις παρεκάλει, παυσάμενον δὲ τῆς λύπης ἐπὶ τὴν συνήθη τραπέσθαι τοῦ σώματος πρόνοιαν· μελήσειν γὰρ αὐτῇ περὶ τῆς Ναβούθου τιμωρίας. Καὶ παραχρῆμα πέμπει γράμματα πρὸς τοὺς ὑπερέχοντας τῶν Ἰσραελιτῶν ἐκ τοῦ Ἀχάβου ὀνόματος, νηστεῦσαί τε κελεύουσα καὶ ποιησαμένους ἐκκλησίαν προκαθίσαι μὲν αὐτῶν Ναβοῦθον, (εἶναι γὰρ αὐτὸν γένους ἐπιφανοῦς,) παρασκευασαμένους δὲ τρεῖς τολμηρούς τινας τοὺς καταμαρτυρήσοντας αὐτοῦ ὡς τὸν Θεόν τε εἴη βλασφημήσας καὶ τὸν βασιλέα, καταλεῦσαι, καὶ τούτῳ διαχρήσασθαι τῷ τρόπῳ. Καὶ Ναβοῦθος μὲν, ὡς ἔγραψεν ἡ βασίλισσα, οὕτω καταμαρτυρηθεὶς βλασφημῆσαι τὸν Θεόν τε καὶ Ἄχαβον, βαλλόμενος ὑπὸ τοῦ πλήθους ἀπέθανεν. Ἀκούσασα δὲ ταῦτα ἡ Ἰεζαβέλη εἴσεισι πρὸς τὸν βασιλέα καὶ κληρονομεῖν τοῦ Ναβούθου ἀμπελῶνα προῖκα ἐκέλευσεν. Ὁ δὲ

initio coluerint, ob hoc se a regis uxore ad supplicium requiri. Moxque eadem voce jussus ut postridie sub divum prodiret, (sic enim certiorem futurum quid facto opus sit,) eo die e spelunca egreditur, et concussionem sentit, clarumque ignis splendorem videt: sequutoque mox silentio, vox divina eum hortatur nihil iis quæ acciderant terreri; ipsum enim inimicorum nemini cessurum esse: ac præterea jussit ut domum reversus Jehum, Nemessæi filium, populi regem crearet, atque e Damasco Syrorum *regem* Azaelum, faceretque ut ex Abela urbe Elissæus sibi vates succedat: fore autem ut alios quidem ex impio populo Jehu perimat, alios vero Azaelus. His auditis Elias in Hebræorum regionem revertitur, ac quum Saphati filium Elissæum offendisset arantem, et cum eo alios quosdam duodecim juga præ se agentes, illo adito, vestem suam in eum conjecit. Elissæus autem illico cœpit vaticinari, et relictis bubus Eliæ se comitem adjunxit Rogavit tamen ut sibi liceret parentes salutare; quo impetrato, quum illis valedixisset, eum sequebatur, atque Eliæ, quam diu *is* vixerit, et discipulus erat et minister. Ac vatis quidem hujus ita se res habuerunt.

8. Ceterum Nabuthus quidam erat ex urbe Izari, agrum habens in vicinia regis. Quum autem ipsum rogaret rex ut ei pretio, quantocunque vellet, agrum addiceret suis finitimum, ut quum illum suis junxisset, unam ex eo possessionem faceret; sin vero nollet pecuniam accipere, ei liberum esse agrum e suis, quemcunque vellet, eligere: hoc quidem ille ait se nequaquam facturum esse, secum vero statuere fructum sua e terra percipere, quæ jure hæreditario ipsi a patre obvenerit. Quo fit ut rex moleste rem ferens, quasi contumelia affectus quod aliena non accepisset, et a lotione abstineret et a cibo. Cum autem uxor ejus Jezabela eum percontaretur cur adeo doleret, et neque lavaret, neque pranderet aut cœnaret, quam perversus sit Nabuthus ei denarrat, utque ipse verbis eum alloquutus humanissimis infraque regiam potestatem demissis, contumeliose habitus fuerit, quod ea quæ poposcerat non impetrarit. Illa vero hortabatur ne propterea animum desponderet, sed mœrore misso ad consuetam corporis curam rediret: sibi enim id negotii futurum ut Nabuthus pœnas luat. Moxque literas Achabi nomine scriptas mittit ad primores Jesraelitarum, quibus mandata dedit ut indicto jejunio et concione advocata, primus quidem locus Nabutho tribueretur, (nam genere eum esse illustri,) tribus vero hominibus perditæ audaciæ subornatis, qui contra eum pro testimonio dicerent quod Deo et regi maledixisset, lapidibus peteretur, atque ita trucidaretur. Et Nabuthus quidem, ut regina scripserat, testimonio convictus Deo et Achabo convicium fecisse, a populo lapidibus obrutus necabatur. Quum autem hæc Jezabela accepisset, ad regem introgreditur, jussitque ut gratis vineæ hæreditatem adeat. Hæc facta esse gaudebat

Ἄχαβος ἥσθη τοῖς γεγενημένοις καὶ ἀναπηδήσας ἀπὸ τῆς κλίνης ὀψόμενος ἦκε τὸν ἀμπελῶνα τὸν Ναβούθου. Ἀγανακτήσας δὲ ὁ Θεὸς πέμπει τὸν προφήτην Ἠλίαν εἰς τὸ Ναβούθου χωρίον, Ἀχάβῳ συμβαλοῦντα καὶ περὶ τῶν πεπραγμένων ἐρησόμενον ὅ τι κτείνας τὸν ἀληθῆ δεσπότην τοῦ χωρίου κληρονομήσειεν αὐτὸς ἀδίκως. Ὡς δ' ἦκε πρὸς αὐτὸν, εἰπόντος τοῦ βασιλέως ὅ τι βούλεται χρήσασθαι αὐτῷ, (αἰσχρὸν γὰρ ὄντα ἐπὶ ἁμαρτήματι ληφθῆναι ὑπ' αὐτοῦ,) κατ' ἐκεῖνον ἔφη τὸν τόπον, ἐν ᾧ τὸν Ναβούθου νεκρὸν ὑπὸ κυνῶν δαπανηθῆναι συνέβη, τό τε αὐτοῦ αἷμα καὶ τὸ τῆς γυναικὸς χυθήσεσθαι, καὶ πᾶν αὐτοῦ τὸ γένος ἀπολεῖσθαι, τοιαῦτα ἀσεβῆσαι τετολμηκότος καὶ παρὰ τοὺς πατρίους νόμους πολίτην ἀδίκως ἀνηρηκότος. Ἀχάβῳ δὲ λύπη τῶν πεπραγμένων εἰσῆλθε καὶ μετάμελος, καὶ σακκίον ἐνδυσάμενος γυμνοῖς τοῖς ποσὶ διῆγεν, οὐχ ἁπτόμενος τροφῆς, ἀνθομολογούμενός τε τὰ ἡμαρτημένα καὶ τὸν Θεὸν οὕτως ἐξευμενίζων. Ὁ δὲ ζῶντος μὲν αὐτοῦ πρὸς τὸν προφήτην εἶπεν ὑπερβαλεῖσθαι τὴν τοῦ γένους τιμωρίαν, ἐπεὶ τοῖς τετολμημένοις μετανοεῖ, τελέσειν δὲ τὴν ἀπειλὴν ἐπὶ τῷ υἱῷ τοῦ Ἀχάβου. Καὶ ὁ μὲν προφήτης ταῦτ' ἐδήλωσε τῷ βασιλεῖ.

ΚΕΦ. ΙΔ'.

Τῶν δὲ περὶ τὸν Ἄχαβον ὄντων τοιούτων, κατὰ τὸν αὐτὸν καιρὸν ὁ τοῦ Ἀδάδου υἱὸς, βασιλεύων τῶν Σύρων καὶ Δαμασκοῦ, δύναμιν ἐξ ἁπάσης τῆς χώρας συναγαγὼν, συμμάχους τοὺς πέραν Εὐφράτου βασιλέας ποιησάμενος τριάκοντα καὶ δύο, ἐστράτευσεν ἐπὶ τὸν Ἄχαβον. Ὁ δὲ οὐκ ὢν ὅμοιος αὐτῷ τῇ στρατιᾷ πρὸς μάχην μὲν οὐ παρετάξατο, πάντα δ' εἰς τὰς ὀχυρωτάτας πόλεις ἐγκλείσας τὰ ἐν τῇ χώρᾳ, αὐτὸς μὲν ἔμεινεν ἐν Σαμαρείᾳ· τείχη γὰρ αὕτη λίαν ἰσχυρὰ περιεβέβλητο, καὶ τὰ ἄλλα δυσάλωτος ἐδόκει. Ὁ δὲ Σύρος ἀναλαβὼν τὴν δύναμιν ἦκεν ἐπὶ τὴν Σαμάρειαν, καὶ περικαθίσας αὐτῇ τὸν στρατὸν ἐπολιόρκει· πέμψας δὲ κήρυκα πρὸς Ἄχαβον ἠξίου πρεσβευτὰς δέξασθαι παρ' αὐτοῦ, δι' ὧν αὐτῷ δηλώσει τί βούλεται. Τοῦ δὲ Ἰσραηλιτῶν βασιλέως πέμπειν ἐπιτρέψαντος, ἐλθόντες οἱ πρέσβεις ἔλεγον κατ' ἐντολὴν τοῦ βασιλέως τὸν Ἀχάβου πλοῦτον καὶ τὰ τέκνα αὐτοῦ καὶ τὰς γυναῖκας Ἀδάδου τυγχάνειν· ἂν δὲ ὁμολογήσῃ καὶ λαβεῖν αὐτῷ τούτων ὅσα βούλεται συγχωρήσῃ, τὴν στρατιὰν ἀπάξει καὶ παύσεται πολιορκῶν. Ὁ δ' Ἄχαβος τοῖς πρέσβεσιν ἐκέλευσε πορευθεῖσι λέγειν αὐτῶν τῷ βασιλεῖ ὅτι καὶ αὐτὸς καὶ οἱ ἐκείνου πάντες κτήματα εἰσὶν αὐτοῦ. Ταῦτα δ' ἀπαγγειλάντων, πέμπει πάλιν πρὸς αὐτὸν ἀξιῶν, ἀνωμολογηκότα εἶναι πάντα τὰ ἐκείνου, δέξασθαι τοὺς πεμφθησομένους εἰς τὴν ἐπιοῦσαν ὑπ' αὐτοῦ δούλους· οἷς ἐρευνήσασι τά τε βασίλεια καὶ τοὺς τῶν φίλων καὶ συγγενῶν οἴκους ἐκέλευε διδόναι πᾶν ὅ τι ἂν ἐν αὐτοῖς εὕρωσι κάλλιστον, τὰ δ' ἀπαρέσαντα σοὶ καταλείψουσιν. Ἄχαβος δ' ἀγασθεὶς ἐπὶ τῇ δευτέρᾳ πρεσβείᾳ τοῦ τῶν Σύρων βασιλέως, συναγαγὼν εἰς ἐκκλησίαν τὸ πλῆθος ἔλε-

Achabus, et e lecto exsiliens visum ibat Nabuthi vineam. Tum Deus indignatus Eliam vatem in Nabuthi agrum mittit Achabo occursurum, et de perpetratis expostulaturum, cur vero prædii domino occiso, ipse hæreditatem sibi contra jus vindicasset. Ut vero ad eum accedebat *Elias*, quum dixisset rex, *licere ei* quicquid vellet de se statuere, (turpe enim in peccato versantem ab eo deprehendi,) quo in loco, inquit, accidit ut Nabuthi cadaver a canibus absumeretur, ibidem et ipsius et uxoris suæ sanguinem effusum iri, totumque ejus genus interiturum quod flagitia adeo nefaria ausus fuerit et contra leges patrias civem peremerit. Tum Achabum dolor subiit, eumque facinorum pœnituit, atque saccum indutus nudis pedibus incessit, a cibo abstinens, et sua peccata confitens, Deumque ita placare studens. Deus vero vati significabat se illo quidem vivente familiæ ejus supplicium dilaturum esse, quod scelerum, quæ committere sustinuerat, eum pœniteret, in filium vero quæ minatus esset exsequuturum. Et hæc quidem regi denunciavit vates.

CAP. XIV. (VIII.)

Quum autem res Achabi ita se haberent, sub istud tempus Adadi filius, Syrorum et Damascenorum rex, contractis ex omni regione copiis, adscitisque sibi sociis triginta duobus regulis Transeuphratensibus, expeditionem fecit contra Achabum. Ille vero, quod impar esset viribus, suos quidem in aciem non eduxit, coactis vero ex agris in urbes munitissimas omnibus, ipse mansit in Samaria: hæc enim mœnibus cincta erat validissimis, et cetera inexpugnabilis videbatur. Rex autem Syriæ cum copiis suis Samariam contendebat, exercituque ei undique admoto, eam oppugnabat, missoque ad Achabum præcone poscebat ut legatos ab eo exciperet, per quos ei quid vellet significaturus esset. Ubi autem annuit Israelitarum rex ut mitterentur, legati, postquam venerant, ex regis mandato dicebant Achabi divitias, liberosque ejus et uxores esse Adadi: verum si ipse huic assensus fuerit, et permiserit ei quicquid libuerit ex his sumere, exercitum esse abducturum urbemque ab obsidione liberaturum. Achabus autem jussit legatos ut ad regem suum profecti ei renunciarent se suaque omnia in illius esse potestate. Et quum hæc ei retulissent, rursus ad eum mittit, postulans, quandoquidem omnia ipsius esse fassus fuerit, ut mittendos crastino die famulos exciperet, quibus regiam et amicorum cognatorumque domos perscrutatis dare jubebat quicquid in iis optimum inveniretur, quæ despicerent, ipsi relicturis. Tum Achabus, de secunda Syrorum regis legatione indignatus, quum populi concionem advocasset, dicebat se ipsum quidem paratum fuisse pro

γεν ὡς αὐτὸς μὲν ἑτοίμως ἔσχεν ὑπὲρ σωτηρίας αὐτοῦ καὶ εἰρήνης καὶ γυναῖκας τὰς ἰδίας προέσθαι τῷ πολεμίῳ καὶ τέκνα, καὶ πάσης παραχωρῆσαι κτήσεως· ταῦτα γὰρ ἐπιζητῶν ἐπρεσβεύσατο πρῶτον ὁ Σύρος· « νῦν δ' ἠξίωκε δούλους πέμψαι τάς τε πάντων οἰκίας ἐρευνῆσαι καὶ μηδὲν ἐν αὐταῖς καταλιπεῖν τῶν καλλίστων κτημάτων, πρόφασιν βουλόμενος πολέμου λαβεῖν, εἰδὼς ὅτι τῶν μὲν ἐμαυτοῦ ὀι' ὑμᾶς οὐκ ἂν φεισαίμην, ἀφορμὴν δὲ ἐκ τοῦ περὶ τῶν ὑμετέρων ἀηδοῦς πραγματευόμενος εἰς τὸ πολεμεῖν. Ποιήσω γε μὴν τὰ ὑμῖν δοκοῦντα. » Τὸ δὲ πλῆθος μηδὲν ὑπακούειν τῶν κατ' αὐτὸν ἔλεγον, ἀλλὰ καταφρονεῖν καὶ πρὸς τὸ πολεμεῖν ἑτοίμως ἔχειν. Τοῖς οὖν πρεσβευταῖς ἀποκρινόμενος λέγειν ἀπελθοῦσιν ὅτι τοῖς τὸ πρῶτον ἀξιωθεῖσιν ὑπ' αὐτοῦ καὶ νῦν ἐμμένει τῆς τῶν πολιτῶν ἀσφαλείας ἕνεκα, πρὸς δὲ τὴν δευτέραν ἀξίωσιν οὐχ ὑπακούει, ἀπέλυσεν αὐτούς.

β'. Ὁ δ' Ἄδαδος ἀκούσας ταῦτα καὶ δυσχεράνας τρίτον ἔπεμψε πρὸς Ἄχαβον τοὺς πρέσβεις, ἀπειλῶν ὑψηλότερον τῶν τειχῶν, οἷς καταφρονεῖ, χῶμα τούτοις ἐπεγείρειν αὐτοῦ τὴν στρατιάν, κατὰ ὄρακα γῆς λαμβάνουσαν, ἐμφανίζων αὐτῷ τῆς δυνάμεως τὸ πλῆθος καὶ καταπληττόμενος. Τοῦ δ' Ἀχάβου μὴ καυχᾶσθαι δεῖν ἀποκρινομένου καθωπλισμένον, ἀλλὰ τῇ μάχῃ κρείττω γενόμενον, ἐλθόντες οἱ πρέσβεις καὶ δειπνοῦντα καταλαβόντες τὸν βασιλέα μετὰ τριάκοντα καὶ δύο βασιλέων συμμάχων ἐδήλωσαν αὐτῷ τὴν ἀπόκρισιν. Ὁ δὲ εὐθέως τοῦτο προσέταξε, καὶ περιχαρακοῦν τὴν πόλιν καὶ χώματα βάλλεσθαι καὶ μηδένα τρόπον ἀπολιπεῖν πολιορκίας. Ἦν δ' Ἄχαβος τούτων πραττομένων ἐν ἀγωνίᾳ δεινῇ σὺν παντὶ τῷ λαῷ. Θαρρεῖ δὲ καὶ τῶν φόβων ἀπολύεται προφήτου τινὸς αὐτῷ προσελθόντος καὶ φήσαντος αὐτοῦ τὸν Θεὸν ὑπισχνεῖσθαι ποιήσειν τὰς τοσαύτας τῶν πολεμίων μυριάδας ὑποχειρίους. Πυθομένῳ δὲ διὰ τίνων ἂν ἡ νίκη γένοιτο, διὰ τῶν παίδων εἶπε τῶν ἡγεμόνων, ἡγουμένου σοῦ διὰ τὴν ἀπειρίαν τὴν ἐκείνων. Καλέσας δὲ τοὺς τῶν ἡγεμόνων υἱοὺς, (ηὑρέθησαν δ' ὡς διακόσιοι καὶ τριάκοντα δύο,) μαθὼν τὸν Σύρον πρὸς εὐωχίαν καὶ ἄνεσιν τετραμμένον, ἀνοίξας τὰς πύλας ἐξέπεμψε τοὺς παῖδας. Τῶν δὲ σκοπῶν δηλωσάντων τοῦτο τῷ Ἀδάδῳ, πέμπει τινὰς ὑπαντησομένους, ἐντειλάμενος ἂν μὲν εἰς μάχην ὦσι προεληλυθότες, ἵνα δήσαντες ἀγάγωσι πρὸς αὐτὸν, ἂν δὲ εἰρηνικῶς, ὅπως τοῦτο ποιῶσιν. Εἶχε δ' ἑτοίμην Ἄχαβος καὶ τὴν ἄλλην στρατιὰν ἐντὸς τῶν τειχῶν. Οἱ δὲ παῖδες τῶν ἀρχόντων συμβαλόντες τοῖς φύλαξι πολλοὺς αὐτῶν ἀποκτείνουσι καὶ τοὺς ἄλλους ἄχρι τοῦ στρατοπέδου διώκουσιν. Ἰδὼν δὲ τούτους νικῶντας ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς ἐξαρίησι καὶ τὴν ἄλλην στρατιὰν ἅπασαν. Ἡ δὲ αἰφνιδίως ἐπιπεσοῦσα τοῖς Σύροις ἐκράτησεν αὐτῶν. Οὐ γὰρ προσεδόκων αὐτοὺς ἐπεξελεύσεσθαι, καὶ διὰ τοῦτο γυμνοῖς καὶ μεθύουσι προσέβαλλον, ὥστε τὰς πανοπλίας ἐκ τῶν στρατοπέδων φεύγοντας καταλιπεῖν, καὶ τὸν βασιλέα διασωθῆναι μόλις

populi incolumitate et pace uxores suas et liberos hosti permittere, deque facultatibus suis omnibus cedere; nam ad ista requirenda Syrus primam legationem misit: « nunc vero postulavit ut suos mitteret servos atque omnium domos exploraret, nihilque in iis ex facultatibus pretiosis simis relinqueret, eo animo ut belli causam speciosam quæret, quoniam scit me quidem in vestri gratiam rebus meis non esse parsurum, ex iis tamen quæ vobis non possunt non esse ingrata, bellandi occasionem sibi parans. Verum enim facturus sum quicquid vobis placuerit. » Populum autem nequaquam obtemperare dictis ejus dicebant, sed contemnere, seque ad bellum gerendum comparare. Quum itaque legatis respondisset, ut abeuntes *regi* dicerent se quicquid primum postulaverit etiam nunc ob populi securitatem facere, posterioribus vero mandatis nullatenus obsequuturum, eos dimisit.

2. Adadus autem, quum hæc audisset et moleste tulisset, tertio legatos mittit ad Achabum, minatus altiorem muris, quibus superbiat, aggerem illis excitaturum suum exercitum, modo terræ glebulam singuli pugillis sumant, sic ostendens ei copiarum multitudinem et terrorem inculiens. Achabo autem respondente non debere gloriari armatum, sed pugna superiorem, legati, quum revertissent et regem offendissent tum forte cum triginta duobus sociis regibus epulantem, responsum ei declararunt. Ille vero statim hoc mandavit ut et vallo urbem circumdarent et aggeres erigerent, et nullam oppugnandi rationem intentatam relinquerent. Erat autem Achabus, dum hæc gererentur, magno in angore, ut et populus universus. Verum fiduciam sumit et a metu liberatur, ubi ad eum vates quidam accesserat, dixeratque Deum polliceri se tot hostium myriadas ipsi in manum traditurum. Quum autem quæsivisset per quos victoria potiretur, per filios ducum, aiebat, te illos ob eorum imperitiam ducente. Accitis igitur ducum filiis, (inventi autem sunt quasi ducenti et triginta duo,) quum intellexisset Syrum ad epulas et hilaritatem conversum esse, patefactis portis juvenes emisit. Id postquam Adado per speculatores est significatum, mittit quosdam eis occursuros, quibus imperavit, si quidem ad dimicandum prodierint, ut vinctos ad se adducerent, sin vero pacifici, ut idem facerent. Interim Achabus et alium exercitum intra muros accinctum habebat. Filii vero principum, cum præsidiariis congressi, multos illorum perimunt, et reliquos in castra persequuntur. Ubi autem illos superiores conspexerat Israelitarum rex, jubet ut et ceteræ omnes copiæ in eos irruerent. Atque illæ, derepente Syros adortæ, eos fuderunt fugaruntque. Nam quum haud exspectarint exercitum egressurum esse, res improvisa fecit ut inermes et temulenti invaderentur, adeo ut relicta in castris armatura terga ver-

ἐφ' ἵππου ποιησάμενον τὴν φυγήν. Ἄχαβος δὲ πολλὴν ὁδὸν διώκων τοὺς Σύρους ἤνυσεν, ἀναιρῶν αὐτούς. Διαρπάσας δὲ τὰ ἐν τῇ παρεμβολῇ, (πλοῦτος δ' ἦν οὐκ ὀλίγος, ἀλλὰ καὶ χρυσοῦ πλῆθος καὶ ἀργύρου), τά τε ἅρματα τοῦ Ἀδάδου καὶ τοὺς ἵππους λαβὼν ἀνέστρεψεν εἰς τὴν πόλιν. Τοῦ δὲ προφήτου παρασκευάσασθαι φήσαντος καὶ τὴν δύναμιν ἑτοίμην ἔχειν, ὡς τῷ ἐπιόντι πάλιν ἔτει στρατεύσοντος ἐπ' αὐτὸν τοῦ Σύρου, ὁ μὲν Ἄχαβος πρὸς τούτοις ἦν.

γ'. Ὁ δὲ Ἀδαδος διασωθεὶς ἐκ τῆς μάχης μεθ' ὅσης ἐδυνήθη στρατιᾶς συνεβουλεύσατο. τοῖς αὐτοῦ φίλοις πῶς ἂν ἐπιστρατεύσηται τοῖς Ἰσραηλίταις. Οἱ δ' ἐν μὲν τοῖς ὄρεσιν οὐκ ἐδίδοσαν γνώμην συμβαλεῖν αὐτοῖς· τὸν γὰρ Θεὸν αὐτῶν ἐν τοῖς τοιούτοις δύνασθαι τόποις, καὶ διὰ τοῦτο νῦν ὑπ' αὐτῶν νενικῆσθαι· κρατήσειν δὲ ἔλεγον ἐν πεδίῳ ποιησαμένους τὴν μάχην. Συνεβούλευόν τε πρὸς τούτῳ τοὺς μὲν βασιλέας, οὓς ἐπηγάγετο συμμάχους, ἀπολῦσαι εἰς τὰ οἰκεῖα, τὴν δὲ στρατιὰν αὐτῶν κατασχεῖν, ἀντ' ἐκείνων σατράπας καταστήσαντα· εἰς δὲ τὴν τῶν ἀπολωλότων τάξιν στρατολογῆσαι δύναμιν ἐκ τῆς χώρας τῆς αὐτῶν καὶ ἵππους καὶ ἅρματα. Δοκιμάσας οὖν ταῦτα εἰρῆσθαι καλῶς οὕτω διεκόσμησε τὴν δύναμιν.

δ'. Ἀρξαμένου δὲ τοῦ ἔαρος ἀναλαβὼν τὴν στρατιὰν ἦγεν ἐπὶ τοὺς Ἑβραίους, καὶ γενόμενος πρὸς πόλει τινὶ (Ἀφεκὰ δ' αὐτὴν καλοῦσιν) ἐν μεγάλῳ στρατοπεδεύεται πεδίῳ. Ἄχαβος δὲ ἀπαντήσας αὐτῷ μετὰ τῆς δυνάμεως ἀντεστρατοπεδεύσατο· σφόδρα δ' ἦν ὀλίγον αὐτοῦ τὸ στράτευμα πρὸς τοὺς πολεμίους ἀντιπαραβαλλόμενον. Τοῦ δὲ προφήτου προσελθόντος αὐτῷ πάλιν καὶ νίκην τὸν Θεὸν αὐτῷ διδόναι φήσαντος, ἵνα τὴν ἰδίαν ἰσχὺν ἐπιδείξηται, μὴ μόνον ἐν τοῖς ὄρεσιν, ἀλλὰ κἀν τοῖς πεδίοις ὑπάρχουσαν, ὅπερ οὐκ εἶναι δοκεῖ τοῖς Σύροις, ἑπτὰ μὲν ἡμέραις ἀντεστρατοπεδευκότες ἡσύχαζον, τῇ δ' ὑστάτῃ τούτων ὑπὸ τὸν ὄρθρον προελθόντων ἐκ τοῦ στρατοπέδου τῶν πολεμίων καὶ παραταξαμένων πρὸς μάχην, ἀντεπεξῆγε καὶ Ἄχαβος τὴν οἰκείαν δύναμιν. Καὶ συμβαλών, καρτερᾶς τῆς μάχης γενομένης, τρέπεται τοὺς πολεμίους εἰς φυγὴν καὶ διώκων ἐπέκειτο κτείνων. Οἱ δὲ καὶ ὑπὸ τῶν ἁρμάτων καὶ ὑπ' ἀλλήλων ἀπώλλυντο, ἴσχυσαν δὲ ὀλίγοι διαφυγεῖν εἰς τὴν Ἀφεκὰν πόλιν αὐτῶν. Ἀπέθανον δὲ καὶ αὐτοὶ τῶν τειχέων αὐτοῖς ἐπιπεσόντων, ὄντες δισμύριοι ἑπτακισχίλιοι. Διεφθάρησαν δὲ ἐν ἐκείνῃ τῇ μάχῃ ἄλλαι μυριάδες δέκα. Ὁ δὲ βασιλεὺς τῶν Σύρων Ἄδαδος φεύγων μετά τινων πιστοτάτων οἰκετῶν εἰς ὑπόγαιον οἶκον ἐκρύβη. Τούτων δὲ φιλανθρώπους καὶ ἐλεήμονας εἶναι φησάντων αὐτῷ τοὺς τῶν Ἰσραηλιτῶν βασιλέας καὶ δυνήσεσθαι τῷ συνήθει τρόπῳ τῆς ἱκετείας χρησαμένους τὴν σωτηρίαν αὐτῶν παρὰ Ἀχάβου λαβεῖν, εἰ συγχωρήσειεν αὐτοῖς πρὸς αὐτὸν ἀπελθεῖν, ἀφῆκεν. Οἱ δὲ σάκκους ἐνδυσάμενοι καὶ σχοινία ταῖς κεφαλαῖς περιθέμενοι (οὕτω γὰρ τὸ παλαιὸν ἱκέτευον οἱ Σύροι) πρὸς Ἄχαβον παρεγένοντο, καὶ δεῖσθαι τὸν Ἀδαδον σώζειν αὐτὸν ἔλεγον, εἰς ἀεὶ δοῦλον

terint, et rex ipse in fugam conjectus vix equi pernicitate evaserit. Achabus vero Syros cum illorum strage longe persequutus est, direptisque castris (nam valde erant opulenta, atque etiam auro argentoque abundabant) ac captis Adadi curribus et equis in urbem reversus est. Quum autem vates monuisset ut paratus sit et exercitum in procinctu habeat, quod sequente anno Syrorum rex iterum in eum expeditionem facturus esset, in eo quidem Achabus totus erat occupatus.

3. Verum Adadus, ubi semet cum omni quem potuit exercitu e pugna in tutum receperat, cum amicis consilium iniit quo modo Israelitas bello adoriretur. Illi vero in ea non erant opinione, ut in montibus cum iis confligerent; Deum enim illorum in ejusmodi locis pollere, eoque se nunc ab illis esse victos: superiores vero se fore dicebant, si prælium in planitie committerent. Ac præterea suadebant ut reges quidem, quos in belli societatem adduxerat, domum dimitteret, copias vero illorum, satrapis pro regibus substitutis, retineret: atque in locum illorum quos amiserat copias ex regione eorundem colligeret, currusque et equos. Hæc itaque præclare dicta arbitratus, exercitum hunc in modum parat instruitque.

4. Ineunte autem vere cum exercitu suo ibat in Israelitas, quumque ad urbem quandam (quam Aphecam appellant) pervenisset, in magna planitie castra metatus est. Achabus vero, cum suis copiis obviam illi profectus, contra illos castra posuit: ejus autem exercitus, cum hostium viribus comparatus, exiguus admodum erat. At postquam vates rursus ad eum accesserat, dixeratque Deum victoriam ei concessurum esse, ut ostendat, contra quam Syri opinantur, suam non minus in campestribus valere potentiam quam in montibus, septem quidem dies castris adversus castra positis quieti agitabant; illorum vero ultimo, quum hostis prima luce pro castris aciem explicuisset, Achabus quoque milites suos ex adverso instruxit, congressusque, acri pugna commissa, hostium agmina in fugam vertit, et occidendo persequitur. Plurimi a curribus et alii ab aliis interempti perierunt, paucis vero datum erat in urbem illorum Aphecam fuga se recipere. Sed hi et ipsi muro collapso oppressi sunt, hominum viginti septem millia. At præter istos in illa pugna ceciderunt etiam centum millia. Rex autem Syrorum Adadus cum quibusdam e domesticis sibi fidissimis fuga dilapsus in penetrale subterraneum se abdidit. Cui quum isti dixissent, Israelitici generis reges perquam humanos esse et clementes, seque posse, solenni supplicum ritu adhibito, incolumitatem suam ab Achabo impetrare, modo ipsis concederet ut illum adirent, eos dimisit. Illi vero saccos induti et funiculis capitibus circumdatis (qui priscus apud Syros supplicandi mos) ad Achabum veniebant, dicebantque petere Adadum ut sibi vivere liceat; qua gratia accepta se ei in perpetuum servum fore. Tum

αὐτοῦ τῆς χάριτος γενησόμενον. Ὁ δὲ συνήδεσθαι φήσας αὐτῷ περιόντι καὶ μηδὲν ἐν τῇ μάχῃ πεπονθότι τιμὴν καὶ εὔνοιαν, ἣν ἄν τις ἀδελφῷ παράσχοι, κατεπηγγείλατο. Λαβόντες δὲ ὅρκους παρ' αὐτοῦ μηδὲν ἀδικήσειν φανέντα, προάγουσι πορευθέντες ἐκ τοῦ οἴκου ἐν ᾧ ἐκέκρυπτο καὶ προσάγουσι τῷ Ἀχάβῳ, ἐφ' ἅρματος καθεζομένῳ. Ὁ δὲ προσεκύνησεν αὐτῷ. Ἄχαβος δ' ἐπιδοὺς αὐτῷ τὴν δεξιὰν ἀνεβίβασεν ἐπὶ τὸ ἅρμα, καὶ καταφιλήσας θαρρεῖν ἐκέλευσε καὶ μηδὲν τῶν ἀπόπων προσδοκᾶν. Ἄδαδος δ' ἡὐχαρίστει καὶ παρ' ὅλον τὸν τοῦ ζῆν χρόνον ἀπομνημονεύσειν τῆς εὐεργεσίας ὡμολόγει· καὶ τὰς πόλεις τῶν Ἰσραηλιτῶν, ἃς ἀπήνεγκαν οἱ πρὸ αὐτοῦ βασιλεῖς, ἀποδώσειν ἐπηγγείλατο, καὶ Δαμασκὸν, ὥστε ἐξελαύνειν εἰς αὐτὴν, καθὼς καὶ οἱ πατέρες αὐτοῦ εἰς Σαμάρειαν εἶχον τοῦτο ποιεῖν, ἀνήσειν. Γενομένων δ' αὐτοῖς ὅρκων καὶ συνθηκῶν, πολλὰ δωρησάμενος αὐτῷ Ἄχαβος ἀπέπεμπεν εἰς τὴν ἰδίαν βασιλείαν. Καὶ τὰ μὲν περὶ τῆς Ἀδάδου τοῦ Σύρων βασιλέως στρατείας ἐπὶ Ἄχαβον καὶ τοὺς Ἰσραηλίτας τοιοῦτον εἶχε τέλος.

ε'. Προφήτης δέ τις, Μιχαίας τοὔνομα, προσελθὼν ἑνὶ τῶν Ἰσραηλιτῶν, ἐκέλευσεν αὐτὸν εἰς τὴν κεφαλὴν πλῆξαι· τοῦτο γὰρ ποιήσειν κατὰ βούλησιν τοῦ Θεοῦ. Τοῦ δὲ μὴ πεισθέντος, προεῖπεν αὐτῷ παρακούσαντι τῶν τοῦ Θεοῦ προσταγμάτων, λέοντι περιτυχόντα διαφθαρήσεσθαι. Συμβάντος δὲ τούτου τἀνθρώπῳ, πρόσεισιν ἑτέρῳ πάλιν ὁ προφήτης, ταὐτὸ προστάσσων. Πλήξαντος δ' ἐκείνου καὶ θραύσαντος αὐτοῦ τὸ κράνιον, καταδησάμενος τὴν κεφαλὴν προσῆλθε τῷ βασιλεῖ λέγων αὐτῷ συνεστρατεῦσθαι καὶ παραλαβεῖν ἐπὶ φυλακήν τινα τῶν αἰχμαλώτων παρὰ τοῦ ταξιάρχου, φυγόντος δ' αὐτοῦ κινδυνεύειν ὑπὸ τοῦ παραδεδωκότος ἀποθανεῖν· ἀπειλῆσαι γὰρ αὐτὸν, εἰ διαφύγοι ὁ αἰχμάλωτος, ἀποκτείνειν. Δίκαιον δὲ φήσαντος Ἀχάβου τὸν θάνατον εἶναι, λύσας τὴν κεφαλὴν ἐπιγινώσκεται ὑπ' αὐτοῦ Μιχαίας ὁ προφήτης ὤν. Ἐκέχρητο δὲ σοφίσματι πρὸς αὐτὸν τῷ γενομένῳ πρὸς τοὺς μέλλοντας λόγους. Εἶπε γὰρ ὡς ὁ Θεὸς ἀφέντα αὐτὸν διαδρᾶναι τὴν τιμωρίαν Ἄδαδον τὸν βλασφημήσαντα εἰς αὐτὸν μετελεύσεται, καὶ ποιήσει αὐτὸν μὲν ἀποθανεῖν ὑπ' ἐκείνου, τὸν δὲ λαὸν ὑπὸ τῆς στρατιᾶς αὐτοῦ. Παροξυνθεὶς δ' Ἄχαβος πρὸς τὸν προφήτην, τὸν μὲν ἐγκλεισθέντα φυλάττεσθαι ἐκέλευσεν, συγχεχυμένος δ' αὐτὸς ἐπὶ τοῖς Μιχαίου λόγοις ἀνεχώρησεν εἰς τὴν οἰκίαν.

ΚΕΦ. ΙΕ'.

Καὶ Ἄχαβος μὲν ἐν τούτοις ἦν. Ἐπάνειμι δὲ ἐπὶ τὸν Ἱεροσολύμων βασιλέα Ἰωσάφατον· ὃς αὐξήσας τὴν βασιλείαν καὶ δυνάμεις ἐν ταῖς πόλεσι ταῖς ἐν τῇ τῶν ὑπηκόων χώρᾳ καταστήσας οὐδὲν ἧττον ταῖς ὑπὸ Ἀβία τοῦ πάππου καταληφθείσαις τῆς Ἐφραίμου κληρουχίας, Ἱεροβοάμου βασιλεύοντος τῶν δέκα φυλῶν, φρουρὰς ἐγκαθίδρυσεν. Ἀλλ' εἶχεν εὐμενές τε καὶ συνεργὸν τὸ θεῖον, δίκαιος ὢν καὶ εὐσεβὴς καὶ τί καθ' ἑκάστην ἡμέρᾳ

ille gratulari se ei dixit, quod superesset et nihil mali ei in prælio accidisset, seque honorem ei et benevolentiam, haud secus ac fratri, exhibiturum esse promisit. Tum isti, fide jurejurando accepta, illum, quando apparuerit, non læsum iri, digressi eum e domo ubi latebat productum ad Achabum adducunt, qui in curru sedebat. Ille vero eum adoravit. At Achabus, dextra ei data, in currum sustulit, exceptumque osculo jussit esse bono animo, nihilque mali exspectare. Adadus autem gratias agebat, atque beneficii, quam diu viveret, se memorem fore profitebatur. Porro urbes Israeliticas, quas reges priores abstulerant, se redditurum promisit, atque Damascum commeandi, sicut et ipsius patres in Samariam ita facere jus habuerant, liberam potestatem facturum. Fœdere deinde icto et jurejurando firmato, quum ei multa donasset Achabus, in regnum suum dimittebat. Atque hunc quidem exitum habuit bellum ab Adado Syrorum rege illatum Achabo et Israelitis.

5. Verum vates quidam, Michæas nomine, quum ad unum ex Israelitis accessisset, jussit ut caput ipsius feriret: hoc ipsum ex voluntate Dei facturum. Qui quum recusasset, ei prædixit fore ut leoni obviam factus ab eo occideretur, quod Dei mandatis non obsequutus fuisset. Quum autem hoc ei homini accidisset, vates ad alium itidem adiit, idem illi imperans. Qui quum eum percussisset et cranium infregisset, obligato capite accessit ad regem, dicens se sub eo militasse, et a tribuno captivum quendam custodiendum accepisse; quo fuga elapso periclitari se ne interficiatur ab eo qui illum sibi tradiderit: nam minatum esse, si captivus aufugisset, morte multatum iri. Quum autem Achabus dixisset jure merito occidendum esse, soluto capite ab ipso Michæas vates agnoscitur. Hanc enim artem de industria adhibuerat, ut inde occasionem arriperet verba quæ dicam faciendi. Aiebat enim Deum, quod Adadum, qui ipsi maledixerit, impunitum e manu emisisset, in ipsum animadversurum esse, facturumque ut et ipse ab eo interficeretur, et populus ab ejus exercitu. Achabus autem irritatus in prophetam, eum quidem in custodia includi jussit, ipse vero Michææ sermonibus confusus domum discessit.

CAP. XV. (IX.)

Et ita quidem se res habebant Achabi. Nunc vero ad Josaphatum Hierosolymorum regem revertor: qui aucto regno et militibus per urbes ditionis suæ dispositis, nihilo secius in oppidis sortis Ephraimiticæ, quæ, Hieroboamo in decem tribus regnante, avus ejus Abias ceperat, præsidia collocavit. Ceterum Deum et propitium habebat et adjutorem, quod esset justus et pius, et quid Deo grati acceptique faceret per singulos dies inquireret. Ipsumque omnes cir-

ραν ἡδὺ ποιήσει καὶ προσηνὲς τῷ Θεῷ ζητῶν. Ἐτίμων δ' αὐτὸν οἱ πέριξ βασιλεῖς ὠρεαῖς, ὡς πλοῦτόν τε ποιῆσαι βαθύτατον καὶ δόξαν ἄρασθαι μεγίστην.

β'. Τρίτῳ δὲ τῆς βασιλείας ἔτει συγκαλέσας τοὺς ἡγεμόνας τῆς χώρας καὶ τοὺς ἱερεῖς ἐκέλευε τὴν χώραν περιελθόντας ἅπαντα τὸν λαὸν τὸν ὑπ' αὐτὸν διδάξαι κατὰ πόλεις τοὺς Μωϋσέως νόμους, καὶ φυλάσσειν τούτους καὶ σπουδάζειν περὶ τὴν θρησκείαν τοῦ Θεοῦ. Καὶ ἦσθη πᾶν τὸ πλῆθος οὕτως, ὡς μηδὲν ἄλλο φιλοτιμεῖσθαι μηδὲ ἀγαπᾶν ὡς τὸ τηρεῖν τὰ νόμιμα. Οἵ τε πρόσχωροι διετέλουν στέργοντες τὸν Ἰωσάφατον καὶ πρὸς αὐτὸν εἰρήνην ἄγοντες. Οἱ δὲ Παλαιστῖνοι τακτοὺς ἐτέλουν αὐτῷ φόρους καὶ Ἄραβες ἐχορήγουν κατ' ἔτος ἄρνας ἑξήκοντα καὶ τριακοσίους καὶ ἐρίφους τοσούτους. Πόλεις τε μεγάλας ὠχύρωσεν ἄλλας τε καὶ βαρεῖς, καὶ δύναμιν στρατιωτικὴν καὶ ὅπλα πρὸς τοὺς πολεμίους ηὐτρέπιστο. Ἦν δὲ ἐκ μὲν τῆς Ἰούδα φυλῆς στρατὸς ὁπλιτῶν μυριάδες τριάκοντα, ὧν Ἐδναῖος τὴν ἡγεμονίαν εἶχεν, Ἰωαννῆς δὲ μυριάδων εἴκοσι. Ὁ δ' αὐτὸς οὗτος ἡγεμὼν ἐκ τῆς Βενιαμίτιδος φυλῆς εἶχε τοξοτῶν πεζῶν μυριάδας εἴκοσι, ἄλλος δ' ἡγεμών, Ὀχόβατος ὄνομα, μυριάδας ὁπλιτῶν ὀκτωκαίδεκα τὸ πλῆθος τῷ βασιλεῖ προσένειμε, πάρεξ ὧν εἰς τὰς ὀχυρωτάτας διέπεμψε πόλεις.

γ'. Ἠγάγετο δὲ τῷ παιδὶ Ἰωράμῳ τὴν Ἀχάβου θυγατέρα, τοῦ τῶν δέκα φυλῶν βασιλέως, Γοθολίαν ὄνομα. Πορευθέντα δ' αὐτὸν μετὰ χρόνον τινὰ εἰς Σαμάρειαν φιλοφρόνως Ἄχαβος ὑπεδέξατο, καὶ τὸν ἀκολουθήσαντα στρατὸν ἐξένισε λαμπρῶς, σίτου τε καὶ οἴνου καὶ θυμάτων ἀφθονίᾳ, παρεκάλεσέ τε συμμαχῆσαι κατὰ τοῦ Σύρων βασιλέως, ἵνα τὴν ἐν Γαλαδηνῇ πόλιν Ἀραμαθὰν ἀφέληται· τοῦ γὰρ πατρὸς αὐτὴν τοῦ αὐτοῦ πρῶτον τυγχάνουσαν ἁρπῆσθαι τὸν ἐκείνου πατέρα. Τοῦ δὲ Ἰωσαφάτου τὴν βοήθειαν ἐπαγγειλαμένου (καὶ γὰρ εἶναι δύναμιν αὐτῷ μὴ ἐλάττω τῆς ἐκείνου) καὶ μεταπεμψαμένου τὴν δύναμιν ἐξ Ἱεροσολύμων εἰς Σαμάρειαν, προελθόντες ἔξω τῆς πόλεως οἱ δύο βασιλεῖς, καὶ καθίσαντες ἐπὶ τοῦ ἰδίου θρόνου ἑκάτερος, τοῖς οἰκείοις στρατιώταις τὸ στρατιωτικὸν διένεμον. Ἰωσαφάτης δὲ ἐκέλευσεν, εἴ τινές εἰσι προφῆται, καλέσαντα αὐτοὺς ἀνακρῖναι περὶ τῆς ἐπὶ τὸν Σύρον ἐξόδου, εἰ συμβουλεύουσι κατ' ἐκεῖνον τὸν καιρὸν ἐπ' αὐτῶν ποιήσασθαι τὴν στρατείαν. Καὶ γὰρ εἰρήνη καὶ φιλία τότε τῷ Ἀχάβῳ πρὸς τὸν Σύρον ὑπῆρχεν, ἐπὶ τρία ἔτη διαμείνασα, ἀφ' οὗ λαβὼν αὐτὸν αἰχμάλωτον ἀπέλυσεν ἄχρις ἐκείνης τῆς ἡμέρας.

(Γ'.) δ'. Καλέσας δ' Ἄχαβος τοὺς αὐτοῦ προφήτας, ὡς τετρακοσίους τὸν ἀριθμὸν ὄντας, ἐκέλευσεν ἐρέσθαι τοῦ Θεοῦ εἰ δίδωσιν αὐτῷ στρατευσαμένῳ ἐπὶ Ἀδαδον νίκην καὶ καθαίρεσιν τῆς πόλεως, δι' ἣν ἐκφέρειν μέλλει τὸν πόλεμον. Τῶν δὲ προφητῶν συμβουλευσάντων ἐκστρατεῦσαι, (κρατήσειν γὰρ τοῦ Σύρου καὶ λήψεσθαι αὐτὸν ὑποχείριον ὡς καὶ τὸ πρῶτον,) συνεὶς ἐκ τῶν λόγων Ἰωσάφατος ὅτι ψευδοπροφῆται τυγχάνουσιν, ἐπύθετο τοῦ Ἀχάβου εἰ καὶ ἕτερός τις ἐστὶ προφήτης τοῦ Θεοῦ, cumquaque reges muneribus colonestabant, ita ut divitias consequutus fuerit amplissimas et maximum gloriæ incrementum ceperit.

2. Anno autem regni sui tertio, convocatis principibus regionis et sacerdotibus, præcipiebat illis, ut, terra peragrata, populum omnem sibi subditum per oppida in legibus Moysis instituerent, docerentque et has custodire et Dei cultui sedulam operam navare. Quod adeo gratum erat populo universo, ut nihil magis studerent, nihil impensius amarent quam legum observantiam. Finitimæ quoque gentes in Josaphato diligendo persistebant paceque cum eo colenda. Palæstini autem vectigal constitutum ei pendebant, et Arabes quotannis suppeditabant agnos trecentos et sexaginta, et hœdos totidem. Munivit etiam urbes alias magnas pariter ac validas, copiasque militares et armorum vim contra hostes paravit. Erant autem ex tribu quidem Judæ gravis armaturæ militum trecenta millia, quibus præerat Ednæus : atque Joanni duci attributa erant ducenta millia. Hic ipse dux ex tribu Benjamitica habebat sagittariorum peditum ducenta milla. Alius præterea dux, Ochobatus nomine, cum gravis armaturæ militibus, numero centum et octoginta millibus, regi inserviebat, præter eos quos disposuerat in oppidis munitissimis.

3. Filio autem suo Joramo duxit Gotholiam, filiam Achabi decem tribuum regis. Et aliquanto post quum Samariam se contulisset, benigne eum excepit Achabus, militesque ejus comites mensæ hospitali eique splendidæ adhibuit et frumento et vino et carnibus largiter instructæ, rogavitque ut secum belli societatem iniret contra Syrorum regem, ut armis repetat urbem Aramatham in regione Galadena : eam enim, olim ipsius patris, patrem illius abstulisse. Josaphato vero auxilium pollicito, (nam ejus exercitum non minorem esse quam illius,) suisque Samariam accitis ab Hierosolymis copiis, progressi extra urbem duo reges, et in suo uterque throno collocati, militibus uterque suis stipendia numerant. Josaphatus autem jussit, ut, si qui essent vates, accerserentur et de expeditione in Syrum consulerentur an suaderent eo tempore ab ipsis suscipiendam esse. Etenim Achabo pax simul et amicitia cum Syro intercedebat triennio continuo, ex quo captum eum dimiserat usque in illam diem.

(X.) 4. Achabus vero accitis suis vatibus, numero circiter quadringentis, jussit ut deum consulerent an foret ut is in Adadum exercitu educto victoriam daret urbisque eversionem, propter quam bellum erat illaturus. Quum autem suasissent vates ut expeditionem faceret, (Syrum enim victum iri et in potestatem ipsius, ut etiam ante, redactum,) Josaphatus, verbis illorum falsos esse vates odoratus, Achabum percontabatur, num qui est Dei vates præ-

ἵνα ἀκριβέστερον μάθωμεν περὶ τῶν μελλόντων. Ὁ δ' Ἄχαβος εἶναι μὲν ἔφη, μισεῖν δὲ αὐτὸν κακὰ προφητεύσαντα, καὶ προειπόντα ὅτι τεθνήξεται νικηθεὶς ὑπὸ τοῦ Σύρων βασιλέως· καὶ διὰ τοῦτο ἐν φυλακῇ νῦν αὐτὸν ἔχειν, καλεῖσθαι δὲ Μιχαίαν, υἱὸν Ἰεμβλαίου. Τοῦ δ' Ἰωσαφάτου κελεύσαντος αὐτὸν προαχθῆναι, πέμψας εὐνοῦχον ἄγει τὸν Μιχαίαν. Κατὰ δὲ τὴν ὁδὸν ὁ εὐνοῦχος ἐδήλωσεν αὐτῷ πάντας τοὺς ἄλλους προφήτας νίκην τῷ βασιλεῖ προειρηκέναι. Ὁ δ' οὐκ ἐξὸν αὐτῷ καταψεύδεσθαι τοῦ Θεοῦ φήσας, ἀλλ' ἐρεῖν ὅτι ἂν αὐτῷ περὶ τοῦ βασιλέως αὐτὸς εἴπῃ, ὡς ἦκε πρὸς τὸν Ἄχαβον καὶ λέγειν αὐτῷ ταληθὲς οὗτος ἐνωρκίσατο, δεῖξαι τὸν Θεὸν αὐτῷ τοὺς Ἰσραηλίτας φεύγοντας ἔφη καὶ διωκομένους ὑπὸ τῶν Σύρων καὶ διασκορπιζομένους ὑπ' αὐτῶν εἰς τὰ ὄρη, καθάπερ ποιμένων ἀνῃρημένων τὰ ποίμνια. Ἔλεγέ τε σημαίνειν τοὺς μὲν μετ' εἰρήνης ἀναστρέφειν εἰς τὰ ἴδια, πεσεῖσθαι δ' αὐτὸν μόνον ἐν τῇ μάχῃ. Ταῦτα φήσαντος τοῦ Μιχαία, πρὸς Ἰωσάφατον ὁ Ἄχαβος, « ἀλλ' ἔγωγε μικρὸν ἔμπροσθεν ἐδήλωσά « σοι τὴν τἀνθρώπου, φησί, πρός με διάθεσιν καὶ ὅτι « μοι τὰ χείρω προφητεύσει. » Τοῦ δὲ Μιχαία εἰπόντος ὡς προσῆκεν αὐτῷ πάντων ἀκροᾶσθαι τῶν ὑπὸ τοῦ Θεοῦ προλεγομένων, καὶ ὡς παρορμήσειαν αὐτὸν οἱ ψευδοπροφῆται ποιήσασθαι τὸν πόλεμον ἐλπίδι νίκης, καὶ ὅτι δεῖν πεσεῖν αὐτὸν μαχόμενον, αὐτὸς μὲν ἦν ἐπ' ἐννοίᾳ, Σεδεκίας δέ τις τῶν ψευδοπροφητῶν προσελθὼν τῷ μὲν Μιχαίᾳ μὴ προσέχειν παρῄνει· λέγειν γὰρ αὐτὸν οὐδὲν ἀληθές. Τεκμηρίοις δὲ ἐχρήσατο οἷς Ἠλίας προεφήτευσεν ὁ τούτου κρείττων τὰ μέλλοντα συνιδεῖν. Καὶ γὰρ τοῦτον ἔλεγε προφητεύσαντα ἐν Ἰζάρᾳ πόλει, ἐν τῷ Ναβούθου ἀγρῷ τὸ αἷμα αὐτοῦ κύνας λιχμήσεσθαι προειπεῖν, καθὼς καὶ Ναβούθου τοῦ δι' αὐτὸν καταλευσθέντος ὑπὸ τοῦ ὄχλου. « Δῆλον οὖν ὡς οὗτος ψεύδεται, « τῷ κρείττονι προφήτῃ τἀναντία λέγων, ἀπὸ ἡμερῶν « τριῶν φάσκων ταύτης τεθνήξεσθαι. Γνώσεσθαι δ' εἰ« περ ἐστὶν ἀληθὴς καὶ τοῦ θείου πνεύματος τὴν δύναμιν « ἔχει. Εὐθὺς γὰρ ῥαπισθεὶς ὑπ' ἐμοῦ βλαψάτω μου τὴν « χεῖρα, ὥσπερ Ἰαδὼν τὴν Ἱεροβοάμου τοῦ βασιλέως « συλλαβεῖν θελήσαντος ἀπεξήρανε δεξιάν· ἀκήκοας γὰρ « οἶμαι πάντως τοῦτο γενόμενον. » Ὡς οὖν πλήξαντος αὐτοῦ τὸν Μιχαίαν μηδὲν συνέβη παθεῖν, Ἄχαβος θαρρήσας, ἄγειν τὴν στρατιὰν πρόθυμος ἦν ἐπὶ τὸν Σύρον. Ἐνίκα γάρ, οἶμαι, τὸ χρεὼν καὶ πιθανωτέρους ἐποίει ταληθοῦς τοὺς ψευδοπροφήτας, ἵνα λάβῃ τὴν ἀφορμὴν τοῦ τέλους. Σεδεκίας δὲ σιδήρεα ποιήσας κέρατα λέγει πρὸς Ἄχαβον θεὸν αὐτῷ σημαίνειν τούτοις πᾶσαν καταστρέψαι Συρίαν. Μιχαίαν δὲ μετ' οὐ πολλὰς ἡμέρας εἰπόντα τὸν Σεδεκίαν ταμιεῖον ἐκ ταμιείου κρυβησόμενον ἀμείψειν, ζητοῦντα φυγεῖν τῆς ψευδολογίας τὴν δίκην, ἐκέλευσεν ὁ βασιλεὺς ἀπαχθέντα φυλάττεσθαι πρὸς Ἀχάμωνα τὸν τῆς πόλεως ἄρχοντα, καὶ χορηγεῖσθαι μηδὲν ἄρτου καὶ ὕδατος αὐτῷ περισσότερον.

ε'. Καὶ Ἄχαβος μὲν καὶ Ἰωσάφατος ὁ τῶν Ἱεροσολύμων βασιλεὺς ἀναλαβόντες τὰς δυνάμεις ἦλασαν

terea, ut aliquanto certius quid futurum sit intelligamus? Cui Achabus esse quidem et alium dixit, sibi vero invisum, quod infausta vaticinatus fuerit, et prædixerit fore ut a Syrorum rege superatus mortem oppeteret; ideoque in carcere nunc inclusum teneri, vocari autem Micham, Jemblæi filium. Quum vero Josaphatus postulasset eum produci, *Achabus* misso spadone Michæam accersit. Spado autem, dum in via essent, ei indicavit ceteros vates omnes regi victoriam prædixisse. Ille vero, responso dato, sibi non licere Deo mendacia affingere, sed dicturum esse quicquid ille de rege in os ei inseruerit, ubi ad Achabum ventum erat, eumque per Deum obtestatus est *rex* ut verum ipsi eloqueretur, dicebat sibi Deum ostendisse Israelitas fugientes, Syris eos insequentibus, dispersosque per montes, quasi greges sublatis pastoribus. Aiebat etiam *Deum* significare illos quidem domum incolumes reversuros, ipsum vero solum in prælio casurum. Hæc loquuto Michæa, Josaphatum alloquitur Achabus : « annon ego tibi « paulo ante significavi quam male mihi velit iste homo, « et quod adversa mihi vaticinatus fuerit? » Cum vero dixisset Michæas, par esse ut omnia accipiat quæ a Deo sint prædicta, et illum spe victoriæ ad bellum gerendum falsos vates incitare, et oportere in prælio ipsum cadere, animo quidem erat anxio sollicitoque, at Sedecias, unus e falsis vatibus, accessit et ut Michææ non adverteret animum hortabatur : ipsum enim nihil veri dicere. Argumento autem usus est ex vaticinio Eliæ petito, cui datum fuisset melius quam iste futura præmoscere. Namque hunc dicebat vaticinatum prædixisse fore ut apud urbem Isaram in agro Nabuthi canes regis cruorem lingerent, quemadmodum et Nabuthi propter ipsum a populo lapidibus necati. « Manifestum igitur est istum mentiri, qui vati præstantiori « contradicere non veretur, dicens tertia abhinc die mori« turum esse *regem*. Notum autem fore an verax sit et di« vino spiritu afflatus. Mox enim a me palmis percussus « manui meæ noxam inferat, quemadmodum Jadon fecit « ut Hieroboamo regi, quum illum comprehendere voluis« set, manus aresceret. Opinor enim te utique audivisse « hoc factum. » Igitur quum Michæa ab eo percusso nihil inde mali accidisset, Achabus, metu liberatus, alacriter copias contra Syrum in aciem eduxit. Vincebat enim, ut arbitror, fati vis, et plus fidei falsis quam veris vatibus adstruebat, ut nulla exitio destinato mora fieret. At Sedecias, cum sibi ferrea cornua fecisset, dicit Achabo Deum illi significare his Syriam eversum iturum. Ubi autem Michæas dixerat fore ut paucis post diebus Sedecias e penetrali in penetrale fugiat latebras quæritans, idque eo animo ne pœnas vano auspicio debitas luat, jussit rex ut ad Achamonem prætorem urbanum eum abducerent in carcerem compingendum, nec aliud quicquam præter panem et aquam ei darent.

5. Atque ita quidem Achabus et Josaphatus Hierosolymorum rex, assumptis copiis suis, Aramatham ire contem-

εἰς Ἀραμαθὰν πόλιν τῆς Γαλααδίτιδος. Ὁ δὲ τῶν Σύρων βασιλεὺς ἀκούσας αὐτῶν τὴν στρατείαν ἀντεπήγαγεν αὐτοῖς τὴν αὑτοῦ στρατιὰν, καὶ οὐκ ἄπωθεν τῆς Ἀραμαθῆς στρατοπεδεύεται. Συνέθεντο δὲ ὅ τε Ἀχαβος καὶ Ἰωσάφατος, ἀποθέσθαι τὸν Ἀχαβον τὸ βασιλικὸν σχῆμα, τὸν δὲ τῶν Ἱεροσολύμων βασιλέα τὴν αὐτοῦ στολὴν ἔχοντα στῆναι ἐν τῇ παρατάξει, κατασοφιζόμενον τὰ ὑπὸ τοῦ Μιχαίου προειρημένα. Ἦρε δ' αὐτὸν τὸ χρεὼν καὶ δίχα τοῦ σχήματος. Ὁ μὲν γὰρ Ἀδαδος ὁ τῶν Σύρων βασιλεὺς παρήγγειλε τῇ στρατιᾷ διὰ τῶν ἡγεμόνων μηδένα τῶν ἄλλων ἀναιρεῖν, μόνον δὲ τὸν βασιλέα τῶν Ἰσραηλιτῶν. Οἱ δὲ Σύροι, τῆς συμβολῆς γενομένης, ἰδόντες τὸν Ἰωσάφατον ἑστῶτα πρὸ τῆς τάξεως καὶ τοῦτον εἰκάσαντες εἶναι τὸν Ἀχαβον, ὥρμησαν ἐπ' αὐτὸν, καὶ περικυκλωσάμενοι, ὡς ἐγγὺς ὄντες ἔγνωσαν οὐκ ὄντα τοῦτον, ἀνεχώρησαν ὀπίσω πάντες. Ἀπ' ἀρχομένης δ' ἠοῦς ἄχρι δείλης ὀψίας μαχόμενοι καὶ νικῶντες ἀπέκτειναν οὐδένα κατὰ τὴν τοῦ βασιλέως ἐντολὴν, ζητοῦντες τὸν Ἀχαβον ἀνελεῖν μόνον καὶ εὑρεῖν οὐ δυνάμενοι. Παῖς δέ τις βασιλικὸς τοῦ Ἀδάδου, Ἄμανος ὄνομα, τοξεύσας εἰς τοὺς πολεμίους, τιτρώσκει τὸν βασιλέα διὰ τοῦ θώρακος κατὰ τοῦ πνεύμονος. Ἀχαβος δὲ τὸ μὲν συμβεβηκὸς οὐκ ἔγνω ποιῆσαι τῷ στρατεύματι φανερὸν, μὴ τραπῇ δεῖσαν, τὸν δ' ἡνίοχον ἐκέλευσεν ἐπιστρέψαι τὸ ἅρμα καὶ ἐξαγαγεῖν τῆς μάχης· χαλεπῶς γὰρ βεβλῆσθαι καὶ καιρίως. Ὀδυνώμενος δὲ ἔστη ἐπὶ τοῦ ἅρματος ἄχρι δύνοντος τοῦ ἡλίου καὶ λιποθυμήσας ἀπέθανε.

ς'. Καὶ τὸ μὲν τῶν Σύρων στράτευμα νυκτὸς ἤδη γενομένης ἀνεχώρησαν εἰς τὴν παρεμβολὴν, ὀηλώσαντος δὲ τοῦ στρατοκήρυκος ὅτι τέθνηκεν Ἀχαβος, ἀνέζευξαν εἰς τὰ ἴδια. Κομίσαντες δὲ τὸν Ἀχάβου νεκρὸν εἰς Σαμάρειαν ἐκεῖ θάπτουσι, καὶ τὸ ἅρμα ἀποπλύναντες ἐν τῇ Ἰζάρᾳ κρήνῃ (ἦν δὲ καθημαγμένον τῷ τοῦ βασιλέως φόνῳ) ἀληθῆ τὴν Ἠλίᾳ προφητείαν ἐπέγνωσαν. Οἱ μὲν γὰρ κύνες ἀνελιχμήσαντο αὐτοῦ τὸ αἷμα, αἱ δὲ ἑταιριζόμεναι ἐν τῇ κρήνῃ τὸ λοιπὸν λουόμεναι τούτῳ διετέλουν. Ἀπέθανε δὲ ἐν Ῥαμαθῶνι, Μιχαία τοῦτο προειρηκότος. Συμβάντων οὖν Ἀχάβῳ τῶν ὑπὸ τῶν δύο προφητῶν εἰρημένων, μέγα δεῖ τὸ θεῖον ἡγεῖσθαι καὶ τιμᾶν αὐτὸ πανταχοῦ καὶ σέβειν, καὶ τῆς ἀληθείας μὴ τὰ πρὸς ἡδονὴν καὶ βούλησιν πιθανώτερα δοκεῖν, ὑπολαμβάνειν δ' ὅτι προφητείας καὶ τῆς διὰ τῶν τοιούτων προγνώσεως οὐδέν ἐστι συμφορώτερον, παρέχοντος οὕτω τοῦ Θεοῦ τί δεῖ φυλάξασθαι. Λογίζεσθαί τε πάλιν ἐκ τῶν περὶ τὸν βασιλέα γεγενημένων στοχαζομένους προσῆκε τὴν τοῦ χρεὼν ἰσχὺν, ὅτι μηδὲ προγινωσκόμενον αὐτὸ διαφυγεῖν ἔστιν, ἀλλ' ὑπέρχεται τὰς ἀνθρωπίνας ψυχὰς ἐλπίσι κολακεῦον χρηστοῖς, αἷς εἰς τὸ πόθεν αὐτῶν κρατήσει περιάγει. Φαίνεται οὖν καὶ Ἀχαβος ὑπὸ τούτου τὴν διάνοιαν ἀπατηθεὶς, ὥστε ἀπιστῆσαι μὲν τοῖς προλέγουσι τὴν ἧτταν, τοῖς δὲ τὰ πρὸς χάριν προφητεύσασι πεισθεὶς ἀποθανεῖν. Τοῦτον μὲν οὖν ὁ παῖς Ὀχοζίας διεδέξατο.

derunt, regionis Galaaditidis urbem. Rex vero Syrorum, audita illorum expeditione, suum contra eos eduxit exercitum, et non longe ab Aramatha castra metatur. Convenerant autem Achabus et Josaphatus, ut habitum regium deponeret Achabus, Hierosolymorum vero rex Achabi vestitum indutus in acie staret, ut isto commento irrita forent quæ Michæas prædixerat. Eum vero fatum invenit etiam sine insignibus. Nam rex Syrorum Adadus per tribunos militibus imperaverat ne quem omnino perimerent, nisi unum regem Israelitarum. Syri autem, prælio commisso, Josaphatum ante aciem stantem conspicati, hunccque Achabum esse rati, impetum in eum fecerunt : quumque se illi circumdedissent, propioresque facti alium esse cognovissent, omnes retro se averterunt. Verum a prima luce usque ad vesperam pugna durante victoriaque ab illis stante, neminem occiderunt prout rex eis mandaverat, Achabo solo ad necem quæsito, nec tamen invento. Puer autem Adadi regis, Amanus nomine, in hostes jaculatus, regem per thoracem in pulmone vulnerat. Achabus autem, quod ipsi acciderat, exercitum quidem celare statuit, ne terga daret metu perculsus; verum aurigæ præcepit ut converso curru ipsum ex acie educeret, quod grave et letale vulnus acceperit. Quumque cruciaretur, perstitit in curru usque ad solis occasum, animæque deliquio vita defunctus est.

6. Ac Syrorum quidem exercitus præcipiti jam die in castra se recipiunt, quumque præco significasset, Achabum mortuum esse, suam quisque domum reversus est. Achabi autem corpus Samariam defertur ibique sepelitur. Quumque currus ad Izaræ fontem ablueretur, (erat enim regis sanguine cruentatus,) Eliæ vaticinium verum esse recognoverunt. Nam canes quidem cruorem ejus linxere, in posterum vero mos patrius erat meretricum, ut in isto fonte se lavarent. Vita autem excessit apud Ramathonem, juxta Michææ vaticinium. Quum itaque Achabo acciderint quæ a duobus vatibus erant prædicta, propterea Dei numen magni faciamus oportet, et ubique omni honore et veneratione prosequamur, curandumque ne quæ ad gratiam et voluntatem proferuntur, majori fide dignemur quam ipsammet veritatem, sed existimemus nihil esse utilius vaticinio rerumque futurarum per hujusmodi viros scientia, Deo nos ita monente quid caveri debeat. Quin et convenit ut, conjecturam faciendo ex iis quæ huic regi obvenerunt, nobiscum reputemus fati vim, quod, etiamsi nobis quid sit futurum innotescat, evitari nequeat : sed animis hominum obrepit blanda spe eos demulcens, donec eo pertrahantur ubi superari possint. Manifesto igitur ab ea est Achabus mente deceptus, ut, dum cladem prænunciantibus non crederet, iis vero qui ad gratiam *aucupandam* vaticinabantur fidem haberet, vitam amitteret. Ceterum ei in regnum successit Ochozias filius.

ΒΙΒΛΙΟΝ ΕΝΑΤΟΝ.

α'. Ὡς στρατευσάμενος ὁ Ἀχάβου παῖς Ἰώραμος ἐπὶ Μωαβίτας κρατήσειεν αὐτῶν.

β'. Ὡς ὁ ὁμώνυμος αὐτῷ Ἰώραμος, βασιλεύων τῶν Ἱεροσολυμιτῶν, τὴν ἀρχὴν πᾶσαν λαβὼν τούς τε ἀδελφοὺς καὶ τοὺς πατρῴους φίλους ἀπέκτεινεν.

γ'. Ὅτι τῆς Ἰδουμαίας ἀποστάσης, καὶ στρατοπεδευσάντων ἐπ' αὐτὸν Ἀράβων, ἥ τε δύναμις αὐτοῦ πᾶσα διεφθάρη καὶ οἱ παῖδες αὐτοῦ πάρεξ ἑνὸς ὄντος ἔτι νηπίου, καὶ πρὸς τούτοις αὐτὸς, ἀσεβὴς γενόμενος, κακῶς τὸν βίον κατέστρεψε.

δ'. Στρατεία τοῦ Σύρων καὶ Δαμασκοῦ βασιλέως ἐπὶ τὸν Ἰσραηλιτῶν βασιλέα Ἰώραμον· καὶ πῶς πολιορκηθεὶς οὗτος ἐν Σαμαρείᾳ, παραδόξως τὸν κίνδυνον διέφυγεν.

ε'. Ὡς αὐτὸς Ἰώραμος ἀπέθανεν ὑπὸ Ἰηοῦ ἀναιρεθεὶς τοῦ ἱππάρχου, καὶ ἡ γενεὰ αὐτοῦ, καὶ ὁ τῶν Ἱεροσολύμων βασιλεὺς Ὀχοζίας.

ς'. Ὅτι μετὰ τὴν τούτου τελευτὴν ὁ Ἰηοῦς ἐβασίλευσε τῶν Ἰσραηλιτῶν, ἐν Σαμαρείᾳ διατρίβων, καὶ οἱ παῖδες αὐτοῦ ἐπὶ γενεὰς τέσσαρας.

ζ'. Ὡς γυνή τις, Γοθολία τοὔνομα, τῶν Ἱεροσολυμιτῶν ἐβασίλευσεν ἐπὶ ἔτη πέντε, καὶ ἀνελὼν αὐτὴν ὁ ἀρχιερεὺς Ἰώδαος τὸν Ὀχοζίου παῖδα Ἰώασον βασιλέα ἀπέδειξεν.

η'. Ἀζαήλου τοῦ Δαμασκηνῶν βασιλέως ἐπὶ τοὺς Ἰσραηλίτας στρατεία, καὶ ὡς καὶ πολλὰ τήν τε χώραν αὐτῶν διαθεὶς καὶ τὴν Σαμαρειτῶν πόλιν, ὀλίγῳ πάλιν ὕστερον χρόνῳ στρατεύσας ἐπὶ τοὺς Ἱεροσολυμίτας, καὶ πολλὰ χρήματα λαβὼν παρὰ τοῦ βασιλέως αὐτῶν, εἰς Δαμασκὸν ὑπέστρεψεν.

θ'. Ὡς Ἀμασίας, ὁ τῶν Ἱεροσολυμιτῶν βασιλεὺς, στρατευσάμενος ἐπὶ Ἰδουμαίους καὶ Ἀμαληκίτας, ἐνίκησεν.

ι'. Ὡς αὐτὸς οὗτος, πολεμῶν πρὸς τὸν Ἰσραηλιτῶν βασιλέα Ἰώασον, ἡττᾶται μὲν, ληφθεὶς δ' αἰχμάλωτος καὶ πολλὰ χρήματα δοὺς, ἀπελύθη πάλιν εἰς τὴν ἑαυτοῦ βασιλείαν· καὶ ὡς ὁ παῖς αὐτοῦ Ὀζίας τὰ πέριξ ἔθνη ἐχειρώσατο.

ια'. Στρατεία τοῦ τῶν Ἰσραηλιτῶν βασιλέως Ἱεροβοάμου ἐπὶ Συρίαν καὶ νίκη.

ιβ'. Ὡς ὁ τῶν Ἀσσυρίων βασιλεὺς στρατευσάμενος ἐπὶ Σαμάρειαν, καὶ πολλὰ χρήματα παρὰ Φακέου τοῦ βασιλέως αὐτῶν εἰσπραξάμενος, εἰς τὴν οἰκείαν ὑπέστρεψεν.

ιγ'. Ὅτι στρατευσάμενος Ἀράσης ὁ Δαμασκοῦ βασιλεὺς ἐπὶ Ἱεροσολυμίτας ἠνάγκασεν Ἀχάζην τὸν βασιλέα, πέμψαντα χρήματα πολλὰ πρὸς τὸν βασιλέα Ἀσσυρίων, πεῖσαι τούτοις αὐτὸν ἐπὶ Δαμασκὸν στρατεύσασθαι.

ιδ'. Ὡς κατὰ κράτος ἑλὼν ὁ τῶν Ἀσσυρίων βασιλεὺς Δαμασκὸν καὶ διέφθειρε μὲν αὐτῶν τὸν βασιλέα, τοὺς δὲ ἀνθρώπους ἀναστήσας εἰς Μηδίαν, ἕτερα ἔθνη κατῴκισεν ἐν Δαμασκῷ.

ιε'. Ὡς Σαλμανάσσαρος ὁ τῶν Ἀσσυρίων βασιλεὺς, στρατευσάμενος ἐπὶ Σαμάρειαν, καὶ πέντε πολιορκήσας ἔτεσιν, ἐν αὐτῇ τὸν τῶν Ἰσραηλιτῶν βασιλέα Ὥσην, παραστησάμενος τὴν πόλιν, ἀπέκτεινε· καὶ ὡς ὁ Ἀσσύριος τὰς δέκα τῶν Ἰσραηλιτῶν φυλὰς εἰς τὴν Μηδίαν κατοικίσας, ἐκ τῆς Περσίδος τὸ τῶν Κουθαίων ἔθνος εἰς τὴν ἐκείνων μετήγαγε χώραν, οὓς Ἕλληνες Σαμαρεῖς καλοῦσιν.

Περιέχει ἡ βίβλος χρόνον ἐτῶν ρν' καὶ μηνῶν ζ'.

ΚΕΦ. Α'.

Ἰωσαφάτῳ δὲ τῷ βασιλεῖ παραγενομένῳ εἰς Ἱεροσόλυμα ἀπὸ τῆς συμμαχίας τῆς πρὸς Ἀχαβον τὸν τῶν Ἰσραηλιτῶν βασιλέα, ἣν Ἀδάδῳ τῷ Σύρων βασιλεῖ πολεμοῦντι παρασχὼν ἦν, ὡς προειρήκαμεν, Ἰηοῦς ὁ

LIBER NONUS.

1. Quemadmodum Joramus Achabi filius Moabitas bello petitos superavit.

2. Quomodo ei cognominis Joramus, Hierosolymorum rex, totum imperium adeptus fratres et patris amicos interfecit.

3. Quod Idumæa ad defectionem versa, et Arabibus bello eum aggressis, et totus ejus exercitus periit, filiique ejus omnes præter unum adhuc infantem, ac præterea ipse, in nequitiam prolapsus, miseram mortem obiit.

4. Expeditio Syrorum et Damasci regis contra Joramum Israelitarum regem: utque ille, in Samaria obsessus, præter opinionem e periculo evasit.

5. Quomodo idem ille Joramus obiit ab Jehu equitum magistro interemptus, similiterque stirps ejus universa, et Hierosolymorum rex Ochozias.

6. Quod post illius mortem in Israelitas regnavit Jehu, in Samaria sedem suam habens, et filii ejus ad quartam usque stirpem.

7. Ut mulier quædam, Gotholia nomine, Hierosolymitanorum imperium quinquennio tenuit; atque Jodaus pontifex, ea occisa, Ochoziæ Joasum filium regem constituit.

8. Azaeli Damascenorum regis contra Israelitas expeditio: utque, quum mala quamplurima illorum regioni et Samaritanorum urbi intulisset, rursus aliquanto post Hierosolymitanos petiit, multaque pecunia a rege illorum accepta Damascum reversus est.

9. Quomodo Amasias, Hierosolymitanorum rex, expeditione in Idumæos et Amalecitas suscepta, illos devicit.

10. Ut ille ipse, bellum gerens adversus Joasum Israelitarum regem, prælioque captus, ingenti pecunia data rursum in regnum suum dimittitur; utque filius ejus Ozias gentes finitimas subegit.

11. Israelitarum rex Hieroboamus in Syriam excursionem facit, et victoriam reportat.

12. Ut Assyriorum rex cum exercitu profectus contra Samariam, multaque pecunia a Phacea rege exacta, in ditionem suam se recepit.

13. Quod Arases Damascenorum rex, exercitu in Hierosolymitanos educto, Achazen regem eo angustiarum redegit, ut, magnis missis muneribus ad Assyriorum regem, illis ei persuaserit Damascum oppugnare.

14. Quomodo Assyriorum rex Damascum vi expugnavit, et regem quidem horum interemit, populo vero in Mediam asportato, alias gentes Damascum in coloniam deduxit.

15. Quomodo Salmanassarus Assyriorum rex, Samariam armis adortus, in ea regem Ozen, quum urbem annis quinque obsessam ad deditionem compulisset, interfecit; utque Assyriorum rex, quum decem Israelitarum tribus in Mediam transtulisset, gentem Cuthæorum e Perside in eorum regionem migrare jussit, quos Græci Samares appellant.

Continet hic liber tempus annorum CL et mensium VII.

CAP. I.

Josaphato autem regi Hierosolyma reverso, post suppetias Achabo Israelitarum regi, cum Adado Syrorum rege bellum gerenti, latas, ut prius narravimus, obviam factus Jehus vates accusabat eum societatis initæ cum Achabo,

προφήτης συντυχὼν ἠτιᾶτο τῆς πρὸς Ἀχαβον συμμαχίας, ἄνθρωπον ἀσεβῆ καὶ πονηρόν. Τὸν γὰρ Θεὸν ἀηδῶς μὲν ἐπὶ τούτῳ διατεθῆναι, ῥύσασθαι μέντοι, καίπερ ἡμαρτηκότα, διὰ τὴν ἰδίαν αὐτοῦ φύσιν οὖσαν ἀγαθὴν, ἔλεγεν ἐκ τῶν πολεμίων. Καὶ τότε μὲν ἐπ' εὐχαριστίας καὶ θυσίας ὁ βασιλεὺς τρέπεται τοῦ Θεοῦ. Μετὰ ταῦτα δὲ περιερχόμενος τὴν χώραν ὥρμησεν ἐν κύκλῳ πᾶσαν, ὅσης αὐτὸς ἐπῆρχε, τὸν λαὸν ἐκδιδάσκειν τά τε νόμιμα τὰ διὰ Μωϋσέως ὑπὸ τοῦ Θεοῦ δοθέντα καὶ τὴν εὐσέβειαν τὴν πρὸς αὐτόν. Καὶ δικαστὰς ἀποδείξας ἐν ἑκάστῃ πόλει τῶν βασιλευομένων ὑπ' αὐτοῦ παρεκελεύσατο μηδενὸς οὕτως ὡς τοῦ δικαίου προνοουμένους κρίνειν τοῖς ὄχλοις, μήτε δώρων μήτε ἀξιώματος τῶν ἐν ὑπεροχῇ διὰ πλοῦτον ἢ διὰ γένος εἶναι δοκούντων, βραβεύειν δὲ ἅπασι τὸ ἴσον, ἐπισταμένους ὅτι καὶ τῶν κρύφα πραττομένων ἕκαστον ὁ Θεὸς βλέπει. Ταῦτα διδάξας κατὰ πόλιν ἑκάστην τῶν δύο φυλῶν ὑπέστρεψεν εἰς Ἱεροσόλυμα. Κατέστησε δὲ καὶ ἐν τούτοις κριτὰς ἐκ τῶν ἱερέων καὶ ἐκ τῶν Λευιτῶν καὶ τῶν τὰ πρῶτα τοῦ πλήθους φερομένων, παραινέσας ἐπιμελεῖς καὶ δικαίας ποιεῖσθαι πάσας τὰς κρίσεις· ἂν δὲ περὶ μειζόνων διαφορὰν ἔχοντες τῶν ὁμοφύλων τινὲς ἐκ τῶν ἄλλων πέμψωσι πρὸς αὐτοὺς πόλεων, τούτοις δεῖ μετὰ πλείονος σπουδῆς ἀποφαίνεσθαι δικαίως περὶ τῶν πραγμάτων· μάλιστα γὰρ τὰς ἐν αὐτῇ τῇ πόλει κρίσεις, ἐν ᾗ τόν τε ναὸν εἶναι τοῦ Θεοῦ συμβέβηκε καὶ δίαιταν ὁ βασιλεὺς ἔχει, προσήκει σπουδαίας εἶναι καὶ δικαιοτάτας. Ἄρχοντας δ' αὐτῶν ἀποδείκνυσιν Ἀμασίαν τὸν ἱερέα καὶ Ζαβαδίαν, ἐκ τῆς Ἰούδα φυλῆς ἑκατέρους. Καὶ ὁ μὲν βασιλεὺς τοῦτον τὸν τρόπον διέτασσε τὰ πράγματα.

β'. Κατὰ δὲ τὸν αὐτὸν καιρὸν ἐστράτευον ἐπ' αὐτὸν Μωαβῖται καὶ Ἀμμανῖται, συμπαραλαβόντες καὶ Ἀράβων μεγάλην μοῖραν, καὶ στρατοπεδεύονται πρὸς Ἐγγαδδὶ πόλιν, κειμένην πρὸς τῇ Ἀσφαλτίτιδι λίμνῃ, τριακοσίους ἀπέχουσαν σταδίους τῶν Ἱεροσολύμων. Γεννᾶται δὲ ἐν αὐτῇ φοῖνιξ ὁ κάλλιστος καὶ ὀποβάλσαμον. Ἀκούσας δὲ Ἰωσάφατος ὅτι τὴν λίμνην διαβάντες οἱ πολέμιοι ἐμβεβλήκασιν ἤδη εἰς τὴν βασιλευομένην ὑπ' αὐτοῦ χώραν, δείσας εἰς ἐκκλησίαν συνάγει τὸν δῆμον τῶν Ἱεροσολυμιτῶν εἰς τὸ ἱερὸν, καὶ στὰς κατὰ πρόσωπον τοῦ ναοῦ πύχετο καὶ ἐπεκαλεῖτο τὸν Θεὸν παρασχεῖν αὐτῷ δύναμιν καὶ ἰσχὺν, ὥστε τιμωρήσασθαι τοὺς ἐπιστρατεύσαντας, (καὶ γὰρ τοῦτο δεηθῆναι τοὺς τὸ ἱερὸν κατασκευασαμένους αὐτοῦ, ὅπως ὑπερμάχηται τῆς πόλεως ἐκείνης καὶ τοὺς ἐπ' αὐτὸ τολμήσαντας ἐλθεῖν ἀμύνηται,) οἳ τὴν ὑπ' αὐτοῦ δοθεῖσαν γῆν εἰς κατάσχεσιν ἀφελέσθαι πάρεισιν αὐτούς. Ταῦτ' εὐχόμενος ἐδάκρυσε, καὶ σύμπαν δὲ τὸ πλῆθος γυναιξὶν ἅμα καὶ τέκνοις ἱκέτευεν. Ἰαζίηλος δέ τις προφήτης, παρελθὼν εἰς μέσην τὴν ἐκκλησίαν, ἀνεβόησε, τῷ τε πλήθει λέγων καὶ τῷ βασιλεῖ, τὸν Θεὸν ἐπακοῦσαι τῶν εὐχῶν, καὶ πολεμήσειν αὐτῶν τοῖς ἐχθροῖς ἐπαγγείλασθαι· προσέταξε δὲ τῇ ἐπιούσῃ τὴν στρατιὰν ἐξελάσαι

homine impio et scelerato. Deum enim hanc quidem rem moleste tulisse dicebat, eum tamen, licet peccaverit, nihilominus e manibus hostium eripuisse, quod bona et laudabili esset indole. Et tunc quidem rex se convertit ad gratias Deo agendas victimasque ei immolandas. Post hæc autem cæpit omnem ditionis suæ regionem undique obire, populum ad legem Moysis ministerio a Deo latam et ad pietatem in ipsius numen instituens. Judicibusque constitutis in quolibet oppido ex sibi subjectis hortatus est ut populo jus dicerent, nullius rei majorem rationem habentes quam justitiæ, neque munerum, neque dignitatis eorum, qui ob divitias aut generis claritatem videantur potestate pollere, sed omnibus quod sit æquum statuerent et decernerent, scientes Deum ea etiam singula videre quæ in occulto fiant. Hæc quum in unaquaque duarum tribuum civitate docuisset, Hierosolyma rediit. Atque in hac urbe etiam judices e sacerdotibus et Levitis et populi primoribus constituit, monuitque accurate et juste in omnibus judiciis se gererent: si qui vero popularium de rebus gravioribus disceptantes ex aliis civitatibus ipsos consultum mittant, his oportere eos majori etiam studio justam ferre sententiam; quoniam maxime conveniat in ea civitate judicia fieri inprimis accurata et justissima, ubi contigerit et Deo ædem esse, et rex suum habeat domicilium. Horum autem principes fecit Amasiam sacerdotem et Zabadiam, ex Judæ tribu utrumque. Atque ita quidem res ab hoc rege ordinatæ erant.

2. At sub idem fere tempus Moabitæ et Ammanitæ cum magna Arabum cohorte ei bellum inferunt, et castra metantur ad Engaddi urbem, juxta lacum Asphaltitidem sitam, stadiis trecentis ab Hierosolymis distantem. In ea vero palmæ nascuntur optimæ et opobalsamum. Josaphatus autem quum audisset hostes superato lacu in ipsius ditionis regionem jam irrupisse, territus populum Hierosolymitarum in atrium Sacri convocat, frontique templi obversus stans orabat et Deum invocabat, ut sibi vires et fortitudinem largiretur ad ulciscendos hostes contra ipsum venientes, (hoc enim illos rogasse qui hanc ejus ædem exstruxerunt, ut urbem istam protegeret, ausosque eam invadere propulsaret,) qui utique eo animo adveniant, ut se de possessione terræ ab ipso concessæ deturbent. Interea dum hæc precatur, fletum edidit, et populus universus cum uxoribus simul et liberis Deo supplicabat. Vates autem quidam Jazielus, in mediam concionem progressus, clamorem sustulit, populo pariter ac regi dicens, Deum preces exaudivisse, atque promisisse in hostes illorum se præliaturum esse: præcepitque ut die insequente cum exercitu obviam

σαντα τοῖς πολεμίοις ὑπαντᾶν· εὑρήσειν γὰρ αὐτοὺς ἐπὶ τῆς μεταξὺ Ἱεροσολύμων καὶ Ἐγγάδδης ἀναβάσεως, λεγομένης δ' ἐξοχῆς, καὶ μὴ συμβαλεῖν μὲν αὐτοῖς, στάντας δὲ μόνον ὁρᾶν πῶς αὐτοῖς μάχεται τὸ θεῖον. Τοῦ δὲ προφήτου ταῦτα εἰπόντος ὁ μὲν βασιλεὺς καὶ τὸ πλῆθος, πεσόντες ἐπὶ πρόσωπον εὐχαρίστουν τε τῷ Θεῷ καὶ προσεκύνουν, οἱ δὲ Λευῖται τοῖς ὀργάνοις διετέλουν ὑμνοῦντες.

γ'. Ἅμα δ' ἡμέρᾳ προελθὼν ὁ βασιλεὺς εἰς τὴν ἔρημον τὴν ὑποκάτω Θεκώας πόλεως, ἔλεγε πρὸς τὸ πλῆθος ὡς δεῖ πιστεύειν τοῖς ὑπὸ τοῦ προφήτου εἰρημένοις, καὶ μὴ παρατάσσεσθαι μὲν αὐτοὺς εἰς μάχην, προστησαμένους δὲ τοὺς ἱερεῖς μετὰ τῶν σαλπίγγων καὶ Λευίτας μετὰ τῶν ὑμνούντων εὐχαριστεῖν ὡς ἤδη ῥυσαμένῳ τὴν χώραν ἡμῶν παρὰ τῶν πολεμίων. Ἤρεσε δ' ἡ τοῦ βασιλέως γνώμη, καὶ ἅπερ συνεβούλευσε, ταῦτ' ἔπραττον. Ὁ δὲ Θεὸς εἰς φόβον ἐνέβαλε καὶ ταραχὴν τοὺς Ἀμμανίτας. Οἱ δὲ δόξαντες ἀλλήλους πολεμίους ἀπέκτεινον, ὡς ἐκ τῆς τοσαύτης στρατιᾶς ἀνασωθῆναι μηδένα. Ἰωσάφατος δ' ἀποβλέψας εἰς τὴν φάραγγα, ἐν ᾗ συνέβαινεν ἑστρατοπεδευκέναι τοὺς πολεμίους, καὶ πλήρη νεκρῶν ἰδών, ἥσθη μὲν ἐπὶ τῷ παραδόξῳ τῆς τοῦ Θεοῦ βοηθείας, ὅτι μηδὲ πονήσασιν αὐτοῖς αὐτὸς δι' ἑαυτοῦ τὴν νίκην ἔδωκεν, ἐπέτρεψε δὲ τῇ στρατιᾷ διαρπάσαι τὴν παρεμβολὴν τῶν ἐχθρῶν καὶ σκυλεῦσαι τοὺς νεκρούς. Καὶ οἱ μὲν ἐπὶ τρεῖς ἡμέρας σκυλεύσαντες ἔκαμον, (τοσοῦτον ἦν τὸ τῶν ἀνῃρημένων πλῆθος,) τῇ τετάρτῃ δὲ συναθροισθεὶς πᾶς ὁ λαὸς εἴς τινα κοῖλον καὶ φαραγγώδη τόπον τὴν τοῦ Θεοῦ δύναμιν καὶ τὴν συμμαχίαν ηὐλόγησεν, ἀφ' οὗ καὶ προσηγορίαν ἔσχεν ὁ τόπος, Κοιλὰς εὐλογίας.

δ'. Ἐκεῖθεν δ' ἀναγαγὼν τὴν στρατιὰν ὁ βασιλεὺς εἰς Ἱεροσόλυμα τρέπεται πρὸς εὐωχίας καὶ θυσίας ἐπὶ πολλὰς ἡμέρας. Μετὰ μέντοι γε τὴν τῶν πολεμίων αὐτοῦ διαφθορὰν, ἀκουσθεῖσαν τοῖς ἀλλοφύλοις ἔθνεσι, πάντες οὗτοι κατεπλάγησαν αὐτὸν, ὡς φανερῶς αὐτῷ τοῦ Θεοῦ τὸ λοιπὸν συμμαχοῦντος. Καὶ Ἰωσάφατος μὲν ἔκτοτε μετὰ λαμπρᾶς δόξης ἐπί τε δικαιοσύνῃ καὶ τῇ πρὸς τὸ θεῖον εὐσεβείᾳ διῆγεν, ἦν δὲ φίλος καὶ τῷ τοῦ Ἀχάβου παιδὶ βασιλεύοντι τῶν Ἰσραηλιτῶν, πρὸς ὃν κοινωνήσας ἐπὶ κατασκευῇ νηῶν εἴς τε Πόντον πλεουσῶν καὶ τὰ ἐπὶ Θράκης ἐμπόρια, διήμαρτε τοῦ κτήματος· ὑπὸ γὰρ μεγέθους ἀπώλετο τὰ σκάφη, καὶ διὰ τοῦτο οὐκέτι περὶ ναῦς ἐφιλοτιμήσατο. Τὰ μὲν οὖν περὶ τὸν Ἱεροσολύμων βασιλέα Ἰωσάφατον οὕτως εἶχεν.

ΚΕΦ. Β'.

Ὁ δ' Ἀχάβου παῖς Ὀχοζίας ἐβασίλευε τῶν Ἰσραηλιτῶν ἐν Σαμαρείᾳ ποιούμενος τὴν δίαιταν, πονηρὸς ὢν καὶ πάντα ὅμοιος τοῖς γονεῦσιν ἀμφοτέροις καὶ Ἱεροβοάμῳ, τῷ πρώτῳ παρανομήσαντι καὶ τὸν λαὸν ἀπατᾶν ἀρξαμένῳ. Τὴν δὲ βασιλείαν ἔτος ἤδη δεύτερον

hostibus ire contenderet : inventurum enim eos per clivum ascendentes Hierosolyma inter et Engaddam, qui locus dicitur Culmen; et cum illis quidem non *oportere* prælio congredi, sed stare tantummodo et spectare quomodo cum illis pugnet Deus. Quum autem vates hæc dixisset, rex quidem et populus, summisso ad terram vultu, Deo gratias agebant et eum adorabant, deinceps vero Levitæ Dei laudes instrumentis canebant.

3. Rex autem, quum prima luce in solitudinem oppido Thecoæ subjectam processisset, ad populum dicebat, iis quæ loquutus sit vates credere oportere et in aciem quidem non prodire, sacerdotibus vero cum tubis primo agmine collocatis, pariterque Levitis una cum cantoribus, Deo gratias agere, quasi jam regionem nostram ab hostibus liberasset. Placuit omnibus hæc regis sententia, quæque ille subjecerat, ea exsequebantur. Deus autem terrorem Ammanitis incussit et consternationem. Illi enim, se sibi invicem hostes esse rati, se interficiebant, ut ne unus quidem ex numeroso adeo exercitu salvus evaserit. Josaphatus autem, converso in vallem aspectu, ubi hostes forte castra posuerant, quum totam cadaveribus stratam animadvertisset, lætatus est quidem tam inopinato Dei auxilio, quod illis sine ullo labore servatis victoriam ipse per se ipsum peperisset, permisitque militibus hostium castra diripere et mortuos spoliare. Et hi quidem, quum per tres dies spolia legissent, labore fatiscebant : tanta utique erat occisorum multitudo. Quarta vero die populus universus in locum quendam cavum et hinc inde hiantem congregatus potentiam Dei divinumque auxilium laudibus celebrarunt, unde locus iste Vallis gratiarum actionis vocatus est.

4. Quum autem rex illinc exercitum Hierosolyma reduxisset, dies aliquammultos epulis et sacrificiis impendit. Post hunc vero hostium ejus interitum, fama perlatum ad exteras gentes, istæ omnes metu illius perculsæ erant, ut qui compertum haberent Deum ei in posterum auxilium laturum esse. Et ex illo quidem tempore Josaphatus vitam agebat magna cum gloria, quam ex justitia tulit et pietate in Deum. Amicitiam autem colebat etiam cum Achabi filio Israelitarum rege : cum quo inita societate ut naves pararent, ad eundum in Pontum et Thraciæ emporia, illarum jacturam fecit. Nam præ magnitudine periere navigia : ac propterea navibus non amplius operam dedit. Et res quidem Josaphati regis Hierosolymorum ita se habebant.

CAP. II. (I.)

Achabi autem filius Ochozias regnabat in Israelitas, habitationis suæ sedem constituens in Samaria, vir improbus et utrique parenti per omnia similis, atque Hieroboamo, qui primus flagitiosa ausus populum coeperat in errorem ducere. Quum vero secundum in regno annum ageret,

ἔχοντος, ὁ τῶν Μωαβιτῶν ἀφίσταται βασιλεὺς αὐτοῦ, καὶ τοὺς φόρους, οὓς ἔμπροσθεν ἐτέλει τῷ πατρὶ αὐτοῦ Ἀχάβῳ, χορηγῶν ἐπαύσατο. Συνέβη δὲ τὸν Ὀχοζίαν καταβαίνοντα ἀπὸ τοῦ τέγους τῆς οἰκίας κατενεχθῆναι καὶ νοσήσαντα πέμψαι πρὸς τὴν Ἀκκαρὼν θεὸν Μυῖαν (τοῦτο γὰρ ἦν ὄνομα τῇ θεῷ) πυνθάνεσθαι περὶ τῆς σωτηρίας. Φανεὶς δ' ὁ τῶν Ἑβραίων Θεὸς Ἠλίᾳ τῷ προφήτῃ προσέταξεν αὐτῷ τοῖς πεμφθεῖσιν ἀγγέλοις ὑπαντήσαντα πυνθάνεσθαι αὐτῶν εἰ Θεὸν ὁ Ἰσραηλιτῶν λαὸς ἴδιον οὐκ ἔχει, ὅτι ἔπεμπε πρὸς τὸν ἀλλότριον ὁ βασιλεὺς αὐτῶν περὶ τῆς σωτηρίας ἐρησομένους, κελεῦσαί τε αὐτοὺς ὑποστρέψαι καὶ φράσαι τῷ βασιλεῖ ὅτι μὴ διαφεύξεται τὴν νόσον. Τοῦ δὲ Ἠλίᾳ ποιήσαντος ἃ προσέταξεν ὁ Θεός, ἀκούσαντες οἱ ἄγγελοι τὰ παρ' αὐτοῦ παραχρῆμα ὑπέστρεψαν πρὸς τὸν βασιλέα. Θαυμάζοντος δὲ τὸ τάχος τῆς ἐπανόδου καὶ τὴν αἰτίαν ἐπερωτήσαντος, ἔφασαν ἀπαντῆσαί τινα αὐτοῖς ἄνθρωπον καὶ κωλῦσαι μὲν προσωτέρω χωρεῖν, ἀναστρέψαντας δὲ σοὶ λέγειν ἐξ ἐντολῆς τοῦ Ἰσραηλιτῶν Θεοῦ ὅτι κάκιον ἕξει ἡ νόσος. Τοῦ δὲ βασιλέως σημαίνειν αὐτῷ τὸν ταῦτα εἰρηκότα κελεύσαντος, ἄνθρωπον ἔλεγον δασὺν καὶ ζώνην περιειλημένον δερματίνην. Συνεὶς δ' ἐκ τούτων Ἠλίαν εἶναι τὸν σημαινόμενον ὑπὸ τῶν ἀγγέλων, πέμψας ἐπ' αὐτὸν ταξίαρχον καὶ πεντήκοντα ὁπλίτας, ἀχθῆναι πρὸς αὐτὸν ἐκέλευσεν. Εὑρὼν δὲ τὸν Ἠλίαν ὁ πεμφθεὶς ταξίαρχος ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους καθεζόμενον, καταβάντα ἥκειν ἐκέλευε πρὸς τὸν βασιλέα· κελεύειν γὰρ τοῦτ' ἐκεῖνον· εἰ δὲ μὴ θελήσειεν, ἄκοντα βιάσεσθαι. Ὁ δ' εἰπὼν πρὸς αὐτὸν, ἐπὶ πείρᾳ τοῦ προφήτης ἀληθὴς ὑπάρχειν, εὔξεσθαι πῦρ ἀπ' οὐρανοῦ πεσὸν ἀπολέσαι τούς τε στρατιώτας καὶ αὐτὸν, εὔχεται, καὶ πρηστὴρ κατενεχθεὶς διαφθείρει τόν τε ταξίαρχον καὶ τοὺς σὺν αὐτῷ. Τῆς δ' ἀπωλείας τῆς τούτων δηλωθείσης τῷ βασιλεῖ, παροξυνθεὶς ἄλλον πέμπει ταξίαρχον ἐπὶ τὸν Ἠλίαν σὺν ὁπλίταις τοσούτοις, ὅσοις καὶ τὸν πρότερον συναπέστειλεν. Ἀπειλήσαντος δὲ καὶ τούτου τῷ προφήτῃ βίᾳ λαβὼν ἄξειν αὐτὸν, εἰ μὴ κατέλθοι βουλόμενος, εὐξαμένου κατ' αὐτοῦ, πῦρ διεχρήσατο καθὼς καὶ τὸν ἄλλον ταξίαρχον. Πυνθανόμενος δὲ καὶ τὰ περὶ τοῦτον ὁ βασιλεὺς τρίτον ἐξέπεμψεν. Ὁ δὲ φρόνιμος ὢν καὶ λίαν ἐπιεικὴς τὸ ἦθος ἐλθὼν ἐπὶ τὸν τόπον οὗ συνέβαινεν εἶναι τὸν Ἠλίαν, φιλοφρόνως προσεῖπεν αὐτὸν, γινώσκειν δὲ ἔλεγεν ὅτι μὴ βουλόμενος βασιλέως διακονῶν προστάγματι παρεῖη πρὸς αὐτὸν καὶ οἱ πρὸ αὐτοῦ πεμφθέντες οὐχ ἑκόντες, ἀλλὰ κατὰ τὴν αὐτὴν αἰτίαν ἦλθον. Ἐλεῆσαι τοιγαροῦν αὐτὸν ἠξίου τούς τε σὺν αὐτῷ παρόντας ὁπλίτας καὶ καταβάντα ἕπεσθαι πρὸς τὸν βασιλέα. Ἀποδεξάμενος δὲ τὴν δεξιότητα τῶν λόγων καὶ τὸ ἀστεῖον τοῦ ἤθους ὁ Ἠλίας καταβὰς ἠκολούθησεν αὐτῷ. Παραγενόμενος δὲ πρὸς τὸν βασιλέα προεφήτευσεν αὐτῷ καὶ τὸν Θεὸν ἐδήλου λέγειν· « ἐπειδὴ κατέγνως αὐτοῦ « μὲν ὡς οὐκ ὄντος Θεοῦ καὶ περὶ τῆς νόσου οὐ τἀληθὲς « προειπεῖν δυναμένου, πρὸς δὲ τὸ Ἀκκαρωνιτῶν ἔπεμ-

Moabitarum rex ab eo defecit, et tributa, quæ patri ejus solitus erat pendere, jam desiit suppeditare. Porro accidit ut Ochozias de solario domus suæ descendens delaberetur : quo factum est ut, quum male se haberet, ad Accaronis deam Muscam (hoc enim deæ illi nomen erat) de salute sciscitatum mitteret. Hebræorum vero Deus, quum Eliæ vati apparuisset, illi præcepit ut nuncios missos obviam factus ab iis quæreret nullus an esset Israelitis proprius Deus, quod rex illorum ad alienum miserit de salute consulturos, juberetque illos reverti, regique dicere non fore ut e morbo convalescat. Quum autem fecisset Elias quæ Deus ei mandaverat, nuncii, his ab eo acceptis, statim ad regem se receperunt. Illo vero demirante reditus celeritatem et causam interrogante, responderunt hominem quendam illis occurrisse, et vetuisse quidem ulterius progredi, reversos autem tibi dicere ex mandato Dei Israelitarum morbum fore graviorem. Quumque rex illis imperasset ut illum qui ista dixerat sibi indicarent, aiebant hominem esse hirsutum et cingulo pelliceo cinctum. Ubi vero ex his intellexerat Eliam esse, quem nuncii descriptum dederant, tribuno, quem ad eum misit cum quinquaginta militibus, præcepit ut illum ad se adduceret. Tribunus autem, qui missus fuerat, quum illum invenisset in montis vertice sedentem, jussit ut descenderet et ad regem veniret; hoc enim ipsum jubere : sin vero nollet, se invitum coacturum. At ille, quum ad eum dixisset se precaturum esse ut ignis de cœlo delapsus illum pariter ac milites perdat, quo verum esse vatem experiretur, preces adhibet, et turbo igneus delatus tribunum ejusque milites absumit. Quorum strage ad regem perlata, ira accensus alium tribunum ad Eliam mittit cum totidem militibus quot priori comites dederat. Quum autem et iste vati minatus esset se vi captum abducturum, nisi volens descendat, *vate* contra illum precato, ignis eum similiter ac alterum tribunum confecit. Ceterum, quum et illa quæ huic acciderant rex audivisset, tertium emisit. Is vero prudens et moribus valde mansuetis, postquam pervenit ad locum ubi tum forte erat Elias, blande illum compellavit, et non nescire dicebat, invitum se regis mandato obsequentem ad ipsum venire, eosque qui ante eum missi fuerint, non volente animo, sed eadem necessitate coactos venisse. Eum igitur obsecrabat ut sortis ipsius misereretur, et illorum qui cum ipso advenerint militum, factoque descensu cum ipsis iret ad regem. Tum Elias, captus apposita sermonis comitate morumque urbanitate, descendit, seque illi comitem adjunxit. Quum autem ad regem pervenisset, et vaticinatus est, et declarabat Deum dicere : « quoniam ipsum contempsisti, perinde ac si Deus « non esset nihilque veri de valetudine prædicere potuisset,

« πες, παρ' αὐτοῦ πυνθανόμενος ποταπὸν ἔσται σοὶ τὸ « τέλος τῆς νόσου, γίνωσκε ὅτι τεθνήξῃ.

β'. Καὶ ὁ μὲν ὀλίγου σφόδρα χρόνου διελθόντος, καθὼς προεῖπεν Ἠλίας, ἀπέθανε. Διαδέχεται δ' αὐτοῦ τὴν βασιλείαν ὁ ἀδελφὸς Ἰώραμος· ἄπαις γὰρ κατέστρεψε τὸν βίον. Ὁ δὲ Ἰώραμος οὗτος, τῷ πατρὶ τὴν πονηρίαν Ἀχάβῳ παραπλήσιος γενόμενος, ἐβασίλευσεν ἔτη δώδεκα, πάσῃ πονηρίᾳ χρησάμενος καὶ ἀσεβείᾳ πρὸς τὸν Θεόν· παρεὶς γὰρ τοῦτον θρησκεύειν τοὺς ξενικοὺς ἐσέβετο. Ἦν δὲ τἆλλα δραστήριος. Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν Ἠλίας ἐξ ἀνθρώπων ἠφανίσθη, καὶ οὐδεὶς ἔγνω μέχρι τῆς σήμερον αὐτοῦ τὴν τελευτήν. Μαθητὴν δ' Ἐλισσαῖον κατέλιπεν, ὡς καὶ πρότερον ἐδηλώσαμεν. Περὶ μέντοι γε Ἠλίᾳ καὶ Ἐνώχου τοῦ γενομένου πρὸ τῆς ἐπομβρίας ἐν ταῖς ἱεραῖς ἀναγέγραπται βίβλοις ὅτι γεγόνασιν ἀφανεῖς, θάνατον δ' αὐτῶν οὐδεὶς οἶδεν.

« sed ad Accaronensem *deam* misisti, illam percontans « quem finem habiturus esset morbus, scito te moriturum. »

2. Atque ille quidem brevi post tempore, juxta Eliæ vaticinium, mortem obiit. Ejus loco regnum obtinuit ipsius frater Joramus : nam sine liberis vita decesserat. Hic vero Joramus, nequitia patris Achabi similis factus, regnavit annos duodecim, omne genus nequitiæ addictus et impietati in Deum : nam cultu ejus relicto deos peregrinos colebat. Vir autem erat alioqui impiger et in rebus gerendis acer. Sub idem tempus Elias ex hominum conspectu sublatus est, nec in hodiernum usque diem quisquam novit qui fuerit ejus exitus. Discipulum autem reliquit Elissæum, sicut jam ante declaravimus. Verum de Elia et Enocho qui ante diluvium vixit, in sacris libris scriptum est quod evanuerint, et de morte illorum nemo quidquam pro comperto habet.

ΚΕΦ. Γ'.

Παραλαβὼν δὲ τὴν βασιλείαν Ἰώραμος ἐπὶ τὸν Μωαβιτῶν ἔγνω στρατεύειν βασιλέα, Μισᾶν ὄνομα. Τοῦ γὰρ ἀδελφοῦ αὐτοῦ, καθὼς προείπομεν, ἔτυχεν ἀποστὰς, φόρους τελῶν Ἀχάβῳ τῷ πατρὶ αὐτοῦ μυριάδας εἴκοσι πρυβάτων σὺν τοῖς πόκοις. Συναθροίσας οὖν τὴν οἰκείαν δύναμιν ἔπεμψε καὶ πρὸς Ἰωσάφατον παρακαλῶν αὐτὸν, ἐπεὶ φίλος ἀπ' ἀρχῆς ὑπῆρχεν αὐτοῦ τῷ πατρὶ, συμμαχῆσαι πόλεμον ἐπὶ τοὺς Μωαβίτας ἐκφέρειν μέλλοντι, ἀποστάντας αὐτοῦ τῆς βασιλείας. Ὁ δ' οὐ μόνον αὐτὸς βοηθήσειν ὑπέσχετο, ἀλλὰ καὶ τὸν Ἰδουμαίων βασιλέα συναναγκάζειν, ὄντα ὑφ' ἑαυτὸν, στρατεύεσθαι. Ἰώραμος δὲ τοιούτων αὐτῷ τῶν παρὰ Ἰωσαφάτου περὶ τῆς συμμαχίας κομισθέντων, ἀναλαβὼν τὴν αὐτοῦ στρατιὰν ἦκεν εἰς Ἱεροσόλυμα, καὶ ξενισθεὶς λαμπρῶς ὑπὸ τοῦ βασιλέως τῶν Ἱεροσολυμιτῶν, δόξαν αὐτοῖς διὰ τῆς ἐρήμου τῆς Ἰδουμαίας ποιήσασθαι τὴν δδοιπορίαν ἐπὶ τοὺς πολεμίους, (οὐ γὰρ προσδοκήσειν αὐτοὺς ταύτην ποιήσασθαι τὴν ἔφοδον,) ὥρμησαν οἱ τρεῖς βασιλεῖς ἐκ τῶν Ἱεροσολύμων, ὅ τε τούτων αὐτῶν καὶ ὁ τῆς Σαμαρείας καὶ ὁ τῆς Ἰδουμαίας. Καὶ κυκλώσαντες ἑπτὰ ἡμερῶν ὁδὸν εἰς ἀπορίαν ὕδατος τοῖς τε κτήνεσι καὶ τῇ στρατιᾷ περιέστησαν, πλανηθέντων τὰς ὁδοὺς αὐτοῖς τῶν ἡγουμένων, ὡς ἀγωνιᾶν μὲν ἅπαντας, μάλιστα δὲ τὸν Ἰώραμον, καὶ ὑπὸ λύπης ἐκβοῆσαι πρὸς τὸν Θεὸν, τί κακὸν αἰτιασάμενος ἀγάγοι τοὺς τρεῖς βασιλέας ἀμαχητὶ παραδώσων αὐτοὺς τῷ τῶν Μωαβιτῶν βασιλεῖ. Παρεθάρσυνε δ' αὐτὸν ὁ Ἰωσαφάτης δίκαιος ὢν, καὶ πέμψαντα εἰς τὸ στρατόπεδον ἐκέλευσε γνῶναι εἴ τις αὐτοῖς τοῦ Θεοῦ προφήτης συνελήλυθεν, ἵνα δι' αὐτοῦ μάθωμεν παρὰ τοῦ Θεοῦ, τί ποιητέον ἡμῖν ἐστιν. Οἰκέτου δέ τινος τῶν Ἰωράμου φήσαντος ἰδεῖν αὐτόθι τὸν Ἠλίᾳ μαθητὴν Ἐλισσαῖον Σαφάτου παῖδα, πρὸς αὐτὸν ἀπίασιν οἱ τρεῖς βασιλεῖς, Ἰωσαφάτου παραινέσαντος. Ἐλθόντες δ' ἐπὶ τὴν σκηνὴν τοῦ προφήτου, (ἔτυχε δ' ἔξω τῆς παρεμβολῆς κα-

CAP. III. (I.)

Quum autem regnum suscepisset Joramus, Moabitarum regi, cui nomen Misan, bellum inferre statuit. Ab ejus enim fratre, ut jam ante diximus, defecerat, quum patri ipsius Achabo in tributum pensitaret ovium intonsarum ducenta millia. Suis itaque copiis collectis, misit etiam ad Josaphatum, obsecrans ipsum ut, quum a principio amicus esset paternus, socia secum arma jungeret, bello Moabitas persequuturo, qui a regno suo defecerint. At ille non se solum venturum auxilio promisit, sed Idumæorum etiam regem, sibi obnoxium, in belli societatem pertracturum. Joramus autem, quum ad se delata essent hujusmodi de auxiliis promissa ab Josaphato facta, cum exercitu suo Hierosolyma veniebat : et ab Hierosolymorum rege splendide exceptus, quum illis visum esset per Idumææ solitudinem contra hostes proficisci, (haud enim exspectaturos esse ut per deserta iter facerent,) tres illi reges Hierosolymis egressi sunt, rex ipse Hierosolymorum, Samariæ rex, et rex Idumææ. Ac quum septem dierum iter circuivissent, ad aquarum inopiam redacta erant et jumenta et exercitus, quod a via aberrarint itineris duces, ita ut in angore et sollicitudine essent omnes, præcipue vero Joramus, qui præ mœrore ad Deum exclamavit, ecquid mali objecerit, ut tres reges a se ductos Moabitarum regi sine pugna dediturus sit. Illum vero Josaphatus, quod justus esset, confirmabat et excitabat, jussitque ut in castra mittendo perquireret, an quis Dei vates ipsos comitatus fuerit, ex quo Dei oraculum sciscitante intelligamus quid nobis facto opus sit. Quum autem unus e servis regis dixisset se vidisse illic Eliæ discipulum Elissæum Saphati filium, tres reges suasu Josaphati illum adeunt. Ubi ad illius tabernaculum venerunt, (nam extra castra tetenderat,) percon-

τεσκηνωκώς,) ἐπηρώτων τὸ μέλλον ἐπὶ τῆς στρατιᾶς, μάλιστα δ' ὁ Ἰώραμος. Τοῦ δὲ μὴ διενοχλεῖν αὐτῷ φράσαντος, ἀλλὰ πρὸς τοὺς τοῦ πατρὸς αὐτοῦ καὶ τῆς μητρὸς βαδίζειν προφήτας, (εἶναι γὰρ ἐκείνους ἀληθεῖς,) ἐδεῖτο προφητεύειν καὶ σώζειν αὐτούς. Ὁ δ' ὁμόσας τὸν Θεὸν οὐκ ἂν ἀποκριθῆναι αὐτῷ, εἰ μὴ δι' Ἰωσάφατον ὅσιον ὄντα καὶ δίκαιον, ἀχθέντος ἀνθρώπου τινὸς ψάλλειν εἰδότος, (ἐπεζήτησε γὰρ αὐτός,) πρὸς τὸν ψάλλοντα ἔνθεος γενόμενος προσέταξε τοῖς βασιλεῦσιν ἐν τῷ χειμάρρῳ πολλοὺς ὀρύξαι βόθρους· « οὔτε γὰρ « νέφους οὔτε πνεύματος γενομένου οὔτε ὑετοῦ καταρ- « ραγέντος ὄψεσθε πλήρη τὸν ποταμὸν ὕδατος, ὡς ἂν « καὶ τὸν στρατὸν καὶ τὰ ὑποζύγια διασωθῆναι ὑμῖν « ἀπὸ τοῦ ποτοῦ. Ἔσται δὲ ὑμῖν οὐ τοῦτο μόνον παρὰ « τοῦ Θεοῦ, ἀλλὰ καὶ κρατήσετε τῶν ἐχθρῶν καὶ καλ- « λίστας καὶ ὀχυρωτάτας πόλεις λήψεσθε τῶν Μωαβι- « τῶν, καὶ δένδρα μὲν αὐτῶν ἥμερα κόψετε, τὴν δὲ « χώραν ἐρήσετε, πηγὰς δὲ καὶ ποταμοὺς ἐμφράξετε. »

β'. Ταῦτα εἰπόντος τοῦ προφήτου, τῇ ἐπιούσῃ πρὶν ἥλιον ἀνασχεῖν, ὁ χειμάρρους πολὺς ἐρρύη, (σφοδρῶς γὰρ ἀπὸ τριῶν ἡμερῶν ὁδοῦ ἐν τῇ Ἰδουμαίᾳ τὸν Θεὸν ὗσαι συνέπεσεν,) ὥστε εὑρεῖν τὴν στρατιὰν καὶ τὰ ὑποζύγια ποτὸν ἄφθονον. Ὡς δ' ἤκουσαν οἱ Μωαβῖται τοὺς τρεῖς βασιλέας ἐπ' αὐτοὺς βαδίζοντας καὶ διὰ τῆς ἐρήμου ποιουμένους τὴν ἔφοδον, ὁ βασιλεὺς αὐτῶν εὐθὺς συλλέξας στρατιὰν ἐκέλευσεν ἐπὶ τῶν ὀρῶν βάλλεσθαι τὸ στρατόπεδον, ἵνα αὐτοὺς μὴ λάθωσιν εἰς τὴν χώραν ἐμβαλόντες οἱ πολέμιοι. Θεασάμενοι δὲ ὑπὸ τὴν ἀνατολὴν τοῦ ἡλίου τὸ ἐν τῷ χειμάρρῳ ὕδωρ (καὶ γὰρ οὐδὲ μακρὰν ἦν τῆς Μωαβίτιδος) αἵματι τὴν χροὰν ὅμοιον, (τότε γὰρ μάλιστα πρὸς τὴν αὐγὴν τὸ ὕδωρ ἐρυθραίνεται,) ψευδῆ δόξαν περὶ τῶν πολεμίων ἐλάμβανον, ὡς ἀπεκτονηκότων ἑαυτοὺς διὰ δίψος καὶ τοῦ ποταμοῦ αἷμα αὐτοῖς ῥέοντος. Τοῦτο τοίνυν οὕτως ἔχειν ὑπολαβόντες ἠξίωσαν αὐτοὺς ἐπὶ διαρπαγὴν τῶν πολεμίων ἐκπέμψαι τὸν βασιλέα. Καὶ πάντες ἐφορμήσαντες ὡς ἐπὶ ἑτοίμην ὠφέλειαν ἦλθον εἰς τὸ τῶν ἐχθρῶν στρατόπεδον ὡς ἀπολωλότων. Καὶ διαψεύδεται μὲν αὐτοὺς ἡ ἐλπὶς αὕτη, περιστάντων δὲ τῶν πολεμίων, οἱ μὲν αὐτῶν κατεκόπησαν, οἱ δὲ διεσπάρησαν εἰς τὴν ἰδίαν χώραν φεύγοντες. Ἐμβαλόντες δὲ εἰς τὴν τῶν Μωαβιτῶν οἱ βασιλεῖς τάς τε πόλεις κατεστρέψαντο τὰς ἐν αὐτῇ, καὶ τοὺς ἀγροὺς αὐτῶν διήρπασαν καὶ ἠφάνισαν πληροῦντες ἐκ τοῦ χειμάρρου λίθων καὶ τὰ κάλλιστα τῶν δένδρων ἐξέκοψαν καὶ τὰς πηγὰς ἐνέφραξαν τῶν ὑδάτων, καὶ τὰ τείχη καθεῖλον ἕως ἐδάφους. Ὁ δὲ βασιλεὺς τῶν Μωαβιτῶν συνδιωκόμενος τῇ πολιορκίᾳ, καὶ τὴν πόλιν ὁρῶν κινδυνεύουσαν ἁναιρεθῆναι κατὰ κράτος, ὥρμησε μεθ' ἑπτακοσίων ἐξελθὼν διὰ τοῦ τῶν πολεμίων ἐξιππάσασθαι στρατοπέδου, καθ' ὃ μέρος αὐτοῦ ἐνόμιζε τὰς φυλακὰς ἀνεῖσθαι. Καὶ πειραθεὶς οὐκ ἠδυνήθη φυγεῖν· ἐπιτυγχάνει γὰρ ἐπιμελῶς φρουρουμένῳ τῷ τόπῳ. Ὑποστρέψας δ' εἰς τὴν πόλιν ἔργον ἀπογνώσεως καὶ δεινῆς ἀνάγκης διεπράξατο. Τῶν

tabantur quid futurum esset de exercitu, maxime vero Joramus. At quum dixisset Elissæus, ne molestiam ipsi facesseret, sed patris sui matrisque vates adiret, (illos enim veros esse,) illum precibus urgebat, ut valicinaretur et ipsos servaret. At ille, Deum testatus se ei non fuisse responsurum, nisi propter Josaphatum virum sanctum et justum, adducto viro quodam psallere sciente, (vates enim *hunc* requisivit,) eo psallente Dei spiritu afflatus præcipit regibus ut in alveo torrentis frequentes fossas facerent : « nam « neque nube visa, neque vento orto, neque pluvia cum « impetu delapsa, cernetis fluvium aqua repletum, ita ut « et milites et jumenta aquatione vobis conserventur. « Neque vero hoc solum per Deum assequemini, sed et ejus « ope ex hostibus victoriam reportabitis, et pulcerrimas « munitissimasque Moabitarum urbes expugnabitis, et ar- « bores illorum sativas excidetis, et regionem devastabi- « tis, prætereaque fontes et fluvios obstruetis. »

2. Vate ista loquuto, postero die, priusquam sol oriretur, torrens copiose fluit, (acciderat enim ut inde trium dierum itinere in Idumæa vehementer plueret Deus,) adeo ut milites et jumenta invenerint largam potus copiam. Moabitæ autem ut audivere tres reges contra se adventare, et per solitudinem iter facere, rex illorum, collecto statim exercitu, jussit in montibus castra figi, ne ipsos laterent hostes in regionem irrumpentes. Quum autem sub ortum solis aquam in torrente conspexissent (etenim haud procul aberat a terra Moabitide) sanguini colore non absimilem, (nam tunc aqua radiis icta maxime rubescit, falsam de hostibus opinionem conceperunt, ac si ipsos se mutuo propter sitim peremissent, et fluvius eorum sanguine redundasset. Hoc igitur ita se habere suspicati a rege petierunt, ut ipsos ad hostium spolia legenda emitteret. Atque omnes, quasi ad prædam paratam profecti, ad hostium, tanquam mortuorum, castra perveniunt. Et ipsos quidem sua spes valde frustrata est : nam, hostibus in eos undique excitis, alii quidam eorum perempti sunt, alii vero fuga dispersi in regionem suam se receperunt. At reges Moabitarum terram ingressi et oppida subverterunt, et agros illorum diripuerunt, et deformarunt lapidibus e torrentibus eos replentes, et optimas quasque arbores exciderunt, et fontes aquarum obturarunt, et mœnia ad terram dejecerunt. Rex autem Moabitarum, quum etiam obsidione premeretur, urbemque eo discriminis adactam videret ut vi expugnaretur, tentavit, cum septingentis egressus, equo evehi per hostium castra, qua excubias paulo negligentiores esse putabat. Conatusque fuga evadere non potuit : nam in locum incidit accurate præsidiis munitum. In urbem autem reversus rem extremæ necessitatis et desperationis aggressus est.

υἱῶν τὸν πρεσβύτερον, ὃς μετ' αὐτὸν βασιλεύειν ἔμελλεν, ἀναγαγὼν ἐπὶ τὸ τεῖχος, ὥστε πᾶσι φανερὸν γενέσθαι τοῖς πολεμίοις, ἱερούργησεν εἰς ὁλοκαύτωσιν τῷ Θεῷ. Θεασάμενοι δ' αὐτὸν οἱ βασιλεῖς κατῴκτειραν τῆς ἀνάγκης καὶ παθόντες ἀνθρώπινόν τι καὶ ἔλεεινὸν διέλυσαν τὴν πολιορκίαν, καὶ ἕκαστος εἰς τὴν οἰκείαν ἀνέστρεψεν. Ἰωσάφατος δὲ παραγενόμενος εἰς Ἱεροσόλυμα καὶ μετ' εἰρήνης διαγαγὼν ὀλίγον ἐπιβιώσας χρόνον μετὰ τὴν ἐκστρατείαν ἐκείνην ἀπέθανε, ζήσας μὲν ἀριθμὸν ἐτῶν ἑξήκοντα, βασιλεύσας δ' ἐξ αὐτῶν πέντε καὶ εἴκοσι. Ταφῆς δ' ἔτυχε μεγαλοπρεποῦς ἐν Ἱεροσολύμοις· καὶ γὰρ ἦν μιμητὴς τῶν Δαυίδου ἔργων.

ΚΕΦ. Δ'.

Κατέλιπε δὲ καὶ παῖδας ἱκανοὺς, διάδοχον δ' ἀπέδειξε τὸν πρεσβύτερον Ἰώραμον· ταὐτὸ γὰρ εἶχεν ὄνομα τῷ τῆς μητρὸς μὲν ἀδελφῷ, βασιλεύοντι δὲ τῶν Ἰσραηλιτῶν, Ἀχάβου παιδί. Παραγενόμενος δ' ἐκ τῆς Μωαβίτιδος ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς εἰς Σαμάρειαν εἶχε σὺν αὑτῷ Ἐλισσαῖον τὸν προφήτην, οὗ τὰς πράξεις βούλομαι διελθεῖν, (λαμπραὶ γάρ εἰσι καὶ ἱστορίας ἄξιαι,) καθὼς ἐν ταῖς ἱεραῖς βίβλοις ἐπεγνώκαμεν.

β'. Προσελθοῦσαν γὰρ αὐτῷ φασι τὴν Ὠβεδίου τοῦ Ἀχάβου οἰκονόμου γυναῖκα εἰπεῖν ὡς οὐκ ἀγνοεῖ πῶς ὁ ἀνὴρ αὐτῆς τοὺς προφήτας περιέσωσεν, ὑπὸ τῆς Ἀχάβου γυναικὸς Ἰεζαβέλης ἀναιρουμένους. Ἑκατὸν γὰρ ἔλεγεν ἀπ' αὐτοῦ δανεισαμένου τραφῆναι κεχρυμμένους, καὶ μετὰ τὴν τοῦ ἀνδρὸς τελευτὴν ἄγεσθαι νῦν ὑπὸ τῶν δανειστῶν αὐτήν τε καὶ τέκνα πρὸς δουλείαν. Παρεκάλει τε διὰ ταύτην τὴν εὐεργεσίαν τὰνδρὸς ἐλεῆσαί τε καὶ παρασχεῖν τινα βοήθειαν. Πυνθανομένῳ δ' αὐτῷ τί ἔχοι ἐπὶ τῆς οἰκίας, ἄλλο μὲν οὐδὲν ἔφη, ἔλαιον δὲ βραχὺ λίαν ἐν κεραμίῳ. Ὁ δὲ προφήτης ἀπελθοῦσαν ἐκέλευσεν ἀγγεῖα χρήσασθαι πολλὰ παρὰ τῶν γειτόνων κενὰ, καὶ τὰς θύρας ἀποκλείσασαν τοῦ δωματίου μεταχεῖν εἰς ἅπαντα τοῦ ἐλαίου· τὸν γὰρ Θεὸν πληρώσειν ταῦτα. Τῆς δὲ γυναικὸς τὰ κελευσθέντα ποιησάσης καὶ τοῖς τέκνοις προσφέρειν ἕκαστον τῶν ἀγγείων προσταττούσης, ἐπεὶ πάντα ἐπληρώθη, καὶ οὐδὲν ἦν κενὸν, ἐλθοῦσα πρὸς τὸν προφήτην ταῦτα ἀπήγγειλεν. Ὁ δὲ συμβουλεύει τοὔλαιον ἀπελθοῦσαν ἀποδόσθαι καὶ τοῖς δανειταῖς ἀποδοῦναι τὰ ὀφειλόμενα· γενήσεσθαι δέ τι καὶ περισσότερον ἐκ τῆς τιμῆς τοῦ ἐλαίου, ᾧ πρὸς διατροφὴν τὴν τῶν τέκνων καταχρήσεται. Καὶ Ἐλισσαῖος μὲν οὕτως ἀπήλλαξε τῶν χρεῶν τὴν γυναῖκα καὶ τῆς ἀπὸ τῶν δανειστῶν ὕβρεως ἠλευθέρωσεν.

γ'. * * * * * Ἐλισσαῖος δὲ ταχέως πρὸς Ἰώραμον ἐξαπέστειλε, φυλάττεσθαι τὸν τόπον ἐκεῖνον αὐτῷ παραινῶν· εἶναι γὰρ ἐν αὐτῷ Σύρους τινὰς τοὺς ἐκεῖ λοχῶντας αὐτὸν ἀνελεῖν. Καὶ ὁ μὲν βασιλεὺς οὐκ ἐπὶ τὴν θήραν ἐξώρμησε τῷ προφήτῃ πειθόμενος, Ἄδαδος δὲ, τῆς ἐπιβουλῆς διαμαρτὸν, ὡς τῶν ἰδίων αὐτοῦ καταμηνυσάντων τὴν ἐνέδραν πρὸς Ἰώραμον, ὠργίζετό

Filiorum natu majorem, qui post eum erat regnaturus, in mœnia attollens, unde ab hostibus facile cerni posset, in solidum sacrificium Deo mactavit. Reges vero quum illum conspexissent, necessitatis miserti, et humanitate simul et pietate permoti, obsidionem solverunt et ad suam quisque domum discessere. Josaphatus autem Hierosolyma reversus, quum in pace agens non diu isti expeditioni superfuisset, diem obiit supremum, exacto quidem vitæ anno sexagesimo, regni vero vigesimo quinto. Sepultusque est Hierosolymis magnifice: namque operum Davidis imitator erat.

CAP. IV. (II.)

Reliquit autem filios aliquammultos, Joramum vero natu maximum successorem declaravit: idem enim illi nomen erat cum matris fratre, Israelitarum rege, Achabi filio. Quum vero Israelitarum rex e Moabitide Samariam rediret, secum habuit vatem Elissæum, cujus res gestas percensere volo, (nam magnæ sunt et memoratu dignæ,) prout e libris sacris in notitiam nostram pervenerunt.

2. Dicunt enim uxorem Obediæ, Achabi dispensatoris, ad eum adiisse, dixisseque ipsum non nescire ut maritus ipsius vates ab Jezabela uxore Achabi ad mortem quæsitos servarit. Centum enim aiebat eum abdidisse et pecunia mutuo accepta aluisse, nunc vero post fata viri ipsam cum liberis a creditoribus in servitutem abripi, orabatque ob hoc *mariti beneficium sui misereretur* et auxilii aliquid largiretur. Quærenti autem quid domi haberet, nihil omnino, respondit, nisi perexiguum olei in vasculo. Tum vates jussit ut discedat, atque vasa multa utenda accipiat a vicinis, eaque vacua, foribusque cubiculi occlusis aliquid olei in universa transfundat: Deum enim ista repleturum esse. Quum autem mulier jussis paruisset, præciperetque liberis ut vasa singula sibi admoverent, postquam omnia repleta erant et nullum superabat, vati hoc indicatum ivit. Ille vero consilium dat ut oleum venditum iret, atque creditoribus satisfaceret: aliquantulum vero ex olei pretio etiam superfuturum esse, quo ipsi ad liberos sustentandos uti liceret. Et Elissæus quidem ita mulieris æs alienum dissolvit eamque a creditorum vexatione liberavit.

3. * * * * * Porro Elissæus mature *quosdam* cum monitis ad Joramum misit, ut caveret locum illum: esse enim illic Syrorum nonnullos *in insidiis locatos ut ipsum interficerent*. Et rex quidem, vati obsequens, ad venationem non egressus est: Adadus autem, quum frustra essent dolosa consilia, quasi suorum aliqui insidias Joramo prodidissent,

τε καὶ μεταπεμψάμενος αὐτοὺς προδότας ἔλεγε τῶν ἀπορρήτων αὐτοῦ, καὶ θάνατον ἠπείλει, φανερᾶς τῆς ἐπιχειρήσεως, ἣν μόνοις ἐκείνοις ἐπίστευσε, τῷ πολεμίῳ γεγενημένης. Φήσαντος δέ τινος τῶν παρόντων μὴ ψευδοδοξεῖν αὐτὸν μηδ' ὑπονοεῖν ὡς πρὸς τὸν ἐχθρὸν αὐτοῦ κατειρηκότων τὴν ἔκπεμψιν τῶν ἀναιρησόντων αὐτὸν, ἀλλὰ γινώσκειν ὅτι Ἐλισσαῖός ἐστιν ὁ προφήτης ὁ πάντα μηνύων αὐτῷ καὶ φανερὰ ποιῶν τὰ ὑπ' αὐτοῦ βουλευόμενα, προσέταξε πέμψασι μαθεῖν ἐν τίνι πόλει τυγχάνει διατρίβων ὁ Ἐλισσαῖος. Οἱ δὲ πεμφθέντες ἦκον ἀγγέλλοντες αὐτὸν ἐν Δωθαΐμ ὑπάρχοντα. Ἤμπει τοιγαροῦν Ἄδαδος ἐπὶ τὴν πόλιν δύναμιν πολλὴν ἵππων καὶ ἁρμάτων, ὅπως τὸν Ἐλισσαῖον λάβωσιν. Οἱ δὲ νυκτὸς πᾶσαν ἐν κύκλῳ τὴν πόλιν περιλαβόντες εἶχον ἐν φρουρᾷ· ἅμα δ' ἕῳ τοῦτο μαθὼν ὁ τοῦ προφήτου διάκονος καὶ ὅτι ζητοῦσιν οἱ πολέμιοι λαβεῖν Ἐλισσαῖον, ἐδήλωσεν αὐτῷ μετὰ βοῆς καὶ ταραχῆς ὁραμὸν πρὸς αὐτόν. Ὁ δὲ τὸν θεράποντα μὴ δεδιέναι παρεθάρσυνε, καὶ τὸν Θεὸν, ᾧ συμμάχῳ χρώμενος ἀδεὴς ἦν, παρεκάλει τῷ διακόνῳ, πρὸς τὸ λαβεῖν αὐτὸν εὔελπι θάρσος, ἐμφανίσαι τὴν αὐτοῦ δύναμιν καὶ παρουσίαν, ὡς δυνατόν. Ὁ δὲ Θεὸς ἐπήκοος τῶν εὐχῶν τοῦ προφήτου γενόμενος πλῆθος ἁρμάτων καὶ ἵππων τῷ θεράποντι περὶ τὸν Ἐλισσαῖον κεκυκλωμένον θεάσασθαι παρίσχεν, ὡς αὐτὸν ἀφιέναι μὲν τὸ δέος, ἀναθαρρῆσαι δὲ πρὸς τὴν ὄψιν τῆς νομιζομένης συμμαχίας. Ἐλισσαῖος δὲ μετὰ ταῦτα καὶ τὰς τῶν πολεμίων ὄψεις ἀμαυρῶσαι τὸν Θεὸν παρεκάλει, ἀχλὺν αὐταῖς ἐπιβαλόντα ἀφ' ἧς ἀγνοήσειν αὐτὸν ἔμελλον. Γενομένου δὲ καὶ τούτου, παρελθὼν εἰς μέσους τοὺς ἐχθροὺς ἐπηρώτησε τίνα ἐπιζητοῦντες ἦλθον. Τῶν δὲ τὸν προφήτην Ἐλισσαῖον εἰπόντων, παραδώσειν ὑπέσχετο, εἰ πρὸς τὴν πόλιν, ἐν ᾗ τυγχάνει ὤν, ἀκολουθήσειαν αὐτῷ. Καὶ οἱ μὲν ἡγουμένῳ τῷ προφήτῃ, τὰς ὄψεις ὑπὸ τοῦ Θεοῦ καὶ τὴν διάνοιαν ἐπεσκοτισμένοι, σπουδάζοντες εἵποντο. Ἀγαγὼν δ' αὐτοὺς Ἐλισσαῖος εἰς Σαμάρειαν Ἰωράμῳ μὲν τῷ βασιλεῖ προσέταξε κλεῖσαι τὰς θύρας καὶ περιστῆσαι τοῖς Σύροις τὴν αὐτοῦ δύναμιν, τῷ Θεῷ δὲ ηὔξατο καθᾶραι τὰς ὄψεις τῶν πολεμίων καὶ τὴν ἀχλὺν αὐτῶν ἀνελεῖν. Οἱ δ' ἐκ τῆς ἀμαυρώσεως ἐκείνης ἀφεθέντες ἑώρων αὐτοὺς ἐν μέσοις τοῖς ἐχθροῖς ὑπάρχοντας. Ἐν ἐκπλήξει δὲ δεινῇ καὶ ἀμηχανίᾳ τῶν Σύρων, οἷον εἰκὸς, ἐφ' οὕτω θείῳ καὶ παραδόξῳ πράγματι κειμένων καὶ τοῦ βασιλέως Ἰωράμου πυθομένου τὸν προφήτην εἰ κελεύσειεν αὐτοὺς κατακοντισθῆναι, τοῦτο μὲν ἐκώλυσε ποιεῖν Ἐλισσαῖος· τοὺς γὰρ νόμῳ ληφθέντας πολέμου ἀποκτείνειν ἔλεγεν εἶναι δίκαιον, τούτους δὲ μηδὲν κακὸν ἐργάσασθαι τὴν ἐκείνου χώραν, θείᾳ δὲ δυνάμει πρὸς αὐτοὺς οὐκ εἰδότας ἐλθεῖν, συνεβούλευσέ τε ξενίων αὐτοῖς μεταδόντα καὶ τραπέζης, ἀπολύειν ἀβλαβεῖς. Ἰώραμος μὲν οὖν τῷ προφήτῃ πειθόμενος ἑστιάσας λαμπρῶς καὶ πάνυ φιλοτίμως τοὺς Σύρους ἀπέλυσε πρὸς Ἄδαδον τὸν αὐτῶν βασιλέα.

animo permotus est, et eos jussu suo accersitos accusabat quod arcana ipsius patefecissent, mortemque intentabat, ut qui hosti conata aperuissent quæ illis solummodo crediderat. At quum quidam illorum qui aderant ipsum monuisset ne falsa opinione teneretur, neque suos suspectos haberet, quasi ipsius inimico denunciassent missionem illorum quibus mandatum erat ut ipsum interficerent, sed scire deberet vatem esse Elissæum qui hostium regi omnia indicet, consiliaque ipsius ei recludat, jussit eos per nuncios explorare quanam in urbe moretur Elissæus. Illi vero, qui missi fuerant, nunciatum ad eum veniebant, illum esse in *urbe* Dothaim. Adadus igitur in eam urbem mittit multas equitum turmas cum curribus, ut Elissæum caperent. Atque illi urbem nocte undique cinctam in custodia habebant. Quum autem prima luce hoc intellexisset vatis minister, quodque id vellent hostes ut Elissæum caperent, vociferans metuque perculsus ad eum accurrit, et hoc ipsum ei nunciavit. Ille vero famulum bono esse animo hortabatur, et Deum, cujus auxilio utens nihil metuebat, orabat ut ministro, quo is fortior et meliori spe animatus esset, potentiam suam et præsentiam, quoad licet, patefaceret. Tum Deus, vatis precibus exauditis, fecit ut minister Elissæum multo equitatu circumdatum et curribus aspiceret, adeo ut metum posuerit animosque sumpserit ad conspectum tanti, ut putabat, auxilii. Deinde Deum precabatur Elissæus ut hostium oculos obscuraret, caliginem illis incutiendo, præ qua fore ut ipsum dignoscere non possent. Impetrato hoc quoque, in medios hostes egressus, interrogavit quem quæsitum venerint. Quumque illi dicerent Elissæum vatem, pollicebatur se hunc illis traditurum esse, si ad urbem in qua esset ipsum sequerentur. Atque illi quidem, et oculis et mente a Deo occæcati, sine cunctatione vatem ducem sequuntur. Quos ubi Samariam perduxerat Elissæus, regi quidem Joramo præcepit ut portas clauderet, Syrosque suis copiis circumdaret; Deum vero oravit ut eorum oculos aperiret, iis caliginem et auferret. Tum illi, excitate discussa, viderunt sese in mediis hostibus versari. Quum autem Syri, ut consentaneum erat, ex re adeo miranda et inopinata valde animis essent consternati et consilii inopes hærerent, vatemque rex percontaretur an juberet eos jaculis configi, id quidem ne fieret, obstitit Elissæus: jure enim belli captos occidere fas esse, illos vero nihil damni ipsius regioni intulisse, sed Dei ductu ignaros omnium eo pervenisse. Ideoque consilium dedit ut hospitio exceptos mensæque adhibitos, illæsos dimitteret. Et Joramus quidem vatis monitis obsequens Syros splendide et magnifice tractatos ad regem suum Adadum dimisit.

δ'. Τῶν δ' ἀφικομένων καὶ ὀηλωσάντων αὐτῷ τὰ συμβεβηκότα, θαυμάσας ὁ Ἄδαδος τὸ παράδοξον καὶ τὴν τοῦ Θεοῦ τῶν Ἰσραηλιτῶν ἐπιφάνειαν καὶ δύναμιν, καὶ τὸν προφήτην ᾧ τὸ θεῖον οὕτως ἐναργῶς παρῆν, κρύφα μὲν οὐκέτι διέγνω τῷ τῶν Ἰσραηλιτῶν ἐπιχειρεῖν βασιλεῖ, τὸν Ἐλισσαῖον δεδοικὼς, φανερῶς δὲ πολεμεῖν ἔκρινε, τῷ πλήθει τῆς στρατιᾶς καὶ τῇ δυνάμει νομίζων περιέσεσθαι τῶν πολεμίων. Καὶ στρατεύει μετὰ μεγάλης δυνάμεως ἐπὶ τὸν Ἰώραμον, ὃς οὐχ ἡγούμενος αὐτὸν ἀξιόμαχον εἶναι τοῖς Σύροις, ἐνέκλεισεν αὐτὸν εἰς τὴν Σαμάρειαν, θαρρῶν τῇ τῶν τειχῶν ὀχυρότητι. Ἄδαδος δὲ λογισάμενος αἱρήσειν τὴν πόλιν, εἰ καὶ μὴ τοῖς μηχανήμασι, λιμῷ μέντοι καὶ σπάνει τῶν ἐπιτηδείων παραστήσεσθαι τοὺς Σαμαρεῖς, προσβαλὼν ἐπολιόρκει τὴν πόλιν. Οὕτω δ' ἐπέλιπε τὸν Ἰώραμον ἡ τῶν ἀναγκαίων εὐπορία, ὡς διὰ τὴν ὑπερβολὴν τῆς ἐνδείας ἐν τῇ Σαμαρείᾳ πραθῆναι ὀγδοήκοντα μὲν ἀργυρῶν νομίσματος κεφαλὴν ὄνου, πέντε δ' ἀργυρῶν νομίσματος ξέστην κόπρου περιστερῶν ἀντὶ ἁλῶν ὠνεῖσθαι τοὺς Ἑβραίους. Ἦν δ' ἐν φόβῳ μὴ διὰ τὸν λιμὸν προδῷ τις τοῖς ἐχθροῖς τὴν πόλιν. Ὁ δὲ Ἰώραμος καθ' ἑκάστην ἡμέραν ἐκπεριήρχετο τὰ τείχη καὶ τοὺς φύλακας, μή τις ἔνδον εἴη παρ' αὐτῶν σκεπτόμενος, καὶ τῷ βλέπεσθαι καὶ φροντίζειν ἀφαιρούμενος καὶ τὸ βούλεσθαί τι τοιοῦτο καὶ τὸ ἔργον, εἰ ταύτην τις τὴν γνώμην ἤδη λαμβάνειν ἔφυσεν. Ἀνακραγούσης δέ τινος γυναικὸς, δέσποτα ἐλέησον, νομίσας αἰτεῖν τι μέλλειν αὐτὴν τῶν πρὸς τροφὴν, ὀργισθεὶς ἐπηράσατο αὐτῇ τὸν Θεὸν, καὶ μήτε ὅλως αὐτῷ μήτε ληνοὺς ὑπάρχειν ἔλεγεν, ὅθεν τι καὶ παράσχοιεν αὐτῇ δεομένῃ. Τῆς δ' οὐδενὸς μὲν χρήζειν εἰπούσης τούτων, οὐδ' ἐνοχλεῖν τροφῆς ἕνεκα, κριθῆναι δ' ἀξιούσης πρὸς ἄλλην γυναῖκα, κελεύσαντος λέγειν καὶ διδάσκειν περὶ ὧν ἐπιζητεῖ, συνθήκας ἔφη ποιήσασθαι μετὰ τῆς ἑτέρας γυναικὸς, γειτνιώσης καὶ φίλης αὐτῇ τυγχανούσης, ὅπως, ἐπεὶ τὰ τοῦ λιμοῦ καὶ τῆς ἐνδείας ἦν ἀμήχανα, διαχρησάμεναι τὰ τέκνα, (ἦν δ' ἄρρεν ἑκατέρᾳ παιδίον,) ἀνὰ μίαν ἡμέραν θρέψωμεν ἀλλήλας. Κἀγὼ μέν, φησὶ, πρώτη τοὐμὸν κατέσφαξα, καὶ τὴν παρελθοῦσαν ἡμέραν τοὐμὸν ἐτράφημεν ἀμφότεραι· ἡ δ' οὐ βούλεται ταὐτὸ ποιεῖν, ἀλλὰ παραβαίνει τὴν συνθήκην καὶ τὸν υἱὸν ἀφανῆ πεποίηκε. Τοῦτ' ἐλύπησε σφοδρῶς Ἰώραμον ἀκούσαντα, καὶ περιρρηξάμενος τὴν ἐσθῆτα καὶ δεινὸν ἐκβοήσας, ἐπειτα ὀργῆς ἐπὶ τὸν προφήτην Ἐλισσαῖον πληρωθεὶς, ἀνελεῖν αὐτὸν ὥρμησεν, ὅτι μὴ δεῖται τοῦ Θεοῦ πόρον αὐτοῖς καὶ διαφυγὴν τῶν περιεχόντων κακῶν δοῦναι· τόν τε ἀποτεμοῦντα αὐτοῦ τὴν κεφαλὴν εὐθὺς ἐξέπεμψε. Καὶ ὁ μὲν ἐπὶ τὴν ἀναίρεσιν ἠπείγετο τοῦ προφήτου, τὸν δὲ Ἐλισσαῖον οὐκ ἔλαθεν ἡ τοῦ βασιλέως ὀργή· καθεζόμενος δ' οἴκαδε παρ' ἑαυτῷ σὺν τοῖς μαθηταῖς ἐμήνυσεν αὐτοῖς ὅτι Ἰώραμος ὁ τοῦ φονέως υἱὸς πέμψειε τὸν ἀφαιρήσοντα αὐτοῦ τὴν κεφαλήν· « ἀλλ' ὑμεῖς, φησὶν, ὅταν ὁ τοῦτο προσταχθεὶς ἀφίκηται, παραφυ-

4. Quum autem isti reversi quæ sibi acciderant ei nunciassent, Adadus rei prodigium demiratus, Deique Israelitarum potentiam pariter ac præsentiam, insuper et vatem cui manifesto adeo numen aderat, clam quidem præ metu Elissæi nihil contra Israelitarum regem moliri statuit, palam vero bellum ei inferre in animum induxit, copiarum numero et viribus se hostibus superiorem esse existimans. Coactoque magno exercitu contra Joramum proficiscitur. Qui secum reputans se non adeo viribus pollere ut cum Syro acie dimicaret, sese in Samariam inclusit, valida urbis munitione fretus. Adadus vero ratus si non machinis se urbem capturum, fame tamen rerumque necessariarum inopia in potestatem suam redacturum esse Samarenses, copiis admotis urbem obsidet. Tanta autem ciborum penuria premebatur Joramus, ut propter caritatem immodicam intra Samariam caput asini octoginta quidem nummis argenteis venierit, quinque vero nummis argenteis sextarium stercoris columbini emerint Hebræi pro sale. Quo factum est ut rex vereretur ne quis fame adactus urbem hostibus proderet, et quotidie mœnia ipse obiret et excubias, dispiciens an quis intus ab iis occuleretur, et, quod conspiceretur et curam adhiberet, aliis obstitit, quominus perfide aliquid cogitarent, aut cogitata perficerent, si quis hujusmodi quid perpetrare prius instituisset. Quod dum faceret, muliere quadam exclamante, miserere domine, ratus ipsam aliquid sibimet, quo vesceretur, petituram, ira commotus, eam Dei nomine diris devovit, aiebatque sibi neque areas esse neque torcularia, unde ipsi egenti aliquid largiri posset. Quumque illa horum quidem nihil se desiderare diceret, neque ob cibum molestam esse, sed ut litem, quam cum alia muliere haberet, dijudicare non gravaretur, ubi ille eam loqui jusserat ipsumque de iis quæ requirat certiorem facere, sibi cum alia muliere vicina et amica convenisse dicebat ut, quum famis et inediæ mala non amplius ferre potuerint, mactatis liberis (nam utrique infans erat masculus) alternis diebus altera alteram aleret. Atque ego quidem, ait, prima meum jugulavi, hesternaque die meo ambæ vescebamur : illa vero non vult idem facere, sed a pactis recedit filiumque suum abscondidit. Hæc res audita vehementi dolore affecit Joramum, quumque vestem conscidisset et graviter exclamasset, postea in vatem Elissæum ira accensus est, magnopere volens eum occidere, quod non oraret Deum ut daret remedium et fugam malorum quibus tenebantur : atque statim misit qui caput ei præcideret. Et ille quidem ad vatis cædem properabat, Elissæum vero haud latuit regis ira, sed domi sedens una cum discipulis eis indicavit, Joramum homicidæ filium misisse qui sibi caput auferret : « vos vero, inquit, quum venerit is cui hoc mandatum est, observate

λάξεσθε εἰσιέναι μέλλοντα προσαποθλῖψαι τῇ θύρᾳ καὶ κατασχεῖν· ἀκολουθήσει γὰρ αὐτῷ πρὸς ἐμὲ παραγινόμενος ὁ βασιλεὺς μεταβεβουλευμένος. » Καὶ οἱ μὲν τὸ κελευσθὲν, ὡς ἦκεν ὁ πεμφθεὶς ὑπὸ τοῦ βασιλέως ἐπὶ τὴν ἀναίρεσιν τοῦ Ἐλισσαίου, ἐποίησαν. Ἰώραμος δὲ καταγνοὺς τῆς ἐπὶ τὸν προφήτην ὀργῆς καὶ δείσας μὴ φθάσῃ κτείνας αὐτὸν ὁ τοῦτο προσταχθεὶς, ἔσπευσε κωλῦσαι γενέσθαι τὸν φόνον καὶ διασῶσαι τὸν προφήτην. Ἀφικόμενος δὲ πρὸς αὐτὸν ᾐτιᾶτο ὅτι μὴ παρὰ τοῦ Θεοῦ λύσιν αὐτοῖς τῶν παρόντων κακῶν αἰτεῖται, ἀλλ' οὕτως ὑπ' αὐτῶν φθειρομένους ὑπερορᾷ. Ἐλισσαῖος δὲ εἰς τὴν ἐπιοῦσαν ἐπηγγέλλετο, κατ' ἐκείνην τὴν ὥραν, καθ' ἣν ὁ βασιλεὺς ἀφίκετο πρὸς αὐτὸν, ἔσεσθαι πολλὴν εὐπορίαν τροφῆς, καὶ πραθήσεσθαι μὲν ἐν τῇ ἀγορᾷ σίκλου δύο κριθῆς σάτα, ὠνήσεσθαι δὲ σεμιδάλεως σάτον σίκλου. Ταῦτα τόν τ' Ἰώραμον καὶ τοὺς παρόντας εἰς χαρὰν περιέτρεψε· πιστεύειν γὰρ τῷ προφήτῃ διὰ τὴν ἐπὶ τοῖς προπεπειραμένοις ἀλήθειαν οὐκ ὤκνουν, ἀλλὰ καὶ τὸ ἐπ' ἐκείνης ἐνδεὲς τῆς ἡμέρας καὶ ταλαίπωρον ἡ προσδοκωμένη κοῦφον αὐτοῖς ἐποίει. Ὁ δὲ τῆς τρίτης μοίρας ἡγεμὼν, τῷ βασιλεῖ φίλος ὢν καὶ τότε φέρων αὐτὸν ἐπερηρεισμένον, « ἄπιστα, εἶπε, λέγεις, ὦ προφῆτα· καὶ ὥσπερ ἀδύνατον « ἐκχέαι τὸν Θεὸν ἐξ οὐρανοῦ καταράκτας κριθῆς ἢ « σεμιδάλεως, οὕτως ἀμήχανον καὶ τὰ ὑπὸ σοῦ νῦν « εἰρημένα γενέσθαι. » Καὶ ὁ προφήτης πρὸς αὐτὸν, « ταῦτα μὲν, εἶπεν, ὄψει τοῦτο λαμβάνοντα τὸ τέλος, « οὐ μεταλήψει δ' οὐδενὸς τῶν ὑπαρξάντων. »

ε'. Ἐξέβη τοίνυν τοῦτον τὸν τρόπον τὰ ὑπὸ Ἐλισσαίου προειρημένα. Νόμος ἦν ἐν τῇ Σαμαρείᾳ τοὺς λέπραν ἔχοντας καὶ μὴ καθαροὺς ἀπὸ τῶν τοιούτων τὰ σώματα μένειν ἔξω τῆς πόλεως. Ἄνδρες οὖν τὸν ἀριθμὸν τέσσαρες διὰ ταύτην τὴν αἰτίαν πρὸ τῶν πυλῶν μένοντες, μηκέτι μηδενὸς αὐτοῖς διὰ τὴν ὑπερβολὴν τοῦ λιμοῦ τροφὴν ἐκφέροντος, εἰσελθεῖν μὲν εἰς τὴν πόλιν κεκωλυμένοι διὰ τὸν νόμον, κἂν ἐπιτραπῇ δὲ αὐτοῖς, διαφθαρήσεσθαι κακῶς ὑπὸ τοῦ λιμοῦ λογισάμενοι, τοῦτο δὲ πείσεσθαι, κἂν αὐτόθι μένωσιν, ἀπορίᾳ τροφῆς, παραδοῦναι τοῖς πολεμίοις αὑτοὺς ἔκριναν, ὡς εἰ μὲν φείσαιντο αὐτῶν, ζησόμενοι, εἰ δ' ἀναιρεθεῖεν, εὐθανατήσοντες. Ταύτην κυρώσαντες τὴν βουλὴν νυκτὸς ἦκον εἰς τὸ στρατόπεδον τὸ τῶν πολεμίων. Ἤρχετο δ' ἤδη τοὺς Σύρους ἐκφοβεῖν καὶ ταράττειν ὁ Θεὸς καὶ κτύπον ἁρμάτων καὶ ὅπλων, ὡς ἐπερχομένης στρατιᾶς, ταῖς ἀκοαῖς αὐτῶν ἐνηχεῖν καὶ ταύτην ἐγγυτέρω προσφέρειν αὐτοῖς τὴν ὑπόνοιαν. Ἀμελεῖ τοῦτον τὸν τρόπον ὑπ' αὐτῆς διετέθησαν, ὥστε τὰς σκηνὰς ἐκλιπόντες συνέδραμον πρὸς τὸν Ἄδαδον, λέγοντες ὡς Ἰώραμος ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς μισθωσάμενος συμμάχους τόν τε τῶν Αἰγυπτίων βασιλέα καὶ τὸν τῶν νήσων ἐπ' αὐτοὺς ἄγει· προσιόντων γὰρ αὐτῶν ἐπακούειν τοῦ κτύπου. Ταῦτα λέγουσιν ὁ Ἄδαδος (καὶ γὰρ καὶ αὐτὸς περιψοφεῖτο ἤδη τὰς ἀκοὰς ὁμοίως τῷ πλήθει) προσέσχε, καὶ μετὰ πολλῆς

ut ingressurum foribus affligatis, atque retineatis : etenim sequetur eum ad me veniens rex, mutato consilio. » Atque illi quidem, ubi venit qui a rege ad perimendum Elissæum missus erat, jussa fecerunt. Joramus autem suæ contra vatem iracundiæ pœnitens veritusque ne eum jam occidisset qui ad hoc missus erat, properavit cædem fieri prohibere vatemque conservare. Atque ubi ad eum venit, conqueri de eo cœpit, qui eis præsentium malorum remedium a Deo non postularet, sed eos ita malis illis confectos negligeret. Elissæus autem in crastinum diem promittebat, eadem hora qua tum rex ad se venerit, futuram magnam alimenti copiam et abundantiam, foreque ut in foro bina quidem hordei sata siclo vendantur, similæ vero satum siclo ematur. Ista Joramum et qui cum eo erant ad gaudia converterunt. Non enim dubitabant fidem vati habere, quandoquidem vaticiniorum ejus veritatem jam ante experti fuerant. Immo etiam illius diei inediam et miseriam eis levavit futuri exspectatio. Tertiæ autem *copiarum* partis præfectus, amicus regis, qui tum forte eum sibi innixum ferebat, « incredibilia, inquit, loqueris, o va- « tes : et sicuti istud haud fieri potest ut Deus e cœlo effun- « deret hordei et similæ cataractas, ita fieri nequeunt quæ « a te jam dicta sunt. » Cui vates dicebat, « tuis quidem « oculis ista videbis ad hunc plane modum evenire, quum « vero exstiterint, eorum nullatenus particeps eris. »

5. Hæc itaque ab Elissæo prædicta ad exitum perducta sunt hoc modo. Lege cautum erat apud Samariam ut qui lepra scateant et corpora non habeant morbi istiusmodi pura, extra civitatem manerent. Quattuor itaque viri ob hanc causam ante portam manentes, nemine ad eos propter summam famis diritatem cibi aliquid afferente, lege quidem in urbem intrare prohibiti, ratique, etsi liceret, fore ut fame male perirent, hoc ipsum vero victus inopia passuros esse etiamsi loco suo manerent, statuerunt sese hostibus committere, ut si quidem illis pepercerint victuri, sin vero occiderint honeste morituri. Quum hanc sententiam ratam fecissent, nocte se conferebant ad castra hostium. Jam autem Deus incipiebat Syros exterrere et perturbare, auresque illorum, quasi in eo esset exercitus ut adventaret, sono equorum et armorum complere, facereque ut magis hæc illos incesseret suspicio. Adeo scilicet ex ea animo erant affecti, ut relictis castris ad Adadum concurrerint, dicentes, Joramum Israelitarum regem, sibi in auxilium mercede conductis et Ægyptiorum rege et rege Insularum, ipsos adortum venire; sonitum enim illorum appropinquantium se exaudire. Hæc nunciantibus Adadus (nam et ejus similiter ac militum aures circumsonabant) fidem habuit. Atque

ἀταξίας καὶ θορύβου, καταλιπόντες ἐν τῇ παρεμβολῇ τοὺς ἵππους καὶ τὰ ὑποζύγια καὶ πλοῦτον ἄφθονον, εἰς φυγὴν ἐχώρησαν. Οἱ δὲ λεπροὶ οἱ ἐκ τῆς Σαμαρείας ἀναχωρήσαντες εἰς τὸ τῶν Σύρων στρατόπεδον, ὧν μικρὸν ἔμπροσθεν ἐπεμνήσθημεν, ὡς γενόμενοι πρὸς τῇ παρεμβολῇ πολλὴν ἡσυχίαν καὶ ἀφωνίαν ἔβλεπον οὖσαν, καὶ παρελθόντες εἴσω καὶ ὁρμήσαντες εἰς μίαν σκηνήν, οὐδένα εὑρὼν ἐν μέσῳ, φαγόντες καὶ πιόντες ἐβάστασαν ἐσθῆτα καὶ πολὺν χρυσὸν κομίσαντες ἔξω τῆς παρεμβολῆς ἔκρυψαν· ἔπειτ' εἰς ἑτέραν σκηνὴν παρελθόντες ὁμοίως τὰ ἐν αὐτῇ πάλιν ἐξεκόμισαν. Καὶ τοῦτο ἐποίησαν τετράκις, μηδενὸς αὐτοῖς ὅλως ἐντυγχάνοντος· ὅθεν εἰκάσαντες ἀνακεχωρηκέναι τοὺς πολεμίους κατεγίνωσκον ἑαυτῶν μὴ ταῦτα δηλούντων τῷ Ἰωράμῳ καὶ τοῖς πολίταις. Καὶ οἱ μὲν ἐλθόντες πρὸς τὸ τῆς Σαμαρείας τεῖχος καὶ ἀναβοήσαντες πρὸς τοὺς φύλακας ἐμήνυον αὐτοῖς τὰ περὶ τοὺς πολεμίους, ἐκεῖνοι δὲ ταῦτα ἀπήγγειλαν τοῖς τοῦ βασιλέως φύλαξι· παρ' ὧν μαθὼν Ἰώραμος, μεταπέμπεται τοὺς φίλους καὶ τοὺς ἡγεμόνας· πρὸς οὓς ἐλθόντας ἐνέδραν καὶ τέχνην ὑπονοεῖν ἔλεγε τὴν ἀναχώρησιν τοῦ τῶν Σύρων βασιλέως, ἀπογνόντος ὑμᾶς τῷ λιμῷ διαφθαρήσεσθαι, ἵν' ὡς πεφευγότων ἐπὶ διαρπαγὴν ἐξελθόντων τῆς παρεμβολῆς αἰφνιδίως ἐπιπέσῃ καὶ κτείνῃ μὲν αὐτούς, ἁμαχητὶ δ' ἕλῃ τὴν πόλιν. Ὅθεν ὑμῖν παραινῶ διὰ φυλακῆς ἔχειν αὐτὴν, καὶ μηδαμῶς προϊέναι καταφρονήσαντας τῷ τοὺς πολεμίους ἀνακεχωρηκέναι. Φήσαντος δέ τινος ὡς ἄριστα μὲν καὶ συνετώτατα ὑπονοήσειε, πέμψαι γε μὴν συμβουλεύσαντος δύο τῶν ἱππέων τοὺς τὴν ἄχρι Ἰορδάνου πᾶσαν ἐξερευνήσοντας, ἵν', εἰ ληφθέντες ὑπὸ λοχώντων τῶν πολεμίων διαφθαρεῖεν, φυλακὴ τῇ στρατιᾷ γένωνται τοῦ μηδὲν ὅμοιον παθεῖν αὐτὴν ἀνυπόπτως προελθοῦσαν· προσαριθμήσεις δὲ, φησί, τοῖς ὑπὸ τοῦ λιμοῦ τεθνηκόσι τοὺς ἱππεῖς, κἂν ὑπὸ τῶν ἐχθρῶν ληφθέντες ἀπόλωνται· ἀρεσθεὶς δὲ τῇ γνώμῃ τοὺς κατοψομένους ἐξέπεμψεν. Οἱ δὲ κενὴν μὲν τὴν ὁδὸν πολεμίων ἦνυσαν, μεστὴν δὲ σιτίων καὶ ὅπλων ηὗρον, ἃ διὰ τὸ κοῦφοι πρὸς τὸ φεύγειν εἶναι ῥιπτοῦντες κατέλιπον. Ταῦτ' ἀκούσας ὁ βασιλεὺς ἐπὶ διαρπαγὴν τῶν ἐν τῷ στρατοπέδῳ τὸ πλῆθος ἐξαφῆκεν. Εὐτελὲς δ' οὐδὲν οὐδ' ὀλίγον ὠφελοῦντο, ἀλλὰ πολὺν μὲν χρυσὸν, πολὺν δ' ἄργυρον, ἀγέλας δὲ παντοδαπῶν κτηνῶν ἐλάμβανον· ἔτι γε μὴν σίτου μυριάσι καὶ κριθῆς, αἷς οὐδ' ὄναρ ἤλπισαν, ἐπιτυχόντες, τῶν μὲν προτέρων κακῶν ἀπηλλάγησαν, ἀφθονίαν δ' εἶχον, ὡς ὠνεῖσθαι δύο μὲν σάτα κριθῆς σίκλου, σεμιδάλεως δὲ σάτον σίκλου, κατὰ τὴν Ἐλισσαίου προφητείαν. Ἰσχύει δὲ τὸ σάτον μόδιον καὶ ἥμισυ Ἰταλικόν. Μόνος δὲ τούτων οὐκ ὤνατο τῶν ἀγαθῶν ὁ τῆς τρίτης μοίρας ἡγεμών· κατασταθεὶς γὰρ ὑπὸ τοῦ βασιλέως ἐπὶ τῆς πύλης, ἵνα τὸ πλῆθος ἐπέχῃ τῆς πολλῆς ὁρμῆς καὶ μὴ κινδυνεύσωσιν ὑπ' ἀλλήλων ὠθούμενοι συμπατηθέντες ἀπολέσθαι, τοῦτ' αὐτὸς ἔπαθε καὶ τοῦτον ἀποθνήσκει τὸν τρόπον, τὴν τελευτὴν αὐτῷ προφητεύσαντος

confusi admodum et perturbati, in castris relictis equis et *jumentis vique divitiarum ingenti, in fugam se conjecerunt.* Leprosi autem isti, quorum paulo ante meminimus, quum ex Samaria ad Syrorum exercitum recessissent et ad castra pervenissent, multum silentii et taciturnitatis illic animadvertebant. Atque in ea ingressi, profectique in unum e tabernaculis, quum in propatulo neminem viderent, cibo potuque refecti vestes sustulerunt, multumque auri elatum extra castra abdiderunt. Deinde in aliud tabernaculum ingressi, itidem quæ in eo *reperta* illinc etiam extulerunt. Atque hoc ipsum tertio quartoque fecerunt, ne uno quidem oculis occurrente. Unde conjectura facta hostes abscessisse, se ipsos incusare cœperunt, quod hæc Joramo et civibus non nunciatum irent. Ita quidem illi, quum ad Samariæ mœnia accessissent et ad custodes clamassent, his indicabant quid de hostibus factum sit; illi autem *excubitoribus regiis ista nunciarunt.* A *quibus quum ea* accepisset Joramus, amicos ducesque accersit. Ad quos, ubi venerant, dicebat sibi insidiarum doliqne suspicionem dare Syrorum regis discessum, « desperantis fore ut vos fame intereatis, quo, si ad castra illorum quasi fuga deserta diripienda prodieritis, impetu repente facto vos quidem ipsos perimat, urbem vero sine pugna capiat. Quare vos moneo ut urbem custodiatis, et nusquam ex ea exeatis, animis elati ex hostium recessu. » Quum autem quidam dixisset, optime quidem eum et prudentissime suspicari, suasissetque mittendos esse duos ex equitibus, *qui regionem omnem usque ad Jordanem* explorarent, ut si ab hostibus insidiantibus capti perirent, inde caveat exercitus, ne temere egressus simile quid patiatur; « quin et istos, inquit, equites, si forte capti ab hostibus intereant, annumerabis iis quos fames absumpsit : » hac sententia probata, misit qui omnia dispicerent. Illi autem per viam hostibus quidem vacuam iter confecerunt, plenam vero cibariorum et armorum inveniebant, quæ illi abjecta reliquerant, ut expediti essent ad fugam. His auditis rex multitudinem ad ea quæ in castris erant diripienda emisit. Non autem hoc vulgari aut exiguo illis emolumento erat, sed aurum multum pariter et argentum, ut et jumentorum omne genus greges capiebant : ac præterea frumenti atque hordei vim infinitam nacti, quantam nec in somniis sperare poterant, non solum malis prioribus liberati erant, sed et tanta affluebant copia, ut duo quidem hordei sata emerentur siclo, similæ vero satum unum siclo, juxta Elissæi vaticinium. Satum autem continet modium unum Italicum et dimidium. Illi autem soli bona ista non proderant, qui tertiæ *copiarum* partis præfectus erat : constitutus enim ad portam a rege, ut cohiberet proruentis multitudinis impetum, ne dum alter alterum truderent conculcati percundi discrimen adirent, id ipsum ille passus

Ἐλισσαίου, ὅτε τοῖς ὑπ' αὐτοῦ περὶ τῆς ἐσομένης εὐπορίας τῶν ἐπιτηδείων λεγομένοις μόνος ἐξ ἁπάντων οὐκ ἐπίστευσεν.

ς'. Ὁ δὲ τῶν Σύρων βασιλεὺς Ἄδαδος διασωθεὶς εἰς Δαμασκὸν καὶ μαθὼν ὅτι τὸ θεῖον αὐτόν τε καὶ τὴν στρατιὰν αὐτοῦ πᾶσαν εἰς τὸ δέος καὶ τὴν ταραχὴν ἐκείνην ἐνέβαλεν, ἀλλ' οὐκ ἐξ ἐφόδου πολεμίων ἐγένετο, σφόδρα τῷ δυσμενῆ τὸν Θεὸν ἔχειν ἀθυμήσας εἰς νόσον κατέπεσεν. Ἐκδημήσαντος δὲ κατ' ἐκεῖνον τὸν καιρὸν εἰς Δαμασκὸν Ἐλισσαίου τοῦ προφήτου, γνοὺς ὁ Ἄδαδος τὸν πιστότατον τῶν οἰκετῶν Ἀζάηλον ἔπεμψεν ὑπαντησόμενον αὐτῷ καὶ δῶρα κομίζοντα, κελεύσας ἐρέσθαι περὶ τῆς νόσου καὶ εἰ διαφεύξεται τὸν ἐξ αὐτῆς κίνδυνον. Ἀζάηλος δὲ μετὰ καμήλων τεσσαράκοντα τὸν ἀριθμὸν, αἳ τὰ κάλλιστα καὶ τὰ τιμιώτατα τῶν ἐν Δαμασκῷ γινομένων καὶ ὄντων ἐν τῷ βασιλείῳ ἔφερον δῶρα, συμβαλὼν τῷ Ἐλισσαίῳ καὶ προσαγορεύσας αὐτὸν φιλοφρόνως, ἔλεγεν ὑπὸ Ἄδάδου τοῦ βασιλέως πεμφθῆναι πρὸς αὐτὸν δῶρά τε κομίσαι καὶ πυθέσθαι περὶ τῆς νόσου εἰ ῥᾴων ἀπ' αὐτῆς ἔσοιτο. Ὁ δὲ προφήτης τὸν μὲν Ἀζάηλον ἐκέλευσε μηδὲν ἀπαγγέλλειν τῷ βασιλεῖ κακὸν, ἔλεγε δ' ὅτι τεθνήξεται. Καὶ ὁ μὲν οἰκέτης τοῦ βασιλέως ἐλυπεῖτο ταῦτα ἀκούσας, ὁ δὲ Ἐλισσαῖος ἔκλαιε καὶ πολλοῖς ἐρρεῖτο δακρύοις, προορώμενος ἃ πάσχειν ὁ λαὸς ἔμελλε κακὰ μετὰ τὴν Ἄδάδου τελευτήν. Ἀνακρίναντος δ' αὐτὸν Ἀζαήλου τὴν αἰτίαν τῆς συγχύσεως, « κλαίω, φησὶ, τὸ πλῆθος τῶν Ἰσραηλιτῶν ἐλεῶν ὧν ἐκ σοῦ πείσεται δεινῶν. Ἀποκτενεῖς γὰρ αὐτῶν τοὺς ἀρίστους καὶ τὰς ὀχυρωτάτας πόλεις ἐμπρήσεις, καὶ παιδία μὲν ἀπολεῖς προσρηγνὺς πέτραις, τὰς δ' ἐγκύους ἀναρρήξεις γυναῖκας. » Τοῦ δ' Ἀζαήλου λέγοντος, τίνα γὰρ ἰσχὺν ἐν ἐμοὶ τηλικαύτην εἶναι συμβέβηκεν ὥστε ταῦτα ποιῆσαι; τὸν Θεὸν ἔφησεν αὐτῷ δεδηλωκέναι τοῦθ' ὅτι τῆς Συρίας μέλλοι βασιλεύειν. Ἀζάηλος μὲν οὖν παραγενόμενος πρὸς τὸν Ἄδαδον, τῷ μὲν τὰ βελτίω περὶ τῆς νόσου κατήγγειλε, τῇ δ' ἐπιούσῃ δίκτυον ἐπιβαλὼν αὐτῷ διάβροχον, τὸν μὲν στραγγάλῃ διέθειρε, τὴν δ' ἀρχὴν αὐτὸς παρέλαβε, δραστήριός τε ὢν ἀνὴρ καὶ πολλὴν ἔχων παρὰ τῶν Σύρων εὔνοιαν καὶ τοῦ δήμου τῶν Δαμασκηνῶν, ὑφ' οὗ μέχρι νῦν αὐτός τε ὁ Ἄδαδος καὶ Ἀζάηλος ὁ μετ' αὐτὸν ἄρξας ὡς θεοὶ τιμῶνται διὰ τὰς εὐεργεσίας καὶ τὰς τῶν ναῶν οἰκοδομίας, οἷς ἐκόσμησαν τὴν τῶν Δαμασκηνῶν πόλιν. Πέμπουσι δ' οὗτοι καθ' ἑκάστην ἡμέραν ἐπὶ τῇ τιμῇ τῶν βασιλέων καὶ σεμνύνονται τὴν τούτων ἀρχαιότητα, οὐκ εἰδότες ὅτι νεώτεροί εἰσι καὶ οὐκ ἔχουσιν οὗτοι οἱ βασιλεῖς ἔτη χίλια καὶ ἑκατόν. Ὁ δὲ τῶν Ἰσραηλιτῶν βασιλεὺς Ἰώραμος ἀκούσας τὴν Ἄδάδου τελευτὴν ἀνέπνευσεν ἐκ τῶν φόβων καὶ τοῦ δέους, ὃ δι' αὐτὸν εἶχεν, ἀσμένως εἰρήνης λαβόμενος.

est, oppressusque animam efflat, morte illius ab Elissæo prædicta, quando iis, quæ de futura rerum necessariarum copia loquutus erat, ille solus fidem non habuit.

6. Adadus autem Syrorum rex ubi incolumis Damascum venit intelligitque Deum ipsique et exercitui suo universo terrorem et perturbationem istam incussisse, quodque ab hostium invasione nequaquam metu fuerint perculsi, mœrore vehementer affectus, quod Deum sibi infensum haberet, in languorem incidit. Quumque per idem tempus Elissæus vates e patria sua Damascum ivisset, hoc cognito, Adadus domesticorum suorum fidelissimum Azaelum ei occursurum misit, munera secum ferentem, eique in mandatis dedit ut de morbo percontaretur, et num ex periculo ab eo intentato esset evasurus. Azaelus vero cum camelis numero quadraginta, quæ de optimis et pretiosissimis Damasci bonis quæque regia suppeditaret munera portabant, obviam factus Elissæo, quum benigne eum salutasset, dicebat se ab Adado rege ad eum missum, ut de morbo sciscitaretur an ex eo esset revaliturus. At vates Azaelum quidem jussit ut mali nihil regi renunciaret : dicebat autem eum moriturum esse. Et famulus quidem regius his auditis dolebat, Elissæus vero flebat et multis mamabat lacrimis, prospiciens mala quæ passurus esset populus post mortem Adadi. Quum Azaelus autem eum interrogasset cur adeo perturbatus esset, « fleo, inquit, quod me populi Israelitici malorum miseret, quibus a te afficientur. Nam optimos ex eis interficies, et urbes munitissimas incendes, et infantes quidem lapidibus allisos perimes, mulieres vero gravidas dissecabis. « Azaelo autem dicente, » unde me tantas habere vires contigit ut ista facerem? » Deum aiebat id sibi ostendisse, ipsum regem fore Syriæ. Azaelus itaque, quum ad Adadum venisset, illi quidem meliora de morbo nunciavit, postridie vero reti madido in eum injecto fauces strangulando occidit, regnumque in ejus loco ipse occupavit, vir impiger, et qui Syrorum populique Damasceni gratiam sibi conciliaverat, a quo et ipse Adadus et Azaelus qui post eum regnavit pro diis adhuc coluntur, propter beneficentiam eorum, et exstructiones templorum, quibus Damascenorum urbem ornarunt. Quin et pompam illi quotidie ducunt in regum eorum honorem, et de antiquitate eorum gloriantur, ignari eos esse recentiores, regesque istos non attingere ad centum et mille annos. Ceterum Joramus Israelitarum rex audita morte Adadi a pavoribus respiravit et a metu quem propter ipsum habebat, late admodum pacem amplexus.

ΚΕΦ. Ε'.

Ἰώραμος δὲ ὁ τῶν Ἱεροσολύμων βασιλεὺς (καὶ τούτῳ γὰρ ἦν ταὐτὸ, καθὼς προειρήκαμεν ἔμπροσθεν, ὄνομα) παραλαβὼν τὴν ἀρχὴν εὐθὺς ἐπὶ σφαγὴν τῶν ἀδελφῶν αὐτοῦ καὶ τῶν πατρῴων φίλων, οἳ καὶ ἡγεμόνες ἦσαν, ἐχώρησεν, τὴν ἀρχὴν καὶ τὴν ἐπίδειξιν τῆς πονηρίας ἐντεῦθεν ποιησάμενος, καὶ μηδὲν διενεγκὼν τῶν τοῦ Ἰσραὴλ βασιλέων, οἳ πρῶτοι παρενόμησαν εἰς τὰ πάτρια τῶν Ἑβραίων ἔθη καὶ τὴν τοῦ Θεοῦ θρησκείαν. Ἐδίδαξέ τε αὐτὸν τά τε ἄλλα εἶναι κακὸν καὶ δὴ καὶ ξενικοὺς θεοὺς προσκυνεῖν Γοθολία, θυγατὴρ μὲν Ἀχάβου, συνοικήσασα δ' αὐτῷ. Καὶ ὁ μὲν Θεὸς διὰ τὴν πρὸς Δαυίδην ὁμολογίαν οὐκ ἐβούλετο τούτου τὸ γένος ἐξαφανίσαι, Ἰώραμος δ' οὐ διέλιπεν ἑκάστης ἡμέρας καινουργῶν ἐπ' ἀσεβείᾳ καὶ λύμῃ τῶν ἐπιχωρίων ἐθισμῶν. Ἀποστάντων δ' αὐτοῦ κατ' ἐκεῖνον τὸν καιρὸν τῶν Ἰδουμαίων καὶ τὸν μὲν πρότερον ἀποκτεινάντων βασιλέα, ὃς ὑπήκουσεν αὐτοῦ τῷ πατρὶ, ὃν δ' ἐβούλοντο αὐτοὶ καταστησάντων, Ἰώραμος μετὰ τῶν περὶ αὐτὸν ἱππέων καὶ τῶν ἁρμάτων νυκτὸς εἰς τὴν Ἰδουμαίαν ἐνέβαλε, καὶ τοὺς μὲν πέριξ τῆς αὐτοῦ βασιλείας διέφθειρε, πορρωτέρω δ' οὐ προῆλθεν. Ὤνησε μέντοι τοῦτο ποιήσας οὐδέν· πάντες γὰρ ἀπέστησαν αὐτοῦ καὶ οἱ τὴν χώραν τὴν καλουμένην Λαβίναν νεμόμενοι. Ἦν δ' οὕτως ἐμμανὴς, ὥστε τὸν λαὸν ἠνάγκαζεν ἐπὶ τὰ ὑψηλὰ τῶν ὀρῶν ἀναβαίνοντα προσκυνεῖν τοὺς ἀλλοτρίους θεούς.

β'. Ταῦτα δ' αὐτῷ πράττοντι καὶ τελέως ἐκβεβληκότι τῆς διανοίας τὰ πάτρια νόμιμα κομίζεται παρ' Ἠλίου τοῦ προφήτου (ἔτι γὰρ ἐπὶ γῆς ἦν) ἐπιστολὴ, ἐφ' ᾗ τὸν Θεὸν ἐδήλου μεγάλην παρ' αὐτοῦ ληψόμενον δίκην, ὅτι τῶν μὲν ἰδίων πατέρων μιμητὴς οὐκ ἐγένετο, τοῖς δὲ τῶν Ἰσραηλιτῶν βασιλέων κατηκολούθησεν ἀσεβήμασι καὶ συνηνάγκασε τὴν τοῦ Ἰούδα φυλὴν καὶ τοὺς πολίτας Ἱεροσολύμων ἀφέντας τὴν ὁσίαν τοῦ ἐπιχωρίου Θεοῦ θρησκείαν, σέβειν τὰ εἴδωλα, καθὼς καὶ Ἄχαβος τοὺς Ἰσραηλίτας ἐβιάσατο, ὅτι τε τοὺς ἀδελφοὺς διεχρήσατο καὶ τοὺς ἀγαθοὺς ἄνδρας καὶ δικαίους ἀπέκτεινε· τήν τε τιμωρίαν, ἣν ἀντὶ τούτων ὑφέξειν ἐμελλεν, ἐσήμαινε τοῖς γράμμασιν ὁ προφήτης, ὄλεθρον τοῦ λαοῦ καὶ φθορὰν γυναικῶν αὐτοῦ τοῦ βασιλέως καὶ τέκνων, καὶ ὅτι τεθνήξεται νόσῳ τῆς νηδύος ἐπὶ πολὺ βασανισθείς, καὶ τῶν ἐντέρων αὐτοῦ δι' ὑπερβολὴν τῆς τῶν ἐντὸς διαφθορᾶς ἐκρυέντων, ὥστ' αὐτὸν ἐπιδόντα τὴν αὐτοῦ συμφορὰν καὶ μηδὲν βοηθῆσαι δυνάμενον, ἔπειθ' οὕτως ἀποθανεῖν. Ταῦτα μὲν ἐδήλου διὰ τῆς ἐπιστολῆς ὁ Ἠλίας.

(Γ'.) γ'. Μετ' οὐ πολὺ δὲ στρατὸς Ἀράβων τῶν ἔγγιστα τῆς Αἰθιοπίας κατοικούντων καὶ τῶν ἀλλοφύλων εἰς τὴν Ἰωράμου βασιλείαν ἐνέβαλε, καὶ τήν τε χώραν διήρπασαν καὶ τὸν οἶκον τοῦ βασιλέως, ἔτι δὲ καὶ τοὺς υἱοὺς αὐτοῦ κατέσφαξαν καὶ τὰς γυναῖκας. Εἷς δὲ αὐτῷ περιλείπεται τῶν παίδων, διαφυγὼν τοὺς πολε-

CAP. V. (II.)

Joramus autem Hierosolymorum rex (nam et huic, ut jam ante diximus, idem erat nomen) statim, ut accepit imperium, ad cædem fratrum ipsius et paternorum amicorum, qui etiam principes erant, processit, inde regni sui initio facto, datoque malitiæ suæ specimine, nullaque in re dissimilis Israelitarum regibus, qui primi a patriis Hebræorum moribus Deique cultu discesserunt. Ipsum vero et ad reliquam impietatem instituit et deos alienos adorare docuit uxor ejus Gotholia, Achabi filia. Et Deus quidem, propter fœdus quod cum Davide percusserat, noluit stirpem ejus perdere, Joramus vero novi aliquid in dies in impietate et ad gentilitiæ religionis perniciem moliri non destitit. Quum autem sub idem tempus Idumæi ab eo defecissent, et priorem quidem regem, qui in patris ipsius fide erat, interfecissent, quem vero voluerunt sibi regem creassent, Joramus cum equitatu, qui tum ei ad manum erat, et curribus, in Idumæam noctu irruptionem faciebat, atque eos quidem, qui in ipsius regni vicinia erant, pessumdabat, ulterius vero non progrediebatur. Ceterum nihil ei profuit hæc expeditio: omnes enim ab ejus imperio defecerunt, simul et qui regionem Labinam dictam habitabant. Erat enim adeo vesanus, ut populum etiam ad montium fastigia ire cogeret deosque alienos adorare.

2. Verum ad eum, dum hæc agit et patriorum institutorum memoriam plane abjecerat, afferuntur literæ ab Elia vate, (erat enim adhuc in terra,) quæ indicabant Deum ab eo graves repetiturum esse pœnas, quod suorum quidem patrum mores non fuerit imitatus, sed regum Israelitarum peccatis sectandis se addixerit, simulque compulerit Judæ tribum et cives Hierosolymitanos ad idolorum cultum, relicta sacra erga Deum patrium religione, quemadmodum Achabus etiam Israelitas adegerat, quodque fratres interfecerit, virosque bonos et justos occiderit; insuper et supplicium, quod pro istis erat luiturus, literis significabat vates, populi interitum, uxorumque ipsius regis et liberorum stragem, quodque ipse moriturus esset torminum morbo diu vexatus et visceribus ipsius, tabe intus dirum in modum grassante, profluvio ejectis, ita ut, quum calamitatem suam ipse prospiceret, nullaque arte ei subvenire posset, hoc modo postea animam efflet. Ista quidem Elias vates ei per literas significabat.

(III.) 3. At non multo post exercitus Arabum proxime Æthiopiam incolentium, atque Palæstinorum, facta impressione in Jorami regnum, et regionem diripuerunt et regis domum, necnon et filios ejus trucidarunt et uxores. Veruntamen unus ei relictus est filius, e manibus hostium

μίους, Ὀχοζίας ὄνομα. Μετὰ δὲ ταύτην τὴν συμφορὰν αὐτὸς τὴν προειρημένην ὑπὸ τοῦ προφήτου νόσον ἐπὶ πλεῖστον νοσήσας χρόνον (ἐπέσκηψε γὰρ εἰς τὴν γαστέρα τὸ θεῖον αὐτοῦ τὴν ὀργήν) ἐλεεινῶς ἀπέθανεν, ἐπιδὼν αὐτοῦ τὰ ἐντὸς ἐκρυέντα. Περιύβρισε δὲ αὐτοῦ καὶ τὸν νεκρὸν ὁ λαός. Λογισάμενοι γάρ, οἶμαι, τὸν οὕτως ἀποθανόντα κατὰ μῆνιν Θεοῦ μηδὲ κηδείας τῆς βασιλεῦσι πρεπούσης ἄξιον εἶναι τυχεῖν, οὔτε ταῖς πατρώαις ἐνεκήδευσαν αὐτὸν θήκαις οὔτε ἄλλης τιμῆς ἠξίωσαν, ἀλλ' ὡς ἰδιώτην ἔθαψαν, βιώσαντα μὲν ἔτη τεσσαράκοντα , βασιλεύσαντα δὲ ὀκτώ. Παραδέδωκε δὲ τὴν ἀρχὴν ὁ δῆμος ὁ τῶν Ἱεροσολυμιτῶν τῷ παιδὶ αὐτοῦ Ὀχοζίᾳ.

ΚΕΦ. Ϛ'.

Ἰώραμος δὲ ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς, μετὰ τὴν Ἀδάδου τελευτὴν ἐλπίσας Ἀραμάθην πόλιν τῆς Γαλααδίτιδος ἀφαιρήσεσθαι τοὺς Σύρους, στρατεύει μὲν ἐπ' αὐτὴν μετὰ μεγάλης παρασκευῆς, ἐν δὲ τῇ πολιορκίᾳ τοξευθεὶς ὑπό τινος τῶν Σύρων οὐ καιρίως, ἀνεχώρησεν εἰς Ἰεσράελαν πόλιν, ἰαθησόμενος ἐν αὐτῇ τὸ τραῦμα, καταλιπὼν ἐν τῇ Ἀραμάθῃ τὴν στρατιὰν ἅπασαν καὶ ἡγεμόνα τὸν Νεμεσσὶ παῖδα Ἰηοῦν· ἤδη γὰρ αὐτὴν ἠρήκει κατὰ κράτος. Προὔκειτο δ' αὐτῷ μετὰ τὴν θεραπείαν πολεμεῖν τοῖς Σύροις. Ἐλισσαῖος δ' ὁ προφήτης ἕνα τῶν μαθητῶν αὐτοῦ, δοὺς αὐτῷ τὸ ἅγιον ἔλαιον, ἔπεμψεν εἰς Ἀραμάθην χρίσοντα τὸν Ἰηοῦν καὶ φράσοντα ὅτι τὸ θεῖον αὐτὸν ἥρηται βασιλέα, ἄλλα τε πρὸς τούτοις εἰπεῖν ἐπιστείλας ἐκέλευσε τρόπῳ φυγῆς ποιήσασθαι τὴν πορείαν, ὅπως λάθῃ πάντας ἐκεῖθεν ἀπιών. Ὁ δὲ γενόμενος ἐν τῇ πόλει τὸν μὲν Ἰηοῦν εὑρίσκει καθεζόμενον μετὰ τῶν τῆς στρατιᾶς ἡγεμόνων μέσον αὐτῶν, καθὼς Ἐλισσαῖος αὐτῷ προεῖπε, προσελθὼν δὲ ἔφη βούλεσθαι περί τινων αὐτῷ διαλεχθῆναι. Τοῦ δ' ἀναστάντος καὶ ἀκολουθήσαντος εἰς τὸ ταμιεῖον, λαβὼν ὁ νεανίας τὸ ἔλαιον κατέχεεν αὐτοῦ τῆς κεφαλῆς, καὶ τὸν Θεὸν ἔφησε βασιλέα χειροτονεῖν αὐτὸν ἐπ' ὀλέθρῳ τοῦ γένους τοῦ Ἀχάβου καὶ ὅπως ἐκδικήσῃ τὸ αἷμα τῶν προφητῶν τῶν ὑπὸ Ἰεζαβέλης παρανόμως ἀποθανόντων, ἵν' ὁ τούτων οἶκος τὸν αὐτὸν τρόπον ὄνπερ οἱ Ἱεροβοάμου τοῦ Ναβαταίου παιδὸς καὶ Βαασὰ πρόρριζος διὰ τὴν ἀσέβειαν αὐτῶν ἀφανισθῇ καὶ μηδὲν ὑπολειφθείη σπέρμα τῆς Ἀχάβου γενεᾶς. Καὶ ὁ μὲν ταῦτ' εἰπὼν ἐξεπήδησεν ἐκ τοῦ ταμιείου, σπουδάζων μηδενὶ τῶν ἐπὶ τῆς στρατιᾶς ὁραθῆναι.

β'. Ὁ δὲ Ἰηοῦς προελθὼν ἦκεν ἐπὶ τὸν τόπον ἔνθα μετὰ τῶν ἡγεμόνων ἐκαθέζετο. Πυνθανομένων δὲ καὶ φράζειν αὐτοῖς παρακαλούντων τί πρὸς αὐτὸν ὁ νεανίας ἀφίκοιτο, καὶ προσέτι μαίνεσθαι λεγόντων αὐτὸν, « ἀλλ' ὀρθῶς γε εἰκάσατε, εἶπε, καὶ γὰρ τοὺς λόγους μεμηνότος ἐποιήσατο. » Σπουδαζόντων δ' ἀκοῦσαι καὶ δεομένων, ἔφη τὸν Θεὸν αὐτὸν ἠρῆσθαι βασιλέα τοῦ πλήθους εἰρηκέναι. Ταῦτ' εἰπόντος ἕκαστος

elapsus, nomine Ochozias. Post hanc autem calamitatem rex ipse morbo, quem vates prædixerat, diutius conflictatus (Deus enim ira sua ventrem ejus perfuderat) miserabiliter vita decedebat, quum intestina sua egesta conspexisset. Quin et populus mortuum contumeliis affecit. Nam quum secum, ut opinor, reputassent, nequaquam dignum esse qui regiis exsequiis coluestetur qui letali ex ira Dei vulnere accepto exspirarit, neque in paternis ipsum sepeliere monumentis, neque alio dignati sunt honore, sed veluti privatum tumulo mandarunt, quum vixisset quidem annos quadraginta, octo vero regnasset. Populus autem Hierosolymitanus regnum tradidit filio ejus Ochoziæ.

CAP. VI. (IV.)

Ceterum Joramus Israelitarum rex, post Adadi interitum in spem inductus se posse Syris adimere Aramatham *regionis* Galaaditidis urbem, cum magno quidem apparatu in eam exercitum educit. In ejus autem oppugnatione sagitta ictus a quodam Syro, non tamen letaliter, in Jesraelam urbem se recepit, ut illic sanandum curaret vulnus, relicto ad Aramatham toto exercitu cum Jehu duce Nemessi filio; jam enim urbem vi ceperat. Ei autem propositum erat, quum a vulnere revaluisset, Syros bello aggredi. Interim Elissæus vates unum e discipulis suis, dato ei sacro oleo, misit Aramatham, ut Jehum ungeret, diceretque Deum ipsum regem elegisse; et mandatis quibusdam etiam aliis, præcepit fugientis more iter facere, ut inde profectus omnes lateret. Ille vero, ubi ad urbem pervenit, offendit Jehum in medio sedentem inter exercitus duces, prout Elissæus ei prædixerat. Quum autem ad eum accessisset, aiebat se velle cum eo certis de rebus colloqui. Illo vero excitato atque eum in conclave sequuto, juvenis oleum depromptum in caput ejus effudit, dixitque Deum illum regem creare, in stirpis Achabi perniciem, utque sanguinem ulciscatur vatum quos Jezabela injusta nece peremerit, ut domus eorum, eodem modo quo Hieroboami Nabatæi filii atque Baasæ, propter eorum impietatem funditus intereat, nullumque maneat semen ex Achabi genere. Et ille quidem hæc loquutus e conclavi se proripuit, id agens ne a quopiam in exercitu conspiceretur.

2. Jehus autem foris egressus revertebatur ad locum ubi cum ducibus sedebat. Illis vero percontantibus simul et obsecrantibus ut indicaret ipsis cur ad eum juvenis venisset, prætereaque illum insanire dicentibus, « sane de eo recte conjecistis, respondebat, nam et insani verba loquutus est. » Quum autem magis adhuc instarent et audire postularent, regnum populi sibi a Deo delatum aiebat illum dixisse. Hæc

περιδύων αὐτὸν ὑπεστρώννυεν αὐτῷ τὸ ἱμάτιον, καὶ σαλπίζοντες τοῖς κέρασιν ἐσήμαινον Ἰηοῦν εἶναι βασιλέα. Ὁ δὲ ἀθροίσας τὴν στρατιὰν ἔμελλεν ἐξορμᾶν ἐπὶ Ἰώραμον εἰς Ἰεσράελαν πόλιν, ἐν ᾗ, καθὼς προεί-
5 παμεν, ἐθεραπεύετο τὴν πληγὴν, ἣν ἔλαβε πρὸς τῇ Ἀραμάθης πολιορκίᾳ. Ἔτυχε δὲ καὶ ὁ τῶν Ἱεροσολύμων βασιλεὺς Ὀχοζίας ἀφιγμένος πρὸς τὸν Ἰώραμον· (υἱὸς γὰρ ἦν αὐτοῦ τῆς ἀδελφῆς, ὡς καὶ προειρήκαμεν·) ἐπισκέψασθαι δὲ πῶς ἔχοι ἐκ τοῦ τραύματος
10 διὰ τὴν συγγένειαν ἐληλύθει. Ἰηοῦς δὲ βουλόμενος αἰφνιδίως τοῖς περὶ τὸν Ἰώραμον ἐμπεσεῖν, ᾐτίου μηδένα τῶν στρατιωτῶν ἀποδρᾶντα μηνῦσαι ταῦτα τῷ Ἰωράμῳ· τοῦτο γὰρ ἔσεσθαι λαμπρὰν ἐπίδειξιν αὐτῷ τῆς εὐνοίας, καὶ τοὺς διακειμένους οὕτως ἀποδεῖξαι
15 αὐτὸν βασιλέα.

γ. Οἱ δὲ τοῖς εἰρημένοις ἡσθέντες ἐφύλαττον τὰς ὁδοὺς, μή τις εἰς Ἰεσράελαν διαλαθὼν μηνύσῃ αὐτὸν τοῖς ἐκεῖ. Καὶ ὁ μὲν Ἰηοῦς τῶν ἱππέων ἐπιλέκτους παραλαβὼν καὶ καθίσας ἐφ' ἅρματος εἰς τὴν Ἰεσράελαν
20 ἐπορεύετο. Γενομένου δὲ ἐγγὺς ὁ σκοπὸς, ὃν ὁ βασιλεὺς Ἰώραμος καθεστάκει τοὺς ἐρχομένους εἰς τὴν πόλιν ἀφορᾶν, ἰδὼν μετὰ πλήθους προσελαύνοντα τὸν Ἰηοῦν, ἀπήγγειλεν Ἰωράμῳ προσελαύνουσαν ἱππέων ἴλην. Ὁ δ' εὐθὺς ἐκέλευσεν ἐκπεμφθῆναί τινα τῶν
25 ἱππέων ὑπαντησόμενον καὶ τίς ἐστιν ὁ προσιὼν γνωσόμενον. Ἐλθὼν οὖν πρὸς τὸν Ἰηοῦν ὁ ἱππεὺς ἐπηρώτα περὶ τῶν ἐν τῷ στρατοπέδῳ· πυνθάνεσθαι γὰρ ταῦτα τὸν βασιλέα. Ὁ δὲ μηδὲν μὲν περὶ τούτων πολυπραγμονεῖν ἐκέλευσεν, ἕπεσθαι δ' αὐτῷ. Ταῦθ'
30 ὁ σκοπὸς ὁρῶν ἀπήγγειλεν Ἰωράμῳ τὸν ἱππέα, συγκαταμιγέντα τῷ πλήθει τῶν προσιόντων, σὺν ἐκείνοις παραγίνεσθαι. Πέμψαντος δὲ καὶ δεύτερον τοῦ βασιλέως, ταὐτὸ ποιεῖν προσέταξεν Ἰοῦς. Ὡς δὲ καὶ τοῦτ' ἐδήλωσεν ὁ σκοπὸς Ἰωράμῳ, τελευταῖον αὐτὸς
35 ἐπιβὰς ἅρματος σὺν Ὀχοζίᾳ τῷ τῶν Ἱεροσολύμων βασιλεῖ, (παρῆν γὰρ αὐτὸς, ὡς ἔφημεν ἔμπροσθεν, ὀψόμενος αὐτὸν πῶς ἐκ τοῦ τραύματος ἔχοι, διὰ συγγένειαν,) ἐξῆλθεν ὑπαντησόμενος. Σχολαίτερον δὲ καὶ μετ' εὐταξίας ὤδευεν Ἰηοῦς. Καταλαβὼν δ' ἐν ἀγρῷ
40 Ναβούθου τοῦτον Ἰώραμος ἐπυνθάνετο εἰ πάντα ἔχοι καλῶς τὰ κατὰ τὸ στρατόπεδον. Βλασφημήσαντος δὲ πικρῶς αὐτὸν Ἰηοῦ, ὡς καὶ τὴν μητέρα αὐτοῦ φαρμακὸν καὶ πόρνην ἀποκαλέσαι, δείσας ὁ βασιλεὺς τὴν διάνοιαν αὐτοῦ καὶ μηδὲν ὑγιὲς φρονεῖν αὐτὸν ὑπονοή-
45 σας, στρέψας ὡς εἶχε τὸ ἅρμα ἔφυγε, φήσας πρὸς Ὀχοζίαν ἐνέδρα καὶ δόλῳ κατεστρατηγῆσθαι· Ἰηοῦς δὲ τοξεύσας αὐτὸν καταβάλλει, τοῦ βέλους διὰ τῆς καρδίας ἐνεχθέντος. Καὶ Ἰώραμος μὲν εὐθὺς πεσὼν ἐπὶ γόνυ τὴν ψυχὴν ἀφῆκεν, Ἰηοῦς δὲ προσέταξε Βα-
50 δάκρῳ τῷ τῆς τρίτης μοίρας ἡγεμόνι ῥῖψαι τὸν Ἰωράμου νεκρὸν εἰς τὸν ἀγρὸν τοῦ Ναβούθου, ἀναμνήσας αὐτὸν τῆς Ἠλίᾳ προφητείας, ἣν Ἀχάβῳ τῷ πατρὶ αὐτοῦ τὸν Νάβουθον ἀποκτείναντι προεφήτευσεν, ὡς ἀπολεῖται αὐτός τε καὶ τὸ γένος αὐτοῦ ἐν τῷ ἐκείνου

ubi dixerat, suam quisque vestem exuentes eas illi substernebant, et signo cornibus dato Jehum regem esse proclamabant. Atque ille coactis copiis in eo erat ut contra Joramum exiret ad urbem Jesraelam, ubi, ut jam diximus, curationem adhibebat vulneri quod in Aramathæ obsidione acceperat. Tum autem Ochozias Hierosolymorum rex propter cognationem (nam sororis ejus filius erat, ut ante retulimus,) eodem se contulerat, ad visendum quomodo se haberet ex vulnere Joramus. Jehus autem, volens Joramum et qui cum eo erant ex improviso adoriri, requirebat ut operam darent ne quis militum ex urbe evaderet, qui ista Joramo nunciatum iret : hoc enim ipsi claro fore benevolentiæ indicio, et qui ita animo affecti essent eum regem declarasse.

3. Illi autem mandatis cum lætitia acceptis vias custodierunt, ne quis clam Jesraelam profectus iis qui istic erant illum indicaret. Et Jehus quidem lectissimis equitum assumptis in curru collocatus Jesraelam petebat. Quumque non longe abesset, speculator, a rege Joramo constitutus ut venientes in urbem prospiceret, Jehum conspicatus cum turmis advehi, nunciavit Joramo adventare agmen equitum. Ille vero e vestigio præcepit obviam mitti equitem, quisnam veniat quæsitum. Quum autem eques ad Jehum accessisset, interrogabat quomodo se res habeant in exercitu; regem enim de istis percontari. Ille vero jussit eum ut de istis quidem nihil sollicitus esset, sed ipsum sequeretur. Quum hæc vidisset speculator, Joramo renunciavit, equitem in turmam appellentium receptum una cum illis advenire. Mox et alteri a rege misso imperavit Jehus ut idem faceret. Ubi vero et hoc Joramo is indicaverat qui in speculis stabat, postremo et ipse consenso curru cum Ochozia Hierosolymorum rege, (ille enim, ut ante diximus, propter cognationem aderat ipsum visurus, quomodo se haberet ex vulnere) occursurus est egressus. Lentius autem et composito agmine Jehus incedebat. Joramus vero huic in fundo Nabuthi obviam factus ab eo quæsivit satin salvæ sint res in exercitu. Quum vero Jehus convicia in eum amarulenta jecisset, ita ut matrem ejus veneficam et meretricem appellaret, rex ea quæ in animo haberet veritus, eumque nihil sani cogitare suspicatus, converso ut erat curru fugiebat, quum Ochoziæ dixisset circumventos se dolo ac insidiis. At Jehus, admota arcui manu, eum percutit, telo illi pectus penetrante. Et Joramus quidem continuo in poplitem concidit, animamque efflavit; Jehus autem præcepit Badacro, tertiæ partis copiarum præfecto, ut Jorami cadaver in Nabuthi agrum projiceret, sibi in memoriam revocato Eliæ vaticinio, quo patri ejus Achabo post cædem Nabuthi prædixerat fore ut ipse cum sua progenie illius in agro pereat : hujusmodi enim

χωρίῳ· ταῦτα γὰρ καθεζομένους ὄπισθεν τοῦ ἅρματος τοῦ Ἀχάβου λέγοντος ἀκοῦσαι τοῦ προφήτου. Καὶ δὴ τοῦτο συνέβη γενέσθαι κατὰ τὴν πρόρρησιν τὴν ἐκείνου. Πεσόντος δὲ Ἰωράμου, δείσας περὶ τῆς ἑαυτοῦ σωτηρίας Ὀχοζίας τὸ ἅρμα εἰς ἑτέραν ὁδὸν ἐξένευσε, λήσεσθαι τὸν Ἰηοῦν ὑπολαβών. Ὁ δ' ἐπιδιώξας καὶ καταλαβὼν ἔν τινι προσβάσει τοξεύσας ἔτρωσε. Καταλιπὼν δὲ τὸ ἅρμα καὶ ἐπιβὰς ἵππῳ φεύγει τὸν Ἰηοῦν εἰς Μαγεδδὼ, κἀκεῖ θεραπευόμενος μετ' ὀλίγον ἐκ τῆς πληγῆς τελευτᾷ. Κομισθεὶς δ' εἰς Ἱεροσόλυμα τῆς ἐκεῖ ταφῆς τυγχάνει, βασιλεύσας μὲν ἐνιαυτὸν ἕνα, πονηρὸς δὲ καὶ χείρων τοῦ πατρὸς αὐτοῦ γενόμενος.

(ς'.) δ'. Τοῦ δὲ Ἰηοῦ ἐλθόντος εἰς Ἰεσράελαν, κοσμησαμένη ἡ Ἰεζαβέλα καὶ στᾶσα ἐπὶ τοῦ πύργου, « καλὸς, εἶπε, δοῦλος δς ἀπέκτεινε τὸν δεσπότην. » Ὁ δ' ἀναβλέψας πρὸς αὐτὴν ἐπυνθάνετό τε τις εἴη καὶ καταβᾶσαν ἧκειν πρὸς αὐτὸν ἐκέλευσε, καὶ τέλος τοῖς εὐνούχοις προσέταξεν αὐτὴν ἀπὸ τοῦ πύργου βαλεῖν. Καταφερομένη δὲ τό τε τεῖχος περιέρρανε τῷ αἵματι καὶ συμπατηθεῖσα ὑπὸ τῶν ἵππων οὕτως ἀπέθανε. Τούτων δὴ γενομένων παρελθὼν Ἰηοῦς εἰς τὰ βασίλεια σὺν τοῖς φίλοις, ἑαυτὸν ἐκ τῆς ὁδοῦ ἀνεκτᾶτο τοῖς τε ἄλλοις καὶ τραπέζῃ. Προσέταξε δὲ τοῖς οἰκέταις ἀνελομένοις τὴν Ἰεζαβέλαν θάψαι διὰ τὸ γένος· ἦν γὰρ ἐκ βασιλέων. Ηὗρον δ' οὐδὲν τοῦ σώματος αὐτῆς οἱ προσταχθέντες τὴν κηδείαν ἢ μόνα τὰ ἀκρωτήρια, τὸ δὲ ἄλλο πᾶν ὑπὸ κυνῶν ἦν δεδαπανημένον. Ταῦτα ἀκούσας ὁ Ἰηοῦς ἐθαύμαζε τὴν Ἠλίου προφητείαν· οὗτος γὰρ αὐτὴν εἰς Ἰεσράελαν προεῖπε τοῦτον ἀπολεῖσθαι τὸν τρόπον.

ε'. Ὄντων δ' Ἀχάβῳ παίδων ἑβδομήκοντα, τρεφομένων δ' ἐν Σαμαρείᾳ, πέμπει δύο ἐπιστολὰς Ἰηοῦς, τὴν μὲν τοῖς παιδαγωγοῖς, τὴν δ' ἑτέραν τοῖς ἄρχουσι τῶν Σαμαρέων, λέγων τὸν ἀνδρειότατον τῶν Ἀχάβου παίδων ἀποδεῖξαι βασιλέα, (καὶ γὰρ ἁρμάτων αὐτοῖς εἶναι πλῆθος καὶ ἵππων καὶ ὅπλων καὶ στρατιᾶς, καὶ πόλεις ὀχυρὰς ἔχειν,) καὶ τοῦτο ποιήσαντας εἰσπράττεσθαι δίκην ὑπὲρ τοῦ δεσπότου. Ταῦτα δ' ἐγεγράφει, διάπειραν βουλόμενος λαβεῖν τῆς τῶν Σαμαρέων διανοίας. Ἀναγνόντες δὲ τὰ γράμματα οἵ τε ἄρχοντες καὶ οἱ παιδαγωγοὶ κατέδεισαν, καὶ λογισάμενοι μηδὲν δύνασθαι ποιεῖν πρὸς τοῦτον, ὃς δύο μεγίστων ἐκράτησε βασιλέων, ἀντέγραψαν ὁμολογοῦντες αὐτὸν ἔχειν δεσπότην καὶ ποιήσειν ὃ ἂν κελεύῃ. Ὁ δὲ πρὸς ταῦτα ἀντέγραψεν, αὐτῷ τε ὑπακούειν κελεύων καὶ τῶν Ἀχάβου παίδων τὰς κεφαλὰς ἀποτεμόντας πέμψαι πρὸς αὐτόν. Οἱ δ' ἄρχοντες μεταπεμψάμενοι τοὺς τροφεῖς τῶν παίδων προσέταξαν ἀποκτείνασιν αὐτοὺς τὰς κεφαλὰς ἀποτεμεῖν καὶ πέμψαι πρὸς Ἰηοῦν. Οἱ δ' οὐδὲν ὅλως φεισάμενοι τοῦτο ἔπραξαν, καὶ συνθέντες εἴς τινα πλεκτὰ ἀγγεῖα τὰς κεφαλὰς ἀπέπεμψαν εἰς Ἰεσράελαν. Κομισθεισῶν δὲ τούτων ἀγγέλλεται δειπνοῦντι μετὰ τῶν φίλων τῷ Ἰηοῦ ὅτι κομισθεῖεν αἱ τῶν Ἀχάβου παίδων κεφαλαί. Ὁ δὲ πρὸς τῇ πύλῃ ἐξ ἑκατέρου

oraculum, ipsos, quum a tergo Achabi in curru sederent, vatem pronunciantem audivisse. Id quod etiam, ita ut prædictum fuerat, evenit. Quum autem Joramus cecidisset, Ochozias, *de sua salute sollicitus*, *currum in aliam* viam deflexit, se Jehum latiturum esse ratus. At ille eum persequutus in clivo quodam deprehensum ictu sagittæ vulneravit. Quare is curru relicto et equo conscenso ab Jehu aufugit in Mageddonem : ibique inter curandum non multo post ex vulnere moritur. Atque Hierosolyma vectus illic sepelitur, quum annum quidem unum regnasset, nequam vero patreque suo pejor exstitisset.

(VI.) 4. Quum autem Jehus Jesraelam accessisset, *Jezabela*, compta *in turri stans*, « o *servum egregium*, aiebat, qui *dominum* occidit. » Ille vero, oculis ad eam sublatis, interrogabat quænam esset, jussitque ut descenderet et ad se veniret : tandemque spadonibus imperavit ut eam de turri præcipitarent. Illa vero inter cadendum murum sanguine respersit et ab equis conculcata hunc in modum periit. Dein, ubi hæc facta erant, Jehus ad *regiam* perrexit, et se ipsum et amicos de via fessos inter alia mensa reliciebat. Domesticis autem suis, qui Jezabelam interemerant, præcepit ut eam in honorem generis sepelirent : nam ex regibus erat prognata. At ii, quibus mandatum erat ut funus curarent, nihil de corpore ejus reliquum invenerunt præter extrema : *nam cetera omnia a canibus* consumpta erant. His auditis Jehus Eliæ demiratus est vaticinium, ille enim prædixerat eam hujusmodi morfem obituram esse in Jesraela.

5. Quum haberet autem Achabus septuaginta liberos, qui Samariæ alebantur, misit Jehus duas epistolas, unam quidem ad eorum nutritios, alteram vero ad Samarensium principes, monens ut Achabi filiorum *fortissimum* regem crearent, (*illis enim magnam currurum* esse vim et equorum et *armorum* et copiarum, et urbes quoque munitissimas,) atque hoc facto, mortem domini ultum irent. Scripserat autem hæc, experiri volens quomodo Samarenses erga se animo essent affecti. Principes autem et nutritii lectis literis ingenti metu perculsi sunt, quumque cogitassent se nihil adversus istum facere posse, qui duos reges maximos superasset, rescripserunt ita ut faterentur se illum pro domino habere, omniaque imperata *facturos*. Ille vero ad hæc iterum scripsit epistolam, præcipiens ut ipsi dicto essent audientes, et Achabi filiorum capita absc'ssa ad se mitterent. Tum principes accersitis puerorum altoribus imperant ut capita illis, postquam eos jugulassent, præciderent et ad Jehum mittenda curarent. Illi vero ita jussis obsequuti sunt, ut nihil omnino omiserint, atque capita eorum in fiscellas quasdam plexiles congesta Jesraelam miserunt. Ubi autem ista afferebantur, Jehu cum amicis *cœnanti nunciatur* Achabi filiorum capita allata esse. Tum ille ad por-

μέρους ἐκέλευσεν ἐξ αὐτῶν ἀναστῆναι βουνούς. Γενομένου δὲ τούτου ἅμα ἡμέρᾳ πρόεισιν ὀψόμενος, καὶ θεασάμενος ἤρξατο πρὸς τὸν παρόντα λαὸν λέγειν ὡς αὐτὸς μὲν ἐπὶ τὸν δεσπότην τὸν αὐτοῦ στρατεύσαιτο κἀκεῖνον ἀποκτείνειε, τούτους δὲ πάντας οὐκ αὐτὸς ἀνέλοι. Γιγνώσκειν δὲ αὐτοὺς ἠξίου περὶ τῆς Ἀχάβου γενεᾶς ὅτι πάντα κατὰ τὴν τοῦ Θεοῦ προφητείαν γέγονε, καὶ ὁ οἶκος αὐτοῦ, καθὼς Ἠλίας προεῖπεν, ἀπόλωλε. Προσδιαφθείρας δὲ καὶ τοὺς παρὰ τοῖς Ἰσραελίταις εὑρεθέντας ἐκ τῆς Ἀχάβου συγγενείας ἱππεῖς εἰς Σαμάρειαν ἐπορεύετο. Κατὰ δὲ τὴν ὁδὸν τοῖς Ὀχοζίᾳ συμβαλὼν οἰκείοις τοῦ βασιλέως τῶν Ἱεροσολύμων ἀνέκρινεν αὐτοὺς τί δή ποτε παρεγένοντο. Οἱ δ' ἀσπασόμενοί τε Ἰώραμον καὶ τὸν αὐτῶν βασιλέα Ὀχοζίαν ἥκειν ἔφασκον, (οὐ γὰρ ἤδεσαν αὐτοὺς ἀμφοτέρους ὑπ' αὐτοῦ πεφονευμένους,) Ἰηοῦς δὲ καὶ τούτους συλληφθέντας ἀναιρεθῆναι προσέταξεν, ὄντας τὸν ἀριθμὸν τεσσαράκοντα δύο.

ϛ'. Συναντᾷ δ' αὐτῷ μετὰ τούτους ἀνὴρ ἀγαθὸς καὶ δίκαιος, Ἰωνάδαβος ὄνομα, φίλος αὐτῷ πάλαι γεγονώς, ὃς ἀσπασάμενος αὐτὸν ἐπαινεῖν ἤρξατο τοῦ πάντα πεποιηκέναι κατὰ βούλησιν τοῦ Θεοῦ, τὴν οἰκίαν ἐξαφανίσας τὴν Ἀχάβου. Ἰηοῦς δ' ἀναβάντα ἐπὶ τὸ ἅρμα συνεισελθεῖν αὐτὸν εἰς Σαμάρειαν παρεκάλει, λέγων ἐπιδείξειν πῶς οὐδενὸς φείσεται πονηροῦ, ἀλλὰ καὶ τοὺς ψευδοπροφήτας καὶ τοὺς ψευδιερεῖς καὶ τοὺς ἐξαπατήσαντας τὸ πλῆθος, ὡς τὴν μὲν τοῦ μεγίστου Θεοῦ θρησκείαν ἐγκαταλιπεῖν, τοὺς δὲ ξενικοὺς προσκυνεῖν, τιμωρήσεται· κάλλιστον δ' εἶναι θεαμάτων καὶ ἥδιστον ἀνδρὶ χρηστῷ καὶ δικαίῳ κολαζομένους πονηροὺς ἰδεῖν. Τούτοις πεισθεὶς ὁ Ἰωνάδαβος ἀναβὰς εἰς τὸ ἅρμα εἰς Σαμάρειαν παραγίνεται. Ἀναζητήσας δὲ πάντας τοὺς Ἀχάβου συγγενεῖς Ἰηοῦς ἀποκτείνει. Βουλόμενος δὲ μηδένα τῶν ψευδοπροφητῶν μηδ' ἱερέων τῶν Ἀχάβου θεῶν τιμωρίαν διαφυγεῖν, ἀπάτῃ καὶ δόλῳ πάντας αὐτοὺς συνέλαβεν. Ἀθροίσας γὰρ τὸν λαὸν ἔφη βούλεσθαι διπλασίονας ὧν Ἄχαβος θεῶν εἰσηγήσατο προσκυνεῖν, καὶ τοὺς ἐκείνων ἱερεῖς καὶ προφήτας ἠξίου καὶ δούλους αὐτῷ παρεῖναι· θυσίας γὰρ πολυτελεῖς καὶ μεγάλας ἐπιτελεῖν μέλλειν τοῖς Ἀχάβου θεοῖς, τὸν δ' ἀπολειφθέντα τῶν ἱερέων θανάτῳ ζημιώσειν. Ὁ δὲ θεὸς Ἀχάβου Βαὰλ ἐκαλεῖτο. Τάξας δ' ἡμέραν καθ' ἣν ἐμελλε ποιήσειν τὰς θυσίας, διέπεμψεν ἀνὰ πᾶσαν τὴν τῶν Ἰσραηλιτῶν χώραν τοὺς ἄξοντας πρὸς αὐτὸν τοὺς ἱερεῖς τοῦ Βαάλ. Ἐκέλευσε δ' Ἰηοῦς τοῖς ἱερεῦσι δοῦναι πᾶσιν ἐνδύματα. Λαβόντων δὲ, παρελθὼν εἰς τὸν οἶκον μετὰ τοῦ φίλου Ἰωναδάβου, μή τις ἐν αὐτοῖς ἀλλόφυλος εἴη καὶ ξένος ἐρευνῆσαι προσέταξεν· οὐ βούλεσθαι γὰρ τοῖς ἱεροῖς αὐτῶν ἀλλότριον παρατυγχάνειν. Τῶν δὲ εἰπόντων μὲν οὐδένα παρεῖναι ξένον, καταρξαμένων δὲ τῶν θυσιῶν, περιέστησεν ἔξωθεν ὀγδοήκοντα τὸν ἀριθμὸν ἄνδρας, οὓς ἤδει πιστοτάτους τῶν ὁπλιτῶν, κελεύσας αὐτοῖς ἀποκτεῖναι τοὺς ψευδοπροφήτας, καὶ νῦν τοῖς πατρῴοις ἔθεσι τιμ-

tam utrinque acervos ex eis construi jussit. Hoc itaque facto, prima luce ad illa visenda prodit, atque intuitus cœpit ad populum, qui tum aderat, dicere ipsum quidem in dominum suum exercitum eduxisse, eumque interfecisse, istos vero omnes non ipsum peremisse. Ceterum illud iis de stirpe Achabi persuasum esse volebat, omnia juxta Dei oraculum evenisse, ejusque domum, sicuti prædixerit Elias, funditus periisse. Præterea autem occisis quotquot apud Jesraelitas ex Achabi cognatis equites reperiri poterant, Samariam ire contendebat. Atque in itinere nactus Ochoziæ Hierosolymorum regis consanguineos, interrogabat quo consilio accedant. Quumque illi respondissent, se salutatum venire Joramum, regemque suum Ochoziam, (nesciebant enim utrumque ab eo necatum), Iehus etiam, istos comprehensos interfici jussit, homines duos et quadraginta numero.

6. Post hos autem illi occurrit vir bonus et justus, nomine Jonadabus, vetus ipsius amicus, qui ipsum salutatum collaudare cœpit, quod omnia, prout voluit Deus, fecerit, exstirpando domum Achabi. Jehus vero ipsum obsecrabat ut conscenso curru Samariam usque se comitaretur, dicens se illi ostensurum esse quod nihil parcet improborum cuiquam, sed et falsos vates supplicio afficiet et falsos sacerdotes et quotquot populo verba dederunt, ut Dei quidem maximi cultum desererent, alienos vero adorarent : namque pulcerrimum esse spectaculorum viroque bono et justo jucundissimum malos videre pœna affectos. Istis obsequutus Jonadabus, in currum evectus Samariam venit. Atque Jehus omnes Achabi cognatos undique perquisitos ad internecionem perimit. Quum autem vellet ut nemo ex falsis vatibus aut sacerdotibus deorum Achabi supplicium effugeret, fraude usus et dolo universos comprehendit. Vocato enim ad concionem populo dicebat se deos duplo plures illis quos Achabus introduxerit adorare velle, rogabatque curarent ut illorum sacerdotes et vates et cultores ipsi adessent, quippe sibi in animo esse sacra splendida et magna Achabi diis facere, et si quis sacerdotum abfuerit, morte multatum iri. Deus autem Achabi Baal vocabatur. Die itaque sacrificiis celebrandis indicto, per omnem Israelitarum ditionem dimisit qui Baalis sacerdotes ad ipsum adducerent. Sacerdotibus autem præcepit Jehus ut vestes omnibus suppeditarent. Quumque eas accepissent, ingressus in ædem cum amico Jonadabo edixit ut diligenter quærerent ne quis sit ibi cum ipsis alienigena aut peregrinus : nolle enim alienum sacris illorum interesse. Illis vero infitiatis peregrinum quempiam adesse atque rem divinam facere exorsis, foris disposuit homines numero octoginta, quos ex militibus fidelissimos noverat, quibus imperatum erat ut falsos vates interimerent et patrios ritus

μωρεῖν πολὺν ἤδη χρόνον ὠλιγορημένοις, ἀπειλήσας ὑπὲρ τῶν διαφυγόντων τὰς ἐκείνων ἀφαιρεθήσεσθαι ψυχάς. Οἱ δὲ τούς τε ἄνδρας ἅπαντας κατέσφαξαν καὶ τὸν οἶκον τοῦ Βαὰλ ἐμπρήσαντες ἐκάθηραν οὕτως ἀπὸ τῶν ξενικῶν ἐθισμῶν τὴν Σαμάρειαν. Οὗτος ὁ Βαὰλ Τυρίων ἦν θεός· Ἄχαβος δὲ, τῷ πενθερῷ βουλόμενος χαρίσασθαι Ἰθωβάλῳ, Τυρίων ὄντι βασιλεῖ καὶ Σιδωνίων, ναόν τε αὐτῷ κατεσκεύασεν ἐν Σαμαρείᾳ καὶ προφήτας ἀπέδειξε καὶ πάσης θρησκείας ἠξίου. Ἀφανισθέντος δὲ τούτου τοῦ θεοῦ τὰς χρυσᾶς δαμάλεις προσκυνεῖν τοῖς Ἰσραηλίταις Ἰηοῦς ἐπέτρεψε. Ταῦτα δὲ διαπραξαμένῳ καὶ προνοήσαντι τῆς κολάσεως τῶν ἀσεβῶν ὁ Θεὸς διὰ τοῦ προφήτου προεῖπεν ἐπὶ τέσσαρας γενεὰς τοὺς παῖδας αὐτοῦ βασιλεύσειν τῶν Ἰσραηλιτῶν. Καὶ τὰ μὲν περὶ Ἰηοῦν ἐν τούτοις ὑπῆρχε.

ΚΕΦ. Ζ'.

Γοθολία δὲ ἡ Ἀχάβου θυγάτηρ, ἀκούσασα τήν τε Ἰωράμου τἀδελφοῦ τελευτὴν καὶ τὴν Ὀχοζίᾳ τοῦ παιδὸς καὶ τοῦ γένους τῶν βασιλέων ἀπώλειαν, ἐσπούδαζε μηδένα τῶν ἐκ τοῦ Δαυίδου καταλιπεῖν οἴκου, πᾶν δ' ἐξαφανίσαι τὸ γένος, ὡς ἂν μηδὲ εἷς ἐξ αὐτοῦ βασιλεὺς ἔτι γένοιτο. Καὶ τοῦθ' ὡς μὲν ᾤετο διεπράξατο, διεσώθη δὲ εἷς υἱὸς Ὀχοζίᾳ, τρόπῳ δὲ τοιούτῳ τὴν τελευτὴν διέφυγεν. Ἦν Ὀχοζίᾳ ὁμοπάτριος ἀδελφή, Ἰωσαβεθὴ ὄνομα· ταύτῃ συνῆν ὁ ἀρχιερεὺς Ἰώδαος. Εἰσελθοῦσα δὲ εἰς τὸ βασίλειον καὶ τοῖς ἀπεσφαγμένοις τὸν Ἰώασον (τοῦτο γὰρ προσηγορεύετο τὸ παιδίον ἐνιαύσιον) ἐγκεκρυμμένον εὑροῦσα μετὰ τῆς τρεφούσης, βαστάσασα μετ' αὐτῆς εἰς τὸ ταμιεῖον τῶν κλινῶν ἀπέκλεισε, καὶ λανθάνοντας ἀνέθρεψαν αὐτή τε καὶ ὁ ἀνὴρ αὐτῆς Ἰώδαος ἐν τῷ ἱερῷ ἔτεσιν ἕξ, οἷς ἐβασίλευσε Γοθολία τῶν Ἱεροσολύμων καὶ τῶν δύο φυλῶν.

β'. Τῷ δ' ἑβδόμῳ κοινολογησάμενός τισι Ἰώδαος πέντε τὸν ἀριθμὸν ἑκατοντάρχοις καὶ συμπείσας αὐτοὺς συνεπιθέσθαι μὲν τοῖς κατὰ τῆς Γοθολίας ἐγχειρουμένοις, τὴν δὲ βασιλείαν τῷ παιδὶ συμπεριποιῆσαι, καὶ λαβὼν ὅρκους, οἷς τὸ ἀδεὲς παρὰ τῶν συνεργούντων βεβαιοῦται, τὸ λοιπὸν ἐθάρρει ταῖς κατὰ τῆς Γοθολίας ἐλπίσιν. Οἱ δ' ἄνδρες, οὓς ὁ ἱερεὺς Ἰώδαος κοινωνοὺς τῆς πράξεως παρειλήφει, πορευθέντες ἅπασαν τὴν χώραν τοὺς ἱερεῖς καὶ τοὺς Λευίτας ἐξ αὐτῆς ἀθροίσαντες καὶ τοὺς τῶν φυλῶν προεστηκότας, ἦκον ἄγοντες εἰς Ἱεροσόλυμα πρὸς τὸν ἀρχιερέα. Ὁ δὲ πίστιν ᾔτησεν αὐτοὺς ἔνορκον, ἢ μὴν φυλάξειν ὅπερ ἂν μάθωσιν ἀπόρρητον παρ' αὐτοῦ, σιωπῆς ἅμα καὶ συμπράξεως δεόμενος. Ὡς δ' ἀσφαλὲς αὐτῷ λέγειν ὁμωμοκότων ἐγένετο, παραγαγὼν δν ἐκ τοῦ Δαυίδου γένους ἔτρεφεν, « οὗτος ὑμῖν, εἶπε, βασιλεὺς ἐξ ἐκείνης τῆς « οἰκίας, ἣν ἴστε τὸν Θεὸν ὑμῖν προφητεύσαντα βα« σιλεύειν ἄχρι τοῦ παντὸς χρόνου. Παραινῶ δὲ τὴν « τρίτην ὑμῶν μοῖραν φυλάττειν αὐτὸν ἐν τῷ ἱερῷ, τὴν « δὲ τετάρτην ταῖς φυλαξὶ ἐφεστάναι τοῦ τεμένους

jam diu desuetos a contemptu vindicarent, minatus ipsorum vitam pro illis pendendam fore qui evaserint. Atque isti viros omnes ad unum occiderunt et, quum Baalis ædem incendissent, hoc modo Samariam a ceremoniis alienis liberarunt. Hic Baal Tyriorum erat deus; Achabus autem, cum socero suo Ithobalo, Tyriorum et Sidoniorum rege, gratiam inire volens, et fanum ei Samariæ exstruxit, et vates instituit, omnique cultu prosequebatur. Ceterum hoc deo e conspectu sublato, Israelitis permisit Jehus ut aureas vitulas adorarent. Hæc quoniam perfecisset curassetque ut impii meritas luerent pœnas, Deus ei per vatem prædixit, liberos ejus in quartam usque stirpem in Israelitas regnaturos esse. Atque illa quidem quæ ad Jehum spectant ita se habebant.

CAP. VII.

Gotholia Achabi filia, ubi de Ochoziæ filii sui pariter ac Jorami fratris nece inaudiverat deque regiæ stirpis interitu, modis omnibus agebat ut nemo ex domo Davidis superstes relinqueretur, utque genus ipsius penitus exstingueretur, ne quis in posterum ex eo regnum obtineat : id quod, ut ipsa quidem rebatur, perfecerat, unus vero ex Ochoziæ filiis servatus est, atque hoc modo mortem effugit. Ochoziæ soror erat eodem patre genita, cui nomen Josabetha : huic matrimonio junctus erat pontifex Jodaus. Quum autem in regiam ingressa Joasum (ita enim vocabatur puer anniculus) inter cæsorum cadavera una cum nutrice abditum reperisset, eumque pariter et illam sublatos in conclave cubiculi inclusisset, illa simul et maritus ejus Jodaus ipsum etiam clam in templo per sex annos aluerunt, quibus Gotholia Hierosolymorum et duorum tribuum regnum tenuit.

2. Verum septimo anno Jodaus, re cum centurionibus aliquibus, quinque numero, communicata, illisque persuasis ut operam suam commodarent iis quæ susciperentur contra Gotholiam, secumque puero regnum assererent et vindicarent, quum jurejurando illos obstrinxisset, quo securitas ejusmodi quid una aggredientibus paretur, deinceps meliorem spem concipiebat de iis quæ contra Gotholiam agitaverat. Viri autem, quos pontifex Jodaus in facinoris societatem adsciverat, tota regione peragrata, quum sacerdotes et Levitas ex ea congregassent una cum primoribus tribuum, Hierosolyma eos adduxerunt ad pontificem. Ille vero sibi fidem jurejurando dari postulavit, se secretum, quod ab eo acciperent, omnino clausum habituros, ut quod taciturnitatem simul et junctam operam requireret. Quumque juratis rem omnem verbis aperire sibi tutum esse videretur, producto Davidici generis puero quem alebat, « hic, inquit, vobis rex, ex ista « domo, quam probe scitis Deum prædixisse in omne ævum « regnaturam esse. Itaque vos moneo hortorque ut tres « partes vestrûm in templo præsidio sint regi, pars vero

« ἁπάσαις, ἡ δὲ μετὰ ταύτην ἐχέτω τὴν τῆς ἀνοιγο-
« μένης καὶ φερούσης εἰς τὸ βασίλειον πύλης φυλακήν,
« τὸ δ' ἄλλο πλῆθος ἄοπλον ἐν τῷ ἱερῷ τυγχανέτω·
« μηδένα δ' ὁπλίτην εἰσελθεῖν ἐάσητε ἢ μόνον ἱερέα. »
Προσδιέταξε δὲ τούτοις μέρος τι τῶν ἱερέων καὶ Λευίτας περὶ αὐτὸν εἶναι τὸν βασιλέα ταῖς μαχαίραις αὐτῶν ἐσπασμέναις δορυφοροῦντας, τὸν δὲ τολμήσαντα παρελθεῖν εἰς τὸ ἱερὸν ὁπλισμένον ἀναιρεῖσθαι παραυτίκα, δείσαντας δὲ μηδένα παραμεῖναι τῇ φυλακῇ τοῦ βασιλέως. Καὶ οἱ μὲν οἷς ὁ ἀρχιερεὺς συνεβούλευσε, τούτοις πεισθέντες, ἔργῳ τὴν προαίρεσιν ἐδήλουν. Ἀνοίξας δὲ Ἰώδαος τὴν ἐν τῷ ἱερῷ ὁπλοθήκην, ἣν Δαυίδης κατεσκεύασε, διεμέρισε τοῖς ἑκατοντάρχοις ἅμα καὶ ἱερεῦσι καὶ Λευίταις ἅπανθ' ὅσα ηὗρεν ἐν αὐτῇ δόρατά τε καὶ φαρέτρας, καὶ εἴ τι ἕτερον εἶδος ὅπλου κατέλαβε, καὶ καθωπλισμένους ἔστησεν ἐν κύκλῳ περὶ τὸ ἱερὸν συναψαμένους τὴν χεῖρα καὶ τὴν εἴσοδον τοῖς οὐ προσήκουσιν οὕτως ἀποτειχίσαντας. Συναγαγόντες δὲ τὸν παῖδα εἰς τὸ μέσον ἐπέθηκαν αὐτῷ τὸν στέφανον τὸν βασιλικὸν, καὶ τῷ ἐλαίῳ χρίσας Ἰώδαος ἀπέδειξε βασιλέα. Τὸ δὲ πλῆθος χαῖρον καὶ κροταλίζον ἐβόα σώζεσθαι τὸν βασιλέα.

γ'. Τοῦ δὲ θορύβου καὶ τῶν ἐπαίνων Γοθολία παρ' ἐλπίδας ἀκούσασα, τεταραγμένη σφόδρα τῇ διανοίᾳ, μετὰ τῆς ἰδίας ἐξεπήδησε στρατιᾶς ἐκ τοῦ βασιλείου. Παραγενομένην δ' εἰς τὸ ἱερὸν αὐτὴν οἱ μὲν ἱερεῖς εἰσδέχονται, τοὺς δ' ἑπομένους ὁπλίτας εἶρξαν εἰσελθεῖν οἱ περιεστῶτες ἐν κύκλῳ τῶν ὑπὸ τοῦ ἀρχιερέως τοῦτο προστεταγμένων. Ἰδοῦσα δὲ Γοθολία τὸν παῖδα ἐπὶ τῆς σκηνῆς ἑστῶτα καὶ τὸν βασιλικὸν περικείμενον στέφανον, περιρρηξαμένη καὶ δεινὸν ἀνακραγοῦσα φονεύειν ἐκέλευε τὸν ἐπιβουλεύσαντα αὐτῇ καὶ τὴν ἀρχὴν ἀφελέσθαι σπουδάσαντα. Ἰώδαος δὲ καλέσας τοὺς ἑκατοντάρχους ἐκέλευσεν αὐτοὺς ἀγαγόντας τὴν Γοθολίαν εἰς τὴν φάραγγα τὴν Κεδρῶνος ἀνελεῖν ἐκεῖ· (μὴ γὰρ βούλεσθαι μιᾶναι τὸ ἱερὸν αὐτόθι τὴν ἀλιτήριον τιμωρησάμενον·) προσέταξε δὲ, κἂν βοηθῶν τις προσέλθῃ, κἀκεῖνον ἀνελεῖν. Ἁλοῦσαν δὲ τοίνυν τῆς Γοθολίας οἱ προστεταγμένοι τὴν ἀναίρεσιν αὐτῆς ἐπὶ τὴν πύλην τῶν ἡμιόνων τοῦ βασιλέως ἤγαγον κἀκεῖ διεχρήσαντο.

δ'. Ὡς δὲ τὰ περὶ τὴν Γοθολίαν τοῦτον ἐστρατηγήθη τὸν τρόπον, συγκαλέσας τόν τε δῆμον καὶ τοὺς ὁπλίτας Ἰώδαος εἰς τὸ ἱερὸν, ἐξώρκωσεν εὐνοεῖν τῷ βασιλεῖ καὶ προνοεῖν αὐτοῦ τῆς σωτηρίας καὶ τῆς ἐπὶ πλεῖον ἀρχῆς. Ἔπειτ' αὐτὸν τὸν βασιλέα τιμήσειν τὸν Θεὸν καὶ μὴ παραβῆναι τοὺς Μωϋσέως νόμους ὀοῦναι πίστιν ἠνάγκασε. Καὶ μετὰ ταῦτα εἰσδραμόντες τὸν τοῦ Βαὰλ οἶκον, ὃν ἡ Γοθολία καὶ ὁ ἀνὴρ αὐτῆς Ἰώραμος κατεσκεύασεν, ἐφ' ὕβρει μὲν τοῦ πατρῴου Θεοῦ, τιμῇ δὲ τοῦ Ἀχάβου, κατέσκαψαν, καὶ τὸν ἔχοντα τὴν ἱερωσύνην αὐτοῦ Μααθὰν ἀπέκτειναν. Τὴν δ' ἐπιμέλειαν καὶ φυλακὴν τοῦ ἱεροῦ τοῖς ἱερεῦσι καὶ Λευίταις ἐπέτρεψεν Ἰώδαος, κατὰ τὴν Δαυίδου τοῦ βασιλέως διά-

« quarta statuatur in excubiis ad fani limina; quæque huic
« proxima custodiam agat portæ patentis, qua itur in re-
« giam; reliqua vero multitudo inermis versetur in templo:
« neminemque qui arma gestaverit, præter sacerdotem,
« intrare permittatis. » Præterea autem præcepit ut pars quædam sacerdotum et Levitarum satellitum more strictis gladiis regem ipsum stiparent, ita ut qui ausus fuerit in templum intrare tela gerens, statim moreretur, utque neminem metuentes regem custodire et tueri perseverarent. Et illi quidem, quibus pontifex id consilii dedit, dictis obsequuti, qua voluntate essent factis declarabant. Interea autem Jodaus, patefacto armamentario quod in templo a Davide erat constitutum, distribuit centurionibus simul et sacerdotibus atque Levitis hastas et pharetras omnes in eo inventas, ut et alia quæcunque deprehenderit tela, atque armatos templo circumdedit viribus in unum collatis, ut hoc modo iis ad quos nihil attinebat aditum occluderent. Quumque puerum in medium adduxissent, regiam ei coronam imposuerunt, ac Jodaus sacro oleo a se inunctum regem pronunciavit. Populus autem lætitia gestiens factoque applaudens clamabat, vivat rex.

3. Gotholia autem, quum tumultum plaususque inexspectato audivisset, animo valde perturbata, cum satellitio suo prosiluit e regia. Ubi vero ad templum venerat, eam quidem sacerdotes intromittunt, armatos vero illam sequentes ab introitu prohibuerunt custodes templo circumdati, quibus id negotii a pontifice mandatum erat. Tunc Gotholia, conspicata puerum in suggestu stantem regiaque corona redimitum, discissa veste sua magnoque clamore sublato, jussit eum occidi qui insidias sibi struxerit imperiumque eripere contenderit. Jodaus vero, quum centuriones evocasset, iis imperavit ut Gotholiam in Cedronis vallem abducerent ibique interficerent; (nolle enim templum pollui supplicium in eo sumendo de nefaria muliere;) Mandavitque insuper ut si quis ad opem ei ferendam adveniat, ipsum etiam perimant. Illi itaque, quibus imperata erat Gotholiæ cædes, injectis in eam manibus, eam ad portam mularum regis educebant ibique necarunt.

4. Quum autem hæc, quæ ad Gotholiam spectant, hujusmodi strategemate gesta fuissent, Jodaus, populo ac militibus in templum convocatis, sacramento adegit ad benevolentiam regi præstandam et ad ipsius prætereaque imperii salutem et incolumitatem tuendam. Deinde regem ipsum jurejurando obligavit ut Deum honoraret, legesque Moysis ne transgrederetur. Post hæc incursione facta in Baalis ædem, quam Gotholia ejusque maritus Joramus in veri Dei contumeliam et honorem Achabi construxerant, eam funditus diruerunt, et Maatham, qui tum sacerdotium ejus tenebat, occiderunt. Templi vero curam et custodiam sacerdotibus et Levitis permisit Jodaus, juxta Davidis regis institutum,

ταξιν, κελεύσας αὐτοὺς δὶς τῆς ἡμέρας ἐπιφέρειν τὰς νενομισμένας τῶν ὁλοκαυτώσεων θυσίας καὶ θυμιᾶν ἀκολούθως τῷ νόμῳ. Ἀπέδειξε δὲ τῶν Λευιτῶν τινας καὶ πυλωροὺς ἐπὶ φυλακῇ τοῦ τεμένους, ὡς μηδένα μιασμένον παρεῖναι λανθάνοντα.

ε′ Τούτων δ' ἕκαστα διατάξας, μετὰ τῶν ἑκατοντάρχων καὶ ἡγεμόνων καὶ τοῦ λαοῦ παντὸς ἐκ τοῦ ἱεροῦ παραλαβὼν ἄγει τὸν Ἰώασον εἰς τὸ βασίλειον, καὶ καθίσαντος εἰς τὸν βασιλικὸν θρόνον ἐπηυφήμησέ τε τὸ πλῆθος καὶ πρὸς εὐωχίαν τραπέντες ἐπὶ πολλὰς ἑώρτασαν ἡμέρας· ἡ μέντοι γε πόλις ἐπὶ τῷ τὴν Γοθολίαν ἀποθανεῖν ἡσυχίαν ἦγαγεν. Ἦν δὲ Ἰώασος, ὅτε τὴν βασιλείαν παρέλαβεν, ἐτῶν ἑπτά, μήτηρ δ' ἦν αὐτῷ τὸ μὲν ὄνομα Σαβία, πατρίδος δὲ Βηρσαβεέ. Πολλὴν δ' ἐποιήσατο τῶν νόμων φυλακὴν καὶ περὶ τὴν τοῦ Θεοῦ θρησκείαν φιλοτιμίαν παρὰ πάντα τὸν χρόνον ὃν ὁ Ἰώδαος ἐβίωσεν. Ἔγημε δὲ καὶ γυναῖκας δύο παρελθὼν εἰς ἡλικίαν, δόντος τοῦ ἀρχιερέως, ἐξ ὧν καὶ ἄρρενες αὐτῷ καὶ θήλειαι παῖδες ἐγένοντο. Τὰ μὲν οὖν περὶ τοῦ βασιλέως Ἰωάσου, ὡς τὴν τῆς Γοθολίας ἐπιβουλὴν διέφυγε καὶ τὴν βασιλείαν παρέλαβεν, ἐν τούτοις δεδηλώκαμεν.

ΚΕΦ. Η′.

Ἀζάηλος δὲ ὁ τῶν Σύρων βασιλεὺς, πολεμῶν τοῖς Ἰσραηλίταις καὶ τῷ βασιλεῖ αὐτῶν Ἰηοῦ, διέφθειρεν τῆς πέραν Ἰορδάνου χώρας τὰ πρὸς τὴν ἀνατολὴν τῶν Ῥουβηνιτῶν καὶ Γαδιτῶν καὶ Μανασσιτῶν, ἔτι δὲ καὶ τὴν Γαλααδῖτιν καὶ Βαταναίαν, πυρπολῶν πάντα καὶ διαρπάζων καὶ τοῖς εἰς χεῖρας ἀπαντῶσι βίαν προσφέρων. Οὐ γὰρ ἔρθη αὐτὸν Ἰηοῦς ἀμύνασθαι κακοῦντα τὴν χώραν, ἀλλὰ καὶ τῶν εἰς τὸ θεῖον ὑπερόπτης γενόμενος καὶ καταφρονήσας τῆς ὁσίας καὶ τῶν νόμων ἀπέθανε, βασιλεύσας ἔτη τῶν Ἰσραηλιτῶν ἑπτὰ καὶ εἴκοσι. Ἐτάφη δ' ἐν Σαμαρείᾳ, τῆς ἀρχῆς διάδοχον Ἰώαζον τὸν υἱὸν καταλιπών.

β′. Τὸν δὲ τῶν Ἱεροσολύμων βασιλέα Ἰώασον ὁρμή τις ἔλαβε τὸν ναὸν ἀνακαινίσαι τοῦ Θεοῦ, καὶ τὸν ἀρχιερέα καλέσας Ἰώδαον εἰς ἅπασαν ἐκέλευσε πέμψαι τὴν χώραν τοὺς Λευίτας καὶ ἱερέας αἰτήσοντας ὑπὲρ ἑκάστης κεφαλῆς ἡμίσικλον ἀργύρου εἰς ἐπισκευὴν καὶ ἀνανέωσιν τοῦ ναοῦ, καταλυθέντος ὑπὸ Ἰωράμου καὶ Γοθολίας καὶ τῶν παίδων αὐτῆς. Ὁ δ' ἀρχιερεὺς τοῦτο μὲν οὐκ ἐποίησε, συνεὶς ὡς οὐδεὶς προήσεται τὸ ἀργύριον· τρίτῳ δὲ καὶ εἰκοστῷ τῆς βασιλείας ἔτει, μεταπεμψαμένου τοῦ βασιλέως αὐτόν τε καὶ Λευίτας, καὶ ὡς παρακούσαντας ὧν προσέταξεν αἰτιωμένου καὶ κελεύσαντος εἰς τὸ μέλλον προνοεῖσθαι τῆς ἐπισκευῆς τοῦ ναοῦ, στρατηγήματι χρῆται πρὸς τὴν συλλογὴν τῶν χρημάτων ὁ ἀρχιερεὺς, ᾧ τὸ πλῆθος ἡδέως ἔσχε, τοιούτῳ. Ξύλινον κατασκευάσας θησαυρὸν καὶ κλείσας πανταχόθεν, ὀπὴν αὐτῷ μίαν ἤνοιξεν· ἔπειτα θεὶς εἰς τὸ ἱερὸν παρὰ τὸν βωμὸν ἐκέλευσεν ἕκαστον ὅσον βούλεται βάλλειν εἰς αὐτὸν διὰ τῆς ὀπῆς εἰς τὴν

jussis ut bis singulis diebus solida pro more facerent sacrificia et suffitum juxta legis præscriptum adolerent. Fecit autem Levitarum quosdam etiam janitores ad fani custodiam, ne quis pollutus posset intro subrepere.

5. Ubi autem ad hunc modum ista disposuerat, ipse et centuriones et duces atque populus universus Joasum e templo deduxerunt in regiam, eoque in solio regali collocato, omnes lætos clamores sustulerunt, et ad epulas conversi festivitatem per multos dies egerunt : nulla utique in civitate turba excitata ob mortem Gotholiæ. Tum Joasus annum septimum agebat, quum regnum iniit, materque illi erat nomine quidem Sabia, patria vero ex Bersabee. Fuit autem legum observantissimus cultusque Dei studiosissimus, quam diu Jodaus vixit. Porro prima maturitate duas uxores, quas ei locaverat pontifex, in matrimonium duxit, ex quibus utriusque sexus liberos sustulit. Atque hactenus quidem de rege Joaso, quomodo ex insidiis Gotholiæ evaserit et regnum susceperit, in hunc modum narravimus.

CAP. VIII.

Azaelus autem Syrorum rex, bellum cum Israelitis et Jehu rege illorum gerens, regionis Transjordanianæ tractus ad exortum solis, qui a Rubenitis et Gaditis et Manassitis occupati erant, vastavit, necnon terram Galaaditicam et Batanæam, incendia longe lateque faciens et rapinas, ac ne a cæde quidem illorum temperans, qui in manus ejus inciderent. Non enim eum regionem populantem Jehus propulsare festinabat, sed ipse, postquam res divinas despicere inceperat et jura legesque contempserat, vitam finivit, quum in Israelitas regnasset annos septem et viginti. Samariæ autem sepultus est, Joazo filio, qui in imperium succederet, relicto.

2. Joasum autem Hierosolymorum regem incessit cupido templum Dei instaurandi, vocatoque pontifice Jodao præcepit ut per omnem regionem dimitteret Levitas et sacerdotes qui in singula capita sicli argentei semissem exigerent ad refectionem et instaurationem templi, sub Joramo et Gotholia ejusque liberis labefactati. Pontifex vero imperatum non fecit, quod noverit neminem argentum erogaturum esse; sed anno regni vigesimo tertio, quum rex ipsumque et Levitas ad se accivisset, quod iis quæ mandaverat non obsequuti essent, jussissetque ut in posterum templi reparationi prospicerent, ejusmodi commentum ille adhibuit ad colligendam pecuniam, quo populus libenter acquievit. Quum loculum ligneum undique clausum fecisset, unum in eo foramen aperuit : deinde, ubi eum in templo juxta altare collocarat, jussit ut singuli quantum quisque vellet in eum per foramen injicerent, ad templum instaurandum. Id quod populus æquo animo tulit, et multum auri argentique, cer-

ἐπισκευὴν τοῦ ναοῦ. Πρὸς τοῦτο πᾶς ὁ λαὸς εὖ διετέθη, καὶ πολὺν ἄργυρον καὶ χρυσὸν φιλοτιμούμενοι καὶ συνεισφέροντες ἤθροισαν. Κενοῦντες δὲ τὸν θησαυρὸν καὶ παρόντος τοῦ βασιλέως ἀριθμοῦντες τὸ συνειλεγμένον ὅ τε γραμματεὺς καὶ ὁ ἱερεὺς τῶν γαζοφυλακίων, ἔπειτ' εἰς τὸν αὐτὸν ἐτίθεσαν τόπον. Καὶ τοῦτο ἐποίουν ἑκάστης ἡμέρας. Ὡς δ' ἀποχρώντως τὸ πλῆθος ἐδόκει βαλεῖν τῶν χρημάτων, ἔπεμψαν μισθούμενοι λατόμους καὶ οἰκοδόμους ὁ ἀρχιερεὺς Ἰώδαος καὶ ὁ βασιλεὺς Ἰώασος, καὶ ἔτι ξύλα μεγάλα καὶ τῆς καλλίστης ὕλης. Ἐπισκευασθέντος δὲ τοῦ ναοῦ, τὸν ὑπολειφθέντα χρυσὸν καὶ ἄργυρον (οὐκ ὀλίγος δὲ ἦν) εἰς τε κρατῆρας καὶ οἰνοχόας καὶ ἐκπώματα καὶ τὰ λοιπὰ σκεύη κατεχρήσαντο, θυσίαις τε πολυτελέσιν ὁσημέραι τὸν βωμὸν πιαίνοντες διετέλουν. Καὶ ταῦτα μὲν, ἐφ' ὅσον Ἰώδαος χρόνον ἔζη, τῆς προσηκούσης ἐτύγχανε σπουδῆς.

γ'. Ὡς δ' ἐτελεύτησεν οὗτος (ἔτη μὲν βιώσας ἑκατὸν καὶ τριάκοντα, δίκαιος δὲ καὶ πάντα χρηστὸς γενόμενος, ἐτάφη δ' ἐν ταῖς βασιλικαῖς θήκαις ἐν Ἱεροσολύμοις, ὅτι τῷ Δαυίδου γένει τὴν βασιλείαν ἀνεκτήσατο, προέδωκεν ὁ βασιλεὺς Ἰώασος τὴν ἐπιμέλειαν τὴν πρὸς τὸν Θεόν. Συνδιεφθάρησαν δ' αὐτῷ καὶ οἱ τοῦ πλήθους πρωτεύοντες, ὥστε πλημμελεῖν εἰς τὰ δίκαια καὶ τὰ νενομισμένα παρ' αὐτοῖς ἄριστα εἶναι. Δυσχεράνας δ' ὁ Θεὸς ἐπὶ τῇ μεταβολῇ τοῦ βασιλέως καὶ τῶν ἄλλων πέμπει τοὺς προφήτας διαμαρτυρησομένους τε τὰ πραττόμενα καὶ παύσοντας τῆς πονηρίας αὐτούς. Οἱ δ' ἰσχυρὸν ἔρωτα καὶ δεινὴν ἐπιθυμίαν ἄρα ταύτης εἶχον, ὡς μήτε οἷς οἱ πρὸ αὐτῶν ἐξυβρίσαντες εἰς τὰ νόμιμα πανοικὶ κολασθέντες ἔπαθον μήθ' οἷς οἱ προφῆται προὔλεγον πεισθέντες μετενόησαν καὶ μετελθεῖν ἐξ ὧν εἰς ἐκεῖνα παρανομήσαντες ἐτράπησαν· ἀλλὰ καὶ Ζαχαρίαν υἱὸν τοῦ ἀρχιερέως Ἰωδάου λίθοις ὁ βασιλεὺς ἐκέλευσε βληθέντα ἀποθανεῖν ἐν τῷ ἱερῷ, τῶν τοῦ πατρὸς αὐτοῦ εὐεργεσιῶν λαθόμενος, ὅτι τοῦ Θεοῦ προφητεύειν αὐτὸν ἀποδείξαντος στὰς ἐν μέσῳ τῷ πλήθει συνεβούλευεν αὐτῷ τε καὶ τῷ βασιλεῖ τὰ δίκαια πράττειν, καὶ ὅτι τιμωρίαν μεγάλην ὑφέξουσι μὴ πειθόμενοι προὔλεγε. Τελευτῶν μέντοι Ζαχαρίας μάρτυρα καὶ δικαστὴν ὧν ἔπασχε τὸν Θεὸν ἐποιεῖτο, ἀντὶ χρηστῆς συμβουλίας καὶ ὧν ὁ πατὴρ αὐτοῦ παρέσχεν Ἰωάσῳ πικρῶς καὶ βιαίως ἀπολλύμενος.

δ'. Ἔδωκε μέντοι γ' οὐκ εἰς μακρὰν ὁ βασιλεὺς δίκην ὧν παρενόμησεν. Ἐμβαλόντος γὰρ Ἀζαήλου τοῦ Σύρων βασιλέως εἰς τὴν χώραν αὐτοῦ καὶ τήν τε Γίτταν καταστρεψαμένου καὶ λεηλατήσαντος, ἐπ' αὐτὸν στρατεύει εἰς Ἱεροσόλυμα. Ὃν φοβηθεὶς ὁ Ἰώασος, πάντας ἐκκενώσας τοὺς τοῦ Θεοῦ θησαυροὺς καὶ τοὺς τῶν βασιλέων καὶ τὰ ἀναθήματα καθελὼν, ἔπεμψε τῷ Σύρῳ, τούτοις ὠνούμενος τὸ μὴ πολιορκηθῆναι μηδὲ κινδυνεύειν περὶ τῶν ὅλων. Ὁ δὲ πεισθεὶς τῇ τῶν χρημάτων ὑπερβολῇ τὴν στρατιὰν οὐκ ἐπήγαγεν ἐπὶ τὰ Ἱεροσόλυμα. Νόσῳ μέντοι χαλεπῇ περιπεσὼν ὁ Ἰώα-

tatim ea conferendo, coegerunt. Scriba autem et sacerdos, fiscorum loculo exhausto, et quum rex adesset numerata quæ congesta erat pecunia, mox eodem *loculum* referebant. Atque hoc quotidie faciebant. Quumprimum vero sat pecuniæ populus contulisse videretur, Jodaus pontifex et Joasus rex miserunt qui eam erogarent in lapicidas et structores conducendos, inque ligna magna materiæque pulcerrimæ. Templi autem refectione absoluta, reliquum auri et argenti (quod sane non exiguum erat) in crateras et urceolos et pocula atque alia vasa impenderunt, feceruntque ut magnificis sacrificiis, quæ quotidie fiebant, pinguescerent altaria. Atque istis, quam diu Jodaus in vivis erat, debitum adhibebatur studium.

3. Illo autem mortuo (qui vixit annos centum et triginta, justitia et probitate in omnibus insignis, et in regiis conditoriis sepultus est, quod Davidis stirpi regnum conservaverat,) Joasus rex cultus Dei curam abjecit. Quin et populi principes similiter ac ipse moribus erant *ita* depravati, ut jura violarent, inque alia omnia irent quam quæ ab ipsis optima habebantur. Quum autem Deus hanc regis ceterorumque mutationem indigne ferret, misit vates qui de factis admonerent et a nequitia revocarent. Illi vero magnc adeo hujus amore et immani desiderio tenebantur, ut neque iis, quæ majores illorum ob spreta legum instituta cum totis suis familiis supplicio affecti pertulerunt, neque iis quæ ante denunciarunt vates ullatenus moti pœnitentiam egerint, eoque redierint unde ad talem legum contemptum digressi erant: sed Zachariam etiam, Jodai pontificis filium, rex, patris ejus beneficiorum immemor, mortem obire jusserit in templo saxis obrutum, quod Dei spiritu instinctus ad vaticinandum, pro concione populum simul et regem adhortatus fuerit ad juste agendum, quodque prædixerit fore ut gravem subirent pœnam, si non obtemperarent. Moriens vero Zacharias Deum testem fecit et judicem eorum quæ patiebatur, pro bono consilio, atque iis quæ pater ipsius Joaso fecerat, morte perieus acerba et violenta.

4. Ceterum rex non multo post pœnas maleficiis debitas persolvit. Azaelus enim Syrorum rex, impressione in ditionem ejus facta, quum et Gittam evertisset et prædam abegisset, exercitum Hierosolyma in eum educit. Joasus autem metu perculsus, exhaustis Dei regumque thesauris, detractisque templo donariis, omnia ad Syrum misit, quibus eam sibi redimeret securitatem ut nec obsidione premeretur, nec in rerum omnium discrimen adduceretur. Atque ille, vi pecuniæ ingenti victus, copias Hierosolymis non admovebat. Joasus tamen, quum in morbum difficilem inci-

σος, ἐπιθεμένων αὐτῷ τῶν φίλων τῶν Ζαχαρίου, οἳ τὸν θάνατον ἐκδικοῦντες τοῦ Ἰωδάου παιδὸς ἐπεβούλευσαν τῷ βασιλεῖ, διεφθάρη πρὸς αὐτῶν. Καὶ θάπτεται μὲν ἐν Ἱεροσολύμοις, οὐκ ἐν ταῖς θήκαις δὲ ταῖς βασιλικαῖς τῶν προγόνων, ἀσεβὴς γενόμενος. Ἐβίωσε δ' ἔτη ἑπτὰ καὶ τεσσαράκοντα, τὴν δὲ βασιλείαν αὐτοῦ διαδέχεται Ἀμασίας ὁ παῖς.

ε'. Εἰκοστῷ δὲ καὶ πρώτῳ ἔτει τῆς Ἰωάσου βασιλείας παρέλαβε τὴν τῶν Ἰσραηλιτῶν ἡγεμονίαν Ἰώαζος ὁ τοῦ Ἰηοῦ υἱὸς ἐν Σαμαρείᾳ, καὶ κατέσχεν αὐτὴν ἔτεσι δέκα καὶ ἑπτά, τοῦ μὲν πατρὸς οὐδ' αὐτὸς μιμητὴς γενόμενος, ἀσεβήσας δ' ὅσα καὶ οἱ πρῶτοι τοῦ Θεοῦ καταφρονήσαντες. Ἐταπείνωσε δ' αὐτὸν καὶ συνέστειλεν ἐκ τῆς τοσαύτης δυνάμεως ὁ τῶν Σύρων βασιλεὺς εἰς ὁπλίτας μυρίους καὶ πεντήκοντα ἱππεῖς, στρατεύσας ἐπ' αὐτὸν, πόλεις τε καὶ μεγάλας καὶ πολλὰς αὐτοῦ ἀφελόμενος καὶ τὴν στρατιὰν αὐτοῦ διαφθείρας. Ταῦτα δ' ἔπαθεν ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς, κατὰ τὴν Ἐλισσαίου προφητείαν, ὅτε Ἀζάηλον βασιλεύσειν προεῖπε τῶν Σύρων καὶ Δαμασκηνῶν ἀποκτείναντα τὸν δεσπότην. Ὢν δὲ ἐν ἀπόροις οὕτω κακοῖς Ἰώαζος ἐπὶ δέησιν καὶ ἱκετείαν τοῦ Θεοῦ κατέφυγε, ῥύσασθαι τῶν Ἀζαήλου χειρῶν αὐτὸν παρακαλῶν καὶ μὴ περιιδεῖν ὑπ' ἐκείνῳ γενόμενον. Ὁ δὲ Θεὸς, καὶ τὴν μετάνοιαν ὡς ἀρετὴν ἀποδεχόμενος καὶ νουθετῶν μᾶλλον τοὺς δυναμένους, τελέως μὴ ἀπολλύναι δοκοῦν αὐτῷ, δίδωσιν αὐτῷ τὴν ἐκ τοῦ πολέμου καὶ τῶν κινδύνων ἄδειαν. Εἰρήνης δ' ἡ χώρα λαβομένη ἀνέδραμέ τε πάλιν εἰς τὴν προτέραν κατάστασιν καὶ ηὐθήνησε.

ς'. Μετὰ δὲ τὴν Ἰωάζου τελευτὴν ἐκδέχεται τὴν ἀρχὴν ὁ υἱὸς αὐτοῦ Ἰώασος. Ἕβδομον ἤδη καὶ τριακοστὸν ἔτος βασιλεύοντος Ἰωάσου τῆς Ἰούδα φυλῆς, παρέλαβε τὴν ἀρχὴν οὗτος ὁ Ἰώασος ἐν Σαμαρείᾳ τῶν Ἰσραηλιτῶν, (καὶ γὰρ αὐτὸς τὴν αὐτὴν εἶχε προσηγορίαν τῷ τῶν Ἱεροσολυμιτῶν βασιλεῖ,) καὶ κατέσχεν αὐτὴν ἔτεσιν ἐκκαίδεκα. Ἀγαθὸς δ' ἦν καὶ οὐδὲν ὅμοιος τῷ πατρὶ τὴν φύσιν. Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν Ἐλισσαίου τοῦ προφήτου γηραιοῦ μὲν ἤδη τυγχάνοντος, εἰς δὲ νόσον ἐμπεπτωκότος, ἦκεν ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς πρὸς αὐτὸν ἐπισκεψόμενος. Καταλαβὼν δ' αὐτὸν ἐν ἰσχάτοις ὄντα κλαίειν ἤρξατο, βλέποντος αὐτοῦ, καὶ ποτνιᾶσθαι καὶ πατέρα τε ἀποκαλεῖν καὶ ὅπλον. Δι' αὐτὸν γὰρ μηδέποτε χρήσασθαι πρὸς τοὺς ἐχθροὺς ὅπλοις, ἀλλὰ ταῖς ἐκείνου προφητείαις ἀμαχητὶ κρατεῖν τῶν πολεμίων· νῦν δ' ἀπιέναι μὲν αὐτὸν ἐκ τοῦ ζῆν, καταλιπεῖν δ' ἐξωπλισμένοις [τοῖς Σύροις] τοῖς αὐτῶν πολεμίοις. Οὐδ' αὐτῷ τοίνυν ζῆν ἔτι ἀσφαλὲς, ἔλεγεν, ἀλλὰ καλῶς ἔχειν συνεξορμᾶν αὐτῷ καὶ συναπαίρειν τοῦ βίου. Ταῦτα ὀδυρόμενον Ἐλισσαῖος παρεμυθεῖτο τὸν βασιλέα, καὶ τόξον ἐκέλευσεν αὐτῷ κομισθὲν ἐκτεῖναι τοῦτο. Ποιήσαντος οὖν εὐτρεπὲς τοῦ βασιλέως τὸ τόξον, ἐπιλαβόμενος αὐτοῦ τῶν χειρῶν ἐκέλευσε τοξεύειν. Τρία δὲ βέλη αὐτοῦ προεμένου, εἶτα δὲ ἀναπαυσαμένου, « πλείω μὲν, εἶπεν, ἀφεὶς, ἐκ ῥιζῶν

disset, Zachariæ amicis eum adortis, qui ut hujus Jodai filii mortem ulciscerentur regi insidias struxerant, ab illis occiditur. Et Hierosolymis quidem sepultus est, sed non in regiis majorum monumentis, propter impietatem. Vixit autem annos septem et quadraginta, eique in regnum succedit filius Amasias.

5. Anno autem regni Joasi vigesimo primo, Israelitarum imperium suscepit Joazus Jehu filius apud Samariam, idque tenuit annos decem et septem, patris quidem sui nec ipse imitator, sed sceleribus æque addictus ac primi isti qui Deum contemptui habuerunt. Illum vero Syrorum rex depressit ac copias ejus tam numerosas adeo attrivit, ut decem tantum ei reliquerit peditum millia, equitesque quinquaginta, quum expeditionem fecisset, urbesque magnas et multas ei abstulisset, ejusque exercitum clade affecisset. Hæc autem Israelitarum regi mala acciderunt juxta Elissæi vaticinium, quando Azaelo etiam prædixerat quod necato domino Syrorum et Damascenorum regnum esset occupaturus. Quumque Joazus in tanta malorum difficultate versaretur, ad preces et supplicationes se recipit, Deum obsecrans ut ipsum e manibus Azaeli liberaret, et in illius potestatem redigi non pateretur. Deus autem, pœnitentiam loco virtutis acceptans, contentusque admonere potentes, quum ei non videretur funditus perdere, fecit ut nullo deinceps in metu esset de belli periculis : quo factum est ut regio, pace potita, ad pristinum statum rediret, opibusque floreret.

6. Joazo autem vita defuncto, successit filius ejus Joasus in regnum. Quum septimum jam et trigesimum annum regnaret Joasus in tribum Judæ, Israelitarum regnum iniit iste Joasus Samariæ, (nam et ille eodem nomine gaudebat quo Hierosolymorum rex,) illudque annos sedecim tenuit. Ceterum vir bonus erat patrisque mores nequaquam referebat. Illo autem tempore, quum Elissæus vates jam senex admodum in morbum incidisset, ad eum visendum veniebat Israelitarum rex, quumque eum in ipso fere mortis articulo invenisset, flere cœpit, ipso vidente, et lamentari, patremque et præsidium appellare. Nam et ipsi acceptum ferri quod nunquam contra inimicos opus fuisset armis, illius quippe vaticinia fecisse ut sine pugna de hostibus victoriam reportarint : nunc quidem illum e vita discedere, se vero relictum iri [Syris] armatis hostibus. Itaque nec sibi amplius vivere tutum esse aiebat, sed expedire cum eo exitum facere, simulque e vita migrare. Regem ista deplorantem consolatus est Elissæus, præcepitque ut arcu ad se allato illum intenderet. Quum itaque arcum rex parasset, *vates* suis manibus impositis eum jaculari jussit. Quumque tribus telis emissis post tertium destitisset, « si

« ἂν τὴν τῶν Σύρων βασιλείαν ἐξεῖλες· ἐπεὶ δὲ τρισὶν « ἠρκέσθης μόνοις, τοσαύταις καὶ μάχαις κρατήσεις « συμβαλὼν τοῖς Σύροις, ἵνα τὴν χώραν ἣν ἀπέτεμον « τοῦ σοῦ πατρὸς ἀνακτήσῃ. » Καὶ ὁ μὲν βασιλεὺς ταῦτ' ἀκούσας ἀπηλλάγη, μετ' οὐ πολὺ δὲ καὶ ὁ προφήτης ἀπέθανεν, ἀνὴρ ἐπὶ δικαιοσύνῃ διαβόητος καὶ φανερῶς σπουδασθεὶς ὑπὸ τοῦ Θεοῦ. Θαυμαστὰ γὰρ καὶ παράδοξα διὰ τῆς προφητείας ἐπεδείξατο ἔργα καὶ μνήμης λαμπρᾶς παρὰ τοῖς Ἑβραίοις ἀξιωθέντα. Ἔτυχε δὲ καὶ ταφῆς μεγαλοπρεποῦς καὶ οἵας εἰκὸς ἦν τὸν οὕτω θεοφιλῆ μεταλαβεῖν. Συνέβη δὲ καὶ τότε, λῃστῶν τινῶν ῥιψάντων εἰς τὸν Ἐλισσαίου τάφον δν ἦσαν ἀνῃρηκότες, τὸν νεκρὸν τῷ σώματι αὐτοῦ προσκολληθέντα ἀναζωπυρῆσαι. Καὶ τὰ μὲν περὶ Ἐλισσαίου τοῦ προφήτου, ζῶν τε ὅσα προεῖπε καὶ ὡς μετὰ τὴν τελευτὴν ἔτι δύναμιν εἶχε θείαν, δεδηλώκαμεν.

ζ'. Τελευτήσαντος δὲ τοῦ Σύρων βασιλέως Ἀζαήλου, εἰς Ἀδαδον τὸν υἱὸν αὐτοῦ ἡ βασιλεία παραγίνεται, πρὸς ὃν συνάπτει πόλεμον Ἰώασος ὁ τῶν Ἰσραηλιτῶν βασιλεύς· καὶ τρισὶ μάχαις νικήσας αὐτὸν ἀφείλετο τὴν χώραν ἅπασαν, καὶ ὅσας ὁ πατὴρ αὐτοῦ Ἀζάηλος πόλεις καὶ κώμας τῆς Ἰσραηλιτῶν βασιλείας παρέλαβε. Τοῦτο μέντοι κατὰ τὴν Ἐλισσαίου προφητείαν ἐγένετο. Ἐπεὶ δὲ συνέβη καὶ Ἰώασον ἀποθανεῖν, ὁ μὲν ἐν Σαμαρείᾳ κηδεύεται, καθῆκε δὲ εἰς Ἱεροβόαμον τὸν υἱὸν αὐτοῦ ἡ ἀρχή.

ΚΕΦ. Θ'.

Δευτέρῳ δ' ἔτει τῆς Ἰωάσου βασιλείας τῶν Ἰσραηλιτῶν, ἐβασίλευσεν Ἀμασίας τῆς Ἰούδα φυλῆς ἐν Ἱεροσολύμοις, μητρὸς ὢν Ἰωδαδῆς τοὔνομα, πολίτιδος δὲ τὸ γένος. Θαυμαστῶς δὲ τοῦ δικαίου προενόει, καὶ ταῦτα νέος ὤν. Παρελθὼν δ' ἐπὶ τὰ πράγματα καὶ τὴν ἀρχήν, ἔγνω δεῖν πρῶτον Ἰωάσῳ τιμωρῆσαι τῷ πατρὶ καὶ τοὺς ἐπιθεμένους αὐτῷ φίλους κολάσαι. Καὶ τούτους μὲν συλλαβὼν ἅπαντας ἐφόνευσε, τοὺς δὲ παῖδας αὐτῶν οὐδὲν εἰργάσατο δεινὸν, ἀκόλουθα ποιῶν τοῖς Μωϋσέως νόμοις, ὃς οὐκ ἐδικαίωσε διὰ πατέρων ἁμαρτίας τέκνα κολάζειν. Ἔπειτα στρατιὰν ἐπιλέξας ἐκ τῆς Ἰούδα φυλῆς καὶ Βενιαμίτιδος τῶν ἐν ἀκμῇ καὶ περὶ εἴκοσιν ἔτη γεγονότων, καὶ συναθροίσας ὡς τριάκοντα μυριάδας, τούτων μὲν ἑκατοντάρχους κατέστησε· πέμψας δὲ καὶ πρὸς τὸν τῶν Ἰσραηλιτῶν βασιλέα, μισθοῦται δέκα μυριάδας ὁπλιτῶν ταλάντων ἑκατὸν ἀργυρίου. Διεγνώκει γὰρ τοῖς Ἀμαληκιτῶν ἔθνεσι καὶ Ἰδουμαίοις καὶ Γαβαλιτῶν ἐπιστρατεύσασθαι. Παρασκευασαμένου δὲ πρὸς τὴν στρατείαν καὶ μέλλοντος ἐξορμᾶν, ὁ προφήτης τὸν τῶν Ἰσραηλιτῶν στρατὸν ἀπολῦσαι συνεβούλευσεν· εἶναι γὰρ ἀσεβῆ, καὶ τὸν Θεὸν ἧττον αὐτῷ προλέγειν χρησαμένῳ τούτοις συμμάχοις, περιέσεσθαι δὲ τῶν πολεμίων καὶ μετ' ὀλίγων αὐτοῖς ἀγωνιζόμενον βουλομένου τοῦ Θεοῦ. Δυσφοροῦντος δὲ τοῦ βασιλέως ἐπὶ τῷ φθῆναι τὸν μισθὸν δεδωκέναι τοῖς Ἰσραηλίταις, παρῄνει ποιεῖν ὁ προφήτης ὅ τι τῷ Θεῷ δοκεῖ· χρήματα δ' αὐτῷ πολλὰ παρ'

« quidem plura, inquit, misisses, tum Syrorum regnum ra- « dicitus excidisses : quoniam vero tribus solis contentus « fuisti, cum Syris congressus totidem etiam præliis eos « victurus es, ut regionem, quam patri tuo ademerunt, « recipias. » Et rex quidem his auditis abiit, nec ita multo post vates diem obiit supremum, vir inclytæ justitiæ magnique plane a Deo æstimatus. Id quod testantur res incredibiles miræque ex afflatu divino ab eo factæ, de quibus præclara inter Hebræos fama est. Funere etiam magnifico elatus est, quali par erat virum Deo adeo carum cohonestari. Quin et eo tempore accidit, quum latrones quidam hominem a se occisum in Elissæi sepulcrum conjecissent, ut mortuus, simul ac vatis corpus tetigisset, reviviscceret. Atque hactenus quidem de Elissæo vate, deque iis quæ, dum in vivis esset, prædicebat, et quemadmodum, postquam fatis concesserat, etiam vi divina pollebat.

7. Mortuo autem Azaelo Syrorum rege, regnum ad filium ejus Adadum pervenit, cui bellum infert Joasus Israelitarum rex, eique ter victo regionem omnem eripiebat urbesque et vicos, quotquot pater ejus Azaelus ex Israelitarum regno abstulerat. Hoc utique factum est quemadmodum Elissæus prædixerat. Postquam vero evenit ut etiam Joasus moreretur, ipse quidem Samariæ sepelitur, atque imperium ad filium ejus Hieroboamum devenit.

CAP. IX. (X.)

Anno autem regni Joasi Israelitarum regis secundo regnare cœpit Amasias Hierosolymis in Judæ tribum, matre natus Jodade nomine, genere cive; atque mirum in modum justitiam colebat, idque adolescens. Quum autem imperio rebusque gerendis admoveretur, statuit Joasum patrem sibi inprimis vindicandum esse, eosque, qui manus ei intulerant, amicos pœna afficiendos. Atque istos quidem omnes comprehensos interfecit, in ipsorum vero liberis nihil grave admisit, convenienter agens Moysis legibus, qui iniquum esse censuit pro parentum culpis pœnas a liberis reposcere. Post hæc delecta habito in tribu Judæ et Benjamitica ex iis qui flore essent ætatis et annorum circiter viginti, collectisque quasi trecentis millibus, hisce centuriones præfecit, ac præterea, quum misisset ad Israelitarum regem, centum militum millia centum argenti talentis conducit. Decreverat enim Amalecitarum et Idumæorum et Gabalitarum gentibus bellum inferre. Quum autem in eo esset ut exercitum educeret seque in eos moveret, vates admonuit ut Israelitarum copias dimitteret : esse enim hominum genus impium, Deique oraculum ipsi cladem denunciasse, si istis auxiliis uteretur, hostibus vero superiorem fore, si Dei auspiciis fretus paucis assumptis cum illis dimicaret. Rege autem ægre ferente, quod jam Israelitis stipendium numerasset, hortatus est vates ut Dei voluntati morem gereret : multa enim ab eo pecunia auctum iri. Et

αὐτοῦ γενήσεσθαι. Καὶ τοὺς μὲν ἀπολύει, χαρίζεσθαι τὸν μισθὸν εἰπών, αὐτὸς δὲ μετὰ τῆς οἰκείας δυνάμεως ἐπὶ τὰ προειρημένα τῶν ἐθνῶν ἐστράτευσε. Καὶ κρατήσας αὐτῶν τῇ μάχῃ μυρίους μὲν ἀπέκτεινε, τοσούτους δὲ ζῶντας ἔλαβεν, οὓς ἐπὶ τὴν μεγάλην ἀγαγὼν πέτραν, ἥπερ ἐστὶν ἐπὶ τὴν Ἀραβίαν, ἀπ' αὐτῆς κατεκρήμνισεν· ἀπήγαγέ τε λείαν πολλὴν καὶ πλοῦτον ἄφθονον ἐκ πάντων ἐθνῶν. Ἀμασίου δ' ἐν τούτοις ὑπάρχοντος, οἱ τῶν Ἰσραηλιτῶν, οὓς ἀπέλυσε μισθωσάμενος, ἀγανακτήσαντες ἐπὶ τούτῳ καὶ νομίσαντες ὕβριν εἶναι τὴν ἀπόλυσιν, (οὐ γὰρ ἂν τοῦτο παθεῖν μὴ κατεγνωσμένους,) ἐπῆλθον αὐτοῦ τῇ βασιλείᾳ, καὶ μέχρι Βηθσεμήρων προελθόντες διήρπασαν τὴν χώραν, καὶ πολλὰ μὲν ἔλαβον ὑποζύγια, τρισχιλίους δ' ἀνθρώπους ἀπέκτειναν.

β'. Ἀμασίας δὲ τῇ νίκῃ καὶ τοῖς κατορθώμασιν ἐπαρθεὶς τὸν μὲν τούτων αἴτιον αὐτῷ Θεὸν γενόμενον ὑπερορᾶν ἤρξατο, οὓς δ' ἐκ τῆς Ἀμαληκιτῶν χώρας ἐκόμισε, τούτους σεβόμενος διετέλει. Προσελθών δ' ὁ προφήτης αὐτῷ θαυμάζειν ἔλεγεν, εἰ τούτους ἡγεῖται θεούς, οἳ τοὺς ἰδίους, παρ' οἷς ἐτιμῶντο, μηδὲν ὠνησαν, μηδ' ἐκ χειρῶν ἐρρύσαντο τῶν ἐκείνου, ἀλλ' ὑπερεῖδον πολλούς τε σὺν αὐτῶν ἀπολλυμένους καὶ αὐτοὺς αἰχμαλωτισθέντας· κεκομίσθαι γὰρ εἰς Ἱεροσόλυμα τούτῳ τῷ τρόπῳ, καθὼς ἄν τις τῶν πολεμίων τινὰς ζωγρήσας ἤγαγε. Τῷ δὲ βασιλεῖ ταῦτ' ὀργὴν ἐκίνησε καὶ προσέταξεν ἡσυχίαν ἄγειν τὸν προφήτην, ἀπειλήσας αὐτὸν κολάσειν, ἂν πολυπραγμονῇ. Καὶ ὁ μὲν ἡσυχάζειν εἶπεν, οὐκ ἀμελήσειν δ' ὧν ἐπιχειρήκε νεωτερίζειν τὸν Θεὸν προὔλεγεν. Ἀμασίας δὲ, κατέχειν αὐτὸν ἐπὶ ταῖς εὐπραγίαις οὐ δυνάμενος, ἃς παρὰ τοῦ Θεοῦ λαβὼν εἰς αὐτὸν ἐξύβριζεν, ἀλλὰ φρονηματισθεὶς ἔγραψεν Ἰωάσῳ τῷ τῶν Ἰσραηλιτῶν βασιλεῖ, κελεύων ὑπακούειν αὐτῷ σὺν παντὶ τῷ λαῷ, ὡς καὶ πρότερον ὑπήκουε τοῖς προγόνοις αὐτοῦ, Δαυΐδῃ καὶ Σολομῶνι· ἢ μὴ βουλόμενον εὐγνωμονεῖν, εἰδέναι πολέμῳ περὶ τῆς ἀρχῆς διακριθησόμενον. Ἀντέγραψεν δὲ ὁ Ἰώασος τάδε. « ΒΑΣΙΛΕΥΣ ΙΩΑΣΟΣ ΒΑΣΙΛΕΙ ΑΜΑΣΙΑΙ. Ἦν ἐν τῷ Λιβάνῳ ὄρει κυπάρισσος παμμεγέθης καὶ ἄκανος. Αὕτη πρὸς τὴν κυπάρισσον ἔπεμψε μνηστευομένη τὴν θυγατέρα αὐτῆς πρὸς γάμον τῷ παιδί· μεταξὺ δὲ ταῦτα λέγουσαν θηρίον τι παρερχόμενον κατεπάτησε τὴν ἄκανον. Τοῦτο οὖν ἔσται σοι παράδειγμα τοῦ μὴ μειζόνων ἐφίεσθαι, μηδ' ὅτι τὴν πρὸς Ἀμαληκίτας μάχην εὐτύχησας, ἐπὶ ταύτῃ γαυρούμενος σαυτῷ καὶ τῇ βασιλείᾳ σου κινδύνους ἐπισπῶ. »

γ'. Ταῦτα δ' ἀναγνοὺς Ἀμασίας ἔτι μᾶλλον ἐπὶ τὴν στρατείαν παρωξύνθη, τοῦ Θεοῦ παρορμῶντος αὐτὸν, οἶμαι, πρὸς αὐτὴν, ἵνα τῶν παρανομηθέντων εἰς αὐτὸν δίκην ἀπολάβῃ. Ὡς δ' ἐξῆγε μετὰ τῆς δυνάμεως ἐπὶ τὸν Ἰώασον καὶ συνάπτειν μάχην ἔμελλον, τὸ Ἀμασίου στράτευμα φόβος αἰφνίδιος καὶ κατάπληξις, οἵαν Θεὸς οὐκ εὐμενὴς ὢν ἐντίθησιν, εἰς φυγὴν ἔτρεψε, καὶ πρὶν εἰς χεῖρας ἐλθεῖν. Διασπαρέντων δὴ ὑπὸ τοῦ δέους αὐτῶν,

illos quidem dimittit, præfatus se donare illis quicquid mercedis nomine acceplssent : ipse vero cum suis copiis contra prædictas gentes profectus est. Quumque illos pugna superasset, millia quidem decem occidit, et totidem vivos cepit, quos in petram magnam, quæ Arabiam versus est, ductos de ea præcipitavit, multumque prædæ abegit et opum vim immensam ex omnibus gentibus. At dum hæc ageret Amasias, Israelitæ, quos conductos remiserat, ex eo ad indignationem adducti, missionemque sibi ignominiæ esse rati, (haud enim ipsis hoc accidisse nisi contemptui habitis,) in ejus ditionem impetum faciebant, et progressi usque ad Bethsemèra, regionem populati sunt, et multa quidem jumenta ceperunt, hominum vero tria millia interfecerunt.

2. Ceterum Amasias victoria rebusque prospere gestis elatus, Deum quidem, qui ei horum auctor exstiterat, cœpit negligere, istorum vero *deorum*, quos ex Amalecitarum regione attulerat, cultui se addixit. Quum autem vates eum adiisset, se mirari dicebat, quod illos deos esse credat, qui cultoribus suis nihil opis afferre potuerint, nec illos ipsius manibus liberarint, sed illorum quamplurimos male pereuntes insuper habuerint, et semetipsos in captivitatem abductos : illos enim Hierosolyma delatos esse perinde ac si quis hostium quosdam captivos eo duceret. Ista autem regi iram moverunt; quo factum ut vati silentium indiceret, supplicium ei minatus, si quid præter negotium agere pergeret. Tum quidem ille se quieturum dixit, Deum vero ea non præteriturum esse prædicebat, quibus rebus novis studens manus admoverit. At Amasias, quum semet regere et moderari in prospera fortuna non posset, (quam licet a Deo acceperit, contumeliis in eum non temperabat,) sed magna de se opinione inflatus esset, scripsit Joaso regi Israelitarum, jubens ut is cum omni populo sibi obsequium præstaret, quod et olim præstitum esset majoribus suis, Davidi et Solomoni : sin vero nolit quod æquum sit facere, sciat bello esse decernendum de summa imperii. Joasus autem in hæc verba rescripsit. « Joasus rex Amasiæ « Regi. In monte Libano ingens erat cupressus, nec non et « rubus. Ille misit ad cupressum, poscens illius filiam « suo filio in matrimonium dari : sed interea fera quædam « præteriens rubum proculcavit. Hoc itaque tibi exemplo « erit ne majora appetas, neve, quod prospere rem gesse- « ris contra Amalecitas, ista cogitatione superbiens tibimet « regnoque tuo pericula asciscas. »

3. Amasias autem, quum ista legisset, majori adhuc cupiditate ad bellum incitatus est, Deo, ut arbitror, illum ad hoc impellente, ut pro iis quæ in ipsum admiserat peccatis pœnas exigeret. Ubi vero copias eduxerat contra Joasum, et pugnam conserturus erat, timor subitus et consternatio, qualem Deus non propitius solet immittere, Amasiæ exercitum in fugam vertit, etiam antequam ad manus venirent. Illis ergo præ timore dispersis, contigit ut Amasias

μονωθέντα τὸν Ἀμασίαν ληφθῆναι συνέβη πρὸς τῶν πολεμίων αἰχμάλωτον· ἠπείλησε δ' αὐτῷ θάνατον Ἰώασος, εἰ μὴ πείσειε τοὺς Ἱεροσολυμίτας ἀνοίξαντας αὐτῷ τὰς πύλας δέξασθαι μετὰ τῆς στρατιᾶς εἰς τὴν πόλιν. Καὶ Ἀμασίας μὲν ὑπὸ ἀνάγκης καὶ τοῦ περὶ τὸ ζῆν δέους ἐποίησεν εἰσδεχθῆναι τὸν πολέμιον. Ὁ δὲ διακόψας τι τοῦ τείχους ὡς τετρακοσίων πηχῶν, ἐφ' ἅρματος εἰσήλασε διὰ τῆς διακοπῆς εἰς Ἱεροσόλυμα, τὸν Ἀμασίαν ἄγων αἰχμάλωτον. Κύριός τε τούτῳ τῷ τρόπῳ γενόμενος τῶν Ἱεροσολύμων, τούς τε τοῦ Θεοῦ θησαυροὺς ἀνείλετο, καὶ ὅσος ἦν τῷ Ἀμασίᾳ χρυσὸς καὶ ἄργυρος ἐν τοῖς βασιλείοις ἐξεφόρησε, καὶ οὕτως αὐτὸν ἀπολύσας τῆς αἰχμαλωσίας ἀνέζευξεν εἰς Σαμάρειαν. Ταῦτα δ' ἐγένετο περὶ τοὺς Ἱεροσολυμίτας ἔτει τετάρτῳ καὶ δεκάτῳ τῆς Ἀμασίου βασιλείας, ὃς μετὰ ταῦτα ἐπιβουλευθεὶς ὑπὸ τῶν φίλων φεύγει μὲν εἰς Λάχεισαν πόλιν, ἀναιρεῖται δὲ ὑπὸ τῶν ἐπιβούλων πεμψάντων ἐκεῖ τοὺς ἀποκτενοῦντας αὐτόν. Καὶ τὸ μὲν σῶμα κομίσαντες εἰς Ἱεροσόλυμα βασιλικῶς ἐκήδευσαν. Κατέστρεψε δὲ οὕτως Ἀμασίας τὸν βίον διὰ τὸν νεωτερισμὸν καὶ τὴν πρὸς τὸν Θεὸν ὀλιγωρίαν, βιώσας μὲν ἔτη τέσσαρα καὶ πεντήκοντα, βασιλεύσας δ' ἐννέα καὶ εἴκοσι· διαδέχεται δ' αὐτὸν ὁ παῖς Ὀζίας τοὔνομα.

ΚΕΦ. Ι'.

Πεντεκαιδεκάτῳ δὲ ἔτει τῆς Ἀμασίου βασιλείας ἐβασίλευσε τῶν Ἰσραηλιτῶν Ἰωάσου υἱὸς Ἱεροβόαμος ἐν Σαμαρείᾳ ἔτη τεσσαράκοντα. Οὗτος ὁ βασιλεὺς τὰ μὲν εἰς τὸν Θεὸν ὑβριστὴς καὶ παράνομος δεινῶς ἐγένετο, εἰδωλά τε σεβόμενος καὶ πολλοῖς ἀτόποις καὶ ξένοις ἐγχειρῶν ἔργοις, τῷ δὲ λαῷ τῶν Ἰσραηλιτῶν μυρίων κακῶν αἴτιος ὑπῆρχε. Τούτῳ προεφήτευσέ τις Ἰωνᾶς ὡς δεῖ πολεμήσαντα τοῖς Σύροις αὐτὸν κρατῆσαι τῆς ἐκείνων δυνάμεως καὶ πλατῦναι τὴν αὑτοῦ βασιλείαν, τοῖς μὲν κατὰ τὴν ἄρκτον μέρεσιν ἕως Ἀμάθου πόλεως, τοῖς δὲ κατὰ τὴν μεσημβρίαν ἕως τῆς Ἀσφαλτίτιδος λίμνης· τὸ γὰρ ἀρχαῖον οἱ ὅροι τῆς Χαναναίας ἦσαν οὗτοι, καθὼς ὁ στρατηγὸς Ἰησοῦς περιώρισε. Στρατεύσας οὖν ἐπὶ τοὺς Σύρους ὁ Ἱεροβόαμος καταστρέφεται πᾶσαν αὐτῶν τὴν χώραν, ὡς προεφήτευσεν Ἰωνᾶς.

β'. Ἀναγκαῖον δὲ ἡγησάμην, τὴν ἀκρίβειαν τῶν πραγμάτων παραδώσειν ὑπεσχημένος, ὅσα καὶ περὶ τοῦ προφήτου τούτου ηὗρον ἐν ταῖς Ἑβραϊκαῖς βίβλοις ἀναγεγραμμένα διεξελθεῖν. Κελευσθεὶς γὰρ οὗτος ὑπὸ τοῦ Θεοῦ πορευθῆναι μὲν εἰς τὴν Νίνου βασιλείαν, κηρῦξαι δ' ἐκεῖ γενόμενον ἐν τῇ πόλει, ὅτι τὴν ἀρχὴν ἀπολέσει, δείσας οὐκ ἀπῆλθεν, ἀλλ' ἀποδιδράσκει τὸν Θεὸν εἰς Ἰόπην πόλιν, καὶ πλοῖον εὑρὼν ἐμβὰς εἰς Ταρσὸν ἔπλει τῆς Κιλικίας. Ἐπιγενομένου δὲ χειμῶνος σφοδροτάτου καὶ κινδυνεύοντος καταδῦναι τοῦ σκάφους, οἱ μὲν ναῦται καὶ ὁ κυβερνήτης καὶ αὐτὸς ὁ ναύκληρος εὐχὰς ἐποιοῦντο χαριστηρίους εἰ διαφύγοιεν τὴν θάλασσα suis desertus ab hostibus caperetur, eique Joasus mortem minatus est, nisi hoc Hierosolymitanis persnaderet, ut portas aperirent ipsumque cum exercitu in urbem reciperent. Et Amasias quidem, necessitate compulsus metuque ex vitæ periculo, auctor erat ut hostis intromitteretur. Ille vero, diruta murorum parte quasi quadringentorum cubitûm spatio, per hanc perruptionem cum curru invehitur Hierosolyma, captivum præ se agens Amasiam. Atque hoc modo in potestatem suam redactis Hierosolymis, et Dei thesauros abstulit, et exportavit quicquid auri argentique Amasiæ erat in regia, atque ita demum, quum Amasiam libertati restituisset, Samariam reversus est. Ista autem Hierosolymitanis acciderunt anno regni Amasiæ decimo quarto; qui post hæc, insidiis ei structis ab amicis, in urbem Lachisam profugit, et ab insidiatoribus occisus est, quum eo misissent qui illum ibi necarent. Et corpus quidem ejus Hierosolyma reportatum regiis exsequiis cohonestarunt. Ac vitam hoc modo finivit Amasias propter insolentiam et Dei contemptum, quum annos quattuor et quinquaginta vixisset, novem vero et viginti regnasset: eique succedit filius nomine Ozias.

CAP. X. (XI.)

Anno autem decimo quinto regni Amasiæ cœpit Hieroboamus Joasi filius in Israelitas regnare Samariæ annos quadraginta. Hic rex in Deum quidem erat contumeliosus legumque supra modum contemptor, ut qui idola colebat et multis operibus absurdis et peregrinis manum admovebat, populo vero Israelitarum mala innumera afferebat. Huic Jonas quidam vates prædixit ab ipso, si cum Syris bellum gesserit, labefactatum iri illorum potentiam, suique regni fines prolatum, ex partibus quidem septentrionalibus usque Amathum urbem, ad meridiem vero usque Asphaltitem paludem: his enim olim terminis Chananæa terra finiebatur, sicut Jesu imperatori visum erat eam circumscribere. Hieroboamus itaque, quum in Syros expeditionem fecisset, omnem eorum provinciam, juxta Jonæ vaticinium, in potestatem suam redegit.

2. Necessarium autem duxi, ut qui res gestas accurate perscripturum esse pollicitus fuerim, quicquid in Hebræorum libris de hoc vate relatum vidi oratione persequi. Iste enim a Deo jussus in Nini regnum proficisci, et ubi in urbem venisset illic prædicare, futurum ut imperium amitteret, præ metu eo non concessit: sed a Deo profugit in urbem Jopen, navique, quam forte nactus est, conscensa Tarsum Ciliciæ cursum intendebat. Quum autem vehemens coorta esset tempestas, et non procul abesset navis quin submergeretur, nautæ quidem et gubernator et ipse navicularius voverunt se gratias numini acturos, si e maris periculo

σαν. Ὁ δὲ Ἰωνᾶς συγκαλύψας αὑτὸν ἐβέβλητο, μηδὲν ὧν τοὺς ἄλλους ἑώρα ποιοῦντας μιμούμενος. Αὔξοντος δ' ἔτι μᾶλλον τοῦ κλύδωνος καὶ βιαιοτέρας γενομένης ὑπὸ τῶν πνευμάτων τῆς θαλάσσης, ὑπονοήσαντες, ὡς ἐνδέχεται, τινὰ τῶν ἐμπλεόντων αἴτιον αὐτοῖς εἶναι τοῦ χειμῶνος, συνέθεντο κλήρῳ τοῦτον ὅστις ποτὲ ἦν μαθεῖν. Κληρωσαμένων οὖν ὁ προφήτης λαγχάνει. Πυνθανομένων δὲ πόθεν τε εἴη καὶ τί μετέρχεται, τὸ μὲν γένος ἔλεγεν Ἑβραῖος εἶναι, προφήτης δὲ τοῦ μεγίστου Θεοῦ. Συνεβούλευσεν οὖν αὐτοῖς, εἰ θέλουσιν ἀποδρᾶναι τὸν παρόντα κίνδυνον, ἐκβαλεῖν αὐτὸν εἰς τὸ πέλαγος· αἴτιον γὰρ αὐτοῖς εἶναι τοῦ χειμῶνος. Οἱ δὲ τὸ μὲν πρῶτον οὐκ ἐτόλμων, κρίναντες ἀσέβημα εἶναι ξένον ἄνθρωπον καὶ πεπιστευκότα αὐτοῖς τὸ ζῆν εἰς φανερὰν οὕτως ἀπώλειαν ἐκρῖψαι· τελευταῖον δ' ὑπερβιαζομένου τοῦ κακοῦ καὶ ὅσον οὔπω μελλοντος βαπτίζεσθαι τοῦ σκάφους, ὑπό τε τοῦ προφήτου παρορμηθέντες αὐτοῦ καὶ ὑπὸ τοῦ δέους τοῦ περὶ τῆς ἑαυτῶν σωτηρίας, ῥίπτουσιν αὐτὸν εἰς τὴν θάλασσαν. Καὶ ὁ μὲν χειμὼν ἐστάλη, τὸν δὲ λόγος ὑπὸ τοῦ κήτους καταποθέντα τρεῖς ἡμέρας καὶ τοσαύτας νύκτας εἰς τὸν Εὔξεινον ἐκβρασθῆναι πόντον, ζῶντα καὶ μηδὲν τοῦ σώματος λελωβημένον. Ἔνθα τοῦ Θεοῦ δεηθεὶς συγγνώμην αὐτῷ παρασχεῖν τῶν ἡμαρτημένων ἀπῆλθεν εἰς τὴν Νινευὴν πόλιν, καὶ σταθεὶς εἰς ἐπήκοον ἐκήρυσσεν ὡς μετ' ὀλίγον πάνυ χρόνον ἀποβαλοῦσι τὴν ἀρχὴν τῆς Ἀσίας. Καὶ ταῦτα δηλώσας ὑπέστρεψε. Διεξῆλθον δὲ τὴν περὶ αὐτοῦ διήγησιν ὡς ἠδύνατο ἀναγεγραμμένην.

γ'. Ἱεροβόαμος δ' ὁ βασιλεὺς, μετὰ πάσης εὐδαιμονίας τὸν βίον διαγαγὼν καὶ ἄρξας ἔτη τεσσαράκοντα, ἐτελεύτησε. Καὶ θάπτεται μὲν ἐν Σαμαρείᾳ, διαδέχεται δ' αὐτοῦ τὴν βασιλείαν ὁ υἱὸς Ζαχαρίας. Τὸν αὐτὸν δὲ τρόπον καὶ Ὀζίας ὁ τοῦ Ἀμασίου υἱὸς, ἔτος ἤδη τέταρτον πρὸς τοῖς δέκα βασιλεύοντος Ἱεροβοάμου, τῶν δύο φυλῶν ἐβασίλευσεν ἐν Ἱεροσολύμοις, μητρὸς ὢν Ἀχιάλας μὲν τοὔνομα, ἀστῆς δὲ τὸ γένος. Ἀγαθὸς δ' ἦν καὶ δίκαιος τὴν φύσιν καὶ μεγαλόφρων καὶ προνοῆσαι τῶν πραγμάτων φιλοπονώτατος· στρατευσάμενος δὲ καὶ ἐπὶ Παλαιστίνους καὶ νικήσας μάχῃ πόλεις αὐτῶν ἕλαβε κατὰ κράτος Γίτταν καὶ Ἰάμνειαν, καὶ κατέσκαψεν αὐτῶν τὰ τείχη. Μετὰ δὲ ταύτην τὴν στρατείαν ἐπῆλθε τοῖς τῇ Αἰγύπτῳ γειτνιῶσιν Ἄραψι, καὶ πόλιν κτίσας ἐπὶ τῆς Ἐρυθρᾶς θαλάσσης, ἐγκατέστησεν αὐτῇ φρουράν. Ἔπειτα τοὺς Ἀμμανίτας καταστρεψάμενος καὶ φόρους αὐτοῖς ὁρίσας τελεῖν, καὶ πάντα τὰ μέχρι τῶν Αἰγυπτίων ὅρων χειρωσάμενος, τῶν Ἱεροσολύμων ἤρξατο ποιεῖσθαι τὸ λοιπὸν τὴν ἐπιμέλειαν. Ὅσα γὰρ τῶν τειχῶν ἢ ὑπὸ τοῦ χρόνου κατεβέβλητο ἢ ὑπὸ τῆς ὀλιγωρίας τῶν πρὸ αὐτοῦ βασιλέων, ταῦτά τε ἀνῳκοδόμει καὶ κατεσκεύαζεν, ὅσα τε ἦν καταβεβλημένα ὑπὸ τοῦ Ἰσραηλιτῶν βασιλέως, ὅτε τὸν πατέρα αὐτοῦ λαβὼν αἰχμάλωτον τὸν Ἀμασίαν εἰσῆλθεν εἰς τὴν πόλιν. Προσῳκοδόμησε δὲ καὶ πύρ-

evaderent : Jonas vero abditus jacebat, nihil eorum faciens quibus alios operam dare cernebat. Quum autem aquæ fluctus magis adhuc augerentur, et vehementius aliquanto a ventis mare concitaretur, suspicati, ut fieri solet, aliquem a vectoribus esse ipsis tempestatis causam, constituerunt jactis sortibus quisnam ille sit deprehendere. Hoc itaque facto, vati sors obtigit. Quumque interrogarent et unde esset et quidnam rei ageret, respondit se genere quidem esse Hebræum, summi vero Dei vatem. Illis itaque consilium dedit ut ipsum in mare dejicerent, si vellent præsens periculum effugere : sua enim causa ipsos tempestate vexari. At illi primum quidem hoc facere non audebant, nefas esse existimantes in tam manifestum exitium mittere hominem peregrinum, quique ipsis vitam suam commiserit : tandem vero exsuperante malo, navique propemodum eo adducta ut mergeretur, partim ab ipso vate incitati, partim metu impulsi ne salutis discrimen adirent, in mare eum projiciunt. Et tempestas quidem sævire desiit, hunc vero aiunt a ceto devoratum post tres dies totidemque noctes in Euxinum pontum ejectum fuisse, vivum et corpore nihil omnino læsum. Ubi a Deo delictorum veniam deprecatus, urbem Niniven adiit, et quum in loco constitisset, unde exaudiri poterat, proclamavit fore ut brevi admodum post tempore Asiæ imperium amitterent. Istisque annunciatis reversus est. Atque hanc de eo narrationem confeci ex iis quæ scriptis consignata reperi.

3. Rex autem Hieroboamus, quum vitam summa felicitate egisset, regnassetque annos quadraginta, diem suum obiit. Et Samariæ quidem sepelitur : ei vero in regnum succedit filius ipsius Zacharias. Ozias item Amasiæ filius, anno regni Hieroboami decimo quarto, in duas tribus regnare cœpit Hierosolymis, matre natus nomine Achiala, quæ genere civis erat. Ille autem natura bonus erat et justus et magnanimus, providendisque rebus sollers et industrius. Qui quum exercitum eduxisset in Palæstinos eosque pugna vicisset, urbes illorum Gittam et Jamniam vi cepit, et earum mœnia diruit. Ubi autem facta erat hæc expeditio, adortus est Arabas Ægypto finitimos, atque urbe ædificata ad mare Rubrum, præsidium in ea posuit. Post hæc Ammanitis subactis et certo tributo illis imperato, omnique regione usque ad Ægypti fines in potestatem suam redacta, cœpit in posterum Hierosolymis curam suam impendere. Quicquid enim mœnium vel vetustate collapsum erat, vel superiorum regum incuria, id totum de novo ædificavit et exstruxit, quicquid etiam dejectum erat ab Israelitarum rege, quando in urbem, quum patrem ejus Amasiam captivum ageret, ingressus est. Imposuit etiam turres multas centum et quinquaginta

γους πολλοὺς πεντήκοντα πηχῶν καὶ ἑκατόν. Καὶ φρουροὺς δ' ἐνετείχισε τοῖς ἐρήμοις χωρίοις καὶ πολλοὺς ὀχετοὺς ὤρυξεν ὑδάτων. Ἦν δ' αὐτῷ καὶ ὑποζυγίων καὶ τῶν ἄλλων θρεμμάτων ἄπειρόν τι πλῆθος· εὐφυὴς γὰρ ἦν ἡ χώρα πρὸς νομάς. Γεωργικὸς δ' ὢν σφόδρα τῆς γῆς ἐπεμελεῖτο, φυτοῖς αὐτὴν καὶ παντοδαποῖς τιθηνῶν σπέρμασι. Στρατιᾶς δ' εἶχεν ἐπιλέκτου περὶ αὐτὸν μυριάδας ἑπτὰ καὶ τριάκοντα, ἧς ἡγεμόνες ἦσαν καὶ ταξίαρχοι καὶ χιλίαρχοι γενναῖοι καὶ τὴν ἀλκὴν ἀνυπόστατοι τὸν ἀριθμὸν δισχίλιοι. Διέταξε δ' εἰς φάλαγγας τὴν ὅλην στρατιὰν καὶ ὥπλισε βομφαίαν δοὺς ἑκάστῳ καὶ θυρεοὺς καὶ θώρακας χαλκοῦς καὶ τόξα καὶ σφενδόνας. Ἔτι δὲ καὶ πρὸς τούτοις μηχανήματα πολλὰ πρὸς πολιορκίας κατεσκεύασε, πετροβόλα τε καὶ δορυβόλα, καὶ ἀρτῆρας καὶ ἅρπαγας καὶ ὅσα τούτοις ὅμοια.

δ'. Γενόμενος δ' ἐν ταύτῃ τῇ συντάξει καὶ παρασκευῇ διεφθάρη τὴν διάνοιαν ὑπὸ τύφου, καὶ χαυνωθεὶς θνητῇ περιουσίᾳ τῆς ἀθανάτου καὶ πρὸς ἅπαντα διαρκοῦς τὸν χρόνον ἰσχύος ὠλιγώρησεν, (αὕτη δ' ἦν ἡ πρὸς τὸν Θεὸν εὐσέβεια καὶ τὸ τηρεῖν τὰ νόμιμα,) ὤλισθεν δ' ὑπ' εὐπραγίας καὶ κατηνέχθη πρὸς τὰ τοῦ πατρὸς ἁμαρτήματα, πρὸς ἃ κἀκεῖνον ἡ τῶν ἀγαθῶν λαμπρότης καὶ τὸ μέγεθος τῶν πραγμάτων, οὐ δυνηθέντα προστῆναι καλῶς αὐτῶν, ἤγαγεν. Ἐνστάσης δ' ἡμέρας ἐπισήμου καὶ πάνδημον ἑορτὴν ἐχούσης, ἐνδὺς ἱερατικὴν στολὴν εἰσῆλθεν εἰς τὸ τέμενος, ἐπιθυμιάσων ἐπὶ τοῦ χρυσοῦ βωμοῦ τῷ Θεῷ. Τοῦ δ' ἀρχιερέως Ἀζαρίου, ὄντων σὺν αὐτῷ ἱερέων ὀγδοήκοντα, κωλύοντος αὐτὸν, (οὐ γὰρ ἐξὸν ἐπιθύειν εἶπον, μόνοις δ' ἐφεῖσθαι τοῦτο ποιεῖν τοῖς ἐκ τοῦ Ἀαρῶνος γένους,) καταβοώντων δ' ἐξιέναι καὶ μὴ παρανομεῖν εἰς τὸν Θεὸν, ὀργισθεὶς ἠπείλησεν αὐτοῖς θάνατον, εἰ μὴ τὴν ἡσυχίαν ἄξουσι. Μεταξὺ δὲ σεισμὸς ἐκλόνησε τὴν γῆν μέγας, καὶ διαστάντος τοῦ ναοῦ φέγγος ἡλίου λαμπρὸν ἐξέλαμψε, καὶ τῇ τοῦ βασιλέως ὄψει προσέπεσεν, ὡς τῷ μὲν εὐθέως λέπραν ἐπιβραμεῖν, πρὸ δὲ τῆς πόλεως, πρὸς τῇ καλουμένῃ Ἐρωγῇ, τοῦ ὄρους ἀπορραγῆναι τὸ ἥμισυ τοῦ κατὰ τὴν δύσιν, καὶ κυλισθὲν τέσσαρας σταδίους ἐπὶ τὸ ἀνατολικὸν ὄρος στῆναι, ὡς τάς τε παρόδους ἐμφραγῆναι καὶ τοὺς παραδείσους τοὺς βασιλικούς. Ἐπεὶ δὲ κατειλημμένην τὴν ὄψιν τοῦ βασιλέως ὑπὸ τῆς λέπρας εἶδον οἱ ἱερεῖς, ἔφραζόν τε αὐτῷ τὴν συμφορὰν καὶ ἐκέλευον ἐξιέναι τῆς πόλεως ὡς ἐναγῆ. Ὁ δὲ ὑπ' αἰσχύνης τε τοῦ συμβεβηκότος δεινοῦ καὶ τοῦ μηκέτ' αὐτῷ παρρησίαν εἶναι τὸ κελευόμενον ἐποίει, τῆς ὑπὲρ ἄνθρωπον διανοίας καὶ τῶν διὰ τοῦτ' εἰς τὸν Θεὸν ἀσεβημάτων ταλαίπωρον οὕτω καὶ οἰκτρὰν ὑπομείνας δίκην. Καὶ χρόνον μέν τινα διῆγεν ἔξω τῆς πόλεως, ἰδιώτην ἀποζῶν βίον, τοῦ παιδὸς αὐτῷ Ἰωθάμου τὴν ἀρχὴν παραλαβόντος· ἔπειτα ὑπὸ λύπης καὶ ἀθυμίας τῆς ἐπὶ τοῖς γεγενημένοις ἀπέθανεν, ἔτη μὲν βιώσας ὀκτὼ καὶ ἑξήκοντα, τούτων δὲ βασιλεύσας πεντήκοντα δύο. Ἐκηδεύθη δὲ μόνος ἐν τοῖς ἑαυτοῦ κήποις.

cubitorum. Quin et stationibus in solitudine munimenta circumdedit, multosque aquæ ductus excavavit. Erat autem ipsi et jumentorum aliorumque pecorum vis infinita: nam regio erat apta pascuis. Quumque esset agriculturæ deditus, terræ multum curæ adhibebat, eamque omni plantarum genere et seminum excolebat. Habebat etiam circa se militum exercitum electorum ad trecenta septuaginta millia, quibus præerant centuriones et tribuni, viri egregiæ fortitudinis et invicto robore præditi, ad duo millia numero. Totum autem exercitum in phalanges disposuit, armisque instruxit, unicuique dato gladio, et clypeis et thoracibus æreis, arcubus etiam et fundis. Quin et præter hæc machinas multas fecit ad oppida in obsidione expugnanda, instrumenta etiam quibus lapides et tela jacerentur, ut et tollenones et harpagones et quæcunque hisce similia.

4. Ceterum quum ea ita constituisset et præparasset, ex fastu mente corruptus est, atque peritura rerum copia inflatus vim immortalem et in omne ævum duraturam insuper habuit, (ista autem erat pietas erga Deum legumque observantia,) rerumque successu sublatus cecidit, et ad eadem in quibus deliquerat pater prolapsus est, ad quæ fortunæ splendor rerumque gestarum magnitudo etiam illum perduxerunt, istis moderandis imparem. Nam instante die celebri, quo festum erat solenne populo universo, veste indutus sacerdotali in fanum ingressus est, suffitum in aureo altari Deo facturus. Azaria autem pontifice, cui aderant octoginta sacerdotes, eum prohibente, (haud enim fas esse rem divinam facere dicebant, iis vero solis hoc datum esse qui ex Aaronis stirpe,) et clamantibus ut exiret Deique leges ne violaret, ira accensus mortem illis minatus est, nisi quiescerent. Interea autem ingens motus terram concussit, et scisso templo splendida lux solis emicuit, et in regis faciem incidit, ita ut statim eum invadcret lepra; ante urbem vero ad locum; qui dicitur Eroge, montis fracta est pars dimidia quæ ad occidentem erat, et voluta per stadia quattuor ad orientalem montis partem constitit, ita ut et viæ obstruerentur et horti regis. Porro sacerdotes, quum faciem regis lepra infectam animadvertissent, et calamitatem ei indicabant, atque jubebant ut urbe excederet tanquam impurus. Ille vero, quod cum mali sibi illati puduerit et omni de fiducia exciderit, imperatum faciebat, animi supra humanam sortem elati, atque inde suæ in Deum impietatis miseram adeo miserandamque pœnam perferens. Et extra quidem urbem aliquamdiu versabatur, vitam agens privatam, filio ejus Jothamo gubernaculo imperii admoto; postea præ mœrore animique anxietate ex facinoribus orta vitam finivit, quum annos quidem octo et sexaginta vixisset, ex his vero duo et quinquaginta regnum tenuisset. Solus autem in hortis suis sepultus est.

ΚΕΦ. ΙΑ'.

Ὁ δὲ τοῦ Ἱεροβοάμου παῖς Ἀζαρίας ἓξ μησὶ βασιλεύσας τῶν Ἰσραηλιτῶν, δολοφονηθεὶς ἀπέθανεν ὑπὸ φίλου τινὸς, Σελλούμου μὲν τοὔνομα, Ἰαβήσου δὲ υἱοῦ, ὃς καὶ τὴν βασιλείαν μετ' αὐτὸν παραλαβών, οὐ πλείονα χρόνον ἡμερῶν αὐτὴν κατέσχε τριάκοντα. Ὁ γὰρ στρατηγὸς Μανάημος κατ' ἐκεῖνον τὸν καιρὸν ὢν ἐν Θαρσῇ πόλει, καὶ τὰ περὶ τὸν Ἀζαρίαν ἀκούσας, ἅρας μετὰ πάσης τῆς στρατιᾶς ἦκεν εἰς Σαμάρειαν, καὶ συμβαλὼν εἰς μάχην ἀναιρεῖ τὸν Σέλλουμον, καὶ βασιλέα καταστήσας ἑαυτὸν ἐκεῖθεν εἰς Θαψὰν παραγίνεται πόλιν. Οἱ δ' ἐν αὐτῇ τὰς πύλας μοχλῷ κλείσαντες οὐκ εἰσεδέξαντο τὸν βασιλέα· ὁ δ' ἀμυνόμενος αὐτοὺς τὴν πέριξ ἐδῄου χώραν καὶ τὴν πόλιν κατὰ κράτος λαμβάνει πολιορκίᾳ, φέρων τε χαλεπῶς ἐπὶ τοῖς ὑπὸ τῶν Θαψιατῶν πραχθεῖσι, πάντας αὐτοὺς διεχρήσατο μηδὲ νηπίων φειδόμενος, ὠμότητος ὑπερβολὴν οὐ καταλιπὼν οὐδὲ ἀγριότητος. Ἃ γὰρ οὐδὲ τῶν ἀλλοφύλων τινὰς συγγνωστὸν διαθεῖναι γενομένους ὑποχειρίους, ταῦτα τοὺς ὁμοφύλους οὗτος εἰργάσατο. Βασιλεύσας οὖν τῷ τρόπῳ τούτῳ ὁ Μανάημος ἐπ' ἔτη δέκα σκαιὸς καὶ πάντων ὠμότατος διέμεινεν ὤν. Στρατεύσαντος δ' ἐπ' αὐτὸν Φούλλου τοῦ Ἀσσυρίων βασιλέως, εἰς μὲν ἀγῶνα καὶ μάχην οὐκ ἀπήντα τοῖς Ἀσσυρίοις, πείσας δὲ χίλια τάλαντα ἀργυρίου λαβόντα ἀναχωρῆσαι διαλύεται τὸν πόλεμον. Τὸ δὲ κεφάλαιον τοῦτο συνήνεγκε τὸ πλῆθος Μαναήμῳ, πραχθὲν κατὰ κεφαλὴν δραχμὰς πεντήκοντα. Τελευτήσας δὲ μετὰ ταῦτα κηδεύεται μὲν ἐν Σαμαρείᾳ, καταλείπει δὲ τῆς βασιλείας τὸν υἱὸν Φακέαν διάδοχον, ὃς τῇ τοῦ πατρὸς κατακολουθήσας ὠμότητι δυσὶν ἔτεσι μόνοις ἦρξεν. Ἔπειτα δολοφονηθεὶς ἐν συμποσίῳ μετὰ φίλων ἀπέθανε, Φακέου τινὸς, ὃς ἦν χιλίαρχος, ἐπιβουλεύσαντος αὐτῷ, παιδὸς δὲ Ῥομελίου. Κατασχὼν δὲ καὶ οὗτος ὁ Φακέας τὴν ἀρχὴν ἔτεσιν εἴκοσι ἀσεβής τε ἦν καὶ παράνομος. Ὁ δὲ τῶν Ἀσσυρίων βασιλεὺς Θεγλαφαλάσσαρ τοὔνομα, ἐπιστρατευσάμενος τοῖς Ἰσραηλίταις, καὶ τήν τε Γαλαδηνὴν ἅπασαν καταστρεψάμενος καὶ τὴν πέραν τοῦ Ἰορδάνου χώραν καὶ τὴν πρὸς αὐτὴν τὴν Γαλιλαίαν καλουμένην καὶ Κύδισαν καὶ Ἄσωρα, καὶ τοὺς οἰκήτορας αἰχμαλωτίσας, μετέστησεν εἰς τὴν αὐτοῦ βασιλείαν. Καὶ τὰ μὲν περὶ τοῦ Ἀσσυρίων βασιλέως ἐν τούτοις ἡμῖν δεδηλώσθω.

β'. Ἰώθαμος δὲ Ὀζία παῖς ἐβασίλευσε τῆς Ἰούδα φυλῆς ἐν Ἱεροσολύμοις, ἐκ μητρὸς μὲν ἀστῆς γεγονὼς, καλουμένης δὲ Ἱεράσης. Οὗτος ὁ βασιλεὺς οὐδεμιᾶς ἀρετῆς ἀπελείπετο, ἀλλ' εὐσεβὴς μὲν τὰ πρὸς τὸν Θεὸν, δίκαιος δὲ πρὸς ἀνθρώπους ὑπῆρξεν. Ἐπιμελητὴς δὲ τῶν κατὰ τὴν πόλιν (ὅσα γὰρ ἐπισκευῆς ἐδεῖτο καὶ κόσμου, ταῦτα φιλοτίμως ἐξειργάσατο) στοὰς μὲν τὰς ἐν τῷ ναῷ ἱδρύσας καὶ προπύλαια, τὰ δὲ καταπεπτωκότα τῶν τειχῶν ἀνέστησε, πύργους παμμεγέθεις καὶ δυσαλώτους οἰκοδομήσας· καὶ τῶν ἄλλων, εἴ τι κατὰ τὴν

CAP. XI.

Azarias autem, quum in Israelitas regnasset sex menses, diem obiit, dolo peremptus ab amico quodam, Sellumo nomine, Jabesi filio, qui quum ei in regnum successisset, illud spatio triginta dierum et non amplius tenuit. Manaemus enim exercitus dux, quum eo tempore in urbe Tharsa versaretur, et id quod Azariæ acciderat fama accepisset, castris inde motis cum toto exercitu Samariam venit, prælioque cum Sellumo congressus eum interimit, quumque semet regem constituisset, illinc ad urbem Thapsam proficiscitur. At qui intus erant portis obfirmatis regem non admiserunt. Ille vero, ut illos ulcisceretur, regionem circumcirca ferro et igni vastavit, urbemque, quum eam obsedisset, vi expugnat, et graviter ferens quæ a Thapsensibus facta erant, omnes ferro peremit, ne infantibus quidem parcens, nihil sibi reliqui faciens ad summam crudelitatem feritatemve. Quæ enim veniam non merebantur si in externos bello victos essent edita, ea iste fecit in populares suos. Manaemus itaque quum hoc modo regnum iniisset, per decem annos perversus esse perstitit et omnium crudelissimus. A Phullo autem Assyriorum rege bello ei illato, in certamen quidem pugnamque cum Assyriis non descendit, sed, quum ei suasisset ut mille talentis argenti acceptis recederet, dirimit bellum. At hanc summam Manaemo populus contulit, exactis in singula capita quinquaginta drachmis. Post hæc autem vita defunctus Samariæ quidem sepelitur, filium vero Phaceam, qui ei in regnum succederet, relinquit. Is, patris crudelitatem sequutus, duobus tantum annis regnavit, et non multo post in convivio cum amicis dolo occisus periit, a Phacea quodam, qui tribunus erat, filius vero Romeliæ, circumventus. Ceterum et hic Phaceas, quum per annos viginti imperium teneret, et impius erat et iniquus. Assyriorum autem rex, cui nomen Theglaphalassar, quum expeditionem fecisset in Israelitas, omnemque terram Galadenam subegisset, ut et regionem Transjordanianam, vicinamque ei Galilæam nuncupatam, atque Cydisam et Azora, colonosque in captivitatem egisset, in regnum suum reversus est. Et de iis quidem quæ ad Assyriorum regem spectant, hæc nobis sufficiat dixisse.

2. Ceterum Jothamus Oziæ filius in Judæ tribum regnavit Hierosolymis, matre quidem cive natus, quæ nomine erat Hierasa. Huic regi nulla deerat virtus, sed semet et erga Deum pium, et erga homines justum ostendebat. Præterea rebus civitatis curam adhibuit; (quicquid enim instaurari desiderabat et ornari, id summo studio confecit et absolvit; nam quum porticus templo constituisset et vestibula, muros quoque collapsos restituit, quos turribus bene magnis captuque difficilibus communivit: et si quid aliud in regno suo neglectum fuerit, in id multum curæ

βασιλείαν ἠμέλητο, πολλὴν ἐπιστροφὴν ἐποιεῖτο. Στρατευσάμενος δὲ καὶ ἐπὶ τοὺς Ἀμμανίτας καὶ κρατήσας αὐτῶν τῇ μάχῃ, προσέταξεν αὐτοῖς φόρους κατὰ πᾶν ἔτος αὐτῷ τελεῖν ἑκατὸν τάλαντα καὶ σίτου κόρους μυρίους, τοὺς αὐτοὺς δὲ καὶ κριθῆς. Ηὔξησε δὲ οὕτω τὴν βασιλείαν, ὥστε ἀκαταφρόνητον μὲν αὐτὴν ἐκ τῶν πολεμίων εἶναι, τοῖς δ' οἰκείοις εὐδαίμονα.

γ'. Ἦν δέ τις κατὰ τοῦτον τὸν καιρὸν προφήτης Νάουμος τοὔνομα, ὃς περὶ τῆς Ἀσσυρίων καταστροφῆς καὶ τῆς Νίνου προφητεύων ἔλεγεν οὕτως. « Ἔσται Νι-« νευὴ κολυμβήθρα ὕδατος κινουμένη, οὕτω καὶ ὁ δῆ-« μος ἅπας ταρασσόμενος καὶ κλυδωνιζόμενος οἰχήσε-« ται φεύγων, λεγόντων πρὸς ἀλλήλους, στῆτε καὶ μεί-« νατε, καὶ χρυσὸν αὐτοῖς καὶ ἄργυρον ἁρπάσατε. « Ἔσται δ' οὐδεὶς βουλησόμενος· (σώζειν γὰρ αὐτῶν « ἐθελήσουσι τὰς ψυχὰς μᾶλλον ἢ τὰ κτήματα·) δεινὴ « γὰρ αὐτοὺς ἐν ἀλλήλοις ἔρις ἕξει καὶ θρῆνος, πάρεσίς « τε τῶν μελῶν, αἵ τε ὄψεις ὑπὸ τοῦ φόβου μέλαιναι « τελέως αὐτοῖς γενήσονται. Ποῦ δὲ ἔσται τὸ κατοι-« κητήριον τῶν λεόντων καὶ ἡ μήτηρ σκύμνων; λέγει « δέ σοι ὁ Θεὸς, Νινευὴ, ὅτι ἀφανίσω σε, καὶ οὐκέτι « λέοντες ἐκ σοῦ πορευόμενοι ἐπιτάξουσι τῷ κόσμῳ. » Καὶ ἄλλα δὲ πολλὰ πρὸς τούτοις προεφήτευσεν οὗτος ὁ προφήτης περὶ Νινευῆς, ἅπερ λέγειν οὐκ ἀναγκαῖον ἡγησάμην, ἵνα δὲ μὴ τοῖς ἐντυγχάνουσιν ὀχληρὸς δοκῶ, παρέλιπον. Συνέβη δὲ πάντα τὰ προειρημένα περὶ Νινευῆς, μετὰ ἔτη ἑκατὸν καὶ πεντεκαίδεκα. Περὶ μὲν οὖν τούτων ἀποχρώντως ἡμῖν δεδήλωται.

ΚΕΦ. ΙΒ'.

Ὁ δ' Ἰώθαμος μετήλλαξεν ἔτη βιώσας ἓν καὶ τεσ-σαράκοντα, βασιλεύσας δ' ἐξ αὐτῶν ἑκκαίδεκα. Θάπτεται δ' ἐν ταῖς βασιλικαῖς θήκαις. Ἔρχεται δ' εἰς τὸν υἱὸν αὐτοῦ Ἀχάζην ἡ βασιλεία· ὃς ἀσεβέστατος εἰς τὸν Θεὸν γενόμενος καὶ τοὺς πατρίους παραβὰς νόμους τοὺς Ἰσραηλιτῶν βασιλέας ἐμιμήσατο, βωμοὺς ἐν Ἱερο-σολύμοις ἀναστήσας καὶ θύων ἐπ' αὐτῶν τοῖς εἰδώλοις, οἷς καὶ ἴδιον ὁλοκαύτωσε παῖδα κατὰ τὰ Χαναναίων ἔθη, καὶ τούτοις ἄλλα παραπλήσια διεπράσσετο. Ἔχοντος δ' οὕτω καὶ μεμηνότος, ἐστράτευσεν ἐπ' αὐτὸν ὁ τῶν Σύρων καὶ Δαμασκηνῶν βασιλεὺς Ἀράσης, καὶ Φακέας ὁ τῶν Ἰσραηλιτῶν (φίλοι γὰρ ἦσαν·) καὶ συνε-λάσαντες αὐτὸν εἰς Ἱεροσόλυμα, ἐπὶ πολὺν ἐπολιόρκουν χρόνον, διὰ τὴν τῶν τειχῶν ὀχυρότητα μηδὲν ἀνύοντες. Ὁ δὲ τῶν Σύρων βασιλεὺς, λαβὼν τὴν πρὸς τῇ Ἐρυθρᾷ θαλάσσῃ πόλιν Αἴλαθ καὶ τοὺς ἐνοικοῦντας ἀποκτείνας, ἐγκατῴκισεν αὐτῇ Σύρους· τοὺς δ' ἐν τοῖς φρουρίοις ὁμοίως καὶ τοὺς πέριξ Ἰουδαίους διαφθείρας καὶ λείαν πολλὴν ἀπελάσας εἰς Δαμασκὸν, μετὰ τῆς στρατιᾶς ἀνέζευξεν. Ὁ δὲ τῶν Ἱεροσολύμων βασιλεὺς, γνοὺς τοὺς Σύρου; ἐπ' οἶκου κεχωρηκότας καὶ νομίσας ἀξιό-μαχος εἶναι τῷ τῶν Ἰσραηλιτῶν βασιλεῖ, τὴν δυνάμιν ἐπ' αὐτὸν ἐξήγαγε, καὶ συμβαλὼν ἐνικήθη κατὰ μῆνιν τοῦ Θεοῦ, ἣν ἐπὶ τοῖς ἀσεβήμασιν αὐτοῦ πολλοῖς ἅμα

impendebat. Quin et expeditione in Ammanitas suscepta iisque pugna debellatis, imperavit illis tributum quotannis ipsi solvendum, centum talenta, et tritici decem cororum millia, ac præterea hordei totidem. Adeoque imperium auxit, ut et hostibus in contemptum non veniret, suisque felix videretur.

3. Erat autem quidam eo tempore vates, cui nomen Nahumus, qui de Assyriorum et Nini subversione vaticinans hæc loquutus est. « Erit Ninive piscina aquarum *ventis* agi-« tata : sic etiam populus omnis turbatus et fluctuans in fu-« gam se conjiciet, sibi invicem dicentes, state et resistite, « aurumque et argentum diripite. Nemo autem erit cui hoc « persuadebitur : (volent enim magis vitam suam servare « quam facultates :) nam grave illos occupabit dissidium, « luctusque illis erit et lamentatio, et membra labascent, « et cunctorum facies præ pavore pallorem contrahent. Ubi « autem erit leonum lustrum et catulorum mater? Porro « tibi, Ninive, dicit Deus, te funditus perdam, et non am-« plius leones ex te egressi mundo imperitabunt. » Porro et alia adhuc multa vates iste de Ninive prædixit, quæ mihi ad referendum non necessaria esse existimavi, sed prætermisi, ne legentibus molestus esse viderer. Evenerunt autem omnia quæ de Ninive prædicta sunt centum et quindecim post annos. Itaque de his quidem satis nobis dictum est.

CAP. XII.

Jothamus autem diem suum obiit, quum vixisset annos quadraginta et unum, et sedecim ex his regnasset, sepultusque est in regiis conditoriis. At in regnum successit Achazes ejus filius, qui in Deum nequissimus contra leges patrias faciendo Israelitarum reges imitatus est, super altaribus, quæ Hierosolymis erexerat, idolis sacrificans, quibus etiam, more Chananæorum, filium suum in solidum sacrificium immolavit, atque alia hisce similia perpetravit. Ceterum quum ita se haberet et insaniret, illum Syrorum et Damascenorum rex Arases et Israelitarum Phaceas bello adorti sunt, (nam amici erant;) et quum ipsum in Hierosolyma compulissent, diu obsederunt, nihil proficientes quod muris cincta esset validissimis. Syrorum autem rex, capta urbe Ailath ad mare Rubrum sita, incolisque ejus occisis, eo Syrorum coloniam deduxit. Quumque Judæos, tam qui in præsidiis erant, quam qui undique circumfusi, interfecisset, multumque prædæ Damascum abegisset, cum exercitu reversus est. Hierosolymorum autem rex, quum intellexisset Syros domum rediisse, ratus se Israelitarum regi viribus haud imparem esse, copias contra eum eduxit, congressusque prælio victus est, ira Dei in eum accensa ob

καὶ μεγάλοις εἶχε. Δώδεκα γὰρ αὐτοῦ μυριάδες κατ' ἐκείνην τὴν ἡμέραν ὑπὸ τῶν Ἰσραηλιτῶν ἀνῃρέθησαν, ὧν ὁ στρατηγὸς Ζάχαρις τὸν υἱὸν ἀπέκτεινε ἐν τῇ συμβολῇ τοῦ βασιλέως Ἀχάζου, Ἀμασίαν ὄνομα, καὶ τὸν ἐπίτροπον τῆς βασιλείας ἁπάσης Ἐρικὰν καὶ τὸν τῆς Ἰούδα φυλῆς στρατηγὸν Ἐλκὰν αἰχμάλωτον ἔλαβε, καὶ ἐκ τῆς Βενιαμίτιδος φυλῆς γυναῖκας καὶ παῖδας ἀπήγαγον καὶ πολλὴν λείαν διαρπάσαντες ἀνεχώρουν εἰς Σαμάρειαν.

β'. Ὠβηδὰς δέ τις, ὃς κατ' ἐκεῖνο καιροῦ προφήτης ὑπῆρχεν ἐν Σαμαρείᾳ, τῷ στρατῷ πρὸ τῶν τειχῶν ἀπαντήσας, μεγάλῃ βοῇ τὴν νίκην αὐτοῖς οὐ διὰ τὴν οἰκείαν αὐτῶν ἰσχὺν ἐδήλου γενέσθαι, διὰ δὲ τὸν τοῦ Θεοῦ χόλον, ὃν εἶχεν ἐπ' Ἀχάζην τὸν βασιλέα. Καὶ κατεμέμφετο τῇ μὲν εὐπραγίᾳ τῇ κατ' αὐτοῦ μὴ ἀρκεσθέντας, ἀλλὰ τολμήσαντας τοὺς ἐκ τῆς Ἰούδα φυλῆς καὶ Βενιαμίτιδος συγγενεῖς ὄντας αἰχμαλωτίσαι· συνεβούλευέ τε αὐτοῖς ἀπολῦσαι τούτους εἰς τὴν οἰκείαν ἀπαθεῖς· ἀπειθήσαντας γὰρ τῷ Θεῷ δίκην ὑφέξειν. Ὁ δὲ τῶν Ἰσραηλιτῶν λαὸς εἰς τὴν ἐκκλησίαν συνελθὼν ἐπεσκέπτετο περὶ τούτων. Ἀναστὰς δέ τις Βαραχίας ὀνόματι τῶν εὐδοκιμούντων ἐν τῇ πολιτείᾳ καὶ ἄλλοι μετ' αὐτοῦ τρεῖς ἔλεγον οὐκ ἐπιτρέψειν τοῖς πολίταις εἰσαγαγεῖν αὐτοὺς εἰς τὴν πόλιν, ἵνα μὴ πάντες ἀπολώμεθα ὑπὸ τοῦ Θεοῦ· μόνον γὰρ ἀπόχρη τὸ πρὸς αὐτὸν ἡμᾶς ἐξαμαρτεῖν, ὡς οἱ προφῆται λέγουσιν, ἀλλὰ μὴ καινότερα τούτων ἀσεβήματα δρᾶν. Ταῦτα δ' ἀκούσαντες οἱ στρατιῶται συνεχώρησαν ἐκείνοις ποιεῖν ὃ ἐδόκει συμφέρειν. Παραλαβόντες οὖν οἱ προειρημένοι ἄνδρες τοὺς αἰχμαλώτους ἔλυσάν τε καὶ ἐπιμελείας ἠξίωσαν, καὶ δόντες ἐφόδια εἰς τὴν οἰκείαν ἀπέλυσαν ἀβλαβεῖς. Οὐδὲν δ' ἧττον καὶ τέσσαρες αὐτοῖς συνῆλθον, καὶ μέχρις Ἱεριχοῦντος προπέμψαντες οὐκ ἄπωθεν τῶν Ἱεροσολύμων ἀνέστρεψαν εἰς Σαμαρείας χώραν.

(ΙΓ'.) γ'. Ἀχάζης δ' ὁ βασιλεὺς ταῦτα παθὼν ὑπὸ τῶν Ἰσραηλιτῶν, πέμψας πρὸς τὸν τῶν Ἀσσυρίων βασιλέα Θεγλαφαλασσάρην, συμμαχίαν αὐτῷ παρασχεῖν παρεκάλει πρὸς τὸν πόλεμον τὸν πρὸς τοὺς Ἰσραηλίτας καὶ Σύρους καὶ Δαμασκηνούς, χρήματα πολλὰ δώσειν ὑπισχνούμενος· ἔπεμψε δ' αὐτῷ καὶ λαμπρὰς δωρεάς. Ὁ δέ, τῶν πρέσβεων ἀφικομένων πρὸς αὐτὸν, ἦκε σύμμαχος Ἀχάζῃ, καὶ στρατεύσας ἐπὶ τοὺς Σύρους τήν τε χώραν αὐτῶν ἐπόρθησε καὶ τὴν Δαμασκὸν κατὰ κράτος εἶλε καὶ τὸν βασιλέα Ἀράσην ἀπέκτεινε· τοὺς δὲ Δαμασκηνοὺς ἀπῴκισεν εἰς τὴν ἄνω Μηδίαν, καὶ ἐκ τῶν ἐθνῶν τῶν Ἀσσυρίων μεταστήσας τινὰς εἰς τὴν Δαμασκὸν κατῴκισε. Τὴν δὲ τῶν Ἰσραηλιτῶν γῆν κακώσας πολλοὺς ἀπ' αὐτῆς αἰχμαλώτους συνέλαβε. Ταῦτ' αὐτοῦ διαπραξαμένου τοὺς Σύρους, ὁ βασιλεὺς Ἀχάζης ἅρας τὸν χρυσὸν ὅσος ἦν ἐν τοῖς βασιλικοῖς θησαυροῖς, καὶ τὸν ἄργυρον, καὶ τὰ ἐν τῷ ναῷ τοῦ Θεοῦ, καὶ εἴ τι κάλλιστον ἀνάθημα, τοῦτο βαστάσας ἦκεν εἰς Δαμασκὸν, καὶ ἔδωκε τῷ τῶν Ἀσσυρίων βασιλεῖ κατὰ τὰς ὁμολογίας, καὶ πάντων αὐτῷ χάριν ἔχειν ὁμολογήσας ὑπέστη.

tot tantaque ejus impia facinora. Nam ea die centum et viginti millia Judæorum occiderunt Israelitæ, quorum dux Zacharis filium regis Achazæ in ipso conflictu interfecit, nomine Amasiam, et totius regni procuratorem Ericam et Judæ tribus militiæ præfectum Elcam vivos in potestatem suam redegit, præterea ex tribu Benjamitide mulieres cum liberis abduxerunt, et quum multum prædæ diripuissent, Samariam se recipiebant.

2. Obedas autem quidam, qui in Samaria per id tempus vates erat, obviam egressus exercitui ante mœnia, magna voce declarabat victoriam illis contigisse non propria ex virtute, sed ira Dei qua in regem Achazen esset concitatus; eosque reprehendebat, quod prosper rerum contra ipsum successus illis non suffecerit, sed ausi fuerint homines ex tribu Judæ et Benjamitica consanguineos suos captivos abducere: illisque suadebat ut istos illæsos domum dimitterent; nam sibi dicto non audientes Deo pœnas daturos esse. Populus vero Israelitarum, quum in concionem convenissent, de his consultabant. Ac quum surrexisset quidam magnæ in republica auctoritatis, nomine Barachias, unaque cum eo tres alii, dicebant, « nobis visum est non permittere civibus ut captivos in urbem introducant, ne omnes a Deo pereamus. Nostra enim in ipsum peccata per se satis magna sunt, uti dicunt vates, adeo ut cavendum sit ne novis nosmet sceleribus obstringamus. » Quum autem ista audissent milites, concesserunt illis ut facerent quodcunque expedire videbatur. Viri itaque prædicti sumptis captivis, vinculis eos exemerunt, curatisque corporibus, adjutos viatico domum remiserunt, nulla injuria affectos. Præterea etiam quattuor eos comitati sunt, et quum Hierichuntem usque adduxissent, non longe ab Hierosolymis *dissitam*, Samariam redierunt.

(XIII.) 3. Achazes autem rex hac clade ab Israelitis affectus, missa ad Assyriorum regem Theglaphalassaren legatione, petiit ut secum iniret belli societatem contra Israelitas et Syros et Damascenos, magnam pecuniæ vim ei pollicens; ac præterea ei misit munera splendida. Ille vero, postquam legati ad eum venerant, Achazæ auxilium laturus properat, atque expeditione in Syros facta, et regionem eorum depopulatus est, et Damascum vi cepit, et Arasen regem occidit. Damascenos autem in Mediam superiorem transtulit, et ex Assyriorum gentibus coloniam in Damascum deduxit. Israelitarum deinde terra vexata, multos ex ea captivos secum abduxit. Quum autem ille Syros hoc modo tractasset, rex Achazes, sublato quantum erat auri et argenti in regiis thesauris atque etiam in ipso templo Dei, et donariis quotquot erant pulcerrima, hæc secum deferens venit Damascum, et, sicut ante pactus fuerat, regi Assyriorum tradidit, actisque ei pro omnibus gratiis, reversus est Hierosolyma.

στρεψεν εἰς Ἱεροσόλυμα. Ἦν δ' οὕτως ἀνόητος καὶ τοῦ συμφέροντος ἀσυλλόγιστος οὗτος ὁ βασιλεὺς, ὥστ' οὐδὲ πολεμούμενος ὑπὸ τῶν Σύρων ἐπαύσατο τοὺς θεοὺς αὐτῶν προσκυνῶν, ἀλλὰ διετέλει τούτους σεβόμενος ὡς παρεξομένους αὐτῷ τὴν νίκην. Ἡττηθεὶς δὲ πάλιν τοὺς Ἀσσυρίων ἤρξατο τιμᾶν θεοὺς, καὶ πάντας ἐῴκει μᾶλλον τιμήσων ἢ τὸν πατρῷον καὶ ἀληθῶς Θεὸν, ὃς αὐτῷ καὶ τῆς ἥττης ὀργιζόμενος ἦν αἴτιος. Ἐπὶ τοσοῦτον δ' ὀλιγωρίας καὶ καταφρονήσεως ἦλθεν, ὡς καὶ τέλεον ἀποκλεῖσαι τὸν ναὸν, καὶ τὰς νενομισμένας ἀπαγορεῦσαι θυσίας ἐπιφέρειν, καὶ περιδῦσαι τῶν ἀναθημάτων αὐτόν. Ταῦθ' ὑβρίσας τὸν Θεὸν ἐτελεύτησεν, ἔτη μὲν βιώσας ἓξ καὶ τριάκοντα, βασιλεύσας δ' ἐξ αὐτῶν ἑκκαίδεκα, τὸν υἱὸν Ἐζεκίαν διάδοχον καταλιπών.

ΚΕΦ. ΙΓ'.

Ἀπέθανε δ' ὑπὸ τὸν αὐτὸν καιρὸν καὶ ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς Φακέας, ἐπιβουλεύσαντος αὐτῷ φίλου τινὸς Ὡσήου τοὔνομα, ὃς κατασχὼν τὴν βασιλείαν ἐπ' ἔτη ἐννέα πονηρός τε ἦν καὶ τῶν πρὸς τὸν Θεὸν ὀλίγωρος. Στρατεύει δ' ἐπ' αὐτὸν ὁ τῶν Ἀσσυρίων βασιλεὺς Σαλμανασάρης, καὶ κρατήσας αὐτοῦ (τὸν Θεὸν γὰρ οὐκ εἶχεν ἴσως εὐμενῆ καὶ σύμμαχον) ὑπήκοον ἐποιήσατο καὶ φόρους ἐπέταξεν αὐτῷ τελεῖν ὡρισμένους. Ἔτει δὲ τετάρτῳ τῆς βασιλείας Ὡσήου ἐβασίλευσεν Ἐζεκίας ἐν Ἱεροσολύμοις, Ἀχάζου υἱὸς καὶ Ἀβίας ἀστῆς τὸ γένος. Φύσις δὲ ἦν αὐτῷ χρηστὴ καὶ δικαία καὶ θεοσεβής· οὐδὲν γὰρ ἄλλο πρῶτον εἰς τὴν βασιλείαν παρελθὼν οὔτ' ἀναγκαιότερον οὔτε συμφορώτερον αὐτῷ τε καὶ τοῖς ἀρχομένοις ὑπέλαβε τοῦ θρησκεύειν τὸν Θεὸν, ἀλλὰ συγκαλέσας τὸν λαὸν καὶ τοὺς ἱερεῖς καὶ τοὺς Λευίτας ἐδημηγόρησεν ἐν αὐτοῖς λέγων· « οὐκ ἀγνοεῖτε μὲν « ὡς διὰ τὰς τοῦ πατρὸς ἁμαρτίας τοὐμοῦ, παραβάντος « τὴν πρὸς τὸν Θεὸν ὁσίαν [τιμὴν], πολλῶν ἐπειράθητε « καὶ μεγάλων κακῶν, διαφθαρέντες ὑπ' αὐτοῦ τὴν διά« νοιαν καὶ ἀναπεισθέντες οὓς αὐτὸς ἐδοκίμαζεν εἶναι « θεοὺς, τούτοις προσκυνεῖν. Παραινῶ δ' ὑμῖν ἔργῳ « μεμαθηκόσιν ὡς ἔστι δεινὸν τὸ ἀσεβεῖν, τούτου μὲν « ἤδη λήθην ποιήσασθαι, καθᾶραι δ' αὐτοὺς ἐκ τῶν « προτέρων μιασμάτων, τούς τε ἱερεῖς καὶ Λευίτας « συνελθόντας οὕτως ἀνοῖξαί τε τὸ ἱερὸν καὶ καθήραντας « αὐτὸ ταῖς ἐξ ἔθους θυσίαις εἰς τὴν ἀρχαίαν καὶ πάτριον « ἀνακαλέσασθαι τιμήν. Οὕτω γὰρ ἂν τὸν Θεὸν εὐ« μενῆ ποιήσαιμεν, ἀφέντα τὴν ὀργήν. »

β'. Ταῦτ' εἰπόντος τοῦ βασιλέως οἱ ἱερεῖς ἀνοίγουσι τὸ ἱερὸν, καὶ ἀνοίξαντες τὰ σκεύη τοῦ Θεοῦ ηὐτρέπισαν καὶ τὰ μιάσματα ἐκβαλόντες τὰς ἐξ ἔθους τῷ βωμῷ θυσίας ἐπέφερον. Διαπέμψας δὲ ὁ βασιλεὺς εἰς τὴν ὑπ' αὐτὸν χώραν ἐκάλει τὸν λαὸν εἰς Ἱεροσόλυμα τὴν τῶν ἀζύμων ἑορτὴν ἄξοντα· πολὺν γὰρ ἐκλελοίπει χρόνον διὰ τὰς τῶν προειρημένων βασιλέων παρανομίας. Ἐξαπέστειλε δὲ καὶ πρὸς τοὺς Ἰσραηλίτας προτρεπόμενος αὐτοὺς ἀφέντας τὸν ἄρτι βίον εἰς τὴν ἀρχαίαν

Erat autem hic rex tam stultus et incogitans, et quid e re sua esset tam male subductum habebat, ut quamvis a Syris debellatus, ab illorum tamen diis adorandis non destiterit, sed illos colere perseveraret, quasi illorum ope victoriam esset reportaturus. Rursumque victus, Assyriorum deos cœpit venerari, magisque omnes cultu prosequuturus videbatur quam patrium verumque Deum, qui ira commotus ipsi etiam cladis auctor exstiterat. Eo autem contemptionis et despicientiæ processit, ut templum denique clausum tenuerit, et solennes offerri hostias prohibuerit, ipsique donaria ereptum iverit. Post hanc Deo illatam contumeliam vita defunctus est, quum vixisset annos sex et triginta, et ex his sedecim regnasset, Ezeciam vero filium reliquisset qui ei successit.

CAP. XIII.

Sub idem vero tempus Israelitarum etiam rex Phaceas fatis concessit, ab amico quodam circumventus, Osea nomine : qui quum regnum per annos novem teneret, sceleribus se obstrinxit et res divinas contemptui habebat. In eum autem Assyriorum rex Salmanasares expeditionem suscipit, prælioque victum (nam Dei forsan favore et auxilio erat destitutus) in potestatem suam redegit, certumque ei tributum imperavit. At quarto anno regni Oseæ Hierosolymis regnare cœpit Ezecias, Achazæ filius et Abiæ, genere cive. Is autem natura erat bonus et justus et religiosus. Nam statim a regno inito nihil prius habuit aut magis necessarium, utiliusve tam sibi quam subditis existimavit quam ut Deum coleret. Quamobrem populo et sacerdotibus et Levitis in concionem advocatis, ad eos in hæc verba loquutus est : « non ignoratis ipsi quod propter peccata « patris mei, qui contra ea fecerat quæ religio Dei postula« bat, in multas magnasque calamitates incidistis, ab eo « mente corrupti, eoque adducti ut quos ille deos putabat, « eos coleretis. Vos autem, qui experientia didicistis quanti « constet peccare, hortor ut id facere jam dediscatis, et a « prioribus fœditatibus vosmet purgetis, atque adeo sa« cerdotes et Levitæ, ad templum convenientes, illud ape« riatis, et lustratum prius expiatumque solennibus sacri« ficiis in antiquum patriumque honorem restituatis. Ita « enim Deum, ira deposita, propitium habuerimus. »

2. Quum hæc rex dixisset, sacerdotes templum aperiunt apertoque vasa Dei adornabant, et ejectis inquinamentis victimas solennes altari imponebant. Rex vero, dimissis per totam ditionem suam nunciis, populum Hierosolyma convocat, ut Azymorum festum celebrarent : longo enim tempore ob regum prædictorum iniquitatem fuerat intermissum. Quin et Israelitas per nuncios hortatus est ut, relicto præsentis vitæ instituto, ad veterem consuetudinem Deique

ἐπανελθεῖν συνήθειαν καὶ τὸ σέβειν τὸν Θεόν· καὶ γὰρ ἐπιτρέπειν αὐτοῖς παραγενομένοις εἰς Ἱεροσόλυμα τὴν τῶν ἀζύμων ἄγειν ἑορτὴν καὶ συμπανηγυρίζειν αὐτοῖς. Ταῦτα δ' ἔλεγε, παραινῶν οὐχ ὅπως ὑπακούωσιν αὐτῷ, εἰ μὴ θέλουσι, τοῦ δὲ ἐκείνων συμφέροντος ἕνεκα· μακαρίους γὰρ ἔσεσθαι. Οἱ δὲ Ἰσραηλῖται, παραγενομένων τῶν πρέσβεων καὶ δηλωσάντων αὐτοῖς τὰ παρὰ τοῦ ἰδίου βασιλέως, οὐ μόνον οὐκ ἐπείσθησαν, ἀλλὰ καὶ τοὺς πρέσβεις ὡς ἀνοήτους διεχλεύασαν, καὶ τοὺς προφήτας δὲ ὁμοίως ταῦτα παραινοῦντας καὶ προλέγοντας ἃ πείσονται μὴ μεταθέμενοι πρὸς τὴν εὐσέβειαν τοῦ Θεοῦ διέπτυον, καὶ τελευταῖον συλλαβόντες αὐτοὺς, ἀπέκτειναν. Καὶ οὐδὲ μέχρι τούτων αὐτοῖς ἤρκεσε παρανομοῦσιν, ἀλλὰ καὶ χείρω τῶν προειρημένων ἐπενοοῦντο, καὶ οὐ πρότερον ἐπαύσαντο πρὶν ἢ τοῖς πολεμίοις αὐτοὺς ἀμυνόμενος τῆς ἀσεβείας ὁ Θεὸς ἐποίησεν ὑποχειρίους. Καὶ περὶ μὲν τούτων αὖθις δηλώσομεν. Πολλοὶ μέντοι τῆς Μανασσίτιδος φυλῆς καὶ Ζαβουλῶνος καὶ Ἰσαχάρου, πεισθέντες οἷς οἱ προφῆται παρήνεσαν, εἰς εὐσέβειαν μετεβάλοντο. Καὶ οὗτοι πάντες εἰς Ἱεροσόλυμα πρὸς Ἐζεκίαν συνέδραμον, ὅπως τῷ Θεῷ προσκυνήσωσιν.

γ'. Ἀφικομένων δὲ τούτων, ὁ βασιλεὺς Ἐζεκίας, ἀναβὰς εἰς τὸ ἱερὸν μετὰ τῶν ἡγεμόνων καὶ τοῦ λαοῦ παντὸς, ἔθυσεν ὑπὲρ αὐτοῦ ταύρους ἑπτὰ καὶ κριοὺς τοσούτους καὶ ἄρνας ἑπτὰ καὶ ἐρίφους τοσούτους. Ἐπιθέντες δὲ τὰς χεῖρας ταῖς κεφαλαῖς τῶν ἱερείων αὐτός θ' ὁ βασιλεὺς καὶ οἱ ἡγεμόνες τοῖς ἱερεῦσι καλλιερεῖν ἐφῆκαν. Καὶ οἱ μὲν ἔθυόν τε καὶ ὡλοκαύτουν, οἱ δὲ Λευῖται περιεστῶτες ἐν κύκλῳ μετὰ τῶν μουσικῶν ὀργάνων ᾖδον ὕμνους εἰς τὸν Θεὸν καὶ ἐψαλλον ὡς ἐδιδάχθησαν ὑπὸ τοῦ Δαυίδου, οἱ δὲ λοιποὶ ἱερεῖς βυκάνας ἔχοντες ἐπεσάλπιζον τοῖς ὑμνῳδοῦσιν. Τούτων δὲ γενομένων, ἐπὶ πρόσωπον ῥίψαντες ἑαυτοὺς ὅ τε βασιλεὺς καὶ τὸ πλῆθος προσεκύνουν τὸν Θεόν. Ἔπειτα θύει μὲν βοῦς ἑβδομήκοντα, κριοὺς ἑκατὸν, ἄρνας διακοσίους, τῷ πλήθει δὲ πρὸς εὐωχίαν ἐχαρίσατο βοῦς μὲν ἑξακοσίους, τὰ δὲ λοιπὰ τρισχίλια. Καὶ πάντα μὲν οἱ ἱερεῖς ἀκολούθως ἐποίησαν τῷ νόμῳ. Τούτοις δ' ὁ βασιλεὺς ἡδόμενος εὐωχεῖτο μετὰ τοῦ λαοῦ, τῷ Θεῷ χάριν ἔχειν ὁμολογῶν. Ἐνστάσης δὲ τῆς τῶν ἀζύμων ἑορτῆς, θύσαντες τὴν λεγομένην πάσχα, τὰς ἄλλας τὸ λοιπὸν θυσίας ἐπετέλουν ἐφ' ἡμέρας ἑπτά. Τῷ δὲ πλήθει, πάρεξ ὧν ἐκαλλιέρησαν αὐτοὶ, ταύρους μὲν δισχιλίους, θρέμματα δὲ ἑπτακισχίλια ὁ βασιλεὺς ἐχαρίσατο. Τὸ δ' αὐτὸ καὶ οἱ ἡγεμόνες ἐποίησαν· χιλίους μὲν γὰρ ταύρους ἔδοσαν αὐτοῖς, θρέμματα δὲ χίλια καὶ τεσσαράκοντα. Καὶ τοῦτον τὸν τρόπον ἀπὸ Σολομῶνος τοῦ βασιλέως οὐκ ἀχθεῖσα ἡ ἑορτὴ τότε πρῶτον λαμπρῶς καὶ φιλοτίμως ἐπετελέσθη. Ὡς δὲ τὰ περὶ τὴν ἑορτὴν αὐτοῖς πέρας εἶχεν, ἐξελθόντες εἰς τὴν χώραν ἥγνισαν αὐτήν· καὶ τὴν πόλιν δὲ παντὸς ἐκάθηραν μιάσματος εἰδώλων, τάς τε καθημερινὰς θυσίας ὁ βασιλεὺς ἐκ τῶν ἰδίων ἐπιτελεῖσθαι προσέταξε κατὰ τὸν νόμον, καὶ τοῖς ἱερεῦσι καὶ

cultum redirent : se enim illis permittere Hierosolyma venientibus, ut Azymorum agerent festivitatem, unaque cum ipsis solenni interessent conventui. Hæc autem dicebat, non commonefaciens ut ipsi morem gererent nisi voluntate sua, sed ipsorum utilitatis gratia, ut qui ita futuri essent beati. Israelitæ vero, quum adessent legati, regisque sui mandata illis exposuissent, non modo eis non sunt obsequuti, sed etiam cum irrisione eos ut insipientes exceperunt; et vates quoque eodem cohortantes, eisque prædicentes quantæ calamitates instarent, ni ad pietatem erga Deum redirent, aspernabantur et respuebant, tandemque comprehensos morte multarunt. Ac peccando eo usque procedere non contenti erant, sed etiam ex amentia in pejora iis quæ supra retulimus prolapsi sunt flagitia : et non prius ista facere destiterunt quam Deus eos pro sceleribus ulciscens in hostium potestatem tradiderit. Et de his quidem postea nobis plura dicenda sunt. Multi tamen e tribu Manassitide et Zabulonis atque Isacharis, vatum monitis parentes, ad pietatem se converterunt. Atque hi omnes Hierosolyma ad Ezeciam confluxerunt, ut Deum adorarent.

3. Postquam autem ea multitudo convenerat, rex templum ascendit una cum principibus et populo universo, et immolavit pro se tauros septem et totidem arietes, et agnas septem et totidem hircos. Quumque manus in capita victimarum imposuissent et rex ipse et principes, sacerdotibus ut sacra facerent permiserunt. Et illi quidem hostias mactabant et solida cremabant sacrificia ; Levitæ vero in orbem circumfusi cum instrumentis musicis hymnos Deo canebant, et psallebant sicuti edocti fuerant a Davide, et reliqui sacerdotes cum buccinis cantoribus istis accinebant. Quum autem hæc facta essent, rex populusque humi in faciem prostrati Deum adorabant. Deinde mactandos quidem curat boves septuaginta, arietes centum, agnos ducentos, populo vero ad epulum largitus est boves sexcentos, et reliqui pecoris tria millia. Et omnia quidem ex legis præscripto exsequuti sunt sacerdotes. His vero rex lætatus cum populo accumbebat, Deo gratias agens. Instante vero Azymorum festo, quum sacra Paschalia dicta fecissent, reliquam deinceps rem divinam diebus septem peragebant. Populo autem, præter ea quæ ipsi mactaverunt, donavit rex taurorum quidem duo millia, pecorum vero septem millia. Itidemque fecerunt et principes : mille namque tauros dederunt eis et pecora mille et quadraginta. Et quum a tempore Solomonis regis non ita actum fuerit festum, tunc primum splendide et magnifice celebratum est. Peractis autem omnibus quæ ad festum spectant, in regionem egressi eam lustraverunt : ac præterea urbem omni idolorum fœditate purgaverunt, quotidiana deinde sacra juxta legem rex de suo fieri mandavit, atque sacerdotibus

Λευίταις τὰς δεκάτας ὥρισε παρὰ τοῦ πλήθους δίδοσθαι καὶ τὰς ἀπαρχὰς τῶν καρπῶν, ἵν' ἀεὶ τῇ θρησκείᾳ παραμένωσι καὶ τῆς θεραπείας ὦσιν ἀχώριστοι τοῦ Θεοῦ. Καὶ τὸ μὲν πλῆθος συνεισέφερε παντοδαπὸν καρπὸν τοῖς ἱερεῦσι καὶ Λευίταις· ἀποθήκας δὲ καὶ ταμιεῖα τούτων ὁ βασιλεὺς κατασκευάσας ἑκάστῳ διένειμε τῶν ἱερέων καὶ Λευιτῶν καὶ παισὶν αὐτῶν καὶ γυναιξί· καὶ οὕτω πάλιν εἰς τὴν ἀρχαίαν θρησκείαν ἐπανῆλθον. Ταῦτα δὲ τὸν προειρημένον τρόπον ὁ βασιλεὺς καταστησάμενος πόλεμον ἐξήνεγκε πρὸς τοὺς Παλαιστίνους, καὶ νικήσας κατέσχεν ἁπάσας τὰς ἀπὸ Γάζης μέχρι Γίττης πόλεις τῶν πολεμίων. Ὁ δὲ τῶν Ἀσσυρίων βασιλεὺς πέμψας ἠπείλει πᾶσαν αὐτοῦ καταστρέψασθαι τὴν ἀρχήν, εἰ μὴ τοὺς φόρους, οὓς ὁ πατὴρ αὐτοῦ τὸ πρῶτον ἐτέλει, τούτους ἀποδώσει. Ἐζεκίας δ' ὁ βασιλεὺς τῶν μὲν ἀπειλῶν οὐκ ἐφρόντισεν, ἐθάρρει δὲ ἐπὶ τῇ πρὸς τὸ θεῖον εὐσεβείᾳ καὶ τῷ προφήτῃ Ἡσαΐᾳ, παρ' οὗ πάντ' ἀκριβῶς τὰ μέλλοντα ἐπυνθάνετο. Καὶ ὧδε μὲν ἡμῖν ἐπὶ τοῦ παρόντος ἐχέτω τὰ περὶ τούτου τοῦ βασιλέως.

ΚΕΦ. ΙΔ'.

Σαλμανασάρης δ' ὁ τῶν Ἀσσυρίων βασιλεύς, ἐπεὶ ἠγγέλθη αὐτῷ ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς, ὡς εἴη πέμψας κρύφα πρὸς Σώαν τὸν τῶν Αἰγυπτίων βασιλέα, παρακαλῶν αὐτὸν ἐπὶ συμμαχίαν τὴν κατ' αὐτοῦ, παροξυνθεὶς ἐστράτευσεν ἐπὶ τὴν Σαμάρειαν ἔτει ἑβδόμῳ τῆς Ὡσήου βασιλείας. Οὐ δεξαμένου δ' αὐτὸν τοῦ βασιλέως, ἔτεσι πολιορκήσας τρισὶν εἷλε κατὰ κράτος τὴν Σαμάρειαν, ἐνάτου μὲν ἔτους Ὡσήου βασιλεύοντος, ἑβδόμου δ' Ἐζεκίου τοῦ τῶν Ἱεροσολυμιτῶν βασιλέως. Καὶ τὴν Ἰσραηλιτῶν ἡγεμονίαν ἀρδὴν ἠφάνισε, καὶ πάντα τὸν λαὸν μετῴκισεν εἰς τὴν Μηδίαν καὶ Περσίδα· ἐν οἷς καὶ τὸν βασιλέα Ὡσήην ζῶντα ἔλαβε. Καὶ μεταστήσας ἐκ ταύτης ἄλλα ἔθνη ἀπὸ Χούθου τόπου τινὸς (ἔστι γὰρ ἐν τῇ Περσίδι ποταμὸς τοῦτ' ἔχων τοὔνομα) κατῴκισεν εἰς τὴν Σαμάρειαν καὶ τὴν τῶν Ἰσραηλιτῶν χώραν. Μετῴκισαν οὖν αἱ δέκα φυλαὶ τῶν Ἰσραηλιτῶν ἐκ τῆς Ἰουδαίας μετὰ ἐτῶν ἀριθμὸν ἐνακοσίων τεσσαράκοντα ἑπτά, ἀφ' οὗ χρόνου τὴν Αἴγυπτον ἐξελθόντες αὐτῶν οἱ πρόγονοι τήνδε κατέσχον τὴν χώραν, ἀπὸ δὲ στρατηγοῦντος Ἰησοῦ ἐτῶν ὀκτακοσίων· ἀφ' οὗ δὲ ἀποστάντες ἀπὸ Ῥοβοάμου τοῦ Δαυίδου υἱωνοῦ τὴν βασιλείαν Ἱεροβοάμῳ παρέδοσαν, ὥς μοι καὶ πρότερον δεδήλωται, ἔτη ἐστὶ διακόσια τεσσαράκοντα, μῆνες ἑπτὰ, ἡμέραι ἑπτά. Καὶ τέλος μὲν τοὺς Ἰσραηλίτας τοιοῦτο κατέλαβε, παραβάντας τοὺς νόμους καὶ παρακούσαντας τῶν προφητῶν, οἳ προὔλεγον ταύτην αὐτοῖς τὴν συμφορὰν, μὴ παυσαμένοις τῶν ἀσεβημάτων. Ἦρξε δ' αὐτοῖς τῶν κακῶν ἡ στάσις ἣν ἐστασίασαν πρὸς Ῥοβόαμον Δαυίδου υἱωνὸν, Ἱεροβόαμον τὸν τούτου δοῦλον ἑαυτῶν ἀποδείξαντες βασιλέα, ὃς εἰς τὸ θεῖον ἐξαμαρτὼν ἐχθρὸν αὐτοῖς τοῦτον ἐποίησε μιμησαμένοις τὴν ἐκείνου παρανομίαν. Ἀλλ' ἐκεῖνος μὲν ἧς ἦν ἄξιος δίκης, ταύτην ὑπέσχεν.

et Levitis a populo decumas dari fructuumque primitias constituit, ut in religione curanda permaneant, Deique ministerio unice et assidue vacent. Qua re fiebat ut populus quidem omne genus fructuum conferret sacerdotibus et Levitis : rex vero, quum cellas et horrea iis construxisset, inde singulis sacerdotibus distribueret et Levitis, liberisque eorum et uxoribus. Atque ita denuo ad pristinum cultum reverterunt. Hisce eo quem diximus modo constitutis, rex bellum intulit Palæstinis, partaque victoria urbes omnes, quæ hostium erant, occupabat, a Gaza ad Gittam usque. Assyriorum autem rex missis nunciis imperii eversionem ei minatus est, nisi vectigalia, quæ pater ejus ante pendebat, solvenda curaret. Ezechias vero de minis istis haud magnopere sollicitus erat, sed suæ erga Deum pietati fidem habebat, vatique Esaiæ, per quem futura omnia certo rescivit. Et de hoc quidem rege hæc nobis in præsentia dixisse sufficiat.

CAP. XIV.

Salmanasares autem Assyriorum rex, quum ei nunciatum esset quod Israelitarum rex clam legationem ad Ægyptiorum regem Soam miserat, invitans eum ad societatem contra ipsum ineundam, ira incensus expeditionem facit in Samariam, anno regni Oseæ septimo. A rege vero non admissus, post triennalem obsidionem Samariam expugnat, anno quidem Oseæ regis nono, septimo vero Ezeciæ Hierosolymorum regis. Atque ita Israelitarum imperium exstinxit et funditus delevit, populumque omnem in Mediam et Persidem traduxit : in quibus Oseam regem vivum cepit. Quumque inde alias gentes transtulisset e Chutho loco quodam (nam in Perside ejus nominis est fluvius), eas Samariam Israelitarumque regionem habitatum misit. Itaque ex Judæa migraverunt decem tribus Israelitarum post annos numero nongentos quadraginta et septem, ex quo tempore majores eorum Ægyptum egressi hanc terram occupavere, a principatu vero Jesu post annos octingentos. Ex quo autem, defectione facta a Roboamo Davidis nepote, regnum Hieroboamo, sicuti a me ante dictum est, tradiderunt, anni sunt ducenti et quadraginta ac menses septem et septem dies. Et hunc quidem Israelitæ exitum habuere, quum contra leges fecissent et vatibus non obtemperassent, qui hanc illis calamitatem prædixerunt, nisi inique agere desisterent. Malorum autem illis initium fuit seditio, qua a Roboamo desciverunt Davidis nepote, quum servum ipsius Hieroboamum regem constituebant, qui in Deum delinquendo fecit ut illis infestus esset et inimicus, suo exemplo ad eandem iniquitatem pertractis. Atque ille quidem pœnam, quam commeruit, pertulit.

β'. Ὁ δὲ τῶν Ἀσσυρίων βασιλεὺς ἐπῆλθε πολεμῶν τήν τε Συρίαν πᾶσαν καὶ Φοινίκην. Τὸ δὲ ὄνομα τούτου τοῦ βασιλέως ἐν τοῖς Τυρίων ἀρχείοις ἀναγέγραπται· ἐστράτευσε γὰρ ἐπὶ Τύρον βασιλεύοντος αὐτοῖς Ἐλουλαίου. Μαρτυρεῖ δὲ τούτοις καὶ Μένανδρος ὁ τῶν χρονικῶν ποιησάμενος τὴν ἀναγραφὴν καὶ τὰ τῶν Τυρίων ἀρχεῖα μεταφράσας εἰς τὴν Ἑλληνικὴν γλῶτταν, ὃς οὕτως ἐδήλωσε· « καὶ Ἐλουλαῖος, θεμένων αὐτῷ « Πύας ὄνομα, ἐβασίλευσεν ἔτη τριάκοντα ἕξ. Οὗτος, « ἀποστάντων Κιτταίων, ἀναπλεύσας προσηγάγετο « αὐτοὺς πάλιν. Ἐπὶ τούτους πέμψας ὁ τῶν Ἀσσυ« ρίων βασιλεὺς ἐπῆλθε Φοινίκην πολεμῶν ἅπασαν, ὅσ« τις σπεισάμενος εἰρήνην μετὰ πάντων ἀνεχώρησεν « ὀπίσω. Ἀπέστη τε Τυρίων Σιδὼν καὶ Ἄκη καὶ ἡ πά« λαι Τύρος καὶ πολλαὶ ἄλλαι πόλεις, αἳ τῷ τῶν Ἀσ« συρίων ἑαυτὰς βασιλεῖ παρέδοσαν. Διὸ Τυρίων αὐτῷ « οὐχ ὑποταγέντων πάλιν ὁ βασιλεὺς ἐπ' αὐτοὺς ὑπέ« στρεψε, Φοινίκων συμπληρωσάντων αὐτῷ ναῦς ἑξή« κοντα καὶ ἐπικώπους ὀκτακοσίους· αἷς ἐπιπλεύσαν« τες οἱ Τύριοι ναυσὶ δεκαδύο, τῶν νεῶν τῶν ἀντιπά« λων διασπαρεισῶν, λαμβάνουσιν αἰχμαλώτους ἄν« δρας εἰς πεντακοσίους. Ἐπετάθη δὴ πάντων ἐν Τύρῳ « τιμὴ διὰ ταῦτα. Ἀναζεύξας δ' ὁ τῶν Ἀσσυρίων « βασιλεὺς κατέστησε φύλακας ἐπὶ τοῦ ποταμοῦ καὶ « τῶν ὑδραγωγιῶν, οἳ διακωλύσουσι Τυρίους ἀρύσα« σθαι· καὶ τοῦτο ἔτεσι πέντε γενόμενον ἐκαρτέρησαν « πίνοντες ἐκ φρεάτων ὀρυκτῶν. » Καὶ τὰ μὲν ἐν τοῖς Τυρίων ἀρχείοις γεγραμμένα καὶ κατὰ Σαλμανασάρου τοῦ Ἀσσυρίων βασιλέως ταῦτ' ἐστίν.

γ'. Οἱ δὲ μετοικισθέντες εἰς τὴν Σαμάρειαν Χουθαῖοι (ταύτῃ γὰρ ἐχρῶντο μέχρι δεῦρο τῇ προσηγορίᾳ, διὰ τὸ ἐκ τῆς Χουθᾶς καλουμένης χώρας μεταχθῆναι, αὕτη δ' ἐστὶν ἐν τῇ Περσίδι, καὶ ποταμὸς τοῦτ' ἔχων ὄνομα) ἕκαστοι κατὰ ἔθνος ἴδιον θεὸν εἰς τὴν Σαμάρειαν κομίσαντες (πέντε δ' ἦσαν) καὶ τούτους, καθὼς ἦν πάτριον αὐτοῖς, σεβόμενοι, παροξύνουσι τὸν μέγιστον Θεὸν εἰς ὀργὴν καὶ χόλον. Λοιμὸν γὰρ αὐτοῖς ἐνέσκηψεν, ὑφ' οὗ φθειρόμενοι καὶ μηδεμίαν τῶν κακῶν θεραπείαν ἐπινοοῦντες, χρησμῷ θρησκεύειν τὸν μέγιστον Θεὸν, ὡς τοῦτο σωτήριον αὐτοῖς ὄν, ἔμαθον. Πέμψαντες οὖν πρὸς τὸν Ἀσσυρίων βασιλέα πρέσβεις ἐδέοντο ἱερεῖς αὐτοῖς, ὧν ἔλαβεν αἰχμαλώτων τοὺς Ἰσραηλίτας πολεμήσας, ἀποστεῖλαι. Πέμψαντος δὲ, τά τε νόμιμα καὶ τὴν περὶ τὸν Θεὸν τοῦτον ὁσίαν διδαχθέντες θρησκεύουσιν αὐτὸν φιλοτίμως καὶ τοῦ λοιμοῦ παραχρῆμα ἐπαύσαντο. Χρώμενοί τε τοῖς αὐτοῖς ἔτι καὶ νῦν ἔθεσι διατελοῦσιν οἱ κατὰ μὲν τὴν Ἑβραίων γλῶτταν Χουθαῖοι, κατὰ δὲ τὴν Ἑλλήνων Σαμαρεῖται, οἳ πρὸς μεταβολὴν καὶ συγγένειαν, ὅταν μὲν εὖ πράττοντας βλέπωσι τοὺς Ἰουδαίους, συγγενεῖς ἀποκαλοῦσιν, ὡς ἐξ Ἰωσήπου φύντες καὶ τὴν ἀρχὴν ἐκεῖθεν τῆς πρὸς αὐτοὺς ἔχοντες οἰκειότητος, ὅταν δὲ πταίοντας ἴδωσιν, οὐδαμόθεν αὐτοῖς προσήκειν λέγουσιν οὐδ' εἶναι δίκαιον οὐδὲν αὐτοῖς εὐνοίας ἢ γένους, ἀλλὰ μετοίκους ἀλλοε-

2. Assyriorum autem rex armis invasit in Syriam omnem et Phœnicen. Atque regis hujus nomen in Tyriorum tabulariis scriptum reperitur. Nam in Tyrum expeditionem fecit, quum in Tyrios regnaret Elulæus. Hisce vero testimonium perhibet etiam Menander, qui, quum annales confecerit et Tyriorum tabularia in linguam Græcam transtulerit, hæc memoriæ prodidit : « Elulæus etiam, Pyas ab iis « nominatus, regnavit annos triginta sex. Hic Cittæos, « qui ab imperio ipsius defecerant, classe eo vectus ad ob« sequium reduxit. Contra hos misso exercitu Assyriorum « rex Phœnicen omnem bello incursavit, qui pace cum « omnibus facta rediit retro. Descivere etiam a Tyriorum « imperio Sidon et Ace et antiqua Tyrus multæque urbes « aliæ, quæ se Assyriorum regi dediderunt. Quare quum ei « se non subjicerent Tyrii, rex eis rursus bellum intulit, « postquam a Phœnicibus acceperat naves instructas sexa« ginta et remiges octingentos. In quas invecti Tyrii navibus « duodecim, disjectis hostium navibus, homines ad quingen« tos fecere captivos. Itaque ob hæc Tyrii omnes magno in « honore esse cœperunt. Quum autem reverteretur Assyrio« rum rex, constituit custodes ad flumina et aquæ ductus, « qui Tyrios ab aquæ haustu arcerent. Toleratumque id « Tyriis per annos quinque, bibentibus interim ex puteis « quos foderant. » Et hæc quidem sunt quæ in Tyriorum annalibus de Salmanasare Assyriorum rege scripta inveniuntur.

3. Ceterum quum Samariam deducti fuissent Chuthæi (hoc enim hactenus nomine vocabantur, quod ex Chutha regione sic nuncupata fuerint translati; est autem illa in Perside, et fluvius ita nominatus,) et singuli pro gente quisque sua deum suum Samariam attulissent (nam quinque erant) atque eos ritu patrio venerarentur, fecerunt ut Deus maximus illis irasceretur et succenseret. Nam pestis ipsos invasit, a qua quum neci darentur, et nullum malorum levamen excogitando essent, ex oraculo didicerunt ut Deum maximum colerent, id quod illis salutare futurum. Missis igitur ad Assyriorum regem legatis petierunt ut sacerdotes, ex iis quos captivos fecerat quum bello adortus esset Israelitas, se mitteret. Quo facto, quum et ceremoniis et religione in hunc Deum instituti essent, eum certatim colere cœperunt, et statim sedata est pestilentia. Atque iisdem etiamnum ritibus perpetuo utuntur vernaculo Hebræorum idiomate Chuthæi vocati, Græcorum vero lingua Samaritæ, qui mutationis gratia et cognationis, quum res Judæis prospere evenire videant, cognatos appellant, utpote a Josepho oriundos, et inde cum ipsis origine conjunctos; quum vero illos in malis versari conspiciant, se nihil ad eos pertinere dicunt, nec quidquam juris sibi cum illis intercedere aut ex benevolentia aut ex consanguinitate, sed inquilinos esse

θνεῖς ἀποφαίνουσιν ἑαυτούς. Περὶ μὲν οὖν τούτων ἕξομεν εὐκαιρότερον εἰπεῖν.

ΒΙΒΛΙΟΝ ΔΕΚΑΤΟΝ.

α'. Στρατεία τοῦ Ἀσσυρίων βασιλέως Σεναχηρίβου εἰς Ἱεροσόλυμα καὶ πολιορκία τοῦ βασιλέως αὐτῶν Ἐζεκίου.

β'. Ὡς ἐφθάρη τὸ τῶν Ἀσσυρίων στράτευμα λοιμικῶς ἐν μιᾷ νυκτὶ καὶ ὁ βασιλεὺς αὐτῶν ἀναζεύξας οἴκαδε ἐξ ἐπιβουλῆς τῶν τέκνων ἀπέθανεν.

γ'. Ὡς τὸν μεταξὺ χρόνον μετὰ εἰρήνης Ἐζεκίας διαγαγὼν ἐτελεύτησε, διάδοχον τῆς βασιλείας Μανασσῆν καταλιπών.

δ'. Ὅτι στρατεύσαντες ἐπ' αὐτὸν οἱ Χαλδαίων καὶ Βαβυλωνίων βασιλεῖς καὶ νικήσαντες αὐτὸν αἰχμάλωτον λαβόντες ἤγαγον εἰς Βαβυλῶνα, καὶ κατασχόντες αὐτόθι πολὺν χρόνον εἰς τὴν αὐτοῦ βασιλείαν πάλιν ἀπέλυσαν.

ε'. Ὡς τὸν Αἰγυπτίων βασιλέα Νεχαὼ, στρατευσάμενον ἐπὶ Βαβυλωνίους καὶ ποιούμενον διὰ τῆς Ἰουδαίας τὴν ὁδὸν, κωλύων ὁ βασιλεὺς Ἰωσίας ἁπήντα, μάχης δὲ γενομένης τραυματίας κομισθεὶς εἰς Ἱεροσόλυμα τελευτᾷ, καὶ τὸν υἱὸν αὐτοῦ Ἰωάζην ἀπέδειξαν οἱ Ἱεροσολυμῖται βασιλέα.

ς'. Ὡς συμβαλὼν ὁ Νεχαὼ τῷ τῶν Βαβυλωνίων βασιλεῖ κατὰ τὸν Εὐφράτην ποταμὸν καὶ ὑποστρέφων εἰς Αἴγυπτον ἦκεν εἰς Ἱεροσόλυμα, καὶ τὸν μὲν Ἰωάζην ἤγαγεν εἰς Αἴγυπτον, τὸν δὲ ἀδελφὸν αὐτοῦ Ἰωακίμον ἀπέδειξε βασιλέα τῶν Ἱεροσολύμων.

ζ'. Ναβουχοδονοσόρου τοῦ τῶν Βαβυλωνίων βασιλέως στρατεία εἰς Συρίαν, καὶ ὡς πᾶσαν αὐτὴν καταστρεψάμενος ἄχρι τῶν ὅρων τῶν Αἰγυπτίων ἀνέβη εἰς Ἱεροσόλυμα, καὶ τὸν βασιλέα αὐτῶν Ἰωάκιμον φίλον ἠνάγκασεν εἶναι καὶ σύμμαχον.

η'. Ὡς μετὰ τὴν ἀναχώρησιν τὴν τοῦ Βαβυλωνίου πάλιν Ἰωάκιμος ἐφρόνησε τὰ τῶν Αἰγυπτίων, καὶ στρατεύσας ἐπ' αὐτὸν ὁ Ναβουχοδονόσορος καὶ πολιορκήσας, τῆς πόλεως παραδούσης αὐτὴν μετὰ χρόνον, τὸν μὲν Ἰωάκιμον ἀπέκτεινεν, Ἰωάχιμον δὲ τὸν υἱὸν αὐτοῦ κατέστησε βασιλέα, καὶ ὡς πολλὰ χρήματα λαβὼν ἐκ τῶν Ἱεροσολύμων εὐθέως εἰς Συρίαν ὑπέστρεψεν.

θ'. Ὅτι μετανοήσας ἐπὶ τῷ τὸν Ἰωάχιμον ποιῆσαι βασιλέα, καὶ στρατεύσας ἐπὶ Ἱεροσόλυμα, ἐγκρατὴς τοῦ Ἰωαχίμου γίνεται, παραδόντος ἑαυτὸν μετὰ τῆς μητρὸς καὶ τῶν φίλων.

ι'. Ὅπως τ' ἔλαβε πολλοὺς αἰχμαλώτους ὁ Βαβυλώνιος καὶ ἀναθήματα βαστάσας ἐκ τοῦ ἱεροῦ ἀνέστρεψεν εἰς Βαβυλῶνα, τὸν Ἰεχονίου θεῖον Σεδεκίαν τῶν Ἱεροσολυμιτῶν βασιλέα καταστήσας.

ια'. Ὡς καὶ τοῦτον ἀκούσας βούλεσθαι πρὸς τοὺς Αἰγυπτίους συμμαχίαν ποιήσασθαι καὶ φιλίαν, στρατεύσας ἐπὶ τὰ Ἱεροσόλυμα, κατὰ κράτος αἱρεῖ τῇ πολιορκίᾳ· καὶ τὸν ναὸν ἐμπρήσας τὸν τῶν Ἱεροσολυμιτῶν δῆμον καὶ τὸν Σεδεκίαν μετῴκισεν εἰς Βαβυλῶνα.

ιβ'. Ὡς Ναβουχοδονόσορος τελευτήσας διάδοχον κατέλιπε τῆς βασιλείας τὸν υἱὸν καὶ ὡς καταλύεται ἡ τούτων ἀρχὴ ὑπὸ Κύρου τοῦ Περσῶν βασιλέως, καὶ ὅσα συνέβη τοῖς Ἰουδαίοις κατὰ τοῦτον τὸν καιρὸν παρὰ τοῖς Βαβυλωνίοις.

Περιέχει ἡ βίβλος χρόνον ἐτῶν ρπϐ', μῆνας ς', ἡμέρας ι'.

ΚΕΦ. Α'.

Ἐζεκίου τοῦ τῶν δύο φυλῶν βασιλέως τέταρτον ἤδη καὶ δέκατον ἔτος τῆς ἡγεμονίας ἔχοντος, ὁ τῶν Ἀσσυρίων βασιλεὺς, Σεναχήριβος ὄνομα, στρατεύει μετὰ πολλῆς

ex alia gente præ se ferunt. Ceterum tempus ad agendum de illis magis opportunum habebimus.

LIBER DECIMUS.

1. Expeditio a Senacheribo Assyriorum rege facta in Hierosolyma, et obsessio regis horum Ezeciæ.

2. Quomodo Assyriorum exercitus una nocte peste absumptus est, et rex eorum domum reversus filiorum insidiis periit.

3. Quomodo Ezecias, quum per insequens tempus in pace vixisset, diem obiit, Manasse, qui ei in regnum succederet, relicto.

4. Quod Chaldæorum et Babyloniorum reges Manassen bello adorti, et victoria potiti, ipsum captivum factum Babylonem duxerunt et, postquam illic longo tempore detentus fuerat, in regnum suum remiserunt.

5. Quomodo Nechao Ægyptiorum regi, quum exercitum contra Babylonios eduxisset et per Judæam iter faceret, ad eum prohibendum ex adverso occurrit Josias rex, ac pugna inita post vulnus acceptum Hierosolyma delatus vitam finivit, ejusque filium Joazen regem creavunt Hierosolymitani.

6. Quomodo Nechao, cum Babyloniorum rege ad Euphratem fluvium prælio congressus, et in Ægyptum revertens, Hierosolyma veniebat, atque Joazen in Ægyptum deportavit, ejusque fratrem Joacimum Hierosolymorum regem constituit.

7. Expeditio in Syriam a Nabuchodonosoro Babyloniorum rege suscepta, et quomodo, quum eam omnem subegisset usque ad fines Ægyptiorum, Hierosolyma profectus est, et regem Joacimum secum amicitiam bellique societatem inire coegit.

8. Quomodo post Babylonii discessum, Joacimus rebus Ægyptiorum rursus studebat; et Nabuchodonosorus ipsum bello aggressus et obsidione premens, urbe tandem ad deditionem redacta, Joacimum quidem interfecit, ejus vero filium Joachimum regem constituit: utque, quum multum pecuniæ ex Hierosolymis accepisset, statim Syriam reversus est.

9. Quod, quum eum pœnituerit quod Joachimum regem fecerit, expeditione adversus Hierosolyma suscepta, Joachimi potitur, qui semet ei dedidit una cum matre et amicis.

10. Quomodo Babylonius multos captivos fecit, et quum donaria e templo extulisset, Babylonem reversus est, Sedecia Jechoniæ patruo Hierosolymitanorum rege constituto.

11. Quomodo, audito quod huic ipsi in animo erat societatem et amicitiam cum Ægyptiis inire, copiis suis Hierosolyma aggressus, urbem obsidione cinctam expugnat; temploque exusto, Hierosolymitanorum populum et Sedeciam Babylonem transtulit.

12. Quomodo Nabuchodonosorus vita defunctus est, relicto filio qui in regnum successit, utque Assyriorum imperium eversum est a Cyro Persarum rege, et quæ Judæis sub idem tempus acciderunt a Babyloniis.

Continet hic liber tempus annorum CLXXXII, menses VI, dies X.

CAP. I

Quum Ezecias duarum tribuum rex annum jam decimum quartum in imperio ageret, Assyriorum rex nomine Senacheribus, magno exercitu coacto, bello eum adoritur,

παρασκευῆς ἐπ' αὐτὸν, κατὰ κράτος τε ἁπάσας αἱρεῖ τὰς πόλεις τὰς τῆς Ἰούδα φυλῆς καὶ Βενιαμίτιδος. Μέλλοντος δ' ἄγειν τὴν δύναμιν ἐπὶ Ἱεροσόλυμα, φθάνει πρεσβευσάμενος πρὸς αὐτὸν, καὶ ὑπακούσεσθαί τε καὶ φόρον ὃν ἂν τάξῃ τελέσειν ὑπισχνούμενος. Σεναχήριβος δὲ μαθὼν τὰ παρὰ τῶν πρέσβεων ἔγνω μὴ πολεμεῖν, ἀλλὰ τὴν ἀξίωσιν προσδέχεται, καὶ ἀργυρίου μὲν τάλαντα τριακόσια, χρυσίου δὲ τριάκοντα λαβὼν, φίλος ἀναχωρεῖν ὡμολόγει, πίστεις δοὺς τοῖς πρεσβευταῖς ἐνόρκους, ἢ μὴν ἀδικήσας μηδὲν αὐτὸν οὕτως ἀναστρέψειν. Ὁ δ' Ἐζεκίας πεισθεὶς καὶ κενώσας τοὺς θησαυροὺς πέμπει τὰ χρήματα, νομίζων ἀπαλλαγήσεσθαι τοῦ πολεμίου καὶ τοῦ περὶ τῆς βασιλείας ἀγῶνος. Ὁ δὲ Ἀσσύριος λαβὼν ταῦτα τῶν μὲν ὡμολογημένων οὐδὲν ἐφρόντισεν, ἀλλ' αὐτὸς μὲν ἐστράτευσεν ἐπ' Αἰγυπτίους καὶ Αἰθίοπας, τὸν δὲ στρατηγὸν Ῥαψάκην μετὰ πολλῆς ἰσχύος σὺν καὶ δυσὶν ἄλλοις τῶν ἐν τέλει κατέλιπε, πορθήσοντας τὰ Ἱεροσόλυμα. Τούτων δὲ τὰ ὀνόματα Θαρατὰ καὶ Ἀνάχαρις ἦν.

β'. Ὡς δ' ἐλθόντες πρὸ τῶν τειχῶν ἐστρατοπεδεύσαντο, πέμψαντες πρὸς τὸν Ἐζεκίαν ἠξίουν αὐτοῖς ἐλθεῖν εἰς λόγους. Ὁ δὲ αὐτὸς μὲν ὑπὸ δειλίας οὐ πρόεισι, τρεῖς δὲ τοὺς ἀναγκαιοτάτους φίλους αὐτῷ ἐξέπεμψε, τὸν τῆς βασιλείας ἐπίτροπον Ἐλιάκιμον ὄνομα καὶ Σοβναῖον, καὶ Ἰώαχον τὸν ἐπὶ τῶν ὑπομνημάτων. Οὗτοι μὲν οὖν προελθόντες ἀντικρὺς τῶν ἡγεμόνων τῆς στρατιᾶς τῶν Ἀσσυρίων ἔστησαν. Θεασάμενος δ' αὐτοὺς ὁ στρατηγὸς Ῥαψάκης ἐκέλευσεν ἀπελθόντας Ἐζεκίᾳ λέγειν ὅτι « βασιλεὺς μέγας Σεναχήριβος πυνθάνεται αὐτοῦ τίνι θαρρῶν καὶ πεποιθὼς φεύγει δεσπότην αὑτοῦ καὶ ἀκροᾶσθαι μὴ θέλει καὶ τὴν στρατιὰν οὐ δέχεται τῇ πόλει; ἢ διὰ τοὺς Αἰγυπτίους, τὴν ἑαυτοῦ στρατιὰν ἐλπίζων ὑπ' ἐκείνων αὐτῶν καταγωνίσασθαι; εἰ δὲ τοῦτο προσδοκᾷ, δηλοῦτε αὐτῷ ὅτι ἀνόητός ἐστι καὶ ὅμοιος ἀνθρώπῳ, ὃς καλάμῳ ἐπερειδόμενος τεθλασμένῳ πρὸς τῷ καταπεσεῖν ἔτι καὶ τὴν χεῖρα διαπαρεὶς ἤσθετο τῆς βλάβης. Εἰδέναι δ' ὅτι καὶ βουλήσει Θεοῦ τὴν ἐπ' αὐτὸν στρατείαν πεποίηται, ὃς αὐτῷ καταστρέψασθαι καὶ τὴν τῶν Ἰσραηλιτῶν βασιλείαν δέδωκεν, ἵνα τὸν αὐτὸν τρόπον καὶ τοὺς ἀρχομένους ὑπ' αὐτοῦ διαφθείρῃ. » Ταῦτα δὲ τὸν Ῥαψάκην Ἑβραϊστὶ λέγοντα (τῆς γὰρ γλώττης εἶχε ἐμπείρως) ὁ Ἐλιάκιμος, φοβούμενος μὴ τὸ πλῆθος ἐπακοῦσαν εἰς ταραχὴν ἐμπέσῃ, Συριστὶ φράζειν ἠξίου. Συνεὶς δ' ὁ στρατηγὸς τὴν ὑπόνοιαν αὐτοῦ καὶ τὸ ἐπ' αὐτῷ δέος, μείζονι καὶ διατόρῳ τῇ φωνῇ χρώμενος ἀπεκρίνατο αὐτῷ « Ἑβραϊστὶ λέγειν, ὅπως ἀκούσαντες τὰ τοῦ « βασιλέως προστάγματα πάντες τὸ συμφέρον ἕλωνται « παραδόντες αὐτοὺς ἡμῖν. Δῆλον γὰρ ὡς τὸν λαὸν « ὑμεῖς τε καὶ ὁ βασιλεὺς ἐλπίσι παρακρουόμενοι μα« ταίαις ἀντέχειν πείθετε. Εἰ δὲ θαρρεῖτε καὶ τὴν « δύναμιν ἡμῶν ἀπώσεσθαι νομίζετε, δισχιλίους ἐκ τῆς « ἐμοὶ παρούσης ἵππου εἰς ἑτοιμασίαν ὑμῖν παρέχειν « ἕτοιμός εἰμι, οἷς ἰσαρίθμους ἐπιβάτας ὄντες, ἐμφα-

omnesque tribûs Judæ et Benjamitidis urbes vi capit. Quum autem in eo esset ut copias Hierosolymis admoveret, prævenit eum missa legatione *Ezecias*, se imperata facturum et quicquid tributi ab illo imponeretur soluturum pollicens. Senacheribus vero auditis legatis statuit bello desistere, atque postulationi concedit, et promisit, si argenti talenta trecenta aurique triginta acciperet, pacatum se abiturum, fide legatis jurejurando data, pro certo fore ut ea lege retro cederet, nullo maleficio commisso. Ezecias autem, fide istis habita exhaustisque thesauris, pecunias mittit, existimans se liberatum iri ab hoste omnique de regno dimicatione. Ceterum Assyrius, istis acceptis, nihil eorum quæ fuerat pollicitus curavit, sed ipse quidem cum copiis profectus est contra Ægyptios et Æthiopas, Rapsacem vero imperatorem cum magno exercitu et aliis duobus ad Hierosolyma vastanda reliquit. Horum autem nomina erant Tharata et Anacharis.

2. Ut vero eo pervenerunt et ante mœnia castra metati sunt, per nuncium ab Ezecia postularunt ut cum eis colloqueretur. At ille quidem præ metu non egreditur, tres vero ex amicis summa necessitudine sibi conjunctis misit, regni procuratorem nomine Eliacimum, et Sobnæum, et Joachum a commentariis. Hi vero quum prodiissent, ante duces exercitus Assyriorum constiterunt. Rapsaces autem imperator eos conspicatus jussit ut abirent et regi dicerent « quod magnus rex Senacheribus eum sciscitatur, cui confideus quave spe fretus a domino suo refugiat, ipsique nolit esse dicto audiens, ipsiusque exercitum in urbem recipere? an propter Ægyptios, sperans fore ut ab illis ipsis debelletur exercitus regis? Quodsi hoc exspectat, facitote sciat quod desipit, similisque est homini, qui confractæ arundini innixus, quum ceciderit ac præterea manum transfixam habuerit, se male acceptum esse sensit. Scire autem oportere quod voluntate Dei in eum expeditionem fecerit, qui Israelitarum etiam regnum evertendi dedit ipsi potestatem, ut eodem modo populum ei subditum perditum iret. » Hæc autem Rapsace Hebraice dicente (nam istius linguæ peritus erat), Eliacimus, metuens ne multitudo his auditis pavore consternaretur, rogavit ut Syriace loqueretur. At imperator, quum intellexisset quid ille suspicaretur, utque ea de re metueret, voce magis sublata utens et acuta Eliacimo respondit, « Hebraice loquor, ut quum auditione « acceperint regis mandata, omnes quod sua intersit eli« gant, et sese nobismet tradant. Nam manifestum est « quod vos simul et rex populum vana spe lactatis et ad « resistendum adducitis. Quodsi quid audetis, nostrasque « copias posse repellere existimatis, equorum duo millia, « ex iis qui mihi adsunt, vobis in usum præsentem tradere « paratus sum, quibus totidem suppeditando sessores vires

« νίσατε τὴν αὐτῶν δύναμιν. Ἀλλ' οὐκ ἂν οὓς γε μὴ « ἔχετε, τούτους δοίητε. Τί τοιγαροῦν βραδύνετε « παραδιδόναι σφᾶς αὐτοὺς τοῖς κρείττοσι καὶ ληψομέ- « νοις ὑμᾶς καὶ μὴ θέλοντας; καίτοι τὸ μὲν ἑκούσιον « τῆς παραδόσεως ἀσφαλὲς ὑμῖν, τὸ δὲ ἀκούσιον πολε- « μουμένοις ἐπικίνδυνον καὶ συμφορῶν αἴτιον φαίνε- « ται. »

γ'. Ταῦτ' ἀκούσαντες ὅ τε δῆμος καὶ οἱ πρέσβεις τοῦ στρατηγοῦ τῶν Ἀσσυρίων λέγοντος ἀπήγγειλαν Ἐζεκίᾳ. Ὁ δὲ πρὸς ταῦτα τὴν βασιλικὴν ἀποδὺς ἐσθῆτα, ἀμφιασάμενος δὲ σάκκους καὶ σχῆμα ταπεινὸν ἀναλαβών, τῷ πατρίῳ νόμῳ πεσὼν ἐπὶ πρόσωπον τὸν Θεὸν ἱκέτευε, καὶ βοηθῆσαι τῷ μηδεμίαν ἄλλην ἐλπίδα ἔχοντι σωτηρίας ἠντιβόλει. Πέμψας δὲ καὶ τῶν φίλων τινὰς καὶ τῶν ἱερέων πρὸς Ἡσαΐαν τὸν προφήτην ἠξίου δεηθῆναι τοῦ Θεοῦ καὶ ποιησάμενον θυσίας ὑπὲρ τῆς κοινῆς σωτηρίας παρακαλεῖν αὐτὸν νεμεσῆσαι μὲν ταῖς τῶν πολεμίων ἐλπίσιν, ἐλεῆσαι δὲ τὸν αὐτοῦ λαόν. Ὁ δὲ προφήτης ταῦτα ποιήσας, χρηματίσαντος αὐτῷ τοῦ Θεοῦ, παρεθάρρυνεν αὐτόν τε τὸν βασιλέα καὶ τοὺς περὶ αὐτὸν φίλους, προλέγων ἀμαχητὶ τοὺς πολεμίους ἥττηθέντας ἀναχωρήσειν αἰσχρῶς, καὶ οὐχὶ μεθ' οἵου νῦν εἶσι θράσους· τὸν γὰρ Θεὸν προνοεῖν ὅπως διαφθαρῶσι. Καὶ αὐτὸν δὲ τὸν βασιλέα τὸν τῶν Ἀσσυρίων Σεναχήριβον διαμαρτόντα τῶν ἐπὶ τὴν Αἴγυπτον πραγμάτων καὶ παρερχόμενον εἰς τὴν οἰκείαν ἀπολεῖσθαι σιδήρῳ προὔλεγεν.

δ'. Ἔτυχε δ' ὑπὸ τὸν αὐτὸν καιρὸν καὶ γεγραφὼς τῷ Ἐζεκίᾳ ὁ Ἀσσύριος ἐπιστολὰς, ἐν αἷς ἀνόητον μὲν αὐτὸν ἔλεγεν ὑπολαμβάνοντα τὴν ὑπ' αὐτῷ διαφεύξεσθαι δουλείαν, ἔθνη πολλὰ καὶ μεγάλα κεχειρωμένῳ, ἠπείλει δὲ πανωλεθρίᾳ διαφθείρειν αὐτὸν παραλαβών, εἰ μὴ τὰς πύλας ἀνοίξας ἑκὼν αὐτοῦ δέξεται τὴν στρατιὰν εἰς Ἱεροσόλυμα. Ταῦτ' ἀναγνοὺς καταφρονεῖ διὰ τὴν ἀπὸ τοῦ Θεοῦ πεποίθησιν, τὰς δὲ ἐπιστολὰς πτύξας εἰς τὸν ναὸν ἔσω κατέθετο. Πάλιν δὲ τῷ Θεῷ τὰς εὐχὰς αὐτοῦ ποιησαμένου περὶ τῆς πόλεως καὶ τῆς ἁπάντων σωτηρίας, Ἡσαΐας ὁ προφήτης ἐπήκοον αὐτὸν ἔφασκε γεγονέναι, καὶ κατὰ τὸν παρόντα καιρὸν μὴ πολιορκηθήσεσθαι ὑπὸ τοῦ Ἀσσυρίου, τῷ δὲ μέλλοντι πάντων ἂν εἶναι ἀδεεῖς τῶν ὑπ' αὐτοῦ γενομένων, γεωργήσειν τε μετ' εἰρήνης καὶ τῶν ἰδίων ἐπιμελήσεσθαι κτημάτων οὐδὲν φοβουμένους. Ὀλίγου δὲ χρόνου διελθόντος καὶ ὁ τῶν Ἀσσυρίων βασιλεὺς, διαμαρτὼν τῆς ἐπὶ τοὺς Αἰγυπτίους ἐπιβολῆς, ἄπρακτος ἀνεχώρησεν ἐπ' οἶκου δι' αἰτίαν τοιαύτην. Πολὺς αὐτῷ χρόνος διετρίβετο πρὸς τὴν τοῦ Πηλουσίου πολιορκίαν, καὶ τῶν χωμάτων ἤδη μετεώρων ὄντων, ἃ πρὸς τοῖς τείχεσι ἤγειρε, καὶ ὅσον οὔπω μέλλοντος προσβαλεῖν αὐτοῖς, ἀκούει τὸν τῶν Αἰθιόπων βασιλέα Θαρσίκην πολλὴν ἄγοντα δύναμιν ἐπὶ συμμαχίαν τοῖς Αἰγυπτίοις ἥκειν, διεγνωκότα ποιήσασθαι τὴν πορείαν διὰ τῆς ἐρήμου καὶ ἐξαίφνης εἰς τὴν τῶν Ἀσσυρίων ἐμβαλεῖν. Ταραχθεὶς οὖν ὑπὸ τούτων ὁ βασιλεὺς Σεναχήριβος

« vestras ostendite. Sed non est ut vos eorum, quos non « habetis, copiam faciatis. Quid igitur cunctamini vosmet « dedere validioribus, vosque vel invitos capturis? equidem « sponte facta deditio vobis tuta est, at vi ac necessitate « extorta debellatis res periculosa videtur et calamitatum causa. »

3. Quum imperatorem ista loquentem audissent tam legati quam populus, Ezeciæ retulerunt. Ille vero, mutata veste regali, et sacco indutus, humilisque et demissi speciem præ se ferens, patrio more in faciem procidens Deo supplicabat, orabatque ut ipsi nullam aliam salutis spem habenti opem ferret et auxilium. Porro, missis ad Esaiam vatem amicis aliquot et sacerdotibus, rogabat ut Deum precaretur, factisque sacrificiis pro salute omnium eum obsecraret, ut iis quidem quæ sperarent hostes indignaretur, sui vero populi sortem miseraretur. Vates autem, quum hæc fecisset, ex Dei oraculo regi ejusque amicis animum et audaciam addebat, prædicens fore ut hostes sine prælio victi discederent cum ignominia, positaque ea qua nunc se ostentant ferocia: Deo etenim curæ esse ut ad interitum veniant. Insuper prædicebat ipsum quoque Assyriorum regem Senacheribum, cum ei male cesserint quæ contra Ægyptum molitus esset, patriamque repetiverit, ferro peremptum iri.

4. Eodem tempore et Assyrius forte literas dederat ad Ezeciam, in quibus eum fatuum appellat, qui cogitarit se posse servitutem effugere ab ipso intentatam, qui multas magnasque gentes subegerit; atque eum captum cum suis omnibus exitio daturum esse minabatur, nisi portis patefactis ipsius exercitum in Hierosolyma sponte recipiat. Hisce lectis bono animo erat Ezecias propter eam quam in Deo collocaverat fiduciam, literasque complicatas in templo reposuit. Quum autem Deum precibus iterum implorasset, ut urbem respiceret omniumque salutem, Esaias vates ejus exauditam esse supplicationem dicebat, atque ea tempestate non obsessum iri ab Assyrio, foreque ut in posterum securi sint ab omnibus quæ ab illo fierent, utque pace agros colant, et absque omni metu rerum suarum curam agant. Brevi autem post tempore Assyriorum rex, cum ei male cessissent incursus in Ægyptios, re infecta domum rediit, tali de causa. Longum tempus ab ipso in oppugnatione Pelusii absumptum erat, quumque jam aggeres, quos ad mœnia excitarat, *satis* alti viderentur, atque in eo fere esset ut ea aggrederetur, audivit Æthiopum regem Tharsicen, magnum adducentem exercitum, ut suppetias ferret Ægyptiis, venire decreto ut per solitudinem viam faceret, et statim in Assyriorum agros ingrederetur. Turbatus ergo hisce rex Senacheribus, priusquam rem

ἄπρακτος, ὡς ἔφην, ἀνεχώρησε, καταλιπὼν τὸ Πηλούσιον. Περὶ τούτου τοῦ Σεναχηρίβου καὶ Ἡρόδοτος ἐν τῇ δευτέρᾳ τῶν ἱστοριῶν αὐτοῦ φησιν ὡς οὗτος ὁ βασιλεὺς ἐπὶ τὸν τῶν Αἰγυπτίων, ἱερέα ὄντα τοῦ Ἡφαίστου, ἦλθοι, πολιορκῶν δὲ τὸ Πηλούσιον ἔλυσε τὴν πολιορκίαν ἐξ αἰτίας τοιαύτης. Ηὔξατο ὁ ἱερεὺς τῶν Αἰγυπτίων τῷ θεῷ, ᾧ γενόμενος ὑπήκοος ὁ θεὸς πληγὴν ἐνσκήπτει τῷ Ἄραβι. Πλανᾶται γὰρ κἀν τούτῳ Ἡρόδοτος, οὐκ Ἀσσυρίων λέγων τὸν βασιλέα, ἀλλ' Ἀράβων. Μυῶν γὰρ πλῆθός φησι μιᾷ νυκτὶ καὶ τὰ τόξα καὶ τὰ λοιπὰ ὅπλα διαφαγεῖν τῶν Ἀσσυρίων, καὶ διὰ τοῦτο μὴ ἔχοντα τόξα τὸν βασιλέα τὴν στρατιὰν ἀπάγειν ἀπὸ τοῦ Πηλουσίου. Καὶ Ἡρόδοτος μὲν οὕτως ἱστορεῖ. Ἀλλὰ καὶ Βηρωσσὸς ὁ τὰ Χαλδαϊκὰ συγγραψάμενος μνημονεύει τοῦ βασιλέως τοῦ Σεναχηρίβου, καὶ ὅτι τῶν Ἀσσυρίων ἦρχε καὶ ὅτι πάσῃ ἐπεστρατεύσατο τῇ Ἀσίᾳ καὶ τῇ Αἰγύπτῳ, λέγων οὕτως *****

(Β'.) ε'. Ὑποστρέψας δ' ὁ Σεναχήριβος ἀπὸ τοῦ τῶν Αἰγυπτίων πολέμου εἰς τὰ Ἱεροσόλυμα, κατέλαβεν ἐκεῖ τὴν ὑπὸ τῷ στρατηγῷ Ῥαψάκῃ δύναμιν διὰ λοιμοῦ κινδυνεύουσαν· τοῦ γὰρ Θεοῦ λοιμικὴν ἐνσκήψαντος αὐτοῦ τῷ στρατῷ νόσον, κατὰ τὴν πρώτην τῆς πολιορκίας νύκτα διαφθείρονται μυριάδες ὀκτωκαίδεκα καὶ πεντακισχίλιοι σὺν ἡγεμόσι καὶ ταξιάρχοις. Ὑπὸ ταύτης δὲ τῆς συμφορᾶς εἰς φόβον καὶ δεινὴν ἀγωνίαν καταστὰς καὶ δείσας περὶ τῷ στρατῷ παντὶ φεύγει μετὰ τῆς λοιπῆς δυνάμεως εἰς τὴν αὐτοῦ βασιλείαν εἰς τὴν Νίνου προσαγορευθεῖσαν. Καὶ διατρίψας ἐν ταύτῃ ὀλίγον χρόνον δολοφονηθεὶς ὑπὸ τῶν πρεσβυτέρων παίδων Ἀδραμελέχου καὶ Σαρασάρου τελευτᾷ τὸν βίον, καὶ ἀνετέθη ἐν τῷ ἰδίῳ ναῷ Ἀράσκῃ λεγομένῳ. Καὶ οἱ μὲν φυγαδευθέντες ἐπὶ τῷ φόνῳ τοῦ πατρὸς ὑπὸ τῶν πολιτῶν εἰς τὴν Ἀρμενίαν ἀπῆραν, διαδέχεται δὲ τὴν βασιλείαν Σεναχηρίβου Ἀσσαραχόδδας. Καὶ τὸ μὲν τῆς Ἀσσυρίων στρατείας τῆς ἐπὶ τοὺς Ἱεροσολυμίτας τέλος τοιοῦτο συνέβη γενέσθαι.

ΚΕΦ. Β'.

Ἐζεκίας δὲ ὁ βασιλεὺς παραδόξως ἀπαλλαγεὶς τῶν φόβων χαριστηρίους σὺν παντὶ τῷ λαῷ θυσίας ἐπετέλεσε τῷ Θεῷ, μηδεμιᾶς ἄλλης αἰτίας τῶν πολεμίων τοὺς μὲν διαφθειράσης, τοὺς δὲ φόβῳ τῆς ὁμοίας τελευτῆς ἀπαλλαξάσης ἀπὸ τῶν Ἱεροσολύμων ἢ τῆς συμμαχίας τῆς ἀπὸ τοῦ Θεοῦ. Πάσῃ δὲ χρησάμενος σπουδῇ καὶ φιλοτιμίᾳ περὶ τὸν Θεὸν μεν' οὐ πολὺ νόσῳ χαλεπῇ περιπεσὼν ἀπέγνωστο μὲν ὑπὸ τῶν ἰατρῶν, χρηστὸν δὲ περὶ αὐτῷ οὐδὲν προσδοκῶν, οὐδὲ οἱ φίλοι. Τῇ δὲ νόσῳ προσετίθετο καὶ ἀθυμία δεινὴ ὑπὸ τοῦ βασιλέως αὐτοῦ τὴν ἀπαιδίαν λογιζομένου, καὶ ὅτι μέλλοι τελευτᾶν ἔρημον καταλιπὼν τὸν οἶκον καὶ τὴν ἀρχὴν γνησίας διαδοχῆς. Κάμνων οὖν ὑπ' αὐτῆς τῆς ἐννοίας μάλιστα καὶ ὀδυρόμενος ἱκέτευε τὸν Θεὸν αὐτῷ ζωῆς ὀλίγον προσεπιδοῦναι μέχρι τέκνων γονῆς, καὶ μὴ πρότερον ἢ πατὴρ τέκνων γένηται τὴν ψυχὴν αὐτὸν ἐᾶσαι καταλιπεῖν. Ἐλεήσας

confecerat, ut dixi, discessit, Pelusio relicto. De hoc ipso Senacheribo etiam Herodotus in secundo Historiarum suarum libro testatur quod rex iste contra Ægyptiorum regem, qui et Vulcani sacerdos erat, venerit, quumque Pelusium obsideret, hujusmodi de causa obsidionem solverit. Ægyptiorum sacerdos deum supplex orabat, atque is, precibus ejus exauditis, Arabi plagam inflixit. In hoc enim fallitur Herodotus, quod non dicat eum Assyriorum regem *fuisse*, sed Arabum. Nam murium multitudinem inquit una nocte arcus et reliqua Assyriorum arma comedisse; qua re factum esse ut rex, quod arcus non haberet, exercitum a Pelusio abduceret. Atque ita quidem rem narrat Herodotus. Quin et Berosus Chaldaicarum rerum scriptor regis Senacheribi meminit, et quod apud Assyrios regnaverit, quodque Asiæ omni et Ægypto bellum intulerit, ita dicens * * * * *

(II.) 5. Porro Senacheribus, quum a bello Ægyptiaco Hierosolyma revertisset, copias sub imperatore Rapsace illic offendit in periculo ex peste. Morbo enim pestilenti in illius exercitum a Deo immisso, prima nocte qua urbem obsidebant centum et octoginta quinque millia intereunt, cum ducibus et centurionibus. Ex hac autem calamitate in metum gravemque animi dolorem conjectus, et de toto exercitu sollicitus, cum copiis quæ supererant fugiens regnum suum repetit in urbem quæ Nini appellatur. Ubi postquam brevi tempore consederat, insidiis majorum natu filiorum Adramelechi et Sarasari vitam finivit, et in templo ipsius Arasca dicto conditus est. Et illi quidem a civibus in exsilium pulsi ob patris cædem in Armeniam se contulerunt, in regnum vero Senacheribi succedit Assaracboddas. Atque Assyriorum quidem in Hierosolymitanos expeditio hujusmodi exitum habuit.

CAP. II. (III.)

Ezecias autem rex, ex inopinato terroribus liberatus, Deo sacra fecit cum universo populo pro gratiarum actione, quod nulla alia res in causa fuerit ut hostes partim *peste* absumerentur, partim similis interitus metu ab Hierosolymis discederent, quam auxilium a Deo suppeditatum. At quum omne studium curamque circa res divinas adhibuisset, non multo post in morbum incidit difficilem, adeo ut de illo quidem medici plane desperarint, ipse vero nihil bonæ spei de se habuerit, neque amici. Huic autem morbo accedebat gravis animi angor ex ipso rege, dum secum reputaret quod liberis careret, vitaque decessurus esset, domo sine suo hærede relicta, et regno sine legitimo successore. Mœrore itaque ex hac potissimum cogitatione laborans, vicemque suam dolens, Deo supplicabat ut sibi ad vitam aliquantulum adjiceret, donec sobolem procrearet, nec sineret ut antequam pater factus esset animam exhalaret.

δ' αὐτὸν ὁ Θεὸς, καὶ τῆς αἰτήσεως ἀποδεξάμενος, ὅτι μὴ διὰ τὸ μέλλειν στέρεσθαι τῶν ἐκ τῆς βασιλείας ἀγαθῶν ὠδύρετο τὴν ὑπονοηθεῖσαν τελευτὴν καὶ ἔτι χρόνον ζωῆς αὐτῷ δεηθείη παρασχεῖν, ἀλλὰ τοῦ παῖδας αὐτῷ γενέσθαι τοὺς ὑποδεξομένους τὴν ἡγεμονίαν ἐκείνου, πέμψας Ἡσαΐαν τὸν προφήτην ἐκέλευσε δηλοῦν αὐτῷ ὅτι διαφεύξεται τὴν νόσον μετὰ τρεῖς ἡμέρας καὶ βιώσεται μετ' αὐτὴν ἔτη πεντεκαίδεκα καὶ παῖδες αὐτῷ γενήσονται. Ταῦτα τοῦ προφήτου φήσαντος κατ' ἐντολὴν τοῦ Θεοῦ, διὰ τὴν ὑπερβολὴν τῆς νόσου καὶ τὸ παράδοξον τῶν ἀπηγγελμένων ἀπιστῶν, σημεῖόν τι καὶ τεράστιον ἠξίου ποιῆσαι τὸν Ἡσαΐαν, ἵνα αὐτῷ πιστεύσῃ λέγοντι ταῦτα ἥκοντι παρὰ τοῦ Θεοῦ· τὰ γὰρ παράλογα καὶ μείζω τῆς ἐλπίδος τοῖς ὁμοίοις πιστοῦται πράγμασιν. Ἐρωτήσαντος δ' αὐτὸν εἰπεῖν τί βούλεται σημεῖον γενέσθαι, τὸν ἥλιον ἠξίωσεν, ἐπειδὴ σκιὰν ἐπὶ δέκα βαθμοὺς ἀποκλίνας ἤδη πεποίηκεν ἐν τῇ οἰκίᾳ, ἐπὶ τὸν αὐτὸν ἀναστρέψαι τόπον ποιήσας αὐτὴν πάλιν παρασχεῖν. Τοῦ δὲ προφήτου τὸν Θεὸν παρακαλέσαντος ὥστε τὸ σημεῖον τοῦτ' ἐπιδεῖξαι τῷ βασιλεῖ, ἰδὼν ὅπερ ἤθελεν, εὐθὺς λυθείσης τῆς νόσου ἀνεισιν εἰς τὸ ἱερὸν, καὶ τῷ Θεῷ προσκυνήσας εὐχὰς ἐποιήσατο.

β'. Ἐν τούτῳ τῷ χρόνῳ συνέβη τὴν τῶν Ἀσσυρίων ἀρχὴν ὑπὸ Μήδων καταλυθῆναι. Δηλώσω δὲ περὶ τούτων ἐν ἑτέροις. Ὁ δὲ τῶν Βαβυλωνίων βασιλεὺς, Βαλάδας ὄνομα, πέμψας πρὸς τὸν Ἐζεκίαν πρέσβεις δῶρα κομίσαντας, σύμμαχόν τε αὐτὸν εἶναι παρεκάλει καὶ φίλον. Ὁ δὲ τοὺς πρεσβευτὰς ἡδέως ἀποδεξάμενος καὶ ἑστιασάμενος καὶ τοὺς θησαυροὺς ἐπιδείξας αὐτοῖς καὶ τὴν τῶν ὅπλων παρασκευὴν καὶ τὴν ἄλλην πολυτέλειαν ὅσην ἐν λίθοις εἶχε καὶ χρυσῷ, δῶρά τε δοὺς κομίζειν τῷ Βαλάδᾳ, πρὸς αὐτὸν ἀπέλυσεν. Ἡσαΐου δὲ τοῦ προφήτου πρὸς αὐτὸν ἀφικομένου καὶ πυνθανομένου πόθεν εἶεν οἱ παρόντες, ἐκ Βαβυλῶνος ἔλεγε παρὰ τοῦ κυρίου αὐτῶν ἐλθεῖν αὐτοὺς, ἐπιδεῖξαι δὲ πάντ' αὐτοῖς, ὅπως ἰδόντες τὸν πλοῦτον καὶ τὴν δύναμιν ἐκ τούτου στοχαζόμενοι σημαίνειν ἔχωσι τῷ βασιλεῖ. Ὁ δὲ προφήτης ὑποτυχὼν, « ἴσθι, φησὶ, ὡς μετ' ὀλίγον χρόνον εἰς Βαβυλῶνά σου τοῦτον μετατεθησόμενον τὸν πλοῦτον καὶ τοὺς ἐκγόνους εὐνουχισθησομένους καὶ ἀπολέσαντας τὸ ἄνδρας εἶναι τῷ Βαβυλωνίῳ δουλεύσοντας βασιλεῖ· ταῦτα γὰρ προλέγειν τὸν Θεόν. » Ὁ δ' Ἐζεκίας λυπηθεὶς ἐπὶ τοῖς εἰρημένοις ἔφη μὲν οὐκ ἂν βούλεσθαι τοιαύταις συμφοραῖς τὸ γένος αὐτοῦ περιπεσεῖν· ἐπεὶ δ' οὐκ εἶναι δυνατὸν τὰ τῷ Θεῷ δεδογμένα μεταβαλεῖν, ηὔχετο μέχρι τῆς ἑαυτοῦ ζωῆς εἰρήνην ὑπάρξαι. Μνημονεύει δὲ τοῦ τῶν Βαβυλωνίων βασιλέως Βαλάδα Βηρωσσός. Ὢν δ' οὗτος ὁ προφήτης ὁμολογουμένως θεῖος καὶ θαυμάσιος τὴν ἀλήθειαν, πεποιθὼς τῷ μηδὲν ὅλως ψευδὲς εἰπεῖν, ἅπανθ' ὅσα προεφήτευσεν ἐγγράψας βίβλοις κατέλιπεν, ἐκ τοῦ τέλους γνωρισθησόμενα τοῖς αὖθις ἀνθρώποις. Καὶ οὐχ οὗτος μόνος ὁ προφήτης, ἀλλὰ καὶ ἄλλοι δώδεκα τὸν ἀριθμὸν τὸ αὐτὸ ἐποίησαν· καὶ πᾶν, εἴτε ἀγαθὸν εἴτε φαῦλον γίνεται παρ' ἡμῖν, κατὰ τὴν

Deus autem, sortis ipsius misertus ejusque petitioni concedens, quod mortem animo præceptam non defleret, jam regni bonis exuendus, nec rogaret ut daretur major vitæ usura, sed ut liberos susciperet sibi in regnum successuros, misso Esaia vate, jussit ut ei nunciaret post triduum e morbo evasurum esse, foreque ut postquam revaluerit annos quindecim vivat, liberosque procreet. Hæc quum vates ex Dei mandato dixisset, *rex*, quod morbus adeo gravis esset, et res tam inopinata fuerit promissa, diffidens *dictis*, postulat ab Esaia ut signum aliquod et prodigium ederet, quo fidem ipsi haberet ista dicenti, quod a Deo venerit: nam quæ præter opinionem et spe majora sunt, istiusmodi factis fidem impetrant. Is autem a vate interrogatus, quodnam vellet fieri signum, solem petiit, quoniam in descensu umbram ad decimum gradum in ædibus jam projici fecerat, postquam in eundem locum redire fecisset, eam iterum exhiberet. Quumque vates Deum precibus interpellasset, ut regi hoc signum daret, viso quod volebat, ex morbo statim convaluit et in templum ascendit, atque Deo adorato gratias egit.

2. Sub id tempus evenit ut Assyriorum imperium a Medis everteretur. Alius vero de istis dicendi locus erit. Babyloniorum autem rex nomine Baladas, missis ad Ezeciam legatis cum muneribus, illum obsecravit ut secum amicitiæ et societatis fœdus iniret. At ille quum legatos comiter excepisset et epulis adhibuisset, thesaurosque illis ostendisset et armorum apparatum, aliamque ipsius magnificentiam in gemmis auroque elucentem, insuper et munera illis dedisset Baladæ deferenda, ad ipsum remisit. Tum vero Esaias vates illum adiit, quæsivitque unde essent qui aderant: cui respondit, illos e Babylone venisse a domino suo, seque illis universa monstrasse, ut divitias copiasque ipsius intuiti, facta inde conjectura, regi renunciare possent. Vates vero subjiciens inquit, « scito non longe abhinc fore tempus, quum istæ divitiæ Babylonem transferentur, filiique a te orti spadones fient, et virilitate amissa regi Babylonio servient: hæc enim prædicere Deum. » Ezecias autem, ex iis quæ dicta erant dolore affectus, dicebat se quidem nolle gentem suam in istas incidere calamitates: quoniam vero fieri non possit ut mutetur quod a Deo semel fuerit decretum, orabat ut saltem dum ipse viveret pace res florerent. Berosus autem Baladæ meminit Babyloniorum regis. Ceterum hic vates, quum ex confesso esset Dei spiritu afflatus, et mire ad veritatem loqueretur, certus se nihil prorsus falsi dixisse, quæcunque vaticinatus est scriptis mandata reliquit posteris ex eventu dijudicanda. Neque solus hic vates, sed et alii numero duodecim idem fecerunt, et quicquid boni malive nobis contigit, non secus ac illi prædixerant id ipsum eve-

ἐκείνων ἀποβαίνει προφητείαν. Ἀλλὰ τούτων μὲν αὖθις ἐξαγγελοῦμεν ἕκαστον.

ΚΕΦ. Γ'.

Ἐπιβιοὺς δὲ ὃν προειρήκαμεν χρόνον ὁ βασιλεὺς Ἐζεκίας καὶ πάντα τοῦτον ἐν εἰρήνῃ διαγαγὼν τελευτᾷ, πεντηκοστὸν μὲν καὶ τέταρτον ἔτος τῆς ζωῆς διανύσας, εἴκοσι δὲ βασιλεύσας καὶ ἐννέα. Διαδεξάμενος δὲ τὴν βασιλείαν ὁ παῖς αὐτοῦ Μανασσῆς, ἐκ μητρὸς Ἀχιβᾶς τοὔνομα πολίτιδος γεγονώς, ἀπέρρηξε μὲν αὐτὸν τῶν τοῦ πατρὸς ἐπιτηδευμάτων καὶ τὴν ἐναντίαν ἐτράπετο, πᾶν εἶδος πονηρίας ἐπιδειξάμενος ἐν τῷ τρόπῳ καὶ μηδὲν ἀσεβὲς παραλιπών, ἀλλὰ μιμούμενος τὰς τῶν Ἰσραηλιτῶν παρανομίας, αἷς εἰς τὸν Θεὸν ἐξαμαρτάνοντες ἀπώλοντο, μιᾶναι δὲ καὶ τὸν ναὸν ἐτόλμησε τοῦ Θεοῦ καὶ τὴν πόλιν καὶ τὴν χώραν ἅπασαν. Ἀπὸ γὰρ τῆς εἰς τὸν Θεὸν καταφρονήσεως ὁρμώμενος πάντας ὡμῶς τοὺς δικαίους τοὺς ἐν τοῖς Ἑβραίοις ἀπέκτεινεν, ἀλλ' οὐδὲ τῶν προφητῶν ἔσχε φειδώ, καὶ τούτων δέ τινας καθ' ἡμέραν ἀπέσφαξεν, ὥστε αἵματι ῥεῖσθαι τὰ Ἱεροσόλυμα. Λαβὼν οὖν ὀργὴν ἐπὶ τούτοις ὁ Θεὸς πέμπει προφήτας πρὸς τὸν βασιλέα καὶ πρὸς τὸ πλῆθος, δι' ὧν αὐτοῖς ἠπείλησε τὰς αὐτὰς συμφορὰς, αἷς συνέβη περιπεσεῖν τοὺς ἀδελφοὺς αὐτῶν Ἰσραηλίτας εἰς αὐτὸν ἐξυβρίζοντας. Οἱ δὲ τοῖς μὲν λόγοις οὐκ ἐπίστευον, παρ' ὧν ἠδύναντο κερδῆσαι τὸ μηδενὸς πειραθῆναι κακοῦ, τοῖς δ' ἔργοις ἔμαθον ἀληθῆ τὰ παρὰ τῶν προφητῶν.

β'. Ὡς γὰρ τοῖς αὐτοῖς ἐπέμενον, πόλεμον ἐπ' αὐτοὺς ἐκίνει παρά τε τοῦ τῶν Βαβυλωνίων καὶ Χαλδαίων βασιλέως, ὃς στρατιὰν πέμψας εἰς τὴν Ἰουδαίαν τήν τε χώραν ἐλεηλάτησε καὶ τὸν βασιλέα Μανασσῆν, δόλῳ ληφθέντα καὶ πρὸς αὐτὸν ἀχθέντα, πρὸς ἣν ἐβούλετο τιμωρίαν εἶχεν ὑποχείριον. Ὁ δὲ Μανασσῆς, τότε συνεὶς ἐν οἵοις κακοῖς ἐστι καὶ πάντων αἴτιον ἑαυτὸν νομίζων, ἐδεῖτο τοῦ Θεοῦ παρασχεῖν αὐτῷ φιλάνθρωπον καὶ ἐλεήμονα τὸν πολέμιον. Χαρίζεται δὲ τοῦτο τῆς ἱκεσίας ἐπακούσας ὁ Θεὸς αὐτῷ. Καὶ πάλιν εἰς τὴν οἰκείαν ὁ Μανασσῆς ἀπολυθεὶς ὑπὸ τοῦ τῶν Βαβυλωνίων βασιλέως ἀνασώζεται. Γενόμενος δ' εἰς τὰ Ἱεροσόλυμα τῶν μὲν προτέρων ἁμαρτημάτων περὶ τὸν Θεὸν καὶ τὴν μνήμην ἐσπούδαζεν, εἰ δυνατὸν αὐτῷ γένοιτο, τῆς ψυχῆς ἐκβαλεῖν, ὧν μεταβουλεύειν ὥρμησε καὶ πάσῃ χρῆσθαι περὶ αὐτὸν δεισιδαιμονίᾳ. Καὶ τὸν ναὸν ἥγνισε καὶ τὴν πόλιν ἐκάθηρε καὶ πρὸς μόνῳ τὸ λοιπὸν ἦν τῷ χάριν τε τῆς σωτηρίας ἐκτίνειν τῷ Θεῷ καὶ διατηρεῖν αὐτὸν εὐμενῆ πρὸς ὅλον τὸν βίον. Τὰ δὲ αὐτὰ πράττειν καὶ τὸ πλῆθος ἐδίδασκε, μεμαθηκὼς οἷα παρὰ μικρὸν ἐχρήσατο συμφορᾷ διὰ τὴν ἐναντίαν πολιτείαν. Ἐπισκευάσας δὲ καὶ τὸν βωμὸν τὰς νομίμους θυσίας ἐπετέλει καθὼς διέταξε Μωϋσῆς. Διοικησάμενος δὲ τὰ περὶ τὴν θρησκείαν ὃν δεῖ τρόπον καὶ τῆς τῶν Ἱεροσολύμων ἀσφαλείας προενόησεν, ὥστε τὰ παλαιὰ τείχη μετὰ πολλῆς ἐπισκευάσαι σπουδῆς καὶ ἕτερον αὐτοῖς

nit. Verum posthac de his quidem sigillatim sermonem faciemus.

CAP. III. (IV.)

Ezecias autem rex, quum tempus, de quo ante diximus, superstes fuisset, et tam diu vitam in pace egisset, morte occumbit, anno vitæ quarto et quinquagesimo exacto, regni vero nono et vigesimo. At Manasses filius ejus, qui in regnum successit, ex matre Achiba cive natus, a patris studiis discessit, et contrarium vitæ institutum sequutus est, dum omne genus nequitiam præ se tulit, et nihil impii *intentatum* reliquit, sed Israelitarum imitatus flagitia, quibus in Deum delinquendo perierunt, ausus est etiam templum polluere, simul et urbem omnemque regionem. Exorsus enim a Dei contemptu, crudeliter in omnes, quotquot erant in Hebræis, justos cædibus grassabatur, adeo ut ne vatibus quidem pepercerit : nam et horum aliquos quotidie interfecit, ut sanguine Hierosolyma manarent. Deus itaque ob ista iratus ad regem atque ad populum vates mittit, per quos easdem illis minatus est calamitates, in quas contigit ut fratres eorum Israelitæ inciderent ob suas in eum contumelias. At illi his verbis fidem non habebant, quibus id lucrari potuerant ut nihil mali experirentur, re ipsa vero comperuerunt vera esse quæ prophetæ prædixerant.

2. Quum enim in iisdem perseverarent, bellum illis moveri *Deus* fecit a Babyloniorum et Chaldæorum rege, qui misso in Judæam exercitu et regionem depopulatus est et Manassen regem, dolo captum et ad ipsum adductum, ad quodcunque voluit supplicium sibi obnoxium habuit. Ceterum Manasses, quum tum demum intellexisset quibus in malis versaretur, atque omnia sibimet accepta deberi cogitasset, Deum orabat obsecrabatque ut hostem ad humanitatem in ipsum flecteret et misericordiam. Deus autem exaudita supplicatione, votis ejus annuit. Atque ita Manasses, a rege Babyloniorum dimissus, in regnum suum restituitur. Quumque Hierosolyma venisset, id modis omnibus agebat ut vel memoriam priorum de Deo errorum, quorum ipsum jam pœnitere cœpit, ex animo ejiceret, quoad ejus fieri potuit, omnique erga eum religione semet obligaret. Templum etiam consecravit, et urbem lustravit, et de cetero totus in eo erat ut gratias Deo pro salute referret, eumque sibi quam diu viveret propitium teneret. Quin et populum eadem facere docuit, ut qui intellexerat, qualem calamitatem parum aberat quin acceperit ob contrarium vitæ institutum. Instaurato etiam altari sacra legitima faciebat ex præscripto Moysis. Quumque eo quo oportuit modo religionem curasset, Hierosolymorum securitati prospexit, adeo ut murum antiquum refecerit, alterumque ei adstruxerit, ac præterea

ἐπιβαλεῖν, ἀναστῆσαι δὲ καὶ πύργους ὑψηλοτάτους, τά τε πρὸ τῆς πόλεως φρούρια τοῖς τ' ἄλλοις καὶ δὴ καὶ σιτίων πάντων τῶν εἰς αὐτὰ χρησίμων εἰσκομιδῇ ὀχυρώτερα ποιῆσαι. Ἀμέλει δὲ τῇ πρὸς ταῦτα μεταβολῇ χρησάμενος οὕτω τὸν μεταξὺ διῆγε βίον, ὡς μακαριστὸς εἶναι καὶ ζηλωτὸς ἐκείνου τοῦ χρόνου λογιζόμενος, ἀφ' οὗ τὸν Θεὸν εὐσεβεῖν ἤρξατο. Ζήσας οὖν ἔτη ἑξήκοντα καὶ ἑπτὰ κατέστρεψε τὸν βίον, βασιλεύσας ἔτη πέντε καὶ πεντήκοντα. Καὶ θάπτεται μὲν αὐτὸς ἐν τοῖς αὐτοῦ παραδείσοις, ἡ βασιλεία δὲ εἰς τὸν υἱὸν αὐτοῦ περιγίνεται Ἄμωσον, μητρὸς Ἐμαλσέμης μὲν ὄνομα τετυχηκότα, ἐκ δὲ πόλεως Ἰαβάτης ὑπαρχούσης.

turres altissimas excitarit, et arces suburbanas, quo magis ad præsidium essent comparatæ, tum aliis rebus tum omne genus commeatu necessario instruxit. Atque in hunc morem mutatus, ita reliquum vitæ agit, ut beatissimus dignusque imitatione ex illo tempore habitus fuerit, quo cœpit pietatem erga Deum colere. Itaque quum vixisset annos septem et sexaginta, e vita migravit, annis quinque et quinquaginta in regno exactis. Atque ipse quidem suis in hortis sepultus est, regnum vero ad filium ejus Amosum delatum est, ex matre natum cui nomen Emalsema, ex urbe Iabata oriunda.

ΚΕΦ. Δ'.

Οὗτος μιμησάμενος τὰ τοῦ πατρὸς ἔργα, ἃ νέος ὢν ἐκεῖνος ἐτόλμησεν, ἐπιβουλευθεὶς ὑπὸ τῶν ἰδίων οἰκετῶν ἀπέθανεν ἐπὶ τῆς οἰκίας τῆς αὐτοῦ, βιώσας ἔτη τέσσαρα καὶ εἴκοσι, βασιλεύσας δ' ἐξ αὐτῶν δύο. Μετῆλθε δ' αὐτοῦ τὸ πλῆθος τοὺς φονεῖς καὶ τῷ πατρὶ συνθάπτουσι τὸν Ἄμωσον, τὴν δὲ βασιλείαν τῷ παιδὶ αὐτοῦ Ἰωσίᾳ παραδιδοῦσι, ὀκταέτει τὴν ἡλικίαν ὄντι, ᾧ μήτηρ ἐκ πόλεως μὲν ἦν Βοσκεθὶ, Ἰεδὶς δὲ τοὔνομα. Τὴν δὲ φύσιν αὐτὸς ἄριστος ὑπῆρχε καὶ πρὸς ἀρετὴν εὖ γεγονὼς, τῶν Δαυΐδου τοῦ βασιλέως ζηλωτὴς ἐπιτηδευμάτων καὶ σκοπῷ καὶ κανόνι τῆς ὅλης περὶ τὸν βίον ἐπιτηδεύσεως ἐκείνῳ κεχρημένος. Γενόμενος δὲ ἐτῶν δυοκαίδεκα τὴν εὐσέβειαν καὶ τὴν δικαιοσύνην ἐπεδείξατο· τὸν γὰρ λαὸν ἐσωφρόνιζε καὶ παρῄνει τῆς περὶ τῶν εἰδώλων δόξης ὡς οὐχὶ θεῶν ὄντων ἀποστάντας σέβειν τὸν πάτριον Θεὸν, τά τε τῶν προγόνων ἐπισκοπῶν ἔργα τὰ μὲν ἁμαρτηθέντα διώρθου συνετῶς ὡς ἂν πρεσβύτατος καὶ νοῆσαι τὸ δέον ἱκανώτατος, ὅσα δ' ἤρισκεν εὖ γεγονότα καὶ κατὰ χώραν, ἐφύλαττέ τε καὶ ἐμιμεῖτο. Ταῦτα δ' ἔπραττε σοφίᾳ καὶ ἐπινοίᾳ τῆς φύσεως χρώμενος καὶ τῇ τῶν πρεσβυτέρων πειθόμενος συμβουλίᾳ καὶ παραδόσει. Τοῖς γὰρ νόμοις κατακολουθῶν, οὕτω περὶ τὴν τάξιν τῆς πολιτείας καὶ τῆς περὶ τὸ θεῖον εὐσεβείας εὐοδεῖν τε συνέβαινε, διὰ τὸ τὴν τούτων παρανομίαν μὴ τυγχάνειν, ἀλλ' ἐξηφανίσθαι. Περιὼν γὰρ ὁ βασιλεὺς καὶ τὴν πόλιν καὶ τὴν χώραν ἅπασαν τά τε ἄλση τὰ τοῖς ξενικοῖς ἀνειμένα θεοῖς ἐξέκοψε καὶ τοὺς βωμοὺς αὐτῶν κατέσκαψεν, εἴ τι δ' ἀνάθημα τούτοις ὑπὸ τῶν προγόνων ἀνέκειτο, περιυβρίζων κατέσπα. Καὶ τούτῳ τῷ τρόπῳ τὸν λαὸν ἀπὸ τῆς περὶ αὐτοὺς δόξης εἰς τὴν τοῦ Θεοῦ θρησκείαν ἐπέστρεψε, καὶ τὰς συνήθεις ἐπέφερον θυσίας καὶ τὰς ὁλοκαυτώσεις αὐτοῦ τῷ βωμῷ. Ἀπέδειξε δέ τινας κριτὰς καὶ ἐπισκόπους, ὡς ἂν διοικοῖεν τὰ παρ' ἑκάστοις πράγματα, περὶ παντὸς τὸ δίκαιον ποιούμενοι καὶ τῆς ψυχῆς οὐκ ἔλαττον αὐτὸ περιέποντες. Διαπεμψάμενος δὲ κατὰ πᾶσαν τὴν χώραν χρυσὸν καὶ ἄργυρον τοὺς βουλομένους ἐκέλευσε κομίζειν εἰς ἐπισκευὴν τοῦ ναοῦ, ὅσον τις ἢ προαιρέσεως ἢ δυνάμεως ἔχοι. Κομισθέντων δὲ τῶν χρημάτων τῆς ἐπιμελείας τοῦ ναοῦ καὶ τῆς εἰς τοῦτο δαπάνης προε-

CAP. IV. (V.)

Hic patris scelera, quæ is prima juventute facere ausus erat, imitatus, ex familiarium insidiis sua in domo interiit, quum vixisset annos quattuor et viginti, ex illis vero duo regnasset. In ejus autem interfectores animadvertit populus, atque Amosum cum patre sepeliunt, regnum vero filio ejus Josiæ in manus tradunt, quum annum ætatis octavum ageret: cui mater erat ex oppido quidem Boscethi, nomine vero Jedis. Ille autem optima erat indole, atque a natura ad virtutem bene comparatus, regis Davidis morum æmulus, scopo et regula illo utens ad totam suam vitam instituendam: quumque annum duodecimum attigisset, pietatis ac justitiæ specimen dedit: nam populum ad saniorem mentem reducebat, auctorque erat ut mutata de idolis, ut quæ dii non essent, opinione Deum patrium colerent, quumque ea quæ a majoribus suis acta essent dispicere cœperit, quæ minus recte se haberent sapienter emendabat, quasi summa fuisset senectute et ad cogitandum quid fieri oportet maxime ideneus; quæ vero bene ac suo loco facta deprehendebat, ea retinebat atque imitabatur. Ista autem faciebat ex mentis suæ perspicacia et ingenii sollertia, seniorumque consiliis et institutis obsequendo. Quum enim legum ductum sequeretur, ea re fiebat ut in republica curanda et in religione erga Deum prospere etiam ei omnia cederent, eoque magis quod horum *regum* iniquitas non *amplius exemplo* esset, sed e conspectu sublata fuerit. Nam rex urbem pariter ac regionem omnem obeundo et lucos diis peregrinis dedicatos excidit et aras eorum evertit, et donaria eis a majoribus consecrata cum ludibrio detraxit. Atque ita populum ab ea quam de illis opinionem habuerunt ad Dei cultum convertit; *quo facto* hostias ut olim et solida sacrificia ejus ad altare afferebant. Constituit etiam certos judices et inspectores, ut res uniuscujusque curarent, juris et æqui rationem præcipue habentes, et illud non minus quam vitam tuentes. Deinde viros per totam suam ditionem dimisit cum mandatis, ut quicunque vellent aurum et argentum ad templum reliciendum afferrent, idque suo quisque arbitratu aut prout res pateretur. Quum autem allatæ essent pecuniæ, curam

στησε τόν τ' ἐπὶ τῆς πόλεως Ἀμασίαν καὶ τὸν γραμματέα Σαφὰν καὶ τὸν γραφέα τῶν ὑπομνημάτων Ἰωάτην καὶ τὸν ἀρχιερέα Ἐλιακίαν· οἳ μηδὲν ὑπερθέσει μηδ' ἀναβολῇ δόντες ἀρχιτέκτονας καὶ πάνθ' ὅσα πρὸς τὴν ἐπισκευὴν χρήσιμα παρασκευάσαντες εἶχοντο τῶν ἔργων. Καὶ ὁ μὲν ναὸς οὕτως ἐπισκευασθεὶς τὴν τοῦ βασιλέως εὐσέβειαν φανερὰν ἐποίησεν.

β'. Ὄγδοον δ' ἤδη καὶ δέκατον τῆς βασιλείας ἔτος ἔχων πέμπει πρὸς Ἐλιακίαν τὸν ἀρχιερέα, κελεύων τὸ περισσὸν τῶν χρημάτων χωνεύσαντα ποιῆσαι κρατῆρας καὶ σπονδεῖα καὶ φιάλας εἰς τὴν διακονίαν, ἔτι δὲ καὶ ὅσος ἂν ᾖ χρυσὸς ἐν τοῖς θησαυροῖς ἢ ἄργυρος, καὶ τοῦτον προκομίσαντας εἰς τοὺς κρατῆρας ὁμοίως καὶ τοιαῦτα σκεύη δαπανῆσαι. Προκομίζων δὲ τὸν χρυσὸν ὁ ἀρχιερεὺς Ἐλιακίας ἐντυγχάνει ταῖς ἱεραῖς βίβλοις ταῖς Μωϋσέως ἐν τῷ ναῷ κειμέναις, καὶ προκομίσας δίδωσι τῷ γραμματεῖ Σαφάν. Ὁ δὲ ἀναγνοὺς παραγίνεται πρὸς τὸν βασιλέα καὶ πάντα ὅσα κελεύσειε γενέσθαι τέλος ἔχοντα ἐδήλου, παρανέγνω δ' αὐτῷ καὶ τὰς βίβλους. Ἀκούσας δὲ καὶ περιρρηξάμενος τὴν ἐσθῆτα, τὸν ἀρχιερέα καλέσας Ἐλιακίαν καὶ αὐτὸν τὸν γραμματέα καὶ τῶν ἀναγκαιοτάτων φίλων τινὰς, ἔπεμψε πρὸς τὴν προφῆτιν Ὀλδὰν, γυναῖκα δὲ Σαλλούμου, τῶν ἐν δόξῃ τινὸς καὶ δι' εὐγένειαν ἐπιφανοῦς, καὶ προσελθόντας ἐκέλευε λέγειν ἱλάσκεσθαι τὸν Θεὸν καὶ πειρᾶσθαι ποιεῖν εὐμενῆ· δεὸς γὰρ εἶναι μὴ παραβάντων τοὺς Μωϋσέως νόμους τῶν προγόνων αὐτῶν κινδυνεύσωσιν ἀνάστατοι γενέσθαι καὶ τῆς οἰκείας ἐκπεσόντες ἐπ' ἀλλοτρίας ἔρημοι πάντων καταστρέψωσιν οἰκτρῶς τὸν βίον. Ἀκούσασα δ' ἡ προφῆτις παρὰ τῶν πεμφθέντων ταῦτα δι' αὐτῶν ὧν ἐπέστειλεν ὁ βασιλεὺς, ἐκέλευσεν αὐτοὺς ἀπελθόντας πρὸς τὸν βασιλέα λέγειν ὅτι « τὸ μὲν θεῖον ἤδη κατ' αὐτῶν ψῆφον ἤνεγκεν, ἣν οὐχ ἱκεσίαις ἄν τις ἄκυρον ποιήσειεν, ἀπολέσαι τὸν λαὸν καὶ τῆς χώρας ἐκβαλεῖν καὶ πάντων ἀφελέσθαι τῶν νῦν παρόντων ἀγαθῶν παραβάντας τοὺς νόμους, καὶ τοσούτῳ μεταξὺ χρόνῳ μὴ μετανοήσαντας, τῶν τε προφητῶν τοῦτο παραινούντων σωφρονεῖν καὶ τὴν ἐπὶ τοῖς ἀσεβήμασι τιμωρίαν προλεγόντων, ἵν, ἵνα πεισθῶσιν ὅτι Θεὸς ἔστι καὶ οὐδὲν ἐψεύδετο τούτων ὧν αὐτοῖς διὰ τῶν προφητῶν κατήγγειλε, πάντως αὐτοῖς ποιήσειν, δι' αὐτὸν μέντοι δίκαιον γενόμενον ἐφέξειν ἔτι τὰς συμφορὰς, μετὰ δὲ τὴν ἐκείνου τελευτὴν τὰ κατεψηφισμένα πάθη τοῖς ὄχλοις ἐπιπέμψειν. »

γ'. Οἱ μὲν οὖν τῆς γυναικὸς προφητευσάσης ἐλθόντες ἀπήγγειλαν τῷ βασιλεῖ· ὁ δὲ περιπέμψας πανταχοῦ τὸν λαὸν ἐκέλευσε συνελθεῖν εἰς τὰ Ἱεροσόλυμα τοὺς ἱερεῖς καὶ τοὺς Λευίτας, πᾶσάν τε ἡλικίαν προστάξας παρεῖναι. Ἀθροισθέντων δὲ αὐτῶν πρῶτον μὲν αὐτοῖς ἀνέγνω τὰς ἱερὰς βίβλους, ἔπειτα στὰς ἐπὶ τοῦ βήματος ἐν μέσῳ τῷ πλήθει ὅρκους ποιήσασθαι καὶ πίστεις ἠνάγκασεν, ἢ μὴν θρησκεῦσαι τὸν Θεὸν καὶ φυλάξαι τοὺς Μωϋσέως νόμους. Οἱ δὲ προθύμως τε ἐπῄνεσαν καὶ τὰ παραινεθέντα ὑπὸ τοῦ βασιλέως ποιήσειν ὑπέσχησαν, θύον-

templi sumptuumque in illud faciendorum commisit Amasiæ prætori urbano, et Saphani scribæ et Joatæ commentariensi et Eliaciæ pontifici : qui sine mora et dilatione, ubi architectos et reliqua ad *templi* reparationem necessaria paraverant, ad opus aggrediebantur. Et templum quidem ita instauratum fecit ut omnibus innotesceret regis pietas.

2. Atquum jam in regno annum decimum et octavum ageret, ad Eliaciam pontificem mittit, jubens ut, conflata quæ supererat pecunia, crateras inde et pateras et phialas ad sacra procuranda conficeret; ac præterea quicquid auri argentive in thesauris esset, id quoque prolatum identidem in crateras et istiusmodi vasa impenderent. Pontifex autem Eliacias, dum aurum promit, forte incidit in sacros libros Moysis in templo repositos, eosque prolatos tradit Saphani scribæ. Ille vero, quum eos perlegisset, regem adit, nunciabatque omnia ad finem esse perducta quæ imperarit : insuper et libros *Moysis* ei prælegebat. His autem auditis *rex* vesteque scissa, quum Eliaciam pontificem accivisset, ipsumque scribam, et ex amicis aliquot maxime necessariis, misit *eos* ad Oldam vatem, uxorem Sallumi, viri inclyti et nobilitate illustris, jussitque dicere, quum ad eam accessissent, ut Deum placaret studeretque propitium efficere : metuendum enim esse ne ob ea quæ patres contra Moysis leges fecerint, in eo sint discrimine ut extorres fiant, suisque sedibus pulsi in alienis omnium egentes miserabiliter vitam finiant. Quum autem vates ab ipsis, quos miserat rex, mandata ejus accepisset, præcepit illis ut ab ipsa digressi ad regem, dicerent « quod Deus jam contra illos sententiam tulit, quæ nullis refingenda est precibus, fore ut populus pereat, et e regione sua ejiciatur, et omnibus quibus jam fruitur bonis mulctetur, quod leges violarint, et quum tam multum temporis interim fuerit, pœnitentiam non egerint, præsertim quum vates eos monuerint ut ad saniorem mentem redirent, pœnasque manere scelera prædixerint, quas, ut Deum esse credant, et nihil mendacii istis subesse quæ per vates illis denunciavit, omnino fore ut ab illis expetat, propter ipsum tamen, quod justus exstiterit, etiam nunc moraturum esse calamitates; verum, ut ille in vivis esse desierit, quæ inferre decrevit populo illaturum esse. »

3. Et illi quidem, quum mulier hoc vaticinium edidisset, reversi ad regem ei omnia retulerunt. Ille vero, missis in circuitum nunciis, jussit ut Hierosolyma convenirent sacerdotes et Levitæ, omnibus etiam cujuscunque ætatis adesse imperatis. Quum autem congregati essent, primum quidem illis legebat libros sacros, deinde, pro suggestu stans in medio populi, omnes coegit fidem jurejurando dare se Deum certe culturos esse atque Moysis leges observaturos. Illi vero et his prompte assenserunt et regis consiliis obsequutu-

τές τε παραχρῆμα καὶ καλλιεροῦντες τὸν Θεὸν ἤδη ἱκέτευον εὐμενῆ καὶ ἵλεων αὐτοῖς ὑπάρχειν. Τὸν δ' ἀρχιερέα προσέταξεν, εἴ τι περισσὸν ὑπὸ τῶν προγόνων σκεῦος τοῖς εἰδώλοις καὶ ξενικοῖς θεοῖς κατασταθὲν ἦν ἐν τῷ ναῷ, τοῦτο ἐκβαλεῖν. Συναθροισθέντων δὲ πολλῶν, καταπρήσας αὐτὰ τὴν σποδὸν αὐτῶν διέσπειρε, καὶ τοὺς ἱερεῖς τῶν εἰδώλων, οὐκ ὄντας ἐκ τοῦ Ἀαρῶνος γένους, ἀπέκτεινε.

δ'. Ταῦτα δ' ἐν τοῖς Ἱεροσολύμοις διαπραξάμενος ἦκεν εἰς τὴν χώραν καὶ τὰ κατασκευασθέντα ἐν αὐτῇ ὑπὸ Ἱεροβοάμου τοῦ βασιλέως εἰς τιμὴν τῶν ξενικῶν θεῶν ἠφάνισε, καὶ τὰ ὀστᾶ τῶν ψευδοπροφητῶν ἐπὶ τοῦ βωμοῦ, ὃν κατεσκεύασε πρῶτος Ἱεροβόαμος, κατέκαυσε. Ταῦτα δὲ κατελθόντα Ἀχίαν τὸν προφήτην πρὸς Ἱεροβόαμον, θυσιάζοντος αὐτοῦ καὶ παντὸς ἀκούοντος τοῦ λαοῦ, προκαταγγεῖλαι γενησόμενα, ὅτι τις τοῦ Δαυίδου γένους Ἰωσίας τοὔνομα ποιήσει τὰ προειρημένα, * * * Συνέβη δὲ ταῦτα λαβεῖν τέλος μετὰ ἔτη τριακόσια καὶ ἑξηκονταέν.

ε'. Μετὰ δὲ ταῦτα ὁ βασιλεὺς Ἰωσίας πορευθεὶς καὶ πρὸς τοὺς ἄλλους τῶν Ἰσραηλιτῶν, ὅσοι τὴν αἰχμαλωσίαν καὶ τὴν δουλείαν τὴν ὑπὸ τῶν Ἀσσυρίων διέφυγον, ἀφεῖναι μὲν τὰς ἀσεβεῖς πράξεις καὶ τὰς τιμὰς τὰς πρὸς τοὺς ἀλλοτρίους θεοὺς ἐγκαταλιπεῖν ἔπεισε, τὸν δὲ πάτριον καὶ μέγιστον Θεὸν εὐσεβεῖν καὶ τούτῳ προσανέχειν· τάς τε οἰκίας καὶ τὰς κώμας ἠρεύνησε καὶ τὰς πόλεις, μή τις ἔνδον ἔχοι τι τῶν εἰδώλων ὑπονοῶν. Οὐ μὴν ἀλλὰ καὶ τοῖς βασιλευομένοις ἐφεστῶτα ἅρματα, ἃ κατεσκεύασαν οἱ πρόγονοι, καὶ εἴ τι ἄλλο τοιοῦτον ἦν ᾧ προσεκύνουν ὡς Θεῷ, ἐβάστασε. Καὶ καθαρίσας οὕτω τὴν χώραν ἅπασαν εἰς Ἱεροσόλυμα τὸν λαὸν συνεκάλεσε, κἀκεῖ τὴν ἀζύμων ἑορτὴν τὴν καὶ πάσχα λεγομένην ἤγαγεν, ἐδωρήσατό τε τῷ λαῷ [τὸ πάσχα] νεογνοὺς ἐρίφους καὶ ἄρνας τρισμυρίους, βοῦς δ' εἰς ὁλοκαύτωσιν τρισχιλίους. Παρεῖχον δὲ καὶ τῶν Ἰουδαίων οἱ πρῶτοι διὰ τὸ πάσχα τοῖς ἱερεῦσιν ἄρνας δισχιλίους ἑξακοσίους, καὶ τοῖς Λευίταις πεντακισχιλίους ἄρνας ἔδοσαν οἱ προεστῶτες αὐτῶν, βοῦς δὲ πεντακοσίους. Καὶ γενομένης οὕτως ἀφθόνου τῆς τῶν ἱερείων εὐπορίας, τὰς θυσίας ἐπετέλουν τοῖς Μωϋσέως νόμοις, ἑκάστου τῶν ἱερέων ἐξηγουμένου καὶ διακονουμένου τοῖς ὄχλοις. Καὶ τοῦ μηδεμίαν ἄλλην οὕτως ἀχθῆναι τοῖς Ἑβραίοις ἑορτὴν ἀπὸ τῶν Σαμουήλου τοῦ προφήτου χρόνων αἴτιον ἦν τὸ πάντα κατὰ νόμους καὶ κατὰ τὴν ἀρχαίαν παρατήρησιν τῆς πατρίου συνηθείας ἐπιτελεσθῆναι. Ζήσας δ' ἐν εἰρήνῃ μετὰ ταῦτα Ἰωσίας, ἔτι δὲ καὶ πλούτῳ καὶ τῇ παρὰ πᾶσιν εὐδοξίᾳ, κατέστρεψε τούτῳ τῷ τρόπῳ τὸν βίον.

ΚΕΦ. Ε'.

Νεχαὼ ὁ τῶν Αἰγυπτίων βασιλεὺς ἀγείρας στρατιὰν, ἐπὶ τὸν Εὐφράτην ἤλασε ποταμὸν, Μήδους πολεμήσων καὶ τοὺς Βαβυλωνίους, οἳ τὴν Ἀσσυρίων κατέλυσαν ἀρχήν· τῆς γὰρ Ἀσίας βασιλεῦσαι πόθον εἶχεν. Γενόμενος δὲ ἐπὶ τῷ Εὐφράτῃ ποταμῷ, καὶ τὴν διάβασιν ποιούμενος, ἐκώλυσεν αὐτὸν Ἰωσίας ὁ τῶν Ἰουδαίων βασιλεὺς, ἐπὶ τὸν πόλεμον ἐξελθὼν, ἐπειδὴ φίλος Μήδοις ἦν καὶ σύμμαχος. Ἐκ δὲ τούτου ἐπὶ τὸν Νεχαὼ ἐλθὼν, καὶ τὴν παράταξιν ποιησάμενος, ἐνίκησε μὲν τῇ μάχῃ, ἀπέθανε δὲ ὑπὸ τῶν τοξευμάτων. Ἐκ δὲ τούτου ἐπὶ τὸν Νεχαὼ ἐλθὼν, καὶ τὴν παράταξιν ποιησάμενος, ἐνίκησε μὲν τῇ μάχῃ, ἀπέθανε δὲ ὑπὸ τῶν τοξευμάτων. Ἐκ δὲ τούτου ἐπὶ τὸν Νεχαὼ ἐλθὼν, καὶ τὴν παράταξιν ποιησάμενος, ἐνίκησε μὲν τῇ μάχῃ, ἀπέθανε δὲ ὑπὸ τῶν τοξευμάτων.

ros se receperunt, moxque sacra facientes litantesque Deum jam precabantur ut benigne ipsos et misericorditer respicere dignaretur. Porro jussit pontifici si quod vas supereſſet a majoribus consecratum idolis diisque peregrinis positum in templo, illud efferret : et quum non pauca essent congesta, illis incensis cinerem eorum dispersit, denique idolorum sacerdotes, ab genere Aaronis alienos, occidit.

4. At quum ista Hierosolymis perfecisset, in regionem proficiscebatur, et quicquid in ea fecerat Hieroboamus, in peregrinorum numinum honorem, funditus delevit, falsorumque vatum ossa super altari, quod primus Hieroboamus exstruxerat, igni cremavit. Et Achiam quidem vatem, quum se ad Hieroboamum contulisset, dum ille sacrificaret totusque populus audiret, quæ eventura essent prænunciasse, quod quidam ex Davidis progenie, nomine Josias, hæc ipsa, quæ jam memoravimus, facturus esset * * *. Atque accidit ut ista adimpleta fuerint, annis trecentis sexaginta et uno elapsis.

5. Post hæc autem rex Josias, ad alios etiam ex Israelitis profectus, qui in captivitatem et servitium abducti non fuerant ab Assyriis, illis persuasit ut impie agere desisterent, deorumque alienorum cultum relinquerent, patrium vero Deum et maximum pie colerent eique adhærerent, domosque perscrutatus est et villas et urbes, suspicans fore ut aliquis intus custodiret idola. Quinetiam *solis* currus, qui *in accensu ad templum* steterant, a majoribus fabricatos, et si quid aliud adorabant ut Deum, de medio sustulit. Quumque hoc modo regionem universam lustrasset, populum Hierosolyma convocavit, ibi festum Azymorum, quod et Pascha dicebatur, celebravit, donavitque populo *victimas Paschales*, hœdos agnosque lactentes tricies mille, et in solida sacrificia boum tria millia. Ac præterea principes Judæorum in gratiam Paschatis sacerdotibus largiti sunt agnorum duo millia et sexcentos, et similiter Levitis primores eorum dederunt agnorum quinque millia, et boves quingentos. Quumque tam magna esset victimarum copia, sacra fecerunt convenienter Moysis legibus, unoquoque ex sacerdotibus præeunte et ministrante populo. Atque ideo nullum tale Pascha a temporibus Samuelis vatis actum erat ab Hebræis, quod omnia ex legum præscripto, priscisque patriæ ritibus observatis, peracta fuerint. Post hæc autem Josias, quum in pace vitam egisset, insuper et divitiis et gloria inter omnes floruisset, vitæ finem habuit hujusmodi.

CAP. V. (VI.)

Nechao Ægyptiorum rex, delectibus habitis, in expeditionem ad Euphratem fluvium profectus est, Medis bellum illaturus et Babyloniis, qui Assyriorum everterant imperium : illum enim cupido incessit regnandi in Asia. Quum-

μένου δ' αὐτοῦ κατὰ Μένδην πόλιν, (ἦν δ' αὕτη τῆς Ἰωσίου βασιλείας,) μετὰ δυνάμεως εἶργεν αὐτὸν διὰ τῆς ἰδίας ποιεῖσθαι χώρας τὴν ἐπὶ τοὺς Μήδους ἔλασιν. Πέμψας δὲ κήρυκα πρὸς αὐτὸν ὁ Νεχαὼ οὐκ ἐπ' αὐτὸν στρατεύειν ἔλεγεν, ἀλλ' ἐπὶ τὸν Εὐφράτην ὡρμηκέναι· μὴ παροξύνειν δ' αὐτὸν ἐκέλευσεν, ὥστε πολεμεῖν αὐτῷ κωλύοντι βαδίζειν ἐφ' οὗ διέγνωκεν. Ἰωσίας δὲ οὐ προσίετο τὰ παρὰ τοῦ Νεχαῶνος, ἀλλ' οὕτως ἔσχεν ὡς μὴ συγχωρεῖν αὐτῷ τὴν οἰκείαν διέρχεσθαι, τῆς πεπρωμένης, οἶμαι, εἰς τοῦτ' αὐτὸν παρορμησάσης, ἵνα λάβῃ πρόφασιν κατ' αὐτοῦ. Διατάσσοντος γὰρ αὐτοῦ τὴν δύναμιν καὶ ἐφ' ἅρματος ἀπὸ κέρως ἐπὶ κέρας ὀχουμένου, τοξεύσας τις αὐτὸν τῶν Αἰγυπτίων ἔπαυσε τῆς πρὸς τὴν μάχην σπουδῆς. Τῷ τραύματι γὰρ περιαλγὴς ὢν ἐκέλευσεν ἀνακληθῆναι τὸ στράτευμα, καὶ ὑπέστρεψεν εἰς Ἱεροσόλυμα. Τελευτᾷ δὲ ἐκ τῆς πληγῆς ἐκείνης τὸν βίον, καὶ κηδεύεται ἐν ταῖς πατρῴαις θήκαις μεγαλοπρεπῶς, βιώσας μὲν ἔτη τριάκοντα ἐννέα, βασιλεύσας δὲ τούτων ἓν καὶ τριάκοντα. Πένθος δὲ ἐπ' αὐτῷ μέγα τοῦ λαοῦ παντὸς ἦχθη, πολλαῖς ἡμέραις ὀδυρομένου καὶ κατηφοῦντος. Ἱερεμίας δ' ὁ προφήτης ἐπικήδειον αὐτοῦ συνέταξε μέλος θρηνητικόν, ὃ καὶ μέχρι νῦν διαμένει. Οὗτος ὁ προφήτης καὶ τὰ μέλλοντα τῇ πόλει δεινὰ προεκήρυξε, ἐν γράμμασι καταλιπὼν καὶ τὴν νῦν ἐφ' ἡμῶν γενομένην ἅλωσιν τήν τε Βαβυλῶνος κίρεσιν. Οὐ μόνον δὲ οὗτος προεθέσπισε ταῦτα τοῖς ὄχλοις, ἀλλὰ καὶ ὁ προφήτης Ἰεζεκίηλος, ὃς πρῶτος περὶ τούτων δύο βιβλία γράψας κατέλιπεν. Ἦσαν δὲ οἱ δύο τῷ γένει ἱερεῖς, ἀλλ' ὁ μὲν Ἱερεμίας ἐν Ἱεροσολύμοις διῆγεν, ἀπὸ τρισκαιδεκάτου ἔτους τῆς Ἰωσίου βασιλείας ἕως οὗ κατεσκάφη ἡ πόλις καὶ ὁ ναός. Τὰ μέντοι γε συμβάντα περὶ τοῦτον τὸν προφήτην κατὰ χώραν δηλώσομεν.

β'. Τελευτήσαντος δὲ Ἰωσίου, καθὼς προειρήκαμεν, τὴν βασιλείαν ὁ παῖς αὐτοῦ διαδέχεται Ἰωάχαζος τοὔνομα, περὶ τρίτον καὶ εἰκοστὸν ἤδη ἔτος γεγονώς. Καὶ οὗτος μὲν ἐν Ἱεροσολύμοις ἐβασίλευσε, μητρὸς Ἀμιτάλης καὶ πόλεως Λοβάνης, ἀσεβὴς δὲ καὶ μιαρὸς τὸν τρόπον. Ὁ δὲ τῶν Αἰγυπτίων βασιλεὺς ὑποστρέψας ἀπὸ τῆς μάχης μεταπέμπεται τὸν Ἰωάχαζον πρὸς αὐτὸν εἰς Ἀμαθὰ καλουμένην πόλιν, ἥτις ἐστὶ τῆς Συρίας. Καὶ τὸν μὲν ἐλθόντα ἔδησε, τῷ δὲ πρεσβυτέρῳ αὐτοῦ ἀδελφῷ, ὁμοπατρίῳ ὄντι, Ἐλιακίμῳ τοὔνομα, τὴν βασιλείαν παραδίδωσι, μετονομάσας αὐτὸν Ἰωακίμον. Τῇ δὲ χώρᾳ ἐπέταξεν ἑκατὸν ἀργυρίου τάλαντα, ἓν δὲ χρυσίου. Καὶ τοῦτο μὲν ἐτέλει ὁ Ἰωάκιμος τὸ πλῆθος τῶν χρημάτων, τὸν δὲ Ἰωάχαζον ἀπήγαγεν εἰς Αἴγυπτον, ὃς καὶ ἐτελεύτησεν ἐν αὐτῇ, βασιλεύσας μηνᾶς τρεῖς, ἡμέρας δέκα. Ἡ δὲ τοῦ Ἰωακίμου μήτηρ ἐκαλεῖτο Ζαβούδα, ἐκ πόλεως δ' ἦν Ἀβούμας. Ἐτύγχανε δ' ὢν τὴν φύσιν ἄδικος καὶ κακοῦργος, καὶ μήτε πρὸς Θεὸν ὅσιος μήτε πρὸς ἀνθρώπους ἐπιεικής.

que ad Menden urbem pervenisset, (erat autem illa in ditione Josiæ,) hic cum exercitu eum prohibuit ab expeditione contra Medos per suam regionem facienda. Nechao autem, præcone ad eum misso, dicebat se non in illum exercitum educere, sed ad Euphraten ire contendisse, jubebatque cavere ne ipsum adeo irritaret, ut adversus eum præliaretur, semet a proposito itinere prohibentem. At Josias iis quæ Nechao dixerat haud assensit, sed secum constituebat iter ei non dare per suæ ditionis regionem, fato eum, ut opinor, ad hoc ipsum impellente, ut perdendi eum occasionem arriperet. Nam dum aciem instrueret curru ab uno cornu ad alterum vectus, quidam ex Ægyptiis, qui eum sagitta petierat, fecit ut ei deflagraret bellandi cupiditas. Nam quum vulnus ægre ferret, jussit ut receptui canerent, et Hierosolyma reversus est. Ex illa autem plaga moritur, et sepultus est magnifico funere in paternis monumentis, quum annos triginta novem vixisset, ex his vero regnasset triginta et unum. Vehementer eum lugebat populus, multis diebus lamentis et mœrori se dedens. Hieremias autem vates lugubri carmine condidit super eo næniam, quæ etiamnum exstat. Hic vates etiam mala urbi eventura ante denunciavit, literisque mandavit et quod nostra ætate factum est excidium et Babylonis expugnationem. Verum non solus iste populo illa prædixit, sed et Jezecielus vates qui primus de his duos libros conscriptos reliquit. Erant autem hi duo ex stirpe sacerdotali : sed Hieremias quidem Hierosolymis commoratus est ab anno decimo tertio regni Josiæ, usquedum templum una cum urbe dirutum erat. At quæ huic vati acciderunt suo loco narrabimus.

2. Porro mortuo, quemadmodum ante diximus, Josia, regnum suscepit filius ejus nomine Joachazus, quum jam ætatis annum circiter vigesimum tertium ageret. Et hic quidem Hierosolymis regnavit, matre *natus* Amitala ex urbe Lobana, nequam vero erat et moribus impuris. Rex autem Ægyptiorum, a pugna reversus, Joachazum ad se accersit in urbem Amatha appellatam, quæ in Syria est : et illum quidem, cum ad eum venisset, in vincula conjecit, fratri vero eo natu majori, ex eodem patre, Eliacimo nomine, regnum tradidit, mutato ejus nomine in Joacimum. Regioni autem tributum imperavit, centum argenti talenta, et unum auri. Et hanc quidem pecuniæ summam Ioacimus solvebat, secum vero rex Ioachazum in Ægyptum abduxit, qui et illic vita decessit, regno potitus tres menses et dies decem. Mater autem Joacimi vocata est Zabuda, ex urbe Abuma oriunda. Atqui is injustus erat natura et maleficus, et neque in Deum pius, neque erga homines benignus.

ΚΕΦ. Ϛ'.

Ἔτος δ' αὐτοῦ τῆς βασιλείας τέταρτον ἤδη ἔχοντος, τὴν Βαβυλωνίων ἀρχὴν παραλαμβάνει τις Ναβουχοδονόσορος ὄνομα, ὃς ὑπὸ τὸν αὐτὸν καιρὸν μετὰ μεγάλης παρασκευῆς ἐπὶ Καρχαμησὰν ἀναβαίνει πόλιν (ἔστι δ' αὕτη πρὸς τῷ Εὐφράτῃ) πολεμεῖν διεγνωκὼς τῷ τῶν Αἰγυπτίων Νεχαῶνι· ὑπὸ τούτῳ γὰρ ἦν ἅπασα ἡ Συρία. Μαθὼν δὲ τὴν τοῦ Βαβυλωνίου προαίρεσιν καὶ τὴν ἐπ' αὐτὸν στρατείαν ὁ Νεχαὼ, οὐδὲ αὐτὸς ὠλιγώρησεν, ἀλλὰ σὺν πολλῇ χειρὶ τὸν Ναβουχοδονόσορον ἀμυνούμενος ἐξώρμησεν ἐπὶ τὸν Εὐφράτην. Συμβολῆς δὲ γενομένης ἡττήθη καὶ πολλὰς ἀπέβαλε μυριάδας ἐν τῇ μάχῃ. Διαβὰς δὲ τὸν Εὐφράτην ὁ Βαβυλώνιος τὴν ἄχρι Πηλουσίου παραλαμβάνει Συρίαν πάρεξ τῆς Ἰουδαίας. Τέσσαρα δ' ἔτη βασιλεύοντος ἤδη τοῦ Ναβουχοδονοσόρου ὄγδοον ἦν τῷ Ἰωακίμῳ τῷ τῶν Ἑβραίων ἔχοντι τὴν ἀρχὴν, καὶ στρατεύει μετὰ πολλῆς δυνάμεως ἐπὶ τοὺς Ἰουδαίους ὁ Βαβυλώνιος, φόρους αἰτῶν τὸν Ἰωάκιμον, ἢ πολεμήσειν ἀπειλῶν. Ὁ δὲ δείσας τὴν ἀπειλὴν καὶ τὴν εἰρήνην ἀντικαταλλαξάμενος τῶν χρημάτων ἤνεγκεν αὐτῷ φόρους οὓς ἔταξεν ἐπὶ ἔτη τρία.

β'. Τῷ δὲ τρίτῳ, στρατεύειν τοὺς Αἰγυπτίους ἀκούσας ἐπὶ τὸν Βαβυλώνιον καὶ τοὺς φόρους αὐτῷ μὴ δοὺς, διεψεύσθη τῆς ἐλπίδος· οἱ γὰρ Αἰγύπτιοι ποιήσασθαι τὴν στρατείαν οὐκ ἐθάρρησαν. Ταῦτα δ' ὁ προφήτης Ἱερεμίας κατὰ πᾶσαν ἡμέραν προὔλεγεν, ὡς μάτην ταῖς παρὰ τῶν Αἰγυπτίων ἐλπίσι προσανέχουσι, καὶ ὡς δεῖ τὴν πόλιν ὑπὸ τοῦ Βαβυλωνίων βασιλέως ἀνάστατον γενέσθαι καὶ Ἰωάκιμον τὸν βασιλέα χειρωθῆναι ὑπ' αὐτοῦ. Ἀλλὰ ταῦτ' εἰς οὐδὲν χρήσιμον, οὐκ ὄντων τῶν σωθησομένων, ἐλέγετο· καὶ γὰρ τὸ πλῆθος καὶ οἱ ἄρχοντες ἀκούοντες παρημέλουν, καὶ πρὸς ὀργὴν λαμβάνοντες τὰ λεγόμενα, ὡς οἰωνιζομένου κατὰ τοῦ βασιλέως τοῦ προφήτου, τὸν Ἱερεμίαν ἠτιῶντο, καὶ ὑπάγοντες δίκῃ καταψηφισθῆναι πρὸς τιμωρίαν ἠξίουν. Καὶ οἱ μὲν ἄλλοι πάντες ἤνεγκαν τὰς ψήφους κατ' αὐτοῦ, οἱ δ' ἀπέγνωσαν τῶν πρεσβυτέρων, οἳ καὶ σοφῆς ὄντες διανοίας ἀπέλυσαν τὸν προφήτην ἀπὸ τῆς αὐλῆς καὶ τοῖς ἄλλοις συνεβούλευσαν μηδὲν διαθεῖναι κακὸν τὸν Ἱερεμίαν. Ἔλεγον γὰρ οὐ μόνον τοῦτον προλέγειν τῇ πόλει τὰ μέλλοντα, ἀλλὰ καὶ Μιχαίαν πρὸ αὐτοῦ ταῦτα κατηγγελκέναι καὶ πολλοὺς ἄλλους, ὧν οὐδεὶς ὑπὸ τῶν τότε βασιλέων οὐδὲν ἔπαθεν, ἀλλ' ὡς προφήτης τοῦ Θεοῦ τιμῆς ἔτυχε. Τούτοις καταπραΰναντες τὸ πλῆθος τοῖς λόγοις, ἐρρύσαντο τῆς κατεψηφισμένης αὐτοῦ κολάσεως τὸν Ἱερεμίαν, ὃς ἁπάσας τὰς αὐτοῦ προφητείας συγγραψάμενος, νηστεύοντος τοῦ δήμου καὶ ἐκκλησιάζοντος ἐν τῷ ἱερῷ, μηνὶ ἐνάτῳ τοῦ πέμπτου ἔτους τῆς Ἰωακίμου βασιλείας ἀνέγνω τὴν βίβλον, ἣν περὶ τῶν μελλόντων συμβήσεσθαι τῇ πόλει καὶ τῷ ναῷ καὶ τοῖς ὄχλοις ἦν συντεταχώς. Ἀκούσαντες δ' οἱ ἡγεμόνες λαμβάνουσι παρ' αὐτοῦ τὸ βιβλίον καὶ κελεύουσιν αὐτόν τε καὶ τὸν γραμματέα Βάρουχον ἐκπο-

CAP. VI. (VII.)

Anno autem quarto ex quo is regnare cœpit, quidam nomine Nabuchodonosorus Babyloniorum imperium suscipit : qui sub idem tempus magno cum apparatu in urbem Charchamesam ascendit (illa autem ad Euphraten sita est) eo animo ut bellum inferret Nechao Ægyptiorum *regi* : nam sub eo Syria tota erat. Quum autem Nechao inita a Babylonio consilia et expeditionem in se factum iri intellexisset, non segniter ipse se gessit, sed cum valida manu, ut Nabuchodonosorum arceret, ad Euphraten ire contendit. Commisso autem prælio victus est et in pugna multas myriadas amisit. Atqui Babylonius superato Euphrate, Syriam usque ad Pelusium suam in potestatem redigit, præter Judæam. Quarto deinceps anno regni Nabuchodonosori, qui octavus erat Joacimo Hebræorum imperium tenenti, Judæis magno cum exercitu bellum intulit Babylonius, postulans ab Joacimo tributum, bellumque, si detrectarit, ei illaturum esse minatus. Ille vero minis perterritus pacem pecunia redemit et tributum, quantum imperatum erat, ei præstitit in tres annos.

2. Tertio autem anno, quum audisset Ægyptios in Babylonium bella movere, atque tributa ei non dedisset, de spe sua decidit : non enim ausi sunt Ægyptii expeditionem suscipere. Atqui Hieremias vates singulis diebus præmonuit frustra eos in Ægyptiis spem reponere, urbemque a Babyloniorum rege evertendam esse, atque Joacimum regem in ipsius potestatem venturum. Verum nihil proficiebatur ex iis quæ dicebat, quod nemo esset qui salutem erat consequuturus. Nam et vulgus et proceres ista audita nihil curabant, et quæ dicta erant ægre ferentes, ac si male in regem ominaretur vates, Hieremiam accusabant, litemque ei intendentes postulabant ut pœna mulctaretur. Et ceteri quidem omnes contra eum suffragia tulerunt, seniores vero eum absolverunt, qui, quum mentis essent sanioris, vatem ex atrio dimiserunt, ceterisque auctores fuerunt ne quid mali adversus Hieremiam designarent. Aiebant enim non hunc solum urbi futura prædicere, sed et Michæam ante ipsum eadem esse vaticinatum, aliosque complures, quorum nullus a sui temporis regibus malo ullo, sed bonore tanquam vates Dei erat affectus. Quum verbis istis populi animos mitigassent, a supplicio, quod ei decreverant, Hieremiam liberarunt, qui, ubi sua omnia vaticinia scriptis mandaverat, jejunanti populo et in templum congregato, nono mense anni quinti regni Joacimi, librum recitavit, quo omnia, quæ urbi et templo mala imminebant, complexus fuerat. Principes autem hisce auditis librum ab ipso accipiunt, simulque jubent tam ipsum quam ejus scribam Baruchum e medio secedere, ne quis sciat ubi

δῶν ἑαυτοὺς ποιῆσαι, μή τισι ὄῆλοι γένωνται· τὸ δὲ βιβλίον αὐτὸ φέροντες τῷ βασιλεῖ διδόασιν. Ὁ δὲ παρόντων αὐτῷ τῶν φίλων ἐκέλευσε τὸν ἑαυτοῦ γραμματέα λαβόντα ἀναγνῶναι. Ἀκούσας δὲ τῶν ἐν τῷ βιβλίῳ καὶ ὀργισθεὶς ὁ βασιλεὺς διέρρηξέ τε καὶ βαλὼν εἰς πῦρ ἠφάνισε· ζητηθέντας δὲ τόν τε Ἱερεμίαν καὶ τὸν γραμματέα Βάρουχον ἐκέλευσεν ἀναχθῆναι πρὸς αὐτὸν κολασθησομένους. Οὗτοι μὲν οὖν διαφεύγουσιν αὐτοῦ τὴν ὀργήν.

(Η'.) γ'. Μετ' οὐ πολὺν δὲ χρόνον στρατευσάμενον ἐπ' αὐτὸν τὸν τῶν Βαβυλωνίων βασιλέα δέχεται, κατὰ τὸ δέος τὸ παρὰ τῶν προειρημένων ὑπὸ τοῦ προφήτου τούτου, οὐδὲν νομίζων πείσεσθαι δεινὸν μήτ' ἀποκλείσας μήτε πολεμήσας. Εἰσελθὼν δ' εἰς αὐτὴν οὐκ ἐφύλαξε τὰς πίστεις, ἀλλὰ τοὺς ἀκμαιοτάτους καὶ κάλλει διαφέροντας τῶν Ἱεροσολυμιτῶν ἀπέκτεινε μετὰ τοῦ βασιλέως Ἰωακίμου, ὃν ἄταφον ἐκέλευσε ῥιφῆναι πρὸ τῶν τειχῶν, τὸν δὲ υἱὸν αὐτοῦ Ἰωάχιμον κατέστησε βασιλέα τῆς χώρας καὶ τῆς πόλεως. Τοὺς δ' ἐν ἀξιώματι, τρισχιλίους ὄντας τὸν ἀριθμὸν, αὐτοὺς αἰχμαλώτους λαβὼν ἀπήγαγεν εἰς τὴν Βαβυλῶνα· ἐν δὲ τούτοις ἦν καὶ ὁ προφήτης Ἰεζεκίηλος παῖς ὤν. Καὶ τέλος μὲν τοιοῦτον Ἰωάκιμον τὸν βασιλέα κατέσχε, βιώσαντα μὲν ἔτη ἓξ καὶ τριάκοντα, βασιλεύσαντα δὲ τούτων ἕνδεκα. Ὁ δὲ διαδεξάμενος αὐτοῦ τὴν βασιλείαν Ἰωάχιμος, ἐκ μητρὸς μὲν Νοστῆς ὄνομα, πολίτιδος δὲ, ἐβασίλευσεν μῆνας τρεῖς ἡμέρας δέκα.

ΚΕΦ. Ζ'.

Τὸν δὲ τῶν Βαβυλωνίων βασιλέα, δόντα τὴν βασιλείαν Ἰωαχίμῳ, παραχρῆμα ἔλαβε δέος· Ἔδεισε γὰρ μὴ μνησικακήσας αὐτῷ τῆς τοῦ πατρὸς ἀναιρέσεως ἀποστήσῃ τὴν χώραν αὐτοῦ. Πέμψας τοιγαροῦν δύναμιν ἐπολιόρκει τὸν Ἰωάχιμον ἐν τοῖς Ἱεροσολύμοις. Ὁ δὲ φύσει χρηστὸς ὢν καὶ δίκαιος οὐκ ἠξίου τὴν πόλιν κινδυνεύουσαν δι' αὐτὸν περιορᾶν, ἀλλ' ἐπάρας τὴν μητέρα καὶ τοὺς συγγενεῖς παραδίδωσι τοῖς πεμφθεῖσιν ὑπὸ τοῦ Βαβυλωνίου στρατηγοῖς, ὅρκους παρ' αὐτῶν λαβὼν ὑπὲρ τοῦ μηδὲν μήτ' αὐτοὺς παθεῖν μήτε τὴν πόλιν· οἷς οὐδ' ἐνιαυτὸν ἡ πίστις ἔμεινεν. Οὐ γὰρ ἐφύλαξεν αὐτὴν ὁ τῶν Βαβυλωνίων βασιλεὺς, ἀλλὰ τοῖς στρατηγοῖς ἐπέστειλεν ἅπαντας τοὺς ἐν τῇ πόλει λαβόντας αἰχμαλώτους, νέους τὴν ἡλικίαν καὶ τεχνίτας, δεδεμένους ἄγειν πρὸς αὐτὸν, (ἦσαν δὲ οὗτοι πάντες εἰς μυρίους ὀκτακοσίους τριάκοντα δύο,) καὶ τὸν Ἰωάχιμον μετὰ τῆς μητρὸς καὶ τῶν φίλων. Τούτους δὴ κομισθέντας πρὸς αὐτὸν εἶχεν ἐν φυλακῇ, τὸν δὲ θεῖον τοῦ Ἰωαχίμου Σεδεκίαν ἀπέδειξε βασιλέα, ὅρκους παρ' αὐτοῦ λαβὼν, ἢ μὴν φυλάξειν αὐτῷ τὴν χώραν καὶ μηδὲν νεωτερίσειν μηδὲ τοῖς Αἰγυπτίοις εὐνοήσειν.

(Ι.) β'. Σεδεκίας δ' ἦν μὲν ἐτῶν εἴκοσι καὶ ἑνὸς, ὅτε τὴν ἀρχὴν παρέλαβεν, ὁμομήτριος μὲν Ἰωακίμου τοῦ ἀδελφοῦ αὐτοῦ, τῶν δὲ δικαίων καὶ τοῦ δέοντος ὑπερόπτης.

sint : librum vero ad regem ferentes ei obtulerunt. Ille autem, quum amici ei adessent, jussit scribam suum *librum* sumere et legere. At ubi audierat rex quæ in libro scripta erant, ira accensus eum discerpsit injectumque in ignem cremavit, præcepitque Hieremiam et Baruchum perquisitos ad ipsum adduci pœnas luituros. Ceterum illi iram ejus effugerunt.

(VIII.) 3. At non multo post venientem cum exercitu Babyloniorum regem recipit, metu illorum quæ vates iste prædixerat, nihil se mali passurum esse existimans, ut qui nec *eum* excluserit, nec ad bellum se pararit. Ille autem, ingressus in urbem, fidem non servavit; sed robustissimos quosque Hierosolymitarum et forma præstantes una cum Joacimo rege interfecit, quem insepultum extra muros abjici jussit, filium vero ejus Joachimum regem urbis et regionis constituit. Primores autem populi ad tria millia captivos Babylonem abduxit : in quibus erat etiam Jezecielus vates, quum esset adhuc puer. Et hujusmodi quidem finem habuit rex Joacimus, quum vixisset annos triginta sex, ex illis vero undecim regnasset. At *qui* ei *in* regnum successit, Joachimus, cui mater erat Nosta nomine, civis ea, regnavit menses tres, decem dies.

CAP. VII. (IX.)

Babyloniorum autem regem, quod regnum Joachimo dederat, non multo post incessebat metus : nam veritus est ne ille, paternæ necis injuriæ memor, regionem ab ipso abalienaret. Misso igitur exercitu Joachimum in Hierosolymis obsedit. Is vero, quum natura esset benignus et justus, noluit urbem negligere sua causa periclitantem sed sumpta matre et cognatis, eos ducibus a Babylonio missis *obsides* tradidit, jurejurando ab illis accepto, nec ipsos *mali quidquam* passuros esse nec urbem. Sed fides dictis ne annum quidem mansit. Nam Babyloniorum rex eam non servavit, sed per literas ducibus mandavit ut, quum quotquot in urbe essent captivos fecissent, adolescentes et artifices ad se vinctos adducerent (isti autem erant ad decem millia, octingentos et triginta duos) ac Joachimum cum matre et amicis. Illos itaque ad ipsum deductos in custodia habuit : Sedeciam vero, Joachimi patruum, regem constituit, quum jurejurando eum *obstrinxisset se regionem illi sane conservaturum* esse, nec quidquam novi moliturum, fauturumve Ægyptiis.

(X.) 2. Sedecias autem erat annorum viginti et unius quum imperium susciperet, natus eadem matre qua frater Joacimus, justi vero et honesti contemptor. Nam et quos

Καὶ γὰρ οἱ κατὰ τὴν ἡλικίαν ἦσαν ἀσεβεῖς περὶ αὐτὸν καὶ ὁ πᾶς ὄχλος ἐπ' ἐξουσίας ὕβριζεν ἃ ἤθελε· διὸ καὶ ὁ προφήτης Ἱερεμίας πρὸς αὐτὸν ἐλθὼν πολλάκις ἐμαρτύρατο, κελεύων τὰς μὲν ἄλλας ἀσεβείας καὶ παρανομίας καταλιπεῖν, προνοεῖν δὲ τοῦ δικαίου, καὶ μήτε τοῖς ἡγεμόσιν (εἶναι γὰρ ἐν αὐτοῖς πονηρούς) προσανέχειν μήτε τοῖς ψευδοπροφήταις ἀπατῶσιν αὐτὸν πεπιστευκέναι ὡς οὐκέτι πολεμήσει τὴν πόλιν ὁ Βαβυλώνιος καὶ ὡς Αἰγύπτιοι στρατεύσουσιν ἐπ' αὐτὸν καὶ νικήσουσι· ταῦτα γὰρ οὐκ ἀληθῆ λέγειν οὐδ' οὕτως ὀφείλοντα γενέσθαι. Ὁ δὲ Σεδεκίας, ἐφ' ὅσον μὲν ἤκουε τοῦ προφήτου ταῦτα λέγοντος, ἐπείθετο αὐτῷ καὶ συνήδει πᾶσιν ὡς ἀληθεύουσι καὶ συμφέρειν αὐτῷ πεπίστευκεν· διέφθειραν δὲ πάλιν αὐτὸν οἱ φίλοι καὶ διῆγον ἀπὸ τῶν τοῦ προφήτου πρὸς ἅπερ ἤθελον. Προεφήτευσε δὲ καὶ Ἰεζεκίηλος ἐν Βαβυλῶνι τὰς μελλούσας τῷ λαῷ συμφορὰς, καὶ ἀκούσας ταῦτα ἔπεμψεν εἰς Ἱεροσόλυμα. Ταῖς δὲ προφητείαις αὐτῶν Σεδεκίας ἠπίστησεν ἐκ τοιαύτης αἰτίας. Τὰ μὲν ἄλλα πάντα συμφωνοῦντας τοὺς προφήτας ἀλλήλοις εἰπεῖν συνέβη, ὥστε ἡ πόλις ἁλώσεται καὶ Σεδεκίας αὐτὸς αἰχμάλωτος ἔσται, διεφώνησε δὲ Ἰεζεκίηλος εἰπὼν οὐκ ὄψεσθαι Βαβυλῶνα τὸν Σεδεκίαν, τοῦ Ἱερεμίου φάσκοντος αὐτῷ ὅτι δεδεμένον αὐτὸν ὁ Βαβυλώνιος ἄξει βασιλεύς. Καὶ διὰ τὸ μὴ ταὐτὸν αὐτοὺς ἑκατέρους λέγειν καὶ περὶ ὧν συμφωνεῖν ἐδόκουν, ὡς οὐδ' ἐκεῖνα ἀληθῆ λέγουσι καταγνοὺς ἠπίστησε, καίτοι πάντα αὐτῷ κατὰ τὰς προφητείας ἀπήντησεν, ἅπερ εὐκαιρότερον δηλώσομεν.

γ'. Τὴν συμμαχίαν δὲ τὴν πρὸς τοὺς Βαβυλωνίους ἐπὶ ἔτη ὀκτὼ κατασχὼν διέλυσε τὰς πρὸς αὐτοὺς πίστεις, καὶ τοῖς Αἰγυπτίοις προστίθεται, καταλύσειν τοὺς Βαβυλωνίους ἐλπίσας, εἰ μετ' ἐκείνων γένοιτο. Μαθὼν δὲ τοῦτο ὁ τῶν Βαβυλωνίων βασιλεὺς ἐστράτευσεν ἐπ' αὐτὸν, καὶ τὴν χώραν κακώσας αὐτοῦ καὶ τὰ φρούρια λαβὼν, ἐπ' αὐτὴν ἦκε τὴν τῶν Ἱεροσολυμιτῶν πόλιν πολιορκήσων αὐτήν. Ὁ δὲ Αἰγύπτιος ἀκούσας ἐν οἷς ἐστιν ὁ σύμμαχος αὐτοῦ Σεδεκίας, ἀναλαβὼν πολλὴν δύναμιν, ἦλθεν εἰς τὴν Ἰουδαίαν ὡς λύσων τὴν πολιορκίαν. Ὁ δὲ Βαβυλώνιος ἀφίσταται τῶν Ἱεροσολύμων, ἀπαντήσας δὲ τοῖς Αἰγυπτίοις, καὶ συμβαλὼν αὐτοὺς τῇ μάχῃ νικᾷ, καὶ τρεψάμενος αὐτοὺς εἰς φυγὴν ἐξ ὅλης διώκει τῆς Συρίας. Ὡς δ' ἀνεχώρησεν ὁ τῶν Βαβυλωνίων βασιλεὺς ἀπὸ τῶν Ἱεροσολύμων, ἐξηπάτησαν οἱ ψευδοπροφῆται τὸν Σεδεκίαν λέγοντες οὔτε τὸν Βαβυλώνιον αὐτὸν ἔτι πολεμήσειν καὶ τοὺς ὁμοφύλους οὔτε ἀναστήσειν ἐκ τῆς οἰκείας εἰς τὴν Βαβυλῶνα, μετὰ πάντων δὲ ἥξειν τοὺς αἰχμαλώτους τῶν τοῦ ναοῦ σκευῶν ὧν ἐσύλησεν ὁ βασιλεὺς ἐκ τοῦ νεώ. Τὰ ἐναντία δὲ τούτων καὶ ἀληθῆ παρελθὼν Ἱερεμίας προεφήτευσεν ὡς « ποιοῦσι μὲν κακῶς καὶ ἐξαπατῶσι τὸν βασι-« λέα, παρὰ δὲ τῶν Αἰγυπτίων οὐδέν ἐστιν αὐτοῖς ὄφε-« λος, ἀλλὰ νικήσας αὐτοὺς ὁ Βαβυλώνιος ἐπιστρατεύ-« σειν εἰς τὰ Ἱεροσόλυμα μέλλει, καὶ πολιορκήσει τε καὶ

aetatis adultæ circa se habuit impii erant, et populus universus licenter et insolenter pro suo quisque arbitrio se gerebant. Quamobrem Hieremias vates, rege adito, subinde obtestabatur, jubens ut a ceteris quidem impie et contra legem factis abstineret, justitiæ vero curam haberet, et neque ducibus (nam in iis malos esse) animum adverteret, neque falsis vatibus eum decipientibus crederet, quasi non iterum urbem oppugnaturus esset Babylonius, et quasi Ægyptii bellum ei essent illaturi victoriamque reportaturi: hæc enim non ex veritate esse, nec ita unquam eventura. Sedecias autem, tantisper quidem dum vatem ista loquentem audiret, ei fidem habebat, atque in omnibus tanquam vere dictis acquiescebat, et e re sua esse persuasum habuit; rursus vero amici ejus mentem subverterunt, et a vatis dictis adducebant ad ea quæ volebant. Sed et apud Babylonem Jezecielus clades populo imminere prædixit, quas, istis auditis, *literis mandatas* misit Hierosolyma. Atqui illorum vaticiniis ut non crederet, animum induxit Sedecias hujusmodi de causa. Accidit ut vates cetera quidem omnia sibi invicem consentientes dicerent, fore scilicet ut et urbs expugnetur, et ipse Sedecias captivus fiat; in hoc vero Jezecielus dissidebat, dicendo, Sedeciam non visurum esse Babylonem, Hieremia ipsi affirmante quod Babyloniorum rex illum vinctum abducturus sit. Ideoque quum verba utrisque non convenerint, etiam illis, in quibus secum concordare videbantur, ac si ea haud vere dicta esse cognovisset, plane diffidebat, etiamsi omnia ei, prout illi vaticinati fuerant, obvenerint, de quibus loco magis opportuno dicemus.

3. Quum autem in societate cum Babyloniis inita octo annos mansisset, non amplius fidem illis datam servavit, sed ad Ægyptios defecit, sperans fore, si illis se adjungeret, ut Babylonios funditus everteret. At ubi hoc intellexerat Babyloniorum rex, expeditionem in eum fecit, ejusque regione vastata et castellis occupatis, ad ipsam Hierosolymitarum urbem vi oppugnandam accessit. Ægyptius autem, audito in quibus *angustiis* esset socius ejus Sedecias, cum magno exercitu Judæam petiit, eo animo ut obsidionem solveret. Quo factum ut Babylonius Hierosolymis decederet, atque Ægyptiis obviam profectus cum illis prælio congressus est, et in fugam versos tota Syria expulit. Ubi vero Babyloniorum rex Hierosolymis recesserat, operam dederunt falsi vates ut Sedeciam deciperent, dicentes, neque ipsi porro bellum illaturum esse Babylonium ejusque popularibus, neque e sedibus suis Babylonem translaturum, sed captivos etiam redituros esse cum omnibus templi vasis, quæ rex e delubro detraxerat. At Hieremias, quum prodiisset, his contraria atque vera vaticinatus est, quod « male « quidem faciunt, et regem decipiunt, nihilque commodi « ipsis sperandum ab Ægyptiis, sed illis prælio superatis « Babylonius castra Hierosolymis admovebit, populumque « obsidione premet et fame necabit, et quotquot superfue-

« τῷ λιμῷ διαφθερεῖ τὸν δῆμον, καὶ τοὺς περιλειφθέν-
« τας αἰχμαλώτους ἄξει, καὶ τὰς οὐσίας διαρπάσει,
« καὶ τὸν ἐν τῷ ναῷ πλοῦτον ἐκφορήσας, ἔτι καὶ αὐτὸν
« ἐμπρήσει καὶ κατασκάψει τὴν πόλιν, καὶ δουλεύσο-
« μεν αὐτῷ καὶ τοῖς ἐκγόνοις αὐτοῦ ἐπὶ ἔτη ἑβδομή-
« κοντα, παύσουσι δ' ἡμᾶς τότε τῆς ὑπ' αὐτοὺς δουλείας
« Πέρσαι τε καὶ Μῆδοι, καταλύσαντες Βαβυλωνίους,
« ἀφ' ὧν εἰς τήνδε ἀπολυθέντες οἰκοδομήσομεν τὸν ναὸν
« πάλιν καὶ τὰ Ἱεροσόλυμα καταστήσομεν. » Ταῦτα
λέγων ὁ Ἱερεμίας ὑπὸ μὲν τῶν πλειόνων ἐπιστεύετο, οἱ
δὲ ἡγεμόνες καὶ οἱ ἀσεβεῖς ὡς ἐξεστηκότα τῶν φρενῶν
αὐτὸν οὕτως ἐξεφαύλιζον. Δόξαν δὲ αὐτῷ που εἰς τὴν
πατρίδα παραγενέσθαι, λεγομένην Ἀναθὼθ, σταδίους
δὲ ἀπέχουσαν Ἱεροσολύμων εἴκοσι, συντυχὼν κατὰ
τὴν ὁδὸν τῶν ἀρχόντων τις συλλαβὼν κατέσχε, συκο-
φαντῶν ὡς πρὸς τοὺς Βαβυλωνίους αὐτομολοῦντα. Ὁ
δὲ ψευδῆ μὲν ἐκεῖνον ἔλεγεν αἰτίαν ἐπιφέρειν αὐτῷ,
βαδίζειν δ' αὐτὸν ἔφασκεν εἰς τὴν πατρίδα. Ὁ δ' οὐ
πεισθεὶς, ἀλλὰ συλλαβὼν αὐτὸν ἤγαγεν εἰς δίκην πρὸς
τοὺς ἄρχοντας, ὑφ' ὧν πᾶσαν αἰκίαν καὶ βασάνους
ὑπομείνας ἐφυλάττετο πρὸς τιμωρίαν. Καὶ χρόνον
μέν τινα διῆγεν οὕτως, ἀδίκως πάσχων τὰ προειρη-
μένα.

δ'. Ἔτει δ' ἐνάτῳ τῆς Σεδεκίου βασιλείας καὶ ἡμέρᾳ
δεκάτῃ τοῦ δεκάτου μηνὸς στρατεύει τὸ δεύτερον ὁ τῶν
Βαβυλωνίων βασιλεὺς ἐπὶ τὰ Ἱεροσόλυμα, καὶ προσ-
καθίσας αὐτῇ μῆνας ὀκτωκαίδεκα μετὰ πάσης ἐπο-
λιόρκει φιλοτιμίας. Συνεπέθετο δ' εἰς ταὐτὸ πολιορ-
κουμένοις τοῖς Ἱεροσολύμοις δύο τὰ μέγιστα τῶν παθῶν,
λιμὸς καὶ φθορὰ λοιμικὴ, ἐνσκήψαντα σφοδρῶς. Ἐν
δὲ τῇ εἱρκτῇ τυγχάνων ὁ προφήτης Ἱερεμίας οὐχ ἡσύ-
χαζεν, ἀλλ' ἐκεκράγει, καὶ ἐκήρυσσε παραινῶν τῷ
πλήθει δέξασθαι τὸν Βαβυλώνιον ἀνοίξαντας τὰς πύλας·
σωθήσεσθαι γὰρ αὐτοὺς πανοικὶ τοῦτο πράξαντας, εἰ
δὲ μὴ, διαφθαρήσεσθαι. Προὔλεγε δ' ὡς εἰ μὲν ἐπι-
μένοι τις ἐν τῇ πόλει πάντως ἀπολεῖται θατέρῳ, ἢ
λιμῷ δαπανηθεὶς ἢ σιδήρῳ τῷ τῶν πολεμίων· εἰ δὲ
φύγοι πρὸς τοὺς πολεμίους, διαδράσεται τὸν θάνατον.
Καὶ οἱ μὲν οὐδὲ ἐν αὐτοῖς ὄντες τοῖς δεινοῖς ἐπίστευον,
οἱ ταῦτ' ἀκούοντες τῶν ἡγεμόνων, ἀλλὰ μετ' ὀργῆς ἀπήγ-
γελλον ἐλθόντες πρὸς τὸν βασιλέα καὶ κατηγοροῦντες
κατηγοροῦντο τὸν προφήτην ὡς μεμηνότα, καὶ τὰς ψυχὰς
αὐτῶν προκατακλῶντα καὶ ταῖς τῶν χειρόνων καταγγε-
λίαις τὸ πρόθυμον ἐκλύοντα τοῦ πλήθους· ἕτοιμον γὰρ
εἶναι αὐτὸ ὑπὲρ αὐτοῦ καὶ τῆς πατρίδος κινδυνεύσειν,
ὃ δὲ ἀπειλεῖ πρὸς τοὺς πολεμίους φεύγειν, ἁλώσεσθαι
λέγων τὴν πόλιν καὶ πάντως ἀπολεῖσθαι.

ε'. Ὁ δὲ βασιλεὺς αὐτὸς μὲν, ὑπὸ χρηστότητος καὶ
δικαιοσύνης, οὐδὲν ἰδίᾳ παρωξύνθη, ἵνα δὲ μὴ τοῖς
ἡγεμόσιν ἀπεχθάνηται παρὰ τοιοῦτον καιρὸν ἀντιπράτ-
των αὐτῶν τῇ προαιρέσει, τὸν προφήτην ἐφῆκεν αὐτοῖς
ποιεῖν ὅ τι ἂν θέλωσιν. Οἱ δὲ, τοῦτο ἐφέντος αὐτοῖς
τοῦ βασιλέως, εὐθὺς εἰς τὴν εἱρκτὴν εἰσελθόντες καὶ
παραλαβόντες αὐτὸν εἴς τινα λάκκον βορβόρου πλήρη

« rint captivos abducet, et bona diripiet, ac, divitiis templi
« inde exportatis, illud etiam igni cremabit, urbemque a
« fundamentis diruet, ipsique et posteris ejus serviemus
« annos septuaginta, quibus completis nos ea quam sub istis
« tulerimus servitute, everso Babyloniorum imperio, libera-
« bunt Persæ et Medi, a quibus dimissi hanc terram repe-
« temus, et templum denuo ædificabimus et Hierosolyma
« restituemus. » Ista dicens Hieremias plerisque persuade-
bat : at viri principes hominesque nequam, quasi haud
mentis suæ esset, ipsum hanc ob rem vilipenderunt. Quum
autem ei visum esset in patriam suam se recipere, Ana-
thoth nominatam, stadia viginti ab Hierosolymis dissitam,
quidam e magistratibus, illi forte obviam factus, manus ei
injiciebat, calumniam adhibens, quod in eo esset ut ad
Babylonios transfugeret. Vates vero aiebat illum sibi falsum
crimen inferre, seque in patriam iter intendere dicebat. At
ille nihil ejus verbis motus ipsum comprehensum ad ma-
gistratus duxit, ut judicio perfunderetur; a quibus modis
omnibus tortus et excruciatus servabatur ad supplicium.
Et aliquamdiu quidem ita degebat, ea quæ jam memoravi-
mus inique patiens.

4. Anno autem nono regni Sedeciæ, et mensis decimi die
decima, iterum Babyloniorum rex suis copiis Hierosolyma
aggreditur, quumque ante urbem consedisset, summa con-
tentione octodecim menses eam oppugnabat. Porro accidit
ut tum simul Hierosolyma obsessa invaderent fames et
pestilentia, malorum duo maxima, quæ dirum in modum
grassata sunt. Interim autem Hieremias vates, in carceris
custodia habitus, non quiescebat, sed magna voce prædi-
cabat, illud populum admonens, ut portis patefactis Baby-
lonium reciperent : quod si fecerint, ipsos universos salu-
tem consequuturos; sin minus, interituros esse. Prædice-
batque fore ut, si quis in urbe manserit, alterutro pereat,
aut fame consumptus, aut ferro hostili peremptus; sin vero
ad hostes perfugerit, mortem evasurum esse. At princi-
pes, quum ista auditione acciperent, iis nequaquam fidem
habebant, in summo licet periculo versarentur, sed irati
regem adeuntes *ei omnia* nunciabant, et accusatione insti-
tuta de vate querebantur, ut qui insanierit, et animos ipsis
in antecessum frangat, et calamitatum denunciatione populo
alacritatem minuat : illos enim paratos esse pro rege et
patria quodvis adire discrimen : hic vero minaciter monet ut
ad hostes fuga se recipiant, dicens fore ut urbs expugnetur
et funditus evertatur.

5. Rex autem ipse, ex naturæ suæ bonitate et justitiæ
amore, in eum nihil exacerbatus erat, sed, ne cum prin-
cipibus inimicitiam exerceret tali tempore contra quam
ipsi censuissent faciens, vatem illis in manus tradi permisit,
ut de eo pro arbitrio statuerent. At illi, ut primum hoc
ipsis concessum erat a rege, in custodiam protinus in-
gressi, captum eductumque inde in fossam quandam cœno

καθίμησαν, ὅπως ἰδίῳ θανάτῳ πνιγεὶς ἀποθάνῃ. Ὁ δὲ πρὸς τοῦ αὐχένος ὑπὸ τοῦ πηλοῦ περισχεθεὶς ἐν τούτοις ἦν. Τῶν δ' οἰκετῶν τις τοῦ βασιλέως ἐν τιμῇ τυγχάνων, Αἰθίοψ τὸ γένος, τὸ περὶ τὸν προφήτην πάθος ἀπήγγειλε τῷ βασιλεῖ, φάσκων οὐκ ὀρθῶς ταῦτα τοὺς φίλους καὶ τοὺς ἡγεμόνας αὐτοῦ πεποιηκέναι, καταποντίσαντας εἰς βόρβορον τὸν προφήτην καὶ τοῦ διὰ τῶν δεσμῶν θανάτου πικρότερον οὕτως ἐσόμενον ἐπινοήσαντας κατ' αὐτοῦ. Ταῦτ' ἀκούσας ὁ βασιλεὺς καὶ μετανοήσας ἐν τῷ παραδοῦναι τὸν προφήτην τοῖς ἡγεμόσιν, ἐκέλευσε τὸν Αἰθίοπα τριάκοντα τῶν βασιλικῶν παραλαβόντα καὶ σχοινία καὶ πᾶν ὃ πρὸς τὴν τοῦ προφήτου σωτηρίαν ἐπινοεῖ χρήσιμον μετὰ σπουδῆς ἀνελκύσαι τὸν Ἱερεμίαν. Ὁ δὲ Αἰθίοψ παραλαβὼν οὓς ἐπετάγη ἀνέσπασεν ἐκ τοῦ βορβόρου τὸν προφήτην καὶ διαφῆκεν ἀφύλακτον.

ς'. Μεταπεμψαμένου δ' αὐτὸν κρύφα τοῦ βασιλέως καὶ τί δύναται φράζειν αὐτῷ παρὰ τοῦ Θεοῦ καὶ πρὸς τὰ παρόντα σημαίνειν ἐρομένου, ἔχειν μὲν ἔλεγεν, οὐ πιστευθήσεσθαι δ' εἰπὼν οὐδὲ παραινέσας ἀκουσθήσεσθαι, « ἀλλά τί δὴ κακὸν εἰργασμένον ἀπολέσαι διέγνωσαν οἱ σοὶ φίλοι; φησί. Καὶ ποῦ νῦν εἰσὶν οἱ τὸν Βαβυλώνιον οὐκέθ' ἡμῖν ἐπιστρατεύσειν φάσκοντες καὶ ἀπατῶντες ὑμᾶς; εὐλαβοῦμαι δὲ νῦν τὴν ἀλήθειαν εἰπεῖν, μή με κατακρίνῃς θανάτῳ. » Τοῦ δὲ βασιλέως ὅρκους αὐτῷ δόντος ὡς οὔτε αὐτὸς αὐτὸν ἀναιρήσει οὔτε τοῖς ἡγεμόσιν ἐκδώσει, θαρρήσας τῇ λεγομένῃ πίστει συνεβούλευσεν αὐτῷ παραδοῦναι τὴν πόλιν τοῖς Βαβυλωνίοις. Ταῦτα δὲ αὐτῷ τὸν Θεὸν δι' αὐτοῦ προφητεύειν ἔλεγεν, εἴ γε βούλεται σώζεσθαι καὶ τὸν ἐφεστῶτα κίνδυνον διαφυγεῖν καὶ μήτε τὴν πόλιν εἰς ἔδαφος πεσεῖν μήτε τὸν ναόν· μὴ πεισθέντα γὰρ αὐτὸν τούτων παραίτιον ἔσεσθαι τῶν κακῶν τοῖς πολίταις καὶ αὐτῷ πανοικὶ τῆς συμφορᾶς. Ὁ δὲ ταῦτ' ἀκούσας βούλεσθαι μὲν αὐτὸς ἔφη ποιεῖν ἃ παραινεῖ καὶ λέγει συνοίσειν αὐτῷ γινόμενα, δεδιέναι δὲ τοὺς αὐτομολήσαντας τῶν ὁμοφύλων πρὸς τοὺς Βαβυλωνίους, μὴ διαβληθεὶς ὑπ' αὐτῶν τῷ βασιλεῖ κολασθῇ. Παρεθάρσυνε δ' αὐτὸν ὁ προφήτης, καὶ μάτην ὑπονοεῖν τὴν τιμωρίαν ἔλεγεν· οὐδενὸς γὰρ κακοῦ πειραθήσεσθαι παραδόντα τοῖς Βαβυλωνίοις, οὐτ' αὐτὸν οὔτε τὰ τέκνα οὔτε τὰς γυναῖκας, μενεῖν δὲ καὶ τὸν ναὸν ἀπαθῆ. Καὶ τὸν μὲν Ἱερεμίαν ταῦτ' εἰπόντα ὁ βασιλεὺς ἀπέλυσε, προστάξας αὐτῷ πρὸς μηδένα τῶν πολιτῶν ἐξενεγκεῖν τὰ δόξαντα αὐτοῖς, ἀλλὰ μηδὲ τοῖς ἡγεμόσιν, εἰ μαθόντες αὐτὸν ὑπ' αὐτοῦ μετάπεμπτον γεγονέναι πυνθάνονται τί κληθεὶς εἶποι πρὸς αὐτόν, φράζειν τι τούτων, ἀλλὰ σκήπτεσθαι πρὸς αὐτοὺς ὅτι δεηθείη μὴ ἐν δεσμῷ τυγχάνειν καὶ φυλακῇ. Καὶ δὴ τοῦτο πρὸς αὐτοὺς ἔλεγεν· ἐπυνθάνοντο γὰρ ἐλθόντες πρὸς τὸν προφήτην τί περὶ αὐτῶν ἀφίκοιτο πρὸς τὸν βασιλέα σκέπτεσθαι. Καὶ ταῦτα μὲν οὕτως ἐλέχθη.

oppletam funibus demiserunt, ut suffocatus suam oppeteret mortem. Ille vero luto usque ad guttur obrutus, in his erat *angustiis*. Interim quidam e servis regis, qui tum forte in honore erat, homo Æthiops genere, quod vati acciderat regi retulit, dicens amicos et principes male egisse in eo quod vatem in cœnum demerserint, atque ita morte ea quæ in vinculis erat obeunda acerbiorem illi excogitaverint. Quum hæc audisset rex, illumque pœnituisset quod vatem in principum potestatem tradiderit, mandavit Æthiopi ut, assumptis triginta ex *famulis* regiis, et funibus, et quocunque sibi ad vatis salutem opus esse arbitraretur, quanto studio posset Hieremiam *ex fossa* subduceret. Itaque Æthiops sumptis quos adhibere jussus erat vatem ex luto extraxit liberumque dimisit.

6. Quum autem rex illum ad se clam accivisset, et ab eo quæreret ecquod ei posset ex Dei oraculo dicere et in præsens *auxilium* indicare; aiebat se quidem habere *quod diceret*, at fidem sane non inventurum esse adjiciebat, nec, si præciperet, auditum iri. « Nam quid mali, inquit, commisi ut amici tui me perdere secum statuerint? Et ubi nunc sunt illi qui Babylonium non redintegraturum esse bellum dictitabant, vosque decipiebant? Equidem et nunc vereor quod verum est dicere, ne me morte jubeas mulctari. » Quum autem rex ei jurasset se nec interfecturum eum nec principibus traditurum, fretus accepta fide consilium ei dedit ut urbem Babyloniis traderet, atque ad ista Dei oraculum ipsius ore illum hortari aiebat, si modo velit incolumis esse, et ex periculo impendenti evadere, et neque urbem solo æquari nec templum : ipsum enim, nisi pareat, civibus fore horum malorum causam et sibi suisque omnibus calamitatis *auctorem*. Ille vero, ubi hæc audiverat, subjiciebat se velle ista facere quæ suadeat, dicitque e re sua fore ut fierent, sed in metu esse ex popularibus qui ad Babylonios transfugerunt, ne ab illis falso accusatus apud regem supplicio afficiatur. At vates illum bono animo esse jubebat, seque vanam sibi supplicii suspicionem augere dicebat : nihil enim mali passurum esse, si Babyloniis *urbem* dederet, neque ipsum, neque liberos, neque uxores, templumque etiam illæsum mansurum. Et Hieremiam quidem ista loquutum rex dimisit, jussum nemini civium quæ ipsis facienda visa sint prodere, ac ne principibus quidem, si cognito quod a rege fuerit accersitus percontarentur quidnam accitus ad eum dixerit, hujusmodi quid indicaret, sed ea ad illos simulatione uti, ac si precibus contenderit, ut vinculis et custodia liberaretur. Itaque retulit eis prorsus eodem modo, quo jusserat rex : nam quum vatem adiissent, eum interrogabant, quidnam de illis ipsis consultatum venerit ad regem. Et hæc quidem ita dicta sunt.

ΚΕΦ. Η'.

Τῆς δὲ πολιορκίας τῶν Ἱεροσολύμων ὁ Βαβυλώνιος ἐντεταμένως σφόδρα καὶ προθύμως εἴχετο· πύργους τε γὰρ μεγάλων οἰκοδομήσας χωμάτων, ἀπ' αὐτῶν ἀνεῖργε τοὺς τοῖς τείχεσιν ἐφεστῶτας, καὶ πολλὰ περὶ τὸν κύκλον ὅλον ἤγειρε χώματα τοῖς τείχεσι τὸ ὕψος ἴσα. Καρτερῶς δὲ καὶ προθύμως ἔφερον οἱ ἐντὸς τὴν πολιορκίαν. Ἔκαμνον γὰρ οὔτε πρὸς τὸν λιμὸν οὔτε πρὸς τὴν νόσον τὴν λοιμικὴν, ἀλλὰ, καίπερ ἔνδον ὑπὸ τούτων ἑλαυνόμενοι τῶν παθῶν, τὰς ψυχὰς ἔρρωντο πρὸς τὸν πόλεμον, μηδὲ πρὸς τὰς ἐπινοίας τῶν ἐχθρῶν καὶ τὰ μηχανήματα καταπληττόμενοι, ἀλλ' ἀντιμηχανήματα πρὸς πάντα παρ' ἐκείνων ἀντεπινοοῦντες, ὡς εἶναι τὸν ὅλον ἀγῶνα καὶ τοῖς Βαβυλωνίοις καὶ τοῖς Ἱεροσολυμίταις τῆς ὀξύτητος καὶ συνέσεως, τῶν μὲν τὸ πλέον ἐν ταύτῃ δυνηθῆναι τὴν ἀναίρεσιν οἰομένων εἶναι τῆς πόλεως, τῶν δὲ τὴν σωτηρίαν οὐκ ἐν ἄλλῳ τιθεμένων ἢ ἐν τῷ μὴ καμεῖν μηδ' ἀπειπεῖν ἀντεφευρίσκοντας οἷς μάταια τὰ τῶν ἐχθρῶν ἀπελεγχθήσεται μηχανήματα. Καὶ ταῦθ' ὑπέμειναν ἐπὶ μῆνας ὀκτωκαίδεκα, ἕως οὗ διεφθάρησαν ὑπὸ τοῦ λιμοῦ καὶ τῶν βελῶν, ἅπερ ἀπὸ τῶν πύργων εἰς αὐτοὺς ἠκόντιζον οἱ πολέμιοι.

β'. Ἡρέθη δ' ἡ πόλις ἑνδεκάτῳ ἔτει τῆς Σεδεκίου βασιλείας τοῦ τετάρτου μηνὸς τῇ ἐνάτῃ ἡμέρᾳ. Εἷλον γοῦν οἱ ἡγεμόνες τῶν Βαβυλωνίων, οἷς ἐπίστευσε τὴν πολιορκίαν ὁ Ναβουχοδονόσορος· αὐτὸς γὰρ ἐν Ῥεβλαθᾷ διέτριβε πόλει. Τὰ δὲ τῶν ἡγεμόνων ὀνόματα, εἴ τις ἐπιζητήσειε γνῶναι, οἵτινες τὰ Ἱεροσόλυμα πορθήσαντες ὑπέταξαν, ταῦτα ἦν· Νηργελέαρος, Ἀρέμμαντος, Σεμεγάρος, Ναβώσαρις, Ἐχαραμψαρίς. Ἁλούσης δὲ τῆς πόλεως περὶ μέσην νύκτα καὶ τῶν ἡγεμόνων τῶν πολεμίων εἰσελθόντων εἰς τὸ ἱερὸν, γνοὺς ὁ Σεδεκίας ὁ βασιλεὺς, παραλαβὼν τὰς γυναῖκας καὶ τὰ τέκνα καὶ τοὺς ἡγεμόνας καὶ τοὺς φίλους, φεύγει μετ' αὐτῶν ἐκ τῆς πόλεως διὰ τῆς καρτερᾶς φάραγγος καὶ διὰ τῆς ἐρήμου. Φρασάντων δὲ τοῦτο τινῶν αὐτομόλων τοῖς Βαβυλωνίοις, ὑπὸ τὸν ὄρθρον ὥρμησαν διώκειν αὐτόν· καταλαβόντες δὲ οὐκ ἄπωθεν Ἱεριχοῦντος, ἐκυκλώσαντο αὐτόν. Οἱ δὲ φίλοι καὶ οἱ ἡγεμόνες οἱ συμφυγόντες τῷ Σεδεκίᾳ, ἐπεὶ τοὺς πολεμίους ἐγγὺς ὄντας εἶδον, καταλιπόντες αὐτὸν διεσπάρησαν ἄλλος ἀλλαχόσε καὶ σώζειν ἑαυτὸν ἕκαστος ἔγνω. Περιλειφθέντα δ' αὐτὸν σὺν ὀλίγοις ζωγρήσαντες οἱ πολέμιοι μετὰ τῶν τέκνων καὶ τῶν γυναικῶν ἤγαγον πρὸς τὸν βασιλέα. Παραγενόμενον δ' αὐτὸν ὁ Ναβουχοδονόσορος ἀσεβῆ καὶ παράσπονδον ἀποκαλεῖν ἤρξατο καὶ ἀμνήμονα τῶν πρόσω λόγων οὓς ἐποιήσατο, σώζειν αὐτῷ τὴν χώραν ὑποσχόμενος. Ὠνείδιζε δὲ καὶ ἀχαριστίαν παρ' αὐτοῦ μὲν λαβόντι τὴν βασιλείαν, (Ἰωαχίμου γὰρ αὐτὴν οὖσαν ἀφελόμενον ἐκείνῳ δοῦναι,) χρησαμένῳ δὲ τῇ δυνάμει κατὰ τοῦ παρασχόντος. Ἀλλὰ μέγας, εἶπεν, ὁ Θεὸς, ὃς μισήσας σου τὸν τρόπον ὑποχείριον ἡμῖν ἔθηκε. Χρη-

CAP. VIII. (XI.)

At Babylonius totis viribus et alacriter admodum Hierosolyma oppugnabat; quumque turres multa terra aggesta exstruxisset, ex illis pugnantes e mœnibus repellebat; multos quoque per totum circuitum aggeres excitabat, qui altitudine muros æquarent. Verum et propugnatores fortiter et alacriter obsidionem ferebant. Neque enim fami neque pestilentiæ succumbebant, sed quamvis intus malis istis exagitati essent, animos ad dura belli confirmabant, ne machinamentis quidem ab hostibus inventis et mœnibus admotis perterriti, sed et alias omnibus quas illi intendebant objiciendas machinas excogitantes, adeo ut Babyloniis cum Hierosolymitis plane sollertiæ et *rei militaris* scientiæ certamen fuerit, dum illi quidem, si hisce plus valerent, urbem se expugnaturos esse crederent, hi vero in eo salutis spem reponerent ut novis ex adverso comminiscendis non defatigarentur fatiscerentve, quibus irrita fierent hostium machinamenta. Atque ista tolerarunt per menses duodeviginti, donec et peste consumpti essent, et telis perempti, quæ hostes e turribus in eos conjecerint.

2. Urbs autem capta est anno undecimo regni Sedeciæ, quarti mensis die nono. Eam siquidem ceperunt Babyloniorum duces, quibus Nabuchodonosorus urbem oppugnandam mandavit: nam ipse in urbe Reblatha morabatur. Ducum autem nomina, qui Hierosolyma expugnata subegerunt, si quis ea scire desiderat, ista erant: Nergelearus, Aremmantus, Semegarus, Nabosaris, Echarampsaris. Urbe autem capta circa mediam noctem, ac hostium ducibus in templum ingressis, Sedecias rex, ubi hoc sensit, assumptis uxoribus et liberis et ducibus et amicis, cum illis fugam ex urbe capessit per fauces angustas munitasque et per desertum. Ut autem quidam e transfugis hoc Babyloniis indicarunt, diluculo ad eum persequendum exierunt, assequutique non procul ab Hierichunte, eum circumvenerunt. Amici vero et duces, qui Sedeciæ fugæ se comites dederant, quum hostium in conspectum venissent, ipso relicto alius alio dilapsi sunt, et suæ quisque saluti consuluerunt. Ipsum vero, cum paucis relictum, ubi vivum ceperant hostes, una cum liberis et uxoribus ad regem perduxerunt. Postquam ad eum venerat, Nabuchodonosorus nequam et fœdifragum appellare cœpit, et verborum quæ antea fecerat immemorem, ut qui regionem sibi conservare promiserat. Quin et ingrati animi vitium ei exprobravit, quod regnum suo beneficio adeptus (illud enim Joachimo ereptum ipsi dedisse) vires suas in largitorem converterit. Sed magnus, inquit, est Deus, qui, mores tuos aversatus, te nobis in manus tradidit. Quum autem his verbis Sedeciam

σάμενος δὲ τούτοις πρὸς Σεδεκίαν τοῖς λόγοις τοὺς υἱοὺς ἐκέλευσε παραχρῆμα καὶ τοὺς φίλους θῦσαι, ὁρῶντος αὐτοῦ τε Σεδεκίου καὶ τῶν ἄλλων αἰχμαλώτων βλεπόντων. Ἔπειτα τοὺς ὀφθαλμοὺς ἐκκόψας τοῦ Σεδεκίου δήσας ἤγαγεν εἰς Βαβυλῶνα. Καὶ ταῦτα αὐτῷ συνέβη, ἃ Ἱερεμίας τε καὶ Ἰεζεκίηλος προεφήτευσαν αὐτῷ, ὅτι συλληφθεὶς ἀχθήσεται πρὸς τὸν Βαβυλώνιον καὶ λαλήσει αὐτῷ κατὰ στόμα καὶ ὄψεται τοῖς ὀφθαλμοῖς τοὺς ὀφθαλμοὺς αὐτοῦ. Καὶ ταῦτα μὲν Ἱερεμίας εἶπε, τυφλωθεὶς δὲ καὶ ἀχθεὶς εἰς Βαβυλῶνα ταύτην οὐκ εἶδε, καθὼς Ἰεζεκίηλος προεῖπε.

γ'. Ταῦτα μὲν οὖν ἱκανῶς ἐμφανίσαι δυνάμενα τὴν τοῦ Θεοῦ φύσιν τοῖς ἀγνοοῦσιν εἰρήκαμεν, ὅτι ποικίλη τ' ἐστὶ καὶ πολύτροπος καὶ πάντα καθ' ὥραν ἁπαντᾷ τεταγμένως ἅ τε δεῖ γενέσθαι προλέγει, τήν τε τῶν ἀνθρώπων ἄγνοιαν καὶ ἀπιστίαν, ὑφ' ἧς οὐδὲν προϊδεῖν εἰάθησαν τῶν ἀποβησομένων, ἀφύλακτοι δὲ ταῖς συμφοραῖς παρεδόθησαν, ὡς ἀμήχανον αὐτοῖς εἶναι τὴν ἐξ αὐτῶν πεῖραν διαφυγεῖν.

δ'. Οἱ μὲν οὖν ἐκ τοῦ Δαυίδου γένους βασιλεύσαντες οὕτω κατέστρεψαν τὸν βίον, εἴκοσι μὲν καὶ εἷς γενόμενοι μέχρι τοῦ τελευταίου βασιλέως, ἔτη δὲ πάντες βασιλεύσαντες πεντακόσια καὶ δεκατέσσαρα καὶ μῆνας ἓξ καὶ ἡμέρας δέκα· ἐξ ὧν εἴκοσι τὴν ἀρχὴν κατέσχεν ὁ πρῶτος αὐτῶν βασιλεὺς Σάουλος, οὐκ ἐκ τῆς αὐτῆς φυλῆς ὑπάρχων.

ε'. Ὁ δὲ Βαβυλώνιος πέμπει τὸν αὐτοῦ στρατηγὸν Ναβουζαρδάνην εἰς Ἱεροσόλυμα συλήσοντα τὸν ναόν, προστάξας ἅμα καὶ καταπρῆσαι αὐτόν τε καὶ τὰ βασίλεια, τήν τε πόλιν εἰς ἔδαφος καθελεῖν, καὶ τὸν λαὸν εἰς τὴν Βαβυλωνίαν μεταστῆσαι. Ὃς γενόμενος ἐν τοῖς Ἱεροσολύμοις ἐνδεκάτῳ ἔτει τῆς Σεδεκίου βασιλείας συλᾷ τε τὸν ναὸν καὶ βαστάζει τὰ σκεύη τοῦ Θεοῦ χρυσᾶ τε καὶ ἀργυρᾶ, καὶ δὴ καὶ τὸν μέγαν λουτῆρα, ὃν Σολομὼν ἀνέθηκεν· ἔτι γε μὴν τοὺς στύλους τοὺς χαλκοῦς καὶ τὰς κεφαλὰς αὐτῶν, τάς τε χρυσᾶς τραπέζας καὶ τὰς λυχνίας. Βαστάσας δὴ ταῦτα ἀνῆψε τὸν ναὸν μηνὶ πέμπτῳ τῇ νουμηνίᾳ, ἐνδεκάτῳ ἔτει τῆς Σεδεκίου βασιλείας, ὀκτωκαιδεκάτῳ δὲ τῆς Ναβουχοδονοσόρου. Ἐνέπρησε δὲ καὶ τὰ βασίλεια καὶ τὴν πόλιν κατέστρεψεν. Ἐνεπρήσθη δὲ ὁ ναὸς μετὰ τετρακόσια ἔτη καὶ ἑβδομήκοντα καὶ μῆνας ἓξ καὶ δέκα ἡμέρας ἀφ' οὗ κατεσκευάσθη· τῇ δ' ἐξ Αἰγύπτου μεταναστάσει τοῦ λαοῦ τότε ἦν ἔτη χίλια ἑξήκοντα δύο, μῆνες ἓξ, ἡμέραι δέκα. Τῷ δὲ κατακλυσμῷ μέχρι τῆς τοῦ ναοῦ πορθήσεως χρόνος ἦν ὁ πᾶς ἐτῶν χιλίων ἐννακοσίων πεντήκοντα ἑπτά, μηνῶν ἓξ, ἡμερῶν δέκα· ἐξ οὗ δὲ ἐγεννήθη Ἀδαμος μέχρι τῶν περὶ τὸν ναὸν συμβάντων ἔτη ἐστὶ τρισχίλια πεντακόσια δεκατρία, μῆνες ἓξ, ἡμέραι δέκα. Τοσοῦτον μὲν οὖν τὸ τούτων τῶν ἐτῶν πλῆθος· ὅσα δὲ ἐπράχθη, καθ' ἕκαστον τῶν συμβεβηκότων δεδηλώκαμεν. Ὁ δὲ στρατηγὸς τοῦ Βαβυλωνίων βασιλέως κατασκάψας τὰ Ἱεροσόλυμα καὶ τὸν λαὸν μεταναστήσας ἔλαβεν αἰχμαλώτους τὸν ἀρ-

increpuisset, jussit filios ejus et amicos e vestigio mactari in conspectu ipsius Sedeciæ ceterorumque captivorum. Dein quum Sedeciam luminibus privasset, catenis vinctum Babylonem usque duxit. Atque ista ei acciderunt, quæ ab Hieremia et Jezecielo erant ipsi prædicta, quod captus ad Babylonium adducetur, et præsens præsentem ore alloquetur, et oculis *suis* oculos ejus videbit. Ista quidem Hieremias loquutus est; occœcatus vero et Babylonem perductus eam non vidit, sicuti Jezecielus prædixit.

3. Et hæc quidem narravimus, ut Dei natura satis explorata sit imperitis, quod varia est et multimoda, et omnia statis temporibus et ordine servato eveniunt, eaque prædicit quæ eventura sunt, utque hominum inscitia et incredulitas perspectæ habeantur, quibus præpediti sunt quominus futura prospiciant, sed ex improviso in calamitates incidunt, nulla data ex earum periculo evadendi via.

4. Atque ita sane Davidici generis reges vitam finiverunt, numero quidem unus et viginti, ad regem ultimum usque; regnarunt autem universi annos quingentos et quattuordecim, menses sex et dies decem, ex quibus Saulus, rex illorum primus, principatum tenuit annos viginti, quum tamen ex eadem tribu non fuerit.

5. Porro Babylonius copiarum præfectum Nabuzardanea mittit Hierosolyma, ut templum spoliaret, mandavitque ut illi ignem subjiceret regiæque, ac urbem solo æquaret, et populum transferret in Babyloniam. Qui quum Hierosolyma venisset anno regni Sedeciæ undecimo, et templum diripit, et vasa Dei aurea argenteaque exportat, et labrum quoque magnum a Solomone dedicatum, ut et columnas æreas cum suis capitulis, et mensas aureas atque candelabra. His itaque sublatis, templum incendit mense quinto, die primo, anno regni Sedeciæ undecimo, regni vero Nabuchodonosori octavo et decimo. Regiam quoque igni cremavit, et urbem evertit. Incensum autem est templum anno quadringentesimo septuagesimo, mense sexto, die decimo, postquam conditum fuerat, a populi vero ex Ægypto migratione, anni tunc mille effluxerant et sexaginta duo, menses sex et dies decem. Tempus autem omne, quod a diluvio usque ad templi devastationem intercessit, annorum erat mille nongentorum quinquaginta septem, mensium sex, et dierum decem : ab Adamo vero creato usque ad ea quæ templo acciderant, anni sunt ter mille quingenti tredecim, menses sex et dies decem. Et tantus quidem erat horum annorum numerus : quæcunque vero acta fuerint, prout singula evenerunt, explicavimus. Porro militiæ regis Babyloniorum præfectus, quum Hierosolyma a fundamentis diruisset, et populum transtulisset, captivos fecit Sarean

χιερέα Σαρέαν καὶ τὸν μετ' αὐτοῦ ἱερέα Σοφονίαν, καὶ τοὺς φυλάσσοντας τὸ ἱερὸν ἡγεμόνας (τρεῖς δὲ ἦσαν οὗτοι), καὶ τὸν ἐπὶ τῶν ὁπλιτῶν εὐνοῦχον, καὶ τοὺς φίλους τοῦ Σεδεκίου ἑπτὰ, καὶ τὸν γραμματέα αὐτοῦ, καὶ ἄλλους ἡγεμόνας ἑξήκοντα· οὓς ἅπαντας μεθ' ὧν ἐσύλησε σκευῶν ἐκόμισε πρὸς τὸν βασιλέα εἰς Ῥεβλαθὰν πόλιν τῆς Συρίας. Ὁ δὲ βασιλεὺς τοῦ μὲν ἀρχιερέως καὶ τῶν ἡγεμόνων ἐκέλευσεν ἐκεῖ τὰς κεφαλὰς ἀποτεμεῖν, αὐτὸς δὲ πάντας τοὺς αἰχμαλώτους καὶ τὸν Σεδεκίαν ἤγαγεν εἰς Βαβυλῶνα. Δέσμιον δ' ἐπήγετο καὶ Ἰωσάδωκον τὸν ἀρχιερέα, ὄντα υἱὸν Σαρέα τοῦ ἀρχιερέως, ὃν ἀπέκτεινεν ὁ Βαβυλώνιος ἐν Ῥεβλαθᾷ πόλει τῆς Συρίας, ὡς καὶ πρότερον ἡμῖν δεδήλωται.

ς'. Ἐπεὶ δὲ τὸ γένος διεξήλθομεν τὸ τῶν βασιλέων καὶ τίνες ἦσαν δεδηλώκαμεν καὶ τοὺς χρόνους αὐτῶν, ἀναγκαῖον ἡγησάμην καὶ τῶν ἀρχιερέων εἰπεῖν τὰ ὀνόματα, καὶ τίνες ἦσαν οἱ τὴν ἀρχιερωσύνην καταδείξαντες ἐπὶ τοῖς βασιλεῦσι. Πρῶτος μὲν οὖν Σάδωκος ὁ ἀρχιερεὺς ἐγένετο τοῦ ναοῦ, ὃν Σολομὼν ᾠκοδόμησε. Μετ' αὐτὸν δ' ὁ υἱὸς Ἀχιμᾶς διαδέχεται τὴν τιμὴν, καὶ μετὰ Ἀχιμᾶν Ἀζαρίας· τούτου δὲ Ἰώραμος, τοῦ δὲ Ἰωράμου Ἴσος, μετ' αὐτὸν δὲ Ἀξιώραμος· τοῦ δ' Ἀξιωράμου Φιδέας, τοῦ δὲ Φιδέα Σουδέας, τοῦ δὲ Σουδέα Ἰούηλος, τοῦ δὲ Ἰουήλου Ἰώθαμος, Ἰωθάμου δὲ Οὐρίας, Οὐρίου δὲ Νηρίας, τοῦ δὲ Νηρία Ὡδέας, τούτου δὲ Σαλλοῦμος, Σαλλούμου δὲ Ἐλκίας, Ἐλκία δὲ Σαρέας, τοῦ δὲ Ἰωσάδωκος ὁ αἰχμαλωτισθεὶς εἰς Βαβυλῶνα. Οὗτοι πάντες παῖδες παρὰ πατρὸς διεδέξαντο τὴν ἀρχιερωσύνην.

ζ'. Παραγενόμενος δὲ εἰς Βαβυλῶνα ὁ βασιλεὺς Σεδεκίαν μὲν εἶχεν, ἄχρις οὗ καὶ ἐτελεύτησεν, ἐν εἱρκτῇ. Θάψας δὲ αὐτὸν βασιλικῶς, τὰ σκεύη τὰ ἐκ τοῦ Ἱεροσολύμων συληθέντα ναοῦ ἀνέθηκε τοῖς ἰδίοις θεοῖς, τὸν δὲ λαὸν κατῴκισεν ἐν τῇ Βαβυλωνίτιδι χώρᾳ, τὸν δ' ἀρχιερέα ἀπέλυσε τῶν δεσμῶν.

ΚΕΦ. Θ'.

Ὁ δὲ στρατηγὸς Ναβουζαρδάνης αἰχμαλωτίσας τὸν τῶν Ἰουδαίων λαὸν τοὺς πένητας καὶ αὐτομόλους ἐκεῖ κατέλιπεν, ἀποδείξας αὐτῶν ἡγεμόνα Γοδολίαν ὄνομα, Ἀϊκάμου παῖδα τῶν εὖ γεγονότων, ἐπιεικῆ καὶ δίκαιον. Ἐπέταξε δ' αὐτοῖς τὴν χώραν ἐργαζομένοις τῷ βασιλεῖ τελέσειν φόρον ὡρισμένον. Ἱερεμίαν δὲ τὸν προφήτην λαβὼν ἐκ τῆς εἱρκτῆς ἔπεισεν εἰς Βαβυλῶνα σὺν αὐτῷ παραγενέσθαι· (κεκελεῦσθαι γὰρ ὑπὸ τοῦ βασιλέως πάντ' αὐτῷ χορηγεῖν·) εἰ δὲ τοῦτο μὴ βούλεται, δηλοῦν αὐτῷ ποῦ μένειν διέγνωκεν, ἵνα τοῦτο ἐπιστείλῃ τῷ βασιλεῖ. Ὁ δὲ προφήτης οὔθ' ἕπεσθαι ἤθελεν οὔτ' ἀλλαχόσε που μένειν, ἠδέως δ' εἶχεν ἐπὶ τοῖς ἐρειπίοις τῆς πατρίδος καὶ τοῖς ταλαιπώροις αὐτῆς διαζῆσαι λειψάνοις. Γνοὺς δ' αὐτοῦ τὴν προαίρεσιν ὁ στρατηγὸς τῷ Γοδολίᾳ προστάξας, ὃν κατέλιπεν, αὐτίκα πᾶσαν αὐτοῦ ποιεῖσθαι πρόνοιαν καὶ χορηγίαν ὅσων ἂν δέηται, δωρησάμενός τε αὐτὸν ὡρεαῖς πολυτελέσιν, ἀπέλυσε.

summum pontificem, et Sophoniam secundarium pontificem, et duces templi custodes (isti autem tres erant), et eunuchum militibus præfectum, et septem de Sedeciæ amicis, ejusque scribam, et alios duces sexaginta : quos omnes una cum vasis direptis ad regem deportavit in Reblatham Syriæ urbem. Atque illic rex pontifici et ducibus capita amputari jussit, captivos vero omnes et in istis Sedeciam ipse Babylonem duxit. Præterea vinctum secum deduxit Josadocum summum pontificem, filium Sareæ summi pontificis, quem ad Reblatham Syriæ urbem Babylonius occiderat, ut jam ante memoravimus.

6. Quum vero genus regum recensuerimus, et quinam fuerint indicarimus, quotque annos vixerint regnarintque, necessarium etiam visum est dicere, quibus nominibus summi pontifices fuerint, quique sub regibus pontificatum obierint. Et primus quidem omnium in templo, a Solomone exstructo, pontifex erat Sadocus : ei vero in honorem filius ejus Achimas successit, et post Achimam Azarias : hunc autem Joramus, Joramum vero Isus, eumque Axioramus excepit : huic autem proximus Phideas, et Phideæ Sudeas, Sudeæ vero Juelus, et Juelo Jothamus, et Jothamo Urias, et Uriæ Nerias, et Neriæ Odeas; hunc vero sequutus est Sallumus, et Sallumum Elcias, et Elciam Sareas, et hunc demum Josadocus, Babylonem in captivitatem ductus. Illi omnes, filii post patres, pontificatum acceperunt.

7. Rex autem Babylonem reversus Sedeciam, usque dum moreretur, in carcere conclusum tenebat. Quumque ipsum magnifice sepelisset, vasa, quibus Hierosolymorum templum spoliaverat, diis dicavit suis, populum vero in Babyloniæ regione collocavit, atque pontificem e vinculis exemit.

CAP. IX. (XI.)

Nabuzardanes autem imperator, quum populum Judaicum captivum abduxisset, pauperes et transfugas ibi reliquit, duce illis præposito, nomine Godolia, Aicami viri nobilis filio, æquo et justo. Illis vero imperavit ut ex agris, quum eos coluissent, certum tributum regi penderent. Hieremiæ quoque vati, e carcere ad se accito, suasit ut secum Babylonem iret; (regem enim mandavisse ut omnia ei præberet;) sin vero nolit, diceret ubinam habitare statuerit, ut regem literis ea de re certiorem faceret. At vates nec cum sequi volebat, nec usquam terrarum habitare, sed contentus erat vitam agere inter ruinas patriæ et miserrimas ejus reliquias. Imperator autem, cognita ejus voluntate, quum Godoliæ ibi relicto præcepisset summam ei curam adhibere, et quicquid desideraret ei suppeditare, eumque muneribus amplissimis ornasset, quocunque vellet ire permisit Et

Καὶ Ἱερεμίας μὲν κατέμεινεν ἐν πόλει τῆς χώρας Μασφαθᾷ καλουμένῃ, παρακαλέσας τὸν Ναβουζαρδάνην, ἵν' αὐτῷ συναπολύσῃ τὸν μαθητὴν Βαροῦχον, Νήρου δὲ παῖδα, ἐξ ἐπισήμου σφόδρα οἰκίας ὄντα, καὶ τῇ πατρίῳ γλώττῃ διαφερόντως πεπαιδευμένον.

β'. Ναβουζαρδάνης μὲν ταῦτα διαπραξάμενος ὥρμησεν εἰς Βαβυλῶνα. Οἱ δὲ πολιορκουμένων Ἱεροσολύμων φυγόντες, διασκεδασθέντες κατὰ τὴν χώραν, ἐπειδὴ τοὺς Βαβυλωνίους ἤκουσαν ἀνακεχωρηκότας καὶ λείψανά τινα καταλελοιπότας ἐν τῇ τῶν Ἱεροσολύμων γῇ καὶ τοὺς ταύτην ἐργασομένους, συλλεχθέντες πανταχόθεν ἦκον πρὸς τὸν Γοδολίαν εἰς Μασφαθάν. Ἡγεμόνες δὲ ἦσαν ἐπ' αὐτοῖς Ἰωάννης υἱὸς Καρέου καὶ Ἰεζανίας καὶ Σαρέας καὶ ἕτεροι πρὸς τούτοις. Ἦν δὲ τοῦ βασιλικοῦ γένους ἦν τις Ἰσμαῆλος, πονηρὸς ἀνὴρ καὶ δολιώτατος, ὃς πολιορκουμένων τῶν Ἱεροσολύμων ἔφυγε πρὸς τὸν Ἀμμανιτῶν βασιλέα Βαάλειμ καὶ συνδιήγαγεν αὐτῷ τὸν χρόνον ἐκεῖνον. Τούτους τοίνυν γενομένους αὐτοῦ Γοδολίας ἔπεισε μένειν αὐτίκα μηδὲν δεδιότας τοὺς Βαβυλωνίους· γεωργοῦντας γὰρ τὴν χώραν οὐδὲν πείσεσθαι δεινόν. Ταῦτ' ὀμνὺς αὐτοῖς διεβεβαιοῦτο, καὶ προστάτην αὐτὸν ἔχειν λέγων, ὥστε, εἴ τις ἐνοχλοίη, τεύξεσθαι τῆς προθυμίας, καὶ συνεβούλευε κατοικεῖν εἰς ἣν ἕκαστος βούλεται πόλιν, ἀποστέλλειν τε μετὰ τῶν ἰδίων καὶ ἀνακτίζειν τὰ ἐδάφη καὶ κατοικεῖν· προεῖπέ τε παρασκευάζεσθαι αὐτούς, ἕως ἔτι καιρός ἐστι, σῖτόν τε καὶ οἶνον καὶ ἔλαιον, ὅπως ἔχωσι διὰ τοῦ χειμῶνος τρέφεσθαι. Ταῦτα διαλεχθεὶς πρὸς αὐτοὺς ἀπέλυσε διάγειν τῆς χώρας εἰς ὃν ἕκαστος ἐβούλετο τόπον.

γ'. Διαδραμούσης δὲ φήμης εἰς τὰ περὶ τὴν Ἰουδαίαν ἔθνη, ὅτι τοὺς ἀπὸ τῆς φυγῆς παρ' αὐτὸν ἐλθόντας Γοδολίας ἐδέξατο φιλανθρώπως καὶ τὴν γῆν αὐτοῖς γεωργοῦσι κατοικεῖν ἐφῆκεν, ἐφ' ᾧ τελέσειν φόρον τῷ Βαβυλωνίῳ, συνέδραμον καὶ αὐτοὶ πρὸς τὸν Γοδολίαν καὶ τὴν χώραν κατῴκησαν. Κατανοήσαντες δὲ τὴν χώραν καὶ τὴν τοῦ Γοδολίου χρηστότητα καὶ φιλανθρωπίαν, Ἰωάννης καὶ οἱ μετ' αὐτοῦ ἡγεμόνες ὑπερηγάπησαν αὐτὸν, καὶ Βααλεὶμ τὸν τῶν Ἀμμανιτῶν βασιλέα ἔλεγον πέμψειν Ἰσμαῆλον ἀποκτενοῦντα αὐτὸν δόλῳ καὶ κρυφίως, ὅπως αὐτὸς ἄρχῃ τῶν Ἰσραηλιτῶν· εἶναι γὰρ αὐτὸν ἐκ τοῦ γένους τοῦ βασιλικοῦ. Ῥύσεσθαί γε μὴν ἔλεγον αὐτὸν τῆς ἐπιβουλῆς, ἂν αὐτοῖς ἐφῇ κτεῖναι τὸν Ἰσμαῆλον, ὡς οὐδενὸς γνωσομένου. Δεδιέναι γὰρ ἔφασκον μὴ φονευθεὶς αὐτὸς ὑπ' ἐκείνου παντελὴς ἀπώλεια γένηται τῶν ὑπολελειμμένων τῆς τῶν Ἰσραηλιτῶν ἰσχύος. Ὁ δ' ἀπιστεῖν αὐτοῖς ὡμολόγει κατὰ ἀνδρὸς εὖ πεπονθότος ἐπιβουλὴν τοιαύτην ἐμφανίσασιν· οὐ γὰρ εἰκὸς εἶναι παρὰ τηλικαύτην ἐρημίαν ὧν ἔχρῃζε μὴ διαμαρτόντα οὕτω πονηρὸν εἰς τὸν εὐεργετήσαντα καὶ ἀνόσιον εὑρεθῆναι, ὥσθ' ὃν ἦν ἀδίκημα τὸ μὴ ὑπ' ἄλλων ἐπιβουλευόμενον σῶσαι σπουδάζειν, αὐτὸν αὐτόχειρα ζητεῖν αὐτοῦ γενέσθαι. Οὐ μὴν ἀλλ' εἰ ταῦτα ἀληθῆ δεῖ δοκεῖν, ἄμεινον ἔφασκεν

Hieremias quidem commoratus est in istius regionis urbe, quæ Masphata dicitur, Nabuzardane exorato ut secum e carcere dimitteretur discipulus Baruchus, Neri filius, ex valde illustri domo, et in patria lingua egregie doctus.

2. Quum autem ista fecisset Nabuzardanes, Babylonem ire contendit. At illi, qui obsessis Hierosolymis diffugerant, per regionem fusi dispersique, postquam Babylonios discessisse audiverunt, nonnullosque reliquisse qui in Hierosolymorum terra supererant, quibusque datum erat ut ei culturam adhiberent, undique Masphatam convenerunt ad Godoliam. Illorum autem duces erant Joannes Careæ filius, et Jezanias, et Sareas, præterque illos alii. Porro quidem erat Ismaelus ex stirpe regia, homo improbus et astutissimus, qui dum Hierosolyma obsiderentur fuga elapsus erat ad Baalim Ammanitarum regem, et cum eo per illud tempus habitarat. Illis igitur, qui eo venerant, suasit Godolias ut ibi manerent, posito in præsens omni Babyloniorum metu : agriculturæ enim operam dantes nihil mali passuros esse. Ista illis jurejurando confirmavit, adjiciens eos se pro defensore habere, adeo ut, si cui molestia crearetur, mature ei subveniretur ; idque eis consilii dedit ut urbes quascunque vellent habitatum irent, et *aliquot* cum suis mitterent easque a fundamentis excitarent et incolerent : præmonuitque ut pararent, dum tempus esset, et frumentum et vinum et oleum, ne egerent quo per hiemem vescerentur. Hæc ad illos loquutus, dimisit eos ad regionis loca, prout cuique visum fuerit, habitanda.

3. Quum autem ad gentes Judææ finitimas fama perlatum esset quod Godolias omnes e fuga ad eum reversos magna humanitate exceperit, terramque agros colentibus ea lege occupari siverit, ut Babylonio tributum penderent, ex illis etiam concursus fiunt ad Godoliam, et regionem incoluerunt. Porro Joannes et qui cum eo erant duces, quum terram cognossent et Godoliæ benignitatem et humanitatem, valde eum dilexerunt, dicebantque Baalim Ammanitarum regem missurum esse Ismaelum, qui ei dolo latenterque mortem inferret, ut ipse Israelitis imperaret : illum enim e genere regio ortum esse. Ceterum ipsum insidiis liberatum iri aiebant, si permittat ipsis Ismaelum occidere, utpote nemine præterea conscio futuro. Vereri enim se adjiciebant ne, ipso ab illo interfecto, funditus pereant populi Israelitarum reliquiæ. Is vero se illis fidem non habere fatebatur, qui hujusmodi insidias sibi ab homine beneficiis a se affecto paratas detulerunt. Haud enim esse verisimile eum, qui in tanta rerum inopia nihil non eorum, quorum opus habeat *a se* consequutus sit, adeo ingratum in benefactorem suum et impium inveniri, ut, quem scelus foret insidiis ab aliis circumventum non servare studere, eum is quæreret sua ipse manu necare. At vero si hæc pro veris habenda, satius esse dicebat ut ipse ab illo perimeretur, quam ut ho-

ἀποθανεῖν αὐτὸν ὑπ' ἐκείνου μᾶλλον ἢ καταφυγόντα πρὸς αὐτὸν ἄνθρωπον καὶ πιστεύσαντα τὴν ἰδίαν σωτηρίαν καὶ παρακαταθέμενον αὐτῷ διαφθεῖραι.

δ'. Καὶ ὁ μὲν Ἰωάννης καὶ οἱ σὺν αὐτῷ τῶν ἡγεμόνων μὴ δυνηθέντες πεῖσαι τὸν Γοδολίαν ἀπῆλθον. Χρόνου δὲ διελθόντος ἡμερῶν τριάκοντα παραγίνεται πρὸς Γοδολίαν εἰς Μασφαθὰν πόλιν Ἰσμαῆλος μετ' ἀνδρῶν δέκα, οὓς λαμπρᾷ τραπέζῃ καὶ ξενίοις ὑποδεξάμενος εἰς μέθην προήχθη, φιλοφρονούμενος τὸν Ἰσμαῆλον καὶ τοὺς σὺν αὐτῷ. Θεασάμενος δὲ οὕτως αὐτὸν ἔχοντα καὶ βεβαπτισμένον εἰς ἀναισθησίαν καὶ ὕπνον ὑπὸ τῆς μέθης, ὁ Ἰσμαῆλος ἀναπηδήσας μετὰ τῶν δέκα φίλων ἀποσφάττει τὸν Γοδολίαν καὶ τοὺς σὺν αὐτῷ κατακειμένους ἐν τῷ συμποσίῳ. Καὶ μετὰ τὴν τούτων ἀναίρεσιν ἐξελθὼν νυκτὸς ἅπαντας φονεύει τοὺς ἐν τῇ πόλει Ἰουδαίους καὶ τοὺς ὑπὸ τῶν Βαβυλωνίων καταλειφθέντας ἐν αὐτῇ τῶν στρατιωτῶν. Τῇ δ' ἐπιούσῃ μετὰ δώρων ἦκον πρὸς τὸν Γοδολίαν τῶν ἀπὸ τῆς χώρας ὀγδοήκοντα, μηδενὸς τὰ περὶ αὐτὸν ἐγνωκότος. Ἰδὼν δὲ αὐτοὺς Ἰσμαῆλος εἴσω τε καλεῖ πρὸς Γοδολίαν καὶ παρελθόντων ἀποκλείσας τὴν αὐλὴν ἐφόνευσε καὶ τὰ σώματα αὐτῶν εἰς λάκκον τινὰ βαθὺν, ὡς ἂν ἀφανῆ γένοιτο, κατεπόντισε. Διεσώθησαν δὲ τῶν ὀγδοήκοντα τούτων ἀνδρῶν οἱ μὴ πρότερον ἀναιρεθῆναι παρεκάλεσαν πρὶν ἢ τὰ κεκρυμμένα ἐν τοῖς ἀγροῖς αὐτῷ παραδῶσειν, ἔπιπλά τε καὶ ἐσθῆτας καὶ σῖτον. Ταῦτα ἀκούσας ἐφείσατο τῶν ἀνδρῶν τούτων Ἰσμαῆλος, τὸν δ' ἐν τῇ Μασφαθᾷ λαὸν σὺν γυναιξὶ καὶ νηπίοις ἠχμαλώτισεν· ἐν οἷς καὶ τοῦ βασιλέως Σεδεκίου θυγατέρας, ἃς Ναβουζαρδάνης ὁ τῶν Βαβυλωνίων στρατηγὸς παρὰ Γοδολίᾳ καταλελοίπει. Ταῦτα διαπραξάμενος ἀφικνεῖται πρὸς τὸν Ἀμμανιτῶν βασιλέα.

ε'. Ἀκούσας δ' Ἰωάννης καὶ οἱ σὺν αὐτῷ ἡγεμόνες τὰ ἐν τῇ Μασφαθᾷ πεπραγμένα ὑπὸ Ἰσμαήλου καὶ τὸν Γοδολίου θάνατον ἠγανάκτησαν, καὶ τοὺς ἰδίους ἕκαστος παραλαβὼν ὁπλίτας ὥρμησαν πολεμήσοντες τὸν Ἰσμαῆλον, καὶ καταλαμβάνουσιν αὐτὸν πρὸς τῇ κηγῇ ἐν Χεβρῶνι. Οἱ δὲ αἰχμαλωτισθέντες ὑπὸ Ἰσμαήλου, τὸν Ἰωάννην ἰδόντες καὶ τοὺς ἡγεμόνας, εὐθύμως διετέθησαν, βοήθειαν αὐτοῖς ἥκειν ὑπολαμβάνοντες, καὶ καταλιπόντες τὸν αἰχμαλωτίσαντα πρὸς τὸν Ἰωάννην ἀνεχώρησαν. Ἰσμαῆλος μὲν οὖν μετ' ἀνδρῶν ὀκτὼ φεύγει πρὸς τὸν Ἀμμανιτῶν βασιλέα, ὁ δὲ Ἰωάννης παραλαβὼν οὓς ἀνέσωσεν ἐκ τῶν Ἰσμαήλου χειρῶν καὶ τοὺς εὐνούχους καὶ γυναῖκας καὶ τὰ νήπια, εἴς τινα τόπον Μάνδρα λεγόμενον παραγίνεται. Καὶ τὴν μὲν ἡμέραν ἐκείνην ἐπέμεινεν αὐτόθι. Διεγνώκεισαν δ' ἐκεῖθεν ἅπαντες εἰς Αἴγυπτον ἐλθεῖν, φοβούμενοι μὴ κτείνωσιν αὐτοὺς οἱ Βαβυλώνιοι μείναντας ἐν τῇ χώρᾳ, ὑπὲρ Γοδολίᾳ τοῦ κατασταθέντος ὑπ' αὐτῶν ἡγεμόνος ὀργισθέντες πεφονευμένου.

ς'. Ὄντων δ' ἐπὶ ταύτης τῆς βουλῆς προσίασιν Ἱερεμίᾳ τῷ προφήτῃ Ἰωάννης ὁ τοῦ Καρέου καὶ οἱ ἡγε-

minem occideret, qui ad ipsum confugerit, suamque salutem ejus fidei commiserit et apud eum quasi sequestrem deposuerit.

4. Et Joannes quidem et qui cum eo erant duces, quum hoc Godoliæ persuadere non potuissent, discesserunt. At triginta post diebus in urbem Masphatham ad Godoliam venit Ismaelus, et cum eo viri decem, quos quum splendidæ mensæ adhibuisset, eisque lautia dedisset, ebrius factus est, dum Ismaelum ejusque comites magna hilaritate excipit. Ismaelus autem, eum ita se habentem conspicatus, vinoque gravem in stuporem et somnum immersum, ipse cum amicis suis derepente surrexit et Godoliam interficit, et quotquot ei in convivio accumbebant. Et statim ab hac illorum cæde nocte egressus Judæos omnes qui in urbe erant occidit, simulque milites in ea a Babyloniis relictos. Sequenti vero die viri e regione octoginta munera secum ferentes ad Godoliam venerunt, nemine id quod ei acciderat sciente. Ismaelus autem ubi eos conspexerat, jubet introire ad Godoliam, quumque ingressi essent, clauso atrio, eos trucidavit, atque corpora illorum, ne amplius conspicerentur, in fossam quandam profundam demersit. Ex his autem octoginta viris illi servati sunt, qui eum obsecrarant, ne prius occiderentur quam in agris occultata ei traderent, supellectilem et vestes atque frumentum. Ubi hæc audierat, viris istis pepercit Ismaelus. Populum vero Masphathensem cum uxoribus et liberis in captivitatem abduxit, et in his Sedeciæ filias, quas Nabuzardanes Babyloniorum imperator apud Godoliam reliquerat. Quibus factis ad Ammanitarum regem se confert.

5. At Joannes et qui cum eo erant duces, ubi fama acceperant scelus ab Ismaelo Masphathæ patratum et Godoliæ necem, graviter tulerunt, et adhibitis suis quisque militibus profecti sunt ad inferendum Ismaelo bellum, eumque offenderunt apud fontem Chebronensem. Qui vero ab Ismaelo abducebantur, quum Joannem ducesque vidissent, lætitia affecti erant, rati auxilium sibi venire, eoque qui eos ceperat relicto, ad Joannem reverterunt. At enim Ismaelus cum octo viris *Joanni* elapsis ad Ammanitarum regem se contulit. Ceterum Joannes assumptis quos de manibus eripuerat Ismaeli, ut et eunuchis et mulieribus et infantibus, ad locum quendam pervenit qui Mandra dicitur, et ibi quidem ea die moratus est. Statuerant autem ut inde digressi Ægyptum peterent, metuentes ne se, si in regione manserint, Babylonii perimerent, irati ob cædem Godoliæ, quem illi summæ rerum præfecerant.

6. Dum id consilii agitarent, ad Hieremiam vatem accedunt Joannes Careæ filius, ejusque comites militiæ duces, ut

μόνες οἱ σὺν αὐτῷ, παρακαλοῦντες δεηθῆναι τοῦ Θεοῦ, ὅπως ἀναγγανοῦσιν αὐτοῖς περὶ τοῦ τί χρὴ ποιεῖν, τοῦτ' αὐτοῖς ὑποδείξῃ, ὁμόσαντες ποιήσειν ὅ τι ἂν αὐτοῖς ὁ Ἱερεμίας εἴπῃ. Ὑποσχομένου δὲ τοῦ προφήτου διακονήσειν αὐτοῖς πρὸς τὸν Θεὸν, συνέβη μετὰ δέκα ἡμέρας αὐτῷ φανέντα τὸν Θεὸν εἰπεῖν δηλῶσαι Ἰωάννῃ καὶ τοῖς ἄλλοις ἡγεμόσι καὶ τῷ λαῷ παντὶ ὅτι μενοῦσι μὲν αὐτοῖς ἐν ἐκείνῃ τῇ χώρᾳ παρέσται καὶ πρόνοιαν ἕξει καὶ τηρήσει παρὰ τῶν Βαβυλωνίων οὓς δεδίασιν ἀπαθεῖς, πορευομένους δ' εἰς Αἴγυπτον ἀπολείψει καὶ ταῦτα διαθήσει ὀργισθεὶς ἃ καὶ τοὺς ἀδελφοὺς αὐτῶν ἔμπροσθεν οἴδατε παθόντας. Ταῦτα εἰπὼν τῷ Ἰωάννῃ καὶ τῷ λαῷ τὸν Θεὸν αὐτοῖς προλέγειν ὁ προφήτης οὐκ ἐπιστεύετο ὡς κατ' ἐντολὴν τὴν ἐκείνου μένειν αὐτοὺς ἐν τῇ χώρᾳ κελεύει, χαριζόμενον δὲ Βαρούχῳ τῷ ἰδίῳ μαθητῇ καταψεύδεσθαι μὲν τοῦ Θεοῦ, πείθειν δὲ μένειν αὐτόθι, ὡς ἂν ὑπὸ τῶν Βαβυλωνίων διαφθαρῶσι. Παρακούσας οὖν ὅ τε λαὸς καὶ ὁ Ἰωάννης τῆς τοῦ Θεοῦ συμβουλίας, ἣν αὐτοῖς διὰ τοῦ προφήτου παρήνεσεν, ἀπῆρεν εἰς τὴν Αἴγυπτον, ἄγων καὶ τὸν Ἱερεμίαν καὶ τὸν Βαροῦχον.

ζ'. Γενομένων δὲ αὐτῶν ἐκεῖ, σημαίνει τὸ θεῖον τῷ προφήτῃ μέλλοντα στρατεύειν ἐπὶ τοὺς Αἰγυπτίους τὸν Βαβυλωνίων βασιλέα, καὶ προειπεῖν ἐκέλευε τῷ λαῷ τήν τε ἅλωσιν τῆς Αἰγύπτου καὶ ὅτι τοὺς μὲν αὐτῶν ἀποκτενεῖ, τοὺς δὲ αἰχμαλώτους λαβὼν εἰς Βαβυλῶνα ἄξει. Καὶ ταῦτα συνέβη. Τῷ γὰρ πέμπτῳ τῆς Ἱεροσολύμων πορθήσεως ἔτει, ὅ ἐστι τρίτον καὶ εἰκοστὸν τῆς Ναβουχοδονοσόρου βασιλείας, στρατεύει ἐπὶ τὴν Κοίλην Συρίαν, καὶ κατασχὼν αὐτὴν ἐπολέμησε καὶ Ἀμμανίτας καὶ Μωαβίτας. Ποιησάμενος δὲ ὑπήκοα ταῦτα τὰ ἔθνη ἐνέβαλεν εἰς τὴν Αἴγυπτον καταστρεψόμενος αὐτήν. Καὶ τὸν μὲν τότε βασιλέα κτείνει, καταστήσας δὲ ἕτερον, τοὺς ἐν αὐτῇ πάλιν Ἰουδαίους αἰχμαλωτίσας ἦγαγεν εἰς Βαβυλῶνα. Καὶ τὸ μὲν Ἑβραίων γένος ἐν τοιούτῳ τέλει γενόμενον παρειλήφαμεν δὶς ἐλθὸν πέραν Εὐφράτου. Ὑπὸ Ἀσσυρίων μὲν γὰρ ἐξέπεσεν ὁ τῶν δέκα φυλῶν λαὸς ἀπὸ Σαμαρείας, βασιλεύοντος Ὡσήου· ἔπειτα ὁ τῶν δύο φυλῶν, ὑπὸ Ναβουχοδονοσόρου τοῦ τῶν Βαβυλωνίων καὶ Χαλδαίων βασιλέως, ὃς ὑπελείφθη τῶν Ἱεροσολύμων ἁλόντων. Σαλμανασάρης μὲν οὖν, ἀναστήσας τοὺς Ἰσραηλίτας, κατῴκισεν ἀντ' αὐτῶν τὸ τῶν Χουθαίων ἔθνος, οἳ πρότερον ἐνδοτέρω τῆς Περσίδος καὶ τῆς Μηδίας ἦσαν, τότε μέντοι Σαμαρεῖς ἐκλήθησαν, τὴν τῆς χώρας εἰς ἣν κατῳκίσθησαν προσηγορίαν ἀναλαβόντες. Ὁ δὲ τῶν Βαβυλωνίων βασιλεὺς τὰς δύο φυλὰς ἐξαγαγὼν οὐδὲν ἔθνος εἰς τὴν χώραν αὐτῶν κατῴκισε. Καὶ διὰ τοῦτ' ἔρημος ἡ Ἰουδαία πᾶσα, καὶ Ἱεροσόλυμα, καὶ ὁ ναὸς διέμεινεν ἔτεσιν ἑβδομήκοντα. Τὸν δὲ σύμπαντα χρόνον, ὃς ἀπὸ τῆς τῶν Ἰσραηλιτῶν αἰχμαλωσίας ἐπὶ τὴν τῶν δύο φυλῶν ἀνάστασιν ἐληλύθει, ἑκατὸν ἔτη καὶ τριάκοντα, μῆνας ἕξ, ἡμέρας δέκα, συνέβη γενέσθαι.

Deum oraret obsecrantes, ut illis, præ consilii inopia quid agendum esset dubitantibus, id ipsum ostenderet, juratis facturos se quicquid ipsos Hieremias jusserit. Quum autem vates promisisset se pro illis apud Deum intercessorum esse, accidit ut, peractis decem diebus, Deus ei appareret, præciperetque dicere Joanni et ceteris ducibus populoque, se quidem illis, si in ista terra remanserint, adfuturum, curamque illorum gesturum, et a Babyloniis quos metuant illæsos servaturum, in Ægyptum vero proficiscentes relicturum esse, foreque ut ira incensus vos iisdem malis afficiat, quæ patres vestros jam ante perpessos esse scitis. Quæ quum Joanni populoque dixisset Deum eos præmonere, ei parum creditum est quod ex Dei imperio ipsos manere jubeat in regione; sed, ut gratiam iniret a Barucho discipulo suo, Deo quidem mendacium affingere, ipsis vero ne discedant persuadere, ut a Babyloniis morte mulctentur. Populus itaque et Joannes, Dei consilio, quod eis vatis ministerio dederat, haud obsequuti, in Ægyptum concesserunt, secum ducentes Hieremiam et Baruchum.

7. Quum autem eo pervenissent, vatem certiorem facit Deus de expeditione quam in Ægyptum facturus erat Babyloniorum rex, jussitque eum ut populo prædiceret captum iri Ægyptum, foreque ut alios quidem illorum occidat, alios vero Babylonem in captivitatem abducat. Atque hæc evenerunt. Nam quinto post Hierosolymorum vastationem anno, qui vicesimus tertius est regni Nabuchodonosori, exercitum is eduxit in Cœlen-Syriam; eaque occupata et Ammanitis et Moabitis bellum intulit. Istis autem gentibus in potestatem suam redactis, impetum fecit in Ægyptum, ut ipsam debellaret. Ac regem quidem, qui tunc regnabat, occidit, alio vero constituto, Judæos, qui illic erant, iterum cepit et Babylonem traduxit. Et Hebræos quidem, quibus tam male res ceciderunt, bis ultra Euphraten traductos accepimus. Nam decem tribus Samaria exciderunt ab Assyriis abducti, regnante Osea; deinde a Nabuchodonosoro, Babyloniorum et Chaldæorum rege, quotquot e duabus tribubus supererant, captis Hierosolymis. At enim Salmanasares, quum Israelitas sedibus suis excivisset, in easdem gentem Chuthæorum transtulit, qui prius interiora Persidis et Mediæ habitarunt, tunc vero Samaritæ vocati sunt, appellatione tracta e regione in quam demigraverant. At Babyloniorum rex, quum duas tribus abduxisset, nullam gentem in regionem ipsarum reposuit. Quo factum est ut tota Judæa cum Hierosolymis et templo annos septuaginta deserta permanserit. Accidit autem ut tempus omne, quod inter decem tribuum captivitatem et duarum tribuum deportationem intercessit, annorum esset centum et triginta, mensium sex et dierum decem.

ΚΕΦ. Ι'.

Ὁ δὲ τῶν Βαβυλωνίων βασιλεὺς Ναβουχοδονόσορος τοὺς εὐγενεστάτους λαβὼν τῶν Ἰουδαίων παῖδας καὶ τοὺς Σεδεκίου τοῦ βασιλέως αὐτῶν συγγενεῖς, οἳ καὶ ταῖς ἀκμαῖς τῶν σωμάτων καὶ ταῖς εὐμορφίαις τῶν ὄψεων ἦσαν περίβλεπτοι, παιδαγωγοῖς καὶ τῇ δι' αὐτῶν θεραπείᾳ παραδίδωσι, ποιήσας τινὰς αὐτῶν ἐκτομίας, (τὸ δὲ αὐτὸ καὶ τοὺς ἐκ τῶν ἄλλων ἐθνῶν ὅσα κατεστρέψατο ληφθέντας ἐν ὥρᾳ τῆς ἡλικίας διαθείς,) ἐχορήγει μὲν αὐτοῖς τὰ ἀπὸ τῆς τραπέζης αὐτοῦ εἰς δίαιταν, ἐπαίδευε δὲ καὶ τὰ ἐπιχώρια καὶ τὰ τῶν Χαλδαίων ἐξεδίδασκε γράμματα. Ἦσαν δ' οὗτοι σοφίαν ἱκανοί, περὶ ἣν ἐκέλευε διατρίβειν· ἦσαν δ' ἐν τούτοις τῶν ἐκ τοῦ Σεδεκίου γένους τέσσαρες, καλοί τε καὶ ἀγαθοὶ τὰς φύσεις, ὧν ὁ μὲν Δανιῆλος ἐκαλεῖτο, ὁ δὲ Ἀνανίας, ὁ δὲ Μισαήλος, ὁ δὲ τέταρτος Ἀζαρίας. Τούτους ὁ Βαβυλώνιος μετωνόμασε καὶ χρῆσθαι προσέταξεν ἑτέροις ὀνόμασι· καὶ τὸν μὲν Δανιῆλον ἐκάλει Βαλτάσαρον, τὸν δὲ Ἀνανίαν Σεδράχην, Μισαῆλον δὲ Μισάχην, τὸν δὲ Ἀζαρίαν Ἀβδεναγώ. Τούτους ὁ βασιλεὺς, δι' ὑπερβολὴν εὐφυΐας καὶ σπουδῆς τῆς περὶ τὴν παίδευσιν τῶν γραμμάτων καὶ σοφίας ἐν προκοπῇ γενομένους, εἶχεν ἐν τιμῇ καὶ στέργων διετέλει.

β'. Δόξαν δὲ Δανιήλῳ μετὰ τῶν συγγενῶν σκληραγωγεῖν αὐτὸν καὶ τῶν τῆς ἀπὸ τῆς βασιλικῆς τραπέζης ἐδεσμάτων ἀπέχεσθαι, καὶ καθόλου πάντων τῶν ἐμψύχων, προσελθὼν Ἀσχάνῃ τῷ τὴν ἐπιμέλειαν αὐτῶν ἐμπεπιστευμένῳ εὐνούχῳ, τὰ μὲν παρὰ τοῦ βασιλέως αὐτοῖς κομιζόμενα παρεκάλεσεν αὐτὸν ἀναλίσκειν λαμβάνοντα, παρέχειν δὲ αὐτοῖς ὄσπρια καὶ φοίνικας εἰς διατροφὴν, καὶ εἴ τι τῶν ἀψύχων ἕτερον βούλοιτο· πρὸς γὰρ τὴν τοιαύτην δίαιταν αὐτοὺς κεκινῆσθαι, τῆς δ' ἑτέρας περιφρονεῖν. Ὁ δὲ εἶναι μὲν ἕτοιμος ὑπηρετεῖν ἔλεγεν αὐτῶν τῇ προαιρέσει, ὑφορᾶσθαι δὲ μὴ κατάδηλοι τῷ βασιλεῖ γενηθέντες, ἐκ τῆς τῶν σωμάτων ἰσχνότητος καὶ τῆς τροπῆς τῶν χαρακτήρων (συμμεταβάλλειν γὰρ αὐτοῖς ἀνάγκη τὰ σώματα καὶ τὰς χρόας ἅμα τῇ διαίτῃ) καὶ μάλιστα τῶν ἄλλων παίδων εὐπαθούντων ἐλεγχθέντες, αἴτιοι κινδύνου καὶ τιμωρίας αὐτῷ καταστῶσιν. Ἔχοντα τοίνυν πρὸς τοῦτο εὐλαβῶς τὸν Ἀσχάνην πείθουσιν ἐπὶ δέκα ἡμέρας ταῦτα παρασχεῖν αὐτοῖς πείρας ἕνεκα, καὶ μὴ μεταβαλλούσης μὲν αὐτοῖς τῆς τῶν σωμάτων ἕξεως, ἐπιμένειν τοῖς αὐτοῖς, ὡς οὐδὲν ἔτι εἰς αὐτὴν βλαβησομένων· εἰ δὲ μειωθέντας ἴδοι καὶ κάκιον τῶν ἄλλων ἔχοντας, ἐπὶ τὴν προτέραν αὐτοὺς δίαιταν ἄγειν. Ὡς δὲ οὐ μόνον οὐδὲν αὐτοὺς ἐλύπει τὴν τροφὴν ἐκείνην προσφερομένους, ἀλλὰ καὶ τῶν ἄλλων εὐτραφέστεροι τὰ σώματα καὶ μείζονες ἐγίνοντο, ὡς τοὺς μὲν ἐνδεεστέρους ὑπολαμβάνειν, οἷς τὴν βασιλικὴν συνέβαινεν εἶναι χορηγίαν, τοὺς δὲ μετὰ τοῦ Δανιήλου δοκεῖν ἐν ἀφθονίᾳ καὶ τρυφῇ τῇ πάσῃ βιοῦν, ἔκτοτε μετὰ ἀδείας ὁ Ἀσχάνης ὅσα μὲν ἀπὸ τοῦ δείπνου καθ' ἡμέραν συνήθως ἔπεμπε τοῖς παισὶν ὁ βασι-

CAP. X. (XI.)

Ceterum Nabuchodonosorus Babyloniorum rex, quum sumpsisset nobilissimos Judæorum pueros et regis eorum Sedeciæ cognatos, qui et corporum vigore et oris pulcritudine erant conspicui, pædagogis tradidit, ut illis cultum adhiberent, quibusdam illorum exsectis, (id quod solitus est facere aliarum quoque gentium devictarum pubi,) victum quidem illis de sua mensa præbebat, curabatque ut regionis istius institutа et literas Chaldæorum docerentur. Isti autem satis magnam consequuti erant sapientiam, ad quam eos exerceri jubebat, inque his erant et quattuor de genere Sedeciæ, forma præstantes bonoque ingenio præditi. Quorum unus quidem Danielus, alter vero Ananias, atque alius Misaelus, quartus vero Azarias vocabatur. His Babylonius mutavit nomina, aliisque nominibus uti jussit : et Danielum quidem Baltasarum appellavit, Ananiam vero Sedrachen, et Misaelum Misachen, Azariam vero Abdenago. Istos ob egregiam indolem et diligentiam literarum studiis adhibitam, et quod in sapientia valde profecerant, in honore habebat rex et amore prosequebatur.

2 Quum autem visum fuisset Danielo, ut ipse cum cognatis suis durius victitaret, et a mensæ regiæ eduliis abstineret, atque adeo ab universis vitali spiritu animatis, Aschanen adiit spadonem cui cura ipsorum demandata erat, et ab eo contendit ut quæ ipsis a rege afferrentur sibi caperet et absumeret, ipsis vero legumina et dactylos in alimoniam daret, et si quid aliud præterea vellet inanime : ad hujusmodi enim victum se magno desiderio ferri, aliumque omnem vilipendere. Ille vero sese paratum esse dicebat voluntati eorum obsequi, sed nonnihil vereri ne, si rex hoc resciverit ex gracilitate corporum orisque lineamentis subinde mutatis (necesse enim esse corporis habitum coloremque illis ex victu immutari) fuerintque ex pueris aliis bene pastis *hujusce rei* manifesti, sibi auctores fiant periculi suppliciique. Aschani itaque ad hoc faciendum timido persuadent ut decem diebus ad rem experiendam ita vescerentur : quodsi corpora ipsorum nihilo deterius se iude habuerint, eodem deinceps cibo uti *licere*, ut qui ex eo nihil detrimenti capturi sint; sin autem eos macie attenuatos viderit aliisque pejus se habentes, ad priorem victus consuetudinem redire faceret. Quum autem ex cibo istiusmodi suppeditato non modo nihil eis decesserit, sed corpore magis quam alii bene curato esse et pinguiores apparuerint, adeo ut illos quidem, quibus regia munificentia vesci contigit, ex pauperioribus esse quis suspicaretur, Danielus vero et qui cum eo erant, viderentur in magna rerum abundantia summaque luxuria vivere, exinde Aschanes, sine metu, quæ pueris quotidie de mensa sua rex mittere

λεὺς, αὐτὸς ἐλάμβανεν, ἐχορήγει δὲ αὐτοῖς τὰ προειρημένα. Οἱ δ' ὡς καὶ τῶν ψυχῶν αὐτοῖς διὰ τοῦτο καθαρῶν καὶ πρὸς τὴν παιδείαν ἀκραιφνῶν γεγενημένων, καὶ τῶν σωμάτων πρὸς φιλοπονίαν εὐτονωτέρων, (οὔτε γὰρ ἐκείνας ἐφείλκοντο καὶ βαρείας εἶχον ὑπὸ τροφῆς ποικίλης, οὔτε ταῦτα μαλακώτερα διὰ τὴν αὐτὴν αἰτίαν,) πᾶσαν ἑτοίμως ἐξέμαθον παιδείαν, ἥτις ἦν παρὰ τοῖς Ἑβραίοις καὶ τοῖς Χαλδαίοις. Μάλιστα δὲ Δανιῆλος, ἱκανῶς ἤδη σοφίας ἐμπείρως ἔχων, περὶ κρίσεις ὀνείρων ἐσπουδάκει· καὶ τὸ θεῖον αὐτῷ φανερὸν ἐγίνετο.

γ'. Μετὰ δὲ ἔτος δεύτερον τῆς Αἰγύπτου πορθήσεως ὁ βασιλεὺς Ναβουχοδονόσορος, ὄναρ ἰδὼν θαυμαστὸν, οὗ τὴν ἔκβασιν αὐτὸς αὐτῷ κατὰ τοὺς ὕπνους ἐδήλωσεν ὁ Θεὸς, τούτου μὲν ἐπιλανθάνεται διαναστὰς ἐκ τῆς κοίτης, μεταπεμψάμενος δὲ τοὺς Χαλδαίους καὶ τοὺς μάγους καὶ τοὺς μάντεις, ὡς εἴη τι ὄναρ ἑορακὼς ἔλεγεν αὐτοῖς, καὶ τὸ συμβεβηκὸς περὶ τὴν λήθην ὧν εἶδε μηνύων ἐκέλευεν αὐτοὺς λέγειν ὅ τι τε ἦν τὸ ὄναρ καὶ τί τὸ σημαινόμενον. Τῶν δὲ ἀδύνατον εἶναι λεγόντων ἀνθρώποις τοῦθ' εὑρεῖν, εἰ δ' αὐτοῖς ἔκθοιτο τὴν ὄψιν τοῦ ἐνυπνίου, φράσειν τὸ σημαινόμενον ὑποσχομένων, θάνατον ἠπείλησεν αὐτοῖς, εἰ μὴ τὸ ὄναρ εἴποιεν. Προσέταξε δὲ πάντας αὐτοὺς ἀναιρεθῆναι, ποιῆσαι τὸ κελευσθὲν ὁμολογήσαντας μὴ δύνασθαι. Δανιῆλος δ' ἀκούσας ὅτι προσέταξε πάντας τοὺς σοφοὺς ὁ βασιλεὺς ἀποθανεῖν, ἐν τούτοις δὲ καὶ αὐτὸν μετὰ τῶν συγγενῶν κινδυνεύειν, πρόσεισιν Ἀριόχῳ τῷ τὴν ἐπὶ τῶν σωματοφυλάκων τοῦ βασιλέως ἀρχὴν πεπιστευμένῳ. Καὶ δεηθεὶς παρ' αὐτοῦ τὴν αἰτίαν μαθεῖν, δι' ἣν ὁ βασιλεὺς πάντας εἴη προστεταχὼς ἀναιρεθῆναι τοὺς σοφοὺς καὶ Χαλδαίους καὶ μάγους, καὶ μαθὼν τὸ περὶ τοῦ ἐνυπνίου, καὶ ὅτι κελευσθέντες ὑπὸ τοῦ βασιλέως τοῦτ' αὐτῷ δηλοῦν ἐπιλελησμένῳ, φήσαντες μὴ δύνασθαι, παρώξυναν αὐτὸν, παρεκάλεσε τὸν Ἀρίοχον εἰσελθόντα πρὸς τὸν βασιλέα μίαν αἰτήσασθαι νύκτα τοῖς μάγοις, καὶ ταύτῃ τὴν ἀναίρεσιν ἐπισχεῖν· ἐλπίζειν γὰρ διὰ ταύτης δεηθεὶς τοῦ Θεοῦ γνώσεσθαι τὸ ἐνύπνιον. Ὁ δὲ Ἀρίοχος ταῦτ' ἀπήγγειλε τῷ βασιλεῖ Δανιῆλον ἀξιοῦν. Καὶ ὁ μὲν κελεύει τὴν ἀναίρεσιν τῶν μάγων ἐπισχεῖν, ἕως γνῷ τὴν ὑπόσχεσιν τὴν Δανιήλου. Ὁ δὲ παῖς μετὰ τῶν συγγενῶν ὑποχωρήσας πρὸς ἑαυτὸν δι' ὅλης ἱκετεύει τὸν Θεὸν τῆς νυκτὸς σῶσαι καὶ τοὺς μάγους καὶ τοὺς Χαλδαίους, οἷς δεῖ καὶ αὐτοὺς συναπολέσθαι, ῥύσασθαι δὲ τῆς τοῦ βασιλέως ὀργῆς, ἐμφανίσαντα τὴν ὄψιν αὐτῷ καὶ ποιήσαντα δήλην ἧς ὁ βασιλεὺς ἐπελέλητο διὰ τῆς παρελθούσης νυκτὸς ἰδὼν κατὰ τοὺς ὕπνους. Ὁ δὲ Θεὸς ἅμα τούς τε κινδυνεύοντας ἐλεήσας καὶ τὸν Δανιῆλον τῆς σοφίας ἀγασάμενος τό τε ὄναρ αὐτῷ γνώριμον ἐποίησε καὶ τὴν κρίσιν, ὡς ἂν καὶ τὸ σημαινόμενον ὁ βασιλεὺς παρ' αὐτοῦ μάθοι. Δανιῆλος δὲ γνοὺς παρὰ τοῦ Θεοῦ ταῦτα περιχαρὴς ἀνίσταται, καὶ τοῖς ἀδελφοῖς δηλώσας τοὺς μὲν ἀπεγνωκότας ἤδη τοῦ ζῆν καὶ πρὸς τὸ τεθνάναι τὴν διάνοιαν ἔχοντας εἰς εὐθυμίαν καὶ τὰς περὶ τοῦ βίου διήγειρεν ἐλπίδας, εὐχαριστήσας δὲ τῷ

consuevit, sibi habebat, et jam ante memorata illis apponebat. Illi vero, quasi propterea mentes eis essent puræ et defæcatæ, adeo ut optime possent disciplinis imbui, et corpora firmiora evaderent ad labores perferendos, (neque enim illas ægre trahebant et prægravabant ciborum varietate, neque ista eadem ex causa molliora reddebant,) facile instituti erant in omni Hebræorum et Chaldæorum doctrina. Danielus vero, præ ceteris satis jam ad sapientiam peritus, somniis interpretandis animum adjecit, numenque ei manifesto aderat.

3. Biennio autem post Ægypti populationem rex Nabuchodonosorus, quum somnium mirabile vidisset, cujus etiam eventum Deus ei per quietem declaraverat, ejus quidem mox ut e stratis surrexit obliviscitur. Accersitis igitur Chaldæis et magis atque divinis, narravit ipsis se forte somnium vidisse, illisque indicans quod ei acciderat visorum oblivione capi, jussit illos ut ipsi dicerent quale esset somnium et quid sibi velit. Quum autem illi responderent, ab hominibus fieri non posse ut hoc reperiretur, verumtamen, somnii visionem si ipsis eloqueretur, interpretationem dare pollicerentur, mortem illis comminatus est, nisi somnium sibi expedirent. Illosque omnes ad necem trahi imperavit, qui confessi erant se quod jussum erat facere non posse. Tum Danielus, audito quod rex omnes sapientes occidi jusserit, et inter hos se quoque cum cognatis suis esse in periculo, adiit Ariochum, cui datum erat imperium in regis satellites. Quumque ab eo supplex quæsivisset quam ob rem rex in mandatis dederit ut sapientes omnes morte mulctarentur et Chaldæi et magi, atque intellexisset somnii negotium, et quod jussi a rege id quod ei exciderat in mentem revocare, dicendoque se non posse, regem ad iram commovissent, obsecravit Ariochum ut ad regem ingressus unam noctem peteret pro magis et hac interfectionem procrastinaret : spem enim sibi esse, si eâ Deum precatus fuerit, fore ut somnium exploratum haberet. Tum Ariochus regi nunciatum ivit ista postulare Danielum. Atque ille cædem magorum differri jussit, tantisper dum certior fieret de promisso Danieli. Ceterum puer, ubi se cum cognatis domum receperat, supplex Deum per totam noctem obsecrat ut servaret et magos et Chaldæos, cum quibus et ipsis pereundum esset, et abira regis eriperet, visionem sibi sistendo eamque patefaciendo, quæ nocte præterita regi per quietem oblata ex memoria elapsa erat. Deus autem, et periclitantes miseratus et Danieli sapientia delectatus, somnium ei notum fecit simulque ejus interpretationem, ut quid significaret ex ipso rex intelligeret. Jamque Danielus quum ista a Deo accepisset, gaudio perfusus surgit, reque cum fratribus communicata, illos quidem, postquam de vita jam desperarant et de morte cogitarant, animi terrore libe-

Θεῷ μετ' αὐτῶν ἔλεον λαβόντι τῆς ἡλικίας αὐτῶν, γενομένης ἡμέρας παραγίνεται πρὸς Ἀρίοχον, καὶ ἄγειν αὐτὸν ἠξίου πρὸς τὸν βασιλέα· δηλῶσαι γὰρ αὐτῷ βούλεσθαι τὸ ἐνύπνιον, ὃ φησὶν ἰδεῖν πρὸ τῆς παρελθούσης νυκτός.

δ'. Εἰσελθὼν δὲ πρὸς τὸν βασιλέα Δανιῆλος παρητεῖτο πρῶτον μὴ σοφώτερον αὐτὸν δόξαι τῶν ἄλλων Χαλδαίων καὶ μάγων, ὅτι μηδενὸς ἐκείνων τὸ ὄναρ εὑρεῖν δυνηθέντος αὐτὸς αὐτῷ μέλλοι λέγειν· οὐ γὰρ κατ' ἐμπειρίαν οὐδ' ὅτι τὴν διάνοιαν αὐτῶν μᾶλλον ἐκπεπόνηται, τοῦτο γίνεσθαι· « ἀλλ' ἐλεήσας ἡμᾶς ὁ « Θεὸς κινδυνεύοντας ἀποθανεῖν, δεηθέντι περί τε τῆς « ἐμῆς ψυχῆς καὶ τῶν ὁμοεθνῶν καὶ τὸ ὄναρ καὶ « τὴν κρίσιν αὐτοῦ φανερὰν ἐποίησεν. Οὐχ ἧττον « γὰρ τῆς ἐφ' ἡμῖν αὐτοῖς καταδικασθεῖσι ὑπὸ σοῦ μὴ « ζῆν λύπης περὶ τῆς σῆς αὐτοῦ δόξης ἐφρόντιζον, « ἀδίκως οὕτως ἄνδρας καὶ ταῦτα καλούς τε κἀγαθοὺς « ἀποθανεῖν κελεύσαντος, οἷς οὐδὲν μὲν ἀνθρωπίνης « σοφίας ἐχόμενον προσέταξας, ὃ δ' ἦν ἔργον Θεοῦ, « τοῦτ' ἀπήτεις παρ' αὐτῶν. Σοὶ τοίνυν φροντίζοντι « περὶ τοῦ τίς ἄρξει τοῦ κόσμου παντὸς μετὰ σὲ κατακοιμηθέντι βουλόμενος δηλῶσαι πάντας ὁ Θεὸς τοὺς « βασιλεύσοντας, ὄναρ ἔδειξε τοιοῦτον. Ἔδοξας ὁρᾶν « ἀνδριάντα μέγαν ἑστῶτα, οὗ τὴν μὲν κεφαλὴν συνέ« βαινεν εἶναι χρυσῆν, τοὺς δὲ ὤμους καὶ τοὺς βραχίο« νας ἀργυροῦς, τὴν δὲ γαστέρα καὶ τοὺς μηροὺς χαλ« κοῦς, κνήμας δὲ καὶ πόδας σιδηροῦς. Ἔπειτα « λίθον εἶδες ἐξ ὄρους ἀπορραγέντα ἐμπεσεῖν τῷ ἀν« δριάντι, καὶ τοῦτον καταβαλόντα συντρῖψαι καὶ μη« δὲν αὐτοῦ μέρος ὁλόκληρον ἀφεῖναι, τὸν δὲ χρυσὸν « καὶ τὸν ἄργυρον καὶ τὸν σίδηρον καὶ τὸν χαλκὸν « ἀλεύρου λεπτότερον γενέσθαι, καὶ τὸν μὲν ἀνέμου « πνεύσαντος σφοδροτέρου ὑπὸ τῆς βίας ἁρπαγέντα « διασπαρῆναι, τὸν δὲ λίθον αὐξῆσαι τοσοῦτον ὡς « ἅπασαν ὑπ' αὐτοῦ τὴν γῆν δοκεῖν πεπληρῶσθαι. Τὸ « μὲν οὖν ὄναρ, ὅπερ εἶδες, τοῦτ' ἔστιν· ἡ δὲ κρίσις « αὐτοῦ τοῦτον ἔχει τὸν τρόπον. Ἡ μὲν χρυσῆ κεφα« λή σέ τε ἐδήλου καὶ τοὺς πρὸ σοῦ βασιλεῖς Βαβυλώ« νίους ὄντας, αἱ δὲ δύο χεῖρες καὶ οἱ ὦμοι σημαίνουσιν « ὑπὸ δύο καταλυθήσεσθαι βασιλέων τὴν ἡγεμονίαν « ὑμῶν. Τὴν δὲ ἐκείνων ἕτερός τις ἀπὸ δύσεως καθαι« ρήσει χαλκὸν ἡμφιεσμένος, καὶ ταύτην ἄλλη παύσει « τὴν ἰσχὺν ὁμοία σιδήρῳ, καὶ κρατήσει δὲ εἰς ἅπασαν « διὰ τὴν τοῦ σιδήρου φύσιν· εἶναι γὰρ αὐτὴν στερρο« τέραν τῆς τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου καὶ τοῦ χαλ« κοῦ. » Ἐδήλωσε δὲ καὶ περὶ τοῦ λίθου Δανιῆλος τῷ βασιλεῖ· ἀλλ' ἐμοὶ μὲν οὐκ ἔδοξε τοῦτο ἱστορεῖν, τὰ παρελθόντα καὶ τὰ γεγενημένα συγγράφειν, οὐ τὰ μέλλοντα ὀφείλοντι. Εἰ δέ τις τῆς ἀληθείας γλιχόμενος οὐ περίσταται πολυπραγμονεῖν, ὡς καὶ περὶ τῶν ἀδήλων εἰ γενήσεται βούλεσθαι μαθεῖν, σπουδασάτω τὸ βιβλίον ἀναγνῶναι τὸ Δανιήλου· εὑρήσει δὲ τοῦτο ἐν τοῖς ἱεροῖς γράμμασιν.

ε'. Ὁ δὲ βασιλεὺς Ναβουχοδονόσορος ἀκηκοὼς ταῦ-

ravit et in spem vitæ erexit. Cumque illis actis Deo gratis, illorum ætatis miserto, prima luce Ariochum adit, et ab eo petebat ut se ad regem duceret : velle enim ipsi effari id quod in somniis se vidisse dicat proxima ante hanc nocte.

4. Danielus autem ad regem ingressus, primum illud deprecatus est, ne ipsum ceteris Chaldæis et magis sapientia præstare existimaret, quod, quum nemo illorum somnium invenire potuisset, ipse *id* ei indicaturus esset : non enim *sua* peritia, vel quod mentem quam aliis magis exercuisset, id fieri : « sed Deus, nostrûm misertus qui in mortis « periculum adducti eramus, oranti mihi pro mea popula« riumque vita et somnium et ejus interpretationem declara« vit. Non enim tam me sollicitum habuit ea tristitia, quod « nos ipsi a te fuerimus morti adjudicati, quam metus de tuæ « existimationis gloria, ut qui inique viros bonos et hone« stos necari jusseris, quibus nihil, quod humana sapientia « efficere potuit, imperasti, sed id quod facere Dei solius « est ab illis exegisti. Tibi itaque cogitanti, qui homo « post te potiturus esset totius orbis imperio, in lecto cubi« culari volens Deus omnes regnaturos ostendere, ejusmo« di immisit somnium. Spectare tibi videbaris ingentem « statuam stantem cujus caput forte aureum erat, humeri « et brachia argentea, venter et femora ex ære, crura ac « pedes ferrei. Deinde saxum ingens vidisti a monte avul« sum, quod in statuam incidit, eamque dejectam adeo « contrivit, ut nulla ejus pars integra fuerit relicta, sed « aurum et argentum et ferrum et æs in pulverem abierint « farina minutiorem; atque illum, venti vehementioris flatu « abreptum, longe lateque dispersum esse; saxum vero « adeo crevisse ut tota terra ab eo occupata videretur. Et « somnium quidem quod vidisti hujusmodi est : illud vero « hoc modo interpretandum. Caput quidem aureum te « significat, et alios ante te reges Babylonios; duæ vero « manus et humeri indicant imperium vestrum a duo« bus regibus eversum iri : illorum autem imperium alius « quidam ab occidente destruet ære obductus, atque hujus « vires alia vis debellabit ferro similis, easque in univer« sum imperio premet propter ferri naturam, quod ea sit « auro et argento et ære validior. » Quin et Danielus regi ostendit omnia de saxo : sed mihi ista narrare non libuit, cui id negotii datum est ut præterita non futura literis consignarem. Si quis autem veritatis avidus nolit ab iis paulo curiosius inquirendis desistere, ut qui de incertis, an futura sint, scire desideret, det operam ut Danieli librum perlegat, quem in sacrorum librorum codice inveniet.

5. Rex autem Nabuchodonosorus his auditis suoque

τα καὶ ἐπιγνοὺς τὸ ὄναρ ἐξεπλάγη τὴν τοῦ Δανιήλου φύσιν καὶ πεσὼν ἐπὶ πρόσωπον ᾧ τρόπῳ τὸν θεὸν προσκυνοῦσι, τούτῳ τὸν Δανιῆλον ἠσπάζετο, καὶ θύσειν δὲ ὡς θεῷ προσέταξεν. Οὐ μὴν ἀλλὰ καὶ τὴν προσηγορίαν αὐτῷ τοῦ ἰδίου θεοῦ θέμενος ἁπάσης ἐπίτροπον τῆς βασιλείας ἐποίησε καὶ τοὺς συγγενεῖς αὐτοῦ, οὓς ὑπὸ φθόνου καὶ βασκανίας εἰς κίνδυνον ἐμπεσεῖν συνέβη τῷ βασιλεῖ προσκρούσαντας ἐξ αἰτίας τοιαύτης. Ὁ βασιλεὺς κατασκευάσας χρύσεον ἀνδριάντα, πηχῶν τὸ μὲν ὕψος ἑξήκοντα, τὸ πλάτος δὲ ἓξ, στήσας αὐτὸν ἐν τῷ μεγάλῳ τῆς Βαβυλῶνος πεδίῳ καὶ μέλλων καθιεροῦν αὐτὸν συνεκάλεσεν ἐξ ἁπάσης ἧς ἦρχε γῆς τοὺς πρώτους, πρῶτον αὐτοῖς προστάξας, ὅταν σημαινούσης ἀκούσωσι τῆς σάλπιγγος, τότε πεσόντας προσκυνεῖν τὸν ἀνδριάντα· τοὺς δὲ μὴ ποιήσαντας ἠπείλησεν εἰς τὴν τοῦ πυρὸς ἐμβληθήσεσθαι κάμινον. Πάντων οὖν μετὰ τὸ σημαινούσης ἐπακοῦσαι τῆς σάλπιγγος προσκυνούντων τὸν ἀνδριάντα, τοὺς Δανιήλου συγγενεῖς μὴ ποιῆσαι τοῦτό φασι, μὴ βουληθέντας παραβῆναι τοὺς πατρίους νόμους. Καὶ οἱ μὲν ἐλεγχθέντες εὐθέως εἰς τὸ πῦρ ἐμβληθέντες θείᾳ σώζονται προνοίᾳ καὶ παραδόξως διαφεύγουσι τὸν θάνατον· οὐ γὰρ ἥψατο τὸ πῦρ αὐτῶν, ἀλλὰ κατὰ λογισμὸν, οἶμαι, τοῦ μηδὲν ἀδικήσαντας εἰς αὐτὸ βληθῆναι, οὐχ ἥψατο, καίειν δ' ἀσθενὲς ἦν ἔχον ἐν ἑαυτῷ τοὺς παῖδας, τοῦ Θεοῦ κρείττονα τὰ σώματα αὐτῶν, ὥστε μὴ δαπανηθῆναι ὑπὸ τοῦ πυρὸς, κατασκευάσαντος. Τοῦτο συνέστησεν αὐτοὺς τῷ βασιλεῖ ὡς δικαίους καὶ θεοφιλεῖς· διὸ καὶ πάσης ἀξιούμενοι παρ' αὐτοῦ τῆς τιμῆς διετέλουν.

ς'. Ὀλίγῳ δὲ ὕστερον χρόνῳ πάλιν ὁρᾷ κατὰ τὸν ὕπνους ὁ βασιλεὺς ὄψιν ἑτέραν, ὡς ἐκπεσὼν τῆς ἀρχῆς μετὰ θηρίων ἕξει τὴν δίαιταν καὶ διαζήσας οὕτως ἐπὶ τῆς ἐρημίας ἔτεσιν ἑπτὰ αὖθις τὴν ἀρχὴν ἀπολήψεται. Τοῦτο θεασάμενος τὸ ὄναρ πάλιν τοὺς μάγους συγκαλέσας ἀνέκρινεν αὐτοὺς περὶ αὐτοῦ καὶ τί σημαίνοι λέγειν ἠξίου. Τῶν μὲν οὖν ἄλλων οὐδεὶς ἐδυνήθη τὴν τοῦ ἐνυπνίου διάνοιαν εὑρεῖν οὐδ' ἐμφανίσαι τῷ βασιλεῖ, Δανιῆλος δὲ μόνος καὶ τοῦτ' ἔκρινε καὶ καθὼς οὗτος αὐτῷ προεῖπεν ἀπέβη. Διατρίψας γὰρ ἐπὶ τῆς ἐρημίας τὸν προειρημένον χρόνον, οὐδενὸς τολμήσαντος ἐπιθέσθαι τοῖς πράγμασιν παρὰ τὴν ἑπταετίαν, δεηθεὶς τοῦ Θεοῦ τὴν βασιλείαν ἀπολαβεῖν, πάλιν εἰς αὐτὴν ἐπανέρχεται. Ἐγκαλέσῃ δέ μοι μηδεὶς οὕτως ἕκαστα τούτων ἀπαγγέλλοντι διὰ τῆς γραφῆς, ὡς ἐν τοῖς ἀρχαίοις εὑρίσκω βιβλίοις· καὶ γὰρ εὐθὺς ἐν ἀρχῇ τῆς ἱστορίας πρὸς τοὺς ἐπιζητήσοντά τι τῶν πραγμάτων ἢ μεμψομένους ἠσφαλισάμην, μόνον τε μεταφράζειντὰς Ἑβραίων βίβλους εἰπὼν εἰς τὴν Ἑλλάδα γλῶτταν καὶ ταῦτα δηλώσειν, μήτε προστιθείς τι τοῖς πράγμασιν αὐτὸς ἴδιον μήτ' ἀφαιρεῖν ὑπεσχημένος.

somnio agnito Danieli indolis admiratione perculsus est, et in faciem procidens, haud aliter quam Deum solent adorare, Danielum veneratus est, eique ut Deo sacrificari jussit. Nec hoc contentus, imposito ei dei sui nomine, universæ ditionis suæ imperio eum præfecit, cognatosque ejus, quos ex invidia et livore in periculum incidisse contigit, ut qui regem hujusmodi de causa offenderint. Rex, facto aureo colosso altitudine cubitorum sexaginta, latitudine sex, quum eum in magna planitie Babylonis erexisset, ipsumque *more solenni* dedicaturus esset, principes ex omni sua ditione convocavit, eisque in primis mandavit ut quandocunque tubæ sonitum audiverint, tunc procumberent et colossum venerarentur : iis vero qui *ita* non fecerint minatus est se illos conjecturum esse in fornacem igne ardentem. Quum igitur omnes, simul ac audiverunt tubæ vocem, colossum venerarentur, Danieli cognatos hoc itidem non fecisse dicunt, nolentes patria instituta violare. Atque illi criminis manifesti et statim in ignem conjecti divina servantur providentia, et præter omnium opinionem ex mortis periculo evadunt : ignis enim eos non attigit, sed, quasi sensisset viros *sceleris* puros in flammas suas præcipitatos esse, illos non afflavit, vique ad urendum debili esse videbatur, quam diu juvenes in eo manerent, Deo illorum corpora ita muniente ut ab igne nihil paterentur. Quæ res illis, ut viris probis Deoque caris, regis gratiam conciliavit, adeo ut postea semper in maximo apud eum honore haberentur.

6. Non multo autem post in somnis rex aliam videt visionem, quod imperio excidens inter bestias versabitur, et post exactos in solitudine septem annos denuo regnum recuperabit. Hac visione ipsi in somnio oblata, quum magos rursus convocasset, illos ea de re percontabatur, et quid significaret sibi dicere jubebat. Et aliorum quidem nemo potuit somnii sententiam invenire, regique explicare, solus vero Danielus ista exploravit, atque ita evenerunt prout ipse ei prædixit. Quum enim in solitudine tempus jam ante memoratum exegisset, nemine per septennium auso rerum gubernaculo sese admovere, Deum precatus ut regnum recipiat, rursus ei restituitur. Nemo autem mihi vitio vertat, quod horum singula ita ut in antiquis libris ea reperio in scriptis meis referam : nam statim ab initio hujus historiæ contra eos qui in rebus *narratis* desiderabunt quidpiam, vel expostulabunt, a me præcautum est, asseverando quod Hebræorum solum libros Græce reddam, pollicendoque futurum ut in rebus istis exponendis nihil illis de meo addam vel detraham.

ΚΕΦ. ΙΑ'.

Ὁ δὲ βασιλεὺς Ναβουχοδονόσορος, ἔτη τρία καὶ τεσσαράκοντα βασιλεύσας τελευτᾷ τὸν βίον, ἀνὴρ δρα-

CAP. XI.

Rex autem Nabuchodonosorus, quum regnasset annos quadraginta tres, vitam finivit, vir ad res agendas acer,

στήριος καὶ τῶν πρὸ αὐτοῦ βασιλέων εὐτυχέστερος γενόμενος. Μέμνηται δ' αὐτοῦ τῶν πράξεων καὶ Βηρωσσὸς ἐν τῇ τρίτῃ τῶν Χαλδαϊκῶν ἱστοριῶν, λέγων οὕτως. « Ἀκούσας δ' ὁ πατὴρ αὐτοῦ Ναβοπαλάσσαρος ὅτι ὁ τεταγμένος σατράπης ἔν τε Αἰγύπτῳ καὶ τοῖς περὶ Συρίαν τὴν κοίλην καὶ τὴν Φοινίκην τόποις ἀποστάτης αὐτοῦ γέγονεν, οὐ δυνάμενος αὐτὸς ἔτι κακοπαθεῖν, συστήσας τῷ υἱῷ Ναβουχοδονοσόρῳ ὄντι ἐν ἡλικίᾳ μέρη τινὰ τῆς δυνάμεως, ἐξέπεμψεν ἐπ' αὐτόν. Συμμίξας δὲ Ναβουχοδονόσορος τῷ ἀποστάτῃ καὶ παραταξάμενος αὐτοῦ τε ἐκράτησε καὶ τὴν χώραν ἐκ ταύτης τῆς ἀρχῆς ὑπὸ τὴν αὐτοῦ βασιλείαν ἐποιήσατο. Τῷ δὲ πατρὶ αὐτοῦ Ναβοπαλασσάρῳ συνέβη κατ' αὐτὸν τὸν καιρὸν ἀρρωστήσαντι ἐν τῇ Βαβυλωνίων πόλει μεταλλάξαι τὸν βίον, ἔτη βασιλεύσαντι εἴκοσι καὶ ἕν. Αἰσθόμενος δὲ μετ' οὐ πολὺν χρόνον τὴν τοῦ πατρὸς τελευτὴν Ναβουχοδονόσορος καὶ καταστήσας τὰ κατὰ τὴν Αἴγυπτον πράγματα καὶ τὴν λοιπὴν χώραν, καὶ τοὺς αἰχμαλώτους Ἰουδαίων τε καὶ Φοινίκων καὶ Σύρων καὶ τῶν κατ' Αἴγυπτον ἐθνῶν συντάξας τισὶ τῶν φίλων μετὰ τῆς βαρυτάτης δυνάμεως καὶ τῆς λοιπῆς ὠφελείας ἀνακομίζειν εἰς τὴν Βαβυλωνίαν, αὐτὸς ὁρμήσας ὀλιγοστὸς διὰ τῆς ἐρήμου παραγίνεται εἰς Βαβυλῶνα. Παραλαβὼν δὲ τὰ πράγματα διοικούμενα ὑπὸ τῶν Χαλδαίων καὶ διατηρουμένην τὴν βασιλείαν ὑπὸ τοῦ βελτίστου αὐτῶν, κυριεύσας ὁλοκλήρου τῆς πατρικῆς ἀρχῆς, τοῖς μὲν αἰχμαλώτοις παραγενομένοις συνέταξεν ἀποικίας ἐν τοῖς ἐπιτηδειοτάτοις τῆς Βαβυλωνίας τόποις ἀποδεῖξαι, αὐτὸς δ' ἀπὸ τῶν ἐκ τοῦ πολέμου λαφύρων τό τε τοῦ Βήλου ἱερὸν καὶ τὰ λοιπὰ κοσμήσας φιλοτίμως, τήν τε ὑπάρχουσαν ἐξ ἀρχῆς πόλιν ἀνακαινίσας καὶ ἑτέραν καταχαρισάμενος πρὸς τὸ μηκέτι δύνασθαι τοὺς πολιορκοῦντας τὸν ποταμὸν ἀναστρέφοντας ἐπὶ τὴν πόλιν κατασκευάζειν, ὑπερβάλετο τρεῖς μὲν τῆς ἔνδον πόλεως περιβόλους, τρεῖς δὲ τῆς ἔξω, τοῦτο δὲ τοὺς μὲν ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου, τοὺς δὲ ἐξ αὐτῆς τῆς πλίνθου. Καὶ τείχισας ἀξιολόγως τὴν πόλιν καὶ τοὺς πυλῶνας κοσμήσας ἱεροπρεπῶς προσκατεσκεύασε τοῖς πατρικοῖς βασιλείοις ἕτερα βασίλεια ἐχόμενα αὐτῶν· ὧν τὸ μὲν ἀνάστημα καὶ τὴν λοιπὴν πολυτέλειαν περισσὸν ἴσως ἂν εἴη λέγειν, πλὴν ὡς ὄντα μεγάλα καὶ ὑπερήφανα συνετελέσθη ἡμέραις πεντεκαίδεκα. Ἐν δὲ τοῖς βασιλείοις τούτοις ἀναλήμματα λίθινα ἀνοικοδομήσας καὶ τὴν ὄψιν ἀποδοὺς ὁμοιοτάτην τοῖς ὄρεσι καταφυτεύσας δένδρεσι παντοδαποῖς, ἐξειργάσατο, καὶ κατεσκεύασε τὸν καλούμενον κρεμαστὸν παράδεισον, διὰ τὸ τὴν γυναῖκα αὐτοῦ ἐπιθυμεῖν τῆς οἰκείας διαθέσεως, ὡς τεθραμμένην ἐν τοῖς κατὰ Μηδίαν τόποις. » Καὶ Μεγασθένης δὲ ἐν τῇ τετάρτῃ τῶν Ἰνδικῶν μνημονεύει αὐτῶν, δι' ἧς ἀποφαίνειν πειρᾶται τοῦτον τὸν βασιλέα τῇ ἀνδρείᾳ καὶ τῷ μεγέθει τῶν πράξεων ὑπερβεβηκότα τὸν Ἡρακλέα· καταστρέψα-

et regibus qui eum antecesserunt fortunatior. Rerum autem ab eo gestarum meminit etiam Berosus in tertio Historiæ Chaldaicæ libro, hisce verbis. « Quumque audisset « pater ejus Nabopalassarus eum, qui in Ægypto et circa « Cœlen Syriam et Phœnicen constitutus fuerat, satrapen « ab eo defecisse, ipse jam ferendis laboribus impar, filio « Nabuchodonosoro adhuc juveni tradidit partem exercitus, « misitque ad illum bello persequendum. Nabuchodonosorus vero congressus cum illo, qui desciverat, acieque conserta, et eum vicit, et regionem ab hoc initio in regni sui « ditionem redegit. At sub id tempus evenit ut Nabopalassarus pater, quum morbum contraxisset, in urbe Babyloniorum diem obiret supremum, postquam regnarat annis « vinginti et uno. Nabuchodonosorus vero, non multo post « patris morte cognita, rebusque in Ægypto et reliqua regione « ordinatis, ut et captivis ex Judæis et Phœnicibus et Syris « et ex Ægypti populis commendatis suorum quibusdam « amicorum, ut *eos* una cum gravis armaturæ militibus et « impedimentis in Babyloniam deportarent, ipse cum pauci « cis itinere per desertum facto Babylonem se conferebat. « Potitus autem rerum quas Chaldæi administraverant, « regnique sibi ab eorum potissimo adservati, totum patris « quod fuerat imperium adeptus, captivis quidem, ubi *eo* « venerant, colonias in Babyloniæ locis maxime opportunis « assignari jussit, ipse vero, postquam de belli manubiis « Beli templum aliaque largiter ornaverat, urbemque quæ « jam erat instauraverat *nova* etiam altera addita, ne possent posthac qui ad urbem venirent obsidendam abacto « flumine eam aggredi, ternos quidem interiori urbi, ternosque pariter exteriori murorum ambitus circumdedit, « partim quidem ex cocto latere et bitumine, partim vero « e latere solo. Quumque urbem bene munivisset et portas magnifice adornasset, paternæ regiæ contiguam aliam « exstruxit : cujus de altitudine reliquoque splendore dicere « mihi forsan supervacaneum esset. Verum ampla quamvis fuerit et superba, diebus tamen quindecim confecta « est et absoluta. In hac regia ex lapide excitavit aggeres « quibus speciem dedit montibus persimilem, easque ita « fabricavit ut omne genus arboribus consitæ fuerint. Feceritque pensilem paradisum, ut vocabatur, quod uxor « ejus, utpote in Mediæ locis educata, ea desiderarit quæ « patriam referrent. » Megasthenes etiam in tertio rerum Indicarum *libro* ipsorum meminit, ubi ostendere conatur quod hic rex fortitudine et rerum gestarum magnitudine longe Herculem superarit : eum enim vastasse dicit ma-

σθαι γὰρ αὐτόν φησι Λιβύης τὴν πολλὴν καὶ Ἰβηρίαν. Καὶ Διοκλῆς δὲ ἐν τῇ δευτέρᾳ τῶν Περσικῶν μνημονεύει τούτου τοῦ βασιλέως, καὶ Φιλόστρατος ἐν ταῖς Ἰνδικαῖς αὐτοῦ καὶ Φοινικικαῖς ἱστορίαις, ὅτι οὗτος ὁ βασιλεὺς ἐπολιόρκησε Τύρον ἔτεσι τρισὶ καὶ δέκα, βασιλεύοντος κατ' ἐκεῖνον τὸν καιρὸν Ἰθωβάλου τῆς Τύρου. Καὶ τὰ μὲν ὑπὸ πάντων ἱστορούμενα περὶ τούτου τοῦ βασιλέως ταῦτα ἦν.

(ΙΒ'.) β'. Μετὰ δὲ τὴν Ναβουχοδονοσόρου τελευτὴν Ἀβιλαμαρώδαχος ὁ παῖς αὐτοῦ τὴν βασιλείαν παραλαμβάνει, ὃς εὐθὺς τὸν τῶν Ἱεροσολύμων βασιλέα Ἰεχωνίαν τῶν δεσμῶν ἀφεὶς, ἐν τοῖς ἀναγκαιοτάτοις τῶν φίλων εἶχε, πολλὰς αὐτῷ δωρεὰς δοὺς καὶ ποιήσας αὐτὸν ἔντιμον ἐπὶ τῶν ἐν τῇ Βαβυλωνίᾳ βασιλέων. Ὁ γὰρ πατὴρ αὐτοῦ τὴν πίστιν οὐκ ἐφύλαξε τῷ Ἰεχωνίᾳ, παραδόντι μετὰ γυναικῶν καὶ τέκνων καὶ τῆς συγγενείας ὅλης ἑκουσίως ἑαυτὸν ὑπὲρ τῆς πατρίδος, ὡς ἂν μὴ κατασκαφείη ληφθεῖσα ὑπὸ τῆς πολιορκίας, καθὼς προσειρήκαμεν. Τελευτήσαντος δὲ Ἀβιλαμαρωδάχου μετὰ ἔτη ὀκτωκαίδεκα τῆς βασιλείας, Νιγλίσαρος ὁ παῖς αὐτοῦ τὴν ἀρχὴν παραλαμβάνει, καὶ κατασχὼν αὐτὴν ἔτη τεσσαράκοντα καταστρέφει τὸν βίον. Μετ' αὐτὸν δὲ εἰς τὸν υἱὸν αὐτοῦ Λαβοσόρδαχον ἀφικνεῖται τῆς βασιλείας ἡ διαδοχὴ, καὶ μῆνας ποιήσασα παρ' αὐτῷ τοὺς πάντας ἐννέα, τελευτήσαντος αὐτοῦ μεταβαίνει πρὸς Βαλτάσαρον τὸν καλούμενον Ναβοάνδηλον παρὰ τοῖς Βαβυλωνίοις. Ἐπὶ τοῦτον στρατεύουσι Κῦρός τε ὁ Περσῶν βασιλεὺς καὶ Δαρεῖος ὁ Μήδων, καὶ πολιορκουμένῳ αὐτῷ ἐν Βαβυλῶνι θαυμάσιόν τι καὶ τεράστιον θέαμα συνέβη. Κατέκειτο δειπνῶν ἐν οἴκῳ μεγάλῳ καὶ πρὸς ἑστιάσεις πεποιημένῳ βασιλικὰς μετὰ τῶν παλλακίδων καὶ τῶν φίλων. Δόξαν δὲ αὐτῷ, κοιμισθῆναι κελεύει ἐκ τοῦ ἰδίου ναοῦ τὰ τοῦ Θεοῦ σκεύη, ἃ συλήσας Ναβουχοδονόσορος ἐκ τῶν Ἱεροσολύμων οὐκ ἐχρῆτο μὲν, εἰς δὲ τὸν αὐτοῦ ναὸν κατέθηκεν. Αὐτὸς δὲ ὑπὸ θράσους προαχθεὶς ὥστε αὐτοῖς χρῆσθαι μεταξὺ πίνων καὶ βλασφημῶν εἰς τὸν Θεὸν, ἐκ τοῦ τείχους δρᾷ χεῖρα προϊοῦσαν καὶ τῷ τοίχῳ τινὰς συλλαβὰς ἐγγράφουσαν. Ταραχθεὶς δ' ὑπὸ τῆς ὄψεως συνεκάλεσε τοὺς μάγους καὶ τοὺς Χαλδαίους, καὶ πᾶν τοῦτο τὸ γένος ὅσον ἦν ἐν τοῖς Βαβυλωνίοις τά τε σημεῖα καὶ τὰ ὀνείρατα κρίνειν δυνάμενον, ὡς ἂν αὐτῷ δηλώσωσι τὰ γεγραμμένα. Τῶν δὲ μάγων οὐδὲν εὑρίσκειν δυναμένων οὐδὲ συνιέναι λεγόντων, ὑπ' ἀγωνίας ὁ βασιλεὺς καὶ πολλῆς τῆς ἐπὶ τῷ παραδόξῳ λύπης κατὰ πᾶσαν ἐκήρυξε τὴν χώραν τῷ τὰ γράμματα καὶ τὴν ὑπ' αὐτῶν δηλουμένην διάνοιαν σαφῆ ποιήσαντι, δώσειν ὑπισχνούμενος στρεπτὸν περιαυχένιον χρύσεον καὶ πορφυρᾶν ἐσθῆτα φορεῖν ὡς οἱ τῶν Χαλδαίων βασιλεῖς καὶ τὸ τρίτον μέρος τῆς ἰδίας ἀρχῆς. Τούτου γενομένου τοῦ κηρύγματος ἔτι μᾶλλον οἱ μάγοι συνδραμόντες καὶ φιλοτιμησάμενοι πρὸς τὴν εὕρεσιν τῶν γραμμάτων, οὐδὲν ἔλαττον ἠπόρησαν. Ἀθυμοῦντα δ' ἐπὶ τούτῳ θεασαμένη τὸν βασιλέα ἡ μάμμη αὐτοῦ παραθαρσύνειν ἤρξατο καὶ λέγειν ὡς ἔστι τις ἐκ

gnam Libyæ partem et Iberiam. Porro Diocles in secundo rerum Persicarum *libro* hujus regis mentionem facit, ut et Philostratus in Indicis suis et Phœnicicis historiis, quod hic rex tredecim annos Tyrum oppugnaverit, quum illo tempore Ithobalus in Tyro regnaret. Atque hæc quidem sunt quæ ab Historicis omnibus de hoc rege memoriæ prodita sunt.

(XII.) 2. Ceterum post mortem Nabuchodonosori, Abilamarodachus ejus filius regnum suscipit, qui quum Hierosolymorum regem Jechoniam statim e vinculis solvisset, eum inter amicos maxime necessarios habebat, multis muneribus donatum, atque præ *ceteris* apud Babylonem regibus honoratum. Nam pater ejus fidem *datam* non servaverat Jechoniæ qui se ei cum uxoribus et liberis omnique cognatione sponte tradiderat, pro patria *urbe*, quam nolebat expugnatam excidi, ut jam ante diximus. Mortuo autem Abilamarodacho, postquam annos decem et octo regnaverat, Niglisarus filius ejus imperium accipit, quumque id tenuisset annos quadraginta, vita decedit. At post illum ad filium ejus Labosordachum successionis jure regnum pervenit, quumque ei menses solummodo novem mansisset, eo sublato transit ad Baltasarum, qui Naboandelus a Babyloniis vocatur. Huic bellum intulerunt et Cyrus Persarum rex et Medorum [illegible]ius, eique, dum obsessus Babylone erat, mirabilis quædam et prodigiosa visio oblata est. Discumbebat cœnans in ampla domo et in regalium conviviorum usum facta, accumbentibus etiam concubinis et amicis. Quumque ita ei collibuisset, jubet e suo templo afferri vasa Dei, quibus Nabuchodonosorus, spoliatis Hierosolymis, usus quidem non fuerat, sed in dei sui templo reposuerat. Ille vero, postquam eo usque audaciæ processerat, ut dum potaret Deoque malediceret iisdem uteretur, videt manum e pariete prodeuntem et tectorio syllabas quasdam depingentem. Hac visione perturbatus convocavit magos et Chaldæos, et id genus quotquot inter Babylonios prodigia et somnia interpretari poterant, ut scriptum illud sibi declararent. Quum autem magi se nihil posse invenire aut intelligere dicerent, rex sollicitus mœstusque admodum ex re adeo inopinata, per totam regionem promulgari fecit, se illi daturum promittere, qui scriptum legerit et quid id sibi vellet enunciaverit, ut torquem auream in collo gestet et purpura amiciatur more regum Chaldæorum, et in tertia regni sui parte dominetur. Post hoc præconium major etiam fit magorum concursus, certatimque contenderunt ut quid scriptum fuerit invenirent, nihilo tamen minus hærebant. Quo factum ut avia regis, ubi cum viderat, ex hac re tanta anxietate laborantem, animum ei confirmare cœperit dicereque captivum esse quendam ex Judæa, inde

τῆς Ἰουδαίας αἰχμάλωτος, ἐκεῖθεν τὸ γένος, ἀχθεὶς ὑπὸ τοῦ Ναβουχοδονοσόρου πορθήσαντος Ἱεροσόλυμα, Δανιῆλος ὄνομα, σοφὸς ἀνὴρ καὶ δεινὸς εὑρεῖν τὰ ἀμήχανα καὶ μόνῳ τῷ Θεῷ γνώριμα, ὃς Ναβουχοδονοσόρῳ τῷ βασιλεῖ, μηδενὸς ἄλλου δυνηθέντος εἰπεῖν περὶ ὧν ἔχρῃζεν, εἰς φῶς ἤγαγε τὰ ζητούμενα. Μεταπεμψάμενον οὖν αὐτὸν ἠξίου παρ' αὐτοῦ πυνθάνεσθαι περὶ τῶν γραμμάτων καὶ τὴν ἀμαθίαν τὴν τῶν οὐχ εὑρόντων αὐτὰ κατακρίνειν, κἂν σκυθρωπὸν ᾖ τὸ ὑπὸ Θεοῦ σημαινόμενον.

γ'. Ταῦτ' ἀκούσας καλεῖ τὸν Δανιῆλον ὁ Βαλτάσαρος, καὶ διαλεχθεὶς ὡς πύθοιτο περὶ αὐτοῦ καὶ τῆς σοφίας, ὅτι τὸ θεῖον αὐτῷ πνεῦμα συμπάρεστι καὶ μόνος ἐξευρεῖν ἱκανώτατος ἃ μὴ τοῖς ἄλλοις εἰς ἐπίνοιαν ἔρχεται, φράζειν αὐτῷ τὰ γεγραμμένα καὶ τί σημαίνει μηνύειν ἠξίου· τοῦτο γὰρ ποιήσαντι πορφύραν δώσειν ἐνδύσασθαι, καὶ χρύσεον περὶ τὸν αὐχένα στρεπτὸν καὶ τὸ τρίτον τῆς αὐτοῦ ἀρχῆς μέρος, τιμὴν καὶ γέρας τῆς σοφίας, ὡς ἂν ἐξ αὐτῶν ἐπισημότατος γένοιτο τοῖς ὁρῶσι καὶ τὴν αἰτίαν ἐφ' ᾗ τούτων ἔτυχε πυνθανομένοις. Δανιῆλος δὲ τὰς μὲν δωρεὰς αὐτὸν ἔχειν ἠξίου, (τὸ γὰρ σοφὸν καὶ τὸ θεῖον ἀδωροδόκητον εἶναι καὶ προῖκα τοὺς δεομένους ὠφελεῖν,) μηνύει δὲ αὐτῷ τὰ γεγραμμένα, σημαίνοντα καταστροφὴν τοῦ βίου, ὅτι μηδ' οἷς ὁ πρόγονος αὐτοῦ διὰ τὰς εἰς Θεὸν ὕβρεις ἐκολάσθη, τούτοις ἔμαθεν εὐσεβεῖν, καὶ μηδὲν ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν μηχανᾶσθαι· ἀλλὰ καὶ Ναβουχοδονοσόρου μεταστάντος εἰς δίαιταν θηρίων ἐφ' οἷς ἠσέβησε, καὶ μετὰ πολλὰς ἱκεσίας καὶ δεήσεις ἐλεηθέντος ἐπανελθεῖν εἰς τὸν ἀνθρώπινον βίον καὶ τὴν βασιλείαν, καὶ διὰ ταῦτα τὸν Θεὸν, ὡς τὴν ἅπασαν ἔχοντα δύναμιν καὶ προνοούμενον τῶν ἀνθρώπων, μέχρις οὗ καὶ ἐτελεύτησεν ὑμνοῦντος, λήθην αὐτὸς ἔλαβε τούτων, καὶ πολλὰ μὲν ἐβλασφήμησεν εἰς τὸ θεῖον, τοῖς δὲ σκεύεσιν αὐτοῦ μετὰ τῶν παλλακίδων διηκονεῖτο. Ταῦτα οὖν ὁρῶντα τὸν Θεὸν ὀργισθῆναι αὐτῷ καὶ διὰ τῶν γεγραμμένων προκαταγγέλλειν εἰς οἷον αὐτὸν καταστρέψαι δεῖ τέλος. Ἐδήλου δὲ τὰ γεγραμμένα τάδε. ΜΑΝΗ· τούτῳ δ', ἔλεγεν, Ἑλλάδι γλώττῃ σημαίνοιτ' ἂν ἀριθμὸς, ὥσπερ τῆς ζωῆς σου τοσοῦτον χρόνον καὶ τῆς ἀρχῆς ἠρίθμηκεν ὁ Θεὸς, καὶ περισσεύειν ἔτι σοὶ βραχὺν χρόνον. ΘΕΚΕΛ· σημαίνει τοῦτο τὸν σταθμόν. Στήσας οὖν σου, λέγει, τὸν χρόνον τῆς βασιλείας ὁ Θεὸς ἤδη καταφερομένην δηλοῖ. ΦΑΡΕΣ· καὶ τοῦτο κλάσμα δηλοῖ κατὰ Ἑλλάδα γλῶτταν. Κλάσει τοιγαροῦν σου τὴν βασιλείαν καὶ Μήδοις αὐτὴν καὶ Πέρσαις διανεμεῖ.

δ'. Δανιήλου δὲ ταῦτα σημαίνειν τῷ βασιλεῖ φράσαντος τὰ ἐν τῷ τοίχῳ γράμματα, τὸν μὲν Βαλτάσαρον, οἷον εἰκὸς ἐφ' οὕτω χαλεποῖς τοῖς δεδηλωμένοις, λύπη καὶ συμφορὰ κατέλαβεν. Οὐ μὴν ὡς προφήτῃ κακῶν αὐτῷ γεγενημένῳ τὰς δωρεὰς ἃς ὑπέσχετο δώσειν οὐ δίδωσιν, ἀλλὰ πάσας παρέσχετο, τὴν μὲν ἠπειλημένην τῆς βασιλείας καθαίρεσιν τῆς πεπρωμένης ἀνάγκης, ἀλλ' οὐχὶ τοῦ προφητεύσαντος εἶναι λογισάμενος, ἄλλον δὲ τὸν ἐπιφέροντα τὴν συμφορὰν, καὶ τὴν ἀπώλειαν τῆς ἀρχῆς οὐκ ἐκ τοῦ μαντεύσασθαι τὸν Δανιήλου ἀλλ' ἐκ τοῦ μοιραίου τῆς ἀνάγκης ἡγούμενος εἶναι, καὶ τὸν μὲν Δανιήλου τρόπον ἐπαινέσας, τὴν δὲ ἀπώλειαν τὴν ἑαυτοῦ μὴ τῷ μαντεύσασθαι τὸν Δανιήλου ἀλλὰ τῷ μοιραίῳ

μενος, τὴν δὲ τῶν ἐπηγγελμένων ἐκπλήρωσιν κρίνων, ἀνδρὸς ἀγαθοῦ καὶ δικαίου, κἂν ᾖ σκυθρωπὰ τὰ μέλλοντα συμβαίνειν αὐτῷ. Καὶ ὁ μὲν οὕτως ἔκρινε· μετ' οὐ πολὺν δὲ χρόνον αὐτός τε ἑλήφθη καὶ ἡ πόλις, Κύρου τοῦ Περσῶν βασιλέως ἐπ' αὐτὸν στρατεύσαντος. Βαλτάσαρος γάρ ἐστιν ἐφ' οὗ τὴν αἵρεσιν τῆς Βαβυλῶνος συνέβη γενέσθαι, βασιλεύσαντος αὐτοῦ ἔτη ἑπταικαίδεκα. Τῶν μὲν οὖν Ναβουχοδονοσόρου τοῦ βασιλέως ἐκγόνων τὸ τέλος τοιοῦτο παρειλήφαμεν γενόμενον. Δαρείῳ δὲ τῷ καταλύσαντι τὴν Βαβυλωνίων ἡγεμονίαν μετὰ Κύρου τοῦ συγγενοῦς ἔτος ἦν ἑξηκοστὸν δεύτερον, ὅτε τὴν Βαβυλῶνα εἷλεν, ὃς ἦν Ἀστυάγους υἱός, ἕτερον δὲ παρὰ τοῖς Ἕλλησιν ἐκαλεῖτο ὄνομα, ὃς καὶ Δανιῆλον τὸν προφήτην λαβὼν ἦγαγεν εἰς Μηδίαν πρὸς αὐτὸν, καὶ πάσης αὐτῷ τιμῆς μεταδιδοὺς εἶχε σὺν αὐτῷ. Τῶν τριῶν γὰρ σατραπῶν ἦν, οὓς ἐπὶ τῶν ἑξήκοντα καὶ τριακοσίων σατραπειῶν κατέστησε· τοσούτους γὰρ ἐποίησε Δαρεῖος.

ε'. Δανιῆλος τοίνυν ὢν ἐν τοιαύτῃ τιμῇ καὶ λαμπρᾷ σπουδῇ παρὰ τῷ Δαρείῳ καὶ πρὸς ἅπαντα ὑπ' αὐτοῦ μόνος, ὡς ἂν ἔχων τὸ θεῖον ἐν αὐτῷ, παραλαμβανόμενος ἐφθονήθη· βασκαίνουσι γὰρ οἱ μᾶλλον αὐτῶν ἑτέρους ἐν πλείονι τιμῇ παρὰ τοῖς βασιλεῦσι βλέποντες. Ζητούντων δ' ἐπ' αὐτὸν ἀφορμὴν διαβολῆς καὶ κατηγορίας τῶν ἀχθομένων ἐπ' αὐτῷ εὐδοκιμοῦντι παρὰ τῷ Δαρείῳ, παρεῖχεν αἰτίαν οὐδεμίαν· ὧν γὰρ καὶ χρημάτων ἐπάνω καὶ παντὸς λήμματος περιορῶν, αἴσχιστον αὐτῷ δοκοῦν κἂν ὑπὲρ ὧν δοθείη καλῶς τι προσλαβεῖν, οὐδ' ἡντιναοῦν τοῖς ζηλοτυποῦσιν αὐτὸν ἐγκλημάτων εὕρεσιν παρεῖχεν. Οἱ δ' ὡς οὐδὲν εἶχον ᾧ κατειπόντες αὐτοῦ πρὸς τὸν βασιλέα ζημιώσουσιν αὐτὸν εἰς τὴν παρ' αὐτοῦ τιμὴν αἰσχύνῃ καὶ διαβολῇ, τρόπον ἄλλον ἐζήτουν καθ' ὃν αὐτὸν ἐκποδὼν ποιήσονται. Ὁρῶντες οὖν τὸν Δανιῆλον τρὶς τῆς ἡμέρας προσευχόμενον τῷ Θεῷ πρόφασιν ἔγνωσαν ηὑρηκέναι, δι' ἧς ἀπολέσουσιν αὐτόν. Καὶ πρὸς τὸν Δαρεῖον ἐλθόντες ἀπήγγελλον αὐτῷ ὡς τοῖς σατράπαις αὐτοῦ καὶ ἡγεμόσι δόξειεν ἐπὶ τριάκοντα ἡμέρας ἀνεῖναι τὸ πλῆθος, ὅπως μήτε αὐτῷ τις μήτε τοῖς θεοῖς δεόμενος αὐτῶν καὶ εὐχόμενος εἴη, τὸν μέντοι γε αὐτῶν παραβάντα ταύτην τὴν γνώμην εἰς τὸν τῶν λεόντων ἔκριναν ῥῖψαι λάκκον ἀπολούμενον.

ς'. Ὁ δὲ βασιλεὺς οὐ συνιδὼν τὴν κακουργίαν αὐτῶν, οὐδ' ἐπὶ τὸν Δανιῆλον ταῦτα κατεσκευασμένους ὑπονοήσας, ἀρέσκεσθαι τοῖς ὑπ' αὐτῶν ἐφῃ δεδογμένοις, καὶ κυρώσειν τὴν προαίρεσιν αὐτῶν ἐπαγγελλόμενος προτίθησι πρόγραμμα δηλοῦν τῷ πλήθει τὰ δόξαντα τοῖς σατράπαις. Καὶ οἱ μὲν ἄλλοι πάντες φυλαττόμενοι τὰ προστεταγμένα μὴ παραβῆναι ἠρέμουν, Δανιήλῳ δὲ φροντὶς οὐδ' ἠτισοῦν τούτων ἦν, ἀλλ' ὡς εἶχεν ἔθος ἱστάμενος ηὔχετο τῷ Θεῷ πάντων ὁρώντων. Οἱ δὲ σατράπαι, τῆς ἀφορμῆς αὐτοῖς ἣν ἐσπούδαζον λαβεῖν ἐπὶ τὸν Δανιῆλον παραφανείσης, εὐθὺς ἦκον πρὸς τὸν βασιλέα, καὶ κατηγόρουν ὡς παραβαίνοντος μόνου

dixerat, viri autem boni justique esse rata facere promissa, quamvis tristia essent quæ ipsi forent eventura. Et ille quidem ita censebat : at non multo post ipse captus est, simul et urbs, exercitu in eum educto a Cyro Persarum rege. Baltasarus enim est, quo regnante Babylonem captam esse contigit, quum regnum ipse tenuisset annos septendecim: Et regis quidem Nabuchodonosori posteros hujusmodi exitum habuisse accepimus. Dario autem, qui cum Cyro cognato Babyloniorum imperium evertit, annus agebatur sexagesimus secundus, quando Babylonem cepit, qui Astyagis filius erat, et alio nomine apud Græcos vocabatur, quique Danielum vatem assumptum in Mediam duxit ad regiam suam, summoque honore auctum secum habebat. Nam fuit unus ex tribus satrapis quos trecentis sexaginta satrapiis præposuit : tot enim satrapas constituit Darius.

5. Quum itaque Danielus in tanto esset honore, et egregio erga se Darii studio uteretur, et ad omnia ab eo solus, tanquam Dei spiritu afflatus, adhiberetur, invidia flagravit : fieri enim solet ut illi invideant, qui alios vident magis quam semetipsos a regibus honorari. Ceterum iis, qui ægre ferebant quod tanta polleret apud Darium auctoritate, calumniandi et accusandi occasionem quærentibus causas omnes præcidebat. Nam quum super pecuniam esset omniumque munerum contemptor, summæ sibi turpitudini esse ducens aliquid accipere, etiam quum honeste daretur, nullam omnino obtrectatoribus suis, quam arriperent, reprehensionis ansam dabat. Illi vero, dum nihil haberent, quo ipsius apud regem delati existimationem minuerent, aliquid ei ut probrum objiciendo vel calumniam adhibendo, aliam rationem iniverunt, qua eum e medio tollerent. Itaque quum animadverterent Danielum ter quotidie Deo supplicare, eis in mentem venit se illum perdendi occasionem invenisse. Quumque Darium adiissent, ei nunciabant satrapis ejus præfectisque videri triginta dierum ferias populo indici debere, quibus neque ipsum neque deos aliquid rogare precarique cuiquam liceret : qui vero contra hoc ipsorum decretum fecerit, statuerunt ut in leonum specum periturus conjiceretur.

6. Rex autem illorum malitiæ ignarus, neque Danielo insidias istiusmodi commento paratas esse suspicatus, ait sibi placere hanc illorum sententiam, pollicitusque se sancitum ire id quod illis fieri visum sit, edictum proposuit in publicum quo populo innotescerent quæ satrapæ decreverint. Atque ceteri quidem omnes quiescebant, sibi caventes ne quid contra mandata ficerent; at Danielus nihil horum curabat, sed more suo constanter omnium in conspectu Deum orabat. Tum satrapæ, occasione sibi oblata quam adversus Danielum captare studebant, e vestigio regem conveniebant, et accusationem instituebant, quod Danielus

τοῦ Δανιήλου τὰ προστεταγμένα, (μηδενὸς γὰρ τῶν ἄλλων τολμῶντος προσεύχεσθαι τοῖς θεοῖς,) καὶ τοῦτ' οὐ δι' εὐσέβειαν, ἀλλὰ διὰ φυλακὴν καὶ διατήρησιν ὑπὸ τοῦ φθόνου. Ἀπὸ γὰρ μείζονος ἧς προσεδόκων εὐνοίας τοῦτο ποιεῖν τὸν Δαρεῖον ὑπολαμβάνοντες, ὡς καὶ καταφρονήσαντι τῶν ἐκείνου προσταγμάτων συγγνώμην ἑτοίμως νέμειν, καὶ αὐτὸ τοῦτο βασκαίνοντες τῷ Δανιήλῳ, οὐ μετεβάλλοντο πρὸς τὸ ἡμερώτερον, ῥίπτειν δὲ αὐτὸν ἠξίουν κατὰ τὸν νόμον εἰς τὸν λάκκον τῶν λεόντων. Ἐλπίσας δὲ ὁ Δαρεῖος ὅτι ῥύσεται τὸ θεῖον αὐτὸν καὶ οὐδὲν μὴ πάθῃ δεινὸν ὑπὸ τῶν θηρίων, ἐκέλευσεν αὐτὸν εὐθύμως φέρειν τὰ συμβαίνοντα. Καὶ βληθέντος εἰς τὸν λάκκον, σφραγίσας τὸν ἐπὶ τοῦ στομίου κείμενον ἀντὶ θύρας λίθον, ἀνεχώρησεν, καὶ δι' ὅλης ἄσιτος τῆς νυκτὸς καὶ ἄϋπνος διῆγεν, ἀγωνιῶν περὶ τοῦ Δανιήλου. Μεθ' ἡμέραν δὲ ἀναστὰς ἐπὶ τὸν λάκκον ἦλθε, καὶ σωζομένην τὴν σφραγῖδα εὑρὼν, ᾗ σημηνάμενος τὸν λίθον κατελελοίπει, ἀνοίξας ἀνεβόησε, καλῶν τὸν Δανιῆλον καὶ πυνθανόμενος εἰ σώζεται. Τοῦ δ' ἐπακούσαντος τῷ βασιλεῖ καὶ μηδὲν παθεῖν εἰπόντος, ἐκέλευσεν αὐτὸν ἀνελκυσθῆναι ἐκ τοῦ λάκκου τῶν θηρίων. Οἱ δὲ ἐχθροὶ, θεασάμενοι τὸν Δανιῆλον μηδὲν πεπονθότα δεινὸν, διὰ μὲν τὸ θεῖον καὶ τὴν τούτου πρόνοιαν οὐκ ἠξίουν αὐτὸν σώζεσθαι, πεπληρωμένους δὲ τοὺς λέοντας τροφῆς μὴ ἅψασθαι μηδὲ προσελθεῖν τῷ Δανιήλῳ νομίζοντες, τοῦτ' ἔλεγον πρὸς τὸν βασιλέα. Ὁ δὲ μισήσας αὐτοὺς τῆς πονηρίας, παραβληθῆναι μὲν πολλὰ κελεύει τοῖς λέουσι κρέα, κορεσθέντων δ' αὐτῶν τοὺς ἐχθροὺς τοῦ Δανιήλου προσέταξεν εἰς τὸν λάκκον ἐμβληθῆναι, ὅπως εἰ διὰ κόρον αὐτοῖς οὐ προσᾴξουσιν οἱ λέοντες μάθοι. Σαφὲς δὲ ἐγένετο Δαρείῳ, τῶν σατραπῶν παραβληθέντων τοῖς θηρίοις, ὅτι τὸ θεῖον ἔσωσε τὸν Δανιῆλον. Οὐδενὸς γὰρ αὐτῶν ἐφείσαντο οἱ λέοντες, ἀλλὰ πάντας διεσπάραττον, ὡσανεὶ σφόδρα λιμώττοντες καὶ τροφῆς ἐνδεεῖς. Ἠρέθισε δ' αὐτοὺς οὐ τὸ πεινῆν, οἶμαι, μικρὸν ἔμπροσθεν ἀφθόνων κρεῶν ἐμπεπλησμένους, ἀλλ' ἡ τῶν ἀνθρώπων κακία· δήλη γὰρ καὶ τοῖς ἀλόγοις ἂν αὐτὴ ζῴοις πρὸς τιμωρίαν γένοιτο, τοῦ Θεοῦ προαιρουμένου.

ζ'. Διαφθαρέντων οὖν τῶν ἐπιβουλευσάντων Δανιήλῳ τοῦτον τὸν τρόπον, ὁ βασιλεὺς Δαρεῖος καθ' ὅλην ἔπεμψε τὴν χώραν ἐπαινῶν τὸν Θεὸν ὃν Δανιῆλος προσκυνεῖ, καὶ μόνον αὐτὸν λέγων εἶναι ἀληθῆ καὶ τὸ πᾶν κράτος ἔχοντα. Ἔσχε δὲ καὶ τὸν Δανιῆλον ἐν ὑπερβαλλούσῃ τιμῇ, πρῶτον αὐτὸν ἀποδείξας τῶν φίλων. Ὢν δὲ οὕτως ἐπίσημος καὶ λαμπρὸς ὑπὸ δόξης τοῦ θεοφιλὴς εἶναι Δανιῆλος, ᾠκοδόμησεν ἐν Ἐκβατάνοις τοῖς Μηδικοῖς βᾶριν, εὐπρεπέστατόν τι κατασκεύασμα καὶ θαυμασίως πεποιημένον, ἣ μέχρι δεῦρο μὲν ἔστι καὶ σώζεται, τοῖς δ' ὁρῶσι δοκεῖ προσφάτως κατεσκευάσθαι καὶ ἐπ' αὐτῆς ἐκείνης ἧς ἕκαστος αὐτὴν ἡμέρας ἱστορεῖ γεγονέναι· οὕτω νεαρὸν αὐτῆς καὶ ἀκμαῖον τὸ κάλλος καὶ μηδαμοῦ γεγηρακὸς ὑπὸ τοσούτου χρόνου. Πάσχει γὰρ καὶ τὰ κατασκευάσματα ταυτὸν ἀνθρώ-

contra quam imperassent solus fecerit, quum nemo alius ausus esset diis supplicare, idque non pietate eo adducti, sed quod ex invidia observabant illum et animadverterunt quid ageret. Suspicantes etenim Darium id agere ut ob majorem quam exspectabant benevolentiam etiam mandati sui contemptori veniam daret, quod ipsum eorum in Danielum invidiam augebat, haud inde mitiores facti erant, sed postulabant ut juxta latam legem in leonum specum conjiceretur. At Darius spei plenus fore ut Deus eum liberaret et nihil mali a feris pateretur, hortatus est eum ut quicquid accideret æquo ferret animo. Quumque in speluncam conjectus esset, *rex*, signato lapide qui pro ostio erat in ore specus, discessit, totamque eam noctem sine cibo et somno exegit, de Danielo majorem in modum sollicitus. Mane autem diluculo surrexit et ad specum se contulit, quumque sigillum illæsum invenisset, quo lapidem obsignatum reliquerat, illo reserato magna voce Danielum clamavit, quærens an adhuc salvus esset. Qui quum regem audivisset, dixissetque se nequaquam læsum esse, *rex* eum ex ferarum specu jussit extrahi. Inimici vero, cum vidissent nihil mali Danielo accidisse, Deo quidem ejusque providentiæ incolumitatem illius tribuere noluerunt, leones vero sagina impletos neque Danielum attigisse neque ad eum accessisse existimantes, id ita factum esse regi dictitabant. At ille, quod eos utpote malignos odio habuerit, multas carnes leonibus objici jubet, illisque jam saturatis inimicos Danieli in antrum conjici imperavit, ut animadverteret an ob saturitatem ad eos non assulturi essent. Tum manifestum erat Dario, postquam feris objecti essent satrapæ, Danielum miraculo servatum esse. Nam leones nemini illorum pepercerunt, sed eos omnes dilacerarunt, quasi valde esurientes et victus inopia laborantes. Eos autem fames, uti arbitror, non irritavit, quippe qui paulo ante carne ad satietatem usque fuerant impleti, sed hominum malitia : nihil enim impedit quin et ipsa, Deo ita volente, etiam bestiis palam fiat ad pœnam exsequendam.

7. Iis itaque hoc modo peremptis qui Danielo insidias struxerant, Darius rex *nuncios* dimisit per universam regionem, qui laudibus celebrarent Deum istum, quem Danielus adorabat, dicerentque eum solum verum esse et omnipotentem. Porro Danielum summo in honore habuit, eique primum inter amicos locum tribuit. Quum autem Danielus insignis adeo esset clarusque, quod Deo carus esse existimaretur, turrim ædificavit Ecbatanis Mediæ, opus elegantissimum et arte mirabili constructum, quæ etiamnum quidem manet duratque, spectantibus vero apparet recentis esse structuræ, atque illa ipsa die condita qua quisque illam aspexerit : tanta quippe illi est novitatis species et formæ vigor integer, cui nihil decessit tam longo temporis decursu. Nam idem accidit ædificiis quod hominibus, pariterque

ποις, καὶ παλαιοῦται καὶ τὴν ἰσχὺν λυόμενα ὑπὸ τῶν ἐτῶν καὶ τὴν εὐπρέπειαν μαραινόμενα. Θάπτουσι δ' ἐν τῇ βάρει τούς τε Μήδων βασιλεῖς καὶ Περσῶν καὶ Πάρθων, ἄχρι τοῦ δεῦρο, καὶ ὁ ταύτην πεπιστευμένος Ἰουδαῖός ἐστιν ἱερεύς· καὶ τοῦτο γίνεται μέχρι τῆς σήμερον ἡμέρας. Ἄξιον δὲ τὰνδρὸς τούτου καὶ ὃ μάλιστα θαυμάσαι τις ἂν ἀκούσας διελθεῖν. Ἅπαντα γὰρ αὐτῷ παραδόξως ὡς ἑνί τινι τῶν μεγίστων ηὐτυχήθη προφητῶν, καὶ παρὰ τὸν τῆς ζωῆς χρόνον τιμή τε καὶ δόξα ἡ παρὰ τῶν βασιλέων καὶ τοῦ πλήθους, καὶ τελευτήσας δὲ μνήμην αἰώνιον ἔχει. Τὰ γὰρ βιβλία, ὅσα ὁὴ συγγραψάμενος καταλέλοιπεν, ἀναγινώσκεται παρ' ἡμῖν ἔτι καὶ νῦν, καὶ πεπιστεύκαμεν ἐξ αὐτῶν ὅτι Δανιῆλος ὡμίλει τῷ Θεῷ. Οὐ γὰρ τὰ μέλλοντα μόνον προφητεύων διετέλει, καθάπερ καὶ οἱ ἄλλοι προφῆται, ἀλλὰ καὶ καιρὸν ὥριζεν, εἰς ὃν ταῦτα ἀποβήσεται· καὶ τῶν προφητῶν τὰ χείρω προλεγόντων, καὶ διὰ τοῦτο δυσχεραινομένων ὑπὸ τῶν βασιλέων καὶ τοῦ πλήθους, Δανιῆλος ἀγαθῶν ἐγίνετο προφήτης αὐτοῖς, ὡς ἀπὸ μὲν τῆς εὐφημίας τῶν προλεγομένων εὔνοιαν ἐπισπᾶσθαι παρὰ πάντων, ἀπὸ δὲ τοῦ τέλους αὐτῶν ἀληθείας πίστιν καὶ δόξαν ὁμοῦ θειότητος παρὰ τοῖς ὄχλοις ἀποφέρεσθαι. Κατέλιπε δὲ γράψας, ὅθεν ἡμῖν τὸ τῆς προφητείας αὐτοῦ ἀκριβὲς καὶ ἀπαράλλακτον ἐποίησε ὅῆλον. Φησὶ γὰρ « αὐτοῦ γινομένου ἐν Σούσοις τῇ μητροπόλει τῆς Περσίδος, ὡς ἐξέλθοι μὲν εἰς τὸ πεδίον μετὰ ἑταίρων αὐτοῦ, σεισμοῦ δὲ καὶ κλόνου τῆς γῆς ἐξαίφνης γενομένου καταλειφθείη μόνος, φυγόντων τῶν φίλων, καὶ πέσοι μὲν ἐπὶ στόμα ταραχθεὶς ἐπὶ τὰς δύο χεῖρας, τινὸς δ' ἁψαμένου αὐτοῦ καὶ μεταξὺ κελεύοντος ἀναστῆναι καὶ τὰ μέλλοντα συμβήσεσθαι τοῖς πολίταις ἰδεῖν μετὰ πολλὰς γενεάς. Ἀναστάντι δ' αὐτῷ δειχθῆναι κριὸν [ἐσήμαινε] μέγαν, πολλὰ μὲν ἐκπεφυκότα κέρατα, τελευταῖον δ' αὐτῶν ὑψηλότερον ἔχοντα. Ἔπειτα ἀναβλέψαι μὲν εἰς τὴν δύσιν, θεάσασθαι δὲ τράγον ἀπ' αὐτῆς δι' ἀέρος φερόμενον, συρράξαντα τῷ κριῷ καὶ τοῖς κέρασι κορύψαντα δὶς καταβαλεῖν αὐτὸν ἐπὶ τὴν γῆν, καὶ πατῆσαι. Εἶτα τὸν τράγον ἰδεῖν ἐκ τοῦ μετώπου μέγιστον ἀναφύσαντα κέρας, οὗ κλασθέντος ἀναβλαστῆσαι τέσσαρα, καθ' ἕκαστον τῶν ἀνέμων τετραμμένα. Ἐξ αὐτῶν δ' ἀνασχεῖν καὶ ἄλλο μικρότερον ἀνέγραψεν, ὃ αὐξῆσαν ἔλεγεν αὐτῷ ὁ ταῦτα ἐπιδεικνὺς Θεὸς πολεμήσειν αὐτοῦ τὸ ἔθνος καὶ τὴν πόλιν αἱρήσειν κατὰ κράτος, καὶ συγχεῖν τὰ περὶ τὸν ναὸν καὶ τὰς θυσίας κωλύσειν γενέσθαι ἐφ' ἡμέρας χιλίας διακοσίας ἐνενήκοντα ἕξ. » Ταῦτα μὲν ἰδεῖν ἐν τῷ πεδίῳ τῷ ἐν Σούσοις ὁ Δανιῆλος ἔγραψε· κρῖναι δ' αὐτῷ τὴν ὄψιν τοῦ φαντάσματος ἐδήλου τὸν Θεὸν οὕτως. « Τὸν μὲν κριὸν βασιλείας τὰς Περσῶν καὶ Μήδων σημαίνειν ἔφασκε, τὰ δὲ κέρατα τοὺς βασιλεύειν μέλλοντας, τὸ δὲ ἔσχατον κέρας σημαίνειν τὸν ἔσχατον βασιλέα, τοῦτον δὲ διοίσειν ἁπάντων πλούτῳ τε καὶ δόξῃ. Τὸν δὲ τράγον δηλοῦν ὡς ἐκ τῶν Ἑλλήνων τις βασιλεύων ἔσται, ὃς τῷ Πέρσῃ

senescunt, quod annis aliquid de robore pereat, decorque marcescat. Moris autem adhuc est ut in turri ista Medorum reges sepeliantur, item Persarum et Parthorum; ejusque custodia sacerdoti Judæo commissa est: id quod fieri solet in hodiernum usque diem. Convenit autem id de hoc viro narrare, quod, si quis audiverit, etiam miretur. Omnia enim ipsi, tanquam uni e vatum maximis, præter opinionem prospere cesserunt, et dum viveret honorem et gloriam apud reges populumque assequutus est, atque mortuus memoria fruitur sempiterna. Libri enim, quotquot a se conscriptos reliquit, leguntur hodieque apud nos: atque ii nobis fidem faciunt Danielum cum Deo colloquia habuisse. Non enim futura solum, quemadmodum et alii vates, prædicere solebat, sed et tempus, quo hæc eventura erant, præfinivit: quumque alii vates mala prænunciarent, propterea que regum et vulgi odia in se concitarent, istis Danielus erat bonorum prænuncius, adeo ut ob faustam quidem ominationem sibi omnium benevolentiam conciliarit, ex eventuum vero certitudine non solum in veridicis, sed et in divinis habitus fuerit a populo. Scriptis autem ea consignata reliquit, ex quibus licet perspicere summæ fidei esse ejus vaticinia rataque et immutabilia. Ait enim, « quum forte Susis esset, Persidos metropoli, quod exiverit quidem cum sodalibus suis in planitiem, subito vero terræ motu et concussione oborta solus fuerit relictus, amicis diffugientibus; et ipse quidem in faciem devolutus in manus ambas conciderit, a quodam vero apprehensus, simulque ab eo surgere jussus ac videre quæ post multas ætates civibus essent eventura. Quum autem surrexisset, sibi ostensum esse [retulit] arietem immani magnitudine, multa quidem cornua enata habentem, postremum vero illorum ceteris excelsius. Deinde sustulisse oculos ad occasum, vidisseque hircum inde per aerem delatum, qui arietem, ubi cum eo congressus esset, eumque bis cornibus percusserit, humi prostrarit conculcaritque. Mox vidisse enatum e fronte hirci cornu eminentissimum, eoque fracto quattuor succrevisse, quattuor cœli plagas spectantia. Ex his vero et aliud minus exortum esse scripsit, quod postquam adultum esset, dicebat Deus qui hæc illi ostendebat, bellum genti ipsius illaturum esse, et urbem vi expugnaturum, templique ceremonias perturbatum ire, sacrificiaque inhibiturum esse per dies mille ducentos et nonaginta sex. » Hæc quidem se vidisse in planitie juxta Susas Danielus scripsit: Deum vero ipsi, quid sibi vellent quæ per visum apparuerant, in hunc modum exposuisse declarabat. « Arietem quidem regna Persarum et Medorum significare dicebat, cornua vero reges ibi rerum potituros, et cornu novissimum designare regem ultimum, quique omnes opibus et gloria superaturus esset. Hircum autem indicare ex Græcis quendam regnaturum esse, qui bis cum Persa congressus victoriam ex

συμβαλὼν δὶς κρατήσει τῇ μάχῃ καὶ παραλήψεται τὴν ἡγεμονίαν ἅπασαν. Δηλοῦσθαι δ' ὑπὸ τοῦ μεγάλου κέρατος τοῦ ἐν τῷ μετώπῳ τοῦ τράγου τὸν πρῶτον βασιλέα, καὶ τὴν τῶν τεσσάρων ἀναβλάστησιν ἐκπεσόντος ἐκείνου καὶ τὴν πρὸς τὰ τέσσαρα κλίματα τῆς γῆς αὐτῶν ἀποστροφὴν ἑκάστου τοὺς διαδόχους μετὰ τὸν θάνατον τοῦ πρώτου βασιλέως ἐμφανίζεσθαι, καὶ διαμερισμὸν εἰς αὐτοὺς τῆς βασιλείας, οὔτε δὲ παῖδας αὐτοῦ τούτους ὄντας οὔτε συγγενεῖς πολλοῖς ἔτεσιν ἄρξειν τῆς οἰκουμένης. Γενέσθαι δ' ἐκ τούτων τινὰ βασιλέα τὸν ἐκπολεμήσοντα τό τε ἔθνος καὶ τοὺς νόμους αὐτῶν καὶ τὴν κατ' αὐτοὺς ἀφαιρησόμενον πολιτείαν, καὶ συλήσοντα τὸν ναὸν καὶ τὰς θυσίας ἐπ' ἔτη τρία κωλύσοντα ἐπιτελεσθῆναι. » Καὶ δὴ ταῦτα ἡμῶν συνέβη τῷ ἔθνει παθεῖν ὑπ' Ἀντιόχου τοῦ Ἐπιφανοῦς, καθὼς εἶδεν ὁ Δανιῆλος καὶ πολλοῖς ἔτεσιν ἔμπροσθεν ἀνέγραψε τὰ γενησόμενα. Τὸν αὐτὸν δὲ τρόπον Δανιῆλος καὶ περὶ τῆς τῶν Ῥωμαίων ἡγεμονίας ἀνέγραψε καὶ ὅτι ὑπ' αὐτῶν ἐρημωθήσεται. Ταῦτα πάντα ἐκεῖνος, Θεοῦ δείξαντος αὐτῷ, συγγράψας κατέλειψεν· ὥστε τοὺς ἀναγινώσκοντας καὶ τὰ συμβαίνοντα σκοποῦντας θαυμάζειν ἐπὶ τῇ παρὰ τοῦ Θεοῦ τιμῇ τὸν Δανιῆλον, καὶ τοὺς Ἐπικουρείους ἐκ τούτων εὑρίσκειν πεπλανημένους, οἳ τήν τε πρόνοιαν ἐκβάλλουσι τοῦ βίου καὶ τὸν Θεὸν οὐκ ἀξιοῦσιν ἐπιτροπεύειν τῶν πραγμάτων, οὐδ' ὑπὸ τῆς μακαρίας καὶ ἀφθάρτου πρὸς διαμονὴν τῶν ὅλων οὐσίας κυβερνᾶσθαι τὰ σύμπαντα, ἄμοιρον δ' ἡνιόχου καὶ φροντιστοῦ τὸν κόσμον αὐτομάτως φέρεσθαι λέγουσιν· ὃς εἰ τοῦτον ἀπροστάτητος ἦν τὸν τρόπον, καθάπερ καὶ τὰς ναῦς ἐρήμους κυβερνητῶν καταδυομένας ὁρῶμεν ὑπὸ πνευμάτων, ἢ καὶ τὰ ἅρματα περιτρεπόμενα μὴ ἔχοντα τοὺς ἡνιοχοῦντας, συντριβεὶς ἂν ἀπὸ τῆς ἀπρονοήτου φορᾶς ἀπολώλει καὶ διεφθείρετο. Τοῖς οὖν προειρημένοις ὑπὸ Δανιήλου δοκοῦσί μοι σφόδρα τῆς ἀληθοῦς δόξης διαμαρτάνειν οἱ τῷ Θεῷ μηδεμίαν εἶναι περὶ τῶν ἀνθρωπίνων ἀποφαινόμενοι πρόνοιαν. Οὐ γὰρ ἂν κατὰ τὴν ἐκείνου προφητείαν, εἰ συνέβαινεν αὐτοματισμῷ τινι τὸν κόσμον διάγειν, πάντα ἑωρῶμεν ἀποβαίνοντα. Ἐγὼ μὲν οὖν περὶ τούτων ὡς ἠδύνατο καὶ ἀνέγνων, οὕτως ἔγραψα· εἰ δέ τις ἄλλως δοξάζειν βουλήσεται περὶ αὐτῶν, ἀνέγκλητον ἐχέτω τὴν ἑτερογνωμοσύνην.

acie reportaturus, omnemque dominatum et principatum in se sit tralaturus. Ingenti vero cornu ex hirci fronte producto significari primum regem, quattuorque cornubus, illo cadente, enatis, quæ ad quattuor terræ partes respexere, primi regis post mortem ejus successores ostendi, regnique inter eos partitionem, illosque, nec liberos ipsius nec cognatos, multis annis orbis terrarum imperium habituros. Porro ex his regem quendam exoriturum esse, qui et *Judæorum* gentem et leges expugnaturus, formamque institutæ juxta has reipublicæ eversurus, et templum direpturus, perque triennium sacra fieri prohibiturus sit. » Et sane factum est ut hæc ipsa sub Antiocho Epiphane gens nostra pateretur, prout viderat Danielus, et multis ante annis quæ ventura erant scriptis mandaverat. Similiter autem Danielus de Romanorum etiam imperio scripsit, illosque magnam vastitatem illaturos esse. Ista omnia, a Deo sibi monstrata, scriptis consignata reliquit : ut qui ea legerint, et eventus perspexerint, Danielum mirentur ob tam insignem honorem illi a Deo habitum, et Epicureos in errore versari deprehendant, qui providentiam e vita ejiciunt, et a Deo res *humanas* curari non existimant, nec omnia a natura beata et immortali ad universitatis rerum perennitatem regi et administrari *volunt*, sed sine recto re et curatore mundum suopte impetu ferri asseverant. Qui si ita ut illi autumant præside careret, quemadmodum naves sine gubernatoribus videmus procellis obrui, currusve aurigis destitutos percelli, temerario motu labefactatus concideret periretque. Quumque ista prædicta fuerint a Danielo, videntur mihi a vera opinione multum aberrare qui Deum non curare pronunciant quid agat genus humanum : non enim vaticiniis ejus eventus respondisse conspiceremus, si omnia in mundo temeritate regerentur. Et ego quidem prout relatum legi, ita plane de istis scripsi : sin vero cuiquam libuerit aliter de iisdem sentire, illi per me licebit diversam opinionem sequi et tueri.

ΒΙΒΛΙΟΝ ΕΝΔΕΚΑΤΟΝ.

α'. Ὡς Κῦρος ὁ Περσῶν βασιλεὺς, τοὺς Ἰουδαίους ἀπολύσας ἐκ Βαβυλῶνος εἰς τὴν οἰκείαν, ἐπέτρεψεν αὐτοῖς οἰκοδομῆσαι τὸν ναὸν, δοὺς αὐτοῖς χρήματα.

β'. Ὅτι διεκώλυσαν αὐτοὺς οἱ τοῦ βασιλέως ἡγεμόνες κατασκευάσαι τὸ ἱερὸν, ἐμποδὼν γενόμενοι τοῖς ἔργοις.

γ'. Ὡς Κύρου τελευτήσαντος Καμβύσης ὁ παῖς αὐτοῦ, παραλαβὼν τὴν ἡγεμονίαν, ἐκ παντὸς ἀπηγόρευσε τοῖς Ἰουδαίοις οἰκοδομῆσαι τὸν ναόν.

δ'. Ὅτι Δαρεῖος ὁ Ὑστάσπου, βασιλεύσας Περσῶν, ἐτίμησε τὸ τῶν Ἰουδαίων ἔθνος καὶ τὸν ναὸν ᾠκοδόμησεν.

LIBER UNDECIMUS.

1. Quomodo Cyrus Persarum rex, quum Judæos Babylone in patrias sedes dimisisset, eis permisit templum exstruere, data illis pecunia.
2. Quod regis duces, impeditis operibus, ipsos in templo ædificando interpellarunt.
3. Quomodo, post Cyri mortem, Cambyses ejus filius, susceptо imperio, Judæis prorsus interdixit templi instauratione.
4. Quod Darius Hystaspis filius, Persarum regnum adeptus, Judæorum gentem in honore habuit, et templum exædificandum curavit.

ε'. Ὡς μετ' αὐτὸν ὁ παῖς αὐτοῦ Ξέρξης οἰκείως πρὸς τοὺς Ἰουδαίους διετέθη.

ς'. Ὅτι, βασιλεύοντος Ἀρταξέρξου, μικροῦ τῶν Ἰουδαίων πᾶν τὸ ἔθνος ἐκινδύνευσε δι' Ἀμάνου δόλον.

ζ'. Ὡς Βαγώας, ὁ Ἀρταξέρξου τοῦ νεωτέρου στρατηγὸς, πολλὰ εἰς τοὺς Ἰουδαίους ἐξύβρισεν.

η'. Ὅσα ὁ Μακεδόνων βασιλεὺς Ἀλέξανδρος εὐηργέτησεν αὐτοὺς, κρατήσας τῆς Ἰουδαίας.

Περιέχει ἡ βίβλος χρόνον ἐτῶν σνγ', μῆνας ε'.

ΚΕΦ. Α'.

Τῷ δὲ πρώτῳ ἔτει τῆς Κύρου βασιλείας (τοῦτο δ' ἦν ἑβδομηκοστὸν ἀφ' ἧς ἡμέρας μετανασταῖναι τὸν λαὸν ἡμῶν ἐκ τῆς οἰκείας εἰς Βαβυλῶνα συνέπεσεν) ἠλέησεν ὁ Θεὸς τὴν αἰχμαλωσίαν καὶ τὴν συμφορὰν ἐκείνων τῶν ταλαιπώρων, καθὼς προεῖπεν αὐτοῖς διὰ Ἱερεμίου τοῦ προφήτου, πρὶν ἢ κατασκαφῆναι τὴν πόλιν· ὡς μετὰ τὸ δουλεῦσαι Ναβουχοδονοσόρῳ καὶ τοῖς ἐκγόνοις αὐτοῦ, καὶ ταύτην ὑπομεῖναι τὴν δουλείαν ἐπὶ ἔτη ἑβδομήκοντα, πάλιν αὐτοὺς εἰς τὴν πάτριον ἀποκαταστήσει γῆν, καὶ τὸν ναὸν οἰκοδομήσουσι, καὶ τῆς ἀρχαίας ἀπολαύσουσιν εὐδαιμονίας. Ταῦτ' αὐτοῖς παρέσχε. Παρορμήσας γὰρ τὴν Κύρου ψυχὴν ἐποίησεν αὐτὸν γράψαι κατὰ πᾶσαν τὴν Ἀσίαν ὅτι Κῦρος ὁ βασιλεὺς λέγει, « ἐπεί με ὁ Θεὸς ὁ μέγιστος τῆς οἰκουμένης ἀπέδειξε « βασιλέα, πείθομαι τοῦτον εἶναι ὃν τὸ τῶν Ἰσραηλιτῶν « ἔθνος προσκυνεῖ. Καὶ γὰρ τοὐμὸν προεῖπεν ὄνομα « διὰ τῶν προφητῶν, καὶ ὅτι τὸν ναὸν αὐτοῦ οἰκοδο« μήσω ἐν Ἱεροσολύμοις ἐν τῇ Ἰουδαίᾳ χώρᾳ. »

β'. Ταῦτα δ' ἔγνω Κῦρος ἀναγινώσκων τὸ βιβλίον, ὃ τῆς αὐτοῦ προφητείας ὁ Ἡσαΐας κατέλιπε πρὸ ἐτῶν διακοσίων καὶ δέκα. Οὗτος γὰρ ἐν ἀπορρήτῳ εἶπε ταῦτα λέγειν τὸν Θεὸν ὅτι « βούλομαι Κῦρον ἐγὼ, ὃν « πολλῶν ἐθνῶν καὶ μεγάλων ἀπέδειξα βασιλέα, πέμ« ψαι μου τὸν λαὸν εἰς τὴν ἰδίαν γῆν, καὶ οἰκοδομῆ« σαί μου τὸν ναόν. » Ταῦτα Ἡσαΐας προεῖπεν ἔμπροσθεν ἢ κατασκαφῆναι τὸν ναὸν ἔτεσιν ἑκατὸν καὶ τεσσαράκοντα. Ταῦτ' οὖν ἀναγνόντα τὸν Κῦρον καὶ θαυμάσαντα τὸ θεῖον ὁρμή τις ἔλαβε καὶ φιλοτιμία ποιῆσαι τὰ γεγραμμένα· καλέσας τε τοὺς ἐπιφανεστάτους τῶν ἐν Βαβυλῶνι Ἰουδαίων συγχωρεῖν αὐτοῖς ἔφη βαδίζειν εἰς τὴν αὐτῶν πατρίδα, καὶ ἀναστῆσαι τὴν πόλιν Ἱεροσόλυμα καὶ τὸν τοῦ Θεοῦ ναόν· ἔσεσθαι γὰρ αὐτοῖς καὶ τοῦτον σύμμαχον, αὐτόν τε γράψειν τοῖς γειτονεύουσιν ἐκείνῃ τῇ χώρᾳ τῶν Ἰουδαίων ἡγεμόνων καὶ σατραπῶν, ἵνα συμβάλωνται χρυσὸν αὐτοῖς καὶ ἄργυρον εἰς τὴν οἰκοδομίαν τοῦ ναοῦ, καὶ πρὸς τούτοις θρέμματα πρὸς τὰς θυσίας.

γ'. Ταῦτα Κύρου καταγγείλαντος τοῖς Ἰσραηλίταις, ἐξώρμησαν οἱ τῶν δύο φυλῶν ἄρχοντες τῆς Ἰούδα καὶ τῆς Βενιαμίτιδος, οἵ τε Λευῖται καὶ ἱερεῖς εἰς τὰ Ἱεροσόλυμα. Πολλοὶ δὲ κατέμειναν ἐν τῇ Βαβυλῶνι, τὰ

5. Quomodo post illum Xerxes ejus filius summa Judæos benevolentia prosequutus est.

6. Quod, Artaxerxe regnante, tota Judæorum gens in extremum discrimen propemodum adducta erat, dolo Amani.

7. Quomodo Bagoas, qui Artaxerxis junioris exercitui cum imperio præerat, Judæos multis injuriis affecit.

8. Quanta beneficia illis contulit Alexander Macedonum rex, postquam Judæam subegerat.

Continet hic liber tempus annorum CCLIII, menses V.

CAP. I.

Anno regni Cyri primo (iste autem erat septuagesimus ab illo die quo populum nostrum contigit e suis sedibus Babylonem migrare) Deum miseratio subiit captivitatis et ærumnarum, quas miseri isti tulerunt, sicuti ipsis per Hieremiam vatem prædixerat ante urbis excidium, quod post quam servierint Nabuchodonosoro ejusque posteris, et hanc sustinuerint servitutem per annos septuaginta, rursus eos in patriam terram restituet, eritque ut templum ædificent, et pristinam felicitatem consequantur. Ista illis præstitit. Nam quum Cyri animum exsuscitasset, effecit ut ille per universam Asiam scriberet, Cyrum regem dicere, « quo« niam me Deus maximus orbis terrarum regem constituit, « hunc illum esse credo quem Israelitarum gens adorat. Is « enim meum nomen per vastes prædixit, et quod ipsius « templum instauraturus sim Hierosolymis in terra Ju« dæa. »

2. Hæc autem Cyrus cognovit ex lectione vaticiniorum libri quem Esaias ante annos ducentos et decem reliquit. Hic enim secreto Deum ista enunciare dicebat, « Cyrum ego « volo, quem multarum et magnarum gentium regem con« stitui, populum meum in propriam terram remittere, tem« plumque meum ædificare. » Hæc Esaias prædixit, centum et quadraginta annis antequam templum dirutum est. Illa itaque dum legeret Cyrus, Deique numen miraretur, cupido eum incessit studiumque exsequendi quæ scripta erant : accitisque illustrissimis apud Babylonem Judæis dixit, se illis potestatem facere in patriam suam eundi, urbemque Hierosolyma et templum Dei iterum suscitandi : fore enim et hunc illis adjutorem, ipsumque scripturum esse ducibus et satrapis in vicinia istius Judæorum regionis, ut conferant eis aurum atque argentum ad templi fabricam, insuper et pecora in sacrificia.

3. Ista Cyrus quum Israelitis dixisset, duarum tribuum principes, Judæ et Benjaminis, simulque Levitæ et sacerdotes, propere se Hierosolyma contulerunt. Multi vero apud Babylonem manserunt, nolentes possessiones suas

κτήματα καταλιπεῖν οὐ θέλοντες. Καὶ παραγινομένοις αὐτοῖς οἱ τοῦ βασιλέως φίλοι πάντες ἐβοήθουν καὶ συνεισέφερον εἰς τὴν τοῦ ναοῦ κατασκευὴν οἱ μὲν χρυσὸν, οἱ δὲ ἄργυρον, οἱ δὲ βοσκημάτων πλῆθος σὺν ἵπποις· καὶ τάς τε εὐχὰς ἀπεδίδοσαν τῷ Θεῷ καὶ τὰς νομιζομένας κατὰ τὸ παλαιὸν θυσίας ἐπετέλουν, ὥσπερ ἀνακτιζομένης αὐτοῖς τῆς πόλεως καὶ ἀναβιούσης τῆς ἀρχαίας περὶ τὴν θρησκείαν συνηθείας. Ἀπέπεμψε δὲ αὐτοῖς Κῦρος καὶ τὰ σκεύη τοῦ Θεοῦ, ἃ συλήσας τὸν ναὸν βασιλεὺς Ναβουχοδονόσορος εἰς τὴν Βαβυλῶνα ἐκόμισε. Παρέδωκε δὲ ταῦτα φέρειν Μιθριδάτῃ τῷ γαζοφύλακι αὐτοῦ, προστάξας δοῦναι αὐτὰ Ἀβασσάρῳ, ὅπως φυλάττῃ μέχρι τῆς οἰκοδομίας τοῦ ναοῦ, τελεσθέντος δὲ αὐτοῦ παραδῷ τοῖς ἱερεῦσι καὶ ἄρχουσι τοῦ πλήθους, εἰς τὸν ναὸν ἀποδοθησόμενα. Πέμπει δὲ καὶ ἐπιστολὴν πρὸς τοὺς ἐν Συρίᾳ σατράπας Κῦρος τάδε λέγουσαν.

Βασιλεὺς Κῦρος Σισίνῃ καὶ Σαραβασάνῃ χαίρειν.

« Ἰουδαίων τῶν ἐν τῇ ἐμῇ χώρᾳ κατοικούντων ἐπέ« τρεψα τοῖς βουλομένοις εἰς τὴν ἰδίαν ἀπελθοῦσι πα« τρίδα τήν τε πόλιν ἀνακτίσαι καὶ τὸν ναὸν οἰκοδομῆ« σαι τὸν ἐν Ἱεροσολύμοις τοῦ Θεοῦ, ἐπὶ τοῦ αὐτοῦ τό« που ἐφ' οὗ καὶ πρότερον. Κατέπεμψα δέ μου καὶ τὸν « γαζοφύλακα Μιθριδάτην καὶ Ζοροβάβηλον τὸν ἄρ« χοντα τῶν Ἰουδαίων, ἵνα θεμελίους βάλωνται τοῦ ναοῦ « καὶ οἰκοδομήσωσιν αὐτὸν, ὕψος μὲν ἑξήκοντα πηχῶν, « τῶν δ' αὐτῶν καὶ τὸ εὖρος, λίθου μὲν ξεστοῦ τρεῖς « ποιησάμενοι δόμους καὶ ἕνα ξύλινον ἐγχώριον, ὁμοίως « δὲ καὶ θυσιαστήριον ἐφ' οὗ θύωσι τῷ Θεῷ. Τὴν δὲ « εἰς ταῦτα δαπάνην ἐκ τῶν ἐμαυτοῦ γενέσθαι βούλο« μαι. Καὶ τὰ σκεύη δέ, ἃ ἐσύλησεν ἐκ τοῦ ναοῦ Ναβου« χοδονόσορος ὁ βασιλεὺς, ἔπεμψα παραδοὺς Μιθριδάτῃ « τῷ γαζοφύλακι καὶ Ζοροβαβήλῳ τῷ ἄρχοντι τῶν Ἰου« δαίων, ἵνα διακομίσωσιν εἰς Ἱεροσόλυμα καὶ ἀποκα« ταστήσωσιν εἰς τὸν ναὸν τοῦ Θεοῦ. Ὁ δὲ ἀριθμὸς « αὐτῶν ἐστι τοσοῦτος· ψυκτῆρες χρύσεοι πεντήκοντα, « ἀργύρεοι πεντακόσιοι, Θηρίκλεια χρύσεα τεσσαρά« κοντα, ἀργύρεα πεντακόσια, κάδοι χρύσεοι πεντή« κοντα, ἀργύρεοι πεντακόσιοι, σπονδεῖα χρύσεα τριά« κοντα, ἀργύρεα τριακόσια, φιάλαι χρύσεαι τριάκοντα, « ἀργύρεαι δισχίλιαι τετρακόσιαι, σκεύη τε ἄλλα με« γάλα χίλια. Συγχωρῶ δὲ αὐτοῖς καὶ τὴν ἐκ προγόνων « εἰθισμένην τιμὴν, κτηνῶν καὶ οἴνου καὶ ἐλαίου δρα« χμὰς εἴκοσι μυριάδας πεντακισχιλίας καὶ πεντακοσίας, « καὶ εἰς σεμίδαλιν πυρῶν ἀρτάβας δισμυρίας πεντα« κοσίας. Κελεύω δὲ τὴν τούτων χορηγίαν ἐκ τῶν τῆς « Σαμαρείας γίνεσθαι φόρων. Ἐποίσουσι δὲ τὰ ἱερεῖα « ταῦτα κατὰ τοὺς Μωϋσέως νόμους οἱ ἱερεῖς ἐν Ἱερο« σολύμοις, καὶ προσφέροντες εὔξονται τῷ Θεῷ περὶ « σωτηρίας τοῦ βασιλέως καὶ τοῦ γένους αὐτοῦ, ὅπως « ἡ Περσῶν βασιλεία διαμένῃ. Τοὺς δὲ παρακούσαν« τας τούτων καὶ ἀκυρώσαντας ἀνασταυρωθῆναι βού« λομαι καὶ τὰς οὐσίας αὐτῶν εἶναι βασιλικάς ». Καὶ ἡ μὲν ἐπιστολὴ ταῦτα ἐδήλου· τῶν δ' ἐκ τῆς αἰχμα-

relinquere. Quumque eo pervenissent, omnes regis amici illis adjumento erant, et ad templi structuram conferebant, alii quidem aurum, alii vero argentum, rursusque alii magnam vim pecorum simul et equos : tumque et vota Deo solverunt, et consuetas olim victimas mactarunt, quasi jam urbs illis instaurata esset, et antiqua revivisceret sacrorum solennitas. Cyrus autem illis remisit et vasa Dei, quæ rex Nabuchodonosorus, templo spoliato, Babylonem deportaverat : atque ista perferenda tradidit Mithridati suo quæstori, cum mandatis ut illa Abassaro daret, ea lege ut illa asservaret usquedum templum ædificatum esset, eoque absoluto traderet sacerdotibus populique principibus templo restituenda. Quin et epistolam misit Cyrus ad Syriæ satrapas, in hanc sententiam.

Cyrus rex Sisinæ et Sarabasanæ salutem.

« Judæis in mea terra habitantibus, quicunque volunt, « permisi, in patriam suam profectis, et civitatem suam « instaurare, et templum Dei Hierosolymis ædificare, in « eodem quo antea fuerat loco. Misi autem eo etiam quæ« storem meum Mithridaten et Zorobabelum Judæorum « principem, ut templi fundamenta jaciant, illudque ex« struant, ut altitudo quidem sexaginta, latitudo vero toti« dem etiam pateret cubitos, trinis politorum saxorum « ordinibus, et uno ligneo ex ipsius provinciæ arboribus, « similiter et altare in quo Deo sacrificent. Sumptus vero « in ista de meo suppeditari volo. Vasa quoque, quæ « rex Nabuchodonosorus e templo sustulerat, tradidi in « manus Mithridatis quæstoris mei, et Zorobabeli Judæorum « principis, ut ea perferant Hierosolyma, et in templum « Dei restituant reponantque. Numerus autem illorum ita « se habet : refrigeratoria aurea quinquaginta, argentea « quingenta; pocula Thericlea aurea quadraginta, argentea « quingenta; situlæ aureæ quinquaginta, argenteæ quingen« tæ; libatoria aurea triginta, argentea trecenta; phialæ « aureæ triginta, argenteæ bis mille et quadringentæ, et « mille insuper vasa magna. Concedo etiam illis eosdem « honores, quibus et majores eorum usi sunt, pro pecudi« bus et vino et oleo drachmarum ducenta et quinque millia « et quingentas, et triticeæ similæ artabas viginti millia et « quingentas. Jubeo autem ut horum copia illis fiat ex « Samariæ tributis. Atque istas victimas immolabunt sa« cerdotes Hierosolymis juxta ritus Moysaicos, et intra sa« era Deum precabuntur pro salute regis ejusque sobolis, « ut regnum Persarum diuturnum sit. Quicunque istis « non paruerint, eaque irrita fecerint, eos crucis patibulo « affigi volo, et bona eorum redigi in fiscum regium. » Et in hanc quidem sententiam scripta erat epistola : eorum

λωσίας συνελθόντων εἰς Ἱεροσόλυμα μυριάδες ἦσαν τέσσαρες καὶ δισχίλιοι, τετρακόσιοι καὶ ἑξήκοντα δύο.

ΚΕΦ. Β'.

Βαλλομένων δὲ τοὺς θεμελίους τοῦ ναοῦ καὶ περὶ τὴν οἰκοδομὴν αὐτοῦ λίαν ἐσπουδακότων, τὰ πέριξ ἔθνη, καὶ μάλιστα τὸ Χουθαίων (οὓς ἐκ τῆς Περσίδος καὶ Μηδικῆς ἀγαγὼν Σαλμανασάρης ὁ τῶν Ἀσσυρίων βασιλεὺς κατῴκισεν ἐν Σαμαρείᾳ, ὅτε τὸν τῶν Ἰσραηλιτῶν λαὸν ἀνάστατον ἐποίησε) παρεκάλουν τοὺς σατράπας καὶ τοὺς ἐπιμελομένους ἐμποδίζειν τοὺς Ἰουδαίους πρός τε τὴν τῆς πόλεως ἀνάστασιν καὶ τὴν τοῦ ναοῦ κατασκευήν. Οἱ δὲ καὶ χρήμασι διαφθαρέντες ὑπ' αὐτῶν ἀπημπόλησαν τοῖς Χουθαίοις τὸ περὶ τοὺς Ἰουδαίους ἀμελὲς καὶ ῥᾴθυμον τῆς οἰκοδομίας. Κύρῳ γὰρ περί τε ἄλλους ἀσχοληθέντι πολέμους ἄγνοια τούτων ἦν καὶ στρατευσαμένῳ ἐπὶ Μασσαγέτας ἐκεῖ συνέβη τελευτῆσαι τὸν βίον. Καμβύσου δὲ τοῦ Κύρου παιδὸς τὴν βασιλείαν παραλαβόντος, οἱ ἐν Συρίᾳ καὶ Φοινίκῃ καὶ Ἀμμανίτιδι καὶ Μωαβίτιδι καὶ Σαμαρείᾳ γράφουσιν ἐπιστολὴν Καμβύσῃ δηλοῦσαν τάδε. « Δέσποτα, οἱ παῖδές « σου, Ῥάθυμος ὁ πάντα τὰ πραττόμενα γράφων καὶ « Σεμέλιος ὁ γραμματεὺς καὶ οἱ τῆς βουλῆς τῆς ἐν Συ« ρίᾳ καὶ Φοινίκῃ κριταί. Γινώσκειν σε δεῖ, βασιλεῦ, « ὅτι Ἰουδαῖοι οἱ εἰς Βαβυλῶνα ἀναχθέντες ἐληλύθασιν « εἰς τὴν ἡμετέραν, καὶ τὴν τε πόλιν τὴν ἀποστάτιν « καὶ πονηρὰν οἰκοδομοῦσι καὶ τὰς ἀγορὰς αὐτῆς, καὶ « ἐπισκευάζουσι τὰ τείχη καὶ ναὸν ἀνεγείρουσι. Ἴσθι « μέντοι γε τούτων γενομένων οὔτε φόρους αὐτοὺς τελεῖν « ὑπομενοῦντας οὔτε ὑπακούειν ἐθελήσοντας, ἀλλὰ καὶ « βασιλεῦσιν ἀντιστήσονται καὶ ἄρχειν μᾶλλον ἢ ὑπα« κούειν ἐθελήσουσιν. Ἐνεργουμένων οὖν τῶν περὶ « τὸν ναὸν καὶ σπουδαζομένων καλῶς ἔχειν ἔδοξεν ἡμῖν « γράψαι σοι, βασιλεῦ, καὶ μὴ περιιδεῖν, ὅπως ἐπισκέψῃ « τὰ τῶν πατέρων σου βιβλία. Εὑρήσεις γὰρ ἐν αὐτοῖς « ἀποστάτας καὶ τῶν βασιλέων ἐχθροὺς Ἰουδαίους καὶ « τὴν πόλιν αὐτῶν, ἣ διὰ τοῦτο καὶ νῦν ἠρημώθη. Ἔ« δοξε δ' ἡμῖν καὶ τοῦτό σοι δηλῶσαι, ἀγνοούμενον ἴσως, « ὅτι τῆς πόλεως οὕτω συνοικισθείσης καὶ τὸν κύκλον « τῶν τειχῶν ἀπολαβούσης ἀποκλείεταί σοι ἡ ὁδὸς ἡ « ἐπὶ Κοίλην Συρίαν καὶ Φοινίκην. »

β'. Ἀναγνοὺς δὲ ὁ Καμβύσης τὴν ἐπιστολήν, καὶ φύσει πονηρὸς ὢν, κινεῖται πρὸς τὰ δεδηλωμένα, καὶ γράφει τάδε λέγων. « Βασιλεὺς Καμβύσης Ῥαθύμῳ τῷ « γράφοντι τὰ προσπίπτοντα καὶ Βελσέμῳ καὶ Σεμελίῳ « γραμματεῖ καὶ τοῖς λοιποῖς τοῖς συντασσομένοις καὶ « οἰκοῦσιν ἐν Σαμαρείᾳ καὶ Φοινίκῃ, τάδε λέγει. Ἀνα« γνοὺς τὰ πεμφθέντα μοι παρ' ὑμῶν γράμματα, ἐκέ« λευσα ἐπισκέψασθαι τὰ τῶν προγόνων μου βιβλία, « καὶ ηὑρέθη ἡ πόλις ἐχθρὰ βασιλεῦσιν ἀεὶ γεγενημένη, « καὶ στάσεις καὶ πολέμους οἱ ἐνοικοῦντες πραγματευ« σάμενοι· καὶ βασιλεῖς αὐτῶν ἔγνωμεν δυνατοὺς καὶ

vero, qui e captivitate convenerunt Hierosolyma, myriades erant quattuor, duo millia et quadringenti sexaginta duo.

CAP. II.

Hi dum templi fundamenta jaciunt atque ei ædificando omni studio incubuerunt, gentes finitimæ, præsertimque Chuthæi (quos e Perside ac Media traductos Salmanasares Assyriorum rex in Samaria collocavit, quum Israelitarum populum inde migrare fecisset) rogabant satrapas et eos qui operibus præerant ut Judæos in urbe instauranda temploque exstruendo impedirent. Atque illi largitionibus etiam ab istis corrupti Chuthæis fidem pretio addictam dederunt fore ut Judæorum res negligerent et in ædificatione seguiter agerent. Cyrus enim, dum in aliis bellis occupatus erat, ista ignorabat, eique, quum adversus Massagetas duxisset exercitum, illic vitam finire contigit. Quum autem Cambyses Cyri filius in regnum successisset, Syrorum quidam et Phœnicum et Ammanitarum et Moabitarum et Samaritanorum ad eum literas scripserunt in hunc modum. « Domine, servi tui, Rathymus commentariensis, « et Semelius scriba, atque concilii in Phœnice et Syria « præsides. Cognoscere te oportet, rex, Judæos, qui « Babylonem deducti fuerant, in regionem nostram ve« nisse, urbemque rebellem et improbam ædificare, simul « et fora ejus atque mœnia instaurare, et templum ex« struere. Nunc scito, si ista fuerint absoluta, quod nec « tributum pendere sustinebunt, nec imperata facere vo« lent, sed et regibus resistent, et imperare potius quam « servire parati erunt. Itaque quum templi fiat opus et in « eo laboretur, nobis optimum visum est scribere ad te, « rex, et non negligere, ut inspicias majorum tuorum com« mentarios. In illis enim invenies Judæos defectionum « auctores et animis in reges inimicis, similiter et ipsorum « urbem, quæ propter hanc causam etiam nunc vastata est. « Nobis autem visum est et hoc tibi indicare, quod forsan « nescias, si urbs ita fuerit instaurata et mœnibus cincta, « nullam tibi deinceps in Cœlen-Syriam et Phœnicen patere « viam. »

2. Cambyses vero postquam legerat epistolam, cum esset natura improbus, iis quæ declaraverant irritatus est, et hoc modo rescripsit : « Cambyses rex Rathymo commenta« riensi et Belsemo et Semelio scribæ reliquisque eorum so« ciis et in Samaria et Phœnice degentibus hæc dicit. Lectis « quas misistis literis, meo jussu inspecti sunt majorum « meorum commentarii, et inventum est hanc urbem per« petuo regibus infestam fuisse, ejusque incolas seditionum « et bellorum causas exstitisse : ac reges illorum comperi-

« βιαίους, φορολογήσαντας Κοίλην Συρίαν καὶ Φοινί-
« κην. Ἐγὼ τοίνυν προσέταξα μὴ συγχωρεῖν τοῖς
« Ἰουδαίοις ἀνοικοδομεῖν τὴν πόλιν, μὴ ἐπὶ πλέον αὐ-
« ξηθῇ τὰ τῆς κακίας αὐτῶν, ἢ χρώμενοι πρὸς τοὺς βα-
« σιλεῖς διατετελέκασι. » Τούτων ἀναγνωσθέντων τῶν γραμμάτων, ὁ Ῥάθυμος καὶ Σεμέλιος ὁ γραμματεὺς καὶ οἱ τούτοις συντεταγμένοι, παραχρῆμα ἐπιπηδήσαντες ἵπποις ἔσπευσαν εἰς Ἱεροσόλυμα, πλῆθος ἐπαγόμενοι πολύ, καὶ διεκώλυσαν οἰκοδομεῖν τοὺς Ἰουδαίους τὴν πόλιν καὶ τὸν ναόν. Καὶ ταῦτα μὲν ἐπεσχέθη τὰ ἔργα μέχρι τοῦ δευτέρου ἔτους τῆς Δαρείου βασιλείας τῶν Περσῶν ἐπ' ἄλλα ἔτη ἐννέα. Καμβύσης γὰρ ἓξ ἔτη βασιλεύσας, καταστρεψάμενος ἐν τούτοις τὴν Αἴγυπτον, ὑποστρέψας ἐτελεύτησεν ἐν Δαμασκῷ.

ΚΕΦ. Γ'.

Μετὰ δὲ τὴν τῶν Μάγων ἀναίρεσιν, οἳ μετὰ τὸν Καμβύσου θάνατον τὴν Περσῶν ἀρχὴν ἐνιαυτῷ κατέσχον, οἱ λεγόμενοι ἑπτὰ οἶκοι τῶν Περσῶν τὸν Ὑστάσπου παῖδα Δαρεῖον ἀπέδειξαν βασιλέα. Οὗτος ἰδιώτης ὢν ηὔξατο τῷ Θεῷ, εἰ γένοιτο βασιλεὺς, πάντα τὰ σκεύη τοῦ Θεοῦ, ὅσα ἦν ἔτι ἐν Βαβυλῶνι, πέμψειν εἰς τὸν ναὸν τὸν ἐν Ἱεροσολύμοις. Ἔτυχε δὲ κατ' ἐκεῖνον τὸν καιρὸν ἀφικόμενος πρὸς Δαρεῖον ἐξ Ἱεροσολύμων Ζοροβάβηλος, ὃς τῶν αἰχμαλώτων Ἰουδαίων ἡγεμὼν ἀπεδέδεικτο· πάλαι γὰρ ἦν αὐτῷ φιλία πρὸς τὸν βασιλέα· ᾧ δὴ καὶ σωματοφυλακεῖν αὐτὸν μετ' ἄλλων δύο κριθεὶς ἄξιος ἀπέλαυεν ἧς ἤλπισε τιμῆς.

β'. Τῷ δὲ πρώτῳ τῆς βασιλείας ἔτει Δαρεῖος ὑποδέχεται λαμπρῶς καὶ μετὰ πολλῆς παρασκευῆς τούς τε περὶ αὐτὸν καὶ τοὺς οἴκοι γεγονότας καὶ τοὺς τῶν Μήδων ἡγεμόνας καὶ σατράπας τῶν Περσῶν, καὶ τοπάρχους τῆς Ἰνδικῆς ἄχρι τῆς Αἰθιοπίας, καὶ τοὺς στρατηγοὺς τῶν ἑκατὸν εἴκοσι καὶ ἑπτὰ σατραπειῶν. Ἐπεὶ δὲ κατευωχηθέντες ἄχρι κόρου καὶ πλησμονῆς ἀνέλυσαν κοιμηθησόμενοι παρ' αὐτοῖς ἕκαστοι, Δαρεῖος ὁ βασιλεὺς ἐλθὼν ἐπὶ τὴν κοίτην, καὶ βραχὺ τῆς νυκτὸς ἀναπαυσάμενος, ἔξυπνος γίνεται· καὶ μηκέτι καταικοιμηθῆναι δυνάμενος εἰς ὁμιλίαν τρέπεται μετὰ τῶν τριῶν σωματοφυλάκων, καὶ τῷ λόγον ἐροῦντι περὶ ὧν αὐτὸς ἀναχρίνειν μέλλει τὸν ἀληθέστερον καὶ συνετώτερον, τούτῳ γέρας δώσειν ὑπισχνεῖται νικητήριον, πορφύραν ἐνδύσασθαι, καὶ ἐν ἐκπώμασι χρυσοῖς πίνειν, καὶ ἐπὶ χρυσίου καθεύδειν, καὶ ἅρμα χρυσοχάλινον, καὶ κίδαριν βυσσίνην, καὶ περιαυχένιον χρύσεον, καὶ μετ' αὐτὸν ἕξειν προεδρίαν διὰ τὴν σοφίαν, καὶ συγγενής μου, ἔφη, κληθήσεται. Ταύτας ἐπαγγειλάμενος αὐτοῖς παρέξειν τὰς δωρεὰς ἐρωτᾷ μὲν τὸν πρῶτον εἰ ὁ οἶνος ὑπερισχύει, τὸν δεύτερον δὲ εἰ οἱ βασιλεῖς, τὸν τρίτον δὲ εἰ αἱ γυναῖκες, ἢ τούτων μᾶλλον ἡ ἀλήθεια. Ταῦτα προθεὶς αὐτοῖς ζητεῖν ἡσύχασεν. Ὄρθρου δὲ μεταπεμψάμενος τοὺς μεγιστᾶνας καὶ σατράπας καὶ τοπάρχους τῆς Περσίδος καὶ Μηδικῆς, καὶ καθίσας ἐν ᾧ χρηματίζειν εἰώθει τόπῳ, τῶν σωματοφυλάκων ἕκαστον ἐκέλευσε πάν-

« mus potentes et violentos fuisse, et tributa ex Cœle-Syria
« et Phœnicia legisse. Quapropter ego imperavi Judæos ab
« urbis ædificatione impediri, ne inde in majus provehatur
« eorum malitia, qua hactenus in regum detrimentum usi
« sunt. » His literis perlectis, Rathymus et Semelius scriba eorumque collegæ, e vestigio conscensis equis, Hierosolyma properarunt, ducta secum magna hominum multitudine, et Judæos prohibuerunt ab urbe temploque ædificando. Et hæc quidem opera novem aliis annis intermissa jacuerunt usque ad annum secundum regni Darii Persarum regis. Cambyses enim, quum per sexennium regnasset, illoque tempore Ægyptum subegisset, inde reversus apud Damascum diem obiit supremum.

CAP. III.

Sublatis autem Magis, qui post Cambysis obitum regnum anno tenuerunt, septem Persarum domus, ut appellantur, Darium Hystaspis filium regem crearunt. Is, quum adhuc privatus esset, voverat Deo, si regnum adipisceretur, quicquid sacrorum vasorum apud Babylonem supererat, remissurum ad fanum Hierosolymitanum. Venerat autem ad Darium ex Hierosolymis sub illud tempus Zorobabelus, qui captivorum Judæorum princeps fuerat constitutus. Erat enim ab antiquo eidem cum rege amicitia. Quo factum est ut cum aliis duobus corporis ipsius custodiæ adhibitus honorem quem speraverat consequutus fuerit.

2. Primo autem regni anno Darius splendide et magno cum apparatu excepit eos qui circa ipsum erant et domi suæ natos et Medorum principes et Persarum satrapas et Indiæ toparchas ad Æthiopiam usque, militiæque duces in centum viginti septem satrapiis. Qui ut abunde et ad satietatem epulati cubitum discesserant ad suum quisque deversorium, Darius rex, quum ad lectum se recepisset, et paululum noctis requievisset, expergefactus est; et quum non amplius somnum capere posset, confabulari cœpit cum tribus satellitibus, atque ei, qui sententiam veriorem et sapientiorem tulerit de rebus quas ex illis quæsiturus esset, in victoriæ præmium daturum esse promittit ut purpura vestiretur, poculis aureis biberet, in auro dormiret, aureis frænis currum, byssinamque cidarim, et torquem aureum circa collum haberet, ut secundus ab ipso propter sapientiam suam sederet, meusque, inquit, cognatus vocabitur. Hæc in eos munera collaturum se pollicitus, primum quidem interrogavit an vinum præpolleret, secundum vero an reges, tertium vero an mulieres, an forte veritas magis quam hæc omnia. Postquam ista illis proposuerat, quievit. Mane autem, quum accersivisset megistanas et satrapas et toparchas Persidis et Mediæ, in solio collocatus ubi jus reddere consuevit, jussit

των ἀκουόντων ἀποφαίνεσθαι τὸ δοκοῦν αὐτῷ περὶ τῶν προκειμένων.

γ'. Καὶ ὁ πρῶτος ἤρξατο λέγειν τὴν τοῦ οἴνου δύναμιν, οὕτως αὐτὴν ἐμφανίζων. « Ἄνδρες γὰρ, εἶπεν, ἐγὼ « τὴν ἰσχὺν τοῦ οἴνου τεκμαιρόμενος πάντα ὑπερβάλ- « λουσαν εὑρίσκω τούτῳ τῷ τρόπῳ. Σφάλλει γὰρ τῶν « πινόντων αὐτὸν καὶ ἀπατᾷ τὴν διάνοιαν, καὶ τὴν τοῦ « βασιλέως τῇ τοῦ ὀρφανοῦ καὶ δεομένου κηδεμόνος « ὁμοίαν τίθησι, καὶ τὴν τοῦ δούλου διεγείρει πρὸς παρ- « ρησίαν τοῦ ἐλευθέρου, ἥ τε τοῦ πένητος ὁμοία γίνε- « ται τῇ τοῦ πλουσίου. Μεταποιεῖ γὰρ καὶ μεταγεννᾷ « τὰς ψυχὰς ἐν αὑταῖς γενόμενος, καὶ τῶν μὲν ἐν συμ- « φορᾷ καθεστηκότων σβέννυσι τὸ λυποῦν, τοὺς δὲ ἀλ- « λότρια χρέα λαβόντας εἰς λήθην ἄγει, καὶ ποιεῖ δο- « κεῖν αὐτοὺς ἁπάντων πλουσιωτάτους, ὡς μηδὲν μὲν « μικρὸν φθέγγεσθαι, ταλάντων δὲ μεμνῆσθαι, καὶ τῶν « τοῖς εὐδαίμοσι προσηκόντων ὀνομάτων. Ἔτι γε μὴν « στρατηγῶν καὶ βασιλέων ἀναισθήτους ἀπεργάζεται, « καὶ φίλων καὶ συνήθων ἐξαιρεῖ μνήμην. Ὁπλίζει γὰρ « τοὺς ἀνθρώπους καὶ κατὰ τῶν φιλτάτων, καὶ δοκεῖν « ποιεῖ πάντων ἀλλοτριωτάτους· καὶ ὅταν νήψαντες τύ- « χωσι καὶ καταλίπῃ διὰ τῆς νυκτὸς αὐτοὺς ὁ οἶνος « κοιμωμένους, ἀνίστανται μηδὲν ὧν ἔπραξαν παρὰ τὴν « μέθην εἰδότες. Τούτοις ἐγὼ τεκμαιρόμενος εὑρίσκω « τὸν οἶνον ὑπερκρατοῦντα πάντων καὶ βιαιότατον. »

δ'. Ὡς δ' ὁ πρῶτος ἀποφηνάμενος περὶ τῆς ἰσχύος τοῦ οἴνου τὰ προειρημένα ἐπαύσατο, ὁ μετ' αὐτὸν ἤρξατο λέγειν περὶ τῆς τοῦ βασιλέως δυνάμεως, ταύτην ἀποδεικνὺς τὴν ἰσχυροτάτην καὶ πλέον τῶν ἄλλων δυναμένην, ὅσα βίαν ἔχειν ἢ σύνεσιν δοκεῖ. Τὸν δὲ τρόπον τῆς ἀποδείξεως ἐντεῦθεν ἐλάμβανεν. « Ἁπάντων μέν, « εἶπεν, ἀνθρώπους περικρατεῖν, οἳ καὶ τὴν γῆν καὶ τα- « ναγκάζουσι καὶ τὴν θάλασσαν εἶναι χρησίμην αὐτοῖς « πρὸς ἃ θέλουσι, τούτων δ' ἄρχουσιν οἱ βασιλεῖς καὶ « τὴν ἐξουσίαν ἔχουσιν· οἱ δὲ τοῦ κρατίστου καὶ ἰσχυρο- « τάτου ζῴου δεσπόζοντες, ἀνυπέρβλητοι τὴν δυνάμιν « οὗτοι καὶ τὴν ἰσχὺν εἰκότως ἂν εἶεν. Ἀμέλει πολέμους « ἐπιτάττοντες καὶ κινδύνους τοῖς ἀρχομένοις ἀκούονται, « καὶ πέμποντες αὐτοὺς ἐπὶ τοὺς ἐχθροὺς καταπειθεῖς « διὰ τὴν ἰσχὺν τὴν αὐτῶν ἔχουσι· καὶ ὀρὴ μὲν κατερ- « γάζεσθαι καὶ τείχη κατασπᾶν καὶ πύργους κελεύουσι. « Καὶ κτείνεσθαι δὲ οἱ κελευσθέντες καὶ κτείνειν ὑπο- « μένουσιν, ἵνα μὴ τὰ τοῦ βασιλέως δόξωσι παραβαί- « νειν προστάγματα. Νικήσαντες δὲ τὴν ὠφέλειαν τὴν « ἐκ τοῦ πολέμου τῷ βασιλεῖ κομίζουσι. Καὶ οἱ μὴ « στρατευόμενοι δὲ, ἀλλὰ γῆν ἐργαζόμενοι καὶ ἀροῦντες « ὅταν πονήσαντες καὶ πᾶσαν τὴν τῶν ἔργων ταλαιπω- « ρίαν ὑπομείναντες θερίσωσι καὶ τοὺς καρποὺς συνέ- « λωσι, τοὺς φόρους τῷ βασιλεῖ κομίζουσιν. Ὁ δ' ἂν « οὗτος εἴπῃ καὶ κελεύσῃ, τοῦτο ἐξ ἀνάγκης οὐδὲν ὑπερ- « βαλλόμενον γίνεται. Ἔπειθ' ὁ μὲν τρυφῆς ἁπάσης καὶ « ἡδονῆς ἀναπιμπλάμενος καθεύδει, φυλάσσεται δὲ ὑπὸ « γρηγορούντων καὶ ὡσανεὶ δεδεμένων ὑπὸ τοῦ φόβου· « καταλιπεῖν γὰρ οὐδεὶς τολμᾷ κοιμώμενον, οὐδὲ τῶν

unumquemque satellitum suam de iis quæ proposuerat sententiam declarare, omnibus audientibus.

3. Tum primus exorsus est dicere de vini potentia, ad hunc modum eam extollendo. « O viri, inquit, ego de vini « viribus conjecturam faciens, eas rebus omnibus prævalere « hisce indiciis comperio. Mentem enim eorum, a quibus « bibitur, fallit decipitque, ita ut reges similes fiant pupillis « et curatore egentibus, et servi ad eandem cum ingenuis « dicendi libertatem adspirent, et pauperes cum divitibus « adæquentur. Animas enim, si forte eas ingrediatur, sub- « inde mutat, novamque illis vim ingenerat, ut quod et « calamitosis tristitiam adimit, et obæratos in æris alieni « oblivionem ducit, facitque ut sibimet videantur omnium « ditissimi, adeo ut nihil parvum loquantur, sed talenta « crepent, et alia id genus nomina quibus uti beatis conve- « niat. Præterea ducum aut regum meminisse non pati- « tur, nec memoria tenere amicos et familiares. Nam et ho- « mines armat etiam adversus sibi carissimos, facitque ut « appareant omnium alienissimi : quumque sobrii facti fue- « rint, et vinum nocte exhalando crapulam edormierint, « surgunt ignari omnium quæ per ebrietatem commiserant. « Ex hisce ego conjectura assequor vinum rerum omnium « potentissimum esse nihilque eo esse vehementius. »

4. Postquam primus, ista de vini viribus loquutus, siluit, proximus cœpit de regis potestate verba facere, eam ostendendo validissimam esse et majori vi pollere quam cetera, quæ vim aut intellectum habere videantur. Id quod et demonstrare conatus est ad hunc modum. « Omnium « quidem rerum dicebat penes homines esse imperium, qui « et terras et maria sibi ad quoscunque usus, velint nolint, « inservire faciunt, regibus autem in hos imperium esse « summamque potestatem : ac proinde qui dominatum ha- « bent in animalium fortissimum et validissimum, isti jure « merito censendi sunt ea esse potentia ac vi cui omnia ce- « dant necesse est. Quid quod, si subditis imperarint bella « suscipere et pericula adire, obtemperatur; et si eos ini- « micis obviam ire velint, propter potestatem suam obse- « quentes habent : atque est quidem quum jubeant ut montes « demoliantur, mœniaque et turres dejiciant. Quin et occidi « et occidere, si præcipiatur, nunquam recusant, ne regum « imperia haud ita, uti par est, exsequi videantur. Quodsi « vicerint, prædam bello partam regi afferunt. Rursum quia « militia abstinentes terram colunt exercentque, ubi, post « exantlatos labores operisque difficultates superatas, sata « messuerint et fructus collegerint, tributa regi afferunt. « Quicquid autem is dixerit jusserit ve, id necessitate coacti « sine mora et cunctatione faciunt. Tum ille quidem « omne genus deliciis et voluptatibus saturatus dormit, ab « aliis vero custoditur vigilantibus et quasi timore alligatis. « Nemo enim illum, dum somnum capit, audet relinquere,

« ἰδίων ἀναχωρήσας ποιεῖσθαι πρόνοιαν, ἀλλ' ἓν ἔργον
« ἡγούμενος ἀναγκαῖον τὸ φυλάττειν τὸν βασιλέα, τούτῳ
« προσμένει. Πῶς οὖν οὐκ ἂν ὁ βασιλεὺς δόξειε τὴν
« πάντων ἰσχὺν ὑπερβάλλειν, ᾧ τοσοῦτον πλῆθος πεί-
« θεται κελεύοντι; »

ε'. Σιωπήσαντος δὲ καὶ τούτου, περὶ τῆς τῶν γυναι-
κῶν καὶ τῆς ἀληθείας ὁ τρίτος Ζοροβάβηλος διδάσκειν
αὐτοὺς ἤρξατο, λέγων οὕτως. « Ἰσχυρὸς μὲν καὶ ὁ οἶνος
« καὶ ὁ βασιλεὺς, ᾧ πάντες ὑπακούουσιν, ἀλλὰ κρείττους
« τῇ δυνάμει τούτων αἱ γυναῖκες. Τόν τε γὰρ βασιλέα
« γυνὴ παρήγαγεν εἰς τὸ φῶς, καὶ τοὺς φυτεύσαντας
« ἀμπέλους, αἳ ποιοῦσι τὸν οἶνον, γυναῖκές εἰσιν αἱ τί-
« κτουσαί τε καὶ τρέφουσαι. Καθ' ὅλου δ' οὐδέν ἐστιν ὃ
« μὴ παρὰ τούτων ἔχομεν. Καὶ γὰρ τὰς ἐσθῆτας
« αὗται ὑφαίνουσιν ἡμῖν καὶ τὰ κατ' οἶκον διὰ ταύ-
« τας ἐπιμελείας καὶ φυλακῆς ἀξιοῦνται, καὶ οὐκ ἔστιν
« ἀποζευχθῆναι γυναικῶν, ἀλλὰ χρυσὸν πολὺν κτησά-
« μενοι καὶ ἄργυρον, καὶ ἄλλο τι τῶν πολυτελῶν καὶ
« σπουδῆς ἀξίων, ὅταν ἴδωμεν εὔμορφον γυναῖκα, πάντα
« ἐκεῖνα ἀφέντες τῷ εἴδει τῆς ὁραθείσης προσκεχήνα-
« μεν καὶ ὑπομένομεν παραχωρῆσαι τῶν ὄντων ἡμῖν,
« ἵνα τοῦ κάλλους ἀπολαύσωμεν καὶ μεταλάβωμεν.
« Ἐγκαταλείπομεν δὲ καὶ πατέρα καὶ μητέρα καὶ τὴν
« θρεψαμένην γῆν, καὶ τῶν φιλτάτων λήθην πολλάκις
« ἔχομεν διὰ τὰς γυναῖκας, καὶ τὰς ψυχὰς ἀφιέμεθα μετ'
« αὐτῶν καρτεροῦμεν. Οὕτω δ' ἂν μάλιστα τὴν ἰσχὺν
« τῶν γυναικῶν κατανοήσαιτε. Οὐχὶ πονοῦντες καὶ
« πᾶσαν ταλαιπωρίαν ὑπομένοντες καὶ διὰ γῆς καὶ θα-
« λάττης, ὅταν ἡμῖν περιγένηταί τινα ἐκ τῶν πόνων,
« αὐτὰ φέροντες ὡς δεσποίναις ταῖς γυναιξὶ διδόαμεν;
« καὶ τὸν βασιλέα δὲ τὸν τοσούτων κύριον εἶδόν ποτε
« ὑπὸ τῆς Ῥαβεζάκου τοῦ Θαυμασίου παιδὸς Ἀπάμης,
« παλλακῆς δ' αὐτοῦ, βαπτιζόμενον, καὶ τὸ διάδημα
« ἀφαιρουμένης καὶ τῇ ἰδίᾳ κεφαλῇ περιτιθείσης ἀνε-
« χόμενον, καὶ μειδιώσης μὲν μειδιῶντα, ὀργιζομένης δὲ
« σκυθρωπάζοντα, καὶ τῇ τῶν παθῶν μεταβολῇ κολα-
« κεύοντα τὴν γυναῖκα, καὶ διαλλάττοντα αὐτὴν ἐκ τοῦ
« σφόδρα ταπεινὸν αὐτὸν ποιεῖν, εἴ ποτε δυσχεραίνουσαν
« ἔβλεπεν. »

ς'. Εἰς ἀλλήλους δὲ ἀφορώντων τῶν σατραπῶν καὶ
ἡγεμόνων περὶ τῆς ἀληθείας ἤρξατο λέγειν, « ἀπέδειξα
« μὲν, εἰπὼν, ὅσον ἰσχύουσιν αἱ γυναῖκες· ἀσθενέστε-
« ραι δὲ ὅμως καὶ αὗται καὶ ὁ βασιλεὺς τῆς ἀληθείας
« ὑπάρχουσιν. Εἰ γάρ ἐστιν ἡ γῆ μεγίστη καὶ ὑψηλὸς
« ὁ οὐρανὸς καὶ ταχὺς δρόμῳ ὁ ἥλιος, ταῦτα δὲ πάντα
« κινεῖται κατὰ βούλησιν τοῦ Θεοῦ, ἀληθινὸς δέ ἐστιν
« οὗτος καὶ δίκαιος, ἀπὸ τῆς αὐτῆς αἰτίας δεῖ καὶ τὴν
« ἀλήθειαν ἰσχυροτάτην ἡγεῖσθαι, καὶ μηδὲν πρὸς αὐ-
« τὴν τὸ ἄδικον δυνάμενον. Ἔτι γε μὴν τὰ μὲν ἄλλα
« θνητὰ καὶ ὠκύμορα εἶναι συμβέβηκε, τῶν ἰσχὺν
« ἐχόντων, ἀθάνατον δὲ ἡ ἀλήθεια χρῆμα καὶ ἀίδιον.
« Παρέχει δὲ ἡμῖν οὐ κάλλος χρόνῳ μαρανόμενον, οὐδὲ
« περιουσίαν ἀφαιρετὴν ὑπὸ τύχης, ἀλλὰ τὰ δίκαια καὶ

« neque tantillum, ut sua curet negotia, discedere, sed regi
« custodiendo, id unum sibi necesse esse ut faciat existi-
« mans, assiduitatem adhibet. Idcirco fieri non potest
« quin rex omnium potentissimus sit, cui, si quid imperat,
« dicto audiens est tanta multitudo. »

5. Illo autem tacente, tertius Zorobabelus eos docere in-
cepit, quid valeant mulieres et veritas, hujusmodi oratione.
« Vinum quidem multum potest, et magnus est rex cui
« omnes obediunt, sed istis præpotentiores sunt mulieres.
« Nam et regem mulier in dias luminis oras protulit, et
« vinearum satores, ex quibus vinum gignitur, mulieres et
« pariunt et educant. In universum nihil est quod non illis
« acceptum debeamus. Nam et illæ nobis vestes texunt,
« illarumque beneficio est quod res domesticæ curentur et
« serventur : nec possumus vitam agere sine feminarum
« consortio : sed si multum auri comparaverimus et argenti,
« aliudve quidpiam pretiosum et magni faciendum, primo
« aspectu mulieris venustæ hæc omnia missa facimus, vi-
« sæque formam inhiamus; imo bonis nostris æquo animo
« cedimus, modo pulcritudine frui detur et potiri. Quin
« etiam patrem et matrem terramque altricem relinquimus,
« et in carissimorum sæpenumero oblivionem venimus
« propter mulieres, ac ne commori quidem cum illis refu-
« gimus. Ex hoc autem maxime licet intelligere quantam
« feminæ potestatem habeant. Nonne laborantes et omnem
« terra marique miseriam perferentes, id totum, quod la-
« bore paramus, uxoribus, veluti in nos imperium tenenti-
« bus, afferimus damusque? Regem etiam, tantarum rerum
« dominum, vidi aliquando ab Apame Rabezaci Thaumasii
« filia, ipsius concubina, alapis cædi, quum ille interea non
« indignaretur, quod illa ei de capite diadema abstulerit et
« sibi imposuerit, sed arridenti arrideret et succensenti tri-
« stis appareret, variosque induendo affectus mulieri blan-
« diretur, ipsamque sibi reconciliaret sese multum sum-
« mittendo, quandocunque eam ægre aliquid ferre animad-
« verteret. »

6. Hic quum duces et satrapæ inter sese contuerentur,
verba de veritate sic facere instituit. « Monstravi equidem,
« quantum mulieres polleant, debiles tamen istæ et rex, si
« cum veritate conferantur. Nam quum terra sit maxima,
« et cœlum excelsum, et sol cursu velox, et hæc omnia Dei
« voluntate moveantur, atque is verax sit et justus, conse-
« quitur ut veritas habeatur potentissima, quodque nihil
« contra eam iniquitas valeat. Quin et alia quidem, ex iis quæ
« pollere videntur, mortalia esse et caduca contigit, veri-
« tas vero res æterna est, vigetque in omnem perpetuitatem.
« Nobis autem non dat pulcritudinem quæ tempore mar-
« cescit, neque divitias quas fortuna solet auferre, sed justa

« τὰ νόμιμα, διακρίνουσα ἀπ' αὐτῶν τὰ ἄδικα καὶ « ἀπελέγχουσα. »

ζ'. Καὶ καταπαύει μὲν ὁ Ζοροβάβηλος τὸν περὶ τῆς ἀληθείας λόγον, ἐπιβοήσαντος δὲ τοῦ πλήθους ὡς ἄριστα εἰπόντος καὶ ὅτι τὸ ἀληθὲς ἰσχὺν ἄτρεπτον καὶ ἀγήρω μόνον ἔχοι, προσέταξεν αὐτὸν ὁ βασιλεὺς αἰτήσασθαί τι πάρεξ ὧν αὐτὸς ἦν ὑπεσχημένος· δώσειν γὰρ ὄντι σοφῷ καὶ τῶν ἄλλων μᾶλλον φανέντι συνετῷ. Συγκαθεσθήσῃ δέ μοι, φησὶ, καὶ κληθήσῃ συγγενὴς ἐμός. Ταῦτ' εἰπόντος, ὑπέμνησεν αὐτὸν τῆς εὐχῆς ἣν ἐποιήσατο, εἰ λάβοι τὴν βασιλείαν· αὕτη δ' ἦν ἀνοικοδομῆσαι μὲν Ἱεροσόλυμα, κατασκευάσας δὲ ἐν αὐτοῖς τὸν τοῦ Θεοῦ ναὸν, ἀποκαταστῆσαι δὲ καὶ τὰ σκεύη, ὅσα συλήσας Ναβουχοδονόσορος εἰς Βαβυλῶνα ἐκόμισε. Καὶ τοῦτο, ἔφη, τοὐμὸν αἴτημά ἐστιν ὅ μοι νῦν ἐπιτρέπεις αἰτήσασθαι, κριθέντι σοφῷ καὶ συνετῷ.

η'. Ἡσθεὶς ἐπὶ τούτοις ὁ βασιλεὺς, ἀναστὰς κατεφίλησέ τε αὐτὸν καὶ τοῖς τοπάρχοις καὶ σατράπαις γράφει, κελεύων προπέμψαι τὸν Ζοροβάβηλον καὶ τοὺς σὺν αὐτῷ μέλλοντας ἐπὶ τὴν οἰκοδομὴν ἐξιέναι τοῦ ναοῦ. Ἐπέστειλε δὲ καὶ τοῖς ἐν Συρίᾳ καὶ Φοινίκῃ ξύλα κέδρινα κατακομίζειν ἐν τοῦ Λιβάνου τεμόντας εἰς Ἱεροσόλυμα καὶ συγκατασκευάζειν αὐτῷ τὴν πόλιν. Καὶ πάντας ἔγραψεν ἐλευθέρους εἶναι τοὺς εἰς τὴν Ἰουδαίαν τῶν αἰχμαλώτων ἀπελθόντας, καὶ τοὺς αὐτοῦ ἐπιτρόπους καὶ σατράπας ἐκώλυσεν ἐπιτάττειν τοῖς Ἰουδαίοις τὰς βασιλικὰς χρείας· ἀνῆκέ τε πᾶσαν ἣν ἂν κατασχεῖν δυνηθῶσι τῆς χώρας ἀτελῆ φόρων αὐτοὺς νέμεσθαι. Προσέταξε δὲ καὶ τοὺς Ἰδουμαίους καὶ Σαμαρείτας καὶ τοὺς ἐκ τῆς Κοίλης Συρίας ἀφεῖναι τὰς κώμας ἃς τῶν Ἰουδαίων κατεῖχον, καὶ προσέτι τάλαντα πεντήκοντα εἰς τὴν οἰκοδομίαν τοῦ ἱεροῦ δοθῆναι. Θύειν τε αὐτοῖς τὰς νενομισμένας θυσίας ἐπέτρεψε· καὶ τὴν χορηγίαν ἅπασαν, καὶ τὴν ἱερὰν στολὴν, ᾗ θεραπεύουσι τὸν Θεὸν ὅ τε ἀρχιερεὺς καὶ οἱ ἱερεῖς, ἐκ τῶν ἰδίων γίνεσθαι, καὶ τοῖς Λευίταις τὰ ὄργανα οἷς ὑμνοῦσι τὸν Θεὸν, καὶ τοῖς φύλαξι τῆς πόλεως καὶ τοῦ ναοῦ προσέταξε κλήρους γῆς δοθῆναι, καὶ κατὰ ἕκαστον ἔτος ὡρισμένον τι πρὸς τὴν τοῦ βίου χρείαν ἀργύριον. Πέμψας δὲ καὶ τὰ σκεύη καὶ πάντα ὅσα Κῦρος πρὸ αὐτοῦ ἐβουλήθη περὶ τῆς τῶν Ἰουδαίων ἀποκαταστάσεως, ταῦτα καὶ Δαρεῖος διετάξατο.

θ'. Τυχὼν δὲ τούτων παρὰ τοῦ βασιλέως ὁ Ζοροβάβηλος, ἐξελθὼν ἀπὸ τῶν βασιλείων, καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν, εὐχαριστεῖν ἤρξατο τῷ Θεῷ τῆς σοφίας καὶ τῆς ἐπ' αὐτῇ νίκης, ἣν Δαρείου παρόντος ἔλαβεν. Οὐ γὰρ ἂν τούτων ἀξιωθῆναι, μὴ σοῦ, φησὶ, δέσποτα, τυχὼν εὐμενοῦς. Ταῦτ' οὖν περὶ τῶν παρόντων εὐχαριστήσας τῷ Θεῷ, καὶ πρὸς τὰ μέλλοντα δεηθεὶς αὐτὸν παρέχειν ὅμοιον, ἦκεν εἰς Βαβυλῶνα, καὶ τοῖς ὁμοφύλοις εὐηγγελίσατο τὰ παρὰ τοῦ βασιλέως. Οἱ δὲ ἀκούσαντες εὐχαριστοῦσι μὲν τῷ Θεῷ, πάλιν αὐτοῖς ἀποδιδόντι τὴν πάτριον γῆν, εἰς δὲ πότον καὶ κώμους τρα-

« et legitima, ab iis secernendo quæ injusta sunt, eaque « redarguendo. »

7. Et Zorobabelus quidem ubi de veritate loquutus finem fecit, omnes vero exclamarunt quod optime dixisset, et quod sola veritas suapte vi immutabilis sit, et nunquam senescat, jussit eum rex petere aliquid præter ea quæ ipse pollicitus erat : daturum enim se esse ut viro sapienti, quique visus fuerit ceteris prudentia præstare. Mecum etiam, inquit, una sedebis, meusque vocabere cognatus. Tum ita loquutum voti monuit, quo se astrinxerat, si regnum esset adepturus : voverat enim Hierosolyma sese instauraturum esse, Deique etiam templum illis ædificaturum, porroque vasa a Nabuchodonosoro sublata et Babylonem deportata restituturum. Et hoc est quod a te peto, id quod mihi petere permisisti, quem sapientem et prudentem reputare dignatus es.

8. Rex istis lætus surrexit, eumque deosculatus scribit ad toparchas et satrapas, jubens ut Zorobabelum ejusque comites ad Hierosolyma instauranda profecturos deducerent. Deinde Syriæ Phœnicesque præsidibus per epistolas mandavit ut ligna cedrina in Libano excisa Hierosolyma transferrent, cumque illo urbem exstruerent. Præterea captivis omnibus Judæam repetentibus scripto de libertate cavit, et procuratores suos et satrapas vetuit quidquam in regios usus ab Judæis exigere, atque omnem quam tenerent regionem permisit eis a tributis immunem colere. Idumæis etiam et Samaritanis et Cœles-Syriæ incolis imperavit ut quos tenerent Judæorum vicos dimitterent, itemque ad templi structuram quinquaginta talenta conferrent. Ipsis etiam juxta patrias leges sacra facere permisit, omnemque apparatum et sacrum vestitum, quo in re divina utuntur et pontifex et sacerdotes, de suis confici, ut et Levitis instrumenta quibus Deum laudant, itemque urbis et templi custodibus terras assignari jussit, certamque quotannis pecuniam ad usus vitæ necessarios. Missisque vasis omnia quæcunque ante ipsum Cyro facere in animo erat in Judæorum restitutionem, ista Darius quoque fieri præcepit.

9. Zorobabelus autem hanc a rege gratiam consequutus, quum primum regiam egressus est, sublato in cœlum vultu, cœpit gratias Deo agere, qui sibi sapientiam dederit, ejusque ope victoriam, quam coram Dario reportavit. Ista enim se haud assequuturum fuisse, nisi te, inquit, domine, propitio. Itaque quum has Deo pro præsentibus gratias retulisset, petiissetque ut similem sibi in posterum benevolentiam præstaret, Babylonem profectus est suisque popularibus lætum a rege nuncium attulit. Atque hi istis auditis Deo quidem gratias egerunt, qui iterum ipsis missionem dedisset in patriam terram, in compotationes vero

πέντες ἐφ' ἡμέρας ἑπτὰ διήγαγον εὐωχούμενοι, καὶ τὴν ἀνάκτησιν καὶ παλιγγενεσίαν τῆς πατρίδος ἑορτάζοντες. Ἔπειτα τοὺς ἀναβησομένους εἰς τὰ Ἱεροσόλυμα ἡγεμόνας ἐκ τῶν πατρίων φυλῶν σὺν γυναιξὶ καὶ τέκνοις καὶ ὑποζυγίοις ἐπελέξαντο, οἱ Δαρείου συμπέμψαντος ἕως τῶν Ἱεροσολύμων ᾠδευον μετὰ χαρᾶς καὶ τρυφῆς, ψαλλόμενοι καὶ καταυλούμενοι καὶ περιψοφούμενοι τοῖς κυμβάλοις· προέπεμψε δὲ αὐτοὺς καὶ τὸ ὑπολειπόμενον τῶν Ἰουδαίων πλῆθος μετὰ παιδιᾶς.

ι'. Καὶ οἱ μὲν οὕτως ἀπῆλθον ἐξ ἑκάστης πατριᾶς ἀριθμὸς ὄντες ὡρισμένος. Ἐμοὶ δὲ οὐκ ἔδοξε τὰ τῶν πατριῶν καταλέγειν ὀνόματα, ἵνα μὴ τὴν τῶν ἀναγινωσκόντων διάνοιαν τῆς συναφῆς τῶν πραγμάτων ἀποσπάσας δυσπαρακολούθητον αὐτοῖς ποιήσω τὴν διήγησιν. Τὸ δὲ κεφάλαιον τῶν ἀπερχομένων ὑπὲρ ἔτη δώδεκα τὴν ἡλικίαν γεγονότων ἐκ τῆς Ἰούδα φυλῆς καὶ Βενιαμίτιδος ἦν μυριάδες τετρακόσιοι ἑξήκοντα δύο καὶ ὀκτακισχίλιοι· Λευῖται δὲ τέσσαρες καὶ ἑβδομήκοντα· γυναικῶν δὲ ἀναμὶξ καὶ παιδίων σώματα ἦν τετρακισμύρια ἑπτακόσια τεσσαράκοντα δύο. Πάρεξ δὲ τούτων Λευῖται μὲν ἦσαν ὑμνῳδοὶ ἑκατὸν εἴκοσι καὶ ὀκτώ, πυλωροὶ δὲ ἑκατὸν καὶ δέκα, δοῦλοι δὲ ἱεροὶ τριακόσιοι ἐνενήκοντα δύο. Ἄλλοι τε πρὸς τούτοις, λέγοντες μὲν εἶναι τῶν Ἰσραηλιτῶν, οὐ δυνάμενοι δὲ ἐπιδεῖξαι τὸ γένος αὐτῶν, ἑξακόσιοι ἑξήκοντα δύο. Ἐξεβλήθησαν δέ τινες καὶ τῶν ἱερέων ἐκ τῆς τιμῆς ἠγμένοι γυναῖκας, ὧν οὔτε αὐτοὶ τὸ γένος εἶχον εἰπεῖν οὔτε ἐν ταῖς γενεαλογίαις τῶν Λευϊτῶν καὶ ἱερέων ηὑρέθησαν· ἦσαν δὲ ὡς πεντακόσιοι καὶ εἴκοσι καὶ πέντε. Τὸ δὲ τῶν θεραπόντων πλῆθος εἵπετο τοῖς ἀναβαίνουσιν εἰς Ἱεροσόλυμα, ἑπτακισχίλιοι τριακόσιοι τριάκοντα ἑπτά· ψάλται δὲ καὶ ψάλτριαι διακόσιοι τεσσαράκοντα πέντε, κάμηλοι τετρακόσιοι τριάκοντα πέντε, ὑποζύγια δὲ πεντακισχίλια πεντακόσια εἴκοσι πέντε. Ἡγεμὼν δὲ τῆς κατηριθμημένης πληθύος ἦν ὁ Σαλαθιήλου παῖς Ζοροβάβηλος ἐκ τῶν υἱωνῶν τοῦ Δαυίδου, γεγονὼς ἐκ τῆς Ἰούδα φυλῆς, καὶ Ἰησοῦς υἱὸς Ἰωσεδέκου τοῦ ἀρχιερέως. Πρὸς τούτοις δὲ καὶ ὁ Μαρδοχαῖος καὶ Σερεβαῖος ἐκ τοῦ πλήθους κεχριμένοι ἄρχοντες ἦσαν· οἳ καὶ συνεβάλλοντο μνᾶς μὲν χρυσίου ἑκατὸν, ἀργύρου δὲ πεντακισχιλίας. Οὕτω μὲν οὖν οἵ τε ἱερεῖς καὶ οἱ Λευῖται καὶ μέρος τι τοῦ παντὸς λαοῦ τῶν Ἰουδαίων, ὅσον ἦν ἐν τῇ Βαβυλῶνι, κατῳκίσθησαν εἰς τὰ Ἱεροσόλυμα· τὸ δὲ ἄλλο πλῆθος εἰς τὰς ἰδίας ἀνεχώρησαν πατρίδας.

et comessationes versi septem dies multa hilaritate exegerunt, ob patriam receptam et instauratam festa celebrantes. Postea delecti sunt ad profectionem Hierosolymitanam patriarum tribuum principes, cum suis uxoribus et liberis et jumentis: qui, missis a Dario qui eos Hierosolyma perducerent, iter faciebant cum lætitia et luxu, psallentes et tibiis sonantes et cymbalis perstrepentes, prosequente eos et ludente etiam reliqua Judæorum multitudine.

10. Atque isti quidem ita profecti sunt, e singulis cognationibus numerus certus et definitus. Mihi autem non visum est cognationes nominatim percensere, ne, dum lectoris mens a rerum serie avocetur, fiat ut narrationem deinceps haud facile assequatur. Omnium autem abeuntium, ex tribu Judæ et Benjaminis, qui annum duodecimum superarant, summa erat myriades quadringentæ sexaginta duæ et millia octo. Porro Levitæ erant septuaginta et quattuor; promiscuæ vero multitudinis puerorum ac mulierum numerus erat quadraginta millia, septingenti quadraginta duo. At præterea Levitici generis cantores erant centum et viginti octo, janitores vero centum et decem, sacrorum autem servi trecenti nonaginta duo. Ad hæc et alii, qui se ex Israelitis esse dicebant, non tamen potuere suam familiam et stirpem ostendere, sexcenti sexaginta duo. Quidam autem e sacerdotibus abdicati sunt honore, qui uxores duxerant, quarum nempe nec ipsi genus indicare potuere, nec in tabulis scriptis Levitarum et sacerdotum repertæ sunt: erant autem fere quingenti et viginti quinque. Eos autem qui Hierosolyma ascenderunt sequebatur servorum multitudo, qui erant septem millia trecenti triginta septem; cantores etiam et psaltriæ ducenti quadraginta quinque, cameli quadringenti triginta quinque, jumentaque quinque millia quingenta viginti quinque. Dux autem multitudinis recensitæ erat Zorobabelus Salathieli filius, tribus Judæ, stirpe Davidis prognatus, et Jesus Josedeci pontificis filius. Præter hos etiam Mardochæus et Serebæus e plebe delecti ductores facti sunt, qui etiam contulerunt auri minas centum, et argenti quinquies mille. Et in hunc quidem modum sacerdotes ac pars quædam totius populi Judæorum, qui tum apud Babylonem erat, ad Hierosolyma habitanda deducti sunt, reliqua vero multitudo ad sedes suas patrias discessit.

ΚΕΦ. Δ'.

Ἑβδόμῳ δὲ μηνὶ τῆς ἀπὸ Βαβυλῶνος αὐτῶν ἐξόδου, περιπέμψαντες ὅ τε ἀρχιερεὺς Ἰησοῦς καὶ ὁ Ζοροβάβηλος ἄρχων, τοὺς ἀπὸ τῆς χώρας συνήγαγον εἰς Ἱεροσόλυμα πανδημεὶ, μηδὲν προθυμίας ἀπολιπόντας. Καὶ κατεσκεύασαν θυσιαστήριον ἐφ' οὗ καὶ πρότερον ἦν ἀνῳκοδομημένον τόπου, ὅπως τὰς νομίμους ἀναφέρωσι θυσίας ἐπ' αὐτοῦ τῷ Θεῷ κατὰ τοὺς Μωϋσέως νόμους.

CAP. IV.

Septimo autem mense, postquam illi Babylone egressi erant, Jesus pontifex et Zorobabelus princeps, missis circumquaque nunciis, universi populi multitudinem e regione Hierosolyma convocarunt, qui cupidissime eo convenichant: aramque construxerunt in eodem quo prius ædificata erat loco, ut super ea Deo sacra solennia facerent juxta leges a Moyse præscriptas. Quæ dum fierent, haud æquis oculis

Ταῦτα δὲ ποιοῦντες οὐκ ἦσαν ἐν ἡδονῇ τοῖς προσχώροις ἔθνεσι, πάντων αὐτοῖς ἀπεχθανομένων. Ἦγαγον δὲ καὶ τὴν σκηνοπηγίαν κατ' ἐκεῖνον τὸν καιρὸν, ὡς ὁ νομοθέτης περὶ αὐτῆς διετάξατο, καὶ προσφορὰς μετὰ ταῦτα καὶ τοὺς καλουμένους ἐνδελεχισμοὺς, καὶ τὰς θυσίας τῶν σαββάτων καὶ πασῶν τῶν ἁγίων ἑορτῶν, οἵ τε πεποιημένοι τὰς εὐχὰς ἀπεδίδοσαν, θύοντες ἀπὸ νουμηνίας τοῦ ἑβδόμου μηνός. Ἤρξαντο δὲ καὶ τῆς οἰκοδομίας τοῦ ναοῦ, πολλὰ ταῖς τε λατόμοις καὶ τέκτοσι χρήματα δόντες καὶ τὰ πρὸς τροφὴν τῶν ἐργαζομένων. Τοῖς τε Σιδωνίοις ἡδὺ καὶ κοῦφον ἦν τά τε κέδρινα κατάγουσιν ἐκ τοῦ Λιβάνου ξύλα, δήσασιν αὐτὰ καὶ σχεδίαν πηξαμένοις, εἰς τὸν τῆς Ἰόπης κομίζειν λιμένα. Τοῦτο γὰρ πρῶτον μὲν Κῦρος ἐκέλευσε, τότε δὲ Δαρείου κελεύσαντος ἐγένετο.

β'. Ἐν τῷ δευτέρῳ ἔτει τῆς εἰς Ἱεροσόλυμα καθόδου, τῶν Ἰουδαίων μηνὶ δευτέρῳ παραγενομένων, συνείχετο ἡ τοῦ ναοῦ κατασκευή· καὶ τοὺς θεμελίους ἐγείραντες τῇ νουμηνίᾳ τοῦ δευτέρου μηνὸς τοῦ δευτέρου ἔτους ἐπῳκοδόμουν, προστησάμενοι τῶν ἔργων Λευίτῶν τε τοὺς εἰκοστὸν ἔτος ἤδη γεγονότας καὶ Ἰησοῦν καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ τοὺς ἀδελφοὺς, καὶ Ζωδμίηλον τὸν ἀδελφὸν Ἰούδα τοῦ Ἀμιναδάβου καὶ τοὺς υἱοὺς αὐτοῦ. Καὶ ὁ μὲν ναὸς, πάσῃ χρησαμένων σπουδῇ τῶν τὴν ἐπιμέλειαν ἐγχειρισμένων, θᾶττον ἢ προσεδόκησεν ἄν τις ἔλαβε τέλος. Ἀπαρτισθέντος δὲ τοῦ ἱεροῦ, μετὰ σαλπίγγων οἱ ἱερεῖς ταῖς συνήθεσι στολαῖς κεκοσμημένοι, καὶ οἱ Λευῖται καὶ οἱ Ἀσάφου παῖδες, ἀναστάντες ὕμνουν τὸν Θεὸν, ὡς τὴν εἰς αὐτὸν εὐλογίαν Δαυίδης κατέδειξε πρῶτος. Οἱ δ' ἱερεῖς καὶ Λευῖται καὶ τῶν πατριῶν οἱ πρεσβύτεροι, τὸν πρότερον ναὸν ταῖς μνήμαις ἀναπολοῦντες μέγιστόν τε καὶ πολυτελέστατον, καὶ τὸν γεγενημένον ὁρῶντες ὑπὸ πτωχείας ἐνδεέστερον τοῦ πάλαι κατασκευαζόμενον, ὅσον εἶεν τῆς ἀρχαίας εὐδαιμονίας ὑποβεβηκάτες καὶ τῆς ἀξίας τοῦ ναοῦ λογιζόμενοι, κατήφουν καὶ, τῆς ἐπὶ τούτῳ λύπης κρατεῖν οὐ δυνάμενοι, μέχρι θρήνων καὶ δακρύων προήγοντο. Ὁ δὲ λαὸς ἠγάπα τοῖς παροῦσι καὶ τῷ μόνον οἰκοδομῆσαι τὸ ἱερὸν, τοῦ πρότερον ὄντος οὐδένα λόγον ποιούμενος οὐδ' ἀνάμνησιν, οὐδὲ πρὸς τὴν σύγκρισιν ἐκείνου βασανίζων αὐτὸν ὡς ἐπ' ἐλάττοσιν ἢ οἷς ὑπέλαβεν. Ὑπερεφώνει δὲ τὸν τῶν σαλπίγγων ἦχον καὶ τὴν τοῦ πλήθους χαρὰν ἡ τῶν πρεσβυτέρων καὶ ἱερέων, ἐφ' οἷς ἐδόκουν ἐλαττοῦσθαι τὸν ναὸν τοῦ κατασκαφέντος, οἰμωγή.

γ'. Τῆς δὲ βοῆς τῶν σαλπίγγων ἀκούσαντες οἱ Σαμαρεῖται (ἐτύγχανον γὰρ ἀπεχθανόμενοι τῇ τε Ἰούδα φυλῇ καὶ τῇ Βενιαμίτιδι) συνέδραμον, τὴν αἰτίαν τοῦ θορύβου μαθεῖν θέλοντες. Γνόντες δὲ τοὺς αἰχμαλωτισθέντας εἰς Βαβυλῶνα τῶν Ἰουδαίων ἀνακτίζοντας τὸ ἱερὸν, προσίασι τῷ Ζοροβαβήλῳ καὶ Ἰησοῦ καὶ τοῖς ἡγουμένοις τῶν πατριῶν, ἀξιοῦντες αὐτοῖς ἐπιτραπῆναι συγκατασκευάσαι τὸν ναὸν καὶ κοινωνῆσαι τῆς οἰκοδομίας. « Σεβόμεθα γὰρ οὐκ ἔλαττον ἐκείνων τὸν

eos aspiciebant gentes finitimæ, utpote omnes illis infestæ. Etiam umbraculorum festum illo tempore egerunt, prout de eo legislator constituerat, ac deinde oblationes et jugis sacrificii quod vocatur holocausta et sabbatorum, omniumque consecratorum festorum hostias, quique vota nuncuparant ea reddiderunt, sacrificiis fieri cœptis a septimi mensis novilunio. Insuper et templi exstructionem aggressi sunt, multa pecunia lapicidis et fabris data, ciboque et potione iis qui opus facerent. Id quod Sidonii facile et libenter præstabant, ligna cedrina a Libano deducentes, quæ colligarunt et in ratem compegerunt, ut in portum Jopes conveherentur. Nam hoc quidem a Cyro imperatum erat, tunc vero jussu Darii fiebat.

2. Anno a reditu illorum in Hierosolyma secundo, quum Judæi mense secundo eo venissent, urgebatur templi instauratio, jactisque fundamentis novilunio secundi mensis anni secundi superstruere instituerunt, postquam operibus præfecerant Levitarum quotquot annum vigesimum excesserant, et Jesum cum filiis ejus ac fratribus, et Zodmielum Judæ Aminadabi filii fratrem et filios ejus. Et templum quidem summa diligentia ab iis adhibita quibus operis cura erat demandata celerius opinione absolutum est. Consummato autem sacrario, sacerdotes cum tubis et pro more vestiti constiterunt, ut et Levitæ et Asaphi filii, atque Deo laudes canebant, quo modo illum collaudare primus ostendit Davides. At sacerdotes et Levitæ et de familiis ii qui provectissimi erant ætate, templum prius animo recolentes maximum et sumptuosissimum, novum vero videntes ita constructum ut ob rerum penuriam superiori multum inferius esset, reputantes secum quantum ex veteri felicitate et dignitate templi decidissent, tristes erant, et non valentes intra se comprimere dolorem, ad ploratus atque lacrimas ferebantur. Populus autem contentus erat præsentibus, satisque habebat quod templum sibi ædificatum esset, ad illud quod prius fuerat non respiciens, illudve in memoriam revocans, aut semet, dum hoc cum illo comparat, torquens, quasi minori esset splendore quam animo præceperat. Tubarum tamen sonitum et multitudinis lætitiam vincebat seniorum et sacerdotum ejulatus, quod templum illud exciso longe inferius esse existimarent.

3. Ubi autem Samaritæ tubarum sonitum audiverunt (nam animo erant Judæ et Benjaminis tribui infesto) accurrebant, desiderio cognoscendi quænam tumultus causa exstiterit. Postquam vero intellexerunt, templum ab Judæis ædificari, qui captivi Babylonem fuerant abducti, Zorobabelum et Jesum et familiarum principes adeunt, postulantes ut sibi liceret una cum illis templum exstruere, et in ædificationis societatem admitti. « Deum enim, « aiebant, non minus quam illi colimus pro iisque preca-

« Θεὸν, ἔφασκον, καὶ τούτων ὑπερευχόμεθα καὶ τῆς « θρησκείας ἐσμὲν ἐπιθυμηταὶ, ἐξ ἐκείνου τοῦ χρόνου « ἀφ' οὗ Σαλμανασάρης, ὁ τῶν Ἀσσυρίων βασιλεὺς, ἐκ « τῆς Χουθίας ἡμᾶς μετήγαγε καὶ Μηδίας ἐνθάδε. » Τούτους αὐτῶν ποιησαμένων τοὺς λόγους, Ζοροβάβηλος καὶ Ἰησοῦ ὁ ἀρχιερεὺς καὶ οἱ τῶν πατριῶν ἡγεμόνες τῶν Ἰσραηλιτῶν πρὸς αὐτοὺς ἔφασαν, τῆς μὲν οἰκοδομίας αὐτοὺς ἀδύνατον εἶναι κοινωνεῖν, αὐτῶν προσταχθέντων κατασκευάσαι τὸν ναὸν, πρότερον μὲν ὑπὸ Κύρου, νῦν δὲ ὑπὸ Δαρείου· προσκυνεῖν δὲ αὐτοῖς ἐφιέναι· καὶ τοῦτο μόνον εἶναι κοινὸν, εἰ βούλονται, πρὸς αὐτοὺς καὶ πᾶσιν ἀνθρώποις, ἀφικνουμένοις εἰς τὸ ἱερὸν σέβειν τὸν Θεόν.

δ'. Ταῦτα ἀκούσαντες οἱ Χουθαῖοι (τὴν γὰρ προσηγορίαν οἱ Σαμαρεῖται ταύτην ἔχουσιν) ἠγανάκτησαν, καὶ πείθουσι τὰ ἐν Συρίᾳ ἔθνη τῶν σατραπῶν δεηθῆναι τὸν αὐτὸν τρόπον ὅνπερ ἐπὶ Κύρου πρότερον, εἶτ' ἐπὶ Καμβύσου μετ' αὐτὸν, ἐπισχεῖν τὴν τοῦ ναοῦ κατασκευὴν, καὶ σπουδάζουσι περὶ αὐτὴν τοῖς Ἰουδαίοις ἀναβολὴν καὶ τριβὴν πραγματεύσασθαι. Κατὰ δὲ τὸν καιρὸν τοῦτον ἀναβάντων εἰς Ἱεροσόλυμα Σισίνου τοῦ τῆς Συρίας καὶ Φοινίκης ἐπάρχου, καὶ Σαραβαζάνου μετὰ καί τινων ἑτέρων, καὶ τοὺς ἡγεμόνας τῶν Ἰουδαίων ἐρομένων τίνος αὐτοῖς συγχωρήσαντος οὕτως οἰκοδομοῦσι τὸν ναὸν, ὡς φρούριον αὐτὸν εἶναι μᾶλλον ἢ ἱερὸν, καὶ τί δήποτε τὰς στοὰς καὶ τὰ τείχη περιβεβλήκασι τῇ πόλει σφόδρα ὀχυρὰ, Ζοροβάβηλος καὶ ὁ ἀρχιερεὺς Ἰησοῦς, δούλους μὲν αὐτοὺς ἔφασαν εἶναι τοῦ μεγίστου Θεοῦ· τὸν δὲ ναὸν τοῦτον αὐτῷ κατασκευασθέντα ὑπὸ βασιλέως αὐτῶν εὐδαίμονος καὶ πάντας ὑπερβάλλοντος ἀρετῇ πολὺν διαμεῖναι χρόνον· ἐπεὶ δέ, τῶν πατέρων ἀσεβησάντων εἰς τὸν Θεὸν, Ναβουχοδονόσορος ὁ Βαβυλωνίων καὶ Χαλδαίων βασιλεὺς, ἑλὼν τὴν πόλιν κατὰ κράτος, αὐτήν τε καθεῖλε καὶ τὸν ναὸν συλήσας ἐνέπρησε, καὶ τὸν λαὸν μετῳκισεν αἰχμάλωτον, μεταγαγὼν εἰς Βαβυλῶνα, Κῦρος ὁ μετ' αὐτὸν τῆς Βαβυλωνίας καὶ Περσίδος βασιλεὺς, ἔγραψεν οἰκοδομηθῆναι τὸν ναόν· καὶ πάντα ὅσα μετήνεγκεν ἐξ αὐτοῦ Ναβουχοδονόσορος ἀναθήματα καὶ σκεύη, Ζοροβαβήλῳ παραδοὺς καὶ Μιθριδάτῃ τῷ γαζοφύλακι, προσέταξε κομίσαι εἰς Ἱεροσόλυμα καὶ πάλιν εἰς τὸν ἴδιον ἀποκαταστῆσαι ναὸν οἰκοδομηθέντα. Τοῦτο γὰρ ἐπέστειλεν ἐν τάχει γενέσθαι, Ἀβάσσαρον κελεύσας ἀναβάντα εἰς Ἱεροσόλυμα τῆς οἰκοδομίας τοῦ ναοῦ ποιήσασθαι πρόνοιαν· ὃς μετὰ τὸ λαβεῖν παρὰ Κύρου γράμματα παραγενόμενος, εὐθὺς τοὺς θεμελίους κατεβάλετο. Καὶ ἐξ ἐκείνου τοῦ χρόνου κατασκευαζόμενος μέχρι καὶ τοῦ δεῦρο διὰ τὴν τῶν ἐχθρῶν κακοήθειάν ἐστιν ἀτελής. Εἰ τοίνυν βούλεσθε καὶ δοκιμάζετε, γράψατε ταῦτα Δαρείῳ, ὅπως ἐπισκεψάμενος τὰ τῶν βασιλέων ὑπομνήματα, εὑρῃ μηδὲν ἡμᾶς ὧν λέγομεν καταψευσαμένους.

ε'. Ταῦτα εἰπόντων τοῦ Ζοροβαβήλου καὶ τοῦ ἀρχιερέως, ὁ Σισίνης καὶ οἱ σὺν αὐτῷ τὴν οἰκοδομίαν

« mur, et religionis studiosi sumus, jam inde ab illo tempore, quo Salmanasares Assyriorum rex nos in hunc locum transtulit e Chuthia et Media. » Quum hæc illi verba fecissent, Zorobabelus et Jesus pontifex et familiarum Israelitarum principes eis responderunt fieri non posse ut in structura socios sibi adsciscerent, quum ipsis templum construere mandatum fuerit, prius quidem a Cyro, nunc vero a Dario : veruntamen illis licere *in eo Deum* colere, et hoc solum illis commune esse, si velint, cum omnibus hominibus, qui ad templum venerint, adorare Deum.

4. Hæc ubi audiverunt Chuthæi (eo enim nomine appellantur Samaritæ), ægre rem tulerunt, Syriæque gentibus auctores sunt petendi a satrapis, ut, quemadmodum sub Cyro primum ac deinde sub Cambyse, templi ædificationem impedirent, et Judæis omni studio ei incumbentibus moram et tarditatem afferrent. Quum autem per id tempus Hierosolyma ascendissent Sisines Syriæ Phœnicesque prætor et Sarabazanes cum aliis quibusdam, atque ex principibus Judæorum quæsivissent cujus permissu templum ita ædificent, ut arx potius quam fanum existimari possit, et cur porticus et mœnia tam valida urbi circumdederint, Zorobabelus et Jesus pontifex responderunt, se quidem servos esse Dei maximi : templum vero hoc ei *olim* exstructum a rege ipsorum felicissimo et virtute omnium præstantissimo, per multas ætates incolume stetisse : postquam vero, flagitiis in Deum a majoribus commissis, Nabuchodonosorus Babyloniorum et Chaldæorum rex urbem vi expugnatam delevisset, et templum spoliatum incendisset, populumque Babylonem captivum abduxisset et in alias sedes transtulisset, Cyrus, qui ei in regnum Babyloniæ et Persidis successit, scripto mandavit, ut templum exstrueretur; et donaria omnia et vasa, ex eo a Nabuchodonosoro sublata, Zorobabelo et Mithridati quæstori tradidit, ut ea Hierosolyma reportarent et in templum instauratum reponerent. In hoc enim ut ad celeritatem nihil sibi reliqui facerent, præcepit, jussitque Abassarum Hierosolyma ascendere, temploque curam omnem adhibere : qui, postquam a Cyro literas acceperat, confestim profectus fundamenta jaciebat. Atque ex eo tempore hactenus ædificatur, sed ob inimicorum malignitatem nondum absolutum est. Quamobrem, si volueritis et ita vobis visum fuerit, hæc ipsa scribite ad Darium, ut inspectis regiis commentariis illi compertum sit, nos nihil eorum quæ diximus confinxisse.

5. Quum hæc Zorobabelus et pontifex loquuti essent, Sisines et qui cum eo erant decernere noluerunt ut ab ædi-

ἐπισχεῖν οὐ διέγνωσαν, ἕως ἂν ταῦτα δηλωθῇ τῷ βασιλεῖ Δαρείῳ, παραχρῆμα δ' αὐτῷ περὶ τούτων ἔγραψαν. Τῶν δὲ Ἰουδαίων κατεπτηχότων καὶ δεδιότων μὴ μεταδόξῃ τῷ βασιλεῖ περὶ τῆς τῶν Ἱεροσολύμων καὶ τοῦ ναοῦ κατασκευῆς, ὄντες κατὰ τὸν καιρὸν ἐκεῖνον δύο προφῆται παρ' αὐτοῖς Ἀγγαῖος καὶ Ζαχαρίας θαρρεῖν αὐτοὺς παρώρμων, καὶ μηδὲν ἐκ τῶν Περσῶν ὑφορᾶσθαι δύσκολον, ὡς τοῦ Θεοῦ ταῦτα προλέγοντος αὐτοῖς. Πιστεύοντες δὲ τοῖς προφήταις, ἐντεταμένως εἶχοντο τῆς οἰκοδομίας, μηδεμίαν ἡμέραν ἀνιέμενοι.

ς'. Δαρεῖος δέ, τῶν Σαμαρειτῶν αὐτῷ γραψάντων καὶ κατηγορούντων διὰ τῆς ἐπιστολῆς τῶν Ἰουδαίων, ὡς τήν τε πόλιν ὀχυροῦσι καὶ τὸν ναὸν φρουρίῳ προσοικότα μᾶλλον ἢ ἱερῷ κατασκευάζουσι, λεγόντων δὲ μὴ συνοίσειν αὐτῷ τὰ γινόμενα, καὶ προσέτι τὰς ἐπιστολὰς ἐπιδεικνύντων τοῦ Καμβύσου δι' ὧν ἐκώλυσεν ἐκεῖνος οἰκοδομεῖν τὸν ναὸν, μαθὼν παρ' αὐτῶν οὐκ ἀσφαλῆ τοῖς πράγμασιν αὐτοῦ τὴν τῶν Ἱεροσολύμων ἀποκατάστασιν ἔσεσθαι, ἐπεὶ καὶ τὰ παρὰ τοῦ Σισίνου καὶ τῶν σὺν αὐτῷ κομισθέντα ἀνέγνω γράμματα, προσέταξεν ἐν τοῖς βασιλικοῖς ὑπομνήμασι ζητηθῆναι τὰ περὶ τούτων· καὶ ηὑρέθη ἐν Ἐκβατάνοις, τῇ βάρει τῇ ἐν Μηδίᾳ, βιβλίον, ἐν ᾧ τάδε ἦν ἀναγεγραμμένα.

« Ἐν τῷ πρώτῳ τῆς βασιλείας ἔτει Κῦρος ὁ βασιλεὺς « ἐκέλευσε τὸν ναὸν οἰκοδομηθῆναι τὸν ἐν Ἱεροσολύ- « μοις καὶ τὸ θυσιαστήριον, ὕψος μὲν πηχῶν ἑξήκοντα, « εὖρος δὲ τῶν αὐτῶν, διὰ δόμων λιθίνων εὐξεστῶν « τριῶν καὶ ξυλίνου δόμου ἑνὸς ἐγχωρίου· καὶ τὴν εἰς « ταῦτα δαπάνην ἐκ τῶν τοῦ βασιλέως γίνεσθαι διετά- « ξατο. Προσέταξε δὲ καὶ τὰ σκεύη, ἃ συλήσας « Ναβουχοδονόσορος εἰς Βαβυλῶνα ἐκόμισεν, ἀποδοθῆ- « ναι τοῖς Ἱεροσολυμίταις· τὴν δὲ ἐπιμέλειαν τούτων « εἶναι Ἀβασσάρου τοῦ ἐπάρχου καὶ τῆς Συρίας τε καὶ « Φοινίκης ἡγεμόνος καὶ τῶν ἑταίρων αὐτοῦ, ὅπως αὐ- « τοὶ μὲν ἀφέξωνται τοῦ τόπου, τοῖς δὲ δούλοις τοῦ « Θεοῦ, Ἰουδαίοις καὶ ἡγεμόσιν αὐτῶν, ἐπιτρέψωσιν « οἰκοδομῆσαι τὸν ναόν. Καὶ συλλαβέσθαι δὲ πρὸς τὸ « ἔργον διετάξατο, κἀκ τοῦ φόρου τῆς χώρας ἧς ἐπετρο- « πεύοντο τελεῖν τοῖς Ἰουδαίοις εἰς θυσίας λόγον, ταύρους « καὶ κριοὺς καὶ ἄρνας καὶ ἐρίφους καὶ σεμίδαλιν καὶ « ἔλαιον καὶ οἶνον, καὶ τἆλλα ὅσα ἂν οἱ ἱερεῖς ὑπαγορεύ- « σωσιν, εὔχωνται δὲ ὑπὲρ τῆς σωτηρίας τοῦ βασιλέως « καὶ Περσῶν. Τοὺς δὲ παραβάντας τι τῶν ἐπεσταλ- « μένων συλληφθέντας ἐκέλευσεν ἀνασταυρωθῆναι, καὶ « τὴν οὐσίαν αὐτῶν εἰς τὴν βασιλικὴν καταταγῆναι « κτῆσιν. Καὶ κατηύξατο πρὸς τούτοις τῷ Θεῷ, « ὅπως εἴ τις ἐπιχειρήσειε διακωλῦσαι τὴν οἰκοδομίαν « τοῦ ναοῦ, βαλὼν αὐτὸν ὁ Θεὸς ἐπίσχῃ τῆς ἀδικίας. »

ζ'. Ταῦθ' εὑρὼν ἐν τοῖς ὑπομνήμασι τοῦ Κύρου Δαρεῖος ἀντιγράφει τῷ Σισίνῃ καὶ τοῖς ἑταίροις αὐτοῦ τάδε λέγων. « Βασιλεὺς Δαρεῖος Σισίνῃ τῷ ἐπάρχῳ « καὶ Σαραβαζάνῃ καὶ τοῖς ἑταίροις αὐτῶν χαίρειν. « Τὸ ἀντίγραφον ὑμῖν τῆς ἐπιστολῆς ἐν τοῖς ὑπομνή- « μασιν εὑρὼν τοῖς Κύρου, ἀπέσταλκα καὶ βούλομαι

fication inhiberentur, donec regem Darium de istis certiorem fecissent. Statim vero ei hisce de rebus scripserunt. Quum autem Judæi perterriti essent et sibi metuerent ne Hierosolymorum templique instaurationis regem pœniteret, duo vates, qui per id tempus apud eos erant, Aggæus et Zacharias, ipsos bono animo esse jubebant, neu mali aliquid a Persis sibi eventurum esse suspicarentur, utpote quod Deus illis ista prædixerit. Quibus quum fidem haberent, summo studio ædificationi incumbebant, ita ut ne unum quidem diem intermitterent.

6. Darius autem, quum Samaritæ ei scripsissent et literis Judæos accusarent, quod et urbem muniant, templumque arci quam fano similius exstruant, dicerentque haud e re sua esse quæ fierent, itemque Cambysis epistolas ostenderent, quibus ille templum ædificari prohibuit, ubi ex illis intellexerat res suas, Hierosolymis instauratis, nequaquam in tuto esse, quumque literas etiam Sisinis et collegarum ejus ad se allatas legisset, jussit ut iis de rebus in regios commentarios inquirerent : et inventus est Ecbatanis, in turri quæ in Media est, liber, in quo hæc perscripta erant.

« Anno regni primo Cyrus rex jussit templum cum altari « in Hierosolymis instaurari, cujus altitudo cubitorum es- « set sexaginta, latitudo totidem, trinis lapidum bene po- « litorum ordinibus, et uno domestici ligni ordine ; edixit « que ut sumptus in hæc e regis fisco suppeditarentur. « Præcepit etiam ut vasa, quæ Nabuchodonosorus ablata « Babylonem deportaverat, Hierosolymitanis restituerentur. « Ista autem curanda mandavit Abassaro prætori et « Syriæ et Phœnices præsidi ejusque sociis, ut ipsi quidem « eo loco abstinerent, sinerent vero Judæos, Dei servos, « eorumque principes templum exstruere. Porroque im- « peravit ut eos in opere adjuvarent, et ex tributo provin- « ciæ, cujus procuratores erant, Judæis in sacrificia sup- « peditarent tauros et arietes et agnos et hœdos, et similam « et oleum et vinum, et cetera quæ sacerdotes postulave- « rint, et ut hi Deo supplicarent pro salute Regis et Per- « sarum. Quicunque autem contra aliquid eorum fecerit « quæ mandata sunt, jussit ut is comprehensus cruci « affigatur, ejusque bona in regis fiscum rediganter. In- « super et Deum precatus est ut, si quis operam dederit « ad templi exstructionem impediendam, Deus ipsum « feriendo ab iniquitate inhiberet. »

7. Hæc quum Darius in Cyri commentariis invenisset, rescribit Sisinæ ejusque collegis in hæc verba. « Darius « rex Sisinæ præfecto et Sarabazanæ illorumque col- « legis salutem. Exemplar literarum, quas in com- « mentariis Cyri inveni, misi ad vos, voloque ut omnia

« γίνεσθαι πάντα καθὼς ἐν αὐτῇ περιέχει. Ἔρρωσθε. » Μαθόντες οὖν ἐκ τῆς ἐπιστολῆς ὁ Σισίνης καὶ οἱ σὺν αὐτῷ τὴν τοῦ βασιλέως προαίρεσιν, ταύτῃ τὰ λοιπὰ ἀκόλουθα ποιεῖν διέγνωσαν. Ἐπεστάτουν οὖν τῶν ἱερῶν ἔργων, συλλαμβανόμενοι τοῖς πρεσβυτέροις τῶν Ἰουδαίων, καὶ τῶν γερόντων ἄρχουσι. Καὶ ἠνύετο κατὰ πολλὴν σπουδὴν ἡ κατασκευὴ τοῦ ναοῦ, προφητευόντων Ἀγγαίου καὶ Ζαχαρίου, κατὰ τὰ προστάγματα τοῦ Θεοῦ καὶ μετὰ βουλήσεως Κύρου τε καὶ Δαρείου τῶν βασιλέων. Ὡκοδομήθη δ' ἐν ἔτεσιν ἑπτά. Τοῦ δ' ἐνάτου τῆς Δαρείου βασιλείας ἔτους, εἰκάδι καὶ τρίτῃ μηνὸς δωδεκάτου, ὃς καλεῖται παρ' ἡμῖν μὲν Ἄδαρ, παρὰ δὲ Μακεδόσιν Δύστρος, προσφέρουσι θυσίας οἵ τε ἱερεῖς καὶ Λευῖται, καὶ τὸ ἄλλο τῶν Ἰσραηλιτῶν πλῆθος, ἀνανεωτικὰς τῶν προτέρων ἀγαθῶν μετὰ τὴν αἰχμαλωσίαν καὶ τοῦ τὸ ἱερὸν ἀνακαινισθὲν ἀπειληφέναι, ταύρους ἑκατόν, κριοὺς διακοσίους, ἄρνας τετρακοσίους, χιμάρους δώδεκα κατὰ φυλὴν (τοσαῦται γάρ εἰσιν αἱ τῶν Ἰσραηλιτῶν φυλαὶ) ὑπὲρ ὧν ἥμαρτεν ἑκάστη. Ἀνέστησάν τε κατὰ τοὺς Μωϋσέως νόμους οἵ τε ἱερεῖς καὶ Λευῖται θυρωροὺς ἐφ' ἑκάστου πυλῶνος· ὠκοδομήκεσαν γὰρ οἱ Ἰουδαῖοι καὶ τὰς ἐν κύκλῳ τοῦ ναοῦ στοὰς τοῦ ἔνδοθεν ἱεροῦ.

η'. Ἐνστάσης δὲ τῆς τῶν Ἀζύμων ἑορτῆς, μηνὶ τῷ πρώτῳ, κατὰ μὲν Μακεδόνας Ξανθικῷ λεγομένῳ, κατὰ δὲ ἡμᾶς Νισὰν, συνερρύη πᾶς ὁ λαὸς ἐκ τῶν κωμῶν εἰς τὴν πόλιν. Καὶ τὴν ἑορτὴν ἦγαγον ἁγνεύσαντες μετὰ γυναικῶν καὶ τέκνων τῷ πατρῴῳ νόμῳ, καὶ τὴν Πάσχα προσαγορευομένην θυσίαν τῇ τετάρτῃ καὶ δεκάτῃ τοῦ αὐτοῦ μηνὸς ἐπιτελέσαντες κατευωχήθησαν ἐπὶ ἡμέρας ἑπτὰ, μηδεμιᾶς φειδόμενοι πολυτελείας, ἀλλὰ καὶ τὰς ὁλοκαυτώσεις ἐπιφέροντες τῷ Θεῷ καὶ χαριστηρίους θυσίας ἐπιτελοῦντες, ἀνθ' ὧν αὐτοὺς τὸ θεῖον πάλιν εἰς τὴν πάτριον γῆν καὶ τοὺς ἐν αὐτῇ νόμους ἤγαγε, καὶ τὴν τοῦ Περσῶν βασιλέως διάνοιαν εὐμενῆ κατέστησεν αὐτοῖς. Καὶ οἱ μὲν ὑπὲρ τούτων ἐπιδαψιλευόμενοι ταῖς θυσίαις καὶ τῇ περὶ τὸν Θεὸν φιλοτιμίᾳ κατῴκησαν ἐν τοῖς Ἱεροσολύμοις, πολιτείᾳ χρώμενοι ἀριστοκρατικῇ μετ' ὀλιγαρχίας. Οἱ γὰρ ἀρχιερεῖς προεστήκεσαν τῶν πραγμάτων, ἄχρις οὗ τοὺς Ἀσαμωναίου συνέβη βασιλεύειν ἐκγόνους. Πρὸ μὲν γὰρ τῆς αἰχμαλωσίας καὶ τῆς ἀναστάσεως ἐβασιλεύοντο ἀπὸ Σαούλου πρῶτον ἀρξαμένου καὶ Δαυίδου, ἐπὶ ἔτη πεντακόσια εἴκοσι δύο, μῆνας ἕξ, ἡμέρας δέκα. Πρὸ δὲ τῶν βασιλέων τούτων ἄρχοντες αὐτοὺς διεῖπον οἱ προσαγορευόμενοι κριταὶ καὶ μόναρχοι· καὶ τοῦτον πολιτευόμενοι τὸν τρόπον ἔτεσι πλείοσιν ἢ πεντακοσίοις διήγαγον μετὰ Μωϋσῆν ἀποθανόντα καὶ Ἰησοῦν τὸν στρατηγόν. Καὶ τὰ μὲν περὶ τῶν ἀνασωθέντων ἐκ τῆς αἰχμαλωσίας Ἰουδαίων, ἐν τοῖς Κύρου καὶ Δαρείου χρόνοις, ἐν τούτοις ὑπῆρχεν.

θ'. Οἱ δὲ Σαμαρεῖς ἀπεχθῶς πρὸς αὐτοὺς καὶ βασκάνως διακείμενοι πολλὰ κακὰ τοὺς Ἰουδαίους εἰργάσαντο, πλούτῳ τε πεποιθότες καὶ συγγένειαν προσ-

« fiant quemadmodum in eis perscriptum est. Valete. » Quum itaque Sisines et qui cum eo erant ex hac epistola regis voluntatem intellexissent, statuerunt reliqua ei convenienter exsequi. Sacris igitur instabant operibus, Judæorum senioribus opem ferentes et senatus principibus, magnaque cum diligentia perficitur templi fabrica, vaticinantibus Aggæo et Zacharia, idque ex Dei mandato, atque ex Cyri et Darii regum voluntate. Absolutumque est intra septem annos. Anno autem regni Darii nono, vigesimo tertio die mensis duodecimi, qui nostris dicitur Adar, Macedonibus vero Dystrus, sacerdotes ac Levitæ cum reliqua Israelitarum multitudine hostias immolarunt, pro renovata post captivitatem pristina felicitate proque recepto novo templo, tauros centum, arietes ducentos, agnos quadringentos, et hircos duodecim pro numero tribuum (totidem enim sunt tribus Israeliticæ), ut peccata earum uniuscujusque expiarent. Præterea sacerdotes et Levitæ curarunt ut juxta Moysis leges janitores ad singula adessent vestibula : nam Judæi etiam in circuitu templi ædificaverant porticus interioris sacrarii.

8. Instante autem Azymorum festo, mense primo, qui Macedonibus Xanthicus dicitur, nobis vero Nisan, populus universus ex oppidis in urbem confluxit, et festum egerunt lustrati una cum conjugibus et liberis ritu patrio, cumque victimam, quam Paschalem appellant, die ejusdem mensis decima quarta immolassent, per dies septem epulati sunt nullis sumptibus parcentes, solida etiam sacrificia Deo offerentes, et sacra facientes pro gratiarum actione, quod numen eos terræ patriæ legibusque avitis iterum restituisset, fecissetque ut rex Persarum animo esset erga ipsos benevolo. Et illi quidem maxima in sacrificiis largitate usi summaque in Dei cultu magnificentia Hierosolyma incoluerunt, instituta ea reipublicæ forma, quæ optimatum est paucorum potestate mixta. Nam pontifices summæ rerum præfuerunt, donec Asamonæorum genus regnum obtinuit. Ante captivitatem enim et eversionem regnatum a Saulo primo rege et Davide per annos quingentos viginti duos, menses sex, dies decem. At ante reges istos moderabantur iis principes qui dicti sunt judices et monarchæ, et sub hac reipublicæ forma annos plus quam quingentos egerunt post obitum Moysis et Jesus imperatoris. Atque hæc quidem de Judæis, qui sub Cyro et Dario regibus e captivitate evaserunt, ita se habebant.

9. Samaritæ autem, gens illis infesta et invida, mala multa Judæis intulerunt, et opibus freti et Persarum cognationem præ se ferentes, utpote ex iis oriundi. Etenim

ποιούμενοι τῶν Περσῶν, ἐπειδήπερ ἐκεῖθεν ἦσαν. Ὅσα τε γὰρ ἐκελεύθησαν ἐκ τῶν φόρων ὑπὸ τοῦ βασιλέως εἰς τὰς θυσίας τελεῖν τοῖς Ἰουδαίοις, παρέχειν οὐκ ἤθελον, τούς τε ἐπάρχους σπουδάζοντας αὐτοῖς πρὸς τοῦτο καὶ συνεργοῦντας εἶχον, ἄλλα τε ὅσα βλάπτειν ἢ δι' αὐτῶν ἢ δι' ἑτέρων ἠδύναντο τοὺς Ἰουδαίους οὐκ ἀπώκνουν. Ἔδοξεν οὖν πρεσβευσαμένοις τοῖς Ἱεροσολυμίταις πρὸς τὸν βασιλέα Δαρεῖον κατηγορῆσαι τῶν Σαμαρειτῶν. Καὶ πρεσβεύουσι Ζοροβάβηλος καὶ ἄλλοι τῶν ἀρχόντων τέσσαρες. Ὡς δὲ τὰ ἐγκλήματα καὶ τὰς αἰτίας, ἃς κατὰ τῶν Σαμαρειτῶν ἐπέφερον, ἔγνω παρὰ τῶν πρέσβεων ὁ βασιλεύς, δοὺς αὐτοῖς ἐπιστολὴν κομίζειν πρὸς τοὺς ἐπάρχους τῆς Σαμαρείας καὶ τὴν βουλὴν ἀπέπεμψε. Τὰ δὲ γεγραμμένα ἦν τοιάδε. « Βασιλεὺς Δαρεῖος Ταγγανᾷ καὶ Σαμβαβᾷ « τοῖς ἐπάρχοις Σαμαρειτῶν, Σαδράκῃ καὶ Βοβήλωνι « καὶ τοῖς λοιποῖς συνδούλοις αὐτῶν τοῖς ἐν Σαμαρείᾳ. « Ζοροβάβηλος καὶ Ἀνανίας καὶ Μαρδοχαῖος, Ἰουδαίων « πρεσβευταὶ, ἠτιῶντο ὑμᾶς ὡς ἐνοχλοῦντας αὐτοῖς « πρὸς τὴν οἰκοδομίαν τοῦ ναοῦ καὶ μὴ χορηγοῦντας ἃ « προσέταξα ὑμῖν εἰς τὰς θυσίας τελεῖν αὐτοῖς ἀναλώ- « ματα. Βούλομαι οὖν ὑμᾶς ἀναγνόντας τὴν ἐπι- « στολὴν χορηγεῖν αὐτοῖς ἐκ τοῦ βασιλικοῦ ταζοφυλα- « κίου τῶν φόρων τῆς Σαμαρείας πάνθ' ὅσα πρὸς τὰς « θυσίας αὐτοῖς ἐστι χρήσιμα, καθὼς οἱ ἱερεῖς ἀξιοῦσιν· « ἵνα μὴ διαλείπωσι καθ' ἡμέραν θύοντες, καὶ ὑπὲρ « ἐμοῦ καὶ Περσῶν εὐχόμενοι τῷ Θεῷ. » Καὶ ἡ μὲν ἐπιστολὴ ταῦτα περιεῖχεν.

quæcunque tributa conferre jussi erant a rege in sacrificia, dare recusabant, id assequuti ut præfecti ipsi in hoc faverent operamque suam addicerent, et in ceteris nihil reliqui fecerunt, quo Judæis nocere aut per se aut per alios potuissent. Visum est itaque Hierosolymitanis mittere ad regem Darium, ut Samaritas accusarent. Atque legationem obierunt Zorobabelus et alii quattuor ex magistratibus. *Quum autem ea, quæ Samaritis crimini et vitio vertebantur,* a legatis rex accepisset, eos dimisit cum literis ad præfectum et senatum Samariæ perferendis. Illæ autem scriptæ erant hujusmodi verbis. « Darius rex Tanganæ et Sam- « babæ præfectis apud Samaritas, Sadracæ et Bobeloni, re- « liquisque illorum conservis in Samaria. Zorobabelus et « Ananias atque Mardochæus, Judæorum legati, vos accu- « saverunt quod ipsis in ædificatione templi molesti fueritis, « neque impensas in sacrificia eis præbueritis quas vobis « imperavi. Volo igitur ut lecta hac epistola e regio fisco « tributorum Samariæ omnia illis suppeditentur, quæ ex « sacerdotum sententia illis usui esse possunt in sacris fa- « ciendis, ut singulis diebus victimas immolare non cessent, « Deumque precari pro memet et Persarum gente. » Atque in hanc quidem sententiam scripta erat epistola.

ΚΕΦ. Ε'.

Δαρείου δὲ τελευτήσαντος παραλαβὼν τὴν βασιλείαν Ξέρξης ὁ παῖς αὐτοῦ ἐκληρονόμησεν αὐτοῦ καὶ τὴν πρὸς Θεὸν εὐσέβειάν τε καὶ τιμήν. Ἅπαντα γὰρ ἀκολούθων τῷ πατρὶ τὰ πρὸς τὴν θρησκείαν ἐποίησε, καὶ πρὸς τοὺς Ἰουδαίους ἔσχε φιλοτιμότατα. Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ἀρχιερεὺς ἦν Ἰησοῦ παῖς, Ἰωάκειμος ὄνομα. Ὑπῆρχε δὲ καὶ ἐν Βαβυλῶνι δίκαιος ἀνὴρ καὶ δόξης ἀπολαύων ἀγαθῆς παρὰ τῷ πλήθει, πρῶτος ἱερεὺς τοῦ λαοῦ, καλούμενος Ἔσδρας, ὃς τῶν Μωϋσέως νόμων ἱκανῶς ἔμπειρος ὢν γίνεται φίλος τῷ βασιλεῖ Ξέρξῃ. Γνοὺς δὲ ἀναβῆναι εἰς τὰ Ἱεροσόλυμα καὶ ἐπαγαγέσθαι τινὰς τῶν ἐν Βαβυλῶνι τυγχανόντων Ἰουδαίων, παρεκάλεσε τὸν βασιλέα δοῦναι αὐτῷ πρὸς τοὺς σατράπας τῆς Συρίας ἐπιστολήν, ἀφ' ἧς αὐτοῖς γνωρισθήσεται τίς εἴη. Ὁ δὲ βασιλεὺς γράφει πρὸς τοὺς σατράπας ἐπιστολὴν τοιάνδε. « Βασιλεὺς βασιλέων Ξέρ- « ξης Ἔσδρᾳ ἱερεῖ καὶ ἀναγνώστῃ τοῦ θείου νόμου « χαίρειν. Τῆς ἐμαυτοῦ φιλανθρωπίας ἔργον εἶναι « νομίσας τὸ τοὺς βουλομένους ἐκ τοῦ τῶν Ἰουδαίων « ἔθνους καὶ ἱερέων καὶ Λευϊτῶν ὄντων ἐν τῇ ἡμετέρᾳ « βασιλείᾳ συναπαίρειν εἰς τὰ Ἱεροσόλυμα, τοῦτο « προσέταξα. Καὶ ὁ βουλόμενος ἀπίτω, καθάπερ « ἔδοξε κἀμοὶ καὶ τοῖς ἑπτά μου συμβούλοις, ὅπως τὰ « κατὰ τὴν Ἰουδαίαν ἐπισκέψωνται τῷ νόμῳ τοῦ Θεοῦ

CAP. V.

Mortuo autem Dario in regnum successit filius ejus Xerxes, qui pari ac ille pietate et honore Deum prosequebatur. Ejus enim cultui omnem similiter ac pater curam adhibuit, et prolixa erat in Judæos benevolentia. Atque illo tempore pontifex erat Jesu filius, nomine Joacimus. Babylone autem erat vir justus et bonæ apud omnes existimationis, primarius populi sacerdos, Esdras appellatus. Qui, legum Moysaicarum admodum peritus, Xerxis regis amicitiam consequitur. Quum autem statuisset Hierosolyma ascendere et de Judæis Babylone degentibus aliquot secum ducere, petiit a rege literas sibi dari ad Syriæ satrapas, ut ex illis cognoscerent qui vir esset. Atque rex ad satrapas hujusmodi epistolam scripsit. « Rex regum Xerxes Esdræ « sacerdoti atque divinæ legis professori salutem. Meæ « humanitatis esse ratus ut Judæis et sacerdotibus eorum et « Levitis, qui in regno nostro agunt et Hierosolyma profi- « cisci volunt, eo commigrare liceat, hanc potestatem ut « habeant imperavi. Quicunque igitur id habet in animo, « abeat, quemadmodum et mihi et septem meis consiliariis « visum est, ut convenienter legi Dei ea inspiciant quæ in « Judæa aguntur, ferantque munera Israelitarum Deo, quæ

« ἀκολούθως, καὶ ἀπενέγκωσι δῶρα τῷ Ἰσραηλιτῶν
« Θεῷ, ἅπερ ηὐξάμην ἐγώ τε καὶ οἱ φίλοι· καὶ ἀργύ-
« ριον καὶ χρυσίον ὅσον ἂν εὑρεθῇ ἐν τῇ χώρᾳ τῶν
« Βαβυλωνίων ὠνομασμένον τῷ Θεῷ, τοῦτο πᾶν εἰς
« Ἱεροσόλυμα κομισθῆναι τῷ Θεῷ εἰς τὰς θυσίας.
« Πάντα τε ὅσα βούλῃ ἐξ ἀργύρου καὶ χρυσοῦ κατα-
« σκευάσαι, ποιεῖν ἐξέστω σοι μετὰ τῶν ἀδελφῶν. Καὶ
« τὰ δεδομένα σοι ἱερὰ σκεύη ἀναθήσεις, καὶ ὅσων ἂν
« ἐπίνοιαν λάβῃς, καὶ ταῦτα προσεξεργάσῃ, τὴν εἰς αὐτὰ
« δαπάνην ἐκ τοῦ βασιλικοῦ ποιούμενος γαζοφυλακίου.
« Ἔγραψα δὲ καὶ τοῖς γαζοφύλαξι τῆς Συρίας καὶ τῆς
« Φοινίκης, ἵνα τῶν ὑπὸ Ἔσδρα τοῦ ἱερέως καὶ ἀνα-
« γνώστου τῶν τοῦ Θεοῦ νόμων ἐπισταλέντων ἐπιμελη-
« θῶσιν. Ὅπως δὲ μηδεμίαν ὀργὴν ἐπ' ἐμὲ λάβῃ
« τὸ θεῖον ἢ τοὺς ἐμοὺς ἐκγόνους, πάντα ἀξιῶ καὶ
« μέχρι τοῦ πυροῦ κόρων ἑκατὸν ἐπιτελεῖσθαι τῷ Θεῷ
« κατὰ τὸν νόμον. Καὶ ὑμῖν δὲ λέγω ὅπως τοῖς ἱερεῦσι
« καὶ Λευίταις καὶ ἱεροψάλταις καὶ θυρωροῖς καὶ ἱερο-
« δούλοις καὶ γραμματεῦσι τοῦ ἱεροῦ μήτε φόρους ἐπι-
« τάξητε μήτε ἄλλο μηδὲν ἐπίβουλον ἢ φορτικὸν εἰς
« αὐτοὺς γένηται. Καὶ σὺ δέ, Ἔσδρα, κατὰ τὴν τοῦ
« Θεοῦ σοφίαν ἀπόδειξον κριτὰς, ὅπως δικάσωσιν ἐν
« Συρίᾳ καὶ Φοινίκῃ πάσῃ, τοὺς ἐπισταμένους σου τὸν
« νόμον, καὶ τοῖς ἀγνοοῦσι παρέξεις αὐτὸν μαθεῖν, ἵν' ἄν
« τις τῶν ὁμοεθνῶν σου παραβαίνῃ τὸν τοῦ Θεοῦ νόμον
« ἢ τὸν βασιλικὸν, ὑπόσχῃ τιμωρίαν, ὡς οὐ κατ'
« ἄγνοιαν αὐτὸν παραβαίνων, ἀλλ' ὡς ἐπιστάμενος μὲν,
« τολμηρῶς δὲ παρακούων καὶ καταφρονῶν. Κολασθή-
« σονται δὲ ἢ θανάτῳ ἢ ζημίᾳ χρηματικῇ. Ἔρρωσο. »

β. Λαβὼν δὲ Ἔσδρας ταύτην τὴν ἐπιστολὴν ὑπερ-
ήσθη, καὶ τῷ Θεῷ προσκυνεῖν ἤρξατο, τῆς τοῦ βασιλέως
πρὸς αὐτὸν χρηστότητος ἐκεῖνον αἴτιον ὁμολογῶν γε-
γενῆσθαι, καὶ διὰ τοῦτο τὴν πᾶσαν αὐτῷ χάριν ἔλεγεν
εἰδέναι. Ἀναγνοὺς δ' ἐν Βαβυλῶνι τὴν ἐπιστολὴν τοῖς
αὐτόθι παροῦσιν Ἰουδαίοις, αὐτὴν μὲν κατέσχε, τὸ δ'
ἀντίγραφον αὐτῆς παρὰ πάντας ἔπεμψε τοὺς ὁμοεθνεῖς
τοὺς κατὰ τὴν Μηδίαν ὄντας. Μαθόντες δ' οὗτοι τοῦ
βασιλέως καὶ τὴν πρὸς τὸν Θεὸν εὐσέβειαν καὶ τὴν
πρὸς τὸν Ἔσδραν εὔνοιαν, ἅπαντες μὲν ὑπερηγάπη-
σαν, πολλοὶ δ' αὐτῶν καὶ τὰς κτήσεις ἀναλαβόντες
ἦλθον εἰς Βαβυλῶνα, ποθοῦντες τὴν εἰς τὰ Ἱεροσόλυμα
κάθοδον. Ὁ δὲ πᾶς λαὸς τῶν Ἰσραηλιτῶν κατὰ χώ-
ραν ἔμεινε. Διὸ καὶ δύο φυλὰς εἶναι συμβέβηκεν ἐπί
τε τῆς Ἀσίας καὶ τῆς Εὐρώπης Ῥωμαίοις ὑπακουούσας·
αἱ δὲ δέκα φυλαὶ πέραν εἰσὶν Εὐφράτου ἕως δεῦρο,
μυριάδες ἄπειροι καὶ ἀριθμῷ γνωσθῆναι μὴ δυνάμεναι.
Πρὸς δὲ Ἔσδραν ἀφικνοῦνται ἱερέων καὶ Λευιτῶν καὶ
θυρωρῶν καὶ ἱεροψαλτῶν καὶ ἱεροδούλων πολλοὶ τὸν
ἀριθμόν. Συναγαγὼν δὲ τοὺς ἐκ τῆς αἰχμαλωσίας
εἰς τὸ πέραν τοῦ Εὐφράτου καὶ τρεῖς ἐπιδιατρίψας ἐκεῖ
ἡμέρας, νηστείαν αὐτοῖς παρήγγειλεν, ὅπως εὐχὰς
ποιήσωνται τῷ Θεῷ περὶ τῆς αὐτῶν σωτηρίας καὶ τοῦ
μηδὲν κατὰ τὴν ὁδὸν παθεῖν ἄτοπον ἢ πρὸς τῶν πολε-
μίων ἢ τινὸς ἄλλου δυσκόλου προσπεσόντος αὐτοῖς.

« ego et amici vovimus; item auri et argenti quicquid inven-
« tum fuerit in Babyloniorum regione Deo dicatum, id
« omne Hierosolyma deportent, ut sacra Deo fiant. Et
« quicquid ipse ex auro et argento conflare volueris, id tibi
« tuisque fratribus facere liceat. Sacra quoque vasa tibi
« *in manus* data dedicabis, et quicquid tibi in mentem
« venerit, illud etiam fieri curabis, impensis e fisco regio
« sumptis. Etiam quæstoribus Syriæ Phœnicesque scripsi
« ut diligentiam adhibeant ad omnia quæ Esdras sacerdos et
« legum Dei interpres illis mandaverit. Et ut Deus nullam
« in me posterosque meos iram effundat, volo ut omnia
« usque ad tritici coros centum Deo ex lege præstentur.
« Ac vobis præterea denuncio ne cui sacerdoti, aut Levitæ,
« aut sacro cantori, aut janitori, aut sacro ministro, aut
« templi scribæ, tributum ullum imperetis, neque aliud
« quodvis illis insidiarum ergo aut oneris. Tu vero, Es-
« dra, pro ea qua præditus es divina sapientia, statuito
« judices legis tuæ peritos, qui in tota Syria et Phœnice
« jus dicant, imperitosque istam docebis, ut si quis e po-
« pularibus tuis Dei aut regis legem fuerit transgressus,
« pœnas det, utpote qui non per ignorantiam contra eam
« fecerit, sed quum eam noverit, audacter spreverit et con-
« tempserit. Ii autem plectantur vel morte vel pecunia.
« Vale. »

2. Quum autem Esdras has literas accepisset, supra modum exhilaratus est, Deumque cœpit adorare, regi erga ipsum benignitatem ei acceptam deberi agnoscens : quam ob rem gratias se ei maximas habere dicebat. Atque ubi Babylone epistolam Judæis legerat qui illic forte aderant, eam quidem apud se retinebat, exemplar vero ejus in Mediam ad omnes gentis suæ homines misit. Illique, cognita regis erga Deum pietate et erga Esdram benevolentia, omnes vehementer sunt lætati, multi vero ex iis cum re sua familiari Babylonem se contulerunt, ut qui Hierosolyma revertendi desiderio tenebantur. Omnis autem multitudo Israelitarum in ea regione mansit. Quapropter duæ tantum tribus per Asiam atque Europam sub Romano degunt imperio : decem autem reliquæ tribus usque in hodiernum diem loca ultra Euphraten colunt, infinita hominum millia, nec numero comprehendenda. Ceterum ad Esdram quamplurimi veniunt ex sacerdotibus et Levitis et janitoribus et sacris cantoribus et templi ministris. Itaque quum captivos in locum ultra Euphraten coegisset, ibique per triduum moratus esset, jejunium illis indixit, ad Deum precibus implorandum, ut saluti ipsorum prospiceret, ne quid mali in itinere paterentur, aut ab hostibus, aut a re

Φθάσας γὰρ ὁ Ἔσδρας εἰπεῖν τῷ βασιλεῖ ὅτι διασώσει αὐτοὺς ὁ Θεὸς, οὐ κατηξίωσεν ἵππεῖς αὐτὸν αἰτῆσαι τοὺς προπέμψοντας. Ποιησάμενοι δὲ τὰς εὐχὰς, ἄραντες ἀπὸ τοῦ Εὐφράτου δωδεκάτῃ τοῦ πρώτου μηνὸς τοῦ ἑβδόμου ἔτους τῆς Ξέρξου βασιλείας, παρεγένοντο εἰς Ἱεροσόλυμα μηνὶ πέμπτῳ τοῦ αὐτοῦ ἔτους. Καὶ παραχρῆμα τοῖς γαζοφύλαξιν ὁ Ἔσδρας, οὗσιν ἐκ τοῦ τῶν ἱερέων γένους, παρέστησε τὰ ἱερὰ χρήματα, ἀργυρίου τάλαντα ἑξακόσια πεντήκοντα, σκεύη ἀργυρᾶ ταλάντων ἑκατὸν, χρυσᾶ σκεύη ταλάντων εἴκοσι, χαλκᾶ σκεύη χρυσοῦ κρείττονα σταθμοῦ ταλάντων δώδεκα· ταῦτα γὰρ ἐδωρήσατο ὁ βασιλεὺς καὶ οἱ σύμβουλοι αὐτοῦ καὶ πάντες οἱ ἐν Βαβυλῶνι μένοντες Ἰσραηλῖται. Παραδοὺς δὲ ταῦτα τοῖς ἱερεῦσιν ὁ Ἔσδρας ἀπέδωκε τῷ Θεῷ τὰς ἐκ τῶν ὁλοκαυτώσεων νενομισμένας γίνεσθαι θυσίας, ταύρους δώδεκα ὑπὲρ κοινῆς τοῦ λαοῦ σωτηρίας, κριοὺς ἐνενήκοντα, καὶ ἄρνας ἑβδομήκοντα δύο, ἐρίφους εἰς παραίτησιν τῶν ἡμαρτημένων δώδεκα. Τοῖς δὲ τοῦ βασιλέως οἰκονόμοις καὶ τοῖς ἐπάρχοις τῆς Κοίλης Συρίας καὶ Φοινίκης τὰ γράμματα τοῦ βασιλέως ἀπέδωκεν. Οἱ δὲ τὸ προσταχθὲν ὑπ' αὐτοῦ ποιεῖν ἀνάγκην ἔχοντες ἐτίμησάν τε τὸ ἔθνος καὶ πρὸς πᾶσαν αὐτῷ χρείαν συνήργησαν.

γ'. Ταῦτα μὲν οὖν καὶ αὐτὸς ἐβουλεύσατο Ἔσδρας, προεχώρησε δ' αὐτῷ, κρίναντος αὐτὸν ἄξιον, οἶμαι, τοῦ Θεοῦ τῶν βουληθέντων διὰ χρηστότητα καὶ δικαιοσύνην. Χρόνῳ δὲ ὕστερον προσελθόντων αὐτῷ τινῶν καὶ κατηγορούντων ὡς τινες τοῦ πλήθους καὶ τῶν ἱερέων καὶ Λευιτῶν παραβεβήκασι τὴν πολιτείαν, καὶ λελύκασι τοὺς πατρῴους νόμους, ἀλλοεθνεῖς ἠγμένοι γυναῖκας, καὶ τὸ ἱερατικὸν γένος συγκεχύκασι, δεομένων δὲ βοηθῆσαι τοῖς νόμοις, μὴ κοινὴν ἐπὶ πάντας ὀργὴν λαβὼν ὁ Θεὸς πάλιν αὐτοὺς εἰς συμφορὰς ἐμβάλῃ, διέρρηξε μὲν εὐθὺς ὑπὸ λύπης τὴν ἐσθῆτα, καὶ τὴν κεφαλὴν δὲ σπαράσσων καὶ τὰ γένεια ὑβρίζων ἐπὶ τὴν γῆν ἑαυτὸν ἔρριψεν, ἐπὶ τῷ τὴν αἰτίαν ταύτην λαβεῖν τοὺς πρώτους τοῦ λαοῦ. Λογιζόμενος δὲ ὅτι, ἐὰν ἐκβαλεῖν αὐτοὺς τὰς γυναῖκας καὶ τὰ ἐξ αὐτῶν προστάξῃ τέκνα, οὐκ ἀκουσθήσεται, διέμενεν ἐπὶ τῆς γῆς κείμενος. Συνέτρεχον οὖν πρὸς αὐτὸν οἱ μέτριοι πάντες, κλαίοντες καὶ αὐτοὶ καὶ τῆς ἐπὶ τῷ γεγενημένῳ λύπης συμμεταλαμβάνοντες. Ἀναστὰς δὲ ἀπὸ τῆς γῆς ὁ Ἔσδρας καὶ τὰς χεῖρας ἀνατείνας εἰς τὸν οὐρανὸν αἰσχύνεσθαι μὲν ἔλεγεν εἰς αὐτὸν ἀναβλέψαι, διὰ τὰ ἡμαρτημένα τῷ λαῷ, ὃς τῆς μνήμης ἐξέβαλε τὰ τοις πατράσιν ἡμῶν διὰ τὴν ἀσέβειαν αὐτῶν συμπεσόντα, παρεκάλει δὲ τὸν Θεὸν σπέρμα τι καὶ λείψανον ἐκ τῆς τότε συμφορᾶς αὐτῶν καὶ αἰχμαλωσίας περισώσαντα, καὶ πάλιν εἰς Ἱεροσόλυμα καὶ τὴν οἰκείαν γῆν ἀποκαταστήσαντα, καὶ τοὺς Περσῶν βασιλέας ἀναγκάσαντα λαβεῖν οἶκτον αὐτῶν, καὶ συγγνωμονῆσαι τοῖς νῦν ἡμαρτημένοις, ἄξια μὲν θανάτου πεποιηκόσιν, εἶναι δ' ἐπὶ τῇ τοῦ Θεοῦ χρηστότητι καὶ τούτους ἀφεῖναι τῆς κολάσεως.

δ'. Καὶ ὁ μὲν ἐπαύσατο τῶν εὐχῶν· θρηνούντων δὲ

alia difficili ipsis objecta. Regi enim Esdras ante dixerat, Deo curæ fore ut illos servaret, atque adeo noluit ab eo equites petere, qui ipsos deducerent. Peracta autem supplicatione, ab Euphrate profecti duodecimo die mensis primi, anno regni Xerxis septimo, Hierosolyma perveniebant ejusdem anni mense quinto. Atque illico Esdras gazæ custodibus, qui ex sacerdotum genere erant, sacram pecuniam tradidit, argenti talenta sexcenta quinquaginta, vasa argentea talentorum centum, vasa aurea viginti talentorum, et vasa ærea auro meliora [*i. e. ex aurichalco facta*] pondo duodecim talentorum : hæc enim rex et ejus consiliarii et omnes in Babylone manentes Israelitæ donaverant. Esdras autem, quum ista sacerdotibus tradidisset, Deo in holocausta legitimas immolavit hostias, tauros duodecim pro universi populi salute, arietes nonaginta, agnes duos et septuaginta, et capros piaculares duodecim. Regis etiam dispensatoribus et præfectis Cœles-Syriæ Phœnicesque scriptas ab rege reddidit epistolas. Illi vero, quod facere necesse habuerint quæ a rege erant imperata, et gentem honorarunt, et ei si quid opus esset adjumento fuerunt.

3. Et hæc quidem erant quæ ab ipso Esdra consule bantur, eique ex sententia successerunt, Deo ipsum, ut puto, ob probitatem et justitiam dignum existimante, cui consulta feliciter cederent. Aliquanto autem post, quum nonnulli eum convenissent et detulissent quosdam de populo, et sacerdotes et Levitas, ut qui contra reipublicæ instituta fecerint et patrias leges labefactarint, alienigenis ductis uxoribus, genusque sacerdotale confuderint, orassentque ut legibus subveniret, ne in universos sine discrimjne sæviat Dei ira, faciatque ut in calamitates iterum recidant, præmœrore statim vestimenta conscidit, et vulsa capitis cæsarie barbaque mutilata semet humi prostravit, quod primores populi hoc in se crimen admiserint. Atque secum reputans, sibi non obtemperatum iri, si juberet eos uxores cum liberis foras ejicere, nolebat se a terra attollere. Itaque ad eum confluebant quotquot boni erant æquique, et ipsi lugentes similiterque ac ille quæ facta erant dolentes. Quum autem Esdras humo surrexisset, passis in cœlum manibus dicebat se quidem pudere sublatis oculis illud contueri, quod graviter adeo deliquerit populus, obliti illorum quæ patribus nostris ob peccata ab illis commissa acciderunt : Deum vero, qui semen aliquod et reliquias e calamitate eorum ac captivitate conservaverit, et rursus Hierosolyma suamque in terram reduxerit, quique reges Persarum eo perpulerit ut sortis ipsorum misererentur, supplex orabat ut et illorum inpræsentiarum delictis ignosceret, qui licet commeriti fuerint ut morte plectantur, Dei tamen benignitati in laudem cessurum esse, si illis supplicium remiserit.

4. Atque ille quidem orandi finem fecit. Dum vero

πάντων ὅσοι πρὸς αὐτὸν σὺν γυναιξὶ καὶ τέκνοις συνῆλθον, Ἀχώνιός τις ὀνόματι, πρῶτος τῶν Ἱεροσολυμιτῶν προσελθὼν, αὐτοὺς μὲν ἁμαρτεῖν ἔλεγεν, ἀλλοεθνεῖς ἐνοικισαμένους γυναῖκας· ἔπειθε δ' αὐτὸν ἐξορκίσαι πάντας ἐκβαλεῖν αὐτὰς καὶ τὰ ἐξ αὐτῶν γεγεννημένα, κολασθήσεσθαι δὲ τοὺς οὐχ ὑπακούσαντας τῷ νόμῳ. Πεισθεὶς οὖν τούτοις Ἔσδρας ἐποίησεν ὀμόσαι τοὺς φυλάρχους τῶν ἱερέων καὶ τῶν Λευϊτῶν καὶ Ἰσραηλιτῶν ἀποπέμψασθαι τὰς γυναῖκας καὶ τὰ τέκνα κατὰ τὴν Ἀχωνίου συμβουλήν. Λαβὼν δὲ τοὺς ὅρκους εὐθὺς ὥρμησεν ἐκ τοῦ ἱεροῦ εἰς τὸ παστοφόριον Ἰωάννου τοῦ Ἐλιασίβου· καὶ μηδενὸς ὅλως διὰ τὴν λύπην γευσάμενος ἐκείνην τὴν ἡμέραν διήγαγεν αὐτόθι. Γενομένου δὲ κηρύγματος ὥστε πάντας τοὺς ἀπὸ τῆς αἰχμαλωσίας συνελθεῖν εἰς Ἱεροσόλυμα, ὡς τῶν ἐν δυσὶν ἢ τρισὶν ἡμέραις οὐκ ἀπαντησάντων ἀπαλλοτριωθησομένων τοῦ πλήθους καὶ τῆς οὐσίας αὐτῶν κατὰ τὴν τῶν πρεσβυτέρων κρίσιν ἀφιερωθησομένης, συνῆλθον οἱ ἐκ τῆς Ἰούδα φυλῆς καὶ Βενιαμίτιδος ἐν τρισὶν ἡμέραις, εἰκάδι τοῦ ἐνάτου μηνὸς, ὃς κατὰ μὲν Ἑβραίους Τεβέθος, κατὰ δὲ Μακεδόνας Ἀπελλαῖος καλεῖται. Καθισάντων δὲ ἐν τῷ ὑπερῴῳ τοῦ ἱεροῦ, παρόντων ἅμα καὶ τῶν πρεσβυτέρων, καὶ ὑπὸ τοῦ κρύους ἀηδῶς διακειμένων, ἀναστὰς Ἔσδρας ἠτιᾶτο ἐκείνους, λέγων παρανομῆσαι γήμαντας οὐκ ἐξ ὁμοφύλων· νῦν μέντοι γε ποιήσειν αὐτοὺς τῷ μὲν Θεῷ κεχαρισμένα, συμφέροντα δὲ αὐτοῖς, ἀποπεμψαμένους τὰς γυναῖκας. Οἱ δὲ ποιήσειν μὲν τοῦτο πάντες ἐξεβόησαν, τὸ δὲ πλῆθος εἶναι πολὺ καὶ τὴν ὥραν τοῦ ἔτους χειμέριον καὶ τὸ ἔργον οὐ μιᾶς οὐδὲ δευτέρας ὑπάρχειν ἡμέρας· ἀλλ' οἵ τε ἡγεμόνες τούτοις καὶ οἱ συνοικοῦντες ταῖς ἀλλοφύλοις παραγενέσθωσαν λαβόντες χρόνον καὶ πρεσβυτέρους ἐξ ὧν ἂν θελήσωσι τόπου τοὺς συνεπισκεψομένους τὸ τῶν γεγαμηκότων πλῆθος. Καὶ τοῦτο δόξαν αὐτοῖς, ἀρξάμενοι τῇ νουμηνίᾳ τοῦ δεκάτου μηνὸς ἀναζητεῖν τοὺς συνοικοῦντας ταῖς ἀλλοεθνέσιν ηὗρον, ἕως τῆς τοῦ μηνὸς τοῦ ἐχομένου νουμηνίας ποιησάμενοι τὴν ἔρευναν, πολλοὺς ἔκ τε τῶν τοῦ Ἰησοῦ ἐκγόνων τοῦ ἀρχιερέως καὶ τῶν ἱερέων καὶ Λευϊτῶν καὶ Ἰσραηλιτῶν, οἳ καὶ τὰς γυναῖκας καὶ τὰ ἐξ αὐτῶν γεγεννημένα, τῆς τῶν νόμων φυλακῆς ἢ τῶν πρὸς αὐτὰ φίλτρων ποιούμενοι πλείονα λόγον, εὐθὺς ἐξέβαλλον· καὶ θυσίας ἐξευμενίζοντες τὸν Θεὸν ἐπήνεγκαν, κριοὺς καταθύσαντες αὐτῷ. Τὰ δὲ ὀνόματα αὐτῶν λέγειν οὐκ ἔδοξεν ἡμῖν ἀναγκαῖον εἶναι. Τὸ μὲν οὖν ἁμάρτημα τὸ περὶ τοὺς γάμους τῶν προειρημένων οὕτως ἐπανορθώσας Ἔσδρας ἐκαθάριζε τὴν περὶ ταῦτα συνήθειαν, ὡς ταύτην τοῦ λοιποῦ μόνιμον εἶναι.

ε'. Τῷ δὲ ἑβδόμῳ μηνὶ τὴν σκηνοπηγίαν ἑορτάζοντες, καὶ σχεδὸν παντὸς τοῦ λαοῦ συνεληλυθότος ἐπ' αὐτὴν, ἀνελθόντες εἰς τὸ ἀνειμένον τοῦ ναοῦ πρὸς τὴν πύλην τὴν ἐπὶ τὴν ἀνατολὴν ἀποβλέπουσαν, ἐδεήθησαν τοῦ Ἔσδρα τοὺς νόμους αὐτοῖς ἀναγνωσθῆναι τοὺς Μωϋσέως. Ὁ δὲ μέσος τοῦ πλήθους σταθεὶς ἀνέγνω καὶ

omnes, qui ad eum cum uxoribus et liberis convenere, ploratum ederent, quidam nomine Achonius, Hierosolymitanorum primus, eum adiit, dicebatque illos quidem sese peccato obstrinxisse, qui cum alienigenis habitarint uxoribus, eique suadebat, ut omnes ad uxores cum liberis suis repudiandas juramento adigeret, et si quis legi parere nollet, in eum animadverteret. His itaque persuasus Esdras principibus sacerdotum et Levitarum et Israelitarum jusjurandum detulit, se uxores liberosque secundum Achonii consilium dimissuros esse. Atque ubi jurarunt, e templo digressus contendit ad cœnaculum Joannis filii Eliasibi, ubi tota ea die commoratus nec cibi quidquam nec potus præ mœrore attigit. Quum autem edictum esset ut omnes ex captivitate reduces Hierosolyma convenirent, adeo ut quicunque intra duos aut tres dies se non stitisset, e populi cœtu semoveretur, ejusque bona sacra forent ex senatorum decreto, Judaicæ et Benjamiticæ tribus homines intra triduum coiverunt vigesimo die mensis noni, qui Hebræis *Chasleus* dicitur, Macedonibus vero Apellæus. At postquam consederunt in superiore parte templi, senioribus etiam una præsentibus, quibus molestiam creabat frigus, Esdras, quum surrexisset, accusabat eos dicens legem violasse qui uxores duxerint ex gente aliena : veruntamen nunc licere illis facere rem Deo gratam et sibimet salubrem et frugiferam, si uxorum consortio renunciarint. Ad hæc tota concio exclamavit se quidem hoc facturos esse, multitudinem vero magnam esse, et anni tempestatem hibernam, et opus non unius aut duorum dierum esse : quocirca qui istis præsunt, quique cum alienigenis habitant, ad certum tempus accedant, et quum iis adsint seniores ex quocunque volunt loco, una numerum initurl eorum qui uxores duxerint. Quumque hoc illis placuisset, cœpta inquisitione prima die mensis decimi in eos qui alienigenas asciverant uxores, quum eam facere perrexissent usque ad primam diem mensis sequentis, multos invenerunt et ex Jesu pontificis posteris, et ex sacerdotibus et Levitis et Israelitis, qui conjuges liberosque ex iis natos sine mora ejicere aggressi sunt, pluris facientes legum observantiam quam suum erga illos amorem; atque, ut Deum placarent, sacrificia obtulerunt, arietibus ipsi immolatis. Nomina autem illorum recensere haud necessarium mihi visum est. Et Esdras quidem quum istiusmodi circa connubia erratum ita correxisset, consuetudinem hac de re emendavit et in posterum stabilivit.

5. Septimo autem mense, quum festum tabernaculorum ageretur, et universus fere populus convenisset, ubi in templi partem patentem ascenderant juxta portam ad orientem versam, Esdram obsecrarunt ut Moysis leges ipsis recitarentur. Atque is in media concione positus prælegebat,

τοῦτο ἐποίησεν ἀπ' ἀρχομένης ἡμέρας ἕως μεσημβρίας. Οἱ δὲ ἀκούσαντες ἀναγινωσκομένων τῶν νόμων δίκαιοι μὲν πρὸς τὸ παρὸν καὶ τὸ μέλλον ἐδιδάσκοντο εἶναι, περὶ δὲ τῶν παρῳχημένων ἐδυσφόρουν, καὶ μέχρι τοῦ δακρύειν προήχθησαν, ἐνθυμούμενοι πρὸς ἑαυτοὺς ὅτι μηδὲν ἂν τῶν πεπειραμένων κακῶν ἔπαθον, εἰ τὸν νόμον διεφύλαττον. Ὁ δὲ Ἔσδρας οὕτως ὁρῶν αὐτοὺς ἔχοντας ἐκέλευσεν ἀπιέναι πρὸς αὑτοὺς καὶ μὴ δακρύειν· εἶναι γὰρ ἑορτὴν καὶ μὴ δεῖν ἐν αὐτῇ κλαίειν· οὐ γὰρ ἐξεῖναι· προὐτρέπετο δὲ μᾶλλον πρὸς εὐωχίαν ὁρμήσαντας ποιεῖν τὰ πρόσφορα τῇ ἑορτῇ καὶ κεχαρισμένα, καὶ μετάνοιαν καὶ λύπην τὴν ἐπὶ τοῖς ἔμπροσθεν ἐξημαρτημένοις ἀσφάλειάν τε ἔξειν καὶ φυλακὴν τοῦ μηδὲν ὅμοιον συμπεσεῖν. Οἱ δὲ, ταῦτα Ἔσδρα παραινοῦντος, ἑορτάζειν ἤρξαντο, καὶ τοῦτο ποιοῦντες ἐφ' ἡμέρας ὀκτὼ ἐν ταῖς σκηναῖς ἀνεχώρησαν εἰς τὰ οἰκεῖα μετὰ ὕμνων τοῦ Θεοῦ, τῆς ἐπανορθώσεως τῶν περὶ τὸ πολίτευμα παρανομηθέντων Ἔσδρᾳ χάριν εἰδότες. Ὢν συνέβη μετὰ τὴν παρὰ τῷ λαῷ δόξαν γηραιῷ τελευτῆσαι τὸν βίον καὶ ταφῆναι μετὰ πολλῆς φιλοτιμίας ἐν Ἱεροσολύμοις. Ὑπὸ δὲ τὸν αὐτὸν καιρὸν, καὶ Ἰωακείμου τοῦ ἀρχιερέως ἀποθανόντος, παῖς αὐτοῦ Ἐλιάσιβος τὴν ἀρχιερωσύνην διεδέξατο.

ς'. Τῶν δὲ αἰχμαλωτισθέντων τις Ἰουδαίων οἰνοχόος τοῦ βασιλέως Ξέρξου, Νεεμίας ὄνομα, περιπατῶν πρὸ τῆς μητροπόλεως τῶν Περσῶν Σούσων, ξένων τινῶν ἀπὸ μακρᾶς ὁδοιπορίας εἰς τὴν πόλιν εἰσιόντων ἐπακούσας Ἑβραϊστὶ πρὸς ἀλλήλους ὁμιλούντων, προσελθὼν αὐτοῖς ἐπυνθάνετο πόθεν εἶεν παραγενόμενοι. Ἀποκριναμένων δ' ἥκειν ἐκ τῆς Ἰουδαίας, πῶς αὐτῶν ἔχει τὸ πλῆθος καὶ ἡ μητρόπολις Ἱεροσόλυμα πάλιν ἤρξατο πυνθάνεσθαι. Κακῶς δ' ἔχειν εἰπόντων, βεβλῆσθαι γὰρ αὐτῶν εἰς ἔδαφος τὰ τείχη καὶ τὰ πέριξ ἔθνη πολλὰ διατιθέναι κακὰ τοὺς Ἰουδαίους, ἡμέρας μὲν κατατρεχόντων τὴν χώραν καὶ διαρπαζόντων, τῆς δὲ νυκτὸς κακῶς ἀπεργαζομένων, ὡς πολλοὺς ἐκ τῆς χώρας καὶ ἐξ αὐτῶν Ἱεροσολύμων αἰχμαλώτους ἀπῆχθαι καὶ τὰς ὁδοὺς πλήρεις εὑρίσκεσθαι καθ' ἡμέραν νεκρῶν, ἐδάκρυσεν ὁ Νεεμίας, ἐλεήσας τῆς συμφορᾶς τοὺς ὁμοφύλους· καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν, « ἄχρι τίνος εἶπεν, ὦ δέσποτα, ὑπερόψῃ ταῦτα πάσχον τὸ ἔθνος ἡμῶν; οὕτως ἅρπαγμα πάντων καὶ λάφυρον γεγόναμεν. » Διατρίβοντος δ' αὐτοῦ πρὸς τῇ πύλῃ καὶ ταῦτ' ἀποδυρομένου, προσελθών τις ἤγγειλεν αὐτῷ μέλλειν ἤδη κατακλίνεσθαι τὸν βασιλέα. Ὁ δ' εὐθὺς ὡς εἶχε, μηδ' ἀπολουσάμενος, διακονήσων ἔσπευσε τῷ βασιλεῖ τὴν ἐπὶ τοῦ ποτοῦ διακονίαν. Ὡς δὲ μετὰ τὸ δεῖπνον ὁ βασιλεὺς διεχύθη καὶ ἡδίων αὐτοῦ γενόμενος ἀπέβλεψεν εἰς τὸν Νεεμίαν, καὶ κατεσκυθρωπακότα θεασάμενος, διὰ τί κατηφὴς εἴη ἀνέκρινεν. Ὁ δὲ τοῦ Θεοῦ δεηθεὶς χάριν τινὰ καὶ πειθὼ παρασχεῖν αὐτῷ λέγοντι, « πῶς, φησὶν, ὦ βασιλεῦ, δύναμαί σοι μὴ « βλέπεσθαι τοιοῦτος, μηδὲ τὴν ψυχὴν ἀλγεῖν, ὅπου « τῆς πατρίδος μου Ἱεροσολύμων, ἐν ᾗ τάφοι καὶ μνή-

idque fecit a mane ad meridiem. Illi vero quum leges lectas audivissent, non solum in præsens futurumque justitiam edocti erant, sed et præterita ægre ferebant, lacrimisque obortis ea lugebant, secum cogitantes quod mala quæ experti erant non pertulissent, si legem observassent. Esdras autem quum eos ita se habere conspexisset, jussit ut domum abirent, et a lacrimis abstinerent; esse enim festum, nec oportere ea die (quod nefas esset) luctum edere; hortabaturque ut ad epulas potius versi festo convenienter lætitiam agitarent, atque pœnitentiam et dolorem ob priora delicta ipsis securitati fore et præsidio, ne quid ejusmodi illis accidat. Atque ita, Esdra eos ad hoc incitante, epulari cœperunt. Quod postquam per octo dies in tentoriis fecerant, cum Dei laudibus domum discesserunt, magnas Esdræ gratias habentes, qui quicquid præter reipublicæ instituta factum fuerit emendaverat. Cui contigit ut gloriæ publicæ annorumque satur e vita decederet, et magnifice Hierosolymis sepeliretur. Atque sub idem tempus Joacimus pontifex diem obiit, eique filius ejus Eliasibus in pontificatum successit.

6. Quidam autem ex captivis Judæis, Xerxis regis pincerna, nomine Neemias, deambulans ante primariam Persarum urbem Susa, quum hospites quosdam, magno itinere confecto, urbem ingredientes Hebraice inter se confabulari animadvertisset, accedens ad eos rogabat undenam venirent. Illis autem respondentibus se ex Judæa venisse, rursum percontari cœpit, quomodo se haberet iste populus, et metropolis eorum Hierosolyma. Quumque ei dixissent magno esse in malo, mœnia quippe illorum solo æquata esse, gentesque in circuitu finitimas multis Judæos injuriis afficere, die quidem regionem incursibus populantes et diripientes, nocte vero mala perpetrantes, ita ut multos ex regione ipsaque Hierosolymis abducant, passimque per vias luce reperiantur cadavera, Neemias in lacrimas prorumpebat, ex popularium calamitate misericordia commotus, oculisque ad cœlum sublatis, « quousque, inquit, patieris, Domine, gentem nostram adeo miseriis obrui? sic factum est ut omnibus in prædam et spolia cedamus. » Dum autem ad portam moraretur et ista defleret, advenit quidam eique nunciavit regem jam in eo esse ut accumberet. Ille vero e vestigio, ita ut erat, ne lotus quidem, regi ministratum ire properavit. Quum vero post cœnam rex multa esset hilaritate, sôlitoque magis se jucunditati daret, Neemiam aspectavit, observatoque quod vultus ei tristis esset, tristitiæ causam percontatus est. Tum ille, Deum precatus ut sermonem gratia quadam suadaque imbueret, « qui pos« sum, inquit, o rex, alius a te conspici, aut animo non « dolere, quando audio patriæ meæ Hierosolymorum, ubi

« ματα προγόνων τῶν ἐμῶν εἰσιν, ἀκούω βεβλῆσθαι « κατὰ τῆς γῆς τὰ τείχη, καὶ τὰς πύλας ἐμπεπρησμέ- « νας αὐτῆς; Ἀλλὰ χάρισαί μοι πορευθέντι τὸ τεῖχος « ἀνεγεῖραι καὶ τοῦ ἱεροῦ τὸ λοιπὸν προσοικοδομῆσαι. » Ὁ βασιλεὺς διδόναι τε αὐτῷ τὴν δωρεὰν κατένευσε καὶ πρὸς τοὺς σατράπας κομίσαι γράμματα, ὅπως τιμῆς τε αὐτὸν ἀξιώσωσι καὶ πᾶσαν παράσχωσι χορηγίαν εἰς ἅπερ βούλεται. Πέπαυσο δὲ, φησὶ, λυπούμενος, καὶ χαίρων ἡμῖν τοῦ λοιποῦ διακόνει. Ὁ μὲν οὖν Νεεμίας προσκυνήσας τῷ Θεῷ καὶ τῷ βασιλεῖ τῆς ὑποσχέσεως εὐχαριστήσας, τὸ κατηφὲς τοῦ προσώ- που καὶ συγκεχυμένον ἀπεκάθηρε τῇ τῶν ἐπηγγελμένων ἡδονῇ. Καλέσας δὲ αὐτὸν τῇ ἐπιούσῃ δίδωσιν αὐτῷ πρὸς Ἀδαῖον ἐπιστολὴν κομίσαι τὸν τῆς Συρίας καὶ Φοινίκης καὶ Σαμαρείας ἔπαρχον, ἐν ᾗ περί τε τῆς τιμῆς τοῦ Νεεμίου καὶ χορηγίας τῆς εἰς τὴν οἰκοδομίαν ἐπεστάλκει.

ζ'. Γενόμενος οὖν ἐν Βαβυλῶνι καὶ πολλοὺς τῶν ὁμοφύλων ἑθελοντὰς ἀκολουθοῦντας αὐτῷ παραλαβών, ἦκεν εἰς Ἱεροσόλυμα, πέμπτον καὶ εἰκοστὸν ἔτος ἤδη βασιλεύοντος Ξέρξου· καὶ δείξας τῷ Θεῷ τὰς ἐπιστολὰς ἀποδίδωσι τῷ Ἀδαίῳ καὶ τοῖς ἄλλοις ἐπάρχοις, καὶ συγκαλέσας πάντα τὸν λαὸν εἰς Ἱεροσόλυμα στὰς ἐν μέσῳ τῷ ἱερῷ τοιούτους ἐποιήσατο πρὸς αὐτοὺς λόγους. « Ἄνδρες Ἰουδαῖοι, τὸν μὲν Θεὸν ἴστε μνήμῃ τῶν πα- « τέρων Ἀβράμου καὶ Ἰσάκου καὶ Ἰακώβου παραμέ- « νοντα, καὶ διὰ τῆς ἐκείνων δικαιοσύνης οὐκ ἐγκατα- « λείποντα τὴν ὑπὲρ ἡμῶν πρόνοιαν. Ἀμέλει συνήρ- « γησέ μοι παρὰ τοῦ βασιλέως λαβεῖν ἐξουσίαν ὅπως « ἡμῶν τὸ τεῖχος ἀναστήσω καὶ τὸ λείψανον τοῦ ἱεροῦ « τελειώσω. Βούλομαι δ' ὑμᾶς, τὴν τῶν γειτονευόντων « ἡμῖν ἐθνῶν δυσμένειαν σαφῶς εἰδότας, καὶ ὅτι πρὸς « τὴν οἰκοδομίαν, εἰ μάθοιεν ἡμᾶς περὶ ταύτην φιλοτι- « μουμένους, ἐνστήσονται καὶ πολλὰ πραγματεύσονται « πρὸς αὐτὴν ἡμῖν ἐμπόδια, θαρρεῖν μὲν τῷ Θεῷ πρῶ- « τον, ὡς καὶ πρὸς τὴν ἐκείνων ἀπέχθειαν στησομένῳ, « μήτε δὲ ἡμέρας μήτε νυκτὸς αὐτοὺς ἀνιέναι τῆς « οἰκοδομίας, ἀλλὰ πάσῃ σπουδῇ χρωμένους συνέχειν « τὸ ἔργον, ὡς γε καιρὸς τούτου ἴδιός ἐστι. » Ταῦτα εἰπὼν ἐκέλευσεν εὐθὺς τοὺς ἄρχοντας μετρῆσαι τὸ τεῖχος καὶ διανεῖμαι τὴν ἐργασίαν αὐτοῦ τῷ λαῷ κατὰ κώμας καὶ πόλεις, κατὰ τὸ ἑκάστοις δυνατόν. Ὑποσχόμενος δὲ καὶ αὐτὸς μετὰ τῶν οἰκετῶν συλλήψεσθαι πρὸς τὴν οἰκοδομίαν διέλυσε τὴν ἐκκλησίαν. Καὶ οἱ Ἰουδαῖοι πρὸς τὸ ἔργον παρεσκευάζοντο. Ἐκλήθησαν δὲ τὸ ὄνομα ἐξ ἧς ἡμέρας ἀνέβησαν ἐκ Βαβυλῶνος, ἀπὸ τῆς Ἰούδα φυλῆς, ἧς πρώτης ἐλθούσης εἰς ἐκείνους τοὺς τόπους, αὐτοί τε καὶ ἡ χώρα τῆς προσηγορίας αὐτῆς μετέλαβον.

η'. Ἀκούσαντες δὲ τὴν τῶν τειχῶν οἰκοδομὴν σπευδομένην Ἀμμανῖται καὶ Μωαβῖται καὶ Σαμαρεῖται καὶ πάντες οἱ ἐν τῇ Κοίλῃ Συρίᾳ νεμόμενοι χαλεπῶς ἔφερον, καὶ διετέλουν ἐπιβουλὰς αὐτοῖς συντιθέντες, τὴν προαίρεσιν αὐτῶν ἐμποδίζοντες· πολλούς τε τῶν Ἰου-

« sepulcra sunt majorum meorum, mœnia ad terram de- « jecta esse, portasque igne consumptas? Verum quæso in- « dulgeas mihi eo proficisci, et muros exstruere, temploque « manum ultimam imponere. » Rex hoc quod petiit ei concessit, literasque promisit ad satrapas perferendas, ut et honorem ei haberent, et necessariorum copiam, ad quoscunque vellet usus, ei facerent. Mœrere autem, inquit, desine, ac deinceps mihi cum alacritate fac ministres. Tum Neemias quidem, quum Deum adorasset, regique pro pollicitatione gratias egisset, vultum mœstitia dejectum confusumque cœpit attollere, lætitiaque ex promissis frontem exporrigere. Quum vero sequenti die *rex* eum accivisset, literas ei dedit, quas Adæo Syriæ et Phœnices et Samariæ præsidi redderet, in quibus mandabatur de Neemia honorifice tractando et de suppeditandis ei quibus ad ædificandum opus esset.

7. Quum igitur Babylonem venisset, et multos e popularibus ultro se adjungentes comites assumpsisset, Hierosolyma se contulit, jam annum quintum et vigesimum regni agente Xerxe : literisque Deo ostensis, mox eas Adæo reddidit ceterisque præfectis; convocato deinde Hierosolyma universo populo, quum in medio templi constitisset, sic eos est alloquutus. « Equidem scitis, Judæi, « Deum adhuc in memoria retinere majores *nostros*, « Abramum et Isacum et Jacobum, atque illorum justitiæ « merito nostri curam non abjecisse. Mihi scilicet adjutor « fuit, ut a rege potestatem acciperem mœnia nostra instau- « randi, perficiendique quod templo adhuc desit. Volo ita- « que vos (quum probe noritis quam maligno in nos animo « sint gentes vicinæ, quodque nobis, ubi nostrum ædifi- « candi studium resciverint, resistent et modis omnibus « agent ut opus impediant) Deo inprimis confidere, ut qui « semet illorum odio opponet; deinde nec die nec noctu « ædificationem intermittere, sed summo studio curaque « operi incumbere, quod tempus jam nobis in manibus est. » Ista loquutus continuo jussit magistratus mœnia dimetiri, atque opus conficiendum vicatim populo et oppidatim dividere, æquis pro modo virium portionibus : pollicitusque se quoque cum domesticis velle operam suam conferre, dimisit concionem. Et Judæi ad opus se accingebant. Vocabantur autem hoc nomine ex illa die qua ascenderunt e Babylone, a tribu Judæ, quæ quum prima in locos illos pervenerit, ipsis pariter ac regioni hujusmodi appellatio indita est.

8. Ceterum Ammanitæ et Moabitæ et Samaritæ et omnes qui Cœlen-Syriam incolebant, ubi murorum ædificationem accelerari fama acceperant, ægre ferebant, et id agere non destiterunt, ut insidias illis struendo a proposito dimoverent : multis etiam Judæorum occisis operam dederunt ut

δαίων ἀπέκτειναν καὶ αὐτὸν ἐζήτουν τὸν Νεεμίαν διαφθεῖραι, μισθούμενοι τινὰς τῶν ἀλλοφύλων, ἵνα αὐτὸν ἀνέλωσιν. Εἰς φόβον δὲ καὶ ταραχὴν αὐτοὺς ἐνέβαλλον, καὶ φήμας αὐτοῖς διέστελλον ὡς πολλῶν ἐπιστρατεύειν αὐτοῖς μελλόντων ἐθνῶν· ὑφ' ὧν ἐκταρασσόμενοι μικροῦ τῆς οἰκοδομίας ἀπέστησαν. Τὸν δὲ Νεεμίαν οὐδὲν τούτων ἐξέστησε τῆς σπουδῆς τῆς περὶ τὸ ἔργον, ἀλλὰ στῖφός τι φυλακῆς ἕνεκα τοῦ σώματος περιβαλλόμενος ἀτρύτως ὑπέμενεν, ὑπὸ τῆς εἰς τὸ ἔργον ἐπιθυμίας ἀναισθητῶν καὶ τῆς ταλαιπωρίας. Οὕτω τε συντεταμένως καὶ προνοητικῶς αὐτοῦ τῆς σωτηρίας εἶχεν, οὐχὶ φοβούμενος τὸν θάνατον, ἀλλὰ πεπεισμένος ὅτι μετὰ τὴν αὐτοῦ τελευτὴν οὐκέτ' αὐτοῦ τοῖς πολίταις ἀναστήσεται τὰ τείχη· ἐκέλευσε δὲ ἐξῆς τοὺς οἰκοδομοῦντας ὅπλα περιζωννυμένους ἐργάζεσθαι. Καὶ ὁ μὲν οἰκοδόμος μάχαιραν εἶχε καὶ ὁ τὴν ὕλην παρακομίζων, θυρεοὺς δ' ἔγγιστα αὐτῶν ἐκέλευσε κεῖσθαι καὶ σαλπιγκτὰς ἀπὸ πεντακοσίων ἑστησε ποδῶν, προστάξας, ἂν ἐπιφανῶσιν οἱ πολέμιοι, τοῦτο σημῆναι τῷ λαῷ, ἵνα ὡπλισμένοι μάχωνται καὶ μὴ γυμνοῖς αὐτοῖς ἐπιπέσωσιν. Αὐτὸς δὲ νύκτωρ περιήρχετο τῆς πόλεως τὸν κύκλον, οὐδὲν κάμνων οὔτε τοῖς ἔργοις οὔτε τῇ διαίτῃ καὶ τοῖς ὕπνοις· οὐδενὶ γὰρ τούτων πρὸς ἡδονὴν, ἀλλὰ πρὸς ἀνάγκην ἐχρῆτο. Καὶ ταύτην ὑπέμεινε τὴν ταλαιπωρίαν ἐπ' ἔτη δύο καὶ μῆνας τέσσαρας. Ἐν τοσούτῳ γὰρ χρόνῳ τοῖς Ἱεροσολύμοις ἀνῳκοδομήθη τὸ τεῖχος, ὀγδόῳ καὶ εἰκοστῷ τῆς Ξέρξου βασιλείας ἔτει, μηνὶ ἐνάτῳ. Τέλος δὲ τῶν τειχῶν λαβόντων, Νεεμίας καὶ τὸ πλῆθος ἔθυσαν τῷ Θεῷ ὑπὲρ τῆς τούτων οἰκοδομίας, καὶ διῆγον ἐφ' ἡμέρας ὀκτὼ εὐωχούμενοι. Τὰ μὲν οὖν ἔθνη τὰ ἐν τῇ Συρίᾳ κατοικοῦντα τῆς τῶν τειχῶν οἰκοδομίας πέρας ἔχειν ἀκουσθείσης ἐδυσφόρει· Νεεμίας δὲ τὴν πόλιν ὁρῶν ὀλιγανθρωπουμένην τοὺς ἱερεῖς καὶ Λευίτας παρεκάλεσε τὴν χώραν ἐκλιπόντας μετελθεῖν εἰς τὴν πόλιν καὶ μένειν ἐν αὐτῇ, κατασκευάσας τὰς οἰκίας αὐτοῖς ἐκ τῶν ἰδίων ἀναλωμάτων· τόν τε γεωργοῦντα λαὸν τὰς δεκάτας τῶν καρπῶν ἐκέλευσε φέρειν εἰς Ἱεροσόλυμα, ἵνα τρέφεσθαι διηνεκῶς ἔχοντες οἱ ἱερεῖς καὶ Λευῖται μὴ καταλίπωσι τὴν θρησκείαν. Καὶ οἱ μὲν ἡδέως ὑπήκουσαν οἷς ὁ Νεεμίας διετάξατο· πολυανθρωποτέραν δὲ τὴν τῶν Ἱεροσολυμιτῶν πόλιν οὕτω συνέβη γενέσθαι. Πολλὰ δὲ καὶ ἄλλα καλὰ καὶ ἐπαίνων ἄξια φιλοτιμησάμενος ὁ Νεεμίας ἐτελεύτησεν εἰς γῆρας ἀφικόμενος. Ἀνὴρ δὲ ἐγένετο χρηστὸς τὴν φύσιν καὶ δίκαιος, καὶ περὶ τοὺς ὁμοεθνεῖς φιλοτιμότατος, μνημεῖον αἰώνιον αὑτῷ καταλιπὼν τὰ τῶν Ἱεροσολύμων τείχη. Ταῦτα μὲν οὖν ἐπὶ Ξέρξου βασιλέως ἐγένετο.

ΚΕΦ. Ϛ'.

Τελευτήσαντος δὲ Ξέρξου τὴν βασιλείαν εἰς τὸν υἱὸν Κῦρον, ὃν Ἀρταξέρξην Ἕλληνες καλοῦσι, συνέβη μεταβῆναι. Τούτου τὴν Περσῶν ἔχοντος ἡγεμονίαν ἐκινδύνευσε τὸ τῶν Ἰουδαίων ἔθνος ἅπαν σὺν γυναιξὶ καὶ

ipsi Neemiæ exitium machinarentur, quosdam ex alienigenis conducendo qui illum interimerent. Præterea metum illis et terrorem injiciebant, rumoresque spargebant, quasi magni diversarum gentium exercitus eos essent invasuri. Ex quibus tantus eos timor incessit ut parum abfuerit quin ædificationem desererent. Neemiam vero nihil horum a studio quod operi impendebat deterrere potuit, sed custodiæ causa corporis sui agmine satellitum stipatus constanter perseverabat, præ desiderio operis promovendi nihil molestiæ ex labore sentiens. Atque adeo omni cura et cogitatione suæ prospiciebat saluti, non quod mortem metueret, sed persuasum haberet se exstincto mœnia civibus suis instauratum non iri, jussitque in posterum ut ædificatores armis instructi operi se admoverent. Quo factum est ut cæmentarius quidem gladio esset accinctus, itemque is qui materiem afferebat, clypeos vero in propinquo ut haberent præcepit, et ad quingentos passus tubicines disposuit, quibus imperatum erat ut classico accessus hostium, sicubi apparerent, populo significarent, ut essent qui armati pugnam inirent, neque nudos et inermes hostis adoriretur. Ipse autem noctu urbem in ambitum circuibat, nec laboribus succumbens, nec somno aut cibo; horum enim neutro ad voluptatem, sed ad necessitatem utebatur. Atque hanc ærumnam per biennium et menses quattuor toleravit. Nam tanto tempore mœnibus cincta erant Hierosolyma, anno imperii Xerxis vigesimo et octavo, mense nono. Quumque absoluti essent muri, Neemias populusque Deo sacra fecerunt pro illorum ædificatione, et octo dies festum celebrarunt. Ubi autem gentes Syriam incolentes audiverant ad finem perductam esse murorum exstructionem, graviter commoti erant. Ceterum Neemias, quum animadverteret exiguum in urbe populum esse, sacerdotes hortatus est et Levitas, ut regione relicta in urbem migrarent, ibique considerent, id agens ut illis domicilia exstruerentur ipsius sumptibus: populum etiam agros colentem frugum decimas Hierosolyma conferre jussit, ut sacerdotes et Levitæ, satis sibi habentes in perpetuum victum, Dei cultum non desererent. Et illi quidem libenter fecerunt quæ Neemias imperavit: atque ita factum est ut in Hierosolymorum urbe major esset civium frequentia. Neemias autem, quum et alia multa præclara et laude digna munifice fecisset, ad senectutem provectus e vita discessit. Eratque vir indole bonus ac justus, et popularium gloriæ amans, quibus æternum sui reliquit monumentum Hierosolymorum mœnia. Et hæc quidem Xerxe regnante gesta sunt.

CAP. VI.

Mortuo autem Xerxe contigit ut regnum ad filium Cyrum deveniret, quem Græci Artaxerxem nominant. Illo imperium Persarum tenente parum abfuit quin tota Judæorum gens cum uxoribus et liberis exitio daretur. Hujus rei cau-

τέκνοις ἀπολέσθαι. Τὴν δ' αἰτίαν μετ' οὐ πολὺ δηλώσομεν· πρέπει γὰρ τὰ τοῦ βασιλέως διηγεῖσθαι πρῶτον, ὡς ἔγημεν Ἰουδαίαν γυναῖκα, τοῦ γένους οὖσαν τοῦ βασιλικοῦ, ἣν καὶ σῶσαι τὸ ἔθνος ἡμῶν λέγουσι. Παραλαβὼν γὰρ τὴν βασιλείαν ὁ Ἀρταξέρξης καὶ καταστήσας ἀπὸ Ἰνδίας ἄχρις Αἰθιοπίας τῶν σατραπειῶν ἑκατὸν καὶ εἰκοσιεπτὰ οὐσῶν ἄρχοντας, τῷ τρίτῳ τῆς βασιλείας ἔτει, τούς τε φίλους καὶ τὰ Περσῶν ἔθνη καὶ τοὺς ἡγεμόνας αὐτῶν ὑποδεξάμενος εἱστία πολυτελῶς, οἷον εἰκὸς παρὰ βασιλεῖ τοῦ πλούτου παρασκευαζομένῳ τὴν ἐπίδειξιν ποιήσασθαι, ἐπὶ ἡμέρας ἑκατὸν ὀγδοήκοντα. Ἔπειτα τὰ ἔθνη καὶ τοὺς πρεσβευτὰς αὐτῶν ἐν Σούσοις ἐπὶ ἡμέρας κατευώχησεν ἑπτά. Τὸ δὲ συμπόσιον ἦν αὐτοῖς τὸν τρόπον τοῦτον γεγενημένον· σκήνωμα πηξάμενος ἐκ χρυσέων καὶ ἀργυρέων κιόνων ὕφη λίνεα καὶ πορφύρεα κατ' αὐτῶν διεπέτασεν, ὥστε πολλὰς μυριάδας κατακλίνεσθαι· διηκονοῦντο δὲ ἐκπώμασι χρυσέοις καὶ τοῖς διὰ λίθου πολυτελοῦς εἰς τέρψιν ἅμα καὶ θέαν πεποιημένοις. Προσέταξε δὲ καὶ τοῖς διακόνοις μὴ βιάζεσθαι πίνειν τὸ ποτὸν αὐτοῖς συνεχῶς προσφέροντας, ὡς καὶ παρὰ Πέρσαις γίνεται, ἀλλ' ἐπιτρέπειν αὐτοῖς καὶ πρὸς ὃ βούλεται τῶν κατακειμένων ἕκαστος φιλοφρονεῖσθαι. Διαπέμψας δὲ καὶ κατὰ τὴν χώραν παρήγγειλεν ἀνεῖσθαι τῶν ἔργων ἀφιεμένους, καὶ ἑορτάζειν ὑπὲρ τῆς βασιλείας αὐτοῦ πολλαῖς ἡμέραις. Ὁμοίως τε τῶν γυναικῶν ἡ βασίλισσα Οὐάστη συνήγαγε συμπόσιον ἐν τοῖς βασιλείοις· ἦν ἐπιδεῖξαι βουλόμενος τοῖς ἑστιωμένοις ὁ βασιλεὺς, πέμψας ἐκέλευσεν αὐτὴν εἰς τὸ συμπόσιον ἥκειν, καλλει τὰς γυναῖκας ἁπάσας ὑπερβάλλουσαν. Ἡ δὲ φυλακὴ τῶν παρὰ Πέρσαις νόμων, οἳ τοῖς ἀλλοτρίοις βλέπεσθαι τὰς γυναῖκας ἀπηγορεύκασιν, οὐκ ἐπορεύετο πρὸς τὸν βασιλέα, καὶ πολλάκις τοὺς εὐνούχους ἀποστείλαντος πρὸς αὐτὴν, οὐδὲν ἧττον ἀνέμεινε παραιτουμένη τὴν ἄφιξιν, ὡς εἰς ὀργὴν παροξυνθέντα τὸν βασιλέα λῦσαι μὲν τὸ συμπόσιον, ἀναστάντα δὲ καὶ τοὺς ἑπτὰ τῶν Περσῶν, οἳ τὴν τῶν νόμων ἐξήγησιν ἔχουσι παρ' αὐτοῖς, καλέσαντα κατηγορεῖν τῆς γυναικὸς καὶ λέγειν ὡς ὑβρισθείη παρ' αὐτῆς· κληθεῖσα γὰρ πολλάκις ὑπ' αὐτοῦ εἰς τὸ συμπόσιον ὑπήκουσεν οὐδ' ἅπαξ. Προσέταξεν οὖν δηλοῦν τίνα κατ' αὐτῆς νόμον ὁρίζουσιν. Ἑνὸς δὲ ἐξ αὐτῶν, Μουχαίου ὄνομα, εἰπόντος οὐκ αὐτῷ μόνῳ ταύτην γεγονέναι τὴν ὕβριν, ἀλλὰ πᾶσι Πέρσαις, οἷς κινδυνεύεται καταφρονουμένοις ὑπὸ τῶν γυναικῶν αἴσχιστα διαγεγονέναι τὸν βίον, (οὐδεμία γὰρ τοῦ συνοικοῦντος ἀνδρὸς αἰδῶ ποιήσεται, παράδειγμα τὴν τῆς βασιλίσσης ὑπερηφανίαν πρὸς σὲ τὸν κρατοῦντα ἁπάντων ἔχουσα,) παρακελευομένου τε τὴν οὕτως ἐνυβρίζουσαν αὐτῷ ζημιῶσαι μεγάλῃ ζημίᾳ, καὶ τοῦτο ποιήσαντα διαγγεῖλαι τοῖς ἔθνεσι τὰ περὶ τῆς βασιλίσσης κεκυρωμένα, ἔδοξε τὴν Οὐάστην ἐκβαλεῖν καὶ δοῦναι τὴν ἐκείνης τιμὴν ἑτέρᾳ γυναικί.

β'. Διακείμενος δὲ ὁ βασιλεὺς πρὸς αὐτὴν ἐρωτικῶς καὶ μὴ φέρων τὴν διάζευξιν, καταλλαγῆναι μὲν αὐτῇ

sam paulo post indicabimus: nam decet primum ea narrare quæ ad regem spectant, quemadmodum Judæam duxerit uxorem e stirpe regia, quam ferunt etiam gentem nostram conservasse. Artaxerxes enim, posteaquam regnum acceperat, et constituerat ab India ad Æthiopiam usque centum et viginti septem satrapas, anno regni tertio amicos et Persas sibi subditos et præsides illorum magnifico convivio excepit, prout conveniebat regi omnia comparanti ut divitiarum magnitudinem ostentaret, per centum et octoginta dies. Eo exacto spatio gentibus et legatis illorum in Susis per septem dies epulum dedit. Atque convivium in hunc fere modum apparatum erat: quum tabernaculum figi curasset columnis aureis et argenteis suffultum, vela linea et purpurea eo usque prætexi fecit, ut multæ myriades illic discumberent. Ministrabatur autem poculis aureis et ex lapidibus pretiosis, ad delectationem simul et spectaculum factis. Ministris etiam in mandatis dedit ne ad bibendum adigerent, potum illis jugiter præbendo, sicut apud Persas fit, sed permitterent illis, prout accumbentium unicuique visum, hilariter agere. Dimissis etiam per totam provinciam nunciis edixit ut laxati operibus feriarentur, multosque dies pro regno suo festos agerent. Similiter et ipsa Vaste regina muliebre epulum in regia celebravit. Quam rex, utpote formæ pulcritudine mulierum præcellentissimam, convivis suis ostendere cupiens, ad se in convivium accersi jubet. Illa vero reverentia Persarum legum, quæ ab alienis spectari mulieres vetant, ad regem se non conferebat, et quum iterum iterumque spadones ad eam misisset, nihilominus perstitit venire recusans, adeo ut rex ira vehementi incensus solverit convivium, quumque surrexisset et septem e Persis accivisset, quibus apud ipsos commissa est legum interpretatio, uxorem accusarit, dixeritque quemadmodum ipsum contumelia affecerit: nam ad convivium aliquoties ab ipso vocata ne semel quidem paruit. Jubebat itaque ut decarlarent quid reginæ faciendum esse lege statuerent. Quum autem unus ex illis, nomine Muchæus, diceret hoc non ipsi soli in injuriam cedere, verum etiam Persis omnibus, qui in periculum veniant ne ab uxoribus despectui habiti vitam agant inhonestam, (nulla enim mulier maritum suum verebitur, cui exemplo erit reginæ arrogantia adversus te qui omnibus imperas), hortareturque ut tam contumacem erga ipsum gravi mulctaret pœna, qua re facta gentibus omnibus promulgaret quid decretum fuerit in reginam; visum est ut Vasten repudiaret ejusque honorem alii traderet.

2. Quum autem rex vehementer eam amaret et disjungi ab ea ægre ferret, ipsi quidem reconciliari lege intercedente

διὰ τὸν νόμον οὐκ ἠδύνατο, λυπούμενος δὲ ὡς ἐπ' ἀδυνάτοις οἷς ἤθελε διετέλει. Βλέποντες δ' αὐτὸν οὕτως ἔχοντα χαλεπῶς οἱ φίλοι συνεβούλευον τὴν μὲν τῆς γυναικὸς μνήμην καὶ τὸν ἔρωτα μηδὲν ὠφελούμενον ἐκβάλλειν, ζητῆσαι δὲ περιπέμψαντα καθ' ὅλην τὴν οἰκουμένην παρθένους εὐπρεπεῖς, ὧν τὴν προκριθεῖσαν ἔχειν εἰς γυναῖκα· σθέννυσθαι γὰρ τὸ πρὸς τὴν προτέραν φιλόστοργον ἑτέρας ἐπεισαγωγῇ, καὶ τὸ πρὸς ἐκείνην εὔνουν ἀποσπώμενον κατὰ μικρὸν γίνεσθαι τῆς συνούσης. Πεισθεὶς δὲ τῇ συμβουλίᾳ ταύτῃ προσέταξέ τισιν ἐπιλεξαμένοις τὰς εὐδοκίμους ἐπ' εὐμορφίᾳ τῶν ἐν τῇ βασιλείᾳ παρθένων ἀγαγεῖν πρὸς αὐτόν. Συναχθεισῶν δὲ πολλῶν ηὑρέθη τις ἐν Βαβυλῶνι κόρη, τῶν γονέων ἀμφοτέρων ὀρφανὴ, παρὰ τῷ θείῳ Μαρδοχαίῳ (τοῦτο γὰρ ἦν ὄνομα αὐτῷ) τρεφομένη. Οὗτος δ' ἦν ἐκ τῆς Βενιαμίτιδος φυλῆς, τῶν δὲ πρώτων παρὰ τοῖς Ἰουδαίοις. Πασῶν δὲ τὴν Ἐσθῆρα συνέβαινε (τοῦτο γὰρ ἦν αὐτῇ τοὔνομα) τῷ κάλλει διαφέρειν καὶ τὴν χάριν τοῦ προσώπου τὰς ὄψεις τῶν θεωμένων μᾶλλον ἐπάγεσθαι. Παραδοθεῖσα δὲ αὕτη τινὶ τῶν εὐνούχων εἰς ἐπιμέλειαν πάσης ἐτύγχανε προνοίας, ἀρωμάτων ἀφθονία καὶ πολυτελείᾳ τῶν ἀλειμμάτων, ὧν χρῄζει τὰ σώματα, καταρδομένη. Καὶ τούτων ἀπέλαυον ἐπὶ μῆνας ἓξ τετρακόσιαι τὸν ἀριθμὸν οὖσαι. Ὅτε δὲ ἐνόμιζεν ἀποχρώντως τῷ προειρημένῳ χρόνῳ τὴν ἐπιμέλειαν ἔχειν τὰς παρθένους καὶ τοῦ βαδίζειν αὐτὰς ἐπὶ κοίτην βασιλέως ἀξίας ἤδη γενέσθαι, καθ' ἑκάστην ἡμέραν μίαν ἔπεμπε τῷ βασιλεῖ συνεσομένην. Ὁ δὲ πλησιάζων εὐθὺς ἀπέπεμπε πρὸς τὸν εὐνοῦχον. Ἀφικομένης δὲ τῆς Ἐσθῆρος πρὸς αὐτὸν, ἡσθεὶς αὐτῇ καὶ πεσὼν τῆς κόρης εἰς ἔρωτα, νομίμως αὐτὴν ἄγεται γυναῖκα, καὶ γάμους αὐτῇ ποιεῖται τῷ δωδεκάτῳ μηνὶ ἑβδόμου ἔτους τῆς αὐτοῦ βασιλείας, Ἀδὰρῳ καλουμένῳ. Διέπεμψε δὲ τοὺς ἀγγάρους λεγομένους εἰς πᾶν ἔθνος, ἑορτάζειν αὐτοῖς τοὺς γάμους παραγγέλλων· αὐτὸς δὲ Πέρσας καὶ τοὺς Μήδους καὶ τοὺς πρώτους τῶν ἐθνῶν εἱστία ἐπὶ μῆνα ὅλον ὑπὲρ τῶν γάμων αὐτοῦ. Εἰσελθούσης δὲ εἰς τὸ βασίλειον, περιτίθησιν αὐτῇ τὸ διάδημα. Καὶ συνῴκησεν οὕτως Ἐσθὴρ, μὴ ποιήσασα φανερὸν αὐτῷ τὸ ἔθνος ἐξ οὗπερ εἶη τυγχάνουσα. Μεταβὰς δὲ καὶ ὁ θεῖος αὐτῆς ἐκ τῆς Βαβυλῶνος εἰς Σοῦσα τῆς Περσίδος αὐτόθι διῆγεν, ἑκάστης ἡμέρας πρὸς τοῖς βασιλείοις διατρίβων καὶ πυνθανόμενος περὶ τῆς κόρης τίνα διάγει τρόπον· ἔστεργε γὰρ αὐτὴν ὡς αὐτοῦ θυγατέρα.

γ'. Ἔθηκε δὲ καὶ νόμον ὁ βασιλεὺς ὥστε μηδένα τῶν ἰδίων αὐτῷ προσιέναι μὴ κληθέντα, ὁπηνίκα ἐπὶ τοῦ θρόνου καθέζοιτο. Περιεστήκεσαν δὲ τὸν θρόνον αὐτοῦ πελέκεις ἔχοντες ἄνθρωποι πρὸς τὸ κολάζειν τοὺς προσιόντας ἀκλήτους τῷ θρόνῳ. Καθῆστο μέντοι λύγον χρυσέαν ἔχων αὐτὸς ὁ βασιλεὺς, ἣν, ὅτε τινὰ σώζειν ἤθελε τῶν ἀκλήτως προσιόντων, ἐξέτεινε πρὸς αὐτόν. Ὁ δὲ ἁπτόμενος αὐτῆς, ἀκίνδυνος ἦν. Καὶ περὶ μὲν τούτων ἀρκούντως ἡμῖν δεδήλωται.

non potuit; dolere vero non cessabat, ut qui voluntate sua in difficultates se conjecerit. Quo factum ut amici, quum eum animi anxietate laborare viderent, consilium dederint ut uxoris quidem memoriam et amoris nihil profuturi cogitationem abjiceret, per totum vero terrarum orbem mitteret qui virgines venustas et elegantes sibi conquirerent, ut eam quam ceteris prætulerit in uxorem haberet : nova enim inducta fore ut prioris exstinguatur cupiditas, et benevolentia illi paululum subtracta in ipsam transeat quæ cum eo versabitur. Huic consilio obsecutus isti negotio certos præfecit, qui virgines forma præ ceteris egregia ex omnibus imperii sui regionibus deligerent et ad eum adducerent. Quum vero multæ congregatæ essent, inventa est quædam Babylone puella, utroque parente orbata, a patruo Mardochæo (eo enim nomine vocabatur) enutrita. Is autem erat ex tribu Benjamitica et e primoribus inter Judæos. Atque fiebat ut Esther (hoc enim ipsi nomen erat) omnibus pulcritudine præstaret, vultusque gratia spectantium oculos in se præcipue converteret. Postquam vero spadoni cuidam, qui ipsam curaret, tradita erat, ei abunde provisum est, ut quæ magna odorum copia et pretiosis unguentis, quibus corporibus opus est, delibueretur. Atque ista illis numero quadringentis adhibita erant per sex menses. Quando autem illo tempore satis curatas existimaret virgines, ipsasque jam dignas esse quæ ad regis lectum irent, unam singulis diebus ad regem mittebat quæ cum eo consuesceret. Ille vero, postquam cum ea rem habuerat, statim ad eunuchum remittebat. Ceterum quum Esther ad eum accessisset, ea delectatus et puellæ amore captus, illam justam uxorem sibi accepit, nuptiasque cum ea celebravit anno regni sui septimo, mense duodecimo qui Adar dicitur. Porro nuncios, qui angari appellantur, in gentes omnes dimisit, festum nuptiale eis indicens : ipse vero Persas et Medos et gentium primores epulis adhibuit per integrum mensem in nuptiarum suarum honorem. Quum autem in regiam ingressa esset *uxor*, diadema ei imposuit. Atque ita cum eo habitavit Esther, nec gentem, unde ortum habuit, ei patefecit. At patruus ejus, ubi Babylone Susa Persidos migraverat, illic degebat, et quotidie in regia versabatur, quærebatque quomodo se haberet puella : amabat enim eam quasi filiam suam.

3. Jam vero lex lata erat a rege, ne quis suorum ad se, quum in solio sederet, non vocatus accederet. Atque in hoc lictores adhibiti erant cum securibus, ut si quis contra faceret pœna mulctaretur. Rex vero ipse sedebat virgam auream tenens, quam, quum aliquem servare vellet ex iis qui non vocati eum adierint, ei porrigebat : quique eam attigerat, extra periculum erat. Et de his quidem satis nobis dictum est.

δ'. Χρόνῳ δὲ ὕστερον ἐπιβουλευσάντων τῷ βασιλεῖ Βαγαθώου καὶ Θεοδέστου, Βαρνάβαζος τῶν εὐνούχων οἰκέτης τοῦ ἑτέρου, τὸ γένος ὢν Ἰουδαῖος, συνεὶς τὴν ἐπιβουλὴν, τῷ θείῳ κατεμήνυσε τῆς γυναικὸς τοῦ βασιλέως. Μαρδοχαῖος δὲ διὰ τῆς Ἐσθῆρος φανεροὺς ἐποίησε τῷ βασιλεῖ τοὺς ἐπιβουλεύοντας. Ταραχθεὶς δὲ ὁ βασιλεὺς τἀληθὲς ἐξηῦρε. Καὶ τοὺς μὲν εὐνούχους ἀνεσταύρωσε, τῷ δὲ Μαρδοχαίῳ τότε μὲν οὐδὲν παρέσχεν ὡς αἰτία τῆς σωτηρίας γεγονότι, μόνον δὲ αὐτοῦ τὸ ὄνομα τοῖς τὰ ὑπομνήματα συγγραφομένοις ἐκέλευσε σημειώσασθαι καὶ προσμένειν αὐτὸν τοῖς βασιλείοις, ὄντα φίλον ἀναγκαιότατον τῷ βασιλεῖ.

ε'. Ἀμάνην δὲ Ἀμαδάθου μὲν υἱὸν, τὸ γένος δὲ Ἀμαληκίτην, εἰσιόντα πρὸς τὸν βασιλέα, προσεκύνουν οἵ τε ξένοι καὶ Πέρσαι, ταύτην αὐτῷ τὴν τιμὴν παρ' αὐτῶν Ἀρταξέρξου κελεύοντος γενέσθαι. Μαρδοχαίου, δὲ, διὰ σοφίαν καὶ τὸν οἰκοθεν αὐτοῦ νόμον, οὐ προσκυνοῦντος ἄνθρωπον, παραφυλάξας ὁ Ἀμάνης ἐπυνθάνετο πόθεν εἴη. Μαθὼν δὲ αὐτὸν ὄντα Ἰουδαῖον ἠγανάκτησε, καὶ πρὸς ἑαυτὸν εἶπεν ὡς οἱ μὲν ἐλεύθεροι Πέρσαι προσκυνοῦσιν αὐτὸν, οὗτος δὲ δοῦλος ὢν οὐκ ἀξιοῖ τοῦτο ποιεῖν. Καὶ τιμωρῆσαι θελήσας τὸν Μαρδοχαῖον αὐτὸν μὲν αἰτήσασθαι πρὸς κόλασιν παρὰ τοῦ βασιλέως μικρὸν ἡγήσατο, τὸ δὲ ἔθνος αὐτοῦ διέγνω πᾶν ἀφανίσαι· καὶ γὰρ φύσει τοῖς Ἰουδαίοις ἀπηχθάνετο, ὅτι καὶ τὸ γένος τῶν Ἀμαληκιτῶν, ἐξ ὧν ἦν αὐτὸς, ὑπ' αὐτῶν διέφθαρτο. Προσελθὼν οὖν τῷ βασιλεῖ κατηγόρει λέγων ἔθνος εἶναί τι πονηρὸν, διεσπάρθαι δὲ τοῦτο κατὰ τῆς ὑπ' αὐτοῦ βασιλευομένης οἰκουμένης, ἄμικτον, ἀσύμφυλον, οὔτε θρησκείαν τὴν αὐτὴν τοῖς ἄλλοις ἔχον οὔτε νόμοις χρώμενον ὁμοίοις, « ἐχθρὸν δὲ καὶ τοῖς ἔθεσι καὶ τοῖς ἐπιτηδεύμασι τῷ σῷ λαῷ καὶ ἅπασιν ἀνθρώποις. Τοῦτο τὸ ἔθνος, εἴ τινα θέλεις τοῖς ὑπηκόοις εὐεργεσίαν καταθέσθαι, κελεύσεις πρόρριζον ἀπολέσαι, μηδέ τι αὐτοῦ λείψανον καταλιπεῖν, μήτε εἰς δουλείαν τινῶν φυλαχθέντων μήτε αἰχμαλωσίαν. » Ἵνα μέντοι μὴ ζημιωθῇ τοὺς φόρους τοὺς παρ' αὐτῶν γινομένους, ἐκ τῆς ἰδίας οὐσίας αὐτὸς ἐπηγγείλατο μυριάδας δώσειν ταλάντων ἀργυρίου τέσσαρας, ὅπου ἂν κελεύσῃ. Ταῦτα δὲ τὰ χρήματα παρέξειν ἡδέως ἔλεγεν, ἵν' ἀπὸ τούτων εἰρηνευθῇ τῶν κακῶν ἡ βασιλεία.

ς'. Ταῦτα τοῦ Ἀμάνου ἀξιώσαντος, ὁ βασιλεὺς καὶ τὸ ἀργύριον αὐτῷ χαρίζεται καὶ τοὺς ἀνθρώπους, ὥστε ποιεῖν αὐτοὺς ὅ τι βούλεται. Τυχὼν δὲ ὧν ἐπεθύμει Ἀμάνης, παραχρῆμα πέμπει διάταγμα ὡς τοῦ βασιλέως εἰς ἅπαντα τὰ ἔθνη, περιέχον τοῦτον τὸν τρόπον· « Βασιλεὺς μέγας Ἀρταξέρξης τοῖς ἀπὸ Ἰνδικῆς ἕως « τῆς Αἰθιοπίας ἑπτὰ καὶ εἴκοσι καὶ ἑκατὸν σατραπειῶν « ἄρχουσι τάδε γράφει. Πολλῶν ἐθνῶν ἄρξας, καὶ « πάσης ἧς ἐβουλήθην κρατήσας οἰκουμένης, καὶ μη« δὲν ὑπὸ τῆς ἐξουσίας ὑπερήφανον μηδὲ σκαιὸν εἰς « τοὺς ἀρχομένους ἀναγκασθεὶς ἁμαρτεῖν, ἀλλ' ἐπιεικῆ « καὶ πρᾷον ἐμαυτὸν παρασχὼν, καὶ προνοησάμενος « εἰρήνης καὶ εὐνομίας αὐτοῖς, ἐζήτουν πῶς εἰς ἅπαντα

4. Aliquando autem post, quum Bagathous et Theodestes in eo essent ut insidias regi struerent, Barnabazus alterius eunuchi servus, genere Judæus, iis intellectis, rem ad patruum uxoris regis defert. Ac Mardochæus per Estherem regi insidiatores prodidit. Rex vero territus, veritatem invenit. Et eunuchos quidem cruci suffixit, Mardochæo vero, ut qui salutis ipsi auctor fuerat, tunc quidem nihil præstitit, tantum nomen ejus a commentariensibus in annales referri jussit, ipsumque in regia manere, inter regis habitum amicos maxime necessarios.

5. Tunc quidem moris erat ut Amanen, Amadathæ filium, genere Amalecitam, quoties ad regem ingrederetur, summisse venerarentur tam Persæ quam exteri, quod hunc ei honorem ab illis exhiberi Artaxerxes imperasset. Quum vero Mardochæus, propter sapientiam et patriarum legum reverentiam, hominem non adoraret, Amanes, hoc observato, percontatus est undenam esset. Ubi autem didicit Judæum esse, indignatus est, sibique dixit se quidem a Persis ingenuis adorari, illum vero qui sit servus hoc facere dedignari. Quumque voluisset pœnas de Mardochæo sumere, parum quidem esse ratus est ipsum ad supplicium deposcere, illius vero ex gente universos delere secum statuit: etenim a natalibus erat Judæis infensus, quia genus Amalecitarum, ex quibus ortus erat, ab iis perditum fuerat. Rege itaque adito accusationem instituit, dicens gentem esse quandam malignam, eamque per universas illius imperii regiones dispersam, segregem, insociabilem, neque religionem cum aliis communem habentem, neque paribus utentem legibus, « sed et moribus et institutis pugnantem cum tuo populo, ceterisque hominibus omnibus. Hanc gentem, si quid beneficii et gratiæ subditis tuis vis conferre, jube radicitus exstirpari, ita ut nullæ ejus reliquiæ supersint, nemine quidem aut ad servitutem aut ad captivitatem servato ». Verum, ne quid damni rex patiatur, mulctatus illorum tributis, ipse de suis bonis quadraginta argenti talentorum millia se daturum pollicitus est, ubicunque præceperit. Atque hanc summam libenter se largiturum esse dicebat, ut regnum ab ista peste et pernicie liberatum pacem agitaret.

6. Postquam ista Amanes petierat, rex ei et argentum donavit et homines, ut de illis pro arbitratu suo statueret. Amanes autem, voti compos, statim edictum nomine regis ad omnes nationes mittit in hanc sententiam. « Rex ma« gnus Artaxerxes centum et viginti septem satrapis, ab « India ad Æthiopiam, hæc scribit. Quum multarum gen« tium dominatum, et totius orbis quam late volui impe« rium consequutus fuerim, nihilque superbum aut sævum « in subditos necessitate coactus admiserim, sed mitius et « cum lenitate agendo, curandoque ut pace justisque legi« bus fruantur, illis consuluerim, studuerimque quo modo « in omne ævum hæc firma illis maneant et perpetua,

« τούτων ἀπολαύειν αὐτοῖς γένοιτο, τοῦ δὲ διὰ σωφρο-
« σύνην καὶ δικαιοσύνην παρ' ἐμοὶ τὴν πρώτην μοῖραν
« δόξης καὶ τιμῆς ἔχοντος, καὶ μετ' ἐμὲ δευτέρου διὰ
« πίστιν καὶ βεβαίαν εὔνοιαν, Ἀμάνου, κηδεμονικῶς
« ὑποδείξαντός μοι παντάπασιν ἀνθρώποις ἀναμεμί-
« χθαι δυσμενὲς ἔθνος καὶ τοῖς νόμοις ἀλλόκοτον καὶ
« τοῖς βασιλεῦσιν ἀνυπότακτον καὶ παρηλλαγμένον τοῖς
« ἔθεσι καὶ τὴν μοναρχίαν μισοῦν καὶ δύσνουν τοῖς
« ἡμετέροις πράγμασι, κελεύω τοὺς δηλουμένους ὑπὸ
« τοῦ δευτέρου μου πατρὸς Ἀμάνου πάντας σὺν γυ-
« ναιξὶ καὶ τέκνοις ἀπολέσαι, μηδεμίαν φειδῶ ποιησα-
« μένους, μηδ' ἐλέῳ πλέον ἢ τοῖς ἐπεσταλμένοις πει-
« σθέντας παρακοῦσαι τῶν γραμμάτων. Καὶ τοῦτο γε-
« νέσθαι βούλομαι τῇ τετάρτῃ καὶ δεκάτῃ τοῦ δωδε-
« κάτου μηνὸς τοῦ ἐνεστῶτος ἔτους, ὅπως οἱ πανταχό-
« θεν ἡμῖν πολέμιοι μιᾷ ἡμέρᾳ διαφθαρέντες τοῦ λοι-
« ποῦ μετ' εἰρήνης ἡμῖν τὸν βίον διάγειν παρέχωσι. »
Τούτου κομισθέντος τοῦ προστάγματος εἰς τὰς πόλεις
καὶ τὴν χώραν, ἕτοιμοι πάντες ἐπὶ τὴν τῶν Ἰουδαίων
ἀπώλειαν καὶ παντελῆ ἐξολόθρευσιν εἰς τὴν προειρημέ-
νην ἡμέραν ἐγίνοντο. Ἐσπεύδετο δὲ τοῦτο καὶ ἐν τῇ
Σούσῃ. Ὁ μὲν οὖν βασιλεὺς καὶ ὁ Ἀμάνης πρὸς
εὐωχίαις καὶ πότοις ἦσαν, ἐν ταραχῇ δ' ἦν ἡ πόλις.

Ϛ'. Ὁ δὲ Μαρδοχαῖος μαθὼν τὸ γινόμενον, περιρρη-
ξάμενος τὴν ἐσθῆτα καὶ σάκκον ἐνδυσάμενος, καὶ κα-
ταχεάμενος σποδίαν, διὰ τῆς πόλεως ἐφέρετο βοῶν
ὅτι μηδὲν ἀδικῆσαν ἔθνος ἀναιρεῖται. Καὶ τοῦτο λέ-
γων ἕως τῶν βασιλείων ἦλθεν καὶ πρὸς αὐτοῖς ἔστη· οὐ
γὰρ ἐξῆν εἰσελθεῖν αὐτῷ τοιοῦτον περικειμένῳ σχῆμα.
Τὸ δ' αὐτὸ καὶ πάντες ἐποίησαν οἱ ἐν ταῖς πόλεσιν
Ἰουδαῖοι, ἐν αἷς τὰ περὶ τούτων προετέθη γράμματα,
θρηνοῦντες καὶ τὰς κατηγγελμένας αὐτοῖς συμφορὰς
ὀδυρόμενοι. Ὡς δ' ἀπήγγειλάν τινες τῇ βασιλίσσῃ
τὸν Μαρδοχαῖον ἐν οὕτως οἰκτρῷ σχήματι πρὸ τῆς αὐ-
λῆς ἑστῶτα, ταραχθεῖσα πρὸς τὴν ἀκοὴν ἐξέπεμπε
τοὺς μεταμφιάσοντας αὐτόν. Οὐ πεισθέντος δ' ἀπο-
δύσασθαι τὸν σάκκον, (οὐ γὰρ ἐφ' ᾧ τοῦτον ἀναγκασθείη
λαβεῖν δεινῷ, πεπαῦσθαι τοῦτο,) προσκαλεσαμένη τὸν
εὐνοῦχον Ἀχράθεον, (καὶ γὰρ ἐτύγχανεν αὐτῇ παρών,)
ἀπέστειλε πρὸς Μαρδοχαῖον, γνωσόμενον τίνος συμβε-
βηκότος αὐτῷ σκυθρωποῦ πενθεῖ καὶ τὸ σχῆμα τοῦτο
περικείμενος οὐδ' αὐτῆς παρακαλούσης ἀπέθετο. Ὁ δὲ
Μαρδοχαῖος ἐπέδειξε τῷ εὐνούχῳ τὴν αἰτίαν, τό τε
γράμμα τὸ κατὰ τῶν Ἰουδαίων εἰς ἅπασαν τὴν ὑπὸ τῷ
βασιλεῖ χώραν διαπεμφθὲν καὶ τὴν τῶν χρημάτων ὑπό-
σχεσιν, ἣ τὴν ἀπώλειαν τοῦ ἔθνους ὠνήσατο παρὰ τοῦ
βασιλέως Ἀμάνης. Δοὺς δὲ αὐτῷ καὶ τὸ ἀντίγραφον τῶν
ἐν Σούσοις προτεθέντων κομίσαι τῇ Ἐσθῆρι, καὶ περὶ
τούτων δεηθῆναι τοῦ βασιλέως ἐνετέλλετο, καὶ σω-
τηρίας ἕνεκα τοῦ ἔθνους μὴ ἀδοξῆσαι λαβεῖν σχῆμα
ταπεινὸν, ᾧ παραιτήσεται τοὺς Ἰουδαίους κινδυνεύον-
τας ἀπολέσθαι· τὸν γὰρ τὴν δευτέραν ἔχοντα τῷ βα-
σιλεῖ τιμὴν Ἀμάνην, κατηγορήσαντα τῶν Ἰουδαίων,
παρωξυγκέναι κατ' αὐτῶν τὸν βασιλέα. Ταῦτα

« Amanes autem, qui propter prudentiam et justitiam a me
« præ ceteris decus et honorem adeptus est, et ob fidem
« constantemque benevolentiam proximum mihi locum ob-
« tinet, me pro summa sua cura submonuerit, omnibus
« per orbem hominibus permixtam esse gentem infensam
« omnibus, et aversam a legibus, et regum imperia de-
« trectantem, et moribus dissentientem, summoque mo-
« narchiam odio habere, et maligno in res nostras animo
« esse, edico, ut qui vobis significati fuerint ab Amane,
« altero meo patre, eos omnes cum uxoribus et liberis per-
« datis, nemini omnino parcentes, neque misericordiæ
« plus quam mandatis tribuentes, contra edicta faciatis.
« Atque hoc fieri volo decimo tertio die duodecimi mensis
« instantis anni, ut nostri undique inimici uno die deleti
« vitam nobis in posterum quietam tranquillamque præ-
« stent. » Hoc mandato in urbes et regiones perlato, omnes
in Judæorum exitium et universum interitum die constituta
parati erant. Atque in hoc properatum etiam Susis. Inte-
rea quidem rex et Amanes epulis accumbebant et com-
potationibus : urbs vero anxia erat et perturbata.

7. Mardochæus autem ubi cognoverat quid actum esset, vestes discerpsit, et saccum indutus, et pulvere con-
spersus, per urbem ibat, calamitans interfici gentem quæ
nemini fecerit injuriam. Atque hoc vociferans usque ad re-
giam veniebat, et ibi constitit : non enim illi ejusmodi ve-
stitu eam ingredi licebat. Idem et omnes fecerunt Judæi
per civitates, quibus hac de re literæ promulgatæ erant,
lugentes et ob denunciatam sibi cladem lamentantes. Post-
quam vero reginæ quidam nunciaverant Mardochæum in
tam miserabili habitu stare pro foribus regiæ, ex hac re
audita consternata, mittebat qui ei vestimenta mutarent.
Quum autem recusaret saccum exuere, quod nondum ces-
sasset malum istud, quo ad illum sumendum adactus est;
eunuchum Achratheum (nam et is tum forte illi aderat) ad
se vocatum misit ad Mardochæum, ut disceret quidnam
triste ei accidisset, quod luctui indulgeret, atque habitum
istum, quem induerit, ne ipsa quidem rogante deponeret.
Tum Mardochæus eunucho causam exposuit, et edictum
contra Judæos in omnes provincias regi subditas missum,
summamque pecuniæ, quam pollicitus a rege impetraverat Amanes ut *Judæorum* gens perderetur. Quumque ei
etiam decreti Susis propositi exemplar dedisset Estheri per-
ferendum, jubebat ut nunciaret ei regem pro illis supplici-
ter orandum esse, nec infra ipsam ducendum humilem pro
gentis suæ incolumitate habitum sumere, quo deprecatura
sit ab Judæis interitus periculum : Amanen enim, regi
dignitate proximum, Judæos accusando fecisse ut rex ve-
hementer illis irasceretur et succenseret. Hæc ubi primum

γνοῦσα πέμπει πάλιν πρὸς Μαρδοχαῖον δηλοῦσα ὅτι μήτε κληθείη πρὸς τοῦ βασιλέως καὶ ὁ εἰσερχόμενος πρὸς αὐτὸν ἄκλητος ἀποθνήσκει, πλὴν εἰ μή τινα σώζειν βουλόμενος προτείνειεν τὴν χρυσέαν ῥάβδον· ᾧ γὰρ ἂν τοῦτο ποιήσειεν ὁ βασιλεὺς ἀκλήτῳ πρὸς αὐτὸν εἰσελθόντι, οὗτος οὐκ ἀποθνήσκει μόνον, ἀλλὰ συγγνώμης τυχὼν σώζεται. Μαρδοχαῖος δὲ, τούτους κομίσαντος αὐτῷ τοῦ εὐνούχου παρὰ τῆς Ἐσθῆρος τοὺς λόγους, ἀπαγγέλλειν ἐκέλευσεν αὐτῇ μὴ τὴν ἰδίαν οὕτω σκοπεῖν σωτηρίαν, ἀλλὰ τὴν κοινὴν τοῦ ἔθνους· εἰ γὰρ ἀμελήσειε τούτου νῦν, ἔσεσθαι μὲν αὐτῷ βοήθειαν παρὰ τοῦ Θεοῦ πάντως, αὐτὴν δὲ καὶ τὸν πατρῷον οἶκον αὐτῆς ὑπὸ τῶν ὀλιγωρηθέντων διαφθαρήσεσθαι. Ἡ δὲ Ἐσθὴρ ἐπέστειλε μὲν τῷ Μαρδοχαίῳ τὸν αὐτὸν πέμψασα διάκονον εἰς Σοῦσα πορευθέντι τοὺς ἐκεῖ Ἰουδαίους εἰς ἐκκλησίαν συναγαγεῖν, καὶ νηστεῦσαι πάντων ἀποσχομένους ὑπὲρ αὐτῆς ἐπὶ τρεῖς ἡμέρας· τὸ δ' αὐτὸ ποιήσασαν μετὰ τῶν θεραπαινίδων τότε προσελεύσεσθαι τῷ βασιλεῖ παρὰ τὸν νόμον ὑπισχνεῖτο, κἂν ἀποθανεῖν δέῃ, τοῦτο ὑπομένειν.

η'. Καὶ Μαρδοχαῖος μὲν κατὰ τὰς τῆς Ἐσθῆρος ἐντολὰς τόν τε λαὸν ἐποίησε νηστεῦσαι καὶ τὸν Θεὸν σὺν αὐτοῖς ἱκέτευσε μηδὲ νῦν ὑπεριδεῖν αὐτοῦ τὸ ἔθνος ἀπολλύμενον, ἀλλ' ὡς καὶ πρότερον αὐτοῦ πολλάκις προενόησε καὶ ἁμαρτόντι συνέγνω, καὶ νῦν αὐτὸ ῥύσασθαι τῆς κατηγγελμένης ἀπωλείας. Οὐδὲ γὰρ ἁμαρτών τι κινδυνεύει ἀκλεῶς ἀποθανεῖν, ἀλλ' αὐτὸν εἶναι τὴν αἰτίαν τῆς Ἀμάνου ὀργῆς, ὅτι μὴ προσεκύνησα, μηδ' ἣν σοὶ, δέσποτα, φησὶ, τιμὴν παρεῖχον, ταύτην ἐκείνῳ παρασχεῖν ὑπέμεινα, ὀργισθεὶς ταῦτα κατὰ τῶν μὴ παραβαινόντων τοὺς σοὺς νόμους ἐμηχανήσατο. Τὰς δ' αὐτὰς ἠφίει καὶ τὸ πλῆθος φωνὰς, παρακαλοῦν προνοῆσαι τὸν Θεὸν τῆς σωτηρίας αὐτῶν, καὶ τοὺς ἐν ἁπάσῃ γῇ Ἰσραηλίτας ἐξελέσθαι τῆς μελλούσης συμφορᾶς. Καὶ γὰρ πρὸ ὀφθαλμῶν αὐτὴν εἶχον ἤδη καὶ προσεδόκων. Καὶ Ἐσθὴρ δὲ ἱκέτευε τὸν Θεὸν τῷ πατρῴῳ νόμῳ, ῥίψασα κατὰ τῆς γῆς ἑαυτὴν, καὶ πενθικὴν ἐσθῆτα περιθεμένη καὶ τροφῆς καὶ ποτῷ καὶ τοῖς ἡδέσιν ἀποταξαμένη τρισὶν ἡμέραις, ἥτει τὸν Θεὸν ἐλεηθῆναι μὲν αὐτὴν, δόξαι δ' ὀφθεῖσαν τῷ βασιλεῖ πιθανὴν μὲν τοὺς λόγους παρακαλοῦσαν, τὸ δὲ εἶδος εὐπρεπεστέραν τῆς προτέρας οὖσαν, ἵνα ἀμφοτέροις καὶ πρὸς τὴν παραίτησιν τῆς ὀργῆς, εἴ τι παροξυνθείη πρὸς αὐτὴν ὁ βασιλεὺς, χρήσαιτο, καὶ πρὸς τὴν συνηγορίαν τῶν ὁμοεθνῶν, ἐν τοῖς ἐσχάτοις σαλευόντων, μῖσός τε γενέσθαι τῷ βασιλεῖ πρὸς τοὺς ἐχθροὺς τῶν Ἰουδαίων, καὶ τὴν ἀπώλειαν αὐτοῖς τὴν μέλλουσαν ἐὰν ὀλιγωρηθῶσιν ὑπ' αὐτοῦ, κατασκευάσαντας.

θ'. Ταῦτα ἱκετεύουσα τὸν Θεὸν ἐπὶ τρεῖς ἡμέρας ἀποδύεται μὲν τὴν ἐσθῆτα ἐκείνην καὶ τὸ σχῆμα μεταβάλλει, κοσμησαμένη δ' ὡς ἐχρῆν τὴν βασίλισσαν, σὺν δυσὶ θεραπαίναις, ὧν ἡ μὲν ἐπερειδομένην αὐτὴν κούφως ἔφερεν, ἡ δὲ ἑπομένη τὸ βαθὺ τοῦ ἐνδύματος καὶ μέχρι τῆς γῆς κεχυμένον ἄκροις ἀπηώρει τοῖς δα-

ista rescivit, rursus ad Mardochæum mittit, dicens, se a rege non esse accersitam, et mori quisquis ad eum non vocatus accesserit, nisi rex ei, quem velit servari, virgam auream porrexerit : cui enim hoc fecerit rex, licet ad eum ingressus fuerit non vocatus, is non solum non moritur, sed venia impetrata incolumitate donatur. Mardochæus autem, quum eunuchus hæc verba ab Esthere ad eum retulisset, jussit ei renunciari non eam oportere suam adeo respicere salutem, sed gentis universæ rationem habere : nunc enim si hoc facere negligat, Deum quidem omnino sibi laturum auxilium, ipsam vero domumque patriam perditum iri ab illis quos contempserit. Tum Esther, eodem ministro remisso, Mardochæo mandavit ut Susa profectus Judæos omnes, qui illic adsint, in concionem advocaret, qui pro ipsa jejunent, triduo omni cibo atque potione abstinentes; se vero, ubi idem cum suis ancillis fecerit, tunc regem contra legem adituram esse pollicebatur, et si perire necesse habeat, hoc ipsum non recusare.

8. Et Mardochæus quidem, prout Esther jusserat, et auctor erat ut populus jejunium ageret, unaque cum illis supplex Deum precatus est ne gentem suam in extremum periculum adductam nunc despiceret, sed, quemadmodum antea ipsius saluti sæpe prospexerit, vitiisque et peccatis ejus ignoverit, ita nunc a denunciato liberaret interitu. Non enim sua culpa accidisse ut vitæ per dedecus amittendæ discrimen adeat, sed ipsummet in causa esse cur Amanes adeo ira excandescat : quod « *illum* non adoravi et eundem, inquit, quem tibi, domine, præstare solebam, honorem ei habere non sustinui, iratus ista illis machinatus est, qui nihil contra leges tuas faciunt. » Populus etiam vocem eandem mittebat, Deum orans atque obsecrans ut ipsorum saluti consuleret et provideret, omnesque per terrarum orbem Israelitas a calamitate futura eripere dignaretur. Etenim hæc eis ob oculos jam versabantur et exspectabantur. Esther quoque Deo supplicabat more patrio humi in faciem prostrata, et veste lugubri amicta, ac per triduum a cibo abstinens et potu et deliciis, Deum rogabat ut sortis quidem ipsius misereretur, ubi vero regis in conspectum venerit, facunda videretur supplicantis oratio, et speciem præ se ferret pulcriorem quam unquam antea et venustiorem, ut ad regis iram, si forte in eam exardescat, mitigandam utrisque uteretur, et in præsidium popularium suorum extremo in periculo versantium, regisque animum concitaret in odium illorum, qui in Judæos exerceant inimicitias, hisque exitium, si a rege despectui habeantur, occursurum pararint.

9. Quum ista per triduum supplex petiisset a Deo, vestem lugubrem exuit habitumque mutat, ac deinde reginæ more culta et ornata, cum duabus ancillis, quarum altera ipsam leviter inclinatam ferebat, altera insequebatur et vestem promissam et humi fusam summis digitis attollebat, re-

κτύλοις, ἥκει πρὸς τὸν βασιλέα, μεστὴ μὲν τὸ πρόσωπον ἐρυθήματος, προσηνὲς δὲ καὶ σεμνὸν ἐπικειμένη τὸ κάλλος. Εἰσήει δὲ πρὸς αὐτὸν μετὰ δέους. Ὡς δὲ κατὰ πρόσωπον αὐτοῦ καθεζομένου ἐπὶ τοῦ θρόνου γίνεται τὸν βασιλικὸν περικειμένου κόσμον, ὃς ἦν ἐκ ποικίλης μὲν ἐσθῆτος, χρυσοῦ δὲ καὶ λίθου πολυτελοῦς, φοβερώτερον καὶ δι' αὐτὰ μᾶλλον θεασαμένη καί τι κἀκείνου προσιόντος αὐτὴν ἀπηνέστερον καὶ διακεκαυμένῳ ὑπὸ τῆς ὀργῆς τῷ προσώπῳ, πάρεσις εὐθὺς αὐτὴν ὑπὸ δέους λαμβάνει, καὶ τοῖς παρὰ πλευρὰν οὖσιν ἀχανὴς ἐπέπεσεν. Ὁ δὲ βασιλεὺς κατὰ βούλησιν, οἶμαι, τοῦ Θεοῦ, τὴν διάνοιαν μετέβαλε καὶ δείσας περὶ τῆς γυναικὸς μὴ καὶ πάθῃ τι τῶν χειρόνων ὑπὸ τοῦ φόβου, ἀνεπήδησεν ἀπὸ τοῦ θρόνου, καὶ ταῖς ἀγκάλαις αὐτὴν ὑπολαβὼν ἀνεκτᾶτο, κατασπαζόμενός τε καὶ προσομιλῶν ἡδέως καὶ θαρρεῖν παρακαλῶν καὶ μηδὲν ὑποπτεύειν σκυθρωπὸν, ὅτι πρὸς αὐτὸν ἄκλητος ἦλθοι· τὸν γὰρ νόμον τοῦτον πρὸς τοὺς ὑπηκόους κεῖσθαι, τὴν δὲ ὁμοίως αὐτῷ βασιλεύουσαν πᾶσαν ἔχειν ἄδειαν. Ταῦτα λέγων τὸ σκῆπτρον αὐτῆς ἐνετίθει τῇ χειρὶ καὶ τὴν ῥάβδον ἐξέτεινεν ἐπὶ τὸν αὐχένα αὐτῆς διὰ τὸν νόμον, εὐλαβείας αὐτὴν ἀπολύων. Ἡ δ' ὑπὸ τούτων ἀναζωπυρήσασα, « δέσποτα, εἶπεν, οὐκ ἔχω « σοι τὸ αἰφνίδιον τοῦ συμβεβηκότος μοι ῥᾳδίως εἰπεῖν. « Ὡς γὰρ εἶδόν σε μέγαν καὶ καλὸν καὶ φοβερὸν, εὐ« θὺς ὑπεχώρει μου τὸ πνεῦμα καὶ κατελειπόμην ὑπὸ « τῆς ψυχῆς. » Μόλις δ' αὐτῆς καὶ ταῦτα φθεγγομένης καὶ μετὰ ἀσθενείας, αὐτόν τε ἀγωνία καὶ ταραχὴ κατελάμβανε καὶ τὴν Ἐσθῆρα εὐψυχεῖν καὶ τὰ κρείττω προσδοκᾶν παρεθάρρυνεν, ὡς αὐτοῦ καὶ τὰ ἡμίση τῆς βασιλείας, εἰ δέοιτο, τούτων παραχωρήσοντος αὐτῇ. Ἡ δὲ Ἐσθὴρ ἐπὶ ἑστίασιν αὐτὸν μετὰ Ἀμάνου τοῦ φίλου πρὸς αὐτὴν ἐλθεῖν ἠξίωσε· παρεσκευακέναι γὰρ αὐτὴν δεῖπνον ἔλεγεν. Ὡς δὲ ἐπένευσε καὶ παρῆσαν, μεταξὺ πίνων τὴν Ἐσθῆρα ἐκέλευσεν αὐτῷ δηλοῦν τί βούλεται· μηδενὸς γὰρ ἀτυχήσειν, μηδ' ἂν τὸ μέρος τῆς βασιλείας ἐθελήσῃ λαβεῖν. Ἡ δὲ εἰς τὴν ἐπιοῦσαν ἀνεβάλλετο φράζειν αὐτῷ τὴν αὑτῆς βούλησιν, εἰ πάλιν ἔλθοι πρὸς αὐτὴν μετὰ Ἀμάνου πρὸς ἑστίασιν.

ι'. Τοῦ δὲ βασιλέως ὑποσχομένου, ὁ Ἀμάνης ἐξῆλθε περιχαρὴς ἐπὶ τῷ μόνον ἠξιῶσθαι συνδειπνεῖν τῷ βασιλεῖ παρὰ τῇ Ἐσθῆρι καὶ ὅτι μηδεὶς ἄλλος τοσαύτης τυγχάνει παρὰ τοῖς βασιλεῦσι τιμῆς. Ἰδὼν δ' ἐν τῇ αὐλῇ Μαρδοχαῖον ὑπερηγανάκτησεν· οὐδὲν γὰρ αὐτῷ παρ' αὐτοῦ θεασαμένου πρὸς τιμὴν ἐγένετο. Καὶ παρελθὼν πρὸς αὐτὸν τὴν γυναῖκα Ζάραζαν ἐκάλεσε καὶ τοὺς φίλους· ὧν παρόντων διηγεῖται τὴν τιμὴν, ἧς οὐ παρὰ τοῦ βασιλέως ἀπολαύοι μόνου, ἀλλὰ καὶ παρὰ τῆς βασιλίσσης· καὶ γὰρ σήμερον ὡς δειπνήσειε παρ' αὐτῇ μόνος σὺν τῷ βασιλεῖ καὶ κληθείη πάλιν εἰς τὴν ἐπιοῦσαν. Ἔλεγέ τε μὴ ἀρέσκεσθαι Μαρδοχαῖον ὁρῶντα ἐν τῇ αὐλῇ τὸν Ἰουδαῖον. Τῆς δὲ γυναικὸς αὐτοῦ Ζαράζας εἰπούσης κελεῦσαι ξύλον κοπῆναι πηχῶν πεντήκοντα, καὶ πρωὶ παρὰ τοῦ βασιλέως αἰτηgem adiit rubore genas suffusa, formæque venust: te decora, quæ cum dignitate erat conjuncta. Ad ipsum vero ingrediebatur metu anxia. Quum autem in aspectum ejus veniret in solio sedentis, stolis amicti regiis, ex veste variis coloribus intertexta, auro gemmisque distincta, atque ob ista, ut videre sibi visa est, terribilioris, quumque et ipse eam torvius intueretur, vultuque ira accenso, statim viribus ex metu destituitur, illisque qui ad latus erant incubuit exanimata. Rex autem, Dei, ut arbitror, voluntate, animum mutavit, et conjugi metuens ne quid gravius ex consternatione pateretur, e solio desiluit, eamque ulnis exceptam refocillabat et complexu et blando alloquio, jubendoque bono esse animo, nullaque mali tristioris suspicione teneri, quod ad eum non vocata accesserit : nam legem istam subditis esse latam, ipsi vero, cui commune secum imperium sit, nullum ejus metum habendum esse. Hæc loquutus sceptrum in manus ei tradidit, et virgam ejus cervici admovit legis ergo, ut eam metu solveret. Illa vero, quum istis adhibitis se collegisset, « domine, inquit, eloqui « haud facile possum quid mihi derepente acciderit. Ut « enim te videbam, magnum et pulcrum et verendum, « continuo abscedebat spiritus animique deliquium patie« bar. » Quum autem illa ægre hæc verbe languida et debili voce protulisset, tum rex dolore angi et turbari cœpit, et Estherem confirmare ut animum resumeret et meliora exspectaret, persuasumque haberet se vel regni dimidium, si istud posceret, ei concessurum esse. Esther vero petiit ut una cum Amane amico ad se comessatum veniret; nam ipsam convivium parasse dicebat. Quod quum annuisset et *ambo* adessent, inter pocula *rex* jussit Estherem ei proponere quid fieri vellet : nihil enim non impetraturam, etiamsi regni partem sibi dari postulaverit. At illa in crastinum differre volebat quod in animo habuerit ei dicere, si modo cum Amane rediret ad convivium.

10. Rege vero pollicito, Amanes lætus admodum egressus est, quod solus dignus sit habitus qui cum rege ab Esthere convivio exciperetur, quodque nemo alius tantum honorem a regibus fuerit assequutus. Quum autem pro foribus regiæ vidisset Mardochæum, de eo vehementer indignatus est : nam ipsi in conspectum ejus venienti nullum honorem exhibuit. Quumque domum reverteretur, Zarazam et amicos accersit : quibus, ubi aderant, narravit quanto esset in honore quum apud regem tum apud reginam : ut scilicet ea die solus cum rege ab ea vocatus esset ad convivium, et in crastinum etiam invitatus. Ac præterea dicebat sibi displicere quod viderit Mardochæum Judæum pro foribus regiæ. Ubi autem Zaraza uxor ei suggesserat ut juberet lignum excidi quinquaginta cubitorum,

σάμενον ἀνασταυρῶσαι τὸν Μαρδοχαῖον, ἐπαινέσας τὴν γνώμην προσέταξε τοῖς οἰκέταις ξύλον ἑτοιμασαμένοις στῆσαι τοῦτο ἐν τῇ αὐλῇ πρὸς τιμωρίαν Μαρδοχαίου. Καὶ τοῦτο μὲν ἦν ἕτοιμον. Ὁ δὲ Θεὸς κατεγέλα τῆς Ἀμάνου πονηρᾶς ἐλπίδος, καὶ τὸ συμβησόμενον εἰδὼς ἐτέρπετο τῷ γενησομένῳ. Τοῦ γὰρ βασιλέως διὰ νυκτὸς ἐκείνης ἀφαιρεῖται τὸν ὕπνον. Ὁ δ' οὐ βουλόμενος ἀργῶς ἀπολέσαι τὴν ἀγρυπνίαν, ἀλλ' εἴς τι τῶν τῇ βασιλείᾳ διαφερόντων αὐτὴν ἀναλῶσαι, τὸν γραμματέα κομίσαντα καὶ τῶν πρὸ αὐτοῦ βασιλέων τὰ ὑπομνήματα καὶ τῶν ἰδίων πράξεων, ἀναγινώσκειν αὐτῷ προσέταξεν. Κομίσαντος δὲ καὶ ἀναγινώσκοντος εὑρέθη τις δι' ἀριστείαν ἔν τινι γέρας εἰληφὼς χώραν, ἧς καὶ τὸ ὄνομα ἐγέγραπτο· ἕτερον δὲ διὰ πίστιν δωρεᾶς τετυχηκότα μηνύων, ἦλθε καὶ ἐπὶ Βαγαθῶον καὶ Θεοδέστην τοὺς ἐπιβουλεύσαντας εὐνούχους τῷ βασιλεῖ, ὧν Μαρδοχαῖος μηνυτὴς ἦν γενόμενος. Φράσαντος δὲ τοῦτο μόνον τοῦ γραμματέως καὶ μεταβαίνοντος εἰς ἑτέραν πρᾶξιν, ἐπέσχεν ὁ βασιλεὺς, πυθόμενος εἰ μὴ ἔχει γέρας αὐτῷ δοθὲν ἀναγεγραμμένον. Ὁ δ' ὡς ἔφη μηδὲν εἶναι, κελεύσας ἡσυχάζειν, τίς εἴη τῆς νυκτὸς ὥρα παρὰ τῶν ἐπὶ τούτῳ τεταγμένων ἐπυνθάνετο. Μαθὼν δὲ ὡς ὄρθρος ἐστὶν ἤδη προσέταξε τῶν φίλων ὃν ἂν πρὸ τῆς αὐλῆς εὕρωσιν ἤδη παρόντα, τοῦτον αὐτῷ δηλοῦν. Ἔτυχε δὲ ὥστε Ἀμάνην εὑρεθῆναι· θᾶττον γὰρ τῆς συνήθους ὥρας ἐληλύθει, περὶ τοῦ Μαρδοχαίου θανάτου δεησόμενος αὐτοῦ. Τῶν οὖν θεραπόντων εἰπόντων ὅτι Ἀμάνης εἴη πρὸ τῆς αὐλῆς, ἐκέλευσεν αὐτὸν εἰσκαλέσαι. Εἰσελθόντος δὲ, « φίλον, « εἶπεν, εἰδώς σε ἐμαυτῷ [μόνον] εὔνουν, συμβουλεῦ« σαί μοι παρακαλῶ πῶς ἂν τιμήσαιμί τινα στεργό« μενον ὑπ' ἐμοῦ σφόδρα, τῆς ἐμαυτοῦ μεγαλοφρο« σύνης ἀξίως. » Ὁ δὲ Ἀμάνης λογισάμενος ἦν ἂν δῷ γνώμην, ταύτην δώσειν ὑπὲρ αὐτοῦ (φιλεῖσθαι γὰρ αὐτὸν ὑπὸ τοῦ βασιλέως μόνον,) ἣν ᾤετο ἀρίστην εἶναι, ταύτην φανερὰν ἐποίησεν. Εἶπε γὰρ, « εἰ βούλοιο τὸν « ἄνθρωπον, ὃν φῂς ἀγαπᾶν, δόξῃ περιβαλεῖν, ποίησον « ἐφ' ἵππου βαδίζειν τὴν αὐτὴν ἐσθῆτα σοὶ φοροῦντα « καὶ περιαυχένιον χρυσοῦν ἔχοντα, καὶ προάγοντα « τῶν ἀναγκαίων φίλων ἕνα κηρύσσειν δι' ὅλης τῆς « πόλεως ὅτι ταύτης τυγχάνει τῆς τιμῆς ὃν ἂν ὁ βασι« λεὺς τιμήσῃ. » Ὁ μὲν οὖν Ἀμάνης ταῦτα συνεβούλευσεν, οἰόμενος εἰς αὐτὸν ἥξειν τοῦτο τὸ γέρας. Ὁ δὲ βασιλεὺς ἡσθεὶς τῇ παραινέσει, « προελθὼν, φησὶ, (ἔχεις « γὰρ καὶ τὸν ἵππον καὶ τὴν στολὴν καὶ τὸν στρεπτόν,) « ἐπιζήτησον Μαρδοχαῖον τὸν Ἰουδαῖον, καὶ ταῦτα « ἐκείνῳ δοὺς κήρυττε προάγων αὐτοῦ τὸν ἵππον. Σὺ « γὰρ (ἔφη) μοι φίλος ἀναγκαῖος, καὶ ἴσθι διάκονος ὢν « χρηστὸς σύμβουλος ἐγένου. Ταῦτα δὲ αὐτῷ παρ' ἡμῶν « ἔσται σώσαντί μου τὴν ψυχήν. « Τούτων ἀκούσας παρὰ πᾶσαν ἐλπίδα τὴν διάνοιαν συνεχύθη, καὶ πληγεὶς ὑπὸ ἀμηχανίας ἔξεισιν ἄγων τὸν ἵππον καὶ τὴν πορφύραν καὶ τὸ χρυσοῦν περιαυχένιον. Καὶ τὸν Μαρδοχαῖον εὑρὼν πρὸ τῆς αὐλῆς σάκκον ἐνδεδυμένον, ἐκέ-

et mane a rege contenderet ut in crucem tollatur Mardochæus, consilio laudato domesticis mandavit ut lignum pararent, et in atrio erigerent ad Mardochæi supplicium. Et hoc quidem paratum est. Deus autem spem Amanis improbe conceptam irridebat: quumque rerum nosset eventus, gaudebat eo quod eventurum erat. Regi enim illa nocte somnum adimit. Ille vero, nolens vigilias nihil agendo conterere, sed in aliquid e summis imperii rebus impendere, præcepit scribæ ut rerum a se et a regibus se antecedentibus gestarum commentarios afferret sibique recitaret. Quum autem eos attulisset et legeret, inventus est quidam, quod in re aliqua egregium se præstiterit, in præmium accepisse provinciam, cujus nomen etiam ad scriptum erat alium vero ob fidem muneribus affectum indicans, tum veniebat ad Bagathoi et Theodestis eunuchorum contra regem conjurationem a Mardochæo patefactam. Et quum hoc tantum scriba dixisset, et ad aliud rerum gestarum caput properaret, rex eum inhibuit, percontatus annon scriptum haberet quid ex ea re præmii fuisset illi datum. Quo respondente nihil *scriptum esse*, rex jussit eum tacere, et quota hora noctis esset eos interrogabat, qui in id constituti erant. Quumque audisset jam diluculum esse, præcepit ut si quem amicorum jam invenerint pro foribus regiæ, sibi nunciatum venirent. Accidit autem ut Amanes compareret: nam paulo maturius quam ante consuevit aderat, ut ab eo Mardochæum ad mortis supplicium posceret. Quumque famuli renunciassent adesse Amanem in atrio, jussit eum intro vocari. Cui ingresso, « quum norim, inquit, te mihi amicum esse spectatæ « præ ceteris benevolentiæ, da mihi obsecro consilium, « quo honore pro mea magnificentia eum afficere debeam, « quem valde diligo. » Hic Amanes ratus, quam sententiam dixisset, eam in rem suam dicturum, (se enim solum a rege amari,) quam optimam esse existimabat eam protulit. Aiebat enim, « si hominem, quem a te dicis amari, in « magna gloria esse volueris, facito ut equo vehatur eadem « qua tu veste indutus, et collo torquem auream habens, « illumque antecedat aliquis ex amicis tuis necessariis, « proclametque per totam urbem hunc ei honorem haberi, « quem rex vult honorari. » Et Amanes quidem horum auctor fuit, quod putaret istud sibi datum iri præmium. Quum autem regi hoc consilium valde placuisset, « Ergo « inquit, agedum, (nam habes equum et vestitum et « torquem,) quære Mardochæum Judæum, et, quum illum « istis donaveris, præconium facito, equum illius antece« dens. Tu enim, adjiciebat, amicus meus necessarius, « ea exsequere, quæ me optime monuisti ut fierent. Hæc « autem illi a me tribuentur ob vitam meam conservatam. » Hisce præter omnem spem auditis, animo perturbatus et consilii inopia affectus egreditur, equum ducens et purpuram et torquem auream. Quumque Mardochæum invenisset pro foribus regiæ sacco amictum, jussit ut eum depo-

λευσεν ἀποθέμενον ἐνδύσασθαι τὴν πορφύραν. Ὁ δὲ οὐκ εἰδὼς ταληθές, ἀλλὰ χλευάζεσθαι νομίζων, « ὦ « κάκιστε πάντων ἀνθρώπων, εἶπεν, οὕτως ἡμῶν ταῖς « συμφοραῖς ἐπιγελᾷς; » Πεισθεὶς δὲ ὡς ὁ βασιλεὺς αὐτῷ γέρας τοῦτ' εἴη δεδωκὼς ἀντὶ τῆς σωτηρίας, ἣν αὐτῷ παρέσχε τοὺς τότε ἐπιβουλεύσαντας εὐνούχους ἐλέγξας, ἐνδύεται τὴν πορφύραν, ἣν ὁ βασιλεὺς ἀεὶ φορῶν διετέλει, καὶ περιτίθεται τὸ περιαυχένιον, καὶ ἐπιβὰς ἐπὶ τὸν ἵππον ἐν κύκλῳ περιῄει τὴν πόλιν, Ἀμάνου προάγοντος καὶ κηρύσσοντος ὅτι ταῦτ' ἔσται παρὰ τοῦ βασιλέως τούτῳ ὃν ἂν στέρξῃ καὶ τιμῆς ἄξιον δοκιμάσῃ. Ἐπεὶ δ' ἐκπεριῆλθον τὴν πόλιν, ὁ μὲν Μαρδοχαῖος εἴσεισι πρὸς τὸν βασιλέα, Ἀμάνης δ' ὑπ' αἰσχύνης πρὸς αὐτὸν παραγίνεται, καὶ μετὰ δακρύων τῇ γυναικὶ καὶ τοῖς φίλοις τὰ συμβεβηκότα διηγεῖτο. Οἱ δ' οὐκέτ' ἀμύνασθαι τὸν Μαρδοχαῖον ἔλεγον δυνήσεσθαι· τὸν γὰρ Θεὸν εἶναι σὺν αὐτῷ.

ια'. Ταῦτα δὲ τούτων ἔτι πρὸς ἀλλήλους δμιλούντων, ἦκον οἱ τῆς Ἐσθῆρος εὐνοῦχοι τὸν Ἀμάνην ἐπὶ τὸ δεῖπνον ἐπισπεύδοντες. Σαβουχάδας τε τῶν εὐνούχων εἷς, ἰδὼν τὸν σταυρὸν ἐν τῇ Ἀμάνου οἰκίᾳ πεπηγότα, ὃν ἐπὶ Μαρδοχαῖον παρεσκευάκεισαν, καὶ πυθόμενος παρά τινος τῶν οἰκετῶν ἐπὶ τί τοῦτον ἦσαν ἑτοιμασάμενοι, γνοὺς δὲ ὡς ἐπὶ τὸν τῆς βασιλίσσης θεῖον, (τὸν γὰρ Ἀμάνην μέλλειν αὐτὸν αἰτεῖσθαι παρὰ τοῦ βασιλέως πρὸς τιμωρίαν,) τότε μὲν ἡσυχὰν ἦγεν· ὡς δὲ ὁ βασιλεὺς, μετὰ τοῦ Ἀμάνου εὐωχηθείς, ἠξίου τὴν βασίλισσαν λέγειν αὐτῷ τίνος βούλεται δωρεᾶς ἐπιτυχεῖν, ὡς λῃψομένην οὗπερ ἂν ἐπιθυμίαν ἔχῃ, τὸν τοῦ λαοῦ κίνδυνον ἀπωδύρετο καὶ πρὸς ἀπώλειαν ἔλεγε μετὰ τοῦ ἔθνους ἐκδεδόσθαι, διὸ καὶ ποιεῖσθαι περὶ τούτων τοὺς λόγους· οὐ γὰρ ἂν ἠνωχληκέναι αὐτῷ, εἰ πρὸς δουλείαν πικρὰν ἐκέλευσεν αὐτοὺς ἀπεμποληθῆναι, (μέτριον γὰρ τοῦτο τὸ κακόν,) παρεκάλει τε τούτων ἀπαλλαγῆναι. Ἐρωτήσαντος δὲ τοῦ βασιλέως ὑπὸ τίνος εἴη ταῦτα γεγενημένα, κατηγόρει τὸ λοιπὸν ἤδη φανερῶς τοῦ Ἀμάνου, καὶ τοῦτον, ὄντα πονηρὸν ἐπ' αὐτοὺς, κατεσκευακέναι τὴν ἐπιβουλὴν ἤλεγχε. Ταραχθέντος δὲ πρὸς τοῦτο τοῦ βασιλέως καὶ ἀναπηδήσαντος εἰς τοὺς κήπους ἐκ τοῦ συμποσίου, τῆς Ἐσθῆρος ὁ Ἀμάνης ἤρξατο δεῖσθαι καὶ παρακαλεῖν συγγνῶναι τῶν ἡμαρτημένων· συνῆκε γὰρ αὐτὸς ἐν κακοῖς ὤν. Ἐπί τε τῆς κλίνης αὐτῆς αὐτοῦ πεσόντος καὶ τὴν βασίλισσαν παρακαλοῦντος, ἐπεισελθὼν ὁ βασιλεὺς καὶ πρὸς τὴν ὄψιν ἔτι μᾶλλον παροξυνθεὶς εἶπεν, « ὦ κάκιστε πάντων ἀνθρώπων, καὶ βιάζεσθαί μου τὴν γυναῖκα ἐπιχειρεῖς; » Ἀμάνου δὲ πρὸς τοῦτο καταπλαγέντος καὶ μηδὲν ἔτι φθέγξασθαι δυνηθέντος, καὶ Σαβουχάδας ὁ εὐνοῦχος παρελθὼν κατηγόρει τοῦ Ἀμάνου, ὡς εὕροι σταυρὸν ἐπὶ τῆς οἰκίας αὐτοῦ παρεσκευασμένον ἐπὶ Μαρδοχαῖον· τοῦτο γὰρ αὐτῷ πυνθανομένῳ τὸν οἰκέτην εἰπεῖν, ὅτε καλέσων αὐτὸν ἐπὶ τὸ δεῖπνον ἦλθοι πρὸς αὐτόν· εἶναι δὲ τὸν σταυρὸν ἔλεγε πεντήκοντα πήχεων τὸ ὕψος. Ὁ δὲ βασιλεὺς ἀκούσας οὐκ ἄλλῃ τιμωρίᾳ περιβαλεῖν

neret et purpuram indueret. Ille vero, veritatis ignoratione, sese illudi existimans, « o hominum omnium nequissime, « inquit, itane irrides et ludificaris calamitates nostras? » At ubi ei persuasum erat regem hoc ei præmium persolvisse pro salute, patefactis olim eunuchorum insidiis, ab ipso sibi data, purpuram induit qua vestiri perpetui moris erat regi, et collo torquem accommodat, et conscenso equo in ambitum circuibat urbem, præcedente Amane et proclamante hæc enim a rege consequuturorum esse, qui ab illo ametur et honore dignus habeatur. Quumque urbem circuitu perlustrassent, Mardochæus quidem ad regem se recipit, Amanes vero præ pudore domum se contulit, et cum lacrimis uxori et amicis, quæ sibi contigissent, narravit. Cui illi dixerunt non posse jam in Mardochæum vindicari; Deum enim ab ipso stare.

11. Adhuc autem eis ista inter se loquentibus, adfuere Estheris eunuchi, qui Amanen propere ducerent ad convivium. Atque Sabuchadas, unus ex eunuchis, visa cruce in Amanis ædibus defixa, quam Mardochæo paraverant, e famulo quodam quæsivit quam ob rem in promptu eam posuerint, quumque didicisset reginæ avunculo *eam paratam esse*, (fore enim ut Amanes ipsum a rege postulet ad supplicium,) tunc quidem silebat. Ceterum postquam rex, cum Amane prolixe acceptus, rogasset reginam ut ipsi diceret quo munere ab eo affici quammaxime vellet, ut quæ cujuscunque desiderio teneretur id impetratura esset, cœpit populi sui periculum deplorare, seque cum gente sua dicebat exitio addictam esse, et ideo de istis verba facere: neque enim se molestiam ei creaturam fuisse, si in amaram servitutem ipsos vendi jussisset, (malum enim hoc leviusculum,) sed ab his ut liberarentur orabat. Quum autem rex quæsivisset quisnam ista patraverit, tum demum Amanen palam accusabat, atque hunc, quod animo esset in ipsos maligno, insidias struxisse arguebat. At ubi rex hisce perturbatus se e convivio in hortos proripuerat, Amanes Estherem orare cœpit et obsecrare ut peccatis venia daretur: is enim intellexerat se in periculo esse. Quumque in reginæ lectum prolapsus esset eique supplicaret, rex ingressus et hoc viso magis adhuc commotus, dixit, « o omnium hominum scelestissime, ad vim uxori etiam meæ inferendam aggrederis? » Amane autem ad hanc vocem exterrito et ne verbum quidem effari valente, tunc Sabuchades eunuchus prodiens Amani objiciebat quod in ædibus ejus invenisset crucem Mardochæo paratam: hoc enim ipsi famulum ejus interrogatum dixisse, quum eum ad convivium invitatum iverit; crucem autem aiebat altitudine esse quinquaginta cubitorum. Quo audito rex decrevit non aliud ipsi constituere supplicium quam quod in Mardochæum

ἔκρινε τὸν Ἀμάνην ἢ τῇ κατὰ Μαρδοχαίου νενοημένῃ, καὶ κελεύει παραχρῆμα αὐτὸν ἐξ ἐκείνου τοῦ σταυροῦ ἀνακρεμασθέντα ἀποθανεῖν. Ὅθεν ἐπέρχεταί μοι τὸ θεῖον θαυμάζειν καὶ τὴν σοφίαν αὐτοῦ καὶ δικαιοσύνην καταμανθάνειν, μὴ μόνον τὴν Ἀμάνου κολάσαντος πονηρίαν, ἀλλὰ καὶ τὴν κατ' ἄλλου μεμηχανημένην τιμωρίαν, ταύτην ἐκείνου ποιήσαντος εἶναι, καὶ τοῖς ἄλλοις μαθεῖν οὕτω καὶ γνῶναι παρεσχηκότος, ὡς ἃ καθ' ἑτέρου τις παρεσκεύασε, ταῦτα λανθάνει καθ' ἑαυτοῦ πρῶτον ἑτοιμασάμενος.

ιϛ'. Ἀμάνης μὲν οὖν ἀμετρήτῳ τῇ παρὰ τοῦ βασιλέως χρώμενος τιμῇ τοῦτον διεφθάρη τὸν τρόπον· τὴν δὲ οὐσίαν αὐτοῦ ἐχαρίσατο τῇ βασιλίσσῃ. Μαρδοχαῖον δὲ προσκαλεσάμενος, (καὶ γὰρ ἐδήλωσεν αὐτῷ τὴν πρὸς αὐτὸν συγγένειαν Ἐσθήρ,) ὃν ἔδωκεν Ἀμάνη δακτύλιον, τοῦτον Μαρδοχαίῳ δίδωσι. Δωρεῖται δὲ καὶ ἡ βασίλισσα Μαρδοχαίῳ τὴν Ἀμάνου κτῆσιν, καὶ δεῖται τοῦ βασιλέως ἀπαλλάξαι τοῦ περὶ τῆς ζωῆς φόβου τὸ τῶν Ἰουδαίων ἔθνος, δηλοῦσα τὰ γραφέντα κατὰ πᾶσαν τὴν χώραν ὑπὸ Ἀμάνου τοῦ Ἀμαδάθου· τῆς γὰρ πατρίδος αὐτῆς διαφθαρείσης καὶ τῶν ὁμοφύλων ἀπολομένων, οὐκ ἂν ὑπομένειν τὸν βίον. Ὁ δὲ βασιλεὺς ὑπέσχετο μηδὲν ἄχαρι αὐτῇ ἐσπουδακέναι, μηδ' οἷς βούλεται ἐναντίον ἔσεσθαι· γράφειν δὲ ἃ βούλεται προσέταξε περὶ τῶν Ἰουδαίων ἐκείνην ἐκ τοῦ βασιλέως ὀνόματος, καὶ σημηναμένην αὐτοῦ τῇ σφραγῖδι πέμπειν εἰς πᾶσαν τὴν βασιλείαν· τοὺς γὰρ ἀναγνωσομένους τὰς ὑπὸ τοῦ βασιλικοῦ σημαντῆρος ἠσφαλισμένας ἐπιστολὰς οὐδὲν περὶ τῶν ἐγγεγραμμένων ἐναντιώσεσθαι. Μεταπεμφθέντας οὖν τοὺς βασιλικοὺς γραμματεῖς ἐκέλευσε γράφειν τοῖς ἔθνεσιν ὑπὲρ τῶν Ἰουδαίων, τοῖς τε οἰκονόμοις καὶ ἄρχουσιν, ἀπὸ Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας, ἑκατὸν καὶ εἰκοσιεπτὰ σατραπειῶν ἡγουμένοις. Τὰ δὲ γραφέντα τοῦτον εἶχε τὸν τρόπον. « Βασιλεὺς « μέγας Ἀρταξέρξης τοῖς ἄρχουσι καὶ τὰ ἡμέτερα φρο- « νοῦσι χαίρειν. Πολλοὶ διὰ μέγεθος εὐεργεσίας καὶ « τιμῆς, ἣν δι' ὑπερβολὴν τῆς χρηστότητος τῶν παρε- « χόντων ἐκαρποῦντο, οὐκ εἰς τοὺς ὑποδεεστέρους μόνον « ἐξυβρίζουσιν, ἀλλ' οὐδ' αὐτοὺς ἀδικεῖν ὤκνησαν τοὺς « εὐεργετοῦντας, τὸ εὐχάριστον ἐξ ἀνθρώπων ἀναι- « ροῦντες, καὶ δι' ἀπειροκαλίαν τῶν οὐκ ἐξ ὧν προσε- « δόκησαν ἀγαθῶν κόρον εἰς τοὺς αἰτίους ἀφέντες, λή- « σεσθαι τὸ θεῖον ἐπὶ τούτοις νομίζουσι καὶ τὴν ἐξ αὐτοῦ « διαφεύξεσθαι δίκην. Ἔνιοι δὲ τούτων προστασίαν « πραγμάτων ἐπιτραπέντες παρὰ τῶν φίλων καὶ μῖσος « ἴδιον ἔχοντες πρός τινας, παραλογισάμενοι τοὺς κρα- « τοῦντας, ψευδέσιν αἰτίαις καὶ διαβολαῖς ἔπεισαν κατὰ « μηδὲν ἠδικηκότων ὀργὴν ἀναλαβεῖν, ὑφ' ἧς ἐκινδύ- « νευσαν ἀπολέσθαι. Τοῦτο δὲ οὐκ ἐκ τῶν ἀρχαιοτέ- « ρων οὐδ' ἀκοῇ γνωρίμων ἡμῖν οὕτως ἰδεῖν ἐστιν ἔχον, « ἀλλ' ἐκ τῶν παρὰ τὰς ἡμετέρας ὄψεις τετολμημένων· « ὡς διαβολαῖς μὲν καὶ κατηγορίαις μὴ προσέχειν ἔτι « τοῦ λοιποῦ, μηδ' οἷς ἕτεροι πείθειν ἐπιχειροῦσι, κρί- « νειν δὲ ὅσα τις αὐτὸς οἶδε πεπραγμένα, καὶ κολάζειν

excogitaverat, jussitque ut e vestigio de cruce ista suspensus mortem obiret. Unde mihi subit mirari Dei numen, et sapientiam ejus et justitiam vel ex hoc uno colligere, quod non solum Amanis improbitatem affecerit supplicio, sed et eadem pœna, cujus in alium artifex fuerat, ipsum plectendum esse curaverit, atque aliis hoc in documentum dederit, quod quæ in alterum quis moliatur, ea primo inscius in se ipsum paraverit.

11. Et Amanes quidem eo, quem a rege acceperat, honore immoderate abusus, hoc modo periit : ejus vero opes et facultates *rex* reginæ dedit. Deinde quum Mardochæum ad se accivisset, (namque indicaverat regi Esther quæ sibi cum eo intercederet necessitudo,) quem Amani dederat annulum, hunc Mardochæo tradidit. Porro etiam regina ei largita est possessiones Amanis, regique supplicavit ut Judæorum gentem omni vitæ periculi liberaret metu, nota ei faciens quæ per omnes regiones scripta miserat Amanes Amadathæ filius : nam patria sua ad vastitatem redacta suisque popularibus peremptis vitam sibi non vitalem fore. Tum ei rex pollicitus est se nihil quod ipsi displiceret data opera facturum esse, neque voluntati ejus contra iturum, jussitque de Judæis scribere quod sibi visum fuerit regis nomine, ipsiusque sigillo signatum per omne imperium mittendum curare : neminem enim, epistolas regio sigillo munitas lecturum, iis quæ scripta fuerint vel minimum adversaturum esse. Scribis itaque regiis accersitis præcepit eis pro Judæis scribere ad gentes, et ad procuratores et principes, ab India ad Æthiopiam usque, centum et viginti septem provinciarum gubernatores. Literæ autem ad hoc exemplum scriptæ sunt. « Rex magnus Artaxerxes princi- « pibus et iis qui stant a nobis, salutem. Multi magnitu- « dine beneficiorum, et honoris ex nimia largientium be- « nignitate in eos collati, non solum inferiores injuria co- « nantur afficere, sed et in ipsos suos beneficos malum mo- « liri non detrectarunt, gratitudinem ex hominibus tollen- « tes, et, inepta ex insperata felicitate insolentia elati, « opum abundantiam in illos convertentes quorum beneficio « iis aucti sunt, ista Deo latitura esse arbitrantur, seque « manus ejus ultrices evasuros. Ex his vero quidam, ab « amicis rebus administrandis admoti, et privato in nonnul- « los odio flagrantes, deceptis iis quos penes summum est « imperium, falsis criminibus et calumniis effecerunt ut in « innoxios ira efferrentur, ex qua salutis discrimen adie- « runt. Id quod adeo cernere licet, non ex iis quæ de « rebus antiquis memoriæ prodita sunt aut quæ fama et « auditione accepimus, sed istis ex facinoribus quæ ante « oculos nostros audacter patrata sunt : quo deinceps ope- « ram demus ut calumniis et criminationibus fidem non « habeamus, iisve quæ alii nobis persuaderi volunt, sed

« μὲν ἂν ᾖ τοιαῦτα, χαρίζεσθαι δ' ἂν ἑτέρως ἔχῃ, τοῖς ἔρ-
« γοις αὐτοῖς, ἀλλὰ μὴ τοῖς λέγουσι προστιθέμενον. Ὡς
« μὲν οὖν Ἀμάνης Ἀμαδάθου μὲν παῖς, Ἀμαληκίτης δὲ
« τὸ γένος, ἀλλότριος ὢν τοῦ Περσῶν αἵματος, ἐπιξενωθεὶς
« ἡμῖν ἀπέλαυσε τῆς πρὸς ἅπαντας χρηστότητος, ἐπὶ
« τοσοῦτον ὡς πατέρα μου τὸ λοιπὸν προσαγορεύεσθαι
« καὶ προσκυνούμενον διατελεῖν, καὶ μεθ' ἡμᾶς τὰ
« δεύτερα τῆς βασιλικῆς παρὰ πάντων τιμῆς ἀποφέρε-
« σθαι, τὴν εὐτυχίαν οὐκ ἤνεγκεν, οὐδὲ σώφρονι λογι-
« σμῷ τὸ μέγεθος τῶν ἀγαθῶν ἐταμίευσεν, ἀλλὰ τῆς
« βασιλείας ἐπεβούλευσέ με καὶ τῆς ψυχῆς, τὸν αἴτιον
« αὐτῷ τῆς ἐξουσίας, ἀφελέσθαι, τὸν εὐεργέτην μου
« καὶ σωτῆρα Μαρδοχαῖον καὶ τὴν κοινωνὸν ἡμῖν τοῦ τε
« βίου καὶ τῆς ἀρχῆς Ἐσθῆρα κακούργως καὶ μετὰ
« ἀπάτης πρὸς ἀπώλειαν αἰτησάμενος· τούτῳ γάρ με
« τῷ τρόπῳ τῶν εὐνοούντων ἐρημώσας ἐβούλετο τὴν
« ἀρχὴν εἰς ἄλλους μεταβαλεῖν. Ἐγὼ δὲ τοὺς ὑπὸ τοῦ
« ἀλιτηρίου πρὸς ἀπώλειαν ἐκδοθέντας Ἰουδαίους οὐ
« πονηροὺς κατανοήσας, ἀλλὰ τὸν ἄριστον πολιτευομέ-
« νους τρόπον, καὶ τῷ Θεῷ προσανέχοντας, ὃς ἐμοί τε
« καὶ τοῖς προγόνοις ἡμῶν τὴν βασιλείαν διεφύλαξεν,
« οὐ μόνον ἀπολύω τῆς ἐκ τῶν προαπεσταλμένων ὑπὸ
« Ἀμάνου γραμμάτων τιμωρίας, οἷς ποιήσετε καλῶς
« μὴ προσέχοντες, ἀλλὰ καὶ τιμῆς αὐτοὺς ἁπάσης τυγ-
« χάνειν βούλομαι, καὶ τὸν ταῦτα κατ' αὐτῶν μηχα-
« νησάμενον πρὸ τῶν πυλῶν τῶν ἐν Σούσοις ἀνεσταύ-
« ρωσα μετὰ τῆς γενεᾶς, τοῦ πάντα ἐφορῶντος Θεοῦ
« ταύτην αὐτῷ τὴν δίκην ἐπιβαλόντος. Κελεύω δὲ
« ὑμᾶς τὸ ἀντίγραφον τῆς ἐπιστολῆς ἐκθέντας εἰς ἅπα-
« σαν τὴν βασιλείαν τοὺς Ἰουδαίους ἀφεῖναι τοῖς ἰδίοις
« νόμοις χρωμένους ζῆν μετ' εἰρήνης καὶ βοηθεῖν αὐ-
« τοῖς, ὅπως τοὺς ἐν οἷς ἠτύχησαν καιροῖς ἀδικήσαντας
« αὐτοὺς ἀμύνωνται, τῇ τρισκαιδεκάτῃ τοῦ δωδεκάτου
« μηνὸς, ὅς ἐστιν Ἀδὰρ, τῇ αὐτῇ ἡμέρᾳ· ταύτην γὰρ
« αὐτοῖς ὁ Θεὸς ἀντὶ ὀλεθρίας σωτήριον πεποίηκεν.
« Ἔστω δὲ ἀγαθὴ μὲν τοῖς εὐνοοῦσιν ἡμῖν, ὑπόμνησις
« δὲ τῆς τῶν ἐπιβουλευσάντων κολάσεως. Εἰδέναι
« μέντοι γε βούλομαι καὶ πόλιν καὶ πᾶν ἔθνος, κἂν τῶν
« γεγραμμένων τινὸς παρακούσῃ, ὅτι καὶ πυρὶ καὶ σι-
« δήρῳ δαπανηθήσεται. Τὰ μέντοι γεγραμμένα προ-
« τεθήτω καθ' ὅλης τῆς ἡμῖν ὑπηκόου χώρας, καὶ πα-
« ρασκευαζέσθωσαν πάντως εἰς τὴν προγεγραμμένην
« ἡμέραν, ἵνα τοὺς ἐχθροὺς μετέλθωσιν. »

ιγ'. Οἱ μὲν οὖν ἱππεῖς οἱ τὰς ἐπιστολὰς διακομίζον-
τες εὐθὺς ἐξορμήσαντες τὴν προκειμένην ὁδὸν ἤνυον· ὁ
δὲ Μαρδοχαῖος ὡς ἀναλαβὼν τὴν βασιλικὴν στολὴν καὶ
τὸν στέφανον τὸν χρυσοῦν καὶ τὸ στρεπτὸν περιθέμενος
προῆλθεν, ἰδόντες αὐτὸν οὕτω τετιμημένον ὑπὸ τοῦ
βασιλέως οἱ ἐν Σούσοις ὄντες Ἰουδαῖοι, κοινὴν ὑπέλα-
βον τὴν εὐπραγίαν αὐτοῦ. Χαρὰ δὲ καὶ σωτήριον
φέγγος, ἐκτιθεμένων τῶν τοῦ βασιλέως γραμμάτων, καὶ
τοὺς κατὰ πόλιν τῶν Ἰουδαίων καὶ τοὺς κατὰ χώραν
περιεῖχεν, ὡς πολλὰ καὶ τῶν ἄλλων ἐθνῶν, διὰ τὸν ἐκ τῶν
Ἰουδαίων φόβον περιτεμνόμενα τὴν αἰδῶ, τὸ ἀκίνδυνον

« ea dijudicare quæ ipsis nobis in notitiam veniunt, atque in
« illa animadvertere, si prænam commeruerint, diversaque
« ab his præmio afficere, rebus ipsis intendentes, non alio-
« rum sermonibus. Equidem simulac Amanes, Amadathæ
« filius, genere Amalecita, a Persarum sanguine alienus, et
« a nobis hospitio exceptus, nostra usus est humanitate,
« qua erga omnes præditi sumus, eousque ut pater noster
« postea appellaretur, et constanter ab omnibus coleretur,
« et regios honores secundum nos ab omnibus consequere-
« tur, felicitatem ferre non potuit, neque bene et sapienter
« fortunæ magnitudinem temperare et moderari, sed cona-
« tus est nos, quibus potestatem acceptam debebat, regno
« privare et spiritu, Mardochæum optime de nobis meri-
« tum et conservatorem nostrum, et Estherem vitæ nostræ
« dimidium regnique sociam nefarie et insidiose postulando
« ad necem : hoc enim pacto, quum nos amicis orbasset,
« imperium ad alios transferre voluit. Nos vero, quum
« animadverterimus Judæos, ab isto scelerato ad exitium
« proditos, non esse maleficos, sed optimis legibus et insti-
« tutis vivere, Deoque deditos esse, qui et nobis et majori-
« bus nostris imperium conservavit, non solum illos a pœ-
« na absolvimus, cui eos subjecerunt literæ non ita pridem
« ab Amane missæ, quibus si non attendatis recte facietis :
« verum etiam volumus ut eos omni honore prosequamini,
« nam eum qui ista in illorum perniciem excogitavit ad
« portas Susorum cruci figendum curavimus cum tota sua
« familia, Deo, qui videt omnia, istas ei pœnas infligente.
« Vos autem jubemus ut, epistolæ exemplo locis omnibus
« regni nostri proposito, sinatis Judæos, suis utentes legi-
« bus, in pace vivere, illosque adjuvetis in eis, a quibus
« adversis temporibus injurias acceperunt, ulciscendis ea-
« dem die, videlicet decima tertia mensis duodecimi qui
« est Adar : hanc enim diem Deus pro funesta dedit eis
« salutarem. Sitque illis quidem læta, qui nobis bene vo-
« lunt, monumentum vero ultionis de insidiarum machina-
« toribus. Volumus autem civitati et genti omni notum
« esse quod quæcunque istis singulis quæ scripta sunt non
« fuerit obsequuta, ferro et igni vastabitur. Atque hæ literæ
« proponantur in omnibus imperii nostri regionibus, sint-
« que omnes ad eam diem parati ut suos ulciscantur ad-
« versarios. »

13. Et equites quidem, qui literas perferebant, e vestigio profecti itinera suscepta conficiebant. Mardochæus vero quum prodiisset regia veste amictus et corona aurea et torque circumdatus, Judæi Susiani, ubi eum conspexerant adeo honoratum a rege, ejus felicitatem sibi cum illo communem esse existimarunt. Præterea gaudium et lumen salutare, regiis literis editis, Judæos in civitatibus et provinciis circumdedit ita, ut multi etiam ex aliis gentibus, quas Judæorum terror invaserat, pudenda circumcidentes

αὐτοῖς ἐκ τούτου πραγματεύσασθαι. Καὶ γὰρ τοῦ δωδεκάτου μηνὸς τῇ τρισκαιδεκάτῃ, ὃς κατὰ μὲν Ἑβραίους Ἀδὰρ καλεῖται, κατὰ δὲ Μακεδόνας Δύστρος, οἱ κομίσαντες τὰ τοῦ βασιλέως γράμματα ἐδήλουν ὅπως καθ' ἣν ἡμέραν αὐτοὶ κινδυνεύειν ἔμελλον, ἐν ταύτῃ τοὺς ἐχθροὺς ἀπολέσωσιν. Οἱ δὲ ἄρχοντες τῶν σατραπειῶν καὶ οἱ τύραννοι καὶ οἱ βασιλεῖς καὶ γραμματεῖς εἶχον ἐν τιμῇ τοὺς Ἰουδαίους· ὁ γὰρ ἐκ Μαρδοχαίου φόβος ἠνάγκαζεν αὐτοὺς σωφρονεῖν. Τοῦ δὲ γράμματος τοῦ βασιλικοῦ διὰ πάσης τῆς ὑπ' αὐτῷ χώρας γενομένου, συνέπεσεν ὥστε καὶ τοὺς ἐν Σούσοις Ἰουδαίους ἀποκτεῖναι τῶν ἐχθρῶν περὶ πεντακοσίους. Τοῦ δὲ βασιλέως τὸν τῶν ἀπολωλότων ἐν τῇ πόλει δηλώσαντος ἀριθμὸν Ἐσθῆρι καὶ περὶ τῶν ἐπὶ τῆς χώρας τί ποτ' εἴη γεγονὸς διαποροῦντος, καὶ εἴ τι πρὸς τούτοις ἐπ' αὐτοὺς γενέσθαι βούλεται πυνθανομένου, (πραχθήσεσθαι γάρ,) παρεκάλεσεν ἐπιτραπῆναι τοῖς Ἰουδαίοις καὶ τὴν ἐπιοῦσαν ἡμέραν οὕτω χρήσασθαι τοῖς ὑπολειπομένοις τῶν ἐχθρῶν καὶ τοὺς δέκα τοῦ Ἀμάνου παῖδας ἀνασταυρῶσαι. Καὶ τοῦτο μὲν προσέταξε τοῖς Ἰουδαίοις ὁ βασιλεύς, μηδὲν ἀντιλέγειν Ἐσθῆρι βουλόμενος. Οἱ δὲ πάλιν συστραφέντες τῇ τετράδι καὶ δεκάτῃ τοῦ Δύστρου μηνὸς ἀπέκτειναν τῶν ἐναντίων ὡς τριακοσίους καὶ οὐδενὸς τῶν ἐκείνοις ὑπαρχόντων ἥψαντο κτημάτων. Ἀπέθανον δὲ καὶ, ὑπὸ τῶν ἐν τῇ χώρᾳ καὶ ταῖς ἄλλαις πόλεσιν Ἰουδαίων, τῶν ἐχθρῶν αὐτοῖς ἑπτακισμύριοι καὶ πεντακισχίλιοι. Καὶ τούτους μὲν ἀπέκτειναν τῇ τρισκαιδεκάτῃ τοῦ μηνός, τὴν δὲ ἐχομένην ἑορτάσιμον ἐποίησαν. Ὁμοίως δὲ καὶ οἱ ἐν τοῖς Σούσοις Ἰουδαῖοι τὴν τετράδα καὶ δεκάτην καὶ τὴν ἐχομένην τοῦ αὐτοῦ μηνὸς συναθροισθέντες εὐωχήθησαν. Ὅθεν καὶ νῦν πάντες οἱ ἐν τῇ οἰκουμένῃ Ἰουδαῖοι τὰς ἡμέρας ταύτας ἑορτάζουσι, διαπεμπόμενοι μερίδας ἀλλήλοις. Ἔγραψε δὲ Μαρδοχαῖος τοῖς ἐν τῇ Ἀρταξέρξου βασιλέως ζῶσιν Ἰουδαίοις ταύτας παραφυλάσσειν τὰς ἡμέρας, καὶ ἑορτὴν ἄγειν αὐτὰς καὶ τοῖς ἐκγόνοις παραδοῦναι, τοῦ πρὸς πάντα διαμεῖναι τὸν χρόνον τὴν ἑορτὴν, ἕνεκα τοῦ καὶ μὴ λήθῃ παραπολέσθαι· μελλήσαντας γὰρ αὐτοὺς ἐν ταύταις διαφθείρεσθαι ταῖς ἡμέραις ὑπὸ Ἀμάνου δίκαια ποιήσειν, εἰ διαφυγόντες μὲν τὸν κίνδυνον ἐν αὐταῖς, τοὺς δ' ἐχθροὺς τιμωρησάμενοι, παρατηρήσονται αὐτὰς, εὐχαριστοῦντες τῷ Θεῷ. Διὰ ταῦτα μὲν οἱ Ἰουδαῖοι τὰς προειρημένας ἡμέρας ἑορτάζουσι, προσαγορεύοντες αὐτὰς Φρουραίους. Ὁ δὲ Μαρδοχαῖος μέγας τε ἦν καὶ λαμπρὸς παρὰ τῷ βασιλεῖ καὶ συνδιεῖπεν αὐτῷ τὴν ἀρχὴν, ἀπολαύων ἅμα καὶ τῆς κοινωνίας τοῦ βίου τῇ βασιλίσσῃ. Ἦν δὲ καὶ τοῖς Ἰουδαίοις τὰ πράγματα δι' αὐτοὺς ἀμείνω πάσης ἐλπίδος. Καὶ τὰ μὲν τούτοις, βασιλεύοντος Ἀρταξέρξου, συμβάντα τοῦτον εἶχε τὸν τρόπον.

ΚΕΦ. Ζ'.

Ἀποθανόντος δὲ τοῦ ἀρχιερέως Ἐλιασίβου τὴν ἀρχιερωσύνην Ἰούδας ὁ παῖς αὐτοῦ διεδέξατο· τελευτήσαντος

sibi securitatem hoc modo paraverint. Nam ad decimam tertiam diem mensis duodecimi, qui apud Judæos Adar, apud Macedonas Dystrus vocatur, ii qui regias literas attulerant nunciabant ut qua die ipsis periculum imminebat, ea inimicos exitio darent. Judæi autem in honore erant apud satrapas et tyrannos et reges et scribas; nam formidine Mardochæi necesse habuerunt modeste se gerere. Postquam vero regis literæ per omnes ditionis suæ provincias divulgatæ erant, ita accidit ut Susensis civitatis Judæi ex inimicis suis circiter quingentos homines interficerent. Quumque rex peremptorum in urbe numerum Estheri retulisset, et in provinciis quid actum fuisset ambigeret, atque interrogaret ecquid amplius contra eos fieri vellet, (id enim factum iri,) petiit ut Judæis etiam postridie liceret ita inimicos qui superessent occidere, et decem Amans filios in crucem tollere. Et hoc quidem ut facerent Judæis a rege mandatum est, nolente Estheri quidquam contradicere. Illi vero rursum conglobati decima quarta die mensis Dystri ex adversariis homines fere trecentos interfecerunt, neque tamen in eorum bona ullatenus invaserunt. Porro Judæi, qui in provinciis et aliis urbibus degebant, adversariorum septuaginta quinque millia peremerunt. Quæ cædes die quidem mensis decima tertia facta est, sequentem vero epulis dedicarunt. Similiter autem et Judæi Susenses decima quarta die et sequenti ejusdem mensis congregati conviviis versabantur. Unde hodieque omnes per totum terrarum orbem Judæi dies illos epulis celebrant, inter sese fercula missitantes. Scripsit etiam Mardochæus ad Judæos, quotquot sub imperio Artaxerxis vivebant, ut hos dies festos agerent, et posteritati quoque traderent, ut in omne ævum duraret festiva celebritas, et nulla unquam oblivione deleretur: nam quum diebus illis parum abfuissent ab interitu, quem ipsis paraverat Amanes, recte facturos, si periculo tunc illis imminenti liberati, et hostes suos ulti, eos observent, Deo gratias agentes. Ac propterea Judæi supra memoratos dies celebrant, Phruræos illos appellantes. Mardochæus autem magna erat in dignitate et loco illustri apud regem, et ejus in imperio administrando socius; simulque vitæ cum regina societatem habebat. Porro Judæis horum opera res felicius cecidere quam sperare poterant. Atque hæc fere sunt quæ illis sub rege Artaxerxe evenerunt.

CAP. VII.

Mortuo autem pontifice Eliasibo successit in pontificatum Judas, ejus filius: eo item defuncto honorem accepit Joan-

δὲ καὶ τούτου τὴν τιμὴν Ἰωάννης υἱὸς ὢν αὐτοῦ παρέλαβε, δι' ὃν καὶ Βαγώσης, ὁ στρατηγὸς τοῦ ἄλλου Ἀρταξέρξου, τὸν ναὸν ἐμίανε, καὶ φόρους ἐπέταξε τοῖς Ἰουδαίοις, πρὶν ἢ τὰς καθημερινὰς ἐπιφέρειν θυσίας ὑπὲρ ἀμνοῦ ἑκάστου τελεῖν αὐτοὺς δημοσίᾳ δραχμὰς πεντήκοντα. Τούτου δὲ τὴν αἰτίαν τοιαύτην συνέβη γενέσθαι. Ἀδελφὸς ἦν τῷ Ἰωάννῃ Ἰησοῦς· τούτῳ φίλῳ τυγχάνοντι ὁ Βαγώσης ὑπέσχετο τὴν ἀρχιερωσύνην παρέξειν. Ἀπὸ ταύτης οὖν τῆς πεποιθήσεως Ἰησοῦς ἐν τῷ ναῷ διενεχθεὶς τῷ Ἰωάννῃ παρώξυνε τὸν ἀδελφὸν, ὥστε αὐτὸν ἀνελεῖν διὰ τὴν ὀργήν. Τηλικοῦτον δὲ ἀσέβημα δρᾶσαι κατ' ἀδελφοῦ τὸν Ἰωάννην ἱερώμενον δεινὸν ἦν, καὶ τὸ δεινότερον, ὡς μήτε παρ' Ἕλλησι μήτε παρὰ βαρβάροις ὠμὸν οὕτω καὶ ἀσεβὲς πρᾶγμα γεγονέναι. Τὸ μέντοι θεῖον οὐκ ἠμέλησεν, ἀλλὰ καὶ ὁ λαὸς δι' αὐτὴν τὴν αἰτίαν ἐδουλώθη, καὶ ὁ ναὸς ἐμιάνθη ὑπὸ Περσῶν. Βαγώσης δὲ, ὁ στρατηγὸς Ἀρταξέρξου, γνοὺς ὅτι ὁ ἀρχιερεὺς τῶν Ἰουδαίων Ἰωάννης τὸν ἴδιον ἀδελφὸν Ἰησοῦν ἐν τῷ ἱερῷ ἐφόνευσεν, εὐθὺς ἐπιστὰς τοῖς Ἰουδαίοις μετὰ θυμοῦ ἤρξατο λέγειν· « ἐτολμήσατε ἐν τῷ ὑμετέρῳ ναῷ φόνον ἐργάσασθαι; » πειρωμένου δὲ αὐτοῦ εἰσελθεῖν εἰς τὸν ναὸν ἐκώλυον αὐτόν. Ὁ δὲ πρὸς αὐτοὺς ἔφη, « πῶς οὐκ « ἐγὼ καθαρώτερός εἰμι τοῦ ἀνῃρηκότος ἐν τῷ ναῷ; » καὶ τούτους ποιησάμενος τοὺς λόγους εἰς τὸν ναὸν εἰσέρχεται. Ταύτῃ μὲν οὖν χρησάμενος τῇ ἐπινοίᾳ Βαγώσης τοὺς Ἰουδαίους ἔτεσιν ἑπτὰ ὑπὲρ τοῦ Ἰησοῦ τελευτῆς μετῆλθεν.

β'. Καταστρέψαντος δὲ τοῦ Ἰωάννου τὸν βίον, διαδέχεται τὴν ἀρχιερωσύνην ὁ υἱὸς αὐτοῦ Ἰαδδοῦς. Ἦν δὲ καὶ τούτῳ ἀδελφὸς Μανασσῆς ὄνομα, ᾧ Σαναβαλλέτης, ὁ πεμφθεὶς εἰς Σαμάρειαν ὑπὸ Δαρείου τοῦ τελευταίου βασιλέως σατράπης, Χουθαῖος τὸ γένος, ἐξ ὧν καὶ οἱ Σαμαρεῖς εἰσιν, εἰδὼς λαμπρὰν οὖσαν πόλιν τὰ Ἱεροσόλυμα, καὶ πολλὰ τοῖς Ἀσσυρίοις καὶ τοῖς ἐν τῇ Κοίλῃ Συρίᾳ κατοικοῦσι τοὺς ἐν αὐτῇ βασιλεῖς πράγματα παρασχόντας, ἀσμένως συνῴκισε τὴν αὐτοῦ θυγατέρα, Νικασὼ καλουμένην, οἰόμενος τὴν ἐπιγαμίαν ὅμηρον αὐτῷ γενήσεσθαι πρὸς τὴν ἀπὸ τοῦ τῶν Ἰουδαίων ἔθνους παντὸς εὔνοιαν.

ΚΕΦ. Η'.

Κατὰ δὲ τοῦτον τὸν καιρὸν καὶ Φίλιππος ὁ τῶν Μακεδόνων βασιλεὺς ἐν Αἰγαῖς ὑπὸ Παυσανίου τοῦ Κεράστου, ἐκ δὲ τοῦ τῶν Ὀρεστῶν γένους, δολοφονηθεὶς ἀπέθανε. Παραλαβὼν δ' ὁ παῖς αὐτοῦ τὴν βασιλείαν Ἀλέξανδρος καὶ διαβὰς τὸν Ἑλλήσποντον νικᾷ μὲν τοὺς Δαρείου στρατηγοὺς ἐπὶ Γρανικῷ συμβαλὼν αὐτοῖς, ἐπελθὼν δὲ τὴν Λυδίαν καὶ τὴν Ἰωνίαν δουλωσάμενος καὶ τὴν Καρίαν ἐπιδραμὼν τοῖς ἐν Παμφυλίᾳ τόποις ἐπέβαλε, καθὼς ἐν ἄλλοις δεδήλωται.

β'. Οἱ δὲ τῶν Ἱεροσολυμιτῶν πρεσβύτεροι δεινοπαθοῦντες ἐπὶ τῷ τὸν Ἰαδδοῦ τοῦ ἀρχιερέως ἀδελφὸν ἀλλοφύλῳ συνοικοῦντα μετέχειν τῆς ἀρχιερωσύνης, ἐστανes ipsius filius, propter quem Bagoses, dux copiarum alterius Artaxerxis, templum polluit, et tributum Judæis imposuit, ut, priusquam quotidianas offerrent hostias, in singulos agnos ex publico quinquaginta drachmas penderent. Hoc autem hujusmodi causa accidit. Erat Joanni frater Jesus : huic Bagoses ipsius amicus promisit sese pontificatum præbiturum. Hac fiducia Jesus, cum Joanne in templo altercatus, eum adeo irritavit, ut ab eo per iracundiam occideretur. Erat atrox id Joannis in fratrem scelus, præsertim quum ipse sacerdotio fungeretur, et eo atrocius, quod nec apud Græcos, nec apud barbaros, ullum tam crudele tamque impium facinus exstiterit. Itaque Deus id non neglexit, quin eam ob causam populus in servitutem redactus et fanum a Persis profanatum est. Nam simulac Bagoses, copiarum Artaxerxis dux, intellexit quod Joannes pontifex Judæorum fratrem suum in templo interemisset, statim Judæos adit, et eos cum iracundia sic alloqui insistit : « vos in vestro templo ausi estis cædem fa« cere? » Quum autem conaretur in templum intrare, illum prohibebant. Ille vero dicebat, « quis dubitet quin ego « sim purior quam qui in templo cædem patrarit? » His dictis in templum ingreditur. Et Bagoses quidem, id quod in animo habebat exsequi volens, Judæos propter hanc Jesu necem septem annos infestavit.

2. Post Joannis vero obitum Jaddus ejus filius sacerdotium accepit. Erat autem et huic frater, Manasses nomine, cui Sanaballetes, ab ultimo rege Dario missus in Samariam satrapa, natione Chuthæus (ex qua natione orti sunt etiam Samaritani), videns præclaram urbem esse Hierosolyma, ejusque reges Assyriis et Cœles-Syriæ incolis multa negotia facessisse, libenter filiam suam, Nicaso vocatam, in matrimonium dedit, ratus hoc connubium sibi fore pignus ad totius Judæorum gentis conciliandam benevolentiam.

CAP. VIII.

Ceterum per id tempus Philippus etiam Macedonum rex Ægis a Pausania, Cerastæ filio, ex Orestarum gente oriundo, per dolum occiditur. Ejus vero filius Alexander regnum adeptus, trajecto Hellesponto, Darii duces, apud Granicum prælio cum iis congressus, superat. Deinde Lydiam aggressus, Ioniaque subacta, et percursa Caria, invasit in loca Pamphyliæ, sicuti alibi dictum est.

2. Jam vero senatores Hierosolymitani, ægre ferentes Jaddi pontificis fratrem, qui uxorem haberet externi generis, consortem esse sacerdotii, ab eo dissidebant : judica-

σίαζον πρὸς αὐτόν· ἡγοῦντο γὰρ τὸν τούτου γάμον ἐπιβάθραν τοῖς παρανομεῖν περὶ τὰς τῶν γυναικῶν συνοικήσεις βουλησομένοις γενέσθαι, καὶ τῆς πρὸς τοὺς ἀλλοφύλους αὐτοῖς κοινωνίας ἀρχὴν τοῦτο ἔσεσθαι, ὑπάρξαι μέντοι καὶ τῆς προτέρας αἰχμαλωσίας αὐτοῖς καὶ τῶν κακῶν αἴτιον τὸ περὶ τοὺς γάμους πλημμελῆσαί τινας καὶ ἀγαγέσθαι γυναῖκας οὐκ ἐπιχωρίους. Ἐκέλευον οὖν τὸν Μανασσῆν διαζεύγνυσθαι τῆς γυναικὸς, ἢ μὴ προσιέναι τῷ θυσιαστηρίῳ. Τοῦ δ' ἀρχιερέως τῷ λαῷ συναγανακτοῦντος καὶ εἴργοντος τὸν ἀδελφὸν τοῦ βωμοῦ, παραγενόμενος ὁ Μανασσῆς πρὸς τὸν πενθερὸν Σαναβαλλέτην, στέργειν μὲν ἔλεγεν αὐτοῦ τὴν θυγατέρα Νικασὼ, τῆς μέντοι ἱερατικῆς τιμῆς, μεγίστης οὔσης ἐν τῷ ἔθνει καὶ τῷ γένει παραμενούσης, οὐ βούλεσθαι δι' αὐτὴν στέρεσθαι. Τοῦ δὲ Σαναβαλλέτου μὴ μόνον τηρήσειν αὐτῷ τὴν ἱερωσύνην, ἀλλὰ καὶ τὴν ἀρχιερατικὴν παρέξειν δύναμιν καὶ τιμὴν ὑπισχνουμένου, καὶ πάντων ἀποδείξειν ὧν αὐτὸς ἐπῆρχε τόπων ἡγεμόνα, βουλόμενον συνοικεῖν αὐτοῦ τῇ θυγατρὶ, καὶ λέγοντος οἰκοδομήσειν ναὸν ὅμοιον ὄντα τῷ ἐν τοῖς Ἱεροσολύμοις, ἐπὶ τοῦ Γαριζεὶν ὄρους ὃ κατὰ τὴν Σαμάρειαν ὀρῶν ἐστιν ὑψηλότατον, καὶ τοῦτο ποιήσειν ἐπαγγελλομένου μετὰ τῆς Δαρείου γνώμης τοῦ βασιλέως, ἐπαρθεὶς ταῖς ὑποσχέσεσιν ὁ Μανασσῆς παρέμενε τῷ Σαναβαλλέτῃ, τὴν ἀρχιερωσύνην οἰόμενος ἕξειν Δαρείου δόντος· καὶ γὰρ συνέβαινε τὸν Σαναβαλλέτην ἤδη πρεσβύτερον εἶναι. Πολλῶν δὲ ἱερέων καὶ Ἰσραηλιτῶν τοιούτοις γάμοις ἐπιπεπλεγμένων, κατεῖχεν οὐ μικρὰ ταραχὴ τοὺς Ἱεροσολυμίτας. Ἀφίσταντο γὰρ ἅπαντες πρὸς τὸν Μανασσῆν, τοῦ Σαναβαλλέτου χορηγοῦντος αὐτοῖς καὶ χρήματα καὶ χώραν εἰς γεωργίαν καὶ κατοίκησιν ἀπομερίζοντος, καὶ παντὶ τρόπῳ τῷ γαμβρῷ συμφιλοκαλοῦντος.

γ'. Κατὰ δὲ τοῦτον τὸν καιρὸν Δαρεῖος ἀκούσας ὅτι τὸν Ἑλλήσποντον διαβὰς Ἀλέξανδρος καὶ τοὺς σατράπας αὐτοῦ τῇ κατὰ Γρανικὸν μάχῃ κρατήσας προσωτέρω χωρεῖ, στρατιὰν ἱππικήν τε καὶ πεζικὴν συνήθροιζεν, ἁπαντῆσαι διαγνοὺς τοῖς Μακεδόσι πρὶν ἢ πᾶσαν αὐτοὺς ἐπιόντας καταστρέψασθαι τὴν Ἀσίαν. Περαιωσάμενος οὖν τὸν Εὐφράτην ποταμὸν, καὶ τὸν Ταῦρον τὸ Κιλίκιον ὄρος ὑπερελθὼν, εἴσω τῆς Κιλικίας τοὺς πολεμίους, ὡς ἐκεῖ μαχησόμενος αὐτοῖς, ἐξεδέχετο. Ἡσθεὶς δὲ τῇ Δαρείου καταβάσει ὁ Σαναβαλλέτης εὐθὺς ἔλεγε τῷ Μανασσῇ τὰς ὑποσχέσεις τελέσειν, ὡς ἂν Δαρεῖος κρατήσας τῶν πολεμίων ὑποστρέψῃ· πέπειστο γὰρ οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ πάντες οἱ ἐν τῇ Ἀσίᾳ, μηδ' εἰς χεῖρας τοῖς Πέρσαις ἥξειν τοὺς Μακεδόνας, διὰ τὸ πλῆθος. Ἀπέβη δ' οὐχ ὡς προσεδόκων. Συμβαλὼν γὰρ ὁ βασιλεὺς τοῖς Μακεδόσιν ἡττήθη· καὶ πολλὴν τῆς στρατιᾶς ἀπολέσας, ληφθέντων αἰχμαλώτων αὐτοῦ τῆς μητρὸς καὶ γυναικὸς καὶ τῶν τέκνων, ἔφυγεν εἰς Πέρσας. Ἀλέξανδρος δὲ εἰς Συρίαν παραγενόμενος Δαμασκὸν αἱρεῖ καὶ Σιδῶνος κρατήσας ἐπολιόρκει Τύρον, ἠξίου τε ἀποστείλας γράμματα πρὸς τὸν τῶν Ἰουδαίων ἀρ-

bant enim ejus matrimonium gradum esse iis qui in re uxoria peccare vellent, idque initium fore ineundæ societatis cum extraneis. Jam vero superioris captivitatis et malorum causam ipsis fuisse quod quidam in connubiis peccavissent et peregrinas uxores duxissent. Itaque jubebant Manassen ut aut divortium cum uxore faceret, aut ad aram ne accederet. Igitur quum pontifex pariter ac populus indigne hoc ferret et fratrem ab ara arceret, adit Manasses socerum Sanaballeten, et se quidem amare dicebat filiam ejus Nicaso, sic tamen ut sacerdotali honore, qui in gente sit maximus et in eadem familia maneat, privari propter eam haud velit. Ad hæc quum Sanaballetes promisisset non solum sacerdotium ei se servaturum, verum etiam pontificiam potestatem et honorem præstiturum, et omnium, quibus ipse præesset, locorum præsidem effecturum, modo filiam suam retinere velit uxorem, dixissetque templum se ædificaturum, Hierosolymitani simile, in monte Garizin, qui in Samaria est ceterorum montium altissimus, idque de Darii regis sententia facturum; his promissis elatus Manasses mansit apud Sanaballeten, pontificatum se Darii munere obtenturum sperans: nam Sanaballetes jam senior erat. Et quia multi sacerdotes et Israelitæ erant ejusmodi conjugiis implicati, agitabant non mediocres turbæ Hierosolymitanos. Deficiebant enim omnes ad Manassen, Sanaballete eis pecuniam suppeditante, et terram ad agricolationem et habitationem dividente, omnibusque modis genero gratificante.

3. Eo autem tempore Darius, quum intellexisset Alexandrum trajecto Hellesponto, superatisque ipsius præfectis apud Granicum, pergere ulterius, equitum peditumque exercitum coegit, eo consilio ut Macedonibus obviam iret, priusquam totam pervasissent Asiam. Quum itaque Euphraten flumen *copias* traduxisset, Taurumque Ciliciæ montem superasset, hostes intra Ciliciæ fines opperiebatur, ut ibi cum eis prælio dimicaret. Sanaballetes autem, Darii descensu lætatus, Manassi dicebat sese promissa præstiturum, simulac Darius victis hostibus rediisset. Erat enim persuasum non ipsi solum, sed etiam omnibus qui erant in Asia, ne congressuros quidem cum Persis Macedonas, propter multitudinem. Verum longe aliter accidit quam exspectaverant. Nam rex cum Macedonibus congressus victus est, et magna exercitus parte amissa, et capta ejus matre et uxore et liberis, fugit in Persas. Alexander vero, in Syriam profectus, capit Damascum, et Sidone potitus Tyrum obsidet, missisque ad Judæorum pontificem literis

χιερέα συμμαχίαν τε αὐτῷ πέμπειν καὶ ἀγορὰν τῷ στρατεύματι παρασχεῖν, καὶ ὅσα Δαρείῳ πρότερον ἐτέλουν δῶρα τούτῳ διδόναι, τὴν Μακεδόνων φιλίαν ἑλόμενον· οὐ γὰρ μετανοήσειν ἐπὶ τούτοις. Τοῦ δ' ἀρχιερέως ἀποκριναμένου τοῖς γραμματοφόροις ὡς ὅρκους εἴη Δαρείῳ δεδωκὼς μὴ βαστάζειν ὅπλα κατ' αὐτοῦ, καὶ τούτους ἕως ἂν ᾖ Δαρεῖος ἐν τοῖς ζῶσι μὴ παραβήσεσθαι φήσαντος, ἀκούσας Ἀλέξανδρος παρωξύνθη, καὶ τὴν μὲν Τύρον οὐκ ἔκρινε καταλιπεῖν, ὅσον οὐδέπω μέλλουσαν αἱρεῖσθαι, παραστησάμενος δὲ ταύτην ἠπείλησε στρατεύσειν ἐπὶ τὸν τῶν Ἰουδαίων ἀρχιερέα καὶ διδάξειν πάντας δι' αὐτοῦ πρὸς τίνας δὴ αὐτοῖς φυλακτέον τοὺς ὅρκους. Ὅθεν πονικώτερον χρησάμενος τῇ πολιορκίᾳ λαμβάνει τὴν Τύρον· καταστησάμενος δὲ τὰ ἐν αὐτῇ ἐπὶ τὴν Γαζαίων πόλιν ἦλθεν καὶ τήν τε Γάζαν καὶ τὸν ἐν αὐτῇ φρούραρχον ὄνομα Βαβημήσην ἐπολιόρκει.

δ'. Νομίσας δὲ καιρὸν ἐπιτήδειον ἔχειν ὁ Σαναβαλλέτης τῆς ἐπιβολῆς, Δαρείου μὲν ἀπέγνω καὶ λαβὼν ὀκτακισχιλίους τῶν ἀρχομένων ὑπ' αὐτοῦ πρὸς Ἀλέξανδρον ἦκε· καὶ καταλαβὼν αὐτὸν ἀρχόμενον τῆς Τύρου πολιορκίας, ὧν τε αὐτὸς ἄρχει τόπων ἔλεγεν, αὐτὸν παραδιδόναι τούτους, καὶ δεσπότην αὐτὸν ἕξειν ἡδέως ἀντὶ Δαρείου τοῦ βασιλέως. Ἀσμένως δ' αὐτὸν προσδεξαμένου, θαρρῶν ἤδη περὶ τῶν προκειμένων ὁ Σαναβαλλέτης αὐτῷ λόγους προσέφερε, δηλῶν ὡς γαμβρὸν μὲν ἔχοι Μανασσῆν, τοῦ τῶν Ἰουδαίων ἀρχιερέως Ἰαδδοῦ ἀδελφόν, πολλοὺς δὲ καὶ ἄλλους αὐτῷ συμπαρόντας τῶν ὁμοεθνῶν θέλειν ἱερὸν ἐν τοῖς ὑπ' ἐκείνου τόποις ἤδη κατασκευάσαι· τοῦτο δ' εἶναι καὶ τῷ βασιλεῖ συμφέρον, εἰς δύο διηρῆσθαι τὴν τῶν Ἰουδαίων δύναμιν, ἵνα μὴ ὁμογνωμονοῦν τὸ ἔθνος μηδὲ συνεστὸς, εἰ νεωτερίσειέ ποτε, χαλεπὸν ᾖ τοῖς βασιλεῦσι, καθὼς καὶ πρότερον τοῖς Ἀσσυρίων ἄρξασιν ἐγένετο. Συγχωρήσαντος δὲ Ἀλεξάνδρου, πᾶσαν εἰσενεγκάμενος σπουδὴν ᾠκοδόμησεν ὁ Σαναβαλλέτης τὸν ναὸν καὶ ἱερέα τὸν Μανασσῆν κατέστησε, μέγιστον γέρας ἡγησάμενος τοῖς ἐκ τῆς θυγατρὸς γενησομένοις τοῦτ' ἔσεσθαι. Μηνῶν δὲ ἑπτὰ τῇ Τύρου πολιορκίᾳ διεληλυθότων, καὶ δύο τῇ Γάζης, ὁ μὲν Σαναβαλλέτης ἀπέθανεν, ὁ δὲ Ἀλέξανδρος ἐξελὼν τὴν Γάζαν ἐπὶ τὴν τῶν Ἱεροσολυμιτῶν πόλιν ἀναβαίνειν ἐσπουδάκει. Ὁ δὲ ἀρχιερεὺς Ἰάδδους τοῦτο ἀκούσας ἦν ἐν ἀγωνίᾳ καὶ δέει, πῶς ἀπαντήσει τοῖς Μακεδόσιν ἀμηχανῶν, ὀργιζομένου τοῦ βασιλέως ἐπὶ τῇ πρότερον ἀπειθείᾳ. Παραγγείλας οὖν ἱκεσίας τῷ λαῷ καὶ θυσίαν μετ' αὐτοῦ τῷ Θεῷ προσφέρων ἐδεῖτο ὑπερασπίσαι τοῦ ἔθνους καὶ τῶν ἐπερχομένων κινδύνων ἀπαλλάξαι. Κατακοιμηθέντι δὲ μετὰ τὴν θυσίαν ἐχρημάτισεν αὐτῷ κατὰ τοὺς ὕπνους ὁ Θεὸς θαρρεῖν καὶ στεφανοῦντας τὴν πόλιν ἀνοίγειν τὰς πύλας, καὶ τοὺς μὲν ἄλλους λευκαῖς ἐσθῆσιν, αὐτὸν δὲ μετὰ τῶν ἱερέων ταῖς νομίμοις στολαῖς ποιεῖσθαι τὴν ὑπάντησιν, μηδὲν προσδοκῶντας πείσεσθαι δεινὸν, προνοουμένου τοῦ Θεοῦ. Διαναστὰς δὲ ἐκ τοῦ ὕπνου ἐχαιρέ τε μεγάλως αὐτὸς

postulat ut sibi auxilium mittat, et exercitui commeatum suppeditet, ac quæcunque antea Dario tributa pependerint, ei solvat, et Macedonum sequatur amicitiam; fore enim ut ejus rei non pœniteat. Quum autem pontifex tabellariis respondisset se Dario cum jurejurando promisisse adversus eum arma non laturum, idque nunquam superstite Dario violaturum dixisset; his auditis, ira commotus erat Alexander, et Tyrum quidem relinquere, quæ jamjam capienda foret, non statuit, sed minatus est sese, ea subacta, in Judæorum pontificem exercitum moturum, et per eum omnibus ostensurum, quibusnam jusjurandum servare debeant. Inde acrius obsidionem urgens Tyrum expugnat, et constitutis in ea rebus, contra Gazæorum urbem proficiscitur, atque Gazam et præsidiis in ea præfectum nomine Babemesen obsidet.

4. Jam vero Sanaballetes ratus idoneum se tempus nactum esse ad id quod instituerat, a Dario defecit, sumptisque octo subditorum suorum millibus, ad Alexandrum se contulit: et nactus eum Tyri oppugnationem aggredientem, dicebat ei, sese quæ loca teneret traditurum, et dominum pro Dario rege libenter habiturum. Quumque eum *Alexander* lætus admisisset, Sanaballetes, sumpta jam fiducia, de instituto suo sermonem injecit, demonstrans generum se habere Manassen, Jaddi Judæorum pontificis fratrem, multosque alios ejusdem gentis homines ei adesse, qui jam velint in sua ditione fanum construere: et id quidem regi utile esse, in duo dividi Judæorum vires, ne si quando consentiens et conjuncta gens novi quid moliretur, regibus negotium facesseret, sicut et antea fecisset Assyriorum principibus. Igitur permittente Alexandro Sanaballetes, omni adhibita diligentia, templum ædificavit, et Manassen sacerdotem constituit, arbitratus id decus fore maximum filiæ suæ natis. Deinde, post septem menses in obsidione Tyri consumptos et in Gazæ duos, Sanaballetes moritur. Alexander vero, expugnata Gaza, ad Hierosolymitarum urbem ascendere contendit. At hoc audito pontifex Jaddus in angustia erat atque metu, sollicitus quonam pacto Macedonibus obviam iret, irato rege propter superiorem contumaciam. Itaque indictis populo supplicationibus et cum eis rem divinam Deo faciens orat ut gentem tueri et ab impendentibus periculis liberare velit. Quum autem post sacrificium obdormivisset, monuit eum in somnis Deus ut bono esset animo, utque coronata urbe portas aperirent, et alii in albis vestibus, ipse vero cum sacerdotibus ad præscriptum legis ornatus obviam irent, nil mali sibi metuentes, providente Deo. Igitur excitatus ex somno et ipse

καὶ τὸ χρηματισθὲν αὐτῷ πᾶσι μηνύσας καὶ ποιήσας ὅσα κατὰ τοὺς ὕπνους αὐτῷ παρηγγέλθη, τὴν τοῦ βασιλέως παρουσίαν ἐξεδέχετο.

ε'. Πυθόμενος δὲ αὐτὸν οὐ πόρρω τῆς πόλεως ὄντα πρόεισι μετὰ τῶν ἱερέων καὶ τοῦ πολιτικοῦ πλήθους, ἱεροπρεπῆ καὶ διαφέρουσαν τῶν ἄλλων ἐθνῶν ποιούμενος τὴν ὑπάντησιν εἰς τόπον τινὰ Σαφὰ λεγόμενον· τὸ δὲ ὄνομα τοῦτο μεταφερόμενον εἰς τὴν Ἑλληνικὴν γλῶτταν σκοπὴν σημαίνει· τά τε γὰρ Ἱεροσόλυμα καὶ τὸν ναὸν ἐκεῖθεν συνέβαινεν ἀφορᾶσθαι. Τῶν δὲ Φοινίκων καὶ τῶν ἀκολουθούντων Χαλδαίων ὅσα βασιλέως ὀργὴν εἰκὸς ἐπιτρέψειν αὐτοῖς τήν τε πόλιν διαρπάσειν καὶ τὸν ἀρχιερέα μετ' αἰκίας ἀπολέσειν λογιζομένων, τὰ ἐναντία τούτων ἐγένετο. Ὁ γὰρ Ἀλέξανδρος ἔτι πόρρωθεν ἰδὼν τὸ μὲν πλῆθος ἐν ταῖς λευκαῖς ἐσθῆσι, τοὺς δὲ ἱερεῖς προεστῶτας ἐν ταῖς βυσσίναις αὐτῶν, τὸν δὲ ἀρχιερέα ἐν τῇ ὑακινθίνῃ καὶ διαχρύσῳ στολῇ, καὶ ἐπὶ τῆς κεφαλῆς ἔχοντα τὴν κίδαριν καὶ τὸ χρυσοῦν ἐπ' αὐτῆς ἔλασμα, ᾧ τὸ τοῦ Θεοῦ ἐπεγέγραπτο ὄνομα, προσελθὼν μόνος προσεκύνησε τὸ ὄνομα καὶ τὸν ἀρχιερέα πρῶτος ἠσπάσατο. Τῶν δὲ Ἰουδαίων πάντων ὁμοῦ μιᾷ φωνῇ τὸν Ἀλέξανδρον ἀσπασαμένων καὶ κυκλωσαμένων αὐτόν, οἱ μὲν τῆς Συρίας βασιλεῖς καὶ οἱ λοιποὶ τοῦτο ποιήσαντος κατεπλάγησαν, καὶ διεφθάρθαι τῷ βασιλεῖ τὴν διάνοιαν ὑπελάμβανον· Παρμενίωνος δὲ μόνου προσελθόντος αὐτῷ, καὶ πυθομένου τί δή ποτε προσκυνούντων αὐτὸν ἁπάντων αὐτὸς προσκυνήσειε τὸν Ἰουδαίων ἀρχιερέα, « οὐ τοῦτον, εἶπε, προσεκύνησα, « τὸν δὲ Θεὸν, οὗ τῇ ἀρχιερωσύνῃ αὐτὸς τετίμηται. « Τοῦτον γὰρ καὶ κατὰ τοὺς ὕπνους εἶδον ἐν τῷ νῦν « σχήματι, ἐν Δίῳ τῆς Μακεδονίας τυγχάνων, καὶ πρὸς « ἐμαυτὸν διασκεπτομένῳ μοι πῶς ἂν κρατήσαιμι τῆς « Ἀσίας παρεκελεύετο μὴ μέλλειν, ἀλλὰ θαρσοῦντα « διαβαίνειν· αὐτὸς γὰρ ἡγήσεσθαί μοι τῆς στρατείας « καὶ τὴν Περσῶν παραδώσειν ἀρχήν. Ὅθεν ἄλλον μὲν « οὐδένα θεασάμενος ἐν τοιαύτῃ στολῇ, τοῦτον δὲ νῦν « ἰδὼν, καὶ τῆς κατὰ τοὺς ὕπνους ἐπιμνησθεὶς ὄψεώς τε « καὶ παρακελεύσεως, νομίζω θείᾳ πομπῇ τὴν στρα- « τείαν πεποιημένος Δαρεῖον νικήσειν, καὶ τὴν Περσῶν « καταλύσειν δύναμιν, καὶ πάνθ' ὅσα κατὰ νοῦν ἐστί « μοι προχωρήσειν. » Ταῦτ' εἰπὼν πρὸς τὸν Παρμενίωνα καὶ δεξιωσάμενος τὸν ἀρχιερέα, τῶν ἱερέων παραθεόντων, εἰς τὴν πόλιν παραγίνεται· καὶ ἀνελθὼν ἐπὶ τὸ ἱερὸν θύει μὲν τῷ Θεῷ κατὰ τὴν τοῦ ἀρχιερέως ὑφήγησιν, αὐτὸν δὲ τὸν ἀρχιερέα καὶ τοὺς ἱερεῖς ἀξιοπρεπῶς ἐτίμησε. Δειχθείσης δὲ αὐτῷ τῆς Δανιήλου βίβλου, ἐν ᾗ τινα τῶν Ἑλλήνων καταλύσειν τὴν Περσῶν ἀρχὴν ἐδήλου, νομίσας αὐτὸς εἶναι ὁ σημαινόμενος, τότε μὲν ἡσθεὶς ἀπέλυσε τὸ πλῆθος, τῇ δὲ ἐπιούσῃ προσκαλεσάμενος ἐκέλευσεν αὐτοὺς αἰτεῖσθαι δωρεὰς ἃς ἂν αὐτοὶ θέλωσι. Τοῦ δ' ἀρχιερέως αἰτησαμένου χρῆσθαι τοῖς πατρώοις νόμοις καὶ τὸ ἕβδομον ἔτος ἀνείσφορον εἶναι, συνεχώρησε πάντα. Παρακαλεσάντων δ' αὐτῶν ἵνα καὶ τοὺς ἐν Βαβυλῶνι καὶ Μηδίᾳ Ἰου-

magnopere gaudebat et indicato cunctis eo oraculo, factisque omnibus quæ ei in somnis mandata fuerant, regis adventum præstolabatur.

5. Atque ubi eum non procul abesse ab urbe intellexit, prodit una cum sacerdotibus et civili turba, venerabili et diverso ab aliis gentibus occursu, in quendam locum qui Sapha dicitur : hoc autem nomen, si Græce interpretemur, speculam significat; inde enim et Hierosolyma atque templum conspiciebatur. Quumque Phœnices et Chaldæi qui sequebantur fore putarent (quæ verisimile erat regem præ iracundia ipsis permissurum esse) ut urbem diriperent et pontificem excarnificarent, accidit ut res contra se haberent. Alexander enim procul adhuc conspicatus multitudinem in albis vestibus et sacerdotes præcedentes in byssinis tunicis, et pontificem in hyacinthina veste et auro distincta, atque tiaram in capite gerentem, et auream in ea laminam, in qua Dei nomen inscriptum erat, solus accessit et nomen veneratus est, priorque pontificem salutavit. Judæis autem omnibus una voce Alexandrum salutantibus et in orbem cingentibus, reges quidem Syriæ reliquique obstupuerunt, et regem mentis impotem esse suspicati : Parmenione vero solo eum aggresso et percontato qui factum sit ut omnibus eum adorantibus, ipse Judæorum pontificem adorarit : « non hunc, inquit, adoravi, sed Deum, cujus ille « summo sacerdotio decoratus est. Hunc enim secundum « quietem vidi in hoc habitu, quum essem in Dio in Macedo- « nia, ac cogitantem me apud me ipsum, quonam pacto po- « tiri possem Asia, hortatus est ne cunctarer, sed confiden- « ter trajicerem : sese enim exercitui meo præiturum, mi- « hique Persarum imperium traditurum. Itaque quum alium « nullum in tali veste viderim, et nunc conspicatus hunc, « et illius in quiete visi et cohortationis recordatus sim, « puto me, divino missu facta expeditione, Dario superio- « rem fore, et Persarum potestatem aboliturum, atque « omnia quæ mihi sunt in animo successura. » Hæc loquutus ad Parmenionem, dataque pontifici dextra, sacerdotibus eum cursu comitantibus, in urbem venit; et in templum ascendit, ac Deo ad sacerdotis præscriptum sacrificavit, ipsumque pontificem et sacerdotes magnifice honoravit. Ostensoque ei Danielis libro, in quo fore significabat ut Græcorum quidam Persarum imperium aboleret, ille se cum esse qui significaretur existimans, tunc quidem lætatus multitudinem dimisit : postridie vero ejus diei eos advocat, quæque ipsi velint dona postulare jubet. Pontifice autem petente ut liceret patriis uti legibus, utque septimo quovis anno tributis essent immunes, omnia concessit. Quumque illi ab eo petiissent ut et eos qui Babylone et in Media erant

δαίους τοῖς ἰδίοις ἐπιτρέψῃ νόμοις χρῆσθαι, ἀσμένως ὑπέσχετο ποιήσειν ἅπερ ἀξιοῦσιν. Εἰπόντος δ' αὐτοῦ πρὸς τὸ πλῆθος, εἴ τινες αὐτῷ βούλονται συστρατεύειν, τοῖς πατρίοις ἔθεσιν ἐμμένοντες καὶ κατὰ ταῦτα ζῶντες, ἑτοίμως ἔχειν ἐπάγεσθαι, πολλοὶ τὴν σὺν αὐτῷ στρατείαν ἠγάπησαν.

ς'. Ὁ μὲν οὖν Ἀλέξανδρος ταῦτα διοικησάμενος ἐν τοῖς Ἱεροσολύμοις ἐξεστράτευσεν ἐπὶ τὰς ἐχομένας πόλεις. Πάντων δ' αὐτὸν πρὸς οὓς ἀφίκετο φιλοφρόνως ἐκδεχομένων, Σαμαρεῖται, μητρόπολιν τότε τὴν Σίκιμα ἔχοντες, κειμένην πρὸς τῷ Γαριζεὶν ὄρει καὶ κατῳκημένην ὑπὸ τῶν ἀποστατῶν τοῦ Ἰουδαίων ἔθνους, ἰδόντες ὅτι τοὺς Ἰουδαίους Ἀλέξανδρος οὕτω λαμπρῶς τετίμηκεν, ἔγνωσαν ἑαυτοὺς Ἰουδαίους ὁμολογεῖν. Εἰσὶ γὰρ οἱ Σαμαρεῖς τοιοῦτοι τὴν φύσιν, ὡς ἤδη που καὶ πρότερον δεδηλώκαμεν· ἐν μὲν ταῖς συμφοραῖς ὄντας τοὺς Ἰουδαίους ἀρνοῦνται συγγενεῖς ἔχειν, ὁμολογοῦντες τότε τὴν ἀλήθειαν· ὅταν δέ τι περὶ αὐτοὺς λαμπρὸν ἴδωσιν ἐκ τύχης, ἐξαίφνης ἐπιπηδῶσιν αὐτῶν τῇ κοινωνίᾳ, προσήκειν αὐτοῖς λέγοντες καὶ ἐκ τῶν Ἰωσήπου γενεαλογοῦντες αὐτοὺς ἐκγόνων Ἐφραίμου καὶ Μανασσοῦ. Μετὰ λαμπρότητος οὖν καὶ πολλὴν ἐνδεικνύμενοι περὶ αὐτὸν προθυμίαν ἀπήντησαν τῷ βασιλεῖ, μικροῦ δεῖν ἐγγὺς τῶν Ἱεροσολύμων. Ἐπαινέσαντος δὲ αὐτοὺς Ἀλεξάνδρου, οἱ Σικιμῖται προσῆλθον αὐτῷ, προσπαραλαβόντες καὶ οὓς Σαναβαλλέτης πρὸς αὐτὸν στρατιώτας ἀπέστειλε, καὶ παρεκάλουν παραγενόμενον εἰς τὴν πόλιν αὐτῶν τιμῆσαι καὶ τὸ παρ' αὐτοῖς ἱερόν. Ὁ δ' ἐκείνοις μὲν αὖθις ὑποστρέφων ἤξειν ὑπέσχετο πρὸς αὐτούς· ἀξιούντων δ' ἀφιέναι τὸν φόρον αὐτοῖς τοῦ ἑβδομαδικοῦ ἔτους, (οὐδὲ γὰρ αὐτοὺς σπείρειν ἐν αὐτῷ,) τίνες ὄντες ταῦτα παρακαλοῦσιν ἐπυνθάνετο. Τῶν δ' εἰπόντων Ἑβραῖοι μὲν εἶναι, χρηματίζειν δ' οἱ ἐν Σικίμοις Σιδώνιοι, πάλιν αὐτοὺς ἐπηρώτησεν εἰ τυγχάνουσιν Ἰουδαῖοι· τῶν δ' οὐκ εἶναι φαμένων, « ἀλλ' ἐγώ γε, εἶπεν, Ἰουδαίοις ταῦτ' ἔδωκα· ὑποστρέψας μέντοι γε καὶ διδαχθεὶς ὑφ' ὑμῶν ἀκριβέστερον ποιήσω τὰ δόξαντα. » Τοῖς μὲν οὖν Σικιμίταις οὕτως ἀπετάξατο· τοὺς δὲ τοῦ Σαναβαλλέτου στρατιώτας ἐκέλευσεν ἔπεσθαι εἰς Αἴγυπτον· ἐκεῖ γὰρ αὐτοῖς δώσειν κλήρους γῆς· ὃ καὶ μετ' ὀλίγον ἐποίησεν ἐν τῇ Θηβαΐδι, φρουρεῖν τὴν χώραν αὐτοῖς προστάξας.

ζ'. Τελευτήσαντος δὲ Ἀλεξάνδρου ἡ μὲν ἀρχὴ εἰς τοὺς διαδόχους ἐμερίσθη, τὸ δ' ἐπὶ τοῦ Γαριζεὶν ὄρους ἱερὸν ἔμεινεν. Εἴ δέ τις αἰτίαν ἔσχε παρὰ τοῖς Ἱεροσολομίταις κοινοφαγίας, ἢ τῆς ἐν τοῖς σαββάτοις παρανομίας, ἢ τινος ἄλλου τοιούτου ἁμαρτήματος, παρὰ τοὺς Σικιμίτας ἔφευγε, λέγων ἀδίκως ἐγκεκλῆσθαι. Τετελευτήκει δὲ κατ' ἐκεῖνον τὸν καιρὸν καὶ ὁ ἀρχιερεὺς Ἰαδδοῦς καὶ τὴν ἀρχιερωσύνην Ὀνίας ὁ παῖς αὐτοῦ παρειλήφει. Τὰ μὲν δὴ περὶ τοὺς Ἱεροσολυμίτας ἐν τούτοις ἐτύγχανεν ὄντα.

Judæos legibus suis uti sineret, libenter promisit facturum quæ postularent. Quum vero ad hoc diceret multitudini, si qui secum militare vellent, ea lege ut patrios mores tenerent et secundum eos viverent, se paratum esse eos assumere, multi lubenti animo in eam expeditionem dederunt nomina.

6. Igitur Alexander, compositis in hunc modum Hierosolymorum rebus, in proximas urbes duxit exercitum. Atque omnibus quos adiret amice eum excipientibus, Samaritani (qui tum Sicima regionis caput habebant, urbem apud Garizin montem positam et a desertoribus Judaicæ gentis habitatam) videntes Judæis ab Alexandro tam præclarum honorem habitum, statuerunt Judæos se profiteri. Sunt enim Samaritæ eo ingenio, sicuti jam ante memoravimus, ut in Judæorum rebus adversis negent suos esse cognatos, tunc quidem id quod verum est profitentes : sed si forte eos paulo lautius agere viderint, continuo in eorum communionem *insiliunt, suos esse consanguineos dicentes*, genusque suum ab Josephi natis, Ephraimo et Manasse, deducentes. Igitur apparate et cum magna in eum studii significatione regi occurrunt haud procul Hierosolymis. Quumque illos Alexander laudasset, Sicimitæ ad eum accedunt, assumptis quos Sanballetes ad eum miserat militibus, rogantque ut urbem ipsorum adiret et ipsorum quoque fanum *sua præsentia* cohonestaret. Ipse vero ad eos se venturum promittit, simulatque redierit. Ac postulantibus sibi anni septimi tributa condonari, quippe qui eo anno sementem non facerent, quæsivit quinam essent qui hæc peterent. Quumque dixissent Hebræos se esse, vocari autem Sicimorum Sidonios, iterum interrogavit an Judæi essent. Quod quum negarent, dixit, « atqui ego Judæis ista dedi; tamen quum rediero, et hæc a vobis accuratius cognovero, faciam quod mihi visum fuerit. » Et Sicimitas quidem ita dimisit. Sanballetis vero militibus imperavit, ut ipsum in Ægyptum sequerentur : illic enim agros eis divisurum. Id quod paulo post fecit in Thebaide, ubi eis regionem tuendam mandavit.

7. *Alexandro autem vita defuncto imperium inter successores* divisum est : templumque in monte Garizin mansit. Quodsi quis ab Hierosolymitis reus agebatur comesi profani cibi, aut violati sabbati, aut alicujus talis peccati, is ad Sicimitas confugiebat, seque injuste accusatum dicebat. Per id vero tempus vita decesserat Jaddus pontifex, eique in pontificatum successit Onias ejus filius. Atque in eo statu res Hierosolymitanæ tunc fuere.

ΒΙΒΛΙΟΝ ΔΩΔΕΚΑΤΟΝ.

α'. Ὡς Πτολεμαῖος ὁ Λάγου δόλῳ καὶ ἀπάτῃ παραλαβὼν τὰ Ἱεροσόλυμα καὶ τὴν Ἰουδαίαν πολλοὺς ἐξ αὐτῆς εἰς Αἴγυπτον κατῴκισεν.

β'. Ὡς ὁ υἱὸς αὐτοῦ Πτολεμαῖος, ὁ κληθεὶς Φιλάδελφος, τοὺς Ἰουδαίων νόμους εἰς τὴν Ἑλληνικὴν γλῶσσαν μετέβαλε, καὶ πολλοὺς αἰχμαλώτους ἀπέλυσεν, Ἐλεαζάρῳ τῷ ἀρχιερεῖ αὐτῶν χαριζόμενος, καὶ ἀναθήματα πολλὰ ἀνέθηκε τῷ Θεῷ.

γ'. Πῶς ἐτίμησαν οἱ τῆς Ἀσίας βασιλεῖς τὸ Ἰουδαίων ἔθνος, καὶ πολίτας ἐποίησαν ἐν ταῖς ὑπ' αὐτῶν κτισθείσαις πόλεσιν.

δ'. Ἐκ τῆς γενομένης ἀτυχίας ἐπανόρθωσις ὑπὸ Ἰωσήπου τοῦ Τωβίου ποιησαμένου φιλίαν πρὸς Πτολεμαῖον τὸν Ἐπιφανῆ.

ε'. Φιλία καὶ συμμαχία Λακεδαιμονίων πρὸς Ὀνίαν τὸν ἀρχιερέα τῶν Ἰουδαίων.

ς'. Στάσις τῶν δυνατῶν Ἰουδαίων πρὸς ἀλλήλους, καὶ ὡς ἐπεκαλέσαντο Ἀντίοχον τὸν Ἐπιφανῆ.

ζ'. Ὅτι στρατευσάμενος Ἀντίοχος ἐπὶ Ἱεροσόλυμα τήν τε πόλιν παρέλαβε καὶ τὸν ναὸν ἐσύλησεν.

η'. Ὡς Ἀντίοχου κωλύσαντος τοῖς πατρῴοις νόμοις χρῆσθαι τοὺς Ἰουδαίους, μόνος ὁ Ἀσσαμωναίου παῖς Ματταθίας κατεφρόνησε τοῦ βασιλέως καὶ τοὺς Ἀντιόχου στρατηγοὺς ἐνίκησε.

θ'. Ματταθίου τελευτὴ, γηραιοῦ μὲν ὄντος ἤδη, παραδόντος δὲ τὴν τῶν πραγμάτων προστασίαν τοῖς παισίν.

ι'. Ὡς ὁ υἱὸς αὐτοῦ Ἰούδας, τοῖς Ἀντιόχου στρατηγοῖς μαχεσάμενος, τοὺς Ἰουδαίους εἰς τὴν πάτριον ἐπανήγαγε πολιτείαν καὶ ἀρχιερεὺς ἀπεδείχθη ὑπὸ τοῦ λαοῦ.

ια'. Ὡς Ἀντιόχου στρατηγὸς Ἀπολλώνιος εἰς τὴν Ἰουδαίαν ἐμβαλὼν ἡττηθεὶς ἀπέθανεν.

ιβ'. Ἡ Λυσίου καὶ Γοργίου στρατηγία ἐπὶ τὴν Ἰουδαίαν καὶ ἥττα καὶ διαφθορὰ τοῦ στρατοῦ.

ιγ'. Ὅτι στρατευσάμενοι Ἰούδας καὶ Σίμων, ὁ μὲν ἐπὶ Ἀμμανίτας καὶ τὴν Γαλααδῖτιν, ὁ δὲ Σίμων ὁ ἀδελφὸς αὐτοῦ ἐπὶ Τυρίους καὶ Πτολεμαεῖς, ἐκράτησαν αὐτῶν.

ιδ'. Ὡς Ἀντίοχος ὁ Ἐπιφανὴς ἐτελεύτησεν ἐν Πέρσαις.

ιε'. Ὡς Ἀντίοχος ὁ ἐπικληθεὶς Εὐπάτωρ στρατευσάμενος ἐπὶ Ἰουδαίους μετὰ Λυσίου καὶ νικήσας ἐπολιόρκει Ἰούδαν εἰς τὸ ἱερὸν ἐγκλείσας.

ις'. Ὅτι πολλοῦ χρόνου τῇ πολιορκίᾳ τριβομένου, φιλίαν ποιησάμενος πρὸς Ἰούδαν εὐπρεπῶς ἀνεχώρησεν ἐκ τῆς Ἰουδαίας ὁ Ἀντίοχος.

ιζ'. Ὡς Βακχίδης ὁ Δημητρίου στρατηγὸς ἐπιστρατευσάμενος τοῖς Ἰουδαίοις ἄπρακτος ἀνέστρεψε πρὸς τὸν βασιλέα.

ιη'. Ὡς Νικάνωρ, μετὰ τὸν Βακχίδην πεμφθεὶς στρατηγὸς, ἀπώλετο σὺν τῇ στρατιᾷ.

ιθ'. Ὅτι πάλιν ἐπὶ τὴν Ἰουδαίαν Βακχίδης ἐκπεμφθεὶς ἐνίκησεν.

κ'. Ὡς Ἰούδας διεφθάρη μαχόμενος.

Περιέχει ἡ βίβλος χρόνον ἐτῶν ἑκατὸν καὶ ἑβδομήκοντα.

ΚΕΦ. Α'.

Ἀλέξανδρος μὲν οὖν ὁ τῶν Μακεδόνων βασιλεὺς, καταλύσας τὴν Περσῶν ἡγεμονίαν καὶ τὰ κατὰ τὴν Ἰουδαίαν τὸν προειρημένον καταστησάμενος τρόπον, τελευτᾷ τὸν βίον· μεταπεσούσης δὲ εἰς πολλοὺς τῆς ἀρχῆς, Ἀντίγονος μὲν τῆς Ἀσίας ἐπεκράτει, Σέλευκος

LIBER DUODECIMUS.

1. Quomodo Ptolemæus, Lagi filius, Hierosolymis et Judæa dolo occupatis, multos inde deportavit in Ægyptum.

2. Quomodo filius ejus Ptolemæus, Philadelphus appellatus, Judaicas leges Græce transferendas curavit, et multos captivos, in gratiam Eleazari illorum pontificis, manumisit, plurimaque donaria Deo consecravit.

3. Ut Judæorum gentem honore affecerint reges Asiæ, et conditarum a se urbium civitate donaverint.

4. Josephus Tobiæ filius malo medetur, quo laborabant Judæi, inita cum Ptolemæo Epiphane amicitia.

5. Amicitia et societas Lacedæmoniorum cum Onia Judæorum pontifice.

6. Judæi potentiores inter sese dissident, et quomodo Antiochi Epiphanis opem implorarunt.

7. Quod Antiochus, expeditione facta in Hierosolyma, et urbem cepit et templum diripuit.

8. Quemadmodum, Antiocho vetante Judæos patriis uti legibus, solus Mattathias, Assamonæi filius, regis mandata contempsit, et postea Antiochi duces prælio superavit.

9. Mattathiæ obitus in summa senectute, rerum administratione filiis relicta.

10. Quomodo filius ejus Judas, cum Antiochi copiarum ducibus congressus, id assequutus est ut Judæi patriis institutis viverent; atque ipse a populo pontifex constitutus est.

11. Quomodo Apollonius, Antiochi exercitus dux, incursione in Judæam facta, victus interiit.

12. Lysiæ et Gorgiæ contra Judæos expeditio et clades, et exercitus interitus.

13. Quod Judas et Simon, ductis exercitibus, ab illo in Ammanitas et terram Galaaditin, a Simone fratre ejus in Tyrios et Ptolemæenses, illos devicerunt.

14. Quomodo Antiochus Epiphanes apud Persas diem obiit.

15. Quomodo Antiochus, cognominatus Eupator, una cum Lysia suscepta in Judæos expeditione, victoria potitus Judam in templo clausum obsidet.

16. Quod, longo tempore in obsidione consumpto, Antiochus cum Juda fœdus ferit, et ex Judæa bona fama discessit.

17. Quomodo Bacchides Demetrii copiarum dux, cum exercitu contra Judæos profectus, re infecta ad regem reversus est.

18. Quomodo Nicanor, dux post Bacchiden missus, una cum exercitu periit.

19. Quod Bacchides denuo missus contra Judæam, victoria potitus est.

20. Quomodo Judas in prælio occubuit.

Continet hic liber tempus annorum centum et septuaginta.

CAP. I.

Igitur Alexander Macedonum rex, subacto Persarum imperio, et constitutis ut jam dictum est Judææ rebus, vitam finiit: ac distracto in multos imperio, Antigonus Asia potitur, Seleucus Babylone et illius tractus nationibus, Ly-

δὲ Βαβυλῶνος καὶ τῶν ἐκεῖ ἐθνῶν, Λυσίμαχος δὲ τὸν Ἑλλήσποντον διεῖπε, τὴν δὲ Μακεδονίαν εἶχε Κάσσανδρος, Πτολεμαῖος δὲ ὁ Λάγου τὴν Αἴγυπτον εἰλήφει. Στασιαζόντων δὲ τούτων καὶ πρὸς ἀλλήλους φιλοτιμουμένων ὑπὲρ τῆς ἰδίας ἀρχῆς, πολέμους τε συνεχεῖς καὶ μακροὺς συνέβαινε γίνεσθαι, καὶ τὰς πόλεις κακοπαθεῖν, καὶ πολλοὺς ἐν τοῖς ἀγῶσιν ἀποβάλλειν τῶν οἰκητόρων, ὡς καὶ τὴν Συρίαν ἅπασαν ὑπὸ Πτολεμαίου τοῦ Λάγου, Σωτῆρος τότε χρηματίζοντος, τἀναντία παθεῖν αὐτοῦ τῇ ἐπικλήσει. Κατέσχε δὲ οὗτος καὶ τὰ Ἱεροσόλυμα δόλῳ καὶ ἀπάτῃ χρησάμενος. Εἰσελθὼν γὰρ σαββάτοις εἰς τὴν πόλιν ὡς θύσων, μήτε τῶν Ἰουδαίων αὐτὸν ἀμυνομένων (οὐδὲ γὰρ ὑπενόουν πολέμιον) καὶ διὰ τὸ ἀνύποπτον καὶ τὴν ἡμέραν ἐν ἀργίᾳ καὶ ῥᾳθυμίᾳ τυγχανόντων, ἀπόνως ἐγκρατὴς γίνεται τῆς πόλεως καὶ πικρῶς ἦρξεν αὐτῆς. Μαρτυρεῖ δὲ τῷ λόγῳ τούτῳ καὶ Ἀγαθαρχίδης ὁ Κνίδιος ὁ τὰς τῶν διαδόχων πράξεις συγγραψάμενος, ὀνειδίζων ἡμῖν δεισιδαιμονίαν, ὡς δι' αὐτὴν ἀποβαλοῦσι τὴν ἐλευθερίαν, λέγων οὕτως. « Ἔστιν ἔθνος Ἰουδαίων λεγόμενον, οἳ πόλιν ὀχυρὰν « καὶ μεγάλην ἔχοντες Ἱεροσόλυμα, ταύτην ὑπερεῖδον « ὑπὸ Πτολεμαίῳ γενομένην, ὅπλα λαβεῖν οὐ θελήσαν« τες, ἀλλὰ διὰ τὴν ἄκαιρον δεισιδαιμονίαν χαλεπὸν « ὑπέμειναν ἔχειν δεσπότην. » Ἀγαθαρχίδης μὲν οὖν ταῦτα περὶ τοῦ ἔθνους ἡμῶν ἀπεφήνατο. Ὁ δὲ Πτολεμαῖος πολλοὺς αἰχμαλώτους λαβών, ἀπό τε τῆς ὀρεινῆς Ἰουδαίας καὶ τῶν περὶ τὰ Ἱεροσόλυμα τόπων καὶ τῆς Σαμαρείτιδος καὶ τῶν ἐν τῷ ὄρει τῷ Γαριζεὶν, κατῴκισεν ἅπαντας εἰς Αἴγυπτον ἀγαγών. Ἐγνωκὼς δὲ τοὺς ἀπὸ τῶν Ἱεροσολύμων περί τε τὴν τῶν ὅρκων φυλακὴν καὶ τὰς πίστεις βεβαιοτάτους ὑπάρχοντας ἐξ ὧν ἀπεκρίναντο Ἀλεξάνδρῳ πρεσβευσαμένῳ πρὸς αὐτοὺς μετὰ τὸ κρατῆσαι Δαρείου τῇ μάχῃ, πολλοὺς αὐτῶν εἰς τὰ φρούρια καταλοχίσας καὶ τοῖς Μακεδόσιν ἐν Ἀλεξανδρείᾳ ποιήσας ἰσοπολίτας, ὅρκους ἔλαβε παρ' αὐτῶν ὅπως τοῖς ἐκγόνοις τοῦ παραθεμένου τὴν πίστιν διαφυλάξωσιν. Οὐκ ὀλίγοι δὲ καὶ τῶν ἄλλων Ἰουδαίων ἑκουσίως εἰς τὴν Αἴγυπτον παρεγένοντο, τῆς τε ἀρετῆς τῶν τόπων αὐτοὺς καὶ τῆς τοῦ Πτολεμαίου φιλοτιμίας προσκαλουμένης. Στάσεις μέντοι γε τοῖς ἐκγόνοις αὐτῶν πρὸς τοὺς Σαμαρείτας, τὴν πάτριον ἀγωγὴν τῶν ἐθῶν ἀποσώζειν προαιρουμένοις, ἐγίνοντο καὶ πρὸς ἀλλήλους ἐπολέμουν, τῶν μὲν Ἱεροσολυμιτῶν τὸ παρ' αὐτοῖς ἱερὸν ἅγιον εἶναι λεγόντων καὶ τὰς θυσίας ἐκεῖ πέμπειν ἀξιούντων, τῶν δὲ Σαμαρειτῶν εἰς τὸ Γαριζεὶν ὄρος κελευόντων.

simachus Hellespontum obtinuit, Macedoniam occupavit Cassander, Ægyptum autem tenuit Ptolemæus Lagi filius. Hi dum inter sese dissident, et de imperio quisque suo contendunt, fiebat ut continua longaque bella gererentur, urbesque affligerentur, et multos civium in certaminibus amitterent, adeo ut omnis Syria a Ptolemæo Lagi filio, qui tum Soter, *hoc est Servator*, appellabatur, longe aliter afficeretur quam ejus nomine dignum esset. Is etiam Hierosolymam per fraudem et proditionem occupavit. Ingressus enim sabbato in urbem per speciem sacrificandi, Judæis non prohibentibus (neque enim hostem esse putabant) tum quia nihil mali suspicabantur, tum quia propter diem otium et quietem agebant, urbe nullo labore potitus est, eamque acerbe tractavit et inclementer. Hisce quæ diximus etiam Agatharchides Cnidius, qui res a successoribus *Alexandri* gestas conscripsit, testimonium perhibet, superstitionem nobis exprobrans, ut qui libertatem propter eam amiserimus, istiusmodi verbis. « Est gens « quæ Judæorum dicitur, qui urbem incolentes magnam et « bene munitam, Hierosolyma, passi sunt eam in Ptolemæi « potestatem venire, quod arma capere noluerint, atque ex « superstitione intempestiva crudeli dominatui sese subje« cerunt. » Et Agatharchides quidem de gente nostra hæc memoriæ prodidit. Ceterum Ptolemæus, multis hominibus captis, tum ex Judææ montanis, locisque circa Hierosolyma, tum ex Samaria et monte Garizin, omnes in Ægyptum transtulit. Quumque Hierosolymitanos jurisjurandi fideique observantissimos ex iis intelligeret, quæ Alexandri legatis post victum ab eo Darium responderant, multos eorum in præsidiis disposuit, et cum Macedonibus Alexandriæ pares fecit, ac sacramento adstrinxit, servaturos fidem posteris ejus qui ipsis mandasset eam provinciam. Non pauci præterea reliquorum Judæorum in Ægyptum sua sponte profecti sunt, allecti partim bonitate soli, partim Ptolemæi liberalitate. Sed inter Samaritas et Judæorum posteros instituta patria retinere studentes existebant contentiones, iique inter sese decertabant, dum Hierosolymitani suum templum sanctum esse contendunt, et victimas eo mitti volunt, Samaritæ contra in montem Garizin.

ΚΕΦ. Β'.

Βασιλεύσαντος δὲ Ἀλεξάνδρου ἔτη δώδεκα καὶ μετ' αὐτὸν Πτολεμαίου τοῦ Σωτῆρος τεσσαράκοντα, ἔπειτα τὴν βασιλείαν τῆς Αἰγύπτου παραλαβὼν ὁ Φιλάδελφος, καὶ κατασχὼν αὐτὴν ἐπ' ἔτη ἑνὸς δέοντα τεσσαράκοντα, τόν τε νόμον ἡρμήνευσε καὶ τοὺς δουλεύοντας ἐν Αἰγύπτῳ τῶν Ἱεροσολυμιτῶν ἀπέλυσε τῆς δουλείας,

CAP. II.

Quum autem Alexander duodecim annos regnasset, et post eum Ptolemæus Soter quadraginta, tum Ægypti regnum adeptus Philadelphus (quod quidem tenuit annos undequadraginta) et legem *Judaicam* curavit transferendam, et servientes in Ægypto Hierosolymitanos servitute

ὄντας περὶ δώδεκα μυριάδας, ἐξ αἰτίας τοιαύτης. Δημήτριος ὁ Φαληρεὺς, ὃς ἦν ἐπὶ τῶν βιβλιοθηκῶν τοῦ βασιλέως, σπουδάζων εἰ δυνατὸν εἴη πάντα τὰ κατὰ τὴν οἰκουμένην συναγαγεῖν βιβλία καὶ συνωνούμενος, εἴ τί που μόνον ἀκούσειε σπουδῆς ἄξιον ἢ ἡδὺ, τῇ τοῦ βασιλέως προαιρέσει (μάλιστα γὰρ περὶ τὴν συλλογὴν τῶν βιβλίων εἶχε φιλοκάλως) συνηγωνίζετο. Ἐρομένου δ' αὐτόν ποτε τοῦ Πτολεμαίου πόσας ἤδη μυριάδας ἔχοι συνειλεγμένας βιβλίων, τῶν μὲν ὑπαρχόντων εἶπεν εἶναι περὶ εἴκοσιν, ὀλίγου δὲ χρόνου εἰς πεντήκοντα συναθροίσειν. Μεμηνῦσθαι δ' ἔλεγεν αὐτῷ πολλὰ εἶναι καὶ παρὰ τοῖς Ἰουδαίοις τῶν παρ' αὐτοῖς νομίμων συγγράμματα σπουδῆς ἄξια καὶ τῆς βασιλέως βιβλιοθήκης, ἃ τοῖς ἐκείνων χαρακτῆρσι καὶ τῇ διαλέκτῳ γεγραμμένα πόνον αὐτοῖς οὐκ ὀλίγον παρέξειν εἰς τὴν Ἑλληνικὴν μεταβαλλόμενα γλῶτταν. Δοκεῖ μὲν γὰρ εἶναι τῇ ἰδιότητι τῶν Σύρων γραμμάτων ἐμφερὴς ὁ χαρακτὴρ αὐτῶν, καὶ τὴν φωνὴν ὁμοίαν αὐτοῖς ἀπηχεῖν, ἰδιότροπον δὲ αὐτὴν εἶναι συμβέβηκεν. Οὐδὲν οὖν ἔλεγε κωλύειν καὶ ταῦτα μεταβαλόντα (δύνασθαι γὰρ τῆς εἰς ταῦτα χορηγίας εὐπορουῦντα) ἔχειν ἐν τῇ βιβλιοθήκῃ καὶ τὰ παρ' ἐκείνοις. Δόξας οὖν ὁ βασιλεὺς ἄριστα τὸν Δημήτριον φιλοτιμούμενον περὶ τὸ πλῆθος αὐτῷ τῶν βιβλίων ὑποτίθεσθαι, γράφει τῷ τῶν Ἰουδαίων ἀρχιερεῖ ταῦτα γίνεσθαι.

β'. Ἀρισταῖός δέ τις, φίλος ὢν ἐν τοῖς μάλιστα τῷ βασιλεῖ καὶ σπουδαζόμενος ὑπ' αὐτοῦ διὰ μετριότητα, πολλάκις μὲν καὶ πρότερον ἔγνω παρακαλέσαι τὸν βασιλέα, ὅπως ἀπολύσῃ τοὺς αἰχμαλώτους Ἰουδαίους, ὅσοι κατὰ τὴν βασιλείαν ἦσαν αὐτοῦ· καιρὸν δ' ἐπιτήδειον εἶναι τοῦτον δοκιμάσας τῆς δεήσεως, πρώτοις περὶ τούτου διαλέγεται τοῖς ἄρχουσι τῶν σωματοφυλάκων, Σωσιβίῳ τῷ Ταραντίνῳ καὶ Ἀνδρέᾳ, συναγωνίσασθαι περὶ ὧν ἐντυγχάνειν μέλλει τῷ βασιλεῖ παρακαλῶν αὐτούς. Προσλαβὼν οὖν καὶ τὴν τῶν προειρημένων γνώμην ὁ Ἀρισταῖος, προσελθὼν τῷ βασιλεῖ λόγους πρὸς αὐτὸν τοιούτους ἐποιήσατο. « Οὐ χρὴ « ἀπατωμένους ἡμᾶς, ὦ βασιλεῦ, περιορᾶν, ἀλλὰ « τἀληθὲς ἀπελέγχειν. Τοὺς γὰρ τῶν Ἰουδαίων νόμους « οὐ μετεγράψαι μόνον, ἀλλὰ καὶ μεθερμηνεῦσαι διε« γνωκότες εἰς τὸ σοὶ κεχαρισμένον, τίνι λόγῳ χρώμε« νοι τοῦτο πράξαιμεν ἂν, πολλῶν Ἰουδαίων ἐν τῇ σῇ « βασιλείᾳ δουλευόντων; οὓς, τῇ σαυτοῦ μεγαλοψυχίᾳ « καὶ χρηστότητι ποιῶν ἀκολούθως, ἀπόλυσον τῆς « ταλαιπωρίας, τὴν βασιλείαν σου διέποντος τοῦ θεμέ« νου τοὺς νόμους αὐτοῖς Θεοῦ, καθὼς ἐμοὶ πολυπρα« γμονήσαντι μαθεῖν ὑπῆρξε. Τὸν γὰρ ἅπαντα συστη« σάμενον Θεὸν καὶ οὗτοι καὶ ἡμεῖς σεβόμεθα, Ζῆνα « καλοῦντες αὐτὸν ἐτύμως, ἀπὸ τοῦ σύμπασιν ἐμφύειν « τὸ ζῆν τὴν ἐπίκλησιν αὐτοῦ νοήσαντες. Ὅθεν εἰς « τιμὴν τοῦ Θεοῦ, τοῖς ἐξαίρετον τὴν εἰς αὐτὸν θρη« σκείαν πεποιημένοις, ἀπόδος αὐτοῖς τὴν πατρίδα, « καὶ τὸν ἐν αὐτῇ βίον ἀπειληφόσιν. Ἴσθι μέντοι γε, « ὦ βασιλεῦ, ὡς οὔτε γένει προσήκων αὐτοῖς οὔτε

liberavit, qui fuerunt ad centum et viginti millia, ex hujusmodi causa. Demetrius Phalereus, regiarum bibliothecarum præfectus, operam dans ut omnes, si fieri posset, totius orbis libros colligeret, et coemens quicquid ubique vel fama accepisset studio dignum fore aut jucundum, cum regis ipsius voluntate (nam *is* maximo librorum colligendorum desiderio tenebatur) æmulabatur. Ptolemæo autem aliquando ab ipso quærente quot jam librorum millia collecta haberet, respondit esse jam circiter ducenta millia, et brevi congesturum ad quingenta. Sibi etiam, adjiciebat, indicatum multos esse apud Judæos de ipsorum institutis libros studio dignos et bibliotheca regia, qui quum illorum literis et sermone scripti sint, rem fore magni laboris et molestiæ, si in Græcam linguam transferantur. Videtur enim eorum scriptura plane similis esse Syrorum scripturæ, vocemque reddere consimilem, contigit tamen ut sui generis sit. Ceterum nihil, inquit, prohibet quominus illorum quoque libros transferendos cures (opibus enim ad hoc efficiendum polles) et in bibliotheca habeas. Rex igitur Demetrium, pro suo libros colligendi studio, ipsi optime consulere existimans, Judæorum pontifici scribit ut hæc fiant.

2. Jam Aristæus quidam, regi in primis amicus atque gratus ob modestiam, sæpe antea regem orare statuerat ut Judæos, quicunque in ejus regno essent, manumitteret, hoc vero sibi idoneum ad ea postulata tempus arbitratus, primum ea de re agit cum satellitum præfectis, Sosibio Tarentino et Andrea, eos obsecrans ut se in eis quæ sit a rege postulaturus adjuvent. Quumque Aristæus eorum, quos memoravimus, assensum accepisset, regem adit, et cum eo agit in hunc modum. « Non decet committere nos, « o rex, ut decipiamur, sed verum patefacere. Quum enim « id nobismet negotii dari voluerimus, ut Judæorum leges « in tuam gratiam non solum transcribantur, verum etiam « vertantur, quanam ratione hoc facere possimus, quum « multi Judæi serviant in regno tuo? quos certe non alie« num erit a tua magnificentia et bonitate liberare a cala« mitate, quandoquidem qui Deus eis leges tulit, is est qui « tuum regnum regit, quantum ego quidem quærendo « comperi. Conditorem enim universitatis Deum et ipsi « et nos colimus, Ζῆνα (i. e. *Jovem*) vere vocantes, indito « a ζῆν id est vivendo nomine, quod is vitam conferat omni« bus. Quapropter ad honorem Dei, iis qui Deum præcipua « religione venerantur, redde patriam, ut eis in natali solo « vitam agere liceat. Illud quidem scito, rex, me nec

« δμόφυλος ὢν ταῦτα περὶ αὐτῶν ἀξιῶ. Πάντων δὲ « ἀνθρώπων δημιούργημα ὄντων τοῦ Θεοῦ καὶ γινώ- « σκων αὐτὸν ἡδόμενον τοῖς εὖ ποιοῦσιν, ἐπὶ τοῦτο καὶ « σὲ παρακαλῶ. »

γ'. Ταῦτα εἰπόντος τοῦ Ἀρισταίου, ἀναβλέψας εἰς αὐτὸν ὁ βασιλεὺς ἱλαρῷ καὶ γεγηθότι τῷ προσώπῳ, « πόσας, εἶπεν, ὑπολαμβάνεις τῶν ἀπολυθησομένων ἔσεσθαι μυριάδας; » ὑποτυχόντος δὲ Ἀνδρέου (παρειστήκει γάρ) καὶ φήσαντος ὀλίγου πλείονας ἔσεσθαι τῶν δέκα μυριάδων, « οὐ μικρὰν ἄρα ἡμᾶς, εἶπεν, Ἀρισταῖε, δωρεὰν αἰτεῖς. » Σωσιβίου δὲ καὶ τῶν παρόντων φησάντων ὡς ἄξιον αὐτὸν δεῖ τῆς αὐτοῦ μεγαλοψυχίας τῷ παρεσχηκότι τὴν βασιλείαν Θεῷ χαριστήριον ποιήσασθαι, διαχυθεὶς ὑπ' αὐτῶν ἐκέλευσεν, ὅταν τοῖς στρατιώταις ἀποδιδῶσι τὸ μισθοφορικὸν, καὶ ὑπὲρ ἑκάστου τῶν παρ' αὐτοῖς αἰχμαλώτων καταβαλεῖν δραχμὰς ἑκατὸν εἴκοσι. Καὶ περὶ ὧν ἠξίουν προθεῖναι γράμματα ὑπέσχετο μεγαλοπρεπῶς ἔχοντα καὶ τὴν Ἀρισταίου προαίρεσιν βεβαιοῦντα, καὶ πρὸ ταύτης τὴν τοῦ Θεοῦ βούλησιν· καθ' ἣν οὐ μόνον τοὺς ὑπὸ τοῦ πατρὸς ἀχθέντας αὐτοῦ καὶ τῆς ἐκείνου στρατιᾶς ἀπολύσειν ἔλεγεν, ἀλλὰ καὶ τοὺς προϋπάρχοντας ἐν τῇ βασιλείᾳ, καὶ εἴ τινες αὖθις ἐπεισήχθησαν. Πλειόνων δὲ ἢ τετρακοσίων ταλάντων τὰ τῆς ἀπολυτρώσεως γενήσεσθαι φαμένων, ταῦτά τε συνεχώρει καὶ τὸ ἀντίγραφον τοῦ προστάγματος, εἰς δήλωσιν τῆς τοῦ βασιλέως μεγαλοφροσύνης, ἔγνωσαν διαφυλάξαι. Ἦν δὲ τοιοῦτο. « Ὅσοι τῶν « συστρατευσαμένων ἡμῶν τῷ πατρὶ τήν τε Συρίαν « καὶ Φοινίκην ἐπέδραμον καὶ τὴν Ἰουδαίαν καταστρε- « ψάμενοι σώματα λαβόντες αἰχμάλωτα διεκόμισαν εἰς « τε τὰς πόλεις ἡμῶν καὶ τὴν χώραν, καὶ ταῦτα ἀπημ- « πόλησαν, τούς τε πρὸ αὐτῶν ὄντας ἐν τῇ ἐμῇ βασι- « λείᾳ καὶ εἴ τινες νῦν εἰσήχθησαν, τούτους ἀπολυέτω- « σαν οἱ παρ' αὐτοῖς ἔχοντες, ὑπὲρ ἑκάστου σώματος « λαμβάνοντες δραχμὰς ἑκατὸν εἴκοσι, οἱ μὲν στρατιῶ- « ται μετὰ καὶ τῶν ὀψωνίων, οἱ δὲ λοιποὶ ἀπὸ τῆς βα- « σιλικῆς τραπέζης κομιζόμενοι τὰ λύτρα. Νομίζω « γὰρ αὐτοὺς καὶ παρὰ τὴν τοῦ πατρὸς προαίρεσιν καὶ « παρὰ τὸ δέον ἠχμαλωτίσθαι, τὴν δὲ χώραν αὐτῶν « διὰ τὴν στρατιωτικὴν αὐθαδίαν κεκακῶσθαι καὶ διὰ « τὴν εἰς Αἴγυπτον αὐτῶν μεταγωγὴν πολλὴν ὠφέλειαν « ἐκ τούτου τοῖς στρατιώταις γεγονέναι. Τὸ δίκαιον « οὖν σκοπῶν καὶ τοὺς καταδυναστευομένους παρὰ τὸ « προσῆκον ἐλεῶν ἀπολύειν κελεύω τοὺς ἐν ταῖς οἰκε- « ταίαις ὄντας Ἰουδαίους, τὸ προγεγραμμένον κομιζο- « μένους ὑπὲρ αὐτῶν κεφάλαιον τοὺς κεκτημένους, καὶ « μηδένα περὶ τούτων κακουργεῖν, ἀλλ' ὑπακούειν τοῖς « προστεταγμένοις. Βούλομαι δὲ τὰς ἀπογραφὰς ἀφ' « ἧς ἐξεπέμφθησαν ἐπὶ τρεῖς ἡμέρας ποιεῖσθαι πρὸς τοὺς « ἐπ' αὐτῶν ὑπάρχοντας, παραδεικνύντας εὐθὺς καὶ τὰ « σώματα· τοῦτο γὰρ καὶ τοῖς ἐμαυτοῦ πράγμασιν « ἡγοῦμαι συμφέρειν. Προσαγγελλέτω δὲ τοὺς ἀπει- « θήσαντας ὁ βουλόμενος, ὧν τὰς οὐσίας εἰς τὴν βασι- « λικὴν κτῆσιν ἀνενεχθῆναι βούλομαι. » Τούτου δὲ τοῦ

« genere eis, nec natione propinquum, hæc pro eis postu- « lare. Sed quum omnes homines Dei sint opificium, et « sciam eum benefacientibus delectari, ad benefaciendum « te cohortor. »

3. Hæc loquutum Aristæum rex hilari lætoque vultu intuitus, « quotnam, inquit, millia putas esse eorum, qui manumittendi sunt? » quumque Andreas, qui tum forte adstiterat, subjecisset paulo plura esse quam centum millia : non parvum igitur a nobis, inquit rex, donum, Aristæe, postulas. Quumque Sosibius et qui aderant dixissent debere eum dignam sua munificentia gratiam Deo rependere, qui ei regnum conciliasset, *rex* ex illis gaudio perfusus jussit ut quum militibus stipendia solverent, etiam pro captivis, qui apud eos essent, penderent in singula capita drachmas centum et viginti. Ac de ipsorum postulatis promisit libellos se magnifice scriptos promulgaturum, quibus Aristæi propositum, et ante id Dei voluntas confirmaretur : ex qua non solum ductos a patre suo et ejus exercitu liberaturum se dixit, sed etiam eos qui ante fuerint in regno, et siqui postea fuerint adducti. Et quum eam liberationem dicerent plus quam quadringenta talenta poscere, concessit, atque edicti exemplar, quo illustrior esset regis magnanimitas, conservari voluerunt. Erat autem hujusmodi. « Quicunque sub patre nostro militantes Syriam et Phœni- « cen incursarunt, pervastataque Judæa mancipia inde in « urbes regionemque nostram deportarunt ac vendiderunt, « itemque qui ante nos erant in meo regno, et si qui nunc « adducti sunt, hos manumittunto qui penes sese habent, « accipientes pro singulis capitibus drachmas centum et vi- « ginti, ita ut milites quidem una cum stipendiis, reliqui « autem a mensa regia redemptionis pretium reportent. « Arbitror enim eos contra patris voluntatem contraque « æquitatem captivos esse factos, eorumque terram licentia « militari afflictam, et ex eorum in Ægyptum translatione « magnam utilitatem partam esse militibus. Quapropter « justitiæ rationem habens, et eorum misericordiam capiens « qui inique opprimuntur, impero iis, qui Judæos habent « in suo servitio, ut eos manumittant domini pro præscri- « pta summa, neve quisquam in hac re dolo malo agat, « sed imperatis obediat. Volo autem ut intra triduum, « ex quo allatum erit hoc edictum, apud eos, qui huic « negotio præsint, profiteantur, statimque etiam corpora « ostendant : hoc enim etiam e re mea esse duco. Quod- « si qui dicto audientes non fuerint, eorum nomina qui « volet deferto, eorumque bona in fiscum regium referun- « tor. » Quum hoc edictum prælectum esset regi, atque

προστάγματος ἀναγνωσθέντος τῷ βασιλεῖ, καὶ τὰ μὲν ἄλλα ἔχοντος, μόνου δὲ λείποντος τοῦ περὶ τῶν πρότερον καὶ τῶν αὖθις εἰσηγμένων Ἰουδαίων μὴ διεστάλθαι, προσέθηκεν αὐτὸς μεγαλοφρόνως καὶ τὸ περὶ τούτων φιλάνθρωπον, καὶ τὴν τῶν διαφόρων δόσιν οὖσαν ἀθρόαν ἐκέλευσε τοῖς ὑπηρέταις τῶν πραγμάτων ἀπομερίσαι καὶ τοῖς βασιλικοῖς τραπεζίταις. Γενομένου δὲ τούτου, ταχέως ἐν ἑπτὰ ταῖς πάσαις ἡμέραις τέλος εἴληφε τὰ δοχθέντα τῷ βασιλεῖ. Τάλαντα δὲ ὑπὲρ ἑξήκοντα καὶ τετρακόσια τῶν λύτρων ἐγένετο· καὶ γὰρ ὑπὲρ τῶν νηπίων εἰσέπραττον οἱ δεσπόται τὰς εἴκοσι καὶ ἑκατὸν δραχμὰς, ὡς τοῦ βασιλέως καὶ ὑπὲρ τούτων διδόναι κελεύσαντος ἐν τῷ προσγράψαι ὑπὲρ ἑκάστου σώματος λαμβάνειν τὸ προειρημένον.

γ'. Ἐπειδὴ δὲ ταῦτ' ἐγένετο κατὰ τὴν τοῦ βασιλέως βούλησιν μεγαλοπρεπῶς, ἐκέλευσε τὸν Δημήτριον ἐκδοῦναι καὶ τὸ περὶ τῆς τῶν Ἰουδαϊκῶν βιβλίων ἀναγραφῆς δόγμα· οὐδὲν γὰρ εἰκῇ τοῖς βασιλεῦσι τούτοις ὠκονόμητο, πάντα δὲ μετὰ πολλῆς ἐπιμελείας ἐπράττετο. Διὸ καὶ τὸ τῆς ἐκδόσεως ἀντίγραφον καὶ τὸ τῶν ἐπιστολῶν κατατέτακται καὶ τὸ πλῆθος τῶν ἀπεσταλμένων ἀναθημάτων καὶ τὸ ἐφ' ἑκάστου κατασκευασθὲν, ὡς ἀκριβεστάτην εἶναι τοῦ τεχνίτου τοῖς ὁρῶσι μεγαλουργίαν, καὶ διὰ τὴν τῶν κατασκευασμάτων ἐξοχὴν τὸν ἑκάστου δημιουργὸν εἶναι εὐθέως γνώριμον. Τῆς μέντοι γε ἐκδόσεως τὸ ἀντίγραφον ὑπῆρχε τοιοῦτον.

« Βασιλεῖ μεγάλῳ παρὰ Δημητρίου. Προστάξαντός « σου, ὦ βασιλεῦ, περί τε τῶν ἔτι λειπόντων εἰς ἀνα« πλήρωσιν τῆς βιβλιοθήκης συγγραμμάτων, ὅπως « συναχθῇ, καὶ περὶ τῶν διαπεπτωκότων ὅπως τῆς « δεούσης ἐπιμελείας τύχῃ, πάσῃ κεχρημένος περὶ « ταῦτα σπουδῇ δηλῶ σοι τὰ τῆς Ἰουδαίων νομοθεσίας « βιβλία λείπειν ἡμῖν σὺν ἑτέροις. Χαρακτῆρσι γὰρ « Ἑβραϊκοῖς γεγραμμένα καὶ φωνῇ τῇ ἐθνικῇ ἐστιν « ἡμῖν ἀσαφῆ. Συμβέβηκε δ' αὐτὰ καὶ ἀμελέστερον « ἢ ἔδει σεσημάνθαι, διὰ τὸ βασιλικῆς οὔπω τετυχη« κέναι προνοίας. Ἔστι δὲ ἀναγκαῖον εἶναι καὶ ταῦτα « παρὰ σοὶ διηκριβωμένα· φιλοσοφωτέραν γὰρ καὶ « ἀκέραιον τὴν νομοθεσίαν εἶναι συμβέβηκεν ὡς ἂν οὖσαν « Θεοῦ. Διὸ καὶ τοὺς ποιητὰς αὐτῆς καὶ συγγραφεῖς « τῶν ἱστοριῶν οὐκ ἐπιμνησθῆναί φησιν Ἑκαταῖος ὁ « Ἀβδηρίτης, οὐδὲ τῶν κατ' αὐτὴν πολιτευσαμένων « ἀνδρῶν, ὡς ἀγνῆς οὔσης καὶ μὴ δέον αὐτὴν βεβήλοις « στόμασι διασαφεῖσθαι. Ἐὰν οὖν σοι δοκῇ, βασιλεῦ, « γράψεις τῷ τῶν Ἰουδαίων ἀρχιερεῖ ὅπως ἀποστείλῃ « τῶν πρεσβυτέρων ἐξ ἀφ' ἑκάστης φυλῆς τοὺς ἐμπει« ροτάτους τῶν νόμων, παρ' ὧν τὸ τῶν βιβλίων σαφὲς « καὶ σύμφωνον ἐκμαθόντες καὶ τὸ κατὰ τὴν ἑρμηνείαν « ἀκριβὲς λαβόντες τῶν πραγμάτων, ἀξίως ταῦτα τῆς σῆς « προαιρέσεως συναγάγωμεν. »

δ'. Τοιαύτης οὖν τῆς ἐκδόσεως γενομένης, ὁ βασιλεὺς ἐκέλευσεν Ἐλεαζάρῳ τῷ ἀρχιερεῖ τῶν Ἰουδαίων γραφῆναι περὶ τούτων, ἅμα καὶ τὴν ἄφεσιν τῶν δουλευόντων παρ' αὐτοῖς Ἰουδαίων δηλοῦντας αὐτῷ. Καὶ

alia quidem haberet, hoc vero desideraretur, quo cantum esset illis quoque, qui vel ante *adfuerint* vel postea sint adducti ex Judæa, ille etiam hoc benignum eis pro sua magnanimitate indulsit, jussitque solutionem, ut quæ multiplex et cumulata esset, inter rerum agendarum ministros partiri et regios nummularios. Hoc autem facto, regis jussa septem non amplius diebus peracta sunt, impensis in eam liberationem talentis plus quadringentis et sexaginta : nam etiam pro parvulis exigebant domini centenas vicenas drachmas, quasi rex eorum quoque nomine solvi jussisset, dum scripsisset accipiendum pro singulis capitibus quod dictum est.

3. Hæc ubi ex sententia regis magno cum decore acta erant, imperavit Demetrio ut quid ipse de Judæorum libris describendis sentiat sibi libello proponeret : nihil enim ab iis Regibus temere unquam administratum, sed omnia multa cum diligentia fieri consueverant. Unde mihi visum est libelli et epistolarum exemplaria ordine collocare, necnon missorum etiam donariorum numerum, cum proprio singulorum apparatu, ut exquisita opificis magnificentia ab omnibus spectetur, et ex operum præstantia eximia quis uniuscujusque artifex sit primo intuitu cognoscatur. Et libelli quidem exemplar ita se habet. « Regi magno Demetrius. Quod mihi dederas in mandatis, o rex, ut qui « ad bibliothecæ complementum deessent, ii per me libri « congererentur, et ut illis, qui interciderint, cura debita « adhiberetur, summa hac in re diligentia defunctus si« gnifico tibi libros legislationis Judæorum a nobis de« siderari cum aliis. Nam quum Hebraico charactere et « patria ipsorum lingua scripti sint, intelligi a nobis non « possunt. Contigit autem et ipsos negligentius quam opor« tebat notatos esse, quod nondum regia eis cura consu« luerit. Oportet ideo ut istos etiam ad amussim exactos « penes te habeas : nam ita comparata est ea legislatio ut « altioris cujusdam sapientiæ et sinceriss imæ integritatis « plena sit, utpote a Deo profecta. Quare nec poetæ, nec « qui historias conscripsere, ejus meminerunt, quemadmo« dum Hecatæus Abderita testatur, adeoque nec hominum « illorum, qui ex ejus præceptis vitam instituerunt, quod « casta esset et profano ore exponi non oporteret. Quam « ob rem, si ita tibi visum fuerit, o rex, scribes ad Ju« dæorum pontificem ut ad te mittat seniores sex ex singulis « tribubus, legum peritissimos, a quibus postquam libro« rum illorum apertum et consonum sensum intellexerimus, « et accuratam acceperimus rerum interpretationem, hæc « ut tuo desiderio dignum est colligamus. »

4. Hujusmodi itaque libello oblato, jussit rex ut de his scriberetur Eleazaro Judæorum pontifici, eique simul manumissio declararetur servientium in Ægypto Judæorum. Itemque ad faciendos crateras et phialas et

πρὸς παρασκευὴν δὲ κρατήρων καὶ φιαλῶν καὶ σπονδείων, ἔπεμψε χρυσοῦ μὲν ὀλκῆς τάλαντα πεντήκοντα, λίθων δὲ πολυτελῶν ἀσυλλόγιστόν τι πλῆθος· προσέταξε δὲ καὶ τοὺς φύλακας τῶν κιβωτῶν, ἐν αἷς ἐτύγχανον οἱ λίθοι, τὴν ἐκλογὴν τοῖς τεχνίταις αὐτῶν, οὗπερ ἂν ἐθελήσωσιν εἴδους, ἐπιτρέπειν. Διετάξατο δὲ καὶ νομίσματος εἰς θυσίας καὶ τὰς λοιπὰς χρείας πρὸς ἑκατὸν τάλαντα τῷ ἱερῷ δοθῆναι Διηγήσομαι δὲ τὰ κατασκευάσματα καὶ τὸν τρόπον τῆς δημιουργίας αὐτῶν μετὰ τὸ προεκθέσθαι τὸ ἀντίγραφον τῆς ἐπιστολῆς τῆς γραφείσης Ἐλεαζάρῳ τῷ ἀρχιερεῖ, ταύτην λαβόντι τὴν τιμὴν ἐξ αἰτίας τοιαύτης. Τελευτήσαντος Ὀνίου τοῦ ἀρχιερέως ὁ παῖς αὐτοῦ Σίμων γίνεται διάδοχος, ὁ καὶ δίκαιος ἐπικληθείς, διά τε τὸ πρὸς τὸν Θεὸν εὐσεβὲς καὶ τὸ πρὸς τοὺς ὁμοφύλους εὔνουν. Ἀποθανόντος δὲ τούτου καὶ νήπιον υἱὸν καταλιπόντος τὸν κληθέντα Ὀνίαν, ὁ ἀδελφὸς αὐτοῦ Ἐλεάζαρος, περὶ οὗ τὸν λόγον ποιούμεθα, τὴν ἀρχιερωσύνην παρέλαβεν· ᾧ γράφει Πτολεμαῖος τοῦτον τὸν τρόπον. « Βασιλεὺς Πτολε-
« μαῖος Ἐλεαζάρῳ τῷ ἀρχιερεῖ χαίρειν. Πολλῶν ἐν τῇ
« ἐμῇ βασιλείᾳ κατῳκισμένων Ἰουδαίων, οὓς αἰχμαλω-
« τισθέντας ὑπὸ Περσῶν, ὅτ' ἐκράτουν, ὁ ἐμὸς πατὴρ
« ἐτίμησε, καὶ τοὺς μὲν εἰς τὰ στρατιωτικὰ κατέταξεν
« ἐπὶ μείζοσι μισθοφορίαις, τισὶ δὲ γενομένοις ἐν Αἰ-
« γύπτῳ σὺν αὐτῷ τὰ φρούρια καὶ τὴν τούτων φυλακὴν
« παρέθετο, ἵνα τοῖς Αἰγυπτίοις ὦσι φοβεροί, τὴν ἀρ-
« χὴν ἐγὼ παραλαβὼν πᾶσι μὲν φιλανθρώπως ἐχρη-
« σάμην, μάλιστα δὲ τοῖς σοῖς πολίταις, ὧν ὑπὲρ δέκα
« μὲν μυριάδας αἰχμαλώτων δουλευόντων ἀπέλυσα,
« τοῖς δεσπόταις αὐτῶν ἐκ τῶν ἐμῶν λύτρα καταβαλών·
« τοὺς δὲ ἀκμάζοντας ταῖς ἡλικίαις εἰς τὸν στρατιωτι-
« κὸν κατάλογον κατέταξα, τινὰς δὲ τῶν περὶ ἡμᾶς
« εἶναι δυναμένων καὶ ἐπὶ τὴν τῆς αὐλῆς πίστιν ἱκανῶν,
« ταύτης ἠξίωκα, νομίζων ἡδὺ τῷ Θεῷ τῆς ὑπὲρ ἐμοῦ
« προνοίας ἀνάθημα τοῦτο καὶ μέγιστον ἀναθήσειν.
« Βουλόμενος δὲ καὶ τούτοις χαρίζεσθαι καὶ πᾶσι τοῖς
« κατὰ τὴν οἰκουμένην Ἰουδαίοις, τὸν νόμον ὑμῶν
« ἔγνων μεθερμηνεῦσαι καὶ γράμμασιν Ἑλληνικοῖς ἐκ
« τῶν Ἑβραϊκῶν μεταγραφέντα κεῖσθαι ἐν τῇ ἐμῇ
« βιβλιοθήκῃ. Καλῶς οὖν ποιήσεις ἐπιλεξάμενος ἄν-
« δρας ἀγαθοὺς ἓξ ἀφ' ἑκάστης φυλῆς ἤδη πρεσβυτέρους,
« οἳ καὶ διὰ τὸν χρόνον ἐμπείρως ἔχουσι τῶν νόμων
« καὶ δυνήσονται τὴν ἑρμηνείαν αὐτῶν ἀκριβῆ ποιή-
« σασθαι· νομίζω γὰρ τούτων ἐπιτελεσθέντων με-
« γίστην δόξαν ἡμῖν περιγενήσεσθαι. Ἀπέσταλκα δέ
« σοι περὶ τούτων διαλεξομένους Ἀνδρέαν τὸν ἀρχισω-
« ματοφύλακα καὶ Ἀρισταῖον, ἐμοὶ τιμιωτάτους· δι' ὧν
« καὶ ἀπαρχὰς ἀναθημάτων εἰς τὸ ἱερὸν καὶ θυσιῶν
« καὶ τῶν ἄλλων ἀπέσταλκα, τάλαντα ἀργυρίου ἑκα-
« τόν. Καὶ σὺ δ' ἡμῖν ἐπιστέλλων περὶ ὧν ἂν ἐθέλῃς
« ποιήσεις κεχαρισμένα. »

ε'. Τῆς οὖν ἐπιστολῆς τοῦ βασιλέως κομισθείσης πρὸς Ἐλεάζαρον ἀντιγράφει πρὸς αὐτὴν ὡς ἐνῆν μάλιστα φιλοτίμως. « Ἀρχιερεὺς Ἐλεάζαρος βασιλεῖ

calices misit auri quidem talenta quinquaginta, gemmarum vero inæstimabilem multitudinem, jussitque custodes capsarum, in quibus erant gemmæ, artificibus permittere electionem cujuscunque vellent generis. Mandavit etiam pecuniæ ad sacrificia et reliquos usus in templum usque ad centum talenta erogari. Exponam autem opera et quo modo singula fabricata fuerint, si prius exemplar adduxero scriptarum ad Eleazarum pontificem literarum, qui id munus adeptus erat ob causam quam jam dicam. Defuncto Oniæ pontifici filius ejus Simon successit is qui Justus cognominatus est, tum propter, pietatem in Deum tum propter benevolum in cives animum. Eo mortuo, et superstite ei filio Onia nomine, ejus frater Eleazarus, de quo loquimur, pontificatum suscepit; cui scripsit Ptolemæus in hunc modum. « Rex Ptolemæus Eleazaro pontifici salutem. Quum
« multi in regno meo habitarent Judæi, quos a Persis, dum
« imperium tenebant, captos meus pater honoravit, et
« partim ad militiam majoribus stipendiis destinavit, partim
« videlicet iis, qui cum eo venerant in Ægyptum, castella
« eorumque custodiam assignavit, ut essent Ægyptiis ter-
« rori, ego principatum adeptus, quum omnes humane
« tractavi, tum maxime cives tuos, quorum supra centum
« millia captivorum in libertatem vindicavi, soluto de meis
« facultatibus pretio dominis eorum: ex his vero quot-
« quot per ætatem arma ferre possent in militiam allegi,
« nonnullos etiam eorum qui circa nos erant, quorum et
« fides id mereri videbatur, in aulicos meos cooptavi, cogi-
« tans gratum Deo pro ejus de me cura donarium hoc et
« maximum a me oblatum iri. Atque ut tum his tum omni-
« bus toto orbe Judæis gratum faciam, statui legem ve-
« stram interpretatione donare et ex Hebræo in Græcum tra-
« ductam in mea bibliotheca reponere. Quare recte facies
« si delectos viros, ex unaquaque tribu sex, jam ætate
« provectos, ad me miseris, qui et per ætatem legum sint
« periti et eas accurate possint interpretari: sic enim
« existimo, his perfectis maxima nos gloria affectum iri.
« Misi autem colloquuturos hisce de rebus tecum Andream
« satellitum præfectum et Aristæum, homines magnæ apud
« nos existimationis; per quos etiam donariorum primitias
« ad templum et sacrificiorum reliquorumque misi, argenti
« talenta centum. Et tu, si nobis quæ voles scripseris,
« rem gratam feceris. »

5. Itaque his regis literis ad Eleazarum perlatis, illis respondit quam fieri potuit studiosissime. « Eleazarus pon-
« tifex Ptolemæo regi salutem. Si et tu vales reginaque

« Πτολεμαίῳ χαίρειν. Ἔρρωμένων σοῦ τε καὶ τῆς
βασιλίσσης Ἀρσινόης καὶ τῶν τέκνων καλῶς ἡμῖν
« ἔχει πάντα. Τὴν δ' ἐπιστολὴν λαβόντες μεγάλως
« ἤσθημεν ἐπὶ τῇ προαιρέσει σου, καὶ συναθροίσαντες
« τὸ πλῆθος ἀνέγνωμεν αὐτὴν, ἐμφανίζοντες αὐτῷ ἣν
« ἔχεις πρὸς τὸν Θεὸν εὐσέβειαν. Ἐπεδείξαμεν δ'
« αὐτῷ καὶ τὰς φιάλας ἃς ἔπεμψας χρυσᾶς εἴκοσι καὶ
« ἀργυρᾶς τριάκοντα καὶ κρατῆρας πέντε καὶ τράπεζαν
« εἰς ἀνάθεσιν, ἅ τε εἰς θυσίαν καὶ εἰς ἐπισκευὴν ὧν
« ἂν δέηται τὸ ἱερὸν, τάλαντα ἑκατὸν, ἅπερ ἐκόμισαν
« Ἀνδρέας καὶ Ἀριστᾶιος οἱ τιμιώτατοί σου τῶν φίλων,
« ἄνδρες ἀγαθοὶ καὶ παιδείᾳ διαφέροντες καὶ τῆς σῆς
« ἀρετῆς ἄξιοι. Ἴσθι δ' ἡμᾶς τὸ σοὶ συμφέρον, κἂν ᾖ
« τι παρὰ φύσιν, ὑπομενοῦντας· ἀμείβεσθαι γὰρ
« ἡμᾶς δεῖ τὰς σὰς εὐεργεσίας, πολυμερῶς εἰς τοὺς
« ἡμετέρους πολίτας κατατεθείσας. Εὐθὺς οὖν ὑπὲρ
« σοῦ καὶ τῆς ἀδελφῆς σου καὶ τῶν τέκνων καὶ φίλων
« προσηγάγομεν θυσίας, καὶ τὸ πλῆθος εὐχὰς ἐποιή-
« σατο γενέσθαι σοι τὰ κατὰ νοῦν καὶ φυλαχθῆναί σου
« τὴν βασιλείαν ἐν εἰρήνῃ, τήν τε τοῦ νόμου μεταγρα-
« φὴν ἐπὶ συμφέροντι τῷ σῷ λαβεῖν ὅ προαιρῇ τέλος.
« Ἐπελεξάμην δὲ καὶ πρεσβυτέρους ἄνδρας ἓξ ἀπὸ
« φυλῆς ἑκάστης, οὓς πεπόμφαμεν ἔχοντας τὸν νόμον.
« Ἔσται δὲ τῆς σῆς εὐσεβείας καὶ δικαιοσύνης τὸ με-
« ταγραφέντα τὸν νόμον εἰς ἡμᾶς ἀποπέμψαι μετὰ
« ἀσφαλείας τῶν κομιζόντων. Ἔρρωσο. »

ς'. Ταῦτα μὲν ὁ ἀρχιερεὺς ἀντέγραψεν. Ἐμοὶ δ' οὐκ ἀναγκαῖον ἔδοξεν εἶναι τὰ ὀνόματα τῶν ἑβδομήκοντα πρεσβυτέρων, οἳ τὸν νόμον ἐκόμιζον ὑπὸ Ἐλεαζάρου πεμφθέντες, δηλοῦν· ἦν γὰρ ταῦτα ὑπογεγραμμένα ἐν τῇ ἐπιστολῇ· τὴν μέντοι γε τῶν ἀναθημάτων πολυτέλειαν καὶ κατασκευὴν, ἣν ἀπέστειλεν ὁ βασιλεὺς τῷ Θεῷ, οὐκ ἀνεπιτήδειον ἡγησάμην διελθεῖν, ὅπως ἅπασιν ἡ τοῦ βασιλέως ἐπὶ τὸν Θεὸν φιλοτιμία φανερὰ γένηται. Ἄφθονον γὰρ τὴν εἰς ταῦτα δαπάνην χορηγῶν ὁ βασιλεὺς καὶ παρὼν ἀεὶ τοῖς τεχνίταις καὶ τὰ ἔργα ἐπιβλέπων οὐδὲν ἀμελῶς οὐδὲ ῥᾳθύμως εἶα γίνεσθαι τῶν κατασκευασμάτων. Ὧν ἑκάστου, ὡς οἷόν τε, τὴν πολυτέλειαν διηγήσομαι, τῆς μὲν ἱστορίας ἴσως οὐκ ἀπαιτούσης τὴν ἀπαγγελίαν, τὸ δὲ τοῦ βασιλέως φιλόκαλον καὶ μεγαλόφρον οὕτω συστήσειν τοῖς ἐντευξομένοις ὑπολαμβάνων.

ζ'. Πρῶτον δὲ τὰ περὶ τῆς τραπέζης ἐκθήσομαι. Εἶχε μὲν οὖν δι' ἐννοίας ὁ βασιλεὺς ὑπερμεγεθέστατον τοῖς μέτροις ἀπεργάσασθαι τὸ κατασκεύασμα. Προσέταξε δὲ μαθεῖν τὸ μέγεθος τῆς ἀνακειμένης ἐν τοῖς Ἱεροσολύμοις τραπέζης, πόσον τέ ἐστι καὶ εἰ δύναται μεῖζον τούτου κατασκευασθῆναι. Μαθὼν δὲ καὶ τὴν οὖσαν ἡλίκη τις ἦν καὶ ὅτι αὐτῆς οὐδὲν κωλύει μείζονα γενέσθαι, φήσας καὶ πενταπλασίονα τῆς ὑπαρχούσης τῷ μεγέθει βούλεσθαι κατασκευάσαι, φοβεῖσθαι δὲ μὴ πρὸς τὰς λειτουργίας ἄχρηστος διὰ τὴν ὑπερβολὴν τοῦ μεγέθους γένηται, (βούλεσθαι γὰρ οὐκ ἀνακεῖσθαι μόνον εἰς θέαν τὰ ἀναθήματα, ἀλλὰ καὶ πρὸς τὰς λειτουργίας

« Arsinoe et liberi, nobis omnia bene se habent. Acceptis
« literis tuis magnam ex tua voluntate lætitiam cepimus,
« convocataque multitudine illas recitavimus, palam eis
« facientes tuam erga Deum pietatem. Phialas etiam abs
« te missas protulimus, aureas viginti ac triginta argenteas,
« crateras item quinque, et mensam consecratis muneribus
« excipiendis addictam, ut et sacrificiis faciendis ac ceteris
« omnibus, quibus opus templo fuerit, comparandis, cen-
« tum talenta, quæ Andreas et Aristæus ex amicis tuis ho-
« noratissimi, viri honesti bonique ac doctrina præstantes,
« tuaque virtute digni, attulerunt. Scire autem te veli-
« mus nos tibi in commodum tuum gratificaturos, etiamsi
« quid præter ingenium nostrum facere oporteat : nam
« tuis beneficiis in cives nostros multifariam collatis paria
« referre debemus. Quare hostias confestim et tua et so-
« roris et liberorum amicorumque causa immolavimus, et
« votis Deo nuncupatis ab eo populus flagitavit ut omnia
« tibi ex animo cedant, regnumque tuum in pacis tranquilli-
« tate conservetur, tibique bene vortat legis interpretatio,
« et felicem quem optas sortiatur exitum. Delegi etiam se-
« niores ex unaquaque tribu sex, quos ad te una cum lege
« misimus. Tuæ autem erit pietatis ac justitiæ curare ut
« lex, absoluta ejus interpretatione, ad nos remittatur, sal-
« vis etiam istis qui eam ad te apportarunt. Vale. »

6. Hæc quidem pontifex rescripsit. Mihi vero haud necessarium visum est nomina septuaginta seniorum indicare, qui cum lege ab Eleazaro missi sunt, (illa enim subscripta erant epistolæ;) donariorum tamen, quæ rex Deo misit, magnificentiam et opificium narrando percensere, non supervacaneum esse duxi, ut singulare regis erga Deum studium omnibus innotescat. Etenim quum sumptus ad ista rex large suppeditaret, et opificibus præsens adesset atque opera inspiceret, nihil eorum quæ facta sunt oscitanter et negligenter fabricari sinebat. Quorum uniuscujusque, quoad ejus fieri potest, magnificentiam persequar, cujus modi narrationem historia forsan non postulat, sed quod elegantiæ amorem in rege animique magnitudinem lectoribus inde commendatum iri existimem.

7. Primo autem quæ ad mensam spectant exponere aggrediar. Et regi quidem in animo erat opus immensæ molis elaborare. Jussit autem ut mensæ quæ tum Hierosolymis erat magnitudinem explorarent, et quanta esset et an major ea confici posset. Quumque intellexisset qualis ea esset, quodque nihil prohiberet quin ea etiam major fieri posset, dixissetque se quintuplo ea majorem velle facere, sed vereri ne propter nimiam ejus molem ad ministeria fiat inutilis, (cupere enim se ut donaria, quæ ipse consecraret, non in spectaculum solum essent, sed ad sacrorum etiam

εὔχρηστα,) καὶ διὰ τοῦτο λογισάμενος σύμμετρον κατεσκευάσθαι τὴν προτέραν τράπεζαν, ἀλλ' οὐ διὰ σπάνιν τοῦ χρυσοῦ, τῷ μεγέθει μὲν οὐκ ἔγνω τὴν προϋπάρχουσαν ὑπερβαλεῖν, τῇ δὲ ποικιλίᾳ καὶ τῷ κάλλει τῆς ὕλης ἀξιολογωτέραν κατασκευάσαι. Δεινὸς δὲ ὢν συνιδεῖν πραγμάτων παντοδαπῶν φύσιν καὶ λαβεῖν ἐπίνοιαν ἔργων καινῶν καὶ παραδόξων, καὶ ὅσα ἦν ἄγραφα τὴν εὕρεσιν αὐτὸς παρέχων διὰ τὴν σύνεσιν καὶ ὑποδεικνὺς τοῖς τεχνίταις, ἐκέλευσε ταῦτα κατασκευάζεσθαι, καὶ τὰ ἀναγεγραμμένα πρὸς τὴν ἀκρίβειαν αὐτῶν ἀποβλέποντας ὁμοίως ἐπιτελεῖν.

η'. Ὑποστησάμενοι τοίνυν ποιήσασθαι τὴν τραπεζαν δύο μὲν καὶ ἡμίσους πηχῶν τὸ μῆκος, ἑνὸς δὲ τὸ εὖρος, τὸ δ' ὕψος ἑνὸς καὶ ἡμίσους, ἐκ χρυσοῦ τὴν ὅλην κατασκευὴν τοῦ ἔργου ποιούμενοι, τὴν μὲν στεφάνην παλαιστιαίαν εἰργάσαντο, τὰ δὲ κυμάτια στρεπτά, τὴν ἀναγλυφὴν ἔχοντα σχοινοειδῆ, τῇ τορείᾳ θαυμαστῶς ἐκ τῶν τριῶν μερῶν μεμιμημένην. Τριγώνων γὰρ ὄντων αὐτῶν ἑκάστη γωνία τὴν αὐτὴν τῆς ἐκτυπώσεως εἶχε διάθεσιν, ὡς στρεφομένων αὐτῶν μίαν καὶ μὴ διάφορον τὴν ἰδέαν αὐτοῖς συμπεριφέρεσθαι. Τῆς δὲ στεφάνης τὸ μὲν ὑπὸ τὴν τράπεζαν ἐγκεκλεισμένον ὡραίαν εἶχε τὴν διατύπωσιν, τὸ δ' ἔξωθεν περιηγμένον ἔτι μᾶλλον τῷ κάλλει τῆς ἐργασίας ἦν ἐκπεπονημένον, ὡς ὑπ' ὄψιν καὶ θεωρίαν ἐρχόμενον. Διὸ καὶ τὴν μὲν ὑπεροχὴν ἀμφοτέρων τῶν μερῶν ὀξεῖαν συνέβαινε γίνεσθαι καὶ μηδεμίαν γωνίαν, τριῶν οὐσῶν ὡς προειρήκαμεν, περὶ τὴν μεταγωγὴν τῆς τραπέζης ἐλάττονα βλέπεσθαι. Ἐνδιέκειντο δὲ ταῖς σχοινίσι τῆς τορείας λίθοι πολυτελεῖς παράλληλοι, περόναις χρυσαῖς διὰ τρημάτων κατειλημμένοι. Τὰ δ' ἐκ πλαγίου τῆς στεφάνης καὶ ὑπ' ὄψιν ἀνατείνοντα ᾠῶν ἐκ λίθου καλλίστου πεποιημένων θέσει κατακεκόσμηται, ῥάβδοις τὴν ἀναγλυφὴν ἐοικότων πυκναῖς, αἳ περὶ τὸν κύκλον τῆς τραπέζης εἵληντο. Ὑπὸ δὲ τὴν τῶν ᾠῶν διατύπωσιν στέφανον περιήγαγον οἱ τεχνῖται, παντοίου καρποῦ φύσιν ἐντετορευμένον, ὡς ἀποκρέμασθαί τε βότρυς καὶ στάχυς ἀναστῆναι καὶ ῥοιὰς ἀποκεκλεῖσθαι. Τοὺς δὲ λίθους εἰς πᾶν γένος τῶν προειρημένων καρπῶν, ὡς ἑκάστῳ τὴν οἰκείαν τετυπῶσθαι χρόαν, ἐξεργασάμενοι συνέδησαν τῷ χρυσῷ περὶ ὅλην τὴν τράπεζαν. Ὑπὸ δὲ τὸν στέφανον ὁμοίως ἡ τῶν ᾠῶν διάθεσις πεποίητο καὶ ἡ τῆς ῥαβδώσεως ἀναγλυφή, τῆς τραπέζης ὡς ἐπαμφότερον μέρος ἔχειν τὴν αὐτὴν τῆς ποικιλίας τῶν ἔργων καὶ γλαφυρότητος θέαν κατεσκευασμένην, ὡς καὶ τὴν τῶν κυμάτων θέσιν καὶ τὴν τῆς στεφάνης, μηδὲ τῆς τραπέζης ἐφ' ἕτερον μέρος ἐναλλαττομένης γίνεσθαι διάφορον, τὴν δ' αὐτὴν ἄχρι καὶ τῶν ποδῶν ὄψιν τῆς ἐπιτεχνήσεως διατετάσθαι. Ἔλασμα γὰρ χρυσοῦ τὸ πλάτος τεσσάρων δακτύλων ποιήσαντες καθ' ὅλου τοῦ τῆς τραπέζης πλάτους, εἰς τοῦτο τοὺς πόδας αὐτῆς ἀνέθεσαν, ἔπειτα περόναις καὶ καταχλεισὶν αὐτοὺς ἐνέπηγγον τῇ τραπέζῃ κατὰ τὴν στεφάνην, ἵνα τὴν θέαν τῆς καινουργίας καὶ πολυτελείας, ἐφ' ᾧ τις ἂν

usum accommodata,) et ob hoc arbitratus esset priorem mensam, non ob auri inopiam, modica exstitisse amplitudine, constituit eam, quæ ante posita erat, dimensionibus quidem non excedere, varietate vero et elegantiæ materiæ aliam longe præstantiorem efficere. Quumque ingenio esset ad rerum omnium naturas perspiciendas acuto, promptoque in operibus novis et mirabilibus excogitandis, ipse tum ista quæ nondum descripta essent, inventione sua sollerter adhibita ostensaque opificibus, fabricari jussit, tum quæ jam descripta exstarent ad expressas rerum formas respiciendo identidem perfici.

8. Itaque quum illud in se recepissent, ut mensam exstruerent in longitudinem quidem duorum cubitorum et semis, atque in latitudinem unius, altitudine vero sesquicubitali, toto opere ex auro fabrefacto, loricam quidem *mensæ* quadrantilem confecerunt, cymatia autem tortilia, quibus inerat cælatura restis æmula trinis partibus tornata mirabiliter. Illa vero quum essent triangularia, unusquisque angulus eandem formarum dispositionem habebat, adeo ut situ mutato una eademque species ante oculos versaretur. Loricæ quidem pars inferior mensam versus pulcre conformata erat, exterior vero majori adhuc opificii elegantia splendescebat, ut quæ omnium in oculos incurreret et in conspectum veniret. Unde fiebat ut ambarum partium projecturæ acutæ eminerent, nullusque angulus, quum tres fuerint, ut ante diximus, dum mensa transfertur, *justo* minor videretur. Resticulis autem tornatis ordine alterno insertæ erant gemmæ fibulis aureis per foramina comprehensæ. At circa latera loricæ, ad aspectum eminentia, per obliquum erat ovorum facies, ex lapidibus pretiosis ornatus gratia confecta, in circuitu per totam mensam intercurrente densa virgularum sculptura. Subter hanc ovalem speciem circumducta erat corona, omne genus fructuum, prout eorum fert natura, repræsentans, adeo ut racemi pendere, spicæ surgere, malogranata occludi viderentur. Lapides etiam secundum genus unumquodque prædictorum fructuum, colorem eorum nativum referentes, elaborarunt, et auro vinctos mensæ circumdederunt. Sub hac corona rursum alia series ovorum priori similis facta est, eademque virgularum sculptura, ut in mensa ex utraque parte spectaretur eadem operum varietas et elegantia: ita ut nulla in lorica et cymarum ordine, ne mensa quidem in utramvis partem versa, cerneretur diversitas, sed idem artificium ad imos usque pedes pertenderet. Nam quum lamina aurea, quattuor digitos lata, mensæ, qua patebat ejus latitudo, adjuncta esset, in eam pedes ejus inseruerunt, deinde fibulis et clausuris eos mensæ adstrinxerunt juxta loricam; atque ita ut eandem novitatis artificii et magnificentiæ, quacunque mensa verteretur, speciem

στήσῃ τὴν τράπεζαν μέρει, παρέχωσι τὴν αὐτήν. Ἐπὶ δὲ τῆς τραπέζης μαίανδρον ἐξέγλυψαν, λίθους αὐτῷ κατὰ μέσον ἀξιολόγους, ὥσπερ ἀστέρας, ποικίλης ἰδέας ἐνθέντες, τόν τε ἄνθρακα καὶ τὸν σμάραγδον, ἥδιστον προσαυγάζοντας αὐτῶν ἑκάτερον τοῖς ὁρῶσι, τῶν τε ἄλλων γενῶν ὅσοι περισπούδαστοι καὶ ζηλωτοὶ πᾶσι διὰ τὴν πολυτέλειαν τῆς φύσεως ὑπάρχουσι. Μετὰ δὲ τὸν μαίανδρον πλέγμα τι σχοινοειδὲς περιῆκτο, ῥόμβῳ τὴν κατὰ μέσον ὄψιν ἐμφερές, ἐφ' οὗ κρύσταλλός τε λίθος καὶ ἤλεκτρον ἐντετύπωτο, τῇ παραλλήλῳ τῆς ἰδέας γειτνιάσει ψυχαγωγίαν θαυμαστὴν παρέχον τοῖς βλέπουσι. Τῶν δὲ ποδῶν ἦσαν αἱ κεφαλίδες εἰς κρίνα μεμιμημέναι τὰς ἐκφύσεις τῶν πετάλων ὑπὸ τὴν τράπεζαν ἀνακλωμένων, εἰς ὀρθὸν δὲ τὴν βλάστησιν ἔνδοθεν παρεχόντων ὁρᾶν. Ἡ δὲ βάσις αὐτοῖς ἦν ἐξ ἄνθρακος λίθου παλαιστιαία πεποιημένη, σχῆμα κρηπῖδος ἀποτελοῦσα, τὸ δὲ πλάτος ὀκτὼ δακτύλων ἔχουσα, καθ' οὗ τὸ πᾶν ἔλασμα τῶν ποδῶν ἐρήρειστο. Ἀνέγλυψαν δὲ λεπτομερεῖ καὶ φιλοπόνῳ τῇ τορείᾳ τῶν ποδῶν ἕκαστον, κισσὸν αὐτοῖς καὶ κλήματα ἀμπέλων σὺν βότρυσιν ἐκφύσαντες, ὡς εἰκάσαι μηδὲν ἀποδεῖν τῆς ἀληθείας· καὶ γὰρ πρὸς τὸ πνεῦμα, διὰ λεπτότητα καὶ τὴν ἐπ' ἄκρον αὐτῶν ἔκτασιν, κινούμενα φαντασίαν τῶν κατὰ φύσιν μᾶλλον ἢ τέχνης μιμημάτων παρεῖχεν. Ἐκαινούργησαν δὲ ὥστε τρίπτυχον οἱονεὶ τὸ σχῆμα τῆς ὅλης κατασκευάσαι τραπέζης, τῆς ἁρμονίας πρὸς ἄλληλα τῶν μερῶν οὕτω συνδεδεμένης ὡς ἀόρατον εἶναι καὶ μηδ' ἐπινοεῖσθαι τὰς συμβολάς. Ἥμισυ δὲ πήχεως οὐκ ἔλαττον τῇ τραπέζῃ τὸ πάχος συνέβαινεν εἶναι. Τὸ μὲν οὖν ἀνάθημα τοῦτο κατὰ πολλὴν τοῦ βασιλέως φιλοτιμίαν τοιοῦτο τῇ τε πολυτελείᾳ τῆς ὕλης καὶ τῇ ποικιλίᾳ τῆς καλλονῆς καὶ τῇ μιμήσει τῇ κατὰ τὴν τορείαν τῶν τεχνιτῶν συνετελέσθη, σπουδάσαντος εἰ καὶ μὴ τῷ μεγέθει τῆς προανακειμένης τῷ Θεῷ τραπέζης ἔμελλεν ἔσεσθαι διάφορος, τῇ μέντοι γε τέχνῃ καὶ τῇ καινουργίᾳ καὶ τῇ λαμπρότητι τῆς κατασκευῆς πολὺ κρείττονα καὶ περίβλεπτον ἀπεργάσασθαι.

θ'. Τῶν δὲ κρατήρων χρύσεοι μὲν ἦσαν δύο· φολιδωτὴν δὲ εἶχον ἀπὸ τῆς βάσεως μέχρι τοῦ διαζώσματος τὴν τορείαν, λίθων ταῖς σπείραις ποικίλων ἐνδεδεμένων. Εἶτα ἐπ' αὐτῇ μαίανδρος πηχυαῖος τὸ ὕψος ἐξείργαστο κατὰ σύνθεσιν λίθων παντοίων τὴν ἰδέαν. Κατ' αὐτοῦ δὲ ῥάβδωσις ἀνεγέγλυπτο· καθ' ἧς πλέγμα ῥομβωτὸν δικτύοις ἐμφερὲς ἕως τοῦ χείλους ἀνείλκυστο. Τὰ δὲ μέσα λίθων ἀσπίδια τετραδακτύλων ἀνεπλήρου τὸ κάλλος. Περιεστέφετο δὲ τὰ χείλη τοῦ κρατῆρος κρίνων σμίλαξι καὶ ἀνθεμίσι καὶ βοτρύων σχοινίαις εἰς κύκλον περιηγμέναις. Τοὺς μὲν οὖν χρυσέους κρατῆρας, δύο χωροῦντας ἑκάτερον ἀμφορέας, τοῦτον κατεσκεύασαν τὸν τρόπον· οἱ δ' ἀργύρεοι τῶν ἐσόπτρων τὴν λαμπρότητα πολὺ διαυγέστεροι γεγόνεισαν, ὡς τρανοτέρας διὰ τούτων τὰς τῶν προσφερομένων ὄψεις ὁρᾶσθαι. Προσκατεσκεύασε δὲ τούτοις ὁ βασιλεὺς καὶ φιάλας τριάκοντα, ὧν ὅσα χρυσὸς ἦν, ἀλλὰ μὴ λίθῳ πολυτελεῖ exhiberent. Supra ipsam autem mensam sculpserunt mæandrum, qui lapides pretiosos, stellularum ad instar, varii coloris in medio haberet, carbunculum et smaragdum, ambos spectantium oculos grato fulgore irradiantes, aliosque diversi generis, quotquot, ex naturæ suæ præstantia, summa cupiditate ab omnibus expetuntur. Juxta mæandrum resticulata quædam textura circumquaque discurrebat, relicta in medio specie quæ rhombo admodum similis, cui impressum erat crystallum et electrum, quod, alterna formæ vicinitate, miram intuentibus delectationem afferebat. Pedum autem capitella cauliculis lilia imitabantur, foliis sub mensam resupinis, ita ut stamina crocea intus inclusa erecta ostenderent. Basis autem pedibus facta erat e carbunculo, palmum lata, crepidinis speciem efficiens, octo vero digitorum latitudinem habens, qua tota pedum lamina ei innitebatur. Singuli etiam pedes ornati erant toreumate tenuissimo et operosissimo, constante ex hedera et palmitibus et racemis, ut nihil a veris discrepare putarentur : nam quum vento, propter subtilitatem et summitatis suæ extensionem, facile moverentur, naturæ potius quam artis speciem præ se ferebant. Verum etiam opus ita designarunt ut totius mensæ figuram veluti triplicatam effecerint, tam apta partium compage ut neque cerni neque animadverti posset qua juncturæ coirent. Fiebat autem ut crassitudo mensæ non minor esset dimidio cubitus. Atque hoc quidem donarium ex regis munificentia ita se habebat, et ingenti materiæ pretio, et decoris varietate, et imitatione *naturæ* arte toreutice expressa, illo auctore et agente, ut si non magnitudine hæc mensam Deo prius appositam superatura esset, certe ipsa et opificii novitate et ornamentorum splendore longe præstantior et aspectu pulcrior redderetur.

9. Crateres autem duo quidem aurei erant, squamas habentes torno exsculptas ab imo usque ad præcincturam, variis lapidibus spiris insertis. Hanc sculpturam excipiebat mæander cubitali altitudine, ex lapidibus variarum formarum artificiose admodum compositus. Secundum hunc erat virgata sculptura, ac deinde usque ad labrum rhomborum ad similitudinem retis plicatura. Scuta vero in medio, ex lapidibus magnitudine quattuor digitorum, fecerunt ut nihil ad summum decus et splendorem deesset. Crateris autem labia cincta erant liliorum foliis et anthemidibus et vitium capreolis in orbem circumductis. Et aureos quidem crateras, duas utrumque amphoras capientes, ad hunc modum fabricarunt : argentei vero quævis specula splendore vincebant, ut quis ad eos accedens multo expressius in iis corporis sui faciem contemplaretur. Insuper rex phialas quoque triginta conficiendas curavit, quæ eatenus qua aureæ erant et lapidibus pretiosis non occupatæ,

διείληπτο, σμίλαξι κισσοῦ καὶ πετάλοις ἀμπέλων ἐσκίαστο φιλοτέχνως ἐντετορευμένων. Ταῦτα δ' ἐγίνετο μὲν καὶ διὰ τὴν ἐμπειρίαν τῶν ἐργαζομένων, θαυμασίων ὄντων περὶ τὴν τέχνην, πολὺ δὲ μᾶλλον ὑπὸ τῆς τοῦ βασιλέως σπουδῆς καὶ φιλοτιμίας διαφερόντως ἀπηρτίζετο. Οὐ γὰρ τῆς χορηγίας τὸ ἄφθονον καὶ μεγαλόψυχον τοῖς τεχνίταις παρεῖχε μόνον, ἀλλὰ καὶ τὸ χρηματίζειν τοῖς δημοσίοις πράγμασιν ἀπειρηκὼς, αὐτὸς τοῖς κατασκευάζουσι παρῆν καὶ τὴν ὅλην ἐργασίαν ἐπέβλεπεν. Αἴτιον δ' ἦν τοῦτο τῆς τῶν τεχνιτῶν ἐπιμελείας, οἳ πρὸς τὸν βασιλέα καὶ τὴν τούτου σπουδὴν ἀποβλέποντες φιλοπονώτερον τοῖς ἔργοις προσελιπάρουν.

ι'. Ταῦτα μὲν τὰ πεμφθέντα εἰς Ἱεροσόλυμα ὑπὸ Πτολεμαίου ἀναθήματα· ὁ δὲ ἀρχιερεὺς Ἐλεάζαρος ἀναθεὶς αὐτὰ καὶ τιμήσας τοὺς κομίσαντας, καὶ δῶρα δοὺς τῷ βασιλεῖ κομίζειν, ἀπέλυσε πρὸς τὸν βασιλέα. Παραγενομένων δὲ εἰς τὴν Ἀλεξάνδρειαν, ἀκούσας Πτολεμαῖος τὴν παρουσίαν αὐτῶν καὶ τοὺς ἑβδομήκοντα τῶν πρεσβυτέρων ἐληλυθότας, εὐθὺς μεταπέμπεται τὸν Ἀνδρέαν καὶ τὸν Ἀρισταῖον τοὺς πρέσβεις. Οἱ δὲ ἀφικόμενοι τάς τε ἐπιστολὰς, ἃς ἐκόμιζον αὐτῷ παρὰ τοῦ ἀρχιερέως, ἀπέδοσαν καὶ ὅσα φράζειν ἀπὸ λόγων ἐπύθετο, ταῦτα ἐδήλωσαν. Σπεύδων δ' ἐντυχεῖν τοῖς ἀπὸ τῶν Ἱεροσολύμων ἥκουσι πρεσβυτέροις ἐπὶ τὴν ἑρμηνείαν τῶν νόμων, τοὺς μὲν ἄλλους, οὓς χρειῶν ἕνεκα παρεῖναι συνέβαινεν, ἐκέλευσεν ἀπολῦσαι, παρέδοξον τοῦτο ποιῶν καὶ παρὰ τὸ ἔθος. Οἱ μὲν γὰρ ὑπὸ τοιούτων αἰτιῶν ἀχθέντες διὰ πέμπτης ἡμέρας αὐτῷ προσῆσαν, οἱ δὲ πρεσβεύοντες διὰ μηνός. Τότε τοίνυν ἀπολύσας ἐκείνους τοὺς πεμφθέντας ὑπὸ Ἐλεαζάρου περιέμενεν. Ὡς δὲ παρῆλθον μετὰ καὶ τῶν δώρων οἱ γέροντες, ἃ τῷ βασιλεῖ κομίσαι ὁ ἀρχιερεὺς αὐτοῖς ἔδωκε, καὶ τῶν διφθερῶν, αἷς ἐγγεγραμμένους εἶχον τοὺς νόμους χρυσοῖς γράμμασιν, ἐπηρώτησεν αὐτοὺς περὶ τῶν βιβλίων. Ὡς δ' ἀποκαλύψαντες τῶν ἐνειλημάτων ἐπέδειξαν αὐτῷ, θαυμάσας ὁ βασιλεὺς τῆς ἰσχνότητος τοὺς ὑμένας καὶ τῆς συμβολῆς τὸ ἀνεπίγνωστον (οὕτω γὰρ ἥρμοστο) καὶ τοῦτο ποιήσας χρόνῳ πλείονι, χάριν εἶπεν ἔχειν αὐτοῖς τε ἐλθοῦσι καὶ μείζονα τῷ πέμψαντι, πρὸ δὲ πάντων τῷ Θεῷ, οὗ τοὺς νόμους εἶναι συμβέβηκεν. Ἐκβοησάντων δ' ὑφ' ἓν τῶν πρεσβυτέρων καὶ τῶν συμπαρόντων γίνεσθαι τὰ ἀγαθὰ τῷ βασιλεῖ, δι' ὑπερβολὴν ἡδονῆς εἰς δάκρυα προῦπεσε, φύσει τῆς μεγάλης χαρᾶς πασχούσης καὶ τὰ τῶν λυπηρῶν σύμβολα. Κελεύσας δὲ τὰ βιβλία δοῦναι τοῖς ἐπὶ τῆς τάξεως, τότε τοὺς ἄνδρας ἠσπάσατο, δίκαιον εἰπὼν εἶναι πρῶτον περὶ ὧν αὐτοὺς μετεπέμψατο ποιησάμενον τοὺς λόγους, ἔπειτα κἀκείνους προσειπεῖν· τὴν μέντοι γε ἡμέραν, καθ' ἣν ἦλθον πρὸς αὐτὸν, ἐπιφανῆ ποιήσειν καὶ κατὰ πᾶν ἔτος ἐπίσημον εἰς ὅλον τὸν τῆς ζωῆς χρόνον ἐπηγγέλλετο. Ἔτυχε γὰρ ἡ αὐτὴ εἶναι τῆς παρουσίας αὐτῶν καὶ τῆς νίκης, ἣν Ἀντίγονον ναυμαχῶν ἐνίκησε. Συνεστιαθῆναί τε αὐ-

hederæ frondibus et pampinis sculptilibus sollerter adumbratæ fuerunt. Atque hoc quidem opificium acceptum ferebatur non solum operariorum ingeniis, qui mirandum in modum arte sua excellebant, sed et multo magis regis studio et munificentiæ, quæ in causa erant ut summam perfectionem acciperent. Etenim non solum sumptus artificibus, large et magnifice suppeditabat, verum etiam, omissa publicorum negotiorum administratione, ipse operi faciundo præsens aderat, totumque opus inspiciebat. Quo fiebat ut artifices acrem diligentiam adhiberent, qui ad regem ejusque hac in re studium spectantes strenue magis et naviter operibus incubuerunt.

10. Ista quidem donaria a Ptolemæo Hierosolyma missa *erant*. Atque pontifex Eleazarus, quum ea in templo collocasset, eosque honorasset qui ea attulerant, atque dona regi ferenda *illis* dedisset, ad regem *eos* remisit. At postquam Alexandriam pervenerunt, Ptolemæus, intellecto eorum adventu, et septuaginta seniorum venisse, protinus legatos Andream et Aristæum curat accersendos. Qui ubi ad eum accesserunt, literas ei, quas a pontifice afferebant, tradiderunt, et omnia, quibus eos verbis interrogavit, declararunt. Ille vero cupiens seniores alloqui, Hierosolymis ob legum interpretationem venientes, reliquos, qui ob negotia forte aderant, dimitti jussit, id quod inusitate et contra ejus consuetudinem factum est. Qui enim ob hujusmodi causam adducebantur, quinto demum die eum conveniebant, legati vero post unum mensem. Tunc igitur, dimissis illis, missos ab Eleazaro exspectavit. Atque ubi seniores illi advenerunt, dona secum sibi a pontifice ad regem tradita, et membranas, in quibus scriptas aureis literis leges habebant, ferentes, interrogavit eos de iis libris. Quumque detractis tegumentis ei ostendissent, rex, membranarum tenuitatem diutius admiratus, et indiscretas earum commissuras, (ita enim *libri* apti erant et connexi,) gratias se illis habere dicebat qui venissent, et majores ei qui misisset, longe vero maximas Deo, cujus leges ut essent contigit. Quumque seniores et qui una aderant regi uno clamore fausta omnia comprecati essent, præ nimio gaudio lacrimas emisit. Ita *enim* a natura comparatum est ut idem summæ lætitiæ quod doloris signum esset. Dein quum jussisset libros iis tradi, quorum id munus erat, tunc homines complexus est, dixitque æquum esse ut prius iis de rebus verba faceret, propter quas eos accersivisset, ac deinde illos compellaret: cæterum diem quoque eorum adventus promisit sese insignem facturum, eundemque singulis annis, quam diu ipse viveret, solenniter celebraturum. Nam fors ita tulit ut idem dies esset eorum adventus et victoriæ quam ipse de Antigono prælio navali

τῷ αὐτοὺς ἐκέλευσε καὶ καταλύσεις αὐτοῖς προσέταξε δοθῆναι τὰς καλλίστας πρὸς τῇ ἄκρᾳ.

ια'. Ὁ δὲ ἐπὶ τῆς τῶν ξένων ἀποδοχῆς τεταγμένος Νικάνωρ Δωρόθεον καλέσας, ὃς εἶχε τὴν περὶ τούτων πρόνοιαν, ἐκέλευσεν ἑτοιμάζειν ἑκάστῳ τὰ δέοντα πρὸς τὴν δίαιταν. Διετέτακτο δὲ τοῦτον ὑπὸ τοῦ βασιλέως τὸν τρόπον· κατὰ γὰρ πόλιν ἑκάστην, ὅσαι οὐ τοῖς αὐτοῖς χρῶνται περὶ τὴν δίαιταν, ἦν τούτων ἐπιμελόμενος, καὶ κατὰ τὸ τῶν ἀφικνουμένων πρὸς αὐτὸν ἔθος πάντ' αὐτοῖς παρεσκευάζετο, ἵνα τῷ συνήθει τρόπῳ τῆς διαίτης εὐωχούμενοι μᾶλλον ἥδωνται, καὶ πρὸς μηδὲν ὡς ἀλλοτρίως ἔχον δυσχεραίνωσιν· ὃ δὴ καὶ περὶ τούτους ἐγένετο, Δωροθέου διὰ τὴν περὶ τὸν βίον ἀκρίβειαν ἐπὶ τούτοις καθεστῶτος. Συνεπόρισε δὲ πάντα δι' αὐτοῦ τὰ πρὸς τὰς τοιαύτας ὑποδοχὰς καὶ διμερῆ τὴν κλισίαν ἐποίησεν, οὕτω προστάξαντος τοῦ βασιλέως· τοὺς μὲν γὰρ ἡμίσεις ἐκέλευσεν ἀνὰ χεῖρα κατακλιθῆναι, τοὺς δὲ λοιποὺς μετὰ τὴν αὐτοῦ κλισίαν, οὐδὲν ἀπολιπὼν τῆς εἰς τοὺς ἄνδρας τιμῆς. Ἐπεὶ δ' οὕτω κατεκλίθησαν, ἐκέλευσε τὸν Δωρόθεον οἷς ἔθεσι χρώμενοι διατελοῦσι πάντες οἱ ἀπὸ τῆς Ἰουδαίας πρὸς αὐτὸν ἀφιγμένοι, κατὰ ταῦτα ὑπηρετεῖν. Διὸ τοὺς ἱεροκήρυκας καὶ θύτας καὶ τοὺς ἄλλους, οἷ τὰς κατευχὰς ἐποιοῦντο, παρῃτήσατο, τῶν δὲ παραγενομένων ἕνα, Ἐλισσαῖον ὄνομα, ὄντα ἱερέα παρεκάλεσεν ὁ βασιλεὺς ποιήσασθαι κατευχάς. Ὁ δὲ στὰς εἰς μέσον ηὔχετο τῷ βασιλεῖ τὰ ἀγαθὰ καὶ τοῖς ἀρχομένοις ὑπ' αὐτοῦ· εἶτα κρότος ἐξ ἁπάντων μετὰ χαρᾶς καὶ βοῆς ἦρθη, καὶ παυσάμενοι πρὸς εὐωχίαν καὶ τὴν ἀπόλαυσιν τῶν παρεσκευασμένων ἐτράπησαν. Διαλιπὼν δὲ ὁ βασιλεὺς ἐφ' ὅσον ἔδοξεν ἀποχρῶντα καιρὸν εἶναι φιλοσοφεῖν ἤρξατο, καὶ ἕκαστον αὐτῶν λόγους ἐπηρώτα φυσικοὺς καὶ πρὸς τὴν τῶν ζητουμένων θεωρίαν. Ἀκριβῶς δ' ἐκείνων περὶ παντὸς οὑτινοσοῦν, ὃ λέγειν αὐτοῖς προβληθείη, διασαφούντων, ἡδόμενος τοιοῦτον ἐφ' ἡμέρας δώδεκα συμπόσιον ἐποιήσατο, ὡς τῷ βουλομένῳ τὰ κατὰ μέρος γνῶναι τῶν ἐν τῷ συμποσίῳ ζητηθέντων εἶναι μαθεῖν ἀναγνόντι τὸ Ἀρισταίου βιβλίον, ὃ συνέγραψε διὰ ταῦτα.

ιβ'. Θαυμάζοντος δ' αὐτοὺς οὐ μόνον τοῦ βασιλέως, ἀλλὰ καὶ Μενεδήμου τοῦ φιλοσόφου προνοίᾳ διοικεῖσθαι πάντα φήσαντος, καὶ διὰ τοῦτ' εἰκὸς καὶ τοῦ λόγου δύναμιν καὶ κάλλος ηὑρῆσθαι, παύονται μὲν περὶ τούτων ἐπιζητοῦντες. Γεγενῆσθαι δ' αὐτῷ τὰ μέγιστα τῶν ἀγαθῶν ὁ βασιλεὺς ἔλεγεν ἤδη παρόντων αὐτῶν· ὠφελῆσθαι γὰρ παρ' αὐτῶν μεμαθηκότα πῶς δεῖ βασιλεύειν· κελεύει τε αὐτοῖς ἀνὰ τρία δοθῆναι τάλαντα καὶ τοὺς ἀποκαταστήσοντας ἐπὶ τὴν κατάλυσιν. Διελθουσῶν δὲ τριῶν ἡμερῶν παραλαβὼν αὐτοὺς ὁ Δημήτριος καὶ διελθὼν τὸ ἑπταστάδιον, χῶμα τῆς θαλάσσης πρὸς τὴν νῆσον, καὶ διαβὰς πρὸς τὴν γέφυραν, προελθὼν ἐπὶ τὰ βόρεια μέρη συνέδριον ἐποιήσατο ἐν τῷ παρὰ τὴν ἠόνα κατεσκευασμένῳ οἴκῳ, πρὸς διάσκεψιν πραγμάτων ἡρεμίας καλῶς ἔχοντι. Ἀγαγὼν οὖν αὐτοὺς ἐκεῖ παρεκάλει πάντων, ὧν ἂν δεηθεῖεν εἰς τὴν

reportarat. Igitur eos sibi convivas esse jussit, eisque sub ipsa arce dari pulcerrima hospitia.

11. Nicanor autem, qui excipiendis hospitibus præerat, vocato Dorotheo, qui earum rerum procurationem habebat, jussit ut cuique pararet quæ ad victum pertinerent. Erat autem ea res a rege in hunc modum constituta : nam in unaquaque urbium, quæ non eadem victus ratione utebantur, erat qui hæc administraret, et hospitibus omnia ad ipsorum morem curanda pararet, ut consueta victus ratione epulantes magis delectarentur, nec ulla re tanquam aliena offenderentur. Quod quidem tum illis quoque *senioribus factum est, Dorotheo, quod accurate nosset omnia ad victum pertinentia, his rebus præfecto. Nicanor igitur per hunc omnia ad illos accipiendos paravit, geminamque accubationem fecit, idque regis jussu. Imperavit enim rex dimidiam eorum partem juxta se collocari, alteram vero partem in altera mensa post suam, nihil omittens quod illis honori esset. Postquam ita discubuerunt, mandat Dorotheo ut quo ritu uterentur omnes, qui ad ipsum ex Judæa venissent, eodem iis ministraret. Itaque sacros præcones et sacrificos et alios quibus preces peragere mos erat, ipsi visum est repudiare, et hospitum unum, nomine Elissæum, sacerdotem, rogavit ut precationem adhiberet. Atque is, stans in medio, regi ejusque subditis fausta precatus est. Deinde omnes cum lætitia applauserunt et acclamarunt, et eo facto ad epulas paratas se converterunt. Et rex, quum moram, quantam satis esse judicabat, interposuisset, philosophari cœpit, et singulis eorum quæstionem aliquam naturalem proponebat, etiam ad res quæsitas contemplandas. Quumque accurate de quavis re, quæ eis proponeretur, dissererent, *rex* iis delectatus per duodecim dies hujusmodi convivium fecit, id quod cuiquam, qui quæstiones in convivio agitatas singillatim scire desiderat, licet cognoscere ex Aristæi libello, quem propterea conscripsit.

12. Quum autem eos non solum rex demiratus esset, sed et Menedemus philosophus ultro fateretur providentiam omnia gubernare et moderari, indeque plane eos ratiocinandi vim et pulcritudinem esse indeptos, finis id genus disquisitionibus imponitur. Tum vero rex dicebat sese jam maxima bona percepisse ex eorum adventu, (quippe qui ei profuerint quod ab eis didicisset regis officium), jussitque singulis tria talenta dari, et *deputari* qui eos in hospitium deducerent. Deinde tribus peractis diebus, Demetrius iis assumptis heptastadium transgressus, aggerem in mari ad insulam pertinentem, et transito ponte, *quum boream versus progressus esset*, congregavit eos in domum prope littus exstructam, ad contemplationem rerum *ob solitudinem idoneam : et eis illuc perductis*, rogabat, ut postquam omnia, quibus ad legis interpretationem

ἑρμηνείαν τοῦ νόμου, παρόντων ἀκωλύτως ἐπιτελεῖν τὸ ἔργον. Οἱ δ' ὡς ἔνι μάλιστα φιλοτίμως καὶ φιλοπόνως τὴν ἑρμηνείαν ἀκριβῆ ποιούμενοι μέχρι μὲν ὥρας ἐνάτης πρὸς τοῦτο διετέλουν ὄντες, ἔπειτ' ἐπὶ τὴν τοῦ σώματος ἀπηλλάττοντο θεραπείαν, ἀφθόνως αὐτοῖς τῶν πρὸς τὴν δίαιταν χορηγουμένων, καὶ προσέτι τοῦ Δωροθέου πολλὰ καὶ τῶν παρασκευαζομένων τῷ βασιλεῖ (προσέταξε γάρ) αὐτοῖς παρέχοντος. Πρωΐ δὲ πρὸς τὴν αὐλὴν παραγινόμενοι καὶ τὸν Πτολεμαῖον ἀσπαζόμενοι πάλιν ἐπὶ τὸν αὐτὸν ἀπῄεσαν τόπον, καὶ τῇ θαλάσσῃ τὰς χεῖρας ἀπονιπτόμενοι καὶ καθαίροντες ἑαυτοὺς οὕτως ἐπὶ τὴν τῶν νόμων ἑρμηνείαν ἐτρέποντο. Μεταγραφέντος δὲ τοῦ νόμου καὶ τοῦ κατὰ τὴν ἑρμηνείαν ἔργου τέλος ἐν ἡμέραις ἑβδομήκοντα καὶ δυσὶ λαβόντος, συναγαγὼν ὁ Δημήτριος τοὺς Ἰουδαίους ἅπαντας εἰς τὸν τόπον ἔνθα καὶ μετεβλήθησαν οἱ νόμοι, παρόντων καὶ τῶν ἑρμηνέων, ἀνέγνω τούτους. Τὸ δὲ πλῆθος ἀπεδέξατο μὲν καὶ τοὺς διασαφήσαντας πρεσβυτέρους τὸν νόμον, ἐπῄνεσαν δὲ καὶ τὸν Δημήτριον τῆς ἐπινοίας, ὡς μεγάλων ἀγαθῶν αὐτοῖς εὑρετὴν γεγενημένον, παρεκάλεσάν τε δοῦναι καὶ τοῖς ἡγουμένοις αὐτῶν ἀναγνῶναι τὸν νόμον. Ἠξίωσάν τε πάντες, ὅ τε ἱερεὺς καὶ τῶν ἑρμηνέων οἱ πρεσβύτεροι καὶ τοῦ πολιτεύματος οἱ προεστηκότες, ἐπεὶ καλῶς τὰ τῆς ἑρμηνείας ἀπήρτισται, καὶ διαμεῖναι ταῦθ' ὡς ἔχει καὶ μὴ μετακινεῖν αὐτά. Ἁπάντων δὲ αὐτῶν ἐπαινεσάντων τὴν γνώμην, ἐκέλευσαν εἴ τις ἢ περισσόν τι προσγεγραμμένον δρᾷ τῷ νόμῳ, ἢ λεῖπον, πάλιν ἐπισκοποῦντα τοῦτο καὶ ποιοῦντα φανερὸν διορθοῦν, σωφρόνως τοῦτο πράττοντες, ἵνα τὸ κριθὲν ἅπαξ ἔχειν καλῶς εἰς ἀεὶ διαμένῃ.

ιγ'. Ἐχάρη μὲν οὖν ὁ βασιλεὺς καὶ ἐπὶ τούτῳ τὴν αὑτοῦ προαίρεσιν εἰς τὸ χρήσιμον ὁρῶν τετελειωμένην· ἥσθη δὲ μάλιστα τῶν νόμων ἀναγνωσθέντων αὐτῷ, καὶ τὴν διάνοιαν καὶ τὴν σοφίαν ἐξεπλάγη τοῦ νομοθέτου· καὶ πρὸς τὸν Δημήτριον ἤρξατο ποιεῖσθαι λόγους, πῶς οὕτω θαυμαστῆς οὔσης τῆς νομοθεσίας οὐδεὶς οὔτε τῶν ἱστορικῶν αὐτῆς οὔτε τῶν ποιητῶν ἐπεμνήσθη. Ὁ δὲ Δημήτριος μηδένα τολμῆσαι τῆς τῶν νόμων τούτων ἀναγραφῆς ἅψασθαι, διὰ τὸ θείαν αὐτὴν εἶναι καὶ σεμνήν, ἔφασκε, καὶ ὅτι βλαβεῖεν ἤδη τινὲς τούτοις ἐπιχειρήσαντες ὑπὸ τοῦ Θεοῦ, δηλῶν ὡς Θεόπομπος βουληθεὶς ἱστορῆσαί τι περὶ τούτων ἐταράχθη τὴν διάνοιαν πλείοσιν ἢ τριάκοντα ἡμέραις, καὶ παρὰ τὰς ἀνέσεις ἐξιλάσκετο τὸν Θεὸν, ἐντεῦθεν αὐτῷ γενέσθαι τὴν παραφροσύνην ὑπονοῶν· οὐ μὴν ἀλλὰ καὶ ὄναρ εἶδεν ὅτι τοῦτ' αὐτῷ συμβαίη περιεργαζομένῳ τὰ θεῖα καὶ ταῦτ' ἐκφέρειν ἐπὶ κοινοὺς ἀνθρώπους θελήσαντι, καὶ ἀποσχόμενος κατέστη τὴν διάνοιαν. Ἐδήλου δὲ καὶ περὶ Θεοδέκτου τοῦ τῶν τραγῳδιῶν ποιητοῦ ἀναφέρεσθαι ὅτι βουληθεὶς ἔν τινι δράματι τῶν ἐν τῇ ἱερᾷ βίβλῳ γεγραμμένων μνησθῆναι, τὰς ὄψεις γλαυκωθείη καὶ συνιδὼν τὴν αἰτίαν ἀπαλλαγείη τοῦ πάθους, ἐξευμενισάμενος τὸν Θεόν.

ιδ'. Παραλαβὼν δὲ ταῦτα ὁ βασιλεὺς παρὰ τοῦ Δη-

opus esset, ad arbitrium suum haberent, negotium expedirent. Illi vero, summo studio et labore ad legem accurate interpretandam aggressi, in ea ad horam diei nonam elaborabant : deinde corpori curando se dabant, iis quæ ad victum pertinerent large suppetentibus, ac præterea Dorotheo multa ex iis quæ regi parata erant ipsius jussu illis afferente. Atque etiam mane ad regiam venientes et Ptolemæum salutantes, eundem locum repetebant, et manus in mari lavantes seque lustrantes, ita demum ad legum interpretationem sese conferebant. Deinde transcripta lege et interpretationis opere duobus et septuaginta diebus absoluto, Demetrius, congregatis eum in locum, in quo versæ leges fuerant, Judæis omnibus, præsentibus etiam interpretibus, eas recitavit. Et multitudo seniores, legis interpretes, approbavit, Demetrii etiam inventionem collaudarunt, qui ipsis magnorum bonorum inventor exstitisset, ab eoque petierunt ut etiam rectoribus suis legem legendam daret; postularuntque omnes, tum sacerdos, tum interpretum seniores, et reipublicæ administratores, ut quandoquidem recte haberet interpretatio, maneret ut erat, neve mutaretur. Quumque omnes eorum sententiam laudassent, jusserunt, ut si quis in lege vel superfluum aliquid scriptum videret, vel curtum, id iterum inspiceret, planumque redderet et corrigeret, sapienter hoc ipsum facientes, ut quod semel rectum judicatum esset, id perpetuo maneret.

13. Et rex quidem gavisus est, videns suum etiam hac in re institutum utiliter perfectum : maxime autem lætatus est recitatis ei legibus, et legislatoris mentem atque sapientiam stupuit : itaque cum Demetrio verba facere cœpit, qui fieret ut quum tam admirabilis esset ea lex, nullus nec historicorum nec poetarum ejus meminisset. Ad quod Demetrius respondit, propterea neminem ausum eam attingere, quod divina esset et augusta, jamque nonnullos, quoniam tale aliquid attentassent, læsos fuisse divinitus. Eique demonstravit ut Theopompus, quum horum aliquid scribere instituisset, mentem plus quam triginta dies perturbatam habuisset; itaque intermittente malo, Deum precibus placasset, inde sibi insaniam ortam esse suspicatus : quin etiam in somnio vidisset id sibi propterea evenisse, quod divina tractasset et in profanum vulgus proferre voluisset; atque adeo, ubi destiterat, mentem ei constitisse. Narravit etiam de Theodecta tragico poeta, qui, ut perhibetur, quum voluisset in quadam fabula mentionem facere eorum quæ in sacro libro scripta forent, in oculorum morbum, quod glaucoma vocant, incidisset, et intellecta causa convaluisset, propitiato Deo.

14. Rex igitur, libris a Demetrio ut supra memoratum

μητρίου, καθὼς προείρηται, προσκυνήσας αὐτοῖς, ἐκέλευσε πολλὴν ποιεῖσθαι τῶν βιβλίων τὴν ἐπιμέλειαν, ἵνα διαμείνῃ ταῦτα καθαρῶς, τούς τε ἑρμηνεύσαντας παρεκάλεσε συνεχῶς πρὸς αὐτὸν ἐκ τῆς Ἰουδαίας παραγίνεσθαι· τοῦτο γὰρ αὐτοῖς καὶ πρὸς τιμὴν τὴν παρ' αὐτοῦ καὶ πρὸς τὰς ἀπὸ τῶν δωρεῶν ὠφελείας λυσιτελήσειν. Νῦν μὲν γὰρ εἶναι δίκαιον αὐτοὺς ἐκπέμπειν ἔλεγεν, ἑκουσίως δὲ πρὸς αὐτὸν ἐλθόντας τεύξεσθαι πάντων ὧν ἥ τε αὐτῶν ἐστι σοφία δικαία τυχεῖν καὶ ἡ ἐκείνου μεγαλοφροσύνη παρασχεῖν ἱκανή. Τότε μὲν οὖν ἐξέπεμψεν αὐτούς, δοὺς ἑκάστῳ στολὰς ἀρίστας τρεῖς καὶ χρυσοῦ τάλαντα δύο καὶ κυλίκιον ταλάντου καὶ τὴν τοῦ συμποσίου στρωμνήν. Καὶ ταῦτα μὲν ἐκείνοις ἔχειν ἐδωρήσατο· τῷ δ' ἀρχιερεῖ Ἐλεαζάρῳ δι' αὐτῶν ἔπεμψε κλίνας ἀργυρόποδας δέκα καὶ τὴν ἀκόλουθον αὐτῶν ἐπισκευὴν καὶ κυλίκιον ταλάντων τριάκοντα, πρὸς τούτοις δὲ καὶ στολὰς δέκα καὶ πορφύραν καὶ στέφανον διαπρεπῆ καὶ βυσσίνης ὀθόνης ἱστοὺς ἑκατόν· ἔτι γε μὴν φιάλας καὶ τρύβλια καὶ σπονδεῖα καὶ κρατῆρας χρυσοῦς πρὸς ἀνάθεσιν δύο. Παρεκάλεσε δ' αὐτὸν καὶ διὰ τῶν ἐπιστολῶν ὅπως εἴ τῶν ἀνδρῶν τούτων θελήσειάν τινες πρὸς αὐτὸν ἐλθεῖν, ἐπιτρέψῃ, περὶ πολλοῦ ποιούμενος τὴν μετὰ τῶν ἐν παιδείᾳ τυγχανόντων συνουσίαν καὶ τὸν πλοῦτον εἰς τούτους ἡδέως ἔχων κατατίθεσθαι. Καὶ τὰ μὲν εἰς δόξαν καὶ τιμὴν τῶν Ἰουδαίων τοιαῦτα παρὰ Πτολεμαίου τοῦ Φιλαδέλφου συνέβη γενέσθαι.

ΚΕΦ. Γ'.

Ἔτυχον δὲ καὶ τῆς παρὰ τῶν βασιλέων τῆς Ἀσίας τιμῆς, ἐπειδὴ συνεστράτευσαν αὐτοῖς. Καὶ γὰρ Σέλευκος ὁ Νικάτωρ ἐν αἷς ἔκτισε πόλεσιν ἐν τῇ Ἀσίᾳ καὶ τῇ κάτω Συρίᾳ καὶ ἐν αὐτῇ τῇ μητροπόλει Ἀντιοχείᾳ πολιτείας αὐτοὺς ἠξίωσε, καὶ τοῖς ἐνοικισθεῖσιν ἰσοτίμους ἀπέδειξε Μακεδόσι καὶ Ἕλλησιν, ὡς τὴν πολιτείαν ταύτην ἔτι καὶ νῦν διαμένειν. Τεκμήριον δὲ τὸ τοὺς Ἰουδαίους μὴ βουλομένους ἀλλοφύλῳ ἐλαίῳ χρήσασθαι λαμβάνειν ὡρισμένον τι παρὰ τῶν γυμνασιάρχων εἰς ἐλαίου τιμὴν ἀργύριον· ὃ τοῦ δήμου τῶν Ἀντιοχέων ἐν τῷ νῦν πολέμῳ λῦσαι προαιρουμένου, Μουκιανὸς ἡγεμὼν ὢν τότε τῆς Συρίας ἐτήρησε. Καὶ μετὰ ταῦτα κρατήσαντος Οὐεσπασιανοῦ καὶ Τίτου τοῦ υἱοῦ αὐτοῦ τῆς οἰκουμένης, δεηθέντες οἱ Ἀλεξανδρεῖς καὶ Ἀντιοχεῖς ἵνα τὰ δίκαια τῆς πολιτείας μηκέτι μένῃ τοῖς Ἰουδαίοις, οὐκ ἐπέτυχον. Ἐξ ὧν τις ἂν κατανοήσειεν τὴν Ῥωμαίων ἐπιείκειαν καὶ μεγαλοφροσύνην, μάλιστα δὲ τὴν Οὐεσπασιανοῦ καὶ Τίτου, ὅτι καίτοι πολλὰ πονήσαντες ἐν τῷ πρὸς Ἰουδαίους πολέμῳ, καὶ πικρῶς πρὸς αὐτοὺς ἔχοντες ὅτι μὴ παρέδοσαν τὰ ὅπλα αὐτοῖς, μέχρι δ' ἐσχάτου πολεμοῦντες ὑπέμειναν, οὐδενὸς αὐτοὺς τῶν ὑπαρχόντων κατὰ τὴν προειρημένην πολιτείαν ἀφεῖλοντο, ἀλλὰ καὶ τῆς πρότερον ὀργῆς καὶ τῆς τῶν Ἀλεξανδρέων καὶ Ἀντιοχέων δήμων μεγίστων ὄντων παρακλήσεως ἐκράτησαν, ὥστε μηδὲν μήθ' ὑπὸ

est acceptis, eos veneratus, jussit diligentem curam illis haberi, ut iidem in integro manerent, hortatusque est interpretes ut ad se frequenter ex Judæa venirent : id enim eis utile futurum, tum propter honorem quo eos affecturus, tum propter dona quibus ornaturus esset. Nunc quidem æquum esse dicebat ut eos dimitteret : verum si deinceps ad se sua sponte venirent, assequuturos omnia quæ et ipsorum sapientiæ deberentur, et a liberalitate sua præstari possent. Igitur eos tum dimisit, quum uniculque tres egregias vestes et auri talenta duo dedisset, et calicem unius talenti, et tori vestem stragulam. Et hæc quidem ipsis dono dedit : pontifici autem Eleazaro per eos misit decem lectos argenteis pedibus, una cum eorum instrumento, et calicem talentorum triginta ; præterea vestes decem et purpuram et elegantem coronam et byssinæ telæ juga centum, et insuper phialas et catinos et pocula et crateras duos, in templo reponendos. Hortatus est eum etiam per literas, ut si qui illorum hominum ad se venire vellent, permitteret : quandoquidem plurimi faceret cum illis, qui eruditione præcellerent, colloquia serere, sibique gratissimum esset opes suas istiusmodi viris impendere. Atque ea quidem id genus sunt, quæ Ptolemæus Philadelphus in Judæorum gloriam et honorem præstitit.

CAP. III.

Consequuti sunt et ab Asiæ regibus honorem, quoniam sub eis militassent. Etenim Seleucus Nicator, in iis urbibus quas condidit in Asia et inferiore Syria, et in ipso regni capite Antiochia eos civitate donavit, et eodem quo Macedones et Græcos ibidem collocatos numero habuit : quo jure etiamnum utuntur. Argumento est quod Judæis, nolentibus alieno oleo uti, certa pecuniæ summa pro olei pretio solvitur a gymnasiorum præfectis : quem morem quum Antiochensis populus proximo bello abrogare conaretur, Mucianus, qui tum Syriæ prætor erat, tamen retinuit. Et postea orbis terrarum imperium tenente Vespasiano et Tito ejus filio, orantes Alexandrini et Antiochenses ut Judæi privarentur jure civitatis, non impetrarunt. Unde illud perspici et intelligi potest, quanta æquitate et magnanimitate erant Romani, præcipue vero Vespasianus et Titus, qui licet multos contra Judæos bellando labores sustinuerant et acerbe tulerant, quod deditionem facere noluerint, sed pugnantes ad extremum manserint, nulla tamen re jus ipsorum prædictum imminutum esse voluerunt, verum et iræ qua olim exarserunt, et populi tam Alexandrini quam Antiocheni, utut magni erant, precibus restiterunt, adeo ut ne minimum quidem vel suæ in illos benevolentiæ,

τῆς πρὸς τούτους χάριτος μήθ' ὑπὸ τῆς πρὸς τοὺς πολεμηθέντας μισοπονηρίας ἐνδοῦναι πρὸς τὸ λῦσαί τι τῶν ἀρχαίων τοῖς Ἰουδαίοις φιλανθρώπων, ἀλλὰ τοὺς ἀνταραμένους αὐτοῖς ὅπλα καὶ χωρήσαντας διὰ μάχης δεδωκέναι τιμωρίαν, φήσαντες τοὺς οὐδὲν ἐξαμαρτόντας οὐκ εἶναι δίκαιον ἀποστερεῖν τῶν ὑπαρχόντων.

β'. Ὅμοιον δέ τι τούτων καὶ Μάρκον Ἀγρίππαν φρονήσαντα περὶ τῶν Ἰουδαίων οἴδαμεν. Τῶν γὰρ Ἰώνων κινηθέντων ἐπ' αὐτοὺς καὶ δεομένων τοῦ Ἀγρίππα, ἵνα τῆς πολιτείας ἣν αὐτοῖς ἔδωκεν Ἀντίοχος ὁ Σελεύκου υἱωνός, ὁ παρὰ τοῖς Ἕλλησι Θεὸς λεγόμενος, μόνοι μετέχωσιν, ἀξιούντων δ', εἰ συγγενεῖς εἰσιν αὐτοῖς Ἰουδαῖοι, σέβεσθαι τοὺς ἰδίους αὐτῶν θεούς, καὶ δίκης περὶ τούτων συστάσης ἐνίκησαν Ἰουδαῖοι τοῖς αὐτῶν ἔθεσι χρῆσθαι, συνηγορήσαντος αὐτοῖς Νικολάου τοῦ Δαμασκηνοῦ· ὁ γὰρ Ἀγρίππας ἀπεφήνατο μηδὲν αὐτῷ καινίζειν ἐξεῖναι. Τὸ δ' ἀκριβὲς εἴ τις βούλεται καταμαθεῖν, ἀναγνώτω τῶν Νικολάου ἱστοριῶν τὴν ἑκατοστὴν καὶ εἰκοστὴν τρίτην καὶ τετάρτην. Περὶ μὲν οὖν τῶν ὑπ' Ἀγρίππα κριθέντων οὐκ ἔστιν ἴσως θαυμάζειν, (οὐ γὰρ ἐπολέμει τότε Ῥωμαίοις τὸ ἡμέτερον ἔθνος,) Οὐεσπασιανοῦ δ' ἄν τις καὶ Τίτου τὴν μεγαλοφροσύνην εἰκότως ἐκπλαγείη, μετὰ πολέμους καὶ τηλικούτους ἀγῶνας, οὓς ἔσχον πρὸς ἡμᾶς, μετριοπαθήσάντων. Ἐπανάξω δὲ τὸν λόγον ὅθεν γοῦν ἐπὶ ταῦτ' ἐξέβην.

γ'. Τοὺς γὰρ Ἰουδαίους ἐπ' Ἀντιόχου τοῦ μεγάλου βασιλεύοντος τῆς Ἀσίας ἔτυχεν αὐτούς τε πολλὰ ταλαιπωρῆσαι τῆς γῆς αὐτῶν κακουμένης καὶ τοὺς τὴν Κοίλην Συρίαν νεμομένους. Πολεμοῦντος γὰρ αὐτοῦ πρὸς τὸν Φιλοπάτορα Πτολεμαῖον καὶ πρὸς τὸν υἱὸν αὐτοῦ Πτολεμαῖον τὸν ἐπικληθέντα Ἐπιφανῆ, κακοπαθεῖν συνέβαινεν αὐτοῖς καὶ νικῶντος καὶ πταίοντος ταὐτὰ πασχειν, ὥστ' οὐδὲν ἀπέλειπον χειμαζομένης νεὼς καὶ πονουμένης ἑκατέρωθεν ὑπὸ τοῦ κλύδωνος, μεταξὺ τῆς εὐπραγίας τῆς Ἀντιόχου καὶ τῆς ἐπὶ θάτερον αὐτοῦ τροπῆς τῶν πραγμάτων κείμενοι. Νικήσας μέντοι τὸν Πτολεμαῖον ὁ Ἀντίοχος τὴν Ἰουδαίαν προσάγεται. Τελευτήσαντος δὲ τοῦ Φιλοπάτορος ὁ παῖς αὐτοῦ μεγάλην ἐξέπεμψε δύναμιν καὶ στρατηγὸν Σκόπαν ἐπὶ τοὺς ἐν τῇ Κοίλῃ Συρίᾳ, ὃς πολλάς τε αὐτῶν πόλεις ἕλαβε καὶ τὸ ἡμέτερον ἔθνος· πολεμούμενον γὰρ αὐτῷ προσέθετο. Μετ' οὐ πολὺ δὲ τὸν Σκόπαν Ἀντίοχος νικᾷ συμβαλὼν αὐτῷ πρὸς ταῖς πηγαῖς τοῦ Ἰορδάνου καὶ πολλὴν αὐτοῦ τῆς στρατιᾶς διέφθειρεν. Ὕστερον δ' Ἀντιόχου χειρωσαμένου τὰς ἐν τῇ Κοίλῃ Συρίᾳ πόλεις, ἃς ὁ Σκόπας κατεσχήκει, καὶ τὴν Σαμάρειαν, ἑκουσίως αὐτῷ προσέθεντο Ἰουδαῖοι, καὶ τῇ πόλει δεξάμενοι πάσῃ αὐτοῦ τῇ στρατιᾷ καὶ τοῖς ἐλέφασιν ἀφθονίαν παρέσχον, καὶ τοὺς ὑπὸ Σκόπα καταλειφθέντας ἐν τῇ ἄκρᾳ τῶν Ἱεροσολύμων φρουροὺς πολιορκοῦντι προθύμως συνεμάχησαν. Ὁ οὖν Ἀντίοχος δίκαιον ἡγησάμενος τὴν τῶν Ἰουδαίων πρὸς αὐτὸν σπουδὴν καὶ φιλοτιμίαν ἀμείψασθαι, γράφει τοῖς τε στρατηγοῖς αὐτοῦ καὶ τοῖς φίλοις,

vel nefariorum quos oppugnarunt odio concesserint, ad minuendam erga Judæos benignitatem, dicentes eos qui contra se arma tulerant et pugnam inierant jam satis suppliciorum dedisse, eos vero qui nihil peccaverint haud æquum suis spoliari privilegiis.

2. Marcum quoque Agrippam similiter affectum erga Judæos novimus. Nam quum Iones, commoti adversus Judæos, Agrippam orassent ut civitate, quam eis dederat Antiochus Seleuci nepos, is qui apud Græcos Deus appellatur, soli fruerentur, postularentque ut si Judæi eorum essent cognati, eosdem cum ipsis deos colerent, atque ea de re judicium esset constitutum, obtinuerunt Judæi ut sibi solitis moribus uti liceret, usi patrocinio Nicolai Damasceni: Agrippa enim pronunciavit nihil sibi innovare fas esse. Quæ exactius si quis nosse cupit, ipsum Nicolaum Damascenum legat Historiarum libro centesimo vicesimo tertio et quarto. Verum Agrippæ sententiam nihil est quod miremur; ea enim tempestate gens nostra bellum non gerebat adversus Romanos: Vespasiani autem et Titi magnanimitatem merito quis obstupescat, qui post tot bella et certamina nobiscum tanta in nos erant moderatione. Sed eo jam unde huc digressa est revertatur oratio.

3. Regnante in Asia Antiocho Magno accidit ut tum Judæi terra ipsorum vastata, tum qui Cœlen-Syriam incolebant, multa adversa paterentur. Eo enim belligerante adversus Ptolemæum Philopatorem, et ejus filium cognomine Epiphanem, contigit illis ut, si is superior fuerit, affligerentur, si inferior, plane eadem paterentur: adeo ut haud dissimiles essent navi in tempestate fluctibus utrinque vexatæ, ut qui in medio jacerent, dum Antiocho res et prospere cederent et in contrarias partes mutarentur. Victo igitur Ptolemæo Antiochus Judæam occupavit. Deinde mortuo Philopatore, ejus filius magnam manum et ducem Scopam misit contra Cœles-Syriæ incolas, qui multas eorum urbes necnon gentem nostram cepit: oppugnata enim, in ejus partes concessit. Non multo post Scopam prælio vicit Antiochus ad fontes Jordanis, magnamque ejus copiarum partem delevit. Postea vero quum Antiochus eas Cœles-Syriæ urbes, quas Scopas obtinuerat, Samariamque subegisset, Judæi ultro deditionem fecerunt, eumque in urbem admiserunt, et ejus omni exercitui et elephantis omnia abunde suppeditarunt, et relictos a Scopa in arce Hierosolymitana præsidiarios oppugnantem strenue adjuverunt. Itaque Antiochus æquum esse judicans ut Judæorum erga se studium et liberalitatem remuneraretur, literas scripsit ad suos duces et amicos, testimonium perhibens

μαρτυρῶν τοῖς Ἰουδαίοις ὑπὲρ ὧν εὖ πρὸς αὐτῶν πάθοι, καὶ τὰς δωρεὰς, ἃς ὑπὲρ τούτων διέγνω παρασχεῖν αὐτοῖς, ἐμφανίζων. Παραθήσομαι δὲ τὰς ἐπιστολὰς τὰς τοῖς στρατηγοῖς περὶ αὐτῶν γραφείσας, προδιελθὼν ὡς μαρτυρεῖ τούτοις ἡμῶν τοῖς λόγοις Πολύβιος ὁ Μεγαλοπολίτης. Ἐν γὰρ τῇ ἐκκαιδεκάτῃ τῶν ἱστοριῶν αὐτοῦ φησιν οὕτως. « Ὁ δὲ τοῦ Πτολεμαίου στρατηγὸς Σκόπας ὁρμήσας εἰς τοὺς ἄνω τόπους κατεστρέψατο ἐν τῷ χειμῶνι τὸ τῶν Ἰουδαίων ἔθνος. » Λέγει δ' ἐν τῇ αὐτῇ βίβλῳ ὡς « τοῦ Σκόπα νικηθέντος ὑπὸ Ἀντιόχου « τὴν μὲν Βαταναίαν καὶ Σαμάρειαν καὶ Ἄβιλα καὶ « Γάδαρα παρέλαβεν Ἀντίοχος, μετ' ὀλίγον δὲ προσε« χώρησαν αὐτῷ καὶ τῶν Ἰουδαίων οἱ περὶ τὸ ἱερὸν « προσαγορευόμενον Ἱεροσόλυμα κατοικοῦντες· ὑπὲρ « οὗ καὶ πλείω λέγειν ἔχοντες, καὶ μάλιστα διὰ τὴν « περὶ τὸ ἱερὸν ἐπιφάνειαν, εἰς ἕτερον καιρὸν ὑπερθη« σόμεθα τὴν διήγησιν. » Καὶ Πολύβιος μὲν ταῦτα ἱστόρηκεν· ἡμεῖς δ' ἐπανάξομεν τὸν λόγον ἐπὶ τὴν διήγησιν, παραθέμενοι πρῶτον τὰς ἐπιστολὰς τοῦ βασιλέως Ἀντιόχου.

Βασιλεὺς Ἀντίοχος Πτολεμαίῳ χαίρειν.

« Τῶν Ἰουδαίων καὶ παραυτίκα μὲν, ἡνίκα τῆς χώ« ρας ἐπέβημεν αὐτῶν, ἐπιδειξαμένων τὸ πρὸς ἡμᾶς « φιλότιμον, καὶ παραγενομένους δ' εἰς τὴν πόλιν λαμ« πρῶς ἐκδεξαμένων καὶ μετὰ μὲν τῆς γερουσίας ἀπαν« τησάντων, ἄφθονον δὲ τὴν χορηγίαν τοῖς στρατιώταις « καὶ τοῖς ἐλέφασι παρεσχημένων, συνεξελόντων δὲ καὶ « τοὺς ἐν τῇ ἄκρᾳ φρουροὺς τῶν Αἰγυπτίων, ἠξιώσα« μεν καὶ ἡμεῖς τούτων αὐτοὺς ἀμείψασθαι καὶ τὴν πόλιν « αὐτῶν ἀναλαβεῖν, κατεφθαρμένην ὑπὸ τῶν περὶ τοὺς « ἀνθρώπους συμπεσόντων, καὶ συνοικίσαι τῶν διεσπαρ« μένων εἰς αὐτὴν πάλιν συνελθόντων. Πρῶτον δ' « αὐτοῖς ἐκρίναμεν διὰ τὴν εὐσέβειαν παρασχεῖν τὴν εἰς « τὰς θυσίας σύνταξιν, κτηνῶν τε θυσίμων καὶ οἴνου καὶ « ἐλαίου καὶ λιβάνου, τιμὴν ἀργυρίου μυριάδων δύο, « καὶ σεμιδάλεως ἀρτάβας ἱερὰς ἓξ κατὰ τὸν ἐπιχώριον « νόμον, πυρῶν μεδίμνους χιλίους τετρακοσίους καὶ ἑξή« κοντα, καὶ ἁλῶν μεδίμνους τριακοσίους ἑβδομήκοντα « πέντε. Τελεῖσθαι δ' αὐτοῖς ταῦτα βούλομαι, καθὼς « ἐπέσταλκα, καὶ τὸ περὶ τὸ ἱερὸν ἀπαρτισθῆναι ἔργον, « τάς τε στοὰς καὶ εἴ τι ἕτερον οἰκοδομῆσαι δέοι. Ἡ δὲ « τῶν ξύλων ὕλη κατακομιζέσθω ἔξ αὐτῆς τε τῆς Ἰου« δαίας καὶ ἐκ τῶν ἄλλων ἐθνῶν καὶ ἐκ τοῦ Λιβάνου, « μηδενὸς πρασσομένου τέλους· ὁμοίως δὲ καὶ ἐν τοῖς ἄλ« λοις, ἐν οἷς ἂν ἐπιφανεστέραν γίνεσθαι τὴν τοῦ ἱεροῦ « ἐπισκευὴν δέοι. Πολιτευέσθωσαν δὲ πάντες οἱ ἐκ τοῦ « ἔθνους κατὰ τοὺς πατρώους νόμους· ἀπολυέσθω δὲ ἡ γε« ρουσία καὶ οἱ ἱερεῖς καὶ οἱ γραμματεῖς τοῦ ἱεροῦ καὶ οἱ « ἱεροψάλται ὧν ὑπὲρ τῆς κεφαλῆς τελοῦσι καὶ τοῦ στε« φανίτου φόρου καὶ τοῦ περὶ τῶν ἄλλων. Ἵνα δὲ θᾶττον « ἡ πόλις κατοικισθῇ, δίδωμι τοῖς τε νῦν κατοικοῦσι καὶ « κατελευσομένοις ἕως τοῦ Ὑπερβερεταίου μηνὸς ἀτελέ« σιν εἶναι μέχρι τριῶν ἐτῶν. Ἀπολύομεν δὲ καὶ εἰς τὸ « λοιπὸν αὐτοὺς τοῦ τρίτου μέρους τῶν φόρων, ὥστε

Judæis, quam præclare de ipso meriti fuerint, simulque significans quæ munera illis vicissim dare decreverat. Atque earum exemplar subjiciam, quum prius narraverim quæ ad fidem verbis nostris faciendam scripsit Polybius Megalopolitanus. Nam in Historiarum suarum libro decimo sexto ita dicit. « Scopas autem copiarum Ptolemæi dux, ad regiones « superiores verso impetu, per hiemem Judæorum gentem « subegit. » Eodem etiam in libro refert quomodo, « Scopa « ab Antiocho superato, Antiochus Batanæam et Samariam « et Abila et Gadara recepit, atque paulo post Judæi sese « ei tradiderunt, quotquot circa fanum Hierosolyma nun« cupatum incolebant. De quo quum multa dicenda ha« beamus, præsertim propter templi illius celebritatem, « quæ narranda supersunt in aliud tempus differemus. » Et hæc quidem Polybius in Historia sua. Nos vero orationem revocabimus ad narrationem institutam, postquam ante oculos posuerimus Antiochi epistolas.

Rex Antiochus Ptolemæo salutem.

« Quum Judæi, simulac in eorum fines ingressi sumus, « studium erga nos suum declaraverint, et in urbem suam « venientes splendide acceperint, cumque senatu obviam « prodierint, et militibus elephantisque omnia abunde præ« buerint, nosque in expugnando Ægyptiorum in arce præ« sidio adjuverint, visum est nobis eos pro his remunerari, « et eorum urbem, casibus, qui solent hominibus accidere, « adversis labefactatam, reficere atque frequentare, revo« catis in eam iis qui sunt dispersi. Ac primum eis decre« vimus religionis causa præbenda conficere ad sacrificia « de pecudibus quæ sacrificari solent, et vino, et oleo, et « thure, ad pretium argenteorum vicies mille, et similæ « artabas sacras secundum regionis istius morem sex, et « tritici medimnos mille quadringentos sexaginta, et salis « medimnos trecentos septuaginta quinque. Atque hæc eis « solvi volo, quemadmodum imperavi, templique opus expe« diri, et porticus, et si quid aliud ædificandum est. Mate« ria autem apportetur ex ipsa Judæa, aliisque regionibus, « et Libano, nec ullum vectigal exigatur. Idem dico de « aliis, quibus ad speciosiorem templi apparatum opus erit « Vivant autem omnes ejus nationis homines ex legibus pa« triis, immunisque sit senatus et sacerdotes et scribæ tem« pli et sacri cantores et ab eo quod pro capite pendunt et ab « auro coronario aliisque tributis. Ac quo citius frequentetur « urbs, concedo iis qui nunc eam habitant, quique usque ad « mensem Hyperberetæum eo migraverint, immunitatem in « triennium. Quin etiam in posterum tertiam tributorum

« αὐτῶν ἐπανορθωθῆναι τὴν βλάβην· καὶ ὅσοι ἐκ τῆς « πόλεως ἁρπαγέντες δουλεύουσιν, αὐτούς τε τούτους « καὶ τοὺς ὑπ' αὐτῶν γεννηθέντας ἐλευθέρους ἀφίεμεν, « καὶ τὰς οὐσίας αὐτοῖς ἀποδίδοσθαι κελεύομεν. »

δ'. Ἡ μὲν οὖν ἐπιστολὴ ταῦτα περιεῖχε. Σεμνύνων δὲ καὶ τὸ ἱερὸν, πρόγραμμα κατὰ πᾶσαν τὴν βασιλείαν ἐξέθηκε περιέχον τάδε. « Μηδενὶ ἔξὸν εἶναι « ἀλλοφύλῳ εἰς τὸν περίβολον εἰσιέναι τοῦ ἱεροῦ τὸν « ἀπηγορευμένον τοῖς Ἰουδαίοις, εἰ μὴ οἷς ἁγνισθεῖσίν ἐστιν ἔθιμον κατὰ τὸν πάτριον νόμον. Μηδ' εἰς « τὴν πόλιν εἰσφερέσθω ἵππεια κρέα, μήτε ἡμιόνεια « μήτε ἀγρίων ὄνων καὶ ἡμέρων, παρδάλεών τε καὶ « ἀλωπέκων καὶ λαγωῶν, καὶ καθόλου πάντων τῶν « ἀπηγορευμένων ζῴων τοῖς Ἰουδαίοις. Μηδὲ τὰς δορὰς εἰσφέρειν ἐξεῖναι, ἀλλὰ μηδὲ τρέφειν τι τούτων « ἐν τῇ πόλει, μόνοις δὲ τοῖς προγονικοῖς θύμασιν, ἀφ' « ὧν καὶ τῷ Θεῷ δεῖ καλλιερεῖν, ἐπιτετράφθαι χρῆσθαι. Ὁ δὲ τούτων τι παραβὰς ἀποτινυέτω τοῖς « ἱερεῦσιν ἀργυρίου δραχμὰς τρισχιλίας. » Ἔγραψε δὲ μαρτυρῶν ἡμῖν εὐσέβειάν τε καὶ πίστιν, ἡνίκα νεωτερίζοντα τὰ κατὰ τὴν Φρυγίαν καὶ Λυδίαν ἐπύθετο, καθ' ὃν ἦν καιρὸν ἐν ταῖς ἄνω σατραπείαις, κελεύων Ζεῦξιν τὸν αὐτοῦ στρατηγὸν καὶ ἐν τοῖς μάλιστα φίλον πέμψαι τινὰς τῶν ἡμετέρων ἐκ Βαβυλῶνος εἰς Φρυγίαν. Γράφει δὲ οὕτως.

Βασιλεὺς Ἀντίοχος Ζεύξιδι τῷ πατρὶ χαίρειν.

« Εἰ ἔρρωσαι, εὖ ἂν ἔχοι, ὑγιαίνω δὲ καὶ αὐτός. « Πυνθανόμενος τοὺς ἐν Λυδίᾳ καὶ Φρυγίᾳ νεωτερίζοντας, μεγάλης ἐπιστραφῆς ἡγησάμην τοῦτό μοι « δεῖσθαι. Καὶ βουλευσαμένῳ μοι μετὰ τῶν φίλων τί « δεῖ ποιεῖν ἔδοξεν εἰς τὰ φρούρια καὶ τοὺς ἀναγκαιοτάτους τόπους τῶν ἀπὸ τῆς Μεσοποταμίας καὶ Βαβυλωνίας Ἰουδαίων οἴκους δισχιλίους σὺν ἐπισκευῇ « μεταγαγεῖν. Πέπεισμαι γὰρ εὔνους αὐτοὺς ἔσεσθαι « τῶν ἡμετέρων φύλακας, διὰ τὴν πρὸς τὸν Θεὸν « αὐτῶν εὐσέβειαν, καὶ μαρτυρουμένους δ' αὐτοὺς ὑπὸ « τῶν προγόνων εἰς πίστιν οἶδα καὶ προθυμίαν εἰς ἃ « παρακαλοῦνται. Βούλομαι τοίνυν, καίπερ ἐργώδους ὄντος, τούτους μεταγαγεῖν ὑποσχόμενος νόμοις « αὐτοὺς χρῆσθαι τοῖς ἰδίοις. Ὅταν δ' αὐτοὺς ἀγάγῃς « εἰς τοὺς προειρημένους τόπους, εἴς τε οἰκοδομὰς οἰκιῶν δώσεις αὐτοῖς τόπον ἑκάστῳ καὶ χώραν εἰς γεωργίαν καὶ φυτείαν ἀμπέλων, καὶ ἀτελεῖς τῶν ἐκ τῆς « γῆς καρπῶν ἀνήσεις ἐπ' ἔτη δέκα. Μετρείσθωσαν δὲ « καὶ, ἄχρις ἂν τοὺς παρὰ τῆς γῆς ἄρτους λαμβάνωσι, « σῖτον εἰς τὰς τῶν θεραπόντων διατροφάς· διδόσθω δὲ « καὶ τοῖς εἰς τὰς χρείας ὑπηρετοῦσι τὸ αὐτάρκες, ἵνα « τῆς παρ' ἡμῶν τυγχάνοντες φιλανθρωπίας προθυμότερους παρέχωσιν αὐτοὺς περὶ τὰ ἡμέτερα. Πρόνοιαν « δὲ ποιοῦ καὶ τοῦ ἔθνους κατὰ τὸ δυνατὸν, ὅπως ὑπὸ « μηδενὸς ἐνοχλῆται. » Περὶ μὲν οὖν τῆς Ἀντιόχου φιλίας τοῦ μεγάλου πρὸς τοὺς Ἰουδαίους ταῦτα ἡμῖν ἀποχρώντως εἰρήσθω μαρτύρια.

« partem eis remittimus, ad eorum damnum resarciendum; « et quotquot ex urbe abrepti serviunt, et ipsos et eorum « natos manumittimus, et facultates eis reddi imperamus.»

4. Et epistola quidem hæc continebat. Item in honorem templi libellos per tot regnum publicavit, qui hæc complexi sunt. « Nemini liceat alienigenæ intra templi con« septum ingredi, etiam Judæis interdictum, nisi quibus « lustratis mos est *introire* ex lege patria. Neve in urbem « importetur equina caro, neve mulina, neve asini sive feri « sive cicuris, neque pardalina, aut vulpina, aut leporina, « aut cujusvis omnino eorum animalium quæ Judæis ve« tita sunt. Neve pelles inferre liceat, sed nec ullum « tale animal in urbe alere, sed solis majorum sacrifi« ciis uti liceat, quibus placari Deus debeat. Qui contra « aliquid horum fecerit, solvito sacerdotibus argenti dra« chmarum tria millia. » Literis etiam suis amplum pietatis ac fidei nostræ testimonium dedit, quum nonnullos per Lydiam et Phrygiam res novas moliri accepisset, eo tempore quo *ipse* in superioribus erat *Persarum* satrapiis, jubens Zeuxidem ducem, amicumque suum intimum, mittere nostratum quosdam a Babylone in Phrygiam. Scribit autem in hunc modum.

Rex Antiochus Zeuxidi patri salutem.

« Si vales, bene est, ego quoque valeo. Quum intelligerem quosdam in Lydia et Phrygia rebus novis studere, « magnopere hoc mihi prospiciendum curavi. Ac consultanti « mihi cum amicis quid facto sit opus, visum est in castella « et loca maxime necessaria transferre ex Mesopotamia et « Babylonia Judæorum bis mille familias cum eorum su« pellectili. Credo enim nostrarum rerum custodes fore « benevolos, tum propter eorum erga Deum pietatem, tum « quia novi, eis a majoribus nostris testimonium datum fi« dei et prompti obsequii in eis ad quæ rogantur. Itaque « hos volo, quamvis laboriosum sit, traducere, fide illis « data ut suis legibus uti permittantur. Quum autem eos « in ea quæ dixi loca transtuleris, dabis singulis ad ædifi« candas domos locum, et agrum ad agriculturam vinea« rumque sationem, et immunitatem frugum terræ conce« des in annos decem; ac donec terræ fruges perceperint, « demensum frumentum accipiant in famulorum alimo« niam : illisque detur qui eis inservient quantum opus « erit, ut benigne a nobis habiti studiosiores se rerum « nostrarum præbeant. Da etiam operam, quoad ejus fieri « potest, ut ei genti a nemine incommodetur. » Atque hæc a nobis in testimonium amicitiæ, quæ Antiocho Magno cum Judæis intercessit, dicta sufficiant.

ΚΕΦ. Δ'.

Μετὰ δὲ ταῦτα φιλίαν καὶ σπονδὰς πρὸς τὸν Πτολεμαῖον Ἀντίοχος ἐποιήσατο καὶ δίδωσιν αὐτῷ τὴν θυγατέρα Κλεοπάτραν πρὸς γάμον, παραχωρήσας αὐτῷ τῆς Κοίλης Συρίας καὶ Σαμαρείας καὶ Ἰουδαίας καὶ Φοινίκης, φερνῆς ὀνόματι. Καὶ διαιρεθέντων εἰς ἀμφοτέρους τοὺς βασιλεῖς τῶν φόρων, τὰς ἰδίας ἕκαστοι τῶν ἐπισήμων ὠνοῦντο πατρίδας φορολογεῖν, καὶ συναθροίζοντες τὸ προστεταγμένον κεφάλαιον τοῖς βασιλεῦσιν ἐτέλουν. Ἐν τούτῳ τῷ χρόνῳ Σαμαρεῖς εὖ πράσσοντες πολλὰ τοὺς Ἰουδαίους ἐκάκωσαν, τήν τε χώραν αὐτῶν τεμόντες καὶ σώματα διαρπάσαντες. Ἐγένετο δὲ ταῦτα ἐπὶ ἀρχιερέως Ὀνίου. Τελευτήσαντος γὰρ Ἐλεαζάρου τὴν ἀρχιερωσύνην ὁ θεῖος αὐτοῦ Μανασσῆς ἔλαβε, μεθ' ὃν καταστρέψαντα τὸν βίον Ὀνίας τὴν τιμὴν ἐδέξατο, Σίμωνος υἱὸς ὢν τοῦ δικαίου κληθέντος, Σίμων δ' ἦν ἀδελφὸς Ἐλεαζάρου, καθὼς προεῖπον. Οὗτος ὁ Ὀνίας βραχὺς ἦν τὴν διάνοιαν καὶ χρημάτων ἥττων, καὶ διὰ τοῦτο τὸν ὑπὲρ τοῦ λαοῦ φόρον, ὃν τοῖς βασιλεῦσιν οἱ πατέρες αὐτοῦ ἐτέλουν ἐκ τῶν ἰδίων, τάλαντα εἴκοσιν ἀργυρίου μὴ δοὺς εἰς ὀργὴν ἐκίνησε τὸν βασιλέα Πτολεμαῖον Εὐεργέτην, ὃς ἦν πατὴρ τοῦ Φιλοπάτορος. Καὶ πέμψας εἰς Ἱεροσόλυμα πρεσβευτὴν ᾐτιᾶτο τὸν Ὀνίαν οὐκ ἀποδιδόντα τοὺς φόρους, καὶ ἠπείλει κληρουχήσειν αὐτῶν τὴν γῆν οὐκ ἀπολαβὼν καὶ πέμψειν τοὺς ἐνοικήσοντας στρατιώτας. Ἀκούσαντες δὲ τὰ παρὰ τοῦ βασιλέως οἱ Ἰουδαῖοι συνεχύθησαν· τὸν δὲ Ὀνίαν οὐδὲν τούτων ἐδυσώπησε διὰ τὴν φιλοχρηματίαν.

β'. Ἰώσηπος δέ τις, νέος μὲν ἔτι τὴν ἡλικίαν, ἐπὶ σεμνότητι δὲ καὶ προνοίᾳ καὶ δικαιοσύνῃ δόξαν ἔχων παρὰ τοῖς Ἱεροσολυμίταις, Τωβίου μὲν πατρὸς, ἐκ δὲ τῆς Ὀνίου τοῦ ἀρχιερέως ἀδελφῆς γεγονὼς, δηλωσάσης αὐτῷ τῆς μητρὸς τὴν τοῦ πρεσβευτοῦ παρουσίαν, (ἔτυχε γὰρ αὐτὸς ἀποδημῶν εἰς Φιχόλαν κώμην ἐξ ἧς ὑπῆρχεν,) ἐλθὼν εἰς τὴν πόλιν ἐπέπληττε τῷ Ὀνίᾳ μὴ προνοουμένῳ τῆς ἀσφαλείας τῶν πολιτῶν, ἀλλ' εἰς κινδύνους τὸ ἔθνος βουλομένῳ περιστῆσαι διὰ τὴν τῶν χρημάτων ἀποστέρησιν, δι' ἃ καὶ τοῦ λαοῦ τὴν προστασίαν λαβεῖν αὐτὸν ἔλεγε καὶ τῆς ἀρχιερατικῆς τιμῆς ἐπιτυχεῖν· εἰ δ' ἐρωτικῶς οὕτως ἔχοι τῶν χρημάτων, ὡς δι' αὐτὰ καὶ τὴν πατρίδα κινδυνεύουσαν ἰδεῖν ὑπομεῖναι καὶ πᾶν ὁτιοῦν παθόντας αὐτοῦ τοὺς πολίτας, συνεβούλευσεν ἀπελθόντα πρὸς τὸν βασιλέα δεηθῆναι αὐτοῦ ἢ πάντων αὐτῷ παραχωρῆσαι τῶν χρημάτων ἢ μέρους. Τοῦ δὲ Ὀνίου μήτε ἄρχειν θέλειν ἀποκρινομένου, καὶ τὴν ἀρχιερωσύνην δ', εἰ δυνατὸν, ἑτοίμως ἔχειν ἀποθέσθαι λέγοντος, μήτε ἀναβήσεσθαι πρὸς τὸν βασιλέα, μέλειν γὰρ οὐδὲν αὐτῷ περὶ τούτων,) εἰ πρεσβεύειν αὐτῷ πρὸς τὸν Πτολεμαῖον συγχωρεῖ ὑπὲρ τοῦ ἔθνους, ἐπηρώτησε. Φήσαντος δὲ ἐπιτρέπειν, ἀναβὰς εἰς τὸ ἱερὸν ὁ Ἰώσηπος καὶ συγκαλέσας τὸ πλῆθος εἰς ἐκκλησίαν μηδὲν ταράττεσθαι

CAP. IV.

Postea autem amicitiam et fœdus cum Ptolemæo fecit Antiochus, eique filiam suam Cleopatram nuptum locavit, et Cœlen-Syriam et Samariam et Judæam et Phœniceu dotis nomine tribuit. Ac divisis in duos reges tributis, optimates suæ quisque patriæ tributa redimebant, et redactam, quæ imperata erat, summam regibus pendebant. Eo tempore Samaritæ, rebus usi secundis, multa Judæos læserunt, agros eorum vastando, et corpora prædando; quæ quidem sub Onia pontifice acciderunt. Eleazaro enim vita defuncto, successit in pontificatum Manasses ejus avunculus : post cujus decessum, munus excepit Onias Simonis filius, ejus cui Justo cognomen fuit; qui Simon frater erat Eleazari, sicuti jam dixi. Hic Onias sordidi animi homo et pecuniæ cupidus erat, eamque ob rem tributum pro populo non solvit, quod ejus majores regibus de suo pendere soliti erant, videlicet argenti talenta viginti. Quæ res exacerbavit regem Ptolemæum Euergeten, qui pater erat Philopatoris. Itaque misso Hierosolyma legato incusavit Oniam, qui tributa non solveret, minatusque est sese eorum agrum divisurum, nisi solverentur, et eo militum coloniam deducturum. Qua re de rege audita Judæi perterriti sunt, sed Onias, qua erat avaritia, hæc pro nihilo habuit.

2. Josephus autem quidam, ætate juvenis, sed gravitate et prudentia et justitia apud Hierosolymitas celebris, patre Tobia natus ex sorore Oniæ pontificis, quum a matre didicisset adventum legati, (aberat enim tum in quodam pago nomine Phichola, ex quo erat ipse,) profectus in urbem, Oniam objurgabat, qui civium salutis rationem non haberet, sed genti periculum creare vellet, pecuniam avertendo, propter quam et populi administrationem et summi sacerdotis honorem adeptum esse dicebat : verum si pecuniæ usque adeo cupidus esset ut ejus causa sustineret videre patriam periclitantem, civesque suos indigna quæque passos, ei consilium dedit ut adiret regem, et sibi vel totam pecuniam vel certe partem condonari postularet. Quum autem Onias respondisset, se minime principatum velle, dixissetque se vel summum sacerdotium, si fieri posset, paratum esse deponere, et ad regem nequaquam iturum, (hæc enim sese omnino non curare,) tum eum rogavit *Josephus* utrum sibi permitteret legationem pro gente ad Ptolemæum suscipere. Quum autem ille dixisset se permittere, in templum ascendit Josephus, populoque in concionem advocato eos hortatus est ne perturbentur, aut quidquam

μηδὲ φοβεῖσθαι παρῆνει διὰ τὴν Ὀνίου τοῦ θείου περὶ αὐτῶν ἀμέλειαν, ἀλλ' ἐν ἀδείᾳ τῶν ἀπὸ τῆς σκυθρωποτέρας ἐλπίδος διάνοιαν αὐτοὺς ἔχειν ἠξίου· πρεσβεύσειν γὰρ αὐτὸς ἐπηγγέλλετο πρὸς τὸν βασιλέα καὶ πείσειν αὐτὸν ὅτι μηδὲν ἀδικοῦσιν. Καὶ τὸ μὲν πλῆθος τούτων ἀκοῦσαν ἠύχαρίστει τῷ Ἰωσήπῳ. Καταβὰς δ' αὐτὸς ἀπὸ τοῦ ἱεροῦ, ξενίᾳ τε ὑποδέχεται τὸν παρὰ τοῦ Πτολεμαίου πεπρεσβευκότα καὶ δωρησάμενος αὐτὸν πολυτελέσι δωρεαῖς καὶ ἐπὶ πολλὰς ἑστιάσας φιλοτίμως ἡμέρας προέπεμψε πρὸς τὸν βασιλέα, φράσας αὐτῷ καὶ αὐτὸς ἀκολουθήσειν. Καὶ γὰρ ἔτι μᾶλλον ἐγεγόνει πρόθυμος πρὸς τὴν ἄφιξιν τὴν παρὰ τὸν βασιλέα, τοῦ πρεσβευτοῦ προτρεψαμένου καὶ παρορμήσαντος εἰς Αἴγυπτον ἐλθεῖν, καὶ πάντων ὧν ἂν δέηται παρὰ τοῦ Πτολεμαίου τυχεῖν αὐτὸν ποιήσειν ὑποσχομένου· τὸ γὰρ ἐλευθέριον αὐτοῦ καὶ τὸ σεμνὸν τοῦ ἤθους λίαν ἠγάπησεν.

γ'. Καὶ ὁ μὲν πρεσβευτὴς ἐλθὼν εἰς τὴν Αἴγυπτον ἀπήγγειλε τῷ βασιλεῖ τὴν τοῦ Ὀνίου ἀγνωμοσύνην καὶ περὶ τῆς τοῦ Ἰωσήπου χρηστότητος ἐδήλου, καὶ ὅτι μέλλοι πρὸς αὐτὸν ἥξειν παραιτησόμενος τῶν ἁμαρτημάτων τὸ πλῆθος· εἶναι γὰρ αὐτοῦ προστάτην. Ἠμέλει τοσαύτη περὶ τῶν ἐγκωμίων τῶν νεανίσκου διετέλεσε χρώμενος περιουσία, ὥστε καὶ τὸν βασιλέα καὶ τὴν γυναῖκα αὐτοῦ Κλεοπάτραν προδιέθηκεν οἰκείως ἔχειν πρὸς τὸν Ἰώσηπον οὔπω παρόντα. Ὁ δὲ Ἰώσηπος διαπέμψας πρὸς τοὺς φίλους εἰς Σαμάρειαν, καὶ ὀανεισάμενος ἀργύριον καὶ τὰ πρὸς τὴν ἀποδημίαν ἑτοιμασάμενος, ἐσθῆτάς τε καὶ ἐκπώματα καὶ ὑποζύγια, καὶ ταῦθ' ὡς περὶ δισμυρίας δραχμὰς παρασκευασάμενος, εἰς Ἀλεξάνδρειαν παρεγένετο. Ἔτυχε δὲ κατ' ἐκεῖνον τὸν καιρὸν πάντας ἀναβαίνειν τοὺς ἐκ τῶν πόλεων τῶν τῆς Συρίας καὶ Φοινίκης πρώτους καὶ ἄρχοντας ἐπὶ τὴν τῶν τελῶν ὠνήν· κατ' ἔτος δὲ ταῦτα τοῖς δυνατοῖς τῶν ἐν ἑκάστῃ πόλει ἐπίπρασκεν ὁ βασιλεύς. Ὁρῶντες οὖν οὗτοι κατὰ τὴν ὁδὸν τὸν Ἰώσηπον ἐγλεύαζον ἐπὶ πενίᾳ καὶ λιτότητι. Ὡς δ' εἰς τὴν Ἀλεξάνδρειαν ἀφικόμενος ἐν Μέμφει τὸν βασιλέα Πτολεμαῖον ἤκουσεν ὄντα, ὑπαντησόμενος αὐτῷ ἀνέβαινεν. Καθεζομένου δὲ τοῦ βασιλέως ἐπὶ ὀχήματος μετὰ τῆς γυναικὸς, καὶ μετὰ Ἀθηνίωνος τοῦ φίλου, (οὗτος δ' ἦν ὁ πρεσβεύσας εἰς Ἱεροσόλυμα καὶ παρὰ Ἰωσήπῳ ξενισθείς,) θεασάμενος αὐτὸν ὁ Ἀθηνίων εὐθὺς ἐποίει τῷ βασιλεῖ γνώριμον, λέγων τοῦτον εἶναι περὶ οὗ παραγενόμενος ἐξ Ἱεροσολύμων ἀπήγγειλεν ὡς ἀγαθός τε εἴη καὶ φιλότιμος νεανίσκος. Ὁ δὲ Πτολεμαῖος πρῶτός τε αὐτὸν ἠσπάσατο καὶ ἀναβῆναι ἐπὶ τὸ ὄχημα παρεκάλεσε. Καὶ καθεσθέντος περὶ τῶν Ὀνίᾳ πραττομένων ἤρξατο ἐγκαλεῖν. Ὁ δὲ, « συγγίνωσκε, φησὶν, αὐτῷ διὰ τὸ γῆρας· οὐ γὰρ λανθάνει σε πάντως ὅτι καὶ τοὺς πρεσβύτας καὶ τὰ νήπια τὴν αὐτὴν διάνοιαν ἔχειν συμβέβηκε. Παρὰ δὲ ἡμῶν ἔσται σοι τῶν νέων ἅπαντα, ὥστε μηδὲν αἰτιάσασθαι. » Ἡσθεὶς δὲ ἐπὶ τῇ χάριτι καὶ τῇ εὐτραπελίᾳ τοῦ νεανίσκου, μᾶλλον αὐτὸν ὡς ἤδη καὶ

metuant, quod ejus avunculus Onias eos adeo neglexerit; animos vero ut a tristi exspectatione liberarent obsecravit : se enim legatum ad regem iturum esse promittebat, persuasurumque ei ipsos nihil iniqui agere. Et multitudo quidem istis auditis Josepho gratias egit. Ille vero, quum e templo descendisset, Ptolemæi legatum hospitio excipit, et ipsum magnis muneribus donatum multorumque dierum conviviis honoratum præmisit ad regem, dicens ei se quoque subsequuturum. Nam Regem convenire eo magis avebat, quod legatus ei animum audaciamque addiderat, et ad eundum in Ægyptum incitaverat, seque ei, quæcunque a Ptolemæo postulassset, impetraturum promiserat : quippe Josephi liberalitate et morum gravitate magnopere erat delectatus.

3. Et legatus quidem, ubi in Ægyptum venit, Oniæ sordes regi commemorat, et Josephi bonitatem ostendit, venturumque ad eum *dicit* ad crimen a populo deprecandum, quippe populi gubernatorem. Etenim juvenem verbis quam amplissimis prosequutus tantis laudibus extulit, ut in antecessum et regis et ejus uxoris Cleopatræ benevolentiam nondum præsenti conciliaverit. Et Josephus, missis in Samariam qui pecuniam ab amicis mutuarentur, paratisque iis quæ ad iter pertinerent, et vestibus poculisque et jumentis comparatis, impensis in hæc viginti drachmarum millibus, Alexandriam proficiscitur. Accidit etiam eo tempore ut ex urbibus Syriæ et Phœnices primarii quique homines et principes ad vectigalium auctionem proficiscerentur : illa enim rex quotannis cujusque urbis potentissimis vendebat. Hi itaque videntes in via Josephum deridebant eum ob paupertatem atque inopiam. Ille vero postquam Alexandriam pervenit et regem Memphi esse audivit, ascendit ei obviam. Tum autem rege forte in curru sedente cum uxore et Athenione amico suo, (ille vero erat qui Hierosolyma legatus iverat, et hospitio exceptus apud Josephum,) Athenion ipsum conspicatus statim regi indicavit, dicens hunc esse illum, de quo Hierosolymis reversus ipsi narrarit, quod bonus esset juvenis et liberalis. Tum Ptolemæus et prior ipsum salutavit et ut in currum ascenderet hortatus est. Deinde, sedente Josepho, cœpit de Oniæ facto expostulare. Sed ille, « da veniam, inquit, ejus senectuti : non enim te præterit ita a natura comparatum esse ut senum et infantium mens eadem sit. Sed a nobis juvenibus omnia consequeris, ita ut nihil conqueraris. » Hac juvenis venustate et urbanitate rex delectatus eum quasi jam experiundo cognitum magis amare cœpit,

πεπειραμένος ἀγαπᾶν ἤρξατο, ὡς ἔν τε τοῖς βασιλείοις αὐτὸν κελεῦσαι ἐνδιαιτᾶσθαι καὶ καθ' ἡμέραν ἐπὶ τῆς ἰδίας ἔχειν. Γενομένου δ' ἐν Ἀλεξανδρείᾳ τοῦ βασιλέως ἰδόντες οἱ πρῶτοι τῆς Συρίας συγκαθεζόμενον αὐτῷ τὸν Ἰώσηπον ἀηδῶς ἔφερον.

δ'. Ἐνστάσης δὲ τῆς ἡμέρας, καθ' ἣν ἐμελλε τὰ τέλη πιπράσκεσθαι τῶν πολεων, ἠγόραζον οἱ τοῖς ἀξιώμασιν ἐν ταῖς πατρίσι διαφέροντες. Εἰς ὀκτακισχίλια δὲ τάλαντα συναθροιζομένων τῶν τῆς Κοίλης Συρίας τελῶν καὶ τῶν τῆς Φοινίκης καὶ Ἰουδαίας σὺν τῇ Σαμαρείᾳ, προσελθὼν ὁ Ἰώσηπος τοὺς μὲν ὠνουμένους διέβαλλεν ὡς συνθεμένους ὀλίγην αὐτῷ τιμὴν ὑφίστασθαι τῶν τελῶν, αὐτὸς δὲ διπλασίονα δώσειν ὑπισχνεῖτο, καὶ τῶν ἁμαρτόντων εἰς τὸν οἶκον αὐτοῦ τὰς οὐσίας ἐκπέμψειν αὐτῷ· καὶ γὰρ καὶ τοῦτο τοῖς τέλεσι συνεπιπράσκετο. Τοῦ δὲ βασιλέως ἡδέως ἀκούσαντος καὶ ὡς αὔξοντι τὴν πρόσοδον αὐτοῦ καταχυροῦν τὴν ὠνὴν τῶν τελῶν ἐκείνῳ φήσαντος, ἐρομένου δὲ καὶ τοῦτο, εἰ τοὺς ἐγγυησομένους αὐτὸν ἔχει δοῦναι, σφόδρα ἀστείως ἀπεκρίνατο. Δώσω γὰρ, εἶπεν, ἀνθρώπους ἀγαθοὺς τε καὶ καλοὺς, οἷς οὐκ ἀπιστήσετε. Λέγειν δὲ τούτους οἵ τινές εἰσιν εἰπόντος, αὐτὸν, εἶπεν, ὦ βασιλεῦ, σέ τε καὶ τὴν γυναῖκα τὴν σὴν ὑπὲρ ἑκατέρου μέρους ἐγγυησομένους δίδωμί σοι. Γελάσας δ' ὁ Πτολεμαῖος συνεχώρησεν αὐτῷ δίχα τῶν ὁμολογούντων, ἔχειν τὰ τέλη. Τοῦτο σφόδρα τοὺς ἀπὸ τῶν πόλεων εἰς τὴν Αἴγυπτον ἐλθόντας ἐλύπησεν ὡς παρευδοκιμηθέντας. Καὶ οἱ μὲν ἐπανῆκον εἰς τὰς οἰκείας ἕκαστοι πατρίδας μετ' αἰσχύνης.

ε'. Ὁ δὲ Ἰώσηπος λαβὼν παρὰ τοῦ βασιλέως πεζῶν στρατιωτῶν δισχιλίους (ἠξίωσε γάρ τινα βοήθειαν λαβεῖν, ἵνα τοὺς ἐν ταῖς πόλεσι καταφρονοῦντας ἔχῃ βιάζεσθαι) καὶ δανεισάμενος ἐν Ἀλεξανδρείᾳ παρὰ τῶν τοῦ βασιλέως φίλων τάλαντα πεντακόσια, εἰς Συρίαν ἐξώρμησε. Γενόμενος δὲ ἐν Ἀσκάλωνι καὶ τοὺς φόρους ἀπαιτῶν τοὺς Ἀσκαλωνίτας, ἐπεὶ μηδὲν ἐβούλοντο διδόναι, ἀλλὰ καὶ προσύβριζον αὐτὸν, συλλαβὼν αὐτῶν τοὺς πρωτεύοντας ὡς εἴκοσι ἀπέκτεινε, καὶ τὰς οὐσίας αὐτῶν εἰς χίλια τάλαντα ἀθροισθείσας, ἔπεμψε τῷ βασιλεῖ, δηλῶν αὐτῷ καὶ τὰ γεγενημένα. Θαυμάσας δ' αὐτὸν ὁ Πτολεμαῖος τοῦ φρονήματος καὶ τῶν πεπραγμένων ἐπαινέσας αὐτὸν, ἐφίησιν αὐτῷ ποιεῖν ὅ τι βούλεται. Τοῦτ' ἀκούσαντες οἱ Σύροι κατεπλάγησαν, καὶ παράδειγμα τῆς ἀπειθείας χαλεπὸν ἔχοντες τοὺς τῶν Ἀσκαλωνιτῶν ἄνδρας ἀνῃρημένους, ἀνοίγοντες τὰς πύλας ἐδέχοντο προθύμως τὸν Ἰώσηπον καὶ τοὺς φόρους ἐτέλουν. Ἐπιχειρούντων δὲ καὶ Σκυθοπολιτῶν ὑβρίζειν αὐτὸν καὶ μὴ παρέχειν τοὺς φόρους αὐτῷ, οὓς μηδὲν ἀμφισβητοῦντες ἐτέλουν, καὶ τούτων ἀποκτείνας τοὺς πρώτους, τὰς οὐσίας αὐτῶν ἀπέστειλε τῷ βασιλεῖ. Συναγαγὼν δὲ πολλὰ χρήματα καὶ κέρδη ποιήσας μεγάλα ἐκ τῆς ὠνῆς τῶν τελῶν, εἰς τὸ διαμεῖναι τὴν ὑπάρχουσαν αὐτῷ δύναμιν τοῖς οὖσι κατεχρήσατο, τὴν ἀφορμὴν αὐτῷ καὶ τὴν ὑπόθεσιν τῆς

adeo ut eum in regia degere jusserit, et quotidianum convivam haberet. Deinde postquam Alexandriam rex venit, primores Syriæ, quum Josephum cum eo sedentem vidissent, graviter ferebant.

4. Post ubi dies venit auctionum vectigalium, qui in suis patriis dignitate præstabant, licebantur. Quum vero vectigalia Syriæ et Phœnices et Judææ cum Samaria ad octo millia talentorum excrescerent, accessit Josephus, et licitatores quidem criminatus est, tanquam ex composito in se recepissent tam parvum regi pro vectigalibus dare; ipse vero duplum pollicetur, eique bona missurum eorum qui in ejus domum peccavissent: namque hoc etiam una cum vectigalibus vendebatur. Quum autem rex ista libenter audivisset, dixissetque se ei, ut qui reditus suos augeret et amplificaret, vectigalia addicere, præterea vero id eum interrogaret, ecquos sponsores dare posset, festive admodum respondit. Dabo enim, inquit, bonos et honestos homines quibus non diffidetis. Quumque juberet *rex* ut qui sint isti diceret, Te ipsum, subjecit, o rex, conjugemque tuam pro utraque parte sponsores do. Hic subridens Ptolemæus ei vectigalia sine fidejussoribus addixit, id quod iis, qui ab urbibus in Ægyptum venerant, non mediocrem dolorem attulit, ut qui posthabiti fuerint. Et illi quidem suas quisque in patrias non sine pudore redierunt.

5. Josephus autem acceptis ab rege duobus peditum millibus (petiverat enim sibi copias, ut si qui in urbibus ipsum contemnerent, cogere posset) et mutuatus Alexandriæ a regis amicis quingenta talenta, in Syriam contendit. Ubi autem Ascalonem venit tributumque ab Ascalonitis exigit, atque illi non modo nihil solvere voluerunt, sed ipsum etiam contumeliis affecerunt, comprehendit eorum primarios, circiter viginti, eosque interficit, et redacta ex eorum facultatibus pecunia, ad mille talenta regi misit, et quidnam egerit ei demonstrat. Ptolemæus itaque ejus animum admiratus, approbatoque facto, ei quæ velit faciendi potestatem permittit. Quum hoc fama accepissent Syri, perterriti sunt, et Ascalonis cives occisos in grave contumaciæ exemplum habentes, Josephum portis apertis libenter excipiebant, et vectigalia solvebant. Quumque Scythopolitæ etiam id agerent, ut conviciis eum onerarent, et tributa pendere recusarent, quæ antea nihil hæsitantes conferebant, horum quoque primores ferro peremit et facultates eorum ad regem misit. Ubi autem multum pecuniæ collegerat, et magnum ex vectigalium redemptione lucrum fecerat, divitiis ad potentiam quam habebat stabiliendam usus est, bene ac sapienter facturum ratus, si occa-

τότε εὐτυχίας τηρεῖν φρόνιμον ἡγούμενος ἐξ αὐτῶν ὧν αὐτὸς ἐκέκτητο. Πολλὰ γὰρ ὑπὸ χεῖρα τῷ βασιλεῖ καὶ τῇ Κλεοπάτρᾳ δῶρα ἔπεμπε καὶ τοῖς φίλοις αὐτῶν καὶ πᾶσι τοῖς περὶ τὴν αὐλὴν δυνατοῖς, ὠνούμενος διὰ τούτων τὴν εὔνοιαν τὴν παρ' αὐτῶν.

ς' Ἀπέλαυσε δὲ ταύτης τῆς εὐτυχίας ἐπ' ἔτη εἴκοσι καὶ δύο, πατὴρ μὲν γενόμενος ἐκ μιᾶς γυναικὸς παίδων ἑπτά, ποιησάμενος δὲ καὶ ἐκ τῆς τοῦ ἀδελφοῦ Σολυμίου θυγατρὸς ἕνα Ὑρκανὸν ὄνομα. Γαμεῖ δὲ ταύτην ἐξ αἰτίας τοιαύτης. Σὺν τἀδελφῷ ποτε εἰς Ἀλεξάνδρειαν ἐλθὼν, ἄγοντι καὶ τὴν θυγατέρα γάμων ὥραν ἔχουσαν, ὅπως αὐτὴν συνοικίσῃ τινὶ τῶν ἐπ' ἀξιώματος Ἰουδαίων, καὶ δειπνῶν παρὰ τῷ βασιλεῖ, ὀρχηστρίδος εἰσελθούσης εἰς τὸ συμπόσιον εὐπρεποῦς ἐρασθεὶς, τῷ ἀδελφῷ τοῦτο μηνύει, παρακαλῶν αὐτὸν, ἐπεὶ καὶ νόμῳ κεκώλυται παρὰ τοῖς Ἰουδαίοις ἀλλοφύλῳ πλησιάζειν γυναικὶ, συγκρύψαντα τὸ ἁμάρτημα καὶ διάκονον ἀγαθὸν γενόμενον παρασχεῖν αὐτῷ ὥστε πληρῶσαι τὴν ἐπιθυμίαν. Ὁ δὲ ἀδελφὸς ἀσμένως δεξάμενος τὴν διακονίαν, κοσμήσας τὴν αὐτοῦ θυγατέρα νυκτὸς ἦγαγε πρὸς αὐτὸν καὶ συγκατεκοίμησεν. Ὁ δὲ ὑπὸ μέθης ἀγνοήσας τὸ ἀληθὲς συνέρχεται τῇ τοῦ ἀδελφοῦ θυγατρὶ, καὶ τούτου γενομένου πολλάκις ἡράσθη σφοδρότερον. Ἔφη δὲ καὶ πρὸς τὸν ἀδελφὸν ὡς κινδυνεύοι τὸ ζῆν ἐρῶν τῆς ὀρχηστρίδος, ἧς ἴσως οὐκ ἂν αὐτῷ παραχωρήσειν τὸν βασιλέα. Τοῦ δὲ ἀδελφοῦ μηδὲν ἀγωνιᾶν παρακαλοῦντος, ἀπολαύειν δ' ἧς ἐρᾷ μετὰ ἀδείας, καὶ γυναῖκα ἔχειν αὐτὴν φήσαντος, καὶ ταληθὲς αὐτῷ φανερὸν ποιήσαντος, ὡς ἕλοιτο μᾶλλον τὴν ἰδίαν ὑβρίσθαι θυγατέρα ἢ περιιδεῖν ἐκεῖνον ἐν αἰσχύνῃ γενόμενον, ἐπαινέσας αὐτὸν ὁ Ἰώσηπος τῆς φιλαδελφίας, συνῴκησεν αὐτοῦ τῇ θυγατρὶ καὶ παῖδα ἐξ αὐτῆς ἐγέννησεν Ὑρκανὸν ὄνομα, ὡς προειρήκαμεν. Ἐπεὶ δὲ ὢν τρισκαίδεκα ἐτῶν οὗτος ὁ παῖς νεώτερος ἐπεδείκνυτο τὴν φυσικὴν ἀνδρείαν καὶ σύνεσιν, ὡς ζηλοτυπηθῆναι δεινῶς αὐτὸν ὑπὸ τῶν ἀδελφῶν, ὄντα πολὺ κρείττονα καὶ φθονηθῆναι δυνάμενον, τοῦ δὲ Ἰωσήπου γνῶναι θελήσαντος τίς αὐτῷ τῶν υἱῶν πρὸς ἀρετὴν εὖ πέφυκε, καὶ καθ' ἕνα πέμψαντος πρὸς τοὺς παιδεύειν τότε δόξαν ἔχοντας, οἱ λοιποὶ μὲν ὑπὸ ῥᾳθυμίας καὶ τῆς πρὸς τὸ φιλεργεῖν μαλακίας ἀνόητοι καὶ ἀμαθεῖς ἐπανῆκον αὐτῷ. Μετὰ δ' ἐκείνους τὸν νεώτατον Ὑρκανὸν, δοὺς αὐτῷ τριακόσια ζεύγη βοῶν, ἐξέπεμψεν ὁδὸν ἡμερῶν δύο εἰς τὴν ἐρημίαν, σπεροῦντα τὴν γὴν, ἀποκρύψας τοὺς ζευκτῆρας ἱμάντας. Ὁ δὲ γενόμενος ἐν τῷ τόπῳ καὶ τοὺς ἱμάντας οὐκ ἔχων, τῆς μὲν τῶν βοηλατῶν γνώμης κατηλόγησε, συμβουλευόντων πέμπειν πρὸς τὸν πατέρα κομιοῦντάς τινας τοὺς ἱμάντας, τὸν δὲ καιρὸν ἡγησάμενος μὴ δεῖν ἀπολλύναι περιμένοντα τοὺς ἀποσταλησομένους, ἐπενόησέ τι στρατηγικὸν καὶ τῆς ἡλικίας πρεσβύτερον. Κατασφάξας γὰρ δέκα ζεύγη, τὰ μὲν κρέα τοῖς ἐργάταις διένειμε, τεμὼν δὲ τὰς λώρας αὐτῶν καὶ ποιήσας ἱμάντας ἐνέδησε τούτοις τὰ ζυγὰ, καὶ τοῦτον τὸν τρόπον σπείρας ἦν ὁ πατὴρ αὐτῷ

sionem sibi et causam præsentis felicitatis conservaret, ope illorum quæ acquisiverat. Nam multa regi et Cleopatræ et eorum amicis, et omnibus in domo regia potentibus, clanculum dona mittebat, hac ratione eorum benevolentiam emens.

6. Ea autem felicitate usus est annos duos et viginti, atque natos habuit ex una uxore septem, ex sui fratris Solymii filia unum nomine Hyrcanum. Illam vero duxit ex hujusmodi causa. Quum forte Alexandriam se contulisset una cum fratre, ducente secum filiam nubilem, ut ibi nobili alicui Judæo eam matrimonio jungeret, atque apud regem cœnans saltatriculæ forma egregia, in convivium ingressæ, amore captus esset, hoc ipum fratri indicavit, illum orans atque obsecrans ut, quoniam lege vetitum erat Judæis cum femina alienigena rem habere, ipse, peccato suo occultato, atque fidelem operam navando, effectum hoc redderet ut cupiditatem suam expleret. Frater autem, libenter pollicitus se voluntatis ejus ministrum fore, filiam suam ornatam noctu ad eum deduxit et in lectum ejus collocavit. Ille vero præ ebrietate ignorans quid ageretur, cum fratris filia congreditur, et quum hoc sæpiuscule fecisset, vehementius eam deperibat. Fratri etiam fatebatur se de vita periclitari ex amore saltatriculæ, ne forte rex nollet eam sibi concedere. Quum autem frater eum hortaretur ne animo esset anxio et sollicito, atque licere ei muliere amata frui eamque uxorem habere dixisset, et quid factum fuerit ei aperuisset, quod maluerit filiæ suæ injuriam fieri quam ipsum pati tale in sese dedecus admittere, Josephus, collaudata ejus fraterna benevolentia, filiam ipsius sibi matrimonio junxit, filiumque ex ea genuit nomine Hyrcanum, ut jam ante diximus. Quum vero hic natu minimus, annorum tredecim, nativam præ se ferret animi fortitudinem et ingenii præstantiam, adeo ut magnam fratribus zelotypiam concitarit, quippe tanto eis excellentior ut merito ei invideretur, ipseque Josephus scire voluerit quis præcipue omnium a natura esset ad virtutem factus formatusque, et unumquemque ad eos miserit qui ad alios instituendos tunc maxime idonei ferebantur, omnes præter Hyrcanum, ob segnitiem et laboris impatientiam, domum redierunt imperiti rerum et indocti. Post illos autem minimum natu Hyrcanum cum trecentis boum jugis misit bidui itinere in solitudinem ad terram conserendam, loris jugalibus clam subductis. Ille vero quum ad locum pervenisset et lora non haberet, contempsit quidem boves agitantium sententiam, qui suadebant ut ad patrem quosdam mitteret qui lora sibi afferrent : ratus vero non oportere se tempus perdere, dum exspectaret illos qui mitti deberent, rem callidi consilii prudentiæque ultra ætatem excogitavit. Mactatis enim decem jugis, carnes in operarios distribuit, sectis autem in lora tergoribus, iis juga religavit, et quum hoc pacto terram consevisset, quam sibi in mandatis dederat pater, ad eum se recepit. Pater autem reversum mirifice

προσέταξε γῆν ὑπέστρεψε πρὸς αὐτόν. Ἐλθόντα δ' ὁ πατὴρ ὑπερηγάπησε τοῦ φρονήματος, καὶ τὴν ὀξύτητα τῆς διανοίας καὶ τὸ ἐπ' αὐτῇ τολμηρὸν ἐπαινέσας, ὡς μόνον ὄντα γνήσιον, ἔτι μᾶλλον ἔστεργε, ἀχθομένων τῶν ἀδελφῶν ἐπὶ τούτῳ.

ζ'. Ὡς δ' ἀπήγγειλέ τις αὐτῷ κατὰ τοῦτον τὸν καιρὸν υἱὸν τῷ βασιλεῖ Πτολεμαίῳ γεγενῆσθαι, καὶ πάντες οἱ πρῶτοι τῆς Συρίας καὶ τῆς ὑπηκόου χώρας ἑορτάζοντες τὴν γενέσιον ἡμέραν τοῦ παιδίου μετὰ μεγάλης παρασκευῆς εἰς τὴν Ἀλεξάνδρειαν ἐξώρμων, αὐτὸς μὲν ὑπὸ γήρως κατείχετο, τῶν δ' υἱῶν ἀπεπειρᾶτο εἴ τις αὐτῶν βούλεται ἀπελθεῖν πρὸς τὸν βασιλέα. Τῶν δὲ πρεσβυτέρων παραιτησαμένων, καὶ πρὸς τὰς τοιαύτας συνουσίας ἀγροικότερον ἔχειν φησάντων, τὸν ἀδελφὸν δὲ Ὑρκανὸν πέμπειν συμβουλευσάντων, ἡδέως ἀκούσας καλεῖ τὸν Ὑρκανὸν, καὶ εἰ δύναιτο πρὸς τὸν βασιλέα βαδίσαι καὶ εἰ πρόθυμός ἐστιν ἀνέκρινεν. Ἐπαγγειλαμένου δὲ πορεύσεσθαι καὶ δεῖσθαι χρημάτων οὐ πολλῶν φήσαντος εἰς τὴν ὁδὸν, (ζήσεσθαι γὰρ ἐπιεικῶς, ὥστε ἀρκέσειν αὐτῷ δραχμὰς μυρίας,) ἥσθη τοῦ παιδὸς τῇ σωφροσύνῃ. Διαλιπὼν δ' ὀλίγον ὁ παῖς συνεβούλευε τῷ πατρὶ δῶρα μὲν αὐτόθεν μὴ πέμπειν τῷ βασιλεῖ, δοῦναι δ' ἐπιστολὴν πρὸς τὸν ἐν Ἀλεξανδρείᾳ οἰκονόμον, ὅπως αὐτῷ παρέχῃ πρὸς ὠνὴν ὧν ἂν εὕρῃ καλλίστων καὶ πολυτελῶν χρήματα. Ὁ δὲ νομίζων δέκα ταλάντων ἔσεσθαι τὴν εἰς τὰς δωρεὰς τῷ βασιλεῖ δαπάνην καὶ τὸν υἱὸν ἐπαινέσας ὡς παραινοῦντα καλῶς, γράφει τῷ οἰκογόμῳ Ἀρίωνι, ὃς ἅπαντα τὰ ἐν Ἀλεξανδρείᾳ χρήματα αὐτοῦ διῴκει, οὐκ ὄντα ἐλάσσω τρισχιλίων ταλάντων. Ὁ γὰρ Ἰώσηπος τὰ ἀπὸ τῆς Συρίας χρήματα ἔπεμπεν εἰς τὴν Ἀλεξάνδρειαν καὶ τῆς προθεσμίας ἐνισταμένης, καθ' ἣν ἔδει τῷ βασιλεῖ τοὺς φόρους ἀπαριθμεῖν, ἔγραφε τῷ Ἀρίωνι τοῦτο ποιεῖν. Πρὸς οὖν τοῦτον ἀπαιτήσας τὸν πατέρα καὶ λαβὼν ἐπιστολὴν εἰς τὴν Ἀλεξάνδρειαν ὥρμησεν. Ἐξελθόντος δ' αὐτοῦ γράφουσιν οἱ ἀδελφοὶ πᾶσι τοῖς τοῦ βασιλέως φίλοις ἵν' αὐτὸν διαφθείρωσιν.

η'. Ὡς δὲ παραγενόμενος εἰς τὴν Ἀλεξάνδρειαν ἀπέδωκε τῷ Ἀρίωνι τὴν ἐπιστολὴν, ἐπερωτήσαντος αὐτοῦ πόσα βούλεται τάλαντα λαβεῖν, (ἤλπισε δ' αὐτὸν αἰτήσειν δέκα, ἢ βραχεῖ τούτων πλέον,) εἰπόντος χιλίων χρῄζειν, ὀργισθεὶς ἐπέπληττεν αὐτῷ ὡς ἀσώτως ζῆν διεγνωκότι, καὶ πῶς ὁ πατὴρ αὐτοῦ συναγάγοι τὴν οὐσίαν, ὡς πονῶν καὶ ταῖς ἐπιθυμίαις ἀντέχων, ἐδήλου, καὶ μιμητὴν αὐτὸν ἠξίου γενέσθαι τοῦ γεννήσαντος· δώσειν δ' οὐδὲν πλέον ταλάντων δέκα, καὶ ταῦτ' εἰς δωρεὰν τῷ βασιλεῖ. Παροξυνθεὶς δὲ ὁ παῖς εἰς δεσμὰ τὸν Ἀρίωνα ἐνέβαλε. Τῆς δὲ τοῦ Ἀρίωνος γυναικὸς τοῦτο δηλωσάσης τῇ Κλεοπάτρᾳ καὶ δεηθείσης ὅπως ἐπιπλήξῃ τῷ παιδὶ, (σφόδρα γὰρ ἦν ὁ Ἀρίων ἐν τιμῇ παρ' αὐτῇ,) φανερὸν τῷ βασιλεῖ τοῦτο ἐποίησεν ἡ Κλεοπάτρα. Ὁ δὲ Πτολεμαῖος πέμψας πρὸς τὸν Ὑρκανὸν θαυμάζειν ἔλεγε πῶς ἀποσταλεὶς πρὸς αὐτὸν ὑπὸ τοῦ πατρὸς οὔτε ὀφθείη αὐτῷ καὶ προσέτι δήσειε

dilexit ob animi magnitudinem : quumque eum laudibus extulisset, quod non minus rem exsequi auderet quam prompte eam excogitarit, magis adhuc, quasi solus ei germanus esset filius, ipsum amabat, fratribus hoc ægre ferentibus.

7. Quum autem ei nunciaretur sub id tempus Ptolemæo natum esse filium, atque omnes primi Syriæ et regionis subjectæ ad celebrandos pueri natales magno cum apparatu Alexandriam ire contenderent, ille quidem senio retinebatur, filios vero tentavit an quis eorum ad regem proficisci vellet. Quod quum grandiores recusassent, et sese ad tales congressus rusticiores esse dixissent, atque ut fratrem Hyrcanum mitteret consilium ei dedissent, libenter hoc audito, Hyrcanum vocat, et an regem adire posset paratusque sit interrogat. Qui quum se iturum promisisset, dixissetque non multa ad iter egere pecunia, (victurum enim frugaliter, ut satis futura sint ei decem drachmarum millia, admodum delectatus est pueri moderatione. Deinde parvo spatio interjecto patri consulebat puer ne inde dona regi mitteret, sed sibi literas ad Alexandrinum procuratorem daret, ut ipsi pecuniam præberet ad coemenda quæ inveniret pulcerrima atque pretiosissima. Pater vero arbitratus ad decem talenta impensurum esse muneribus quæ regi datum iret, filioque laudato, ut qui prudenter ipsum monuisset, Arioni dispensatori scripsit, qui totius ejus Alexandrinæ pecuniæ procurationem habebat, quæ erat non minus quam trium millium talentorum. Josephus enim Syriæ pecunias mittebat Alexandriam, et instante die præstituta, qua regi numeranda erant vectigalia, scribebat Arioni ut id faceret. Petitis igitur a patre ad hunc literis acceptisque, Alexandriam ire properavit. Verum eo profecto, scribunt ejus fratres ad omnes regis amicos ut eum interficiant.

8. Postquam vero Alexandriam pervenit, Arioni literas tradidit ; qui quum ab eo quæsivisset quot talenta vellet accipere, (sperabat enim eum postulaturum decem, aut paulo his amplius,) atque ille sibi mille opus esse diceret, iratus eum objurgabat ut luxuriose admodum vivere volentem, eique ostendebat quo pacto pater ejus eas facultates, ut laborans et cupiditatibus resistens, congesserit, monebatque ut parentis imitatorem se præbeat : se quidem non amplius quam decem talenta daturum, eaque in munera regi *offerenda*. At puer ira accensus, Arionem in vincula conjiciebat. Quum autem Arionis uxor hoc ipsum Cleopatræ indicasset, orassetque ut pueri arrogantiam increparet, (apud eam enim Arion summo in honore erat,) regi hoc palam fecit Cleopatra. Ptolemæus itaque, missis ad Hyrcanum nunciis, dicebat se mirari qui factum sit ut ad se a patre legatus in conspectum suum non venisset, et insuper

τὸν οἰκονόμον· ἐλθόντα οὖν τὴν αἰτίαν αὐτῷ μηνύειν ἐκέλευσε. Τὸν δέ φασιν ἀποκρινάμενον τῷ παρὰ τοῦ βασιλέως λέγειν αὐτῷ ὅτι νόμος ἐστὶ παρ' αὐτῷ κωλύων τὸν γεννηθέντα γεύσασθαι θυσίας, πρὶν εἰς τὸ ἱερὸν ἐλθὴ καὶ θύσῃ τῷ Θεῷ. Κατὰ δὴ τοῦτον τὸν λογισμὸν οὐδ' αὐτὸν ἐλθεῖν πρὸς αὐτὸν, περιμένοντα δῶρα κομίσαι τοῦ πατρὸς εὐεργέτῃ γενομένῳ, τὸν δὲ δοῦλον κολάσαι παρακούσαντα ὧν προσέταξε· διαφέρειν γὰρ οὐδὲν ἢ μικρὸν εἶναί τινα δεσπότην ἢ μέγαν. Ἂν οὖν μὴ κολάζωμεν τοὺς τοιούτους, καὶ σὺ προσδόκα ὑπὸ τῶν ἀρχομένων καταφρονηθήσεσθαι. Ταῦτ' ἀκούσας ὁ Πτολεμαῖος εἰς γέλωτα ἐτράπη καὶ τὴν μεγαλοφροσύνην τοῦ παιδὸς ἐθαύμασε.

θ'. Μαθὼν δὲ ὁ Ἀρίων ὅτι τοῦτον ὁ βασιλεὺς διετέθη τὸν τρόπον καὶ ὅτι μηδεμία βοήθειά ἐστιν αὐτῷ, δοὺς τὰ χίλια τάλαντα τῷ παιδὶ τῶν δεσμῶν ἀπελύθη, καὶ τρεῖς διαλιπὼν ἡμέρας ὁ Ὑρκανὸς ἠσπάσατο τοὺς βασιλέας. Οἱ δὲ ἀσμένως αὐτὸν εἶδον καὶ φιλοφρόνως εἱστίασαν διὰ τὴν πρὸς τὸν πατέρα τιμήν. Λάθρα δὲ πρὸς τοὺς ἐμπόρους ἀπελθὼν ὠνεῖται παρ' αὐτῶν παῖδας μὲν ἑκατὸν γράμματα ἐπισταμένους καὶ ἀκμαιοτάτους, ἑνὸς ἕκαστον ταλάντου, ἑκατὸν δὲ παρθένους τῆς αὐτῆς τιμῆς ἑκάστην. Κληθεὶς δ' ἐρ' ἑστίασιν πρὸς τὸν βασιλέα μετὰ τῶν πρώτων τῆς χώρας ὑποκατακλίνεται πάντων, καταφρονηθεὶς ὡς παῖς ἔτι τὴν ἡλικίαν ὑπὸ τῶν τοὺς τόπους κατὰ τὴν ἀξίαν διανεμόντων. Τῶν δὲ συγκατακειμένων πάντων τῶν μερῶν τὰ ὀστᾶ (ἀνῄρουν γὰρ αὐτοὶ τὰς σάρκας) σωρευόντων ἔμπροσθεν τοῦ Ὑρκανοῦ, ὡς πληρῶσαι τὴν παρακειμένην αὐτῷ τράπεζαν, Τρύφων, ὃς ἦν τοῦ βασιλέως ἄθυρμα καὶ πρὸς τὰ σκώμματα καὶ τοὺς ἐν τοῖς πότοις γέλωτας ἀνεδέδεκτο, παρακαλεσάντων αὐτὸν τῶν κατακειμένων τῇ τραπέζῃ, παρεστὼς τῷ βασιλεῖ, « ὁρᾷς, εἶπεν, ὦ δέσποτα, τὰ παρακείμενα Ὑρκανῷ ὀστᾶ; ἐκ τούτου στόχασαι ὅτι καὶ ὁ πατὴρ αὐτοῦ τὴν Συρίαν ἅπασαν περιέδυσεν ὡς οὗτος ταῦτα τῶν σαρκῶν ἐγύμνωσε. » Γελάσαντος δὲ πρὸς τὸν τοῦ Τρύφωνος λόγον τοῦ βασιλέως καὶ ἐρομένου τὸν Ὑρκανὸν ὅ τι τοσαῦτα αὐτῷ παράκειται ὀστᾶ, « εἰκότως, εἶπεν, ὦ δέσποτα· τοὺς μὲν γὰρ κύνας τὰ ὀστᾶ σὺν τοῖς κρέασι κατεσθίειν ὥσπερ οὗτοι (πρὸς τοὺς κατακειμένους ἐπιβλέπων), ὅτι μηδὲν ἔμπροσθεν αὐτῶν ἔκειτο· οἱ δ' ἄνθρωποι τὸ κρέας ἐσθίουσι, τὰ δὲ ὀστᾶ ῥιπτοῦσιν, ὅπερ ἄνθρωπος ὢν κἀγὼ νῦν πεποίηκα. » Ὁ δὲ βασιλεὺς θαυμάσας τὴν ἀπόκρισιν αὐτοῦ σοφὴν οὕτω γενομένην, πάντας ἐκέλευσεν ἀνακροτῆσαι, τῆς εὐτραπελίας ἀποδεχόμενος αὐτόν. Τῇ δ' ἐπιούσῃ πρὸς ἕκαστον τῶν τοῦ βασιλέως φίλων πορευόμενος καὶ τῶν παρὰ τὴν αὐλὴν δυνατῶν τοὺς μὲν ἠσπάζετο, παρὰ δὲ τῶν οἰκετῶν ἀπεπυνθάνετο τί μέλλουσι διδόναι τῷ βασιλεῖ δῶρον ἐν τῇ τοῦ παιδὸς αὐτοῦ γενεθλίῳ. Τῶν δὲ τοὺς μὲν ἀνὰ δώδεκα τάλαντα μέλλειν διδόναι φησάντων, τοὺς δ' ἐν ἀξίᾳ κατὰ τὸ μέγεθος τῆς οὐσίας ἕκαστον αὐτῶν, ὑπεκρίνατο λυπεῖσθαι διὰ τὸ μὴ δύνασθαι τοιαύτα

procuratorem in vincula dedisset : itaque jussit ut ipsi significatum veniret quamobrem ita fecerit. Illum vero, in responso ad regis nuncium dato ferunt dixisse ipsum regem habere legem, quæ vetaret ne natus filius sacrificium gustaret, nisi prius in templum intrasset, Deoque sacrificasset. Hac ratione neque se ad eum venisse, quod exspectaret dum dona ferre posset homini de suo patre bene merito. Quod ad servum attineret, sese in eum propterea animadvertisse, quod sibi dicto audiens non fuisset : nihil enim interesse utrum parvus aliquis sit herus an magnus. Quod nisi tales puniemus, exspecta tu quoque futurum ut a tuis subditis contemnaris. His auditis Ptolemæus ridere cœpit, et pueri magnanimitatem admiratus est.

9. Arion autem ubi intellexit regem ita in eum animo affectum esse, et opem sibi ferri a nemine, puero datis mille talentis, vinculis solutus est, et triduo interjecto Hyrcanus reges salutavit. Illi vero eum libenter viderunt et comiter convivio exceperunt, propter ejus patris reverentiam. Deinde *is* mercatores secreto aggressus coemit ab eis centum pueros literarum peritos eosdemque valentissimos, talento unumquemque, et centum puellas eodem pretio. Tum a rege vocatus ad convivium cum primoribus regionis, infimus omnium accumbit, ob ætatem puerilem contemptui habitus ab iis, quorum munus erat ex dignitate loca assignare. Quum autem omnes qui una accubuerunt, portionum ossa (nam carnes iis ipsi ademerant) ante Hyrcanum in cumulum congererent, adeo ut mensam ipsi appositam replerent, Tryphon, qui regi in deliciis et ad scommata et ridicula in compotationibus jacienda delectus erat, rogatus a convivis, ubi regi adstiterat, « viden', inquit, o domine, quantum ossium ante Hyrcanum jaceat? ex his conjice quod illius etiam pater totam Syriam spoliaverit, quemadmodum hic ista nudavit carnibus. » Rege vero ad hunc Tryphonis sermonem in risum effuso et Hyrcanum interrogante cur tam multa ipsi apposita sint ossa, « nihil mirum, inquit, domine; canum enim est ossa una cum carnibus devorare, sicut isti (accumbentes intuens) fecerunt, quod nihil ossium ante eos reperiatur : homines autem comesis carnibus ossa solent abjicere, quod et ego, homo quum sim, etiam nunc feci. » Ibi rex, responsi ejus acumen miratus, jussit universos ei plaudere, laudans eum ob facete dictum. Sequenti vero die *Hyrcanus*, aditis omnibus regis amicis et in domo regia potentibus, ipsos quidem salutavit, a famulis vero quæsivit quæ munera regi daturi essent die natali filii ejus. Quumque illi dixissent quosdam largituros esse talenta duodecim, alios autem in dignitate constitutos pro suarum quemque facultatum magnitudine, simulavit se dolere quod ejusmodi munera, afferre non possit : sibi

τὴν προσενεγκεῖν δωρεάν· πλέον γὰρ πέντε ταλάντων οὐκ ἔχειν. Οἱ δὲ θεράποντες ταῦτ' ἀκούσαντες ἀπήγγελλον τοῖς δεσπόταις. Χαιρόντων δ' αὐτῶν ὡς καταγνωσθησομένου τοῦ Ἰωσήπου καὶ προσκρούσοντος τῷ βασιλεῖ διὰ τὴν βραχύτητα τῆς δωρεᾶς, ἐνστάσης τῆς ἡμέρας, οἱ μὲν ἄλλοι προσέφερον τῷ βασιλεῖ ταλάντων οἱ λίαν μεγαλοδωρεῖσθαι νομίζοντες οὐ πλεῖον εἴκοσιν, ὁ δὲ Ὑρκανὸς οὓς ὠνήσατο παῖδας ἑκατὸν καὶ παρθένους τοσαύτας ἀνὰ τάλαντον ἑκάστῳ φέρειν δοὺς προσήγαγε, τοὺς μὲν τῷ βασιλεῖ, τὰς δὲ τῇ Κλεοπάτρᾳ. Πάντων δὲ θαυμασάντων τὴν παρ' ἐλπίδα τῶν δώρων πολυτέλειαν καὶ τῶν βασιλέων αὐτῶν, καὶ τοῖς φίλοις ἔτι καὶ τοῖς περὶ τὴν θεραπείαν τοῦ βασιλέως οὖσι πολλῶν ἄξια ταλάντων δῶρα ἔδωκεν, ὡς διαφυγεῖν τὸν ἐξ αὐτῶν κίνδυνον· τούτοις γὰρ ἐγεγράφεισαν αὐτοῦ οἱ ἀδελφοὶ διαχρήσασθαι τὸν Ὑρκανόν. Πτολεμαῖος δὲ τὴν μεγαλοψυχίαν ἀγασάμενος τοῦ μειρακίου προσέταττεν αὐτῷ δωρεὰν ἣν βούλεται λαμβάνειν. Ὁ δ' οὐδὲν πλέον ἠξίωσεν αὐτῷ γενέσθαι παρ' αὐτοῦ ἢ γράψαι τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς περὶ αὐτοῦ. Τιμήσας οὖν αὐτὸν φιλοτιμότατα καὶ δωρεὰς δοὺς λαμπράς, καὶ τῷ τε πατρὶ γράψας καὶ τοῖς ἀδελφοῖς, καὶ πᾶσι τοῖς ἡγεμόσιν αὐτοῦ καὶ ἐπιτρόποις, ἐξέπεμψεν. Ἀκούσαντες δὲ οἱ ἀδελφοὶ τούτων τετυχηκότα τὸν Ὑρκανὸν παρὰ τοῦ βασιλέως καὶ μετὰ μεγάλης ἐπανερχόμενον τιμῆς, ἐξῆλθον ὑπαντησόμενοι καὶ διαφθεροῦντες αὐτόν, καὶ τοῦ πατρὸς εἰδότος· ὀργιζόμενος γὰρ αὐτῷ ἕνεκεν τῶν εἰς τὰς δωρεὰς χρημάτων οὐκ ἐφρόντιζε τῆς σωτηρίας αὐτοῦ. Τὴν ὀργὴν μέντοι τὴν πρὸς τὸν υἱὸν ὁ Ἰώσηπος ἀπεκρύπτετο, φοβούμενος τὸν βασιλέα. Συμβαλόντων δ' αὐτῷ τῶν ἀδελφῶν εἰς μάχην, ἄλλους τε τῶν σὺν αὐτοῖς πολλοὺς ἀπέκτεινε καὶ δύο τῶν ἀδελφῶν, οἱ δὲ λοιποὶ διεσώθησαν εἰς Ἱεροσόλυμα πρὸς τὸν πατέρα. Παραγενόμενον δ' αὐτὸν εἰς τὴν πόλιν ἐπεὶ μηδεὶς ἐδέχετο, δείσας ἀνεχώρησεν εἰς τὸ πέραν τοῦ Ἰορδάνου ποταμοῦ, κἀκεῖ διέτριβε φορολογῶν τοὺς βαρβάρους.

ι'. Ἐβασίλευσε δὲ κατ' ἐκεῖνον τὸν καιρὸν τῆς Ἀσίας Σέλευκος ὁ Φιλοπάτωρ ἐπικαλούμενος, υἱὸς ὢν Ἀντιόχου τοῦ μεγάλου. Τελευτᾷ δὲ καὶ ὁ τοῦ Ὑρκανοῦ πατὴρ Ἰώσηπος, ἀνὴρ ἀγαθὸς γενόμενος καὶ μεγαλόφρων καὶ τὸν τῶν Ἰουδαίων λαὸν ἐκ πτωχείας καὶ πραγμάτων ἀσθενῶν εἰς λαμπροτέρας ἀφορμὰς τοῦ βίου καταστήσας, εἰκοσιν ἔτη καὶ δύο τὰ τῆς Συρίας τέλη καὶ Φοινίκης καὶ Σαμαρείας κατασχών. Ἀπέθανε δὲ καὶ ὁ θεῖος αὐτοῦ Ὀνίας, τὴν ἀρχιερωσύνην Σίμωνι τῷ παιδὶ καταλιπών. Τελευτήσαντος δὲ καὶ τούτου, ὁ υἱὸς αὐτοῦ διάδοχος τῆς τιμῆς αὐτοῦ Ὀνίας γίνεται, πρὸς ὃν ὁ Λακεδαιμονίων βασιλεὺς Ἄρειος πρεσβείαν τε ἔπεμπε καὶ ἐπιστολάς, ὧν τὸ ἀντίγραφόν ἐστι τοιοῦτον.

(Ε'.) Βασιλεὺς Λακεδαιμονίων Ἄρειος Ὀνίᾳ χαίρειν.

« Ἐντυγόντες γραφῇ τινι ηὕρομεν ὡς ἐξ ἑνὸς εἶεν « γένους Ἰουδαῖοι καὶ Λακεδαιμόνιοι καὶ ἐκ τῆς πρὸς « Ἄβραμον οἰκειότητος. Δίκαιον οὖν ἐστιν ἀδελφοὺς

enim ad largiendum non plus quam quinque talenta suppetere. Hæc ubi audiverant famuli, dominis ea nunciaverunt. Illis autem gaudentibus Josephum damnatum iri animumque regis offensurum esse muneris exilitate, ubi dies venit, alii quidem, etiam qui munificentissimi habiti, vicena ad summum afferebant talenta, Hyrcanus vero pueris centum quos emerat totidemque puellis singula talenta ferenda tradidit, et illos regi, has Cleopatræ adduxit. Ac mirantibus cunctis ipsisque adeo Regibus insperatam largitionis magnificentiam et sumptus, insuper et amicis famulisque Regis dona multorum talentorum dedit, ne quid ab illis periculi adiret: his enim scripserant ejus fratres ut Hyrcanum perimerent. Ptolemæus autem admiratus magnanimitatem adolescentis jussit ut quod vellet donum postularet. Ille vero nihil amplius ab eo petiit quam ut ad patrem et ad fratres de ipso scriberet. Rex itaque eum maximo honore prosequutus, amplisque donis muneratus, scriptis ad patrem et ad fratres et ad omnes suos præsides procuratoresque literis eum dimisit. Fratres autem, quum auditione accepissent quæ Hyrcanus a rege consequutus est, eumque redire cum ingenti honore, obviam egressi sunt ut eum necarent, etiam patre sciente: quippe ei iratus ob insumptas in dona pecunias de salute ejus minus erat sollicitus. Veruntamen iram in filium dissimulabat Josephus metu regis. Fratribus autem cum Hyrcano prælio congressis, alios ex eorum hominibus multos, tum duos suorum fratrum interfecit: ceteri Hierosolyma ad patrem evaserunt. Ille vero in urbem profectus, quum nemo eum admitteret, timuit, seque trans fluvium Jordanem recepit, et ibi barbaros cogens sibi tributa solvere commoratus est.

10. Per id autem tempus regnabat in Asia Seleucus, cognomine Philopator, Antiochi Magni filius. Tunc moritur et Hyrcani pater Josephus, vir bonus et magnanimus, qui Judæum populum ex paupertate et tenuitate in splendidiorem vitæ statum perduxit, et Syriæ Phœnicesque et Samariæ vectigalia viginti duos annos tenuit. Moritur et ejus avunculus Onias, Simoni filio suo pontificatu relicto. Huic porro vita defuncto Onias ejus filius in honorem successit, ad quem Lacedæmoniorum rex Arêus legatos misit et literas, quarum exemplar hujusmodi est.

(V.) Rex Lacedæmoniorum Arêus Oniæ salutem.

« Incidimus in quoddam scriptum, in quo invenimus « ejusdem generis esse Judæos et Lacedæmonios et ex « Abrami domo oriundos. Quamobrem æquum est ut vos

« ὑμᾶς ὄντας διαπέμπεσθαι πρὸς ἡμᾶς περὶ ὧν ἂν « βούλησθε. Ποιήσομεν δὲ καὶ ἡμεῖς τὸ αὐτὸ καὶ τά τε « ὑμέτερα ἴδια νομιοῦμεν καὶ τὰ αὐτῶν κοινὰ πρὸς ὑμᾶς « ἔξομεν. Δημοτέλης ὁ φέρων τὰ γράμματα διαπέμπει « τὰς ἐπιστολάς. Τὰ γεγραμμένα ἐστὶ τετράγωνα, « ἡ σφραγὶς ἐστιν ἀετὸς δράκοντος ἐπειλημμένος. »

ια'. Ἡ μὲν οὖν ἐπιστολὴ ἡ πεμφθεῖσα παρὰ τοῦ Λακεδαιμονίων βασιλέως τοῦτον περιεῖχε τὸν τρόπον. Ἀποθανόντος δὲ Ἰωσήπου τὸν λαὸν συνέβη στασιάσαι διὰ τοὺς παῖδας αὐτοῦ. Τῶν γὰρ πρεσβυτέρων πόλεμον ἐξενεγκαμένων πρὸς Ὑρκανὸν, ὃς ἦν νεώτατος τῶν Ἰωσήπου τέκνων, διέστη τὸ πλῆθος· καὶ οἱ μὲν πλείους τοῖς πρεσβυτέροις συνεμάχουν καὶ ὁ ἀρχιερεὺς Σίμων διὰ τὴν συγγένειαν. Ὁ δὲ Ὑρκανὸς ἐπανελθεῖν μὲν οὐκέτι διέγνω εἰς Ἱεροσόλυμα· προσκαθίσας δὲ τοῖς πέραν τοῦ Ἰορδάνου συνεχῶς ἐπολέμει τοὺς Ἄραβας, ὡς πολλοὺς αὐτῶν καὶ ἀποκτεῖναι καὶ λαβεῖν αἰχμαλώτους. Ὠκοδόμησε δὲ βᾶριν ἰσχυρὰν, ἐκ λίθου λευκοῦ κατασκευάσας ἅπασαν μέχρι καὶ τῆς στέγης, ἐγγλύψας ζῷα παμμεγεθέστατα. Περιήγαγε δὲ αὐτῇ εὖριπον μέγαν καὶ βαθύν· ἐκ δὲ τῆς καταντικρὺ τοῦ ὄρους πέτρας, διατεμὼν αὐτῆς τὸ προέχον, σπήλαια πολλῶν σταδίων τὸ μῆκος κατεσκεύασεν, ἔπειτα οἴκους ἐν αὐτῇ, τοὺς μὲν εἰς συμπόσια, τοὺς δὲ εἰς ὕπνον καὶ δίαιταν ἐποίησεν· ὑδάτων δὲ διαθεόντων πλῆθος, ἃ καὶ τέρψις ἦν καὶ κόσμος τῆς αὐλῆς, εἰσήγαγε. Τὰ μέντοι στόμια τῶν σπηλαίων, ὥστε ἕνα δι' αὐτῶν εἰσιέναι καὶ μὴ πλείους, βραχύτερα ἤνοιξε· καὶ ταῦτ' ἐπίτηδες, ἀσφαλείας ἕνεκα τοῦ μὴ πολιορκηθεὶς ὑπὸ τῶν ἀδελφῶν κινδυνεῦσαι ληφθεὶς, κατεσκεύασε. Προσῳκοδόμησε δὲ καὶ αὐλὰς τῷ μεγέθει διαφερούσας, ἃς καὶ παραδείσοις ἐκόσμησε παμμήκεσι. Καὶ τοιοῦτον ἀπεργασάμενος τὸν τόπον Τύρον ὠνόμασεν. Οὗτος ὁ τόπος ἐστὶ μεταξὺ τῆς τε Ἀραβίας καὶ τῆς Ἰουδαίας πέραν τοῦ Ἰορδάνου, οὐ πόρρω τῆς Ἐσσεβωνίτιδος. Ἦρξε δ' ἐκείνων τῶν μερῶν ἐπὶ ἔτη ἑπτὰ, πάντα τὸν χρόνον ὃν Σέλευκος τῆς Συρίας ἐβασίλευσεν. Ἀποθανόντος γὰρ τούτου, μετ' αὐτὸν ὁ ἀδελφὸς Ἀντίοχος, ὁ κληθεὶς Ἐπιφανὴς, τὴν βασιλείαν κατέσχε. Τελευτᾷ δὲ καὶ Πτολεμαῖος ὁ τῆς Αἰγύπτου βασιλεὺς, καὶ αὐτὸς καλούμενος Ἐπιφανὴς, καταλιπὼν δύο παῖδας ἔτι βραχεῖς τὴν ἡλικίαν, ὧν ὁ μὲν πρεσβύτερος Φιλομήτωρ ἐκαλεῖτο, Φύσκων δὲ ὁ νεώτερος. Ὑρκανὸς δὲ ὁρῶν μεγάλην δύναμιν ἔχοντα τὸν Ἀντίοχον καὶ δείσας μὴ καὶ συλληφθεὶς ὑπ' αὐτοῦ κολασθῇ διὰ τὰ πρὸς τοὺς Ἄραβας αὐτῷ πεπραγμένα, τελευτᾷ τὸν βίον αὐτόχειρ αὑτῷ γενόμενος· τὴν δ' οὐσίαν αὐτοῦ πᾶσαν Ἀντίοχος λαμβάνει.

« qui sitis fratres nostri, nobis significetis, si quid est quod « velitis. Etenim nos idem faciemus, et quæ vestra sunt « nostra existimabimus, et nostra vobiscum communia « habebimus. Demoteles, qui literas affert, mandata ge- « rit. Scriptura est quadrata, sigillum est aquila draco- « nem tenens. »

11. Et epistola quidem a Lacedæmoniorum rege missa hæc continebat. Josepho autem mortuo ortum est in populo dissidium propter ejus natos. Quum enim grandiores bellum intulissent Hyrcano, qui natu minimus erat, scissa est multitudo, majorque pars a grandioribus stabat, necnon pontifex Simon propter cognationem. Hyrcanus vero Hierosolyma deinceps non redire statuit; sed trans Jordanem capta sede cum Arabibus continenter bellum gerebat, ita ut eorum multos partim interfecerit, partim captivos ceperit. Ædificavit etiam validam turrem, quam e candido marmore totam exstruxit usque ad tectum, insculptis ei animalibus enormi magnitudine, cui etiam euripum circumdedit magnum et profundum. Ex oppositi autem montis petra, saxa ejus prominentia perforando, speluncas multorum stadiorum in longitudinem construxit; deinde in illa ædes quosdam in convivia, alios vero ad somnum capiendum et ad vitæ consuetudinem fecit; salientium etiam aquarum copiam induxit, quæ in aula plurimum conferebant ad oblectationem et ornatum. In speluncis vero ostia non majori amplitudine aperuit quam ut unus solus posset ingredi, idque de industria, incolumitatis ergo, ne a fratribus obsessus in eorum manus incidendi discrimen adiret. Ædificavit etiam aulas amplæ magnitudinis, easque hortis spatiosis ornavit. Et quum hujusmodi locum absolvisset, Tyrum eum nominavit. Locus iste est inter Arabiam et Judæam trans Jordanem non procul ab Essebonitide. Illos autem tractus rexit per septennium, toto tempore quo Seleucus regnavit in Syria. Illo enim vita defuncto, Antiochus frater, cognomine Epiphanes, regnum obtinuit. Moritur et Ptolemæus Ægypti rex, et ipse vocatus Epiphanes, relictis duobus filiis adhuc juvenibus, quorum natu majori Philometor, minori Physcon cognomen erat. Hyrcanus autem videns Antiochi magnam potentiam, ac veritus ne comprehensus ab eo propter illatas Arabibus injurias supplicio afficeretur, vitam finivit mortem sibi consciscendo: in ejus autem facultates omnes Antiochus invasit.

ΚΕΦ. Ε.

Ὑπὸ δὲ τὸν αὐτὸν καιρὸν ἀποθανόντος καὶ Ὀνίου τοῦ ἀρχιερέως, τῷ ἀδελφῷ αὐτοῦ Ἰησοῦ τὴν ἀρχιερωσύνην δίδωσιν· ὁ γὰρ παῖς, ὃν Ὀνίας κατελελοίπει, νήπιος ἦν ἔτι. Δηλώσομεν δὲ τὰ περὶ τοῦ παιδίου τούτου

CAP. V. (VI.)

Per idem tempus mortuo etiam Onia pontifice, *rex* ejus fratri Jesu summum sacerdotium dedit: nam quem filium reliquerat Onias, is infans adhuc erat. Singula autem, quæ ad hunc puerum spectant, suo loco declarabimus. Jesum

κατὰ χώραν ἕκαστα. Ἰησοῦς δὲ (οὗτος γὰρ ἦν ὁ ἀδελφὸς τοῦ Ὀνίου) τὴν ἀρχιερωσύνην ἀφῃρέθη, προσοργισθέντος αὐτῷ τοῦ βασιλέως καὶ δόντος αὐτὴν τῷ νεωτάτῳ αὐτοῦ ἀδελφῷ Ὀνίᾳ τοὔνομα. Σίμωνι γὰρ οὗτοι τρεῖς ἐγένοντο παῖδες, καὶ εἰς τοὺς τρεῖς ἦκεν ἡ ἀρχιερωσύνη, καθὼς δεδηλώκαμεν. Ὁ μὲν οὖν Ἰησοῦς Ἰάσονα ἑαυτὸν μετωνόμασεν, ὁ δὲ Ὀνίας ἐκλήθη Μενέλαος. Στασιάσαντος οὖν τοῦ προτέρου ἀρχιερέως Ἰησοῦ πρὸς τὸν μετὰ ταῦτα κατασταθέντα Μενέλαον, καὶ τοῦ πλήθους διανεμηθέντος εἰς ἑκατέρους, ἐκ τῆς Μενελάου μοίρας οἱ Τωβίου παῖδες ἐγένοντο· τὸ δὲ πλεῖστον τοῦ λαοῦ τῷ Ἰάσονι συνελάμβανεν, ὑφ' οὗ καὶ πονούμενοι ὅ τε Μενέλαος καὶ οἱ Τωβίου παῖδες πρὸς Ἀντίοχον ἀνεχώρησαν, δηλοῦντες αὐτῷ ὅτι βούλονται τοὺς πατρίους νόμους καταλιπόντες καὶ τὴν κατ' αὐτοὺς πολιτείαν ἔπεσθαι τοῖς βασιλικοῖς καὶ τὴν Ἑλληνικὴν πολιτείαν ἔχειν. Παρεκάλεσαν οὖν αὐτὸν ἐπιτρέψαι αὐτοῖς οἰκοδομῆσαι γυμνάσιον ἐν Ἱεροσολύμοις. Συγχωρήσαντος δὲ καὶ τὴν τῶν αἰδοίων περιτομὴν ἐπεκάλυψαν, ὡς ἂν εἶεν καὶ τὰ περὶ τὴν ἀπόδυσιν Ἕλληνες, τά τε ἄλλα πάνθ' ὅσα ἦν αὐτοῖς πάτρια παρέντες, ἐμιμοῦντο τὰ τῶν ἄλλων ἐθνῶν ἔργα.

β'. Ἀντίοχος δὲ, τῆς βασιλείας αὐτῷ χωρούσης κατὰ τρόπον, ἐπὶ τὴν Αἴγυπτον διέγνω στρατεύεσθαι, πόθον αὐτῆς λαβών, καὶ διὰ τὸ τῶν Πτολεμαίου παίδων καταφρονεῖν, ἀσθενῶν ἔτι τυγχανόντων καὶ μηδέπω πράγματα τηλικαῦτα διέπειν δυναμένων. Γενόμενος οὖν μετὰ πολλῆς δυνάμεως κατὰ τὸ Πηλούσιον καὶ δόλῳ τὸν Φιλομήτορα Πτολεμαῖον ἐκπεριελθὼν καταλαμβάνει τὴν Αἴγυπτον, καὶ γενόμενος ἐν τοῖς περὶ Μέμφιν τόποις καὶ κατασχὼν ταύτην ὥρμησεν ἐπὶ τὴν Ἀλεξάνδρειαν, ὡς πολιορκίᾳ παραστησόμενος αὐτὴν καὶ τὸν ἐκεῖ βασιλεύοντα χειρωσόμενος Πτολεμαῖον. Ἀπεκρούσθη δ' οὐ τῆς Ἀλεξανδρείας μόνον, ἀλλὰ καὶ τῆς ὅλης Αἰγύπτου, Ῥωμαίων αὐτῷ παραγγειλάντων ἀπέχεσθαι τῆς χώρας, καθὼς ἤδη που καὶ πρότερον ἐν ἄλλοις δεδηλώκαμεν. Διηγήσομαι δὲ κατὰ μέρος τὰ περὶ τοῦτον τὸν βασιλέα, ὃς τὴν Ἰουδαίαν ἐχειρώσατο καὶ τὸν ναόν· ἐν γὰρ τῇ πρώτῃ μου πραγματείᾳ κεφαλαιωδῶς αὐτῶν ἐπιμνησθεὶς ἀναγκαῖον ἡγησάμην νῦν εἰς τὴν ἐπ' ἀκριβὲς αὐτῶν ἐπανελθεῖν ὑφήγησιν.

(Ζ'.) γ'. Ὑποστρέψας ἀπὸ τῆς Αἰγύπτου διὰ τὸ παρὰ Ῥωμαίων δέος ὁ βασιλεὺς Ἀντίοχος ἐπὶ τὴν Ἱεροσολυμιτῶν πόλιν ἐξεστράτευσε, καὶ γενόμενος ἐν αὐτῇ ἔτει ἑκατοστῷ καὶ τεσσαρακοστῷ καὶ τρίτῳ μετὰ τοὺς ἀπὸ Σελεύκου βασιλεῖς, ἀμαχητὶ λαμβάνει τὴν πόλιν, ἀνοιξάντων αὐτῷ τὰς πύλας ὅσοι τῆς ἐκείνου προαιρήσεως ἦσαν. Ἐγκρατὴς δ' οὕτως τῶν Ἱεροσολύμων γενόμενος πολλοὺς ἀπέκτεινεν τῶν ἐναντία φρονούντων, καὶ χρήματα πολλὰ συλήσας ὑπέστρεψεν εἰς Ἀντιόχειαν.

δ'. Συνέβη δὲ μετὰ ἔτη δύο, τῷ ἑκατοστῷ καὶ τεσσαρακοστῷ καὶ πέμπτῳ ἔτει, μηνὸς πέμπτῃ καὶ εἰκάδι, ὃς καλεῖται κατὰ μὲν ἡμᾶς Χασλεὺ, κατὰ δὲ Μακεδόνας Ἀπελλαῖος, Ὀλυμπιάδι ἑκατοστῇ καὶ πεντηκοστῇ

vero (nam ille frater erat Oniæ) summo sacerdotio privavit rex, iratus ei, idque dedit ejus fratri natu minimo Oniæ nomine. Habuit enim Simon hos tres filios, qui omnes fuere pontifices, quemadmodum declaravimus. Et Jesus quidem Iasoni sibi nomen imposuit, Onias vero Menelaus appellatus est. Igitur orta seditione inter priorem pontificem Jesum et Menelaum, qui postea pontifex factus est, scissaque in partes multitudine, a Menelao steterunt Tobiæ filii, maxima vero populi pars Iasonem secuta est, cujus vim non sustinentes Menelaus et Tobiæ filii ad Antiochum se receperunt, ei dicentes velle se, relictis patriis legibus et institutis, sequi regia et Græcanicos mores tenere. Itaque eum orarunt ut sibi permitteret ædificare gymnasium Hierosolymis. Quumque hoc eis concessisset, genitalium etiam circumsionem obtexere, ut vel nudato corpore Græci viderentur; atque aliis omnibus, quæ eis patria erant, omissis, ceterarum gentium facta imitabantur.

2. Antiochus vero, regni negotiis ei ad ipsius arbitrium succedentibus, statuit in Ægyptum expeditionem facere, ejus occupandæ cupidus, simulque Ptolemæi filios contemnens, qui debiles adhuc essent, necdum res tantas administrare possent. Igitur ad Pelusium cum magnis copiis profectus, et circumvento fraudibus Ptolemæo Philometore, Ægyptum occupat, quumque loca Memphi vicina adiisset, eamque cepisset, Alexandriam contendit, ut eam obsidione caperet, et regnantem ibi Ptolemæum in suam potestatem redigeret. Verum repulsus est non solum ab Alexandria, sed etiam ab universa Ægypto, denunciantibus ei Romanis ut ab illa regione abstineret, sicuti jam prius et alibi declaravimus. Particulatim autem narrabo quæ ad hunc regem spectant, qui Judæam occupavit et templum. Nam quum in priore opere summatim ea attigerim, necessarium duxi eorum narrationem nunc paulo accuratius persequi et altius repetere.

(VII.) 3. Antiochus rex, metu Romanorum ab Ægypto reversus, contra Hierosolymitarum urbem movit exercitum, eamque ingressus centesimo quadragesimo tertio anno, ex quo regnare cœperunt Seleucidæ, sine pugna urbem capit, portas illi aperientibus suæ factionis hominibus. Ubi autem is in sua potestate habuit Hierosolyma, multos diversarum partium interfecit, magnaque pecuniæ vi direpta, Antiochiam rediit.

4. Accidit autem, post duorum annorum spatium, anno centesimo quadragesimo quinto, vigesimo quinto die mensis, qui a nostris Chasleu nominatur, a Macedonibus vero Apellæus, Olympiade centesima quinquagesima tertia, ut rex

καὶ τρίτῃ, μετὰ πολλῆς δυνάμεως ἀναβῆναι τὸν βασιλέα εἰς Ἱεροσόλυμα καὶ προσποιησάμενον εἰρήνην ἀπάτῃ περιγενέσθαι τῆς πόλεως. Ἐφείσατο δὴ τότε οὐδὲ τῶν εἰσδεξαμένων αὐτὸν διὰ τὸν ἐν τῷ ναῷ πλοῦτον, ἀλλ' ὑπὸ πλεονεξίας, (χρυσὸν γὰρ ἑώρα πολὺν ἐν τῷ ἱερῷ καὶ τὸν ἄλλον τῶν ἀναθημάτων κόσμον πολυτελέστατον,) ἵνα συλήσῃ τοῦτον, ὑπέμεινε τὰς πρὸς ἐκείνους αὐτῷ σπονδὰς παραβῆναι. Περιδύσας οὖν τὸν ναὸν, ὡς καὶ τὰ σκεύη τοῦ Θεοῦ βαστάσαι, λυχνίας χρυσέας καὶ βωμὸν χρύσεον καὶ τράπεζαν καὶ τὰ θυσιαστήρια, καὶ μηδὲ τῶν καταπετασμάτων ἀποσχόμενος, ἅπερ ἦν ἐκ βύσσου καὶ κόκκου πεποιημένα, κενώσας καὶ τοὺς θησαυροὺς τοὺς ἀποκρύφους, καὶ μηδὲν ὅλως ὑπολιπών, εἰς μέγα τοὺς Ἰουδαίους ἐπὶ τούτοις πένθος ἐνέβαλε. Καὶ γὰρ τὰς καθημερινὰς θυσίας, ἃς προσέφερον τῷ Θεῷ κατὰ τὸν νόμον, ἐκώλυσεν αὐτοὺς προσφέρειν, καὶ διαρπάσας πᾶσαν τὴν πόλιν, τοὺς μὲν ἀπέκτεινε, τοὺς δὲ αἰχμαλώτους γυναιξὶν ἅμα καὶ τέκνοις ἔλαβεν, ὡς τῶν ζωγρηθέντων περὶ μυρίους γενέσθαι τὸ πλῆθος. Ἐνέπρησε δ' αὐτῆς τὰ κάλλιστα, καὶ καταβαλὼν τὰ τείχη τὴν ἐν τῇ κάτω πόλει ὠκοδόμησεν ἄκραν· ἦν γὰρ ὑψηλὴ καὶ ὑπερκειμένη τὸ ἱερὸν, καὶ διὰ τοῦτ' αὐτὴν ὀχυρώσας τείχεσιν ὑψηλοῖς καὶ πύργοις φρουρὰν Μακεδονικὴν ἐγκατέστησεν. Ἔμενον δ' οὐδὲν ἧττον ἐν τῇ ἄκρᾳ καὶ τοῦ πλήθους οἱ ἀσεβεῖς καὶ πονηροὶ τὸν τρόπον, ὑφ' ὧν πολλὰ καὶ δεινὰ τοὺς πολίτας συνέβη παθεῖν. Ἐποικοδομήσας δὲ καὶ τῷ θυσιαστηρίῳ βωμὸν ὁ βασιλεὺς, σύας ἐπ' αὐτοῦ κατέσφαξε, θυσίαν οὐ νόμιμον οὐδὲ πάτριον τῇ Ἰουδαίων θρησκείᾳ ταύτην ἐπιτελῶν. Ἠνάγκασε δ' αὐτοὺς ἀφεμένους τῆς περὶ τὸν αὐτῶν Θεὸν θρησκείας τοὺς ὑπ' αὐτοῦ νομιζομένους σέβεσθαι, οἰκοδομήσαντας δὲ ἐν ἑκάστῃ πόλει καὶ κώμῃ τεμένη αὐτῶν καὶ βωμοὺς καθιδρύσαντας, θύειν ἐπ' αὐτοῖς σῦς καθ' ἡμέραν. Ἐκέλευσε δὲ καὶ μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα, κόλασιν ἀπειλήσας, εἴ τις παρὰ ταῦτα ποιῶν εὑρεθείη. Κατέστησε δὲ καὶ ἐπισκόπους, οἳ προσαναγκάσουσιν αὐτοὺς τὰ ἐπεσταλμένα ποιεῖν. Καὶ πολλοὶ μὲν τῶν Ἰουδαίων οἱ μὲν ἑκόντι, οἱ δὲ καὶ δι' εὐλάβειαν τῆς ἐπηγγελμένης τιμωρίας, κατηκολούθουν οἷς ὁ βασιλεὺς διετέτακτο, οἱ δὲ δοκιμώτατοι καὶ τὰς ψυχὰς εὐγενεῖς οὐκ ἐφρόντισαν αὐτοῦ, τῶν δὲ πατρίων ἐθῶν πλείονα λόγον ἔσχον ἢ τῆς τιμωρίας, ἣν οὐ πειθομένοις ἠπείλησεν αὐτοῖς, καὶ διὰ τοῦτο κατὰ πᾶσαν ἡμέραν αἰκιζόμενοι καὶ πικρὰς βασάνους ὑποφέροντες ἀπέθνησκον. Καὶ γὰρ μαστιγούμενοι καὶ τὰ σώματα λυμαινόμενοι ζῶντες ἔτι καὶ ἐμπνέοντες ἀνεσταυροῦντο, τὰς δὲ γυναῖκας καὶ τοὺς παῖδας αὐτῶν, οὓς περιέτεμνον, κατὰ τὴν τοῦ βασιλέως προαίρεσιν ἀπῆγχον, ἐκ τῶν τραχήλων αὐτοὺς τῶν ἀνεσταυρωμένων γονέων ἀπαρτῶντες. Ἠφανίζετο δὲ εἴ που βίβλος εὑρεθείη ἱερὰ καὶ νόμος, καὶ παρ' οἷς εὑρεθείη καὶ οὗτοι [κακοὶ] κακῶς ἀπώλλυντο.

ε'. Ταῦτα δὲ βλέποντες οἱ Σαμαρεῖται πάσχοντας

magno cum exercitu Hierosolyma ascenderet, paceque simulata, astu urbem circumveniret. Tunc sane ne ipsis quidem pepercit a quibus receptus fuerat, propter templi divitias, sed avaritia ductus, (multum enim pecuniæ in fano viderat, aliumque donariorum ornatum pretiosissimum,) ut illud expilaret, etiam fœdus, quod ipse cum iis fecerat, violare sustinuit. Templum itaque depeculatus ita ut vasa Dei auferret, candelabra aurea, et aram auream, et mensam, et thuribula, ac ne velis quidem abstinens quæ et bysso coccoque erant facta, exinanitis etiam occultis thesauris, nullaque re relicta, Judæos ob ea magnum in luctum conjecit. Nam et sacrificia quotidiana, quæ Deo offerre solebant ex lege, offerre eos vetuit, urbemque totam deprædatus, alios quidem necavit, alios vero una cum mulieribus et liberis in captivitatem abegit, adeo ut captivorum numerus circiter decem millia esset. Urbis etiam pulcerrima incendit, dejectisque muris arcem in inferiore urbe condidit. Erat enim in altum edita, ipsique templo imminebat, ideoque quum eam altis muris et turribus munivisset, in ea præsidium Macedonicum collocavit. Nihilominus in arce manebant de multitudine impii improbique, a quibus factum est ut cives multa et acerba subinde paterentur. Quin et rex quum aram alteri superstruxisset, in ea sues mactavit, sacrificium peragens neque legitimum neque patrio Judæorum cultui consentaneum. Coegit etiam eos, Dei ipsorum cultu omisso, eos colere quos ipse deos existimaret, et, quum templa ipsorum oppidatim vicatimque exstruxissent et aras collocassent, quotidie ibi immolare sues. Porro in mandatis dedit ipsis non circumcidendos esse filios, pœnam comminatus, si quis contra hæc fecisse inveniretur. Constituit quoque curatores qui populum cogerent imperata facere. Et multi quidem Judæorum, alii sponte, alii pœnæ indictæ metu, regis præceptis obsequebantur, eminentissimi vero et animo generosi eum non curabant, sed potiori loco habebant patrios ritus, quam metum pœnæ ejus, quam ille non obedientibus minabatur : et propterea quotidie vexati moriebantur et gravissimis cruciatibus toleratis. Nam et flagellis cæsi et corpore mutilati, vivi adhuc et spirantes crucibus suffigebantur, mulieres vero simul et pueros, quos circumcidebant, jussi regis strangulabant, pueris de parentum crucifixorum cervicibus suspensis. Sicubi etiam reperiebatur liber sacer aut lex, illico abolebatur, et apud quos reperti erant, et ipsi [mali] male peribant.

5. Samaritæ autem quum viderent Judæos ista pati, non

τοὺς Ἰουδαίους οὐκέθ' ὁμολόγουν ἑαυτοὺς εἶναι συγγενεῖς αὐτῶν, οὐδὲ τὸν ἐν Γαριζεὶν ναὸν τοῦ μεγίστου Θεοῦ, τῇ φύσει ποιοῦντες ἀκόλουθα, ἣν δεδηλώκαμεν, καὶ λέγοντες αὐτοὺς Μήδων ἀποίκους καὶ Περσῶν· καὶ γάρ εἰσι τούτων ἄποικοι. Πέμψαντος οὖν πρὸς τὸν Ἀντίοχον πρέσβεις καὶ ἐπιστολὴν ἐδήλουν τὰ ὑπογεγραμμένα. « Βασιλεῖ Ἀντιόχῳ θεῷ Ἐπιφανεῖ ὑπόμνημα παρὰ τῶν ἐν Σικίμοις Σιδωνίων. Οἱ ἡμέτεροι πρόγονοι διά τινας συχνοὺς τῆς χώρας λοιμοὺς, παρακολουθήσαντες ἀρχαίᾳ τινὶ δεισιδαιμονίᾳ, ἔθος ἐποίησαν σέβειν τὴν παρὰ τοῖς Ἰουδαίοις λεγομένην σαββάτων ἡμέραν, ἱδρυσάμενοι δὲ ἀνώνυμον ἐν τῷ Γαριζεὶν λεγομένῳ ὄρει ἱερὸν, ἔθυον ἐπ' αὐτοῦ τὰς καθηκούσας θυσίας. Σοῦ δὲ τοῖς Ἰουδαίοις τῆς πονηρίας αὐτῶν ἀξίως χρησαμένου, οἱ τὰ βασιλικὰ διοικοῦντες, οἰόμενοι κατὰ συγγένειαν ἡμᾶς ταὐτὰ ποιεῖν ἐκείνοις, ταῖς ὁμοίαις αἰτίαις περιάπτουσιν, ὄντων ἡμῶν τὸ ἀνέκαθεν Σιδωνίων. Καὶ τοῦτο φανερόν ἐστιν ἐκ τῶν πολιτικῶν ἀναγραφῶν. Ἀξιοῦμεν οὖν σε, τὸν εὐεργέτην καὶ σωτῆρα, προστάξαι Ἀπολλωνίῳ τῷ μεριδάρχῃ καὶ Νικάνορι τῷ τὰ βασιλικὰ πράττοντι, μηδὲν ἡμῖν ἐνοχλεῖν, προσάπτουσι τὰς τῶν Ἰουδαίων αἰτίας, ἡμῶν καὶ τῷ γένει καὶ τοῖς ἔθεσιν ἀλλοτρίων ὑπαρχόντων· προσαγορευθῆναι δὲ τὸ ἀνώνυμον ἱερὸν Διὸς Ἑλληνίου. Γενομένου γὰρ τούτου παυσόμεθα μὲν ἐνοχλούμενοι, τοῖς δ' ἔργοις μετ' ἀδείας προσανέχοντες μείζονά σοι ποιήσομεν τὰς προσόδους. » Ταῦτα τῶν Σαμαρειτῶν δεηθέντων, ἀντέπεμψεν αὐτοῖς γράμμασιν ὁ βασιλεὺς τοιάδε. « Βασιλεὺς Ἀντίοχος Νικάνορι. Οἱ ἐν Σικίμοις Σιδώνιοι ἐπέδωκαν τὸ κατακεχωρισμένον ὑπόμνημα. Ἐπεὶ οὖν συμβουλευομένοις ἡμῖν μετὰ τῶν φίλων παρέστησαν οἱ πεμφθέντες ὑπ' αὐτῶν ὅτι μηδὲν τοῖς τῶν Ἰουδαίων ἐγκλήμασι προσήκουσιν, ἀλλὰ τοῖς Ἑλληνικοῖς ἔθεσιν αἱροῦνται χρώμενοι ζῆν, ἀπολύομέν τε αὐτοὺς τῶν αἰτιῶν καὶ τὸ παρ' αὐτοῖς ἱερὸν, καθάπερ ἠξιώκασι, προσαγορευθήτω Διὸς Ἑλληνίου. » Ταῦτα δὲ καὶ Ἀπολλωνίῳ τῷ μεριδάρχῃ ἐπέστειλεν ἔτει ἕκτῳ καὶ τεσσαρακοστῷ, μηνὸς Ἑκατομβαιῶνος ὀκτωκαιδεκάτῃ.

ΚΕΦ. Ϛ'.

Κατὰ δὲ τὸν αὐτὸν καιρὸν ἦν τις οἰκῶν ἐν Μωδιεὶμ κώμῃ τῆς Ἰουδαίας, ὄνομα Ματταθίας, υἱὸς Ἰωάννου τοῦ Συμεῶνος τοῦ Ἀσαμωναίου, ἱερεὺς ἐξ ἐφημερίας Ἰωάριβος, Ἱεροσολυμίτης. Ἦσαν δ' αὐτῷ υἱοὶ πέντε, Ἰωάννης ὁ καλούμενος Γαδδῆς καὶ Σίμων ὁ κληθεὶς Ματθῆς καὶ Ἰούδας ὁ καλούμενος Μακκαβαῖος καὶ Ἐλεάζαρος ὁ κληθεὶς Αὐρὰν καὶ Ἰωνάθης ὁ κληθεὶς Ἀπφοῦς. Οὗτος οὖν ὁ Ματταθίας ἀπωδύρετο τοῖς τέκνοις τὴν κατάστασιν τῶν πραγμάτων καὶ τὴν τῆς πόλεως διαρπαγὴν καὶ τοῦ ναοῦ τὴν σύλησιν καὶ τοῦ πλήθους τὰς συμφορὰς, ἔλεγέ τε κρεῖττον αὐτοῖς εἶναι ὑπὲρ τῶν πατρίων νόμων ἀποθανεῖν ἢ ζῆν οὕτως ἀδόξως.

amplius sibi cum illis cognationem esse præ se ferebant, neque templum Garizitanum esse Dei maximi, ingenio suo, *quod indicavimus, consentanea facientes*, dicentesque se esse Medorum et Persarum colonos : ab illis enim profecti sunt. Missis itaque ad Antiochum legatis cum epistola, quæ infra scripta sunt significarunt. « Regi Antiocho deo « Epiphani hæc verba subjiciunt Sidonii Sicima habitantes. « Majores nostri propter crebras in regione coortas pesti« lentias, veterem quandam superstitionem sequuti, con« suetudinem instituerunt diem istam observandi, quæ « apud Judæos vocatur sabbatum : temploque sine nomine « in monte qui Garizin appellatur ædificato, *ibi victimas pro* « more solennes offerebant. Quum autem tibi visum fuerit « *cum Judæis agere pro eo ac mereatur eorum malitia*, re« gii ministri, existimantes nos propter consanguinitatem « eadem cum illis facere, simili nos damnant crimine, cum « simus ab origine Sidonii, id quod manifestum est ex ta« bulis publicis. Rogamus ergo te, benefactorem et serva« torem, ut mandare velis Apollonio regionis præsidi et « Nicanori regiorum negotiorum procuratori, ne quid nobis « molesti sint, eadem ac Judæis crimini dantes, a quibus « tam diversi sumus et moribus et origine : atque ut tem« plum, *quod nullo nomine insignitur*, Jovis *Hellenii* ap« pelletur. Hoc enim facto erimus a molestiis liberi, « operibusque sine metu vacantes majora tibi poterimus « tributa solvere. » Samaritis ista petentibus vicissim misit rex epistolam hujusmodi verbis. « Rex Antiochus « Nicanori. Sidonii qui Sicima incolunt miserunt ad nos « libellum hisce inclusum. Quoniam igitur nobis et ami« cis in consilium adhibitis repræsentarunt *legati* ab iis « missi, ea quæ Judæis vitio vertuntur nihil ad se perti« nere, sed placere illis ex *Græcorum institutis vivere*, et « culpa eos liberamus volumusque ut eorum templum, « quemadmodum petierunt, Jovis Hellenii cognominetur. » Eadem etiam et Apollonio regionis præsidi scripsit anno quadragesimo sexto, mensis Hecatombæonis die duodevicesima.

CAP. VI. (VIII.)

Per idem vero tempus habitabat in Modiim, vico Judææ, *quidam nomine Mattathias, filius Joannis, filii Symeonis*, filii Asamonæi, sacerdos ex vice Joaribi, Hierosolymita. Huic autem erant *filii* quinque, Joannes cognomine Gaddes, et Simon Matthes appellatus, et Judas vocatus Maccabæus, et Eleazarus qui Auran dicebatur, et Jonathas cognomento Apphûs. Iste ergo Mattathias deflebat apud filios rerum statum et urbis direptionem et templi spoliationem populique calamitates, aiebatque præstare mori eos pro patriis legibus quam vivere tanto cum dedecore.

β'. Ἐλθόντων δὲ εἰς τὴν Μωδιεὶμ κώμην τῶν ὑπὸ τοῦ βασιλέως καθισταμένων ἐπὶ τῷ ποιεῖν ἀναγκάζειν τοὺς Ἰουδαίους ἃ διετέτακτο, καὶ θύειν τοὺς ἐκεῖ κελευόντων ὡς ὁ βασιλεὺς κελεύσειε, διὰ δὲ τὴν δόξαν, τήν τε διὰ τἄλλα καὶ διὰ τὴν εὐπαιδίαν, ἀξιούντων τὸν Ματταθίαν προκατάρχειν τῶν θυσιῶν, (κατακολουθήσειν γὰρ αὐτῷ καὶ τοὺς πολίτας, καὶ διὰ τοῦτο τιμηθήσεσθαι πρὸς τοῦ βασιλέως,) ὁ Ματταθίας οὐκ ἔφασκε ποιήσειν, οὐδ' εἰ τἄλλα πάντα ἔθνη τοῖς Ἀντιόχου προστάγμασιν ἢ διὰ φόβον ἢ δι' εὐαρέστησιν ὑπακούοι, πεισθήσεσθαί ποτ' αὐτὸς μετὰ τῶν τέκνων τὴν πάτριον θρησκείαν καταλιπεῖν. Ὡς δὲ σιωπήσαντος αὐτοῦ προσελθών τις τῶν Ἰουδαίων εἰς μέσον ἔθυσεν καθ' ἃ προσέταξεν Ἀντίοχος, θυμωθεὶς ὁ Ματταθίας ὥρμησεν ἐπ' αὐτὸν μετὰ τῶν παίδων ἐχόντων κοπίδας, καὶ αὐτόν τε ἐκεῖνον διέφθειρε καὶ τὸν στρατηγὸν τοῦ βασιλέως Ἀπελλῆν, ὃς ἐπηνάγκαζε, διεχρήσατο μετ' ὀλίγων στρατιωτῶν, καὶ τὸν βωμὸν καθελὼν ἀνέκραγεν, « εἴ τις ζηλωτὴς ἐστι τῶν πατρίων ἐθῶν καὶ τῆς τοῦ Θεοῦ θρησκείας, ἑπέσθω, φησίν, ἐμοί. » Καὶ ταῦτα εἰπὼν μετὰ τῶν τέκνων εἰς τὴν ἔρημον ἐξώρμησε, καταλιπὼν ἅπασαν τὴν αὐτοῦ κτῆσιν ἐν τῇ κώμῃ. Τὸ δ' αὐτὸ καὶ πολλοὶ ποιήσαντες μετὰ τῶν τέκνων καὶ γυναικῶν ἔφυγον εἰς τὴν ἔρημον καὶ ἐν τοῖς σπηλαίοις διῆγον. Ἀκούσαντες δὲ ταῦτα οἱ τοῦ βασιλέως στρατηγοὶ καὶ τὴν δύναμιν ὅσην εἶναι συνέβαινεν ἐν τῇ ἀκροπόλει τῶν Ἱεροσολύμων ἀναλαβόντες ἐδίωξαν εἰς τὴν ἔρημον τοὺς Ἰουδαίους. Καὶ καταλαβόντες τὸ μὲν πρῶτον αὐτοὺς ἐπεχείρουν πείθειν μετανοήσαντας αἱρεῖσθαι τὰ συμφέροντα καὶ μὴ προσάγειν αὐτοῖς ἀνάγκην ὥστε αὐτοῖς χρῆσθαι πολέμου νόμῳ. Μὴ προσδεχομένων δὲ τοὺς λόγους, ἀλλὰ τἀναντία φρονούντων, συμβάλλουσιν αὐτοῖς εἰς μάχην σαββάτων ἡμέρᾳ, καὶ ὡς εἶχον οὕτως ἐν τοῖς σπηλαίοις αὐτοὺς κατέφλεξαν, οὐδὲν ἀμυνομένους, ἀλλ' οὐδὲ τὰς εἰσόδους ἐμφράξαντας. Τοῦ δὲ ἀμύνεσθαι διὰ τὴν ἡμέραν ἀπέσχοντο, μηδ' ἐν κακοῖς παραδῆναι τὴν τοῦ σαββάτου τιμὴν θελήσαντες· ἀργεῖν γὰρ ἡμῖν ἐν αὐτῷ νόμιμόν ἐστιν. Ἀπέθανον μὲν οὖν σὺν γυναιξὶ καὶ τέκνοις ἐμπνιγέντες τοῖς σπηλαίοις ὡς χίλιοι. Πολλοὶ δὲ καὶ διασωθέντες τῷ Ματταθίᾳ προσέθεντο, κἀκεῖνον ἄρχοντα ἀπέδειξαν. Ὁ δὲ καὶ σαββάτοις αὐτοὺς ἐδίδασκε μάχεσθαι, λέγων, ὡς « εἰ μὴ ποιήσουσι τοῦτο, φυλαττόμενοι τὸ νόμιμον, ἑαυτοῖς ἔσονται πολέμιοι, τῶν μὲν ἐχθρῶν κατ' ἐκείνην τὴν ἡμέραν αὐτοῖς προσβαλλόντων, αὐτῶν δ' οὐκ ἀμυνομένων, κωλύσειν τε μηδὲν οὕτως ἀμαχητὶ πάντας ἀπολέσθαι. » Ταῦτ' εἰπὼν ἔπεισεν αὐτούς, καὶ ἄχρι δεῦρο μένει παρ' ἡμῖν καὶ σαββάτοις, εἴ ποτε δεήσειε, μάχεσθαι. Ποιήσας οὖν δύναμιν πολλὴν περὶ αὐτὸν Ματταθίας τούς τε βωμοὺς καθεῖλε καὶ τοὺς ἐξαμαρτόντας ἀπέκτεινεν, ὅσους λαβεῖν ὑποχειρίους ἐδυνήθη (πολλοὶ γὰρ δι' εὐλάβειαν διεσπάρησαν εἰς τὰ πέριξ ἔθνη·) τῶν τε παίδων τοὺς οὐ περιτετμημένους ἐκέλευσε περιτέμνεσθαι, τοὺς ἐπὶ τῷ κωλύειν καθισταμένους ἐκβαλών.

2. Quum autem in Modiim vicum venissent qui a rege constituti erant ut Judæos ad mandata ipsius exsequenda cogerent, juberentque eos, qui illic aderant, rem divinam facere prout rex jusserit, atque Mattathiam rogassent, qui gloriam quum ex aliis tum ex doctrina assequutus erat, ut præiret immolando, (sequuturos enim eum cives, et id ipsi honori fore apud regem, Mattathias se non ita facturum esse dicebat, nec, si aliæ gentes omnes Antiochi mandatis, sive ob metum sive placendi studio, obsequerentur, obsequuturum se cum filiis ut patrium cultum relinquerent. Ubi vero ille conticuit, accessit homo Judæus in oculis omnium et ex mandato regis sacrificavit : id quod videns Mattathias indignatus, ipse cum filiis suis gladios gerentibus in eum irruit, illumque ipsum obtruncavit, et Apellen præfectum regium, qui *sacrificare* cogebat, interfecit una cum paucis militibus, dirutaque ara exclamavit, dicens, « si quis patrii ritus studiosus est Deique cultus, exeat post « me. » Atque hæc loquutus cum filiis in solitudinem contendit, relictis in oppido suis omnibus facultatibus. Idque multi imitati et ipsi cum liberis et uxoribus in desertum profugerunt, et in speluncis habitarunt. Ista quum audissent duces regii, assumptis quotquot in arce Hierosolymitana erant militibus, Judæos in solitudinem insequuti sunt, eosque assequuti primum quidem illis persuadere conabantur ut pœnitentia ducti eligerent quæ in rem suam essent, neque eam sibi necessitatem imponerent ut belli lege cum ipsis agerent. Quum vero dictis non parerent, sed in diversam irent sententiam, pugna cum illis commissa est die sabbati, et ita ut erant in speluncis combusti sunt, nihil repugnantes et ne obsepto quidem aditu. Etenim propter religionem diei a vi arcenda abstinuerunt, nolentes sabbatum, etiam quum in malis essent, profanare : lege enim sancitum est ut illa die otium agamus. Interierunt itaque una cum uxoribus et liberis in speluncis suffocati ad homines mille. Multi autem qui e periculo evaserant, cum Mattathiæ sese adjunxerunt et eum sibi ducem constituerunt. Ille vero eos etiam sabbatis pugnare docebat, dicens, « si hoc non fecerint, legem etiam servantes, sibi ipsis hostes fore, quandoquidem fiet ut inimici ipsos eo die aggrediantur, quum vim non propulsent, adeoque nihil prohibiturum esse, quin omnes hoc pacto sine pugna pereant et tollantur. » Ista loquutus eis persuasit, atque hactenus nobis mansit *consuetudo*, ut sabbatis etiam, urgente necessitate, pugnemus. Mattathias igitur, quum magnam circa se manum collegisset, et aras evertit et defectores occidit, quotquot deprehendere potuit, (nam multi metu ad gentes in circuitu dispersi fuere;) puerosque nondum recutitos circumcidi jussit, pulsis illinc quibus id negotii datum erat ut prohiberent.

γ'. Ἄρξας δ' ἐνιαυτὸν καὶ καταπεσὼν εἰς νόσον προσκαλεῖται τοὺς παῖδας, καὶ περιστησάμενος αὐτοὺς, « ἐγὼ μὲν, εἶπεν, ὦ παῖδες, ἀπειμι τὴν τῆς εἱμαρμένης πορείαν· παρατίθεμαι δὲ ὑμῖν τοὐμὸν φρόνημα καὶ παρακαλῶ μὴ γενέσθαι κακοὺς αὐτοῦ φύλακας, ἀλλὰ μεμνημένους τῆς τοῦ φύσαντος ὑμᾶς καὶ θρεψαμένου προαιρέσεως ἔθη τε σώζειν τὰ πάτρια καὶ κινδυνεύουσαν οἴχεσθαι τὴν ἀρχαίαν πολιτείαν ἀνακτᾶσθαι, μὴ συμφερομένους τοῖς ἢ διὰ βούλησιν ἢ δι' ἀνάγκην προδιδοῦσιν αὐτὴν, ἀλλ' ἀξίους παῖδας ὄντας ἐμοῦ, καὶ βίας πάσης καὶ ἀνάγκης ἐπάνω γενέσθαι, τὰς ψυχὰς οὕτω παρεσκευασμένους ὥστε ἀποθανεῖν ὑπὲρ τῶν νόμων, ἂν δέῃ, λογιζομένους τοῦθ', ὅτι τὸ θεῖον τοιούτους ὑμᾶς ὁρῶν οὐχ ὑπερόψεται, τῆς δ' ἀρετῆς ἀγασάμενον ἀποδώσει πάλιν ὑμῖν αὐτὸ καὶ τὴν ἐλευθερίαν ἐν ᾗ ζήσεσθε μετ' ἀδείας τῶν ἰδίων ἀπολαύοντες ἐθῶν ἀποκαταστήσει. Θνητὰ μὲν γὰρ τὰ σώματα ὑμῶν καὶ ἐπίκηρα, τῇ δὲ τῶν ἔργων μνήμῃ τάξιν ἀθανασίας λαμβάνει· ἧς ἐρασθέντας ὑμᾶς βούλομαι διώκειν τὴν εὔκλειαν, καὶ τὰ μέγιστα ὑφισταμένους μὴ ὀκνεῖν ὑπὲρ αὐτῶν ἀπολιπεῖν τὸν βίον. Μάλιστα δ' ὑμῖν ὁμονοεῖν παραινῶ καὶ πρὸς ὅ τις ὑμῶν πέφυκεν ἀμείνων θατέρου, πρὸς τοῦτ' εἴκοντας ἀλλήλοις οἰκείαις χρῆσθαι ταῖς ἀρεταῖς. Καὶ Σίμωνα μὲν τὸν ἀδελφὸν συνέσει προὔχοντα πατέρα ἡγεῖσθε, καὶ οἷς ἂν οὗτος συμβουλεύῃ πείθεσθε· Μακκαβαῖον δὲ τῆς στρατιᾶς δι' ἀνδρείαν καὶ ἰσχὺν στρατηγὸν ἕξετε· τὸ γὰρ ἔθνος οὗτος ἐκδικήσει καὶ ἀμυνεῖται τοὺς πολεμίους. Προσίεσθε δὲ καὶ τοὺς δικαίους καὶ θεοσεβεῖς καὶ τὴν δύναμιν αὐτῶν αὔξετε. »

(Θ'.) δ'. Ταῦτα διαλεχθεὶς τοῖς παισὶ καὶ τὸν Θεὸν εὐξάμενος σύμμαχον αὐτοῖς γενέσθαι καὶ τῷ λαῷ τὴν ἰδίαν ἀνασῶσαι πάλιν τοῦ βίου συνήθειαν, μετ' οὐ πολὺ τελευτᾷ, καὶ θάπτεται μὲν ἐν Μωδιείμ, πένθος δ' ἐπ' αὐτῷ μέγα τοῦ λαοῦ παντὸς ποιησαμένου· διεδέξατο τὴν προστασίαν τῶν πραγμάτων ὁ παῖς αὐτοῦ Ἰούδας ὁ καὶ Μακκαβαῖος, ἑκατοστῷ ἔτει καὶ τεσσαρακοστῷ ἕκτῳ. Συναραμένων δ' αὐτῷ προθύμως τῶν ἀδελφῶν καὶ τῶν ἄλλων, τούς τε πολεμίους ἐξέβαλεν ἐκ τῆς χώρας, καὶ τοὺς παρανομήσαντας εἰς τὰ πάτρια τῶν ὁμοφύλων διεχρήσατο, καὶ ἐκαθάρισεν ἀπὸ παντὸς μιάσματος τὴν γῆν.

ΚΕΦ. Ζ'.

Ταῦτ' ἀκούσας Ἀπολλώνιος, ὁ τῆς Σαμαρείας στρατηγὸς, ἀναλαβὼν τὴν δύναμιν ὥρμησεν ἐπὶ τὸν Ἰούδαν. Ὁ δὲ ἀπήντησεν αὐτῷ καὶ συμβαλὼν κρατεῖ τῇ μάχῃ, καὶ πολλοὺς μὲν αὐτῶν ἀπέκτεινεν, ἐν οἷς καὶ τὸν στρατηγὸν Ἀπολλώνιον, οὗ καὶ τὴν μάχαιραν, ᾗ χρήσασθαι συνέβαινεν ἐκεῖνον, σκυλεύσας εἶχε, πλείους δὲ τραυματίας ἐποίησε, καὶ πολλὴν λείαν ἐκ τοῦ στρατοπέδου λαβὼν τῶν πολεμίων ἀνεχώρησε. Σήρων δὲ, ὁ τῆς Κοίλης Συρίας στρατηγὸς, ἀκούσας ὅτι πολλοὶ

3. Quum autem annum imperasset et in morbum incidisset, advocatis filiis, ubi illos circa se stitisset, « equidem « ego, inquit, filii, viam fato destinatam ingredior : at vo- « bis mentem meam commendo, oroque et obsecro ne « male eam custodiatis, sed, illius qui vos genuit nutri- « vitque voluntatis non immemores, servate ritus patrios, « veteremque reipublicæ formam, in discrimen adductam, « ite restitutum, non seducti ab iis, qui aut sponte aut « necessitate coacti eam produnt, sed vosmet liberos me « dignos præstantes et vi omni et necessitate superiores « estote, paratis animis, ut pro lege, si ita res ferat, moria- « mini, cogitantes Deum vos, si tales esse videat, non ne- « glecturum, sed æstimatione virtutis redditurum vobis « quod amisistis, eamque vivendi libertatem restituturum, « ut cum securitate moribus vestris perfruamini. Corpora « enim vobis mortalia et caduca, sed gestorum memoria « immortalitatem consequuntur; cujus amore inflammatos « vos aspirare volo ad gloriam, et ut maxima aggredientes « non gravemini illis exsequendis immori. Præcipue autem « vos ad concordiam hortor, et qua præstantiorem natura « quemque fecerit eatenus alii aliis cedatis, virtutem quis- « que suam exercentes. Et Simonem quidem fratrem, « prudentia præcellentem, patris loco habete, ejusque « consiliis obtemperate, Maccabæum vero fortitudine et « robore egregium, in bello gerendo militiæ ducem habebitis : « ille enim popularium injurias persequetur atque ulcisce- « tur hostes. Denique conciliate vobis justitiæ et pietatis « cultores et vires illorum augebitis. »

(IX.) 4. Ista filiis loquntus Deumque precatus ut ipsis auxilio esse dignaretur, et populo pristinum suum vivendi morem restitueret, non multo post diem supremum obit, et in Modiim sepelitur. Postquam autem a populo universo planctu magno deploratus est, rerum administrationem in se suscepit filius ejus Judas, cognomine Maccabæus, anno centesimo quadragesimo sexto. Quumque ei opem alacriter ferrent ipsius fratres aliique, et hostes e regione expulit, et populares suos patria instituta violantes ferro peremit, terramque ab omni inquinamento expiavit.

CAP. VII. (X.)

Hæc quum audisset Apollonius, Samariæ præfectus, coacto exercitu contra Judam egressus est. Hic vero ei obviam ivit et consertis manibus prælio superat, atque hostium multos quidem interfecit, (in quibus et Apollonium imperatorem, cujus armis exuti ensem, quo tum forte usus est, gerebat,) plures vero vulneravit, et cum ingenti præda ex hostium castris direpta recessit. Seron autem, Cœles-Syriæ exercitus dux, audito quod multi sese

προσκεχωρήκασι τῷ Ἰούδᾳ, καὶ δύναμιν ἤδη περιβέβληται πρὸς ἀγῶνας καὶ πολέμους ἀξιόλογον, ἐπ' αὐτὸν ἔγνω στρατεύσασθαι, προσήκειν ὑπολαμβάνων τοὺς εἰς τὰ τοῦ βασιλέως προστάγματα παρανομοῦντας πειρᾶσθαι κολάζειν. Συναγαγὼν οὖν δύναμιν, ὅση παρῆν αὐτῷ, προσκαταλέξας δὲ καὶ τῶν Ἰουδαίων τοὺς φυγάδας καὶ ἀσεβεῖς, ἐπὶ τὸν Ἰούδαν παρεγίνετο· προσελθὼν δὲ ἄχρι Βεθωρὸν κώμης τῆς Ἰουδαίας αὐτόθι στρατοπεδεύεται. Ὁ δὲ Ἰούδας ἀπαντήσας αὐτῷ καὶ συμβαλεῖν προαιρούμενος, ἐπεὶ τοὺς στρατιώτας ἑώρα πρὸς τὴν μάχην διά τε τὴν ὀλιγότητα καὶ δι' ἀσιτίαν (νενηστεύκεισαν γάρ) ὀκνοῦντας, παρεθάρσυνε λέγων οὐκ ἐν τῷ πλήθει τὸ νικᾶν εἶναι καὶ τῶν πολεμίων κρατεῖν, ἀλλ' ἐν τῷ πρὸς τὸ θεῖον εὐσεβεῖν· καὶ τούτου σαφέστατον ἔχειν παράδειγμα τοὺς προγόνους, οἳ διὰ δικαιοσύνην καὶ τὸ περὶ τῶν ἰδίων νόμων καὶ τέκνων ἀγωνίζεσθαι πολλὰς πολλάκις ἥττησαν μυριάδας· τὸ γὰρ μηδὲν ἀδικεῖν ἰσχυρὰ δύναμις. Ταῦτ' εἰπὼν πείθει τοὺς σὺν αὐτῷ καταφρονήσαντας τοῦ πλήθους τῶν ἐναντίων δρμόσαι χωρῆσαι τῷ Σήρωνι, καὶ συμβαλὼν τρέπει τοὺς Σύρους· πεσόντος γὰρ τοῦ στρατηγοῦ πάντες φεύγειν ὥρμησαν, ὡς ἐν τούτῳ τῆς σωτηρίας αὐτοῖς ἀποκειμένης. Ἐπιδιώκων δ' ἄχρι τοῦ πεδίου κτείνει τῶν πολεμίων εἰς ὀκτακοσίους· οἱ δὲ λοιποὶ διεσώθησαν εἰς τὴν παραλίαν.

(ΙΑ'.) β'. Ταῦτ' ἀκούσας ὁ βασιλεὺς Ἀντίοχος μεγάλως ὠργίσθη τοῖς γεγενημένοις, καὶ πᾶσαν τὴν οἰκείαν δύναμιν ἀθροίσας καὶ πολλοὺς ἐκ τῶν νήσων μισθοφόρους ἀναλαβὼν ἡτοιμάζετο περὶ τὴν ἀρχὴν τοῦ ἔαρος εἰς τὴν Ἰουδαίαν ἐμβαλεῖν. Ἐπεὶ δὲ τὸ στρατιωτικὸν διανεῖμας ἑώρα τοὺς θησαυροὺς ἐπιλείποντας καὶ χρημάτων ἔνδειαν οὖσαν, (οὔτε γὰρ οἱ φόροι πάντες ἐτελοῦντο διὰ τὰς τῶν ἐθνῶν στάσεις, μεγαλόψυχός τε ὢν καὶ φιλόδωρος οὐκ ἠρκεῖτο τοῖς οὖσιν,) ἔγνω πρῶτον εἰς τὴν Περσίδα πορευθεὶς τοὺς φόρους τῆς χώρας συναγαγεῖν. Καταλιπὼν οὖν ἐπὶ τῶν πραγμάτων Λυσίαν τινὰ, δόξαν ἔχοντα παρ' αὐτῷ καὶ τὰ μέχρι τῶν Αἰγύπτου ὅρων καὶ τῆς κάτωθεν Ἀσίας ἀπ' Εὐφράτου διέποντα ποταμοῦ καὶ μέρος τι τῆς δυνάμεως καὶ τῶν ἐλεφάντων, τρέφειν μὲν Ἀντίοχον τὸν υἱὸν αὐτοῦ μετὰ πάσης φροντίδος ἐνετείλατο, ἕως ἂν παραγένηται, καταστρεψάμενον δὲ τὴν Ἰουδαίαν καὶ τοὺς οἰκοῦντας αὐτὴν ἐξανδραποδισάμενον ἀφανίσαι τὰ Ἱεροσόλυμα καὶ τὸ γένος αὐτῶν ἀπολέσαι. Καὶ ταῦτα μὲν ἐπιστείλας τῷ Λυσίᾳ ὁ βασιλεὺς Ἀντίοχος ἐξήλασεν εἰς τὴν Περσίδα τῷ ἑκατοστῷ καὶ τεσσαρακοστῷ καὶ ἑβδόμῳ ἔτει, καὶ περαιωσάμενος τὸν Εὐφράτην ἀνέβαινε πρὸς τοὺς ἄνω σατράπας.

γ'. Ὁ δὲ Λυσίας ἐπιλεξάμενος Πτολεμαῖον τὸν Δορυμένους καὶ Νικάνορα καὶ Γοργίαν, ἄνδρας δυνατοὺς τῶν τοῦ βασιλέως φίλων, καὶ παραδοὺς αὐτοῖς πεζῆς μὲν δυνάμεως μυριάδας τέσσαρας, ἱππεῖς δὲ ἑπτακισχιλίους, ἐξέπεμψεν ἐπὶ τὴν Ἰουδαίαν. Οἱ δ' ἄχρις Ἐμμαοῦς πόλεως ἐλθόντες ἐν τῇ πεδινῇ καταστρατοπεδεύονται. Προσγίνονται δὲ αὐτοῖς σύμμαχοι ἀπὸ τῆς Συρίας καὶ

Judæ adjunxerant, atque is satis copiarum ad prælia bellumque gerendum jam comparaverat, statuit exercitum contra eum educere, consentaneum esse putans pro virili in eos animadvertere, qui contra regis mandata facerent. Contractis igitur quos penes se habuit militibus, adjunctisque Judæorum etiam perfugis et impiis, contra Judam profectus est; atque quum Bethoron usque Judææ vicum processisset, illic castra metatur. Judas autem ei obviam factus, idque congrediendi animo, ubi vidit suos, tum quia pauci et inedia confecti essent, (nam jejunaverant,) ad pugnam parum alacres, animum audaciamque illis addebat, dicens non in multitudine sitam esse victoriam triumphumque ex hostibus reportandum, sed in pietate erga Deum: idque compertissimum haberi majorum exemplis, qui quum ex jure et pro legibus suis et liberis dimicassent, multas sæpe hostium myriadas fuderint: nihil enim improbi facere magna est potentia. Hæc ubi dixit, suis persuasit ut, contempta hostium multitudine, cum Serone manus consererent, congressusque fugavit Syros. Prostrato enim duce universi sese in fugam conjiciunt, quasi omnis in eo posita esset salutis spes. Illos vero in campum usque persecutus ex hostibus occidit ad octingentos: reliqui evaserunt in regionem maritimam.

(XI.) 2. Quibus rebus auditis Antiochus rex, istis vehementer iratus, copias suas omnes coegit, multisque ex insulis mercenariis militibus assumptis, paravit primo vere in Judæam irrumpere. Verum ut, stipendio illis numerato, vidit thesauros deficere pecuniæque inopiam esse, (nam neque tributa omnia reddebantur propter gentium seditiones, et ipse vir generosus et largitor iis quæ habuerat non contentus erat,) statuit primum in Persidem proficisci, et regionis istius tributa colligere. Quum itaque reliquisset Lysiam quendam negotiorum procuratorem, apud ipsum auctoritatem habentem, et provincias administrantem a flumine Euphrate usque ad fines Ægypti et inferioris Asiæ, atque copiarum et elephantorum partem, jussit ut Antiochum filium suum usque ad reditum suum diligenter educaret, utque Judæa eversa ejusque incolis in servitutem abductis deleret Hierosolyma et genus Hebræorum exstingueret. Et ista quidem quum Lysiæ in mandatis dedisset rex Antiochus, profectus est in Persidem, anno centesimo quadragesimo septimo, et Euphrate trajecto ascendit ad superiores provincias.

3. Lysias autem, delectis Ptolemæo Dorymenis filio et Nicanore et Gorgia, hominibus amicorum regis potentissimis, eos cum quadraginta peditum millibus et septem equitum millibus dimisit in Judæam. Illi vero ad urbem usque Emmauntem progressi in loco campestri castra metantur. Illisque accedunt auxilia ex Syria et regione finitima, mul-

τῆς πέριξ χώρας καὶ πολλοὶ τῶν πεφευγότων Ἰουδαίων· ἔτι γε μὴν καὶ τῶν ἐμπόρων τινὲς, ὡς ὠνησόμενοι τοὺς αἰχμαλωτισθησομένους, πέδας μὲν κομίζοντες αἷς δήσουσι τοὺς ληφθησομένους, ἄργυρον δὲ καὶ χρυσὸν τιμὴν αὐτῶν καταθησόμενοι. Τὸ δὲ στρατόπεδον καὶ τὸ πλῆθος τῶν ἐναντίων ὁ Ἰούδας κατανοήσας ἔπειθε τοὺς οἰκείους στρατιώτας θαρρεῖν, καὶ παρεκελεύετο τὰς ἐλπίδας τῆς νίκης ἔχοντας ἐν τῷ Θεῷ, τοῦτον ἱκετεύειν τῷ πατρίῳ νόμῳ, σάκκους περιθεμένους καὶ τὸ σύνηθες αὐτῷ σχῆμα τῆς ἱκετείας παρὰ τοὺς μεγάλους κινδύνους ἐπιδείξαντας, τούτῳ δυσωπῆσαι παρασχεῖν αὐτοῖς τὸ κατὰ τῶν ἐχθρῶν κράτος. Διατάξας δὲ τὸν ἀρχαῖον αὐτοὺς τρόπον καὶ πάτριον κατὰ χιλιάρχους καὶ ταξιάρχους, καὶ τοὺς νεογάμους ἀπολύσας καὶ τοὺς τὰς κτήσεις νεωστὶ πεποιημένους, ὅπως μὴ διὰ τὴν τούτων ἀπόλαυσιν φιλοζωοῦντες ἀτολμότερον μάχωνται, καταστὰς τοιούτοις παρορμᾷ λόγοις πρὸς τὸν ἀγῶνα τοὺς αὐτοῦ στρατιώτας. « Καιρὸς μὲν ὑμῖν οὐκ ἄλλος « ἀναγκαιότερος τοῦ παρόντος, ὦ ἑταῖροι, εἰς εὐψυχίαν « καὶ κινδύνων καταφρόνησιν καταλέλειπται. Νῦν « γάρ ἐστιν ἀνδρείως ἀγωνισαμένοις τὴν ἐλευθερίαν « ἀπολαβεῖν, ἣν καὶ δι' αὐτὴν ἅπασιν ἀγαπητὴν οὖσαν « ἡμῖν ὑπ' ἐξουσίας τοῦ θρησκεύειν τὸ θεῖον ἔτι ποθει« νοτέραν εἶναι συμβέβηκεν. Ὡς οὖν ἐν τῷ παρόντι « κειμένων ὑμῶν, ταύτην ἀπολαβεῖν καὶ τὸν εὐδαίμονα « καὶ μακάριον ἀνακτήσασθαι βίον, (οὗτος δὲ ἦν ὁ κατὰ « τοὺς νόμους καὶ τὴν πάτριον συνήθειαν,) ἢ τὰ αἴσχι« στα παθεῖν καὶ μηδὲ σπέρμα τοῦ γένους ὑμῶν ὑπο« λειφθῆναι κακῶν ἐν τῇ μάχῃ γενομένων, οὕτως ἀγω« νίζεσθε. Τὸ μὲν οὖν ἀποθανεῖν καὶ μὴ πολεμοῦσιν « ὑμῖν ὑπάρξειν ἡγούμενοι, τὸ δ' ὑπὲρ τηλικούτων « ἐπάθλων, ἐλευθερίας, πατρίδος, νόμων, εὐσεβείας, « αἰώνιον τὴν εὔκλειαν κατασκευάζειν πεπιστευκότες, « ἑτοιμάζεσθε τοιγαροῦν, οὕτω τὰς ψυχὰς ἠὐτρεπι« σμένοι ὡς αὔριον ἅμ' ἡμέρᾳ συμβαλοῦντες τοῖς πο« λεμίοις. »

Δ'. Καὶ ὁ μὲν Ἰούδας ταῦτα παραθαρσύνων τὴν στρατιὰν ἔλεγε· τῶν δὲ πολεμίων πεμψάντων Γοργίαν μετὰ πεντακισχιλίων πεζῶν καὶ χιλίων ἱππέων, ὅπως διὰ τῆς νυκτὸς ἐπιπέσῃ τῷ Ἰούδᾳ, καὶ πρὸς τοῦτο ὁδηγοὺς ἔχοντος αὐτοῦ τινας τῶν πεφευγότων Ἰουδαίων, αἰσθόμενος ὁ τοῦ Ματταθίου παῖς ἔγνω καὶ αὐτὸς τοῖς ἐν τῇ παρεμβολῇ τῶν πολεμίων ἐπιπεσεῖν, καὶ ταῦτα διῃρημένης αὐτῶν τῆς δυνάμεως. Καθ' ὥραν οὖν δειπνοποιησάμενος καὶ πολλὰ πυρὰ καταλιπὼν ἐπὶ τοῦ στρατοπέδου, δι' ὅλης ὥδευε τῆς νυκτὸς ἐπὶ τοὺς ἐν Ἐμμαοῦς τῶν πολεμίων. Οὐχ εὑρὼν δ' ἐν τῷ στρατοπέδῳ τοὺς ἐχθροὺς ὁ Γοργίας, ἀλλ' ὑπονοήσας ἀναχωρήσαντας αὐτοὺς ἐν τοῖς ὄρεσι κεκρύφθαι, πορευθεὶς ἔγνω ζητεῖν ὅπου ποτ' εἶεν. Περὶ δὲ τὸν ὄρθρον ἐπιφαίνεται τοῖς ἐν Ἐμμαοῦς πολεμίοις ὁ Ἰούδας μετὰ τρισχιλίων φαύλως ὡπλισμένων διὰ πενίαν, καὶ θεασάμενος τοὺς ἐχθροὺς ἅριστα πεφραγμένους καὶ μετ' ἐμπειρίας πολλῆς ἐστρατοπεδευμένους, προτρεψάμενος τοὺς Ἰουδαίους

tique perfugæ Judæi, necnon et mercatores quidam, veluti illos empturi qui in servitutem redigendi erant, compedibus quibus captivos vincirent secum allatis, argentoque et auro in pretium illorum numerando. Judas autem, castris conspectis et adversariorum multitudine animadversa, milites suos hortabatur ut forti essent animo, suadebatque ut spem victoriæ in Deo collocantes ei more patrio supplicarent, saccis amicti, atque eum cui in magnis periculis consueverat supplicum habitum præ se ferentes, ad eum hoc modo exorandum ut vires ipsis contra hostes suppeditaret. Distributis deinde more antiquo patrioque in tribunos ac centuriones ordinibus, et dimissis novis maritis, quique possessiones nuper acquisiverant, ne illis fruendi desiderio vitæ amantes timidius dimicarent, post hæc milites suos ad pugnam excitat hujusmodi oratione. « Non aliud quidem « tempus, o socii, magis necessarium vobis relictum est ad « fortitudinem et periculorum contemptum quam quod in « manibus habetis. Nunc enim fortiter dimicantibus licet « libertatem assequi, quæ suapte natura omnibus desidera« bilis, nobis adhuc desiderabilior esse contigit, inde pote« statem habituris Deum rite colendi. Quoniam itaque res « vestræ in eo sunt loco, ut eam recipiatis et vitam bea« tam felicemque renovetis (ex legibus scilicet patriaque « consuetudine institutam), vel turpissima patiamini et « cum omni stirpe vestra pereatis, minus strenue vosmet « in pugna gerentes, cum hac cogitatione inite prælium « Et vobis quidem, etiamsi non pugnetis, moriendum esse « existimantes, persuasique præter tanta præmia, liberta« tem, patriam, leges, pietatem, vos æternam manere glo« riam, vos igitur accingite, ita animis parati ut cras « prima luce cum hostibus congressuri. »

4. Et ista quidem Judas, ut suis militibus animos adderet, verba faciebat. At hostes Gorgiam miserunt cum quinque peditum millibus et mille equitibus, ut noctu Judæorum castra adoriretur, perfugarum quorundam Judæorum ductu utens: quod ubi intellexit Mattathiæ filius, ipse etiam statuit in hostes castra tenentes impetum facere, idque quod divisæ essent illorum copiæ. Cœna itaque tempestive sumpta multisque in castris ignibus relictis, tota nocte iter faciebat ad hostes qui circa Emmauntem consederant. Gorgias autem quum hostium neminem in castris offendisset, eosque suspicaretur metu cessisse et in montes sese abdidisse, profectus statuit ubinam essent quærere. At Judas sub diluculum in hostium, qui ad Emmauntem erant, conspectum venit, cum tribus hominum millibus, male armatis ob inopiam, quumque vidisset hostes valide loricatos periteque admodum castra metatos, Judæos hortatus ut nudis etiam cor-

ὡς καὶ γυμνοῖς τοῖς σώμασι μάχεσθαι δέοι καὶ τὸ θεῖον ἤδη που καὶ τοῖς οὕτως ἔχουσι τὸ κατὰ τῶν πλειόνων καὶ ὡπλισμένων κράτος ἔδωκεν, ἀγασάμενον αὐτοὺς τῆς εὐψυχίας, ἐκέλευσε σημῆναι τοὺς σαλπιγκτάς. Ἐπιπεσὼν δὲ ἀπροσδοκήτως τοῖς πολεμίοις καὶ ἐκπλήξας αὐτῶν τὴν διάνοιαν καὶ ταράξας, πολλοὺς μὲν ἀπέκτεινεν ἀνθισταμένους, τοὺς δὲ λοιποὺς διώκων ἦλθε μέχρι Γαδάρων καὶ τῶν πεδίων τῆς Ἰδουμαίας καὶ Ἀζώτου καὶ Ἰαμνείας. Ἔπεσον δὲ αὐτῶν ὡς περὶ τρισχιλίους. Ἰούδας δὲ τῶν μὲν σκύλων παρεκελεύετο μὴ ἐπιθυμεῖν τοὺς αὑτοῦ στρατιώτας· ἔτι γὰρ αὐτοῖς ἀγῶνά τινα καὶ μάχην εἶναι πρὸς Γοργίαν καὶ τὴν σὺν αὐτῷ δύναμιν· κρατήσαντας δὲ καὶ τούτων, τότε σκυλεύσειν ἐπ' ἀδείας ἔλεγε, τοῦτο μόνον ἔχοντας καὶ μηδὲν ἕτερον ἐκδεχομένους. Ἔτι δὲ αὐτοῦ διαλεγομένου ταῦτα πρὸς τοὺς στρατιώτας, ὑπερκύψαντες οἱ τοῦ Γοργίου τὴν μὲν στρατιὰν, ἣν ἐν τῇ παρεμβολῇ κατέλιπον, ὁρῶσι τετραμμένην, τὸ δὲ στρατόπεδον ἐμπεπρησμένον· ὁ γὰρ καπνὸς αὐτοῖς πόρρωθεν οὖσι τοῦ συμβεβηκότος δήλωσιν ἔφερεν. Ὡς οὖν ταῦθ' οὕτως ἔχοντα ἔμαθον οἱ σὺν Γοργίᾳ καὶ τοὺς μετὰ Ἰούδα πρὸς παράταξιν ἑτοίμους κατενόησαν, καὶ αὐτοὶ δείσαντες εἰς φυγὴν ἐτράπησαν. Ὁ δὲ Ἰούδας, ὡς ἀμαχητὶ τῶν Γοργίου στρατιωτῶν ἡττημένων, ὑποστρέψας ἀνῃρεῖτο τὰ σκῦλα· πολὺν δὲ καὶ χρυσὸν καὶ ἄργυρον καὶ πορφύραν καὶ ὑάκινθον λαβὼν εἰς τὴν οἰκείαν ὑπέστρεψε, χαίρων καὶ ὑμνῶν τὸν Θεὸν ἐπὶ τοῖς κατωρθωμένοις· οὐ μικρὰ γὰρ αὐτοῖς ἡ νίκη πρὸς τὴν ἐλευθερίαν συνεβάλλετο.

ε'. Λυσίας δὲ συγχυθεὶς ἐπὶ τῇ τῶν ἐκπεμφθέντων ἥττῃ, τῷ ἐχομένῳ ἔτει μυριάδας ἀνδρῶν ἐπιλέκτων συναθροίσας ἓξ καὶ πεντακισχιλίους λαβὼν ἱππεῖς ἐνέβαλεν εἰς τὴν Ἰουδαίαν· καὶ ἀναβὰς εἰς τὴν ὀρεινὴν ἐν Βεθσούροις κώμῃ τῆς Ἰουδαίας ἐστρατοπεδεύσατο. Ἀπήντησε δὲ μετὰ μυρίων Ἰούδας, καὶ τὸ πλῆθος ἰδὼν τῶν πολεμίων σύμμαχον ἔσεσθαι τὸν Θεὸν εὐξάμενος, συμβαλὼν τοῖς προδρόμοις τῶν πολεμίων νικᾷ τούτους, καὶ φονεύσας αὐτῶν ὡς πεντακισχιλίους τοῖς λοιποῖς ἦν ἐπίφοβος. Ἀμέλει κατανοήσας ὁ Λυσίας τὸ φρόνημα τῶν Ἰουδαίων, ὡς ἕτοιμοί εἰσι τελευτᾶν, εἰ μὴ ζήσουσιν ἐλεύθεροι, καὶ δείσας αὐτῶν τὴν ἀπόγνωσιν ὡς ἰσχὺν, ἀναλαβὼν τὴν λοιπὴν δύναμιν ὑπέστρεψεν εἰς Ἀντιόχειαν, καὶ διέτριβεν ἐκεῖ ξενολογῶν καὶ παρασκευαζόμενος μετὰ μείζονος στρατοῦ εἰς τὴν Ἰουδαίαν ἐμβαλεῖν.

ς'. Τοσαυτάκις οὖν ἡττημένων ἤδη τῶν Ἀντιόχου τοῦ βασιλέως στρατηγῶν, ὁ Ἰούδας ἐκκλησιάσας ἔλεγε μετὰ πολλὰς νίκας, ἃς ὁ Θεὸς αὐτοῖς ἔδωκεν, ἀναβῆναι δεῖν εἰς Ἱεροσόλυμα καὶ τὸν ναὸν καθαρίσαι καὶ τὰς νενομισμένας θυσίας προσφέρειν. Ὡς δὲ παραγενόμενος μετὰ παντὸς τοῦ πλήθους εἰς Ἱεροσόλυμα καὶ τὸν ναὸν ἔρημον ηὗρε καὶ κατατεπρησμένας τὰς πύλας καὶ φυτὰ διὰ τὴν ἐρημίαν αὐτόματα ἐν τῷ ἱερῷ βεβλαστηκότα, Ὀρηνεῖν ἤρξατο μετὰ τῶν ἰδίων ἐπὶ τῇ ὄψει τοῦ ναοῦ

poribus non vererentur prælio congredi, memoria repetentes quod Deus jam olim ita se habentes fecerit superare multitudinem majorem armatamque, eorum fortitudine mirifice delectatus, jussit tubicines signa dare. Hostes deinde ex improviso adortus injectoque illorum animis terrore et perturbatione, multos quidem resistentes occidit, reliquos vero persequutus est usque ad Gadara et Idumææ Azotique et Jamniæ campos. Ceciderunt autem illorum quasi ad tria millia. Judas vero suos milites hortatus est ut spolia non concupiscerent : adhuc enim ipsis superesse certamen et prælium cum Gorgia ejusque exercitu : illis autem debellatis tum securos spolia lecturos esse dicebat, ut qui hoc solum faciendum haberent, et nihil aliud exspectarent. At hæc adhuc ad milites loquente Juda, Gorgiani *e monte* eminentes prospiciunt exercitum, quem in castris reliquerunt, fusum fugatumque, et castra incensa : nam fumus *qui ab* illis eminus *conspiciebatur* indicabat quod acciderat. Igitur ubi ista ita se habere intellexere Gorgiani, et Judæ agmen ad conflictum paratum animadverterunt, ipsi etiam territi in fugam versi sunt. Judas vero, utpote devictis sine pugna Gorgianis militibus, reversus spolia diripiebat, captoque plurimo auro et argento, hyacinthoque et purpura, domum se recepit, lætus laudansque Deum ob res prospere gestas : ad libertatem enim ipsis haud parum contulit hæc victoria.

5. Lysias autem, clade illorum qui missi erant confusus, sequenti anno contractis delectorum hominum millibus sexaginta et equitum quinque millibus assumptis, impetum in Judæam fecit, et, quum montana ascendisset, apud Bethsura Judææ vicum castra posuit. Obviam autem profectus est Judas cum decem millibus, animadversaque hostium multitudine, Deum precatus ut sibi auxilio esset, præcursores hostium aggreditur, illosque superat; quumque ex iis ad quinque millia cecidisset, reliquis terrorem incussit. Lysias scilicet secum reputans quo animo essent Judæi, ad moriendum quidem parati, nisi cum libertate vitam agere liceret, eorumque desperationem, ut vim veritus, collectis quæ supererant copiis Antiochiam reversus est : atque ibi commoratus mercenariorum delectum habebat, et cum majori exercitu cogitabat iterum in Judæam impressionem facere.

6. Toties igitur profligatis Antiochi ducibus, Judas, advocata concione, dicebat oportere se, post tot victorias ipsis a Deo concessas, Hierosolyma ascendere, et templum purificare, atque consuetas hostias offerre. Ubi vero cum tota multitudine Hierosolyma accessit, et fanum desertum inveniebat, et portas exustas, et sponte enata in templo ob solitudinem virgulta, lamentari cum suis cœpit, templi spectaculo confusus. Deinde quibusdam e suis militibus

συγχυθείς. Ἐπιλεξάμενος δέ τινας τῶν αὐτοῦ στρατιωτῶν προσέταξε τούτοις ἐκπολεμῆσαι τέως τὴν ἄκραν φυλάττοντας, ἄχρι ἂν αὐτὸς τὸν ναὸν ἁγνίσειε. Καθάρας δ' ἐπιμελῶς αὐτὸν εἰσεκόμισε καινὰ σκεύη, λυχνίαν, τράπεζαν, βωμὸν, ἐκ χρυσοῦ πεποιημένα, ἀπήρτησε δὲ καὶ τὰ περιπετάσματα τῶν θυρῶν καὶ τὰς θύρας αὐτὰς ἐπέθηκε. Καθελὼν δὲ καὶ τὸ θυσιαστήριον καινὸν ἐκ λίθων συμμίκτων ᾠκοδόμησεν, οὐ λελατομημένων ἐκ σιδήρου. Πέμπτῃ δὲ καὶ εἰκάδι τοῦ Χασλεὺ μηνὸς, ὃν οἱ Μακεδόνες Ἀπελλαῖον καλοῦσι, ἧψάν τε φῶτα ἐπὶ τῆς λυχνίας καὶ ἐθυμίασαν ἐπὶ τοῦ βωμοῦ, καὶ ἄρτους ἐπὶ τὴν τράπεζαν ἐπέθηκαν, καὶ ὁλοκαύτωσαν ἐπὶ τοῦ καινοῦ θυσιαστηρίου. Ἔτυχε δὲ ταῦτα κατὰ τὴν ἡμέραν ἐκείνην γίνεσθαι καθ' ἣν καὶ μετέπεσεν αὐτῶν ἡ ἁγία θρησκεία εἰς βέβηλον καὶ κοινὴν συνήθειαν, μετὰ ἔτη τρία. Τὸν γὰρ ναὸν ἐρημωθέντα ὑπ' Ἀντιόχου διαμεῖναι τοιοῦτον ἔτεσι συνέβη τρισίν· ἔτει γὰρ πέμπτῳ καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ ταῦτα περὶ τὸν ναὸν ἐγένετο, πέμπτῃ καὶ εἰκάδι τοῦ Ἀπελλαίου μηνὸς, Ὀλυμπιάδι ἑκατοστῇ καὶ πεντηκοστῇ καὶ τρίτῃ· ἀνενεώθη δὲ κατὰ τὴν αὐτὴν ἡμέραν πέμπτῃ καὶ εἰκοστῇ τοῦ Ἀπελλαίου μηνὸς, ὀγδόῳ καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ ἔτει, Ὀλυμπιάδι ἑκατοστῇ καὶ πεντηκοστῇ καὶ τετάρτῃ. Τὴν δ' ἐρήμωσιν τοῦ ναοῦ συνέβη γενέσθαι κατὰ τὴν Δανιήλου προφητείαν, πρὸ τετρακοσίων καὶ ὀκτὼ γενομένην ἐτῶν· ἐδήλωσε γὰρ ὅτι Μακεδόνες καταλύσουσιν αὐτόν.

ζ'. Ἑώρταζε δὲ Ἰούδας μετὰ τῶν πολιτῶν ἀνάκτησιν τῆς περὶ τὸν ναὸν θυσίας ἐφ' ἡμέρας ὀκτὼ, μηδὲν ἀπολιπὼν ἡδονῆς εἶδος, ἀλλὰ πολυτελέσι μὲν καὶ λαμπραῖς ταῖς θυσίαις κατευωχῶν αὐτοὺς, ὕμνοις δὲ καὶ ψαλμοῖς τὸν Θεὸν μὲν τιμῶν, αὐτοὺς δὲ τέρπων. Τοσαύτῃ δ' ἐχρήσαντο τῇ περὶ τὴν ἀνανέωσιν τῶν ἐθῶν ἡδονῇ, μετὰ χρόνον πολὺν ἀπροσδοκήτως ἐν ἐξουσίᾳ γενόμενοι τῆς θρησκείας, ὡς νόμον θεῖναι τοῖς μετ' αὐτοὺς ἑορτάζειν τὴν ἀνάκτησιν τῶν περὶ τὸν ναὸν ἐφ' ἡμέρας ὀκτώ. Καὶ ἐξ ἐκείνου μέχρι δεῦρο τὴν ἑορτὴν ἄγομεν καλοῦντες αὐτὴν Φῶτα, ἐκ τοῦ παρ' ἐλπίδας, οἶμαι, ταύτην ἡμῖν φανῆναι τὴν ἐξουσίαν τὴν προσηγορίαν θέμενοι τῇ ἑορτῇ. Τειχίσας δ' ἐν κύκλῳ τὴν πόλιν καὶ πρὸς τὰς ἐπιδρομὰς τῶν πολεμίων πύργους οἰκοδομησάμενος ὑψηλοὺς, φύλακας ἐν αὐτοῖς ἐγκατέστησε, καὶ τὴν Βεθσούραν δὲ πόλιν ὠχύρωσεν, ὅπως ἀντὶ φρουρίου αὐτῇ πρὸς τὰς ἀπὸ τῶν πολεμίων ἀνάγκας ἔχῃ χρῆσθαι.

ΚΕΦ. Η'.

Τούτων οὕτω γενομένων, τὰ πέριξ ἔθνη πρὸς τὴν ἀναζωπύρησιν καὶ τὴν ἰσχὺν τῶν Ἰουδαίων χαλεπῶς διακείμενα, πολλοὺς ἐπισυνιστάμενα διέφθειρεν, ἐνέδραις καὶ ἐπιβουλαῖς αὐτῶν ἐγκρατῆ γενόμενα. Πρὸς τούτους πολέμους συνεχεῖς ἐκφέρων Ἰούδας, ἐπέχειν αὐτοὺς τῆς καταδρομῆς καὶ ὧν ἐποίουν κακῶν τοῖς Ἰουδαίοις, ἐπειρᾶτο. Καὶ τοῖς Ἡσαύου υἱοῖς Ἰδουμαίοις κατ' Ἀκραβα-

delectis negotium dedit ut eos qui custodiebant arcem oppugnarent, donec ipse fanum lustrasset. Quum autem illud summa cura repurgasset, intulit nova vasa, candelabrum, mensam, altare, ex auro facta omnia, ac præterea ad ostia vela appendit, foresque ipsas adjiciendas curavit. Præterea aram demolitus, novam ex lapidibus undique collectis, non ferro accisis, exstruxit. Vigesima autem et quinta die mensis Chasleu, quem Apellæum nominant Macedones, lumina in candelabro accenderunt, et ad aram suffitum fecerunt, et panes mensæ imposuerunt, solidaque sacrificia super novo altari obtulerunt. Hæc autem eadem die facta sunt, qua triennio elapso mutata est ipsorum religio in profanam impuramque consuetudinem. Accidit enim ut templum ab Antiocho desolatum eo in statu tribus annis permanserit: nam anno centesimo quadragesimo quinto ista templo contigerunt, vigesima et quinta die Apellæi mensis, Olympiade supra centesimam quinquagesima tertia: instauratum vero erat eadem die, quinta et vigesima Apellæi mensis, octavo et quadragesimo et centesimo anno, Olympiade vero centesima et quinquagesima quarta. Accidit autem ut templi desolatio fieret secundum id quod Danielus ante quadringentos et octo annos prædixerat: ostendit enim ipsum a Macedonibus eversum iri.

7. Egit autem Judas cum civibus per octo dies instaurationem sacrificiorum in templo, nullum omittens lætitiæ genus, sed magnificis splendidisque sacrificiis eos excipiens, hymnis etiam et psalmis Deum quidem honorans, populares vero oblectans. Tantum autem gaudii cepere ex hac rituum restitutione, libertate religionis post multum temporis inexspectato recuperata, ut legem posteris fecerint quotannis solennes agere dies octo ob res templi restitutas: et ex eo tempore in hodiernum usque diem celebramus id solenne quod dicitur Lumina, hac festivitati, ut opinor, indita appellatione, quod illa nobis ex insperato affulserit *agendi* libertas. Quum autem urbi mœnia circumdedisset, turresque altas ædificasset contra hostium incursus, custodias in eis imposuit, urbemque Bethsuram munivit, ut ea tanquam arce uteretur, si quando ab hostibus in eam necessitatem adactus esset.

CAP. VIII. (XII.)

His ita gestis, finitimæ gentes, Judæorum vires exsuscitatas recreatasque ægre admodum ferentes, conspiratione facta multos occiderunt, insidiis dolisque eos in potestatem suam redigentes. Cum istis Judas assidue bellum gerens, conabatur eos ab incursibus cohibere et a malis quæ Judæis intulerunt. Atque Idumæos Esavi filios ad Acrabate-

τηνὴν ἐπιπεσὼν πολλοὺς αὐτῶν ἀπέκτεινε καὶ ἐσκύλευσε· συγκλείσας δὲ καὶ τοὺς υἱοὺς τοῦ Βαάνου λοχῶντας τοὺς Ἰουδαίους, περικαθίσας ἐπολιόρκει καὶ τούς τε πύργους αὐτῶν ἐνεπίμπρα καὶ τοὺς ἄνδρας διέφθειρεν. Ἔπειτ' ἐκεῖθεν ἐπὶ τοὺς Ἀμμανίτας ὁρμήσας, δύναμιν μεγάλην καὶ πολυάνθρωπον ἔχοντας, ἧς ἡγεῖτο Τιμόθεος, καὶ τούτους χειρωσάμενος τὴν Ἰαζωρὸν ἐξῆρε πόλιν, καὶ τάς τε γυναῖκας αὐτῶν καὶ τὰ τέκνα λαβὼν αἰχμαλώτους καὶ τὴν πόλιν ἐμπρήσας εἰς τὴν Ἰουδαίαν ἀνέστρεφε. Μαθόντα δ' αὐτὸν τὰ γειτονεύοντα τῶν ἐθνῶν ἀναστραφέντα, συναθροίζεται εἰς τὴν Γαλααδῖτιν ἐπὶ τοὺς ἐν τοῖς ὁρίοις αὐτῶν Ἰουδαίους. Οἱ δὲ καταφυγόντες εἰς Δάθεμα τὸ φρούριον, πέμψαντες πρὸς Ἰούδαν ἐδήλουν αὐτῷ ὅτι λαβεῖν ἐσπούδακεν ὁ Τιμόθεος τὸ χωρίον εἰς ὃ συνεπεφεύγεσαν. Ἀναγινωσκομένων δὲ τῶν ἐπιστολῶν τούτων, κἀκ τῆς Γαλιλαίας ἄγγελοι παραγίνονται σημαίνοντες ἐπισυνῆχθαι τοὺς ἐκ Πτολεμαΐδος καὶ Τύρου καὶ Σιδῶνος καὶ τῶν ἀλλογενῶν τῆς Γαλιλαίας.

β'. Πρὸς οὖν ἀμφοτέρας τὰς τῶν ἠγγελμένων χρείας σκεψάμενος ὁ Ἰούδας ὅ τι χρὴ ποιεῖν, Σίμωνα μὲν τὸν ἀδελφὸν προσέταξεν ὡς τρισχιλίους τῶν ἐπιλέκτων λαβόντα τοῖς ἐν Γαλιλαίᾳ βοηθὸν ἐξελθεῖν Ἰουδαίοις, αὐτὸς δὲ καὶ Ἰωνάθης ὁ ἕτερος ἀδελφὸς μετὰ στρατιωτῶν ὀκτακισχιλίων ὥρμησαν εἰς τὴν Γαλααδῖτιν· κατέλιπε δὲ ἐπὶ τῶν ὑπολοίπων τῆς δυνάμεως Ἰώσηπόν τε τὸν τοῦ Ζαχαρίου καὶ Ἀζαρίαν, προστάξας αὐτοῖς φυλάττειν ἐπιμελῶς τὴν Ἰουδαίαν καὶ συνάπτειν πόλεμον πρὸς μηδένα, ἕως ἂν αὐτὸς ἐπανέλθῃ. Ὁ μὲν οὖν Σίμων παραγενόμενος εἰς τὴν Γαλιλαίαν καὶ συμβαλὼν τοῖς ἐχθροῖς εἰς φυγὴν αὐτοὺς ἔτρεψε, καὶ μέχρι τῶν πυλῶν τῆς Πτολεμαΐδος διώξας ἀπέκτεινεν αὐτῶν ὡς περὶ τρισχιλίους, καὶ τά τε σκῦλα λαβὼν τῶν ἀνῃρημένων καὶ τοὺς ἠχμαλωτισμένους ὑπ' αὐτῶν Ἰουδαίους, καὶ τὴν ἀποσκευὴν αὐτῶν ἐπαγόμενος, εἰς τὴν οἰκείαν ἀνέστρεψεν.

γ'. Ἰούδας δὲ ὁ Μακκαβαῖος καὶ ὁ ἀδελφὸς αὐτοῦ Ἰωνάθης, διαβάντες τὸν Ἰορδάνην ποταμὸν καὶ ὁδὸν ἀπ' αὐτοῦ τριῶν ἀνύσαντες ἡμερῶν, τοῖς Ναβαταίοις εἰρηνικῶς ὑπαντῶσι περιτυγχάνουσιν. Ὧν διηγησαμένων τὰ περὶ τοὺς ἐν Γαλααδίτιδι, ὡς πολλοὶ κακοπαθοῦσιν αὐτῶν ἐν τοῖς φρουρίοις ἀπειλημμένοι καὶ ταῖς πόλεσι τῆς Γαλααδίτιδος, καὶ παραινεσάντων αὐτῷ σπεύδειν ἐπὶ τοὺς ἀλλοφύλους καὶ ζητεῖν ἀπ' αὐτῶν σώζειν τοὺς ὁμοεθνεῖς, πεισθεὶς ὑπέστρεψεν εἰς τὴν ἔρημον· καὶ προσπεσὼν πρώτοις τοῖς τῆς Βοσορρὰν κατοικοῦσι καὶ λαβὼν αὐτὴν, καταβαλὼν πᾶν τὸ ἄρρεν καὶ μάχεσθαι δυνάμενον διέφθειρε καὶ τὴν πόλιν ὑφῆψεν. Ἐπιγενομένης δὲ νυκτὸς οὐδ' οὕτως ἐπέσχεν, ἀλλ' ὁδεύσας δι' αὐτῆς ἐπὶ τὸ φρούριον, ἔνθα τοὺς Ἰουδαίους ἐγκεκλεῖσθαι συνέβαινε, περικαθεζομένου τὸ χωρίον Τιμοθέου μετὰ τῆς δυνάμεως, ἑῴθεν ἐπ' αὐτὸ παραγίνεται. Καὶ καταλαβὼν ἤδη τοῖς τείχεσι προσβεβληκότας τοὺς πολεμίους, καὶ τοὺς μὲν κλίμακας ὥστε ἀναβαίνειν ἐπ' αὐτὰ, τοὺς δὲ μηχανήματα προσφέροντας, nam adortus, multos interfecit et deprædatus est: porro et Baani filios, qui insidiati sunt Judæis, conclusos turribus admoto exercitu obsidebat, turresque illorum incendebat, hominesque trucidabat. Postea inde progressus in Ammanitas, validam manum numerosumque nactos exercitum, cui præerat Timotheus, illis profligatis atque devictis, Jazoron urbem expugnavit, abductisque in captivitatem uxoribus eorum et liberis et urbe incensa in Judæam reversus est. Quum autem vicinæ gentes intellexissent ipsum revertisse, coeunt in Galaaditin adversus Judæos, qui in ipsorum finibus degebant. At illi in Dathema castellum fuga elapsi, missis ad Judam nunciis ei significabant, Timotheum festinare ut locum, in quem confugerant, expugnaret. Adhuc istæ recitabantur epistolæ, quum adsunt ex Galilæa nuncii, indicantes convenisse Ptolemaidis incolas et Tyrios atque Sidonios et Galilææ extraneos.

2. Judas igitur, quum cogitasset quid fieri oporteret ad utrasque quæ nunciatæ erant necessitates sublevandas, Simoni quidem fratri suo mandavit ut cum tribus delectorum millibus defensum exiret Judæos qui in Galilæa habitarent; ipse vero, assumpto Jonatha fratre altero, cum octo militum millibus in Galaaditin profectus est; Josephum autem Zachariæ filium et Azariam, qui reliquo exercitui præessent, reliquit, cum præcepto ut diligenter custodirent Judæam, et cum nemine ante ipsius reditum prælio dimicarent. Simon igitur, postquam in Galilæam venit, congressus est cum hostibus, eosque terga vertere coegit, et fugientes persequutus usque ad portas Ptolemaidis, occidit eorum ad tria circiter millia, quumque peremptorum spolia sustulisset, tam Judæos ab eis in captivitatem redactos quam eorum sarcinulas abducens, domum se recepit.

3. Judas autem Maccabæus et Jonathas ejus frater, trajecto Jordane, et ab eo tridui iter emensi, incidunt in Nabatæos, amice eis occurrentes. Qui quum ei narrassent quæ fratribus in Galaaditide acciderant, multosque illorum malis conflictari, compulsos in castella et oppida Galaaditidis, atque eum monuissent ut properaret ire adversus alienigenas, summaque ope niteretur populares suos ab illis vindicare, obsequutus iter per solitudinem convertit, primoque impetu facto in habitantes Bethsuram, eaque capta, mares omnes militaris ætatis ferro trucidavit, urbemque igni cremavit. Nocte autem appetente, nihilominus perrexit, eaque ad munitionem profectus, in quam Judæos conclusos esse contigit, Timotheo cum copiis suis locum obsidente, prima luce eo pervenit. Quumque jam offendisset hostes mœnibus admotos, atque alios scalas ad ea ascendenda, alios vero machinas in expugnationem apportantes, jusso tubicine ca-

κελεύσας τὸν σαλπιγκτὴν σημῆναι καὶ παρορμήσας τοὺς στρατιώτας ὑπὲρ ἀδελφῶν καὶ συγγενῶν διακινδυνεῦσαι προθύμως, εἰς τρία διελὼν τὸν στρατὸν ἐπιπίπτει κατὰ νώτου τοῖς πολεμίοις. Οἱ δὲ περὶ τὸν Τιμόθεον αἰσθόμενοι ὅτι Μακκαβαῖος εἴη, πεῖραν ἤδη καὶ πρότερον αὐτοῦ τῆς ἀνδρείας καὶ τῆς ἐν τοῖς πολέμοις εὐτυχίας εἰληφότες, εἰς φυγὴν τρέπονται. Ἐφεπόμενος δὲ μετὰ τοῦ στρατεύματος ὁ Ἰούδας ἀναιρεῖν μὲν αὐτῶν εἰς ὀκτακισχιλίους, ἀπονεύσας δ' εἰς Μάλλην πόλιν οὕτω λεγομένην τῶν ἀλλοφύλων, λαμβάνει καὶ ταύτην· καὶ τοὺς μὲν ἄρρενας ἅπαντας ἀποκτείνει, τὴν δὲ πόλιν αὐτὴν ἐμπίπρησιν. Ἄρας δ' ἐκεῖθεν τήν τε Χάσφωμα καὶ Βοσὸρ καὶ πολλὰς ἄλλας πόλεις τῆς Γαλααδίτιδος καταστρέφεται.

δ'. Χρόνῳ δ' ὕστερον οὐ πολλῷ Τιμόθεος δύναμιν μεγάλην παρασκευασάμενος καὶ συμμάχους ἄλλους τε παραλαβὼν καὶ Ἀράβων τινὰς μισθῷ πείσας αὐτῷ συστρατεύειν, ἦγεν ἄγων τὴν στρατιὰν πέραν τοῦ χειμάρρου Ῥαφῶν ἀντικρὺς (πόλις δὲ ἦν αὕτη), καὶ παρεκελεύετο τοὺς στρατιώτας, εἰ συμβάλοιεν εἰς μάχην τοῖς Ἰουδαίοις, προθύμως ἀγωνίζεσθαι καὶ κωλύειν αὐτοὺς διαβαίνειν τὸν χείμαρρον· διαβάντων γὰρ ἦ̓ναν αὐτοῖς προὔλεγεν. Ἰούδας δ' ἀκούσας παρεσκευάσθαι τὸν Τιμόθεον πρὸς μάχην, ἀναλαβὼν πᾶσαν τὴν οἰκείαν δύναμιν ἔσπευδεν ἐπὶ τὸν πολέμιον, καὶ περαιωσάμενος τὸν χείμαρρον ἐπεμπίπτει τοῖς ἐχθροῖς, καὶ τοὺς μὲν αὐτῶν ὑπαντιάζοντας ἀνῄρει, τοὺς δ' εἰς δέος ἐμβαλὼν ῥίψαντας τὰ ὅπλα φεύγειν ἠνάγκασε. Καὶ τινὲς μὲν αὐτῶν διέδρασαν, οἱ δ' εἰς τὸ καλούμενον ἐν Καρναΐν τέμενος συμφυγόντες ἤλπισαν τεύξεσθαι σωτηρίας. Ἰούδας δὲ τὴν πόλιν καταλαβόμενος αὐτούς τε ἀπέκτεινε καὶ τὸ τέμενος ἐνέπρησε, ποικίλῃ χρησάμενος ἰδέᾳ τῆς ἀπωλείας τῶν πολεμίων.

ε'. Ταῦτα διαπραξάμενος καὶ συναγαγὼν τοὺς ἐν τῇ Γαλααδίτιδι Ἰουδαίους μετὰ τῶν τέκνων καὶ γυναικῶν καὶ τῆς ὑπαρχούσης αὐτοῖς ἀποσκευῆς, οἷός τε ἦν εἰς τὴν Ἰουδαίαν ἐπαναγαγεῖν. Ὡς δ' ἦκεν ἐπί τινα πόλιν Ἔφρων ὄνομα, ἐπὶ τῆς ὁδοῦ κειμένην, καὶ οὔτε ἄλλην αὐτῷ τραπομένῳ βαδίζειν δυνατὸν ἦν οὔτε ἀναστρέφειν ἤθελεν, πέμψας πρὸς τοὺς ἐν αὐτῇ παρεκάλει τὰς πύλας ἀνοίξαντας ἐπιτρέπειν αὐτῷ διὰ τῆς πόλεως ἀπελθεῖν. Τάς τε γὰρ πύλας λίθοις ἐπεφράκεσαν καὶ τὴν διέξοδον ἀπετέμνοντο. Μὴ πειθομένων δὲ τῶν Ἐφραίων, παρορμήσας τοὺς μεθ' ἑαυτοῦ καὶ κυκλωσάμενος ἐπολιόρκει. Καὶ δι' ἡμέρας καὶ νυκτὸς προσκαθίσας ἑξαιρεῖ τὴν πόλιν, καὶ πᾶν ὅσον ἄρρεν ἦν ἐν αὐτῇ κτείνας καὶ καταπρήσας ἅπασαν αὐτὴν, ὁδὸν ἔσχε. Τοσοῦτο δ' ἦν τὸ τῶν πεφονευμένων πλῆθος, ὡς ἐπ' αὐτῶν βαδίζειν τῶν νεκρῶν. Διαβάντες δὲ τὸν Ἰορδάνην ἦκον εἰς τὸ μέγα πεδίον, οὗ κεῖται κατὰ πρόσωπον πόλις Βεθσάνη, καλουμένη πρὸς Ἑλλήνων Σκυθόπολις, κἀκεῖθεν ὁρμηθέντες εἰς τὴν Ἰουδαίαν παρεγένοντο, ψάλλοντές τε καὶ ὑμνῳδοῦντες καὶ τὰς συνήθεις ἐν τοῖς ἐπινικίοις παιδιὰς ἄγοντες· ἔθυσαν δὲ χαριστη-

nere, suosque adhortatus milites, ut alacriter sese periculis objicerent pro fratribus et cognatis, divisis trifariam copiis hostes a tergo invadit. At Timothei milites, intellecto Maccabæum esse, quum jam ante ejus virtutem et in bellis felicitatem experti essent, e vestigio in fugam vertuntur. Judas autem, cum exercitu suo eos insequutus, occidit illorum ad octo millia, atque ad Mallen, alienigenarum urbem ita appellatam, flexo itinere, eam etiam expugnavit, ac omnes in ea mares interfecit, urbemque ipsam incendit Illinc autem profectus et Chasphoma et Bosor aliaque multa Galaaditidis evertit oppida.

4. Non multo post Timotheus quum magnas coegisset copias aliosque sibi in auxilium assumpsisset et Arabibus quibusdam mercede persuasisset secum in bellum ire, trans torrentem duxit exercitum, ex adverso urbis Raphôn, et milites hortabatur ut, si forte prælio congrederentur cum Judæis, alacriter dimicarent et arcerent eos a transitu torrentis : si enim transirent, prædicebat fore ut cladem sui acciperent. Judas autem, audito quod Timotheus ad pugnam ineundam esset paratus, copiis suis omnibus assumptis hostem versus ire properavit, trajectoque flumine inimicos adoritur, et quosdam eorum sibi occurrentes peremit, alios vero metu perculsos, abjectis armis, in fugam compulit. Atque horum nonnulli evaserunt, quidam vero in fanum, quod erat In Carnain vocatum, confugientes se salvos fore sperarunt. At Judas capto oppido et ipsos interemit et fanum incendit, hostibus variis modis morte affectis.

5. His gestis, quum Galaaditidis Judæos cum liberis et uxoribus omnique eorum supellectile coegisset, in eo erat ut illos in Judæam reduceret. Ubi autem ventum est ad urbem Ephronem nomine, in via positam, et neque sibi potestas erat declinandi in alterutram partem, neque animus retrorsum revertendi, missis ad eos qui in ea erant nunciis, orabat ut portas aperirent, seque per urbem discedere paterentur. Nam et portas lapidibus obstruxerant et transitum præciderant. Sed quum Ephronitæ ei noluissent parere, milites suos adhortatus coronaque facta urbem obsidebat. Et postquam diem noctemque assederat, urbem expugnat, omnibusque in ea maribus occisis, eaque tota exusta, facere iter incipiebat. Tantus autem erat occisorum numerus, ut super mortuorum corpora transirent. Ita trajecto Jordane, pervenerunt in Campum magnum, in conspectu urbis Bethsanæ positum, quæ Græcis dicitur Scythopolis, atque inde profecti in Judæam venerunt, cum cantibus et laudibus omnique ludendi licentia, qua in victoriis celebrandis uti solent : hostias etiam votivas macta-

ρίους θυσίας ὑπέρ τε τῶν κατωρθωμένων καὶ ὑπὲρ τῆς τοῦ στρατεύματος σωτηρίας· οὐδεὶς γὰρ ἐν τούτοις τοῖς πολέμοις τῶν Ἰουδαίων ἀπέθανεν.

ς'. Ἰώσηπος δὲ ὁ Ζαχαρίου καὶ Ἀζαρίας, οὓς κατέλιπε στρατηγοὺς ὁ Ἰούδας, καθ' ὃν καιρὸν Σίμων μὲν ὑπῆρχεν ἐν τῇ Γαλιλαίᾳ πολεμῶν τοὺς ἐν Πτολεμαΐδι, αὐτὸς δὲ ὁ Ἰούδας καὶ ὁ ἀδελφὸς αὐτοῦ Ἰωνάθης ἐν τῇ Γαλααδίτιδι, βουληθέντες καὶ αὐτοὶ δόξαν περιποιήσασθαι στρατηγῶν τὰ πολεμικὰ γενναίων, τὴν ὑπ' αὐτοὺς δύναμιν ἀναλαβόντες ἦλθον εἰς Ἰάμνειαν. Γοργίου δὲ τοῦ τῆς Ἰαμνείας στρατηγοῦ ὑπαντήσαντος, συμβολῆς γενομένης δισχιλίους ἀποβάλλουσι τῆς στρατιᾶς, καὶ φεύγοντες ἄχρι τῶν τῆς Ἰουδαίας ὁρων διώκονται. Συνέβη δ' αὐτοῖς τὸ πταῖσμα τοῦτο παρακούσασιν ὧν αὐτοῖς Ἰούδας ἐπέστειλε, μὴ συμβαλεῖν εἰς μάχην μηδενὶ πρὸ τῆς ἐκείνου παρουσίας. Πρὸς γὰρ τοῖς ἄλλοις αὐτοῦ στρατηγήμασι καὶ τὸ κατὰ τοὺς περὶ τὸν Ἰώσηπον καὶ τὸν Ἀζαρίαν πταῖσμα θαυμάσειεν ἄν τις, ὃ συνῆκεν, εἰ παρακινήσουσί τι τῶν ἐπεσταλμένων αὐτοῖς, ἐσόμενον. Ὁ δὲ Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ πολεμοῦντες τοῖς Ἰδουμαίοις οὐκ ἀνίεσαν, ἀλλ' ἐνέκειντο πανταχόθεν αὐτοῖς, τήν τε Χεβρῶνα πόλιν καταλαβόμενοι, ὅσον ἦν ὀχυρὸν αὐτῆς καθεῖλον, καὶ τοὺς πύργους ἐμπρήσαντες ἐδῄουν τὴν ἀλλοφύλων χώραν καὶ Μάρισσαν πολιν, εἴς τε Ἄζωτον ἐλθόντες καὶ λαβόντες αὐτὴν διήρπασαν. Πολλὰ δὲ σκῦλα καὶ λείαν κομίζοντες εἰς τὴν Ἰουδαίαν ὑπέστρεψαν.

ΚΕΦ. Θ'.

Ὑπὸ δὲ τὸν καιρὸν ἐκεῖνον καὶ ὁ βασιλεὺς Ἀντίοχος τὴν ἄνω χώραν ἐπερχόμενος ἀκούει πόλιν ἐν τῇ Περσίδι πλούτῳ διαφέρουσαν Ἐλυμαΐδα τοὔνομα, καὶ πολυτελὲς ἱερὸν Ἀρτέμιδος ἐν αὐτῇ καὶ παντοδαπῶν ἀναθημάτων πλῆρες εἶναι, ἔτι γε μὴν ὅπλα καὶ θώρακας, ἃ καταλιπεῖν ἐπυνθάνετο τὸν υἱὸν τοῦ Φιλίππου, βασιλέα δὲ Μακεδόνων Ἀλέξανδρον. Κινηθεὶς οὖν ὑπὸ τούτων ὥρμησεν ἐπὶ τὴν Ἐλυμαΐδα καὶ προσβαλὼν αὐτὴν ἐπολιόρκει. Τῶν δ' ἐν αὐτῇ μὴ καταπλαγέντων τὴν ἔφοδον αὐτοῦ μηδὲ τὴν πολιορκίαν, ἀλλὰ καρτερῶς ἀντισχόντων, ἀποκρούεται τῆς ἐλπίδος. Ἀπωσάμενοι γὰρ ἀπὸ τῆς πόλεως καὶ ἐπεξελθόντες ἐδίωξαν· ὥστ' αὐτὸν ἐλθεῖν εἰς Βαβυλῶνα φεύγοντα καὶ πολλοὺς ἀποβαλόντα τῆς στρατιᾶς. Λυπουμένῳ δ' ἐπὶ τῇ διαμαρτίᾳ ταύτῃ προσαγγέλλουσί τινες καὶ τὴν τῶν στρατηγῶν ἧτταν, οὓς πολεμήσοντας τοῖς Ἰουδαίοις κατελελοίπει, καὶ τὴν ἰσχὺν ἣν τὴν τῶν Ἰουδαίων. Προσγενομένης οὖν καὶ τῆς περὶ τούτων φροντίδος τῇ προτέρᾳ, συγχυθεὶς ὑπὸ ἀθυμίας εἰς νόσον κατέπεσεν· ἧς μηκυνομένης καὶ αὐξανομένων τῶν παθῶν, συνεὶς ὅτι μέλλει τελευτᾶν συγκαλεῖ τοὺς φίλους, καὶ τήν τε νόσον αὐτοῖς χαλεπὴν οὖσαν ἐμήνυε καὶ τοῦτο, ὅτι ταῦτα πάσχει κακώσας τὸ Ἰουδαίων ἔθνος, παρεδήλου, συλήσας τε τὸν ναὸν καὶ τοῦ Θεοῦ καταφρονήσας. Καὶ ταῦτα λέγων ἐξέπνευσεν· ὥστε θαυμάζειν Πολύβιον

runt pro rebus feliciter gestis, pariterque pro incolumitate exercitus : nam Judæorum nemo istis in præliis ceciderat.

6. Interea Josephus Zachariæ filius et Azarias, quos copiarum duces reliquerat Judas, quo tempore Simon in Galilæa bellum gerebat contra Ptolemaidis incolas, ipse vero Judas et frater ejus Jonathas in Galaaditide, volentes et ipsi ducum bellica virtute insignium gloriam sibi acquirere, cum suis militibus profecti sunt ad Jamniam. Sed eis obviam egresso Gorgia Jamniæ præfecto, pugnaque commissa, homines de suis ad duo millia amittunt, et terga vertentes usque ad Judææ fines fugati sunt. Hæc autem clades illis propterea accidit, quod iis non obsequuti sunt quæ mandaverat Judas, ut scilicet cum nemine, antequam ipse adesset, prælio dimicarent. Nam præter cetera ejus consilia sollertia etiam illud plane mirandum, quod cladem Josephi et Azariæ militibus illatam illis eventuram esse intellexit, si vel tantillum ab iis discederent quæ in mandatis dederat. At Judas ejusque fratres Idumæos bello persequi non destiterunt, sed eos undique premebant urgebantque; et quum urbem Chebronem cepissent, ejus munitiones diruerunt, et turribus incensis extraneorum regionem depopulabantur urbemque Marissam, ac inde Azotum delati eam expugnarunt et diripuerunt. Multum autem spoliorum et prædæ secum asportantes in Judæam reversi sunt.

CAP. IX. (XIII.)

Sub id tempus etiam rex Antiochus superiores tractus peragrans audivit urbem esse in Perside opibus præstantem, Elymaida nomine, in eaque Dianæ templum valde opulentum, omne genus donariis refertum; arma etiam et loricas ibi esse, quæ fama accipiebat reliquisse Alexandrum, Philippi filium, Macedonum regem. Itaque his incitatus, Elymaida properavit, admotoque exercitu eam obsidebat. Illis autem qui in ea erant nec adventu ejus nec oppugnatione territis, sed fortiter resistentibus, spe sua frustratus est. Quum enim illum ab urbe repulissent, facta eruptione eum persequuti sunt, adeo ut fuga se Babylonem receperit, magna exercitus parte amissa. Dolenti autem quod tam male ei res ceciderant, nunciant quidam duces profligatos etiam esse quos ad bellum cum Judæis gerendum reliquerat, Judæorumque vires magna cepisse incrementa. Hac de re nova sollicitudine priori accedente, animi anxietate obrutus in morbum incidit. Quo quum diutius teneretur, et augerentur cruciatus, cogitans jam sibi esse moriendum, amicos convocat, et morbum suum illis gravem esse significabat, ac præterea illud declarabat, se ista passum esse, quod Judæorum gentem male mulcaverit, templumque spoliaverit, et Deum contempserit. Atque his dictis animam exhalavit, adeo ut mirari subeat Polybium Megalo-

τὸν Μεγαλοπολίτην, ὃς ἀγαθὸς ὢν ἀνὴρ ἀποθανεῖν λέγει τὸν Ἀντίοχον βουληθέντα τὸ τῆς ἐν Πέρσαις Ἀρτέμιδος ἱερὸν συλῆσαι. Τὸ γὰρ μηκέτι ποιῆσαι τὸ ἔργον βουλευσάμενον οὐκ ἔστι τιμωρίας ἄξιον. Εἰ δὲ διὰ τοῦτο Πολυβίῳ δοκεῖ καταστρέψαι τὸν βίον Ἀντίοχον οὕτω, πολὺ πιθανώτερον διὰ τὴν ἱεροσυλίαν τοῦ ἐν Ἱεροσολύμοις ναοῦ τελευτῆσαι τὸν βασιλέα. Ἀλλὰ περὶ μὲν τούτου οὐ διαφέρομεν τὴν ὑπὸ τοῦ Μεγαλοπολίτου λεγομένην αἰτίαν παρὰ τὴν ὑφ' ἡμῶν ἀληθῆ νομίζουσιν.

(ΙΔ'.) β'. Ὁ δ' Ἀντίοχος, πρὶν ἢ τελευτᾶν καλέσας Φίλιππον, ἕνα τῶν ἑταίρων, τῆς βασιλείας αὐτὸν ἐπίτροπον καθίστησι, καὶ δοὺς αὐτῷ τὸ διάδημα καὶ τὴν στολὴν καὶ τὸν δακτύλιον, Ἀντιόχῳ τῷ παιδὶ αὐτοῦ ταῦτα ἐκέλευσε κομίσαντα δοῦναι, δεηθεὶς προνοῆσαι τῆς ἀνατροφῆς αὐτοῦ καὶ τηρῆσαι τὴν βασιλείαν ἐκείνῳ. Ἀπέθανε δὲ Ἀντίοχος ἐνάτῳ καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ ἔτει. Λυσίας δέ, αὐτοῦ τὸν θάνατον δηλώσας τῷ πλήθει, τὸν υἱὸν αὐτοῦ Ἀντίοχον (αὐτὸς γὰρ εἶχε τὴν ἐπιμέλειαν) ἀποδείκνυσι βασιλέα, καλέσας αὐτὸν Εὐπάτορα.

γ'. Ἐν δὲ τούτῳ τῷ καιρῷ οἱ ἐν τῇ ἄκρᾳ τῶν Ἱεροσολύμων φρουροὶ καὶ φυγάδες τῶν Ἰουδαίων πολλὰ τοὺς Ἰουδαίους εἰργάσαντο. Τοὺς γὰρ ἀναβαίνοντας εἰς τὸ ἱερὸν θῦσαι βουλομένους ἐξαίφνης ἐκτρέχοντες οἱ φρουροὶ διέφθειραν· ἐπέκειτο γὰρ τῷ ἱερῷ ἡ ἄκρα. Τούτων οὖν συμβαινόντων αὐτοῖς, Ἰούδας ἐξελεῖν διέγνω τὴν φρουράν, καὶ συναγαγὼν τὸν λαὸν ἅπαντα τοὺς ἐν τῇ ἄκρᾳ καρτερῶς ἐπολιόρκει. Ἦτος δ' ἦν τοῦτο τῆς ἀρχῆς τοῖς ἀπὸ Σελεύκου ἑκατοστὸν καὶ πεντηκοστόν. Κατασκευάσας οὖν μηχανήματα καὶ χώματα ἐγείρας φιλοπόνως προσέκειτο τῇ τῆς ἄκρας αἱρέσει. Πολλοὶ δὲ τῶν ἐν αὐτῇ φυγάδων νύκτωρ ἐξελθόντες εἰς τὴν χώραν, καί τινας τῶν ὁμοίων καὶ ἀσεβῶν συναγαγόντες, ἦκον πρὸς Ἀντίοχον τὸν βασιλέα οὐκ ἀξιοῦντες ἑαυτοὺς ὑπερορᾶσθαι δεινὰ πάσχοντας ὑπὸ τῶν ὁμοφύλων, καὶ ταῦθ' ὑπομένοντας διὰ τὸν πατέρα αὐτοῦ, τὴν μὲν πάτριον αὐτῶν καταλείψαντας θρησκείαν, ἣν δὲ προσέταξε, ταύτην ποιουμένους. Κινδυνεύειν οὖν ὑπὸ Ἰούδα καὶ τῶν σὺν αὐτῷ τὴν ἀκρόπολιν αἱρεθῆναι καὶ τοὺς φρουροὺς τοὺς ὑπὸ τοῦ βασιλέως κατασταθέντας, εἰ μή τις παρ' αὐτοῦ βοήθεια πεμφθείη. Ταῦτ' ἀκούσας ὁ παῖς Ἀντίοχος ὠργίσθη, καὶ τοὺς ἡγεμόνας καὶ φίλους μεταπεμψάμενος ἐκέλευσε μισθοφόρους συναγαγεῖν καὶ ἐκ τῆς βασιλείας τοὺς στρατεύσιμον ἡλικίαν ἔχοντας. Καὶ συνήχθη στρατὸς πεζῶν μὲν ὡσεὶ δέκα μυριάδες, ἱππεῖς δὲ δισμύριοι, ἐλέφαντες δὲ δύο καὶ τριάκοντα.

δ'. Ταύτην οὖν ἀναλαβὼν τὴν δύναμιν ἐξώρμησεν ἐκ τῆς Ἀντιοχείας μετὰ Λυσίου, πάσης τῆς στρατιᾶς ἔχοντος τὴν ἡγεμονίαν. Καὶ παραγενόμενος εἰς τὴν Ἰδουμαίαν ἐκεῖθεν εἰς Βεθσούραν ἀναβαίνει πόλιν, σφόδρα ὀχυρὰν καὶ δυσάλωτον, καὶ περικαθίσας ἐπολιόρκει τὴν πόλιν. Ἰσχυρῶς δὲ ἀντεχόντων τῶν Βεθ-

politanum : qui, quum vir esset alioqui probus, memoriæ proderet, Antiochum perilisse, quod Dianæ templum apud Persas expilare voluisset. Voluisse enim tantum nec fecisse haud pœna dignum erat. Quodsi Polybio videatur Antiochum ob hujusmodi causam finiisse vitam, multo verisimilius est, ob sacrilegam templi Hierosolymitani direptionem exstinctum esse. Sed hac de re non libet cum illis contendere, qui causam a Megalopolitano allatam huic nostræ præferendam esse arbitrantur.

(XIV.) 2. Ceterum Antiochus, priusquam moreretur, Philippo uno de sodalibus suis vocato, ipsum regni curatorem constituit, traditoque ei diademate vestituque suo et annulo, jussit ut ad Antiochum filium suum perferret eique redderet, orans ut ipsum educandum curaret et regnum ei servaret. Atque diem supremum obiit Antiochus anno centesimo quadragesimo nono. At Lysias, postquam ipsum mortuum esse populo indicaverat, filium ejus Antiochum (ipse enim illius curam gerebat) regem declarat, eumque nuncupat Eupatorem.

3. Hoc autem tempore arcis Hierosolymitanæ custodes et Judæorum perfugæ multa in Judæos patrarunt. Eos enim qui in templum rem divinam faciendi ergo ascendebant, peremerunt : nam templo arx imminebat. Itaque quum hæc illis acciderint, id Judæ in animo erat ut præsidium istud de medio tolleret, populoque omni convocato eos qui in arce erant valide oppugnabat. Annus autem Seleucidarum is erat centesimus quinquagesimus. Fabricatis itaque machinis et aggeribus excitatis magnopere urgebat ut arcem caperet. Sed multi ex perfugis, qui in ea erant, noctu in regionem egressi, et, coactis quibusdam sui similibus et impiis, ad Antiochum regem se conferebant, postulantes ut ipsos non negligeret, dum a popularibus suis dira paterentur, atque illa sustinerent patris ipsius gratia, quod religionem patriam reliquissent, et eam quam ille instituerat sequerentur. Nunc vero periculum esse ne Judas et qui cum eo sint et arcem capiant et præsidium a rege constitutum, nisi ab ipso suppetiæ mitterentur. His auditis Antiochus puer iratus est, accersitisque ducibus et amicis jussit eos milites colligere mercenarios, virosque e regno suo qui militaris essent ætatis. Et coactus est exercitus, peditum circiter centum millia, equitum vero viginti millia, elephantique duo et triginta.

4. His copiis rex Antiochia profectus est cum Lysia, totius exercitus imperium habente. Quumque in Idumæam pervenisset, inde ad Bethsuram ascendit, urbem valde munitam captuque difficilem, eamque circumsessam oppugnare cœpit. Bethsuranis autem fortiter resistentibus, et

σουραίων καὶ τὴν παρασκευὴν αὐτοῦ τῶν μηχανημάτων ἐμπρησάντων, (ἐπεξῆλθον γὰρ αὐτῷ,) χρόνος ἐτρίβετο πολὺς περὶ τὴν πολιορκίαν. Ἰούδας δὲ τὴν ἔφοδον τοῦ βασιλέως ἀκούσας ἀφίσταται μὲν τοῦ τὴν ἄκραν πολιορκεῖν, ἀπαντήσας δὲ τῷ βασιλεῖ βάλλεται στρατόπεδον ἐπὶ τῶν στενῶν, ἔν τινι τόπῳ Βεθζαχαρίᾳ λεγομένῳ, σταδίους ἀπέχοντι τῶν πολεμίων ἑβδομήκοντα. Ὁ δὲ βασιλεὺς ὁρμήσας ἀπὸ τῆς Βεθσούρας ἤγαγε τὴν δύναμιν ἐπὶ τὰ στενὰ καὶ τὸ τοῦ Ἰούδα στρατόπεδον. Ἅμ' ἡμέρᾳ δὲ πρὸς μάχην διέτασσε τὴν στρατιάν. Τοὺς μὲν οὖν ἐλέφαντας ἐποίησεν ἀλλήλοις ἕπεσθαι διὰ τὴν στενοχωρίαν, οὐ δυναμένων αὐτῶν ἐπὶ πλάτος τετάχθαι· εἰς δὲ κύκλον ἐλέφαντος ἑκάστου συμπαρῆσαν πεζοὶ μὲν χίλιοι, ἱππεῖς δὲ πεντακόσιοι· ἔφερον δὲ οἱ ἐλέφαντες πύργους τε ὑψηλοὺς καὶ τοξότας. Τὴν δὲ λοιπὴν δύναμιν ἑκατέρωθεν ἐποίησεν ἀναβαίνειν ἐπὶ τὰ ὄρη, τοὺς φίλους αὐτῆς προτάξας. Κελεύσας δὲ ἀλαλάξαι τὴν στρατιὰν προσβάλλει τοῖς πολεμίοις, γυμνώσας τάς τε χρυσᾶς καὶ χαλκᾶς ἀσπίδας, ὥστε αὐγὴν ἀπ' αὐτῶν ἀφίεσθαι λαμπράν· συνεπήχει δὲ τὰ ὄρη κεκραγότων αὐτῶν. Ταῦτα ὁρῶν ὁ Ἰούδας οὐ κατεπλάγη, δεξάμενος δὲ γενναίως τοὺς πολεμίους, τῶν προδρόμων περὶ ἑξακοσίους ἀναιρεῖ. Ἐλεάζαρος δ' ὁ ἀδελφὸς αὐτοῦ, ὃν Αὐρὰν ἐκάλουν, ἰδὼν τὸν ὑψηλότατον τῶν ἐλεφάντων ὡπλισμένον θώραξι βασιλικοῖς καὶ νομίζων ἐπ' αὐτοῦ τὸν βασιλέα εἶναι, παρεβάλλετο σφόδρα εὐκαρδίως ἐπ' αὐτὸν ὁρμήσας. Καὶ πολλοὺς μὲν τῶν περὶ τὸν ἐλέφαντα κτείνας, τοὺς ἄλλους διεσκέδασεν· ὑποδὺς δὲ ὑπὸ τὴν γαστέρα καὶ πλήξας ἀπέκτεινε τὸν ἐλέφαντα· ὁ δ' ἐπικατενεχθεὶς τῷ Ἐλεαζάρῳ διαφθείρει τὸν ἄνδρα ὑπὸ τοῦ βάρους. Καὶ οὗτος μὲν εὐψύχως πολλοὺς τῶν ἐχθρῶν ἀπολέσας τῷ τρόπῳ τούτῳ τὸν βίον κατέστρεψεν.

ε'. Ὁ δὲ Ἰούδας ὁρῶν τὴν τῶν πολεμίων ἰσχὺν ἀνεχώρησεν εἰς Ἱεροσόλυμα καὶ πρὸς πολιορκίαν παρεσκευάζετο. Ἀντίοχος δὲ τὸ μὲν τῆς στρατιᾶς εἰς Βεθσούραν ἔπεμψε, πολεμήσων αὐτὴν τῷ λοιπῷ δὲ τῆς δυνάμεως αὐτὸς ἦκεν ἐπὶ τὰ Ἱεροσόλυμα. Οἱ μὲν οὖν Βεθσουρῖται, τὴν ἰσχὺν καταπλαγέντες καὶ σπανίζοντα βλέποντες τὰ ἐπιτήδεια, παραδιδόασιν αὐτοὺς, ὅρκους λαβόντες ὑπὲρ τοῦ μηδὲν πείσεσθαι δεινὸν ὑπὸ τοῦ βασιλέως. Ἀντίοχος δὲ, λαβὼν τὴν πόλιν ἄλλο μὲν αὐτοὺς οὐδὲν διέθηκεν ἢ μόνον γυμνοὺς ἐξέβαλε, φρουρὰν δὲ κατέστησεν ἰδίαν ἐν τῇ πόλει. Πολλῷ δὲ χρόνῳ τὸ ἱερὸν πολιορκῶν τὸ ἐν Ἱεροσολύμοις προσεκαθίζετο, καρτερῶς τῶν ἔνδον ἀμυνομένων· πρὸς ἕκαστον γὰρ ὧν ὁ βασιλεὺς ἐπ' αὐτοὺς ἔστησε μηχάνημα, κἀκεῖνοι πάλιν ἀντεμηχανῶντο. Τροφὴ δ' αὐτοῖς ἐπελελοίπει, τοῦ μὲν ὄντος ἀπανηλωμένου καρποῦ, τῆς δὲ γῆς ἐκείνῳ τῷ ἔτει μὴ γεγεωργημένης, ἀλλὰ διὰ τὸ εἶναι τὸ ἕβδομον ἔτος, καθ' ὃ νόμος ἦν ἡμῖν ἀργὴν ἐᾶν τὴν χώραν, ἀσπόρου μεμενηκυίας. Πολλοὶ τοιγαροῦν τῶν πολιορκουμένων ἀπεδίδρασκον

machinas ab ipso paratas, incursionibus factis, incendentibus, multum temporis in obsidione consumptum est. Judas autem, audita regis expeditione, ab oppugnatione arcis desistit, regique obviam profectus, castra posuit ad angustias in loco qui Bethzacharia dicebatur, septuaginta stadiorum intervallo ab hostibus. At rex, digressus Bethsura, exercitum duxit ad fauces, versusque Judæ castra. Primo autem mane copias in aciem instruxit; quumque non posset elephantos explicare in aciei latitudinem propter locorum angustias, jussit ut unus post alium incederet: singulis autem elephantis attributi erant mille pedites et equites quingenti, qui eos undique stiparent; gestabantque elephanti turres excelsas et sagittarios. Reliquum vero exercitum hinc atque illinc fecit edita montium ascendere, amicis suis ei præpositis. Quum autem jussisset exercitum clamorem militarem tollere, hostes aggreditur, aureis æreisque clypeis nudatis, ut inde fulgor ingens emicaret: et illis magna voce clamantibus montes respondebant. Nec tamen Judas his visis animo consternatus est, sed, excepto fortiter hostium impetu, ad sexcentos eorum occidit, qui primi ad manus venerant. Eleazarus autem ejus frater, quem Auran vocabant, conspicatus elephantum alios omnes superemminentem, regiis thoracibus loricatum, suspicatus in eo esse Regem, animose admodum in eum impetum fecit. Quumque multos qui circa elephantum erant peremisset, aliosque dimovisset, sub ventrem subiit, et elephantum vulneratum interfecit: is vero in Eleazarum collapsus, suo pondere virum opprimit. Et hic quidem, quum magno animo multos ex hostibus perdidisset, hoc modo vitam finivit.

5. At Judas, ubi hostium vires animadvertit, Hierosolyma se recepit, seque ad obsidionem toleraudam parabat. Antiochus vero, parte exercitus ad oppugnandam Bethsuram missa, cum reliquis copiis in Hierosolyma profectus est. At enim Bethsuritæ multitudine territi, videntesque commeatus ipsos deficere, semet tradiderunt, fide jurejurando accepta se nihil mali a rege passuros esse. Ceterum Antiochus urbe potitus, nulla alia injuria eos affecit quam quod nudos eos ejecerit; urbem autem suorum præsidio firmavit. Verum per longum tempus assidebat oppugnando fanum Hierosolymitanum, iis qui intus erant acerrime propugnantibus: nam contra singulas a rege in eos adhibitas machinationes illi alias contra fecerunt. Commeatus autem eos deficere cœperat, frugibus, quas condiderant, absumptis, terraque eo anno non culta, et, quod septimus erat annus quo secundum legem nostram regio feriatur, nulla semente facta. Multi igitur obsessorum propter necessariu-

διὰ τὴν τῶν ἀναγκαίων ἀπορίαν, ὡς ὀλίγους ἐν τῷ ἱερῷ καταλειφθῆναι.

ς'. Καὶ τοῖς μὲν πολιορκουμένοις ἐν τῷ ἱερῷ τοιαῦτα συνέβαινεν εἶναι τὰ πράγματα. Λυσίας δὲ ὁ στρατηγὸς καὶ ὁ βασιλεὺς Ἀντίοχος, ἐπειδὴ Φίλιππος αὐτοῖς ἀπὸ τῆς Περσίδος ἦκων ἐδηλώθη καὶ τὰ πράγματα εἰς ἑαυτὸν κατασκευάζειν, εἶχον μὲν ὥστε τὴν πολιορκίαν ἀφέντες ἐπὶ τὸν Φίλιππον ὁρμᾶν, οὐ μὴν τοῦτο ποιῆσαι φανερὸν τοῖς στρατιώταις καὶ τοῖς ἡγεμόσιν ἔγνωσαν, ἀλλ' ἐκέλευσε τὸν Λυσίαν ὁ βασιλεὺς αὐτοῖς τε καὶ τοῖς ἡγεμόσιν ἐν κοινῷ διαλεχθῆναι, μηδὲν μὲν τῶν περὶ Φιλίππου ἐμφανίζοντα, τὴν δὲ πολιορκίαν ὅτι χρονιωτάτη γένοιτ' ἂν δηλοῦντα, καὶ τὴν ὀχυρότητα τοῦ χωρίου, καὶ ὅτι τὰ τῆς τροφῆς αὐτοῖς ἤδη ἐπελέλοιπει, καὶ ὡς πολλὰ δεῖ καταστῆσαι τῶν ἐν τῇ βασιλείᾳ πραγμάτων, καὶ ὡς δοκεῖ πολὺ κρεῖττον εἶναι σπονδὰς ποιησαμένους πρὸς τοὺς πολιορκουμένους καὶ φιλίαν πρὸς ὅλον αὐτῶν τὸ ἔθνος, ἐπιτρέψαντας αὐτοῖς χρῆσθαι τοῖς πατρῴοις νόμοις, ὧν ἀφαιρεθέντες ἐξεπολεμώθησαν, χωρεῖν ἐπὶ τὰ οἰκεῖα. Ταῦτα τοῦ Λυσίου φήσαντος ἠρέσθη τό τε στράτευμα καὶ οἱ ἡγεμόνες τῇ γνώμῃ.

(ΙΕ'.) ζ'. Καὶ πέμψας ὁ βασιλεὺς πρὸς τὸν Ἰούδαν καὶ τοὺς σὺν αὐτῷ πολιορκουμένους εἰρήνην τε ἐπηγγείλατο καὶ συγχωρεῖν τοῖς πατρῴοις νόμοις χρωμένους ζῆν. Οἱ δὲ ἀσμένως δεξάμενοι τοὺς λόγους, λαβόντες ὅρκους τε καὶ πίστεις, ἐξῆλθον ἐκ τοῦ ἱεροῦ. Εἰσελθὼν δὲ Ἀντίοχος εἰς αὐτὸ καὶ θεασάμενος ὀχυρὸν οὕτω τὸ χωρίον παρέβη τοὺς ὅρκους, καὶ κελεύει τὴν δύναμιν παραστᾶσαν καθελεῖν τὸ τεῖχος εἰς ἔδαφος. Καὶ ταῦτα ποιήσας ἀνέστρεψεν εἰς Ἀντιόχειαν, ἐπαγόμενος Ὀνίαν τὸν ἀρχιερέα, ὃς καὶ Μενέλαος ἐκαλεῖτο· Λυσίας γὰρ συνεβούλευσε τῷ βασιλεῖ τὸν Μενέλαον ἀνελεῖν, εἰ βούλεται τοὺς Ἰουδαίους ἡρεμεῖν καὶ μηδὲν ἐνοχλεῖν αὐτῷ· τοῦτον γὰρ ἄρξαι τῶν κακῶν, πείσαντ' αὐτοῦ τὸν πατέρα τοὺς Ἰουδαίους ἀναγκάσαι τὴν πάτριον θρησκείαν καταλιπεῖν. Πέμψας οὖν τὸν Μενέλαον ὁ βασιλεὺς εἰς Βέροιαν τῆς Συρίας διέφθειρεν, ἀρχιερατεύσαντα μὲν ἔτη δέκα, πονηρὸν δὲ γενόμενον καὶ ἀσεβῆ καί, ἵνα αὐτὸς ἄρχῃ, τὸ ἔθνος ἀναγκάσαντα παραβῆναι τοὺς ἰδίους νόμους. Ἀρχιερεὺς δ' ἐγένετο μετὰ τὸν τοῦ Μενελάου θάνατον Ἄλκιμος ὁ καὶ Ἰάκειμος κληθείς. Ὁ δὲ βασιλεὺς Ἀντίοχος εὑρὼν ἤδη τὸν Φίλιππον κρατοῦντα τῶν πραγμάτων ἐπολέμει πρὸς αὐτὸν, καὶ λαβὼν αὐτὸν ὑποχείριον ἀπέκτεινεν. Ὁ δὲ τοῦ ἀρχιερέως υἱὸς Ὀνίας, ὃν προεῖπομεν ἔτι παῖδα τελευτήσαντος ἀφίεσθαι τοῦ πατρὸς, ἰδὼν ὅτι τὸν θεῖον αὐτοῦ Μενέλαον ὁ βασιλεὺς ἀνελὼν τὴν ἀρχιερωσύνην Ἀλκίμῳ δέδωκεν, οὐκ ὄντι ἐκ τῆς τῶν ἀρχιερέων γενεᾶς, ἀλλ' ὑπὸ Λυσίου πεισθεὶς μεταθεῖναι τὴν τιμὴν ἀπὸ ταύτης τῆς οἰκίας εἰς ἕτερον οἶκον, φεύγει πρὸς Πτολεμαῖον τὸν Αἰγύπτου βασιλέα, καὶ τιμῆς ἀξιωθεὶς ὑπό τε αὐτοῦ καὶ τῆς γυναικὸς αὐτοῦ

rum inopiam diffugiebant, adeo ut pauci in templo relicti fuerint.

6. Atque illis quidem, qui in fano obsidebantur, ita res ceciderunt. Lysias vero copiarum dux et Antiochus rex, postquam eis nunciatum erat Philippum e Perside venire, et rerum summam sibimet vindicare, in ea erant sententia ut soluta obsidione adversus Philippum ire contenderent, id tamen *consilii* tam duces quam milites celare decreverunt. Ceterum rex mandavit Lysiæ ut in concione quum ipsos tum duces alloqueretur, mentionem nullam faciens negotiorum Philippi, id vero subindicans, oppugnationem fore rem longi temporis, locumque esse munitissimum, et commeatus ipsos jam defecisse, multaque in regno constituenda esse, adeoque longe melius videri foedus cum obsessis et amicitiam cum tota illorum gente inire, et sinere eos uti patriis legibus, quibus ademptis in bellum eruperint, atque domum redire. Quum ista Lysias loquutus esset, tam ducibus quam exercitui placuit sententia.

(XV.) 7. Tum rex, missis ad Judam et qui cum eo obsessi erant nunciis, pacem iis se daturum promisit libertatemque vivendi patriis legibus. Illi vero his verbis libenter obsequuti, fideque jurejurando accepta, e templo exiere. At Antiochus, ut in illud ingressus animadvertit locum egregie adeo munitum, datum a se jusjurandum violavit, præcipitque exercitui, qui tum ei aderat, ut murum diruerent soloque æquarent. Atque his factis Antiochiam reversus est, secum ducens Oniam pontificem, qui Menelaus vocabatur. Nam Lysias consilium dederat regi ut Menelaum interficeret, si vellet Judæos quiescere, nullumque sibi negotium facessere: hunc enim malorum auctorem exstitisse, patri ipsius persuadendo ut Judæos ad patrium cultum relinquendum adigeret. Rex igitur Menelaum in Berœam Syriæ urbem ablegatum interfici jussit, post decennium in pontificatu exactum, hominem malum et impium, qui, ut principatum sibi adstrueret, gentem coegit a propriis legibus desciscere. Post Menelai autem obitum pontifex factus est Alcimus, qui et Jacimus nominatus. Ceterum Antiochus rex, quum offendisset Philippum rerum gubernaculo admotum, bellum ei movebat, et in potestatem suam redactum extremo supplicio affecit. Filius autem pontificis Onias, quem puerulum defuncto patre relictum jam ante diximus, videns quod rex, patruo suo sublato, pontificatum Alcimo dedisset, qui non erat de genere pontificali, persuasus nempe a Lysia ut honorem ab ea familia in aliam domum transferret, fugit ad Ptolemæum regem Ægypti, atque, ab eo

Κλεοπάτρας λαμβάνει τόπον ἀξιώσας ἐν τῷ νομῷ τῷ Ἡλιοπολίτῃ, ἐν ᾧ καὶ ὅμοιον τῷ ἐν Ἱεροσολύμοις ᾠκοδόμησεν ἱερόν. Περὶ τούτων μὲν οὖν εὐκαιρότερον ἡμῖν ἔσται διελθεῖν.

ΚΕΦ. Ι'.

Ὑπὸ δὲ τὸν αὐτὸν καιρὸν φυγὼν Δημήτριος ἀπὸ Ῥώμης ὁ Σελεύκου υἱὸς καὶ καταλαβόμενος τῆς Συρίας Τρίπολιν, περιτίθησι μὲν αὐτῷ διάδημα, συναγαγὼν δέ τινας περὶ αὐτὸν μισθοφόρους, εἰς τὴν βασιλείαν εἰσῆλθε, πάντων αὐτὸν ἡδέως προσδεχομένων καὶ παραδιδόντων αὐτούς· συλλαβόντες δὲ καὶ Ἀντίοχον τὸν βασιλέα καὶ Λυσίαν ζῶντας ἀνάγουσιν αὐτῷ. Καὶ οὗτοι μὲν κελεύσαντος παραχρῆμα Δημητρίου διεφθάρησαν, βασιλεύσαντος Ἀντιόχου ἔτη δύο, καθὼς ἤδη που καὶ ἐν ἄλλοις δεδήλωται. Συστραφέντες δὲ πρὸς αὐτὸν πολλοὶ τῶν Ἰουδαίων πονηροὶ καὶ φυγάδες, καὶ μετ' αὐτῶν Ἄλκιμος ὁ ἀρχιερεύς, κατηγόρουν τοῦ ἔθνους παντὸς, καὶ τοῦ Ἰούδα καὶ τῶν ἀδελφῶν αὐτοῦ, λέγοντες ὡς τοὺς φίλους αὐτοῦ πάντας ἀπέκτειναν καὶ ὅσοι τὰ ἐκείνου φρονοῦντες καὶ περιμένοντες αὐτὸν ὑπῆρχον ἐν τῇ βασιλείᾳ τούτους ἀπολωλέκασιν, αὐτούς τε τῆς οἰκείας γῆς ἐκβαλόντες ἀλλοτρίας ἐπήλυδας πεποιήκασιν, ἠξίουν τε πέμψαντα τῶν ἰδίων τινὰ φίλων, γνῶναι δι' αὐτοῦ τὰ ὑπὸ τῶν περὶ τὸν Ἰούδαν τετολμημένα.

β'. Ὁ δὲ Δημήτριος παροξυνθεὶς ἐκπέμπει Βακχίδην, φίλον Ἀντιόχου τοῦ Ἐπιφανοῦς βασιλέως, ἄνδρα χρηστὸν καὶ τὴν Μεσοποταμίαν ἅπασαν πεπιστευμένον, δοὺς αὐτῷ δύναμιν καὶ τὸν ἀρχιερέα παραθέμενος αὐτῷ Ἄλκιμον, ἐντειλάμενος ἀποκτεῖναι Ἰούδαν καὶ τοὺς σὺν αὐτῷ. Ἐξορμήσας δὲ ἀπὸ τῆς Ἀντιοχείας ὁ Βακχίδης μετὰ τῆς δυνάμεως καὶ παραγενόμενος εἰς τὴν Ἰουδαίαν, ἔπεμψε πρὸς τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ περὶ φιλίας καὶ εἰρήνης διαλεγόμενος· δόλῳ γὰρ αὐτὸν ἐβούλετο λαβεῖν. Ὁ δ' οὐκ ἐπίστευσεν· ἑώρα γὰρ ὅτι μετὰ στρατιᾶς πάρεστι τοσαύτης μεθ' ὅσης ἐπὶ πόλεμόν τις, ἀλλ' οὐκ ἐπ' εἰρήνην ἔρχεται. Τινὲς μέντοι γε τῶν ἐκ τοῦ δήμου προσέχοντες οἷς ὁ Βακχίδης ἐπεκηρυκεύσατο, καὶ νομίσαντες οὐδὲν αὐτοὺς ὑπὸ Ἀλκίμου πείσεσθαι δεινὸν ὄντος ὁμοφύλου, πρὸς αὐτοὺς ἀνεχώρησαν· καὶ λαβόντες ὅρκους παρ' ἀμφοτέρων, μήτε αὐτούς τι παθεῖν μήτε τοὺς ἐκ τῆς αὐτῆς ὄντας προαιρέσεως, ἐπίστευσαν αὐτοὺς ἐκείνοις. Ὁ δὲ Βακχίδης ὀλιγωρήσας τῶν ὅρκων ἑξήκοντα μὲν αὐτῶν ἀπέκτεινε, τοὺς δὲ ἄλλους ὅσοι διενοοῦντο πρὸς αὐτὸν ἀναχωρεῖν ἀπέτρεψε, τοῖς πρώτοις τὴν πίστιν μὴ φυλάξας. Ἐπεὶ δ' ἐκ τῶν Ἱεροσολύμων ἀπελθὼν κατὰ κώμην Βηθζηθὼ λεγομένην ἐγένετο, πέμψας συλλαμβάνει πολλοὺς τῶν αὐτομολούντων καί τινας τοῦ λαοῦ, καὶ πάντας ἀποκτείνας προσέταξε τοῖς ἐν τῇ χώρᾳ πᾶσιν ὑπακούειν Ἀλκίμῳ· καὶ μετὰ στρατιᾶς τινος, ἵν' ἔχῃ τηρεῖν τὴν χώραν αὐτοῦ, καταλιπὼν

et uxore ejus Cleopatra honorifice exceptus, impetravit ab eis locum in provincia Heliopolitana, ubi templum Hierosolymitano simile ædificavit. Sed de istis dicendi locus erit magis opportunus.

CAP. X. (XVI.)

Eodem tempore Demetrius Seleuci filius Roma profugus, Tripoli Syriæ occupata, diadema sibi imposuit, atque militibus aliquot mercenariis sibi comparatis regiam ingressus est, omnibus eum læte excipientibus et semet ei submittentibus. Quum autem Antiochum regem et Lysiam comprehendissent, ad eum vivos deducunt : atque illi, ita e vestigio jubente Demetrio, interfecti erant, quum annos duos regnasset Antiochus, sicut et alibi jam ante memoravimus. At quum multi ex Judæis impii et profugi ad eum sese aggregassent, et cum eis Alcimus pontifex, accusabant totam gentem, ac Judam et fratres ipsius, narrantes ut amicos ejus omnes trucidarint, et quotquot in regno rebus ejus studerent ipsumque exspectarent, etiam illos perdiderint, et ipsos propria e terra ejectos in aliena peregrinos fecerint, postulabantque ut aliquo ex amicis suis misso ex ipso disceret quæ ab Juda patrata fuerint.

2. Demetrius ira commotus mittit Bacchiden, amicum regis Antiochi Epiphanis, virum probum, cui tum Mesopotamiæ omnis præfectura credita erat, copiis ei datis, commendatoque ipsi Alcimo pontifice, addito mandato ut Judam et qui cum eo erant ferro perimeret. Bacchides autem Antiochia profectus cum exercitu, postquam pervenit in Judæam, mittit ad Judam et ejus fratres, ut de pace et amicitia ageret : volebat enim eum per dolum capere. Sed ille fidem non habuit : videbat enim quod tanto cum exercitu adesset, quo ad bellum, non ad pacem itur. Quidam tamen e populo credentes iis quæ Bacchides per præconem denunciaverat, ratique sibi ab Alcimo, populari suo, nihil mali eventurum esse, ad eos se contulerunt, et jurejurando ab utrisque accepto, nec ipsos nec qui ejusdem secum sint voluntatis mali quidquam passuros esse, eorum fidei sese commiserunt. Bacchides autem, jurejurando insuper habito, sexaginta quidem illorum interfecit, ceteros vero, quibus in animo erat ad ipsum se recipere, a proposito avertebat, prioribus fide non servata. Postquam vero Hierosolymis digressus ad vicum pervenit Bethzetho vocatum, quibusdam e suis emissis, comprehendit perfugarum multos et e populo nonnullos, atque omnibus mactatis, jussit ut quotquot in ea regione essent Alcimo parerent, relictisque cum eo militibus, qui ipsum in provincia

αὐτὸν, εἰς Ἀντιόχειαν πρὸς τὸν βασιλέα Δημήτριον ὑπέστρεψεν.

γ'. Ἄλκιμος δὲ τὴν ἀρχὴν αὐτοῦ βουλόμενος βεβαιώσασθαι, καὶ συνεὶς ὅτι κατασκευάσας εὔνουν τὸ πλῆθος ἀσφαλέστερον ἄρξει, χρηστοῖς ἅπαντας ὑπήγετο λόγοις καὶ πρὸς ἡδονὴν ἑκάστῳ καὶ χάριν ὁμιλῶν. Ταχὺ δὴ μάλα χεῖρα πολλὴν καὶ δύναμιν περιεβάλλετο· τούτων δ' ἦσαν οἱ πλείους ἐκ τῶν ἀσεβῶν καὶ πεφυγαδευμένων, οἷς ὑπηρέταις καὶ στρατιώταις χρώμενος ἐπήρ-
χ ετο τὴν χώραν, καὶ ὅσους ἐν αὐτῇ τὰ Ἰούδα φρονοῦντας ηὗρισκεν, ἐφόνευσεν. Ὁρῶν δὲ τὸν Ἄλκιμον ἤδη μέγαν ὁ Ἰούδας γενόμενον καὶ πολλοὺς διεφθαρκότα τῶν ἀγαθῶν καὶ ὁσίων τοῦ ἔθνους, καὶ αὐτὸς ἐπιπορευόμενος τὴν χώραν διέφθειρε τοὺς τὰ αὐτὰ ἐκείνῳ φρονοῦντας. Βλέπων δ' αὐτὸν ὁ Ἄλκιμος ἀντέχειν τῷ Ἰούδᾳ μὴ δυνάμενον, ἀλλ' ἡττώμενον αὐτοῦ τῆς ἰσχύος, ἐπὶ τὴν παρὰ Δημητρίου τοῦ βασιλέως συμμαχίαν ἔγνω τραπέσθαι. Παραγενόμενος οὖν εἰς Ἀντιόχειαν παρώξυνεν αὐτὸν ἐπὶ τὸν Ἰούδαν, κατηγορῶν ὡς πολλὰ μὲν ὑπ' αὐτοῦ πεπόνθοι κακὰ, πλείω δὲ γένοιτ' ἄν, εἰ μὴ προκαταληφθείη καὶ δοίη δίκην, δυνάμεως ἰσχυρᾶς ἐπ' αὐτὸν ἀποστελείσης.

(ΙΖ'.) δ'. Ὁ δὲ Δημήτριος, τοῦτ' ἤδη καὶ τοῖς ἰδίοις αὐτοῦ πράγμασιν ἐπισφαλὲς ἡγησάμενος εἶναι, τὸ περιιδεῖν Ἰούδαν ἐν ἰσχύϊ τοσαύτῃ γενόμενον, ἐκπέμπει Νικάνορα, τὸν εὐνούστατον αὐτῷ καὶ πιστότατον τῶν φίλων, (οὗτος γάρ ἐστιν ὁ καὶ ἀπὸ τῆς Ῥωμαίων πόλεως αὐτῷ συμφυγών,) καὶ δοὺς δύναμιν ὅσην ἀρκέσειν ὑπέλαβεν αὐτῷ πρὸς τὸν Ἰούδαν, ἐκέλευσε μηδεμίαν φειδὼ ποιεῖσθαι τοῦ ἔθνους. Ὁ δὲ Νικάνωρ, παραγενόμενος εἰς Ἱεροσόλυμα, πολεμεῖν μὲν εὐθὺς οὐ διέγνω τῷ Ἰούδᾳ, δόλῳ δ' ὑποχείριον λαβεῖν κρίνας προσπέμπει λόγους εἰρηνικοὺς αὐτῷ, μηδεμίαν μὲν ἀνάγκην εἶναι φάσκων πολεμεῖν καὶ κινδυνεύειν, ὅρκους δ' αὐτῷ διδόναι περὶ τοῦ μηδὲν πείσεσθαι δεινόν· ἥκειν γὰρ μετὰ φίλων ἐπὶ τῷ ποιῆσαι φανερὰν αὐτοῖς τὴν Δημητρίου τοῦ βασιλέως διάνοιαν, ὡς περὶ τοῦ γένους αὐτῶν φρονεῖ. Ταῦτα διαπρεσβευσαμένου τοῦ Νικάνορος, ὁ Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ πεισθέντες καὶ μηδεμίαν ἀπάτην ὑποπτεύσαντες διδόασι πίστεις αὐτῷ καὶ δέχονται τὸν Νικάνορα μετὰ τῆς δυνάμεως. Ὁ δὲ ἀσπασάμενος τὸν Ἰούδαν μεταξὺ προσομιλῶν δίδωσι τοῖς οἰκείοις τι σημεῖον ὅπως συλλάβωσι τὸν Ἰούδαν. Ὁ δὲ συνεὶς τὴν ἐπιβουλὴν ἐκπηδήσας πρὸς τοὺς ἰδίους συνέφυγε. Φανερᾶς δὲ τῆς προαιρέσεως αὐτοῦ καὶ τῆς ἐνέδρας γενομένης, ὁ Νικάνωρ πολεμεῖν ἔκρινε τῷ Ἰούδᾳ· ὁ δὲ συγκροτήσας καὶ παρασκευασάμενος πρὸς τὴν μάχην, συμβαλὼν κατά τινα κώμην Καφαρσαλαμὰ καὶ νικήσας ἀναγκάζει αὐτὸν ἐπὶ τὴν ἐν τοῖς Ἱεροσολύμοις ἄκραν φεύγειν.

ε'. Ἔτι δ' αὐτῷ κατιόντι ἐκ τῆς ἄκρας εἰς τὸ ἱερὸν ἀπαντήσαντες τῶν ἱερέων τινὲς καὶ πρεσβυτέρων ἠσπάζοντο, καὶ τὰς θυσίας ἐπεδείκνυον ἃς ὑπὲρ τοῦ βασιλέως ἔλεγον προσφέρειν τῷ Θεῷ. Ὁ δὲ βλασφημήσας αὐτοῖς ἠπείλησεν, εἰ μὴ παραδοίη τὸν Ἰούδαν ὁ λαὸς

sua custodienda juvarent, Antiochiam ad Demetrium regem reversus est.

3. Alcimus autem omni modo id agens ut principatum sibi firmaret, sentiensque securius se regnaturum esse, si populum sibi benevolum fecerit, omnes blandis sermonibus deliniebat et ad gratiam singulis et delectationem loquendo. Itaque brevi admodum validam manum et exercitum sibi comparavit: horum autem plerique erant impii et perfugæ, quibus ministris et militibus utens regionem obiit, et quotquot Judæ rebus studere offendit obtruncavit. At Judas videns Alcimum ad magnam crevisse potentiam, multosque de gente sua viros bonos sanctosque interfecisse, ipse quoque late per regionem evagatus partium ejus fautores occidebat. Alcimus autem videns se non posse Judæ resistere, viribusque eo inferiorem esse, decrevit ad auxilium Demetrii regis confugere. Antiochiam itaque profectus, magnopere eum in Judam irritabat, ipsum accusando, quod plurimas ab eo passus esset injurias, pluresque ab eo futuræ essent, nisi prius caperetur et pœnas luat, potenti in eum misso exercitu.

(XVII.) 4. Tum Demetrius id suis rebus periculosum esse existimans, si Judam tanta potentia ac viribus auctum negligeret, Nicanorem mittit, ex amicis summæ erga ipsum benevolentiæ fideique *virum*, (idem enim ille erat qui cum ipso urbe Roma profugerat,) datoque ei exercitu quantum satis esse putabat ad Judam debellandum, imperavit ei ut nemini de gente parceret. Nicanor autem, quum Hierosolyma venisset, e vestigio adversus Judam præliari non decrevit, dolo vero ipsum in potestatem suam redigere arbitratus, mittit ei verba pacifica, dicens nihil causæ esse cur armis decertarent et discrimen adirent, seque paratum esse fidem jurejurando dare ipsum nihil mali passurum esse: ideo enim se venire cum amicorum comitatu, ut mentem Demetrii regis ipsis patefaceret, qualiter de genere eorum sentiat. Quum ista per legatos promisisset Nicanor, Judas ejusque fratres credendum illis rati, nihilque fraude agi suspicantes, fidem ei *vicissim* dant, et Nicanorem cum exercitu suscipiunt. Ille vero, quum Judam salutasset, signum quoddam, dum inter se colloquerentur, suis dat ut Judam corriperent. At ille insidiis intellectis prosiluit et ad suos se recipiebat. Nicanor autem, consilio suo patefacto, dolisque jam detectis, aperto Marte cum Juda rem gerere statuit: is vero quum copias contraxisset et ad pugnam parasset, prælio commisso ad vicum quendam Capharsalama, partaque victoria, eum in arcem, quæ Hierosolymis erat, fugere compulit.

5 Quum autem in eo esset ut ex arce in templum descenderet, sacerdotum nonnulli et senatorum obviam facti eum salutabant, ostensis sacrificiis, quæ se Deo pro rege oblaturos esse dicebant. Ille vero impie loquutus illis minatus est, nisi populus Judam sibi traderet, templum excisurum

αὐτῷ, καθαιρήσειν, ὅταν ἐπανέλθῃ, τὸν ναόν. Καὶ ὁ μὲν ταῦτα ἀπειλήσας ἐξῆλθεν ἀπὸ τῶν Ἱεροσολύμων· οἱ δὲ ἱερεῖς εἰς δάκρυα διὰ τὴν ἐπὶ τοῖς εἰρημένοις λύπην προέπεσον καὶ τὸν Θεὸν ἱκέτευον ῥύσασθαι ἐκ τῶν πολεμίων αὐτούς. Ὁ δὲ Νικάνωρ ὡς ἐκ τῶν Ἱεροσολύμων ἐξελθὼν ἐγένετο κατά τινα κώμην Βεθωρὸν λεγομένην, αὐτόθι στρατοπεδεύεται, προσγενομένης αὐτῷ καὶ ἄλλης ἀπὸ Συρίας δυνάμεως· Ἰούδας δὲ ἐν Ἀδασοῖς, ἑτέρᾳ κώμῃ σταδίους ἀπεχούσῃ τριάκοντα τῆς Βεθωροῦ, στρατοπεδεύεται εἰς χιλίους ἅπαντας ἔχων. Τούτους παρορμήσας μὴ καταπλαγῆναι τὸ τῶν ἐναντίων πλῆθος, μηδὲ λογίζεσθαι πρὸς πόσους ἀγωνίζεσθαι μέλλουσιν, ἀλλὰ τίνες ὄντες καὶ περὶ οἵων ἐπάθλων κινδυνεύουσιν ἐνθυμουμένους εὐψύχως ὁμόσε χωρῆσαι τοῖς πολεμίοις, ἐπὶ τὴν μάχην ἐξάγει· καὶ συμβαλὼν τῷ Νικάνορι καρτερᾶς τῆς μάχης γενομένης κρατεῖ τῶν ἐναντίων, καὶ πολλούς τε αὐτῶν ἀπέκτεινε καὶ τελευταῖον αὐτὸς ὁ Νικάνωρ λαμπρῶς ἀγωνιζόμενος ἔπεσεν. Οὗ πεσόντος οὐδὲ τὸ στράτευμα ἔμεινεν, ἀλλὰ τὸν στρατηγὸν ἀπολέσαντες εἰς φυγὴν ἐτράπησαν, ῥίψαντες τὰς πανοπλίας. Ἐπιδιώκων δὲ ὁ Ἰούδας ἐφόνευσε, καὶ ταῖς σάλπιγξι ταῖς περιζ κώμαις ἐσήμαινεν ὅτι νικῴη τοὺς πολεμίους. Οἱ δ' ἐν αὐταῖς ἀκούοντες ἐξεπήδων ὡπλισμένοι καὶ τοῖς φεύγουσιν ἁπαντῶντες ἔκτεινον αὐτοὺς, γενόμενοι κατὰ πρόσωπον, ὥστε ἐκ τῆς μάχης ταύτης οὐδεὶς διέφυγεν, ὄντων αὐτῶν ἐννακισχιλίων. Τὴν δὲ νίκην συνέβη γενέσθαι ταύτην τῇ τρισκαιδεκάτῃ τοῦ μηνὸς τοῦ λεγομένου παρὰ μὲν Ἰουδαίοις Ἀδὰρ, κατὰ δὲ Μακεδόνας Δύστρου. Ἄγουσι δ' ἐν τούτῳ τὰ νικητήρια κατὰ πᾶν ἔτος καὶ ἑορτὴν νομίζουσι τὴν ἡμέραν. Ἐξ ἐκείνου μέντοι τοῦ χρόνου πρὸς ὀλίγον τὸ τῶν Ἰουδαίων ἔθνος τῶν πολέμων ἀναπαυσάμενον καὶ εἰρήνης ἀπολαῦον, ἔπειτ' εἰς ἀγῶνας πάλιν καὶ κινδύνους κατέστη.

ς'. Τῷ δ' ἀρχιερεῖ τῷ Ἀλκίμῳ βουληθέντι καθελεῖν τὸ τεῖχος τοῦ ἁγίου, ὃν παλαιὸν καὶ κατεσκευασμένον ὑπὸ τῶν ἁγίων προφητῶν, πληγή τις αἰφνίδιος ἐκ τοῦ Θεοῦ προσέπεσεν, ὑφ' ἧς ἄφωνός τε ἐπὶ τὴν γῆν κατηνέχθη καὶ βασανισθεὶς ἐπὶ συχνὰς ἡμέρας ἀπέθανεν, ἀρχιερατεύσας ἔτη τέσσαρα. Τελευτήσαντος δὲ τούτου τὴν ἀρχιερωσύνην ὁ λαὸς τῷ Ἰούδᾳ δίδωσιν, ὃς ἀκούσας περὶ τῆς Ῥωμαίων δυνάμεως, καὶ ὅτι καταπεπολεμήκασι τήν τε Γαλατίαν καὶ τὴν Ἰβηρίαν καὶ Καρχηδόνα τῆς Λιβύης, καὶ πρὸς τούτοις τὴν Ἑλλάδα κεχειρώνται καὶ τοὺς βασιλεῖς Περσέα τε καὶ Φίλιππον καὶ τὸν μέγαν Ἀντίοχον, ἔγνω φιλίαν πρὸς αὐτοὺς ποιήσασθαι. Πέμψας οὖν εἰς τὴν Ῥώμην τῶν αὐτοῦ φίλων Εὐπόλεμον τὸν Ἰωάννου υἱὸν, καὶ Ἰάσονα τὸν Ἐλεαζάρου, παρεκάλει οἱ αὐτῶν συμμάχους εἶναι καὶ φίλους καὶ Δημητρίῳ γράψαι ὅπως μὴ πολεμῇ τοῖς Ἰουδαίοις. Ἐλθόντας δὲ εἰς τὴν Ῥώμην τοὺς παρὰ τοῦ Ἰούδα πρεσβευτὰς ἡ σύγκλητος δέχεται, καὶ διαλεχθεῖσα περὶ ὧν ἐπέμφθησαν τὴν συμμαχίαν ἐπινεύει. Ποιήσασα δὲ περὶ τούτου δόγμα τὸ μὲν ἀντίγραφον εἰς

esse quum redierit. Et post has quidem minas jactatas exiit Hierosolymis : sacerdotes vero, propter mœrorem ex istis quæ dixerat, in lacrimas proruperunt, Deoque supplicabant ut ipsos ex hostium manibus liberaret. Nicanor autem quum Hierosolymis egressus ad vicum quendam pervenisset Bethoron vocatum, illic castra locavit, ubi et alius ei ex Syria accessit exercitus : Judas autem castra posuit apud Adasa, alium vicum, qui a Bethoro triginta stadiis aberat, non amplius quam mille homines habens. Istos valde hortatus, ut animis minime consternati essent ad hostium multitudinem, nec cogitarent cum quam multis dimicaturi essent, sed ut, quales ipsi et pro qualibus præmiis periculum subeant secum reputantes, animose obviam irent hostibus, in prælium eos educit, et cum Nicanore congressus, editoque acri certamine, adversarios superat, et multos eorum peremit, tandemque ipse Nicanor egregie pugnans occubuit. Quo cæso, nequaquam substitit exercitus, sed ubi ducem amiserat, abjectis armis sese fugæ mandarunt. At Judas eos persequens magnam stragem edidit, signumque tubis dedit vicis undique finitimis, quod hostes profligaverit. Illi vero, qui in iis erant, istis auditis, armati prosiliebant, et fugientibus obviam facti occiderunt eos fronte fronti opposita, adeo ut ex hac pugna nemo evaserit, hominum licet fuerint novem millia. Contigit autem hanc victoriam reportari decima tertia die mensis qui a Judæis Adar, a Macedonibus Dystrus appellatur. Atque in eo votiva sacra pro victoria quotannis faciunt, eamque diem pro festo habent. Ex illo quidem tempore Judæorum gens a bellis aliquamdiu requievit, et pace fruebatur, postea in certamina et pericula recidit.

6. Alcimo autem pontifici, quum vellet adyti murum, veterem et a sanctis prophetis exstructum, diruere, Deus plagam quandam repentinam inflixit, a qua et voce privatus in terram concidit, multisque diebus cruciatus vita decessit, quadriennium functus pontificatu. Illo vero mortuo populus Judæ pontificatum dedit; qui quum audiisset de Romanorum potentia, eosque subegisse et Galatiam et Iberiam et Carthaginem in Africa, ac præterea Græciam in suam potestatem redegisse, regesque Perseum et Philippum et Antiochum Magnum, decrevit cum illis facere amicitiam. Missis igitur Romam ex amicis suis Eupolemo Joannis filio et Iasone Eleazari filio, voce illorum obsecrabat ut societatem secum inirent et amicitiam et ut Demetrio scriberent, ne Judæos bello lacesseret. Quumque Romam venissent Judæ legati, eos excipit senatus, habitoque de iis quorum gratia missi erant sermone, societatem coire placuit. Facto hac de re senatus consulto, exemplar

τὴν Ἰουδαίαν ἀπέστειλεν, αὐτὸ δ' εἰς τὸ Καπιτώλιον εἰς χαλκᾶς ἐγγράψαντες δέλτους ἀνέθεσαν. Ἦν δὲ τοιοῦτον. « Δόγμα συγκλήτου περὶ συμμαχίας καὶ εὐνοίας « τῆς πρὸς τὸ ἔθνος τῶν Ἰουδαίων. Μηδένα τῶν « ὑποτεταγμένων Ῥωμαίοις πολεμεῖν τῷ τῶν Ἰουδαίων « ἔθνει, μηδὲ τοῖς πολεμοῦσι χορηγεῖν ἢ σῖτον ἢ πλοῖα « ἢ χρήματα. Ἐὰν δὲ ἐπίωσί τινες Ἰουδαίοις, βοη- « θεῖν Ῥωμαίους αὐτοῖς κατὰ τὸ δυνατόν. Καὶ πά- « λιν, ἂν τῇ Ῥωμαίων ἐπίωσί τινες, Ἰουδαίους αὐτοῖς « συμμαχεῖν. Ἂν δέ τι πρὸς ταύτην τὴν συμμαχίαν « θελήσῃ τὸ τῶν Ἰουδαίων ἔθνος ἢ προσθεῖναι ἢ ἀφε- « λεῖν, τοῦτο κοινῇ γενέσθαι γνώμῃ τοῦ δήμου τῶν « Ῥωμαίων· ὃ δ' ἂν προστεθῇ, τοῦτ' εἶναι κύριον. « Ἐγράφη τὸ δόγμα ὑπὸ Εὐπολέμου τοῦ Ἰωάννου « παιδὸς καὶ ὑπὸ Ἰάσονος τοῦ Ἐλεαζάρου, ἐπὶ ἀρχιε- « ρέως μὲν τοῦ ἔθνους Ἰούδα, στρατηγοῦ δὲ Σίμωνος « τοῦ ἀδελφοῦ αὐτοῦ. » Καὶ τὴν μὲν πρώτην Ῥωμαίοις πρὸς Ἰουδαίους φιλίαν καὶ συμμαχίαν οὕτω συνέβη γενέσθαι.

ΚΕΦ. ΙΑ'.

Δημήτριος δὲ, ἀπαγγελθείσης αὐτῷ τῆς Νικάνορος τελευτῆς καὶ τῆς ἀπωλείας τοῦ σὺν αὐτῷ στρατεύματος, πάλιν τὸν Βακχίδην μετὰ δυνάμεως εἰς τὴν Ἰουδαίαν ἐξέπεμψεν, ὃς ἐκ τῆς Ἀντιοχείας ἐξορμήσας καὶ παραγενόμενος εἰς Ἰουδαίαν ἐν Ἀρβήλοις πόλει τῆς Γαλιλαίας στρατοπεδεύεται. Καὶ τοὺς ἐν τοῖς ἐκεῖ σπηλαίοις ὄντας (πολλοὶ γὰρ εἰς αὐτὰ συνεπεφεύγεσαν) ἐκπολιορκήσας καὶ λαβών, ἄρας ἐκεῖθεν ἐπὶ τὰ Ἱεροσόλυμα σπουδὴν ἐποιεῖτο. Μαθὼν δὲ τὸν Ἰούδαν ἔν τινι κώμῃ Βηθζηθὼ τοὔνομα κατεστρατοπεδευμένον, ἐπ' αὐτὸν ἠπείγετο μετὰ πεζῶν μὲν δισμυρίων, ἱππέων δὲ δισχιλίων. Τῷ Ἰούδᾳ δ' ἦσαν οἱ πάντες χίλιοι. Οὗτοι τὸ Βακχίδου πλῆθος θεωρήσαντες ἔδεισαν καὶ τὴν παρεμβολὴν καταλιπόντες ἔφυγον πάντες, πλὴν ὀκτακοσίων. Ἰούδας δὲ καταλειφθεὶς ὑπὸ τῶν οἰκείων στρατιωτῶν, καὶ πολεμίων ἐπικειμένων καὶ μηδένα καιρὸν αὐτῷ πρὸς συλλογὴν τὴν δυνάμεως ἐπιτρεπόντων, οἷός τε ἦν μετὰ τῶν ὀκτακοσίων συμβαλεῖν τοῖς μετὰ τοῦ Βακχίδου· καὶ προτρεπόμενός γε τούτους εὐψύχως ὑφίστασθαι τὸν κίνδυνον, παρεκάλει χωρεῖν ἐπὶ τὴν μάχην. Τῶν δὲ λεγόντων ὡς οὐκ εἰσὶ πρὸς τοσοῦτον μέγεθος στρατιᾶς ἀξιόμαχοι, συμβουλευόντων δὲ νῦν μὲν ἀναχωρεῖν καὶ σώζειν αὑτούς, αὖθις δὲ συναγαγόντα τοὺς ἰδίους τοῖς ἐχθροῖς συμβαλεῖν, « μὴ « τοῦτ', εἶπεν, ἥλιος ἐπίδοι γενόμενον, ἵνα ἐγὼ τὰ νῶτά « μου δείξω τοῖς πολεμίοις. Ἀλλ' εἰ καὶ τελευτὴν ὁ « παρών μοι καιρὸς φέρει καὶ δεῖ πάντως ἀπολέσθαι « μαχόμενον, στήσομαι γενναίως πᾶν ὑπομένων τὸ « μέλλον ἢ τοῖς ἤδη κατωρθωμένοις καὶ τῇ περὶ αὐτῶν « δόξῃ προσβαλὼν τὴν ἐκ τῆς νῦν φυγῆς ὕβριν. » Καὶ ὁ μὲν ταῦτα πρὸς τοὺς ὑπολειφθέντας, παρακαλῶν τοῦ κινδύνου καταφρονήσαντας ὁμόσε χωρῆσαι τοῖς πολεμίοις, ἔλεγεν.

ejus in Judæam missum est, ipsum vero in tabulas æneas incisum in Capitolium relatum est. Erat autem hujusmodi. « Decretum senatus de societate et benevolentia « erga gentem Judæorum habenda. Ne quis Romanæ « ditionis cum gente Judæorum bellum gerito, neque bel- « lum gerentibus frumentum aut naves aut pecuniam sub- « ministrato. Si quis Judæos invadat, Romani illis opem « ferunto pro viribus. Vicissim, si quis Romanos inva- « dat, Judæi auxilium ferunto. Si quid ad hoc fœdus « voluerit gens Judæorum addere aut ab eo demere, id fiat « cum consensu populi Romani : et quod sic additum fue- « rit, ratum esto. Scriptum est hoc senatus consultum « per Eupolemum Joannis filium et Jasonem Eleazari, Juda « gentis pontifice et duce Simone fratre ipsius. » Atque ita quidem contigit primam Romanis cum Judæis amicitiam et societatem factam esse.

CAP. XI. (XVIII.)

Ceterum Demetrius, nunciata sibi morte Nicanoris et clade exercitus qui cum eo erat, misit denuo Bacchiden cum copiis in Judæam, qui, Antiochia profectus, ubi in Judæam pervenit, ad Arbela Galilææ urbem castra metatur. Quumque eos qui in istius loci speluncis erant (nam multi in eas confugerunt) vi expugnavisset capissetque, illinc digressus Hierosolyma properabat. Cognito autem Judam in vico Bethzetho dicto castra posuisse, adversus eum ducebat viginti peditum millia, atque duo equitum millia. At Judas non plures secum habebat quam *ter* mille homines. Illi visa *exercitus* Bacchidis multitudine territi erant, relictisque castris omnes diffugerunt præter octingentos. Judas autem a suis militibus desertus, quum hostis jam immineret, nullumque ei tempus novos delectus habendi concederet, in eo erat ut cum octingentis illis pugnam contra Bacchiden committeret : atque hortatus eos ut forti animo pericula sustinerent, jussit ut in aciem prodirent. Illis vero dicentibus se nequaquam posse cum exercitu tantæ magnitudinis congredi, atque suadentibus ut in præsentia quidem recederet et saluti suæ consuleret, postea vero copiis suis collectis cum hostibus manus consereret, « ne hoc, inquit, sol factum aspiciat, ut terga mea « hostibus obversa ostendam. Sed si nunc fatalis hora « venit ut moriar, et omnino necesse est ut peream si pu- « gnem, fortiter stabo, et quicquid futurum sit malo exci- « pere quam ut res præclare gestas gloriamque ex illis « partam turpi fuga jam dedecorem. » Atque istis quidem verbis reliquos de suis hortabatur ut spreto contemptoque periculo cum hostibus prælium committerent.

(ΙΘ'.) β'. Ὁ δὲ Βακχίδης ἐξαγαγὼν ἐκ τοῦ στρατοπέδου τὴν δύναμιν πρὸς μάχην παρετάσσετο, καὶ τοὺς μὲν ἱππεῖς ἐξ ἑκατέρων τῶν κεράτων ἔταξε, τοὺς δὲ ψιλοὺς καὶ τοξότας προεστήσατο ἁπάσης τῆς φάλαγγος, αὐτὸς δ' ἦν ἐπὶ τοῦ δεξιοῦ κέρως. Οὕτω δὲ συντάξας τὴν στρατιὰν, ἐπεὶ προσέμιξε τῷ τῶν πολεμίων στρατοπέδῳ, σημῆναι τὸν σαλπιγκτὴν ἐκέλευσε καὶ τὴν στρατιὰν ἀλαλάξασαν προσιέναι. Τὸ δ' αὐτὸ ποιήσας ὁ Ἰούδας συμβάλλει τοῖς πολεμίοις, καὶ καρτερῶς ἀμφοτέρων ἀγωνιζομένων καὶ τῆς μάχης μέχρι δυσμῶν παρατεινομένης, ἰδὼν ὁ Ἰούδας τὸν Βακχίδην καὶ τὸ κρατερὸν ἐν τῷ δεξιῷ κέρατι τυγχάνον τῆς στρατιᾶς, παραλαβὼν τοὺς εὐψυχοτάτους ὥρμησεν ἐπ' ἐκεῖνο τὸ μέρος τῆς τάξεως, καὶ προσβαλὼν τοῖς ἐκεῖ διασπᾷ ὑτῶν τὴν φάλαγγα. Ὡσάμενος δ' εἰς μέσους εἰς φυγὴν αὐτοὺς ἐδιάσατο, καὶ διώκει μέχρις Ἄζᾶ ὄρους οὕτω λεγομένου. Θεασάμενοι δὲ τὴν τροπὴν τὴν ἐν τῷ δεξιῷ κέρατι οἱ τὸ εὐώνυμον ἔχοντες ἐκυκλώσαντο τὸν Ἰούδαν διώκοντες καὶ λαμβάνουσι μέσον αὐτὸν κατόπιν γενόμενοι. Ὁ δὲ φεύγειν οὐ δυνάμενος, ἀλλὰ περιεσχημένος ὑπὸ τῶν πολεμίων, στὰς ἐμάχετο μετὰ τῶν σὺν αὐτῷ· πολλοὺς δὲ κτείνας τῶν ἀντιπάλων καὶ κατάκοπος γενόμενος, καὶ αὐτὸς ἔπεσεν, ἐπὶ καλοῖς μὲν πρότερον γεγενημένοις, ἐφ' ὁμοίοις δὲ, ὅτε ἀπέθνησκε, τὴν ψυχὴν ἀφιείς. Πεσόντος δὲ Ἰούδα, πρὸς μηδένα τὸ λοιπὸν ἀφορᾶν ἔχοντες οἱ σὺν αὐτῷ, στρατηγοῦ δὲ τοιούτου στερηθέντες ἔφυγον. Λαβόντες δὲ τὸ σῶμα παρὰ τῶν πολεμίων ὑπόσπονδον Σίμων καὶ Ἰωνάθης οἱ ἀδελφοὶ τοῦ Ἰούδα, κομίσαντες εἰς τὴν Μωδιεὶμ κώμην, ὅπου καὶ ὁ πατὴρ αὐτῶν τέθαπτο κηδεύουσι, πενθήσαντος ἐπὶ συχνὰς αὐτὸν τοῦ πλήθους ἡμέρας καὶ τιμήσαντος κοινῇ τοῖς νενομισμένοις. Καὶ τέλος μὲν τοιοῦτον κατέσχεν Ἰούδαν, ἄνδρα γενναῖον καὶ μεγαλοπόλεμον γενόμενον, καὶ τῶν τοῦ πατρὸς ἐντολῶν Ματταθίου μνήμονα, καὶ πάνθ' ὑπὲρ τῆς τῶν πολιτῶν ἐλευθερίας καὶ ὁρᾶσαι καὶ παθεῖν ὑποστάντα. Τοιοῦτος οὖν τὴν ἀρετὴν ὑπάρξας μέγιστον αὐτοῦ κλέος καὶ μνημεῖον κατέλιπεν ἐλευθερώσας τὸ ἔθνος καὶ τῆς ὑπὸ Μακεδόσιν ἐξαρπάσας αὐτὸ δουλείας· καὶ τὴν ἀρχιερωσύνην ἔτος τρίτον κατασχὼν ἀπέθανεν.

(XIX.) 2. Interea Bacchides, cum copiis ex castris egressus, aciem ad pugnam instruebat, atque ita eam ordinavit ut equites in utroque cornu collocarentur, atque velites et sagittarii totam phalangem præcederent, ipse vero esset in dextro cornu. Sic instructa acie, quum primum hostium exercitui admoveretur, jussit tubicinem signum dare, milltesque clamore sublato prælium inire. Idem ubi Judas fecerat, cum hostibus congreditur, et utrisque acriter dimicantibus, pugnaque ad solis occasum protracta, Judas, animadvertens Bacchiden et quod erat exercitui robur in dextro esse cornu, assumptis animosissimis quibusque in istam aciei partem impetum fecit: eosque qui illic erant aggressus dissolvit eorum phalangem. Quumque in medios penetrasset, eos in fugam compulit, persequiturque usque ad Aza montem ita appellatum. At qui erant in sinistro cornu, pulsos qui erant in dextro conspicati, Judam sequentes circumiverunt, atque in tergum conversi ipsum in medio comprehendunt. Ille vero, quum nulla effugiendi via daretur, sed undique hostibus septus esset, constitit cum suis et pugnabat; quumque multos adversariorum fudisset, atque labore conficeretur, ipse etiam cecidit, animamque efflavit, non minor in rebus jam ante præclare gestis, quam in similibus, dum moreretur. Juda autem prostrato, qui cum eo erant, non amplius habentes quem sequerentur, tantoque duce orbati, fugæ sese mandarunt. Simon vero et Jonathas, fratres Judæ, corpus ex fœdere ab hostibus receptum in Modiim vicum deportarunt, ubi et pater eorum monumento conditus erat, atque ibi sepelierunt, quum illum populus aliquammultis diebus luxisset atque solennibus exsequiis honorasset. Atque ita quidem vitam finivit Judas, vir fortis et bellicosissimus, quique memor erat mandatorum Mattathiæ patris, et pro popularium suorum libertate omnia et agere et pati sustinuit. Tanta itaque virtute præditus, maximam reliquit gloriam suique memoriam, gente in libertatem vindicata et e Macedonum servitute erepta: quumque tres esset annos pontificatu functus, occubuit.

ΒΙΒΛΙΟΝ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΝ.

α'. Ὡς Ἰωνάθης ἀδελφὸς ὢν Ἰούδα, τελευτήσαντος αὐτοῦ, τὴν ἡγεμονίαν παρέλαβεν.

β'. Ὡς πολεμήσας Βακχίδην ἠνάγκασε φιλίαν ποιησάμενον πρὸς αὐτὸν ἀπελθεῖν ἐκ τῆς χώρας.

γ'. Ὅτι Ἀλέξανδρος, ὁ τοῦ Ἐπιφανοῦς Ἀντιόχου υἱός, ἐλθὼν εἰς Συρίαν ἐξήνεγκε πόλεμον πρὸς Δημήτριον.

δ'. Ὡς Δημήτριος πρεσβευσάμενος πρὸς Ἰωνάθην, ποιεῖται συμμαχίαν πρὸς αὐτὸν, αὐτόν τε πολλοῖς δωρησάμενος καὶ τὸ ἔθνος ἡμῶν.

ε'. Ὡς Ἀλέξανδρος ταῦτ' ἀκούσας καὶ ὑπερβαλὼν τὰ παρὰ τοῦ Δημητρίου, καὶ ἀποδείξας Ἰωνάθην ἀρχιερέα, συμμαχεῖν ἔπεισεν αὐτῷ.

LIBER DECIMUS TERTIUS.

1. Quomodo Jonathas frater Judæ, illo defuncto, principatum suscepit.

2. Quomodo bello cum Bacchide gesto, coegit eum post faciam cum ipso amicitiam e Judæa discedere.

3. Quod Alexander, Antiochi Epiphanis filius, in Judæam profectus Demetrio bellum intulit.

4. Quomodo Demetrius, missa legatione ad Jonatham, cum eo societatem init, multis ipsi gentique nostræ datis muneribus.

5. Quomodo Alexander his auditis, quum Demetrium muneribus superasset et Jonatham pontificem fecisset, ipsum in suas partes pertraxit.

ς'. Ἡ Ὀνίου φιλία πρὸς τὸν Φιλομήτορα Πτολεμαῖον κατὰ τὸν αὐτὸν καιρὸν γενομένη· καὶ ὡς ᾠκοδόμησε τὸν Ὀνίου καλούμενον ναὸν πρὸς τὸν ἐν Ἱεροσολύμοις ὄντα.

ζ'. Ὅτι Ἀλέξανδρος, ἀποθανόντος Δημητρίου, σφόδρα ἐτίμησεν Ἰωνάθην.

η'. Ὡς Δημήτριος ὁ Δημητρίου παῖς, πλεύσας εἰς τὴν Συρίαν ἀπὸ Κρήτης καὶ πολεμήσας τὸν Ἀλέξανδρον καὶ κρατήσας, αὐτὸς ἐβασίλευσε, φιλίαν πρὸς Ἰωνάθην ποιησάμενος.

θ'. Ὡς Τρύφων ὁ Ἀπαμεὺς, καταπολεμήσας Δημήτριον, Ἀντιόχῳ τῷ Ἀλεξάνδρου υἱῷ παρέδωκε τὴν βασιλείαν, ποιησάμενος καὶ αὐτὸς σύμμαχον Ἰωνάθην.

ι'. Ὡς Δημητρίου ὑπὸ Πάρθων αἰχμαλώτου ληφθέντος, ὁ Τρύφων παρεσπόνδησε τὸν Ἰωνάθην καὶ δόλῳ λαβὼν αὐτὸν ἀπέκτεινε, καὶ πόλεμον ἐξήνεγκε πρὸς τὸν ἀδελφὸν αὐτοῦ Σίμωνα.

ια'. Ὡς Σίμωνι τῷ ἀδελφῷ αὐτοῦ τὴν στρατηγίαν ἐνεχείρισε τὸ ἔθνος καὶ ἀπέδειξεν αὐτὸν ἀρχιερέα.

ιβ'. Ὡς ὁ Σίμων ἐπολιόρκησεν ἐν Δώροις Τρύφωνα σύμμαχος γενόμενος Ἀντιόχῳ τῷ Δημητρίου ἀδελφῷ, τῷ καὶ Εὐσεβεῖ ἐπικληθέντι.

ιγ'. Ὡς Τρύφωνος ἀναιρεθέντος, Ἀντίοχος ἐπολέμησε Σίμωνι, κἀκεῖνος Κενδεβαῖον τὸν στρατηγὸν αὐτοῦ νικήσας, τῆς Ἰουδαίας ἐξέβαλεν.

ιδ'. Ὅτι ὑπὸ τοῦ γαμβροῦ Πτολεμαίου ἐν συμποσίῳ δολοφονηθεὶς ὁ Σίμων ἀπέθανεν, καὶ Πτολεμαῖος, δήσας αὐτοῦ τὴν γυναῖκα καὶ τὰ τέκνα, τὴν ἀρχὴν αὐτὸς ἐπεχείρησε κατασχεῖν.

ιε'. Ὡς ὁ νεώτατος τῶν Σίμωνος υἱῶν Ὑρκανὸς, φθάσας αὐτὸν καὶ τὴν ἡγεμονίαν παραλαβὼν, ἐπολιόρκησε πολλῷ χρόνῳ τὸν Πτολεμαῖον, εἴς τι φρούριον ἐγκλείσας Δαγὼν καλούμενον.

ις'. Ὡς στρατευσάμενος ἐφ' Ὑρκανὸν Ἀντίοχος ὁ Εὐσεβὴς, καὶ προσκαθίσας τῇ τῶν Ἱεροσολυμιτῶν πόλει, διέλυσε τὴν πολιορκίαν, λαβὼν παρὰ Ὑρκανοῦ τάλαντα τριακόσια, καὶ συμμαχίαν πρὸς αὐτὸν καὶ φιλίαν συνθέμενος.

ιζ'. Ὑρκανοῦ στρατεία, μετὰ τὴν Ἀντιόχου τελευτὴν ἐν Μήδοις ἀποθάνοντος, ἐπὶ Συρίαν· καὶ ὡς πολλὰς πόλεις κατὰ κράτος εἷλεν.

ιη'. Φιλία πρὸς Ὑρκανὸν Ἀλεξάνδρου τοῦ Ζεβινᾶ κληθέντος.

ιθ'. Ὡς Ἀντίοχος ὁ Κυζικηνὸς, ἐλθὼν βοηθῆσαι τοῖς Σαμαρεῦσι πολιορκουμένοις πρὸς Ὑρκανοῦ, ἡττηθεὶς διέφυγε, διωξάντων αὐτὸν τῆς Ἰουδαίας τῶν υἱῶν Ὑρκανοῦ.

κ'. Ὅτι παραλαβὼν Ἀριστόβουλος τὴν ἀρχὴν διάδημα πρῶτος ἐπιτίθεται.

κα'. Ὡς τελευτήσαντος Ἀριστοβούλου ὁ ἀδελφος αὐτοῦ Ἀλέξανδρος τὴν ἀρχὴν παραλαβὼν ἐστράτευσεν ἐπὶ Συρίαν καὶ Φοινίκην καὶ Ἀραβίαν, καὶ πολλὰ τῶν ἐχθρῶν ἐχειρώσατο.

κβ'. Πτολεμαίου τοῦ Λαθούρου πρὸς αὐτὸν μάχη καὶ νίκη.

κγ'. Ὡς στρατευσάμενος Δημήτριος ὁ Εὐκαιρος ἐπὶ Ἀλέξανδρον ἐκράτησεν αὐτοῦ.

κδ'. Ἀντιόχου τοῦ Διονύσου λεγομένου στρατεία ἐπὶ Ἰουδαίαν καὶ ὡς ἐκράτησε τῇ μάχῃ.

κε'. Ὡς μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν ἡ γυνὴ αὐτοῦ Ἀλεξάνδρα, τὴν βασιλείαν ἔτεσιν ἐννέα κατασχοῦσα καὶ βιώσασα μετὰ εἰρήνης καὶ δόξης ἀπέθανεν.

Περιέχει ἡ βίβλος χρόνον ἐτῶν ὀγδοήκοντα καὶ δύο.

6. Sub id tempus Oniæ intercessit amicitia cum Ptolemæo Philometore : utque ædificavit templum, Oniæ vocatum, ad similitudinem Hierosolymitani.

7. Quod Alexander, post mortem Demetrii, Jonatham summo in honore habuit.

8. Quomodo Demetrius Demetrii filius, quum e Creta in Syriam trajecisset, belloque Alexandro illato eum devicisset, ipse regnum occupavit, facta cum Jonatha amicitia.

9. Quomodo Tryphon Apamensis, post devictum Demetrium, Antiocho Alexandri filio regnum tradidit; Jonatha ab ipso in societatem recepto.

10. Quomodo, Demetrio a Parthis captivo facto, Tryphon fœdus cum Jonatha initum fregit, ipsumque dolo captum occidit, et Simoni ejus fratri bellum intulit.

11. Quomodo Judæorum gens exercitus imperium detulit Simoni Jonathæ fratri, ipsumque pontificem creavit.

12. Quomodo Simon Tryphonem in Dora compulsum oppugnavit, inita societate cum Antiocho Demetrii fratre, cui Pius cognomen erat.

13. Quomodo, Tryphone sublato, Antiochus contra Simonem bellum movit : atque ille Cendebæum, ejus copiarum ducem, prælio superatum Judæa expulit.

14. Quod Simon, a genero suo Ptolemæo inter convivandum dolo occisus, diem supremum oblit : atque Ptolemæus, uxore ejus et liberis in vincula conjectis, conatus est imperium sibimet asserere.

15. Quomodo Hyrcanus, filiorum Simonis natu minimus, præoccupato imperio, longo tempore Ptolemæum obsedit, in arcem inclusum, cui nomen erat Dagon.

16. Quomodo Antiochus Pius, ducto in Hyrcanum exercitu, admotoque urbi Hierosolymitanæ, obsidionem solvit, acceptis ab Hyrcano talentis trecentis, et societate cum eo amicitiaque facta.

17. Hyrcani, post mortem Antiochi, qui apud Medos diem oblit, in Syriam expeditio : utque urbes multas vi expugnavit.

18. Amicitia facta inter Hyrcanum et Alexandrum cognomine Zebinam.

19. Quomodo Antiochus Cyzicenus, quum ad auxilium Samaritanis ab Hyrcano obsessis ferendum venisset, fusus fugatusque est et ab Hyrcani filiis Judæa pulsus.

20. Quod Aristobulus, suscepto imperio, primus sibi diadema imposuit.

21. Quomodo, Aristobulo defuncto, frater ejus Alexander, qui in imperium successit, expeditionem fecit in Syriam, et Phœnicen et Arabiam, et multa hostium loca subegit.

22. Ptolemæi Lathuri cum eo pugna et victoria.

23. Quomodo Demetrius Eucærus exercitu in Alexandrum educto ipsum superavit.

24. Antiochi, Dionysi appellati, in Judæam expeditio : et quomodo prælio victoriam reportavit.

25. Quomodo posî obitum Alexandri, uxor ejus Alexandra, quum imperium per novennium tenuisset, et in pace et gloria vixisset, vita decessit.

Continet hic liber tempus annorum octoginta duorum.

ΚΕΦ. Α'.

Τίνα μὲν οὖν τρόπον τὸ τῶν Ἰουδαίων ἔθνος, καταδουλωσαμένων αὐτὸ τῶν Μακεδόνων, ἀνεκτήσατο τὴν ἐλευθερίαν, καὶ δι' ὅσων καὶ πηλίκων ἀγώνων ὁ στρα-

CAP. I.

Quemadmodum Judæorum gens, a Macedonibus in servitutem adducta, libertatem recuperarit, et quibus quantisque certaminibus defunctus Judas mortem oppetiverit pro illis

τηγὸς αὐτῶν ἐλθὼν Ἰούδας ἀπέθανεν ὑπὲρ αὐτῶν μαχόμενος, ἐν τῇ πρὸ ταύτης βίβλῳ δεδηλώκαμεν. Μετὰ δὲ τὴν τελευτὴν Ἰούδα πάλιν ὅσον ἦν τῶν ἀσεβῶν καὶ παραβεβηκότων τὴν πάτριον πολιτείαν ἐπερύη τοῖς Ἰουδαίοις καὶ πανταχόθεν αὐτοὺς ἀκμάζον ἐκάκου. Συνελάμβανε δὲ τῇ τούτων πονηρίᾳ καὶ λιμὸς τὴν χώραν καταλαβών, ὡς πολλοὺς διὰ τὴν σπάνιν τῶν ἀναγκαίων καὶ τὸ μὴ δύνασθαι τοῖς παρ' ἀμφοτέρων, ἀπό τε τοῦ λιμοῦ καὶ τῶν ἐχθρῶν, δεινοῖς ἀντέχειν αὐτομολῆσαι πρὸς τοὺς Μακεδόνας. Βακχίδης δὲ τῶν Ἰουδαίων τοὺς ἀποστάντας τῆς πατρίου συνηθείας καὶ τὸν κοινὸν βίον προηρημένους συναθροίσας, τούτοις ἐνεχείρισε τὴν τῆς χώρας ἐπιμέλειαν· οἳ καὶ συλλαμβάνοντες τοὺς Ἰούδα φίλους καὶ τὰ ἐκείνου φρονοῦντας τῷ Βακχίδῃ παρέδοσαν. Ὁ δὲ βασανίζων πρῶτον αὐτοὺς καὶ πρὸς ἡδονὴν αἰκιζόμενος, ἔπειθ' οὕτω διέφθειρε. Ταύτης δὲ τῆς συμφορᾶς τοῖς Ἰουδαίοις τηλικαύτης γενομένης, ἡλίκης οὐκ ἦσαν πεπειραμένοι μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον, οἱ περιλειφθέντες τῶν ἑταίρων τοῦ Ἰούδα βλέποντες ἀπολλύμενον οἰκτρῶς τὸ ἔθνος, προσελθόντες αὐτοῦ τῷ ἀδελφῷ Ἰωνάθῃ, μιμεῖσθαι τὸν ἀδελφὸν αὐτοῦ καὶ τὴν ἐκείνου περὶ τῶν ὁμοφύλων πρόνοιαν ἠξίουν, ἀποθανόντος ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας, καὶ μὴ περιορᾶν ἀπροστάτητον τὸ ἔθνος μηδ' ἐν οἷς φθείρεται. Ὁ δ' Ἰωνάθης φήσας ἑτοίμως ἔχειν ἀποθνήσκειν ὑπὲρ αὐτῶν, καὶ νομισθεὶς κατὰ μηδὲν εἶναι χείρων τοῦ ἀδελφοῦ, στρατηγὸς ἀποδείκνυται τῶν Ἰουδαίων.

β'. Ὁ δὲ Βακχίδης ἀκούσας τοῦτο καὶ φοβηθεὶς μὴ παράσχῃ πράγματα τῷ βασιλεῖ καὶ τοῖς Μακεδόσιν ὁ Ἰωνάθης, ὡς καὶ πρότερον Ἰούδας, ἀποκτεῖναι δόλῳ τοῦτον ἐζήτει. Ταύτην δ' ἔχων τὴν προαίρεσιν οὐκ ἔλαθε τὸν Ἰωνάθην, οὐδὲ τὸν ἀδελφὸν αὐτοῦ Σίμωνα· ἀλλὰ γὰρ μαθόντες οὗτοι καὶ παραλαβόντες τοὺς ἑταίρους ἅπαντας εἰς τὴν ἐρημίαν τὴν ἔγγιστα τῆς πόλεως τὸ τάχος ἔφυγον, καὶ παραγενόμενοι ἐπὶ τὸ ὕδωρ τὸ καλούμενον λάκκου Ἀσφὰρ, αὐτόθι διῆγον. Ὁ δὲ Βακχίδης αἰσθόμενος αὐτοὺς ἀπηρκότας καὶ ἐν ἐκείνῳ τῷ τόπῳ τυγχάνοντας, ὥρμησεν ἐπ' αὐτοὺς μετὰ πάσης τῆς δυνάμεως, καὶ πέραν τοῦ Ἰορδάνου στρατοπεδευσάμενος ἀνελάμβανε τὴν δύναμιν. Ἰωνάθης δὲ γνοὺς τὸν Βακχίδην ἐπ' αὐτὸν ἥκοντα πέμπει τὸν ἀδελφὸν Ἰωάννην, τὸν καὶ Γαδδὶν λεγόμενον, πρὸς τοὺς Ναβαταίους Ἄραβας, ἵνα παρ' αὐτοῖς ἀπόθηται τὴν ἀποσκευὴν ἕως οὗ πολεμήσωσι πρὸς Βακχίδην· ἦσαν γὰρ φίλοι. Τὸν δὲ Ἰωάννην ἀπιόντα πρὸς τοὺς Ναβαταίους ἐνεδρεύσαντες ἐκ Μηδάβας πόλεως οἱ Ἀμαραίου παῖδες αὐτόν τε συλλαμβάνουσι καὶ τοὺς σὺν αὐτῷ, καὶ διαρπάσαντες ὅσα ἐπεκομίζετο κτείνουσι καὶ τὸν Ἰωάννην καὶ τοὺς ἑταίρους αὐτοῦ πάντας. Δίκην μέντοι γε τούτων ὑπέσχον τοῖς ἀδελφοῖς αὐτοῦ τὴν ἀξίαν, ἣν μετ' οὐ πολὺ δηλώσομεν.

γ'. Ὁ δὲ Βακχίδης, γνοὺς τὸν Ἰωνάθην ἐν τοῖς ἕλεσι τοῦ Ἰορδάνου κατεστρατοπεδευμένον, παραφυλάξας τὴν

pugnans, superiori libro declaravimus. Judæ vero post interitum homines nefarii, quotquot erant, quique patria instituta violaverant, Judæos adoriebantur, animisque resumptis eos undique vexabant. Ad hoc autem illorum malitiam et fames adjuvabat, quæ regionem urgebat ita, ut multi ob necessariorum inopiam, et non ferentes malum utrinque hinc a penuria inde ab hostibus ingruens, ad Macedonas perfugerent. Bacchides autem, Judæis qui a patriis moribus desciverant et profanam vitæ consuetudinem prætulerant, congregatis, his regionis administrationem commisit. At illi, comprehensis Judæ amicis et fautoribus, Bacchidæ eos tradiderunt. Is vero primum tormentis adhibitis eos ad libitum excruciabat, atque ita deinde occidebat. Judæis itaque in tanta calamitate constitutis, quantam non experti fuerant post reditum ex Babylone, qui reliqui erant ex Judæ sociis, quum viderent gentem miserabiliter pereuntem, Jonatha ejus fratre adito, rogabant ut fratrem suum sibi in exemplum proponeret, ejusque de popularibus suis curam et providentiam, qui pro patriæ libertate vitam profudit, imitaretur, et sine defensore non relinqueret gentem, præsertim quum in extremum discrimen adduceretur. Tum Jonathas, quum dixisset se pro illis mortem obiturum esse, atque existimaretur nihilo inferior esse quam frater, Judæorum dux declaratur.

2. Quod ubi rescivit Bacchides, veritus ne Jonathas negotium facesseret regi et Macedonibus, quemadmodum non ita pridem Judas, dolo quærebat eum interimere. Verum hoc illius consilium nec Jonatham, nec Simonem ipsius fratrem latebat: sed enim illi, hac re cognita, sociisque suis omnibus assumptis, in solitudinem, quæ proxime aberat ab urbe, fugam maturabant, quumque venissent ad aquam quæ dicitur lacus Asphar, ibi morabantur. Bacchides autem, ubi audierat eos movisse et illo in loco considere, adversus eos cum omnibus suis copiis profectus est, et positis trans Jordanem castris exercitum reficiebat. Ceterum Jonathas, certior factus quod Bacchides contra se veniret, mittit fratrem suum Joannem, Gaddin etiam appellatum, ad Nabatæos Arabas, (erant enim amici,) ut apud eos impedimenta deponeret, donec acie cum Bacchide dimicasset. At Joanni, dum iter faceret ad Nabatæos, Amaræi filii, ad insidiandum ex urbe Medaba egressi, et ipsum, et qui cum eo erant, capiunt, cunctisque quæ ferebantur direptis, et Joannem et socios ejus omnes interficiunt. Veruntamen pœnam ob ista, quam commeruerunt, fratribus ipsius persolvebant, de qua haud multo post verba faciemus.

3. Bacchides autem, cognito quod Jonathas in Jordanis paludibus castra haberet, die sabbati captato, contra eum

τῶν σαββάτων ἡμέραν ἐπ' αὐτὸν ἦκεν, ὡς οὐ μαχόμενον ἐκείνῃ διὰ τὸν νόμον. Ὁ δὲ παρορμήσας τοὺς ἑταίρους καὶ περὶ τῶν ψυχῶν αὐτοῖς εἶναι τὸν κίνδυνον εἰπών, μέσοις ἀπειλημμένοις τοῦ τε ποταμοῦ καὶ τῶν πολεμίων, ὡς φυγεῖν οὐκ ἔχουσιν, (οἱ μὲν γὰρ ἔμπροσθεν ἐπῆσαν, ὁ ποταμὸς δ' ἦν κατόπιν αὐτῶν,) εὐξάμενος δὲ καὶ τῷ Θεῷ νίκην αὐτοῖς παρασχεῖν, συνάπτει τοῖς πολεμίοις. Ὧν πολλοὺς καταβαλών, ἐπεὶ τολμηρῶς εἶδεν ἐπερχόμενον αὐτῷ τὸν Βακχίδην, ἐξέτεινε τὴν δεξιὰν ὡς πλήξων αὐτόν. Τοῦ δὲ προειδομένου καὶ τὴν πληγὴν ἐκκλίναντος, ἀποπηδήσας μετὰ τῶν ἑταίρων εἰς τὸν ποταμὸν διενήξατο, καὶ τοῦτον διασώζονται τὸν τρόπον εἰς τὸ πέραν τοῦ Ἰορδάνου, τῶν πολεμίων οὐκ ἔτι τὸν ποταμὸν ἐπιδιαβάντων, ἀλλ' ὑποστρέψαντος εὐθὺς τοῦ Βακχίδου εἰς τὴν ἐν Ἱεροσολύμοις ἄκραν. Ἀπέβαλε δὲ τῆς στρατιᾶς ὡς περὶ δισχιλίους. Πολλὰς δὲ τῆς Ἰουδαίας καταβαλλομένας πόλεις ὠχύρωσε, καὶ τὴν Ἱεριχοῦντα καὶ Ἐμμαοῦν καὶ Βεθωρὸν καὶ Βεθήλαν καὶ Θαμναθὰ καὶ Φαραθὼ καὶ Τοχόαν καὶ Γάζαρα. Καὶ πύργους ἐν ἑκάστῃ τῶν πόλεων οἰκοδομήσας καὶ τείχη περιβαλὼν αὐταῖς καρτερὰ καὶ τῷ μεγέθει διαφέροντα, δύναμιν εἰς αὐτὰς κατέστησεν, ὅπως κακοῦν ἐκεῖθεν ὁρμώμενοι τοὺς Ἰουδαίους ἔχωσι· μάλιστα δὲ τὴν ἐν Ἱεροσολύμοις ἄκραν ὠχύρωσε. Λαβὼν δὲ καὶ τοὺς τῶν πρώτων τῆς Ἰουδαίας παῖδας ὁμήρους εἰς τὴν ἄκραν αὐτοὺς ἐνέκλεισε καὶ τοῦτον ἐφύλαττε τὸν τρόπον.

δ'. Ὑπὸ τὸν αὐτὸν δὲ καιρὸν παραγενόμενός τις πρὸς Ἰωνάθην καὶ τὸν ἀδελφὸν αὐτοῦ Σίμωνα τοὺς Ἀμαραίου παῖδας ἀπήγγειλεν αὐτοῖς γάμον ἐπιτελοῦντας καὶ τὴν νύμφην ἄγοντας ἀπὸ Γαβαθὰ πόλεως, θυγατέρα τινὸς οὖσαν τῶν ἐπιφανῶν παρὰ τοῖς Ἄραψι, μέλλειν δὲ γίνεσθαι παραπομπὴν τῆς κόρης λαμπρὰν καὶ πολυτελῆ. Οἱ δὲ περὶ τὸν Ἰωνάθην καὶ Σίμωνα, καιρὸν ἐπιτηδειότατον εἰς τὴν ἐκδικίαν τἀδελφοῦ νομίσαντες αὐτοῖς παραφανῆναι, καὶ λήψεσθαι τὴν ὑπὲρ Ἰωάννου δίκην παρ' αὐτῶν ἐπὶ πολλῆς ἐξουσίας ὑπολαβόντες, ἐξώρμησαν εἰς Μηδάβαν καὶ τοὺς ἐχθροὺς ἐν τῷ ὄρει λοχῶντες ἔμενον. Ὡς δὲ εἶδον αὐτοὺς ἄγοντας τὴν παρθένον καὶ τὸν νυμφίον καὶ φίλων σὺν αὐτοῖς οἷον εἰκὸς ἐν γάμοις ὄχλον, ἀναπηδήσαντες ἐκ τῆς ἐνέδρας ἀπέκτειναν ἅπαντας, καὶ τὸν κόσμον καὶ τὴν ἄλλην ὅση τότε εἵπετο λεία τοῖς ἀνθρώποις λαβόντες ὑπέστρεψαν. Καὶ τιμωρίαν μὲν ὑπὲρ Ἰωάννου τἀδελφοῦ παρὰ τῶν υἱῶν Ἀμαραίου τοιαύτην ἀπέλαβον· αὐτοί τε γὰρ οὗτοι καὶ οἱ συνεπόμενοι φίλοι καὶ γυναῖκες αὐτῶν καὶ τέκνα διεφθάρησαν, ὄντες ὡς τετρακόσιοι.

ε'. Σίμων μὲν οὖν καὶ Ἰωνάθης εἰς τὰ ἕλη τοῦ ποταμοῦ ὑποστρέψαντες αὐτόθι κατέμενον. Βακχίδης δὲ, τὴν Ἰουδαίαν ἅπασαν φρουραῖς ἀσφαλισάμενος, ὑπέστρεψε πρὸς τὸν βασιλέα. Καὶ τότε μὲν ἐπ' ἔτη δύο τὰ τῶν Ἰουδαίων ἠρέμησε πράγματα· οἱ δὲ φυγάδες καὶ οἱ ἀσεβεῖς, ὁρῶντες τὸν Ἰωνάθην καὶ τοὺς σὺν αὐτῷ μετὰ πολλῆς ἀδείας ἐνδιατρίβοντας τῇ χώρᾳ διὰ τὴν

venit, tanquam ea die non pugnaturum propter legis reverentiam. Ille vero socios adhortatus, additoque insuper quod vita ipsis in periculo esset, in medio hostes inter fluviumque conclusis, ut qui non habeant quo se fuga recipiant, (nam hostes quidem a fronte eos premebant, a tergo vero flumen erat,) etiam Deum precatus ut sibi victoriam daret, congreditur cum hostibus, quorum multis prostratis, ubi cernebat Bacchiden in se cum impetu ferri, dextram extulit ut eum feriret. Quum autem ille ictum prævideret eumque declinasset, *Jonathas* cum sociis in fluvium insiluit et tranavit, atque ita trans Jordanem in tutum evaserunt, quod hostes non amplius amnem transirent, sed Bacchides e vestigio ad arcem Hierosolymitanam se reciperet. De suo autem exercitu hic circiter duo millia amisit. Ceterum multas Judææ urbes, quibus dejecta erant mœnia, communivit, et Hierichuntem et Emmauntem et Bethoron et Bethelam et Thamnatha et Pharathonem et Tochoam et Gazara. Quumque turres in unaquaque urbe ædificasset, et muros validos et magnitudine præcellentes eis circumdedisset, in illis præsidia collocavit, ut factis inde excursionibus Judæos infestarent: maxime vero Hierosolymorum arcem firmavit. Quumque et principum Judææ filios obsides accepisset, eos in arcem inclusit atque ita custodiebat.

4. Sub id tempus vero quidam Jonathan et Simonem ejus fratrem adiit, iisque nunciavit Amaræi filios nuptias celebrantes sponsam ducere ex urbe Gabatha, filiam cujusdam de viris illustribus apud Arabas, foreque ut puella deducatur cum splendido et sumptuoso apparatu. Jonathas autem et Simon, rati tempus sibi opportunissimum oblatum esse ad fratrem ulciscendum, opinatique se facillime posse Joannis *occisi* pœnas ab illis repetere, Medabam profecti sunt, et ad montem in insidiis locati inimicos exspectabant. Quumque eos animadvertissent virginem ducentes, sponsumque, et cum eis, ut in nuptiis fieri solet, amicorum turbam, exsilierunt in eos ex insidiis, et omnes interfecerunt, captoque mundo muliebri et reliqua quæ viros tunc sequebatur præda, reversi sunt. Atque hujusmodi supplicium ab Amaræi filiis sumpserunt ob ea quæ Joanni fratri fecerant: nam et illi ipsi et qui eos comitabantur amici ut et uxores eorum et liberi, numero ad quadringentos, occisi sunt.

5. Et Simon quidem et Jonathas, in fluvii paludes reversi, illic consederunt. Bacchides vero, quum Judæam omnem præsidiis munivisset, ad regem se recepit. Et tunc quidem per biennium in tranquillo erant Judæorum res. Verum transfugæ et scelerati, quum viderent Jonatham cum suis pacis beneficio quietos securosque in regione agere, ad

εἰρήνην, πέμπουσι πρὸς Δημήτριον τὸν βασιλέα, παρακαλοῦντες ἀποστεῖλαι Βακχίδην ἐπὶ τὴν Ἰωνάθου σύλληψιν. Ἐδήλουν γὰρ αὐτὴν ἀπόνως ἐσομένην, καὶ νυκτὶ μιᾷ μὴ προσδοκῶσιν αὐτοὺς ἐπιπεσόντας ἀποκτεῖναι ἅπαντας. Τοῦ δὲ βασιλέως ἐκπέμψαντος τὸν Βακχίδην, γενόμενος οὗτος ἐν τῇ Ἰουδαίᾳ πᾶσιν ἔγραψε τοῖς φίλοις καὶ Ἰουδαίοις καὶ συμμάχοις συλλαβεῖν αὐτῷ τὸν Ἰωνάθην. Σπουδαζόντων δὲ πάντων καὶ μὴ δυναμένων κρατῆσαι τοῦ Ἰωνάθου (ἐφυλάττετο γὰρ σφόδρα τὴν ἐπιβουλὴν ᾐσθημένος,) ὁ Βακχίδης ὀργισθεὶς τοῖς φυγάσιν, ὡς ψευσαμένοις αὐτόν τε καὶ τὸν βασιλέα, πεντήκοντα αὐτῶν τοὺς ἡγουμένους συλλαβὼν ἀπέκτεινεν. Ὁ δὲ Ἰωνάθης σὺν τἀδελφῷ καὶ τοῖς σὺν αὐτῷ εἰς Βηθαλαγὰν ἀναχωρεῖ, κώμην οὖσαν ἐν τῇ ἐρήμῳ, φοβηθεὶς τὸν Βακχίδην· καὶ οἰκοδομήσας πύργους καὶ τείχη περιβαλόμενος αὐτὸν ἔσχεν ἀσφαλῶς πεφρουρημένον. Βακχίδης δὲ ταῦτα ἀκούσας τήν τε μεθ' ἑαυτοῦ στρατιὰν ἄγων καὶ τῶν Ἰουδαίων τοὺς συμμάχους παραλαβὼν ἐπὶ τὸν Ἰωνάθην ἦκε, καὶ προσβαλὼν αὐτοῦ τοῖς ὀχυρώμασιν ἐπὶ πολλὰς αὐτὸν ἡμέρας ἐπολιόρκει. Ὁ δὲ πρὸς τὴν σπουδὴν τῆς πολιορκίας οὐκ ἐνδίδωσιν, ἀλλὰ καρτερῶς ἀντιστὰς Σίμωνα μὲν τὸν ἀδελφὸν ἐν τῇ πόλει καταλείπει τῷ Βακχίδῃ πολεμήσοντα, λάθρα δ' αὐτὸς εἰς τὴν χώραν ἐξελθὼν καὶ συναγαγὼν χεῖρα πολλὴν παρὰ τῶν τὰ αὐτοῦ φρονούντων, νυκτὸς ἐπιπίπτει τῷ Βακχίδου στρατοπέδῳ, καὶ συχνοὺς αὐτῶν διαφθείρας φανερὸς καὶ τἀδελφῷ Σίμωνι γίνεται τοῖς ἔχθροῖς ἐπιπεσών· καὶ γὰρ οὗτος αἰσθόμενος τοὺς πολεμίους ὑπ' αὐτοῦ κτεινομένους ἐπέξεισιν αὐτοῖς, καὶ τά τε μηχανήματα τὰ πρὸς τὴν πολιορκίαν ἐνέπρησε τῶν Μακεδόνων καὶ φόνον αὐτῶν ἱκανὸν εἰργάσατο. Θεασάμενος δ' αὐτὸν ὁ Βακχίδης ὑπὸ τῶν ἐχθρῶν ἀπειλημμένον, καὶ τοὺς μὲν ἔμπροσθεν αὐτῷ, τοὺς δ' ὄπισθεν προσκειμένους, εἰς ἀθυμίαν ἅμα καὶ ταραχὴν τῆς διανοίας ἐνέπεσε, τῷ παρ' ἐλπίδας ἀποβάντι τῆς πολιορκίας συζυθείς. Τὸν μέντοι γε ὑπὲρ τούτων θυμὸν εἰς τοὺς φυγάδας, οἳ μετεπέμψαντο παρὰ τοῦ βασιλέως αὐτὸν, ἀπέσκηψεν ὡς ἐξηπατηκότας· ἐβούλετο δὲ τελευτήσας τὴν πολιορκίαν εὐπρεπῶς, εἰ δυνατὸν, εἰς τὴν οἰκείαν ὑποστρέψαι.

(Β'.) ς'. Μαθὼν δ' αὐτοῦ τὴν διάνοιαν Ἰωνάθης πρεσβεύεται πρὸς αὐτὸν περὶ φιλίας καὶ συμμαχίας, ὅπως ἀποδῶσιν ἀλλήλοις οὓς εἰλήφασιν αἰχμαλώτους ἑκάτεροι. Νομίσας δὲ ταύτην εὐπρεπεστέραν ὁ Βακχίδης τὴν ἀναχώρησιν, σπένδεται πρὸς τὸν Ἰωνάθην φιλίαν, καὶ ὤμοσαν μὴ στρατεύσειν ἐπὶ τὴν ἀλλήλων. Καὶ τούς τε αἰχμαλώτους ἀποδοὺς καὶ τοὺς ἰδίους κομισάμενος ὑπέστρεψεν εἰς Ἀντιόχειαν πρὸς τὸν βασιλέα. Καὶ μετὰ ταύτην τὴν ἀναχώρησιν οὐκέτι εἰς τὴν Ἰουδαίαν ἐνέβαλεν. Ὁ δὲ Ἰωνάθης, ταύτης τῆς ἀδείας λαβόμενος, καὶ ποιούμενος ἐν Μαχμᾷ πόλει τὴν δίαιταν, αὐτόθι τοῖς ὄχλοις διεῖπε τὰ πράγματα, καὶ τοὺς πονηροὺς καὶ ἀσεβεῖς κολάζων ἐκάθηρεν οὕτως ἀπὸ τούτων τὸ ἔθνος.

Demetrium regem legarunt rogantes ut Bacchiden mitteret ad Jonatham capiendum. Hoc enim in proclivi fore significabant, unaque nocte omnes, si eos de improviso adoriretur, opprimi posse. Quum autem rex Bacchiden misisset, ille ubi in Judæam venit, scripsit ad amicos suos omnes, et Judæos et auxiliares, ut Jonatham comprehensum ad se adducerent. Postquam vero omnes summo studio id agebant, nec quidquam proficiebant ad Jonatham capiendum, (nam valde sibi cavebat, intellectis eorum insidiis,) Bacchides, iratus perfugis, ut qui rem falso ad ipsum pariter ac regem detulissent, ex principibus illorum ad quinquaginta homines comprehendit et interfecit. Jonathas autem cum fratre suorumque manu Bacchidis metu Bethalagam secessit, vicum in solitudine situm : et turribus ædificatis et mœnibus circumdatis, sese a periculo securum conservabat. At Bacchides, istis auditis, cum copiis quæ tum ipsi aderant exiens, et Judæis in auxilium evocatis, contra Jonatham profectus est, ejusque munimentis admoto exercitu, dies aliquammultos ipsum obsidebat. Ille vero acri oppugnantium studio nihil cedit, sed, quum fortiter restitisset, Simonem fratrem in urbe relinquit, adversus Bacchidem pugnaturum : ipse vero clam in regionem egressus, magnaque inter suæ factionis homines manu collecta, nocte in castra Bacchidis impetum facit; et quum multos illic occidisset, Simoni etiam fratri palam fit quod hostes esset adortus : nam hic sentiens stragem ab illo editam exit in eos, et Macedonum machinas in obsidionem paratas incendit, et cæde multa in eos grassatur. Bacchides autem, quum vidisset se ab inimicis circumventum, et alios quidem a fronte, alios vero a tergo ipsum urgentes, in desperationem animique consternationem incidit, perturbatus quod res obsidionis præter spem ceciderint. Veruntamen iram inde collectam in perfugas, qui ipsum a rege accersiverant, convertit quasi ab eis deceptus, volebatque, obsidione finita, cum dignitate, si fieri posset, domum redire.

(II.) 6. Quod ejus consilium ubi Jonathas intellexit, legatos ad eum mittit de amicitia et societate, ut sibi invicem redderent quos utrique captivos fecerint. Bacchides, hujusmodi discessionem sibi honestiorem fore ratus, paciscitur cum Jonatha amicitiam, sibique mutuo jurarunt neutrum alteri arma illaturum. Atque ita, redditis receptisque captivis, Antiochiam ad regem reversus est, et post hunc discessum deinceps nullum in Judæam impetum fecit. Jonathas vero hanc securitatem nactus, et in Machma urbe vitam agens, illic populo res administrabat, atque sceleratos et impios supplicio afficiens, hoc modo gentem ab illis perpurgavit.

ΚΕΦ. Β'.

Ἔτει δ' ἑξηκοστῷ καὶ ἑκατοστῷ Ἀλέξανδρον τὸν Ἀντιόχου Ἐπιφανοῦς υἱὸν ἀναβάντα εἰς Συρίαν συνέβη καταλαβέσθαι Πτολεμαΐδα ἐκ προδοσίας τῶν ἔνδοθεν στρατιωτῶν· ἀπεχθῶς γὰρ εἶχον πρὸς τὸν Δημήτριον, διὰ τὴν ὑπερηφανίαν αὐτοῦ καὶ τὸ δυσέντευκτον. Ἀποκλείσας γὰρ αὐτὸν εἰς τετραπύργιόν τι βασίλειον, ὃ κατεσκεύασεν αὐτὸς οὐκ ἄπωθεν τῆς Ἀντιοχείας, οὐδένα προσίετο, ἀλλὰ καὶ περὶ τὰ πράγματα ῥᾴθυμος ἦν καὶ ὀλίγωρος· ὅθεν αὐτῷ καὶ μᾶλλον τὸ παρὰ τῶν ὑποτεταγμένων μῖσος ἐξήφθη, καθὼς ἤδη καὶ ἐν ἄλλοις δεδηλώκαμεν. Γενόμενον οὖν ἐν Πτολεμαΐδι τὸν Ἀλέξανδρον ἀκούσας ὁ Δημήτριος ἦγεν ἅπασαν ἀναλαβὼν τὴν δύναμιν ἐπ' αὐτόν. Ἔπεμψε δὲ καὶ πρὸς Ἰωνάθην πρέσβεις περὶ συμμαχίας καὶ εὐνοίας· φθάσαι γὰρ τὸν Ἀλέξανδρον διέγνω, μὴ προδιαλεχθεὶς ἐκεῖνος αὐτῷ σχῇ τὴν παρ' αὐτοῦ βοήθειαν. Τοῦτο δ' ἐποίει φοβηθεὶς μὴ μνησικακήσας ὁ Ἰωνάθης αὐτῷ τῆς ἔχθρας συνεπιθῆται. Προσέταξεν οὖν αὐτῷ συναθροίζειν δύναμιν καὶ κατασκευάζειν ὅπλα καὶ τοὺς ὁμήρους, οὓς τῶν Ἰουδαίων ἐνέκλεισε Βακχίδης ἐν τῇ ἄκρᾳ τῶν Ἱεροσολύμων, ἀπολαβεῖν. Τοιούτων οὖν αὐτῷ τῶν παρὰ Δημητρίου προσπεσόντων, ὁ Ἰωνάθης παραγενόμενος εἰς τὰ Ἱεροσόλυμα τὴν ἐπιστολὴν ἀνέγνω τοῦ βασιλέως, ἀκουόντων τοῦ τε λαοῦ καὶ τῶν φρουρούντων τὴν ἀκρόπολιν. Ἀναγνωσθέντων δὲ τούτων, οἱ ἀσεβεῖς καὶ φυγάδες ἐκ τῆς ἀκροπόλεως λίαν ἔδεισαν, ἐπιτετραφότος Ἰωνάθῃ τοῦ βασιλέως στρατιὰν συλλέγειν καὶ τοὺς ὁμήρους ἀπολαβεῖν. Ὁ δὲ τοῖς γονεῦσιν ἑκάστῳ τὸν ἴδιον ἀπέδωκε. Καὶ οὕτω μὲν Ἰωνάθης ἐν Ἱεροσολύμοις τὴν μονὴν ἐποιεῖτο, καινίζων τὰ κατὰ τὴν πόλιν καὶ πρὸς τὴν αὑτοῦ βούλησιν κατασκευάζων ἕκαστον· ἐκέλευσε γὰρ οἰκοδομηθῆναι καὶ τὰ τείχη τῆς πόλεως ἐκ λίθων τετραγώνων, ὡς ἂν ᾖ πρὸς τοὺς πολεμίους ἀσφαλέστερα. Ταῦτα δ' ὁρῶντες οἱ τῶν φρουρίων τῶν ἐν τῇ Ἰουδαίᾳ φύλακες, ἐκλιπόντες αὐτὰ πάντες ἔφυγον εἰς Ἀντιόχειαν, πάρεξ τῶν ἐν Βεθσούρᾳ πόλει καὶ τῶν ἐν τῇ ἄκρᾳ τῶν Ἱεροσολύμων· οὗτοι γὰρ ἡ πλείων μοῖρα τῶν ἀσεβῶν Ἰουδαίων καὶ πεφευγότων ἦσαν, καὶ διὰ τοῦτο τὰς φρουρὰς οὐκ ἐγκατέλιπον.

β'. Γνοὺς δὲ Ἀλέξανδρος τάς τε ὑποσχέσεις ἃς ἐποιήσατο Δημήτριος πρὸς Ἰωνάθην, καὶ εἰδὼς καὶ τὴν ἀνδρείαν αὐτοῦ καὶ ὁπόσα διέθηκε πολεμῶν τοὺς Μακεδόνας, καὶ πάλιν οἷα πεπονθὼς αὐτὸς εἴη ὑπὸ Δημητρίου καὶ Βακχίδου τοῦ Δημητρίου στρατηγοῦ, σύμμαχον οὐκ ἂν εὑρεῖν Ἰωνάθου ἀμείνω πρὸς τοὺς φίλους ἔλεγεν ἐν τῷ παρόντι καιρῷ, ὃς καὶ πρὸς τοὺς πολεμίους ἐστὶν ἀνδρεῖος καὶ μῖσος οἰκεῖον ἔχει πρὸς Δημήτριον, πολλὰ πεπονθὼς ὑπ' αὐτοῦ κακὰ καὶ πεποιηκώς. « Εἰ τοιγαροῦν δοκεῖ φίλον ποιεῖσθαι αὐτὸν κατὰ Δημητρίου, νῦν ἐστιν οὐκ ἄλλο τι χρησιμώτερον ἢ παρακαλεῖν αὐτὸν ἐπὶ τὴν συμμαχίαν. » Δόξαν οὖν αὐτῷ καὶ τοῖς φίλοις πέμπειν πρὸς τὸν Ἰωνάθην, γρά-

CAP. II. (III.)

Anno autem centesimo sexagesimo contigit ut Alexander, Antiochi Epiphanis filius, quum Syriam ascendisset, Ptolemaidem occuparet, proditione militum qui eam præsidio tenebant : infensi enim erant Demetrio, tum quod is superbus esset, tum quod difficulter ad eum pateret aditus. Nam quum in regiam quandam quattuor turribus munitam se conclusisset, quam ipse non procul ab Antiochia exstruxerat, neminem admittebat, sed in rebus administrandis socors erat et negligens : unde et subditorum in eum odium magis accensum erat, sicuti alibi etiam declaravimus. Itaque Demetrius, ubi fama acceperat Alexandrum esse in Ptolemaide, copiis suis omnibus assumptis contra eum profectus est. Etiam legatos ad Jonathan misit, ut eum sibi socium haberet benevolumque : ei enim in animo erat ut Alexandrum præveniret, ne is cum Jonatha prior colloquutus ejus auxilium impetraret. Idque eo magis faciebat, veritus ne Jonathas injuriarum memor ipsum inimicitiarum ergo una adoriretur. Ei itaque imperavit ut delectum haberet et arma compararet, obsidesque Judæorum reciperet, quos Bacchides in Hierosolymorum arcem concluserat. Igitur quum mandata ejusmodi ad eum a Demetrio delata essent, Jonathas, ubi ad Hierosolyma venit, literas recitavit, audientibus omnibus tum ceteris tum iis qui arcem præsidio tenebant. Illis autem recitatis, impii et transfugæ, qui in arce erant, vehementer territi sunt, quod Jonathæ facta esset a rege exercitum colligendi potestas, obsidesque sibi habendi. Ille vero eos parentibus suis quemque reddidit. Atque ita quidem Jonathas Hierosolymis habitabat, urbem instaurans et pro arbitrio suo unumquodque construens : jussit enim ædificari muros urbis ex lapidibus quadratis, ut essent illi ab hostibus tutiores. Ista autem quum animadverterent qui in præsidio erant munitionum per Judæam, cuncti illis relictis Antiochiam diffugerunt, præter eos qui Bethsuram tenebant et Hierosolymorum arcem : horum enim pars maxima Judæi erant impii et transfugæ, ideoque præsidia non deserebant.

2. Alexander autem quum didicisset quid Demetrius Jonathæ promiserit, simul et rescivisset et quam egregie se gesserit et quæ mala bellando Macedonibus intulerit, quæque vicissim ille passus fuerit a Demetrio et Bacchide duce copiarum Demetrii, apud amicos dictitabat non posse se eo tempore commodiorem socium habere quam Jonatham : qui et fortis sit adversus hostes, et singulari Demetrium odio prosequatur, ut qui multas injurias ab eo acceperit, multisque vicissim eum affecerit. « Itaque si illum amicum facere contra Demetrium placet, nihil nunc magis e re erit quam illum invitare ad societatem ineundam. » Quum igitur ita visum esset ei et amicis ut ad Jonatham mitterent, hu-

φει τοιαύτην ἐπιστολήν. « Βασιλεὺς Ἀλέξανδρος Ἰωνάθῃ τῷ ἀδελφῷ χαίρειν. « Τὴν μὲν ἀνδρείαν σου « καὶ πίστιν ἀκηκόαμεν πάλαι, καὶ δ·ὰ τοῦτο πε- « πόμφαμεν πρός σε περὶ φιλίας καὶ συμμαχίας. « Χειροτονοῦμεν δέ σε σήμερον ἀρχιερέα τῶν Ἰουδαίων « καὶ φίλον ἐμὸν καλεῖσθαι. Ἀπέσταλκα δέ σοι « καὶ δωρεὰς, στολὴν πορφυρᾶν καὶ στέφανον χρύ- « σεον, καὶ παρακαλῶ τιμηθέντα ὑφ' ἡμῶν ὅμοιον γί- « νεσθαι περὶ ἡμᾶς. »

γ'. Δεξάμενος δὲ τὴν ἐπιστολὴν ὁ Ἰωνάθης ἐνδύεται μὲν τὴν ἀρχιερατικὴν στολὴν, τῆς σκηνοπηγίας ἐνστάσης μετὰ ἔτη τέσσαρα ἢ τὸν ἀδελφὸν αὐτοῦ Ἰούδαν ἀπυθανεῖν· καὶ γὰρ οὐδὲ κατὰ τοῦτον τὸν χρόνον ἀρχιερεύς τις ἐγεγόνει. Συνάγει δὲ δύναμιν πολλὴν καὶ πλῆθος ὅπλων ἐχάλκευε. Δημήτριον δὲ ταῦτα σφόδρα ἐλύπησε μαθόντα, καὶ τῆς βραδυτῆτος ἑαυτὸν ἐποίησεν αἰτιᾶσθαι, ὅτι μὴ προλαβὼν Ἀλέξανδρον αὐτὸς ἐφιλανθρωπεύσατο τὸν Ἰωνάθην, ἀλλ' ἐκείνῳ καταλίποι καιρὸν εἰς τοῦτο. Γράφει μέντοι καὶ αὐτὸς ἐπιστολὴν τῷ Ἰωνάθῃ καὶ τῷ δήμῳ δηλοῦσαν τάδε. « Βασιλεὺς Δημήτριος « Ἰωνάθῃ καὶ τῷ ἔθνει τῶν Ἰουδαίων χαίρειν. « Ἐπειδὴ διετηρήσατε τὴν πρὸς ἡμᾶς φιλίαν καὶ πει- « ράσασιν ὑμᾶς τοῖς ἐμοῖς ἐχθροῖς οὐ προσέθεσθε, « καὶ ταύτην μὲν ὑμῶν ἐπαινῶ τὴν πίστιν, καὶ πα- « ρακαλῶ δὲ τοῖς αὐτοῖς ἐπιμένειν, ἀπολήψομένους « ἀμοιβὰς παρ' ἡμῶν καὶ χάριτας. Τοὺς γὰρ πλεί- « στους ὑμῖν ἀνήσω τῶν φόρων καὶ τῶν συντάξεων, ἃς « προετελεῖτε τοῖς πρὸ ἐμοῦ βασιλεῦσι καὶ ἐμοὶ, νῦν « τε ὑμῖν ἀφίημι τοὺς φόρους, οὓς ἀεὶ παρείχετε. Πρὸς « τούτοις καὶ τιμὴν ὑμῖν χαρίζομαι τῶν ἁλῶν· καὶ « τῶν στεφάνων, οὓς προσεφέρετε ἡμῖν, καὶ ἀντὶ τῶν « τρίτων τοῦ καρποῦ καὶ τοῦ ἡμίσους τοῦ ζυλίνου καρ- « ποῦ τὸ γενόμενον ἐμοὶ μέρος ὑμῖν ἀφίημι ἀπὸ τῆς « σήμερον ἡμέρας. Καὶ ὑπὲρ κεφαλῆς ἑκάστης δ « ἔδει μοι δίδοσθαι τῶν ἐν τῇ Ἰουδαίᾳ κατοικούντων « καὶ τῶν τριῶν τοπαρχιῶν τῶν τῇ Ἰουδαίᾳ προσκει- « μένων, Σαμαρείας καὶ Γαλιλαίας καὶ Περαίας, τοῦτο « παραχωρῶ ὑμῖν ἀπὸ τοῦ νῦν εἰς τὸν ἅπαντα χρόνον. « Καὶ τὴν Ἱεροσολυμιτῶν πόλιν ἱερὰν καὶ ἄσυλον « εἶναι βούλομαι καὶ ἐλευθέραν ἕως τῶν ὅρων αὐτῆς « ἀπὸ τῆς δεκάτης καὶ τῶν τελῶν. Τὴν δὲ ἄκραν « ἐπιτρέπω τῷ ἀρχιερεῖ ὑμῶν Ἰωνάθῃ, οὓς δ' ἂν αὐτὸς « δοκιμάσῃ πιστοὺς καὶ φίλους, τούτους ἐν αὐτῇ φρου- « ρὺς καταστῆσαι, ἵνα φυλάσσωσιν ἡμῖν αὐτήν· καὶ « Ἰουδαίων δὲ τοὺς αἰχμαλωτισθέντας καὶ δουλεύοντας « ἐν τῇ ἡμετέρᾳ ἀφίημι ἐλευθέρους. Κελεύω δὲ μηδὲ « ἀγγαρεύεσθαι τὰ Ἰουδαίων ὑποζύγια· τὰ δὲ σάββατα « καὶ ἑορτὴ ἅπασα καὶ τρεῖς αἱ πρὸ τῆς ἑορτῆς ἡμέραι « ἔστωσαν ἀτελεῖς. Τὸν αὐτὸν τρόπον καὶ τοὺς ἐν τῇ « ἐμῇ κατοικοῦντας Ἰουδαίους ἐλευθέρους καὶ ἀνεπη- « ρεάστους ἀφίημι, καὶ τοῖς στρατεύεσθαι μετ' ἐμοῦ « βουλομένοις ἐπιτρέπω, καὶ μέχρι τρισμυρίων ἐξέστω « τοῦτο· τῶν δ' αὐτῶν, ὅποι ἂν ἀπίωσι, τεύξονται ὧν « καὶ τὸ ἐμὸν στράτευμα μεταλαμβάνει. Καταστήσω

jusmodi literas scribit. « Rex Alexander Jonathæ fratri « S. Jam dudum audivimus de fide tua et fortitudine : « ideoque ad te misimus de amicitia et societate. Porro te « facimus hodie Judæorum pontificem, et ut noster amicus « dicare *statuimus*. Etiam munera tibi mittenda curavi, « stolam purpuream et auream coronam, teque obsecro ut « a nobis honoratus similiter erga nos affectus sis. »

3. His literis acceptis Jonathas pontificalem stolam induit, instante umbraculorum festo, quadriennio post fratris ipsius Judæ interitum : etenim nemo per illud tempus pontificatum obierat. Magnum etiam exercitum colligit et multa arma fabricabat. Quibus rebus auditis Demetrius indoluit, cœpitque suam sibi vitio vertere tarditatem, quod non anticiparit Alexandrum, pleniori obsequio Jonathæ benevolentiam demerendo, sed illi satis temporis reliquerit ad eam prærripiendam. Veruntamen et ipse literas scribit ad Jonatham populumque in hanc sententiam. « Rex « Demetrius Jonathæ et Judæorum genti S. Quo- « niam amicitiam nobiscum initam servastis, et ad no- « stros inimicos qui vos tentarunt non defecistis, hanc « vestram fidem laudo, hortorque ut in iisdem permanea- « tis, beneficii gratiam a nobis vicissim consequuturi. Pleris- « que enim vos tributis et pensionibus levabo, quæ regi- « bus antecessoribus meis et mihi jam ante pendebatis : et « nunc vobis vectigalia remitto quæ solvere semper con- « suevistis. Ac præterea pretium salis vobis condono et « coronarum, quas nobis afferre soliti eratis, et quod mihi « pro tertiis frugum et dimidiis fructus arborum jure cede- « bat, ex hodierno die vobis remitto. Et quod in singula « capita mihi dari oportebat, ab his qui Judæam incolunt « et qui sunt in tribus toparchiis, quæ Judææ adjacent, « Samariæ et Galilææ et Perææ, id vobis concedo ab hoc « tempore in perpetuum. Et urbem Hierosolymitarum « sacram et inviolabilem esse volo, et a decumis vectigali- « busque immunem qua patet ejus territorium. Arcem « etiam ejus permitto pontifici vestro Jonathæ, et quos « ipse pro amicis et fidis habuerit præsidio ejus adhibere, « hi eam nobis custodiant : ac præterea Judæorum eos, qui « bello capti in terris nostris serviunt, dimitto liberos. Ad « hæc jubeo ut Judæorum jumenta ad angarias non adigan- « tur : atque sabbata et festa omnia et tres dies festum an- « tecedentes immunes sint. Similiter et Judæos in meo « regno degentes dimitto liberos nullisque injuriis affectos, « et qui mecum militare voluerint, eos sino, liceatque illis « ad millia triginta : idemque stipendium, quod nostri mi- « lites accipiunt, illis, quocunque abeant, numerabitur. Ex « iis autem quosdam in præsidiis collocabo, alios vero cor-

« δ' αὐτῶν οὓς μὲν εἰς τὰ φρούρια, τινὰς δὲ καὶ περὶ « τὴν φυλακὴν τοὐμοῦ σώματος, καὶ ἡγεμόνας δὲ « ποιήσω τῶν περὶ τὴν ἐμὴν αὐλήν. Ἐπιτρέπω δὲ « καὶ τοῖς πατρίοις χρῆσθαι νόμοις καὶ τούτους φυλάσ- « σειν, καὶ τοῖς τρισὶ τοῖς προκειμένοις τῇ Ἰουδαίᾳ « νομοῖς ἐπιτάσσεσθαι βούλομαι καὶ τῷ ἀρχιερεῖ ἐπιμε- « λὲς εἶναι ἵνα μηδὲ εἷς Ἰουδαῖος ἄλλο ἔχῃ ἱερὸν προσ- « κυνεῖν ἢ μόνον τὸ ἐν Ἱεροσολύμοις. Δίδωμι δ' ἐκ τῶν « ἐμῶν εἰς τὴν δαπάνην τῶν θυσιῶν κατ' ἔτος μυριά- « δας πεντεκαίδεκα, τὰ δὲ περισσεύοντα τῶν χρημά- « των ὑμέτερα εἶναι βούλομαι· τὰς δὲ μυρίας δραχμὰς, « ἃς ἐλάμβανον ἐκ τοῦ ἱεροῦ οἱ βασιλεῖς, ὑμῖν ἀφίημι, « διὰ τὸ προσήκειν αὐτὰς τοῖς ἱερεῦσι τοῖς λειτουργοῦσι « τῷ ἱερῷ. Καὶ ὅσοι δ' ἂν φύγωσιν εἰς τὸ ἱερὸν τὸ ἐν « Ἱεροσολύμοις καὶ εἰς τὰ ὑπ' αὐτῷ χρηματίζοντα, ἢ « βασιλικὰ ὀφείλοντες χρήματα, ἢ ὀι' ἄλλην αἰτίαν, « ἀπολελύσθωσαν οὗτοι καὶ τὰ ὑπάρχοντα αὐτοῖς σῶα « ἔστω. Ἐπιτρέπω δὲ καὶ ἀνακαινίζειν τὸ ἱερὸν καὶ « οἰκοδομεῖν, τῆς εἰς ταῦτα δαπάνης ἐκ τῶν ἐμῶν γι- « νομένης, καὶ τὰ τείχη δὲ συγχωρῶ τὰ τῆς πόλεως « οἰκοδομεῖσθαι, καὶ πύργους ὑψηλοὺς ἐγείρειν, καὶ « ταῦτα ἐκ τῶν ἐμῶν ἀνιστάντας. Εἰ δέ τι καὶ φρού- « ριόν ἐστιν, ὃ συμφέρει τῇ Ἰουδαίων χώρᾳ ὀχυρὸν « εἶναι, καὶ τοῦτ' ἐκ τῶν ἐμῶν κατασκευασθήτω. »

δ'. Ταῦτα μὲν ὑπισχνούμενος καὶ χαριζόμενος τοῖς Ἰουδαίοις ἔγραψε Δημήτριος. Ἀλέξανδρος δὲ ὁ βασιλεὺς δύναμιν μεγάλην συναγαγὼν μισθοφόρων καὶ τῶν προσθεμένων ἐκ τῆς Συρίας αὐτῷ στρατιωτῶν ἐπὶ τὸν Δημήτριον ἐστράτευσε. Καὶ μάχης γενομένης τὸ μὲν εὐώνυμον κέρας τοῦ Δημητρίου τρέπεται τοὺς ἐναντίους εἰς φυγὴν καὶ ἐδίωξεν ἄχρι πολλοῦ, κτείνει τε συχνοὺς αὐτῶν καὶ διαρπάζει τὸ στρατόπεδον· τὸ δὲ δεξιὸν, οὗ συνέβαινεν εἶναι τὸν Δημήτριον, ἥττᾶται. Καὶ οἱ μὲν ἄλλοι πάντες ἔφυγον, Δημήτριος δὲ γενναίως μαχόμενος οὐκ ὀλίγους μὲν ἀναιρεῖ τῶν πολεμίων, διώκων δὲ τοὺς ἄλλους εἰσελαύνει τὸν ἵππον εἰς τέλμα βαθὺ καὶ δυσεκπόρευτον, ἔνθα συνέβη πεσόντος αὐτοῦ τοῦ ἵππου μὴ δυνάμενον διαφυγεῖν ἀναιρεθῆναι. Τὸ γὰρ συμβεβηκὸς περὶ αὐτὸν ἰδόντες οἱ πολέμιοι ἀνέστρεψαν, καὶ κυκλωσάμενοι τὸν Δημήτριον πάντες ἐπ' αὐτὸν ἠκόντιζον· ὁ δὲ πεζὸς ὢν γενναίως ἀπεμάχετο, καὶ τελευταῖον τραύματα λαβὼν πολλὰ καὶ μηκέτ' ἀντέχειν δυνάμενος κατέπεσε. Καὶ τέλος μὲν τοιοῦτο τὸν Δημήτριον κατέλαβεν, ἔτη βασιλεύσαντα ἕνδεκα, ὡς καὶ ἐν ἄλλοις δεδηλώκαμεν.

ΚΕΦ. Γ.

Ὁ δὲ Ὀνίου τοῦ ἀρχιερέως υἱὸς, δμώνυμος δὲ ὢν τῷ πατρὶ, ὃς ἐν Ἀλεξανδρείᾳ φυγὼν πρὸς τὸν βασιλέα Πτολεμαῖον τὸν ἐπικαλούμενον Φιλομήτορα διῆγεν, ὡς καὶ πρότερον εἰρήκαμεν, ἰδὼν τὴν Ἰουδαίαν κακουμένην ὑπὸ τῶν Μακεδόνων καὶ τῶν βασιλέων αὐτῶν, βουλόμενος δὲ αὐτῷ μνήμην καὶ δόξαν αἰώνιον κατασκευάσαι, διέγνω πέμψας πρὸς Πτολεμαῖον τὸν βασιλέα

« poris mei custodes habebo, præfectosque faciam illorum « qui sunt in regia mea. Permitto etiam eis patriis legibus « vivere, easque servare, voloque ipsos imperare tribus « præfecturis Judææ attributis, pontificique id curæ esse « ut nemo Judæus aliud templum habeat ad Deum vene- « randum, præter illud quod Hierosolymis est. Insuper « singulis annis de meo largior centum et quinquaginta mil- « lia *drachmarum* in sumptum sacrificiorum, et quicquid « pecuniæ superest, vestrum esse volo : illa autem decem « millia drachmarum, quæ de templo reges accipiebant, « vobis remitto, quod pertineant ad sacerdotes rem divinam « in templo procurantes. Quicunque etiam confugerint in « templum Hierosolymitanum et in ejus pomœria, aut « debitores pecuniæ fiscalis, aut ex alia causa, absolvan- « tur et ipsi, et res eorum ipsis salvæ sunto. Tum au- « tem permitto ut instauretur templum et ædificetur, « sumptibus ad ista ex fisco meo suppeditatis : quin etiam « concedo ut mœnia urbis exstruantur, turresque altæ ex- « citentur, ita ut hæc quoque meis impensis erigantur. « Denique si quod castellum sit, quod Judæorum regioni « expediat munitum esse, sumptibus meis opera fiant et « munitiones. »

4. Ista quidem Demetrius, promissa faciens volensque gratificari Judæis, scripsit. Alexander autem rex, ingenti exercitu coacto, tam ex mercenariis quam ex militibus qui e Syria ad eum accesserant, contra Demetrium profectus est. Quumque pugna committeretur, sinistrum Demetrii cornu eos qui sibi oppositi erant in fugam vertit, et diu persequutum est, multosque illorum occidit et castra diripit; dextrum vero, in quo forte erat Demetrius, vincitur. Atque alii quidem omnes in fugam se conjecerunt, at Demetrius, fortiter dimicans, hostium non paucos interfecit, dumque alios subsequitur, equo invectus est in cœnum profundum et transitu difficile, ubi contigit ut ille, quum prolapso equo effugere non potuerit, occideretur. Nam hostes viso quod ei acciderat reversi sunt, quumque Demetrium circumdedissent, eum jaculis omnes petierunt : at ille jam pedes fortiter propugnabat, tandemque multis vulneribus confectus, quum diutius resistendo non esset, occubuit. Atque hoc modo vitam finivit Demetrius, regno functus per annos undecim, sicut et alibi declaravimus.

CAP. III. (VI.)

Oniæ autem pontificis filius, eodemque nomine quo pater appellatus, (qui profugus ad Ptolemæum regem cognomine Philometorem Alexandriæ degebat, ut jam ante diximus,) quum videret Judæam vexatam a Macedonibus eorumque regibus, velletque sibi memoriam gloriamque æternam parare, decrevit, missis ad Ptolemæum regem

καὶ τὴν βασίλισσαν Κλεοπάτραν αἰτήσασθαι παρ' αὐτῶν ἐξουσίαν, ὅπως οἰκοδομήσειε ναὸν ἐν Αἰγύπτῳ, παραπλήσιον τῷ ἐν Ἱεροσολύμοις, καὶ Λευίτας καὶ ἱερεῖς ἐκ τοῦ ἰδίου γένους καταστήσῃ. Τοῦτο δὲ ἐβούλετο θαρρῶν μάλιστα τῷ προφήτῃ Ἡσαΐᾳ, ὃς ἔτεσιν ἐμπροσθεν ἑξακοσίων πλείοσι γεγονὼς προεῖπεν ὡς δεῖ πάντως ἐν Αἰγύπτῳ οἰκοδομηθῆναι ναὸν τῷ μεγίστῳ Θεῷ ὑπ' ἀνδρὸς Ἰουδαίου. Διὰ ταῦτα οὖν ἐπηρμένος ὁ Ὀνίας, γράφει Πτολεμαίῳ καὶ Κλεοπάτρᾳ τοιαύτην ἐπιστολήν. « Πολ-
« λὰς καὶ μεγάλας ὑμῖν χρείας τετελεκὼς ἐν τοῖς κατὰ
« πόλεμον ἔργοις μετὰ τῆς τοῦ Θεοῦ βοηθείας, καὶ γε-
« νόμενος ἐν τῇ Κοίλῃ Συρίᾳ καὶ Φοινίκῃ, καὶ εἰς
« Λεόντων δὲ πόλιν τοῦ Ἡλιοπολίτου σὺν τοῖς Ἰου-
« δαίοις καὶ εἰς ἄλλους τόπους ἀφικόμενος τοῦ ἔθνους,
« καὶ πλείστους εὑρὼν παρὰ τὸ καθῆκον ἔχοντας ἱερά,
« καὶ διὰ τοῦτο δύσνους ἀλλήλοις, ὃ καὶ Αἰγυπτίοις
« συμβέβηκε διὰ τὸ πλῆθος τῶν ἱερῶν καὶ τὸ περὶ τῆς
« θρησκείας οὐχ ὁμοδοξεῖν, ἐπιτηδειότατον τόπον εὑ-
« ρὼν ἐν τῷ προσαγορευομένῳ τῆς ἀγρίας Βουβάστεως
« ὀχυρώματι, βρύοντα ποικίλης ὕλης καὶ τῶν ἱερῶν ζώων
« μεστὸν, δέομαι συγχωρῆσαί μοι, τὸ ἀδέσποτον ἀνακα-
« θάραντι ἱερὸν καὶ συμπεπτωκὸς, οἰκοδομῆσαι ναὸν
« τῷ μεγίστῳ Θεῷ καθ' ὁμοίωσιν τοῦ ἐν Ἱεροσολύμοις,
« τοῖς αὐτοῖς μέτροις, ὑπέρ τε σοῦ καὶ τῆς γυναικὸς
« καὶ τῶν τέκνων, ἵν' ἔχωσιν οἱ τὴν Αἴγυπτον κατοι-
« κοῦντες Ἰουδαῖοι, εἰς αὐτὸ συνιόντες κατὰ τὴν πρὸς
« ἀλλήλους ὁμόνοιαν, ταῖς σαῖς ἐξυπερετεῖν χρείαις.
« Καὶ γὰρ Ἡσαΐας ὁ προφήτης τοῦτο προεῖπεν· ἔσται
« θυσιαστήριον ἐν Αἰγύπτῳ κυρίῳ τῷ Θεῷ· καὶ πολ-
« λὰ δὲ προεφήτευσεν ἄλλα τοιαῦτα διὰ τὸν τόπον. »

β'. Καὶ ταῦτα μὲν ὁ Ὀνίας τῷ βασιλεῖ Πτολεμαίῳ γράφει. Κατανοήσειε δ' ἄν τις αὐτοῦ τὴν εὐσέβειαν καὶ Κλεοπάτρας τῆς ἀδελφῆς αὐτοῦ καὶ γυναικὸς ἐξ ἧς ἀντέγραψαν ἐπιστολῆς· τὴν γὰρ ἁμαρτίαν καὶ τὴν τοῦ νόμου παράβασιν εἰς τὴν Ὀνίου κεφαλὴν ἀνέθεσαν. Ἀντέγραψαν γὰρ οὕτως. « Βασιλεὺς Πτολεμαῖος καὶ βασίλισσα Κλεοπάτρα Ὀνίᾳ χαίρειν.
« Ἀνέγνωμέν σου τὴν παράκλησιν, ἀξιοῦντος ἐπι-
« τραπῆναί σοι τὸ ἐν Λεοντοπόλει τοῦ Ἡλιοπολίτου
« ἱερὸν συμπεπτωκὸς ἀνακαθᾶραι, προσαγορευόμε-
« νον δὲ τῆς ἀγρίας Βουβάστεως. Διὸ καὶ θαυμάζο-
« μεν, εἰ ἔσται τῷ Θεῷ κεχαρισμένον τὸ καθιδρυσό-
« μενον ἱερὸν ἐν ἀσελγεῖ τόπῳ καὶ πλήρει ζώων ἱερῶν.
« Ἐπεὶ δὲ σὺ φῂς Ἡσαΐαν τὸν προφήτην ἐκ πολλοῦ
« χρόνου τοῦτο προειρηκέναι, συγχωροῦμέν σοι, εἰ μέλ-
« λει τοῦτο ἔσεσθαι κατὰ τὸν νόμον, ὥστε μηδὲν ἡμᾶς
« δοκεῖν εἰς τὸν Θεὸν ἐξημαρτηκέναι. »

γ'. Λαβὼν οὖν τὸν τόπον ὁ Ὀνίας κατεσκεύασεν ἱερὸν καὶ βωμὸν τῷ Θεῷ, ὅμοιον τῷ ἐν Ἱεροσολύμοις, μικρότερον δὲ καὶ πενιχρότερον. Τὰ δὲ μέτρα αὐτοῦ καὶ τὰ σκεύη νῦν οὐκ ἔδοξέ μοι δηλοῦν· ἐν γὰρ τῇ ἑβδόμῃ μου βίβλῳ τῶν Ἰουδαϊκῶν πολέμων ἀναγέγραπται. Ηὗρε δὲ Ὀνίας καὶ Ἰουδαίους τινὰς ὁμοίους αὐτῷ καὶ ἱερεῖς καὶ Λευίτας τοὺς ἐκεῖ θρησκεύοντας.

et Cleopatram reginam literis, ab illis petere ut sibi liceret in Ægypto templum ædificare Hierosolymitano simile, et in eo Levitas et sacerdotes ex suo genere constituere. Hoc autem volebat, præsertim quod Esaiæ vati confideret, qui, quum ante sexcentos amplius annos vixerit, prædixit fore omnino ut in Ægypto conderetur templum Deo maximo ab homine Judæo. Onias igitur, propter hæc elatus, Ptolemæo et Cleopatræ hujusmodi literas scribit. « Quum multa
« magnaque belli munera Dei auxilio in vestram utilitatem
« confecissem, atque in Cœlen-Syriam Phœnicenque me
« contulissem, et cum Judæis in Leontopolim etiam præ-
« fecturæ Heliopolitanæ urbem aliaque gentis loca perve-
« nissem, et quamplurimos animadvertissem templa con-
« tra atque oporteret habentes, et idcirco sibi invicem in-
« fensos, id quod Ægyptiis etiam accidit propter multitu-
« dinem templorum et diversas de religione sententias,
« invento loco maxime opportuno in arce Bubastis agre-
« stis nomine vocata, varia materia abundante sacrisque ani-
« malibus pleno, rogo ut fanum istic nulli sacratum nu-
« mini jamque collapsum mihi liceat repurgare, et in
« templum Deo maximo exstruere ad similitudinem Hiero-
« solymitani, iisdem mensuris, pro te tuaque conjuge et
« liberis, ut Judæi qui Ægyptum incolunt, illic convenien-
« tes ex mutua inter se concordia, tuis utilitatibus pareant.
« Nam et Esaias vates hoc prædixit, futurum esse in Æ-
« gypto altare domino Deo *sacratum;* et multa id genus
« alia propter locum vaticinatus est. »

2. Et hæc quidem Onias Ptolemæo regi scribit. De ipsius et Cleopatræ ejus sororis et conjugis pietate conjecturam licet facere ex ea qua literis istis responderunt epistola : fecerunt enim ut peccatum hoc legisque prævaricatio in caput Oniæ reciderent. Nam in hunc modum rescripse-
« runt. « Ptolemæus rex et Cleopatra regina Oniæ S. Legi-
« mus tuam petitionem, qua oras ut tibi permittatur illud
« apud Leontopolim præfecturæ Heliopolitanæ templum,
quod Bubastis agrestis vocatur, collapsum repurgare.
« Unde fit ut mirari subeat, an poterit Deo gratum esse
« templum, quod exstructurus es in loco impuro et sacro-
« rum animalium pleno. Quandoquidem vero tu dicis id
« ipsum ab Esaia vate jam dudum prædictum esse, potesta-
« tem tibi facimus, modo res futura sit ex lege, ne nos
« in Deum deliquisse videamur. »

3. Onias igitur, locum nactus, templum et altare Deo ædificavit ad instar Hierosolymitani, sed minusculum et pauperculum. Mensuram vero ejus et vasa mihi non visum est in præsentia indicare : nam de illis memoriæ prodidi in libro septimo quem scripsi de bellis Judaicis. Invenit etiam Onias et Judæos quosdam sui similes, et s-

Ἀλλὰ περὶ μὲν τοῦ ἱεροῦ τούτου ἀρκούντως ἡμῖν δεδήλωται.

δ'. Τοὺς δ' ἐν Ἀλεξανδρείᾳ Ἰουδαίους καὶ Σαμαρεῖς, οἳ τὸ ἐν Γαριζεὶν ὄρει προσεκύνουν ἱερὸν οἰκοδομηθὲν κατὰ τοὺς Ἀλεξάνδρου χρόνους, συνέβη στασιάσαι πρὸς ἀλλήλους, καὶ περὶ τῶν ἱερῶν ἐπ' αὐτοῦ Πτολεμαίου διεκρίνοντο, τῶν μὲν Ἰουδαίων λεγόντων κατὰ τοὺς Μωϋσέως νόμους ᾠκοδομῆσθαι τὸ ἐν Ἱεροσολύμοις, τῶν δὲ Σαμαρίων τὸ ἐν Γαριζείν. Παρεκάλεσαν οὖν σὺν τοῖς φίλοις καθίσαντα τὸν βασιλέα τοὺς περὶ τούτων ἀκοῦσαι λόγους καὶ τοὺς ἡττηθέντας θανάτῳ ζημιῶσαι. Τὸν μὲν οὖν ὑπὲρ τῶν Σαμαρέων λόγον Σαββαῖος ἐποιήσατο καὶ Θεοδόσιος, τὸν δ' ὑπὲρ τῶν Ἱεροσολυμιτῶν καὶ Ἰουδαίων Ἀνδρόνικος ὁ Μεσσαλάμου. Ὤμοσαν δὲ τὸν Θεὸν καὶ τὸν βασιλέα ἢ μὴν ποιήσεσθαι τὰς ἀποδείξεις κατὰ τὸν νόμον, παρεκάλεσάν τε τὸν Πτολεμαῖον ὅπως ὃν ἂν λάβῃ παραβαίνοντα τοὺς ὅρκους ἀποκτείνῃ. Ὁ μὲν οὖν βασιλεὺς πολλοὺς τῶν φίλων εἰς συμβουλίαν παραλαβὼν ἐκάθισεν ἀκουσόμενος τῶν λεγόντων. Οἱ δ' ἐν τῇ Ἀλεξανδρείᾳ τυγχάνοντες Ἰουδαῖοι σφόδρα ἠγωνίων περὶ τῶν ἀνδρῶν, οἷς ἀγανακτεῖν ὑπὲρ τοῦ ἐν Ἱεροσολύμοις ἱεροῦ συνέβαινε· χαλεπῶς γὰρ ἔφερον εἴ τοῦτό τινες καταλύσουσιν, οὕτως ἀρχαῖον καὶ διασημότατον τῶν κατὰ τὴν οἰκουμένην ὑπάρχον. Τοῦ δὲ Σαββαίου καὶ Θεοδοσίου συγχωρησάντων τῷ Ἀνδρονίκῳ πρώτῳ ποιήσασθαι τοὺς λόγους, ἤρξατο τῶν ἀποδείξεων ἀπό τε τοῦ νόμου καὶ τῶν διαδοχῶν τῶν ἀρχιερέων, ὡς ἕκαστος παρὰ πατρὸς τὴν τιμὴν ἐκδεξάμενος ἦρξε τοῦ ναοῦ, καὶ ὅτι πάντες οἱ τῆς Ἀσίας βασιλεῖς τὸ ἱερὸν ἐτίμησαν ἀναθήμασι καὶ λαμπροτάταις δωρεαῖς, τοῦ δ' ἐν Γαριζεὶν ὡς οὐδὲ ὄντος οὐδεὶς λόγον οὐδ' ἐπιστροφὴν ἐποιήσατο. Ταῦτα λέγων Ἀνδρόνικος καὶ πολλὰ τούτοις ὅμοια, πείθει τὸν βασιλέα κρῖναι μὲν κατὰ τοὺς Μωϋσέως νόμους οἰκοδομηθῆναι τὸ ἐν Ἱεροσολύμοις ἱερὸν, ἀποκτεῖναι δὲ Σαββαῖον καὶ Θεοδόσιον. Καὶ τὰ μὲν γενόμενα τοῖς ἐν Ἀλεξανδρείᾳ Ἰουδαίοις κατὰ Πτολεμαῖον τὸν Φιλομήτορα, ταῦτα ἦν.

ΚΕΦ. Δ'.

Δημητρίου δ' ἀποθανόντος ἐν τῇ μάχῃ, καθὼς ἐπάνω δεδηλώκαμεν, Ἀλέξανδρος τὴν τῆς Συρίας παραλαβὼν βασιλείαν γράφει τῷ Φιλομήτορι Πτολεμαίῳ μνηστεύομενος αὐτοῦ πρὸς γάμον τὴν θυγατέρα, δίκαιον εἶναι λέγων τῷ τὴν πατρῴαν ἀρχὴν κομισαμένῳ καὶ διὰ τὴν τοῦ Θεοῦ πρόνοιαν εἰς αὐτὴν προαγθέντι, καὶ κρατήσαντι Δημητρίου, καὶ μηδὲ τἆλλα ἐσομένῳ τῆς πρὸς αὐτὸν οἰκειότητος ἀνάξίῳ, συνάψαι συγγένειαν. Πτολεμαῖος δὲ προσδεξάμενος ἡδέως τὴν μνηστείαν ἀντιγράφει, χαίρειν τε λέγων ἐπὶ τῷ τὴν ἀρχὴν αὐτῷ πατρῴαν οὖσαν ἀπειληφέναι, καὶ τὴν θυγατέρα δώσειν ὑπισχνεῖται, ἅπαντᾶν δ' αὐτῷ εἰς Πτολεμαΐδα τὴν θυγατέρα μέλλοντι ἄγειν ἐκέλευσεν· αὐτὸν γὰρ αὐτὴν μέχρι ταύτης παραπέμψειν ἀπ' Αἰγύπτου, κἀκεῖ συν-

cerdotes et Levitas, qui *Dei* cultum illic instaurarent. Sed de hoc quidem templo satis nobis dictum est.

4. Apud Alexandriam autem inter Judæos et Samaritas, qui templi in monte Garizin, sub Alexandro exstructi, religionem introduxerunt, forte exorta est seditio : atque istuc res devenit uti coram Ptolemæo de templis disceptarent, Judæis quidem contendentibus juxta Moysis præscripta conditum esse templum Hierosolymitanum, Samaritis vero Garizitanum. Regem igitur rogarunt, ut ab ipso in amicorum consessu causa hæc cognosceretur, ea conditione ut qui victi fuerint morti adjudicarentur. Et pro Samaritis quidem orationem habuit Sabbæus cum Theodosio, pro Hierosolymitanis vero et Judæis Andronicus Messalami filius. Per Deum autem jurarunt et regem, sese probationes allaturos e lege, et a Ptolemæo precibus contenderunt, ut eum morte multaret, quem jurejurando non stetisse deprehenderet. Proinde rex, adhibitis non paucis in consilium amicis, consedit causam orantes auditurus. Judæi autem Alexandrini magnopere metuebant iis, quibus jura templi Hierosolymitani tueri contigit : ægre enim ferebant, si quis templi adeo antiqui et toto terrarum orbe celeberrimi auctoritatem labefactatum iret. Atqui quum Sabbæus et Theodosius concessissent Andronico uti prior verba faceret, is a lege exorsus est rem demonstratam dare, et a successione pontificum, uti quisque a patre dignitatem adeptus templo præfuisset, quodque omnes Asiæ reges majestatem ejus donariis muneribusque splendidissimis auxissent, Garizitani vero, ac si ne exstitisset quidem, neminem habuisse rationem illudve respexisse. Dum hæc diceret Andronicus et his multa similia, regi persuasit uti decerneret templum Hierosolymitanum de sententia Moysis exstructum esse, Sabbæum vero et Theodosium morti addicendos. Atque ista quidem sunt quæ Judæis Alexandrinis acciderunt sub Ptolemæo Philometore.

CAP. IV. (VII.)

Quum autem Demetrius vitam in pugna amisisset, sicut superius indicavimus, Alexander, occupato Syriæ regno, scribit Ptolemæo Philometori, filiam ejus nuptum sibi dari deposcens, æquum esse dicens ut ipsum affinitate dignetur, quum paternum imperium recuperasset, Deique providentia eo provectus fuisset, et Demetrium superasset, atque cetera futurus esset ejus cognatione non indignus. Ptolemæus vero, quum libenter ejus postulatis annuisset, rescripsit, dicens se gaudere quod paternum regnum adeptus esset, promisitque filiam daturum esse, jussitque ut ad Ptolemaidem sibi obviam veniret, illuc filiam adducturo ; ipsum enim eam ab Ægypto huc usque comitaturum esse, ibique

οικίσειν αὐτῷ τὴν παῖδα. Καὶ Πτολεμαῖος μὲν ταῦτα γράψας παραγίνεται μετὰ σπουδῆς εἰς Πτολεμαΐδα, Κλεοπάτραν ἄγων τὴν θυγατέρα. Εὑρὼν δ' ἐκεῖ τὸν Ἀλέξανδρον, καθὼς ἐπέστειλε, προαπηντηκότα, δίδωσιν αὐτῷ τὴν παῖδα καὶ φερνὴν, ἀργυρόν τε καὶ χρυσὸν, ὅσον εἰκὸς ἦν δοῦναι βασιλέα.

β'. Τῶν δὲ γάμων ἐπιτελουμένων Ἀλέξανδρος Ἰωνάθῃ τῷ ἀρχιερεῖ γράψας ἐκέλευσεν αὐτὸν ἥκειν εἰς Πτολεμαΐδα. Παραγενόμενος δὲ πρὸς τοὺς βασιλεῖς καὶ δωρησάμενος αὐτοὺς λαμπρῶς, τῆς παρ' ἀμφοτέρων ἀπέλαυσε τιμῆς. Ἀλέξανδρος δὲ αὐτὸν ἠνάγκασεν ἀποδυσάμενον τὴν οἰκείαν ἐσθῆτα λαβεῖν πορφύραν, καὶ συγκαθεσθῆναι ποιήσας αὐτὸν ἐπὶ τοῦ βήματος, προσέταξε τοὺς ἡγεμόνας εἰς μέσην μετ' αὐτοῦ προελθόντας τὴν πόλιν κηρῦξαι μηδενὶ λέγειν κατ' αὐτοῦ ἐφεῖσθαι, μηδὲ παρέχειν αὐτῷ πράγματα. Τοῦτο δὲ ποιησάντων τῶν ἡγεμόνων, ὁρῶντες τὴν παρὰ τοῦ βασιλέως κεκηρυγμένην Ἰωνάθῃ τιμὴν οἱ κατηγορεῖν παρεσκευασμένοι καὶ πρὸς αὐτὸν ἀπεχθῶς ἔχοντες ἀπέδρασαν, μὴ καὶ προσλάβωσί τι κακὸν δεδιότες. Τοσαύτῃ δὲ σπουδῇ πρὸς Ἰωνάθην ὁ βασιλεὺς Ἀλέξανδρος ἐχρήσατο, ὥστε αὐτὸν καὶ πρῶτον ἀναγράψαι τῶν φίλων.

(H'.) γ'. Ἔτει δὲ πέμπτῳ καὶ ἑξηκοστῷ πρὸς τοῖς ἑκατὸν Δημήτριος ὁ Δημητρίου μετὰ πολλῶν μισθοφόρων, οὓς παρέσχεν αὐτῷ Λασθένης ὁ Κρὴς, ἄρας ἀπὸ Κρήτης κατέπλευσεν εἰς Κιλικίαν. Τοῦτο δὲ Ἀλέξανδρον ἀκούσαντα εἰς ἀγωνίαν καὶ ταραχὴν ἐνέβαλε, καὶ παραχρῆμα ἐκ τῆς Φοινίκης εἰς Ἀντιόχειαν ἔσπευσεν, ἵνα τὰ ἐκεῖ, πρὶν ἢ Δημήτριον ἐλθεῖν, ἀσφαλῶς θῆται. Κατέλιπε δὲ τῆς Κοίλης Συρίας Ἀπολλώνιον τὸν Δάου ἡγεμόνα, ὃς μετὰ πολλῆς δυνάμεως εἰς Ἰάμνειαν ἐλθὼν ἔπεμψε πρὸς Ἰωνάθην τὸν ἀρχιερέα, λέγων « ἄδικον εἶναι μόνον αὐτὸν ἐπ' ἀδείας ζῆν καὶ μετ' ἐξουσίας, οὐχ ὑποτασσόμενον τῷ βασιλεῖ· τοῦτο δ' αὐτῷ παρὰ πάντων ὀνειδος φέρειν, ὅτι μὴ ὑποτάξειεν αὐτὸν τῷ βασιλεῖ. Μὴ τοίνυν σαυτὸν ἐν τοῖς ὄρεσι καθήμενος ἐξαπάτα, νομίζων ἰσχὺν ἔχειν, ἀλλ' εἰ θαρρεῖς τῇ σαυτοῦ δυνάμει, καταβὰς εἰς τὸ πεδίον τῇ ἡμετέρᾳ στρατιᾷ συγκρίθητι, καὶ τὸ τέλος τῆς νίκης ἐπιδείξει τὸν ἀνδρικώτατον. Ἴσθι μέντοι γε τοὺς ἀρίστους ἐξ ἑκάστης πόλεως ἐμοὶ συστρατεύεσθαι· καὶ γὰρ δὴ τοὺς σοὺς προγόνους οἱ ἀεὶ νικῶντές εἰσιν οὗτοι. Ποιήσῃ δὲ τὸν πρὸς ἡμᾶς ἀγῶνα ἐν τοιαύτῃ γῇ, ἐν ᾗ λίθοις οὐκ ἔστιν, ἀλλ' ὅπλοις ἀμύνεσθαι, οὐδὲ τόπος εἰς ὃν ἡττώμενος φεύξῃ. »

δ'. Παροξυνθεὶς δ' ἐπὶ τούτοις ὁ Ἰωνάθης μυρίους ἐπιλεξάμενος στρατιώτας ὥρμησεν ἐξ Ἱεροσολύμων, μετὰ καὶ Σίμωνος τἀδελφοῦ, καὶ γενόμενος ἐν Ἰόπῃ στρατοπεδεύεται τῆς πόλεως ἔξω, τῶν Ἰοπηνῶν ἀποκλεισάντων αὐτῷ τὰς πύλας· φρουρὰν γὰρ ἔνδον εἶχον ὑπὸ Ἀπολλωνίου κατασταθεῖσαν. Τοῦ δὲ Ἰωνάθου πρὸς πολιορκίαν αὐτῶν παρασκευαζομένου, φοβηθέντες μὴ τὴν πόλιν αὐτῶν ἑξέλῃ κατὰ κράτος, ἀνοίγουσιν αὐτῷ τὰς πύλας. Ὁ δὲ Ἀπολλώνιος, ἀκούσας τὴν

puellam ei nuptum collocaturum. Et Ptolemæus quidem, his scriptis, omni festinatione Ptolemaidem pervenit cum Cleopatra filia. Quumque Alexandum, sicuti per epistolam imperaverat, illic jam obviam ipsi profectum invenisset, puellam ei in matrimonium dat, tantumque auri et argenti in dotem, quantum regem decebat.

2. Dum autem nuptiæ peragebantur, Alexander literis ad Jonatham pontificem datis jussit eum Ptolemaidem venire. Qui quum ad reges venisset, eosque splendidis muneribus donasset, honorem ab utroque consequutus est. Alexander autem eum, veste sua exutum, coegit purpura indui, quumque eum secum in solio sedere fecisset, ducibus imperavit ut cum eo in mediam urbem progressi edicerent, nemini licere eum insimulare, sive ulla de re negotium facessere. Quod quum duces fecissent, ubi illi, qui ad accusationem parati animoque in eum malevolo erant, viderunt honorem ei ex edicto habitum, diffugerunt, veriti ne quid mali paterentur. Propensaque adeo in Jonatham voluntate erat rex Alexander, ut ipsum etiam primum amicorum scripserit.

(VIII.) 3 Anno autem centesimo sexagesimo quinto Demetrius Demetrii filius cum multis mercenariis, quos Lasthenes Cretensis ei tradiderat, ex Creta in Ciliciam trajecit. Quæ res audita Alexandro magnum dolorem et perturbationem injecit, moxque Phœnice Antiochiam ire contendit, ut res illic, ante Demetrii adventum, in tuto locaret. Apollonium Daum reliquit Cœles-Syriæ præfectum : qui, magno cum exercitu Jamniam profectus, ad Jonatham pontificem misit, dicens « rem indignam esse, ut ipse solus securus ageret suique ad arbitrium, regi non subjectus : idque ipsi ab omnibus opprobrio verti, quod se regi non subjecerit. Ne igitur, in montibus desidens, te ipsum decipias vana opinione tui roboris : sed si quid viribus tuis confidis, descende in planum, ut cum nostris militibus fiat contentio; et palam erit fortissimum esse qui victoriam consequetur. Veruntamen scito quod e singulis urbibus fortissimi quique mecum militant : namque illi sane ipsi sunt qui tuos majores semper vicerunt. Verum prælio nobiscum dimicabis in ejusmodi terra, ubi armis, non saxis pugnandum est, neque locus victo ad perfugium erit. »

4. His verbis commotus animo Jonathas delectis hominum millibus decem Hierosolymis egressus est, excito in auxilium Simone fratre suo, quumque Jopen venisset, extra urbem castra metatur, quod portas ipsi clauserant Jopenses : nam intus illis præsidium erat ab Apollonio constitutum. Jonatha autem ad obsidionem semet parante, veriti ne urbem vi expugnaret, portas ei aperiunt. Ceterum

Ἰόπην ὑπὸ Ἰωνάθου κατειλημμένην, τρισχιλίους ἱππεῖς παραλαβὼν καὶ πεζοὺς ὀκτακισχιλίους, εἰς Ἄζωτον ἦλθε, κἀκεῖθεν ἄρας ἠρέμα καὶ βάδην ἐποιεῖτο τὴν πορείαν· ἀνελθὼν δ' εἰς τὴν Ἰόπην, ὡς ἀναχωρῶν, ἕλκει τὸν Ἰωνάθην εἰς τὸ πεδίον, τῇ ἵππῳ καταφρονῶν καὶ τὰς τῆς νίκης ἐλπίδας ἔχων ἐν αὐτῇ. Προελθὼν δὲ ὁ Ἰωνάθης ἐδίωκεν εἰς Ἄζωτον τὸν Ἀπολλώνιον. Ὁ δέ, ὡς ἐν τῷ πεδίῳ συνέβη γενέσθαι τὸν πολέμιον, ὑποστρέψας εἰς μάχην αὐτῷ συνέβαλε. Τοῦ δ' Ἀπολλωνίου χιλίους ἱππεῖς καθίσαντος εἰς ἐνέδραν ἔν τινι χειμάρρῳ, ὡς ἂν κατόπιν ἐπιφανεῖεν τοῖς πολεμίοις, αἰσθόμενος ὁ Ἰωνάθης οὐ κατεπλάγη· τάξας δὲ τὴν στρατιὰν ἐν πλινθίῳ κατ' ἀμφότερα τοὺς πολεμίους ἀμύνεσθαι παρεκελεύσατο, καὶ κατὰ πρόσωπον καὶ κατόπισθεν ἐπελευσομένοις ἐναντίον ἀντιτάξας. Τῆς δὲ μάχης ἕως ἑσπέρας προβαινούσης, δοὺς Σίμωνι τἀδελφῷ μέρος τῆς δυνάμεως, τοῦτον μὲν ἐκέλευσε συμβαλεῖν τῇ φάλαγγι τῶν ἐχθρῶν, αὐτὸς δὲ τοὺς σὺν αὐτῷ προσέταξε φραξαμένους τοῖς ὅπλοις ἀποδέχεσθαι τὰ βέλη τὰ παρὰ τῶν ἱππέων. Καὶ οἱ μὲν ἐποίησαν τὸ κελευσθέν· οἱ δὲ τῶν πολεμίων ἱππεῖς, ἐπ' αὐτοὺς ἀφέντες τὰ βέλη μέχρι καὶ ἐξεκενώθησαν, οὐδὲν αὐτοὺς ἔβλαπτον· οὐ γὰρ διικνεῖτο τῶν σωμάτων τὰ βαλλόμενα, συμπεφραγμέναις δὲ ταῖς ἀσπίσι καὶ συνηνωμέναις ὑπὸ πυκνότητος ἐπαφιέμενα, ῥᾳδίως ἐκρατεῖτο καὶ ἀπράκτως ἐφέρετο. Ὡς δὲ παρείθησαν ἀπὸ πρωῒ μέχρι δείλης ὀψίας ἀκοντίζοντες εἰς αὐτοὺς οἱ πολέμιοι, νοήσας Σίμων κεκμηκότας αὐτοὺς συμβάλλει τῇ φάλαγγι, καὶ προθυμίᾳ χρησαμένων πολλῇ τῶν στρατιωτῶν αὐτοῦ, τρέπει τοὺς ἐχθροὺς εἰς φυγήν. Θεασάμενοι δὲ τοὺς πεζοὺς φεύγοντας οἱ ἱππεῖς, οὐδ' αὐτοὶ μένουσιν, ἀλλὰ πάρετοι μὲν ὄντες αὐτοὶ διὰ τὸ μέχρι δείλης μάχεσθαι, τῆς δὲ παρὰ τῶν πεζῶν ἐλπίδος αὐτοῖς ἀπολωλυίας, ἀκόσμως καὶ συγκεχυμένως ἔφευγον, ὡς διασχισθέντας αὐτοὺς διὰ παντὸς διασκορπισθῆναι τοῦ πεδίου. Διώκων δ' αὐτοὺς Ἰωνάθης μέχρι τῆς Ἀζώτου καὶ πολλοὺς ἀναιρῶν, ἀπογνόντας τῆς σωτηρίας ἠνάγκασεν ἐπὶ τὸν τοῦ Δαγῶνος ναὸν καταφυγεῖν, ὃς ἦν ἐν Ἀζώτῳ. Λαβὼν δ' ἐξ ἐπιδρομῆς Ἰωνάθης τὴν πόλιν, αὐτήν τε ἐνέπρησε καὶ τὰς περὶ αὐτὴν κώμας· ἀπέσχετο δ' οὐδὲ τοῦ Δαγῶνος ἱεροῦ, ἀλλὰ καὶ τοῦτο ἐνέπρησε, καὶ τοὺς εἰς αὐτὸ συμφυγόντας διέφθειρε. Τὸ δὲ πᾶν πλῆθος τῶν ἐν τῇ μάχῃ πεσόντων καὶ καταφλεγέντων ἐν τῷ ἱερῷ τῶν πολεμίων ἦσαν ὀκτακισχίλιοι. Κρατήσας οὖν τοσαύτης δυνάμεως, ἄρας ἀπὸ τῆς Ἀζώτου εἰς Ἀσκάλωνα παραγίνεται, καὶ καταστρατοπεδεύσαντος ἔξω τῆς πόλεως αὐτοῦ, προῆλθον εἰς ἀπάντησιν αὐτοῦ οἱ Ἀσκαλωνῖται, ξένια προσφέροντες αὐτῷ καὶ τιμῶντες. Ὁ δὲ ἀποδεξάμενος αὐτοὺς τῆς προαιρέσεως ἀνέστρεψεν ἐκεῖθεν εἰς Ἱεροσόλυμα, πολλὴν ἐπαγόμενος λείαν, ἣν ἤλασεν ἐκεῖθεν νικήσας τοὺς πολεμίους. Ἀλέξανδρος δὲ ἀκούσας ἡττημένον τὸν αὐτοῦ στρατηγὸν Ἀπολλώνιον προσεποιεῖτο χαίρειν, ὅτι παρὰ τὴν αὐτοῦ γνώμην συνέβαλεν Ἰωνάθῃ, φίλῳ

Apollonius, ubi accepit Jopen ab Jonatha occupatam, cum tribus equitum et octo peditum millibus Azotum venit, et inde profectus quiete lentoque gradu iter faciebat; Quumque ascensum Jopen versus fecisset, recessu simulato, Jonatham in planitiem trahit, fidens equitatui, spemque victoriæ in eo collocans. Jonathas autem progressus Apollonium ad Azotum usque persequitur. Ille vero, ubi factum est ut hostis in campum processerit, conversus pugnam cum eo commisit. Quumque mille equites in insidiis ad torrentem quendam posuisset Apollonius, qui a tergo sese hostibus in conspectum darent, Jonathas re intellecta nequaquam animo consternatus est, sed exercitu in quadrum ordinato hortatus est suos ut utrinque hostem propulsarent, acie ex adverso ita instructa, ut tam a tergo quam a fronte adorituris resisterent. Quumque prælium vesperam usque protraheretur, data parte exercitus Simoni fratri, jussit hunc cum hostium phalange congredi, ipse vero suo agmini imperavit ut objectis scutis se muniendo tela hostium exciperent. Atque illi quidem quod præceptum erat exsequuti sunt; hostium vero equites, jaculati in in eos tela usquedum exhaurirentur, nihil eos læserunt: nam missilia in corpora non pervadebant, sed in clypeos projecta, in unum coactos interque se densissime junctos, facile superata erant et in irritum cadebant. Quum vero hostes a mane ad vesperam in eos jaculando languescerent, ubi illos defatigatos esse animadvertit Simon, phalangem aggreditur, quumque alacriter admodum ab ejus militibus pugnatum esset, inimicos in fugam conjicit. Tum et equites ipsi, simul ac conspexerunt pedites terga vertentes, non amplius restiterunt, sed, quod defessi essent usque ad vesperam pugnando, spesque quam in peditatu collocaverant illis periisset, sine ordine et confuse fugiebant, ut dissipati lateque per planitiem dispersi vagarentur. Jonathas autem victos Azotum usque persequens, multisque cæsis, reliquos desperata salute coegit fuga petere templum Dagonis, quod Azoti erat. At Jonathas quum urbem primo impetu cepisset, et ipsam et finitimos vicos incendit; ac ne Dagonis quidem templo manus abstinuit, sed et illud igni cremavit, et quotquot eo perfugerant exitio dedit. Fuit autem omnis hostium numerus, qui vel prælio cecidere vel flammis in templo interiere, hominum octo millia. Tanto itaque exercitu profligato, Azoto profectus Ascalonem venit, et quum extra urbem castra posuisset, ei Ascalonitæ obviam prodierunt, munera ei hospitalia et honores deferentes. Ille vero, collaudata eorum voluntate, inde digressus Hierosolyma magna cum præda rediit, quam illinc abegit superatis hostibus. Alexander autem, audito quod victus esset dux ejus Apollonius, lætitiam simulabat, quod præter animi sui sententiam adortus esset Jonatham sibi

ὄντι καὶ συμμάχῳ· καὶ πέμπει πρὸς Ἰωνάθην, μαρτυρῶν αὐτῷ καὶ γέρα καὶ τιμὰς διδοὺς, πόρπην χρυσέαν, ὡς ἔθος ἐστὶ δίδοσθαι τοῖς τῶν βασιλέων συγγενέσι, καὶ Ἀκκάρωνα καὶ τὴν τοπαρχίαν αὐτῆς εἰς κληρουχίαν ἐπιτρέπει.

ε'. Ὑπὸ δὲ τοῦτον τὸν καιρὸν καὶ ὁ βασιλεὺς Πτολεμαῖος, ὁ Φιλομήτωρ ἐπικληθείς, ναυτικὴν ἄγων δύναμιν καὶ πεζὴν εἰς Συρίαν ἦκε, συμμαχήσων Ἀλεξάνδρῳ· γαμβρὸς γὰρ ἦν αὐτοῦ. Καὶ πᾶσαι προθύμως αἱ πόλεις αὐτὸν Ἀλεξάνδρου κελεύσαντος ἐκδεχόμεναι παρέπεμπον ἕως Ἀζώτου πόλεως, ἔνθα πάντες κατεβόων αὐτοῦ περὶ τοῦ ἐμπεπρησμένου ἱεροῦ αὐτῶν Δαγῶνος, κατηγόρουν τε Ἰωνάθου τοῦτο ἀφανίσαντος καὶ τὴν χώραν πυρπολήσαντος, καὶ πολλοὺς αὐτῶν ἀποκτείναντος. Καὶ Πτολεμαῖος μὲν ταῦτα ἀκούσας ἡσύχασεν, Ἰωνάθης δὲ εἰς Ἰόπην ἀπαντήσας Πτολεμαίῳ ξενίων τε λαμπρῶν παρ' αὐτοῦ τυγχάνει καὶ τιμῆς ἁπάσης· ἔπειτα προπέμψας αὐτὸν ἕως τοῦ Ἐλευθέρου καλουμένου ποταμοῦ πάλιν ὑπέστρεψεν εἰς Ἱεροσόλυμα.

ς'. Γενόμενος δ' ἐν Πτολεμαΐδι παρὰ πᾶσαν προσδοκίαν, μικροῦ διεφθάρη Πτολεμαῖος, ἐπιβουλευθεὶς ὑπ' Ἀλεξάνδρου δι' Ἀμμωνίου, ὃς ἐτύγχανεν αὐτῷ φίλος ὤν. Φανερᾶς δὲ τῆς ἐπιβουλῆς γενομένης, Πτολεμαῖος γράφει τῷ Ἀλεξάνδρῳ, πρὸς κόλασιν ἐξαιτῶν τὸν Ἀμμώνιον, ἐπιβουλευθῆναι λέγων πρὸς αὐτοῦ, καὶ δίκην διὰ τοῦτ' αὐτὸν ἀξιῶν ὑποσχεῖν. Οὐκ ἐκδιδόντος δὲ τοῦ Ἀλεξάνδρου, συνεὶς ἐκεῖνον εἶναι τὸν ἐπιβουλεύσαντα, χαλεπῶς πρὸς αὐτὸν διετέθη. Τοῖς δ' Ἀντιοχεῦσι καὶ πρότερόν ἦν προσκεκρουκὼς Ἀλέξανδρος διὰ τὸν Ἀμμώνιον· πολλὰ γὰρ ὑπ' αὐτοῦ πεπόνθεσαν κακά. Τιμωρίαν μέντοι τῶν τετολμημένων Ἀμμώνιος ὑπέσχε, κατασφαγεὶς αἰσχρῶς ὡς γυνὴ, κρύπτειν ἑαυτὸν σπουδάσας στολῇ γυναικείᾳ, καθὼς ἐν ἄλλοις δεδηλώκαμεν.

ζ'. Πτολεμαῖος δὲ, μεμψάμενος αὐτὸν τοῦ τε συνοικίσαι τὴν θυγατέρα Ἀλεξάνδρῳ τῆς τε συμμαχίας τῆς κατὰ Δημητρίου, διαλύεται τὴν πρὸς αὐτὸν συγγένειαν· ἀποσπάσας γὰρ τὴν θυγατέρα πέμπει πρὸς Δημήτριον εὐθὺς περὶ συμμαχίας καὶ φιλίας, συντιθέμενος τὴν θυγατέρα δώσειν αὐτῷ εἰς γυναῖκα, καὶ καταστήσειν αὐτὸν εἰς τὴν πατρῴαν ἀρχήν. Ὁ δὲ Δημήτριος ἡσθεὶς τοῖς πεπρεσβευμένοις δέχεταί τε τὴν συμμαχίαν καὶ τὸν γάμον. Ἓν δ' ἔτι Πτολεμαίῳ λοιπὸν ἀγώνισμα ὑπελείπετο, πεῖσαι τοὺς Ἀντιοχεῖς δέξασθαι Δημήτριον, ἀπεχθῶς πρὸς αὐτὸν διακειμένους ὑπὲρ ὧν ὁ πατὴρ αὐτοῦ Δημήτριος εἰς αὐτοὺς παρενόμησε. Κατεπράξατο δὲ καὶ τοῦτο. Μισοῦντες γὰρ τὸν Ἀλέξανδρον οἱ Ἀντιοχεῖς διὰ τὸν Ἀμμώνιον, ὡς δεδηλώκαμεν, ῥᾳδίως αὐτὸν ἐκ τῆς Ἀντιοχείας ἐξέβαλον. Καὶ ὁ μὲν ἐκπεσὼν τῆς Ἀντιοχείας ἦκεν εἰς Κιλικίαν· ἐλθὼν δὲ πρὸς τοὺς Ἀντιοχεῖς Πτολεμαῖος βασιλεὺς ὑπ' αὐτῶν καὶ τῶν στρατευμάτων ἀναδείκνυται, καὶ ἀναγκασθεὶς δύο περιτίθεται διαδήματα, ἓν μὲν τὸ τῆς Ἀσίας,

amicitia et societate junctum, et Jonathæ in hujus rei testimonium pariter ac in præmium honoremque monile mittit aureum, quale solet regum dari consanguineis; tum et Accaronem ejusque toparchiam hæreditatis jure possidendam ei concedit.

5. Sub id tempus etiam rex Ptolemæus, cognomine Philometor, cum navalibus et pedestribus copiis in Syriam venit, opem laturus Alexandro: nam is gener illius erat. Omnesque civitates alacriter eum excipientes, quod ita ab Alexandro imperatum erat, ad urbem Azotum deducebant, ubi omnium clamoribus obtunditur de cremato templo Dagonis; et Jonathan accusabant, qui illud funditus deleverit, et regionem igni vastaverit, multosque ipsorum peremerit. Et Ptolemæus quidem, istis auditis, tacebat; Jonathas vero, Ptolemæo ad Jopen obviam factus, et splendidis muneribus ab eo omnique honore afficitur: deinde regem comitatus usque ad fluvium, qui vocatur Eleutherus, Hierosolyma revertit.

6. Quum autem Ptolemaida præter omnem exspectationem pervenisset, parum abfuit quin Ptolemæus periret, ab Alexandro insidiis petitus per Ammonium, qui ipsi amicus erat. Quibus detectis, Ptolemæus literas mittit ad Alexandrum, ut Ammonium ad supplicium deposceret, dicens insidias ipsi ab eo intentatas esse, ideoque se postulare ut meritas ille pœnas lueret. Quum vero Alexander eum dedere recusaret, Ptolemæus, conjectura inde facta ipsum esse insidiarum auctorem, vehementer ei iratus est. Antiochenos autem jam ante sibi infensos habuerat Alexander propter Ammonium: nam plurimis ab eo malis affecti fuerant. Attamen pœnas facinoribus debitas pertulit Ammonius, turpiter ut mulier cæsus, quum id egisset ut muliebri amicta sese occultaret, sicut alibi diximus.

7. At Ptolemæus, sibi ipsi iratus quod et filiam suam Alexandro locaverit, et adversus Demetrium societatem inierit, affinitatem cum Alexandro dirimit. Filia enim sua ablata, confestim ad Demetrium mittit de societate et amicitia, pollicitus se filiam ei uxorem daturum esse, ipsumque in regnum paternum restituturum. Demetrius, lætatus iis quæ obtulerant legati, et societatem et nuptias amplectitur. Unum tamen Ptolemæo supererat certamen, ut Antiochensibus persuaderet Demetrium accipere, alienatos ab eo propter injurias, quas pater ejus Demetrius iis intulerat. Verum et hoc ipsum perfecit. Nam Antiochenses Alexandrum perosi propter Ammonium, uti jam diximus, facile eo perducti sunt ut illum Antiochia ejicerent. Atque ille quidem Antiochia pulsus Ciliciam petebat. Ubi vero ad Antiochenses se contulit Ptolemæus, ab illis rex declaratur et ab exercitu, coactusque duo sibi diademata imposuit, unum

ἕτερον δὲ τὸ τῆς Αἰγύπτου. Χρηστὸς δὲ ὢν φύσει καὶ δίκαιος καὶ τῶν ἀλλοτρίων οὐκ ἐφιέμενος, πρὸς δὲ τούτοις καὶ τὰ μέλλοντα λογίσασθαι συνετὸς, φείσασθαι τοῦ μὴ δόξαι εἶναι τοῖς Ῥωμαίοις ἐπίφθονος ἔκρινε· καὶ συναγαγὼν τοὺς Ἀντιοχεῖς εἰς ἐκκλησίαν πείθει δέξασθαι τὸν Δημήτριον αὐτοὺς, λέγων ὡς οὐδενὸς μνησικακήσειεν αὐτοῖς περὶ τοῦ πατρὸς αὐτὸς εὐεργετηθείς· διδάσκαλόν τε ἀγαθὸν αὐτὸν καὶ ἡγεμόνα ἕσεσθαι διωμολογήσατο, καὶ φαύλοις ἐγχειροῦντι πράγμασιν οὐκ ἐπιτρέψειν ὑπέσχετο· αὐτῷ δ' ἔφασκεν ἀρκεῖν τὴν τῆς Αἰγύπτου βασιλείαν. Ταῦτ' εἰπὼν πείθει τοὺς Ἀντιοχεῖς δέξασθαι τὸν Δημήτριον.

η'. Τοῦ δ' Ἀλεξάνδρου σὺν στρατεύματι πολλῷ καὶ μεγάλῃ παρασκευῇ ὁρμήσαντος ἐκ τῆς Κιλικίας εἰς Συρίαν, καὶ τὴν Ἀντιοχέων γῆν ἐμπρήσαντος καὶ διαρπάσαντος, Πτολεμαῖος ἐπ' αὐτὸν ἐξεστράτευσε μετὰ τοῦ γαμβροῦ Δημητρίου, (ἤδη γὰρ αὐτῷ πρὸς γάμον ἐδεδώκει τὴν θυγατέρα,) καὶ νικήσαντες εἰς φυγὴν ἐτρέψαντο τὸν Ἀλέξανδρον. Οὗτος μὲν οὖν εἰς Ἀραβίαν φεύγει. Συνέβη δ' ἐν τῇ μάχῃ τὸν ἵππον τὸν Πτολεμαίου φωνῆς ἀκούσαντα ἐλέφαντος ταραχθῆναι καὶ τὸν Πτολεμαῖον ἀποσεισάμενον καταβαλεῖν, τοὺς δὲ πολεμίους ἰδόντας ἐπ' αὐτὸν ὁρμῆσαι καὶ τραύματα πολλὰ δόντας αὐτῷ κατὰ τῆς κεφαλῆς εἰς κίνδυνον τὸν περὶ θανάτου καταστῆσαι. Τῶν γὰρ σωματοφυλάκων αὐτὸν ἁρπασάντων, χαλεπῶς οὕτως εἶχεν ὡς ἐφ' ἡμέρας τέσσαρας μήτε συνιέναι τι μήτε φθέγγεσθαι δυνηθῆναι. Τοῦ δὲ Ἀλεξάνδρου τὴν κεφαλὴν ὁ τῶν Ἀράβων δυνάστης ἀποτεμὼν Ζάβηλος ἀπέστειλε Πτολεμαίῳ, ὃς, τῇ πέμπτῃ τῶν ἡμερῶν ἀνενεγκὼν ἐκ τῶν τραυμάτων καὶ φρονήσας, ἥδιστον ἄκουσμα καὶ θέαμα, τὴν Ἀλεξάνδρου τελευτὴν ἅμα καὶ τὴν κεφαλὴν, ἀκούει καὶ θεᾶται· καὶ μετ' οὐ πολὺ πλησθεὶς τῆς ἐπ' Ἀλεξάνδρῳ τεθνηκότι χαρᾶς καὶ αὐτὸς κατέστρεψε τὸν βίον. Ἐβασίλευσε δὲ τῆς Ἀσίας Ἀλέξανδρος ὁ Βάλας λεγόμενος ἔτη πέντε, καθὼς καὶ ἐν ἄλλοις δεδηλώκαμεν.

θ'. Παραλαβὼν δὲ τὴν βασιλείαν Δημήτριος ὁ Νικάτωρ ἐπιλεγόμενος, ὑπὸ πονηρίας ἤρξατο διαφθείρειν τὸ τοῦ Πτολεμαίου στρατιωτικὸν, τῆς τε πρὸς αὐτὸν συμμαχίας ἐκλαθόμενος καὶ ὅτι πενθερὸς ἦν αὐτοῦ, καὶ διὰ τὸν τῆς Κλεοπάτρας γάμον συγγενής. Οἱ μὲν οὖν στρατιῶται φεύγουσιν αὐτοῦ τὴν πονηρίαν εἰς Ἀλεξάνδρειαν, τῶν δὲ ἐλεφάντων Δημήτριος ἐγκρατὴς γίνεται. Ἰωνάθης δ' ὁ ἀρχιερεὺς, ἐξ ἁπάσης τῆς Ἰουδαίας στρατιὰν συναγαγὼν, προσβαλὼν ἐπολιόρκει τὴν ἐν Ἱεροσολύμοις ἄκραν, ἔχουσαν Μακεδονικὴν φρουρὰν καὶ τῶν ἀσεβῶν τινας καὶ τῶν πεφευγότων τὴν πάτριον συνήθειαν. Οὗτοι δὲ τὸ μὲν πρῶτον κατεφρόνουν ὧν Ἰωνάθης ἐμηχανᾶτο περὶ τὴν αἵρεσιν, πεπιστευκότες τῇ ὀχυρότητι τοῦ χωρίου· νυκτὸς δέ τινες τῶν ἐν αὐτῇ πονηρῶν ἐξελθόντες ἦκον πρὸς Δημήτριον καὶ τὴν πολιορκίαν αὐτῷ τῆς ἄκρας ἐμήνυον. Ὁ δὲ τοῖς ἠγγελμένοις παροξυνθεὶς ἀναλαβὼν τὴν δύναμιν ἦκεν ἐκ τῆς Ἀντιοχείας ἐπὶ τὸν Ἰωνάθην. Γενόμενος δὲ ἐν Πτο-

Asiæ, alterum vero Ægypti. Sed quum natura esset bonus justusque et alieni non appetens, sciensque præterea de futuris bene conjicere, *ab Asiæ regno*, ne Romanis sibi invidendi occasionem daret, abstinere decrevit : atque Antiochensibus in concionem advocatis hortatur eos ut Demetrium reciperent, dicens, quod beneficiis ipse affectus illis ignosceret ob injurias patri illatas : se bonum *Demetrio*, magistrum fore ducemque declaravit, et si mali quidpiam aggrederetur, non permissurum esse promisit : sibi vero Ægypti regnum satisfacere aiebat. His dictis eo perducit Antiochenses ut Demetrium reciperent.

8. Cum autem Alexander valida cum manu magnoque apparatu e Cilicia in Syriam irrupisset, et Antiochenum agrum incendiis et rapinis vastasset, Ptolemæus et gener ejus Demetrius (jam enim filiam suam ei in matrimonium dederat) exercitum in eum moverunt, victoriaque reportata Alexandrum fugarunt. Et hic quidem in Arabiam se recipit : in prælio vero contigit ut equus Ptolemæi, barritu elephanti audito, metu exterreretur, et Ptolemæum excussum humi prosterneret, adeo ut hostes hoc viso in eum impetum fecerint, multisque capiti vulneribus inflictis in mortis periculum eum adduxerint. Nam quum *hostibus* eum eripuissent satellites, tam male se habebat, ut per quattuor dies nec quidquam intelligere nec loqui potuerit. Interim Zabelus, Arabum dynasta, Alexandri caput abscissum Ptolemæo misit, qui, die quinta e vulneribus recreatus et ad se reversus, rem auditu visuque jucundissimam, Alexandri mortem simul et caput, audit videtque : et non multo post satiatus gaudio ex Alexandri interitu ipse vitam finivit. Asiæ vero imperio per quinquennium potitus erat Alexander, Balas nominatus, ut et alibi diximus.

9. At Demetrius, cognomine Nicator, regnum adeptus, ex ingenii pravitate male mulcare cœpit Ptolemæi exercitum, et societatis cum eo initæ oblitus, et quod gener ipsius esset eique per nuptias Cleopatræ affinis. Milites itaque ejus malitiam aufugientes Alexandriam concesserunt, sed elephanti Demetrio in potestatem veniunt. Jonathas autem pontifex, coacto ex Judæa omni exercitu, ad Hierosolymorum arcem oppugnandam aggressus est, occupatam a Macedonum præsidio et a scelestis quibusdam, aliisque qui mores patrios deseruerant. Et hi quidem primum machinas ab Jonatha ad arcis expugnationem paratas contemnebant, loci munitionibus confisi; noctu vero aliquot in ea nefarii fuga dilapsi ad Demetrium veniebant, arcisque obsidionem ei nunciabant. Ille vero, istis ad eum delatis iratus, cum exercitu ex Antiochia profectus est adversus Jonatham; quumque Ptolemaidem pervenisset, literas ei

λεμαΐδι, γράφει κελεύων αὐτὸν σπεῦσαι πρὸς αὐτὸν εἰς Πτολεμαΐδα. Ὁ δὲ τὴν μὲν πολιορκίαν οὐκ ἔπαυσε, τοὺς δὲ πρεσβυτέρους τοῦ λαοῦ παραλαβὼν καὶ τοὺς ἱερεῖς, καὶ χρυσὸν καὶ ἄργυρον καὶ ἐσθῆτα καὶ πλῆθος ξενίων κομίζων, ἦκε πρὸς τὸν Δημήτριον, καὶ τούτοις δωρησάμενος αὐτὸν θεραπεύει τὴν ὀργὴν τοῦ βασιλέως· καὶ τιμηθεὶς ὑπ' αὐτοῦ λαμβάνει βεβαίαν ἔχειν τὴν ἀρχιερωσύνην, καθὼς καὶ παρὰ τῶν πρὸ αὐτοῦ βασιλέων ἐκέκτητο. Κατηγορούντων δὲ αὐτοῦ τῶν φυγάδων, ὁ Δημήτριος οὐκ ἐπίστευσεν, ἀλλὰ καὶ παρακαλοῦντος αὐτὸν ὅπως ὑπὲρ τῆς Ἰουδαίας ἁπάσης καὶ τῶν τριῶν τοπαρχιῶν, Σαμαρείας καὶ Περαίας καὶ Γαλιλαίας, τριακόσια τελῆ τάλαντα, δίδωσι περὶ πάντων ἐπιστολὰς αἳ περιεῖχον τὸν τρόπον τοῦτον. « Βασιλεὺς Δημήτριος Ἰωνάθῃ τῷ ἀδελφῷ καὶ τῷ Ἰουδαίων ἔθνει χαίρειν. Τὸ ἀντίγραφον τῆς ἐπιστολῆς ἧς ἐγράψαμεν Λασθένει τῷ συγγενεῖ ἡμῶν ἀπεστάλκαμεν ὑμῖν, ἵν' εἰδῆτε. Βασιλεὺς Δημήτριος Λασθένει τῷ πατρὶ χαίρειν. Τῷ Ἰουδαίων ἔθνει ὄντι φίλῳ καὶ τὰ δίκαια τὰ πρὸς ἡμᾶς φυλάττοντι τῆς εὐνοίας ἔκρινα χάριν παρασχεῖν. Καὶ τοὺς τρεῖς νομοὺς, Ἀφερεμὰ καὶ Λύδδα καὶ Ῥαμαθὰ, οἳ τῇ Ἰουδαίᾳ προσετέθησαν ἀπὸ τῆς Σαμαρείτιδος, καὶ τὰ προσχυροῦντα τούτοις, ἔτι τε ὅσα παρὰ τῶν θυόντων ἐν Ἱεροσολύμοις ἐλάμβανον οἱ πρὸ ἐμοῦ βασιλεῖς, καὶ ὅσα ἀπὸ τῶν καρπῶν τῆς γῆς καὶ τῶν φυτῶν, καὶ τἆλλα τὰ προσήκοντα ἡμῖν καὶ τὰς λίμνας τῶν ἁλῶν καὶ τοὺς κομιζομένους ἡμῖν στεφάνους, ἀφίημι αὐτοῖς, καὶ οὐδὲν παραδιασθήσεται τούτων ἀπὸ τοῦ νῦν οὐδ' εἰς τὸν ἐπιόντα χρόνον. Φρόντισον οὖν ἵνα τούτων ἀντίγραφον γένηται καὶ δοθῇ Ἰωνάθῃ, καὶ ἐν ἐπισήμῳ τόπῳ τοῦ ἁγίου ἱεροῦ τεθῇ. » Τὰ μὲν δὴ γραφέντα ταῦτ' ἦν. Ὁρῶν δὲ ὁ Δημήτριος εἰρήνην οὖσαν, καὶ μηδένα κίνδυνον μηδὲ πολέμου φόβον ὑπάρχοντα, διέλυσε τὴν στρατιὰν καὶ τὸν μισθὸν αὐτῶν ἐμείωσε· καὶ μόνοις τοῦτον ἐχορήγει τοῖς ξενολογηθεῖσιν, οἳ συνανέβησαν ἐκ Κρήτης αὐτῷ καὶ ἐκ τῶν ἄλλων νήσων. Ἔχθρα τοιγαροῦν αὐτῷ καὶ μῖσος ἐκ τούτου γίνεται παρὰ τῶν στρατιωτῶν, οἷς αὐτὸς μὲν οὐδὲν οὐκέτι παρεῖχεν, οἱ δὲ πρὸ αὐτοῦ βασιλεῖς καὶ ἐπ' εἰρήνης χορηγοῦντες αὐτοῖς ὁμοίως διετέλουν, ἵν' εὐνοοῦντας ἔχωσιν καὶ ἐν τοῖς ὑπὲρ αὐτῶν ἀγῶσιν, εἰ δεήσειέ ποτε, προθύμους.

ΚΕΦ. Ε'.

Ἀμέλει ταύτην νοήσας τὴν δύσνοιαν τῶν στρατιωτῶν πρὸς Δημήτριον Ἀλεξάνδρου τις στρατηγὸς, Ἀπαμεὺς τὸ γένος, Διόδοτος, ὁ καὶ Τρύφων ἐπικληθείς, παραγίνεται πρὸς Μάλχον τὸν Ἄραβα, ὃς ἔτρεφε τὸν Ἀλεξάνδρου υἱὸν Ἀντίοχον, καὶ δηλώσας αὐτῷ τὴν δυσμένειαν τὴν τῶν στρατευμάτων πρὸς τὸν Δημήτριον, ἔπειθεν αὐτῷ δοῦναι τὸν Ἀντίοχον· βασιλέα γὰρ αὐτὸν ποιήσειν καὶ τὴν ἀρχὴν αὐτῷ τὴν τοῦ πατρὸς ἀποκαταστήσειν. Ὁ δὲ τὸ μὲν πρῶτον ἀντεῖχεν ὑπ' ἀπιστίας,

scripsit, imperavitque ut e vestigio Ptolemaidem ad se properaret. Ceterum ille obsidionem non omisit, verum cum populi senioribus et sacerdotibus, et aurum secum deferens et argentum et vestem et alia multa munera, ad Demetrium profectus est, istisque ei oblatis, regis iram demulcet, adeo ut a rege honorifice exceptus pontificatum ab eo, similiter ac ab ejus antecessoribus eum nactus erat, sibimet confirmatum habuerit. Quumque transfugæ eum accusarent, tantum abfuit ut his Demetrius fidem haberet, ut Jonathæ petenti, ut pro Judæa universa et tribus toparchiis, Samariæ et Perææ et Galilææ, trecenta talenta penderentur, daret de istis omnibus literas, in hunc modum scriptas. « Rex « Demetrius Jonathæ fratri et genti Judæorum salutem. « Exemplum epistolæ, quam ad Lasthenem consanguineum « nostrum scripsimus, vobis misimus, ut sciatis. Rex De« metrius Lastheni patri S. Genti Judæorum nobis amicæ « et necessitudinis, quam nobiscum habent, jura servanti « decrevi benevolentiæ gratiam referre. Itaque tres præ« fecturas, Apherima et Lydda et Ramatha, quæ Judææ ex « Samaria additæ sunt, omniaque ad eas pertinentia, ac « præterea quicquid ante me regibus moris erat accipere a « sacra facientibus Hierosolymis, et tributa omnia ex terræ « frugibus et arborum fructibus, aliaque quæ nobis debe« bantur, ut et lacuum salis vectigal, coronasque ad nos « afferri solitas, illis remitto, et nihil horum hinc in per« petuum extorquebitur. Quare operam da ut harum lite« rarum exemplum exscribatur, et Jonathæ detur, et in « illustri loco sacri templi collocetur. » Et literæ quidem ita se habebant. Quum autem Demetrius videret pacata omnia, nihilque periculi imminere, atque belli metum sublatum esse, dimisit milites, eorumque stipiendum minuit, et solis peregrinis, quos collegerat, quique cum eo e Creta aliisque insulis ascenderant, illud numerabat. Quæ res inimicitias et odium militum ei conciliavit, quibus ipse quidem nihil amplius dari voluit, reges vero ejus antecessores id ipsum etiam pacis tempore illis persolvebant, ut eos benevolos haberent et ad certamina pro ipsis, quoties opus esset, obeunda promptos paratosque.

CAP. V. (IX.)

Verumenimvero quum illud militum in Demetrium odium intellexisset quidam ex Alexandri ducibus, genere Apamensis, Diodotus, cui et Tryphon cognomen erat, Malchum Arabem adit, qui Antiochum Alexandri filium educabat, quumque eum docuisset quanto Demetrius apud milites odio flagraret, ei suadebat ut Antiochum sibi traderet, ut qui regem eum facturus esset, et in regnum paternum restituturus. Ille primum quidem se difficilem præbebat, quod non

ὕστερον δὲ πολλῷ χρόνῳ προσλιπαρήσαντος τοῦ Τρύφωνος ἐκνικᾶται τὴν προαίρεσιν εἰς ἃ Τρύφων παρεκάλει. Καὶ τὰ μὲν περὶ τούτου τἀνδρὸς ἐν τούτοις ὑπῆρχεν.

β'. Ὁ δ' ἀρχιερεὺς Ἰωνάθης ὑπεξελεῖν βουλόμενος τοὺς ἐν τῇ ἄκρᾳ τῶν Ἱεροσολύμων καὶ τοὺς Ἰουδαίων φυγάδας καὶ ἀσεβεῖς καὶ τοὺς ἐν ἅπασι τοῖς ἐν τῇ χώρᾳ φρουρίοις, πέμψας πρὸς Δημήτριον δῶρα καὶ πρεσβευτὰς παρεκάλει τοὺς ἐν τοῖς ὀχυρώμασι τῆς Ἰουδαίας ἐκβαλεῖν· ὁ δὲ οὐ ταῦτα μόνον αὐτῷ παρέξειν, ἀλλὰ καὶ μείζω τούτων ὑπισχνεῖται, μετὰ τὸν ἐν χερσὶ πόλεμον· τούτῳ γὰρ νῦν ἀσχολεῖν. Ἠξίου δ' αὐτὸν καὶ συμμαχίαν πέμψαι, δηλῶν ἀποστῆναι τὴν δύναμιν αὐτοῦ. Καὶ Ἰωνάθης μὲν τρισχιλίους ἐπιλεξάμενος στρατιώτας ἔπεμψεν.

γ'. Ἀντιοχεῖς δὲ μισοῦντες τὸν Δημήτριον ὑπὲρ ὧν πεπόνθεσαν ὑπ' αὐτοῦ κακῶς, ἀπεχθανόμενοι δ' αὐτῷ καὶ διὰ τὸν πατέρα Δημήτριον πολλὰ εἰς αὐτοὺς ἐξαμαρτόντα, καιρὸν ἐπετήρουν λαβεῖν καθ' ὃν ἐπίθοιντο αὐτῷ. Νοήσαντες δὲ συμμαχίαν παροῦσαν παρὰ Ἰωνάθου τῷ Δημητρίῳ καὶ συμφρονήσαντες ὅτι πολλὴν ἀθροίσει δύναμιν, εἰ μὴ φθάσαντες προκαταλάβοιεν αὐτὸν, ἁρπάσαντες τὰ ὅπλα καὶ περιστάντες τοῖς βασιλείοις αὐτοῦ τρόπῳ πολιορκίας, καὶ τὰς ἐξόδους διαλαβόντες, ἐζήτουν χειρώσασθαι τὸν βασιλέα. Ὁ δὲ τὸν δῆμον ὁρῶν τῶν Ἀντιοχέων ἐκπεπολεμωμένον πρὸς αὐτὸν καὶ ἐν ὅπλοις ὄντα, παραλαβὼν τοὺς μισθοφόρους καὶ τοὺς πεμφθέντας ὑπὸ τοῦ Ἰωνάθου Ἰουδαίους, συμβάλλει τοῖς Ἀντιοχεῦσι· καὶ βιασθεὶς ὑπ' αὐτῶν (πολλαὶ γὰρ ἦσαν μυριάδες) ἡττᾶται. Βλέποντες δὲ τοὺς Ἀντιοχεῖς κρατοῦντας οἱ Ἰουδαῖοι, ἐπὶ τὰς στέγας τῶν βασιλείων ἀναβάντες, ἐκεῖθεν ἔβαλλον αὐτοὺς, καὶ τοῦ μὲν αὐτοί τι πάσχειν ὑπ' αὐτῶν ὄντες ῥᾳστώτατο διὰ τὸ ὕψος, ποιοῦντες δ' αὐτοὺς κακῶς διὰ τὸ ἄνωθεν μάχεσθαι, τῶν σύνεγγυς αὐτοὺς οἰκιῶν ἀπώσαντο, καὶ ταύταις μὲν εὐθὺς πῦρ ἐνῆκαν. Ἡ δὲ φλὸξ ἐφ' ὅλην διατείνουσα τὴν πόλιν, πυκνῶν τῶν οἰκιῶν οὐσῶν καὶ τὰ πλεῖστα ἐκ ξύλων ᾠκοδομημένων, πᾶσαν αὐτὴν ἐνέμετο. Οἱ δ' Ἀντιοχεῖς, μὴ δυνάμενοι βοηθῆσαι μηδὲ κρατῆσαι τοῦ πυρὸς, εἰς φυγὴν ἐτράπησαν. Τῶν δὲ Ἰουδαίων ἀπὸ δώματος ἐπὶ δῶμα διαπηδώντων καὶ τοῦτον αὐτοὺς διωκόντων τὸν τρόπον, παράδοξον συνέβη γενέσθαι τὴν δίωξιν. Ὁ δὲ βασιλεὺς ὁρῶν τοὺς Ἀντιοχεῖς σῶσαι τὰ τέκνα καὶ τὰς γυναῖκας ἐσπουδακότας, καὶ διὰ τοῦτο μηκέτι μαχομένους, δι' ἄλλων αὐτοῖς ἐπιτίθεται στενωπῶν, καὶ συμβαλὼν πολλοὺς μὲν αὐτῶν ἀπέκτεινεν, ὡς ἀναγκασθῆναι ῥῖψαι τὰς πανοπλίας καὶ παραδοῦναι αὐτοὺς τῷ Δημητρίῳ. Συγγνοὺς δ' αὐτοῖς τῶν τετολμημένων καταπαύει τὴν στάσιν. Δωρησάμενος δὲ τοὺς Ἰουδαίους ταῖς ἐκ τῶν σκύλων ὠφελείαις, καὶ ὡς αἰτίοις αὐτῷ τῆς νίκης γεγενημένοις εὐχαριστήσας, ἀπέπεμψεν εἰς Ἱεροσόλυμα πρὸς Ἰωνάθην, μαρτυρῶν αὐτῷ τῆς συμμαχίας. Ὕστερον δὲ πονηρὸς εἰς αὐτὸν ἐγένετο καὶ τὰς ὑποσχέσεις διεψεύσατο καὶ πόλεμον

satis ei fideret, postea vero, quum Tryphon precibus eum urgere diu perseverasset, animo flectitur, ut ea quæ petebat Tryphoni concederet. Et res quidem hujus viri ita se habebant.

2. Interea Jonathas pontifex eos, qui arcem Hierosolymitanam tenebant, deduci volens, ut et Judæos transfugas impios, quique erant in omnibus istius regionis præsidiis, missa cum muneribus legatione ad Demetrium, rogabat ut eos, qui erant in Judææ munitionibus, ejiceret. Cui ille, se non hæc solum ei præstiturum, sed et his majora pollicetur, confecto quod ipsi in manibus esset bello : in hoc enim se jam totum occupari. Ipsum autem, ut auxiliares mitteret copias, orabat, indicans suos defecisse milites. Et Jonathas quidem tria millia lectissimorum militum misit.

3. Ceterum Antiochenses, infensi Demetrio, quod ab eo male accepti fuerant, et cum eo inimicitias exercentes etiam propter Demetrium patrem, qui multis injuriis eos affecerat, tempus observabant quo possent eum adoriri. Quumque animadvertissent auxilia ei ab Jonatha suppetias venisse, secumque reputassent fore ut magnas colligeret copias, nisi ipsum mature prævenirent, correptis armis regiam circumsteterunt, ac si eam oppugnaturi essent, exitibusque viarum occupatis, regem in potestatem suam redigere studebant. Ille vero videns populum Antiochensem sibi hostem factum et in armis esse, assumptis mercenariis militibus et Judæis auxiliaribus, cum Antiochensibus acie congreditur; atque ubi vim illorum ferre non potuit, (nam multæ erant myriades,) vincitur. Judæi autem, quum cernerent Antiochenses pugna esse superiores, in tectum regiæ ascenderunt, et inde ipsos feriebant, atque longius quidem ab illis distantes propter loci eminentiam quam ut lædirentur, iis vero multum damni inferentes quod e sublimi pugnarent, facile eos repulerunt a propinquis ædibus, illisque mox ignem injecerunt. Ac flamma totam urbem pervagata, utpote frequentem domibus, e ligno maxima ex parte constructis, universam depascebatur. Antiochenses vero, quum non potuissent opem ferre, aut incendium exstinguere, in fugam vertuntur. Quumque Judæi ab uno tecto in aliud transilirent, atque ita eos persequerentur, contigit ut insolita et incredibilis esset illa insectatio. Rex autem ut videt Antiochenses in servandis liberis et conjugibus occupatos, atque adeo non amplius pugnantes, per alios angiportus eos adoritur, pugnaque inita magnam adeo illorum stragem edidit, ut cogerentur arma abjicere, seque Demetrio tradere : qui, quum illis facinorum veniam dedisset, seditionem compescuit. Judæos autem spoliis locupletatos, gratiisque iis ut hujus ipsi victoriæ auctoribus relatis, Hierosolyma ad Jonatham remisit, auxilii lati testimonium ei tribuens. At postea maligne in eum se gessit, et promissa fefellit, bellumque ei minatus est, nisi tri-

ἠπείλησεν, εἰ μὴ τοὺς φόρους αὐτῷ πάντας ἀποδώσει, οὓς ὤφειλε τὸ τῶν Ἰουδαίων ἔθνος ἀπὸ τῶν πρώτων βασιλέων. Καὶ ταῦτα ἐποίησεν ἄν, εἰ μὴ Τρύφων αὐτὸν ἐπέσχεν, καὶ τὴν ἐπὶ τὸν Ἰωνάθην αὐτοῦ παρασκευὴν ἀντιμετέσπασεν εἰς τὰς περὶ αὐτοῦ φροντίδας. Ὑποστρέψας γὰρ ἐκ τῆς Ἀραβίας εἰς τὴν Συρίαν μετὰ τοῦ παιδὸς Ἀντιόχου, (μειράκιον δ' ἦν οὗτος ἔτι τὴν ἡλικίαν,) περιτίθησιν αὐτῷ τὸ διάδημα. Καὶ προσχωρήσαντος τοῦ στρατιωτικοῦ παντὸς, ὃ καταλελοίπει τὸν Δημήτριον διὰ τὸ μὴ τυγχάνειν μισθῶν, πόλεμον ἐκφέρει πρὸς τὸν Δημήτριον· καὶ συμβαλὼν αὐτῷ κρατεῖ τῇ μάχῃ, καὶ τοὺς τ' ἐλέφαντας καὶ τὴν τῶν Ἀντιοχέων πόλιν λαμβάνει.

δ'. Δημήτριος μὲν οὖν ἡττηθεὶς ἀνεχώρησεν εἰς Κιλικίαν· ὁ δὲ παῖς Ἀντίοχος πέμψας πρὸς Ἰωνάθην πρεσβευτὰς καὶ γράμματα φίλον τε καὶ σύμμαχον αὐτὸν ἐποιήσατο, καὶ τὴν ἀρχιερωσύνην ἐβεβαίου, καὶ τῶν τεσσάρων παρεχώρει νομῶν, οἷ τῇ χώρᾳ τῶν Ἰουδαίων προσετέθησαν· ἔτι γε μὴν σκεύη χρυσᾶ καὶ ἐκπώματα καὶ πορφυρᾶν ἐσθῆτα, χρῆσθαι τούτοις ἐπιτρέπων, ἀπέστειλε· καὶ πόρπη δ' αὐτὸν δωρεῖται χρυσέᾳ, καὶ τῶν πρώτων αὐτοῦ καλεῖσθαι φίλων. Τὸν ἀδελφὸν δ' αὐτοῦ Σίμωνα στρατηγὸν τῆς στρατιᾶς ἀπὸ Κλίμακος Τυρίων ἕως Αἰγύπτου καθίστησιν. Ἰωνάθης δὲ, ἐπὶ τούτοις παρ' Ἀντιόχου γεγενημένοις εἰς αὐτὸν ἡσθείς, πέμψας πρὸς αὐτόν τε καὶ Τρύφωνα πρεσβευτὰς, εἶναί τε φίλος ὡμολόγει καὶ σύμμαχος καὶ πολεμήσειν σὺν αὐτῷ πρὸς Δημήτριον, διδάσκων ὡς οὐδ' αὐτῷ χάριτας ἀποδοίη, πολλῶν παρ' αὐτοῦ χρηστῶν ἐν οἷς ἐδεῖτο τυχὼν, ἀλλὰ προσαδικήσειεν ἀνθ' ὧν εὖ πάθοι.

ε'. Συγχωρήσαντος οὖν Ἀντιόχου δύναμιν αὐτῷ συναγαγόντι πολλὴν ἔκ τε Συρίας καὶ Φοινίκης τοῖς Δημητρίου πολεμῆσαι στρατηγοῖς, εὐθὺς ὥρμησεν εἰς τὰς πόλεις. Αἱ δὲ λαμπρῶς μὲν αὐτὸν ἐξεδέξαντο, στρατιὰν δ' οὐκ ἔδοσαν. Παραγενόμενος δ' ἐκεῖθεν εἰς Ἀσκάλωνα πόλιν, καὶ τῶν Ἀσκαλωνιτῶν φιλοτίμως αὐτῷ μετὰ δώρων ὑπαντησάντων, αὐτούς τε τούτους παρεκάλει καὶ τῶν ἐν τῇ Κοίλῃ Συρίᾳ πόλεων ἑκάστην ἀποστᾶσαν Δημητρίου προσθέσθαι μὲν Ἀντιόχῳ, σὺν αὐτῷ δὲ πολεμούσας πειρᾶσθαι παρὰ Δημητρίου δίκην λαμβάνειν ὧν ἁμάρτοι ποτὲ εἰς αὐτούς· εἶναι δ' αὐταῖς βουλομέναις ταῦτα φρονεῖν πολλὰς αἰτίας. Πείσας δ' ὁμολογῆσαι πρὸς τὸν Ἀντίοχον συμμαχεῖν τὰς πόλεις, εἰς Γάζαν παρεγένετο, προσαξόμενος καὶ τὴν παρὰ τούτων εὔνοιαν Ἀντιόχῳ. Πολὺ δ' ἦρε τῆς προσδοκίας τοὺς Γαζαίους ἀλλοτριώτερον ἔχοντας· ἀπέκλεισαν γὰρ αὐτῷ τὰς πύλας, καὶ τὸν Δημήτριον ἐγκαταλιπόντες οὐκ ἔγνωσαν Ἀντιόχῳ προσχωρῆσαι. Τοῦτο παρώξυνεν εἰς πολιορκίαν τὸν Ἰωνάθην καὶ τῆς χώρας τὴν κάκωσιν· μέρος γὰρ τῆς στρατιᾶς περικαθίσας τῇ Γάζῃ, τῷ λοιπῷ τὴν γῆν αὐτὸς ἐπιὼν διέφθειρε καὶ ἐνεπίμπρα. Ταῦτα δὲ πάσχοντας αὐτοὺς ὁρῶντες οἱ Γαζαῖοι καὶ μηδεμίαν ἀπὸ Δημητρίου βοήθειαν αὐτοῖς γινομένην, ἀλλὰ τὸ μὲν λυποῦν ἤδη παρὸν, τὸ δ' ὠφε-

buta ipsi redderet, quæ Judæorum gens debebat a primis regibus. Atque ista peregisset, nisi Tryphon eum inhibuisset, fecissetque ut copias in Jonatham paratas ad sui curam avocaret. Nam ex Arabia in Syriam reversus cum puero Antiocho, qui adhuc erat adolescentulus admodum, diadema ei imposuit; et deficientibus ad ipsum omnibus militibus, qui Demetrium deseruerant ob stipendia non soluta, aperto bello Demetrium adoritur; prælioque commisso eum superat, et tum elephantos in suam potestatem redigit, tum Antiochensium urbem.

4. Demetrius itaque victus in Ciliciam se recepit: puer vero Antiochus, missis ad Jonatham legatis literisque, amicum sibi sociumque adscivit, et pontificatum ei confirmavit, cessitque quattuor præfecturis, quæ adjectæ erant Judæorum regioni. Ad hæc vasa aurea et pocula vestemque purpuream, data illis utendi potestate, ad eum misit; quin et aureo eum donat monili, interque primos ipsius amicos referri *jubet*. Simonem etiam ejus fratrem imperatorem constituit a Scala Tyriorum usque ad Ægyptum. Jonathas vero, lætus iis quæ in eum contulerat Antiochus, missis ad eum simul et Tryphonem legatis, promittebat se illi amicum fore sociumque, et cum ipso arma juncturum adversus Demetrium, commemorans quod hic pares ipsi gratias non retulisset, commoda multa, quibus illi opus fuerit, ab ipso consequutus, sed maleficia pro beneficiis reposuisset.

5. Quum igitur Antiochus ei concessisset ut magno exercitu e Syria et Phœnice coacto bellum gereret contra Demetrii duces, statim profectus obibat urbes. Et nonnullæ quidem eum splendide exceperunt, sed milites ei dare distulerunt. Quum autem illinc ad urbem Ascalonem se contulisset, et Ascalonitæ certatim cum muneribus ei occurrissent, et hos ipsos hortabatur et singulas Cœles-Syriæ urbes ut a Demetrio deficerent et Antiocho se adjungerent, unaque cum eo belligerantes pœnas a Demetrio repetere eniterentur ob injurias ab eo quondam acceptas, illisque volentibus causas multas esse cur ista facere in animum inducerent. Quum autem civitatibus persuasisset ut pollicerentur cum Antiocho belli societatem inire, Gazam pervenit, ut ejus etiam civium benevolentiam Antiocho conciliaret. Verum Gazæos longe alieniore in ipsum animo esse invenit quam exspectabat: nam portas ei occluserunt, relictoque Demetrio noluerunt sese Antiocho adjungere: id quod Jonatham adeo irritavit, ut urbem oppugnaret et regionem infestaret; nam urbe ab una exercitus parte obsessa, cum reliqua, excursionibus factis, terram vastavit et incendit. Tum Gazæi, quum viderent se ista pati, nullumque a Demetrio ipsis venire auxilium, quodque eos male habeat præsens esse, quod vero adjumento foret longe abesse, spemque ejus adventus

λῆσον μακρὰν ἔτι καὶ ἀδηλον εἰ παραγένοιτο, σῶφρον ἔκριναν εἶναι τὸ αὐτῷ ἀφέντας παραμένειν ἐκεῖνον θεραπεύειν. Πέμψαντες οὖν πρὸς τὸν Ἰωνάθην φιλίαν τε ὡμολόγουν καὶ συμμαχίαν. Οἱ μὲν γὰρ ἄνθρωποι πρὸ πείρας τῶν δεινῶν οὐ συνιᾶσι τὸ συμφέρον, ἀλλ' ὅταν ἔν τινι κακῷ γενόμενοι τύχωσι, τότε γνωσιμαχήσαντες ἃ μηδ' ὅλως βλαβέντας ἄμεινον ἦν ποιεῖν, ταῦτα ὕστερον ζημιωθέντες αἱροῦνται. Ὁ δὲ συνθέμενος πρὸς αὐτοὺς φιλίαν καὶ λαβὼν ὁμήρους, τούτους μὲν ἀπέστειλεν εἰς Ἱεροσόλυμα, αὐτὸς δὲ τὴν χώραν ἅπασαν μετῆλθεν ἄχρι Δαμασκοῦ.

ς'. Τῶν δὲ Δημητρίου στρατηγῶν ἀκουσθέντων αὐτῷ προσελθεῖν εἰς Κέδασαν πόλιν σὺν πολλῇ στρατιᾷ, μεταξὺ δ' ἔστιν αὕτη τῆς τε Τυρίων γῆς καὶ τῆς Γαλιλαίας, (ἀπάξειν γὰρ αὐτὸν ἐκ τῆς Συρίας ὑπέλαβον ἐπὶ τὴν Γαλιλαίαν ὡς σύμμαχον· τοὺς γὰρ Γαλιλαίους ὄντας αὐτοῦ οὐ περιόψεσθαι πολεμουμένους,) ὑπήντησεν αὐτοῖς, τὸν ἀδελφὸν Σίμωνα καταλιπὼν ἐν τῇ Ἰουδαίᾳ· ὃς τὸν στρατὸν ἐκ τῆς χώρας συναγαγών, ὡς ἐνῆν ἰσχυρώτατον, τὴν Βεθσούραν πολιορκῶν προσεκάθητο, χωρίον τῆς Ἰουδαίας ὀχυρώτατον· κατεῖχε γὰρ αὐτὸ φρουρὰ Δημητρίου· δεδήλωται δὲ ἡμῖν τοῦτο καὶ πρότερον. Ὡς δὲ χώματα μὲν ἐγείραντος τοῦ Σίμωνος, μηχανήματα δ' ἱστάντος καὶ πολλῇ σπουδῇ χρωμένου περὶ τὴν τῆς Βεθσούρας πολιορκίαν ἔδεισαν οἱ φρουροὶ μὴ κατὰ κράτος ἐξαιρεθέντος τοῦ χωρίου διαφθαρῶσι, πέμψαντες πρὸς τὸν Σίμωνα ἠξίουν ὅρκους λαβόντες, ὥστε μηδὲν ὑπ' αὐτοῦ παθεῖν, καταλιπεῖν τὸ χωρίον καὶ πρὸς Δημήτριον ἀπελθεῖν. Ὁ δὲ δοὺς ταύτας αὐτοῖς τὰς πίστεις, ἐκβάλλει μὲν ἐκείνους ἐκ τῆς πόλεως, αὐτὸς δὲ φρουρὰν καθίστησιν ἰδίαν.

ζ'. Ἰωνάθης δὲ ἄρας ἐκ τῆς Γαλιλαίας ἀπὸ τῶν ὑδάτων τῶν Γεννησάρων λεγομένων, (ἐκεῖ γὰρ ἐτύγχανεν ἐστρατοπεδευκώς,) εἰς τὸ καλούμενον Ἀσὼρ πεδίον προῆλθεν, οὐκ εἰδὼς ὄντας ἐν αὐτῷ τοὺς πολεμίους. Μαθόντες δὲ πρὸ μιᾶς ἡμέρας οἱ τοῦ Δημητρίου μέλλειν Ἰωνάθην ἐπ' αὐτοὺς βαδίζειν, ἐνέδραν αὐτῷ καὶ τοὺς λοχήσαντας ἐν τῷ ὄρει καθίσαντες, αὐτοὶ μετὰ τῆς στρατιᾶς ἀπήντων εἰς τὸ πεδίον. Οὓς ἰδὼν ὁ Ἰωνάθης ἑτοίμους πρὸς μάχην παρεσκευάζετο καὶ αὐτὸς τοὺς ἰδίους στρατιώτας πρὸς τὸν ἀγῶνα, ὡς ἠδύνατο. Τῶν δὲ εἰς τὴν ἐνέδραν ὑπὸ τῶν Δημητρίου στρατηγῶν καταστα-θέντων κατὰ νώτου τοῖς Ἰουδαίοις γενομένων, δείσαντες μὴ μέσοι ληφθέντες ἀπόλωνται, φεύγειν ὥρμησαν· καὶ οἱ μὲν ἄλλοι πάντες τὸν Ἰωνάθην κατέλιπον, ὀλίγοι δέ τινες, ὡς περὶ πεντήκοντα τὸν ἀριθμὸν, ὑπέμειναν, καὶ Ματταθίας ὁ Ἀψαλώμου καὶ Ἰούδας ὁ Χαψαίου, τῆς ἁπάσης δυνάμεως ἡγεμόνες ὄντες, οἳ τολμηρῶς τε καὶ μετὰ ἀπογνώσεως εἰς τοὺς πολεμίους ὡσάμενοι τῷ τε θάρσει κατέπληξαν αὐτοὺς καὶ ταῖς χερσὶν ἀπέστρεψαν εἰς φυγήν. Οἱ δ' ἀναχωρήσαντες τῶν Ἰωνάθου στρατιωτῶν ὡς εἶδον τοὺς πολεμίους τραπέντας, ἐπισυλλεγέντες ἐκ τῆς φυγῆς ὥρμησαν αὐτοὺς διώκειν,

esse incertam, bene ac sapienter se facturos judicarunt, si illo deserto Jonatham obsequiis demererentur. Missis igitur ad Jonatham *nunciis* et amicitiam et societatem promittebant. Nam ita comparatum est ut homines, antequam mala experiantur, quid e re sua futurum sit non intelligant, sed ubi in calamitatem aliquam inciderunt, tunc mutata sententia, quæ priusquam læderentur facere præstitisset, illa demum male mulctati expetant. Atque ille, pacto cum his amicitiæ fœdere, obsidibusque acceptis, eos quidem Hierosolyma misit, ipse vero totam regionem ad Damascum usque peragravit.

6. Quum autem audivisset Demetrii duces cum magnis copiis profectos esse ad urbem Cedasam, quæ Tyriorum agrum et Galilæam interjacet, (nam fore putabant ut ipsum e Syria extraherent in Galilæam, quasi opem laturum; Galilæos enim, suæ ditionis homines, quum bello premerentur, non esse neglecturum,) illis obviam ivit, fratre Simone in Judæa relicto. Qui exercitu e regione coacto, eoque tam magno quam comparari potuit, admotis ad Bethsuram castris, eam oppugnavit, locum Judææ munitissimum : is enim tenebatur præsidio a Demetrio, id quod a nobis jam ante memoratum est. Quum autem, postquam Simon aggeres excitasset, machinasque adhibuisset, et ingenti studio obsidionem urgeret, veriti essent custodes, ne, loco vi expugnato, ipsi exitio darentur, missis ad Simonem nunciis, obsecrarunt ut, fide jurejurando accepta, ne quid mali ab ipso paterentur, liceret regionem relinquere et ad Demetrium concedere. Atque is, quum in ea jurasset, illos urbe ejicit, suoque eam præsidio firmat.

7. Interim Jonathas castris motis e Galilæa ab aquis Gennesaris, ut vocantur, (ibi enim cum exercitu consederat,) ad campum Asor appellatum processit, ignorans illic hostes esse. Demetrii vero duces, qui pridie ejus diei Jonatham contra eos venire præsenserant, quum insidias ei posuissent et homines in monte collocassent, ipsi cum exercitu ei in planitie occurrebant. Quos conspicatus Jonathas paratos ad prælium, et ipse cum suis militibus, quoad potuit, aciem instruit. Verum quum ii qui a Demetrii ducibus in insidiis locati erant, a tergo adorirentur Judæos, veriti ne circumdati perirent, in fugam se conjecerunt : atque alii fere omnes Jonatham reliquere, pauci vero, numero circiter quinquaginta, substiterunt, et Mattathias Absalomi filius et Judas Chapsæi filius, exercitus totius ductores, qui quum audacter et quasi desperantes in hostes irruissent, et animis intrepidi in consternationem eos egerunt, et manibus fortes in fugam verterunt. Ubi vero Jonathæ milites, qui fugerant, viderunt inclinatam hostium aciem, e fuga collecti

καὶ τοῦτ' ἐποίησαν μέχρι Κεδασῶν, οὗ τὸ στρατόπεδον ἦν τῶν πολεμίων.

η'. Κρατήσας οὖν Ἰωνάθης τῇ μάχῃ λαμπρῶς καὶ δισχιλίους τῶν ἐχθρῶν ἀποκτείνας ὑπέστρεψεν εἰς Ἱεροσόλυμα. Ὁρῶν δ' ὅτι πάντ' αὐτῷ κατὰ νοῦν προνοίᾳ Θεοῦ χωρεῖ, πρὸς Ῥωμαίους πρεσβευτὰς ἀπέστειλεν, ἀνανεώσασθαι βουλόμενος τὴν γενομένην τῷ ἔθνει πρὸς αὐτοὺς ἔμπροσθεν φιλίαν. Τοῖς δ' αὐτοῦ πρεσβευταῖς ἐπέστειλεν ἀπὸ τῆς Ῥώμης ἀναστρέφουσι πρὸς τοὺς Σπαρτιάτας ἀφικέσθαι, καὶ τὴν πρὸς αὐτοὺς ὑπομνῆσαι φιλίαν καὶ συγγένειαν. Οἱ δὲ ὡς ἦλθον εἰς τὴν Ῥώμην, παρελθόντες εἰς τὴν βουλὴν αὐτῶν, καὶ τὰ παρὰ Ἰωνάθου τοῦ ἀρχιερέως εἰπόντες, ὡς πέμψειεν αὐτοὺς ἐπὶ τὴν τῆς συμμαχίας βεβαίωσιν, τῆς βουλῆς ἐπικυρωσάσης τὰ πρότερον αὐτῇ περὶ τῆς Ἰουδαίων φιλίας ἐγνωσμένα, καὶ δούσης ἐπιστολὰς πρὸς ἅπαντας τοὺς βασιλεῖς τῆς Ἀσίας καὶ Εὐρώπης καὶ τῶν πόλεων ἄρχοντας αὐτοῖς κομίζειν, ὅπως ἀσφαλοῦς τῆς εἰς τὴν οἰκείαν κομιδῆς δι' αὐτῶν τύχωσιν, ἀναστρέφοντες εἰς τὴν Σπάρτην παρεγένοντο, καὶ τὰς ἐπιστολάς, ἃς ἔλαβον παρὰ Ἰωνάθου, αὐτοῖς ἀπέδοσαν. Τὸ δ' ἀντίγραφον ἦν τόδε. « Ἀρχιερεὺς Ἰωνάθης τοῦ ἔθνους τῶν Ἰου-
« δαίων καὶ ἡ γερουσία καὶ τὸ κοινὸν τῶν Ἰουδαίων
« Λακεδαιμονίων ἐφόροις καὶ γερουσίᾳ καὶ δήμῳ τοῖς
« ἀδελφοῖς χαίρειν. Ἐρρωμένοις ὑμῖν καὶ τὰ κοινὰ καὶ
« τὰ ἴδια χωρεῖν κατὰ νοῦν οὕτως ἂν ἔχοι ὡς βουλόμε-
« θα· ἐρρώμεθα δὲ καὶ ἡμεῖς. Ἐπὶ τοῖς ἔμπροσθεν
« χρόνοις κομισθείσης Ὀνίᾳ, τῷ γενομένῳ ἀρχιερεῖ παρ'
« ἡμῖν, παρὰ Ἀρείου τοῦ βασιλεύσαντος ὑμῶν ἐπιστο-
« λῆς διὰ Δημοτέλους περὶ τῆς ὑπαρχούσης ἡμῖν πρὸς
« ὑμᾶς συγγενείας, ἧς ὑποτέτακται τὸ ἀντίγραφον, τήν
« τε ἐπιστολὴν ἐδεξάμεθα προθύμως καὶ τῷ Δημοτέλει
« καὶ τῷ Ἀρείῳ εὐνοϊκῶς διετέθημεν, οὐ δεόμενοι τῆς
« τοιαύτης ἀποδείξεως, διὰ τὸ ἐκ τῶν ἱερῶν ἡμῶν πε-
« πεῖσθαι γραμμάτων. Τὸ μὲν οὖν προκατάρχειν τῆς
« ἀναγνωρίσεως οὐκ ἐδοκιμάζομεν, μὴ καὶ προαρπάζειν
« δοκῶμεν τὴν παρ' ὑμῶν δεδομένην δόξαν. Πολλῶν
« δὲ χρόνων διαγεγενημένων ἀπὸ τῆς ἐξ ἀρχῆς ἀναπο-
« ληθείσης ἡμῖν οἰκειότητος, ἐν ταῖς ἱεραῖς καὶ ἐπωνύ-
« μοις ἡμέραις θυσίας τῷ Θεῷ προσφέροντες, καὶ ὑπὲρ
« τῆς ὑμετέρας σωτηρίας τε καὶ νίκης αὐτὸν παρακα-
« λοῦμεν. Πολλῶν δ' ἡμᾶς πολέμων περιστάντων διὰ
« τὴν τῶν γειτνιώντων πλεονεξίαν, οὐθ' ὑμῖν οὔτ' ἄλ-
« λοις τῶν προσηκόντων ἡμῖν ἐνοχλεῖν ἐκρίναμεν. Κα-
« ταγωνισάμενοι δὲ τοὺς πολεμίους, πέμποντες πρὸς
« Ῥωμαίους Νουμήνιον τὸν Ἀντιόχου καὶ Ἀντίπατρον
« τὸν Ἰάσονος, τῶν ἀπὸ τῆς γερουσίας ὄντων παρ' ἡμῖν
« ἐν τιμῇ, ἐδώκαμεν αὐτοῖς καὶ πρὸς ὑμᾶς ἐπιστολάς,
« ὅπως ἀνανεώσωνται τὴν πρὸς ὑμᾶς ὑπάρχουσαν ἡμῖν
« φιλίαν. Καλῶς οὖν ποιήσετε καὶ αὐτοὶ γράφοντες
« ἡμῖν, καὶ περὶ ὧν ἂν δέησθε ἐπιστέλλοντες, ὡς εἰς
« ἅπαντα προθυμηθησομένοις ὑπὲρ τῆς ὑμετέρας προ-
« αιρέσεως. » Οἱ μὲν οὖν Λακεδαιμόνιοι τούς τε πρε-

impetum cepere eos persequendi; et id fecerunt usque ad Cedasa, ubi castra erant hostium.

8. Jonathas itaque, victoria egregia potitus, et duobus hostium millibus cæsis, Hierosolyma reversus est. Quumque videret omnia, providentia Dei, sibi ex voto succedere, legatos Romam misit, eo animo ut amicitiam, quæ Judæis olim intercesserat cum ea gente, renovaret. Suis etiam legatis in mandatis dedit ut revertentes a Roma Spartanos adirent, illisque in memoriam revocarent cum ipsis amicitiam et cognationem. Illi vero, quum Romam venissent, et in senatum ingressi ea exposuissent, quæ eis mandaverat Jonathas pontifex, ut ipsos misisset ad priorem societatem confirmandam, postquam senatus rata habuerat quæ olim de amicitia cum Judæis colenda decreverat, eisque literas dederat ad reges omnes Asiæ Europæque et civitatum principes deferendas, ut hoc modo incolumes in patriam reverterentur, revertentes Spartam pervenerunt, et literas quas ab Jonatha acceperant Spartiatis tradiderunt. Earum autem exemplum est hoc. « Jonathas gentis Judæorum pon-
« tifex et senatus et commune Judæorum, Lacedæmonio-
« rum ephoris et senatui populoque fratribus salutem. Si
« valetis et res vestræ publicæ privatæque prospere cedunt,
« erunt omnia ex voluntate nostra : nos quoque valemus. Su-
« perioribus temporibus quum perlata esset ad Oniam pontifi-
« cem nostrum ab Areo rege vestro missa per Demotelem epi-
« stola de cognatione quam nobiscum habetis, cujus exem-
« plum infra positum est, et literas eas cupide accepimus et
« Demoteli atque Areo summam benevolentiam exhibuimus,
« non egentes hujusmodi testimonio, quod nobis ea de re
« persuasum esset ex sacris libris nostris. Et nos quidem
« non consultum esse judicabamus ut recognitionis initium
« primi faceremus, ne præripere etiam videremur gloriam
« a vobis concessam. Quum autem multum temporis inter-
« cesserit, ex quo primum nobiscum renovata fuerit hæc
« necessitudo, in sacris festisque diebus rem sacram Deo
« facientes, ipsi supplicamus ut et salutem vobis impertiat
« et victoriam. Et quum multa nos circumstetissent bella ex
« nimia in vicinis habendi cupidine, noluimus vobis aut aliis
« ex propinquis graves esse. Nunc vero, hostibus debella-
« tis, quum ad Romanos miserimus Numenium Antiochi et
« Antipatrum Iasonis filios, viros ex ordine senatorio apud
« nos honoratos, his ad vos etiam dedimus literas, ut mu-
« tuam inter nos amicitiam renovarent. Quare recte facie-
« tis, si vos quoque nobis rescripseritis, atque significave-
« ritis ecqua re opus habeatis, persuasi nos in omnibus ve-
« stræ voluntati prompte obsequuturos esse. ». Et Lacedæ-

σβευτὰς φιλοφρόνως ὑπεδέξαντο καὶ ψήφισμα ποιησάμενοι περὶ φιλίας καὶ συμμαχίας πρὸς αὐτοὺς ἀπέστειλαν.

θ'. Κατὰ δὲ τὸν χρόνον τοῦτον τρεῖς αἱρέσεις τῶν Ἰουδαίων ἦσαν, αἱ περὶ τῶν ἀνθρωπίνων πραγμάτων διαφόρως ὑπελάμβανον· ὧν ἡ μὲν Φαρισαίων ἐλέγετο, ἡ δὲ Σαδδουκαίων, ἡ τρίτη δὲ Ἐσσηνῶν. Οἱ μὲν οὖν Φαρισαῖοι τινὰ καὶ οὐ πάντα τῆς εἱμαρμένης εἶναι λέγουσιν ἔργον, τινὰ δ' ἐφ' ἑαυτοῖς ὑπάρχειν συμβαίνειν τε καὶ οὐ γίνεσθαι. Τὸ δὲ τῶν Ἐσσηνῶν γένος πάντων τὴν εἱμαρμένην κυρίαν ἀποφαίνεται καὶ μηδὲν ὃ μὴ κατ' ἐκείνης ψῆφον ἀνθρώποις ἀπαντᾷ. Σαδδουκαῖοι δὲ τὴν μὲν εἱμαρμένην ἀναιροῦσιν, οὐδὲν εἶναι ταύτην ἀξιοῦντες οὐδὲ κατ' αὐτὴν τὰ ἀνθρώπινα τέλος λαμβάνειν, ἅπαντα δ' ἐφ' ἡμῖν αὐτοῖς τίθενται, ὡς καὶ τῶν ἀγαθῶν αἰτίους ἡμᾶς αὐτοὺς γινομένους καὶ τὰ χείρω παρὰ ἡμετέραν ἀβουλίαν λαμβάνοντας. Ἀλλὰ περὶ μὲν τούτων ἀκριβεστέραν πεποίημαι δήλωσιν ἐν τῇ δευτέρᾳ βίβλῳ τῆς Ἰουδαϊκῆς πραγματείας.

ι'. Οἱ δὲ τοῦ Δημητρίου στρατηγοὶ τὴν γεγενημένην ἧττταν ἀναμαχέσασθαι βουλόμενοι πλείω τῆς προτέρας δύναμιν συναγαγόντες ἦλθον ἐπὶ τὸν Ἰωνάθην. Ὁ δὲ ἐπιόντας πυθόμενος ὀξέως ὑπήντησεν αὐτοῖς εἰς τὴν Ἀμαθῖτιν· οὐ γὰρ ἔγνω σχολὴν αὐτοῖς παρασχεῖν ὥστ' εἰς τὴν Ἰουδαίαν ἐμβαλεῖν. Στρατοπεδευσάμενος δὲ τῶν πολεμίων ἄπωθεν σταδίοις πεντήκοντα πέμπει τοὺς κατοψομένους αὐτῶν τὴν παρεμβολὴν καὶ πῶς εἶεν ἐστρατοπεδευκότες. Τῶν δὲ κατασκόπων πάντ' αὐτῷ φρασάντων καί τινας συλλαβόντων νυκτὸς, οἳ αὐτῷ μέλλειν ἐπιτίθεσθαι τοὺς πολεμίους ἐμήνυον, προγνοὺς ἠσφαλίσατο, προφυλακάς τε ποιησάμενος ἔξω τοῦ στρατοπέδου καὶ τὴν δύναμιν δι' ὅλης τῆς νυκτὸς ἐν τοῖς ὅπλοις ἔχων ἅπασαν, καὶ παρηγγελκὼς αὐτοῖς τὰς ψυχὰς ἐρρωμένους εἶναι καὶ ταῖς διανοίαις οὕτως ἔχειν, ὡς καὶ διὰ τῆς νυκτὸς, εἰ δεήσειε, μαχησομένους, ὥστε μὴ λαθεῖν αὐτῶν τὴν προαίρεσιν. Οἱ δὲ τοῦ Δημητρίου στρατηγοὶ πυθόμενοι τὸν Ἰωνάθην ἐγνωκότα οὐκέτι τὴν γνώμην ἦσαν ὑγιεῖς, ἀλλ' ἐτάραττεν αὐτοὺς τὸ καταφώρους τοῖς ἐχθροῖς γεγονέναι, μηδενὶ προσδοκῶντας αὐτῶν ἐπικρατήσειν ἑτέρῳ, τῆς ἐπιβουλῆς διημαρτημένης· ἐκ γὰρ τοῦ φανεροῦ διακινδυνεύοντες οὐκ ἐνόμιζον εἶναι τοῖς Ἰωνάθου ἀξιόμαχοι. Φυγὴν οὖν ἐβουλεύσαντο καὶ πυρὰ καύσαντες πολλὰ, ὡς ἂν ὁρῶντες οἱ πολέμιοι μένειν αὐτοὺς ὑπολαμβάνωσιν, ἀνεχώρησαν. Ὁ δὲ Ἰωνάθης ἕωθεν προσμίξας αὐτῶν τῷ στρατοπέδῳ καὶ καταλαβὼν ἔρημον αὐτὸ, συνεὶς ὅτι πεφεύγασιν, ἐδίωκεν, οὐ μέντοι φθάνει καταλαβεῖν· ἤδη γὰρ τὸν Ἐλεύθερον διαβεβηκότες ποταμὸν ἦσαν ἐν ἀσφαλεῖ. Ποιησάμενος οὖν ἐκεῖθεν τὴν ὑποστροφὴν πρὸς Ἀραβίαν, καὶ πολεμήσας τοὺς Ναβαταίους καὶ πολλὴν αὐτῶν λείαν ἀπελάσας καὶ λαβὼν αἰχμαλώτους, ἐλθὼν εἰς Δαμασκὸν, ἐκεῖ πάντα ἀπέδοτο. Ὑπὸ δὲ τὸν αὐτὸν καιρὸν καὶ Σίμων ὁ ἀδελφὸς αὐτοῦ τὴν Ἰουδαίαν ἅπασαν ἐπελθὼν καὶ τὴν Παλαιστίνην ἕως Ἀσκάλωνος,

monii quidem tum legatos benigne exceperunt, tum decretum de amicitia et societate factum ad illos miserunt.

9. Sub hoc autem tempus tres erant Judæorum sectæ, quæ de rebus humanis diverse sentiebant, quarum una Pharisæorum dicebatur, altera Sadducæorum, tertia vero Essenorum. Et Pharisæi quidem dicunt quædam, non omnia, fati esse opera; esse enim et quædam in nostra potestate, ut fiant aut non fiant. Esseni vero omnia in fati potestate esse affirmant, nec quidquam hominibus præter fati decretum accidere. At Sadducæi fatum omnino tollunt, illud nihil esse existimantes, neque ista quæ hominibus eveniunt ei accepta deberi, sed omnia nostro arbitrio subjiciunt, adeo ut tum bonorum nobis ipsi auctores simus, tum mala nobismet per stultitiam nostram accersamus. Verum ista plenius et accuratius indicavi in secundo rerum Judaicarum libro.

10. Ceterum Demetrii duces, cladem acceptam resarcire cupientes, pluribus quam antea copiis coactis, contra Jonatham eas eduxerunt. Ille vero, audito eorum adventu, repente illis obviam processit in regionem Amathitim: cessando enim noluit spatium illis dare irruptionem faciendi in Judæam. Atque ubi ad quinquaginta stadia ab hostibus consedisset, mittit qui castra illorum explorarent et quo modo ea se haberent. Quum autem speculatores ei omnia nunciassent, et aliquos noctu comprehendissent, qui indicabant hostibus in animo esse ipsum aggredi, hoc præcognito securitati suæ prospexit, et procubias extra castra habendo, et faciendo ut milites sui omnes tota nocte in armis vigilarent, imperandoque ut animo essent forti, atque ita mente affecti, ut etiam nocte si opus fuerit pugnaturi, ne illis fraudi sit eorum consilium. Demetrii vero duces, ubi audiverunt Jonatham intellexisse, non amplius animis valebant, sed perturbati sunt, quod in re ipsa deprehensi essent ab hostibus, nullaque ipsis supereset spes alio modo vincendi, postquam insidiæ male adeo ceciderant: nam si aperto Marte certaminis aleam subirent, se Jonathæ nequaquam pares fore credebant. Fugam igitur meditati sunt, et multis ignibus incensis, ut hostes his visis ipsos arbitrarentur manere, discesserunt. Jonathas autem, quum prima luce sese illorum castris admovisset, eaque deserta esse deprehendisset, cognito hostes aufugisse, illos insequebatur: non tamen eos assequutus est; jam enim fluvium Eleutherum transgressi, in tuto erant. Tum converso illinc in Arabiam itinere fusisque Nabatæis, et multa præda abacta captivisque abductis, Damascum profectus, illic omnia vendidit. Sub idem autem tempus Simon ejus frater, Judæa omni peragrata et Palæstina usque ad Ascalonem, castella munivit,

ἠσφαλίσατο τὰ φρούρια, καὶ ποιήσας ταῦτα καὶ τοῖς οἰκοδομήμασι καὶ ταῖς φυλακαῖς ὀχυρὰ ἦλθεν εἰς Ἰόπην, καὶ καταλαβόμενος αὐτὴν εἰσήγαγε μεγάλην φρουράν· ἤκουσε γὰρ τοὺς Ἰοπηνοὺς βουλομένους τοῖς Δημητρίου στρατηγοῖς παραδοῦναι τὴν πόλιν.

ια'. Ταῦτ' οὖν διοικησάμενοι ὅ τε Σίμων καὶ Ἰωνάθης ὑπέστρεψαν εἰς Ἱεροσόλυμα. Συναγαγὼν δὲ τὸν λαὸν ἅπαντ' εἰς τὸ ἱερὸν Ἰωνάθης συνεβουλεύετο τά τε τῶν Ἱεροσολύμων ἐπικατασκευάσασθαι τείχη καὶ τὸ καθηρημένον τοῦ περὶ τὸ ἱερὸν περιβόλου πάλιν ἀναστῆσαι καὶ πύργοις ὑψηλοῖς ἐξοχυρῶσαι τὰ περὶ αὐτό· πρὸς τούτοις δὲ καὶ μέσον τῆς πόλεως ἄλλο τεῖχος ἀνοικοδομησαμένους ἀποφράξαι τοῖς ἐν τῇ ἄκρᾳ φρουροῖς τὴν ἀγοράν, καὶ τῆς εὐπορίας αὐτοὺς τῶν σιτίων τοῦτον ἀποκλεῖσαι τὸν τρόπον· ἔτι γε μὴν καὶ τὰ ἐν τῇ χώρᾳ φρούρια ποιῆσαι πολὺ τῆς ὑπαρχούσης αὐτοῖς ἀσφαλείας ἰσχυρότερα. Τῆς δὲ γνώμης δοκιμασθείσης καὶ τῷ πλήθει καλῶς ἔχειν, αὐτὸς μὲν τὰ κατὰ τὴν πόλιν ᾠκοδόμει, Σίμωνα δὲ τὰ κατὰ τὴν χώραν ἐξέπεμψεν ἀσφαλισόμενον. Ὁ δὲ Δημήτριος διαβὰς εἰς τὴν Μεσοποταμίαν ἦκε, ταύτην βουλόμενος καὶ τὴν Βαβυλῶνα κατασχεῖν καὶ τῶν ἄνω σατραπειῶν ἐγκρατὴς γενόμενος ἐντεῦθεν ποιεῖσθαι τὰς ὅλης τῆς βασιλείας ἀφορμάς. Καὶ γὰρ οἱ ταύτῃ κατοικοῦντες Ἕλληνες καὶ Μακεδόνες συνεχῶς ἐπρεσβεύοντο πρὸς αὐτὸν, εἰ πρὸς αὐτοὺς ἀφίκοιτο, παραδώσειν μὲν αὐτοὺς ὑπισχνούμενοι, συγκαταπολεμήσειν δὲ Ἀρσάκην τὸν Πάρθων βασιλέα. Ταύταις ἐπαρθεὶς ταῖς ἐλπίσιν ὥρμησε πρὸς αὐτοὺς, εἰ καταστρέψαιτο τοὺς Πάρθους καὶ γένοιτο αὐτῷ δύναμις, τὸν Τρύφωνα πολεμῆσαι διεγνωκὼς καὶ τῆς Συρίας ἐκβαλεῖν. Δεξαμένων δ' αὐτὸν προθύμως τῶν ἐν τῇ χώρᾳ, συναγαγὼν δύναμιν ἐπολέμησε πρὸς τὸν Ἀρσάκην, καὶ τὴν στρατιὰν ἅπασαν ἀποβαλὼν, αὐτὸς ζῶν ἑλήφθη, καθὼς καὶ ἐν ἄλλοις δεδηλώκαμεν.

ΚΕΦ. Ϛ'.

Τρύφων δ' ἐπειδὴ τὰ περὶ τὸν Δημήτριον ἔγνω τοιοῦτο λαβόντα τέλος, οὐκέτ' ἦν Ἀντιόχῳ βέβαιος, ἀλλ' ἐπεβούλευεν ὥστ' αὐτὸν ἀποκτείνας τὴν βασιλείαν αὐτὸς κατασχεῖν. Ἐνεπόδιζέ γε μὴν αὐτοῦ τὴν προαίρεσιν ταύτην ὁ παρὰ Ἰωνάθου φόβος, φίλου τυγχάνοντος Ἀντιόχῳ. Καὶ διὰ τοῦτ' ἐκποδὼν ποιήσασθαι τὸν Ἰωνάθην πρῶτον ἔγνω, καὶ τότε τοῖς περὶ τὸν Ἀντίοχον ἐγχειρεῖν. Ἀπάτῃ δ' αὐτὸν καὶ δόλῳ κρίνας ἀνελεῖν, εἰς Βεθσάνην ἐκ τῆς Ἀντιοχείας παραγίνεται, τὴν καλουμένην ὑφ' Ἑλλήνων Σκυθόπολιν· εἰς ἣν μετὰ τεσσάρων αὐτῷ μυριάδων Ἰωνάθης ἀπήντησεν ἐπιλέκτου στρατοῦ· πολεμήσοντα γὰρ αὐτὸν ἥκειν ὑπέλαβεν. Ὁ δ' ἕτοιμον εἰς μάχην γνοὺς τὸν Ἰωνάθην ὑπέρχεται δώροις αὐτὸν καὶ φιλοφρονήσει, καὶ τοῖς ἡγεμόσιν αὐτοῦ πειθαρχεῖν Ἰωνάθῃ προσέταξε, τούτοις πιστώσασθαι βουλόμενος εὔνοιαν καὶ πᾶσαν ὑπόνοιαν ἐξελεῖν, εἰς τὸ καταφρονήσαντα λαβεῖν ἀφύλακτον οὐ-

quumque ea et ædificiis et custodiis firmasset, Jopen se contulit, eaque occupata validum ei præsidium imposuit: audiverat enim Jopenses velle Demetrii militibus urbem tradere.

11. Itaque quum has res ordinassent Jonathas et Simon, Hierosolyma reversi sunt. Jonathas autem, populo universo in templum convocato, cum eis statuit Hierosolymorum mœnia instaurare, et templi septum, quod dirutum erat, reficere, locaque circumcirca turribus præaltis munire; ad hæc, muro etiam per mediam urbem ducto, præsidiarios in arce foro excludere, eosque hoc modo commeatuum copia prohibere: ac præterea castella per regionem, multo quam ante validiora, facere. Quum autem hæc sententia etiam populo visa fuisset se recte habere, ille quidem urbem mœnibus et ædificiis excolebat, Simonem vero in regionem dimisit, ut eam operibus firmaret. Ceterum Demetrius flumine trajecto Mesopotamiam pervenit, eo animo ut hanc simul et Babylonem occuparet, utque potitus superioribus satrapiis inde occasionem arriperet totum imperium occupandi. Namque Græci et Macedones, qui illic habitabant, crebras ad eum legationes mittebant, promittentes, si ad ipsos veniret, sese deditionem facturos, simulque cum eo bellum suscepturos contra Arsacen Parthorum regem. Hac spe elatus ad eos contendit eo consilio ut, si Parthos debellasset viresque ipsi suppeterent, Tryphonem bello adoriretur, Syriaque ejiceret. Quum autem eum alacriter admodum excepissent istius regionis homines, copiasque coegisset, bellum intulit Arsaci, totoque exercitu amisso, ipse vivus captus est, sicut alibi jam retulimus.

CAP. VI. (X.)

Tryphon autem, postquam res Demetrii hujusmodi exitum habuisse cognoverat, non amplius Antiocho fidus erat, sed cogitabat quonam pacto, eo sublato, regnum ipse posset occupare. Verum huic ejus consilio obstabat metus ipsi incussus ab Jonatha, Antiochi amico. Itaque decrevit prius illum e medio tollere, atque ita demum Antiochum aggredi. Quum autem statuisset eum fraude et dolo interficere, Antiochia Bethsanam proficiscitur, quæ Græcis dicitur Scythopolis: ubi ei occurrit Jonathas cum quadraginta delectorum millibus; eum enim ad bellum gerendum venisse suspicabatur. Ille vero, cognito Jonatham ad dimicandum paratum esse, ipsum muneribus et blanditiis subdole aggreditur, suisque ducibus, ut ei obedirent, imperavit: hisce volens fidem benevolentiæ adstruere, omnemque suspicionem eximere, ut curis et custodibus solutum,

δὲν προορώμενον· τήν τε στρατιὰν συνεβούλευσεν ἀπολῦσαι· καὶ γὰρ νῦν οὐ δεόντως αὐτὴν ἐπάγεσθαι, πολέμου μὲν οὐκ ὄντος, εἰρήνης δ' ἐχούσης τὰ πράγματα· κατασχόντα μέντοι γε περὶ αὐτὸν ὀλίγους εἰς Πτολεμαΐδα συνελθεῖν παρεκάλει· παραδώσειν γὰρ αὐτῷ τὴν πόλιν, τά τε ἄλλα πάνθ' ὅσα κατὰ τὴν χώραν εἰσὶν ὀχυρώματα ποιήσειν ὑπ' αὐτῷ· καὶ γὰρ τούτων ἕνεκα παρεῖναι.

β. Ὁ μὲν οὖν Ἰωνάθης οὐδὲν τούτων ὑπονοήσας, ἀλλ' ὑπ' εὐνοίας καὶ γνώμῃ ἀληθεῖ τὸν Τρύφωνα συμβουλεῦσαι ταῦτα πιστεύσας, τὴν μὲν στρατιὰν ἀπέλυσε, τρισχιλίους δὲ κατασχὼν μόνους τοὺς μὲν δισχιλίους ἐν τῇ Γαλιλαίᾳ κατέλιπεν, αὐτὸς δὲ μετὰ τῶν χιλίων ἦκεν εἰς Πτολεμαΐδα σὺν Τρύφωνι. Τῶν δ' ἐν τῇ Πτολεμαΐδι κλεισάντων τὰς πύλας, (τοῦτο γὰρ ἦν χιλίους ὑπὸ τοῦ Τρύφωνος προστεταγμένον,) τὸν μὲν Ἰωνάθην ἐζώγρησε, τοὺς δὲ σὺν αὐτῷ πάντας ἀπέκτεινεν. Ἔπεμψε δὲ καὶ ἐπὶ τοὺς ἐν τῇ Γαλιλαίᾳ καταλειφθέντας δισχιλίους, ὅπως ἂν καὶ τούτους ἀπολέσωσιν. Ἀλλ' αὐτοὶ μὲν ὑπὸ φήμης τῶν περὶ τὸν Ἰωνάθην συμβεβηκότων ἔφθασαν, πρὶν ἢ τοὺς ὑπὸ τοῦ Τρύφωνος ἀπεσταλμένους ἀφικέσθαι, φραξάμενοι τοῖς ὅπλοις ἐκ τῆς χώρας ἀπελθεῖν· οἱ δ' ἐπ' αὐτοὺς πεμφθέντες ἰδόντες ἑτοίμους ὑπὲρ τῶν ψυχῶν ἀγωνίζεσθαι, μηδὲν αὐτοῖς ἐνοχλήσαντες πρὸς τὸν Τρύφωνα ὑπέστρεψαν.

(ΙΑ'.) γ'. Οἱ δ' ἐν τοῖς Ἱεροσολύμοις ἀκούσαντες τὴν Ἰωνάθου σύλληψιν καὶ τὴν τῶν σὺν αὐτῷ στρατιωτῶν ἀπώλειαν, αὐτόν τε ἐκεῖνον ἐπὶ τοῖς συμβεβηκόσιν ὠλοφύροντο καὶ δεινὴ τἀνδρὸς ἐπιζήτησις παρὰ πᾶσιν ἦν, δέος τε μέγα καὶ κατὰ λόγον αὐτοῖς ἐμπεσὸν ἐλύπει, μὴ τῆς Ἰωνάθου ἀνδρείας ἅμα καὶ προνοίας ἀφῃρημένων τὰ πέριξ ἔθνη χαλεπῶς ἔχοντα πρὸς αὐτοὺς καὶ διὰ Ἰωνάθην ἠρεμοῦντα νῦν αὐτοῖς ἐπισυστῇ, καὶ πολεμοῦντες εἰς τοὺς περὶ τῶν ἐσχάτων κινδύνους ἀναγκάζωνται καθίστασθαι. Καὶ δὴ τοῦτ' αὐτοῖς ὡς ὑπενόουν συνέπεσε. Τὸν γὰρ Ἰωνάθου ἀκούσαντες θάνατον οἱ ἐκ τῶν ἐθνῶν πολεμεῖν ἤρξαντο τοὺς Ἰουδαίους ὡς ἀπορουῦντας ἡγεμόνος· αὐτὸς δὲ ὁ Τρύφων δύναμιν συναγαγὼν γνώμην εἶχεν ἀναβὰς εἰς τὴν Ἰουδαίαν πολεμεῖν τοὺς ἐν αὐτῇ. Σίμων δὲ ὁρῶν πρὸς ταῦτα τοὺς Ἱεροσολυμίτας καταπεπληγότας, βουλόμενος αὐτοὺς εἰς τὸ ὑποστῆναι προθύμως ἐπιόντα τὸν Τρύφωνα θαρραλεωτέρους ποιῆσαι τῷ λόγῳ, συγκαλέσας τὸν δῆμον εἰς τὸ ἱερὸν, ἐντεῦθεν αὐτοὺς παρακαλεῖν ἤρξατο. « Τὸ μὲν ὑπὲρ τῆς ὑμετέρας ἐλευθερίας, « ἄνδρες δημόφυλοι, μετὰ τοῦ πατρὸς ἐγώ τε καὶ οἱ « ἀδελφοί μου ὡς ἑτολμήσαμεν ἀσμένως ἀποθανεῖν « οὐκέτ' ἀγνοεῖτε. Παραδειγμάτων δὲ τοιούτων εὐπορουντός μου, κἀκ τοῦ θνήσκειν ὑπὲρ τῶν νόμων καὶ « τῆς θρησκείας τοὺς ἐκ τῆς ἡμετέρας οἰκίας γενομέ« νους δεδογμένου φόβος οὐδεὶς ἔσται τηλικοῦτος, ὃς « ταύτην ἡμῶν τὴν διάνοιαν ἐκβάλῃ τῆς ψυχῆς, ἀντεισ« άξῃ δ' εἰς αὐτὴν φιλοζωΐαν καὶ δόξης καταφρόνησιν.

sibi non consulentem, caperet; suasitque ut exercitum dimitteret; eum enim jam sine necessitate adduci, cessante bello et pacatis rebus omnibus: paucis tamen circa se retentis, rogabat ut ipsum usque Ptolemaidem comitaretur: se enim urbem aliaque omnia in ea regione loca munita ei subjecturum; quippe qui harum rerum causa affuerit.

2. Et Jonathas quidem, nihil horum suspicatus, confisusque Tryphoni, ut qui ex benevolentia veraque animi sententia ista suaderet, exercitum dimisit; tribus autem duntaxat millibus retentis, duo eorum millia in Galilæa reliquit, mille vero secum ducens Ptolemaidem cum Tryphone se contulit. Portis autem a Ptolemaidensibus clausis, (nam hoc illis imperaverat Tryphon,) Jonatham quidem vivum comprehendit, ejus vero milites omnes ferro trucidavit. Misit etiam ad relictos in Galilæa bis mille, ut hos quoque perimerent. Sed illi, iis quæ Jonathæ acciderant exauditis, priusquam advenerant quos miserat Tryphon, armis tecti e regione excesserunt; qui vero ad eos persequendos missi erant, ubi viderunt paratos esse ad certamen de vita, nihil eos vi interpellarunt, atque ita ad Tryphonem reversi sunt.

(XI.) 3. Hierosolymitani autem, quum fama accepissent Jonatham captum esse et qui cum eo erant interiisse milites, et illum ipsum ob ea quæ evenerant deplorabant, et omnes eum magnopere requirebant, atque timor magnus justusque eis incussus animos valde sollicitabat, ne, quum Jonathæ virtute simul et cura et moderatione destituti essent, gentes finitimæ ipsis infestæ, Jonathæque metu quiescentes, nunc in ipsos insurgerent, belloque illato extrema discrimina adire cogerent: id quod eis, non aliter quam exspectabant, contigit. Nam gentes, audita Jonathæ morte, bello adoriri cœperunt Judæos, utpote duce carentes; ipse etiam Tryphon, exercitu coacto, in animo habebat, ubi in Judæam ascenderit, bellum gerere adversus eos qui in ea erant. Simon autem, quum videret Hierosolymitanos ex istis in terrore esse atque metu, volens eos oratione audaciores reddere ad Tryphonis impressionem alacriter sustinendam, populi concione in templum vocata, hujusmodi verbis eos consolari cœpit. « Equidem jam non est ut igno« retis, viri populares, ut cum patre meo et ego et fratres « mei pro libertate vestra ausi fuerimus mortis periculum « libenter adire. Ac hujusmodi exemplorum quum abunde « habeam, etiam ex eo quod decretum sit nostræ familiæ « mortem obire pro lege et religione, nullus tantus erit me« tus, qui hanc nostram sententiam ex anima mea ejiciet, « ejusque in locum inducet vitæ amorem et gloriæ contem-

« Ὅθεν ὡς οὐκ ἀποροῦντες ἡγεμόνος οἷόν τε καὶ πάσχειν « ὑπὲρ ὑμῶν τὰ μέγιστα καὶ ὁρᾶν, ἕπεσθέ μοι προθύ- « μως ἐφ' οὓς ἂν ἡγῶμαι· οὔτε γὰρ κρείττων ἐγὼ τῶν « ἐμῶν ἀδελφῶν, ἵνα φείσωμαι τῆς ἐμαυτοῦ ψυχῆς, « οὔτε χείρων, ἵνα ὃ κάλλιστον ἐκείνοις ἔδοξε, τὸ τε- « λευτᾶν ὑπὲρ τῶν νόμων καὶ τῆς τοῦ Θεοῦ θρησκείας « ὑμῶν, τοῦτ' ἐγὼ φύγω καὶ καταλίπω. Οἷς δέ με δεῖ « γνήσιον ἀδελφὸν ἐκείνων φανῆναι, τούτοις ἐμαυτὸν « δείξω. Θαρρῶ γὰρ ὡς καὶ δίκην ληψόμενος παρὰ « τῶν πολεμίων καὶ πάντας ὑμᾶς μετὰ γυναικῶν καὶ « τέκνων τῆς ἐξ αὐτῶν ὕβρεως ῥυσόμενος καὶ τὸ ἱερὸν « ἀπόρθητον μετὰ τοῦ Θεοῦ διαφυλάξων· τὰ γὰρ « ἔθνη βλέπω καταφρονήσαντα ὑμῶν ὡς οὐκ ἐχόντων « ἡγεμόνα πρὸς τὸ πολεμεῖν ὡρμηκέναι. »

γ'. Τούτους ποιησαμένου τοῦ Σίμωνος τοὺς λόγους ἀνεθάρρησε τὸ πλῆθος καὶ ταῖς ψυχαῖς ἐνδεδωκὸς ὑπὸ δειλίας ἀνηγέρθη πρὸς τὰ ἀμείνω καὶ ἀγαθὰς ἐλπίδας, ὡς ἁθρόως πάντα τὸν λαὸν ἐκβοῆσαι τὸν Σίμωνα αὐτῶν ἡγεῖσθαι, καὶ ἀντὶ τοῦ Ἰούδα καὶ Ἰωνάθου τῶν ἀδελφῶν αὐτὸν τὴν προστασίαν ἔχειν· ἕσεσθαι γὰρ πρὸς ὅ τι κελεύσειε πειθηνίους. Συναθροίσας δὲ πᾶν εὐθὺς ὅσον ἦν τὸ πολεμικὸν τῆς οἰκείας ἰσχύος, ἔσπευδε τὰ τείχη τῆς πόλεως ἀνοικοδομῆσαι. Καὶ πύργοις αὐτὴν ὑψηλοῖς τε καὶ καρτεροῖς ἀσφαλισάμενος ἀπέστειλε μὲν Ἰωνάθην τινὰ φίλον Ἀψαλώμου παῖδα μετὰ στρατιᾶς εἰς Ἰόπην, προστάξας αὐτῷ τοὺς οἰκήτορας ἐκβαλεῖν, ἐδεδίει γὰρ μὴ παραδῶσιν οὗτοι τὴν πόλιν τῷ Τρύφωνι· αὐτὸς δ' ὑπομείνας ἐφύλαττε τὰ Ἱεροσόλυμα.

δ'. Ὁ δὲ Τρύφων, ἄρας ἐκ Πτολεμαΐδος μετὰ στρατιᾶς πολλῆς, εἰς τὴν Ἰουδαίαν παραγίνεται τὸν Ἰωνάθην δέσμιον ἄγων. Ἀπήντησε δ' αὐτῷ καὶ Σίμων μετὰ τῆς αὐτοῦ δυνάμεως εἰς Ἄδδιδα πόλιν, ἥτις ἐπ' ὄρους κειμένη τυγχάνει, ὑφ' ἧς ὑπόκειται τὰ τῆς Ἰουδαίας πεδία. Γνοὺς δὲ ὁ Τρύφων ἡγεμόνα τὸν Σίμωνα ὑπὸ τῶν Ἰουδαίων καθεστῶτα, ἔπεμψε πρὸς αὐτὸν, καὶ τοῦτον ἀπάτῃ καὶ δόλῳ περιελθεῖν βουλόμενος, κελεύων αὐτὸν, εἰ θέλει λυθῆναι τὸν ἀδελφὸν Ἰωνάθην, πέμψαι τάλαντα ἑκατὸν ἀργυρίου καὶ δύο τῶν παίδων τοῦ Ἰωνάθου ὁμήρους, ὅπως μὴ ἀρεθεὶς ἀποστήσῃ τὴν Ἰουδαίαν τοῦ βασιλέως· ἄρτι γὰρ αὐτὸν διὰ τὸ ἀργύριον, ὃ τῷ βασιλεῖ χρησάμενος ὤφειλε, φυλάττεσθαι δεδεμένον. Ὁ δὲ Σίμων τὴν τέχνην τὴν τοῦ Τρύφωνος οὐκ ἠγνόησεν, ἀλλὰ συνεὶς ὅτι καὶ τὸ ἀργύριον ἀποστήσει δοὺς καὶ τὸν ἀδελφὸν οὐ λύσει, μετ' αὐτοῦ δὲ καὶ τοὺς παῖδας ἐκδώσει τῷ πολεμίῳ, φοβούμενος δὲ μὴ διαβληθῇ πρὸς τὸ πλῆθος ὡς αἴτιος αὐτὸς τάδελφῷ θανάτου γενόμενος, ὅτι μηδὲ τὰ χρήματα μηδὲ τοὺς υἱοὺς ἔδωκεν ὑπὲρ αὐτοῦ, συναγαγὼν τὴν στρατιὰν ἐδήλωσεν αὐτῇ τὰ παρὰ τοῦ Τρύφωνος, εἰπὼν ὅτι ταῦτα καὶ ἐνέδραν καὶ ἐπιβουλὴν ἔχει, ὅμως αἱρετώτερον εἶναι πέμψαι τὰ χρήματα αὐτῷ καὶ τοὺς υἱοὺς ἢ τοῖς ὑπὸ Τρύφωνος προβαλλομένοις μὴ ὑπακούσαντα λαβεῖν αἰτίαν ὡς τὸν ἀδελφὸν σῶσαι μὴ θελήσας. Καὶ Σίμων

« ptum. Quapropter, tanquam ductore non egentes, qui « vel maxima pro vobis pati atque facere paratus sit, se- « quimini me alacriter quocunque vos duxero : neque enim « meis sum fratribus præstantior ut vitæ meæ parcam, ne- « que deterior quam illi, ut quod iis pulcerrimum visum « est, mori pro legibus cultuque Dei vestro, hoc ipse fugiam « et relinquam. Quibus autem me oportet me ipsum ger- « manum illorum fratrem præstare, istis memet ejusmodi « esse ostendam. Persuasum enim habeo me pœnas ab « hostibus repetiturum esse, vosque omnes cum uxoribus « et liberis ab illorum injuriis erepturum, atque templum « Dei auspiciis ab omni vastatione sartum tectum conserva- « turum : nam gentes video, contemptu vestrûm, utpote « ducem non habentium, bellandi impetum cepisse. »

3. Quum in hæc verba Simon dixisset, populus confirmatus est, et quum metu exanimatus esset et dejectus, jam melius se habuit, ad bene sperandum excitatus, ita ut universi confertim exclamarent Simonem sibi ducem esse, ipsumque pro Juda et Jonatha fratribus suis principatum habere : se enim ei in omnibus quæ imperaverit dicto audientes fore. Itaque coactis mox omnibus quotquot ex suis ad militiam essent idonei, festinavit urbis mœnia denuo ædificare. Et quum turribus eam celsis validisque firmasset, Jonatham quendam, unum ex amicis, Absalomi filium, cum exercitu Jopen misit, eique in mandatis dedit ut incolas ejiceret, (metuebat enim ne isti urbem Tryphoni traderent;) ipse vero Hierosolymis mansit ad urbis custodiam.

4. Tryphon autem, Ptolemaide profectus magno cum exercitu, in Judæam se confert, Jonatham vinctum secum ducens. At Simon quoque ei obviam venit cum suis copiis ad urbem Addida, in monte positam, cui subjecta erant Judææ campestria. Quod ubi Tryphon intellexit, Simonem a Judæis ducem constitutum esse, misit ad eum *nuncios*, eo animo ut ipsum etiam fraude doloque circumveniret, eique mandat, si fratrem Jonatham dimitti vellet, ut mitteret argenti talenta centum et duos de Jonathæ filiis obsides, ne dimissus Judæam in defectionem a rege trahat : jam enim ipsum in vinculis retineri propter pecuniam, quam regi acceptam deberet. At Simon Tryphonis astutias non ignoravit, sed cognito quod et pecuniam perditurus esset, nec fratrem liberaturus, quin et filios ejus insuper hosti deditturus esset, tamen veritus ne a populo traduceretur, ut qui fratri causa fuisset interitus, quod nec pecuniam nec filios pro fratre dare vellet, advocato in concionem exercitu, ad eos retulit quæ a Tryphone acceperat, addito insidias fraudemque sub illis latere, optabilius tamen esse et pecuniam et filios ad eum mittere quam propositis a Tryphone non auscultando dare suspicioni locum, se fratrem servare noluisse. Atque ita Simon

μὲν τούς τε Ἰωνάθου παῖδας ἐξέπεμψε καὶ τὰ χρήματα. Λαβὼν δὲ ὁ Τρύφων οὐκ ἐτήρησε τὴν πίστιν οὐδὲ ἀπέλυσεν Ἰωνάθην, ἀλλὰ τὴν στρατιὰν ἀναλαβὼν ἐκπεριῆλθε τὴν χώραν, καὶ διὰ τῆς Ἰδουμαίας ἀναβαίνειν διεγνώκει τὸ λοιπὸν εἰς Ἱεροσόλυμα, καὶ παραγενόμενος ἦκεν εἰς Ἄδωρα πόλιν τῆς Ἰδουμαίας. Ἀντιπαρῆγε δ' ὁ Σίμων μετὰ τῆς στρατιᾶς, ἀεὶ καταστρατοπεδευόμενος ἐξ ἐναντίας αὐτοῦ.

ε'. Τῶν δ' ἐν τῇ ἄκρᾳ πεμψάντων πρὸς Τρύφωνα καὶ παρακαλούντων σπεῦσαι πρὸς αὐτοὺς καὶ τροφὰς αὐτοῖς πέμψαι, παρεσκεύασε τὴν ἵππον, ὡς διὰ τῆς νυκτὸς ἐκείνης ἐν Ἱεροσολύμοις ἐσόμενος. Ἀλλὰ χιὼν διὰ τῆς νυκτὸς πολλὴ πεσοῦσα καὶ τάς τε ὁδοὺς καλύψασα καὶ ἄπορον ἵπποις μάλιστα ὁδεύειν ὑπὸ βάθους τὴν πορείαν παρασχοῦσα διεκώλυσεν αὐτὸν ἐλθεῖν εἰς Ἱεροσόλυμα. Διόπερ ἐκεῖθεν ἄρας ὁ Τρύφων εἰς τὴν Κοίλην ἀφικνεῖται Συρίαν, σπουδῇ τε εἰς τὴν Γαλααδῖτιν ἐμβαλὼν, τόν τε Ἰωνάθην ἀποκτείνας αὐτόθι καὶ ταφῆναι κελεύσας, αὐτὸς εἰς τὴν Ἀντιόχειαν ὑπέστρεψεν. Ὁ δὲ Σίμων πέμψας εἰς Βασκὰ πόλιν μετακομίζει τὰ τοῦ ἀδελφοῦ ὀστᾶ. Καὶ κηδεύει μὲν ταῦτα ἐν Μωδιεὶμ τῇ πατρίδι, πένθος δ' ἐπ' αὐτῷ μέγα πᾶς ὁ λαὸς ἐποιήσατο. Σίμων δὲ καὶ μνημεῖον μέγιστον ᾠκοδόμησε τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς αὐτοῦ ἐκ λίθου λευκοῦ καὶ ἀνεξεσμένου. Εἰς πολὺ δ' αὐτὸ καὶ περίοπτον ἀναγαγὼν ὕψος στοὰς περὶ αὐτὸ βάλλεται καὶ στύλους μονολίθους, θαυμαστὸν ἰδεῖν χρῆμα, ἀνίστησι· πρὸς τούτοις δὲ καὶ πυραμίδας ἑπτὰ, τοῖς τε γονεῦσι καὶ τοῖς ἀδελφοῖς ἑκάστῳ μίαν, ᾠκοδόμησεν, εἰς ἔκπληξιν μεγέθους τε ἕνεκα καὶ κάλλους πεποιημένας, αἳ καὶ μέχρι δεῦρο σώζονται. Καὶ περὶ μὲν τῆς Ἰωνάθου ταφῆς καὶ τῆς τῶν μνημείων οἰκοδομίας τοῖς οἰκείοις Σίμωνος τοσαύτην σπουδὴν οἴδαμεν γενομένην. Ἀπέθανε δὲ Ἰωνάθης ἀρχιερατεύσας ἔτη τέσσαρα, προστὰς τοῦ γένους. Καὶ τὰ μὲν περὶ τῆς τούτου τελευτῆς ἐν τούτοις ἦν.

ς'. Σίμων δὲ, κατασταθεὶς ἀρχιερεὺς ὑπὸ τοῦ πλήθους, τῷ πρώτῳ τῆς ἀρχιερωσύνης ἔτει τῆς ὑπὸ Μακεδόσι δουλείας τὸν λαὸν ἠλευθέρωσεν, ὡς μηκέτι φόρους αὐτοῖς τελεῖν. Ἡ δὲ ἐλευθερία καὶ τὸ ἀνείσφορον Ἰουδαίοις μετὰ ἑβδομήκοντα καὶ ἑκατὸν ἔτη τῆς Ἀσσυρίων βασιλείας, ἐξ οὗ χρόνου Σέλευκος ὁ Νικάτωρ ἐπικληθεὶς κατέσχε Συρίαν, ὑπῆρξε. Τοσαύτη δ' ἦν ἡ τοῦ πλήθους περὶ τὸν Σίμωνα φιλοτιμία, ὥστ' ἐν τοῖς πρὸς ἀλλήλους συμβολαίοις καὶ τοῖς δημοσίοις γράμμασιν ἐπὶ τοῦ πρώτου ἔτους γράφειν Σίμωνος τοῦ εὐεργέτου Ἰουδαίων καὶ ἐθνάρχου· ηὐτύχησαν γὰρ ἐπ' αὐτοῦ σφόδρα καὶ τῶν ἐχθρῶν τῶν περιοίκων ἐκράτησαν. Κατεστρέψατο γὰρ Σίμων Γάζαρά τε πόλιν καὶ Ἰόππην καὶ Ἰάμνειαν· ἐκπολιορκήσας δὲ καὶ τὴν ἐν τοῖς Ἱεροσολύμοις ἄκραν, εἰς ἔδαφος αὐτὴν καθεῖλεν, ὡς ἂν μὴ τοῖς ἐχθροῖς ὁρμητήριον ᾖ καταλαμβανομένοις αὐτὴν τοῦ κακῶς ποιεῖν ὡς καὶ τότε. Καὶ τοῦτο ποιήσας, ἄριστον ἐδόκει καὶ συμφέρον εἶναι καὶ

et Jonathæ filios misit et pecuniam. Illis vero acceptis fidem non servavit Tryphon, neque Jonathan dimisit, sed cum exercitu regionem circumivit, et Idumæa peragrata, deinde Hierosolyma ascendere statuit, factoque itinere veniebat Adora usque Idumææ urbem. Cui Simon cum suis copiis contra venire, castris ex adverso castrorum illius semper positis.

5. Interea qui erant in arce quum missis ad Tryphonem legatis hortarentur ut cito ad se veniret sibique commeatum mitteret, equitatum paravit, quasi ea nocte futurus Hierosolymis. Sed multa nix, noctu delapsa et viis obducta, difficilemque equis qua irent ob profunditatem nivis transitum reddens, illi obstitit quominus Hierosolyma proficisceretur. Itaque Tryphon inde digressus in Cœlen-Syriam abiit, festinanterque in Galaaditin facto impetu, et Jonatha illic interfecto et sepeliri jusso, ipse Antiochiam reversus est. Simon autem, missis quibusdam ad Basca urbem, ossa fratris transfert. Atque is quidem eis justa solvit in patria Modiim, magno vero luctu a populo universo deploratus est. Præterea Simon patri et fratribus suis monumentum amplissimum exstruxit ex lapide candido et polito. Quum autem illud in magnam et conspicuam altitudinem extulisset, porticus ei circumdedit, et columnas uno ex lapide singulas, opus visu mirandum, erigit; ad hæc etiam pyramidas septem, parentibus et fratribus, cuique unam, ædificavit, tam ob pulcritudinem quam magnitudinem admirabiliter factas, quæ ad hanc usque diem servantur. Et Jonathæ quidem sepulturæ structuræque monumentorum pro Simonis domesticis hujusmodi studium adhibitum fuisse novimus. Diem autem supremum obiit Jonathas, quum annos quattuor in pontificatu egisset et genti præfuisset. Atque ita quidem se habent quæ ad hujus interitum spectant.

6. Simon autem, pontifex constitutus a multitudine, primo sui pontificatus anno populum e servitute Macedonum liberavit, ut non amplius tributa eis penderent. Hanc autem libertatem et immunitatem a tributis nacti sunt post annum septuagesimum et centesimum regni Assyriorum, ex quo Syria potitus est Seleucus cognomine Nicator. Tanta autem ambitione tenebatur populus Simonem honorandi, ut tam in contractibus inter se quam in publicis tabulis scriberent « primo anno Simonis benefactoris Judæorum et ethnarchæ. » Sub eo enim magna usi sunt felicitate, hostesque finitimos debellarunt. Nam Gazara urbem et Jopen et Jamniam in suam potestatem redegit Simon : expugnataque Hierosolymorum arce, solo eam æquavit, ne esset hostibus receptaculum, qua occupata plurimum eis nocerent, ut tunc. Quo facto optimum ipsi visum est ut etiam montem deprimerent, cui arcem impositam esse

τὸ ὄρος, ἐφ' ᾧ τὴν ἄκραν εἶναι συνέβαινε, καθελεῖν, ὅπως ὑψηλότερον ᾖ τὸ ἱερόν. Καὶ δὴ τοῦτο ἔπειθεν εἰς ἐκκλησίαν καλέσας τὸ πλῆθος ὑπ' αὐτοῦ γίνεσθαι, ὧν τε ἔπαθον ὑπὸ τῶν φρουρῶν καὶ τῶν φυγάδων Ἰουδαίων ὑπομιμνήσκων, ἃ τε πάθοιεν ἂν, εἰ πάλιν κατάσχοι τὴν βασιλείαν ἀλλόφυλος, φρουρᾶς ἐν αὐτῇ κατασταθείσης. Ταῦτα λέγων πείθει τὸ πλῆθος παραινῶν αὐτῷ τὰ συμφέροντα. Καὶ πάντες προσβαλόντες καθῄρουν τὸ ὄρος, καὶ μήτε ἡμέρας μήτε νυκτὸς ἀπολυόμενοι τοῦ ἔργου τρισὶν αὐτὸ τοῖς πᾶσιν ἔτεσι κατήγαγον εἰς ἔδαφος καὶ πεδινὴν λειότητα, καὶ τὸ λοιπὸν ἐξεῖχεν ἁπάντων τὸ ἱερὸν, τῆς ἄκρας καὶ τοῦ ὄρους, ἐφ' ᾧ ἦν, ἀνηρημένων. Καὶ τὰ μὲν ἐπὶ Σίμωνος πραχθέντα τοῦτον εἶχε τὸν τρόπον.

ΚΕΦ. Ζ'.

Μετ' οὐ πολὺ δὲ τῆς αἰχμαλωσίας τοῦ Δημητρίου τὸν Ἀλεξάνδρου υἱὸν Ἀντίοχον, ὃς καὶ θεὸς ἐπεκλήθη, Τρύφων διέφθειρεν ἐπιτροπεύων αὐτοῦ, τέσσαρα βασιλεύσαντος ἔτη. Καὶ τὸν μὲν ὡς χειριζόμενος ἀποθάνοι διήγγειλε, τοὺς δὲ φίλους καὶ τοὺς οἰκειοτάτους διέπεμπε πρὸς τοὺς στρατιώτας, ἐπαγγελλόμενος αὐτοῖς χρήματα πολλὰ δώσειν εἰς βασιλέα χειροτονήσουσιν αὐτὸν, Δημήτριον μὲν ὑπὸ Πάρθων αἰχμάλωτον γεγονέναι μηνύων, τὸν δ' ἀδελφὸν αὐτοῦ Ἀντίοχον, παρελθόντα εἰς τὴν ἀρχὴν, πολλὰ ποιήσειν αὐτοῖς κακὰ, τῆς ἀποστασίας ἀμυνόμενον. Οἱ δὲ ἐλπίσαντες εὐπορίαν ἐκ τῆς Τρύφωνι δοθησομένης βασιλείας ἀποδεικνύουσιν αὐτὸν ἄρχοντα. Γενόμενος δὲ τῶν πραγμάτων ἐγκρατὴς ὁ Τρύφων διέδειξε τὴν αὑτοῦ φύσιν οὖσαν πονηράν. Ἰδιώτης μὲν γὰρ ὢν ἐθεράπευε τὸ πλῆθος καὶ μετριότητα ὑπεκρίνετο, δελεάζων αὐτὸ τούτοις εἰς ἅπερ ἐβούλετο, τὴν δὲ βασιλείαν λαβὼν ἀπεδύσατο τὴν ὑπόκρισιν καὶ ὁ ἀληθὴς Τρύφων ἦν. Τοὺς οὖν ἐχθροὺς διὰ ταῦτα ἐποιεῖτο κρείττονας. Τὸ μὲν γὰρ στρατιωτικὸν αὐτὸν μισοῦν ἀφίστατο πρὸς Κλεοπάτραν τὴν Δημητρίου γυναῖκα, τότε ἐν Σελευκείᾳ μετὰ τῶν τέκνων ἐγκεκλεισμένην. Ἀλωμένου δὲ καὶ Ἀντιόχου τοῦ Δημητρίου ἀδελφοῦ, ὃς ἐπεκαλεῖτο Σωτὴρ, καὶ μηδεμίας αὐτὸν πόλεως δεχομένης διὰ Τρύφωνα, πέμπει πρὸς αὐτὸν Κλεοπάτρα, καλοῦσα πρὸς αὐτὴν ἐπί τε γάμῳ καὶ βασιλείᾳ· ἐκάλει δὲ τὸν Ἀντίοχον ἐπὶ τούτοις, ἅμα μὲν τῶν φίλων αὐτὴν ἀναπεισάντων, ἅμα δὲ καὶ τὴν πόλιν ἐκδιδόντων τινῶν ἐκ τῆς Σελευκείας τῷ Τρύφωνι, δείσασα.

β'. Γενόμενος δὲ ἐν τῇ Σελευκείᾳ ὁ Ἀντίοχος, καὶ τῆς ἰσχύος αὐτῷ κατὰ πᾶσαν ἡμέραν αὐξομένης, ὥρμησε πολεμήσων τὸν Τρύφωνα, καὶ κρατήσας αὐτοῦ τῇ μάχῃ, τῆς ἄνω Συρίας ἐξέβαλεν εἰς τὴν Φοινίκην, διώξας ἄχρι ταύτης, εἵς τε Δῶραν φρούριόν τι δυσάλωτον ἐπολιόρκει συμφυγόντα. Πέμπει δὲ καὶ πρὸς Σίμωνα τὸν τῶν Ἰουδαίων ἀρχιερέα περὶ φιλίας καὶ συμμαχίας πρέσβεις. Ὁ δὲ προσδέχεται προθύμως

contigit, ita ut templum emineret. Ad quod populum in concionem advocatum hortabatur, ut sibi facere liceret, malis commemoratis quæ a præsidiariis et ab Judæis perfugis passi sint, porroque passuri essent, si regnum iterum occuparet alienigena, arcemque præsidio teneret. His dictis populo persuasit ut qui ad utilia illos hortaretur. Atque cunctorum manibus admotis montem sustulerunt, tribusque in universum annis neque die neque nocte ab opere cessando, ad fundum diruerunt et in campi planitiem, adeo ut in posterum omnia superemineret templum, arce et monte in quo posita erat in nihilum redactis. Et quæ a Simone quidem gesta sunt in hunc modum se habuerunt.

CAP. VII. (XII.)

Non multo autem postquam Demetrius captus est, Alexandri filium Antiochum, qui deus cognominabatur, perenit Tryphon, tutor ejus, quarto ejus imperii anno. Et eum quidem inter curandum vita excessisse sermonibus divulgabat, amicos vero suos et necessarios passim ad milites mittebat, promissa faciens se multum pecuniæ illis largiturum si ipsum regem eligerent, Demetrium quidem a Parthis captum dictitans, fratrem vero ejus Antiochum, si potiretur imperio, multa ipsis mala illaturum esse ad defectionem ulciscendam. Illi in spem adducti fore ut opibus affluerent regno ad Tryphonem delato, illum principem crearunt. Tryphon autem, quum penes ipsum esset rerum summa, ingenii pravitatem prodidit. Nam dum privatus quidem erat, populo obsequebatur, et moderationem simulabat, his artibus eos pertrahens ad quæcunque volebat: quum primum vero regnum adeptus est, larvam exuebat, et verum præ se ferebat Tryphonem. Itaque ex istis fiebat ut hostes ipso potentiores evaserint. Nam milites eum odio habentes ad Cleopatram defecerunt, Demetrii uxorem, quæ tum in Seleuciam cum liberis se incluserat. Quum autem Demetrii frater Antiochus, qui Soter dicebatur, vagaretur, nulla ipsum urbe recipiente metu Tryphonis, mittit ad eum Cleopatra, ad conjugium simul et regnum accersens. Antiochum autem ad hæc invitabat, tum quod amici ista ei persuaserant, tum quod sibi metuebat, quum nonnulli e Seleuciensibus urbem Tryphoni tradere studerent.

2. Postquam vero Seleuciam venit Antiochus, eique vires quotidie crescebant, profectus est Tryphoni bellum illaturus, eumque prælio victum e superiore Syria ejecit in Phœnicen, et eo usque persequutus obsidione cinxit in Dora, quo se fuga receperat, castello quodam expugnatu difficili. Mittit etiam legatos ad Simonem Judæorum pontificem de amicitia et societate. Ille vero postulatis ejus

αὐτοῦ τὴν ἀξίωσιν, καὶ χρήματά τε πολλὰ καὶ τροφὴν τοῖς τὴν Δῶραν πολιορκοῦσι στρατιώταις, πέμψας πρὸς Ἀντίοχον, ἀφθόνως ἐχορήγησεν, ὡς τῶν ἀναγκαιοτάτων αὐτὸν πρὸς ὀλίγον καιρὸν κριθῆναι φίλων. Ὁ μὲν γὰρ Τρύφων ἐκ τῆς Δώρας φυγὼν εἰς Ἀπάμειαν καὶ ληφθεὶς ἐν αὐτῇ τῇ πολιορκίᾳ διεφθάρη, βασιλεύσας ἔτη τρία.

(ΙΓ'.) γ'. Ὁ δ' Ἀντίοχος ὑπὸ πλεονεξίας καὶ φαυλότητος λήθην τῶν ἐκ Σίμωνος αὐτῷ πρὸς τὰς χρείας ὑπηρετηθέντων ἐποιήσατο, καὶ δύναμιν στρατιωτικὴν Κενδεβαίῳ παραδοὺς τῷ φίλῳ ἐπὶ τὴν τῆς Ἰουδαίας πόρθησιν καὶ τὴν Σίμωνος ἄλωσιν ἐξαπέστειλε. Σίμων δ' ἀκούσας τὴν ὑπ' Ἀντιόχου παρανομίαν, καίτοι πρεσβύτερος ὢν ἤδη, ὅμως ὑπὸ τοῦ μὴ δικαίων τῶν παρὰ Ἀντιόχου γινομένων τυγχάνειν παρορμηθείς, καὶ τῆς ἡλικίας φρόνημα κρεῖττον λαβών, νεανικῶς ἐστρατήγει τοῦ πολέμου. Καὶ τοὺς μὲν υἱοὺς μετὰ τῶν μαχιμωτέρων προεκπέμπει στρατιωτῶν, αὐτὸς δὲ κατ' ἄλλο μέρος προῆει μετὰ τῆς δυνάμεως. Καὶ πολλοὺς ἐν τοῖς φαραγγώδεσι τῶν ὀρῶν τούτων εἰς ἐνέδραν καταστήσας, διαμαρτάνει μὲν οὐδεμιᾶς τῶν ἐπιχειρήσεων, κρατήσας δὲ διὰ πάσης τῶν πολεμίων ἐν εἰρήνῃ τὸν λοιπὸν διήγαγε χρόνον, ποιησάμενος καὶ αὐτὸς πρὸς Ῥωμαίους συμμαχίαν.

(ΙΔ'.) δ'. Ἦρξε μὲν οὖν ὀκτὼ τὰ πάντα τῶν Ἰουδαίων ἔτη, τελευτᾷ δὲ ἐξ ἐπιβουλῆς ἐν συμποσίῳ, Πτολεμαίου τοῦ γαμβροῦ ταύτην αὐτῷ συστησαμένου, ὃς καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τοὺς δύο παῖδας συλλαβὼν καὶ δεδεμένους ἔχων ἔπεμψε καὶ ἐπὶ Ἰωάννην τὸν τρίτον (τούτῳ δὲ καὶ Ὑρκανὸς ἦν ὄνομα) τοὺς διαφθεροῦντας. Αἰσθόμενος δὲ τοὺς ἐλθόντας ὁ νεανίσκος διαφυγὼν τὸν ἐξ αὐτῶν κίνδυνον εἰς τὴν πόλιν ἠπείγετο, θαρρῶν τῷ πλήθει διὰ τὰς τοῦ πατρὸς εὐεργεσίας καὶ διὰ τὸ Πτολεμαίου τοῖς ὄχλοις μῖσος. Σπουδάσαντα δὲ καὶ Πτολεμαῖον εἰσελθεῖν δι' ἄλλης πύλης ὁ δῆμος ἀπώσατο, τὸν Ὑρκανὸν ἤδη προσδεδεγμένος.

ΚΕΦ. Η'.

Καὶ ὁ μὲν εἴς ἕν τι τῶν ὑπὲρ Ἱεριχοῦντα ἐρυμάτων ἀνεχώρησε, Δαγὼν λεγόμενον. Ἀπολαβὼν δὲ τὴν πάτριον ἀρχιερωσύνην Ὑρκανὸς καὶ τὸν Θεὸν πρῶτα θυσίαις παραιτησάμενος ἐπὶ τὸν Πτολεμαῖον ἐξεστράτευσε, καὶ προσβαλὼν τῷ χωρίῳ τοῖς μὲν ἄλλοις περιῆν αὐτοῦ, ἡττᾶτο δὲ μόνῳ τῷ πρὸς τὴν μητέρα καὶ τοὺς ἀδελφοὺς οἴκτῳ. Τούτους γὰρ ὁ Πτολεμαῖος ἀνάγων ἐπὶ τὸ τεῖχος ἐξ ἀπόπτου ἠκίζετο καὶ κατακρημνίσειν οὐκ ἀφιστα μένου τῆς πολιορκίας ἠπείλει. Ὁ δ' ὅσον ἂν ἐνδοίη τῆς περὶ τὴν αἵρεσιν τοῦ χωρίου σπουδῆς, τοσοῦτο χαρίζεσθαι τοῖς φιλτάτοις ἡγούμενος πρὸς τὸ μὴ κακῶς πάσχειν, ἐξέλυε τὸ πρόθυμον. Ἡ μέντοι μητὴρ ὀρέγουσα τὰς χεῖρας ἱκέτευε μὴ μαλακίζεσθαι δι' αὐτὴν, ἀλλὰ πολὺ πλέον ὀργῇ χρώμενον ἐλεῖν σπουδάσαι τὸ χωρίον, καὶ τὸν ἐχθρὸν ὑφ' ἑαυτὸν ποιήσαντα τιμωρῆσαι τοῖς φιλτάτοις· ἡδὺν γὰρ αὐτῇ τὸν μετ'

libenter annuit, atque magnam pecuniæ vim et commeatum, mittendo ad Antiochum, large suppeditavit militibus Doram oppugnantibus, ita ut ad breve tempus inter amicos ejus maxime necessarios haberetur. Nam Tryphon, quum Dora Apameam fugisset, atque in ea obsidione captus esset, interfectus est, postquam tres annos regnaverat.

(XIII.) 3. Sed Antiochus ex avaritia et indolis pravitate oblitus est eorum quæ Simon ei, quum necessitate premeretur, subministraverat, copiisque militaribus Cendebæo amico traditis, eum ad Judæam vastandam et Simonem comprehendendum emisit. At Simon, audita ejus iniquitate, quamvis jam ætate provectior, tamen indignatione commotus quod nihil justi ab Antiocho fieri experiretur, sumptoque animo supra ætatem, juvenili ferocia copias ad bellum educebat, et filios quidem cum militum pugnacissimis præmittit, ipse vero cum exercitu processit diverso itinere. Ac multis e suis ad angustias montium in insidiis collocatis, nusquam ausis excidit, sed, ubique hostibus superior, reliquum vitæ tempus in pace agebat, inita etiam ab ipso cum Romanis societate.

(XIV.) 4. Atque octo in universum annos in Judæos regnavit, *in convivio autem interiit ex insidiis ei a genero suo* Ptolemæo structis : qui, uxore etiam Simonis et duobus filiis comprehensis et in vincula conjectis, misit qui tertium quoque interficerent, Joannem, cui etiam Hyrcanus nomen erat. Verum adolescens quum missos venire intellexisset, evitato ex illis periculo, ad urbem contendebat, multitudini fidens, quod beneficia a patre ipsius acceperit et Ptolemæum odio habeat. Et Ptolemæum, quum per aliam portam ingredi anniteretur, repulit populus, ut qui Hyrcanum jam receperat.

CAP. VIII. (XV.)

Ac Ptolemæus quidem in arcem quandam recessit, supra Hierichuntem positam, nomine Dagon. At Hyrcanus patrium pontificatum adeptus, quum primum Deum sacrificiis exorasset, fecit adversus Ptolemæum expeditionem, locoque oppugnato, aliis quidem rebus superior erat, tantum misericordia erga matrem et fratres vincebatur. Eos enim Ptolemæus, in murum deductos, in conspicuo loco cruciabat, et præcipitaturum minabatur, nisi ille ab obsidione desisteret. Atque is, putans quantum de studio locum capiendi remitteret, tantum se gratiæ carissimis lucraturum, ne quid gravius paterentur, segnior aliquanto erat ad obsidionem urgendam. Veruntamen mater passis manibus eum orabat ne sua causa remolleseeret, quin eo majori indignatione commotus operibus instaret, ad locum expugnandum *et hostem in potestatem suam redigendum,' ut sibi carissimos* ulcisceretur : ipsi enim suave esse cum cruciatibus

αἰκίας εἶναι θάνατον, εἰ δίκην ὑπόσχοι τῆς εἰς αὐτοὺς παρανομίας ὁ ταῦτα ποιῶν πολέμιος. Τὸν δ' Ὑρκανὸν ταῦτα μὲν λεγούσης τῆς μητρὸς ὁρμή τις ἐλάμβανε πρὸς τὴν αἵρεσιν τοῦ φρουρίου, ἡνίκα δὲ αὐτὴν τυπτομένην ἴδοι καὶ σπαραττομένην, ἐξελύετο καὶ τῆς ἐπὶ τοῖς εἰς τὴν μητέρα πραττομένοις συμπαθείας ἥττων ἐγένετο. Ἑλκομένης δὲ οὕτως εἰς χρόνον τῆς πολιορκίας ἐνίσταται τὸ ἔτος ἐκεῖνο, καθ' ὃ συμβαίνει τοῖς Ἰουδαίοις ἀργεῖν. Κατὰ δὲ ἑπτὰ ἔτη τοῦτο παρατηροῦσιν, ὡς ἐν ταῖς ἐν ἑβδομάσιν ἡμέραις. Καὶ Πτολεμαῖος, ὑπὸ ταύτης ἀνεθεὶς τῆς αἰτίας τοῦ πολέμου, ἀποκτείνει τοὺς ἀδελφοὺς τοῦ Ὑρκακοῦ καὶ τὴν μητέρα· καὶ τοῦτο δράσας πρὸς Ζήνωνα φεύγει τὸν ἐπικληθέντα Κοτυλᾶν, τυραννεύοντα τῆς Φιλαδελφέων πόλεως.

(ΙϚ.) β'. Ἀντίοχος δὲ χαλεπῶς ἔχων ἐφ' οἷς ὑπὸ Σίμωνος ἔπαθεν, εἰς τὴν Ἰουδαίαν ἐνέβαλε, τετάρτῳ μὲν ἔτει τῆς βασιλείας αὐτοῦ, πρώτῳ δὲ τῆς Ὑρκανοῦ ἀρχῆς, Ὀλυμπιάδι ἑκατοστῇ καὶ ἑξηκοστῇ δευτέρᾳ· δῃώσας δὲ τὴν χώραν, τὸν Ὑρκανὸν εἰς αὐτὴν ἐνέκλεισε τὴν πόλιν· ἣν ἑπτὰ στρατοπέδοις περιλαβὼν ἥνυε μὲν οὐδὲν ὅλως τὸ πρῶτον διά τε τὴν τῶν τειχῶν ὀχυρότητα καὶ δι' ἀρετὴν τῶν ἐκπολιορκουμένων, ἔτι γε μὴν ὕδατος ἀπορίαν, ἧς αὐτοὺς ἀπέλυσεν ὄμβρος κατενεχθεὶς πολὺς δυομένης πλειάδος. Κατὰ δὲ τὸ βόρειον μέρος τοῦ τείχους, καθ' ὃ συνέβαινεν αὐτὸ καὶ ἐπίπεδον εἶναι, πύργους ἀναστήσας ἑκατὸν τριωρόφους, ἀνεβίβασεν ἐπ' αὐτοὺς στρατιωτικὰ τάγματα· καὶ προσβολὰς ὁσημέραι ποιησάμενος, τάφρον τε βαθεῖαν καὶ πολλὴν τὸ εὖρος καὶ διπλῆν τεμόμενος ἀπετείχισε τοὺς ἐνοικοῦντας. Οἱ δὲ πολλὰς ἐκδρομὰς ἀντεπινοοῦντες, εἰ μὲν ἀφυλάκτοις που προσπέσοιεν τοῖς πολεμίοις, πολλὰ ἔδρων αὐτοὺς, αἰσθομένων δὲ, ἀνεχώρουν εὐχερῶς. Ἐπεὶ δὲ βλαβερὰν κατενόησεν Ὑρκανὸς τὴν πολυανθρωπίαν, ἀναλισκομένων τε τῶν ἐπιτηδείων τάχιον ὑπ' αὐτῆς, καὶ μηδενὸς οἷον εἰκὸς ἐκ πολυχειρίας ἔργου γινομένου, τὸ μὲν ἀχρεῖον αὐτῆς ἀποκρίνας ἐξέβαλεν, ὅσον δ' ἦν ἀκμαῖον καὶ μάχιμον, τοῦτο μόνον κατέσχεν. Ἀντίοχος μὲν οὖν τοὺς ἀπολεχθέντας ἐξελθεῖν ἐκώλυεν, οἱ δὲ ἐν τοῖς μεταξὺ τείχεσι πλανώμενοι καὶ προαναλούμενοι τῷ λιμῷ ἀπέθνησκον οἰκτρῶς. Ἐπιστάσης γε μὴν τῆς σκηνοπηγίας ἑορτῆς, ἐλεοῦντες αὐτοὺς οἱ ἐντὸς πάλιν εἰσεδέξαντο. Πέμψαντος δ' Ὑρκανοῦ πρὸς Ἀντίοχον καὶ σπονδὰς ἡμερῶν ἑπτὰ διὰ τὴν ἑορτὴν ἀξιώσαντος γενέσθαι, τῇ πρὸς τὸ θεῖον εὐσεβείᾳ εἴκων σπένδεται, καὶ προσέτι θυσίαν εἰσέπεμψε μεγαλοπρεπῆ, ταύρους χρυσοκέρωτας καὶ μεστὰ παντοίων ἀρωμάτων ἐκπώματα χρύσεά τε καὶ ἀργύρεα. Καὶ τὴν μὲν θυσίαν δεξάμενοι παρὰ τῶν κομιζόντων οἱ πρὸς ταῖς πύλαις ὄντες ἄγουσιν εἰς τὸ ἱερὸν, Ἀντίοχος δὲ τὴν στρατιὰν εἱστία, πλεῖστον Ἀντιόχου τοῦ Ἐπιφανοῦς διενέγκας, ὃς τὴν πόλιν ἑλὼν, ὗς μὲν κατέθυεν ἐπὶ τὸν βωμὸν, τὸν νεὼν δὲ τῷ ζωμῷ τούτων περιέῤῥανε, συγχέας τὰ Ἰουδαίων νόμιμα καὶ τὴν πάτριον αὐτῶν εὐσέβειαν· ἐφ' οἷς ἐξεπολεμώθη τὸ ἔθνος καὶ ἀκατάλ-

necari, dummodo pœnas scelerum in ipsos editorum luat hostis eorum auctor. Hæc dicente matre, Hyrcanus ad munitionem capiendam fortius animabatur. Sed quum primum eam verberari lacerarique videret, elanguescebat, vincente misericordia ex malis matri illatis orta. Ita durante diutius obsidione, annus ille instat, in quo Judæis otiari mos est: nam per annos septenos hoc ipsum observant, sicuti septimo quoque die. Et Ptolemæus, hac de causa levatus bello, Hyrcani fratres et matrem interficit: eoque facto ad Zenonem se recipit, cognomento Cotylam, Philadelphensium urbis tyrannum.

(XVI.) 2. Antiochus vero, Simonis adversum se facta ægre ferens, Judæam invasit anno regni sui quarto, principatus vero Hyrcani primo, Olympiade centesima sexagesima secunda: vastatisque agris Hyrcanum in urbem ipsam compulit; quam quum septenis castris cinxisset, principio quidem nihil omnino proficiebat, tum propter murorum firmitatem, tum propter obsessorum virtutem, accedente etiam aquæ penuria, qua eos liberavit delatus sub occasum vergiliarum multus imber. A parte autem muri septentrionali, qua ex parte etiam locus erat planus, excitatis centum turribus trinûm contabulationum, cohortes militares in eis collocavit. Quumque quotidie impressionem faceret, atque altam et valde latam fossam duxisset, eamque duplicem, incolas conclusit. Illi vero, multis viis excogitatis, quibus excursiones facerent, sicubi hostes imparatos offenderent, magnas eis clades inferebant, sin sentirent, facile se in tutum recipiebant. Hyrcanus vero, postquam animadvertit suorum multitudinem sibi detrimento esse, propterea quod et necessaria ab eis celerius absumerentur, et verisimile esset nihil a multis manibus quod sit operæ pretium fieri, inutilem turbam secrevit et ejecit, quodque roboris erat et ad pugnandum idoneum, id solum retinuit. Et Antiochus quidem exclusos prohibet exitu; illi vero, inter muros oberrantes et fame confecti, miserabiliter perierunt. Sed ubi umbraculorum festum instabat, qui erant in urbe, eos, miseratione commoti, rursum intro receperunt. Quumque Hyrcanus misisset ad Antiochum et petiisset inducias in septem dies propter festum, ille, pietati in Deum cedens, eas paciscitur, ac præterea magnificum sacrificium intromisit, tauros auratis cornibus, et plena omni genere aromatum pocula aurea et argentea. Et sacrificium quidem a ferentibus acceperunt qui ad portas erant, et in templum adduxerunt; Antiochus vero exercitum convivio excipiebat, multum dissimilis Antiocho Epiphani, qui capta urbe sues super altari mactabat, et jure carnium earum ædem aspergebat, violatis Judæorum legibus patriaque eorum pietate: quibus rebus fiebat ut gens illa in bellum exarsceret et nunquam in gratiam cum eo re-

λάκτως εἶχε. Τοῦτον μέντοι τὸν Ἀντίοχον δι' ὑπερβολὴν τῆς θρησκείας Εὐσεβῆ πάντες ἐκάλεσαν.

γ'. Ἀποδεξάμενος δὲ αὐτοῦ τὴν ἐπιείκειαν Ὑρκανὸς καὶ μαθὼν τὴν περὶ τὸ θεῖον σπουδὴν ἐπρεσβεύσατο πρὸς αὐτὸν, ἀξιῶν τὴν πάτριον αὐτοῖς πολιτείαν ἀποδοῦναι. Ὁ δὲ ἀπωσάμενος τὴν συμβουλὴν τῶν παραινούντων ἐξελεῖν τὸ ἔθνος διὰ τὴν πρὸς ἄλλους αὐτῶν τῆς διαίτης ἀμιξίαν, οὐκ ἐφρόντιζε· πειθόμενος δὲ κατ' εὐσέβειαν πάντα ποιεῖν, τοῖς πρεσβευταῖς ἀπεκρίνατο παραδοῦναι μὲν τὰ ὅπλα τοὺς πολιορκουμένους, καὶ δασμὸν αὐτῷ τελεῖν Ἰόπης καὶ τῶν ἄλλων πόλεων τῶν πέριξ τῆς Ἰουδαίας, φρουράν τε δεξαμένους ἐπὶ τούτοις ἀπηλλάχθαι τοῦ πολέμου. Οἱ δὲ τἆλλα μὲν ὑπέμενον, τὴν δὲ φρουρὰν οὐχ ὡμολόγουν, διὰ τὴν ἀμιξίαν οὐκ ἐφικνούμενοι πρὸς ἄλλους. Ἀντὶ μέντοι γε τῆς φρουρᾶς ὁμήρους ἐδίδοσαν καὶ τάλαντα ἀργυρίου πεντακόσια· ὧν εὐθὺς τὰ τριακόσια καὶ τοὺς ὁμήρους προσδεξαμένου Ἀντιόχου τοῦ βασιλέως ἔδοσαν, ἐν οἷς ἦν καὶ Ὑρκανοῦ ἀδελφός. Καθεῖλε δὲ καὶ τὴν στεφάνην τῆς πόλεως. Ἐπὶ τούτοις μὲν οὖν Ἀντίοχος τὴν πολιορκίαν λύσας ἀνεχώρησεν.

δ'. Ὑρκανὸς δὲ τὸν Δαυΐδου τάφον ἀνοίξας, ὃς πλούτῳ τοὺς πώποτε βασιλεῖς ὑπερέβαλλε, τρισχίλια μὲν ἀργυρίου τάλαντα ἐξεκόμισεν, ὁρμώμενος δ' ὑπὸ τούτων πρῶτος Ἰουδαίων ξενοτροφεῖν ἤρξατο. Γίνεται δ' αὐτῷ καὶ πρὸς Ἀντίοχον φιλία καὶ συμμαχία· καὶ δεξάμενος αὐτὸν εἰς τὴν πόλιν, ἀφθόνως πάντα τῇ στρατιᾷ καὶ φιλοτίμως παρέσχε. Καὶ ποιουμένῳ τὴν ἐπὶ Πάρθους αὐτῷ στρατείαν συνεξώρμησεν Ὑρκανός. Μάρτυς δὲ τούτων ἡμῖν ἐστι καὶ Νικόλαος ὁ Δαμασκηνὸς, οὕτως ἱστορῶν. « Τρόπαιον δὲ στήσας Ἀντίο-« χος ἐπὶ τῷ Λύκῳ ποταμῷ, νικήσας Ἰνδάτην τὸν « Πάρθων στρατηγὸν, αὐτόθι ἔμεινεν ἡμέρας δύο, δεη-« θέντος Ὑρκανοῦ τοῦ Ἰουδαίου διά τινα ἑορτὴν πά-« τριον, ἐν ᾗ τοῖς Ἰουδαίοις οὐκ ἦν νόμιμον ἐξοδεύειν. » Καὶ ταῦτα μὲν οὐ ψεύδεται λέγων· ἐνέστη γὰρ ἡ Πεντηκοστὴ ἑορτὴ μετὰ τὸ σάββατον· οὐκ ἔξεστι δ' ἡμῖν οὔτε ἐν τοῖς σάββασιν οὔτε ἐν τῇ ἑορτῇ ὁδεύειν. Συμβαλὼν δὲ Ἀντίοχος Ἀρσάκῃ τῷ Πάρθῳ πολλήν τε τῆς στρατιᾶς ἀπέβαλε καὶ αὐτὸς ἀπόλλυται. Τὴν δὲ τῶν Σύρων βασιλείαν ὁ ἀδελφὸς αὐτοῦ διαδέχεται Δημήτριος, Ἀρσάκου αὐτὸν ἐκ τῆς αἰχμαλωσίας ἀπολύσαντος, καθ' ὃν χρόνον Ἀντίοχος εἰς τὴν Παρθυηνὴν ἐνέβαλεν, ὡς καὶ πρότερον ἐν ἄλλοις δεδήλωται.

ΚΕΦ. Θ'.

Ὑρκανὸς δὲ ἀκούσας τὸν Ἀντιόχου θάνατον εὐθὺς ἐπὶ τὰς ἐν Συρίᾳ πόλεις ἐξεστράτευσεν, οἰόμενος αὐτὰς εὑρήσειν, ὅπερ ἦν, ἐρήμους τῶν μαχίμων καὶ ῥύεσθαι δυναμένων. Μηδάβαν μὲν οὖν, πολλὰ τῆς στρατιᾶς αὐτῷ ταλαιπωρηθείσης, ἕκτῳ μηνὶ εἷλεν· ἔπειτα καὶ Σαμεγὰν καὶ τὰ πλησίον αὐτῆς αἱρεῖ, Σίκιμά τε πρὸς τούτοις καὶ Γαριζεὶν, τό τε Χουθαίων γένος, ὅπερ ᾤκει τὸν εἰκασθέντα τῷ ἐν Ἱεροσολύμοις ἱερῷ ναὸν, ὃν Ἀλέ-

dierit. Hunc autem Antiochum propter singularem ejus religionem omnes Eusebem (*Pium*) nuncuparunt.

3. Quamobrem Hyrcanus, ejus æquitate approbata, cognitoque ejus erga Deum studio, legatos misit ad eum, petitum ut ipsis concederet ex patriis legibus et institutis vivere. Atque ille, quum repudiasset eorum consilium qui gentem, utpote nullam cum aliis vitæ consuetudinem habentem, delendam suadebant, hac de re non deliberabat : sed illud sibi persuadens ut ex pietate omnia faceret, legatis respondit, ut obsessi arma traderent, et sibi Jopes reliquarumque urbium circa Judæam vectigalia penderent, ac præterea præsidium acciperent, atque hac conditione bello liberarentur. Atque illi quidem in cetera consentiebant, præsidium vero non admittebant, propter insociabilitatem suam, ut qui cum aliis vitæ commercium non haberent. Verum pro præsidio obsides dabant, atque argenti talenta quingenta, quorum trecenta in præsentia dederunt, et obsides, quos Antiocho regi placuit accipere : erat inter eos et Hyrcani frater. Præterea murorum urbis pinnas dejecit. Et his quidem factis Antiochus soluta obsidione discessit.

4. Hyrcanus vero aperto sepulcro Davidis, qui divitiis reges omnes anteibat, tria millia talentorum argenti inde extulit, et his opibus fretus Judæorum primus cœpit externum militem alere. Iniit et cum Antiocho amicitiam et societatem, eoque in urbem accepto, omnia exercitui abunde et magnifice subministravit. Quumque ille in Parthos expeditionem faceret, eum comitatus est Hyrcanus. De his vero testimonium nobis perhibet Nicolaus Damascenus, ista narrans. « At Antiochus, erecto tropæo ad Lycum « fluvium, quum Indaten Parthorum ducem superasset, « illic per biduum substitit, ad preces Hyrcani Judæi, quod « forte inciderat patrium quoddam festum, in quo Judæis « non licebat iter facere. » Et hæc quidem dicendo non falsus habetur : nam instabat Pentecoste post sabbatum : nobis autem non licet aut sabbato aut festo iter suscipere. Antiochus autem, commisso prælio cum Arsace Partho, et magnam exercitus sui partem amisit et ipse mortuus est. Ei vero in regnum Syriæ successit ejus frater Demetrius, per Arsacem liberatus a captivitate, quo tempore Antiochus in Parthorum regionem impressionem fecerat, ut alibi jam ante dictum est.

CAP. IX. (XVII.)

Ceterum Hyrcanus, audita Antiochi morte, confestim in urbes Syriæ expeditionem suscipit, ratus, id quod erat, inventurum vacuas a propugnatoribus et defensoribus. Et Medabam quidem magno cum exercitus sui labore sexto mense cepit : deinde Samegam et finitima loca capit, itemque Sicima et Garizin, Chuthæorumque gentem, quæ templum accolebat Hierosolymitani simile, quod Alexander per-

ξανδρος ἐπέτρεψεν οἰκοδομῆσαι Σαναβαλλέτῃ τῷ στρατηγῷ, διὰ τὸν γαμβρὸν Μανασσῆν τὸν Ἰάδδου τοῦ ἀρχιερέως ἀδελφὸν, ὡς καὶ πρότερον δεδηλώκαμεν. Συνέβη δὲ τὸν ναὸν τοῦτον ἔρημον γενέσθαι μετὰ ἔτη διακόσια. Ὑρκανὸς δὲ καὶ τῆς Ἰδουμαίας αἱρεῖ πόλεις Ἄδωρα καὶ Μάρισσαν, καὶ ἅπαντας τοὺς Ἰδουμαίους ὑποχειρίους ποιησάμενος, ἐπέτρεψεν αὐτοῖς μένειν ἐν τῇ χώρᾳ, εἰ περιτέμνειν τε τὰ αἰδοῖα καὶ τοῖς Ἰουδαίοις νόμοις χρῆσθαι θέλοιεν. Οἱ δὲ πόθῳ τῆς πατρίου γῆς καὶ τὴν περιτομὴν καὶ τὴν ἄλλην τοῦ βίου δίαιταν ὑπέμειναν τὴν αὐτὴν Ἰουδαίοις ποιήσασθαι. Κἀκεῖνος αὐτοῖς χρόνος ὑπῆρχεν, ὥστε εἶναι τὸ λοιπὸν Ἰουδαίους.

β'. Ὑρκανὸς δὲ ὁ ἀρχιερεὺς ἀνανεώσασθαι τὴν πρὸς Ῥωμαίους φιλίαν βουλόμενος πέμπει πρὸς αὐτοὺς πρεσβείαν. Καὶ ἡ σύγκλητος, δεξαμένη τὰ παρ' αὐτοῦ γράμματα, ποιεῖται πρὸς αὐτὸν φιλίαν τούτῳ τῷ τρόπῳ. « Φάνιος Μάρκου υἱὸς στρατηγὸς βουλὴν συν-« ἤγαγε πρὸ ὀκτὼ εἰδῶν Φεβρουαρίων ἐν Κομιτίῳ, πα-« ρόντος Λουκίου Μαννίου Λουκίου υἱοῦ Μεντινᾶ καὶ « Γαΐου Σεμπρωνίου Γαΐου υἱοῦ Φαλερνᾶ, περὶ ὧν ἐπρέ-« σβευσε Σίμων Δοσιθέου, καὶ Ἀπολλώνιος Ἀλεξάνδρου « καὶ Διόδωρος Ἰάσονος, ἄνδρες καλοὶ κἀγαθοὶ, πεμ-« φθέντες ὑπὸ δήμου τῶν Ἰουδαίων, οἳ καὶ διελέχθησαν « περὶ φιλίας τῆς ὑπαρχούσης τούτοις καὶ συμμαχίας « πρὸς Ῥωμαίους καὶ τῶν δημοσίων πραγμάτων, ὅπως « τε Ἰόπη καὶ λιμένες καὶ Γάζαρα καὶ πηγαὶ, καὶ ὅσας « πόλεις αὐτῶν ἄλλας καὶ χώρας πολεμῶν ἔλαβεν Ἀν-« τίοχος παρὰ τὸ τῆς συγκλήτου δόγμα, ταῦτα ἀπο-« κατασταθῇ, ἵνα τε τοῖς στρατιώταις τοῖς βασιλικοῖς « μὴ ἐξῇ διὰ τῆς χώρας τῆς αὐτῶν καὶ τῶν ὑπηκόων « αὐτῶν διέρχεσθαι, καὶ ὅπως τὰ κατὰ τὸν πόλεμον « ἐκεῖνον ψηφισθέντα ὑπ' Ἀντιόχου παρὰ τὸ τῆς συγ-« κλήτου δόγμα ἄκυρα γένηται, ἵνα τε πρέσβεις πέμ-« ψαντες ἀποδοθῆναί τε αὐτοῖς ποιήσωσι τὰ ὑπ' Ἀν-« τιόχου ἁρπαγέντα, καὶ τὴν χώραν διατιμήσωνται « τὴν ἐν τῷ πολέμῳ διεφθαρμένην, ὅπως τε αὐτοῖς πρός « τε βασιλεῖς καὶ δήμους ἐλευθέρους γράμματα δῶσιν « εἰς ἀσφάλειαν τῆς εἰς οἶκον ἐπανόδου. Ἔδοξεν οὖν « περὶ τούτων ταῦτα, ἀνανεώσασθαι φιλίαν καὶ συμ-« μαχίαν πρὸς ἄνδρας ἀγαθοὺς καὶ ὑπὸ δήμου πεμ-« φθέντας ἀγαθοῦ καὶ φίλου. » Περὶ μέντοι τῶν γραμμάτων ἀπεκρίναντο βουλεύσεσθαι, ὅταν ἀπὸ τῶν ἰδίων ἡ σύγκλητος εὐσχολήσῃ, σπουδάσειν τε τοῦ λοιποῦ μηδὲν εἰς αὐτοὺς ἀδίκημα τοιοῦτο γενήσεσθαι, δοῦναί τε αὐτοῖς τὸν στρατηγὸν Φάνιον χρήματα ἐκ τοῦ δημοσίου, ὅπως ἂν εἰς τὴν οἰκίαν ἐπανέλθοιεν. Φάνιος μὲν οὖν οὕτως ἀποπέμπει τοὺς τῶν Ἰουδαίων πρέσβεις, χρήματα δοὺς αὐτοῖς ἐκ τοῦ δημοσίου, καὶ δόγμα συγκλήτου πρὸς τοὺς διαπέμψοντας καὶ ἀσφαλῆ παρεξομένους τὴν οἴκαδε παρουσίαν.

γ'. Τὰ μὲν οὖν περὶ Ὑρκανὸν τὸν ἀρχιερέα ἐν τούτοις ὑπῆρχε. Δημητρίῳ δὲ τῷ βασιλεῖ προθυμουμένῳ στρατεύειν ἐπὶ Ὑρκανὸν οὐκ ἐξεγένετο καιρὸς οὐδ' ἀφορμὴ, τῶν τε Σύρων καὶ τῶν στρατιωτῶν πρὸς αὐ-

misit Sanballetæ duci ædificare, in gratiam generi ipsius Manassis, qui frater erat Jaddi pontificis, ut jam ante memoravimus. Contigit autem hoc templum vastari, postquam ducentos duravit annos. Hyrcanus etiam Idumææ urbes capit, Adora et Marissam, subactisque omnibus Idumæis, permisit in regione manere, si pudenda circumcidere Judæisque legibus uti vellent. Illi vero patriæ amore tum circumcisionem admiserunt, tum vitam in ceteris similiter ac Judæi agere sustinuerunt. Atque eo tempore ipsis contigit ut deinceps Judæi essent.

2. Hyrcanus autem summus sacerdos, amicitiam volens cum Romanis renovare, mittit ad eos legationem. Et senatus, acceptis quas dederat literis, amicitiam cum eo paciscitur in hunc modum. « Fannius Marci filius prætor senatum convocavit ante diem octavum Idus Februarias in « comitio, præsente Lucio Manlio Lucii filio Mentina, et « Caio Sempronio Caii filio Falerna, propter eas res quas « legati retulerunt, Simon Dositheifilius, atque Apollonius « Alexandri, et Diodorus Iasonis, viri honesti et boni, missi « a populo Judæorum, qui etiam egerunt de amicitia et « societate quæ eis cum Romanis intercedit, et de publicis « negotiis, ut Jope et portus, et Gazara et fontes, et quas-« cunque alias eorum urbes et loca bello cepit Antiochus « citra senatus decretum, hæc eis reddantur, neve regiis « militibus liceat per ipsorum et subditorum ipsis fines iter « facere. Item, ut quæ per id bellum ab Antiocho decreta « sunt præter senatus sententiam, irrita fiant : utque missis « legatis curent sibi reddenda quæ per Antiochum ablata « sunt, et regionem æstiment, quæ ab eo bello vastata est : « utque eis ad reges et liberos populos dentur literæ ad « redeundum tuto domum. Igitur de his rebus decreta « sunt hæc, renovari amicitiam et societatem cum viris « bonis, et a bono amicoque populo missis. » De literis autem responderunt se deliberaturos esse quum senatui per sua negotia vacaverit, operamque daturos ut in posterum nulla ejusmodi afficiantur injuria; mandatumque esse prætori Fannio ut eis pecuniam suppeditet ex ærario, quo domum redirent. Et Fannius quidem ita Judæorum legatos dimisit, data eis pecunia ex ærario, nec non senatus consulto ad eos qui deducere et tutum iter domum usque eis præstare deberent.

3. Et Hyrcani quidem pontificis rerum status hic erat. Demetrius autem rex Hyrcano bellum inferre cupiens tempus et opportunitatem non habuit, quod tum Syris esset tum militibus invisus; nam improbus erat. Quumque illi

τὸν ἀπεχθανομένων (πονηρὸς γὰρ ἦν) καὶ πεμψάντων πρὸς Πτολεμαῖον τὸν Φύσκωνα ἐπικληθέντα πρέσβεις, ὅπως τινὰ τῶν ἐκ τοῦ Σελεύκου γένους παραδῷ αὐτοῖς ἀπολησόμενον τὴν βασιλείαν, τοῦ δὲ Πτολεμαίου πέμψαντος Ἀλέξανδρον μετὰ στρατοῦ τὸν Ζεβινᾶν ἐπιλεγόμενον καὶ μάχης πρὸς τὸν Δημήτριον γενομένης, ὁ μὲν ἡττηθεὶς τῇ μάχῃ φεύγει πρὸς Κλεοπάτραν τὴν γυναῖκα εἰς Πτολεμαΐδα, καὶ μὴ δεξαμένης αὐτὸν τῆς γυναικὸς, ἐκεῖθεν εἰς Τύρον ἀπελθὼν ἁλίσκεται, καὶ πολλὰ παθὼν ὑπὸ τῶν μισούντων ἀπέθανεν· Ἀλέξανδρος δὲ τὴν βασιλείαν παραλαβὼν φιλίαν ποιεῖται πρὸς Ὑρκανὸν τὸν ἀρχιερέα· ἔπειτα πολεμήσαντος αὐτῷ τοῦ Δημητρίου παιδὸς Ἀντιόχου τοῦ Γρυποῦ ἐπικληθέντος ἡττηθεὶς τῇ μάχῃ διαφθείρεται.

misissent ad Ptolemæum, cui Physcon cognomen erat, legatos, ut sibi daret aliquem de Seleuci genere, qui regnum acciperet, et Ptolemæus misisset Alexandrum cognomine Zebinam cum exercitu, et pugna cum Demetrio iniretur, ille quidem prælio victus ad Cleopatram uxorem confugit Ptolemaidem, atque ab uxore non admissus, inde Tyrum profectus capitur, multaque passus ab osoribus suis diem supremum obiit; Alexander vero, regnum adeptus, amicitiam init cum Hyrcano pontifice; deinde bello petitus a Demetrii filio Antiocho, cui Grypus cognomen erat, acie debellatus occubuit.

ΚΕΦ. Ι'.

Παραλαβὼν δὲ τὴν τῆς Συρίας βασιλείαν Ἀντίοχος, ἐπὶ μὲν τὴν Ἰουδαίαν στρατεύειν εὐλαβὴς ἦν, τὸν ἀδελφὸν ἀκούων τὸν δμομήτριον (Ἀντίοχος δὲ κἀκεῖνος ἐκαλεῖτο) δύναμιν ἐπ' αὐτὸν ἀπὸ Κυζίκου συλλέγειν. Μέων δὲ κατὰ χώραν ἔγνω παρασκευάζειν αὑτὸν ἐπὶ τὴν ἔφοδον τὴν τἀδελφοῦ, ὃς Κυζικηνὸς μὲν ἐπεκλήθη, διὰ τὸ τραφῆναι ἐν ταύτῃ τῇ πόλει, πατρὸς δ' ἦν Ἀντιόχου τοῦ Σωτῆρος ἐπικληθέντος, ὃς ἐν Πάρθοις ἀπέθανεν· οὗτος δὲ ἀδελφὸς ἦν Δημητρίου τοῦ Γρυποῦ πατρός. Συνέβη μέντοι μίαν τοῖς δυσὶν ἀδελφοῖς γῆμαι Κλεοπάτραν, ὡς καὶ ἐν ἄλλοις ἱστορήκαμεν. Ὁ δὲ Κυζικηνὸς Ἀντίοχος παραγενόμενος εἰς Συρίαν πολλοῖς ἔτεσι πρὸς τὸν ἀδελφὸν πολεμῶν διετέλει. Ὑρκανὸς δὲ πάντα τὸν χρόνον ἐκεῖνον ἐν εἰρήνῃ διῆγε. Καὶ γὰρ αὐτὸς μετὰ τὴν Ἀντιόχου τελευτὴν τῶν Μακεδόνων ἀπέστη, καὶ οὔτε ὡς ὑπήκοος οὔτε ὡς φίλος αὐτοῖς οὐδὲν ἔτι παρεῖχεν, ἀλλ' ἦν αὐτῷ τὰ πράγματα ἐν ἐπιδόσει πολλῇ καὶ ἀκμῇ κατὰ τοὺς Ἀλεξάνδρου τοῦ Ζεβινᾶ καιρούς, καὶ μάλιστ' ἐπὶ τούτοις τοῖς ἀδελφοῖς. Ὁ γὰρ πρὸς ἀλλήλους αὐτοῖς πόλεμος σχολὴν Ὑρκανῷ καρποῦσθαι Ἰουδαίαν ἐπ' ἀδείας παρέσχεν, ὡς ἄπειρόν τι πλῆθος χρημάτων συναγαγεῖν. Τοῦ μέντοι γε Κυζικηνοῦ τὴν γῆν κακοῦντος φανερῶς καὶ αὐτὸς τὴν ἑαυτοῦ προαίρεσιν ἐπεδείκνυτο· καὶ τῶν ἀπ' Αἰγύπτου συμμάχων ἔρημον ὁρῶν τὸν Ἀντίοχον, καὶ αὐτόν τε πράττοντα κακῶς καὶ τὸν ἀδελφὸν αὐτοῦ ἐν τοῖς πρὸς ἀλλήλους ἀγῶσιν, ἀμφοτέρων κατεφρόνησεν.

CAP. X. (XVIII.)

Ceterum Antiochus, regno Syriæ potitus, in Judæam exercitum ducere reformidabat, audito suum ex matre fratrem (cui et ipsi Antiocho nomen erat) contra se apud Cyzicum habere delectum. Itaque intra fines suos se continens statuit in fratris sui incursum semet præparare, qui Cyzicenus a Cyzico urbe, in qua nutritus esset, cognominatus est, patre autem erat Antiocho Sotere, qui in Parthis occubuit: eratque is frater Demetrii, patris Grypi. Accidit enim ut duobus fratribus nuberet Cleopatra, sicut et alibi narravimus. Cyzicenus vero Antiochus in Syriam profectus multos annos contra fratrem bellum gerebat. At Hyrcanus toto eo tempore in pace degebat. Etenim post obitum Antiochi a Macedonibus defecerat, nec quidquam eis jam nec ut subditus nec ut amicus præstabat: quin rebus secundis admodum et florentibus utebatur Alexandri Zebinæ temporibus, et maxime sub his fratribus. Bellum etiam, quod inter eos gerebatur, facultatem Hyrcano præbebat fruendi Judæa secure, ita ut pecuniæ vim innumerabilem congesserit. Tamen Cyziceno agros vastante, ipse quoque voluntatem suam aperte ostendebat: et desertum ab Ægypti auxilio videns Antiochum, ac tum ipsum tum ejus fratrem mutuis certaminibus affligi, utrumque contemnebat.

β'. Καὶ στρατεύει μὲν ἐπὶ Σαμάρειαν πόλιν ὀχυρωτάτην, περὶ ἧς ὅτι καλεῖται νῦν Σεβαστὴ κτισθεῖσα ὑπὸ Ἡρώδου κατὰ χώραν δηλώσομεν. Προσβαλὼν δ' αὐτῇ φιλοπόνως ἐπολιόρκει, μισοπονηρῶν τοῖς Σαμαρεῦσιν ὑπὲρ ὧν Μαρισσηνοὺς, ἀποίκους ὄντας Ἰουδαίων καὶ συμμάχους, ἠδίκησαν, ὑπακούοντες τοῖς τῶν Σύρων βασιλεῦσι. Περιβαλὼν οὖν τάφρον πανταχόθεν τῇ πόλει καὶ διπλοῦν τεῖχος ἀπὸ σταδίων ὀγδοήκοντα, τοὺς υἱοὺς ἐφίστησιν, Ἀντίγονον καὶ Ἀριστόβουλον. Ὧν ἐπικειμένων, εἰς τοῦτο ἀνάγκης ὑπὸ λιμοῦ προαχθῆναι τοὺς Σαμαρεῖς συνέπεσεν, ὡς ἄψα-

2. Atque expeditionem suscipit adversus Samariam, urbem munitissimam, de qua, utpote nunc Sebaste vocata, ab Herode condita, suo loco dicemus. Hanc autem adortus magna vi oppugnabat, Samaritanis infensus propter injurias quas Marissenis, Judæorum colonis et sociis, intulerant jussu regum Syriæ. Quum igitur urbem fossa undique et duplici muro per octoginta stadia cinxisset, filios suos præfecit Antigonum et Aristobulum. Quibus prementibus, in eam famis necessitatem adducti sunt Samaritæ, ut etiam insue-

σθαι μὲν τῶν ἀήθων, ἐπικαλέσασθαι δὲ βοηθὸν Ἀντίοχον τὸν Κυζικηνόν· ὃς ἑτοίμως ἐπὶ τὴν συμμαχίαν ἀφικόμενος ὑπὸ τῶν περὶ Ἀριστόβουλον ἥττᾶται, διωχθεὶς δ' ἄχρι Σκυθοπόλεως ὑπὸ τῶν ἀδελφῶν διέφυγεν. Οἱ δ' ἐπὶ τοὺς Σαμαρεῖς ὑποστρέψαντες συγκλείουσι πάλιν εἰς τὸ τεῖχος αὐτοὺς, ὡς καὶ δεύτερον ἐπικαλέσασθαι σύμμαχον, πέμψαντας πρὸς τὸν αὐτὸν Ἀντίοχον, ὃς παρὰ Πτολεμαίου τοῦ Λαθούρου μεταπεμψάμενος ἄνδρας εἰς ἑξακισχιλίους, οὓς ἀκούσης τῆς μητρὸς ἐκεῖνος καὶ ὅσον οὔπω τῆς ἀρχῆς αὐτὸν ἐκβεβληκυίας ἐξαπέστειλε, τὸ μὲν πρῶτον ἐπιὼν ἐπόρθει τὴν Ὑρκανοῦ χώραν μετὰ τῶν Αἰγυπτίων λῃστρικῶς, μάχεσθαι μὲν αὐτῷ κατὰ πρόσωπον οὐ τολμῶν, (οὐ γὰρ ἦν ἀξιόχρεως ἡ δύναμις αὐτοῦ,) νομίζων δὲ τῇ κακώσει τῆς γῆς ἀναγκάσειν Ὑρκανὸν λῦσαι τὴν ἐπὶ τὴν Σαμάρειαν πολιορκίαν. Ἐπεὶ δὲ πολλοὺς τῶν στρατιωτῶν ἀπώλλυεν ἐνέδραις περιπίπτων, ἀπῆρεν εἰς Τρίπολιν, Καλλιμάνδρῳ καὶ Ἐπικράτει τὸν πρὸς τοὺς Ἰουδαίους πόλεμον ἐπιτρέψας.

γ'. Καλλίμανδρος μὲν οὖν θρασύτερον τοῖς πολεμίοις προσενεχθεὶς εἰς φυγὴν τραπόμενος παραχρῆμα διεφθάρη· Ἐπικράτης δὲ ὑπὸ φιλοχρηματίας τήν τε Σκυθόπολιν καὶ τἄλλα πρὸς ταύτῃ χωρία προὔδωκε φανερῶς τοῖς Ἰουδαίοις, τὴν δὲ Σαμαρείας πολιορκίαν διαλύειν οὐκ ἠδύνατο. Ὑρκανὸς μὲν οὖν τὴν πόλιν ἑλὼν ἐνιαυτῷ πολιορκήσας οὐκ ἠρκέσθη μόνῳ τούτῳ, ἀλλὰ καὶ πᾶσαν αὐτὴν ἠφάνισεν, ἐπίκλυστον τοῖς χειμάρροις ποιήσας· διασκάψας γὰρ αὐτὴν ὥστε εἰς χαράδρας μεταπεσεῖν, τὰ σημεῖα τοῦ γενέσθαι ποτὲ πόλιν αὐτὴν ἀφείλετο. Παράδοξον δέ τι περὶ τοῦ ἀρχιερέως Ὑρκανοῦ λέγεται, τίνα τρόπον αὐτῷ τὸ θεῖον εἰς λόγους ἦλθε. Φασὶ γὰρ ὅτι κατ' ἐκείνην τὴν ἡμέραν, καθ' ἣν οἱ παῖδες αὐτοῦ τῷ Κυζικηνῷ συνέβαλον, αὐτὸς ἐν τῷ ναῷ θυμιῶν μόνος ὢν ὁ ἀρχιερεὺς ἀκούσειε φωνῆς ὡς οἱ παῖδες αὐτοῦ νενικήκασιν ἀρτίως τὸν Ἀντίοχον· καὶ τοῦτο προελθὼν ἐκ τοῦ ναοῦ παντὶ τῷ πλήθει φανερὸν ἐποίησεν. Καὶ συνέβη οὕτω γενέσθαι. Καὶ τὰ μὲν περὶ Ὑρκανοῦ ἐν τούτοις ἦν.

δ'. Κατὰ δὲ τοῦτον ἔτυχε τὸν καιρὸν μὴ μόνον τοὺς ἐν Ἱεροσολύμοις καὶ τῇ χώρᾳ Ἰουδαίους εὐπραγεῖν, ἀλλὰ καὶ τοὺς ἐν Ἀλεξανδρείᾳ κατοικοῦντας καὶ ἐν Αἰγύπτῳ καὶ Κύπρῳ. Κλεοπάτρα γὰρ ἡ βασίλισσα πρὸς τὸν υἱὸν στασιάζουσα Πτολεμαῖον τὸν Λάθουρον ἐπιλεγόμενον κατέστησεν ἡγεμόνας, Χελκίαν καὶ Ἀνανίαν υἱοὺς ὄντας Ὀνίου τοῦ οἰκοδομήσαντος τὸν ναὸν ἐν τῷ Ἡλιοπολίτῃ νομῷ πρὸς τὸν ἐν Ἱεροσολύμοις, ὡς καὶ ἐν ἄλλοις δεδηλώκαμεν. Παραδοῦσα δὲ τούτοις ἡ Κλεοπάτρα τὴν στρατιὰν οὐδὲν δίχα τῆς τούτων γνώμης ἔπραττεν, ὡς μαρτυρεῖ καὶ Στράβων ἡμῖν ὁ Καππάδοξ, λέγων οὕτως. « Οἱ γὰρ πλείους, οἵ τε συνελθόντες ἡμῖν καὶ « οἱ ὕστερον ἐπιπεμπόμενοι παρὰ τῆς Κλεοπάτρας εἰς « Κύπρον, μετεβάλλοντο παραχρῆμα πρὸς τὸν Πτολε« μαῖον· μόνοι δὲ οἱ ἐκ τῆς Ὀνίου λεγόμενοι συνέμενον « Ἰουδαῖοι, διὰ τὸ τοὺς πολίτας αὐτῶν εὐδοκιμεῖν μά-

sthai mèn tôn aêthôn, epikalesasthai dè boêthon Antiochon tòn Kuzikênon· hos hetoimôs epì tên summachian aphikomenos hupò tôn perì Aristóboulon êttâtai, diôchthelis d' achri Skuthopóleôs hupò tôn adelphôn diéphugen. Oi d' epì tous Samareîs hupostréphantes sugkleíousi pálin eis tò teîchos autous, hôs kai deúteron epikalesasthai súmmachon, pémpsantas pròs tòn autòn Antíochon, hos parà Ptolemaíou toû Lathoúrou metapempsámenos ándras eis hexakischilíous, hoûs akoúsês tês mêtrós ekeînos kai hóson oúpô tês archês autòn ekbeblêkuías exapésteile, tò mèn prôton epiôn epórthei tên Hurkanoû chôran metà tôn Aiguptíôn lêstrikôs, mákhesthai mèn autôi katà prósôpon ou tolmôn, (ou gàr ên axiókhreôs ê dúnamis autoû,) nomízôn dè têi kakôsei tês gês anagkásein Hurkanòn lûsai tên epì tên Samáreian poliorkían. Epeì dè pollous tôn stratiôtôn apóllusen enédrais peripíptôn, apêren eis Trípolin, Kallimándrôi kai Epikrátei tòn pròs tous Ioudaíous pólemon epitrépsas.

γ'. Kallímandros mèn oûn thrasúteron toîs polemíois prosenekhtheìs eis phugên trapómenos parakhrêma diephthárê· Epikrátês dè hupò philokhrêmatías tên te Skuthópolin kai tálla pròs taútêi khôria prodoûnai phanerôs toîs Ioudaíois, tên dè Samareías poliorkían dialúein oúk êdúnato. Hurkanòs mèn oûn tên pólin hélôn eniautôi poliorkêsas oùk êrkésthê mónôi toútôi, allà kai pâsan autên êphánisen, epíklustos toîs kheimárrois poiêsas· diaskápsas gàr autên hôste eis kharádras metapesein, tà sêmeîa toû genésthai potè pólin autên apheílet. Paráduxon dé ti perì toû arkhiereôs Hurkanoû légetai, tína trópon autôi tò theîon eis lógous êlthe. Phasì gàr hóti kat' ekeínên tên hêméran, kath' hên oi paîdes autoû tôi Kuzikênôi sunébalon, autòs en tôi naôi thumiôn mónos ôn ho arkhiereùs akoúseie phônês hôs oi paîdes autoû nenikêkasin artíôs tòn Antíochon· kai toûto proelthôn ek toû naoû pantì tôi plêthei phaneròn epoíêsen. Kai sunébê oûtô genésthai. Kai tà mèn perì Hurkanoû en toútois ên.

δ'. Katà dè toûton étuche tòn kairòn mê mónon tous en Hierosolúmois kai têi chôrâ Ioudaíous eupragein, allà kai tous en Alexandreíâ katoikoûntas kai en Aiguptôi kai Kúprôi. Kleopátra gàr hê basílissa pròs tòn huiòn stasiázousa Ptolemaîon tòn Láthouron epilegómenon katéstêsen hêgemónas, Khelkían kai Ananían huioùs ontas Onníou toû oikodomêsantos tòn naòn en tôi Hêliopolítêi nomôi pròs tòn en Hierosolúmois, hôs kai en állois dedêlôkamen. Paradoûsa dè toútois hê Kleopátra tên stratiàn oudèn díkha tês toútôn gnómês éprattên, hôs martureî kai Strábôn hêmîn ho Kappádox, légôn hoútôs. « Oi gàr pleíous, hoí te sunelthóntes hêmîn kai « oi ústerον epipempómenoi parà tês Kleopátras eis « Kúprον, metebállonto parakhrêma pròs tòn Ptole« maîon· mónoi dè oi ek tês Onníou legómenoi sunémenon « Ioudaîoi, dià tò toùs polítas autôn eudokimeîn má-

sthai mèn tôn aêthôn, epikalesasthai dè boêthon Antíochon tòn Kuzikênón· hos hetoímôs epì tên summachían aphikómenos hupò tôn perì Aristóboulon hêttâtai, diôchthelis d' achri Skuthopóleôs hupò tôn adelphôn diéphugen. Oi d' epì tous Samareîs hupostréphantes sugkleíousi pálin eis tò teîchos autous, hôs kai deúteron epikalesasthai súmmachon, pémpsantas pròs tòn autòn Antíochon, hos parà Ptolemaíou toû Lathoúrou metapempsámenos ándras eis hexakischilíous, hoûs akoúsês tês mêtrós ekeînos kai hóson oúpô tês archês autòn ekbeblêkuías exapésteile, tò mèn prôton epiôn epórthei tên Hurkanoû chôran metà tôn Aiguptíôn lêstrikôs, mákhesthai mèn autôi katà prósôpon où tolmôn, (où gàr ên axiókhreôs ê dúnamis autoû,) nomízôn dè têi kakôsei tês gês anagkásein Hurkanòn lûsai tên epì tên Samáreian poliorkían. Epeì dè pollous tôn stratiôtôn apóllusen enédrais peripíptôn, apêren eis Trípolin, Kallimándrôi kai Epikrátei tòn pròs tous Ioudaíous pólemon epitrépsas.

γ'. Kallímandros mèn oûn thrasúteron toîs polemíois prosenekhtheìs eis phugên trapómenos parakhrêma diephthárê· Epikrátês dè hupò philokhrêmatías tên te Skuthópolin kai tálla pròs taútêi khôria prodoûnai phanerôs toîs Ioudaíois, tên dè Samareías poliorkían dialúein oúk êdúnato. Hurkanòs mèn oûn tên pólin hélôn eniautôi poliorkêsas oùk êrkésthê mónôi toútôi, allà kai pâsan autên êphánisen, epíklustos toîs kheimárrois poiêsas· diaskápsas gàr autên hôste eis kharádras metapesein, tà sêmeîa toû genésthai potè pólin autên apheílet. Paráduxon dé ti perì toû arkhiereôs Hurkanoû légetai, tína trópon autôi tò theîon eis lógous êlthe. Phasì gàr hóti kat' ekeínên tên hêméran, kath' hên oi paîdes autoû tôi Kuzikênôi sunébalon, autòs en tôi naôi thumiôn mónos ôn ho arkhiereùs akoúseie phônês hôs oi paîdes autoû nenikêkasin artíôs tòn Antíochon· kai toûto proelthôn ek toû naoû pantì tôi plêthei phaneròn epoíêsen. Kai sunébê oûtô genésthai. Kai tà mèn perì Hurkanoû en toútois ên.

δ'. Katà dè toûton étuche tòn kairòn mê mónon tous en Hierosolúmois kai têi chôrâ Ioudaíous eupragein, allà kai tous en Alexandreíâ katoikoûntas kai en Aiguptôi kai Kúprôi. Kleopátra gàr hê basílissa pròs tòn huiòn stasiázousa Ptolemaîon tòn Láthouron epilegómenon katéstêsen hêgemónas, Khelkían kai Ananían huioùs ontas Onníou toû oikodomêsantos tòn naòn en tôi Hêliopolítêi nomôi pròs tòn en Hierosolúmois, hôs kai en állois dedêlôkamen. Paradoûsa dè toútois hê Kleopátra tên stratiàn oudèn díkha tês toútôn gnómês éprattên, hôs martureî kai Strábôn hêmîn ho Kappádox, légôn hoútôs. « Oi gàr pleíous, hoí te sunelthóntes hêmîn kai « oi ústerον epipempómenoi parà tês Kleopátras eis « Kúprον, metebállonto parakhrêma pròs tòn Ptole« maîon· mónoi dè oi ek tês Onníou legómenoi sunémenon « Ioudaîoi, dià tò toùs polítas autôn eudokimeîn má-

tis vescerentur, et Antiochi Cyziceni opem implorarent. Qui quum libenter eis opitulatum se contulisset, ab Aristobulo vincitur, et Scythopolim usque fugatus a fratribus effugit. Illi vero, in Samaritas conversi, eos iterum intra muros compellunt, ita ut, mittendo ad eundem Antiochum, eum denuo accersiverint in auxilium. Qui, accitis a Ptolemæo Lathuro hominum ad sex millia, quos ille, invita matre et ab ea principatu propemodum deturbatus, misit, primum Hyrcani regionem cum illis Ægyptiis latrocinando depopulabatur, cum eo quidem aperto Marte congredi non audens, (neque enim viribus par erat,) sed sperans fore ut agrorum vastatione Hyrcanum cogeret solvere obsidionem Samariæ. Verum postquam delatus in hostium insidias multos suorum militum amisit, Tripolim se recepit, quum Callimandrum et Epicratem bello contra Judæos præfecisset.

3. Et Callimander quidem, dum in hostes invehitur, in fugam versus statim occubuit : Epicrates vero, quippe pecuniæ avidus, et Scythopolin et alia finitima loca prodidit manifeste Judæis, neque Samariam obsidione levare potuit. Et Hyrcanus quidem urbem, uno anno obsessam, cepit, nec eo solo contentus erat, sed etiam funditus eam delevit, inductis eo torrentibus : eam enim effodiendo ita subruit, ut in cavernas delaberetur, et ne vestigium quidem urbis ullum retineret. Incredibile autem quiddam narratur de Hyrcano pontifice, quemadmodum Deus in colloquium cum eo venerit. Fertur enim, quo die ejus filii cum Cyziceno dimicarunt, quum ille solus in templo pontifex thura adoleret, vocem audivisse, quæ significaret superatum modo ab ejus pueri Antiochum. Id quod ipse egressus ex templo toti populo indicavit. Atque ita factum contigit. Et hoc quidem in statu erant res Hyrcani.

4. Accidit autem eodem tempore ut non solum qui Hierosolymis et in ea regione erant Judæi, bene agerent, sed etiam qui Alexandriæ et in Ægypto atque Cypro degebant. Cleopatra enim regina a filio suo Ptolemæo, cognomine Lathuro, dissidens, duces constituit Chelciam et Ananiam, Oniæ filios, ejus qui templum in Heliopolitana præfectura Hierosolymitani simile construxerat, prout alibi narravimus. Quum autem istis exercitum tradidisset Cleopatra, nihil absque eorum sententia faciebat, sicut et nobis testimonio est Strabo Cappadox, ita dicens. « Plerique enim, « et qui nobiscum se contulerunt Cyprum, et qui postea a « Cleopatra eo missi sunt, confestim deficiebant ad Ptole« mæum : soli vero ex Oniæ factione Judæi permanebant,

« λιστα παρὰ τῇ βασιλίσσῃ Χελκίαν τε καὶ Ἀνανίαν ». Ταῦτα μὲν οὖν ὁ Στράβων φησίν.

ε'. Ὑρκανῷ δὲ φθόνον ἐκίνησεν ἡ εὐπραγία παρὰ τῶν Ἰουδαίων· μάλιστα δὲ οἱ Φαρισαῖοι κακῶς πρὸς αὐτὸν εἶχον, αἵρεσις ὄντες μία τῶν Ἰουδαίων, ὡς καὶ ἐν τοῖς ἔπάνω δεδηλώκαμεν. Τοσαύτην δὲ ἔχουσι τὴν ἰσχὺν παρὰ τῷ πλήθει, ὡς καὶ κατὰ βασιλέως τι λέγοντες καὶ κατὰ ἀρχιερέως εὐθὺς πιστεύεσθαι. Μαθητὴς δ' αὐτῶν ἦν καὶ Ὑρκανὸς καὶ σφόδρα ὑπ' αὐτῶν ἠγαπᾶτο. Καὶ δὴ καλέσας αὐτοὺς ἐφ' ἑστίασιν καὶ φιλοφρόνως ὑποδεξάμενος, ἐπεὶ σφόδρα ἡδομένους ἑώρα, λέγειν ἤρξατο πρὸς αὐτοὺς ὡς ἴσασι μὲν αὐτὸν βουλόμενον εἶναι δίκαιον καὶ πάντα ποιοῦντα ἐξ ὧν ἀρέσειεν ἂν τῷ Θεῷ, καὶ αὐτὸ δὲ Φαρισαῖοι φιλοσοφοῦσιν· ἠξίου γε μὴν, εἴ τι βλέπουσιν αὐτὸν ἁμαρτάνοντα καὶ τῆς ὁδοῦ τῆς δικαίας ἐκτρεπόμενον, εἰς αὐτὴν ἐπανάγειν καὶ ἐπανορθοῦν. Τῶν δὲ μαρτυρησάντων αὐτῷ πᾶσαν ἀρετὴν, ὁ μὲν ἥσθη τοῖς ἐπαινοῦσιν· εἷς δέ τις τῶν κατακειμένων Ἐλεάζαρος ὄνομα, κακοήθης ὢν φύσει καὶ στάσει χαίρων, « ἐπεὶ, φησὶν, ἠξίωσας γνῶναι τὴν ἀλήθειαν, εἰ θέλεις εἶναι δίκαιος, τὴν ἀρχιερωσύνην ἀπόθου, καὶ μόνον ἀρκείτω σοι τὸ ἄρχειν τοῦ λαοῦ. » Τὴν δ' αἰτίαν αὐτοῦ πυθομένου δι' ἣν ἀπόθοιτο τὴν ἀρχιερωσύνην, « ὅτι, φησὶν, ἀκούομεν παρὰ τῶν πρεσβυτέρων αἰχμάλωτόν σου γεγονέναι τὴν μητέρα βασιλεύοντος Ἀντιόχου τοῦ Ἐπιφανοῦς. » Ψευδὴς δὲ ὁ λόγος ἦν, καὶ πρὸς αὐτὸν Ὑρκανὸς παρωξύνθη, καὶ πάντες δ' οἱ Φαρισαῖοι σφοδρῶς ἠγανάκτησαν.

ς'. Τῶν δ' ἐκ τῆς Σαδδουκαίων αἱρέσεως, οἳ τὴν ἐναντίαν τοῖς Φαρισαίοις προαίρεσιν ἔχουσιν, Ἰωνάθης τις ἐν τοῖς μάλιστα φίλος ὢν Ὑρκανῷ, τῇ κοινῇ πάντων Φαρισαίων γνώμῃ ποιήσασθαι τὰς βλασφημίας τὸν Ἐλεάζαρον ἔλεγε, καὶ τοῦτο ἔσεσθαι φανερὸν αὐτῷ πυθομένῳ παρ' ἐκείνων τίνος ἄξιός ἐστιν ἐπὶ τοῖς εἰρημένοις κολάσεως. Τοῦ δ' Ὑρκανοῦ τοὺς Φαρισαίους ἐρομένου τίνος αὐτὸν ἄξιον ἡγοῦνται τιμωρίας, (πεισθήσεσθαι γὰρ οὐ μετὰ τῆς ἐκείνων γνώμης γεγονέναι τὰς βλασφημίας, τιμησαμένων αὐτὸν τῷ μέτρῳ τῆς δίκης,) πληγῶν ἔφασαν καὶ δεσμῶν. Οὐ γὰρ ἐδόκει λοιδορίας ἕνεκα θανάτῳ ζημιοῦν· ἄλλως τε καὶ φύσει πρὸς τὰς κολάσεις ἐπιεικῶς ἔχουσιν οἱ Φαρισαῖοι. Πρὸς τοῦτο λίαν ἐχαλέπηνε καὶ πρὸς τὸ δοκοῦν ἐκείνοις ποιήσασθαι τὰς βλασφημίας τὸν ἄνθρωπον ἐνόμισε. Μάλιστα δὲ αὐτὸν ἐπιπαρώξυνεν Ἰωνάθης καὶ διέθηκεν οὕτως ὥστε τῇ Σαδδουκαίων ποιεῖσθαι προσθέσθαι μοίρᾳ, τῶν Φαρισαίων ἀποστάντα, καὶ τά τε ὑπ' αὐτῶν κατασταθέντα νόμιμα τῷ δήμῳ καταλῦσαι καὶ τοὺς φυλάττοντας αὐτὰ κολάσαι. Μῖσος οὖν ἐντεῦθεν αὐτῷ τε καὶ τοῖς υἱοῖς παρὰ τοῦ πλήθους διεγένετο. Περὶ μέντοι τούτων αὖθις ἐροῦμεν· νῦν δὲ δηλῶσαι βούλομαι ὅτι νόμιμα πολλά τινα παρέδοσαν τῷ δήμῳ οἱ Φαρισαῖοι ἐκ πατέρων διαδοχῆς, ἅπερ οὐκ ἀναγέγραπται ἐν τοῖς Μωϋσέως νόμοις, καὶ διὰ τοῦτο ταῦτα τὸ Σαδδουκαίων γένος ἐκβάλλει, λέγον ἐκεῖνα δεῖν ἡγεῖσθαι νόμιμα τὰ γεγραμμένα, τὰ δὲ ἐκ παραδόσεως τῶν πατέρων μὴ τηρεῖν. Καὶ περὶ μὲν τούτων ἐπὶ πολὺ διαφορὰ τοῖς δυοῖν τούτοις μέρεσιν Ἰουδαίων πρὸς ἀλλήλους ἐστὶν, ἀκριβεῖς δοκοῦντες εἶναι περὶ τὰ νόμιμα οἱ Φαρισαῖοι καὶ τὴν ἀγωγὴν ἔχοντες αὐστηροτέραν.

« eo quod cives eorum Chelcias et Ananias maxima essent « in gratia apud reginam. » Et hæc quidem Strabo dicit.

5. Ceterum Hyrcano invidiam Judæorum commoverunt res secundæ : et maxime Pharisæi erant in eum male animati, una quidem Judæorum secta, ut superius memoravimus. Tantæ autem sunt auctoritatis apud plebem, ut si quid vel contra regem vel contra pontificem dicant, continuo credatur. Horum discipulus et Hyrcanus erat, eisque inprimis carus. Quumque aliquando eos ad convivium vocasset et opipare accepisset, postquam animadvertit vehementer delectari, cœpit eis dicere, ipsos quidem nosse sese velle esse justum et omnia facere quibus Deo placere posset; id quod ipsi quoque Pharisæi profiterentur : petere tamen, si quid peccare se et de via deflectere viderent, ut se in eam revocarent atque corrigerent. Quum vero illi virtuti *ipsius testimonium dedissent, laudibus quidem eorum* delectatus est : sed convivarum quidam, nomine Eleazarus, homo ingenii pravi et seditionis amans, « quoniam, inquit, verum scire expetis, si vis esse justus, pontificatu tete abdica, et solo populi principatu contentus esto. » Quum autem causam ille quæreret cur deberet pontificatum deponere, « quia, inquit, audimus a natu majoribus, captivam fuisse tuam matrem regnante Antiocho Epiphane. » Falsum autem erat id quod dixerat : eoque Hyrcanus exacerbatus, neque non Pharisæi omnes graviter offensi sunt.

6. Tum Jonathas quidam de secta Sadducæorum, qui contrarium tenent Pharisæis institutum, Hyrcani cum primis amicus, dicebat de communi omnium Pharisæorum sententia conviciatum esse Eleazarum : *idque ipsi fore* manifestum, si ab illis quærat quanam pœna dignus sit Eleazarus *ob illud dictum*. Quumque Hyrcanus a Pharisæis scisciteretur quam pœnam illum commeritum esse censeant, (*se enim* persuasum habiturum non ex illorum sententia sibi factum esse convicium, si illum pœna, quam postulat flagitium, affecerint,) responderunt verberibus et vinculis dignum esse. Neque enim videbatur eis convicii gratia capite plectendus : et alioquin ita Pharisæi a natura comparati ut in pœna irroganda clementes sint. Ea re graviter adeo offensus est *Hyrcanus*, ut hominem ex illorum sententia contumeliam dixisse existimaverit. Et maxime Jonathas insuper incendit, et ita affecit, ut persuaderet ei a Pharisæis deficere, et ad Sadducæorum partes transire, et præscripta a Pharisæis populo jura antiquare, atque in eos qui ea servarint animadvertere. Itaque hinc natum est multitudinis tum in eum, tum in ejus filios odium. Verum de his postea dicemus. In præsentia autem demonstrare volo Pharisæos multa instituta populo tradidisse a patribus accepta, quæ in Moysis leges non relata sunt; ideoque ea Sadducæorum genus repudiat, dicitque ea pro institutis habenda

γραμμένα, τὰ δ' ἐκ παραδόσεως τῶν πατέρων μὴ τηρεῖν. Καὶ περὶ τούτων ζητήσεις αὐτοῖς καὶ διαφορὰς γενέσθαι συνέβαινε μεγάλας, τῶν μὲν Σαδδουκαίων τοὺς εὐπόρους μόνον πειθόντων, τὸ δὲ δημοτικὸν οὐχ ἑπόμενον αὐτοῖς ἐχόντων, τῶν δὲ Φαρισαίων τὸ πλῆθος σύμμαχον ἐχόντων. Ἀλλὰ περὶ μὲν τούτων τῶν δύο καὶ τῶν Ἐσσηνῶν ἐν τῇ δευτέρᾳ μου τῶν Ἰουδαϊκῶν ἀκριβῶς δεδηλώκαμεν.

ζ'. Ὑρκανὸς δὲ παύσας τὴν στάσιν καὶ μετ' αὐτὴν βιώσας εὐδαιμόνως καὶ τὴν ἀρχὴν διοικησάμενος τὸν ἄριστον τρόπον ἔτεσιν ἑνὶ καὶ τριάκοντα τελευτᾷ, καταλιπὼν υἱοὺς πέντε, τριῶν τῶν μεγίστων ἄξιος ὑπὸ τοῦ Θεοῦ κριθείς, ἀρχῆς τοῦ ἔθνους καὶ τῆς ἀρχιερατικῆς τιμῆς καὶ προφητείας. Συνῆν γὰρ αὐτῷ τὸ θεῖον καὶ τὴν τῶν μελλόντων πρόγνωσιν παρεῖχεν αὐτῷ τε εἰδέναι καὶ προλέγειν οὕτως, ὥστε καὶ περὶ τῶν δύο τῶν πρεσβυτέρων αὐτοῦ παίδων ὅτι μὴ μενοῦσι τῶν πραγμάτων κύριοι προεῖπεν· ὧν τὴν καταστροφὴν εἰς τὸ μαθεῖν ὅσον τῆς τοῦ πατρὸς ὑπέβησαν εὐτυχίας ἄξιον ἀφηγήσασθαι.

ΚΕΦ. ΙΑ'.

Τελευτήσαντος γὰρ αὐτοῖς τοῦ πατρὸς, ὁ πρεσβύτατος Ἀριστόβουλος τὴν ἀρχὴν εἰς βασιλείαν μεταθῆναι δόξας (ἔκρινεν γὰρ οὕτω) διάδημα πρῶτος ἐπιτίθεται μετὰ τετρακοσίων ἀριθμὸν ἐτῶν καὶ ὀγδοήκοντα καὶ ἑνὸς καὶ μηνῶν τριῶν, ἀφ' οὗ τῆς ἀπὸ Βαβυλῶνος δουλείας ἀπαλλαγεὶς ὁ λαὸς εἰς τὴν οἰκείαν ἐπανῆλθε. Στέργων δὲ τῶν ἀδελφῶν τὸν μετ' αὐτὸν Ἀντίγονον, τοῦτον μὲν τῶν ὁμοίων ἠξίου, τοὺς δ' ἄλλους εἶχεν ἐν δεσμοῖς. Εἶρξε δὲ καὶ τὴν μητέρα περὶ τῆς ἀρχῆς αὐτῷ διενεχθεῖσαν, (ἐκείνην γὰρ Ὑρκανὸς τῶν ὅλων κυρίαν καταλελοίπει,) καὶ μέχρι τοσαύτης ὠμότητος προῆλθεν, ὥστ' αὐτὴν καὶ λιμῷ διαφθεῖραι δεδεμένην. Προστίθησι δὲ τῇ μητρὶ καὶ τὸν ἀδελφὸν Ἀντίγονον, ὃν στέργειν ἐδόκει μάλιστα καὶ κοινωνὸν εἶχε τῆς βασιλείας, ἐκ διαβολῶν ἀπαλλοτριωθεὶς πρὸς αὐτὸν, αἷς τὸ μὲν πρῶτον οὐκ ἐπίστευσε, τὰ μὲν ὑπὸ τοῦ φιλεῖν αὐτὸν οὐ προσέχων τοῖς λεγομένοις, τὰ δὲ καὶ φθονούμενον ἡγούμενος διαβάλλεσθαι· τοῦ δὲ Ἀντιγόνου ποτὲ λαμπρῶς ἀπὸ στρατείας ἐπανελθόντος καὶ τῆς ἑορτῆς, καθ' ἣν σκηνοπηγοῦσι τῷ Θεῷ, κατ' ἐκεῖνον τὸν καιρὸν ἐνστάσης, ἔτυχε τὸν μὲν Ἀριστόβουλον εἰς νόσον καταπεσεῖν, τὸν δὲ Ἀντίγονον ἐπιτελοῦντα τὴν ἑορτὴν ἀναβῆναι λαμπρῶς σφόδρα κεκοσμημένον μετὰ τῶν περὶ αὐτὸν ὁπλιτῶν εἰς τὸ ἱερὸν, καὶ τὰ πλείω περὶ τῆς ἀδελφοῦ σωτηρίας εὔχεσθαι, τοὺς δὲ πονηροὺς καὶ διαστῆσαι τὴν ὁμόνοιαν αὐτῶν ἐσπουδακότας, ἀφορμῇ χρησαμένους τῇ τε πρὸς τὴν πομπὴν τοῦ Ἀντιγόνου φιλοτιμίᾳ καὶ τοῖς ὑπ' αὐτοῦ κατωρθωμένοις, ἐλθεῖν πρὸς τὸν βασιλέα καὶ κακοήθως ἐπὶ τὸ μεῖζον ἐξαίρειν τὰ περὶ τὴν πομπὴν τὴν ἐν τῇ ἑορτῇ, καὶ ὡς οὐ κατ' ἰδιώτην ἕκαστον ἦν τῶν γινομένων, ἀλλὰ φρονήματος ἔνδειξιν ἔχειν βασιλικοῦ τὰ πραττόμενα, καὶ ὡς κτείνειν

quæ scripta sunt, quæ autem a patribus tradita sunt non esse servanda. Atque accidit ut de his quæstiones eis gravesque contentiones orirentur, Sadducæis locupletes solum in suas partes pertrahentibus, Pharisæis autem multitudinis favore nitentibus. Sed de his duabus sectis et Essenorum accurate tractavimus in secundo quem scripsimus de rebus Judaicis libro.

7. Cæterum Hyrcanus, sedata contentione, cum post eam feliciter vixisset, et imperio optime annos unum et triginta præfuisset, obiit, relictis quinque filiis, tria maxima consequutus a Deo, principatum gentis, pontificalem honorem, et vaticinationem. Aderat enim ei numen, futurorumque præsensionem et prædictionem ei ita præbebat, ut de duobus suis filiis natu majoribus prædixerit, non diu in imperio mansuros. De quorum interitu operæ pretium est narrationem facere, ut intelligamus quantum eos pater felicitate sit supergressus.

CAP. XI. (XIX.)

Defuncto enim eorum patre, Aristobulus ejus filiorum natu maximus, quum sibi visum fuisset (nam ita ipsi constitutum erat) principatum in regnum commutare, diadema sibi primus imponit, post annos numero quadringentos octoginta et unum, mensesque tres, quam populus Babylonica servitute liberatus in proprias sedes revenerat. Quumque Antigonum fratrum suorum sibi ætate proximum amaret, hunc quidem pari honore dignabatur, ceteros vero in vinculis habebat. Matrem etiam conjecit in carcerem, quod ea cum ipso de principatu contenderit, (eam enim Hyrcanus omnium dominam reliquerat,) eoque crudelitatis processit, ut vinctam fame necarit. Addidit matri et fratrem Antigonum, quem amare videbatur, et valde regni socium habebat, calumniis abalienatus ab eo, quibus primum non credebat, tum quia eum amabat dicentibus animum non advertens, tum quod ea maledicta ab invidia proficisci putabat: sed quum aliquando Antigonus ab exercitu magnifice reverteretur, et tunc in eo essent ut festum agerent quo Deo erigunt tabernacula, accidit ut Aristobulus quidem propter morbum decumberet, Antigonus vero ascenderet splendidissime ornatus in templum ad festum celebrandum una cum suis militibus armatis, potissimumque ad vota pro fratris salute facienda; utque tum homines mali et concordiæ eorum dirimendæ cupidi, occasionem nacti ex hoc Antigoni apparatu rebusque ab eo feliciter gestis, regem adirent, eique festi apparatum, rem malitiose in majus augentes, exponerent, quasi singula quæ ab illo fierent non essent hominis privati, sed pro animi regii argumentis habenda quæ fecerat, foretque ut illum interficeret, quum ad-

αὐτὸν μέλλοι μετὰ στίφους ἐληλυθὼς καρτεροῦ, λογιζόμενος εὐήθως αὐτὸν, βασιλεύειν ἐνὸν, τιμῆς μεταλαμβάνοντα δοκεῖν μεγάλων τυγχάνειν.

β'. Ἀριστόβουλος δὲ τούτοις ἄχων πειθόμενος καὶ τοῦ ἀνύποπτος εἶναι τἀδελφῷ προνοῶν, καὶ τῆς ἀσφαλείας ἅμα φροντίζων, διέστησε τοὺς σωματοφύλακας ἔν τινι τῶν ὑπογείων ἀφωτίστῳ, (κατέκειτο δὲ ἐν τῇ βάρει, μετονομασθείσῃ δὲ Ἀντωνίᾳ), καὶ προσέταξεν ἀνόπλου μὲν ἅπτεσθαι μηδενὸς, κτείνειν δὲ τὸν Ἀντίγονον, ἂν ὡπλισμένος πρὸς αὐτὸν εἰσίῃ. Πέμπει μέντοι πρὸς τὸν Ἀντίγονον αὐτὸς ἄνοπλον αὐτὸν ἀξιῶν ἥκειν. Ἡ δὲ βασίλισσα καὶ οἱ συνεπιβουλεύοντες αὐτῇ κατ' Ἀντιγόνου πείθουσι τὸν πεμφθέντα τὰ ἐναντία λέγειν, ὡς ὁ ἀδελφὸς ἀκούσας ὅτι κατασκευάσειεν ὅπλα καὶ κόσμον πολεμικὸν, παραγενέσθαι πρὸς αὐτὸν παρακαλεῖ ὡπλισμένον, ὅπως ἴδοι τὴν κατασκευήν. Ὁ δ' Ἀντίγονος μηδὲν ὑπιδόμενος κακοῦργον, ἀλλὰ θαρρῶν τῇ παρὰ τἀδελφοῦ διαθέσει, ὡς εἶχεν ἐνδεδυμένος τὴν πανοπλίαν παραγίνεται πρὸς τὸν Ἀριστόβουλον, ἐπιδείξων αὐτῷ τὰ ὅπλα. Γενόμενον δ' αὐτὸν κατὰ τὸν Στράτωνος καλούμενον πύργον, οὗ συνέβαινεν ἀφώτιστον εἶναι σφόδρα τὴν πάροδον, ἀποκτείνουσιν οἱ σωματοφύλακες. Διέδειξέ γε μὴν ὁ τούτου θάνατος ὅτι μηδὲν μήτε φθόνου μήτε διαβολῆς ἰσχυρότερον, μηδ' ὅ τι μᾶλλον εὔνοιαν καὶ φυσικὴν οἰκειότητα διίστησιν ἢ ταῦτα τὰ πάθη. Μάλιστα δ' ἄν τις θαυμάσειε καὶ Ἰούδαν τινὰ, Ἐσσηνὸν μὲν τὸ γένος, οὐδέποτε δὲ ἐν οἷς προεῖπε διαψευσάμενον τἀληθές. Οὗτος γὰρ ἰδὼν τὸν Ἀντίγονον παριόντα τὸ ἱερὸν, ἀνεβόησεν ἐν τοῖς ἑταίροις αὐτοῦ καὶ γνωρίμοις, οἷ διδασκαλίας ἕνεκα τοῦ προλέγειν τὰ μέλλοντα παρέμενον, ὡς ἀποθανεῖν αὐτῷ καλὸν διεψευσμένῳ ζῶντος Ἀντιγόνου, ὃν σήμερον τεθνήξεσθαι προειπὼν ἐν τῷ καλουμένῳ Στράτωνος πύργῳ παριόντα ὁρᾷ, καὶ τοῦ μὲν χωρίου σταδίους ἀπέχοντος ἑξακοσίους, ὅπου φονευθήσεσθαι προεῖπεν αὐτὸν, τῆς δὲ ἡμέρας ἤδη τοῦ πλείονος ἠνυσμένου, ὥστ' αὐτῷ κινδυνεύειν τὸ μάντευμα ψευδὲς εἶναι. Ταῦτ' οὖν λέγοντος αὐτοῦ καὶ κατηφοῦντος, ἀγγέλλεται τεθνεὼς Ἀντίγονος ἐν τῷ ὑπογείῳ, ὃ καὶ αὐτὸ Στράτωνος πύργος ἐκαλεῖτο, ὁμωνύμως τῇ παραλίᾳ Καισαρείᾳ. Τὸν μὲν οὖν μάντιν τοῦτο διετάραξεν.

γ'. Ἀριστόβουλον δὲ τῆς ἀδελφοκτονίας εὐθὺς εἰσῆλθε μετάνοια καὶ νόσος ἐπ' αὐτῇ, τῆς διανοίας ὑπὸ τοῦ μύσους κεκακωμένης, ὡς διαφθαρέντων αὐτῷ ὑπὸ ἀκράτου τῆς ὀδύνης τῶν ἐντὸς αἷμα ἀναφέρειν, ὃ τῶν διακονουμένων τις παίδων, κατὰ δαιμόνιον, οἶμαι, πρόνοιαν, εἰς τὸν αὐτὸν τόπον, οὗ σφαγέντος Ἀντιγόνου σπίλους ἔτι τοῦ αἵματος ἐκείνου συνέβαινεν εἶναι, κομίζων ὀλισθὼν ἐξέχεε. Γενομένης δὲ βοῆς παρὰ τῶν ἰδόντων, ὡς τοῦ παιδὸς ἐξεπίτηδες ἐκχέαντος ἐκεῖ τὸ αἷμα, ἀκούσας Ἀριστόβουλος τὴν αἰτίαν ἐπύθετο, καὶ μὴ λεγόντων, ἔτι μᾶλλον ἐπετείνετο μαθεῖν, φύσει τῶν ἀνθρώπων ὑπονοοῦντων ἐν τοῖς τοιούτοις εἶναι χείρονα τὰ σιγώμενα. Ὡς δὲ ἀπειλοῦντος καὶ βιαζομένου τοῖς φόβοις, τἀληvenerit valida armatorum manu stipatus, quod stultum existimet, quum regnare liceat, communicato honore sibi videri magna assequi.

2. Aristobulus autem his ægre inductus, quo et fratris suspicionem vitaret, et simul saluti suæ prospiceret, satellites suos in obscuro quodam loco subterraneo collocavit, (cubabat enim in turri quadam, quæ nominabatur Antonia,) eisque imperavit ut neminem, qui veniret inermis, tangerent, sed Antigonum, si armatus intraret ad se, interficerent. Interea ipse ad Antigonum misit qui rogaret ut sine armis accederet. Sed regina et qui cum ea Antigono insidiabantur, nuncio persuadent ut contraria diceret, fratrem, quoniam eum arma ornatumque bellicum parasse audierit, rogare ut ad se veniat armatus, quo eum apparatum videat. Antigonus vero nihil mali fraudisve suspicans, sed fratris benevolentiæ confidens, sicut erat toto corpore armatus, adit Aristobulum, arma ei ostensurus. At postquam venit ad turrim quæ Stratonis appellabatur, qua valde obscurus erat aditus, occiditur a satellitibus. Hujus sane mors ostendit nihil livore et calumnia esse fortius, nec quidquam citius benevolentiam naturæque conjunctionem dirimere quam istas perturbationes. Maxime autem alicui subeat mirari Judam quendam, genere Essenum, qui in prædictionibus suis nunquam a vero aberraverat. Is, Antigonum conspicatus præter templum euntem, exclamavit apud socios familiaresque suos, qui discendæ futurorum prædictionis gratia assiduo cum eo erant, sibi mortem esse optandam, postquam falsum dixisset, vivente Antigono : quem, quum prædixisset moriturum eo die in turri Stratonis, nunc prætereuntem videret, quum is quidem locus, in quo eum occisum iri prædixisset, stadiis sexcentis abesset, et diei jam major pars prælerita esset, adeo ut periculum subeat, ne falsum sit suum oraculum. Hæc itaque dum loquitur mœretque, nunciatur mortuus Antigonus in subterraneo loco, qui et ipse Stratonis turris appellabatur, eodem nomine quo maritima Cæsarea. Et hæc quidem res vatem perturbabat.

3. Aristobulum autem continuo cepit necis fraternæ pœnitentia, et ex ea morbus, animo sceleris conscientia cruciato, ut, corruptis immodico dolore partibus interioribus, sanguinem emiserit, quem dum quidam puerorum, qui ei ministrabant, divina, ut opinor, providentia, exportat usque ad locum, qui ex Antigoni cæde adhuc ejus cruore dedecoratus erat, prolapsus effudit. Hic orto clamore ab iis qui viderunt, quasi puer data opera sanguinem illic effudisset, eo audito Aristobulus causam sciscitatus est. Atque illis non dicentibus, eo magis scire avebat, quod natura ita comparatum est ut homines, quum quid ejusmodi accidit, quæ silentio premuntur deteriora esse suspicentur. Tandem ubi minis et terroribus veritatem ab illis extorsit,

θὲς εἶπον, προχεῖται μὲν αὐτῷ πληγέντι τὴν διάνοιαν ὑπὸ τοῦ συνειδότος πολλὰ δάκρυα, βύθιον δὲ ἀνοιμώξας, « οὐκ ἄρα, εἶπε, λήσειν ἐπ' ἀσεβέσιν οὕτω καὶ « μιαροῖς τολμήμασι τὸν Θεὸν ἔμελλον, ἀλλά με ταχεῖα « ποινὴ συγγενοῦς φόνου μετελήλυθε. Καὶ μέχρι τίνος, « ὦ σῶμα ἀναιδέστατον, ψυχὴν ὀφειλομένην ἀδελφοῦ « καὶ μητρὸς καθέξεις δαίμοσι; τί δ' οὐκ ἀθρόαν αὐτὴν « ταύτην ἀποδίδως, κατὰ μέρος δ' ἐπισπένδω τοὐμὸν « αἷμα τοῖς μιαιφονηθεῖσι; » Ταῦτ' εἰπὼν ἐπαποθνήσκει τοῖς λόγοις, βασιλεύσας ἐνιαυτὸν, χρηματίσας μὲν Φιλέλλην, πολλὰ δ' εὐεργετήσας τὴν πατρίδα, πολεμήσας Ἰτουραίαν, καὶ πολλὴν αὐτῶν τῆς χώρας τῇ Ἰουδαίᾳ προσκτησάμενος, ἀναγκάσας τε τοὺς ἐνοικοῦντας, εἰ βούλονται μένειν ἐν τῇ χώρᾳ, περιτέμνεσθαι καὶ κατὰ τοὺς Ἰουδαίων νόμους ζῆν. Φύσει δ' ἐπιεικεῖ ἐκέχρητο, καὶ σφόδρα ἦν αἰδοῦς ἥττων, ὡς μαρτυρεῖ τοῦτο καὶ Στράβων ἐκ τοῦ Τιμαγένους ὀνόματος λέγων οὕτως. « Ἐπιεικής τε ἐγένετο οὗτος ὁ « ἀνὴρ καὶ πολλὰ τοῖς Ἰουδαίοις χρήσιμος· χώραν τε « γὰρ αὐτοῖς προσεκτήσατο καὶ τὸ μέρος τοῦ τῶν Ἰτου« ραίων ἔθνους ᾠκειώσατο, δεσμῷ συνάψας τῇ τῶν « αἰδοίων περιτομῇ.

ΚΕΦ. ΙΒ'.

Τελευτήσαντος δὲ Ἀριστοβούλου Σαλώμη ἡ γυνὴ αὐτοῦ, λεγομένη δὲ ὑφ' Ἑλλήνων Ἀλεξάνδρα, λύσασα τοὺς ἀδελφοὺς αὐτοῦ, (δεδεμένους γὰρ αὐτοὺς εἶχεν Ἀριστόβουλος, ὡς προειρήκαμεν,) Ἰαννέαν τὸν Ἀλέξανδρον βασιλέα καθίστησι, τὸν κα0' ἡλικίαν προὔχοντα καὶ μετριότητα· ᾧ καὶ συνέβη γεννηθέντι εὐθὺς μισηθῆναι ὑπὸ τοῦ πατρὸς καὶ μέχρι τῆς τελευτῆς αὐτοῦ μηδέποτ' εἰς ὄψιν ἀφικέσθαι. Τὸ δ' αἴτιον τοῦ μίσους τοιόνδε λέγεται γεγενῆσθαι. Στέργων μάλιστα τῶν παίδων Ὑρκανὸς τοὺς πρεσβυτέρους, Ἀντίγονον καὶ Ἀριστόβουλον, φανέντα κατὰ τοὺς ὕπνους αὐτῷ τὸν Θεὸν ἐπηρώτα τίς αὐτοῦ τῶν παίδων μέλλει ἔσεσθαι διάδοχος· τοῦ δὲ Θεοῦ τοὺς τούτου χαρακτῆρας δείξαντος, λυπηθεὶς ὅτι τῶν ἀγαθῶν αὐτοῦ πάντων οὗτος ἔσται κληρονόμος, γενόμενον εἴασεν ἐν τῇ Γαλιλαίᾳ τρέφεσθαι. Ὁ μέντοι Θεὸς οὐ διεψεύσατο τὸν Ὑρκανόν· τὴν δὴ βασιλείαν, μετὰ τὴν Ἀριστοβούλου τελευτήν, οὗτος παραλαβὼν τὸν μὲν τῶν ἀδελφῶν ἐπιχειροῦντα τῇ βασιλείᾳ διεχρήσατο, τὸν δ' ἕτερον, ἀπραγμόνως ζῆν προαιρούμενον, εἶχεν ἐν τιμῇ.

β'. Καταστησάμενος δὲ τὴν ἀρχὴν ὃν ᾤετο συμφέρειν αὐτῷ τρόπον στρατεύει ἐπὶ Πτολεμαΐδα· τῇ δὲ μάχῃ κρατήσας ἐνέκλεισε τοὺς ἀνθρώπους εἰς τὴν πόλιν, καὶ περιεκάθισας αὐτοὺς ἐπολιόρκει. Τῶν γὰρ ἐν τῇ παραλίᾳ Πτολεμαΐς αὐτῷ καὶ Γάζα μόναι χειρωθῆναι ὑπελείποντο, καὶ Ζωΐλος δὲ ὁ κατασχὼν τὸν Στράτωνος πύργον τύραννος καὶ Δωρά. Τοῦ δὲ Φιλομήτορος Ἀντιόχου καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Ἀντιόχου, ὃς ἐπεκαλεῖτο Κυζικηνός, πολεμούντων ἀλλήλους, καὶ τὴν αὐτῶν δύναμιν ἀπολλύντων, ἦν οὐδεμία τοῖς Ἰτο-

ex conscientiæ stimulis animo vulneratus multum lacrimarum profudit, et quum alte ingemuisset, « ergo, inquit, fieri « non poterat ut mea tam impia et conscelerata facinora « Deum laterent : at me celeris pœna cognati cædis invasit. Et quousque, o corpus impudentissimum, retinebis « debitam fratris matrisque manibus animam? cur vero non « universam simul reddis, sed paulatim meum sanguinem « iis libo, quos nefarie interfeci? » Hæc fatus moritur inter loquendum, quum unum annum regnasset, Græcorum amator dictus, patria ab eo multis beneficiis aucta, Ituræa debellata, et multa ejus regionis parte Judææ addita, coactisque incolis, si in sua regione manere vellent, circumcidi et ad Judæorum leges vivere. Natura autem æquus erat et admodum verecundus, ita attestante Strabone ex auctoritate Timagenis hisce verbis. « Æquum etiam sese « ostendebat hic vir valdeque Judæis utilem, quippe qui et « ditionem eorum ampliasset, et partem gentis Ituræorum, « circumcisionis fœdere devinctam, illis adjunxisset. »

CAP. XII. (XX.)

Aristobulo autem vita defuncto Salome ejus uxor, quæ a Græcis Alexandra dicitur, solutis ejus fratribus, (eos enim in vinculis, ut jam diximus, habebat Aristobulus,) Janneam, qui *est* Alexander, regem creavit, qui et ætate et moderatione præstabat : cui accidit ut, simulatque natus erat, patri esset invisus, nec unquam, dum ille viveret, in ejus conspectum veniret. Odium autem ex hujusmodi causa ortum perhibetur. Quum maxime amaret Hyrcanus filiorum suorum grandiores, Antigonum et Aristobulum, interrogavit Deum, qui ei in somnis apparuit, quisnam filiorum sibi futurus esset successor; et quum Deus ei hujus Alexandri formam ostendisset, ægre ferens eum sibi omnium bonorum hæredem fore, in Galilæa, ubi natus erat, educandum curavit. Neque tamen Deus Hyrcanum fefellit. Igitur hic post Aristobuli interitum regnum adeptus, alterum quidem fratrum regnum affectantem peremit, alterum vero, vitam quietam agere instituentem, in honore habebat.

2. Composito deinde principatu quo modo sibi conducere putabat, expeditionem facit in Ptolemaidem, civesque prælio victos compellit intra urbem, et admoto exercitu obsidet. Nam maritimarum urbium Ptolemais ei et Gaza solæ subigendæ restabant, necnon Zoilus tyrannus, qui Stratonis turrim Doraque tenebat. Ac dum Philometor Antiochus ejusque frater Antiochus, qui Cyzicenus vocabatur, inter se bellum gerunt, suasque vires alterunt, erat nullum Ptolemæensibus ab eis auxilium : verum quum

λεμαιεῦσι βοήθεια παρ' αὐτῶν, ἀλλὰ πονουμένοις τῇ πολιορκίᾳ Ζωΐλος, ὁ τὸν Στράτωνος πύργον κατεσχηκὼς καὶ τὰ Δωρὰ, παρῆν σύνταγμα τρέφων στρατιωτικὸν, καὶ τυραννίδι ἐπιχειρῶν διὰ τὴν τῶν βασιλέων πρὸς ἀλλήλους ἁμιλλαν μικρὰ τοῖς Πτολεμαιεῦσι παρεβοήθει. Οὐδὲ γὰρ οἱ βασιλεῖς οὕτως οἰκείως εἶχον πρὸς αὐτοὺς ὥστ' ἐλπίσαι τινὰ παρ' αὐτῶν ὠφέλειαν· ἑκατεροι γὰρ ταὐτὸ τοῖς ἀθληταῖς ἔπασχον, οἳ τῇ δυνάμει μὲν ἀπηγορευκότες, αἰσχυνόμενοι δὲ παραχωρῆσαι διετέλουν, ἀργίᾳ καὶ ἀναπαύσει διαφέροντες τὸν ἀγῶνα. Λοιπὴ δ' αὐτοῖς ἐλπὶς ἦν ἡ παρὰ τῶν Αἰγύπτου βασιλέων καὶ τοῦ Κύπρον ἔχοντος Πτολεμαίου τοῦ Λαθούρου, ὃς ὑπὸ τῆς μητρὸς Κλεοπάτρας τῆς ἀρχῆς ἐκπεσὼν εἰς Κύπρον παρεγένετο. Πέμψαντες οὖν πρὸς τοῦτον οἱ Πτολεμαιεῖς παρεκάλουν ἐλθόντα σύμμαχον ἐκ τῶν Ἀλεξάνδρου χειρῶν αὐτοὺς ῥύσασθαι κινδυνεύοντας. Ἐπελπισάντων δ' αὐτὸν τῶν πρέσβεων ὡς διαβὰς εἰς Συρίαν ἕξει Γαζαίους συνεστῶτας μετὰ τῶν Πτολεμαιέων καὶ Ζωΐλον, ἔτι γε μὴν Σιδωνίους καὶ πολλοὺς ἅμα αὐτῶν συλλήψεσθαι λεγόντων, ἐπαρθεὶς πρὸς τὸν ἔκπλουν ἔσπευδεν.

γ'. Ἐν τούτῳ δὲ τοὺς Πτολεμαιεῖς Δημαίνετος, πιθανὸς ὢν αὐτοῖς τότε καὶ δημαγωγῶν, μεταβάλλεσθαι τὰς γνώμας ἐποίησεν, ἄμεινον εἶναι φήσας ἐπ' ἀδήλῳ τῷ γενησομένῳ διακινδυνεύειν πρὸς τοὺς Ἰουδαίους, μᾶλλον ἢ φανερὰν εἰσδέξασθαι δουλείαν, δεσπότῃ παραδόντας αὐτοὺς, καὶ πρὸς τούτῳ μὴ τὸν παρόντα μόνον ἔχειν πόλεμον, ἀλλὰ καὶ πολὺ μείζονα τὸν ἀπ' Αἰγύπτου· τὴν γὰρ Κλεοπάτραν οὐ περιόψεσθαι δύναμιν αὐτῷ κατασκευαζόμενον Πτολεμαῖον ἐκ γειτόνων, ἀλλ' ἥξειν ἐπ' αὐτοὺς μετὰ μεγάλης στρατιᾶς· σπουδάσαι γὰρ αὐτὴν ὥστε καὶ τῆς Κύπρου τὸν υἱὸν ἐκβαλεῖν· εἶναι δὲ Πτολεμαίῳ μὲν διαμαρτόντι τῆς ἐλπίδος ἀποφυγεῖν πάλιν εἰς τὴν Κύπρον, αὐτοῖς δὲ κίνδυνον τὸν ἔσχατον. Ὁ μὲν οὖν Πτολεμαῖος κατὰ τὴν πορείαν μαθὼν τὴν τῶν Πτολεμαιέων μεταβολὴν οὐδὲν ἧττον ἔπλευσε, καὶ καταχθεὶς εἰς τὴν λεγομένην Συκάμινον ἐνταυθοῖ τὴν δυνάμιν ἐξεβίβασεν. Ἦν δὲ ὁ πᾶς στρατὸς αὐτοῦ πεζοὶ ἅμα σὺν ἱππεῦσι περὶ τρισμυρίους, οὓς προαγαγὼν πλησίον τῆς Πτολεμαΐδος καὶ στρατοπεδευσάμενος, ἐπεὶ μήτε τοὺς παρ' αὐτοῦ πρέσβεις ἐδέχοντο μήτε τῶν λόγων ἠκροῶντο, μεγάλως ἐφρόντιζεν.

δ'. Ἐλθόντων δὲ πρὸς αὐτὸν Ζωΐλου τε καὶ τῶν Γαζαίων καὶ δεομένων συμμαχεῖν αὐτοῖς πορθουμένης αὐτῶν τῆς χώρας ὑπὸ τῶν Ἰουδαίων καὶ Ἀλεξάνδρου, λύει μὲν τὴν πολιορκίαν δείσας τὸν Πτολεμαῖον ὁ Ἀλέξανδρος, ἀπαγαγὼν δὲ τὴν στρατιὰν εἰς τὴν οἰκείαν ἐστρατήγει τὸ λοιπὸν, λάθρα μὲν τὴν Κλεοπάτραν ἐπὶ τὸν Πτολεμαῖον μεταπεμπόμενος, φανερῶς δὲ φιλίαν καὶ συμμαχίαν πρὸς αὐτὸν ὑποκρινόμενος· καὶ τετρακόσια δὲ ἀργυρίου τάλαντα δώσειν ὑπέσχετο, χάριν ἀντὶ τούτων αἰτῶν Ζωΐλον ἐκποδὼν ποιήσασθαι τὸν τύραννον καὶ τὴν χώραν τοῖς Ἰουδαίοις προσνεῖμαι. Τότε μὲν οὖν ὁ Πτολεμαῖος ἡδέως τὴν πρὸς Ἀλέξαν-

premerentur obsidione, aderat Zoilus, qui Stratonis turrim Doraque occupaverat, legionem militum alens, et, quod propter regum mutuum certamen tyrannidem affectaret, paululum Ptolemæensibus auxilii ferebat. Nam neque reges eis ita favebant, ut ab eis sperari aliquid subsidii posset. Idem enim utrique accidebat quod athletis, qui, viribus defecti et lassati, cedere tamen erubescentes, perseverant, atque quiescentes et respirantes pugnam differunt. Supererat autem illis una spes ab Ægypti regibus et Ptolemæo Lathuro Cyprum tenente, qui a matre Cleopatra imperio dejectus in Cyprum se contulerat. Igitur hunc oratum miserunt Ptolemæenses, ut sibi suppetias ferret, ipsosque periclitantes ex Alexandri manibus liberaret. Quumque ei spem fecissent legati, quod in Syriam trajectus habiturus esset Gazæos a Ptolemæensibus stantes et Zoilum, præterea etiam Sidonios dicerent et multos una cum ipsis in auxilium accessuros, his rebus ille elatus navigationem adornare festinabat.

3. Interea autem Demænetus, homo popularis eloquentiæ, et qui tum auctoritate apud Ptolemæenses valebat, fecit ut sententiam illi mutarent, dicens præstare incerto eventu periclitari cum Judæis quam manifestam accipere servitutem, domino se tradendo, et insuper non modo præsens habere bellum, sed etiam multo majus ab Ægypto : non enim rerum suarum adeo negligentem fore Cleopatram ut pernissura esset Ptolemæum vires sibi comparare ex vicinis, sed ipsos magna manu aggressuram esse; quippe quæ filium etiam ex Cypro dejicere conetur : esse autem Ptolemæo, si sua spe dejectus sit, receptum rursus in Cyprum, ipsis vero extremum periculum *adeundum*. Et Ptolemæus quidem, cognito, dum proficisceretur, quod Ptolemæenses consilium mutarint, nihilominus navigavit, et in eam quæ Sycaminus dicitur appulsus, ibi cum copiis suis exscensionem fecit. Erat autem in universum ejus exercitus, qua peditum qua equitum, circiter triginta millia : quibus prope Ptolemaidem ductis factisque castris, quum neque ipsius legatos admitterent neque verba audirent, valde anxius erat et æstuabat.

4. Postquam vero Zoilus et Gazæi ad eum venerant, oraverantque ut sibi auxilium ferret, agris ipsorum vastatis ab Judæis et Alexandro, obsidionem quidem, præ metu Ptolemæi, solvit Alexander : atque abducto domum exercitu, deinceps astu rem gerebat, clanculum Cleopatram adversus Ptolemæum accersens, aperte vero amicitiam et societatem cum eo simulans : quin etiam quadringenta argenti talenta daturum se promisit, ea lege ut Zoilus tyrannus e medio tolleretur et regio Judæis attribueretur. Et tum quidem Ptolemæus, libenter inita cum Alexandro ami-

δρον ποιησάμενος φιλίαν χειροῦται τὸν Ζωΐλον, ὕστερον δὲ ἀκούσας λάθρα διαπεμπόμενον αὐτὸν πρὸς τὴν μητέρα αὐτοῦ Κλεοπάτραν, λύει τοὺς γεγενημένους πρὸς αὐτὸν ὅρκους, καὶ προσβαλὼν ἐπολιόρκει τὴν Πτολεμαΐδα μὴ δεξαμένην αὐτόν· καταλιπὼν δ' ἐπὶ τῆς πολιορκίας στρατηγοὺς καὶ μέρος τι τῆς δυνάμεως, αὐτὸς τῷ λοιπῷ τὴν Ἰουδαίαν καταστρεψόμενος ὥρμησεν. Ὁ δὲ Ἀλέξανδρος τὴν τοῦ Πτολεμαίου διάνοιαν μαθὼν συνήθροισε καὶ αὐτὸς περὶ πέντε μυριάδας τῶν ἐγχωρίων, ὡς δ' ἔνιοι συγγραφεῖς εἰρήκασιν, ὀκτώ, καὶ ἀναλαβὼν τὴν δύναμιν ἀπήντα τῷ Πτολεμαίῳ. Πτολεμαῖος δ' ἐξαίφνης ἐπιπεσὼν Ἀσώχει τῇ τῆς Γαλιλαίας πόλει σάββασιν αἱρεῖ κατὰ κράτος αὐτήν, καὶ περὶ μύρια σώματα καὶ πολλὴν ἑτέραν ἔλαβε λείαν.

(ΚΑ'.) ε'. Πειράσας δὲ καὶ Σέπφωριν μικρὸν ἄπωθεν τῆς πεπορθημένης, πολλοὺς ἀποβαλὼν ἦει πολεμήσων Ἀλεξάνδρῳ. Ὑπήντησε δ' αὐτῷ πρὸς τῷ Ἰορδάνῃ ποταμῷ Ἀλέξανδρος, περί τινα τόπον λεγόμενον Ἀσωφῶν, οὐ πόρρωθεν τοῦ Ἰορδάνου ποταμοῦ, καὶ βάλλεται στρατόπεδον πλησίον τῶν πολεμίων. Εἶχε μέντοι τοὺς προμαχομένους ὀκτακισχιλίους, οὓς ἑκατονταμάχους προσηγόρευεν, ἐπιχάλκοις χρωμένους τοῖς θυρεοῖς. Ἦσαν δὲ καὶ τοῖς τοῦ Πτολεμαίου προμαχοῦσιν ἐπίχαλκοι αἱ ἀσπίδες. Τοῖς μέντοι γε ἄλλοις ἔλαττον ἔχοντες οἱ τοῦ Πτολεμαίου εὐλαβέστερον συνῆψαν εἰς τὸν κίνδυνον· θάρσος δὲ αὐτοῖς οὐκ ὀλίγον ἐποίησεν ὁ τακτικὸς Φιλοστέφανος, διαβῆναι κελεύσας τὸν ποταμὸν, οὗ μεταξὺ ἦσαν ἐστρατοπεδευκότες. Ἀλεξάνδρῳ δὲ κωλύειν αὐτῶν τὴν διάβασιν οὐκ ἔδοξεν· ἐνόμισε γὰρ, εἰ κατὰ νώτου λάβοιεν τὸν ποταμὸν, ῥᾷον αἱρήσειν τοὺς πολεμίους, φεύγειν ἐκ τῆς μάχης οὐ δυναμένους. Κατ' ἀρχὰς μὲν οὖν παρ' ἀμφοτέρων ἦν ἔργα χειρῶν καὶ προθυμίας παραπλήσια, καὶ πολὺς ἐγίνετο φόνος ἐξ ἑκατέρων τῶν στρατευμάτων. Ὑπερτέρων δὲ τῶν Ἀλεξάνδρου γινομένων, Φιλοστέφανος, διελὼν τὴν δύναμιν, δεξιῶς τοῖς ἐνδιδοῦσιν ἐπεκούρει· μηδενὸς δὲ τῷ κλιθέντι μέρει τῶν Ἰουδαίων προσβοηθοῦντος, τούτοις μὲν συνέβαινε φεύγειν, μὴ βοηθούντων μηδὲ τῶν πλησίον, ἀλλὰ κοινωνούντων τῆς φυγῆς, οἱ δὲ τοῦ Πτολεμαίου τἀναντία τούτων ἔπραττον. Ἐπόμενοι γὰρ ἔκτεινον τοὺς Ἰουδαίους, καὶ τὸ τελευταῖον τραπέντας αὐτοὺς ἅπαντας ἐδίωκον οἱ φονεύοντες, ἕως οὗ καὶ ὁ σίδηρος αὐτοῖς ἠμβλύνθη κτείνουσι καὶ αἱ χεῖρες παρείθησαν. Τρισμυρίους γοῦν ἔφασαν ἀνδρῶν ἀποθανεῖν, (Τιμαγένης δὲ πεντακισμυρίους εἴρηκε,) τῶν δὲ ἄλλων τοὺς μὲν αἰχμαλώτους ληφθῆναι, τοὺς δ' εἰς τὰ οἰκεῖα διαφεύγειν χωρία.

ς'. Πτολεμαῖος δὲ μετὰ τὴν νίκην προσκαταδραμὼν τὴν χώραν, ὀψίας ἐπιγενομένης ἔν τισι κώμαις τῆς Ἰουδαίας κατέμεινεν· ἃς γυναικῶν εὑρὼν μεστὰς καὶ νηπίων, ἐκέλευσε τοὺς στρατιώτας ἀποσφάττοντας αὐτοὺς καὶ κρεουργοῦντας ἔπειτα εἰς λέβητας ζέοντας ἐνιέντας τὰ μέλη ἀπάρχεσθαι. Τοῦτο δὲ προσέταξεν, ἵν' οἱ διαφυγόντες ἐκ τῆς μάχης καὶ πρὸς αὐτοὺς ἐλθόν-

citia, Zoilum in potestatem suam redigit : verum postea, ubi audivit Alexandrum clam ad matrem suam Cleopatram nuncios mittere, solvit quod ei præstiterat jusjurandum, et Ptolemaidem, quæ eum non admiserat, aggressus obsidet : atque relictis in obsidione ducibus et parte copiarum, ipse cum reliquis ad Judæam populandam profectus est. Alexander autem, intellecta mente Ptolemæi, coegit et ipse ad quinquaginta incolarum millia, aut, ut scriptores quidam tradiderunt, octoginta; et assumptis copiis Ptolemæo obviam proficiscitur. Ptolemæus vero Asochin Galilææ urbem sabbato de improviso adortus expugnat, et circiter decem corporum millia multamque aliam prædam capit.

(XXI.) 5. Deinde Sepphorim tentavit, quæ ab ea quam populatus erat prope aberat, multisque ibi amissis Ptolemaidem abiit, conflicturus cum Alexandro. Ei autem occurrit Alexander apud Jordanem fluvium, ad locum quendam nomine Asophon, non longe ab Jordane fluvio, et prope hostes castra metatur. Ceterum habebat in prima acie octo pugnatorum millia, quos hecatontamachos (*centum hominum impetum sustinentes*) appellabat, qui scutis ære tectis utebantur. Itemque Ptolemæi prima acies tectos ære clypeos gestabat. Veruntamen ceteris quidem rebus inferiores erant Ptolemæenses, eoque timidius periculum subierunt : sed non parum eis audaciæ addidit Philostephanus aciei ordinandæ præfectus, jubens transire fluvium qui inter castra positus erat. Alexander vero eos exitu prohibendos non existimavit : nam facilius hostes, si fluvium a tergo haberent, se superaturum esse credidit, quod ex prælio fugere nequirent. Et principio quidem inter eos anceps erat et manibus et animis prælium; magnaque utriusque exercitus facta erat cædes. Quum autem superiores evaderent Alexandri milites, Philostephanus, partitus copias suas, cedentibus commodo subsidia mittebat; ac nemine inclinanti Judæorum parti succurrente, fiebat ut hi fugerent, ne iis quidem, qui proximi erant, subvenientibus, sed simul cum eis in fugam se conjicientibus at Ptolemæenses contra atque illi faciebant. Nam Judæis instantes eos occidebant, et ad extremum omnes in fugam actos persequebantur, tanta strage edita, ut eis et ferrum obtunderetur et manus delassarentur. Quippe triginta hominum millia occisa retulerunt, (at Timagenes dixit quinquaginta millia,) atque ceteros partim captos esse partim domum fuga dilapsos.

6. Ptolemæus vero, post victoriam regionem populatus, vespere mansit in quibusdam Judææ pagis, quos feminarum et infantum plenos nactus, militibus imperavit ut eos jugularent et frustatim dissecarent, et quum membratim in ferventia aliena eos conjecissent, libamenta facerent. Hoc autem mandavit, ut qui ex prælio elapsi fuerint et ad

τες σαρκοφάγους ὑπολάβωσιν εἶναι τοὺς πολεμίους, καὶ διὰ τοῦτο ἔτι μᾶλλον αὐτοὺς καταπλαγῶσι ταῦτ' ἰδόντας. Λέγει δὲ καὶ Στράβων καὶ Νικόλαος ὅτι τοῦτον αὐτοῖς ἐχρήσαντο τὸν τρόπον, καθὼς κἀγὼ προείρηκα. Ἑλαβε δὲ καὶ τὴν Πτολεμαΐδα κατὰ κράτος, ὡς καὶ ἐν ἄλλοις φανερὸν πεποιήκαμεν.

ΚΕΦ. ΙΓ'.

Κλεοπάτρα δ' ὁρῶσα τὸν υἱὸν αὐξανόμενον, καὶ τήν τε Ἰουδαίαν ἀδεῶς πορθοῦντα καὶ τὴν Γαζαίων πόλιν ὑπήκοον ἔχοντα, περιιδεῖν οὐκ ἔγνω τοῦτον ἐπὶ ταῖς πύλαις ὄντα, καὶ ποθοῦντα τὴν τῶν Αἰγυπτίων ἀρχὴν μείζω γενόμενον, ἀλλὰ παραχρῆμα καὶ μετὰ ναυτικῆς καὶ πεζικῆς δυνάμεως ἐπ' αὐτὸν ἐξώρμησεν, ἡγεμόνας τῆς ὅλης στρατιᾶς ἀποδείξασα Χελκίαν καὶ Ἀνανίαν τοὺς Ἰουδαίους. Τὰ δὲ πολλὰ τοῦ πλούτου καὶ τοὺς υἱωνοὺς καὶ διαθήκας πέμψασα Κώοις παρέθετο. Κελεύσασα δὲ τὸν υἱὸν Ἀλέξανδρον στόλῳ μεγάλῳ περιπλεῖν εἰς Φοινίκην ἡ Κλεοπάτρα, μεταστάσης αὐτῆς ἦκεν εἰς Πτολεμαΐδα· μὴ δεξαμένων δὲ αὐτὴν τῶν Πτολεμαιέων ἐπολιόρκει τὴν πόλιν. Πτολεμαῖος δ' ἀπελθὼν ἐκ τῆς Συρίας εἰς Αἴγυπτον ἔσπευσεν, αἰφνιδίως αὐτὴν οἰόμενος κενὴν οὖσαν στρατιᾶς καθέξειν. Ἀλλὰ διαμαρτάνει τῆς ἐλπίδος. Κατὰ τοῦτον δὴ τὸν χρόνον συνέβη καὶ Χελκίαν, τὸν ἕτερον τῶν τῆς Κλεοπάτρας ἡγεμόνων, ἀποθανεῖν περὶ Κοίλην Συρίαν, διώκοντα Πτολεμαῖον.

β'. Ἀκούσασα δ' ἡ Κλεοπάτρα τὴν ἐπιχείρησιν τὴν τοῦ υἱοῦ καὶ ὅτι τὰ περὶ τὴν Αἴγυπτον οὐχ ὃν προσεδόκα τρόπον προκεχώρηκεν αὐτῷ, πέμψασα μέρος τῆς στρατιᾶς ἐξέβαλεν αὐτὸν ἀπὸ τῆς χώρας. Καὶ ὁ μὲν ἐκ τῆς Αἰγύπτου πάλιν ὑποστρέψας τὸν χειμῶνα διέτριβεν ἐν Γάζῃ. Κλεοπάτρα δ' ἐν τούτῳ τὴν ἐν Πτολεμαΐδι φρουρὰν ἐκ πολιορκίας λαμβάνει καὶ τὴν πόλιν. Ἀλεξάνδρου δ' αὐτῇ μετὰ δώρων προσελθόντος καὶ θεραπείας ὁποίας ἄξιον ἦν, πεπονθότος μὲν κακῶς ὑπὸ Πτολεμαίου, καταφυγῆς δ' οὐκ ἄλλης ἢ ταύτης εὐποροῦντος, τινὲς μὲν τῶν φίλων καὶ ταῦτα συνεβούλευον αὐτὴν λαβεῖν, καὶ τὴν χώραν ἐπελθοῦσαν κατασχεῖν, καὶ μὴ περιιδεῖν ἐπὶ ἑνὶ ἀνδρὶ τοσοῦτον πλῆθος ἀγαθῶν Ἰουδαίων κείμενον. Ἀνανίας δὲ συνεβούλευε τούτοις ἐναντία, λέγων « ἄδικα ποιήσειν αὐτήν, εἰ σύμμαχον ἄνθρωπον ἀφαιρήσεται τῆς ἰδίας ἐξουσίας καὶ ταῦτα συγγενῆ ἡμέτερον. Οὐ γὰρ ἀγνοεῖν σε βούλομαι, φησίν, ὅτι τὸ πρὸς τοῦτον ἄδικον ἐχθροὺς ἅπαντας ἡμᾶς σοι τοὺς Ἰουδαίους καταστήσει. » Ταῦτα δὲ Ἀνανίου παρακαλέσαντος, ἡ Κλεοπάτρα πείθεται μηδὲν ἀδικῆσαι τὸν Ἀλέξανδρον, ἀλλὰ συμμαχίαν πρὸς αὐτὸν ἐποιήσατο ἐν Σκυθοπόλει τῆς Κοίλης Συρίας.

γ'. Ὁ δὲ τῶν ἐκ Πτολεμαίου φόβων ἐλευθερωθεὶς στρατεύεται μὲν εὐθὺς ἐπὶ τὴν Κοίλην Συρίαν, αἱρεῖ δὲ Γάδαρα πολιορκήσας δέκα μησίν. Αἱρεῖ δὲ καὶ Ἀμαθοῦντα, μέγιστον ἔρυμα τῶν ὑπὲρ τὸν Ἰορδάνην κατωκημένων, ἔνθα καὶ τὰ κάλλιστα καὶ σπουδῆς ἄξια

ipsos venerint, hostes humana carne vesci arbitrarentur, et ea re ii qui viderent magis perterrefierent. Ceterum Strabo quoque refert et Nicolaus quod eos hoc modo acceperit ut ego memoravi. Ad hæc Ptolemaidem vi expugnavit, ut etiam alibi indicavimus.

CAP. XIII. (XXI.)

Cleopatra autem videns filium crescere, et Judæam arbitratu suo vastare, urbemque Gazæorum in sua postestate habere, statuit non adeo sui negligens esse ut eum pateretur, quum jam ad portas esset, majorque factus Ægypti imperium cuperet; sed confestim cum navalibus pedestribusque copiis adversus eum proficiscitur, mandata totius exercitus cura Chelciæ et Ananiæ Judæis. Magnam autem facultatum suarum partem, nepotesque et testamentum ad Coos depositum misit; jussoque filio suo Alexandro in Phœnicen ingenti cum classe navigare, Cleopatra, quum ea *regio* deditionem fecisset, ad Ptolemaidem venit: sed ab Ptolemæensibus non admissa, urbem obsidebat. Ptolemæus vero, a Syria profectus, in Ægyptum properavit, existimans ab exercitu vacuam posse de improviso opprimi. Sed eum spes fefellit. Eodem tempore accidit ut Chelcias, alter Cleopatræ dux, moreretur in Cœle-Syria, dum Ptolemæum persequitur.

2. At Cleopatra, audito filii conatu, et ut in Ægypto non qualem sperabat successum res habuissent, missa exercitus parte eum illa regione expulit. Atque ille quidem, ab Ægypto iterum reversus, Gazæ hiemabat. Cleopatra interea Ptolemaidis præsidium urbemque obsidione capit. Quum autem eam Alexander adiisset cum muneribus et quali decebat cultu, quippe qui a Ptolemæo male mulcatus esset, et aliud perfugium nullum haberet, quidam amicorum Cleopatræ ei suadebant ut et dona acciperet, et regionem impetu in eam facto occuparet; neque permitteret ut tanta strenuorum Judæorum multitudo uni viro pareret. Verum Ananias longe aliter consulebat, dicens « injuste facturam si socium hominem sua potestate privaret, idque cognatum nostrum. Non enim ignorare te volo, inquit, quod, si huic facta fuerit injuria, nos omnes Judæos tibi habebis hostes. » Quæ quum admonuisset Ananias, adducta est Cleopatra ut Alexandrum non violaret; quin societatem cum eo fecit Scythopoli in Cœlo-Syria.

3. Ille vero, Ptolemæi metu liberatus, continuo exercitum ducit in Cœlen-Syriam, et Gadara decem mensium obsidione expugnat. Insuper et Amathuntem capit, munitionem omnium quæ trans Jordanem sitæ erant maximam, ubi rerum suarum pulcerrimas et carissimas Theodo-

Θεόδωρος ὁ Ζήνωνος εἶχεν. Ὃς οὐ προσδοκῶσιν ἐπιπεσὼν τοῖς Ἰουδαίοις μυρίους αὐτῶν ἀποκτείνει καὶ τὴν ἀποσκευὴν Ἀλεξάνδρου διαρπάζει. Ταῦτα μὲν οὖν οὐ καταπλήττει τὸν Ἀλέξανδρον, ἀλλ' ἐπιστρατεύει τοῖς ἐπιθαλαττίοις μέρεσι, Ῥαφίᾳ καὶ Ἀνθηδόνι, ἣν ὕστερον μὲν Ἡρώδης ὁ βασιλεὺς Ἀγριππιάδα μετωνόμασε, καὶ κατὰ κράτος εἶλε καὶ ταύτην. Ὁρῶν δὲ τὸν Πτολεμαῖον ἐκ τῆς Γάζης εἰς Κύπρον ἀνακεχωρηκότα, τὴν δὲ μητέρα αὐτοῦ Κλεοπάτραν εἰς Αἴγυπτον, ἀργιζόμενος δὲ τοῖς Γαζαίοις ὅτι Πτολεμαῖον ἐπεκαλέσαντο βοηθὸν, ἐπολιόρκει τὴν πόλιν καὶ τὴν χώραν αὐτῶν προενόμευσεν. Ἀπολλοδότου δὲ, τοῦ στρατηγοῦ τῶν Γαζαίων, μετὰ δισχιλίων ξένων καὶ μυρίων οἰκετῶν νύκτωρ ἐπιπεσόντος τῷ τῶν Ἰουδαίων στρατοπέδῳ, ἐφ' ὅσον μὲν ὑπῆρχεν ἡ νὺξ, ἐνίκων οἱ Γαζαῖοι, δόκησιν παρέχοντες τοῖς πολεμίοις ὡς ἐπεληλυθότος αὐτοῖς Πτολεμαίου· γενομένης δ' ἡμέρας καὶ τῆς δόξης ἐλεγχθείσης, μαθόντες οἱ Ἰουδαῖοι τἀληθὲς, ἐπισυστρέφονται καὶ τοῖς Γαζαίοις προσβαλόντες ἀναιροῦσιν αὐτῶν περὶ χιλίους. Τῶν δὲ Γαζαίων ἀντεχόντων καὶ μήτε ὑπὸ τῆς ἐνδείας μήτε ὑπὸ τοῦ πλήθους τῶν ἀναιρουμένων ἐνδιδόντων, (πᾶν γὰρ ὅτιοῦν ὑπέμενον παθεῖν ἢ ὑπὸ τῷ πολεμίῳ γενέσθαι,) προσεπήγειρεν αὐτῶν τὴν εὐψυχίαν καὶ Ἀρέτας ὁ Ἀράβων βασιλεὺς, ἐπίδοξος ὢν ἥξειν αὐτοῖς σύμμαχος ἐπαγγειλάμενος. Ἀλλὰ συνέβη πρῶτον τὸν Ἀπολλόδοτον διαφθαρῆναι· Αυσίμαχος γὰρ ὁ ἀδελφὸς αὐτοῦ, ζηλοτυπῶν αὐτὸν ἐπὶ τῷ παρὰ τοῖς πολίταις εὐδοκιμεῖν, κτείνας αὐτὸν καὶ στρατιωτικὸν συγκροτήσας, ἐκδίδωσιν Ἀλεξάνδρῳ τὴν πόλιν. Ὁ δ' εὐθὺς μὲν εἰσελθὼν ἠρέμει, μετὰ δὲ ταῦτα τὴν δύναμιν ἐπαφῆκε τοῖς Γαζαίοις, ἐπιτρέψας τιμωρεῖν αὐτούς. Οἱ δὲ ἄλλοι ἀλλαχῇ τραπόμενοι τοὺς Γαζαίους ἀπέκτειναν· ἦσαν δ' οὐδ' ἐκεῖνοι τὰς ψυχὰς ἀγεννεῖς, ἀλλὰ καὶ τοῖς παραπίπτουσιν ἀμυνόμενοι τοὺς Ἰουδαίους οὐκ ἐλάττονας αὐτῶν διέφθειραν. Ἔνιοι δὲ μονούμενοι τὰς οἰκίας ἐνεπίμπρασαν, ὡς μηδὲν αὐτῶν λάφυρον εἶναι τοῖς πολεμίοις λαβεῖν· οἱ δὲ καὶ τῶν τέκνων καὶ γυναικῶν αὐτόχειρες ἐγίνοντο, τῆς ὑπὸ τοῖς ἐχθροῖς αὐτοὺς δουλείας οὕτως ἀπαλλάττειν ἠναγκασμένοι. Τῶν δὲ βουλευτῶν ἦσαν οἱ πάντες πεντακόσιοι, συμφυγόντες εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν (συνεδρευόντων γὰρ τὴν ἐπίθεσιν συνέβη γενέσθαι·) ὁ δ' Ἀλέξανδρος τούτους τε ἀναιρεῖ καὶ τὴν πόλιν αὐτοῖς ἐπικατασκάψας ὑπέστρεψεν εἰς Ἱεροσόλυμα, ἐνιαυτῷ πολιορκήσας.

δ'. Ὑπὸ τὸν αὐτὸν δὲ τοῦτον καιρὸν καὶ Ἀντίοχος ὁ Γρυπὸς ἐπικληθεὶς ἀποθνήσκει ὑπὸ Ἡρακλέωνος ἐπιβουλευθείς, βιώσας μὲν ἔτη τεσσαράκοντα καὶ πέντε, βασιλεύσας δ' ἐννέα καὶ εἴκοσι. Διαδεξάμενος δὲ τὴν βασιλείαν ὁ παῖς αὐτοῦ Σέλευκος ἐπολέμει μὲν τῷ τοῦ πατρὸς ἀδελφῷ Ἀντιόχῳ, ὃς ἐπεκαλεῖτο Κυζικηνὸς, νικήσας δ' αὐτὸν καὶ λαβὼν ἀπέκτεινε. Μετ' οὐ πολὺ δὲ τοῦ Κυζικηνοῦ παῖς Ἀντίοχος, ὁ Εὐσεβὴς καλούμενος, παραγενηθεὶς εἰς Ἄραδον καὶ περιθέμενος διάδημα πολεμεῖ τῷ Σελεύκῳ, καὶ κρατήσας ἐξήλασεν αὐτὸν ἐξ

rus Zenonis filius habebat. Is, Judæos necopinantes aggressus, decem eorum millia interficit, et Alexandri impedimenta deprædatur. Tamen his Alexander non est attonitus, sed *in maritimas oras*, Raphiam et Anthedonem (cui postea rex Herodes Agrippiadi nomen imposuit), expeditionem facit, quam et ipsam vi cepit. Quumque videret Ptolemæum a Gaza in Cyprum, ejusque matrem Cleopatram in Ægyptum recessisse, iratus Gazæis, quod Ptolemæi opem implorassent, urbem obsidebat agrumque eorum vastabat. Apollodotus vero, Gazæorum dux, cum duobus peregrinorum millibus et decem millibus domesticorum noctu Judæorum castra invasit, ac quantisper nox erat, vincebant Gazæi, hostes in eam opinionem adducentes, ut crederent Ptolemæum esse qui ipsos adortus esset; verum orta die, animisque errore liberatis, ubi rei veritatem intellexerunt Judæi, sese in unum conglobant, factoque in Gazæos impetu eorum circiter mille interficiunt. Quum autem Gazæi resisterent, et nec ob inopiam nec ob cæsorum multitudinem cederent, (nam vel quodvis potius perferre in animum inducebant quam in hostis potestatem redigi,) eis erigit animos et alacritatem Aretas Arabum rex, quem sibi auxilio venturum sperabant, quod ita promiserat. Sed accidit ut Apollodotus ante perimeretur: nam Lysimachus ejus frater, ei ex invidia obtrectans, quoniam apud cives gratia valebat, eum interfecit, et collecto milite urbem Alexandro tradidit. Atqui ille quum primum ingressus est placide se gerebat; verum postea milites in Gazæos immisit, et eos ulcisci permisit. Hi autem alii alio versi Gazæos interfecere: quanquam ne Gazæi quidem segnes animos præbuerunt, quin in se irruentibus ita restiterunt, ut Judæorum non pauciores occiderint quam quot erant ipsi. Nonnulli vero deserti domos incenderunt, ne ulla ex eis spolia superessent quibus potirentur hostes: erant etiam qui liberos uxoresque suis manibus perimerent, coacti eos ab hostium servitute ita liberare. Erant autem consiliariorum omnino quingenti, qui in Apollinis fanum confugerunt: (nam accidit ut, dum capta urbs est, senatus haberetur:) eos vero etiam interfecit Alexander, et urbe in illos diruta revertit Hierosolyma, postquam eam unum annum obsederat.

4. Ceterum sub id ipsum tempus etiam Antiochus, Grypus cognominatus, moritur ex insidiis Heracleonis, quum annos vixisset quinque et quadraginta, regnasset vero novem et viginti. Quum autem Seleucus ejus filius ei in regnum successisset, bellum adversus Antiochum movebat, patris fratrem, cui cognomen erat Cyziceno, ipsumque victum et captum morte multabat. Non ita multo post Cyziceni filius Antiochus, cognomento Pius, quum Aradum pervenisset et diadema sibi imposuisset, Seleuco bellum infert, et superatum ex universa Syria expulit. At ille,

ἁπάσης τῆς Συρίας. Ὁ δὲ φυγὼν εἰς Κιλικίαν καὶ γενόμενος ἐν τῇ Μόψου ἑστίᾳ πάλιν αὐτοὺς εἰσέπραττε χρήματα. Ὁ δὲ τῶν Μοψουεστιέων δῆμος ἀγανακτήσας, ὑφῆψεν αὐτοῦ τὰ βασίλεια καὶ διέφθειρεν αὐτὸν μετὰ τῶν φίλων. Ἀντιόχου δὲ τοῦ Κυζικηνοῦ παιδὸς βασιλεύοντος τῆς Συρίας, Ἀντίοχος ὁ Σελεύκου ἀδελφὸς ἐκφέρει πόλεμον πρὸς αὐτὸν, καὶ νικηθεὶς ἀπόλλυται μετὰ τῆς στρατιᾶς. Μετὰ δ' αὐτὸν ὁ ἀδελφὸς αὐτοῦ Φίλιππος ἐπιθέμενος διάδημα μέρους τινὸς τῆς Συρίας ἐβασίλευσε. Πτολεμαῖος δὲ ὁ Λάθουρος τὸν τέταρτον αὐτοῦ ἀδελφὸν Δημήτριον, τὸν Εὔκαιρον λεγόμενον, ἐκ Κνίδου μεταπεμψάμενος κατέστησεν ἐν Δαμασκῷ βασιλέα. Τούτοις δὲ τοῖς δυσὶν ἀδελφοῖς καρτερῶς ἀνθιστάμενος Ἀντίοχος ταχέως ἀπέθανεν· Λαοδίκῃ γὰρ ἐλθὼν σύμμαχος τῇ τῶν Γαλαδηνῶν βασιλίσσῃ, Πάρθους πολεμούσῃ, μαχόμενος ἀνδρείως ἔπεσε. Τὴν δὲ Συρίαν κατεῖχον οἱ δύο ἀδελφοὶ Δημήτριος καὶ Φίλιππος, καθὼς ἐν ἄλλοις δεδήλωται.

ε'. Ἀλέξανδρος δὲ τῶν οἰκείων πρὸς αὐτὸν στασιασάντων (ἐπανέστη γὰρ ἐπ' αὐτὸν τὸ ἔθνος) τῆς ἑορτῆς ἀγομένης, καὶ ἑστῶτος αὐτοῦ ἐπὶ τοῦ βωμοῦ καὶ θύειν μέλλοντος, κιτρίοις αὐτὸν ἔβαλλον, νόμου ὄντος παρὰ τοῖς Ἰουδαίοις ἐν τῇ σκηνοπηγίᾳ ἔχειν ἕκαστον θύρσους ἐκ φοινίκων καὶ κιτρίων, (δεδηλώκαμεν δὲ καὶ ταῦτα ἐν ἄλλοις,) προσελοιδόρησαν δ' αὐτὸν ὡς ἐξ αἰχμαλώτου γεγονότα καὶ τῆς τιμῆς καὶ τοῦ θύειν ἀνάξιον. Ἐπὶ τούτοις ὀργισθεὶς κτείνει μὲν αὐτῶν περὶ ἑξακισχιλίους, δρύφακτον δὲ ξύλινον περὶ τὸν βωμὸν καὶ τὸν ναὸν βαλλόμενος μέχρι τοῦ θριγκοῦ, εἰς ὃν μόνοις ἐξῆν τοῖς ἱερεῦσιν εἰσιέναι, τούτῳ τὴν τοῦ πλήθους ἐπ' αὐτὸν ἀπέφραττεν εἴσοδον. Ἔτρεφε δὲ καὶ ξένους, Πισίδας καὶ Κίλικας· Σύροις γὰρ πολέμιος ὢν οὐκ ἐχρῆτο. Καταστρεψάμενος δὲ τῶν Ἀράβων Μωαβίτας καὶ Γαλααδίτας εἰς φόρου ἀπαγωγὴν κατέρριπτε καὶ Ἀμαθοῦντα, Θεοδώρου μὴ τολμῶντος αὐτῷ συμβαλεῖν. Συνάψας δὲ μάχην πρὸς Ὀβέδαν τὸν Ἀράβων βασιλέα, καὶ πεσὼν εἰς ἐνέδραν ἐν χωρίοις τραχέσι καὶ δυσβάτοις, ὑπὸ πλήθους καμήλων εἰς βαθεῖαν κατερράχθη φάραγγα κατὰ Γάδαρα κώμην τῆς Γαλααδίτιδος, καὶ μόλις αὐτὸς διασώζεται. Φεύγων δ' ἐκεῖθεν εἰς Ἱεροσόλυμα παραγίνεται· καὶ πρὸς τὴν κακοπραγίαν αὐτοῦ ἐπιθεμένου τοῦ ἔθνους, πολεμήσας πρὸς αὐτὸ ἔτεσιν ἓξ ἀναιρεῖ τῶν Ἰουδαίων οὐκ ἔλαττον πέντε μυριάδων. Παρακαλοῦντος δὲ παῦσαι τὴν πρὸς αὐτὸν δυσμένειαν, ἔτι μᾶλλον ἐμίσουν αὐτὸν διὰ τὰ συμβεβηκότα· πυνθανομένου δ' αὐτοῦ τὸ ὀφεῖλον γενέσθαι, πάντες ἐβόησαν ἀποθανεῖν αὐτὸν, καὶ πρὸς Δημήτριον τὸν Εὔκαιρον ἔπεμψαν, παρακαλοῦντες αὐτὸν ἐπὶ συμμαχίαν.

ΚΕΦ. ΙΔ'.

Ὁ δὲ, μετὰ στρατοῦ ἐλθὼν καὶ παραλαβὼν τοὺς ἐπικαλεσαμένους, περὶ Σίκιμα πόλιν ἐστρατοπέδευσεν. Ἀλέξανδρος δὲ μετὰ μισθοφόρων ἑξακισχιλίων καὶ διακοσίων, Ἰουδαίων τε περὶ δισμυρίους οἳ ἐφρόνουν τὰ

quum fuga delatus esset in Ciliciam et in Mopsuestiam receptus, iterum ab eis pecunias exigebat. Populus vero Mopsuestiensis irritatus regiæ ipsius flammas subjecit, ipsumque cum amicis perire fecit. Quum autem Antiochus Cyziceni filius in Syria regnaret, Antiochus Seleuci frater bello eum adoritur, victusque vitam simul et exercitum amittit. Post eum vero frater ejus Philippus, imposito sibi diademate, in parte Syriæ regnavit. Interim Ptolemæus Lathurus quartum ejus fratrem Demetrium, qui Eucærus dicebatur, accitum e Cnido regem apud Damascum constituit. His autem duobus fratribus quum Antiochus strenue resisteret, brevi diem obiit supremum : nam in auxilium veniens Laodices Galadenorum reginæ, adversus Parthos bellum gerenti, fortiter dimicans cecidit. Syriam vero duo fratres, Demetrius et Philippus, imperio tenebant, sicut alibi narratum est.

5. Quod autem ad Alexandrum attinet, quum in ipsum seditionem sui movissent, (in eum enim gens insurrexit,) dum festum ageretur, et ipse ara astaret rem divinam facturus, citriis eum petebant, more apud Judæos obtinente in Umbraculorum festo, ut singuli ramos ferrent palmarum et citriorum, (id quod alibi declaravimus,) atque convicia ei dixerunt, quasi ex captiva genitus esset, ideoque honore *pontificali* et sacra faciendi potestate indignus. Istis iratus occidit eorum ad sex millia, et exstructo septo ligneo circa aram et eam templi partem, intra quam solis sacerdotibus ingredi fas erat, hac ratione multitudinis ad se aditum obstruxit. Alebat etiam peregrinos milites, Pisidas et Cilicas : nam Syris quidem, quod eis erat infensus, non utebatur. Item quum Moabitas et Galaaditas, qui Arabes sunt, subegisset, ut inde tributum exigeret, demolitus est etiam Amathuntem, non audente Theodoro manus cum eo conserere. Congressus autem cum Obeda Arabum rege, inque insidias delatus in locis asperis et difficilibus, a multitudine camelorum in vallem profundam detrusus est apud Gadara pagum Galaaditidis, et ipse ægre evasit. Quumque inde fugeret, Hierosolyma pervenit : atque præter acceptam cladem a gente lacessitus, bello cum ea sex annos gesto, occidit Judæorum non minus quinquaginta millia. Ac dum eos ut simultatem adversus ipsum deponant hortatur, eo magis eum oderunt propter ea quæ acciderant mala : rogantique quid facto opus esset, omnes clamarunt ut moreretur; et ad Demetrium Eucærum miserunt qui ipsum in auxilium asciscerent.

CAP. XIV. (XXII.)

At ille, cum exercitu profectus, iisque assumptis qui se acciverant, apud urbem Sicima castra fecit. Alexander vero cum mercenariorum sex millibus et ducentis, adjunctis Judæorum circiter viginti millibus qui ipsius partes

ἐκείνου, παραλαβὼν, ἀντεπῆει τῷ Δημητρίῳ· τούτῳ δ' ἦσαν ἱππεῖς μὲν τρισχίλιοι, πεζῶν δὲ μυριάδες τέσσαρες. Πολλὰ μὲν οὖν ἑκατέροις ἐπράχθη, τοῦ μὲν ἀποστῆσαι τοὺς μισθοφόρους ὡς ὄντας Ἕλληνας πειρωμένου, τοῦ δὲ τοὺς σὺν Δημητρίῳ Ἰουδαίους. Μηδετέρου δὲ πεῖσαι δυνηθέντος, ἀλλ' εἰς μάχην συμβαλόντων, νικᾷ Δημήτριος· καὶ ἀποθνήσκουσι μὲν οἱ Ἀλεξάνδρου μισθοφόροι πάντες, πίστεώς τε ἅμα καὶ ἀνδρείας ἐπίδειξιν ποιησάμενοι, πολλοὶ δὲ καὶ τῶν Δημητρίου στρατιωτῶν.

β'. Φυγόντος δ' Ἀλεξάνδρου εἰς τὰ ὄρη, κατ' οἶκτον τῆς μεταβολῆς συλλέγονται παρ' αὐτῷ Ἰουδαίων ἑξακισχίλιοι. Καὶ τότε μὲν δείσας ὑπεχώρει Δημήτριος, μετὰ δὲ ταῦτα Ἰουδαῖοι ἐπολέμουν Ἀλεξάνδρῳ, καὶ νικώμενοι πολλοὶ ἀπέθνησκον ἐν ταῖς μάχαις. Κατακλείσας δὲ τοὺς δυνατωτάτους αὐτῶν ἐν Βεθόμῃ πόλει ἐπολιόρκει. Λαβὼν δὲ τὴν πόλιν καὶ γενόμενος ἐγκρατὴς αὐτῶν ἀπήγαγεν εἰς Ἱεροσόλυμα, καὶ πάντων ὠμότατον ἔργον ἔδρασεν. Ἑστιώμενος γὰρ ἐν ἀπόπτῳ μετὰ τῶν παλλακίδων ἀνασταυρῶσαι προσέταξεν αὐτῶν ὡς ὀκτακοσίους, τοὺς δὲ παῖδας αὐτῶν καὶ τὰς γυναῖκας ἔτι ζώντων παρὰ τὰς ἐκείνων ὄψεις ἐπέσφαττεν, ὑπὲρ μὲν ὧν ἠδίκητο ἀμυνόμενος, ἄλλως δὲ ὑπὲρ ἄνθρωπον ταύτην εἰσπραττόμενος τὴν δίκην, εἰ καὶ τὰ μάλιστα, ὅπερ ἦν εἰκὸς, ἐταλαιπωρήθη τοῖς πρὸς αὐτὸν πολέμοις καὶ εἰς τοὔσχατον ἦλθε κινδύνου ψυχῆς τε πέρι καὶ βασιλείας, οὐκ ἀρκουμένων ἀγωνίζεσθαι κατὰ σφᾶς αὐτοὺς, ἀλλὰ καὶ ἀλλοφύλους ἐπαγόντων, καὶ τὸ τελευταῖον εἰς τοῦτο ἀνάγκης ἀγόντων, ὥστε ἦν κατεστρέψατο γῆν ἐν Μωαβίτιδι καὶ Γαλααδίτιδι, καὶ τὰ ἐν αὐτῇ χωρία τῶν Ἀράβων τῷ βασιλεῖ παραδοῦναι, ὅπως ἂν μὴ ξυνάρηται σφίσιν εἰς τὸν κατ' αὐτοῦ πόλεμον, ἄλλα τε μυρία εἰς ὕβριν αὐτοῦ καὶ ἐπήρειαν πραξάντων. Ἀλλ' οὖν οὐκ ἐπιτηδείως δοκεῖ ταῦτα δρᾶσαι· ὥστε διὰ τὴν τῆς ὠμότητος ὑπερβολὴν ἐπικληθῆναι αὐτὸν παρὰ τῶν Ἰουδαίων Θρακίδαν. Οἱ δ' ἀντιστασιῶται αὐτοῦ, τὸ πλῆθος ὄντες περὶ ὀκτακισχιλίους, φεύγουσι νυκτὸς, καὶ παρ' ὃν ἔζη χρόνον Ἀλέξανδρος ἦσαν ἐν τῇ φυγῇ. Καὶ οὗτος μὲν ἀπηλλαγμένος τῆς ἐκ τούτων ταραχῆς μετὰ πάσης τὸ λοιπὸν ἠρεμίας ἐβασίλευσε.

γ'. Δημήτριος δ' ἐκ τῆς Ἰουδαίας ἀπελθὼν εἰς Βέροιαν ἐπολιόρκει τὸν ἀδελφὸν αὐτοῦ Φίλιππον, ὄντων αὐτῷ πεζῶν μὲν μυρίων, χιλίων δὲ ἱππέων. Στράτων δ' ὁ τῆς Βεροίας τύραννος, Φιλίππῳ συμμαχῶν, Ζίζον τὸν Ἀράβων φύλαρχον ἐπεκαλεῖτο, καὶ Μιθριδάτην τὸν Σινάκην, τὸν Παρθυαίων ἔπαρχον. Ὧν ἀφικομένων μετὰ πολλῆς δυνάμεως, καὶ πολιορκούντων Δημήτριον ἐντὸς τοῦ χαρακώματος, εἰς ὃ τοῖς τε τοξεύμασι καὶ τῇ δίψῃ συνέχοντες αὐτὸν ἠνάγκασαν τοὺς σὺν αὐτῷ σφᾶς παραδοῦναι. Ἁφυραγωγήσαντες δὲ τὰ ἐν τῇ χώρᾳ καὶ τὸν Δημήτριον παραλαβόντες, τὸν μὲν τῷ Μιθριδάτῃ, τῷ τότε βασιλεύοντι Πάρθων, ἔπεμψαν, τῶν δ' Ἀντιοχέων ὅσους αἰχμαλώτους εἶναι συνέβαινε, τούτους

tuebantur, Demetrio adversus incedebat : erant autem illi equitum tria millia et peditum quadraginta millia. Et multa quidem utrinque tentata sunt, dum hic mercenarios, utpote Græcos, ad defectionem sollicitat, ille vero stantes a Demetrio Judæos. Sed quum neutris persuaderi posset, in prælium descenditur, in quo vincit Demetrius : mortuique sunt fideliter et fortiter se gerentes omnes Alexandri mercenarii, necnon multi ex Demetrii militibus.

2. Ceterum quum Alexander ad montes profugisset, Judæorum sexies mille, ejus fortunam mutatam miserati, ad eum congregantur. Ac tum quidem metuens Demetrius discessit : post hæc vero Judæi bellum intulerunt Alexandro, victique frequentes occubuerunt in prœliis. Hic vero, cum eorum potentissimos in urbem Bethomam compulisset, eam oppugnat : captaque urbe et iis potitus, Hierosolyma eos adducit, atque facinus perpetravit omnium immanissimum. Nam dum epularetur in conspicuo loco cum concubinis, imperat eorum circiter octingentos in crucem tolli, eisque adhuc viventibus eorum liberos et uxores in ipsorum conspectu jugulat, acceptas quidem injurias ulciscens, sed tamen severius quam homini licet pœnas exigens, quamvis in mala gravissima, quod verisimile erat, ab ipsis conjectus, dum adversum illum belligerarent, et in extremum vitæ regnique discrimen fuerit adductus, quum illis non suffecerit contra se invicem dimicare, sed externa etiam auxilia conciverint, tandemque eo angustiarum perduxerint, ut quam terram in Moabitica et Galaaditica regione subegerat una cum locis in illa *munitis* Arabum regi tradiderit, ne belli contra ipsum societatem cum illis iniret; ut alia taceam innumera contra illum, qua injuriis qua contumeliis, perpetrata. Verumtamen ista non ex necessitate fecisse videtur : adeo ut vocatus fuerit ab Judæis, propter summam crudelitatem, Thracidas. Ceterum ejus adversarii, qui numero erant circiter octo millium, noctu fugiunt, et, quam diu vixit Alexander, exsules erant. Atque is quidem, his turbis liberatus, regnavit deinceps quietissime.

3. At Demetrius, ab Judæa Beream profectus, Philippum fratrem suum oppugnavit, secum habens decem millia peditum et mille equites. Straton vero Berææ tyrannus, Philippi socius, Zizum, qui Arabum tribubus præerat, accivit, et Mithridatem Sinacen, Parthorum præfectum. Qui postquam venerunt magno cum exercitu, Demetrium in castris obsident, in quibus eum telis et siti constrictum tenentes, eos qui cum eo erant ad deditionem compulerunt; abductaque ex ea regione præda et capto Demetrio, ipsum quidem ad Mithridatem, qui tum in Parthis regnabat, miserunt, Antiochensium vero quotquot captivos factos

προῖκα τοῖς Ἀντιοχεῦσιν ἀπέδωκαν. Μιθριδάτης δ' ὁ τῶν Πάρθων βασιλεὺς τὸν Δημήτριον εἶχεν ἐν τῇ τιμῇ τῇ πάσῃ, μέχρι νόσῳ κατέστρεψε Δημήτριος τὸν βίον. Φίλιππος δὲ ἀπὸ τῆς μάχης εὐθὺς ἐπὶ Ἀντιόχειαν ἐλθὼν καὶ κατασχὼν αὐτὴν ἐβασίλευσε τῆς Συρίας.

ΚΕΦ. ΙΕ'.

Ἔπειτα Ἀντίοχος ὁ κληθεὶς Διόνυσος, ἀδελφὸς ὢν Φιλίππου, τῆς ἀρχῆς ἀντιποιούμενος, εἰς Δαμασκὸν παραγίνεται, καὶ τῶν ἐκεῖ πραγμάτων ἐγκρατὴς γενόμενος ἐβασίλευσεν. Ἐκστρατεύσαντος δ' αὐτοῦ ἐπὶ τοὺς Ἄραβας, Φίλιππος ὁ ἀδελφὸς ταῦτα ἀκούσας ἐπὶ Δαμασκὸν ἦλθε. Μιλησίου δὲ, ὃς καταλέλειπτο τῆς ἄκρας φύλαξ, τῶν Δαμασκηνῶν παραδόντος αὐτῷ τὴν πόλιν, ἀχάριστος εἰς αὐτὸν γενόμενος καὶ μηδὲν ὧν ἐλπίσας ἐδέξατο αὐτὸν παρασχὼν, ἀλλὰ τῷ παρ' αὐτοῦ φόβῳ βουληθεὶς δοκεῖν παραλαβεῖν τὴν πόλιν ἢ τῇ χάριτι τῇ Μιλησίου, μὴ δωρούμενος αὐτὸν οἷς ἐχρῆν ὑπωπτεύετο, καὶ πάλιν ἐκπίπτει τῆς Δαμασκοῦ· ἐξορμήσαντα γὰρ αὐτὸν εἰς ἱππόδρομον ἀπέκλεισεν ὁ Μιλήσιος καὶ τὴν Δαμασκὸν Ἀντιόχῳ διεφύλαξεν. Ὁ δὲ ἀκούσας τὰ περὶ τὸν Φίλιππον ὑπέστρεψεν ἐκ τῆς Ἀραβίας. Στρατεύεται δὲ εὐθὺς ἐλθὼν ἐπὶ τὴν Ἰουδαίαν ὁπλίταις μὲν ὀκτακισχιλίοις, ἱππεῦσι δὲ ὀκτακοσίοις. Δείσας δὲ Ἀλέξανδρος τὴν ἔφοδον αὐτοῦ, τάφρον ὀρύττει βαθεῖαν, ἀπὸ τῆς Χαβαρζαβᾶ καταρξάμενος, ἣ νῦν Ἀντιπατρὶς καλεῖται, ἄχρι τῆς εἰς Ἰόπην θαλάσσης, ἣ καὶ μόνον ἦν ἐπίμαχον· τεῖχός τε ἐγείρας καὶ πύργους ἀναστήσας ξυλίνους καὶ μεσοπύργια ἐπὶ σταδίους ἑκατὸν πεντήκοντα, τὸν Ἀντίοχον ἐξεδέχετο. Ὁ δὲ ταῦτα πάντα ἐμπρήσας διεβίβαζε ταύτῃ τὴν δύναμιν ἐπὶ τὴν Ἀραβίαν. Ἀναχωροῦντος δὲ τοῦ Ἄραβος τὰ πρῶτα, ἔπειτα μετὰ μυρίων ἱππέων ἐξαίφνης ἐπιφανέντος, ὑπαντήσας τούτοις Ἀντίοχος καρτερῶς ἐμάχετο· καὶ δὴ νικῶν ἀπέθανε, παραβοηθῶν τῷ πονοῦντι μέρει. Πεσόντος δὲ Ἀντιόχου καὶ τὸ στράτευμα φεύγει εἰς Κανὰ κώμην, ἔνθα τὸ πλεῖστον αὐτῶν λιμῷ φθείρεται.

β'. Βασιλεύει δὲ μετὰ τοῦτον τῆς Κοίλης Συρίας Ἀρέτας, κληθεὶς εἰς τὴν ἀρχὴν ὑπὸ τῶν τὴν Δαμασκὸν ἐχόντων, διὰ τὸ πρὸς Πτολεμαῖον τὸν Μενναίου μῖσος. Στρατεύσας δ' ἐκεῖθεν ἐπὶ τὴν Ἰουδαίαν καὶ περὶ Ἀδιδὰ χωρίον μάχῃ νικήσας Ἀλέξανδρον ἐπὶ συνθήκαις ἀνεχώρησεν ἐκ τῆς Ἰουδαίας.

γ'. Ἀλέξανδρος δὲ ἐλάσας αὖθις ἐπὶ Δίον πόλιν αἱρεῖ ταύτην, καὶ στρατεύεται ἐπὶ Ἔσσαν, οὗ τὰ πλείστου ἄξια Ζήνωνι συνέβαινεν εἶναι· καὶ τρισὶ μὲν περιβάλλει τείχεσι τὸ χωρίον, μάχῃ δὲ λαβὼν τὴν πόλιν ἐπὶ Γαυλάνην καὶ Σελεύκειαν ἐξώρμησε. Παραλαβὼν δὲ καὶ ταύτας προσεξεῖλε καὶ τὴν Ἀντιόχου λεγομένην φάραγγα καὶ Γάμαλα τὸ φρούριον. Ἐγκαλῶν δὲ Δημητρίῳ πολλὰ τῷ τῶν τόπων ἄρχοντι περιέδυσεν αὐτὸν, καὶ τρίτον ἤδη πεπληρωκὼς ἔτος τῆς στρατείας εἰς τὴν

esse contigit, eos gratis Antiochensibus reddiderunt. At Mithridates Parthorum rex Demetrium apud se omni in honore habuit, donec Demetrius morbo interiit. Philippus vero statim post pugnam profectus est Antiochiam, eaque potitus Syriæ regnum adeptus est.

CAP. XV. (XXIII.)

Postea Antiochus cognomine Dionysus, Philippi frater, ad principatum aspirans Damascum venit, et ibi rerum potitus rex factus est. Quum autem expeditionem fecisset in Arabas, Philippus frater, hac re audita, Damascum se contulit. Urbe autem ipsi Damascenorum a Milesio, qui arcis relictus erat præfectus, tradita, quum in Milesium ingratum sese ostendisset, nihilque eorum quæ ille speraverat ab ipso recepto præstitisset, maluissetque videri sui terrore urbem cepisse quam gratia Milesii, ideo quod illum ut fieri oportebat non remuneraverat, in suspicionem venit, et rursus Damascum perdidit : nam ipsum in circum equestrem egressum exclusit Milesius, et Damascum Antiocho servavit. Ille vero, auditis quæ Philippo acciderant, ex Arabia reversus est : moxque profectus in Judæam ducit exercitum octo millium peditum et equitum octingentorum. Alexander autem ejus adventum veritus, fossam profundam duxit a Chabarzaba, quæ nunc Antipatris appellatur, ad Jopicum mare, qua sola parte aditus patebat : excitatoque muro ac structis turribus ligneis et pluteis per stadia centum quinquaginta, Antiochum opperiebatur. Ille vero, omnibus istis operibus incensis, copiam illac trajecit in Arabiam. Quumque Arabs primum cederet, deinde cum decem equitum millibus repente se ostenderet, cum illis congressus Antiochus acriter dimicavit; et vincens quidem occubuit, dum laboranti parti subvenit. Occiso autem Antiocho exercitus fugit in vicum Canam, ubi maxima ejus pars fame conficitur.

2. Post hunc regnavit Aretas in Cœle-Syria, vocatus ad principatum ab iis qui Damascum tenebant, odio Ptolemæi Mennæi filii. Inde autem quum exercitum in Judæam duxisset, atque Alexandrum apud Addida locum *munitum* prælio vicisset, facta pactione discessit ex Judæa.

3. Alexander vero, quum rursus ad urbem Dion semet admovisset, eam capit; deinde exercitum ducit ad Essam, ubi erant Zenonis optima quæque : et triplici quidem muro locum cingit, urbe vero prælio capta ad Gaulanam et Seleuciam contendit. Et his quoque potitus, in potestatem etiam suam redegit Antiochi vallem et præsidium Gamala. Atque multa Demetrio horum locorum præfecto objiciens, ei provinciam ademit : et quum jam triennium in ea expeditione

οἰκείαν ὑπέστρεψε, προθύμως αὐτὸν τῶν Ἰουδαίων διὰ τὴν εὐπραγίαν δεχομένων.

δ'. Κατὰ τοῦτον δὲ τὸν καιρὸν ἤδη τῶν Σύρων καὶ Ἰδουμαίων καὶ Φοινίκων πόλεις εἶχον οἱ Ἰουδαῖοι, πρὸς θαλάσσῃ μὲν Στράτωνος πύργον, Ἀπολλωνίαν, Ἰόπην, Ἰάμνειαν, Ἄζωτον, Γάζαν, Ἀνθηδόνα, Ῥαφίαν, Ῥινοκόρουραν, ἐν δὲ τῇ μεσογείᾳ κατὰ τὴν Ἰδουμαίαν Ἄδωρα καὶ Μάρισσαν καὶ Σαμάρειαν, Καρμήλιον ὄρος καὶ τὸ Ἰταβύριον ὄρος, Σκυθόπολιν, Γάδαρα, Γαυλανίτιδα, Σελεύκειαν, Γάβαλα, Μωαβίτιδας Ἐσσεβών, Μήδαβα, Λέμβα, Ὀρώνας, Τελίθωνα, Ζάρα, Κιλίκιον αὐλῶνα, Πέλλαν, (ταύτην δὲ κατέσκαψαν, οὐχ ὑποσχομένων τῶν ἐνοικούντων εἰς τὰ πάτρια τῶν Ἰουδαίων ἔθη μεταβαλέσθαι,) ἄλλας τε πόλεις πρωτευούσας τῆς Συρίας, αἳ ἦσαν κατεστραμμέναι.

ε'. Μετὰ δὲ ταῦτα Ἀλέξανδρος ὁ βασιλεὺς ἐκ μέθης εἰς νόσον καταπεσὼν καὶ τρισὶν ἔτεσι τεταρταίῳ πυρετῷ συσχεθεὶς οὐκ ἀπέστη τῶν στρατειῶν, ἕως οὗ τοῖς πόνοις ἐξαναλωθεὶς ἀπέθανεν ἐν τοῖς Γερασηνῶν ὅροις, πολιορκῶν Ῥαγαβᾶ φρούριον πέραν τοῦ Ἰορδάνου. Ὁρῶσα δ' αὐτὸν ἡ βασίλισσα πρὸς τῷ τελευτᾶν ὄντα, καὶ μηδεμίαν ὑπογράφοντα μηκέτι σωτηρίας ἐλπίδα, κλαίουσα καὶ κοπτομένη τῆς μελλούσης ἐρημίας αὑτήν τε καὶ τοὺς παῖδας ἀπωδύρετο, καὶ « τίνι καταλείπεις οὕτως ἐμέ τε καὶ τὰ τέκνα τῆς παρ' ἄλλων βοηθείας δεόμενα, πρὸς αὐτὸν ἔλεγε, καὶ ταῦτ' εἰδὼς πῶς διάκειται πρὸς σὲ δυσμενῶς τὸ ἔθνος; » Ὁ δὲ συνεβούλευεν αὐτῇ, « πείθεσθαι μὲν οἷς ὑποθήσεται, πρὸς τὸ τὴν βασιλείαν ἀσφαλῶς κατέχειν μετὰ τῶν τέκνων, κρύψαι δὲ τὸν θάνατον αὐτοῦ πρὸς τοὺς στρατιώτας, ἕως ἂν ἐξέλῃ τὸ χωρίον· ἔπειτα ὡς ἂν νικήσῃ λαμπρῶς εἰς τὰ Ἱεροσόλυμα παραγενομένη, τοῖς Φαρισαίοις ἐξουσίαν τινὰ παρασχεῖν· τούτους γὰρ ἐπαινοῦντας αὐτὴν ἀντὶ τῆς τιμῆς εὔνουν καταστήσειν αὐτῇ τὸ ἔθνος. Δύνασθαι δὲ πολὺ παρὰ τοῖς Ἰουδαίοις τούτους ἔφασκε, βλάψαι τε μισοῦντας καὶ φιλίως διακειμένους ὠφελῆσαι· μάλιστα γὰρ πιστεύεσθαι παρὰ τῷ πλήθει περὶ ὧν κἂν φθονοῦντές τι χαλεπὸν λέγωσιν, αὐτόν τε προσκροῦσαι τῷ ἔθνει διὰ τούτους ἔλεγε ὑβρισθέντας ὑφ' αὐτοῦ. Σὺ τοίνυν, εἶπεν, ἐν τοῖς Ἱεροσολύμοις γενομένη μετάπεμψαι μὲν τοὺς πρωτεύοντας αὐτῶν, ἐπιδείξασα δὲ τὸ σῶμα ταὐμὸν ἐκείνοις, ὅπως μοι βούλωνται χρῆσθαι μετὰ πολλῆς ἀξιοπιστίας ἐπίτρεπε, εἴτε καθυβρίζειν ἀταφίᾳ μου θελήσουσι τὸν νεκρόν, ὡς πολλὰ πεπονθότες ἐξ ἐμοῦ, εἴτ' ἄλλην τινὰ κατ' ὀργὴν αἰκίαν τῷ σώματι προσφέρειν βουλήσονται· καὶ μηδὲν δίχα τῆς ἐκείνων γνώμης ἐν τῇ βασιλείᾳ διαπράξασθαι ὑπισχνοῦ. Ταῦτά σου πρὸς αὐτοὺς εἰπούσης, ἐγώ τε λαμπροτέρας ἀξιωθήσομαι πρὸς αὐτῶν κηδείας, ἧς ἂν ἔτυχον ἐκ σοῦ, μηδὲν διὰ τὸ ἐξεῖναι ποιεῖν μου κακῶς τὸν νεκρὸν διαθεῖναι θελησάντων, σύ τε βεβαίως ἄρξεις. » Ταῦτα παραινέσας τῇ γυναικὶ τελευτᾷ, βασιλεύσας ἔτη ἑπτὰ καὶ εἴκοσι, βιώσας δ' ἐνὸς δέοντα πεντήκοντα.

consumpsisset, domum repetit, Judæis eum magno studio ob res feliciter gestas excipientibus.

4. Eo autem tempore jam Syrorum et Idumæorum et Phœnicum urbes tenebant Judæi, ad mare quidem Stratonis turrim, Apolloniam, Jopen, Jamniam, Azotum, Gazam, Anthedonem, Raphiam, Rhinocururam; in mediterraneis vero ad Idumæam, Adora et Marissam et Samariam, montem Carmelum et montem Itabyrium, Scythopolim, Gadara, Gaulanitidem, Seleuciam, Gabala; Moabitidas Essebonem, Medaba, Lemba, Oronas, Telithonem, Zara, Cilicum vallem, et Pellam, (hanc autem everterunt, ideo quod ejus habitatores polliceri noluerunt se ad ritus Judaicos transituros,) atque alias præcipuas Syriæ urbes, quæ erant eversæ.

5. Postea autem Alexander ex ebrietate lapsus in morbum, et tribus annis quartana febre vexatus, militia non destitit, donec laboribus exhaustus obiit in Gerasenorum finibus, obsidens præsidium Ragaba trans Jordanem. Regina autem videns eum jam in extremis esse et nullam amplius salutis spem præ se ferentem, flebat et lamentabatur, se suosque natos deplorans, qui deserti futuri essent: et, « cui me, ipsi dicebat, ita relinquis et liberos ope aliena indigentes, idque quum non ignores quam infensa sit tibi gens? » Ille vero ei consuluit « ut suis monitis pareret, ut regnum et liberos tuto conservaret, mortem vero suam milites celaret, donec locum expugnasset: deinde quasi victrix splendide Hierosolyma se conferret, et Pharisæis potestatem aliquam præberet: hos enim, eam ob hunc honorem laudantes, conciliaturos ei nationis benevolentiam. Hos scilicet plurimum posse apud Judæos dicebat, et lædere quos oderint et juvare quibus bene velint: maxime enim eis vulgo credi, si de quopiam, quamvis per invidiam, male dicant; seque adeo in odium gentis propter eos incurrisse, quod eos affecisset contumelia. Quare tu, subjiciebat, ubi Hierosolyma perveneris, accersito eorum primarios: illisque meo corpore ostenso, potestatem eis facito, probe composita ad fidem oratione, utendi me arbitratu suo, sive cadaveri meo sepulturæ honore privato voluerint illudere, ut qui multa a me perpessi fuerint, sive aliam quamcunque injuriam corpori meo ex iracundia facere libuerit: teque nihil in regno sine eorum sententia facturam promittito. Hæc te ad eos loquuta, et ego splendidiore funere ab eis efferar quam a te efferrer, propterea quod, quia eis me mortuum injuriose tractare licebit, id facere non libebit: et tu tuto regnabis. » Hæc ille postquam uxorem monuit, vitam finivit, quum regnasset annos viginti septem, vixissetque undequinquaginta.

ΚΕΦ. ΙϚ'.

Ἡ δὲ Ἀλεξάνδρα τὸ φρούριον ἐξελοῦσα κατὰ τὰς τοῦ ἀνδρὸς ὑποθήκας τοῖς τε Φαρισαίοις διελέχθη καὶ πάντα ἐπ' ἐκείνοις θεμένη, τά τε περὶ τοῦ νεκροῦ καὶ τὰ περὶ τῆς βασιλείας, τῆς μὲν ὀργῆς αὐτοὺς τῆς πρὸς Ἀλέξανδρον ἔπαυσεν, εὔνους δ' ἐποίησε καὶ φίλους. Οἱ δ' εἰς τὸ πλῆθος παρελθόντες ἐδημηγόρουν, τὰς πράξεις τὰς Ἀλεξάνδρου διηγούμενοι καὶ ὅτι δίκαιος αὐτοῖς ἀπόλοιτο βασιλεὺς, καὶ τὸν δῆμον εἰς πένθος καὶ τὴν ὑπὲρ αὐτοῦ κατήφειαν ἐξεκαλέσαντο τοῖς ἐπαίνοις, ὥστε καὶ λαμπρότερον ἢ τινὰ τῶν πρὸ αὐτοῦ βασιλέων αὐτὸν ἐκήδευσαν. Δύο μέντοι υἱοὺς Ἀλέξανδρος κατέλιπεν, Ὑρκανὸν καὶ Ἀριστόβουλον, τὴν δὲ βασιλείαν εἰς τὴν Ἀλεξάνδραν διέθετο. Τῶν δὲ παίδων Ὑρκανὸς μὲν ἦν ἀσθενὴς πράγματα διοικεῖν καὶ βίον ἡσύχιον μᾶλλον ἠγαπηκὼς, ὁ δὲ νεώτερος Ἀριστόβουλος δραστήριός τε ἦν καὶ θαρσαλέος. Ἐστέργετο μὲν οὖν ὑπὸ τοῦ πλήθους ἡ γυνὴ διὰ τὸ δοκεῖν ἐφ' οἷς ὁ ἀνὴρ αὐτῆς ἐξήμαρτε δυσχεραίνειν.

β'. Ἡ δὲ ἀρχιερέα μὲν ἀποδείκνυσιν Ὑρκανὸν διὰ τὴν ἡλικίαν, πολὺ μέντοι πλέον διὰ τὸ ἄπραγμον αὐτοῦ καὶ πάντα τοῖς Φαρισαίοις ἐπιτρέπει ποιεῖν, οἷς καὶ τὸ πλῆθος ἐκέλευσε πειθαρχεῖν, καὶ εἴ τι δὲ καὶ τῶν νομίμων Ὑρκανὸς ὁ πενθερὸς αὐτῆς κατέλυσεν ὧν εἰσήνεγκαν οἱ Φαρισαῖοι κατὰ τὴν πατρῴαν παράδοσιν, τοῦτο πάλιν ἀποκατέστησε. Τὸ μὲν οὖν ὄνομα τῆς βασιλείας εἶχεν αὐτὴ, τὴν δὲ δύναμιν οἱ Φαρισαῖοι. Καὶ γὰρ φυγάδας οὗτοι κατῆγον καὶ δεσμώτας ἔλυον, καὶ καθάπαξ οὐδὲν δεσποτῶν διέφερον. Ἐποιεῖτο μέντοι καὶ ἡ γυνὴ τῆς βασιλείας πρόνοιαν, καὶ πολὺ μισθοφορικὸν συνίστησι, καὶ τὴν ἰδίαν δύναμιν ἀπέδειξε πλείονα, ὡς καταπλῆξαι τοὺς πέριξ τυράννους καὶ λαβεῖν ὅμηρα αὐτῶν. Ἠρέμει δὲ ἡ χώρα πᾶσα πάρεξ τῶν Φαρισαίων. Οὗτοι γὰρ ἐπετάραττον τὴν βασίλισσαν, πείθοντες ὡς κτείνοιεν τοὺς Ἀλεξάνδρῳ παραινέσαντας ἀνελεῖν τοὺς ὀκτακοσίους. Εἶτα αὐτοὶ τούτων ἕνα σφάττουσι Διογένη καὶ μετ' αὐτὸν ἄλλους ἐπ' ἄλλοις, ἕως οἱ δυνατοὶ παρελθόντες εἰς τὸ βασίλειον καὶ μετ' αὐτῶν Ἀριστόβουλος (ἐῴκει γὰρ τοῖς γινομένοις δυσανασχετῶν καὶ δῆλος ἦν καθάπαξ, εἰ ἀφορμῆς λάβοιτο, μὴ ἐπιτρέψων τῇ μητρί) ἀνεμίμνησκον « ὅσα κατωρθώσαντο τοῖς κινδύνοις, δι' ὧν τὸ βέβαιον ἐν σφίσι τῆς πίστεως πρὸς τὸν δεσπότην ἐπεδείξαντο, ἀνθ' ὧν ὑπ' αὐτοῦ μεγίστων ἠξιώθησαν, καὶ ἐδέοντο μὴ ἄχρι τοῦ παντὸς ἐμπαλιν τρέψαι σφίσι τὰς ἐλπίδας. Ἀποφυγόντας γὰρ τὸν ἐκ πολεμίων κίνδυνον ἐν τῇ οἰκείᾳ ὑπὸ ἐχθρῶν δίκην βοσκημάτων κόπτεσθαι, μηδεμιᾶς τιμωρίας οὔσης. Ἔλεγόν τε, εἰ μὲν ἀρκεσθεῖεν τοῖς ἀνῃρημένοις οἱ ἀντίδικοι, διὰ τὸ πρὸς τοὺς δεσπότας γνήσιον μετρίως οἴσειν τὰ ξυμβάντα, εἰ δ' αὖ μέλλοιεν ταῦτα μετιέναι, ἠτοῦντο μάλιστα μὲν δοθῆναι σφίσιν ἀπαλλαγήν· οὐ γὰρ ἂν ὑπομεῖναι χωρὶς αὐτῆς πορίσασθαί τι σωτήριον, ἀλλ' ἀσμενίζειν θνήσκοντας πρὸς τοῖς βασι-

CAP. XVI. (XXIV.)

Alexandra vero, expugnato præsidio, ut mariti monita postulabant, et Pharisæos alloquuta est, et omnibus in eorum potestate positis, tum de mortuo, tum de regno, eorum in Alexandrum iram sedavit, eosque benevolos et amicos reddidit. Itaque in vulgus pregressi conciones habebant, res gestas Alexandri recensentes et justum sibi regem periisse dicentes, tantumque laudationibus effecerunt, ut populus eum lugeret atque deploraret, ita ut magnificentius sit elatus quam quisquam regum qui eum antecesserant. Ceterum reliquit Alexander duos filios, Hyrcanum et Aristobulum, sed regnum Alexandræ testamento commisit. E pueris autem Hyrcanus ad res administrandas parum habilis erat et vitæ quietæ magis addictus : junior vero Aristobulus navus erat et audax. Et mulier quidem erat in multitudinis gratia, propterea quod mariti peccata graviter ferre videbatur.

2. Illa vero pontificem fecit Hyrcanum, quum propter ætatem, tum multo magis propter ejus segnitiem, et omnia Pharisæis gerenda permisit : quibus et multitudinem obedire jussit; et si quod institutum Hyrcanus ejus socer abroganverat, eorum quæ Pharisæi a patribus accepta tradiderant, id illa restituit. Itaque regni nomen habebat ipsa, potestatem vero Pharisæi. Nam et exsules isti revocabant et vinctos solvebant, et prorsus nihil a dominis differebant. Quamquam et femina regni curam gerebat, multosque milites mercede conductos colligit, et suas vires majores effecit, adeo ut finitimos tyrannos terruerit, et obsides ab eis acceperit : eratque universa regio quieta, exceptis Pharisæis. Nam illi reginam turbabant, suadentes ut eos interficeret qui Alexandro auctores fuerint ut octingentos necaret. Tandemque ipsi eorum unum occiderunt, Diogenem, et post eum alios super alios, donec potentiores in regiam ingressi, una cum Aristobulo (videbatur enim ægre ferre quæ fiebant, et omnino præ se ferebat, si vires nactus esset, se ea non permissurum matri) commemorabant, « quanta feliciter gesserunt pericula adeundo, quibus se fidos firmosque domino probaverant, adeo ut ab eo maxima consequuti fuerint, orantque ne suas spes velit prorsus in contrarium vertere. Nunc enim qui ex hostium periculo elapsi essent, domi ab inimicis more pecudum mactari, nemine ipsis opem ferente. Aiebantque, si adversariis jam interfectis contenti sint, propter innatum erga dominos affectum patienter se laturos quæ acciderint; sin in eisdem perseveraturi sint, petebant inprimis sibi dari missionem : neque enim eos esse qui sine regina salutem ullam sibi quærere sustineant, qui libenter in regia morituri sint, si

λείοις, ὡς μὴ συγγνοῖεν ἑαυτοῖς. Αἴσχός τε εἶναι σφίσι καὶ τῇ βασιλίσσῃ, εἰ πρὸς αὐτῆς ἀμελούμενοι ὑπὸ τῶν ἐχθρῶν τοῦ ἀνδρὸς ἐκδεχθείησαν· ἀντὶ παντὸς γὰρ ἂν τιμήσασθαι Ἀρέταν τε τὸν Ἄραβα καὶ τοὺς μονάρχους, εἰ ἀποξενολογήσαιεν τοσούσδε ἄνδρας, οἷς ἦν τάχα φρικῶδες καὶ τοὔνομα πρὶν ἀκουσθῆναι. Εἰ δὲ μὴ τό γε δεύτερον, εἰ τοὺς Φαρισαίους αὐτῇ προτιμᾶν ἔγνωσται, κατατάξαι ἕκαστον αὐτῶν ἐν τοῖς φρουρίοις· εἰ γὰρ ὧδε δαίμων τις ἐνεμέσησεν τῷ Ἀλεξάνδρου οἴκῳ, αὐτούς γε μὴν ἂν ἀποδεῖξαι καὶ ἐν ταπεινῷ σχήματι βιοτεύοντας. »

γ'. Πολλὰ δὲ τοιαῦτα λεγόντων αὐτῶν καὶ εἰς οἶκτον τῶν τεθνεώτων καὶ τῶν κινδυνευόντων τοὺς Ἀλεξάνδρου δαίμονας ἐπικαλουμένων, ἅπαντες οἱ περιεστῶτες ὤρμησαν εἰς δάκρυα· μάλιστα δὲ Ἀριστόβουλος ὅπως σχοίη γνώμης ἐδήλου πολλὰ τὴν μητέρα κακίζων. Ἀλλὰ γὰρ ἐκεῖνοι μὲν αἴτιοι σφίσιν αὐτοῖς τῶν συμφορῶν ἐγένοντο, κατὰ φιλαρχίαν ἐκλελυσσηκυίᾳ γυναικὶ παρὰ τὸ εἰκὸς βασιλεύσιν, γενεᾶς ἕνεκα μὴ οὔσης, ἐπιτρέψαντες. Ἡ δὲ οὐκ ἔχουσα ὅ τι πράξειε μετὰ τοῦ εὐπρεποῦς, τὴν φυλακὴν τῶν χωρίων σφίσιν ἐπίστευσεν, ὅτι μὴ Ὑρκανίας καὶ Ἀλεξανδρείου καὶ Μαχαιροῦντος, ἔνθα τὰ πλείστου ἄξια ἦν αὐτῇ. Καὶ μετ' οὐ πολὺ τὸν υἱὸν Ἀριστόβουλον μετὰ στρατιᾶς ἐξέπεμψεν ἐπὶ Δαμασκόν, κατὰ Πτολεμαίου τοῦ Μενναίου λεγομένου, ὃς βαρὺς ἦν τῇ πόλει γείτων. Ἀλλ' ὁ μὲν οὐδὲν ἐργασάμενος σπουδῆς ἄξιον ὑπέστρεψεν.

δ'. Κατὰ δὲ τοῦτον τὸν καιρὸν ἀγγέλλεται Τιγράνης ὁ τῶν Ἀρμενίων βασιλεὺς ἅμα μυριάσι στρατιωτῶν πεντήκοντα ἐμβεβληκὼς εἰς τὴν Συρίαν καὶ ἐπὶ τὴν Ἰουδαίαν ἀφιξόμενος. Τοῦτο, ὥσπερ εἰκός, ἐφόβησε τὴν βασίλισσαν καὶ τὸ ἔθνος. Δῶρα δὴ πολλὰ καὶ λόγου ἄξια πέμπουσιν αὐτῷ καὶ πρέσβεις πολιορκοῦντι τὴν Πτολεμαΐδα. Βασίλισσα γὰρ Σελήνη, ἡ καὶ Κλεοπάτρα καλουμένη, τῶν ἐν τῇ Συρίᾳ κατῆρχεν, ἣ καὶ ἐνήγαγε τοὺς ἐνοικοῦντας ἀποκλεῖσαι Τιγράνην. Συνετύγχανον οὖν αὐτῷ καὶ ἐδέοντο χρηστὰ περὶ τῆς βασιλίσσης καὶ τοῦ ἔθνους συγγινώσκειν. Ὁ δὲ ἀποδεξάμενος αὐτοὺς τῆς ἐκ διαστήματος θεραπείας ἐλπίδας ὑπέθετο χρηστάς. Ἄρτι δὲ τῆς Πτολεμαΐδος ἁλωκυίας, ἀγγέλλεται Τιγράνῃ Λεύκουλλον διώκοντα Μιθριδάτην ἐκείνου μὲν διαμαρτεῖν εἰς τοὺς Ἴβηρας ἀναφυγόντος, τὴν δὲ Ἀρμενίαν πορθήσαντα πολιορκεῖν. Τιγράνης δὲ ταῦτα ἐπιγνοὺς ἀνεχώρει τὴν ἐπ' οἴκου.

ε'. Μετὰ δὲ τοῦτο τῆς βασιλίσσης εἰς νόσον χαλεπὴν ἐμπεσούσης, δόξαν Ἀριστοβούλῳ τοῖς πράγμασι ἐπιτίθεσθαι, τῆς νυκτὸς ὑπεξελθὼν μεθ' ἑνὸς τῶν θεραπόντων ἦει ἐπὶ τὰ φρούρια, ἵνα οἱ πατρῷοι κατετάχθησαν αὐτῷ φίλοι. Πάλαι γὰρ ἀχθόμενος οἷς ἔπραττεν ἡ μήτηρ, πολὺ μᾶλλον ἔδεισε μὴ ἀποθανούσης ἐπὶ τοῖς Φαρισαίοις τὸ πᾶν γένος αὐτῆς ὑπάρξειεν· ἑώρα γὰρ τὸ ἀδύνατον τοῦ μέλλοντος διαδέχεσθαι τὴν ἀρχὴν ἀδελφοῦ. Ξυνῄδει δ' ἡ αὐτοῦ γυνὴ τῇ πράξει μόνη, ἣν καταλιπὼν αὐτόθι μετὰ τῆς γενεᾶς. Καὶ πρῶτον ἀφι-

ipsis venia non detur. Et turpe ipsis esse et reginæ, si ab ea neglecti a mariti inimicis excipiantur : in maximis enim posituros Aretam Arabem ceterosque principes, si liceat conducere tot viros, quorum vel nomen fortasse terribile sit eis priusquam auditum. Quod si nec posterius hoc placeat, si Pharisæis tantum tribuere statuat, se diversos in præsidiis disponat : si enim dæmon aliquis Alexandri domum usque adeo persequatur, se quidem non recusare quominus in humili conditione vivant. »

3. Hæc autem illis et alia multa dicentibus, et ad mortuorum periclitantiumque misericordiam Alexandri manes invocantibus, omnes circumstantes in lacrimas proruperunt; maxime autem Aristobulus quomodo esset animatus ostendebat, multa convicia ingerens matri. Verum illi quidem sibi ipsis calamitatum auctores fuerunt, qui feminæ imperii cupidine furenti contra fas commiserunt regni habenas, quasi *Alexandro* deessent posteri. Itaque ipsa non habens quod honeste faceret, custodiam locorum *munitorum* ipsis credidit, excepta Hyrcania et Alexandrio et Machærunte, ubi pretiosissima quæque habebat. Et haud multo post filium suum Aristobulum cum exercitu misit Damascum, adversus Ptolemæum cognomine Mennæum, qui gravis erat urbi vicinus. Sed ille quidem re nulla memorabili gesta reversus est.

4. Eo autem tempore nunciatur Tigranes Armeniorum rex cum quingentis hominum millibus invasisse Syriam, et adorturus Judæam. Id quod, ut par fuit, terruit reginam et gentem : quo factum est ut per legatos multa magnique pretii dona ei mitterent, obsidenti Ptolemaidem. Regina enim Selene, quæ et Cleopatra dicebatur, Syriæ imperabat, quæ et incolas induxit ut Tigrani portas clauderent. Igitur eum convenerunt *legati*, et ut de regina deque gente nihil nisi bonum statueret orarunt. Ille vero collaudatis eis, quod ex longinquo se coluissent, bonam spem eis fecit. Jam vero Ptolemaide modo capta, nunciatur Tigrani Lucullum, dum Mithridatem persequitur, illum quidem non esse assequutum, quia in Iberas effugisset, sed Armeniam depopulatum esse atque oppugnare. Tigranes igitur his cognitis domum se recipere contendit.

5. At post hæc regina difficili morbo correpta Aristobulus, aggrediendas sibi res arbitratus, noctu clam egressus cum uno famulo adiit præsidia, ubi paternos amicos dispositos habuit. Jam pridem enim iniquo animo ferens facta matris, longe etiam magis timebat ne ea mortua ejus universum genus esset in Pharisæorum potestate : videbat enim infirmitatem fratris, qui in principatum successurus erat. Ejus autem facti conscia erat sola conjux, quam ibi

κόμενος εἰς Ἄγαβα, ἔνθα Γαλαιστὴς ἦν τῶν δυνατῶν, ὑπεδέχθη πρὸς αὐτοῦ. Μεθ' ἡμέραν δὲ τῇ βασιλίσσῃ αἴσθησις γίνεται τῆς Ἀριστοβούλου φυγῆς· καὶ μέχρι τινὸς ὤετο γεγονέναι τὴν ἀναχώρησιν οὐκ ἐπὶ νεωτερισμῷ· ὡς μέντοι ἦκον ἀπαγγέλλοντες, ἄλλοι ἐπ' ἄλλοις, ὅτι κατειλήφει τὸ πρῶτον χωρίον καὶ τὸ δεύτερον καὶ ξύμπαντα, (εὐθὺς γὰρ ἑνὸς ἀρξαμένου πάντα ὑπήγετο πρὸς τὸ ἐκείνου βούλημα,) τότε δὴ ἐν μεγίσταις ταραχαῖς ὑπῆρχεν ἥ τε βασίλισσα καὶ τὸ ἔθνος. Ἤδεισαν γὰρ οὐ πόρρω τοῦ δύνασθαι τὴν ἀρχὴν αὐτῷ κρατῦναι τὸν Ἀριστόβουλον ὄντα· μάλιστα δ' ἔδεισαν μὴ ποινὴν εἰσπράξαιτο ὧν παρώνησαν αὐτοῦ τὸν οἶκον. Δόξαν οὖν τὴν γυναῖκα αὐτοῦ καὶ γενεὰν εἰς τὸ ὑπὲρ τοῦ ἱεροῦ φρούριον κατέθεσαν. Ἀριστοβούλῳ δὲ ὡς ἂν ἐκ πολλῶν συχνὰ συνανηνέχθη, ἀφ' ὧν δὴ καὶ κόσμος ἤδη βασίλειος περὶ αὐτὸν ἦν. Σχεδὸν γὰρ ἐν ἡμέραις δεκαπέντε χωρίων ἐκράτησεν εἴκοσι δύο, ὅθεν ἀφορμὰς ἔχων στρατιὰν ἤθροιζεν ἀπό τε Λιβάνου καὶ Τράχωνος καὶ τῶν μονάρχων. Οἱ γὰρ ἄνθρωποι τῷ πλείονι ὑπαγόμενοι ῥᾳδίως ὑπήκουον, ἄλλως τε καὶ νομίζοντες, εἰ ξυλλάβοιεν αὐτῷ τῶν μὴ προσδοκωμένων, οὐχ ἧσσον καρπώσεσθαι τὴν βασιλείαν, ὡς αὐτοὶ τοῦ κρατῆσαι πρόφασις γεννηθέντες. Τῶν δὲ Ἰουδαίων οἱ πρεσβύτεροι καὶ Ὑρκανὸς εἰσῆλθον ὡς τὴν βασίλισσαν καὶ ἐδέοντο ὑποθέσθαι γνώμην περὶ τῶν ἐνεστώτων· τὸν γὰρ Ἀριστόβουλον τῶν πάντων σχεδὸν ἤδη κυριεύειν, ὁπότε χωρίων τοσούτων κρατήσειεν, ἄτοπον δὲ, εἰ καὶ τὰ μάλιστα κάμνοι, περιούσης αὐτῆς κατὰ σφᾶς βουλεύεσθαι· περιεστάναι δὲ τὸν κίνδυνον οὐ διὰ μακροῦ σφίσιν. Ἡ δὲ αὐτοὺς ἐκέλευσε πράττειν ὅ τι δοκοῦσι χρήσιμον εἶναι· πολλὰς δὲ αὐτοῖς ἀφορμὰς λιπέσθαι, τὸ ἔθνος ἐρρωμένον, καὶ τὴν δύναμιν, καὶ τὰ ἐν τοῖς γαζοφυλακίοις χρήματα· αὐτῇ γὰρ μικρὸν ἔτι μέλειν τῶν πραγμάτων, ὡς ὑπολείποντος ἤδη τοῦ σώματος.

ς'. Ταῦτ' εἰποῦσα μετ' οὐ πολὺ ἐτελεύτησε, βασιλεύσασα ἔτη ἐννέα, τὰ δὲ σύμπαντα βιώσασα τρία καὶ ἑβδομήκοντα, γυνὴ τῷ ἀσθενεῖ τοῦ φύλου κατ' οὐδὲν χρησαμένη. Δεινὴ γὰρ εἰς τὸ φιλαρχον ἐν τοῖς μάλιστα γενομένη διήλεγξεν ἔργοις τό τε πρακτικὸν τῆς ἐν αὐτῇ γνώμης καὶ τὸ ἀσύνετον τῶν ἀεὶ πταιόντων περὶ τὰς δυναστείας ἀνδρῶν. Τὸ γὰρ παρὸν κρεῖττον ἀξιοῦσα τοῦ μέλλοντος καὶ πάντα δεύτερα τιθεμένη τοῦ ἐγκρατῶς ἄρχειν, οὔτε καλοῦ οὔτε δικαίου, ἕνεκά γε τούτων, ἐπεστρέφετο. Εἰς γοῦν τοῦτο τῷ οἴκῳ ἀτυχίας τὰ πράγματα περιέστησεν, ὥστε ἦν μετὰ πλείστων κινδύνων καὶ ταλαιπωριῶν περιεκτήσατο δυναστείαν, ἐπιθυμίᾳ τῶν μὴ προσηκόντων γυναικὶ χρόνοις οὐ πολλοῖς ὕστερον ἀφαιρεθῆναι, τοῖς μὲν δυσμενῶς ἔχουσι πρὸς τὸ γένος αὐτῶν τὴν αὐτὴν γνώμην προθεῖσα, τὴν δὲ ἀρχὴν ἔρημον τῶν προκηδομένων ποιησαμένη· καὶ ξυμφορῶν δὲ ἐνέπλησε καὶ ταραχῆς ἐξ ὧν ζῶσα ἐπολιτεύσατο καὶ μετὰ τὴν τελευτὴν τὸ βασίλειον. Οὐ μὴν ἀλλὰ, καίπερ οὕτως ἄρξασα,

cum prole sua reliquit. Ac primum ad Agaba profectus, ubi Galæstes ex potentibus erat, admissus est ab eo. Orta autem die sentit regina fugam Aristobuli, et aliquamdiu arbitrata est non rerum novarum studio discessisse: verum postquam alii super alios venerunt, qui nunciarent illum primum præsidium occupasse, deinde secundum, et universa, (statim enim facto ab uno initio, omnia ad illius arbitrium sequebantur,) tunc quidem in maximis turbis esse cœperunt tam regina quam gens. Videbant enim non multum abesse Aristobulum quin sibi principatum confirmare posset, maximeque metuebant ne pœnam irrogaret ipsis, quoniam in ejus domum debacchati fuissent. Itaque visum est eis ejus uxorem et liberos in præsidio collocare, quod supra fanum erat. Ad Aristobulum autem tam magnus frequenter fiebat confluxus, ut jam ornatu regio stiparetur. Nam diebus fere quindecim occupavit loca *munita* viginti duo; unde opibus sibi comparatis exercitum colligebat a Libano et Trachone et principibus. Homines enim majorem partem sequentes facile obtemperabant: accelebat eo, quod sperabant, si eum in rebus non speratis adjuvissent, non minorem ex regno fructum ad se reditorum, ut qui ei ejus obtinendi causa exstitissent. Judæorum autem seniores et Hyrcanus adierunt reginam, et ut super instantibus consilium daret orarunt: Aristobulum enim, tantis locis occupatis, propemodum rerum omnium jam potiri; se autem non decere, etiamsi maxime ipsa ægrotet, ea superstite, consilii aliquid seorsum capere; periculum autem jam esse pœne pro foribus. At illa jussit ut quod utile judicarent, illud facerent: restare eis multas facultates, gentem validam, et exercitum, et fisci pecuniam: sibi quidem parum jam curæ esse negotia, ut quæ corporis viribus jam deficeretur.

6. Postquam ista dixerat, non multo post obiit, quum regnasset annos novem, et vixisset in universum septuaginta tres, mulier quæ sexus sui imbecillitatem nulla in re prodidit. Nam quum ingenti regnandi cupiditate, ut qui maxime, teneretur, et quibus egerit quam apto fuerit ad res gerendas animo ostendit, et quam hebetia sint virorum ingenia, qui in imperandi potestate titubare solent. Nam præsentia futuris potiora existimans, aliisque omnibus insuper habitis modo imperiose dominaretur, nec honesti nec justi, illorum saltem gratia, rationem habebat. Veruntamen res suæ familiæ eo infelicitatis perduxit, ut potentiam, quam multis periculis et laboribus paraverat, desiderio eorum quæ mulieri non conveniebant, haud multo post amiserit, ut quæ eadem cum illis senserit qui animo essent in familiam regiam malevolo, regnumque potentium præsidio destitutum reliquerit; prætereaque ex sua dum viveret reipublicæ administratione regiam etiam post obitum calamitatibus turbisque complevit. Veruntamen licet hoc modo in

ἐν εἰρήνῃ τὸ ἔθνος διεφύλαξε. Τὰ μὲν οὖν περὶ Ἀλεξάνδραν τοῦτο εἶχε τὸ τέλος.

imperio se gesserit, gentem in pace conservavit. Et res quidem Alexandræ hunc exitum habuerunt.

ΒΙΒΛΙΟΝ ΤΕΣΣΑΡΕΣΚΑΙΔΕΚΑΤΟΝ.

LIBER DECIMUS QUARTUS.

α'. Ὡς μετὰ τὸν Ἀλεξάνδρας θάνατον ὁ νεώτερος αὐτῆς τῶν παίδων Ἀριστόβουλος ἐπολέμησε πρὸς Ὑρκανὸν τὸν ἀδελφὸν περὶ τῆς βασιλείας, καὶ κρατήσας αὐτοῦ συνεδίωξεν εἰς τὴν ἐν Ἱεροσολύμοις βᾶριν· ἔπειθ' ὡς συμβάντες ἐκριναν βασιλεύειν μὲν Ἀριστόβουλον, Ὑρκανὸν δὲ ἰδιωτεύειν.

1. Quomodo post mortem Alexandræ filiorum ejus natu minor Aristobulus de regno bellum gessit cum Hyrcano fratre, victumque persequutus est usque ad arcem Hierosolymitanam : utque inter eos ita convenit, ut Aristobulus regnaret, Hyrcanus privatam vitam degeret.

β'. Περί τε Ἀντιπάτρου καὶ γένους αὐτοῦ, καὶ τίνα τρόπον ἐκ μικρᾶς καὶ τῆς τυχούσης ἀφορμῆς εἰς λαμπρότητα καὶ δόξαν ἅμα τοῖς παισὶν προήχθη καὶ μέγεθος δυνάμεως· καὶ ὅτι πείσαντος Ὑρκανὸν Ἀντιπάτρου φυγεῖν ἐξ Ἱεροσολύμων πρὸς Ἀρέταν τὸν τῶν Ἀράβων βασιλέα, ἱκέτευσεν ἐλθὼν καταγαγεῖν αὐτὸν εἰς τὴν βασιλείαν, γῆν τε πολλὴν δώσειν καὶ χρήματα ὑποσχόμενος.

2. De Antipatro et ejus genere, et quomodo ex parvis et mediocribus initiis ad claritatem et gloriam et magnam potentiam ipse ejusque filii pervenerunt : utque ejus suasu Hyrcanus, Hierosolymis fugiens ad Aretam regem Arabum, ei, ut ipsum restitueret in regnum, supplicavit, factis promissis se ei daturum multum terræ pecuniæque.

γ'. Ὡς Ἀρέτας, προσδεξάμενος τὸν Ὑρκανὸν, ἐστράτευσεν ἐπὶ τὸν Ἀριστόβουλον, καὶ συμβαλὼν καὶ κρατήσας τῇ μάχῃ συνεδίωξεν ἐπὶ Ἱεροσόλυμα, καὶ περικαθίσας τὸ στρατόπεδον ἐπολιόρκει τὴν πόλιν.

3. Quomodo Aretas, quum Hyrcanum excepisset, bellum intulit Aristobulo : utque quum prælio congressus eum vicisset, persequutus est eum usque Hierosolyma, exercituque urbi admoto eam obsidet.

δ'. Ὡς Σκαῦρον πέμψαντος ἀπὸ Ἀρμενίας εἰς Συρίαν Μάγνου Πομπήιου, ἦκον πρὸς αὐτὸν ἀπό τε Ὑρκανοῦ καὶ Ἀριστοβούλου πρέσβεις περὶ συμμαχίας παρακαλοῦντες αὐτόν.

4. Quomodo ad Scaurum, quem ex Armenia in Syriam miserat Pompejus Magnus, legati ab Hyrcano et Aristobulo venerunt, ipsius auxilium implorantes.

ε'. Ὅτι Σκαῦρος τετρακοσίοις διαφθαρεὶς ταλάντοις Ἀριστοβούλῳ προσέθετο.

5. Quomodo Scaurus, talentis quadringentis corruptus, Aristobuli rebus studebat.

ς'. Ὡς Πομπηίου εἰς Δαμασκὸν ἐκ τῆς Ἀρμένιας ἐλθόντος Ἀριστόβουλος καὶ Ὑρκανὸν ἐπ' αὐτὸν ἦκον περὶ τῆς βασιλείας δικαιολογούμενοι. Ὑπέρθεσις Πομπηίου, περὶ ὧν ἐνεκάλουν διαγνώσεσθαι φήσαντος, ἕως ἂν εἰς τὴν ἐκείνων χώραν παραγίνηται.

6. Quomodo, Pompejo ex Armenia ad Damascum profecto, Aristobulus et Hyrcanus eum conveniebant de regno disceptantes : utque Pompejus, quum se causam querelarum cogniturum dixisset, rem distulit donec in eorum regionem veniret.

ζ'. Ὅτι συνεὶς ὁ Ἀριστόβουλος τίνα ἔχει διάνοιαν ὁ Πομπήιος ἀνεχώρησεν εἰς τὴν Ἰουδαίαν· καὶ ὡς ἀγανακτήσαντος αὐτοῦ καὶ στρατεύσαντος ἐπ' αὐτόν, εἰς Ἀλεξάνδρειον Ἀριστοβούλου ἀνεχώρησε τὸ φρούριον, ὀχυρὸν ὂν καὶ δυσκαταμαχήτον.

7. Quod Aristobulus, quum intellexisset quo esset in eum animo Pompejus, in Judæam discessit : utque Aristobulus, Pompejo ei irato et in expeditionem adversus eum profecto, in Alexandrium se recepit, castellum bene firmum et expugnatu difficile.

η'. Ὡς Πομπήιος, τοῦτο συνιδών, στρατηγήματι χρησάμενος ἔπεισε τὸν Ἀριστόβουλον καταλιπόντα τὸ φρούριον καταβῆναι πρὸς αὐτόν, ὡς βεβαιωσομένου αὐτῷ τὴν ἡγεμονίαν· οἷς πεισθέντα καὶ πολλάκις δικαιολογησάμενον πρὸς τὸν ἀδελφὸν ἠνάγκασε τοῖς φρουράρχοις τῇ αὐτοῦ χειρὶ γράψαι, καὶ παραδοῦναι αὐτῷ τὰ φρούρια.

8. Quomodo Pompejus, ubi hoc resciverat, strategemate usus persuasit Aristobulo ut relicto præsidio ad ipsum descenderet, tanquam principatum ei firmaturum. Quibus obsequutum, postquam cum fratre sæpius disceptaverat, coegit Pompejus præsidiorum præfectis sua manu scribere, ipsique castella tradere.

θ'. Ὡς Ἀριστόβουλος τοῦτο ποιήσας δια φόβον, ἔπειτα δυσχεράνας ἐπὶ τῷ μηδενὸς ὧν προσεδόκα παρα Πομπήιου τυγχάνειν, ἀνεχώρησεν εἰς Ἱεροσόλυμα ἐγκλείσων αὐτόν.

9. Quomodo Aristobulus, quum hoc præ metu fecisset, et postea rem ægre tulisset, quod nihil eorum quæ sperabat a Pompejo nactus esset, discessit, in Hierosolyma semet inclusurus.

ι'. Ὡς Πομπηίου κατα πόδα μετα τῆς στρατιᾶς κατακολουθήσαντος μετενόησεν Ἀριστόβουλος, καὶ προελθὼν ἄχρι Ἱεριχοῦντος ἀπήντησεν αὐτῷ, καὶ συγγνώμης τυχεῖν δεηθεὶς περὶ τῶν ἡμαρτημένων, τήν τε πόλιν καὶ τὰ χρήματα παραδώσειν ὑπέσχετο· καὶ Πομπηίου πέμψαντος Γαβίνιον μετὰ ἐπιλέκτων στρατιωτῶν ἐπί τε τὴν τῆς πόλεως παράληψιν καὶ τῶν χρημάτων, οἱ Ἱεροσολυμῖται, τὸν Ἀριστόβουλον ὁρῶντες ἐν φυλακῇ ν[illegible]ώτα, τὰς πύλας ἀπέκλεισαν τοῖς Ῥωμαίοις.

10. Quomodo Aristobulus, Pompejo e vestigio eum cum exercitu subsequuto, sententiam mutavit, et Hierichuntem usque progressus ei obviam ivit; petitaque peccatorum venia, et urbem et pecuniam ei tradere pollicitus est : utque Gabinium cum militibus lectissimis a Pompejo missum ad urbem [illegible]niam accipiendam, Hierosolymitani, quum Aristobulum in custodia detentum, Romanis portas

ια'. Ὡς ἐπὶ τούτῳ παροξ[illegible]πήιος Ἀριστόβουλον μὲν ἔδησεν, προσαγαγών [illegible]μιν ἐπολιόρκει τὴν πόλ[illegible] καὶ δέχονται μὲν α[illegible]κανοῦ φρονοῦντες εἰς ἄνω πόλιν, σὶ δὲ [illegible]υνασπισταὶ φεύγου[illegible] τὸ ἱερόν.

[illegible]t.

[illegible]do hanc ob rem ira [illegible]us Pompejus Aristo[illegible] vincula conjecit [illegible] copiis urbem obsi[illegible] Ipsumque in [illegible]em admittunt qui [illegible]no favebant, q[illegible] stabant in fa[illegible] fugiunt.

ιβ'. Ὡς αἱρεῖ κα[illegible]ρὸν καὶ τὴν κ[illegible] Πομπήιος τῶ[illegible]ι περὶ τῆς ἐπιειν θεοσεβείας.

Quomodo fanum [illegible]tio mense expu[illegible] religione. gnat Pompejus.

ιγ'. Ὅτι Πομπήϊος μηδενὸς ἥψατο τῶν ἐν τῷ ἱερῷ, πολλῶν ὄντων ἐν αὐτῷ χρημάτων.

ιδ'. Ὅτι ταῦτα διαπραξάμενος, καὶ τὴν Ἰουδαίαν ποιήσας φόροις ὑποτελῆ, καὶ Ἕρκανὸν ἀποδείξας ἐθνάρχην, Ἀριστόβουλον μὲν δέσμιον μετὰ τῆς γενεᾶς εἰς Ῥώμην ἀνήγαγεν, Σκαῦρον δὲ τῆς Συρίας ἐπίτροπον κατέστησεν.

ιε'. Ὅτι Σκαύρου στρατεύσαντος ἐπὶ Πέτραν, βασίλειον οὖσαν τῶν Ἀράβων, καὶ πολιορκοῦντος, ἐν ἐνδείᾳ τῶν στρατιωτῶν αὐτοῦ γενομένων, Ἀντίπατρος πείθει τὸν Ἄραβα, δόντα Σκαύρῳ τριακόσια τάλαντα, συμμαχίαν πρὸς αὐτὸν ποιήσασθαι.

ιϛ'. Ὡς Ἀλέξανδρος Ἀριστοβούλου παῖς, φυγὼν Πομπήιον, καὶ παραγενόμενος εἰς τὴν Ἰουδαίαν, στρατιᾶς αὐτῷ πολλῆς γενομένης, πόλεμον ἐξήνεγκεν πρὸς Ἕρκανὸν καὶ Ἀντίπατρον.

ιζ'. Ὡς ὑπὸ Γαβινίου κρατηθεὶς τῇ μάχῃ ὁ Ἀλέξανδρος καὶ κατακλεισθεὶς εἰς Ἀλεξάνδρειον τὸ φρούριον ἐπολιορκεῖτο.

ιη'. Ὡς Γαβίνιος, πεισάσης τῆς μητρὸς τῆς Ἀλεξάνδρου παραδοῦναι αὐτόν τε καὶ τὸ φρούριον, λαβὼν τὸν μὲν Ἀλέξανδρον ἀφῆκεν, ἔγραψε δὲ καὶ τῇ συγκλήτῳ, τοὺς ἀδελφοὺς αὐτοῦ, οἳ ἦσαν μετὰ Ἀριστοβούλου τοῦ πατρὸς δεδεμένοι, λῦσαι, καὶ ἀποπέμψαι πρὸς τὴν μητέρα, δηλῶν αὐτῆς τὸ πρὸς Ῥωμαίους πιστὸν καὶ ὡς ἔστιν ἀξία ταύτης τῆς χάριτος τυγχάνειν.

ιθ'. Ὡς μετὰ ταῦτα φυγόντα ἐκ Ῥώμης Ἀριστόβουλον εἰς τὴν Ἰουδαίαν λαβὼν Γαβίνιος αἰχμάλωτον πάλιν ἀνέπεμψεν εἰς Ῥώμην.

κ'. Κράσσου κατὰ τὴν ἐπὶ Πάρθους στρατείαν εἰς τὴν Ἰουδαῖαν ἀνάβασις καὶ σύλησις τῶν ἐν τῷ ἱερῷ χρημάτων.

κα'. Φυγὴ Πομπηίου εἰς Ἤπειρον, καὶ Σκιπίωνος ὑπ' αὐτοῦ πεμφθέντος εἰς Συρίαν ἄφιξις, ἐντολὴν ἔχοντος ἀποκτεῖναι Ἀλέξανδρον.

κβ'. Ὅτι Καῖσαρ, λύσας Ἀριστόβουλον τῶν δεσμῶν, οἷός τε ἦν πέμψαι μετὰ δύο ταγμάτων εἰς τὴν Ἰουδαίαν, ἔφθη δ' ὑπὸ τῶν τὰ Πομπηίου φρονούντων διαφθαρεὶς Ἀριστόβουλος φαρμάκῳ.

κγ'. Καίσαρος εἰς Αἴγυπτον στρατεία, καὶ ὡς συνεμάχησαν αὐτῷ Ἕρκανός τε καὶ Ἀντίπατρος, καὶ τοὺς Ἰουδαίους αὐτῷ συμμάχους ἐποίησαν.

κδ. Ἀντιπάτρου προθύμως ἀγωνισαμένου κατὰ τὴν μάχην ἀριστεία, καὶ διὰ τοῦτο φιλία πρὸς Καίσαρα· καὶ ὡς Ἕρκανὸν Καῖσαρ ἐπὶ τῇ νίκῃ χαίρων ἐτίμησε μεγάλως, ἐπιτρέψας αὐτῷ τὰ τῆς πατρίδος ἀναστῆσαι κατεστραμμένα τείχη, ἔτι τε Ἀντιπάτρῳ τὴν τῆς Ἰουδαίας ἐπιτροπὴν ἐνεχείρησεν.

κε'. Καίσαρος ἐπιστολαὶ, καὶ δόγματα συγκλήτου περὶ τῆς πρὸς τοὺς Ἰουδαίους φιλίας.

κϛ'. Ὅτι Ἀντίπατρος τοῖς παισὶν, Ἡρώδῃ μὲν τὴν τῆς Γαλιλαίας πρόνοιαν, Φασαήλῳ δὲ ἐπέτρεψε τὴν Ἱεροσολύμων· καὶ ὡς Σέξτος Καῖσαρ, δωροδοκηθεὶς ὑφ' Ἡρώδου ἡγεμόνος ὄντος ἐν Συρίᾳ, μέγαν καὶ ἔνδοξον ἐποίησεν Ἡρώδην, καταστήσας ἄρχοντα τῆς Κοίλης Συρίας.

κζ'. Ὡς Κάσσιος, Καίσαρος ἀποθανόντος, εἰς τὴν Ἰουδαίαν ἀναβὰς, τήν τε χώραν ἐκάκωσε καὶ τάλαντα ὀκτακόσια παρ' αὐτῶν εἰσεπράξατο φορολογήσας· καὶ πῶς Ἡρώδης ἐκ τῆς εἰσπράξεως τῶν χρημάτων σπουδαῖος ἔδοξε Κασσίῳ.

κη'. Ὡς Μάλιχος ἐπιβουλεύων Ἀντίπατρον ἀνεῖλε φαρμάκῳ, διακονησαμένου γεύσασθαι τοῦ οἰνοχόου Ἕρκανοῦ.

κθ'. Ὡς Ἡρώδ[illegible]ντος αὐτῷ Κασσίου τὸν Μάλιχον ἐδολοφ[illegible]

λ'. Ὡς [illegible]ύλου βοηθούμενον παρὰ τοῦ Τυρί[illegible] Ἡρώδης ἀπαντήσας τρέπει τε καὶ [illegible]

λα'. Ὅ[illegible]σιον ἐν Μακεδονίᾳ παρὰ τοῦ νέου [illegible], Ἡρώδης ἐν Βιθυνίᾳ παρεγένετο· καὶ θεραπεύσεν Ἀντώνιον· καὶ διὰ

13. Quod Pompejus nihil eorum attigit quæ in fano erant, licet magna illic esset pecuniæ vis.

14. Quod quum ista gessisset et Judæam Romanis vectigalem fecisset, et Hyrcanum ethnarcham constituisset, Aristobulum vinctum cum sua prole Romam duxit, atque Scaurum Syriæ procuratorem fecit.

15. Quod, facta a Scauro expeditione in Petram Arabum regiam, eaque obsessa, quum exercitus ejus rerum inopia laboraret, Antipater Arabi persuadet, ut trecentis Scauro datis talentis, fœdus cum eo faceret.

16. Quomodo Alexander Aristobuli filius, qui a Pompejo fugerat et in Judæam se contulerat magno exercitu coacto, bellum intulit Hyrcano et Antipatro.

17. Quomodo Alexander a Gabinio pugna superatus et in castellum Alexandrium compulsus obsideatur.

18. Quemadmodum quum Alexandrum mater ejus flexisset ut sui castellique deditionem faceret, Gabinius Alexandrum captum dimisit; ac præterea scripsit Senatui, ut fratres ipsius cum Aristobulo patre vinctos laxarent matrique mitterent, indicato qua esset in Romanos fide, quodque digna esset cui hæc gratia tribueretur.

19. Quomodo Aristobulum Roma in Judæam profugum comprehendit Gabinius, Romamque remisit.

20. Crassus in expeditione contra Parthos in Judæam ascendit, sacrasque pecunias depeculatur.

21. Pompeji fuga in Epirum, et Scipionis adventus in Syriam, cui in mandatis erat ut Alexandrum necaret.

22. Quod Cæsar, quum Aristobulum vinculis exemisset, in eo erat ut eum mitteret cum duabus cohortibus in Judæam: interim vero accidit ut Aristobulus a Pompejanis veneno necaretur.

23. Cæsaris in Ægyptum expeditio: et quemadmodum ei auxilium tulerunt Hyrcanus et Antipater, feceruntque ut Judæi semet ei adjungerent.

24. Antipatri in pugna strenue dimicantis egregium factum, et ex eo cum Cæsare amicitia: et quemadmodum Cæsar, lætus ex victoria, Hyrcanum magno honore affecit, permisso ei ut eversos patriæ civitatis muros excitaret; ac præterea Antipatrum Judææ procuratorem constituit.

25. Cæsaris literæ, et senatusconsulta de amicitia cum Judæis inita.

26. Antipater filiis administrationem mandat, Herodi Galilææ, Phasaelo Hierosolymorum: utque Sextus Cæsar, muneribus ab Herode, quum in Syria dux esset, acceptis, magnum et gloriosum fecit Herodem, Cœles-Syriæ præsidem eum constituendo.

27. Quomodo Cassius, quum in Judæam Cæsare mortuo ascendisset, et regionem afflixit, et octingenta talenta ab Judæis in tributum exegit: utque Herodes ex redactione pecuniæ Cassio industrius visus est.

28. Quomodo Malichus per insidias Antipatrum veneno sustulit, ope pocillatoris Hyrcani quem pecunia corruperat.

29. Quomodo Herodes jussu Cassii dolo interfecit Malichum.

30. Quomodo Antigonum Aristobuli filium, a Marione Tyriorum tyranno adjutum, Herodes ei obviam factus in fugam vertit et ex Judæa pellit.

31. Quomodo, Cassio in Macedonia superato a Cæsare [illegible] et Antonio, Herodes, ubi in Bithyniam venit [illegible] mullis pecuniis eum sibi [illegible]

Θεόδωρος ὁ Ζήνωνος εἶχεν. Ὃς οὐ προσδοκῶσιν ἐπιπεσὼν τοῖς Ἰουδαίοις μυρίους αὐτῶν ἀποκτείνει καὶ τὴν ἀποσκευὴν Ἀλεξάνδρου διαρπάζει. Ταῦτα μὲν οὖν οὐ καταπλήττει τὸν Ἀλέξανδρον, ἀλλ' ἐπιστρατεύει τοῖς ἐπιθαλαττίοις μέρεσι, Ῥαφίᾳ καὶ Ἀνθηδόνι, ἣν ὕστερον μὲν Ἡρώδης ὁ βασιλεὺς Ἀγριππιάδα μετωνόμασε, καὶ κατὰ κράτος εἶλε καὶ ταύτην. Ὁρῶν δὲ τὸν Πτολεμαῖον ἐκ τῆς Γάζης εἰς Κύπρον ἀνακεχωρηκότα, τὴν δὲ μητέρα αὐτοῦ Κλεοπάτραν εἰς Αἴγυπτον, ὀργιζόμενος δὲ τοῖς Γαζαίοις ὅτι Πτολεμαῖον ἐπεκαλέσαντο βοηθόν, ἐπολιόρκει τὴν πόλιν καὶ τὴν χώραν αὐτῶν προενόμευσεν. Ἀπολλοδότου δὲ, τοῦ στρατηγοῦ τῶν Γαζαίων, μετὰ δισχιλίων ξένων καὶ μυρίων οἰκετῶν νύκτωρ ἐπιπεσόντος τῷ τῶν Ἰουδαίων στρατοπέδῳ, ἐφ' ὅσον μὲν ὑπῆρχεν ἡ νὺξ, ἐνίκων οἱ Γαζαῖοι, δόκησιν παρέχοντες τοῖς πολεμίοις ὡς ἐπεληλυθότος αὐτοῖς Πτολεμαίου· γενομένης δ' ἡμέρας καὶ τῆς δόξης ἐλεγχθείσης, μαθόντες οἱ Ἰουδαῖοι τἀληθὲς, ἐπισυστρέφονται καὶ τοῖς Γαζαίοις προσβαλόντες ἀναιροῦσιν αὐτῶν περὶ χιλίους. Τῶν δὲ Γαζαίων ἀντεχόντων καὶ μήτε ὑπὸ τῆς ἐνδείας μήτε ὑπὸ τοῦ πλήθους τῶν ἀναιρουμένων ἐνδιδόντων, (πᾶν γὰρ ὁτιοῦν ὑπέμενον παθεῖν ἢ ὑπὸ τῷ πολεμίῳ γενέσθαι,) προσεπήγειρεν αὐτῶν τὴν εὐψυχίαν καὶ Ἀρέτας ὁ Ἀράβων βασιλεὺς, ἐπίδοξος ὢν ἥξειν αὐτοῖς σύμμαχος ἐπαγγειλάμενος. Ἀλλὰ συνέβη πρῶτον τὸν Ἀπολλόδοτον διαφθαρῆναι· Λυσίμαχος γὰρ ὁ ἀδελφὸς αὐτοῦ, ζηλοτυπῶν αὐτὸν ἐπὶ τῷ παρὰ τοῖς πολίταις εὐδοκιμεῖν, κτείνας αὐτὸν καὶ στρατιωτικὸν συγκροτήσας, ἐκδίδωσιν Ἀλεξάνδρῳ τὴν πόλιν. Ὁ δ' εὐθὺς μὲν εἰσελθὼν ἠρέμει, μετὰ δὲ ταῦτα τὴν δύναμιν ἐπαφῆκε τοῖς Γαζαίοις, ἐπιτρέψας τιμωρεῖν αὐτούς. Οἱ δὲ ἄλλοι ἀλλαχῇ τραπόμενοι τοὺς Γαζαίους ἀπέκτειναν· ἦσαν δ' οὐδ' ἐκεῖνοι τὰς ψυχὰς ἀγεννεῖς, ἀλλὰ καὶ τοῖς παραπίπτουσιν ἀμυνόμενοι τοὺς Ἰουδαίους οὐκ ἐλάττονας αὐτῶν διέφθειραν. Ἔνιοι δὲ μονούμενοι τὰς οἰκίας ἐνεπίμπρασαν, ὡς μηδὲν αὐτῶν λάφυρον εἶναι τοῖς πολεμίοις λαβεῖν· οἱ δὲ καὶ τῶν τέκνων καὶ γυναικῶν αὐτόχειρες ἐγίνοντο, τῆς ὑπὸ τοῖς ἐχθροῖς αὐτοὺς δουλείας οὕτως ἀπαλλάττειν ἠναγκασμένοι. Τῶν δὲ βουλευτῶν ἦσαν οἱ πάντες πεντακόσιοι, συμφυγόντες εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερόν (συνεδρευόντων γὰρ τὴν ἐπίθεσιν συνέβη γενέσθαι·) ὁ δ' Ἀλέξανδρος τούτους τε ἀναιρεῖ καὶ τὴν πόλιν αὐτοῖς ἐπικατασκάψας ὑπέστρεψεν εἰς Ἱεροσόλυμα, ἐνιαυτῷ πολιορκήσας.

δ'. Ὑπὸ τὸν αὐτὸν δὲ τοῦτον καιρὸν καὶ Ἀντίοχος ὁ Γρυπὸς ἐπικληθεὶς ἀποθνήσκει ὑπὸ Ἡρακλέωνος ἐπιβουλευθείς, βιώσας μὲν ἔτη τεσσαράκοντα καὶ πέντε, βασιλεύσας δ' ἐννέα καὶ εἴκοσι. Διαδεξάμενος δὲ τὴν βασιλείαν ὁ παῖς αὐτοῦ Σέλευκος ἐπολέμει μὲν τῷ τοῦ πατρὸς ἀδελφῷ Ἀντιόχῳ, ὃς ἐπεκαλεῖτο Κυζικηνός, νικήσας δ' αὐτὸν καὶ λαβὼν ἀπέκτεινε. Μετ' οὐ πολὺ δὲ τοῦ Κυζικηνοῦ παῖς Ἀντίοχος, ὁ Εὐσεβὴς καλούμενος, παραγενηθεὶς εἰς Ἄραδον καὶ περιθέμενος διάδημα πολεμεῖ τῷ Σελεύκῳ, καὶ κρατήσας ἐξήλασεν αὐτὸν ἐξ

rus Zenonis filius habebat. Is, Judæos necopinantes aggressus, decem eorum millia interficit, et Alexandri impedimenta deprædatur. Tamen his Alexander non est attonitus, sed in maritimas oras, Raphiam et Anthedonem (cui postea rex Herodes Agrippiadi nomen imposuit), expeditionem facit, quam et ipsam vi cepit. Quumque videret Ptolemæum a Gaza in Cyprum, ejusque matrem Cleopatram in Ægyptum recessisse, iratus Gazæis, quod Ptolemæi opem implorassent, urbem obsidebat agrumque eorum vastabat. Apollodotus vero, Gazæorum dux, cum duobus peregrinorum millibus et decem millibus domesticorum noctu Judæorum castra invasit, ac quantisper nox erat, vincebant Gazæi, hostes in eam opinionem adducentes, ut crederent Ptolemæum esse qui ipsos adortus esset; verum orta die, animisque errore liberatis, ubi rei veritatem intellexerunt Judæi, sese in unum conglobant, factoque in Gazæos impetu eorum circiter mille interficiunt. Quum autem Gazæi resisterent, et nec ob inopiam nec ob cæsorum multitudinem cederent, (nam vel quodvis potius perferre in animum inducebant quam in hostis potestatem redigi,) eis erigit animos et alacritatem Aretas Arabum rex, quem sibi auxilio venturum sperabant, quod ita promiserat. Sed accidit ut Apollodotus ante perimeretur: nam Lysimachus ejus frater, ei ex invidia obtrectans, quoniam apud cives gratia valebat, eum interfecit, et collecto milite urbem Alexandro tradidit. Atqui ille quum primum ingressus est placide se gerebat; verum postea milites in Gazæos immisit, et eos ulcisci permisit. Hi autem alii alio versi Gazæos interfecere: quanquam ne Gazæi quidem segnes animos præbuerunt, quin in se irruentibus ita restiterunt, ut Judæorum non pauciores occiderint quam quot erant ipsi. Nonnulli vero deserti domos incenderunt, ne ulla ex eis spolia superessent quibus potirentur hostes: erant etiam qui liberos uxoresque suis manibus perimerent, coacti eos ab hostium servitute ita liberare. Erant autem consiliariorum omnino quingenti, qui in Apollinis fanum confugerunt: (nam accidit ut, dum capta urbs est, senatus haberetur:) eos vero etiam interfecit Alexander, et urbe in illos diruta revertit Hierosolyma, postquam eam unum annum obsederat.

4. Ceterum sub id ipsum tempus etiam Antiochus, Grypus cognominatus, moritur ex insidiis Heracleonis, quum annos vixisset quinque et quadraginta, regnasset vero novem et viginti. Quum autem Seleucus ejus filius ei in regnum successisset, bellum adversus Antiochum movebat, patris fratrem, cui cognomen erat Cyziceno, ipsumque victum et captum morte multabat. Non ita multo post Cyziceni filius Antiochus, cognomento Pius, quum Aradum pervenisset et diadema sibi imposuisset, Seleuco bellum infert, et superatum ex universa Syria expulit. At ille,

ἀπάσης τῆς Συρίας. Ὁ δὲ φυγὼν εἰς Κιλικίαν καὶ γενόμενος ἐν τῇ Μόψου ἑστίᾳ πάλιν αὐτοὺς εἰσέπραττε χρήματα. Ὁ δὲ τῶν Μοψουεστιέων δῆμος ἀγαναχτήσας, ὑφῆψεν αὐτοῦ τὰ βασίλεια καὶ διέφθειρεν αὐτὸν μετὰ τῶν φίλων. Ἀντιόχου δὲ τοῦ Κυζικηνοῦ παιδὸς βασιλεύοντος τῆς Συρίας, Ἀντίοχος ὁ Σελεύκου ἀδελφὸς ἐκφέρει πόλεμον πρὸς αὐτὸν, καὶ νικηθεὶς ἀπόλλυται μετὰ τῆς στρατιᾶς. Μετὰ δ' αὐτὸν ὁ ἀδελφὸς αὐτοῦ Φίλιππος ἐπιθέμενος διάδημα μέρους τινὸς τῆς Συρίας ἐβασίλευσε. Πτολεμαῖος δὲ ὁ Λάθουρος τὸν τέταρτον αὐτοῦ ἀδελφὸν Δημήτριον, τὸν Εὔκαιρον λεγόμενον, ἐκ Κνίδου μεταπεμψάμενος κατέστησεν ἐν Δαμασκῷ βασιλέα. Τούτοις δὲ τοῖς δυσὶν ἀδελφοῖς καρτερῶς ἀνθιστάμενος Ἀντίοχος ταχέως ἀπέθανεν· Λαοδίκη γὰρ ἐλθὼν σύμμαχος τῇ τῶν Γαλαδηνῶν βασιλίσσῃ, Πάρθους πολεμούσῃ, μαχόμενος ἀνδρείως ἔπεσε. Τὴν δὲ Συρίαν κατεῖχον οἱ δύο ἀδελφοὶ Δημήτριος καὶ Φίλιππος, καθὼς ἐν ἄλλοις δεδήλωται.

ε'. Ἀλέξανδρος δὲ τῶν οἰκείων πρὸς αὐτὸν στασιασάντων (ἐπανέστη γὰρ ἐπ' αὐτὸν τὸ ἔθνος) τῆς ἑορτῆς ἀγομένης, καὶ ἑστῶτος αὐτοῦ ἐπὶ τοῦ βωμοῦ καὶ θύειν μέλλοντος, κιτρίοις αὐτὸν ἔβαλλον, νόμου ὄντος παρὰ τοῖς Ἰουδαίοις ἐν τῇ σκηνοπηγίᾳ ἔχειν ἕκαστον θύρσους ἐκ φοινίκων καὶ κιτρίων, (δεδηλώκαμεν δὲ καὶ ταῦτα ἐν ἄλλοις,) προσελοιδόρησαν δ' αὐτὸν ὡς ἐξ αἰχμαλώτου γεγονότα καὶ τῆς τιμῆς καὶ τοῦ θύειν ἀνάξιον. Ἐπὶ τούτοις ὀργισθεὶς κτείνει μὲν αὐτῶν περὶ ἑξακισχιλίους, ὀρύφακτον δὲ ξύλινον περὶ τὸν βωμὸν καὶ τὸν ναὸν βαλλόμενος μέχρι τοῦ θριγκοῦ, εἰς ὃν μόνοις ἐξῆν τοῖς ἱερεῦσιν εἰσιέναι, τούτῳ τὴν τοῦ πλήθους ἐπ' αὐτὸν ἀπέφραττεν εἴσοδον. Ἔτρεφε δὲ καὶ ξένους, Πισίδας καὶ Κίλικας· Σύροις γὰρ πολέμιος ὢν οὐκ ἐχρῆτο. Καταστρεψάμενος δὲ τῶν Ἀράβων Μωαβίτας καὶ Γαλααδίτας εἰς φόρου ἀπαγωγὴν κατέρριπτε καὶ Ἀμαθοῦντα, Θεοδώρου μὴ τολμῶντος αὐτῷ συμβαλεῖν. Συνάψας δὲ μάχην πρὸς Ὀβέδαν τὸν Ἀράβων βασιλέα, καὶ πεσὼν εἰς ἐνέδραν ἐν χωρίοις τραχέσι καὶ δυσβάτοις, ὑπὸ πλήθους καμήλων εἰς βαθεῖαν κατερράχθη φάραγγα κατὰ Γάδαρα κώμην τῆς Γαλααδίτιδος, καὶ μόλις αὐτὸς διασώζεται. Φεύγων δ' ἐκεῖθεν εἰς Ἱεροσόλυμα παραγίνεται· καὶ πρὸς τὴν κακοπραγίαν αὐτοῦ ἐπιθεμένου τοῦ ἔθνους, πολεμήσας πρὸς αὐτὸ ἔτεσιν ἓξ ἀναιρεῖ τῶν Ἰουδαίων οὐκ ἔλαττον πέντε μυριάδων. Παρακαλοῦντος δὲ παῦσαι τὴν πρὸς αὐτὸν δυσμένειαν, ἔτι μᾶλλον ἐμίσουν αὐτὸν διὰ τὰ συμβεβηκότα· πυνθανομένου δ' αὐτοῦ τὸ ὀφεῖλον γενέσθαι, πάντες ἐβόησαν ἀποθανεῖν αὐτὸν, καὶ πρὸς Δημήτριον τὸν Εὔκαιρον ἔπεμψαν, παρακαλοῦντες αὐτὸν ἐπὶ συμμαχίαν.

ΚΕΦ. ΙΔ'.

Ὁ δὲ, μετὰ στρατοῦ ἐλθὼν καὶ παραλαβὼν τοὺς ἐπικαλεσαμένους, περὶ Σίκιμα πόλιν ἐστρατοπέδευσεν. Ἀλέξανδρος δὲ μετὰ μισθοφόρων ἑξακισχιλίων καὶ διακοσίων, Ἰουδαίων τε περὶ δισμυρίους οἳ ἐφρόνουν τὰ

quum fuga delatus esset in Ciliciam et in Mopsuestiam receptus, iterum ab eis pecunias exigebat. Populus vero Mopsuestiensis irritatus regiæ ipsius flammas subjecit, ipsumque cum amicis perire fecit. Quum autem Antiochus Cyziceni filius in Syria regnaret, Antiochus Seleuci frater bello eum adoritur, victusque vitam simul et exercitum amittit. Post eum vero frater ejus Philippus, imposito sibi diademate, in parte Syriæ regnavit. Interim Ptolemæus Lathurus quartum ejus fratrem Demetrium, qui Eucærus dicebatur, accitum e Cnido regem apud Damascum constituit. His autem duobus fratribus quum Antiochus strenue resisteret, brevi diem obiit supremum : nam in auxilium veniens Laodices Galadenorum reginæ, adversus Parthos bellum gerenti, fortiter dimicans cecidit. Syriam vero duo fratres, Demetrius et Philippus, imperio tenebant, sicut alibi narratum est.

5. Quod autem ad Alexandrum attinet, quum in ipsum seditionem sui movissent, (in eum enim gens insurrexit,) dum festum ageretur, et ipse aræ astaret rem divinam facturus, citriis eum petebant, more apud Judæos obtinente in Umbraculorum festo, ut singuli ramos ferrent palmarum et citriorum, (id quod alibi declaravimus,) atque convicia ei dixerunt, quasi ex captiva genitus esset, ideoque honore *pontificali* et sacra faciendi potestate indignus. Istis iratus occidit eorum ad sex millia, et exstructo septo ligneo circa aram et eam templi partem, intra quam solis sacerdotibus ingredi fas erat, hac ratione multitudinis ad se aditum obstruxit. Alebat etiam peregrinos milites, Pisidas et Cilicas : nam Syris quidem, quod eis erat infensus, non utebatur. Item quum Moabitas et Galaaditas, qui Arabes sunt, subegisset, ut inde tributum exigeret, demolitus est etiam Amathuntem, non audente Theodoro manus cum eo conserere. Congressus autem cum Obeda Arabum rege, inque insidias delatus in locis asperis et difficilibus, a multitudine camelorum in vallem profundam detrusus est apud Gadara pagum Galaaditidis, et ipse ægre evasit. Quumque inde fugeret, Hierosolyma pervenit : atque præter acceptam cladem a gente lacessitus, bello cum ea sex annos gesto, occidit Judæorum non minus quinquaginta millia. Ac dum eos ut simultatem adversus ipsum deponant hortatur, eo magis eum oderunt propter ea quæ acciderant mala : rogantique quid facto opus esset, omnes clamarunt ut moreretur; et ad Demetrium Eucærum miserunt qui ipsum in auxilium asciscerent.

CAP. XIV. (XXII.)

At ille, cum exercitu profectus, iisque assumptis qui se acciverant, apud urbem Sicima castra fecit. Alexander vero cum mercenariorum sex millibus et ducentis, adjunctis Judæorum circiter viginti millibus qui ipsius partes

ἐκείνου, παραλαβὼν, ἀντεπῆλθε τῷ Δημητρίῳ· τούτῳ δ' ἦσαν ἱππεῖς μὲν τρισχίλιοι, πεζῶν δὲ μυριάδες τέσσαρες. Πολλὰ μὲν οὖν ἑκατέροις ἐπράχθη, τοῦ μὲν ἀποστῆσαι τοὺς μισθοφόρους ὡς ὄντας Ἕλληνας πειρωμένου, τοῦ δὲ τοὺς σὺν Δημητρίῳ Ἰουδαίους. Μηδετέρου δὲ πεῖσαι δυνηθέντος, ἀλλ' εἰς μάχην συμβαλόντων, νικᾷ Δημήτριος· καὶ ἀποθνήσκουσι μὲν οἱ Ἀλεξάνδρου μισθοφόροι πάντες, πίστεώς τε ἅμα καὶ ἀνδρείας ἐπίδειξιν ποιησάμενοι, πολλοὶ δὲ καὶ τῶν Δημητρίου στρατιωτῶν.

β'. Φυγόντος δ' Ἀλεξάνδρου εἰς τὰ ὄρη, κατ' οἶκτον τῆς μεταβολῆς συλλέγονται παρ' αὐτῷ Ἰουδαίων ἑξακισχίλιοι. Καὶ τότε μὲν δείσας ὑπεχώρει Δημήτριος, μετὰ δὲ ταῦτα Ἰουδαῖοι ἐπολέμουν Ἀλεξάνδρῳ, καὶ νικώμενοι πολλοὶ ἀπέθνησκον ἐν ταῖς μάχαις. Κατακλείσας δὲ τοὺς δυνατωτάτους αὐτῶν ἐν Βεθόμῃ πόλει ἐπολιόρκει. Λαβὼν δὲ τὴν πόλιν καὶ γενόμενος ἐγκρατὴς αὐτῶν ἀπήγαγεν εἰς Ἱεροσόλυμα, καὶ πάντων ὠμότατον ἔργον ἔδρασεν. Ἱστιώμενος γὰρ ἐν ἀπόπτῳ μετὰ τῶν παλλακίδων ἀνασταυρῶσαι προσέταξεν αὐτῶν ὡς ὀκτακοσίους, τοὺς δὲ παῖδας αὐτῶν καὶ τὰς γυναῖκας ἔτι ζώντων παρὰ τὰς ἐκείνων ὄψεις ἐπέσφαττεν, ὑπὲρ μὲν ὧν ἠδίκητο ἀμυνόμενος, ἄλλως δὲ ὑπὲρ ἄνθρωπον ταύτην εἰσπραττόμενος τὴν δίκην, εἰ καὶ τὰ μάλιστα, ὅπερ ἦν εἰκὸς, ἐταλαιπωρήθη τοῖς πρὸς αὐτὸν πολέμοις καὶ εἰς τοὔσχατον ἦλθε κινδύνου ψυχῆς τε πέρι καὶ βασιλείας, οὐκ ἀρκουμένων ἀγωνίζεσθαι κατὰ σφᾶς αὐτοὺς, ἀλλὰ καὶ ἀλλοφύλους ἐπαγόντων, καὶ τὸ τελευταῖον εἰς τοῦτο ἀνάγκης ἀγόντων, ὥστε ἦν κατεστρέψατο γῆν ἐν Μωαβίτιδι καὶ Γαλααδίτιδι, καὶ τὰ ἐν αὐτῇ χωρία τῶν Ἀράβων τῷ βασιλεῖ παραδοῦναι, ὅπως ἂν μὴ ξυνάρηται σφίσιν εἰς τὸν κατ' αὐτοῦ πόλεμον, ἄλλα τε μυρία εἰς ὕβριν αὐτοῦ καὶ ἐπήρειαν πραξάντων. Ἀλλ' οὖν οὐκ ἐπιτηδείως δοκεῖ ταῦτα δρᾶσαι· ὥστε διὰ τὴν τῆς ὠμότητος ὑπερβολὴν ἐπικληθῆναι αὐτὸν παρὰ τῶν Ἰουδαίων Θρακίδαν. Οἱ δ' ἀντιστασιῶται αὐτοῦ, τὸ πλῆθος ὄντες περὶ ὀκτακισχιλίους, φεύγουσι νυκτὸς, καὶ παρ' ὃν ἔζη χρόνον Ἀλέξανδρος ἦσαν ἐν τῇ φυγῇ. Καὶ οὕτως μὲν ἀπηλλαγμένος τῆς ἐκ τούτων ταραχῆς μετὰ πάσης τὸ λοιπὸν ἠρεμίας ἐβασίλευσε.

γ'. Δημήτριος δ' ἐκ τῆς Ἰουδαίας ἀπελθὼν εἰς Βέροιαν ἐπολιόρκει τὸν ἀδελφὸν αὐτοῦ Φίλιππον, ὄντων αὐτῷ πεζῶν μὲν μυρίων, χιλίων δὲ ἱππέων. Στράτων δ' ὁ τῆς Βεροίας τύραννος, Φιλίππῳ συμμαχῶν, Ζίζον τὸν Ἀράβων φύλαρχον ἐπεκαλεῖτο, καὶ Μιθριδάτην τὸν Σινάκην, τὸν Παρθυαίων ἔπαρχον. Ὧν ἀφικομένων μετὰ πολλῆς δυνάμεως, καὶ πολιορκούντων Δημήτριον ἐντὸς τοῦ χαρακώματος, εἰς ὃ τοῖς τε τοξεύμασι καὶ τῇ δίψῃ συνέχοντες αὐτὸν ἠνάγκασαν τοὺς σὺν αὐτῷ σφᾶς παραδοῦναι. Λαφυραγωγήσαντες δὲ τὰ ἐν τῇ χώρᾳ καὶ τὸν Δημήτριον παραλαβόντες, τὸν μὲν τῷ Μιθριδάτῃ, τῷ τότε βασιλεύοντι Πάρθων, ἔπεμψαν, τῶν δ' Ἀντιοχέων ὅσους αἰχμαλώτους εἶναι συνέβαινε, τούτους

tuebantur, Demetrio adversus incedebat : erant autem illi equitum tria millia et peditum quadraginta millia. Et multa quidem utrinque tentata sunt, dum hic mercenarios, utpote Græcos, ad defectionem sollicitat, ille vero stantes a Demetrio Judæos. Sed quum neutris persuaderi posset, in prælium descenditur, in quo vincit Demetrius : mortuique sunt fideliter et fortiter se gerentes omnes Alexandri mercenarii, necnon multi ex Demetrii militibus.

2. Ceterum quum Alexander ad montes profugisset, Judæorum sexies mille, ejus fortunam mutatam miserati, ad eum congregantur. Ac tum quidem metuens Demetrius discessit : post hæc vero Judæi bellum intulerunt Alexandro, victique frequentes occubuerunt in prœliis. Hic vero, cum eorum potentissimos in urbem Bethomam compulisset, eam oppugnat : captaque urbe et iis potitus, Hierosolyma eos adducit, atque facinus perpetravit omnium immanissimum. Nam dum epularetur in conspicuo loco cum concubinis, imperat eorum circiter octingentos in crucem tolli, eisque adhuc viventibus eorum liberos et uxores in ipsorum conspectu jugulat, acceptas quidem injurias ulciscens, sed tamen severius quam homini licet pœnas exigens, quamvis in mala gravissima, quod verisimile erat, ab ipsis conjectus, dum adversum illum belligerarent, et in extremum vitæ regnique discrimen fuerit adductus, quum illis non sufficerit contra se invicem dimicare, sed externa etiam auxilia conciverint, tandemque eo angustiarum perduxerint, ut quam terram in Moabitica et Galaaditica regione subegerat una cum locis in illa *munitis* Arabum regi tradiderit, ne belli contra ipsum societatem cum illis iniret; ut alia taceam innumera contra illum, qua injuriis qua contumeliis, perpetrata. Verumtamen ista non ex necessitate fecisse videtur : adeo ut vocatus fuerit ab Judæis, propter summam crudelitatem, Thracidas. Ceterum ejus adversarii, qui numero erant circiter octo millium, noctu fugiunt, et, quam diu vixit Alexander, exsules erant. Atque is quidem, his turbis liberatus, regnavit deinceps quietissime.

3. At Demetrius, ab Judæa Beream profectus, Philippum fratrem suum oppugnavit, secum habens decem millia peditum et mille equites. Straton vero Beroeæ tyrannus, Philippi socius, Zizum, qui Arabum tribubus præerat, accivit, et Mithridatem Sinacen, Parthorum præfectum. Qui postquam venerunt magno cum exercitu, Demetrium in castris obsident, in quibus eum telis et siti constrictum tenentes, eos qui cum eo erant ad deditionem compulerunt; abductaque ex ea regione præda et capto Demetrio, ipsum quidem ad Mithridatem, qui tum in Parthis regnabat, miserunt, Antiochensium vero quotquot captivos factos

προῖκα τοῖς Ἀντιοχεῦσιν ἀπέδωκαν. Μιθριδάτης δ' ὁ τῶν Πάρθων βασιλεὺς τὸν Δημήτριον εἶχεν ἐν τῇ τιμῇ τῇ πάσῃ, μέχρι νόσῳ κατέστρεψε Δημήτριος τὸν βίον. Φίλιππος δὲ ἀπὸ τῆς μάχης εὐθὺς ἐπὶ Ἀντιόχειαν ἐλθὼν καὶ κατασχὼν αὐτὴν ἐβασίλευσε τῆς Συρίας.

ΚΕΦ. ΙΕ'.

Ἔπειτα Ἀντίοχος ὁ κληθεὶς Διόνυσος, ἀδελφὸς ὢν Φιλίππου, τῆς ἀρχῆς ἀντιποιούμενος, εἰς Δαμασκὸν παραγίνεται, καὶ τῶν ἐκεῖ πραγμάτων ἐγκρατὴς γενόμενος ἐβασίλευσεν. Ἐκστρατεύσαντος δ' αὐτοῦ ἐπὶ τοὺς Ἄραβας, Φίλιππος ὁ ἀδελφὸς ταῦτα ἀκούσας ἐπὶ Δαμασκὸν ἦλθε. Μιλησίου δὲ, ὃς καταλέλειπτο τῆς ἄκρας φύλαξ, τῶν Δαμασκηνῶν παραδόντος αὐτῷ τὴν πόλιν, ἀχάριστος εἰς αὐτὸν γενόμενος καὶ μηδὲν ὧν ἐλπίσας ἐδέξατο αὐτὸν παρασχών, ἀλλὰ τῷ παρ' αὐτοῦ φόβῳ βουληθεὶς δοκεῖν παραλαβεῖν τὴν πόλιν ἢ τῇ χάριτι τῇ Μιλησίου, μὴ δωρούμενος αὐτὸν οἷς ἐχρῆν ὑπωπτεύετο, καὶ πάλιν ἐκπίπτει τῆς Δαμασκοῦ· ἐξορμήσαντα γὰρ αὐτὸν εἰς ἱππόδρομον ἀπέκλεισεν ὁ Μιλήσιος καὶ τὴν Δαμασκὸν Ἀντιόχῳ διεφύλαξεν. Ὁ δὲ ἀκούσας τὰ περὶ τὸν Φίλιππον ὑπέστρεψεν ἐκ τῆς Ἀραβίας. Στρατεύεται δὲ εὐθὺς ἐλθὼν ἐπὶ τὴν Ἰουδαίαν ὁπλίταις μὲν ὀκτακισχιλίοις, ἱππεῦσι δὲ ὀκτακοσίοις. Δείσας δὲ Ἀλέξανδρος τὴν ἔφοδον αὐτοῦ, τάφρον ὀρύττει βαθεῖαν, ἀπὸ τῆς Χαβαρζαβᾶ καταρξάμενος, ἣ νῦν Ἀντιπατρὶς καλεῖται, ἄχρι τῆς εἰς Ἰόπην θαλάσσης, ἣ καὶ μόνον ἦν ἐπίμαχον· τεῖχός τε ἐγείρας καὶ πύργους ἀναστήσας ξυλίνους καὶ μεσοπύργια ἐπὶ σταδίους ἑκατὸν πεντήκοντα, τὸν Ἀντίοχον ἐξεδέχετο. Ὁ δὲ ταῦτα πάντα ἐμπρήσας διεβίβαζε ταύτῃ τὴν δύναμιν ἐπὶ τὴν Ἀραβίαν. Ἀναχωροῦντος δὲ τοῦ Ἄραβος τὰ πρῶτα, ἔπειτα μετὰ μυρίων ἱππέων ἐξαίφνης ἐπιφανέντος, ὑπαντήσας τούτοις Ἀντίοχος καρτερῶς ἐμάχετο· καὶ δὴ νικῶν ἀπέθανε, παραβοηθῶν τῷ πονοῦντι μέρει. Πεσόντος δὲ Ἀντιόχου καὶ τὸ στράτευμα φεύγει εἰς Κανὰ κώμην, ἔνθα τὸ πλεῖστον αὐτῶν λιμῷ φθείρεται.

β'. Βασιλεύει δὲ μετὰ τοῦτον τῆς Κοίλης Συρίας Ἀρέτας, κληθεὶς εἰς τὴν ἀρχὴν ὑπὸ τῶν τὴν Δαμασκὸν ἐχόντων, διὰ τὸ πρὸς Πτολεμαῖον τὸν Μενναίου μῖσος. Στρατεύσας δ' ἐκεῖθεν ἐπὶ τὴν Ἰουδαίαν καὶ περὶ Ἀδιδὰ χωρίον μάχῃ νικήσας Ἀλέξανδρον ἐπὶ συνθήκαις ἀνεχώρησεν ἐκ τῆς Ἰουδαίας.

γ'. Ἀλέξανδρος δὲ ἐλάσας αὖθις ἐπὶ Δίον πόλιν αἱρεῖ ταύτην, καὶ στρατεύεται ἐπὶ Ἔσσαν, οὗ τὰ πλείστου ἄξια Ζήνωνι συνέβαινεν εἶναι· καὶ τρισὶ μὲν περιβάλλει τείχεσι τὸ χωρίον, μάχῃ δὲ λαβὼν τὴν πόλιν ἐπὶ Γαυλάνην καὶ Σελεύκειαν ἐξώρμησε. Παραλαβὼν δὲ καὶ ταύτας προσεξείλε καὶ τὴν Ἀντιόχου λεγομένην φάραγγα καὶ Γάμαλα τὸ φρούριον. Ἐγκαλῶν δὲ Δημητρίῳ πολλὰ τῷ τῶν τόπων ἄρχοντι περιέδυσεν αὐτὸν, καὶ τρίτον ἤδη πεπληρωκὼς ἔτος τῆς στρατείας εἰς τὴν

esse contigit, eos gratis Antiochensibus reddiderunt. At Mithridates Parthorum rex Demetrium apud se omni in honore habuit, donec Demetrius morbo interiit. Philippus vero statim post pugnam profectus est Antiochiam, eaque potitus Syriæ regnum adeptus est.

CAP. XV. (XXIII.)

Postea Antiochus cognomine Dionysus, Philippi frater, ad principatum aspirans Damascum venit, et ibi rerum potitus rex factus est. Quum autem expeditionem fecisset in Arabas, Philippus frater, hac re audita, Damascum se contulit. Urbe autem ipsi Damascenorum a Milesio, qui arcis relictus erat præfectus, tradita, quum in Milesium ingratum sese ostendisset, nihilque eorum quæ ille speraverat ab ipso recepto præstitisset, maluissetque videri sui terrore urbem cepisse quam gratia Milesii, ideo quod illum ut fieri oportebat non remuneraverat, in suspicionem venit, et rursus Damascum perdidit : nam ipsum in circum equestrem egressum exclusit Milesius, et Damascum Antiocho servavit. Ille vero, auditis quæ Philippo acciderant, ex Arabia reversus est : moxque profectus in Judæam ducit exercitum octo millium peditum et equitum octingentorum. Alexander autem ejus adventum veritus, fossam profundam duxit a Chabarzaba, quæ nunc Antipatris appellatur, ad Jopicum mare, qua sola parte aditus patebat : excitatoque muro ac structis turribus ligneis et pluteis per stadia centum quinquaginta, Antiochum opperiebatur. Ille vero, omnibus istis operibus incensis, copiam illac trajecit in Arabiam. Quumque Arabs primum cederet, deinde cum decem equitum millibus repente se ostenderet, cum illis congressus Antiochus acriter dimicavit; et vincens quidem occubuit, dum laboranti parti subvenit. Occiso autem Antiocho exercitus fugit in vicum Canam, ubi maxima ejus pars fame conficitur.

2. Post hunc regnavit Aretas in Cœle-Syria, vocatus ad principatum ab iis qui Damascum tenebant, odio Ptolemæi Mennæi filii. Inde autem quum exercitum in Judæam duxisset, atque Alexandrum apud Addida locum *munitum* prælio vicisset, facta pactione discessit ex Judæa.

3. Alexander vero, quum rursus ad urbem Dion semet admovisset, eam capit; deinde exercitum ducit ad Essam, ubi erant Zenonis optima quæque : et triplici quidem muro locum cingit, urbe vero prælio capta ad Gaulanam et Seleuciam contendit. Et his quoque potitus, in potestatem etiam suam redegit Antiochi vallem et præsidium Gamala. Atque multa Demetrio horum locorum præfecto objiciens, ei provinciam ademit : et quum jam triennium in ea expeditione

οἰκείαν ὑπέστρεψε, προθύμως αὐτὸν τῶν Ἰουδαίων διὰ τὴν εὐπραγίαν δεχομένων.

δ'. Κατὰ τοῦτον δὲ τὸν καιρὸν ἤδη τῶν Σύρων καὶ Ἰδουμαίων καὶ Φοινίκων πόλεις εἶχον οἱ Ἰουδαῖοι, πρὸς θαλάσσῃ μὲν Στράτωνος πύργον, Ἀπολλωνίαν, Ἰόπην, Ἰάμνειαν, Ἄζωτον, Γάζαν, Ἀνθηδόνα, Ῥαφίαν, Ῥινοκόρουραν, ἐν δὲ τῇ μεσογείᾳ κατὰ τὴν Ἰδουμαίαν Ἄδωρα καὶ Μάρισσαν καὶ Σαμάρειαν, Καρμήλιον ὄρος καὶ τὸ Ἰταβύριον ὄρος, Σκυθόπολιν, Γάδαρα, Γαυλανίτιδα, Σελεύκειαν, Γάβαλα, Μωαβίτιδας Ἐσσεβῶν, Μήδαβα, Λέμβα, Ὀρώνας, Τελίθωνα, Ζάρα, Κιλίκιον αὐλῶνα, Πέλλαν, (ταύτην δὲ κατέσκαψαν, οὐχ ὑποσχομένων τῶν ἐνοικούντων εἰς τὰ πάτρια τῶν Ἰουδαίων ἔθη μεταβαλέσθαι,) ἄλλας τε πόλεις πρωτευθύσας τῆς Συρίας, αἳ ἦσαν κατεστραμμέναι.

ε'. Μετὰ δὲ ταῦτα Ἀλέξανδρος ὁ βασιλεὺς ἐκ μέθης εἰς νόσον καταπεσὼν καὶ τρισὶν ἔτεσι τεταρταίῳ πυρετῷ συσχεθεὶς οὐκ ἀπέστη τῶν στρατειῶν, ἕως οὗ τοῖς πόνοις ἐξαναλωθεὶς ἀπέθανεν ἐν τοῖς Γερασηνῶν ὅροις, πολιορκῶν Ῥαγαβᾶ φρούριον πέραν τοῦ Ἰορδάνου. Ὁρῶσα δ' αὐτὸν ἡ βασίλισσα πρὸς τῷ τελευτᾶν ὄντα, καὶ μηδεμίαν ὑπογράφοντα μηκέτι σωτηρίας ἐλπίδα, κλαίουσα καὶ κοπτομένη τῆς μελλούσης ἐρημίας αὑτήν τε καὶ τοὺς παῖδας ἀπωδύρετο, καὶ « τίνι καταλείπεις οὕτως ἐμέ τε καὶ τὰ τέκνα τῆς παρ' ἄλλων βοηθείας δεόμενα, πρὸς αὐτὸν ἔλεγε, καὶ ταῦτ' εἰδὼς πῶς διάκειται πρὸς σὲ δυσμενῶς τὸ ἔθνος; » Ὁ δὲ συνεβούλευεν αὐτῇ, « πείθεσθαι μὲν οἷς ὑποθήσεται, πρὸς τὸ τὴν βασιλείαν ἀσφαλῶς κατέχειν μετὰ τῶν τέκνων, κρύψαι δὲ τὸν θάνατον αὐτοῦ πρὸς τοὺς στρατιώτας, ἕως ἂν ἐξέλῃ τὸ χωρίον· ἔπειτα ὡς ἂν νικήσῃ λαμπρῶς εἰς τὰ Ἱεροσόλυμα παραγενομένη, τοῖς Φαρισαίοις ἐξουσίαν τινὰ παρασχεῖν· τούτους γὰρ ἐπαινοῦντας αὐτὴν ἀντὶ τῆς τιμῆς εὔνουν καταστήσειν αὐτῇ τὸ ἔθνος. Δύνασθαι δὲ πολὺ παρὰ τοῖς Ἰουδαίοις τούτους ἔφασκε, βλάψαι τε μισοῦντας καὶ φιλίως διακειμένους ὠφελῆσαι· μάλιστα γὰρ πιστεύεσθαι παρὰ τῷ πλήθει περὶ ὧν κἂν φθονοῦντές τι χαλεπὸν λέγωσιν, αὐτόν τε προσκροῦσαι τῷ ἔθνει διὰ τούτους ἔλεγε ὑβρισθέντας ὑφ' αὐτοῦ. Σὺ τοίνυν, εἶπεν, ἐν τοῖς Ἱεροσολύμοις γενομένη μετάπεμψαι μὲν τοὺς πρωτεύοντας αὐτῶν, ἐπιδείξασα δὲ τὸ σῶμα ταὐμὸν ἐκείνοις, ὅπως μοι βούλωνται χρῆσθαι μετὰ πολλῆς ἀξιοπιστίας ἐπίτρεπε, εἴτε καθυβρίζειν ἀταφίᾳ μου θελήσουσι τὸν νεκρὸν, ὡς πολλὰ πεπονθότες ἐξ ἐμοῦ, εἴτ' ἄλλην τινὰ κατ' ὀργὴν αἰκίαν τῷ σώματι προσφέρειν βουλήσονται· καὶ μηδὲν δίχα τῆς ἐκείνων γνώμης ἐν τῇ βασιλείᾳ διαπράξασθαι ὑπισχνοῦ. Ταῦτά σου πρὸς αὐτοὺς εἰπούσης, ἐγώ τε λαμπροτέρας ἀξιωθήσομαι πρὸς αὐτῶν κηδείας, ἧς ἂν ἔτυχον ἐκ σοῦ, μηδὲν διὰ τὸ ἐξεῖναι ποιεῖν μου κακῶς τὸν νεκρὸν διαθεῖναι θελησάντων, σύ τε βεβαίως ἄρξεις. » Ταῦτα παρανίσασα τῇ γυναικὶ τελευτᾷ, βασιλεύσας ἔτη ἑπτὰ καὶ εἴκοσι, βιώσας δ' ἐνὸς δέοντα πεντήκοντα.

consumpsisset, domum repetiit, Judæis eum magno studio ob res feliciter gestas excipientibus.

4. Eo autem tempore jam Syrorum et Idumæorum et Phœnicum urbes tenebant Judæi, ad mare quidem Stratonis turrim, Apolloniam, Jopen, Jamniam, Azotum, Gazam, Anthedonem, Raphiam, Rhinocururam; in mediterraneis vero ad Idumæam, Adora et Marissam et Samariam, montem Carmelum et montem Itabyrium, Scythopolim, Gadara, Gaulanitidem, Seleuciam, Gabala; Moabitidas Essebonem, Medaba, Lemba, Oronas, Telithonem, Zara, Cilicum vallem, et Pellam, (hanc autem everterunt, ideo quod ejus habitatores polliceri noluerunt se ad ritus Judaicos transituros,) atque alias præcipuas Syriæ urbes, quæ erant eversæ.

5. Postea autem Alexander ex ebrietate lapsus in morbum, et tribus annis quartana febre vexatus, militia non destitit, donec laboribus exhaustus obiit in Gerasenorum finibus, obsidens præsidium Ragaba trans Jordanem. Regina autem videns eum jam in extremis esse et nullam amplius salutis spem præ se ferentem, flebat et lamentabatur, se suosque natos deplorans, qui deserti futuri essent: et, « cui me, ipsi dicebat, ita relinquis et liberos ope aliena indigentes, idque quum non ignores quam infensa sit tibi gens? » Ille vero ei consuluit « ut suis monitis pareret, ut regnum et liberos tuto conservaret, mortem vero suam milites celaret, donec locum expugnasset: deinde quasi victrix splendide Hierosolyma se conferret, et Pharisæis potestatem aliquam præberet: hos enim, eam ob hunc honorem laudantes, conciliaturos ei nationis benevolentiam. Hos scilicet plurimum posse apud Judæos dicebat, et lædere quos oderint et juvare quibus bene velint: maxime enim eis vulgo credi, si de quopiam, quamvis per invidiam, male dicant; seque adeo in odium gentis propter eos incurrisse, quod eos affecisset contumelia. Quare tu, subjiciebat, ubi Hierosolyma perveneris, accersito eorum primarios: illisque meo corpore ostenso, potestatem eis facito, probe composita ad fidem oratione, utendi me arbitratu suo, sive cadaveri meo sepulturæ honore privato voluerint illudere, ut qui multa a me perpessi fuerint, sive aliam quamcunque injuriam corpori meo ex iracundia facere libuerit: teque nihil in regno sine eorum sententia facturam promittito. Hæc te ad eos loquuta, et ego splendidiore funere ab eis efferar quam a te efferrer, propterea quod, quia eis me mortuum injuriose tractare licebit, id facere non libebit: et tu tuto regnabis. » Hæc ille postquam uxorem monuit, vitam finivit, quum regnasset annos viginti septem, vixisset-que undequinquaginta.

ΚΕΦ. ΙϚ'.

Ἡ δὲ Ἀλεξάνδρα τὸ φρούριον ἐξελοῦσα κατὰ τὰς τοῦ ἀνδρὸς ὑποθήκας τοῖς τε Φαρισαίοις διελέχθη καὶ πάντα ἐπ' ἐκείνοις θεμένη, τά τε περὶ τοῦ νεκροῦ καὶ τὰ περὶ τῆς βασιλείας, τῆς μὲν ὀργῆς αὐτοὺς τῆς πρὸς Ἀλέξανδρον ἔπαυσεν, εὔνους δ' ἐποίησε καὶ φίλους. Οἱ δ' εἰς τὸ πλῆθος παρελθόντες ἐδημηγόρουν, τὰς πράξεις τὰς Ἀλεξάνδρου διηγούμενοι καὶ ὅτι δίκαιος αὐτοῖς ἀπόλοιτο βασιλεύς, καὶ τὸν δῆμον εἰς πένθος καὶ τὴν ὑπὲρ αὐτοῦ κατήφειαν ἐξεκαλέσαντο τοῖς ἐπαίνοις, ὥστε καὶ λαμπρότερον ἢ τινὰ τῶν πρὸ αὐτοῦ βασιλέων αὐτὸν ἐκήδευσαν. Δύο μέντοι υἱοὺς Ἀλέξανδρος κατέλιπεν, Ὑρκανὸν καὶ Ἀριστόβουλον, τὴν δὲ βασιλείαν εἰς τὴν Ἀλεξάνδραν διέθετο. Τῶν δὲ παίδων Ὑρκανὸς μὲν ἦν ἀσθενὴς πράγματα διοικεῖν καὶ βίον ἡσύχιον μᾶλλον ἠγαπηκώς, ὁ δὲ νεώτερος Ἀριστόβουλος δραστήριός τε ἦν καὶ θαρσαλέος. Ἐστέργετο μὲν οὖν ὑπὸ τοῦ πλήθους ἡ γυνὴ διὰ τὸ δοκεῖν ἐφ' οἷς ὁ ἀνὴρ αὐτῆς ἐξήμαρτε δυσχεραίνειν.

β'. Ἡ δὲ ἀρχιερέα μὲν ἀποδείκνυσιν Ὑρκανὸν διὰ τὴν ἡλικίαν, πολὺ μέντοι πλέον διὰ τὸ ἄπραγμον αὐτοῦ καὶ πάντα τοῖς Φαρισαίοις ἐπιτρέπει ποιεῖν, οἷς καὶ τὸ πλῆθος ἐκέλευσε πειθαρχεῖν, καὶ εἴ τι δὲ καὶ τῶν νομίμων Ὑρκανὸς ὁ πενθερὸς αὐτῆς κατέλυσεν ὧν εἰσήνεγκαν οἱ Φαρισαῖοι κατὰ τὴν πατρῴαν παράδοσιν, τοῦτο πάλιν ἀποκατέστησε. Τὸ μὲν οὖν ὄνομα τῆς βασιλείας εἶχεν αὐτή, τὴν δὲ δύναμιν οἱ Φαρισαῖοι. Καὶ γὰρ φυγάδας οὗτοι κατῆγον καὶ δεσμώτας ἔλυον, καὶ καθάπαξ οὐδὲν δεσποτῶν διέφερον. Ἐποιεῖτο μέντοι καὶ ἡ γυνὴ τῆς βασιλείας πρόνοιαν, καὶ πολὺ μισθοφορικὸν συνίστησι, καὶ τὴν ἰδίαν δύναμιν ἀπέδειξε πλείονα, ὡς καταπλῆξαι τοὺς πέριξ τυράννους καὶ λαβεῖν ὅμηρα αὐτῶν. Ἥρμει δὲ ἡ χώρα πᾶσα πάρεξ τῶν Φαρισαίων. Οὗτοι γὰρ ἐπετάραττον τὴν βασίλισσαν, πείθοντες ὡς κτείνοιεν τοὺς Ἀλεξάνδρῳ παραινέσαντας ἀνελεῖν τοὺς ὀκτακοσίους. Εἶτα αὐτοὶ τούτων ἕνα σφάττουσι Διογένη καὶ μετ' αὐτὸν ἄλλους ἐπ' ἄλλοις, ἕως οἱ δυνατοὶ παρελθόντες εἰς τὸ βασίλειον καὶ μετ' αὐτῶν Ἀριστόβουλος (ἐῴκει γὰρ τοῖς γινομένοις δυσανασχετῶν καὶ δῆλος ἦν καθάπαξ, εἰ ἀφορμῆς λάβοιτο, μὴ ἐπιτρέψων τῇ μητρί) ἀνεμίμνησκον « ὅσα κατωρθώσαντο τοῖς κινδύνοις, δι' ὧν τὸ βέβαιον ἐν σφίσι τῆς πίστεως πρὸς τὸν δεσπότην ἐπεδείξαντο, ἀνθ' ὧν ὑπ' αὐτοῦ μεγίστων ἠξιώθησαν, καὶ ἐδέοντο μὴ ἄχρι τοῦ παντὸς ἐμπαλιν τρέψαι σφίσι τὰς ἐλπίδας. Ἀποφυγόντας γὰρ τὸν ἐκ πολεμίων κίνδυνον ἐν τῇ οἰκείᾳ ὑπὸ ἐχθρῶν δίκην βοσκημάτων κόπτεσθαι, μηδεμιᾶς τιμωρίας οὔσης. Ἔλεγόν τε, εἰ μὲν ἀρκεσθεῖεν τοῖς ἀνῃρημένοις οἱ ἀντίδικοι, διὰ τὸ πρὸς τοὺς δεσπότας γνήσιον μετρίως οἴσειν τὰ ξυμβάντα, εἰ δ' αὖ μέλλοιεν ταῦτα μετιέναι, ἠτοῦντο μάλιστα μὲν δοθῆναι σφίσιν ἀπαλλαγήν· οὐ γὰρ ἂν ὑπομεῖναι χωρὶς αὐτῆς πορίσασθαί τι σωτήριον, ἀλλ' ἀσμενίζειν θνήσκοντας πρὸς τοῖς βασι-

CAP. XVI. (XXIV.)

Alexandra vero, expugnato præsidio, ut mariti monita postulabant, et Pharisæos alloquuta est, et omnibus in eorum potestate positis, tum de mortuo, tum de regno, eorum in Alexandrum iram sedavit, eosque benevolos et amicos reddidit. Itaque in vulgus pregressi conciones habebant, res gestas Alexandri recensentes et justum sibi regem periisse dicentes, tantumque laudationibus effecerunt, ut populus eum lugeret atque deploraret, ita ut magnificentius sit elatus quam quisquam regum qui eum antecesserant. Ceterum reliquit Alexander duos filios, Hyrcanum et Aristobulum, sed regnum Alexandræ testamento commisit. E pueris autem Hyrcanus ad res administrandas parum habilis erat et vitæ quietæ magis addictus : junior vero Aristobulus navus erat et audax. Et mulier quidem erat in multitudinis gratia, propterea quod mariti peccata graviter ferre videbatur.

2. Illa vero pontificem fecit Hyrcanum, quum propter ætatem, tum multo magis propter ejus segnitiem, et omnia Pharisæis gerenda permisit : quibus et multitudinem obedire jussit; et si quod institutum Hyrcanus ejus socer abroleverat, eorum quæ Pharisæi a patribus accepta tradiderant, id illa restituit. Itaque regni nomen habebat ipsa, potestatem vero Pharisæi. Nam et exsules isti revocabant et vinctos solvebant, et prorsus nihil a dominis differebant. Quamquam et femina regni curam gerebat, multosque milites mercede conductos colligit, et suas vires majores effecit, adeo ut finitimos tyrannos terruerit, et obsides ab eis acceperit : eratque universa regio quieta, exceptis Pharisæis. Nam illi reginam turbabant, suadentes ut eos interficeret qui Alexandro auctores fuerint ut octingentos necaret. Tandemque ipsi eorum unum occiderunt, Diogenem, et post eum alios super alios, donec potentiores in regiam ingressi, una cum Aristobulo (videbatur enim ægre ferre quæ fiebant, et omnino præ se ferebat, si vires nactus esset, se ea non permissurum matri) commemorabant, « quanta feliciter gesserunt pericula adeundo, quibus se fidos firmosque domino probaverant, adeo ut ab eo maxima consequuti fuerint, orantque ne suas spes velit prorsus in contrarium vertere. Nunc enim qui ex hostium periculo elapsi essent, domi ab inimicis more pecudum mactari, nemine ipsis opem ferente. Aiebantque, si adversariis jam interfectis contenti sint, propter innatum erga dominos affectum patienter se laturos quæ acciderint; sin in eisdem perseveraturi sint, petebant inprimis sibi dari missionem : neque enim eos esse qui sine regina salutem ullam sibi quærere sustineant, qui libenter in regia morituri sint, si

λείοις, ὡς μὴ συγγνοῖεν ἑαυτοῖς. Αἶσχός τε εἶναι σφίσι καὶ τῇ βασιλίσσῃ, εἰ πρὸς αὐτῆς ἀμελούμενοι ὑπὸ τῶν ἐχθρῶν τοῦ ἀνδρὸς ἐκδεχθείησαν· ἀντὶ παντὸς γὰρ ἂν τιμήσασθαι Ἀρέταν τε τὸν Ἄραβα καὶ τοὺς μονάρχους, εἰ ἀποξενολογήσαιεν τοσούσδε ἄνδρας, οἷς ἦν τάχα φρικῶδες καὶ τοὔνομα πρὶν ἀκουσθῆναι. Εἰ δὲ μὴ τό γε δεύτερον, εἰ τοὺς Φαρισαίους αὐτῇ προτιμᾶν ἔγνωσται, κατατάξαι ἕκαστον αὐτῶν ἐν τοῖς φρουρίοις· εἰ γὰρ ὧδε δαίμων τις ἐνεμέσησεν τῷ Ἀλεξάνδρου οἴκῳ, αὐτούς γε μὴν ἂν ἀποδεῖξαι καὶ ἐν ταπεινῷ σχήματι βιοτεύοντας. »

γ'. Πολλὰ δὲ τοιαῦτα λεγόντων αὐτῶν καὶ εἰς οἶκτον τῶν τεθνεώτων καὶ τῶν κινδυνευόντων τοὺς Ἀλεξάνδρου δαίμονας ἐπικαλουμένων, ἅπαντες οἱ περιεστῶτες ὤρμησαν εἰς δάκρυα· μάλιστα δὲ Ἀριστόβουλος ὅπως σχοίη γνώμης ἐδήλου πολλὰ τὴν μητέρα κακίζων. Ἀλλὰ γὰρ ἐκεῖνοι μὲν αἴτιοι σφίσιν αὐτοῖς τῶν συμφορῶν ἐγένοντο, κατὰ φιλαρχίαν ἐκλελυσσηκυίᾳ γυναικὶ παρὰ τὸ εἰκὸς βασιλεύειν, γενεᾶς ἕνεκα μὴ οὔσης, ἐπιτρέψαντες. Ἡ δὲ οὐκ ἔχουσα ὅ τι πράξειε μετὰ τοῦ εὐπρεποῦς, τὴν φυλακὴν τῶν χωρίων σφίσιν ἐπίστευσεν, ὅτι μὴ Ὑρκανίας καὶ Ἀλεξανδρείου καὶ Μαχαιροῦντος, ἔνθα τὰ πλείστου ἄξια ἦν αὐτῇ. Καὶ μετ' οὐ πολὺ τὸν υἱὸν Ἀριστόβουλον μετὰ στρατιᾶς ἐξέπεμψεν ἐπὶ Δαμασκόν, κατὰ Πτολεμαίου τοῦ Μενναίου λεγομένου, ὃς βαρὺς ἦν τῇ πολει γείτων. Ἀλλ' ὁ μὲν οὐδὲν ἐργασάμενος σπουδῆς ἄξιον ὑπέστρεψεν.

δ'. Κατὰ δὲ τοῦτον τὸν καιρὸν ἀγγέλλεται Τιγράνης ὁ τῶν Ἀρμενίων βασιλεὺς ἅμα μυριάσι στρατιωτῶν πεντήκοντα ἐμβεβληκὼς εἰς τὴν Συρίαν καὶ ἐπὶ τὴν Ἰουδαίαν ἀφιξόμενος. Τοῦτο, ὥσπερ εἰκός, ἐφόβησε τὴν βασίλισσαν καὶ τὸ ἔθνος. Δῶρα δὴ πολλὰ καὶ λόγου ἄξια πέμπουσιν αὐτῷ καὶ πρέσβεις πολιορκοῦντι τὴν Πτολεμαΐδα. Βασίλισσα γὰρ Σελήνη, ἡ καὶ Κλεοπάτρα καλουμένη, τῶν ἐν τῇ Συρίᾳ κατῆρχεν, ἣ καὶ ἐνήγαγε τοὺς ἐνοικοῦντας ἀποκλεῖσαι Τιγράνην. Συνετύγχανον οὖν αὐτῷ καὶ ἐδέοντο χρηστὰ περὶ τῆς βασιλίσσης καὶ τοῦ ἔθνους συγγινώσκειν. Ὁ δὲ ἀποδεξάμενος αὐτοὺς τῆς ἐκ διαστήματος θεραπείας ἐλπίδας ὑπέθετο χρηστάς. Ἅρτι δὲ τῆς Πτολεμαΐδος ἁλωκυίας, ἀγγέλλεται Τιγράνῃ Λεύκουλλον διώκοντα Μιθριδάτην ἐκείνου μὲν διαμαρτεῖν εἰς τοὺς Ἴβηρας ἀναφυγόντος, τὴν δὲ Ἀρμενίαν πορθήσαντα πολιορκεῖν. Τιγράνης δὲ ταῦτα ἐπιγνοὺς ἀνεχώρει τὴν ἐπ' οἴκου.

ε'. Μετὰ δὲ τοῦτο τῆς βασιλίσσης εἰς νόσον χαλεπὴν ἐμπεσούσης, δόξαν Ἀριστοβούλῳ τοῖς πράγμασι ἐπιτίθεσθαι, τῆς νυκτὸς ὑπεξελθὼν μεθ' ἑνὸς τῶν θεραπόντων ἦει ἐπὶ τὰ φρούρια, ἵνα οἱ πατρῷοι κατετάχθησαν αὐτῷ φίλοι. Πάλαι γὰρ ἀχθόμενος οἷς ἔπραττεν ἡ μήτηρ, πολὺ μᾶλλον ἔδεισε μὴ ἀποθανούσης ἐπὶ τοῖς Φαρισαίοις τὸ πᾶν γένος αὐτῆς ὑπάρξειεν· ἑώρα γὰρ τὸ ἀδύνατον τοῦ μέλλοντος διαδέχεσθαι τὴν ἀρχὴν ἀδελφοῦ. Ξυνῄδει δ' ἡ αὐτοῦ γυνὴ τῇ πράξει μόνη, ἣν κατέλιπεν αὐτόθι μετὰ τῆς γενεᾶς. Καὶ πρῶτον ἀφιπsis venia non detur. Et turpe ipsis esse et reginæ, si ab ea neglecti a mariti inimicis excipiantur : in maximis enim posituros Aretam Arabem ceterosque principes, si liceat conducere tot viros, quorum vel nomen fortasse terribile sit eis priusquam auditum. Quod si nec posterius hoc placeat, si Pharisæis tantum tribuere statuat, se diversos in præsidiis disponat : si enim dæmon aliquis Alexandri domum usque adeo persequatur, se quidem non recusare quominus in humili conditione vivant. »

3. Hæc autem illis et alia multa dicentibus, et ad mortuorum periclitantiumque misericordiam Alexandri manes invocantibus, omnes circumstantes in lacrimas proruperunt; maxime autem Aristobulus quomodo esset animatus ostendebat, multa convicia ingerens matri. Verum illi quidem sibi ipsis calamitatum auctores fuerunt, qui feminæ imperii cupidine furenti contra fas commiserunt regni habenas, quasi *Alexandro* deessent posteri. Itaque ipsa non habens quod honeste faceret, custodiam locorum *munitorum* ipsis credidit, excepta Hyrcania et Alexandrio et Machærunte, ubi pretiosissima quæque habebat. Et haud multo post filium suum Aristobulum cum exercitu misit Damascum, adversus Ptolemæum cognomine Mennæum, qui gravis erat urbi vicinus. Sed ille quidem re nulla memorabili gesta reversus est.

4. Eo autem tempore nunciatur Tigranes Armeniorum rex cum quingentis hominum millibus invasisse Syriam, et adorturus Judæam. Id quod, ut par fuit, terruit reginam et gentem : quo factum est ut per legatos multa magnique pretii dona ei mitterent, obsidenti Ptolemaidem. Regina enim Selene, quæ et Cleopatra dicebatur, Syriæ imperabat, quæ et incolas induxit ut Tigrani portas clauderent. Igitur eum convenerunt *legati*, et ut de regina deque gente nihil nisi bonum statueret orarunt. Ille vero collaudatis eis, quod ex longinquo se coluissent, bonam spem eis fecit. Jam vero Ptolemaide modo capta, nunciatur Tigrani Lucullum, dum Mithridatem persequitur, illum quidem non esse assecutum, quia in Iberas effugisset, sed Armeniam depopulatum esse atque oppugnare. Tigranes igitur his cognitis domum se recipere contendit.

5. At post hæc regina difficili morbo correpta Aristobulus, aggrediendas sibi res arbitratus, noctu clam egressus cum uno famulo adiit præsidia, ubi paternos amicos dispositos habuit. Jam pridem enim iniquo animo ferens facta matris, longe etiam magis timebat ne ea mortua ejus universum genus esset in Pharisæorum potestate : videbat enim infirmitatem fratris, qui in principatum successurus erat. Ejus autem facti conscia erat sola conjux, quam ibi

κόμενος εἰς Ἄγαβα, ἔνθα Γαλαιστὴς ἦν τῶν δυνατῶν, ὑπεδέχθη πρὸς αὐτοῦ. Μεθ' ἡμέραν δὲ τῇ βασιλίσσῃ αἴσθησις γίνεται τῆς Ἀριστοβούλου φυγῆς· καὶ μέχρι τινὸς ᾤετο γεγονέναι τὴν ἀναχώρησιν οὐκ ἐπὶ νεωτερισμῷ· ὡς μέντοι ἦκον ἀπαγγέλλοντες, ἄλλοι ἐπ' ἄλλοις, ὅτι κατειλήφει τὸ πρῶτον χωρίον καὶ τὸ δεύτερον καὶ ξύμπαντα, (εὐθὺς γὰρ ἑνὸς ἀρξαμένου πάντα ὑπήγετο πρὸς τὸ ἐκείνου βούλημα,) τότε δὴ ἐν μεγίσταις ταραχαῖς ὑπῆρχεν ἥ τε βασίλισσα καὶ τὸ ἔθνος. Ἤδεισαν γὰρ οὐ πόρρω τοῦ δύνασθαι τὴν ἀρχὴν αὐτῷ κρατῦναι τὸν Ἀριστόβουλον ὄντα· μάλιστα δ' ἔδεισαν μὴ ποινὴν εἰσπράξαιτο ὧν παρώνησαν αὐτοῦ τὸν οἶκον. Δόξαν οὖν τὴν γυναῖκα αὐτοῦ καὶ γενεὰν εἰς τὸ ὑπὲρ τοῦ ἱεροῦ φρούριον κατέθεσαν. Ἀριστοβούλῳ δὲ ὡς ἂν ἐκ πολλῶν συχνὰ συνανηνέχθη, ἀφ' ὧν δὴ καὶ κόσμος ἤδη βασίλειος περὶ αὐτὸν ἦν. Σχεδὸν γὰρ ἐν ἡμέραις δεκαπέντε χωρίων ἐκράτησεν εἴκοσι δύο, ὅθεν ἀφορμὰς ἔχων στρατιὰν ἤθροιζεν ἀπό τε Λιβάνου καὶ Τράχωνος καὶ τῶν μονάρχων. Οἱ γὰρ ἄνθρωποι τῷ πλείονι ὑπαγόμενοι ῥᾳδίως ὑπήκουον, ἄλλως τε καὶ νομίζοντες, εἰ ξυλλάβοιεν αὐτῷ τῶν μὴ προσδοκωμένων, οὐχ ἧσσον καρπώσεσθαι τὴν βασιλείαν, ὡς αὐτοὶ τοῦ κρατῆσαι πρόφασις γενηθέντες. Τῶν δὲ Ἰουδαίων οἱ πρεσβύτεροι καὶ Ὑρκανὸς εἰσῆλθον ὡς τὴν βασίλισσαν καὶ ἐδέοντο ὑποθέσθαι γνώμην περὶ τῶν ἐνεστώτων· τὸν γὰρ Ἀριστόβουλον τῶν πάντων σχεδὸν ἤδη κυριεύειν, ὁπότε χωρίων τοσούτων κρατήσειεν, ἄτοπον δέ, εἰ καὶ τὰ μάλιστα κάμνοι, περιούσης αὐτῆς κατὰ σφᾶς βουλεύεσθαι· περιεστάναι δὲ τὸν κίνδυνον οὐ διὰ μακροῦ σφίσιν. Ἡ δὲ αὐτοὺς ἐκέλευσε πράττειν ὅ τι δοκοῦσι χρήσιμον εἶναι· πολλὰς δὲ αὐτοῖς ἀφορμὰς λιπέσθαι, τὸ ἔθνος ἐρρωμένον, καὶ τὴν δύναμιν, καὶ τὰ ἐν τοῖς γαζοφυλακίοις χρήματα· αὐτῇ γὰρ μικρὸν ἔτι μέλειν τῶν πραγμάτων, ὡς ὑπολείποντος ἤδη τοῦ σώματος.

ς'. Ταῦτ' εἰποῦσα μετ' οὐ πολὺ ἐτελεύτησε, βασιλεύσασα ἔτη ἐννέα, τὰ δὲ σύμπαντα βιώσασα τρία καὶ ἑβδομήκοντα, γυνὴ τῷ ἀσθενεῖ τοῦ φύλου κατ' οὐδὲν χρησαμένη. Δεινὴ γὰρ εἰς τὸ φίλαρχον ἐν τοῖς μάλιστα γενομένη διῆλεγξεν ἔργοις τό τε πρακτικὸν τῆς ἐν αὐτῇ γνώμης καὶ τὸ ἀσύνετον τῶν ἀεὶ πταιόντων περὶ τὰς δυναστείας ἀνδρῶν. Τὸ γὰρ παρὸν κρεῖττον ἀξιοῦσα τοῦ μέλλοντος καὶ πάντα δεύτερα τιθεμένη τοῦ ἐγκρατῶς ἄρχειν, οὔτε καλοῦ οὔτε δικαίου, ἕνεκά γε τούτων, ἐπεστρέφετο. Εἰς γοῦν τοῦτο τῷ οἴκῳ ἀτυχίας τὰ πράγματα περιέστησεν, ὥστε ἦν μετὰ πλείστων κινδύνων καὶ ταλαιπωριῶν περιεκτήσατο δυναστείαν, ἐπιθυμίᾳ τῶν μὴ προσηκόντων γυναικὶ χρόνοις οὐ πολλοῖς ὕστερον ἀφαιρεθῆναι, τοῖς μὲν δυσμενῶς ἔχουσι πρὸς τὸ γένος αὐτῶν τὴν αὐτὴν γνώμην προθεῖσα, τὴν δὲ ἀρχὴν ἔρημον τῶν προκηδομένων ποιησαμένη· καὶ ξυμφορῶν δὲ ἐνέπλησε καὶ ταραχῆς ἐξ ὧν ζῶσα ἐπολιτεύσατο καὶ μετὰ τὴν τελευτὴν τὸ βασίλειον. Οὐ μὴν ἀλλὰ, καίπερ οὕτως ἄρξασα,

cum prole sua reliquit. Ac primum ad Agaba profectus, ubi Galæstes ex potentibus erat, admissus est ab eo. Orta autem die sentit regina fugam Aristobuli, et aliquamdiu arbitrata est non rerum novarum studio discessisse: verum postquam alii super alios venerunt, qui nunciarent illum primum præsidium occupasse, deinde secundum, et universa, (statim enim facto ab uno initio, omnia ad illius arbitrium sequebantur,) tunc quidem in maximis turbis esse cœperunt tam regina quam gens. Videbant enim non multum abesse Aristobulum quin sibi principatum confirmare posset, maximeque metuebant ne pœnam irrogaret ipsis, quoniam in ejus domum debacchati fuissent. Itaque visum est eis ejus uxorem et liberos in præsidio collocare, quod supra fanum erat. Ad Aristobulum autem tam magnus frequenter fiebat confluxus, ut jam ornatu regio stiparetur. Nam diebus fere quindecim occupavit loca *munita* viginti duo; unde opibus sibi comparatis exercitum colligebat a Libano et Trachone et principibus. Homines enim majorem partem sequentes facile obtemperabant: accelebat eo, quod sperabant, si eum in rebus non speratis adjuvissent, non minorem ex regno fructum ad se rediturum, ut qui ei ejus obtinendi causa exstitissent. Judæorum autem seniores et Hyrcanus adierunt reginam, et ut super instantibus consilium daret orarunt: Aristobulum enim, tantis locis occupatis, propemodum rerum omnium jam potiri; se autem non decere, etiamsi maxime ipsa ægrotet, ea superstite, consilii aliquid seorsum capere; periculum autem jam esse pæne pro foribus. At illa jussit ut quod utile judicarent, illud facerent: restare eis multas facultates, gentem validam, et exercitum, et fisci pecuniam: sibi quidem parum jam curæ esse negotii, ut quæ corporis viribus jam deficeretur.

6. Postquam ista dixerat, non multo post obiit, quum regnasset annos novem, et vixisset in universum septuaginta tres, mulier quæ sexus sui imbecillitatem nulla in re prodidit. Nam quum ingenti regnandi cupiditate, ut qui maxime, teneretur, et quibus egerit quam apto fuerit ad res gerendas animo ostendit, et quam hebetia sint virorum ingenia, qui in imperandi potestate titubare solent. Nam præsentia futuris potiora existimans, aliisque omnibus insuper habitis modo imperiose dominaretur, nec honesti nec justi, illorum saltem gratia, rationem habebat. Veruntamen res suæ familiæ eo infelicitatis perduxit, ut potentiam, quam multis periculis et laboribus paraverat, desiderio eorum quæ mulieri non conveniebant, haud multo post amiserit, ut quæ eadem cum illis senserit qui animo essent in familiam regiam malevolo, regnumque potentium præsidio destitutum reliquerit; prætereaque ex sua dum viveret reipublicæ administratione regiam etiam post obitum calamitatibus turbisque complevit. Veruntamen licet hoc modo in

ἐν εἰρήνῃ τὸ ἔθνος διεφύλαξε. Τὰ μὲν οὖν περὶ Ἀλεξάνδραν τοῦτο εἶχε τὸ τέλος.

ΒΙΒΛΙΟΝ ΤΕΣΣΑΡΕΣΚΑΙΔΕΚΑΤΟΝ.

α'. Ὡς μετὰ τὸν Ἀλεξάνδρας θάνατον ὁ νεώτερος αὐτῆς τῶν παίδων Ἀριστόβουλος ἐπολέμησε πρὸς Ὑρκανὸν τὸν ἀδελφὸν περὶ τῆς βασιλείας, καὶ κρατήσας αὐτοῦ συνεδίωξεν εἰς τὴν ἐν Ἱεροσολύμοις βᾶριν· ἔπειθ' ὡς συμβάντες ἐκριναν βασιλεύειν μὲν Ἀριστόβουλον, Ὑρκανὸν δὲ ἰδιωτεύειν.

β'. Περί τε Ἀντιπάτρου καὶ γένους αὐτοῦ, καὶ τίνα τρόπον ἐκ μικρᾶς καὶ τῆς τυχούσης ἀφορμῆς εἰς λαμπρότητα καὶ δόξαν ἅμα τοῖς παισὶν προήχθη καὶ μέγεθος δυνάμεως· καὶ ὅτι πείσαντος Ὑρκανὸν Ἀντιπάτρου φυγεῖν ἐξ Ἱεροσολύμων πρὸς Ἀρέταν τὸν τῶν Ἀράβων βασιλέα, ἱκέτευσεν ἐλθὼν καταγαγεῖν αὐτὸν εἰς τὴν βασιλείαν, γῆν τε πολλὴν δώσειν καὶ χρήματα ὑποσχόμενος.

γ'. Ὡς Ἀρέτας, προσδεξάμενος τὸν Ὑρκανὸν, ἐστράτευσεν ἐπὶ τὸν Ἀριστόβουλον, καὶ συμβαλὼν καὶ κρατήσας τῇ μάχῃ συνεδίωξεν ἐπὶ Ἱεροσόλυμα, καὶ περικαθίσας τὸ στρατόπεδον ἐπολιόρκει τὴν πόλιν.

δ'. Ὡς Σκαῦρον πέμψαντος ἀπὸ Ἀρμενίας εἰς Συρίαν Μάγνου Πομπηίου, ἦκον πρὸς αὐτὸν ἀπό τε Ὑρκανοῦ καὶ Ἀριστοβούλου πρέσβεις περὶ συμμαχίας παρακαλοῦντες αὐτόν.

ε'. Ὅτι Σκαῦρος τετρακοσίοις διαφθαρεὶς ταλάντοις Ἀριστοβούλῳ προσέθετο.

ς'. Ὡς Πομπηίου εἰς Δαμασκὸν ἐκ τῆς Ἀρμένιας ἐλθόντος Ἀριστόβουλος καὶ Ὑρκανὸν ἐπ' αὐτὸν ἦκον περὶ τῆς βασιλείας δικαιολογούμενοι. Ὑπέρθεσις Πομπηίου, περὶ ὧν ἑνεκάλουν διαγνώσεσθαι φήσαντος, ἕως ἂν εἰς τὴν ἐκείνων χώραν παραγίνηται.

ζ'. Ὅτι συνεὶς ὁ Ἀριστόβουλος τίνα ἔχει διάνοιαν ὁ Πομπήϊος ἀνεχώρησεν εἰς τὴν Ἰουδαίαν· καὶ ὡς ἀγανακτήσαντος αὐτοῦ καὶ στρατεύσαντος ἐπ' αὐτὸν, εἰς Ἀλεξάνδρειον Ἀριστόβουλος ἀνεχώρησε τὸ φρούριον, ὀχυρὸν ὂν καὶ δυσκαταμάχητον.

η'. Ὡς Πομπήϊος, τοῦτο συνιδὼν, στρατηγήματι χρησάμενος ἔπεισε τὸν Ἀριστόβουλον καταλιπόντα τὸ φρούριον καταβῆναι πρὸς αὐτὸν, ὡς βεβαιωσόμενον αὐτῷ τὴν ἡγεμονίαν· οἷς πεισθέντα καὶ πολλάκις δικαιολογησάμενον πρὸς τὸν ἀδελφὸν ἠνάγκασε τοῖς φρουράρχοις τῇ αὐτοῦ χειρὶ γράψαι, καὶ παραδοῦναι αὐτῷ τὰ φρούρια.

θ'. Ὡς Ἀριστόβουλος τοῦτο ποιήσας διὰ φόβον, ἔπειτα δυσχεράνας ἐπὶ τῷ μηδενὸς ὧν προσεδόκα παρὰ Πομπηίου τυγχάνειν, ἀνεχώρησεν εἰς Ἱεροσόλυμα ἐγκλείσων αὐτόν.

ι'. Ὡς Πομπηίου κατὰ πόδα μετὰ τῆς στρατιᾶς κατακολουθήσαντος μετενόησεν Ἀριστόβουλος, καὶ προελθὼν ἄχρι Ἱεριχοῦντος ἀπήντησεν αὐτῷ, καὶ συγγνώμης τυχεῖν δεηθεὶς περὶ τῶν ἡμαρτημένων, τήν τε πόλιν καὶ τὰ χρήματα παραδώσειν ὑπέσχετο· καὶ Πομπηίου πέμψαντος Γαβίνιον μετὰ ἐπιλέκτων στρατιωτῶν ἐπί τε τὴν τῆς πόλεως παράληψιν καὶ τῶν χρημάτων, οἱ Ἱεροσολυμῖται, τὸν Ἀριστόβουλον ὁρῶντες ἐν φυλακῇ καθεστῶτα, τὰς πύλας ἀπέκλεισαν τοῖς Ῥωμαίοις.

ια'. Ὡς ἐπὶ τούτῳ παροξυνθεὶς Πομπήϊος Ἀριστόβουλον μὲν ἔδησεν, προσαγαγὼν δὲ τὴν δύναμιν ἐπολιόρκει τὴν πόλιν· καὶ δέχονται μὲν αὐτὸν οἱ τὰ Ὑρκανοῦ φρονοῦντες εἰς τὴν ἄνω πόλιν, οἱ δὲ Ἀριστοβούλου συνασπισταὶ φεύγουσιν εἰς τὸ ἱερόν.

ιβ'. Ὡς αἱρεῖ κατὰ κράτος τὸ ἱερὸν καὶ τὴν κάτω πόλιν ὁ Πομπήϊος τῷ τρίτῳ μηνί. Καὶ περὶ τῆς ἐπιεικείας αὐτοῦ καὶ θεοσεβείας.

imperio se gesserit, gentem in pace conservavit. Et res quidem Alexandræ hunc exitum habuerunt.

LIBER DECIMUS QUARTUS.

1. Quomodo post mortem Alexandræ filiorum ejus natu minor Aristobulus de regno bellum gessit cum Hyrcano fratre, victumque persequutus est usque ad arcem Hierosolymitanam : utque inter eos ita convenit, ut Aristobulus regnaret, Hyrcanus privatam vitam degeret.

2. De Antipatro et ejus genere, et quomodo ex parvis et mediocribus initiis ad claritatem et gloriam et magnam potentiam ipse ejusque filii pervenerunt : utque ejus suasu Hyrcanus, Hierosolymis fugiens ad Aretam regem Arabum, ei, ut ipsum restitueret in regnum, supplicavit, factis promissis se et datorum multum terræ pecuniæque.

3. Quomodo Aretas, quum Hyrcanum excepisset, bellum intulit Aristobulo : utque quum prœlio congressus eum vicisset, persequutus est eum usque Hierosolyma, exercituque urbi admoto eam obsidet.

4. Quomodo ad Scaurum, quem ex Armenia in Syriam miserat Pompejus Magnus, legati ab Hyrcano et Aristobulo venerunt, ipsius auxilium implorantes.

5. Quomodo Scaurus, talentis quadringentis corruptus, Aristobuli rebus studebat.

6. Quomodo, Pompejo ex Armenia ad Damascum profecto, Aristobulus et Hyrcanus eum conveniebant de regno disceptantes : utque Pompejus, quum se causam querelarum cogniturum dixisset, rem distulit donec in eorum regionem veniret.

7. Quod Aristobulus, quum intellexisset quo esset in eum animo Pompejus, in Judæam discessit : utque Aristobulus, Pompejo ei irato et in expeditionem adversus eum profecto, in Alexandrium se recepit, castellum bene firmum et expugnatu difficile.

8. Quomodo Pompejus, ubi hoc resciverat, strategemate usus per suasit Aristobulo ut relicto præsidio ad ipsum descenderet, tanquam principatum ei firmaturum. Quibus obsequutum, postquam cum fratre sæpius disceptaverat, coegit Pompejus præsidiorum præfectis sua manu scribere, ipsique castella tradere.

9. Quomodo Aristobulus, quum hoc præ metu fecisset, et postea rem ægre tulisset, quod nihil eorum quæ sperabat a Pompejo nactus esset, discessit, in Hierosolyma semet inclusurus.

10. Quomodo Aristobulus, Pompejo e vestigio eum cum exercitu subsequuto, sententiam mutavit, et Hierichuntem usque progressus ei obviam ivit; petitaque peccatorum venia, et urbem et pecuniam ei tradere pollicitus est : utque Gabinio cum militibus lectissimis a Pompejo misso ad urbem et pecuniam accipiendam, Hierosolymitani, quum viderent Aristobulum in custodia detentum, Romanis portas occluserunt.

11. Quomodo hanc ob rem ira incensus Pompejus Aristobulum in vincula conjecit, adductisque copiis urbem obsidebat : ipsumque in urbem superiorem admittunt qui Hyrcano favebant, qui vero ab Aristobulo stabant in fanum fugiunt.

12. Quomodo fanum et inferiorem urbem tertio mense expugnat Pompejus. Deque ipsius modestia et religione.

ιγ'. Ὅτι Πομπήϊος μηδενὸς ἥψατο τῶν ἐν τῷ ἱερῷ, πολλῶν ὄντων ἐν αὐτῷ χρημάτων.

ιδ'. Ὅτι ταῦτα διαπραξάμενος, καὶ τὴν Ἰουδαίαν ποιήσας φόρους ὑποτελῆ, καὶ Ὑρκανὸν ἀποδείξας ἐθνάρχην, Ἀριστόβουλον μὲν δέσμιον μετὰ τῆς γενεᾶς εἰς Ῥώμην ἀνήγαγεν, Σκαῦρον δὲ τῆς Συρίας ἐπίτροπον κατέστησεν.

ιε'. Ὅτι Σκαύρου στρατεύσαντος ἐπὶ Πέτραν, βασίλειον οὖσαν τῶν Ἀράβων, καὶ πολιορκοῦντος, ἐν ἐνδείᾳ τῶν στρατιωτῶν αὐτοῦ γενομένων, Ἀντίπατρος πείθει τὸν Ἄραβα, δόντα Σκαύρῳ τριακόσια τάλαντα, συμμαχίαν πρὸς αὐτὸν ποιήσασθαι.

ις'. Ὡς Ἀλέξανδρος Ἀριστοβούλου παῖς, φυγὼν Πομπήϊον, καὶ παραγενόμενος εἰς τὴν Ἰουδαίαν, στρατιᾶς αὐτῷ πολλῆς γενομένης, πόλεμον ἐξήνεγκεν πρὸς Ὑρκανὸν καὶ Ἀντίπατρον.

ιζ'. Ὡς ὑπὸ Γαβινίου κρατηθεὶς τῇ μάχῃ ὁ Ἀλέξανδρος καὶ κατακλεισθεὶς εἰς Ἀλεξάνδρειον τὸ φρούριον ἐπολιορκεῖτο.

ιη'. Ὡς Γαβίνιος, πεισάσης τῆς μητρὸς τῆς Ἀλεξάνδρου παραδοῦναι αὐτόν τε καὶ τὸ φρούριον, λαβὼν τὸν μὲν Ἀλέξανδρον ἀφῆκεν, ἔγραψε δὲ καὶ τῇ συγκλήτῳ, τοὺς ἀδελφοὺς αὐτοῦ, οἳ ἦσαν μετὰ Ἀριστοβούλου τοῦ πατρὸς δεδεμένοι, λῦσαι, καὶ ἀποπέμψαι πρὸς τὴν μητέρα, δηλῶν αὐτῆς τὸ πρὸς Ῥωμαίους πιστὸν καὶ ὡς ἔστιν ἀξία ταύτης τῆς χάριτος τυγχάνειν.

ιθ'. Ὡς μετὰ ταῦτα φυγόντα ἐκ Ῥώμης Ἀριστόβουλον εἰς τὴν Ἰουδαίαν λαβὼν Γαβίνιος αἰχμάλωτον πάλιν ἀνέπεμψεν εἰς Ῥώμην.

κ'. Κράσσου κατὰ τὴν ἐπὶ Πάρθους στρατείαν εἰς τὴν Ἰουδαῖαν ἀνάβασις καὶ σύλησις τῶν ἐν τῷ ἱερῷ χρημάτων.

κα'. Φυγὴ Πομπηΐου εἰς Ἤπειρον, καὶ Σκιπίωνος ὑπ' αὐτοῦ πεμφθέντος εἰς Συρίαν ἄφιξις, ἐντολὴν ἔχοντος ἀποκτεῖναι Ἀλέξανδρον.

κβ'. Ὅτι Καῖσαρ, λύσας Ἀριστόβουλον τῶν δεσμῶν, οἷός τε ἦν πέμψαι μετὰ δύο ταγμάτων εἰς τὴν Ἰουδαίαν, ἔφθη δ' ὑπὸ τῶν τὰ Πομπηΐου φρονούντων διαφθαρεὶς Ἀριστόβουλος φαρμάκῳ.

κγ'. Καίσαρος εἰς Αἴγυπτον στρατεία, καὶ ὡς συνεμάχησαν αὐτῷ Ὑρκανός τε καὶ Ἀντίπατρος, καὶ τοὺς Ἰουδαίους αὐτῷ συμμάχους ἐποίησαν.

κδ'. Ἀντιπάτρου προθύμως ἀγωνισαμένου κατὰ τὴν μάχην ἀριστεία, καὶ διὰ τοῦτο φιλία πρὸς Καίσαρα· καὶ ὡς Ὑρκανὸν Καῖσαρ ἐπὶ τῇ νίκῃ χαίρων ἐτίμησε μεγάλως, ἐπιτρέψας αὐτῷ τὰ τῆς πατρίδος ἀναστῆσαι κατεστραμμένα τείχη, ἔτι τε Ἀντιπάτρῳ τὴν τῆς Ἰουδαίας ἐπιτροπὴν ἐνεχείρησεν.

κε'. Καίσαρος ἐπιστολαί, καὶ δόγματα συγκλήτου περὶ τῆς πρὸς τοὺς Ἰουδαίους φιλίας.

κς'. Ὅτι Ἀντίπατρος τοῖς παισὶν, Ἡρῴδῃ μὲν τὴν τῆς Γαλιλαίας πρόνοιαν, Φασαήλῳ δὲ ἐπέτρεψε τὴν Ἱεροσολύμων· καὶ ὡς Σέξτος Καῖσαρ, δωροδοκηθεὶς ὑφ' Ἡρῴδου ἡγεμόνος ὄντος ἐν Συρίᾳ, μέγαν καὶ ἔνδοξον ἐποίησεν Ἡρῴδην, καταστήσας ἄρχοντα τῆς Κοίλης Συρίας.

κζ'. Ὡς Κάσσιος, Καίσαρος ἀποθανόντος, εἰς τὴν Ἰουδαίαν ἀναβὰς, τήν τε χώραν ἐκάκωσε καὶ τάλαντα ὀκτακόσια παρ' αὐτῶν εἰσεπράξατο φορολογήσας· καὶ πῶς Ἡρῴδης ἐκ τῆς εἰσπράξεως τῶν χρημάτων σπουδαῖος ἔδοξε Κασσίῳ.

κη'. Ὡς Μάλιχος ἐπιβουλεύων Ἀντίπατρον ἀνεῖλε φαρμάκῳ, διακονησαμένου χρήμασι τοῦ οἰνοχόου Ὑρκανοῦ.

κθ'. Ὡς Ἡρῴδης ἐπιστείλαντος αὐτῷ Κασσίου τὸν Μάλιχον ἐδολοφόνησεν.

λ'. Ὡς Ἀντίγονον τὸν Ἀριστοβούλου βοηθούμενον παρὰ τοῦ Τυρίων τυράννου Μαρίωνος Ἡρῴδης ἀπαντήσας τρέπει τε καὶ τῆς Ἰουδαίας ἐκβάλλει.

λα'. Ὅτι μετὰ τὸ ἡττηθῆναι Κάσσιον ἐν Μακεδονίᾳ παρὰ τοῦ νέου Καίσαρος καὶ Ἀντωνίου, Ἡρῴδης ἐν Βιθυνίᾳ παραγεγονότα πολλοῖς χρήμασιν ἐθεράπευσεν Ἀντώνιον· καὶ διὰ

13. Quod Pompejus nihil eorum attigit quæ in fano erant, licet magna illic esset pecuniæ vis.

14. Quod quum ista gessisset et Judæam Romanis vectigalem fecisset, et Hyrcanum ethnarcham constituisset, Aristobulum vinctum cum sua prole Romam duxit, atque Scaurum Syriæ procuratorem fecit.

15. Quod, facta a Scauro expeditione in Petram Arabum regiam, eaque obsessa, quum exercitus ejus rerum inopia laboraret, Antipater Arabi persuadet, ut trecentis Scauro datis talentis, fœdus cum eo faceret.

16. Quomodo Alexander Aristobuli filius, qui a Pompejo fugerat et in Judæam se contulerat magno exercitu coacto, bellum intulit Hyrcano et Antipatro.

17. Quomodo Alexander a Gabinio pugna superatus et in castellum Alexandrium compulsus obsidetur.

18. Quemadmodum quum Alexandrum mater ejus flexisset ut sui castellique deditionem faceret, Gabinius Alexandrum captum dimisit; ac præterea scripsit Senatui, ut fratres ipsius cum Aristobulo patre vinctos laxarent matrique mitterent, indicato qua esset in Romanos fide, quodque digna esset cui hæc gratia tribueretur.

19. Quomodo Aristobulum Roma in Judæam profugum comprehendit Gabinius, Romamque remisit.

20. Crassus in expeditione contra Parthos in Judæam ascendit, sacrasque pecunias depeculatur.

21. Pompeji fuga in Epirum, et Scipionis adventus in Syriam, cui in mandatis erat ut Alexandrum necaret.

22. Quod Cæsar, quum Aristobulum vinculis exemisset, in eo erat ut eum mitteret cum duabus cohortibus in Judæam: interim vero accidit ut Aristobulus a Pompejanis veneno necaretur.

23. Cæsaris in Ægyptum expeditio: et quemadmodum ei auxilium tulerunt Hyrcanus et Antipater, fecerunteque ut Judæi semet ei adjungerent.

24. Antipatri in pugna strenue dimicantis egregium factum, et ex eo cum Cæsare amicitia: et quemadmodum Cæsar, lætus ex victoria, Hyrcanum magno honore affecit, permisso ei ut eversos patriæ civitatis muros excitaret; ac præterea Antipatrum Judææ procuratorem constituit.

25. Cæsaris literæ, et senatusconsulta de amicitia cum Judæis inita.

26. Antipater filiis administrationem mandat, Herodi Galilææ, Phasaelo Hierosolymorum: utque Sextus Cæsar, muneribus ab Herode, quum in Syria dux esset, acceptis, magnum et gloriosum fecit Herodem, Cœles-Syriæ præsidem eum constituendo.

27. Quomodo Cassius, quum in Judæam Cæsare mortuo ascendisset, et regionem afflixit, et octingenta talenta ab Judæis in tributum exegit: utque Herodes ex redactione pecuniæ Cassio industrius visus est.

28. Quomodo Malichus per insidias Antipatrum veneno sustulit, ope pocillatoris Hyrcani quem pecunia corruperat.

29. Quomodo Herodes jussu Cassii dolo interfecit Malichum.

30. Quomodo Antigonum Aristobuli filium, a Marione Tyriorum tyranno adjutum, Herodes ei obviam factus in fugam vertit et ex Judæa pellit.

31. Quomodo, Cassio in Macedonia superato a Cæsare juvene et Antonio, Herodes, ubi in Bithyniam venit Antonius, multis pecunlis eum sibi conciliavit: ideoque Herodem ac

τοῦτο τοὺς κατηγορεῖν αὐτοῦ βουληθέντας οὐκ ἐδέξατο Ἀντώνιος. Καὶ ὅτι Τυρίοις ὑπὲρ Ἰουδαίων ἔγραψεν.

λϐ'. Ὅτι πάλιν εἰς Συρίαν ἐλθόντος Ἀντωνίου, καὶ κατηγορούντων τινῶν Ἡρώδου καὶ Φασαήλου, οὐ μόνον οὐκ ἤκουσεν αὐτῶν, ἀλλὰ καὶ τετράρχας αὐτοὺς κατέστησεν, τῶν δὲ κατηγόρων δέκα τὸν ἀριθμὸν ἀπέκτεινεν.

λγ'. Στρατεία Πάρθων εἰς Συρίαν, καθ' ἣν τὸν Ἀριστοβούλου υἱὸν Ἀντίγονον εἰς τὴν βασιλείαν κατήγαγον.

λδ'. Ὡς Ὑρκανὸν καὶ Φασάηλον τὸν ἀδελφὸν Ἡρώδου αἰχμαλώτους ἔλαβον.

λε'. Ὡς Ἡρώδης φεύγων ἐκεῖθεν εἰς τὴν Ἰουδαίαν, καὶ παραγενόμενος εἰς τὴν Ῥώμην, καὶ δεηθεὶς Ἀντωνίου χρήματα πολλὰ ὑποσχόμενος, ἀπεδείχθη ὑπό τε τῆς συγκλήτου καὶ Καίσαρος βασιλεὺς τῆς Ἰουδαίας.

λϛ'. Ἔκπλους Ἡρώδου μετὰ ταῦτα εἰς τὴν Ἰουδαίαν ἀπὸ Ῥώμης καὶ μάχη πρὸς Ἀντίγονον, στρατιᾶς αὐτῷ Ῥωμαϊκῆς ἑπομένης καὶ ἡγεμόνος Σίλωνος.

λζ'. Ὡς Σίλωνος Ἱεροσόλυμα πολιορκήσαντος ὑπὸ Σοσίου καὶ Ἡρώδου Ἀντίγονος διεφθάρη.

Περιέχει ἡ βίβλος χρόνον ἐτῶν τριάκοντα καὶ δύο.

32. Quod quum Antonius iterum in Syriam venisset et nonnulli Herodem et Phasaelum accusarent, non solum hos audire repudiavit, sed et illos tetrarchas constituit, et decem ex accusatoribus interfecit.

33. Parthorum in Syriam expeditio, in qua Antigonum Aristobuli filium in regnum restituerunt.

34. Quomodo Hyrcanum et Phasaelum, Herodis fratrem, captivos fecerunt.

35. Quomodo Herodes illinc in Judæam fugiens et postea Romam profectus, quum Antonium obsecrasset multum pecuniæ pollicitus, creatus est a senatu et Cæsare rex Judææ.

36. Herodes post hæc navigat ex Italia in Judæam, et pugnat cum Antigono, adjutus ab exercitu Romano eum comitante et Silone duce.

37. Quomodo, Hierosolymis a Silone obsessis, Antigonus a Sosio et Herode oppressus est.

Continet hic liber tempus annorum XXXII.

ΚΕΦ. Α'.

Τὰ μὲν οὖν περὶ Ἀλεξάνδραν τὴν βασίλισσαν καὶ τὸν θάνατον αὐτῆς ἐν τῇ πρὸ ταύτης ἡμῖν βίβλῳ δεδηλώκαμεν, τὰ δὲ τούτοις ἀκόλουθα καὶ προσεχῆ νῦν ἐροῦμεν, οὐκ ἄλλου τινὸς ἢ τοῦ μηδὲν παραλιπεῖν τῶν πραγμάτων ἢ δι' ἄγνοιαν ἢ διὰ κάματον τῆς μνήμης προμηθούμενοι. Τὴν γὰρ ἱστορίαν καὶ τὴν μήνυσιν τῶν ἀγνοουμένων τοῖς πολλοῖς πραγμάτων διὰ τὴν ἀρχαιότητα δίιμεν, καὶ τὸ τῆς ἀπαγγελίας κάλλος, ὅσον ὀὴ τοῦτ' ἐστὶν ἔκ τε τῶν ὀνομάτων καὶ τῆς τούτων ἁρμονίας, καὶ ὅσα πρὸς τούτοις συμβάλλεται τῷ λόγῳ ἔχειν κόσμον τοῖς ἀναγνωσομένοις, ὡς ἂν μετὰ χάριτός τινος καὶ ἡδονῆς τὴν ἐμπειρίαν παραλαμβάνοιεν. Πάντων δὲ μᾶλλον τῆς ἀκριβείας τοὺς συγγραφεῖς στοχάζεσθαι δεῖ καὶ τοῦ τἀληθῆ λέγειν τοῖς περὶ ὧν οὐκ ἴσασιν αὐτοὶ πιστεύειν αὐτοῖς μέλλουσιν.

β'. Ἀρξαμένου τοίνυν τῆς ἀρχιερωσύνης Ὑρκανοῦ τῷ τρίτῳ ἔτει τῆς ἑβδόμης καὶ ἑβδομηκοστῆς πρὸς ταῖς ἑκατὸν Ὀλυμπιάδος, ὑπατεύοντος Ῥωμαίων Κοΐντου Ὀρτησίου καὶ Κοΐντου Μετέλλου, ὃς δὴ καὶ Κρητικὸς ἐπεκαλεῖτο, πόλεμον εὐθὺς ἐκφέρει πρὸς αὐτὸν Ἀριστόβουλος, καὶ τῆς μάχης αὐτῷ γενομένης πρὸς Ἱεριχοῦντι, πολλοὶ τῶν στρατιωτῶν αὐτοῦ πρὸς τὸν ἀδελφὸν αὐτομολοῦσιν. Οὗ γενομένου φεύγει πρὸς τὴν ἀκρόπολιν Ὑρκανός, ἔνθα συνέβαινε κατεῖρχθαι τὴν Ἀριστοβούλου γυναῖκα καὶ τοὺς παῖδας αὐτοῦ ὑπὸ τῆς μητρός, καθὼς προειρήκαμεν· καὶ τοὺς ἀντιστασώτας δὲ καταφυγόντας εἰς τὸν τοῦ ἱεροῦ περίβολον αἱρεῖ προσβαλών. Καὶ λόγους ποιησάμενος πρὸς τὸν ἀδελφὸν περὶ συμβάσεως καταλύεται τὴν ἔχθραν ἐπὶ τῷ βασιλεύειν μὲν Ἀριστόβουλον, αὐτὸν δὲ ζῆν ἀπραγμόνως, καρπούμενον ἀδεῶς τὴν ὑπάρχουσαν αὐτῷ κτῆσιν. Ταῦτα ἐπὶ τούτοις ἐν τῷ ἱερῷ συνθέμενοι καὶ ὅρκοις καὶ δε-

CAP. I.

Superiori quidem libro ea declaravimus, quæ ad Alexandram reginam ejusque obitum spectant: quæ vero deinceps consequuta sunt nunc enarrabimus, nihil prius habentes quam ut ne quid vel per ignorantiam vel memoriæ vitium omittamus. Illud enim agimus ut historiam scribamus, resque propter vetustatem plerisque ignoratas persequamur, idque dictionis elegantia illustratas, quantum fieri potest, ex verbis eorumque structura, aliisque quæ ad hoc faciunt, ut oratio lectoribus videatur ornatum habere, utcum suavitate et voluptate rerum peritiam assequantur. Omnium vero maxime scriptoribus curæ esse debet accurata diligentia, verumque istis dicendi studium, qui in iis quæ ipsi plane nesciunt fidem illis habituri sunt.

2. Igitur quum Hyrcanus pontificatum iniisset, anno tertio Olympiadis centesimæ septuagesimæ septimæ, Romæ consulibus Quinto Hortensio et Quinto Metello, qui Creticus etiam nominabatur, bellum ei confestim infert Aristobulus: et commisso apud Hierichuntem prælio, multi de Hyrcani militibus ad fratrem deficiunt. Quo facto fugit in arcem Hyrcanus, in qua Aristobuli uxor et liberi ipsius a matre in custodiam dati fuerunt, ut jam diximus: et adversarios, qui intra templi septum confugerant, vi expugnat. Deinde quum ad fratrem de compositione verba fecisset, inimicitias deponit iis conditionibus, ut regnaret Aristobulus, ipse vitam otiosam ageret, suisque facultatibus placide frueretur. Hoc fœdore ita facto in templo, quum

ξιαῖς πιστωσάμενοι τὰς ὁμολογίας, καὶ κατασπασάμενοι τοῦ πλήθους παντὸς ὁρῶντος ἀλλήλους, ἀνεχώρησαν, ὁ μὲν εἰς τὰ βασίλεια, Ὑρκανὸς δὲ ὡς ἰδιώτης εἰς τὴν οἰκίαν τὴν Ἀριστοβούλου.

(Β΄.) γ΄. Φίλος δέ τις Ὑρκανοῦ Ἰδουμαῖος, Ἀντίπατρος λεγόμενος, πολλῶν μὲν εὐπορῶν χρημάτων, δραστήριος δὲ τὴν φύσιν ὢν καὶ στασιαστής, ἀλλοτρίως εἶχε πρὸς τὸν Ἀριστόβουλον καὶ διαφόρως, διὰ τὴν πρὸς Ὑρκανὸν εὔνοιαν. Νικόλαος μέντοι φησὶν ὁ Δαμασκηνὸς τοῦτον εἶναι γένος ἐκ τῶν πρώτων Ἰουδαίων τῶν ἐκ Βαβυλῶνος εἰς τὴν Ἰουδαίαν ἀφικομένων. Ταῦτα δὲ λέγει χαριζόμενος Ἡρώδῃ τῷ παιδὶ αὐτοῦ, βασιλεῖ τῶν Ἰουδαίων ἐκ τύχης τινὸς γενομένῳ· περὶ οὗ κατὰ καιρὸν δηλώσομεν. Οὗτος τοίνυν ὁ Ἀντίπατρος Ἀντίπας τὸ πρῶτον ἐκαλεῖτο, καὶ τῷ πατρὶ αὐτοῦ τοῦτο ἦν τοὔνομα· ὃν Ἀλεξάνδρου τοῦ βασιλέως καὶ τῆς γυναικὸς αὐτοῦ στρατηγὸν ἀποδειξάντων ὅλης τῆς Ἰδουμαίας, ποιήσασθαι φιλίαν πρὸς τοὺς ὁμονοοῦντας αὐτῷ Ἄραβας καὶ Γαζαίους καὶ Ἀσκαλωνίτας λέγουσι, πολλαῖς αὐτοὺς καὶ μεγάλαις ἐξιδιωσάμενον δωρεαῖς. Τὴν οὖν τοῦ Ἀριστοβούλου δυναστείαν ὁ νεώτερος Ἀντίπατρος ὑφορώμενος καὶ δεδιὼς μή τι πάθῃ διὰ τὸ πρὸς αὐτὸν μῖσος, ἐπισυνιστᾷ κρύφα κατ' αὐτοῦ διαλεγόμενος τῶν Ἰουδαίων τοὺς δυναστεύοντας, ἄδικον εἶναι λέγων περιορᾶν Ἀριστόβουλον ἀδίκως ἔχοντα τὴν ἀρχὴν, καὶ τὸν μὲν ἀδελφὸν ταύτης ἐκβεβληκότα, πρεσβύτερον ὄντα, κατέχοντα δ' αὐτὴν οὖσαν ἐκείνου διὰ τὸ πρεσβεῖον. Τούτους δὲ συνεχῶς καὶ πρὸς τὸν Ὑρκανὸν ποιούμενος διετέλει τοὺς λόγους, καὶ ὅτι κινδυνεύσει τὸ ζῆν, εἰ μὴ φυλάξαιτο ποιήσας αὐτὸν ἐκποδών. Τοὺς γὰρ φίλους τοῦ Ἀριστοβούλου μηδένα παραλείπειν καιρὸν ἔλεγε συμβουλεύοντας αὐτὸν ἀνελεῖν, ὡς τότε βεβαίως ἕξοντα τὴν ἀρχήν. Τούτοις Ὑρκανὸς ᾐπίστει τοῖς λόγοις, φύσει χρηστὸς ὢν καὶ διαβολὴν δι' ἐπιείκειαν οὐ προσιέμενος ῥᾳδίως. Ἐποίει δὲ αὐτὸν τὸ ἄπραγμον καὶ τὸ παρειμένον τῆς διανοίας τοῖς ὁρῶσιν ἀγεννῆ καὶ ἀνανδρον δοκεῖν· τῆς δ' ἐναντίας φύσεως ἦν Ἀριστόβουλος, δραστήριος καὶ διεγηγερμένος τὸ φρόνημα.

δ΄. Ἐπειδὴ τοίνυν ὁ Ἀντίπατρος οὐ προσέχοντα ἑώρα τοῖς λόγοις τὸν Ὑρκανὸν, οὐ διέλιπεν ἑκάστης ἡμέρας πλαττόμενος καὶ διαβάλλων πρὸς αὐτὸν Ἀριστόβουλον, ὡς ἀποκτεῖναι θέλοντα· καὶ μόλις ἐγκείμενος πείθει πρὸς Ἀρέταν αὐτῷ συμβουλεύσας φυγεῖν τὸν Ἀράβων βασιλέα· πεισθέντι γὰρ καὶ αὐτὸς ἔσεσθαι σύμμαχος ὑπισχνεῖτο. Ὁ δὲ ταῦτ' ἀκούων ἔλεγε συμφέρον εἶναι τὸ πρὸς τὸν Ἀρέταν ἀποδρᾶναι· ἔστι δὲ ὅμορος τῇ Ἰουδαίᾳ ἡ Ἀραβία. Καὶ δὴ πέμπει πρῶτον Ὑρκανὸς πρὸς τὸν Ἀράβων βασιλέα τὸν Ἀντίπατρον, ληψόμενον πίστεις ὡς οὐκ ἐκδώσει τοῖς ἐχθροῖς ἱκέτην αὐτοῦ γενόμενον. Λαβὼν δὲ τὰς πίστεις ὁ Ἀντίπατρος ὑπέστρεψε πρὸς Ὑρκανὸν εἰς Ἱεροσόλυμα, καὶ μετ' οὐ πολὺ παραλαβὼν αὐτὸν, καὶ τῆς πόλεως ὑπεξελθὼν νύκτωρ καὶ πολλὴν ἀνύσας ὁδὸν, ἦκεν ἄγων

pacta jurejurando et dextris confirmassent, et invicem spectante universa multitudine complexi fuissent, discesserunt, ille quidem in regiam, Hyrcanus vero ut homo privatus in ædes Aristobuli.

3. (II.) Erat autem Hyrcano amicus quidam Idumæus, nomine Antipater, homo quidem multa abundans pecunia, natura vero navus et seditiosus, qui alieno ab Aristobulo erat animo et ab eo dissidebat ex sua in Hyrcanum benevolentia. Nicolaus quidem Damascenus hujus genus a primoribus Judæorum, qui in Judæam venerunt Babylone, deducit. Verum hoc dicit in gratiam Herodis ejus filii, quem fors quædam ad Judæorum regnum evexit : de quo suo tempore dicemus. Hic igitur Antipater Antipas primum dicebatur, et pater ipsius eodem vocabatur nomine : quem quum rex Alexander et ejus uxor totius Idumææ præfectum constituissent, aiunt fecisse amicitiam cum Arabibus et Gazæis et Ascalonitis, qui secum sentirent, eosque sibi multis et magnis muneribus conciliavisse. Itaque junior Antipater suspectam habens Aristobuli potentiam, et veritus ne quid ab eo pateretur propter suum in illum odium, excitat adversus eum clandestinis obtrectationibus Judæorum primates, iniquum esse dicens pati ut Aristobulus injuste principatu potiatur, et de eo fratrem ejecerit natu majorem, cui propter ætatem deberetur imperium. Hos autem sermones assidue etiam cum Hyrcano habebat : eique de vita periculum esse dicebat, nisi caveret et illum de medio tolleret. Amicos enim Aristobuli nullum omittere tempus dicebat, quin ei consulerent, ut Hyrcanum interimeret, quasi ita demum firmum habiturus principatum. His sermonibus Hyrcanus non credebat, quod erat natura bonus et calumniam pro sua æquitate haud facile admittebat. Ceterum negotiorum fuga animique lenitas et remissio fecerunt ut degener et imbellis spectantibus videretur : at natura diversus erat Aristobulus, ad res gerendas acer, animoque erecto.

4. Igitur Antipater, ubi Hyrcanum suis dictis aurem non præbere videt, non desinebat quotidie apud eum ficta crimina et calumnias contra Aristobulum adhibere, ut qui eum vellet interficere, vixque acrius urgendo persuadet, quum ei consuluisset ut ad Aretam Arabum regem perfugeret : nam pollicebatur, si sibi obtemperaret, se quoque ei socium futurum. Ille vero his auditis dicebat e re sua esse ad Aretam fugam maturare. Est autem Judææ finitima Arabia. Itaque misit Hyrcanus primum Antipatrum ad regem Arabum ut ab eo fidem acciperet, non esse inimicis traditurum si ad eum supplex venisset. Fide hac accepta Antipater ad Hyrcanum rediit Hierosolyma. Et haud multo post assumpto eo, noctu egressus est urbe, et longo itinere

αὐτὸν εἰς τὴν καλουμένην Πέτραν, ὅπου τὰ βασίλεια ἦν τοῦ Ἀρέτα· μάλιστα δὲ ὢν φίλος τῷ βασιλεῖ κατάγειν τὸν Ὑρκανὸν εἰς τὴν Ἰουδαίαν παρεκάλει, καὶ τοῦθ' ἑκάστης ἡμέρας ποιῶν καὶ οὐκ ἀνιείς, ἀλλὰ καὶ δωρεὰς προϊέμενος, πείθει τὸν Ἀρέταν. Οὐ μὴν ἀλλὰ καὶ Ὑρκανὸς ὑπέσχετο αὐτῷ καταχθεὶς καὶ τὴν βασιλείαν κομισάμενος ἀποδώσειν τήν τε χώραν καὶ τὰς δώδεκα πόλεις, ἃς Ἀλέξανδρος ὁ πατὴρ αὐτοῦ τῶν Ἀράβων ἀφείλετο. Ἦσαν δ' αὗται Μήδαβα, Ναβαλλώ, Λιβιάς, Θαραβασά, Ἄγαλλα, Ἀθώνη, Ζώαρα, Ὀρῶναι, Μάρισσα, Ῥύδδα, Λοῦσα, Ὄρυβα.

ΚΕΦ. Β'.

Τούτων αὐτῷ τῶν ὑποσχέσεων γενομένων, Ἀρέτας ἐστράτευσεν ἐπὶ τὸν Ἀριστόβουλον μετὰ πέντε μυριάδων ἱππotῶν ἅμα καὶ πεζῆς στρατιᾶς καὶ νικᾷ τῇ μάχῃ. Πολλῶν δὲ μετὰ τὴν νίκην πρὸς Ὑρκανὸν αὐτομολησάντων, μονωθεὶς ὁ Ἀριστόβουλος ἔφυγεν εἰς Ἱεροσόλυμα. Ὁ δὲ τῶν Ἀράβων βασιλεὺς πᾶσαν τὴν στρατιὰν ἀγαγὼν καὶ προσβαλὼν τῷ ἱερῷ τὸν Ἀριστόβουλον ἐπολιόρκει, προστιθεμένου καὶ τοῦ δήμου τῷ Ὑρκανῷ καὶ συμπολιορκοῦντος αὐτῷ, μόνων δὲ τῶν ἱερέων τῷ Ἀριστοβούλῳ προσμενόντων. Ὁ μὲν οὖν Ἀρέτας ἐξῆς βαλόμενος τὰ στρατόπεδα τῶν Ἀράβων καὶ τῶν Ἰουδαίων ἰσχυρῶς ἐνέκειτο τῇ πολιορκίᾳ. Τούτων δὲ γενομένων κατὰ τὸν καιρὸν τῆς τῶν Ἀζύμων ἑορτῆς, ἣν Φάσκα λέγομεν, οἱ δοκιμώτατοι τῶν Ἰουδαίων ἐκλιπόντες τὴν χώραν εἰς Αἴγυπτον ἔφυγον. Ὀνίας δέ τις ὄνομα, δίκαιος ἀνὴρ καὶ θεοφιλής, (ὃς ἀνομβρίας ποτὲ οὔσης ηὔξατο τῷ Θεῷ λῦσαι τὸν αὐχμὸν καὶ γενόμενος ἐπήκοος ὁ Θεὸς ὕσεν,) ἔκρυψεν αὐτὸν διὰ τὸ τὴν στάσιν ὁρᾶν ἰσχυρὰν ἐπιμένουσαν. Ἀναχθέντα δ' εἰς τὸ στρατόπεδον τῶν Ἰουδαίων ἠξίουν ὡς ἔπαυσε τὴν ἀνομβρίαν εὐξάμενος, ἵν' οὕτως ἀρὰς κατὰ Ἀριστοβούλου καὶ τῶν συστασιαστῶν αὐτοῦ ἐπιθῆται. Ἐπεὶ δὲ ἀντιλέγων καὶ παραιτούμενος ἐβιάσθη ὑπὸ τοῦ πλήθους, στὰς μέσος αὐτῶν εἶπεν, « ὦ Θεὲ βασι-« λεῦ τῶν ὅλων, ἐπεὶ οἱ μετ' ἐμοῦ νῦν ἑστῶτες σὸς δῆ-« μός ἐστι, καὶ οἱ πολιορκούμενοι δὲ ἱερεῖς σοί, δέομαι « μήτε κατὰ τούτων ἐκείνοις ἐπακοῦσαι μήτε κατ' ἐκεί-« νων ἃ οὗτοι παρακαλοῦσιν εἰς τέλος ἀγαγεῖν. » Καὶ τὸν μὲν ταῦτ' εὐξάμενον περιστάντες οἱ πονηροὶ τῶν Ἰουδαίων κατέλευσαν.

β'. Ὁ δὲ Θεὸς ταύτης αὐτοὺς παραχρῆμα ἐτιμωρήσατο τῆς ὠμότητος, καὶ δίκην εἰσεπράξατο τοῦ Ὀνίου φόνου τούτῳ τῷ τρόπῳ. Πολιορκουμένων τῶν ἱερέων καὶ τοῦ Ἀριστοβούλου, συνέβη τὴν ἑορτὴν ἐπιστῆναι τὴν καλουμένην Φάσκα, καθ' ἣν ἔθος ἐστὶν ἡμῖν πολλὰ θύειν τῷ Θεῷ. Ἀπορούντες δὲ θυμάτων οἱ περὶ τὸν Ἀριστόβουλον ἠξίωσαν αὐτοὺς τοὺς δημοφύλους παρασχεῖν, χρήματα λαβόντας ἀντὶ τῶν θυμάτων ὅσα θέλουσι. Τῶν δέ, εἰ βούλονται λαβεῖν, χιλίας δραχμὰς ὑπὲρ ἑκάστης κεφαλῆς καταβαλεῖν κελευόντων, προθύμως δ τε Ἀριστόβουλος καὶ οἱ ἱερεῖς ὑπέστησαν, καὶ

expedito eum in *urbem* Petram appellatam perducebat, ubi erat Aretæ regia : et ut regi inprimis amicus, orat ut Hyrcanum reducat in Judæam. Quumque hoc singulis diebus faceret et non intermitteret, quin etiam dona daret, persuadet Aretæ. Neque non Hyrcanus ei promisit, si reductus et in regnum restitutus esset, redditurum regionem et duodecim urbes quas Alexander ipsius pater ab Arabibus abstulisset. Erant autem illæ Medaba, Naballo, Livias, Tharabasa, Agalla, Athone, Zoara, Oronæ, Marissa, Rydda, Lusa, Oryba.

CAP. II. (III.)

His promissis Aretæ factis, ille expeditionem fecit in Aristobulum, cum quinquaginta equitum simul et peditum millibus, eumque prælio vincit. Quum autem multi post hanc victoriam ad Hyrcanum defecissent, desertus Aristobulus fugit Hierosolyma. At rex Arabum, copiis suis omnibus secum adductis, fanum aggressus oppugnat Aristobulum, populo ab Hyrcano stante et oppugnationem adjuvante, quum soli sacerdotes essent apud Aristobulum. Igitur Aretas, junctis Arabum Judæorumque castris, obsidionem acriter urget. Cum autem hæc fierent, dum ageretur Azymorum festum, quod Pascha vocamus, Judæorum præcipui, relictis suis finibus, fugerunt in Ægyptum. Quidam autem Onias, vir justus et Deo carus, (qui aliquando, quum siccitas esset, Deum oravit ut ardores depelleret, Deusque precibus exauditis pluviam misit,) sese abdidit, quoniam augeri et durare seditionem videbat. Sed illi eo in Judæorum castra perducto, postulant ut quemadmodum siccitatem precibus finierat, ita nunc Aristobulum et ejus factionis homines diris ageret. Quumque contradicens et deprecans coactus esset a multitudine, stans in medio eorum dicebat, « o Deus « rex universorum, quandoquidem qui mecum nunc stant, « tuus populus est, itemque qui obsidentur sacerdotes tui « sunt, precor ut neque contra hos illos audias, neque quæ « hi contra illos orant ad exitum perducas. » Et quidem illum ista precatum circumstantes Judæorum pessimi quique lapidibus necarunt.

2. Deus autem mox illos ob hanc crudelitatem ultus est, cædisque Oniæ pœnas exegit ad hunc modum. Obsessis sacerdotibus et Aristobulo, accidit ut festum instaret quod Pascha vocatur, in quo nobis moris est multas hostias Deo immolare. At quum victimis carerent qui cum Aristobulo erant, populares suos rogarunt ut eas ipsis præberent, et pro iis quantam vellent pecuniam acciperent. Quumque illi, si habere velint, in singula capita mille drachmas dari postularent, Aristobulus et sacerdotes conditionem libenter

διὰ τῶν τειχῶν καθιμήσαντες ἔδωκαν αὐτοῖς τὰ χρήματα. Κἀκεῖνοι λαβόντες οὐκ ἀπέδωκαν τὰ θύματα, ἀλλ' εἰς τοῦτο πονηρίας ἦλθον, ὥστε παραβῆναι τὰς πίστεις καὶ ἀσεβῆσαι εἰς τὸν Θεὸν τὰ πρὸς τὴν θυσίαν μὴ παρασχόντας τοῖς δεομένοις. Παρασπονδηθέντες δὲ οἱ ἱερεῖς ηὔξαντο τῷ Θεῷ δίκην αὐτῶν εἰσπράξασθαι παρὰ τῶν ὁμοφύλων. Ὁ δὲ οὐκ ἀνεβάλετο τὴν τιμωρίαν, ἀλλὰ πνεῦμα πολὺ καὶ βίαιον ἐπιπέμψας τὸν καρπὸν ἁπάσης τῆς χώρας διέφθειρεν, ὡς τὸν μόδιον τοῦ σίτου τότ' αὐτοὺς ἐξωνεῖσθαι δραχμῶν ἑνδεκα.

(Δ'.) γ'. Ἐν τούτῳ πέμπει καὶ Σκαῦρον εἰς Συρίαν Πομπήϊος, αὐτὸς ὢν ἐν Ἀρμενίᾳ καὶ πολεμῶν ἔτι Τιγράνῃ. Ὁ δὲ ἀφικόμενος εἰς Δαμασκὸν Λόλλιον μὲν καὶ Μέτελλον νεωστὶ τὴν πόλιν ἠρηκότας εὑρὼν αὐτὸς εἰς τὴν Ἰουδαίαν ἠπείγετο. Παραγενομένου δὲ πρέσβεις ἦκον παρ' αὐτοῦ τε Ἀριστοβούλου πρὸς αὐτὸν καὶ Ὑρκανοῦ, συμμαχεῖν ἀξιούντων ἑκατέρῳ. Ὑπισχνουμένων δὲ Ἀριστοβούλου μὲν τετρακόσια δώσειν τάλαντα, τοῦ δὲ Ὑρκανοῦ τούτων οὐκ ἐλάττονα παρέξειν, προσδέχεται τὴν Ἀριστοβούλου ὑπόσχεσιν· καὶ γὰρ εὔπορος χρημάτων καὶ μεγαλόψυχος ἦν καὶ μετριωτέρων ἠξίου τυγχάνειν, ὁ δὲ καὶ πένης ἦν καὶ γλίσχρος καὶ περὶ μειζόνων τὴν ἄπιστον προὔτεινεν ἐπαγγελίαν. Οὐ γὰρ ἴσον ἦν βίᾳ πόλιν ἑλεῖν ἐν τοῖς μάλιστα ὀχυρὰν καὶ δυνατὴν ἢ φυγάδας ἐκβαλεῖν μετὰ τοῦ Ναβαταίων πλήθους, οὐκ εὖ πρὸς πόλεμον διακειμένων. Τούτῳ τοίνυν προσθέμενος διὰ τὰς προειρημένας αἰτίας, λαβὼν τὰ χρήματα λύει τὴν πολιορκίαν, κελεύσας ἀναχωρεῖν τὸν Ἀρέταν, ἢ πολέμιον αὐτὸν Ῥωμαίων ἀποδειχθήσεσθαι. Καὶ Σκαῦρος μὲν εἰς Δαμασκὸν πάλιν ἀνεχώρησεν, Ἀριστόβουλος δὲ μετὰ πολλῆς δυνάμεως ἐπί τε Ἀρέταν καὶ Ὑρκανὸν ἐστράτευσε, καὶ συμβαλὼν αὐτοῖς ἐπὶ τὸν καλούμενον Παπυρῶνα νικᾷ τῇ μάχῃ, καὶ κτείνει περὶ ἑξακισχιλίους τῶν πολεμίων, μεθ' ὧν ἔπεσε καὶ Φαλλίων ὁ Ἀντιπάτρου ἀδελφός.

ΚΕΦ. Γ'.

Μετ' οὐ πολὺ δὲ Πομπηίου εἰς Δαμασκὸν ἀφικομένου καὶ Κοίλην Συρίαν ἐπιόντος, ἦκον παρ' αὐτὸν πρέσβεις ἐξ ὅλης Συρίας καὶ Αἰγύπτου καὶ ἐκ τῆς Ἰουδαίας. Ἔπεμψε γὰρ αὐτῷ μέγα δῶρον Ἀριστόβουλος, ἄμπελον χρυσῆν ἐκ πεντακοσίων ταλάντων. Μέμνηται δὲ τοῦ δώρου καὶ Στράβων ὁ Καππάδοξ λέγων οὕτως. « Ἦλθε δὲ καὶ ἐξ Αἰγύπτου πρεσβεία καὶ στέφανος ἐκ « χρυσῶν τετρακισχιλίων, καὶ ἀπὸ τῆς Ἰουδαίας εἴτε « ἄμπελος εἴτε κῆπος· τερπωλὴν ὠνόμαζον τὸ δημιούρ« γημα. » Τοῦτο μέντοι τὸ δῶρον ἱστορήκαμεν καὶ ἡμεῖς ἀνακείμενον ἐν Ῥώμῃ, ἐν τῷ ἱερῷ τοῦ Διὸς τοῦ Καπετωλίου, ἐπιγραφὴν ἔχον « Ἀλεξάνδρου τοῦ τῶν Ἰουδαίων βασιλέως. » Ἐτιμήθη δὲ εἶναι πεντακοσίων ταλάντων. Ἀριστόβουλον μὲν οὖν τοῦτο λέγεται πέμψαι τὸν Ἰουδαίων δυνάστην.

β'. Μετ' οὐ πολὺ δὲ ἦκον πάλιν πρέσβεις πρὸς αὐτὸν, Ἀντίπατρος μὲν ὑπὲρ Ὑρκανοῦ, Νικόδημος δὲ ὑπὲρ

acceperunt, et demissam per muros pecuniam illis dederunt. Atqui illi, accepta pecunia, victimas non dederunt, sed eo improbitatis processerunt ut fidem violarent, et impii essent in Deum, ea quibus ad sacra facienda opus erat egentibus non suppeditando. Sacerdotes autem contra fidem datam decepti Deum orarunt ut se in populares suos ulcisceretur. Atque ille vindictam non distulit, sed immisso magno violentoque vento totius regionis fruges corrupit, adeo ut eo tempore tritici modium undecim drachmis emerent.

(IV.) 3. Interea mittit Scaurum in Syriam Pompejus, quum ipse esset in Armenia et adhuc adversus Tigranem belligeraret. Ille vero Damascum profectus, Lolliumque et Metellum, qui modo urbem ceperant, nactus in Judæam contendit. Ubi vero eo pervenit, conveniunt eum ab Aristobulo et Hyrcano legati, auxilium postulantes utrique. Quumque Aristobulus quidem promitteret se quadringenta talenta daturum esse, Hyrcanus vero his non pauciora datum iri, Aristobuli promissionem accipit, quippe hominis pecuniosi et magnifici et æquiora postulantis : quum Hyrcanus pauper et parcus esset, et incredibilia polliceretur quum majora postularet. Non enim ejusdem facilitatis erat, urbem expugnare longe munitissimam et potentissimam, ac fugitivos depellere cum Nabatæorum turba ad bellum non admodum idonea. Ob has igitur causas cum Aristobulo paciscitur, acceptaque pecunia solvit obsidionem, jubens Aretam discedere; sin minus, hostem Romanorum declaratum iri. Et Scaurus quidem Damascum iterum petiit, Aristobulus vero cum magnis copiis in Aretam et Hyrcanum expeditionem fecit, et cum eis ad locum qui Papyron appellatur congressus, prælio superat, et hostium circiter sex millia interimit, cum quibus cecidit et Phallion frater Antipatri.

CAP. III. (V.)

Non multo autem post, quum Pompejus Damascum venisset et Cœlen-Syriam obiret, venerunt ad eum legati ex tota Syria et Ægypto et Judæa. Misit enim ei ingens donum Aristobulus, vitem auream ex quingentis talentis. Meminit autem hujus muneris etiam Strabo Cappadox, his verbis. « Venit et ex Ægypto legatio, cum corona aureorum quattuor « millium, et ex Judæa sive vitis sive hortus : quod opus « τερπωλὴν (*delectationem*) nominabant. » Hoc donum vidimus etiam nos Romæ in templo Jovis Capitolini dedicatum, cum inscriptione « Alexandri Judæorum regis. » Æstimabatur autem quingentis talentis. Et quidem fertur, Aristobulum Judæorum dynasten hoc misisse.

2. Non multo autem post venerunt rursus ad eum legati, Antipater pro Hyrcano et Nicodemus pro Aristobulo : qui

Ἀριστοβούλου· ὃς δὴ καὶ κατηγόρει τῶν λαβόντων χρήματα, Γαβινίου μὲν πρότερον, Σκαύρου δὲ ὕστερον, τοῦ μὲν τριακόσια, τοῦ δὲ τετρακόσια τάλαντα, πρὸς τοῖς ἄλλοις ἐχθροὺς καὶ τούτους αὐτῷ κατασκευάζων. Κελεύσας δὲ ἥκειν τοὺς διαμφισβητοῦντας ἐνισταμένου τοῦ ἔαρος, ἀναλαβὼν τὴν δύναμιν ἐκ τῶν χειμαδίων, ὥρμησεν ἐπὶ τὴν Δαμασκηνήν, καὶ τήν τε ἄκραν ἐν παρόδῳ τὴν ἐν Ἀπαμείᾳ κατέσκαψεν, ἣν ὁ Κυζικηνὸς ἐτείχισεν Ἀντίοχος, καὶ τὴν Πτολεμαίου τοῦ Μενναίου χώραν κατεπόνησεν, ἀνδρὸς πονηροῦ καὶ οὐδὲν ἐλάττονος Διονυσίου τοῦ Τριπολίτου τοῦ πελεκισθέντος, ὅσπερ καὶ κηδεύων ἐτύγχανεν αὐτῷ, χιλίοις μέντοι ταλάντοις ἐξωνησαμένου τὴν ὑπὲρ τῶν ἡμαρτημένων τιμωρίαν, οἷς Πομπήϊος τοὺς στρατιώτας ἐμισθοδότησεν. Ἐξεῖλε δὲ καὶ Αυσιάδα χωρίον, οὗ τύραννος ἦν Σίλας ὁ Ἰουδαῖος. Διελθὼν δὲ τὰς πόλεις τήν τε Ἡλιόπολιν καὶ τὴν Χαλκίδα, καὶ τὸ διεῖργον ὄρος ὑπερβαλὼν τὴν Κοίλην προσαγορευομένην Συρίαν, ἀπὸ τῆς Πέλλης εἰς Δαμασκὸν ἦκεν· ἔνθα δὴ καὶ τῶν Ἰουδαίων διήκουσε καὶ τῶν ἡγουμένων αὐτῶν, οἳ πρός τε ἀλλήλους διεφέροντο, ὅ τε Ὑρκανὸς καὶ Ἀριστόβουλος, καὶ τὸ ἔθνος πρὸς ἀμφοτέρους, τὸ μὲν οὐκ ἀξιοῦν βασιλεύεσθαι· πάτριον γὰρ εἶναι τοῖς ἱερεῦσι τοῦ τιμωμένου παρ' αὐτοῖς Θεοῦ πειθαρχεῖν, ὄντας δὲ τούτους ἀπογόνους τῶν ἱερέων εἰς ἄλλην μετάγειν ἀρχὴν τὸ ἔθνος ζητῆσαι, ὅπως καὶ δοῦλοι γένοιντο. Ὑρκανὸς δὲ κατηγόρει ὅτι πρεσβύτερος ὢν ἀφαιρεθείη τὸ πρεσβεῖον ὑπ' Ἀριστοβούλου, καὶ μικρὸν ἔχοι μέρος τῆς χώρας ὑφ' αὑτῷ, τὴν δὲ ἄλλην βίᾳ λαβὼν Ἀριστόβουλος· τάς τε καταδρομὰς τὰς ἐπὶ τοὺς ὁμόρους καὶ τὰ πειρατήρια τὰ ἐν θαλάττῃ τοῦτον εἶναι τὸν συστήσαντα διέβαλλεν, οὐκ ἂν οὐδ' ἀποστῆναι λέγων τὸ ἔθνος, εἰ μὴ βίαιός τε καὶ ταραχώδης ὑπῆρχε. Συνηγόρουν δὲ αὐτῷ ταὐτὰ λέγοντες πλείους ἢ χίλιοι τῶν δοκιμωτάτων Ἰουδαίων, Ἀντιπάτρου παρασκευάσαντος. Ὁ δὲ τοῦ μὲν ἐκπεσεῖν αὐτὸν τῆς ἀρχῆς τὴν ἐκείνου φύσιν ᾐτιᾶτο, ἄπρακτον οὖσαν, καὶ διὰ τοῦτ' εὐκαταφρόνητον· αὐτὸν δὲ ἔλεγε φόβῳ τοῦ μὴ πρὸς ἄλλους μεταστῆναι τὴν ἀρχὴν, ἐξ ἀνάγκης αὐτὴν ὑπελθεῖν, προσαγορεύεσθαι δὲ αὐτὸν τοῦτο ὅπερ καὶ Ἀλέξανδρον τὸν πατέρα. Καὶ δὴ μάρτυρας τούτων ἐκάλει τοὺς νέους καὶ σοβαρωτέρους, ὧν ἐβδελύττοντο τὰς πορφυρίδας καὶ τὰς κόμας καὶ τὰ φάλαρα καὶ τὸν ἄλλον κόσμον, ὃν ὥσπερ οὐ δίκην ὑφέξοντες, ἀλλ' ὡς εἰς πομπὴν προϊόντες περιέκειντο.

γ'. Πομπήϊος δὲ τούτων ἀκούσας, καὶ καταγνοὺς Ἀριστοβούλου βίαν, τότε μὲν αὐτοὺς ἀπέπεμψε διαλεχθεὶς πρᾴως, ἐλθὼν δ' εἰς τὴν χώραν αὐτῶν ἔλεγε διατάξειν ἕκαστα, ἐπειδὰν τὰ τῶν Ναβαταίων πρῶτον ἴδῃ· τέως δ' ἐκέλευσεν ἡσυχίαν ἄγειν, θεραπεύων ἅμα τὸν Ἀριστόβουλον, μὴ τὴν χώραν ἀποστήσῃ καὶ διακλεισθείη τῶν παρόδων. Ἔτυχε μέντοι τοῦτο ἐξ Ἀριστοβούλου γενόμενον· οὐ γὰρ ἀναμείνας οὐδὲν

etiam accusabat eos qui pecunias acceperant, primum Gabinium, deinde Scaurum, quorum hic quinquaginta, ille trecenta talenta *acceperat*, hos quoque præter alios inimicos ei faciens. At *Pompejus*, jussis iis qui controversias habebant, ineunte vere venire, educto ex hibernis exercitu in agrum Damascenum contendit, et in transitu arcem Apameæ, quam muniverat Cyzicenus Antiochus, funditus evertit, et Ptolemæi Mennæi regionem pressit, hominis mali, non minus quam fuerat Dionysius Tripolitanus, securi percussus, eique affinitate conjunctus; qui tamen mille talentis peccatorum veniam redemit, quibus Pompejus militibus stipendium solvit. Expugnavit etiam Lysiadem præsidium, cujus tyrannus erat Silas Judæus. Quumque urbes Heliopolim et Chalcidem pertransisset, et montem superasset Cœlen-Syriam quæ appellatur disterminantem, a Pella Damascum se contulit; ubi et Judæos et eorum duces audivit, qui et ipsi inter se dissidebant, Hyrcanus scilicet et Aristobulus, et gens ab utroque, regio quidem imperio subjici detrectans, quod patrium esset, sacerdotibus ejus Dei, qui apud ipsos coleretur, ut obedirent, hosque sacerdotibus prognatos conari in aliam principatus rationem transferre gentem, ut in servitutem redigatur: Hyrcanus vero querebatur, quod grandior ipse ab Aristobulo privatus esset jure ætatis, parvamque terræ partem sub se haberet, reliquam vi abstulisset Aristobulus; eumque esse criminabatur, qui et incursionum in finitimos agros, et in mari ut piratica exerceretur, auctor exstitisset, gentem nunquam fuisse rebellaturam dicens, nisi ille violentus et turbidus fuisset. Atque hæc ei attestabantur supra mille de Judæorum illustrissimis, quos Antipater subornaverat. At Aristobulus eum principatu excidisse suæ ipsius natu ræ culpa contendebat, ut quæ ignava esset, ideoque facile contemneretur: se vero aiebat imperium necessario subiisse, ne ad alios transferretur, ipsum autem non alio nomine appellari quam quo et pater Alexander usus sit. Atque harum rerum testes citabat juvenes et insolentiores, quorum aversabantur purpuras et comptam cæsariem et phaleras et reliquum ornatum, quem non quasi causam dicturi, sed quasi pompam obituri sumpserant.

3. Pompejus, his auditis, Aristobulum de vi condemnavit, ac tum eos comiter alloquutus dimisit, seque in terram eorum profectum omnia compositurum dicebat, postquam prius Nabatæorum res inspexisset: at interea quietos se tenere jussit, Aristobulum simul colens, ne nationem averteret et transitum ipsi intercluderet. Neque tamen non est id ab Aristobulo factum: nam nulla re exspectata ea-

ὧν διελέχθη πρὸς αὐτὸν ὁ Πομπήϊος, εἰς Δῖον πόλιν ἦλθε, κἀκεῖθεν εἰς τὴν Ἰουδαίαν ἀπῆρεν.

(Ϛ'.) δ'. Ὀργίζεται δὲ ἐπὶ τούτοις Πομπήϊος, καὶ τὴν ἐπὶ τοὺς Ναβαταίους ἀναλαβὼν στρατιὰν, ἔκ τε Δαμασκοῦ καὶ τῆς ἄλλης Συρίας ἐπικουρίαν, σὺν τοῖς ἄλλοις τοῖς ὑπάρχουσιν αὐτῷ Ῥωμαίων τάγμασιν ἐστράτευσεν ἐπὶ τὸν Ἀριστόβουλον. Ὡς δὲ παραμειψάμενος Πέλλαν καὶ Σκυθόπολιν εἰς Κορέας ἦκεν, ἥτις ἐστὶν ἀρχὴ τῆς Ἰουδαίας διεξιόντι τὴν μεσόγειον, ἐνταῦθα εἴς τι περικαλλὲς ἕρυμα ἐπ' ἄκρου τοῦ ὄρους ἱδρυμένον, Ἀλεξάνδρειον, Ἀριστοβούλου συμπεφευγότος, πέμψας ἐκέλευσεν ἥκειν πρὸς αὐτόν. Ὁ δὲ, παραινούντων πολλῶν μὴ πολεμεῖν Ῥωμαίοις, κάτεισι, καὶ δικαιολογησάμενος πρὸς τὸν ἀδελφὸν περὶ τῆς ἀρχῆς, πάλιν εἰς τὴν ἀκρόπολιν ἀναβαίνει Πομπηΐου συγχωρήσαντος. Καὶ τοῦτ' ἐποίησε δὶς καὶ τρὶς, ἅμα μὲν κολακεύων τὴν ἀπ' αὐτοῦ περὶ τῆς βασιλείας ἐλπίδα, καὶ πρὸς ἕκαστον ὧν ἐκέλευσε Πομπήϊος ὑπακούειν ὑποκρινόμενος, ἅμα δὲ ἀναχωρῶν εἰς τὸ ἕρυμα ὑπὲρ τοῦ μὴ καταλύειν αὐτὸν, καὶ πρὸς τὸ πολεμεῖν ἀφορμὴν αὐτῷ παρασκευαζόμενος, δεδιὼς μὴ τὴν ἀρχὴν εἰς Ὑρκανὸν περιστήσῃ. Κελεύοντος δὲ Πομπηΐου παραδιδόναι τὰ ἑρύματα καὶ τοῖς φρουράρχοις ἐπιστέλλειν τῇ ἑαυτοῦ χειρὶ, (παραδέχεσθαι δὲ ἄλλως ἀπείρητο,) πείθεται μὲν, δυσανασχετῶν δὲ ἀνεχώρησεν εἰς Ἱεροσόλυμα, καὶ ἐν παρασκευῇ τοῦ πολεμεῖν ἐγίνετο. Καὶ μετ' οὐ πολὺ Πομπηΐῳ στρατιὰν ἐπ' αὐτὸν ἄγοντι καθ' ὁδὸν ἀφικόμενοί τινες ἐκ Πόντου τὴν Μιθριδάτου τελευτὴν ἐμήνυον, διὰ Φαρνάκου τοῦ παιδὸς αὐτοῦ γενομένην.

ΚΕΦ. Δ'.

Στρατοπεδευσάμενος δὲ ἐπὶ Ἱεριχοῦντα, (οὗ τὸν φοίνικα τρέφεσθαι συμβέβηκε, καὶ τὸ ὀποβάλσαμον μύρον ἀκρότατον, ὃ τῶν θάμνων τεμνομένων ὀξεῖ λίθῳ ἀναπιδύει ὥσπερ ὀπός,) ἕωθεν ἐπὶ Ἱεροσόλυμα ἐχώρει. Καὶ μετανοήσας Ἀριστόβουλος ἀφικνεῖται πρὸς Πομπήϊον, καὶ χρήματα διδοὺς καὶ τοῖς Ἱεροσολύμοις αὐτὸν εἰσδεχόμενος παρεκάλει παύσασθαι τοῦ πολέμου καὶ πράττειν μετ' εἰρήνης ὅ τι βούλεται. Συγγνοὺς δὲ Πομπήϊος αὐτῷ δεομένῳ, πέμπει Γαβίνιον καὶ στρατιώτας ἐπί τε τὰ χρήματα καὶ τὴν πόλιν. Οὐ μὴν ἐπράχθη τι τούτων, ἀλλ' ἐπανῆλθεν ὁ Γαβίνιος, τῆς τε πόλεως ἀποκλεισθεὶς καὶ τὰ χρήματα μὴ λαβὼν, τῶν Ἀριστοβούλου στρατιωτῶν οὐκ ἐπιτρεψάντων τὰ συγκείμενα γενέσθαι. Ὀργὴ δ' ἐπὶ τούτοις Πομπήϊον λαμβάνει, καὶ τὸν Ἀριστόβουλον ἐν φυλακῇ καταστήσας αὐτὸς ἐπὶ τὴν πόλιν ἔρχεται, τὰ μὲν ἄλλα πάντα οὖσαν ὀχυρὰν, μόνῳ δὲ τῷ βορείῳ μέρει φαύλως ἔχουσαν· περιέρχεται γὰρ αὐτὴν φάραγξ εὐρεῖά τε καὶ βαθεῖα, ἐντὸς ἀπολαμβάνουσα τὸ ἱερὸν, λιθίνῳ περιβόλῳ καρτερῶς πάνυ τετειχισμένον.

(Η'.) β'. Ἦν δὲ τῶν ἀνθρώπων ἔνδον στάσις οὐχ ὁμονοούντων περὶ τῶν ἐνεστώτων, ἀλλὰ τοῖς μὲν ἐδόκει παραδιδόναι Πομπηΐῳ τὴν πόλιν, οἱ δὲ τὰ Ἀριστοβούλου

rum, de quibus cum eo Pompejus colloquutus erat, in urbem Dium et inde in Judæam se contulit.

(VI.) 4. Istis autem Pompejus irascitur, et assumpto quem in Nabatæos ducebat exercitu, et a Damasco reliquaque Syria auxilio, aliisque quas habebat legionibus Romanis, in expeditionem profectus est adversus Aristobulum. Ubi præterita Pella et Scythopoli ad Coreas venit, quæ *urbs* per mediterranea obeunti initium est Judææ, illic in quoddam præsidium pulcrum admodum, in montis vertice situm, Alexandrium, quum Aristobulus confugisset, *Pompejus* ei significatum misit ut ad se veniret. Ille vero, monentibus, multis ne cum Romanis bellum gereret, descendit, et, postquam cum fratre de potentatu disceptaverat, iterum in arcem ascendit permissu Pompeji. Id quod iterum et tertio fecit, simul semet adulari sinens spe regni ab ipso obtinendi, et ad omnia Pompeji imperata se obedientem esse simulans, simul in castellum se, ne vires amitteret, recipiens, et ad bellandum opes sibi parans, veritus ne principatum transferret ad Hyrcanum. At jubente Pompejo ut castella traderet et præsidiorum præfectis sua manu scriberet, (alioquin interdictum erat ne *quenquam* admitterent,) paruit ille quidem, sed ægre id ferens, Hierosolyma concessit, seque ad bellum præparavit. Atque haud multo post Pompejo, adversus eum copias ducenti, quidam in via, qui a Ponto venerant, Mithridatis obitum nunciant, qui a Pharnace filio suo peremptus erat.

CAP. IV. (VII.)

Quum autem apud Hierichuntem castra posuisset *Pompejus*, (ubi palmæ nascuntur vigentque, et opobalsamum unguentum præstantissimum, quod fruticibus acuto lapide incisis instar succi exsudat,) mane Hierosolyma contendit. Et Aristobulus mutata sententia eum adit; atque pecuniam se ei daturum, et Hierosolymis recepturum esse pollicens, orabat ut bello supersedeat et quæ velit cum pace faciat. Illi quum veniam oranti dedisset Pompejus, mitit Gabinium et milites ad pecuniam et urbem *accipiendam*. Neque tamen quidquam horum factum est: quin reversus est Gabinius, urbe exclusus, nec accepta pecunia, quod Aristobuli milites conventa servari non permiserunt. Has ob causas ira incensus est Pompejus, et, quum Aristobulum in custodiam dedisset, ipse ad urbem proficiscitur, cetera quidem firmam, tantum septentrionali parte levius munitam: circumdabat enim eam lata profundaque vallis, intra se fanum comprehendens, lapideo muro valide admodum cinctum.

(VIII.) 2. Erat autem hominum intus dissidium, quid facto opus esset non consentientium: nam alii censebant urbem dedendam Pompejo, alii vero Aristobulo faventes portas ei

λου φρονοῦντες ἀποκλείειν τε καὶ πολεμεῖν παρήνουν, τῷ κἀκεῖνον ἔχεσθαι δεδεμένον. Φθάσαντες δὲ οὗτοι τὸ ἱερὸν καταλαμβάνουσι, καὶ τὴν τείνουσαν ἀπ' αὐτοῦ γέφυραν εἰς τὴν πόλιν ἔκοψαν, εἰς πολιορκίαν εὐτρεπιζόμενοι· οἱ δὲ ἕτεροι δεξάμενοι τὴν στρατιὰν ἐνεχείρισαν Πομπηΐῳ τήν τε πόλιν καὶ τὰ βασίλεια. Πομπήϊος δὲ Πείσωνα τὸν ὑποστράτηγον πέμψας σὺν στρατῷ τήν τε πόλιν καὶ τὰ βασίλεια ἐφρούρει, καὶ τὰς οἰκίας τὰς πρὸς τῷ ἱερῷ καὶ ὅσα ἦν ἔξω περὶ τὸ ἱερὸν ὠχύρου. Καὶ τὸ μὲν πρῶτον λόγους συμβατηρίους τοῖς ἐντὸς προσέφερεν, οὐχ ὑπακουόντων δὲ εἰς ἃ προσεκαλεῖτο, τὰ πέριξ ἐτείχισε χωρία, πρὸς ἅπαντα Ὑρκανοῦ προθύμως ὑπηρετοῦντος. Πομπήϊος δὲ ἔσωθεν στρατοπεδεύεται κατὰ τὸ βόρειον τοῦ ἱεροῦ μέρος, ὅθεν ἦν ἐπίμαχον. Ἀνεστήκεσαν δὲ καὶ ἐνταῦθα μεγάλοι πύργοι, καὶ τάφρος δὲ ὀρώρυκτο καὶ βαθεῖα περιείχετο φάραγγι· ἀπερρώγει γὰρ καὶ τὰ πρὸς τὴν πόλιν, τῆς γεφύρας ἀνατετραμμένης ἐφ' οὗ διῆγε Πομπήιος· καὶ τὸ χῶμα ὁσημέραι ταλαιπώρως ἐγήγερτο, περιτεμνόντων τὴν πέριξ ὕλην Ῥωμαίων. Καὶ ἐπειδὴ τοῦτ' εἶχεν ἱκανῶς, μόλις πλησθείσης τῆς τάφρου διὰ βάθος ἄπειρον, προσβαλὼν μηχανὰς καὶ ὄργανα ἐκ Τύρου κομισθέντα, ἐπιστήσας κατήρασσε τὸ ἱερὸν τοῖς πετροβόλοις. Εἰ δὲ μὴ πάτριον ἦν ἡμῖν ἀργεῖν τὰς ἑβδομάδας ἡμέρας, οὐκ ἂν ἠνύσθη τὸ χῶμα, κωλυόντων ἐκείνων· ἄρχοντας γὰρ μάχης καὶ τύπτοντας ἀμυνάσθαι δίδωσιν ὁ νόμος, ἄλλο δέ τι δρῶντας τοὺς πολεμίους οὐκ ἐᾷ.

γ'. Ὃ δὴ καὶ Ῥωμαῖοι συνιδόντες, κατ' ἐκείνας τὰς ἡμέρας, ἃς δὴ σάββατα καλοῦμεν, οὔτ' ἔβαλλον τοὺς Ἰουδαίους οὔτ' εἰς χεῖρας αὐτοῖς ὑπήντων, χοῦν δὲ καὶ πύργους ἀνίστασαν καὶ τὰ μηχανήματα προσῆγον, ὥστε αὐτοῖς εἰς τὴν ἐπιοῦσαν ἐνεργὰ ταῦτα εἶναι. Μάθοι δ' ἄν τις ἐντεῦθεν τὴν ὑπερβολὴν ἧς ἔχομεν περὶ τὸν Θεὸν εὐσεβείας καὶ τὴν φυλακὴν τῶν νόμων, μηδὲν ὑπὸ τῆς πολιορκίας διὰ φόβον ἐμποδιζομένων πρὸς τὰς ἱερουργίας, ἀλλὰ δὶς τῆς ἡμέρας, πρωΐ τε καὶ περὶ ἐνάτην ὥραν, ἱερουργούντων ἐπὶ τοῦ βωμοῦ, καὶ μηδ' εἴ τι περὶ τὰς προσβολὰς δύσκολον εἴη, τὰς θυσίας παριέντων. Καὶ γὰρ ἁλούσης τῆς πόλεως περὶ τρίτον μῆνα τῇ τῆς νηστείας ἡμέρᾳ, κατὰ τὴν ἐνάτην καὶ ἑβδομηκοστὴν καὶ ἑκατοστὴν Ὀλυμπιάδα, ὑπατευόντων Γαΐου Ἀντωνίου καὶ Μάρκου Τυλλίου Κικέρωνος, οἱ πολέμιοι μὲν εἰσπεσόντες ἔσφαττον τοὺς ἐν τῷ ἱερῷ, οἱ δὲ πρὸς ταῖς θυσίαις οὐδὲν ἧττον ἱερουργοῦντες διετέλουν, οὔτε ὑπὸ τοῦ φόβου τοῦ περὶ τῆς ψυχῆς οὔτε ὑπὸ τοῦ πλήθους τῶν ἤδη φονευομένων ἀναγκασθέντες ἀποδρᾶναι, πᾶν δ' ὅ τι δέοι παθεῖν τοῦτο παρ' αὐτοῖς ὑπομεῖναι τοῖς βωμοῖς κρεῖττον εἶναι νομίζοντες ἢ παρελθεῖν τι τῶν νομίμων. Ὅτι δὲ οὐ λόγος ταῦτα μόνον ἐστὶν ἐγκώμιον ψευδοῦς εὐσεβείας ἐμφανίζων, ἀλλ' ἀλήθεια, μαρτυροῦσι πάντες οἱ τὰς κατὰ Πομπήϊον πράξεις ἀναγράψαντες, ἐν οἷς καὶ Στράβων καὶ Νϊκόclaudendas bellumque parandum esse suadebant, quoniam Aristobulus in vinculis haberetur. Atque hi fanum præoccuparunt, et pontem, qui ab eo in urbem ferebat, interruperunt, sese ad sustinendam obsidionem parantes: adversi vero, recepto exercitu, urbem Pompejo et regiam tradiderunt. At Pompejus, misso Pisone legato cum exercitu, urbem et regiam præsidiis firmabat, domosque fano adjacentes et omnia quæ foris circa templum erant muniebat. Ac primum quidem iis qui intus erant de pace ineunda verba faciebat: quum autem illi in quas offerebat conditiones non descenderent, circumjecta loca muro sepsit, Hyrcano ad omnia studiose ei subserviente. Porro Pompejus castra collocavit extra, a fani parte septentrionali, qua erat expugnabile. Stabant et ibi magnæ turres, et fossa depressa erat profundaque valle circumdata: erat enim prærupta pars ea quæ in urbem spectabat, interrupto ponte qua parte degebat Pompejus; et agger quotidie magno labore surgebat, secantibus proximas arbores Romanis. Ac postquam absolutum erat opus, fossa ægre completa propter infinitam altitudinem, admotis machinis et tormentis a Tyro allatis, fanum saxis missilibus quatere instituit. At nisi nobis patrium fuisset septimis diebus feriari, non fuisset perfectus agger, illis prohibentibus: prælio enim lacessentes et ferientes hostes repellere permittit lex, sed aliud quidpiam agentes *impedire non patitur*.

3. Itaque cum id intellexissent Romani, istis diebus, quas sabbata appellamus, neque Judæos telis petebant, neque cum eis manus conserebant, sed aggerem et turres excitabant, et machinas admovebant, ut eis postridie uterentur. *Licet autem hinc discere quam immenso pietatis studio Deum colamus et quam observantes legum simus, quod sacerdotes* ex obsidione nihil præ metu impediti fuerint quominus sacra peragerent, sed bis quotidie, mane et hora nona, rem divinam ad aram fecerint, neque, si quid in oppugnatione difficile inciderit, sacrificia omiserint. Etenim capta urbe, tertio mense, die jejunii, Olympiade centesima septuagesima nona, Caio Antonio et Marco Tullio Cicerone consulibus, quum vi ingressi hostes eos qui erant in fano jugularent, tamen qui sacra procurabant nihilo secius rem divinam facere perseverabant, neque metu vitæ amittendæ neque jam cæsorum multitudine in fugam compulsi, quicquid pati necesse erat illud ad aras ipsas sustinere melius putantes quam ut aliquid legibus patriis præcriptum omitterent. Quod autem ista non sint fabula, unice ad falsæ pietatis laudem ostendendam adhibita, sed veritas, testimonio sunt qui res a Pompejo gestas memoriæ

λαος καὶ πρὸς τούτοις Τίτος Λίβιος, ὁ τῆς Ῥωμαϊκῆς ἱστορίας συγγραφεύς.

δ'. Ἐπεὶ δὲ τοῦ μηχανήματος προσαχθέντος σεισθεὶς ὁ μέγιστος τῶν πύργων κατηνέχθη καὶ παρέρρηξέ τι χωρίον, εἰσεχέοντο μὲν οἱ πολέμιοι, πρῶτος δὲ αὐτῶν Κορνήλιος Φαῦστος Σύλλα παῖς σὺν τοῖς ἑαυτοῦ στρατιώταις ἐπέβη τοῦ τείχους, μετὰ δὲ αὐτὸν Φούριος ἑκατόνταρχος, ἅμα τοῖς ἑπομένοις κατὰ θάτερον μέρος· διὰ μέσων· δὲ Φάβιος, καὶ αὐτὸς ἑκατόνταρχος, σὺν στίφει καρτερῷ. Φόνου δ' ἦν πάντα ἀνάπλεω. Καὶ τῶν Ἰουδαίων οἱ μὲν ὑπὸ Ῥωμαίων, οἱ δὲ ὑπ' ἀλλήλων ἀνῃροῦντο, εἰσὶ δὲ οἳ καὶ κατὰ κρημνῶν ἑαυτοὺς ἔρριπτον καὶ πῦρ ἐνιέντες εἰς τὰς οἰκίας ἐνεπίμπραντο, τὰ γινόμενα καρτερεῖν οὐχ ὑπομένοντες. Ἔπεσον δὲ τῶν μὲν Ἰουδαίων εἰς μυρίους καὶ δισχιλίους, Ῥωμαίων δὲ πάνυ ὀλίγοι. Ἐλήφθη δὲ αἰχμάλωτος καὶ Ἀψάλωμος, θεῖος ἅμα καὶ πενθερὸς Ἀριστοβούλου. Παρενομήθη δὲ οὐ μικρὰ περὶ τὸν ναὸν, ἄβατόν τε ὄντα ἐν τῷ πρὶν χρόνῳ καὶ ἀόρατον· παρῆλθε γὰρ εἰς τὸ ἐντὸς ὁ Πομπήϊος καὶ τῶν περὶ αὐτὸν οὐκ ὀλίγοι, καὶ εἶδον ὅσα μὴ θεμιτὸν ἦν τοῖς ἄλλοις ἀνθρώποις ἢ μόναις τοῖς ἀρχιερεῦσιν. Ὄντων δὲ τραπέζης τε χρυσῆς καὶ λυχνίας ἱερᾶς καὶ σπονδείων καὶ πλήθους ἀρωμάτων, χωρὶς δὲ τούτων ἐν τοῖς θησαυροῖς ἱερῶν χρημάτων εἰς δύο χιλιάδας ταλάντων, οὐδενὸς ἥψατο δι' εὐσέβειαν, ἀλλὰ κἀν τούτῳ τῆς περὶ αὐτὸν ἀξίως ἔπραξεν ἀρετῆς. Τῇ τε ὑστεραίᾳ καθαίρειν παραγγείλας τὸ ἱερὸν τοῖς ναοπόλοις καὶ τὰ νόμιμα ἐπιφέρειν τῷ Θεῷ, τὴν ἀρχιερωσύνην ἀπέδωκεν Ὑρκανῷ διά τε τἆλλα ὅσα χρήσιμος ὑπῆρξεν αὐτῷ καὶ ὅτι τοὺς κατὰ τὴν χώραν Ἰουδαίους Ἀριστοβούλῳ συμπολεμεῖν ἐκώλυσε, καὶ τοὺς αἰτίους τοῦ πολέμου τῷ πελέκει διεχρήσατο, τὸν δὲ Φαῦστον καὶ τοὺς ἄλλους, ὅσοι τὸ τεῖχος προθύμως ἐπέβησαν, τῶν πρεπόντων ἀριστείων ἠξίωσε. Καὶ τὰ μὲν Ἱεροσόλυμα ὑποτελῆ φόρου Ῥωμαίοις ἐποίησεν· ἃς δὲ οἱ ἔνοικοι πρότερον πόλεις ἐχειρώσαντο τῆς Κοίλης Συρίας ἀφελόμενος, ὑπὸ τῷ σφετέρῳ στρατηγῷ ἔταξε, καὶ τὸ σύμπαν ἔθνος, ἐπὶ μέγα πρότερον αἰρόμενον, ἐντὸς τῶν ἰδίων ὅρων συνέστειλεν. Καὶ Γάδαρα μὲν, μικρὸν ἔμπροσθεν κατασκαφεῖσαν, ἀνέκτισε, Δημητρίῳ χαριζόμενος τῷ Γαδαρεῖ, ἀπελευθέρῳ ἑαυτοῦ, τὰς δὲ λοιπὰς, Ἵππον καὶ Σκυθόπολιν καὶ Πέλλαν καὶ Δίον καὶ Σαμάρειαν, ἔτι τε Μάρισσαν καὶ Ἄζωτον καὶ Ἰάμνειαν καὶ Ἀρέθουσαν, τοῖς οἰκήτορσιν ἀπέδωκε. Καὶ ταύτας μὲν ἐν τῇ μεσογείῳ, χωρὶς τῶν κατεσκαμμένων, Γάζαν τε πρὸς τῇ θαλάσσῃ καὶ Ἰόπην καὶ Δῶρα καὶ Στράτωνος τὸν πύργον, (ἢ, κτίσαντος αὐτὴν Ἡρώδου μεγαλοπρεπῶς καὶ λιμέσι τε καὶ ναοῖς κοσμήσαντος μετωνομάσθη Καισάρεια,) πάσας ὁ Πομπήϊος ἀφῆκεν ἐλευθέρας, καὶ προσένειμε τῇ ἐπαρχίᾳ.

ε'. Τούτου τοῦ πάθους τοῖς Ἱεροσολύμοις αἴτιοι κατέστησαν Ὑρκανὸς καὶ Ἀριστόβουλος πρὸς ἀλλήλους στασιάσαντες. Τήν τε γὰρ ἐλευθερίαν ἀπεβάλομεν καὶ ὑπήκοοι Ῥωμαίων κατέστημεν, καὶ τὴν χώραν ἣν

prodiderunt, et in his Strabo et Nicolaus, ac præterea Titus Livius, historiæ Romanæ scriptor.

4. Atque postquam admota machina maxima turrium concussa cecidit, secumque ruinam traxit et locum aperuit, hostes confertim irruperunt; eorum autem primus Cornelius Faustus Syllæ filius cum sua militum cohorte murum ascendit; post eum vero Furius centurio, cum eis qui ipsum sequebantur ex altera parte, atque inter utrumque Fabius, et ipse centurio, cum valida suorum manu. Omnia autem plena cædibus erant. Ac Judæorum alii quidem a Romanis, alii vero a suis occidebantur, nonnullique per prærupta sese dejiciebant, aut succensis ædibus se ipsos comburebant, non sustinentes ea pati quæ fierent. Atque Judæorum quidem ad duodecim millia ceciderunt, Romanorum vero perpauci. Captus etiam est Absalomus, Aristobuli avunculus et idem socer. Non mediocriter autem læsa est templi religio, inaccessi prius et pedibus et oculis: nam Pompejus et ejus comitum non pauci in penetrale ingressi sunt, et ea viderunt quæ nemini alii mortalium nisi pontificibus solis videre fas erat. Quum autem intus essent et mensa aurea, et sacrum candelabrum, et pateræ, et magna vis aromatum, præterea que in thesauris sacræ pecuniæ ad duo talentorum millia, nihil horum præ pietate attigit, sed hac in re convenienter suæ virtuti se gessit. Sequenti vero die, jussis æditimis ut fanum purgarent, utque Deo libarentur quæ lex juberet, pontificatum restituit Hyrcano tum propter alia ejus erga se officia, tum quia Judæos incolas Aristobulo auxiliari prohibuerat, bellique auctores secari percussit, ac Fausto et aliis, qui primi murum conscenderant, digna præmia persolvit. Et urbem quidem Hierosolymorum Romanis vectigalem fecit, quæ vero Cœles-Syriæ oppida incolæ prius subegerant, ab eis abstulit et Romano prætori subjecit, universamque gentem, quæ antea tantopere efferebatur, intra suos fines conclusit. Et Gadara quidem, paulo ante eversa, instauravit, in gratiam Demetrii Gadarensis, liberti sui: reliqua vero oppida, Hippum et Scythopolim et Pellam et Dium et Samariam, itemque Marissam et Azotum et Jamniam et Arethusam, suis habitatoribus restituit. Et hæc quidem mediterranea, præter eversa, ut et maritima, et Gazam et Jopen et Dora et Stratonis turrim, (quæ, ab Herode magnifice condita atque portubus et templis exornata Cæsarea mutato nomine appellata est,) Pompejus omnia libera esse sivit, provinciæque attribuit.

5. Hujus cladis Hierosolymis causam dederunt dissensione sua Hyrcanus et Aristobulus. Nam tunc et nobis erepta est libertas, et in Romanorum redacti sumus potestatem, et regionem, quam armis captam a Syris abstule-

τοῖς ὅπλοις ἐκτησάμεθα τοὺς Σύρους ἀφελόμενοι· ταύτην ἠναγκάσθημεν ἀποδοῦναι τοῖς Σύροις, καὶ προσέτι πλείω ἢ μύρια τάλαντα Ῥωμαῖοι ἐν βραχεῖ χρόνῳ παρ' ἡμῶν εἰσεπράξαντο, καὶ βασιλεία, ἡ πρότερον τοῖς κατὰ γένος ἀρχιερεῦσι διδομένη τιμὴ, δημοτικῶν ἀνδρῶν ἐγένετο. Καὶ περὶ μὲν τούτων κατὰ χώραν ἐροῦμεν. Πομπήϊος δὲ τὴν Κοίλην Συρίαν ἕως Εὐφράτου ποταμοῦ καὶ Αἰγύπτου Σκαύρῳ παραδοὺς καὶ δύο τάγματα Ῥωμαίων, ἐπὶ Κιλικίαν ᾤχετο, ἐπειγόμενος εἰς Ῥώμην. Ἐπήγετο δὲ μετὰ τῆς γενεᾶς καὶ Ἀριστόβουλον δεδεμένον· δύο γὰρ ἦσαν αὐτῷ θυγατέρες, καὶ τοσοῦτοι υἱεῖς· ὧν εἷς Ἀλέξανδρος μὲν ἀπέδρα, ὁ δὲ νεώτερος Ἀντίγονος συνεκομίζετο εἰς Ῥώμην ἅμα ταῖς ἀδελφαῖς.

ΚΕΦ. Ε'.

Σκαύρου δ' ἐπὶ Πέτραν τῆς Ἀραβίας στρατεύσαντος καὶ διὰ τὸ δυσεμβολωτάτην εἶναι τὰ ἐν κύκλῳ δηοῦντος αὐτῆς, καὶ τοῦ στρατεύματος λιμώττοντος, Ἀντίπατρος κατ' ἐντολὴν Ὑρκανοῦ σῖτον ἐκ τῆς Ἰουδαίας καὶ τἆλλα ὅσων ἐνέδει παρείχετο· πεμφθείς τε πρὸς Ἀρέταν πρεσβευτὴς ὑπὸ Σκαύρου, διὰ τὴν ὑποῦσαν ξενίαν, πείθει καὶ αὐτὸν ἀργύριον ὑπὲρ τοῦ μὴ δηωθῆναι τὴν χώραν δοῦναι, καὶ αὐτὸς ἐγγυητὴς τριακοσίων ταλάντων γίνεται. Καὶ ἐπὶ τούτοις ἔλυσε τὸν πόλεμον Σκαῦρος, οὐχ ἧττον αὐτὸς ἢ συνέβαινεν Ἀρέταν ἐπιθυμεῖν τοῦτο γενέσθαι βουλόμενος.

(Γ'.) β'. Χρόνῳ δὲ ὕστερον Ἀλεξάνδρου τὴν Ἰουδαίαν κατατρέχοντος τοῦ Ἀριστοβούλου παιδὸς, στρατηγὸς Γαβίνιος ἐκ Ῥώμης εἰς Συρίαν ἦκεν· ὃς ἄλλα τε λόγου ἄξια διεπράξατο καὶ ἐπὶ Ἀλέξανδρον ἐστράτευσε, μηκέτι Ὑρκανοῦ πρὸς τὴν ἐκείνου ῥώμην ἀντέχειν δυναμένου, ἀλλ' ἀνεγείρειν ἤδη καὶ τὸ τῶν Ἱεροσολύμων τεῖχος ἐπιχειροῦντος, ὅπερ εἶλε Πομπήϊος. Ἀλλὰ τούτου μὲν αὐτὸν ἐπέσχον οἱ ἐνταῦθα Ῥωμαῖοι· περιιὼν δὲ ἐν κύκλῳ τὴν χώραν πολλοὺς ὡπλίζε τῶν Ἰουδαίων καὶ συνέλεξε ταχὺ μυρίους μὲν ὁπλίτας, πεντακοσίους δὲ πρὸς τοῖς χιλίοις ἱππεῖς, Ἀλεξάνδρειόν τε ὠχύρου, τὸ πρὸς ταῖς Κορέαις ἕρυμα, καὶ Μαχαιροῦντα πρὸς τοῖς Ἀραβίοις ὄρεσιν. Ἔρχεται οὖν ἐπ' αὐτὸν Γαβίνιος, Μάρκον Ἀντώνιον προπέμψας σὺν ἄλλοις ἡγεμόσιν· οἱ δὲ ὁπλίσαντες Ῥωμαίων τοὺς ἑπομένους, καὶ σὺν τούτοις τοὺς ὑπηκόους Ἰουδαίους, ὧν Πειθόλαος ἡγεῖται καὶ Μάλιχος, προσλαβόντες δὲ καὶ τὸ Ἀντιπάτρου ἑταιρικὸν ὑπήντων Ἀλεξάνδρῳ· ἠκολούθει δὲ καὶ Γαβίνιος σὺν τῇ φάλαγγι. Καὶ ἀναχωρεῖ μὲν ἐγγὺς Ἱεροσολύμων Ἀλέξανδρος, συμπεσόντων δὲ ἀλλήλοις ἐκεῖ καὶ μάχης γενομένης κτείνουσι μὲν οἱ Ῥωμαῖοι τῶν πολεμίων περὶ τρισχιλίους, ζωγροῦσι δὲ οὐκ ἐλάττους.

γ'. Ἐν τούτῳ Γαβίνιος ἐπὶ τὸ Ἀλεξάνδρειον ἐλθὼν προὐκαλεῖτο τοὺς ἔνδον εἰς διαλύσεις, συγγνώσεσθαι περὶ τῶν πρόσθεν αὐτοῖς ἡμαρτημένων ὁμολογῶν. Στρατοπεδευομένων δὲ πολλῶν πρὸ τοῦ ἑρύματος πολεμίων, ἐφ' οὓς ἀνήεσαν οἱ Ῥωμαῖοι, Μάρκος Ἀντώ-

ramus, hanc ipsam compulsi sumus Syris denuo restituere; ac præterea plus quam decem millia talentorum brevi tempore a *nobis* Romani exegerunt, sublataque regia administratione, honore generi pontificali prius delato, popularis inducta est. Et de his quidem suo loco dicemus. Pompejus autem quum Cœlen-Syriam usque ad Euphratem fluvium et Ægyptum Scauro tradidisset cum duabus legionibus Romanis, in Ciliciam contendit, Romam ire festinans. Duxit autem secum etiam Aristobulum vinctum cum ejus prole. Erant enim ei duæ filiæ totidemque filii : quorum unus quidem Alexander aufugiebat, junior vero Antigonus Romam una cum *suis sororibus* deportabatur.

CAP. V. (IX.)

Quum autem Scaurus in Petram Arabiæ expeditionem fecisset, et propter difficillimum ad eam aditum agrum in circuitu *depopularetur*, et exercitus fame laboraret, Antipater Hyrcani jussu frumentum ex Judæa et alia quibus opus erat præbebat : missusque ad Aretam legatus a Scauro, quoniam ejus hospes esset, persuasit ei ut pecunia vastationem agri redimeret, et ipse trecentorum talentorum sponsor fit. Atque his conditionibus Scaurus *bellum finivit*, non minus quod ipse hoc voluerit quam quod Aretas idem concupiverit.

(X.) 2. Aliquanto autem post Alexandro Aristobuli filio Judæam incursante, prætor Gabinius Roma venit in Syriam : qui et alia memoratu digna gessit, et in Alexandrum arma movit, quum Hyrcanus quidem Alexandri vires sustinere amplius nequiret, sed jam Hierosolymorum murum a Pompejo dirutum erigere institueret. Verum ab hoc quidem eum prohibuerunt qui illic erant Romani : at regionem circumquaque obiens multos Judæorum armabat, collegitque celeriter decem millia peditum, ut et mille et quingentos equites, et Alexandrium munitionibus firmavit (castellum prope Coreas situm) et Machæruntem apud montes Arabiæ. Igitur eum aggreditur Gabinius, præmisso Marco Antonio cum *aliis ducibus* : *qui cum armatis* quos ducebant Romanis, et præterea Judæis qui eis parebant, quibus Pitholaus et Malichus præfecti erant, assumpti insuper Antipatri auxiliis, obviam iverunt Alexandro : Gabinius autem et ipse cum gravi armatura sequebatur. Et Alexander quidem prope Hierosolyma *se recepit* : quum vero ad manus illic ventum esset, præliumque committeretur, interfecerunt quidem Romani hostium circiter tria millia, vivos autem ceperunt non pauciores.

3. Interea Gabinius ad Alexandrium profectus eos qui intus erant ad compositionem *invitabat*, *veniam* eis ante peccatorum sese daturum promittens. Quum autem multi ex hostibus ante munimentum castra haberent, quos adorti sunt Romani, Marcus Antonius egregie pugnando, magnam-

νιος ἐπιφανῶς ἀγωνισάμενος καὶ πολλοὺς ἀποκτείνας ἔδοξεν ἠριστευκέναι. Γαβίνιος μὲν οὖν, μέρος τῆς στρατιᾶς ἐνταῦθα καταλιπών, ὡς ἂν ἐκπολιορκηθῇ τὸ χωρίον, αὐτὸς ἐπὶ τὴν ἄλλην Ἰουδαίαν ᾔει, καὶ ὅσαις γε ἐνετύγχανε καθῃρημέναις τῶν πόλεων, κτίζειν παρεκελεύετο. Καὶ ἀνεκτίσθησαν Σαμάρεια καὶ Ἄζωτος καὶ Σκυθόπολις καὶ Ἀνθηδὼν καὶ Ῥαφία καὶ Δῶρα, Μάρισσά τε καὶ Γάζα, καὶ ἄλλαι οὐκ ὀλίγαι. Τῶν δὲ ἀνθρώπων πειθομένων οἷς ὁ Γαβίνιος προσέταττε, βεβαίως οἰκηθῆναι συνέβαινε τότε τὰς πόλεις, πολὺν χρόνον ἐρήμους γενομένας.

δ'. Ταῦτα δὲ διαπραξάμενος κατὰ τὴν χώραν ἐπάνεισιν εἰς τὸ Ἀλεξάνδρειον, καὶ τὴν πολιορκίαν αὐτοῦ κρατύνοντος διαπρεσβεύεται πρὸς αὐτὸν Ἀλέξανδρος, συγγινώσκειν τε αὐτῷ τῶν ἡμαρτημένων δέομενος καὶ παραδιδοὺς τῶν ἐρυμάτων Ὑρκανίαν τε καὶ Μαχαιροῦντα, ὕστερον δὲ καὶ Ἀλεξάνδρειον. Καὶ ταῦτα μὲν Γαβίνιος κατέσκαψε. Τῆς Ἀλεξάνδρου δὲ μητρὸς πρὸς αὐτὸν ἐλθούσης, ἣ ἐφρόνει τὰ Ῥωμαίων, τοῦ τε ἀνδρὸς αὐτῆς καὶ τῶν ἄλλων τέκνων ἐν Ῥώμῃ ἐχομένων, συνεχώρησεν αὐτῇ ταῦθ' ἅπερ ἠξίου· καὶ διοικησάμενος τὰ πρὸς αὐτὴν, Ὑρκανὸν κατῆγεν εἰς Ἱεροσόλυμα, σχήσοντα τὴν τοῦ ἱεροῦ ἐπιμέλειαν. Πέντε δὲ συνέδρια καταστήσας εἰς ἴσας μοίρας διένειμε τὸ ἔθνος, καὶ ἐπολιτεύοντο οἱ μὲν ἐν Ἱεροσολύμοις, οἱ δὲ ἐν Γαδάροις, οἱ δ' ἐν Ἀμαθοῦντι, τέταρτοι δὲ ἦσαν οἱ ἐν Ἱεριχοῦντι, καὶ τὸ πέμπτον ἐν Σεπφώρει τῆς Γαλιλαίας. Καὶ οἱ μὲν ἀπηλλαγμένοι τῆς δυναστείας ἐν ἀριστοκρατίᾳ διῆγον.

ΚΕΦ. Ϛ'.

Ἀριστοβούλου δὲ διαδράντος ἐκ Ῥώμης εἰς τὴν Ἰουδαίαν καὶ τὸ Ἀλεξάνδρειον, ὅπερ ἦν νεωστὶ κατεσκαμμένον, ἀνατειχίζειν προαιρουμένου, πέμπει Γαβίνιος πρὸς αὐτὸν στρατιώτας καὶ ἡγεμόνας, Σίσεννάν τε καὶ Ἀντώνιον καὶ Σερουίλιον, κωλύσοντάς τε τὸ χωρίον αὐτὸν κατασχεῖν καὶ συλλήψομένους αὐτόν. Πολλοὶ δ' Ἀριστοβούλῳ τῶν Ἰουδαίων κατὰ τὴν παλαιὰν εὐκλειαν προσέρρεον, καὶ δὴ καὶ νεωτέροις χαίροντες πράγμασι. Πειθόλαος γοῦν τις, ὑποστράτηγος ἐν Ἱεροσολύμοις ὤν, μετὰ χιλίων ἠὐτομόλησε πρὸς αὐτόν· πολλοὶ δὲ τῶν προστιθεμένων ἦσαν ἄνοπλοι. Διεγνωκὼς δὲ εἰς Μαχαιροῦντα ἀπανίστασθαι Ἀριστόβουλος τούτους μὲν ἀπέλυσεν ἀπόρους ὄντας, (οὐ γὰρ ἐγίνοντο αὐτῷ χρήσιμοι πρὸς τὰ ἔργα,) τοὺς δὲ ὡπλισμένους περὶ ὀκτακισχιλίους ὄντας ἀναλαβὼν ᾤχετο. Καὶ προσπεσόντων αὐτοῖς τῶν Ῥωμαίων καρτερῶς, ἡττῶνται τῇ μάχῃ γενναίως οἱ Ἰουδαῖοι, καίπερ προθύμως ἀγωνισάμενοι, βιασαμένων τε τῶν πολεμίων εἰς φυγὴν τρέπονται. Καὶ φονεύονται μὲν αὐτῶν εἰς πεντακισχιλίους, οἱ δὲ λοιποὶ σκεδασθέντες ὡς ἐδύναντο σώζειν αὐτοὺς ἐπειρῶντο. Χιλίων μέντοι πλείονας ἔχων Ἀριστόβουλος εἰς Μαχαιροῦντα διέφυγεν, ὠχύρου τε τὸ χωρίον, καὶ πράττων κακῶς οὐδὲν ἧττον ἐλπίδος ἀγαθῆς εἶχετο.

que cædem faciendo reliquis palmam præripuisse visus est. Ceterum Gabinius, relicta ibi parte exercitus ad locum expugnandum, ipse reliquam Judæam obibat, et in quascunque incidebat urbes eversas, instaurari jubebat: et refectæ sunt Samaria et Azotus et Scythopolis et Anthedon et Raphia et Dora et Marissa et Gaza, et aliæ non paucæ. Dumque homines Gabinii mandatis parent, accidit tum ut ea oppida tuto incolerentur, postquam diu deserta fuerant.

4. Ille vero, istis per regionem factis, revertitur ad Alexandrium, et dum obsidionem intendit, mittit ad eum legationem Alexander, peccatorum veniam petens, et de castellis tradens Hyrcaniam et Machæruntem, tandemque etiam Alexandrium. Et ista quidem Gabinius diruit. At quum mater Alexandri, quæ Romanorum partes propterea fovebat, quod ejus vir ceterique liberi Romæ habebantur, ad eum venisset, concessit ei quæcunque postulabat: et compositis ejus negotiis, Hyrcanum duxit Hierosolyma, fani curam habiturum. Deinde constitutis quinque juridicis conventibus, in æquales partes gentem divisit, ita ut alii jus peterent ad Hierosolyma, alii ad Gadara, alii ad Amathuntem, quarti vero ad Hierichuntem, et quinti ad Sepphorin Galilææ. Atque ita principatu liberati Judæi ab optimatibus regebantur.

CAP. VI. (XI.)

Quum autem Aristobulus Roma in Judæam profugisset, et Alexandrium, quod nuper erat eversum, reficere institueret, mittit Gabinius adversus eum milites et duces Sisennam et Antonium et Servilium, qui locum ab eo occupari prohiberent, ipsumque comprehenderent. Multi autem Judæorum ad Aristobulum confluebant, quum propter veterem ejus gloriam, tum quia novis rebus studebant. Pitholaus certe quidam, qui Hierosolymis legatus erat, cum mille hominibus ad eum perfugit: sed eorum qui ei se adjungebant plerique erant inermes. Quum autem Aristobulus ad Machæruntem se conferre statuisset, eos dimisit, quod non essent instructi (ipsi enim ad opera *bellica* inutiles erant,) assumptisque armatis, qui erant circiter octo millia, profectus est. Sed Romanis eos acriter aggressis, victi sunt egregie Judæi quamvis animose præliati, et hostium vi in fugam versi sunt. Et illorum quidem ad quinque millia occiduntur, reliqui vero dissipati, sibimet, ut poterant, consulere conabantur. Aristobulus tamen, plus mille secum habens, effugit ad Machæruntem, locumque munire instituit, et, quamvis rebus afflictis, nihilominus

Δύο δ' ἡμέρας ἀντισχὼν τῇ πολιορκίᾳ καὶ πολλὰ τραύματα λαβὼν αἰχμάλωτος μετ' Ἀντιγόνου τοῦ παιδὸς, ὃς δὴ καὶ συνέφυγεν ἐκ Ῥώμης αὐτῷ, πρὸς Γαβίνιον ἄγεται. Καὶ τοιαύτῃ μὲν Ἀριστόβουλος χρησάμενος τύχῃ πάλιν εἰς Ῥώμην ἀναπέμπεται, καὶ δεθεὶς αὐτόθι κατείχετο, βασιλεύσας μὲν καὶ ἀρχιερατεύσας ἔτη τρία καὶ μῆνας ἕξ, ἀνὴρ δὲ λαμπρὸς καὶ μεγαλόψυχος γενόμενος. Τὰ μέντοι τέκνα αὐτοῦ ἀνῆκεν ἡ σύγκλητος, Γαβινίου γράψαντος τοῦθ' ὑποσχέσθαι τῇ μητρὶ παραδούσῃ τὰ ἐρύματα. Καὶ τότε μὲν εἰς τὴν Ἰουδαίαν ἐπανέρχεται.

β'. Γαβινίῳ δ' ἐπὶ Πάρθους στρατεύοντι καὶ τὸν Εὐφράτην ἤδη πεπεραιωμένῳ μετέδοξεν εἰς Αἴγυπτον ἀποστρέψαντα καταστῆσαι Πτολεμαῖον εἰς αὐτήν· καὶ ταῦτα μὲν καὶ ἐν ἄλλοις δεδήλωται· Γαβινίῳ μέντοι κατὰ τὴν στρατείαν, ἣν ἐπ' Ἀρχέλαον ἐστείλατο, Ἀντίπατρος ὑπηρέτησε σῖτον καὶ ὅπλα καὶ χρήματα· καὶ τοὺς ὑπὲρ Πηλούσιον τῶν Ἰουδαίων οὗτος αὐτῷ προσηγάγετο καὶ συμμάχους ἐποίησε, φύλακας ὄντας τῶν εἰς τὴν Αἴγυπτον ἐμβολῶν. Ἐπανελθὼν δ' ἐκ τῆς Αἰγύπτου καταλαμβάνει τὴν Συρίαν στάσει καὶ ταραχῇ νοσοῦσαν· ὁ γὰρ Ἀριστοβούλου παῖς Ἀλέξανδρος, παρελθὼν ἐξ ὑστέρου πάλιν ἐπὶ τὴν ἀρχὴν κατὰ βίαν, πολλοὺς μὲν τῶν Ἰουδαίων ἀπέστησεν, στρατεύματι δὲ μεγάλῳ τὴν χώραν ἐπερχόμενος ἔκτεινε πάντας ὅσους ἐπιτύχοι τῶν Ῥωμαίων εἰς τὸ ὄρος τὸ καλούμενον Γαριζεὶν συμφυγόντας, καὶ προσέκειτο πολιορκῶν.

γ'. Ὁ δὲ Γαβίνιος, τοιαῦτα κατὰ τὴν Συρίαν καταλαβὼν Ἀντίπατρον (συνετὸς γὰρ ἦν) προπέμπει πρὸς τοὺς νενοσηκότας, εἰ παῦσαι δυνηθείη τῆς παραφροσύνης αὐτοὺς καὶ πεῖσαι πρὸς τὸν ἀμείνω λογισμὸν ἐπανελθεῖν. Ὁ δὲ ἐλθὼν πολλοὺς μὲν ἐσωφρόνισε καὶ προσηγάγετο τῷ δέοντι, τὸν δὲ Ἀλέξανδρον οὐκ ἠδυνήθη κατασχεῖν. Στρατοῦ γὰρ τρεῖς οὗτος ἔχων μυριάδας Ἰουδαίων ἀπήντησε Γαβινίῳ, καὶ συμβαλὼν ἡττᾶται, πεσόντων αὐτῷ μυρίων περὶ τὸ Ἰταβύριον ὄρος.

δ'. Καταστησάμενος δὲ Γαβίνιος τὰ κατὰ τὴν Ἱεροσολυμιτῶν πόλιν, ὡς ἦν Ἀντιπάτρῳ θέλοντι, ἐπὶ Ναβαταίους ἔρχεται. Καὶ κρατεῖ μὲν τούτων τῇ μάχῃ· Πάρθων δὲ φυγάδας Μιθριδάτην καὶ Ὀρσάνην πρὸς αὐτὸν ἐλθόντας προὔπεμψε, τῷ δὲ λόγῳ ἀπέδρασαν αὐτόν. Καὶ Γαβίνιος μὲν ἔργα μεγάλα καὶ λαμπρὰ κατὰ τὴν στρατηγίαν δράσας ἀπῆρεν εἰς Ῥώμην, Κράσσῳ παραδοὺς τὴν ἀρχήν. Περὶ δὲ τῆς Πομπηΐου καὶ Γαβινίου στρατείας ἐπὶ Ἰουδαίους γράφει Νικόλαος ὁ Δαμασκηνὸς καὶ Στράβων ὁ Καππάδοξ, οὐδὲν ἕτερος ἑτέρου καινότερον λέγων.

ΚΕΦ. Ζ'.

Κράσσος δ' ἐπὶ Πάρθους μέλλων στρατεύειν ἦκεν εἰς τὴν Ἰουδαίαν· καὶ τὰ ἐν τῷ ἱερῷ χρήματα, ἃ Πομπήϊος καταλελοίπει, (δισχίλια δ' ἦν τάλαντα,) βαστάσας, οἷός τε ἦν καὶ τὸν χρυσὸν ἅπαντα (τάλαντα δὲ

bonam spem habebat. Sed postquam duos dies obsidionem sustinuerat, multis vulneribus acceptis, capitur cum Antigono filio suo, qui una cum eo Roma aufugerat, et ad Gabinium ducitur. Et Aristobulus quidem, quum ea ipsi fortuna obtigisset, iterum Romam mittitur, et in vinculis ibi tenebatur, postquam rex et pontifex fuisset annos tres et sex menses, vir præclarus et magni animi. Verum ejus liberos dimisit senatus, propterea quod scripsit Gabinius id se eorum matri castella tradenti promisisse. Atque ita rediere tum in Judæam.

2. Gabinius vero, quum in eo esset ut in Parthos duceret exercitum, trajecto jam Euphrate, mutavit sententiam, et reversus est in Ægyptum, ut Ptolemæum in illius regnum restitueret. Et hæc quidem etiam in aliis memorata sunt. Gabinio quidem, in ea expeditione quam fecit adversus Archelaum, Antipater frumentum et arma et pecuniam suppeditavit, eique Judæos, qui supra Pelusium collocati custodes erant aditnum Ægypti, idem conciliavit sociosque fecit. Deinde reversus ex Ægypto Syriam offendit seditione et tumultu laborantem : nam Aristobuli filius Alexander, recuperato denuo per vim principatu, multos quidem Judæorum ad defectionem impulit, ingentique manu regionem incursans interficiebat quotquot nactus erat Romanorum, qui in montem Garizin appellatum confugerant, eosque obsidione urgebat.

3. Gabinius autem, quum hoc in statu Syriam offendisset, Antipatrum (nam prudens erat) ad rebelles præmittit, si forte posset eorum amentiam sanare, eosque ad meliorem mentem consilio suo revocare. Ille profectus multos quidem repressit et ad officium reduxit, Alexandrum vero cohibere non potuit. Is enim, quum triginta Judæorum millia in exercitu haberet, obviam ivit Gabinio et cum eo congressus victus est, amissis suorum decem millibus apud montem Itabyrium.

4. Deinde Gabinius, constitutis ad Antipatri voluntatem urbis Hierosolymitarum rebus, adversus Nabataeos proficiscitur. Et hos quidem prælio superat, Mithridatem vero et Orsanem Parthorum perfugas, qui ad ipsum se receperant, deduxit, sparso rumore quod ab eo fuga dilapsi essent. Et Gabinius quidem, quum res multas et præclaras gessisset, Romam discessit, tradita Crasso provincia. De his autem Pompeji et Gabinii contra Judæos expeditionibus scribit Nicolaus Damascenus et Strabo Cappadox, quorum unus nihil ab altero alienum refert.

CAP. VII. (XII.)

Crassus autem in Parthos expeditionem facturus venit in Judæam : et sublata quæ in templo erat pecunia, quam Pompejus reliquerat, (ea erat duo millia talentorum,) a se impetrabat ut etiam omni auro (atque id erat ad octo millia ta-

καὶ οὗτος ἦν ὀκτακισχ(ιλια) περιδύειν τοῦ ναοῦ. Λαμβάνει δὲ καὶ δοκὸν ὁλοσφυρήλατον χρυσῆν, ἐκ μνῶν τριακοσίων πεποιημένην· ἡ δὲ μνᾶ παρ' ἡμῖν ἰσχύει λίτρας δύο καὶ ἥμισυ. Παρέδωκε δὲ αὐτῷ ταύτην τὴν δοκὸν ὁ τῶν θησαυρῶν φύλαξ ἱερεὺς, Ἐλεάζαρος ὄνομα, οὐ διὰ πονηρίαν, (ἀγαθὸς γὰρ ἦν καὶ δίκαιος,) ἀλλὰ πεπιστευμένος τὴν τῶν καταπετασμάτων τοῦ ναοῦ φυλακὴν, ὄντων θαυμασίων τὸ κάλλος καὶ πολυτελῶν τὸν κατασκευὴν, ἐκ δὲ τῆς δοκοῦ ταύτης ἐκκρεμαμένων, ἐπεὶ τὸν Κράσσον ἐώρα περὶ τὴν τοῦ χρυσοῦ γινόμενον συλλογὴν, δείσας περὶ τῷ παντὶ κόσμῳ τοῦ ναοῦ, τὴν δοκὸν αὐτῷ τὴν χρυσῆν, λύτρον ἀντὶ πάντων, ἔδωκεν, ὅρκους παρ' αὐτοῦ λαβὼν μηδὲν ἄλλο κινήσειν τῶν ἐκ τοῦ ναοῦ, μόνῳ δὲ ἀρκεσθήσεσθαι τῷ ὑπ' αὐτοῦ δοθησομένῳ, πολλῶν ὄντι μυριάδων ἀξίῳ. Ἡ δὲ δοκὸς αὕτη ἦν ἐν ξυλίνῃ δοκῷ κενῇ· καὶ τοῦτο τοὺς μὲν ἄλλους ἐλάνθανεν ἅπαντας, ὁ δὲ Ἐλεάζαρος μόνος ἠπίστατο. Ὁ μέντοι Κράσσος καὶ ταύτην, ὡς οὐδενὸς ἀψόμενος ἄλλου τῶν ἐν τῷ ἱερῷ, λαμβάνει, καὶ παραβὰς τοὺς ὅρκους ἅπαντα τὸν ἐν τῷ ναῷ χρυσὸν ἐξεφόρησεν.

β'. Θαυμάσῃ δὲ μηδεὶς εἰ τοσοῦτος ἦν πλοῦτος ἐν τῷ ἡμετέρῳ ἱερῷ, πάντων τῶν κατὰ τὴν οἰκουμένην Ἰουδαίων καὶ σεβομένων τὸν Θεὸν, ἔτι δὲ καὶ τῶν ἀπὸ τῆς Ἀσίας καὶ τῆς Εὐρώπης εἰς αὐτὸ συμφερόντων ἐκ πολλῶν πάνυ χρόνων. Οὐκ ἔστι δὲ ἁμάρτυρον τὸ μέγεθος τῶν προειρημένων χρημάτων, οὐδὲ ὑπὸ ἀλαζονείας ἡμετέρας καὶ περιττολογίας ἐπὶ τοσοῦτον ἐξαίρεται πλῆθος, ἀλλὰ πολλοί τε ἄλλοι τῶν συγγραφέων ἡμῖν μαρτυροῦσι καὶ Στράβων ὁ Καππάδοξ οὕτω λέγων. « Πέμψας δὲ Μιθριδάτης εἰς Κῶ ἔλαβε τὰ χρήματα, « ἅπερ ἔθετο ἐκεῖ Κλεοπάτρα ἡ βασίλισσα, καὶ τὰ τῶν « Ἰουδαίων ὀκτακόσια τάλαντα. » Ἡμῖν δὲ δημόσια χρήματα οὐκ ἔστιν ἢ τὰ τοῦ Θεοῦ μόνα. Καὶ δῆλον ὅτι ταῦτα μετήνεγκαν εἰς Κῶ τὰ χρήματα οἱ ἐν τῇ Ἀσίᾳ Ἰουδαῖοι, διὰ τὸν ἐκ Μιθριδάτου φόβον· οὐ γὰρ εἰκὸς τοὺς ἐν τῇ Ἰουδαίᾳ, πόλιν τε ὀχυρὰν ἔχοντας καὶ τὸν ναὸν, πέμπειν χρήματα εἰς Κῶ. Ἀλλ' οὐδὲ τοὺς ἐν Ἀλεξανδρείᾳ κατοικοῦντας Ἰουδαίους πιθανὸν τοῦτ' ἐστὶ ποιῆσαι, μηδὲν Μιθριδάτην δεδιότας. Μαρτυρεῖ δὲ καὶ ἐν ἑτέρῳ τόπῳ αὐτὸς ὁ Στράβων ὅτι, καθ' ὃν καιρὸν διέβη Σύλλας εἰς τὴν Ἑλλάδα πολεμήσων Μιθριδάτην, καὶ Λεύκουλλον πέμψαι ἐπὶ τὴν ἐν Κυρήνῃ στάσιν τοῦ ἔθνους ἡμῶν, ὧν ἡ οἰκουμένη πεπλήρωται, λέγων οὕτως. « Τέτταρες δ' ἦσαν ἐν τῇ πόλει τῶν « Κυρηναίων, ἥ τε τῶν πολιτῶν καὶ ἡ τῶν γεωργῶν, « τρίτη δ' ἡ τῶν μετοίκων, καὶ τετάρτη ἡ τῶν Ἰου« δαίων. Αὕτη δ' εἰς πᾶσαν πόλιν ἤδη παρελήλυθε, « καὶ τόπον οὐκ ἔστι ῥᾳδίως εὑρεῖν τῆς οἰκουμένης, ὃς « οὐ παραδέδεκται τοῦτο τὸ φῦλον, μηδ' ἐπικρατεῖται « ὑπ' αὐτοῦ. Τήν τε Αἴγυπτον καὶ τὴν Κυρηναίαν, « ἅτε τῶν αὐτῶν ἡγεμόνων τυχοῦσαν, τῶν τε ἄλλων « συχνὰ ζηλῶσαι συνέβη, καὶ δὴ τὰ συντάγματα τῶν « Ἰουδαίων θρέψαι διαφερόντως, καὶ συναυξῆσαι χρώ« μενα τοῖς πατρίοις τῶν Ἰουδαίων νόμοις. Ἐν γοῦν

leutorum) templum spoliaret. Cepit et trabem solido auro factam ex minis trecentis : mina autem apud nos valet duas libras et dimidiam. Hanc vero trabem ei tradidit sacerdos thesauri custos, nomine Eleazarus, non malitia, (nam vir bonus erat et justus,) sed quum concreditam haberet velorum templi custodiam, quæ et pulcritudine miranda et oppere sumptuosa erant, et ab ea trabe dependebant, videretque Crassum colligendo auro incumbentem, metuens de universo templi ornatu, trabem ei auream in omnium redemptionem dedit, quum eum jurejurando astrinxisset nihil aliud ex templo moturum, sed eo contentum fore quod ab ipso daretur, quod quidem esset multorum millium. Erat autem ea trabs in lignea trabe cava : id quod alios omnes latebat, solus vero sciebat Eleazarus. At Crassus et hanc, tanquam nihil aliud tacturus eorum quæ essent in templo, sumpsit, et contra jusjurandum omne templi aurum sustulit.

2. Ne cui autem mirum sit quod tantæ divitiæ in nostrum templum congestæ essent, quum omnes ubique terrarum Judæi, quique Deum colunt, tam ex Europa quam ex Asia, per multa retro secula eo munera contulerint. Nec testibus caret opum magnitudo quam memoravimus, neque ex ostentatione nostra, aut rem verbis exaggerandi studio, in immensum adeo extollitur, sed quum alii multi ex scriptoribus nobis testimonium perhibent, tum Strabo Cappadox hisce verbis. « Mithridates autem in Co misit qui sibi *inde* « pecuniam attulerunt, quam Cleopatra regina ibi deposue« rat, ut et Judæorum octingenta talenta. » Nobis autem nulla est publica pecunia nisi quæ Deo sacra. Atque perspicuum est Judæos in Asia hanc pecuniam in Co transtulisse metu Mithridatis : haud enim verisimile eos qui Judæam incolebant, urbem adeo munitam habentes et templum, pecunias Co misisse. Imo nec Judæos Alexandriam habitantes hos ipsum fecisse credibile est, ut qui nihil Mithridatem metuerint. Quin et Strabo alio in loco testatur Sullam, quo tempore in Græciam trajecit, bellum gesturus contra Mithridatem, Lucullum etiam misisse ad compescendam in Cyrene seditionem gentis nostræ, quæ orbem terrarum repleverat, ita dicens. « In urbe autem Cyrenæo« rum quattuor erant *classes*, una civium, altera agricola« rum, tertia inquilinorum, et quarta Judæorum. Hæc « autem jam in urbes universas invaserat, haudque facile « est locum in toto orbe invenire, quin hoc genus hominum « exceperit, et ab eo teneatur. Nam factum est ut et Ægy« ptius et Cyrenæa, utpote iisdem solitæ parere dominis, « aliæque multæ regiones horum mores imitentur, magnum« que Judæorum numerum peculiariter foveant, et cum iis « *opibus viribusque* crescant, patriis Judæorum utentes in-

« Αἰγύπτῳ κατοικία τῶν Ἰουδαίων ἐστὶν ἀποδεδει-
« γμένη, χωρὶς καὶ τῆς τῶν Ἀλεξανδρέων πόλεως ἀφώρι-
« στο μέγα μέρος τῷ ἔθνει τούτῳ· καθίσταται δὲ καὶ
« ἐθνάρχης αὐτῶν, ὃς διοικεῖ τε τὸ ἔθνος καὶ διαιτᾷ κρί-
« σεις, καὶ συμβολαίων ἐπιμελεῖται καὶ προσταγμάτων,
« ὡς ἂν πολιτείας ἄρχων αὐτοτελοῦς. Ἐν Αἰγύπτῳ
« μὲν οὖν ἴσχυσε τὸ ἔθνος, διὰ τὸ Αἰγυπτίους εἶναι ἐξ
« ἀρχῆς Ἰουδαίους καὶ διὰ τὸ πλησίον ἑσεσθαι τὴν κα-
« τοικίαν τοὺς ἀπελθόντας ἐκεῖθεν, εἰς δὲ τὴν Κυρηναίαν
« μετέβη, διὰ τὸ καὶ ταύτην ὅμορον εἶναι τῇ τῶν Αἰ-
« γυπτίων ἀρχῇ, καθάπερ τὴν Ἰουδαίαν, μᾶλλον δὲ τῆς
« ἀρχῆς ἐκείνης πρότερον » Στράβων δὴ οὖν ταῦτα
λέγει.

γ'. Κράσσος δὲ πάντα διοικήσας ὃν αὐτὸς ἐβούλετο τρόπον ἐξώρμησεν ἐπὶ τὴν Παρθυαίαν· καὶ αὐτὸς μὲν σὺν παντὶ διεφθάρη τῷ στρατῷ, ὡς καὶ ἐν ἄλλοις δεδήλωται. Κάσσιος δὲ εἰς Συρίαν φυγὼν καὶ περιποιησάμενος αὐτὴν Πάρθοις ἐμποδὼν ἦν, ἐκτρέχουσιν ἐπ' αὐτὴν διὰ τὴν κατὰ Κράσσου νίκην. Αὖθις δὲ εἰς Τύρον ἀφικόμενος ἀνέβη καὶ εἰς τὴν Ἰουδαίαν. Ταριχέας μὲν οὖν προσπεσὼν εὐθέως αἱρεῖ καὶ περὶ τρισμυρίους ἀνθρώπους ἀνδραποδίζει, Πειθόλαόν τε τὸν τὴν Ἀριστοβούλου στάσιν διαδεδεγμένον κτείνει, πρὸς τοῦτο αὐτὸν Ἀντιπάτρου παραστησαμένου, ὃν πολὺ καὶ παρ' αὐτῷ συνέβαινε δύνασθαι, καὶ πλείστου τότε ἄξιος ἦν καὶ παρὰ Ἰδουμαίοις, παρ' ὧν ἄγεται γυναῖκα τῶν ἐπισήμων ἐξ Ἀραβίας Κύπρον ὄνομα, ἐξ ἧς αὐτῷ τέσσαρες ἐγένοντο παῖδες, Φασάηλος καὶ Ἡρώδης, ὃς ὕστερον βασιλεὺς γίνεται, Ἰώσηπός τε καὶ Φερώρας, θυγάτηρ δὲ Σαλώμη. Οὗτος ὁ Ἀντίπατρος ἐπεποίητο καὶ πρὸς τοὺς ἄλλους δυνάστας φιλίαν καὶ ξενίαν, μάλιστα δὲ πρὸς τὸν Ἄραβα, ᾧ καὶ τὰ τέκνα πολεμῶν πρὸς Ἀριστόβουλον παρέθετο. Κάσσιος μὲν οὖν ἀναστρατοπεδευσάμενος ἐπὶ τὸν Εὐφράτην ἠπείγετο, ὑπαντιάσων τοῖς ἐκεῖθεν ἐπιοῦσιν, ὡς καὶ ὑπ' ἄλλων δεδήλωται.

(ΙΓ'.) δ'. Χρόνῳ δὲ ὕστερον Καῖσαρ, κατασχὼν Ῥώμην μετὰ τὸ Πομπήϊον καὶ τὴν σύγκλητον φυγεῖν πέραν τοῦ Ἰονίου, παραλύσας τῶν δεσμῶν Ἀριστόβουλον εἰς Συρίαν διεγνώκει πέμπειν, δύο παραδοὺς αὐτῷ τάγματα, ὡς ἂν εὐτρεπίζοι τὰ κατὰ ταύτην δυνατὸς ὤν. Ἀριστόβουλος δὲ οὐκ ἀπώνατο τῶν ἐλπίδων, ἐφ' αἷς ἔτυχε τῆς παρὰ Καίσαρος ἐξουσίας, ἀλλ' αὐτὸν φθάσαντες οἱ τὰ Πομπηΐου φρονοῦντες φαρμάκῳ διαφθείρουσιν, θάπτουσι δ' αὐτὸν οἱ τὰ Καίσαρος θεραπεύοντες πράγματα. Καὶ ὁ νεκρὸς αὐτοῦ ἔκειτο ἐν μέλιτι κεκηδευμένος ἐπὶ χρόνον πολύν, ἕως Ἀντώνιος αὐτὸν ὕστερον ἀποπέμψας εἰς τὴν Ἰουδαίαν ἐν ταῖς βασιλικαῖς θήκαις ἐποίησε τεθῆναι. Σκιπίων δὲ, ἐπιστείλαντος αὐτῷ Πομπηΐου ἀποκτεῖναι Ἀλέξανδρον τὸν Ἀριστοβούλου, αἰτιασάμενος τὸν νεανίσκον ἐπὶ τοῖς τὸ πρῶτον εἰς Ῥωμαίους ἐξημαρτημένοις, τῷ πελέκει διεχρήσατο. Καὶ ὁ μὲν οὕτως ἐν Ἀντιοχείᾳ τελευτᾷ· τοὺς δὲ ἀδελφοὺς αὐτοῦ Πτολεμαῖος ὁ Μενναίου παρέλαβε, δυναστεύων Χαλκίδος τῆς ὑπὸ τῷ Λιβάνῳ ὄρει· καὶ πέμψας τὸν υἱὸν Φι-

« stitutis. Etenim in Ægypto concessum est Judæis habitare,
« et magna pars urbis Alexandrinæ seorsum huic genti assi-
« gnata est : quin et suus illis ethnarcha est, qui gentis res
« administrat, et judicia exercet, curatque contractus et
« mandata, quasi esset reipublicæ suis legibus utentis
« princeps. Et in Ægypto quidem plurimum pollet hæc
« gens, quod Judæi ex Ægyptiis originem habuerint, et
« quod ab iis digressi sedibus vicini essent; transgressa est
« autem in Cyrenæam, quod hæc quidem finitima est
« Ægyptiorum ditioni, quemdmodum etiam Judæa, vel
« potius pars olim fuit regni Ægyptiaci. » Strabo nimirum hæc dicit.

3. Crassus autem, omnibus arbitratu suo compositis, in Parthorum regionem profectus est : et ipse quidem cum universo exercitu periit, ut alibi narratum est. Cassius vero in Syriam fugit, eaque potitus Parthos arcebat, qui eam, ob partam de Crasso victoriam, incursionibus vexabant. Deinde rursus ad Tyrum profectus ascendit etiam in Judæam : et Taricheas quidem adortus primo impetu expugnavit, et triginta circiter millia captivorum cepit, et Pitholaum Aristobuli seditionis successorem interfecit hortatu Antipatri, qui forte apud eum auctoritate plurimum valebat, et magnæ tum erat existimationis etiam apud Idumæos, a quibus uxorem duxit ex nobili Arabiæ familia nomine Cypron, ex qua liberos quattuor sustulit, Phasaelum et Herodem, eum qui postea rex erat, et Josephum et Pheroram, et filiam Salomen. Hic Antipater et alios sibi principes conjunxerat amicitia et hospitio, et potissimum Arabem, apud quem liberos deposuit dum bellum gerebat cum Aristobulo. Et Cassius quidem motis castris ad Euphratem contendit, invadentibus illac hostibus occursurus, ut ab aliis quoque memoriæ proditum est.

(XIII.) 4. Aliquanto autem post Cæsar, potitus Roma postquam Pompejus et senatus trans Ionium mare fugerant, Aristobulum vinculis solutum in Syriam mittere decreverat, traditis ei duabus legionibus, ut qui posset illic negotia componere. At Aristobulo nihil profuit spes, quam ex accepta a Cæsare potestate conceperat, sed, antequam id agere posset, Pompejani Aristobulum veneno sustulerunt, eum vero Cæsareani sepeliverunt. Atque corpus ejus melle conditum aliquamdiu jacuit, donec id Antonius postea misit in Judæam, et in regum loculis condendum curavit. Scipio vero, quum ei significatum fuisset literis Pompeji ut Alexandrum Aristobuli filium interficeret, instituta in juvenem accusatione propter superiora ejus in Romanos commissa, eum securi percussit. Et ille quidem ita moritur Antiochiæ : ejus vero fratres ad se recepit Ptolemæus Mennæi filius dynasta Chalcidis sub monte Libano, missoque filio

λιππίωνα εἰς Ἀσκάλωνα παρὰ τὴν Ἀριστοβούλου γυναῖκα, ἐκέλευσεν αὐτὴν συναποστέλλειν τὸν υἱὸν Ἀντίγονον καὶ τὰς θυγατέρας, ὧν τῆς ἑτέρας Ἀλεξάνδρας ἐρασθεὶς ὁ Φιλιππίων ἄγεται γυναῖκα. Μετὰ δὲ ταῦτα ἀνελὼν αὐτὸν ὁ πατὴρ Πτολεμαῖος γαμεῖται τὴν Ἀλεξάνδραν, καὶ τῶν ἀδελφῶν αὐτῆς πρόνοιαν ποιούμενος διετέλει.

suo Philippione Ascalonem ad Aristobuli conjugem, jussit eam una mittere filium suum Antigonum et filias, quarum alterius Alexandræ amore captus Philippio eam duxit uxorem. Postea pater ejus Ptolemæus, eo interfecto, in matrimonium accipit Alexandram, ejusque fratrum deinceps curam gerebat.

ΚΕΦ. Η'.

Μετὰ δὲ τὸν Πομπηίου θάνατον καὶ τὴν νίκην τὴν ἐπ' αὐτῷ Καίσαρι πολεμοῦντι κατ' Αἴγυπτον εἰς πολλὰ χρήσιμον αὐτὸν παρέσχεν Ἀντίπατρος, ὁ τῶν Ἰουδαίων ἐπιμελητής, ἐξ ἐντολῆς Ὑρκανοῦ. Μιθριδάτῃ γὰρ τῷ Περγαμηνῷ κομίζοντι ἐπικουρικὸν καὶ ἀδυνάτως ἔχοντι διὰ Πηλουσίου ποιήσασθαι τὴν πορείαν, περὶ δὲ Ἀσκάλωνα διατρίβοντι, ἦκεν Ἀντίπατρος ἄγων Ἰουδαίων ὁπλίτας τρισχιλίους, ἐξ Ἀραβίας τε συμμάχους ἐλθεῖν ἐπραγματεύσατο τοὺς ἐν τέλει· καὶ δι' αὐτὸν οἱ κατὰ τὴν Συρίαν ἅπαντες ἐπεκούρουν, ἀπολείπεσθαι τῆς ὑπὲρ Καίσαρος προθυμίας οὐ θέλοντες, Ἰάμβλιχός τε ὁ δυνάστης καὶ Πτολεμαῖος ὁ υἱὸς αὐτοῦ, Λίβανον ὄρος οἰκῶν, αἵ τε πόλεις σχεδὸν ἅπασαι. Μιθριδάτης δὲ ἄρας ἐκ Συρίας εἰς Πηλούσιον ἀφικνεῖται, καὶ μὴ δεχομένων αὐτὸν τῶν ἀνθρώπων ἐπολιόρκει τὴν πόλιν. Ἠρίστευε δὲ Ἀντίπατρος, καὶ πρῶτος κατασύρας τι τοῦ τείχους, ὁδὸν εἰσπεσεῖν παρέσχετο τοῖς ἄλλοις εἰς τὴν πόλιν. Καὶ τὸ μὲν Πηλούσιον οὕτως εἶχε· τοὺς δὲ περὶ Ἀντίπατρον καὶ Μιθριδάτην ἀπιόντας πρὸς Καίσαρα διεκώλυον οἱ Ἰουδαῖοι Αἰγύπτιοι, οἱ τὴν Ὀνίου λεγομένην χώραν κατοικοῦντες. Πείθει δὲ καὶ τούτους τὰ αὐτῶν φρονῆσαι κατὰ τὸ δμόφυλον Ἀντίπατρος, καὶ μάλιστα ἐπιδείξας αὐτοῖς τὰς Ὑρκανοῦ τοῦ ἀρχιερέως ἐπιστολὰς, ἐν αἷς αὐτοὺς φίλους εἶναι Καίσαρος παρεκάλει καὶ ξένια καὶ πάντα τὰ ἐπιτήδεια χορηγεῖν τῷ στρατῷ. Καὶ οἱ μὲν, ὡς ἑώρων τὸν Ἀντίπατρον καὶ τὸν ἀρχιερέα συνθέλοντας, ὑπήκουον. Τούτους δὲ προσθεμένους ἀκούσαντες οἱ περὶ Μέμφιν ἐκάλουν καὶ αὐτοὶ τὸν Μιθριδάτην πρὸς αὑτούς· κἀκεῖνος ἐλθὼν καὶ τούτους παραλαμβάνει.

CAP. VIII. (XIV.)

Post Pompeji autem obitum, victoriamque ex illo reportatam, Cæsari in Ægyptum bellum gerenti ad multa utilem se præbuit Antipater Judæorum administrator, idque jussu Hyrcani. Ad Mithridatem enim Pergamenum copias auxiliares adducentem, neque per Pelusium iter facere valentem, sed apud Ascalonem hærentem, veniebat Antipater, secum habens Judæorum peditum tria millia, perfecitque ut ex Arabia primates venirent auxilio : et propter ipsum Syri omnes opem Cæsari ferebant, nolentes aliis concedere promptitudine in Cæsarem, et Iamblichus dynasta et Ptolemæus ejus filius, Libani montis incola, et urbes propemodum omnes. Mithridates vero, motis e Syria castris, Pelusium venit : quumque ab hominibus non admitteretur, urbem oppugnabat. At Antipater omnium fortissime se gessit, et primus detracta muri parte ceteris aditum in urbem patefecit. Atque ita quidem Pelusium obtinuit. Antipatrum autem et Mithridatem ad Cæsarem euntes prohibebant Ægyptii Judæi, regionem, quæ Oniæ dicebatur, incolentes. Verum Antipater eis persuasit ut idem cum popularibus suis sentirent, maxime ostensis Hyrcani pontificis literis, in quibus eos, ut Cæsaris essent amici, monebat, et exercitum muneribus omnibusque necessariis juvarent. Et illi quidem, quum viderent Antipatrum et pontificem consentire, parebant. Istos vero ubi accessisse audiverunt Memphitici, vocaverunt et ipsi ad se Mithridatem, et ille eo profectus hos quoque assumpsit.

(ΙΕ'.) β'. Ἐπεὶ δὲ τὸ καλούμενον Δέλτα ἤδη περιεληλύθει, συμβάλλει τοῖς πολεμίοις περὶ τὸ καλούμενον Ἰουδαίων στρατόπεδον. Εἶχε δὲ τὸ μὲν δεξιὸν κέρας Μιθριδάτης, τὸ δὲ εὐώνυμον Ἀντίπατρος. Συμπεσόντων δὲ εἰς μάχην κλίνεται τὸ τοῦ Μιθριδάτου κέρας, καὶ παθεῖν ἂν ἐκινδύνευσε τὰ δεινότατα, εἰ μὴ παρὰ τὴν ἠόνα τοῦ ποταμοῦ σὺν τοῖς οἰκείοις στρατιώταις Ἀντίπατρος παρέθεεν, ὃς νενικηκὼς ἤδη τοὺς πολεμίους τὸν μὲν ῥύεται, τρέπει δὲ εἰς φυγὴν τοὺς νενικηκότας Αἰγυπτίους. Αἱρεῖ δὲ αὐτῶν καὶ τὸ στρατόπεδον, ἐπιμείνας τῇ διώξει, τόν τε Μιθριδάτην ἐκάλει, πλεῖστον ἐν τῇ τροπῇ διασχόντα. Ἔπεσον δὲ τῶν μὲν περὶ τοῦτον ὀκτακόσιοι, τῶν δὲ Ἀντιπάτρου τεσσαράκοντα. Μιθριδάτης δὲ περὶ τούτων ἐπιστέλλει Καίσαρι, τῆς τε νίκης αὐτοῖς ἅμα καὶ τῆς σωτηρίας αἴτιον τὸν Ἀντίπατρον ἀποφαί-

(XV.) 2. Quum autem locum qui Delta vocatur jam circuivisset, cum hostibus congreditur ad castra Judæorum quæ appellantur. Dextrum quidem cornu habebat Mithridates, sinistrum vero Antipater. Commisso autem prælio inclinat Mithridatis cornu, et in discrimen extremum adductum fuisset, nisi Antipater secundum fluminis ripam cum suis militibus accurrisset, qui victis jam a se hostibus illum liberat et victores Ægyptios in fugam vertit. Quumque in iis persequendis perseverasset, castris eorum potitur, et Mithridatem revocat, qui pulsus longissime aberat. Ceciderunt autem ex Mithridatis hominibus ad octingentos, Antipatri quadraginta. Mithridates vero de his scripsit ad Cæsarem, victoriam simul salutemque suam Antipatro acceptam ferens, ita ut Cæsar et tunc Antipatrum collau-

νων, ὥστε τὸν Καίσαρα τότε μὲν ἐπαινεῖν αὐτὸν, κεχρῆσθαι δὲ παρὰ πάντα τὸν πόλεμον εἰς τὰ κινδυνωδέστατα τῷ Ἀντιπάτρῳ· καὶ δὴ καὶ τρωθῆναι συνέβη παρὰ τοὺς ἀγῶνας αὐτῷ.

γ'. Καταλύσας μέντοι Καῖσαρ μετὰ χρόνον τὸν πόλεμον καὶ εἰς Συρίαν ἀποπλεύσας ἐτίμησε μεγάλως, Ὑρκανῷ μὲν τὴν ἀρχιερωσύνην βεβαιώσας, Ἀντιπάτρῳ δὲ πολιτείαν ἐν Ῥώμῃ δοὺς καὶ ἀτέλειαν πανταχοῦ. Λέγεται δὲ ὑπὸ πολλῶν Ὑρκανὸν ταύτης κοινωνῆσαι τῆς στρατείας καὶ ἐλθεῖν εἰς Αἴγυπτον· μαρτυρεῖ δέ μου τῷ λόγῳ Στράβων ὁ Καππάδοξ λέγων ἐξ Ἀσινίου ὀνόματος οὕτως. « Μετὰ δὲ τὸ τὸν Μιθριδάτην εἰσβαλεῖν « εἰς τὴν Αἴγυπτον καὶ Ὑρκανὸν τὸν τῶν Ἰουδαίων « ἀρχιερέα. » Ὁ δ' αὐτὸς οὗτος Στράβων καὶ ἐν ἑτέρῳ πάλιν ἐξ Ὑψικράτους ὀνόματος λέγει οὕτως. « Τὸν « μὲν Μιθριδάτην ἐξελθεῖν μόνον, κληθέντα δ' εἰς Ἀ« σκάλωνα Ἀντίπατρον ὑπ' αὐτοῦ, τὸν τῆς Ἰουδαίας « ἐπιμελητὴν, τρισχιλίους αὐτῷ στρατιώτας συμπαρα« σκευάσαι, καὶ τοὺς ἄλλους δυνάστας προτρέψαι, κοι« νωνῆσαι δὲ τῆς στρατείας καὶ Ὑρκανὸν τὸν ἀρχιε« ρέα. » Ταῦτα μὲν Στράβων φησίν.

δ'. Ἐλθὼν δὲ καὶ Ἀντίγονος ὁ Ἀριστοβούλου τότε πρὸς Καίσαρα τήν τε τοῦ πατρὸς ἀπωδύρετο τύχην καὶ ὡς δι' αὐτὸν ἀποθάνοι φαρμάκοις ἀναιρεθεὶς Ἀριστόβουλος καὶ ὁ ἀδελφὸς αὐτοῦ, κτείναντος πελέκει Σκιπίωνος, ἐδεῖτό τε λαβεῖν οἶκτον αὐτοῦ τῆς ἀρχῆς ἐκβεβλημένου· Ὑρκανοῦ δὲ ἐπὶ τούτοις καὶ Ἀντιπάτρου κατηγόρει βιαίως ἐξηγουμένων τοῦ ἔθνους καὶ εἰς αὐτὸν παρανομησάντων. Παρὼν δὲ Ἀντίπατρος ἀπελογεῖτο μὲν ὑπὲρ ὧν ἑώρα καθ' αὑτοῦ τὴν κατηγορίαν γενομένην, νεωτεριστὰς δὲ ἀπέφαινε τοὺς περὶ τὸν Ἀντίγονον καὶ στασιώδεις, ὅσα τε πονήσειεν αὐτὸς καὶ συνεργήσειεν ὑπεμίμνησκεν ἐπὶ τοῖς στρατηγήμασι, ποιούμενος τοὺς λόγους ὧν αὐτὸς ἦν μάρτυς. Δικαίως δὲ ἔλεγεν Ἀριστόβουλον μὲν εἰς Ῥώμην ἀνάρπαστον γεγονέναι, πολέμιον ἀεὶ καὶ μηδέποτε εὔνουν ὑπάρξαντα Ῥωμαίοις, τὸν δὲ ἀδελφὸν αὐτοῦ κρατηθέντα ἐπὶ ληστείᾳ ὑπὸ Σκιπίωνος τυχεῖν ὧν ἄξιος ἦν, ἀλλ' οὐ κατὰ βίαν καὶ ἀδικίαν τοῦτο παθεῖν ὑπὸ τοῦ δράσαντος.

ε'. Τούτους Ἀντιπάτρου ποιησαμένου τοὺς λόγους Καῖσαρ Ὑρκανὸν μὲν ἀποδείκνυσιν ἀρχιερέα, Ἀντιπάτρῳ δὲ δίδωσι δυναστείαν, ἣν αὐτὸς προαιρεῖται, τούτου δὲ ἐπ' αὐτῷ ποιησάμενος τὴν κρίσιν ἐπίτροπον αὐτὸν ἀποδείκνυσι τῆς Ἰουδαίας. (IC'.) Ἐπιτρέπει δὲ καὶ Ὑρκανῷ τὰ τῆς πατρίδος ἀναστῆσαι τείχη, ταύτην αἰτησαμένῳ τὴν χάριν· ἐρριπτο γὰρ ἔτι Πομπηίου καταβαλόντος· καὶ τοῦτ' ἐπιστέλλει τοῖς ὑπάτοις εἰς Ῥώμην ἀναγράψαι ἐν τῷ Καπετωλίῳ. Καὶ τὸ γενόμενον ὑπὸ τῆς συγκλήτου δόγμα τοῦτον ἔχει τὸν τρόπον. « Λεύ« κιος Οὐαλλέριος Λευκίου υἱὸς στρατηγὸς συνεβουλεύ« σατο τῇ συγκλήτῳ εἰδοῖς Δεκεμβρίαις ἐν τῷ τῆς Ὁμο« νοίας ναῷ. Γραφομένῳ τῷ δόγματι παρῆσαν Λεύκιος « Κωπώνιος Λευκίου υἱὸς Κολλίνᾳ καὶ Παπίριος Κυρίνᾳ, « περὶ ὧν Ἀλέξανδρος Ἰάσονος καὶ Νουμήνιος Ἀντιόχου

daverit, et ejus opera toto bello in maximis periculis usus sit, usque adeo ut in præliis vulnerari Antipatrum contigerit.

3. Ceterum aliquanto tempore post Cæsar, quum finito bello in Syriam navigasset, magnum ei honorem habuit, Hyrcano quidem pontificatum confirmando, Antipatrum vero Romana civitate omniumque immunitate donando. Multi vero aiunt Hyrcanum hujus expeditionis socium fuisse et in Ægyptum venisse, atque verbis meis testimonium perhibet Strabo Cappadox ex auctoritate Asinii ita dicens. « Postquam Mithridates Ægyptum invasit, et cum « eo Hyrcanus Judæorum pontifex. » Imo et idem ille Strabo etiam alibi ex auctoritate Hypsicratis in hæc verba « loquitur. Mithridatem quidem solum profectum esse, « Antipatrum vero Judææ procuratorem, ab ipso Ascalo« nem accitum, cum tribus militum millibus auxilium ei « tulisse, et *ceteros dynastas partibus admovisse*, atque « expeditioni etiam Hyrcanum pontificem interfuisse. » Et hæc quidem Strabo narrat.

4. Quin et eodem tempore Antigonus Aristobuli filius, quum ad Cæsarem venisset, et patris fortunas deplorabat, quodque propter ipsum mortuus esset Aristobulus veneno sublatus, atque frater ejus a Scipione securi percussus, orabatque ut sui misereretur e paterno imperio expulsi : ac præterea Hyrcanum et Antipatrum accusabat, qui gentem per vim regerent, et ipsi injuriam fecissent. Verum Antipater, qui præsens aderat, pro se respondebat iis de quibus accusationem contra se institutam videbat, et Antigonum novarum rerum studiosum seditiosumque esse ostendebat : commemorabat etiam quantum ipse laborasset, eumque in consiliis militaribus adjuvisset, verba de iis faciens, quorum ipse testis erat. Aristobulum etiam dicebat jure merito Romam iterum abreptum esse, ut qui perpetuo hostis esset et nunquam benevolo in Romanos animo, fratremque ipsius in latrocinio captum a Scipione pœnas debitas subiisse, non autem per vim et injuriam id ipsum passum esse ab eo qui intulerit.

5. Quum hæc Antipater verba fecisset, Cæsar Hyrcanum quidem pontificem pronunciat, et Antipatro potestatem dedit, quantam ipse velit, idque arbitrio ejus permittens, ipsum Judææ procuratorem facit. (XVI.) Hyrcano vero etiam patriæ muros reficere permisit, ut qui hanc gratiam rogaverat, (nam adhuc jacebant a Pompeio diruti;) scripsitque Romam ad consules ut hoc in Capitolio perscriberetur. Atque senatus consultum factum est in hunc modum. « Lucius « Valerius Lucii filius prætor retulit ad senatum idibus De« cembribus in æde Concordiæ. Decreto scribendo adfue« runt Lucius Coponius Lucii filius *tribu* Collina, et Papi« rius Quirina, quibus de rebus Alexander Iasonis, Nume-

« καὶ Ἀλέξανδρος Δωροθέου, Ἰουδαίων πρεσβευταὶ, ἄν-
« δρες ἀγαθοὶ καὶ σύμμαχοι, διελέχθησαν, ἀνανεούμενοι
« τὰς προϋπηργμένας πρὸς Ῥωμαίους χάριτας καὶ τὴν
« φιλίαν, καὶ ἀσπίδα χρυσῆν σύμβολον τῆς συμμαχίας
« γενομένην ἀνήνεγκαν ἀπὸ χρυσῶν μυριάδων πέντε,
« καὶ γράμματ' αὐτοῖς ἠξίωσαν δοθῆναι πρός τε τὰς
« αὐτονομουμένας πόλεις καὶ πρὸς βασιλεῖς, ὑπὲρ τοῦ
« τήν τε χώραν αὐτῶν καὶ τοὺς λιμένας ἀδείας τυγχά-
« νειν καὶ μηδένα ἀδικεῖσθαι. Ἔδοξεν οὖν συνθέσθαι
« φιλίαν καὶ χάριτας πρὸς αὐτοὺς, καὶ ὅσων ἐδεήθησαν
« τυχεῖν, ταῦτ' αὐτοῖς παρασχεῖν, καὶ τὴν κομισθεῖσαν
« ἀσπίδα προσδέξασθαι ». Ταῦτα ἐγένετο ἐπὶ Ὑρκα-
νοῦ ἀρχιερέως καὶ ἐθνάρχου, ἔτους ἐνάτου μηνὸς Πα-
νέμου. Ἤρατο δὲ καὶ παρὰ τοῦ τῶν Ἀθηναίων δήμου
τιμὰς Ὑρκανὸς, πολλὰ χρήσιμος γενόμενος εἰς αὐτούς·
ἔπεμψάν τε ψήφισμα γράψαντες αὐτῷ, τοῦτον ἔχον τὸν
τρόπον. « Ἐπὶ πρυτάνεως καὶ ἱερέως Διονυσίου τοῦ
« Ἀσκληπιάδου μηνὸς Πανέμου πέμπτῃ ἀπιόντος, ἀπε-
« δόθη τοῖς στρατηγοῖς ψήφισμα Ἀθηναίων, ἐπὶ Ἀγα-
« θοκλέους ἄρχοντος ***. Εὐκλῆς Μενάνδρου Ἀλιμού-
« σιος ἐγραμμάτευε, Μουνυχιῶνος ἑνδεκάτῃ, ἑνδεκάτῃ
« τῆς πρυτανείας, ἐκκλησίας γενομένης ἐν τῷ θεάτρῳ,
« τῶν προέδρων ἐπεψήφισε Δωρόθεος Ἐρχιεὺς καὶ οἱ
« συμπρόεδροι τῷ δήμῳ. Διονύσιος Διονυσίου εἶπεν·
« ἐπειδὴ Ὑρκανὸς Ἀλεξάνδρου, ἀρχιερεὺς καὶ ἐθνάρ-
« χης τῶν Ἰουδαίων, διατελεῖ κοινῇ τε τῷ δήμῳ καὶ
« ἰδίᾳ τῶν πολιτῶν ἑκάστῳ εὐνοῶν καὶ πάσῃ χρώμενος
« περὶ αὐτοὺς σπουδῇ, καὶ τοὺς παραγενομένους Ἀθη-
« ναίων, ἢ κατὰ πρεσβείαν ἢ κατ' ἰδίαν πρόφασιν, ὡς
« αὐτὸν ὑποδέχεται φιλοφρόνως, καὶ προπέμπει τῆς
« ἀσφαλοῦς αὐτῶν ἐπανόδου προνοούμενος, ἐμαρτυρήθη
« μὲν καὶ πρότερον περὶ τούτων, δέδοκται δὲ καὶ νῦν,
« Θεοδοσίου τοῦ Θεοδώρου Σουνιέως εἰσηγησαμένου,
« καὶ περὶ τῆς τάνδρὸς ἀρετῆς ὑπομνήσαντος τὸν δῆμον,
« καὶ ὅτι προαίρεσιν ἔχει ποιεῖν ἡμᾶς ὅ τι ποτ' ἂν δύ-
« νηται ἀγαθὸν, τιμῆσαι τὸν ἄνδρα χρυσῷ στεφάνῳ,
« ἀριστείῳ κατὰ τὸν νόμον, καὶ στῆσαι αὐτοῦ εἰκόνα
« χαλκῆν ἐν τῷ τεμένει τοῦ Δήμου καὶ τῶν Χαρίτων,
« ἀνειπεῖν δὲ τὸν στέφανον ἐν τῷ θεάτρῳ, Διονυσίοις,
« τραγῳδῶν τῶν καινῶν ἀγομένων καὶ Παναθηναίοις
« καὶ Ἐλευσινίοις, καὶ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν, ἐπι-
« μεληθῆναι δὲ τοὺς στρατηγοὺς διαμένοντί τε αὐτῷ καὶ
« διαφυλάττοντι τὴν πρὸς ἡμᾶς εὔνοιαν εἶναι πᾶν ὅ τι
« ἂν ἐπινοήσωμεν εἰς τιμὴν καὶ χάριν τῆς τάνδρὸς σπου-
« δῆς καὶ φιλοτιμίας, ἵνα τούτων γενομένων φαίνηται
« ὁ δῆμος ἡμῶν ἀποδεχόμενος τοὺς ἀγαθοὺς καὶ τῆς
« προσηκούσης ἀμοιβῆς ἀξιῶν, καὶ ζηλώσῃ τὴν περὶ
« ἡμᾶς σπουδὴν ἐκ τῶν ἤδη τετιμημένων· ἐλέσθαι δὲ
« καὶ πρέσβεις ἐξ ἁπάντων Ἀθηναίων, οἵτινές τε αὐτῷ
« κομιοῦσι τὸ ψήφισμα, καὶ παρακαλέσουσι προσδεξά-
« μενον τὰς τιμὰς πειρᾶσθαί τι ποιεῖν ἀεὶ ἀγαθὸν ἡμῶν
« τὴν πόλιν. » Αἱ μὲν οὖν παρὰ Ῥωμαίων καὶ τοῦ
δήμου τῶν Ἀθηναίων τιμαὶ πρὸς Ὑρκανὸν ἡμῖν δεδή-
λωνται ἱκανῶς.

« nius Antiochi, et Alexander Dorothei filii, legati Judæorum,
« viri boni et socii, egerunt, veterem erga Romanos benevo-
« lentiam et amicitiam renovantes, et clypeum aureum in
« signum societatis attulere, ex quinquaginta millibus aureo-
« rum, et literas sibi dari petierunt et ad liberas civitates et ad
« reges, ut regionem ipsorum et portus secure possint adire,
« et nemini fiat injuria. Placuit igitur cum iis amicitiam
« et gratiam inire, et quæ a nobis postularunt, illa ipsis
« concedere, clypeumque allatum accipere. » Hæc acta
sunt Hyrcani pontificatus et principatus anno nono, mense
Panemo. Quin etiam Hyrcano honos habitus est a populo
Atheniensi, quoniam in eos multa beneficia contulerat;
miseruntque ad eum decretum in hæc verba. « Prytane et
« sacerdote Dionysio filio Asclepiadis, mensis Panemi
« desinentis die quinto, traditum est strategis decretum
« Atheniensium, archonte Agathocle, * * * Eucles Menan-
« dri Alimusius scribam agebat, Munychionis die undecimo,
« undecimo prytaniæ, habita concione in theatro. Ex
« proedris populum in suffragia misit Dorotheus Erchien-
« sis ejusque collegæ. Dionysius Dionysii filius dixit :
« Quoniam Hyrcanus Alexandri filius, pontifex et Judæo-
« rum ethnarcha, perpetuo tam publice populum quam
« privatim civium unumquemque benevolentia prosequitur,
« summumque studium in eos confert, et quotquot Athe-
« niensium vel legationis causa, vel propter privata negot-
« tia, eo profecti fuerint, perhumaniter apud se excipit,
« curatque deducendos, ut salvi et incolumes redeant
« prospiciens, quibus et antea quidem perhibitum fuit testi-
« monium, visum est etiam nunc, Theodosio Theodori filio
« Suniensi referente, populumque de virtute hujus viri
« admonente, deque voluntate ejus nobis quoad potuit be-
« nefaciendi, honorare ipsum corona aurea, præmio legi-
« timo, statuamque ex ære item collocare in templo Populi
« et Gratiarum : et præconis voce pronunciari coronæ do-
« nationem in theatro, Dionysiis, dum tragœdiæ novæ
« aguntur, et Panathenæis et Eleusiniis, et in gymnicis
« certaminibus; curæque esse strategis ut, dum ille perse-
« verat et benevolentiam erga nos conservat, *omnia, quæ*
« in honorem ejus et gratiam excogitari possunt pro ipsius
« in nos studio et liberalitate, ei tribuantur, quibus rebus
« fiet ut se ostendat populus noster grato esse erga bene
« merentes animo, velleque alios, ut par est, remunerare;
« quo ille jam honoribus affectus studium nostrum imite-
« tur : prætereaque legatos ex omni Atheniensium numero
« legi, quibus id negotii datum erit ut et ad illum decretum
« hoc perferant, ipsumque hortentur ut honores assequutus
« deinceps studeat de civitate nostra bene mereri. » Et de
honoribus quidem, qui a Romanis et populo Atheniensi
habiti sunt Hyrcano, satis a nobis dictum est.

ΚΕΦ. Θ'.

Ὁ Καῖσαρ δὲ διοικήσας τὰ κατὰ τὴν Συρίαν ἀπέπλευσεν. Ὡς δὲ Καίσαρα προπέμψας ἐκ τῆς Συρίας Ἀντίπατρος εἰς τὴν Ἰουδαίαν ὑπέστρεψεν, ἀνεγείρει μὲν εὐθὺς τὸ τεῖχος ὑπὸ Πομπηίου καθῃρημένον, καὶ τὸν κατὰ τὴν χώραν θόρυβον ἐπιὼν κατέστελλεν, ἀπειλῶν τε ἅμα καὶ συμβουλεύων ἠρεμεῖν· τὰ μὲν γὰρ Ὑρκανοῦ φρονοῦντας ἐν εὐδαιμονίᾳ διάξειν καὶ βιώσεσθαι τῶν ἰδίων ἀπολαύοντας κτημάτων ἀταράχως, προστιθεμένους δὲ ταῖς ἐκ τοῦ νεωτερίζειν ἐλπίσι καὶ τοῖς ἀπ' αὐτῶν κέρδεσι προσανέχοντας αὐτὸν μὲν ἕξειν ἀντὶ προστάτου δεσπότην, Ὑρκανὸν δὲ ἀντὶ βασιλέως τύραννον, Ῥωμαίους δὲ καὶ Καίσαρα πικροὺς ἀνθ' ἡγεμόνων πολεμίους· οὐ γὰρ ἀνέξεσθαι μετακινούμενον ὃν αὐτοὶ κατέστησαν. Ταῦτα λέγων καθίστα δι' ἑαυτοῦ τὰ κατὰ τὴν χώραν.

β'. Βραδὺν δ' ὁρῶν καὶ νωθῆ τὸν Ὑρκανόν, Φασάηλον μὲν τὸν πρεσβύτατον αὐτοῦ τῶν παίδων Ἱεροσολύμων καὶ τῶν πέριξ στρατηγὸν ἀποδείκνυσι, τῷ δὲ μετ' αὐτὸν Ἡρώδῃ τὴν Γαλιλαίαν ἐπέτρεψε, νέῳ παντάπασιν ὄντι· πέντε καὶ εἴκοσι γὰρ αὐτῷ ἐγεγόνει μόνα ἔτη. Βλάπτει δὲ οὐδὲν αὐτὸν ἡ νεότης, ἀλλ' ὢν τῷ φρονήματι γενναῖος ὁ νεανίας ἀφορμὴν εὑρίσκει παρῃρῆμα εἰς ἐπίδειξιν τῆς ἀρετῆς. Καταλαβὼν γὰρ Ἐζεκίαν τὸν ἀρχιλῃστὴν τὰ προσεχῆ τῆς Συρίας κατατρέχοντα σὺν μεγάλῳ στίφει, τοῦτον κατασχὼν κτείνει καὶ πολλοὺς τῶν σὺν αὐτῷ λῃστῶν. Σφόδρα δ' αὐτοῦ τὸ ἔργον τοῦτο ἠγάπησαν οἱ Σύροι· ποθοῦσι γὰρ αὐτοῖς ἀπηλλάχθαι τοῦ λῃστηρίου τὴν χώραν ἐκαθάρευσεν. Ὕμνουν γοῦν αὐτὸν ἐπὶ τούτῳ κατὰ κώμας καὶ πόλεις, ὡς εἰρήνην αὐτοῖς παρεσχηκότα καὶ ἀσφαλῆ τῶν κτημάτων ἀπόλαυσιν. Ἐγένετο δὲ διὰ τοῦτο καὶ Σέξτῳ Καίσαρι γνώριμος, ὄντι συγγενεῖ τοῦ μεγάλου Καίσαρος καὶ διέποντι τὴν Συρίαν. Ζῆλος δ' ἐμπίπτει τῶν Ἡρώδῃ πεπραγμένων Φασαήλῳ τῷ ἀδελφῷ, καὶ πρὸς τὴν εὐδοκίμησιν αὐτοῦ κινηθεὶς ἐφιλοτιμήσατο μὴ ἀπολειφθῆναι τῆς ὁμοίας εὐφημίας, καὶ τοὺς ἐν τοῖς Ἱεροσολύμοις εὐνουστάτους ἐποιεῖτο, δι' αὐτοῦ μὲν ἔχων τὴν πόλιν, οὔτε δ' ἀπειροκάλως τοῖς πράγμασι προσφερόμενος οὔτ' ἐξυβρίζων εἰς τὴν ἐξουσίαν. Ταῦτ' Ἀντίπατρον ἐποίει θεραπείας παρὰ τοῦ ἔθνους τυγχάνειν βασιλικῆς καὶ τιμῶν οἵων ἄν τις μεταλαμβάνοι τῶν ὅλων ὢν δεσπότης· ὑπὸ μέντοι τῆς ἐκ τούτων λαμπρότητος, οἷα φιλεῖ συμβαίνειν πολλάκις, οὐδὲν τῆς πρὸς Ὑρκανὸν εὐνοίας καὶ πίστεως παρέβη.

γ'. Οἱ δ' ἐν τέλει τῶν Ἰουδαίων ὁρῶντες τὸν Ἀντίπατρον καὶ τοὺς υἱοὺς αὐτοῦ μεγάλως αὐξανομένους εὐνοίᾳ τε τῇ παρὰ τοῦ ἔθνους καὶ προσόδῳ τῇ τε παρὰ τῆς Ἰουδαίας καὶ τῶν Ὑρκανοῦ χρημάτων, κακοήθως εἶχον πρὸς αὐτόν. Καὶ γὰρ φιλίαν Ἀντίπατρος ἦν πεποιημένος πρὸς τοὺς Ῥωμαίων αὐτοκράτορας, καὶ χρήματα πείσας πέμψαι τὸν Ὑρκανὸν αὐτὸς λαβὼν νοφίζεται τὴν δωρεάν· ὡς γὰρ ἰδίαν, ἀλλ' οὐχ ὡς Ὑρκανοῦ διδόντος,

CAP. IX. (XVII.)

Cæsar autem ordinatis Syriæ rebus per mare discessit. Antipater vero, postquam, deducto a Syria Cæsare, in Judæam reversus est, confestim dejecta a Pompeio mœnia reficit, et regionem obiens, tumultum, qui in ea erat, compescebat, partim minando, partim ut quiescerent consulendo : si enim ab Hyrcano starent, fore ut feliciter degant, suisque bonis absque turba fruentes vitam agant sin rerum novarum spe ducerentur, et ab his quæstum sectarentur, ipsum habituros pro præfecto dominum, Hyrcanum autem pro rege tyrannum, Romanos vero et Cæsarem pro ducibus hostes acerbos; non enim passuros eum summoveri, quem constituissent ipsi. Quum hæc dixisset, ad res regionis ordinandas se accingebat.

2. Videns autem Hyrcanum tardum esse atque segnem, Phasaelum filiorum suorum natu maximum finitimique agri præfectum constituit, Herodi vero, qui illum ætate sequebatur, Galilæam commisit, quum esset omnino juvenis : nam quinque tantum et viginti annos natus erat. Verum ei juvenilis ætas nihil est quidquam incommodi, sed quoniam animi generosi erat adolescens, statim invenit exercendæ suæ virtutis occasionem. Quum enim offendisset Ezechiam latronum ducem magna manu finitima Syriæ incursantem, illum nactus interficit et multos ejus gregales latrones. Ipsum autem ob hoc facinus magno amore prosequuti sunt Syri : nam regionem, quam a latrociniis liberari desiderabant, purgavit. Itaque eum hanc ob causam passim per urbes vicosque prædicabant, ut qui pacem ipsis dederit, feceritque ut bonis suis tuto fruerentur. Quo fiebat ut etiam Sexto Cæsari innotesceret, cognato magni Cæsaris, et Syriæ res procuranti. Ex his autem Herodis factis æmulatio nata est Phasaelo ejus fratri, adeoque ejus celebritate motus est, ut studuerit non deteriorem sibi parare famam, et Hierosolymitas sibi redderet amicissimos, urbem quidem per se regendo, sed ita ut nec inhoneste rebus uteretur, neque potestate ad cujusquam injuriam abuteretur. His rebus efficiebatur ut Antipater a gente more regio coleretur, et honoribus, qui tribui solent omnium domino, afficeretur. Neque tamen, quum in tanto esset ex rebus istis splendore, decessit quidquam, ut plerumque evenit, ipsius erga Hyrcanum benevolentiæ atque fidei.

3. Ceterum Judæorum primarii, videntes Antipatrum et ejus filios multum crescere tum gratia apud populares, tum reditibus ex Hyrcani et Judææ pecuniis, erant in eum male animati. Etenim amicitiam instituerat Antipater cum Romanis imperatoribus, et impulso ad pecuniam eis mittendam Hyrcano, ipse muneris gratiam ad se transfert : nam ut propriam, non ut Hyrcano dante misit. Hæc Hyrcanus

ἔπεμψε. Ταῦθ' Ὑρκανὸς ἀκούων οὐκ ἐφρόντιζεν, ἀλλὰ καὶ σφόδρα ἔχαιρεν. Ἐν δέει δὲ ἦσαν οἱ πρῶτοι τῶν Ἰουδαίων, ὁρῶντες τὸν Ἡρώδην βίαιον καὶ τολμηρὸν καὶ τυραννίδος γλιχόμενον, καὶ προσελθόντες Ὑρκανῷ φανερῶς ἤδη κατηγόρουν Ἀντιπάτρου, καὶ « μέχρι πότ', « ἔφασαν, ἐπὶ τοῖς πραττομένοις ἡσυχάσεις; ἢ οὐχ « ὁρᾷς Ἀντίπατρον μὲν καὶ τοὺς παῖδας αὐτοῦ τὴν ἀρ- « χὴν διεζωσμένους, σαυτὸν δὲ τῆς βασιλείας ὄνομα « μόνον ἀκούοντα; ἀλλὰ μὴ λανθανέτω σε ταῦτα, μη- « δὲ ἀκίνδυνος εἶναι νόμιζε, ῥᾳθυμῶν περί τε σαυτῷ καὶ « τῇ βασιλείᾳ. Οὐ γὰρ ἐπίτροποί σου τῶν πραγμά- « των Ἀντίπατρος καὶ οἱ παῖδες αὐτοῦ νῦν εἰσι, μηδὲ « ἀπάτα σαυτὸν τοῦτο οἰόμενος, ἀλλὰ δεσπόται φανε- « ρῶς ἀνωμολόγηνται. Καὶ γὰρ Ἡρώδης ὁ παῖς αὐ- « τοῦ Ἐζεκίαν ἀπέκτεινε καὶ τοὺς σὺν αὐτῷ παραβὰς « τὸν ἡμέτερον νόμον, ὃς κεκώλυκεν ἄνθρωπον ἀναιρεῖν « καὶ πονηρὸν ὄντα, εἰ μὴ πρότερον κατακριθείη τοῦτο « παθεῖν ὑπὸ τοῦ συνεδρίου· μὴ λαβὼν δὲ ἐξουσίαν πα- « ρὰ σοῦ ταῦτα ἐτόλμησεν. »

δ'. Ὑρκανὸς δὲ ἀκούσας ταῦτα πείθεται· προσεξῆψαν δ' αὐτοῦ τὴν ὀργὴν καὶ αἱ μητέρες τῶν ὑπὸ Ἡρώδου πεφονευμένων. Αὗται γὰρ καθ' ἑκάστην ἡμέραν ἐν τῷ ἱερῷ παρακαλοῦσαι τὸν βασιλέα καὶ τὸν δῆμον, ἵνα δίκην Ἡρώδης ἐν τῷ συνεδρίῳ τῶν πεπραγμένων ὑπόσχῃ, διετέλουν. Κινηθεὶς οὖν ὑπὸ τούτων Ὑρκανὸς Ἡρώδην ἐκάλει δικασόμενον ὑπὲρ ὧν διεβάλλετο. Ὁ δὲ ἦκε, τοῦ πατρὸς αὐτῷ παραινέσαντος μὴ ὡς ἰδιώ- της, μετὰ δὲ ἀσφαλείας προσελθεῖν καὶ φυλακῆς τῆς περὶ τὸ σῶμα, τά τε κατὰ τὴν Γαλιλαίαν ὧν ἐνόμισεν αὐτῷ συμφέρειν τρόπον ἁρμοσάμενος, καὶ μετὰ στίφους ἀποχρῶντος αὐτῷ πρὸς τὴν ὁδὸν, ὡς μήτε ἐπίφο- βος Ὑρκανῷ δόξειε μετὰ μείζονος παραγινόμενος τάγματος, μήτε γυμνὸς καὶ ἀφυλάκτως εἴη πρὸς τὴν δίκην. Σέξτος μέντοι, ὁ τῆς Συρίας ἡγεμών, γράφει παρακα- λῶν Ὑρκανὸν ἀπολῦσαι τὸν Ἡρώδην ἐκ τῆς δίκης, καὶ προσαπειλῶν παρακούσαντι. Τῷ δ' ἦν ἀφορμὴ καὶ τὰ παρὰ τοῦ Σέξτου γράμματα πρὸς τὸ μηδὲν ἐκ τοῦ συνεδρίου παθόντα ἀπολῦσαι τὸν Ἡρώδην· ἠγάπα γὰρ αὐτὸν ὡς υἱόν. Καταστὰς δὲ ἐν τῷ συνεδρίῳ μετὰ τοῦ σὺν αὐτῷ τάγματος Ἡρώδης κατέπληξεν ἅπαντας, καὶ κατηγορεῖν ἐθάρρει τὸ λοιπὸν οὐδεὶς τῶν πρὶν ἀφικέσθαι διαβαλλόντων, ἀλλ' ἦν ἡσυχία καὶ τοῦ τί χρὴ ποιεῖν ἀπορία. Διακειμένων δ' οὕτως, εἷς τις Σαμέας τοὔνομα, δίκαιος ἀνὴρ καὶ διὰ τοῦτο τοῦ δεδιέ- ναι κρείττων, ἀναστὰς εἶπεν, « ἄνδρες σύνεδροι καὶ βα- « σιλεῦ, εἰς δίκην μὲν οὔτ' αὐτὸς οἶδά τινα τῶν πώ- « ποτε ὑπ' αὐτῆς εἰς ἡμᾶς κεκλημένων οὕτω παρα- « στάντα, οὔτε ὑμᾶς ἔχειν εἰπεῖν ὑπολαμβάνω, ἀλλὰ « πᾶς ὅστις δήποτ' οὖν ἀφῖκται εἰς τοῦτο τὸ συνέδριον « κριθησόμενος, ταπεινὸς παρίσταται καὶ σχήματι δε- « δοικότος καὶ ἔλεον θηρωμένου παρ' ἡμῖν, κόμην τε « ἐπιθρέψας καὶ ἐσθῆτα μέλαιναν ἐνδεδυμένος· ὁ δὲ « βέλτιστος Ἡρώδης, φόνου δίκην φεύγων καὶ ἐπ' αἰτίᾳ « τοιαύτῃ κεκλημένος, ἔστηκε τὴν πορφύραν περιχείμε-

audiens non curabat; quin imo magnopere lætabatur. Verum in metu erant primi Judæorum, quum viderent Herodem violentum et audacem et dominandi cupiditate ardentem : atque ad Hyrcanum profecti aperte jam Antipatrum accusabant, et, « quousque, inquiunt, ista quæ fiunt « quietus feres? annon vides Antipatrum et ejus filios prin- « cipatu succinctos, te ipsum vero regni solum nomen audien- « tem? Atqui hæc ignorare non debes, neque te extra peri- « culum putare, dum temet atque regnum juxta negligis. « Non enim jam rerum tuarum procuratores sunt Antipater « et ejus filii, ne te fallat hæc opinio, sed domini mani- « feste habentur. Etenim Herodes ipsius filius Ezechiam et « ejus socios interfecit contra legem nostram, quæ homi- « nem quamvis malum interfici vetat, nisi prius ad hoc « supplicium ex sententia synedrii damnatus fuerit : et ta- « men ille, non accepta a te potestate, hoc usus est.

4. His auditis Hyrcano persuasum est : atque insuper ejus iram accenderunt matres occisorum ab Herode. Nam illæ singulis diebus in fano regem et populum orare non intermittebant, ut pro factis coram synedrio judicium subiret Herodes. His itaque commotus Hyrcanus Herodem evocat ad dicendam causam super iis quorum insimulabatur. Herodes vero eo veniebat, quum hoc eum monuisset pater, ut non privati hominis more, sed cum præsidio corporisque custodia *Hyrcanum* adiret, compositis Galilææ rebus quo modo e re sua esse judicavit, tantoque comitatu, quantus ei ad iter satis esset, ut nec Hyrcano metuendus videretur, si cum majoribus copiis venisset, neque nudus et incustoditus committeret se judicio. Verumtamen Sextus Syriæ præses Hyrcanum literis monuit ut Herodem judicio liberaret, minis si non pareret adjectis. Huic autem in causa erant literæ a Sexto acceptæ, quod Herodem nullo a synedrio supplicio affectum dimiserit, quippe quem amaret ut filium. Postquam vero Herodes in synedrio cum agmine constitit, omnes perculit, et de cetero nemo ausus est accusationem instituere, qui in eum antequam veniret invehebantur; sed *altum* erat silentium et quid agi deberet dubitatio. Rebus autem sic se habentibus, unus quispiam nomine Sameas, justus homo, ideoque timere nescius, surrexit, et verba fecit : « equidem, « viri mecum judices, tuque o rex, neque ipse quenquam « unquam novi, neque vos nominare posse arbitror, qui in « judicium apud vos ut causam diceret vocatus ita stiterit; « quin quisquis omnium unquam in hoc synedrium venit « judicium subiturus, humilis comparet, et habitu metuen- « tis, et a nobis misericordiam aucupantis, capillis pro- « missis et veste pulla indutus : at iste bonus Herodes, « cædis reus, et ob tam grave crimen appellatus, astat hic

« νος, καὶ τὴν κεφαλὴν κεκοσμημένος τῇ συνθέσει τῆς « κόμης, καὶ περὶ αὐτὸν ἔχων ὁπλίτας, ἵν', ἂν κατα- « κρίνωμεν αὐτὸν κατὰ τὸν νόμον, κτείνῃ μὲν ἡμᾶς, « αὐτὸς δὲ σωθῇ βιασάμενος τὸ δίκαιον. Ἀλλ' Ἡρώδην « μὲν ἐπὶ τούτοις οὐκ ἂν μεμψαίμην, εἰ τὸ αὑτοῦ συμ- « φέρον ποιεῖται περὶ πλείονος ἢ τὸ νόμιμον· ὑμᾶς δὲ « καὶ τὸν βασιλέα τοσαύτην ἀδειαν αὐτῷ παρασχόντας. « Ἴστε μέντοι μέγαν τὸν Θεὸν, καὶ οὗτος ὃν νῦν δι' « Ὑρκανὸν ἀπολῦσαι βούλεσθε, κολάσει ὑμᾶς ποτὲ « καὶ αὐτὸν τὸν βασιλέα. » Διήμαρτε δ' οὐδὲν τῶν εἰρημένων. Ὁ γὰρ Ἡρώδης, τὴν βασιλείαν παραλα- βὼν, πάντας ἀπέκτεινε τοὺς ἐν τῷ συνεδρίῳ καὶ Ὑρ- κανὸν αὐτὸν, χωρὶς τοῦ Σαμέου· σφόδρα γὰρ αὐτὸν διὰ τὴν δικαιοσύνην ἐτίμησε, καὶ ὅτι τῆς πόλεως μετὰ ταῦτα πολιορκουμένης ὑπό τε Ἡρώδου καὶ Σοσσίου, παρῄνεσε τῷ δήμῳ δέξασθαι τὸν Ἡρώδην, εἰπὼν διὰ τὰς ἁμαρτίας οὐ δύνασθαι διαφυγεῖν αὐτόν. Καὶ περὶ μὲν τούτων κατὰ χώραν ἐροῦμεν.

ε'. Ὑρκανὸς δὲ ὁρῶν ὠρμημένους πρὸς τὴν ἀναίρε- σιν τὴν Ἡρώδου τοὺς ἐν τῷ συνεδρίῳ, τὴν δίκην εἰς ἄλλην ἡμέραν ἀνεβάλετο καὶ πέμψας κρύφα πρὸς Ἡρώ- δην συνεβούλευσεν αὐτῷ φυγεῖν ἐκ τῆς πόλεως· οὕτω γὰρ τὸν κίνδυνον διαφεύξεσθαι. Καὶ ὁ μὲν ἀνεχώρησεν εἰς Δαμασκὸν, ὡς φεύγων τὸν βασιλέα. Καὶ παραγενόμενος πρὸς Σέξτον Καίσαρα καὶ τὰ καθ' αὑτὸν ἀσφαλισάμενος οὕτως εἶχεν ὡς, εἰ καλοῖτο πάλιν εἰς τὸ συνέδριον ἐπὶ δίκην, οὐχ ὑπακουσόμενος. Ἠγανάκτουν δ' οἱ ἐν τῷ συνεδρίῳ, καὶ τὸν Ὑρκανὸν ἐπειρῶντο διδάσκειν ὅτι πάντα ταῦτ' εἴη κατ' αὐτοῦ. Τὸν δ' οὐκ ἐλάνθανε μὲν, πράττειν δ' οὐδὲν εἶχεν ὑπὸ ἀνανδρίας καὶ ἀνοίας. Σέξτου δὲ ποιήσαντος Ἡρώδην στρατηγὸν τῆς Κοίλης Συρίας, (χρημάτων γὰρ αὐτῷ τοῦτο ἀπέδοτο,) Ὑρκανὸς ἦν ἐν φόβῳ μὴ στρατεύσηται Ἡρώδης καὶ ἐπ' αὐτόν. Οὐ πολὺ δὲ τούτου τοῦ δέους ἐβράδυνεν, ἀλλ' ἦκεν ἄγων ὁ Ἡρώδης στρατιὰν ἐπ' αὐτὸν, ὀργιζόμενος τῆς δίκης αὐτῷ καὶ τοῦ κληθῆναι πρὸς τὸ λόγον ὑπο- σχεῖν ἐν τῷ συνεδρίῳ. Διεκώλυσαν δ' αὐτὸν προσβα- λεῖν τοῖς Ἱεροσολύμοις ὑπαντήσαντες ὅ τε πατὴρ Ἀν- τίπατρος καὶ ὁ ἀδελφὸς, καὶ τὴν ὁρμὴν αὐτοῦ καταπαύ- σαντες, καὶ παρακαλέσαντες ἔργῳ μὲν ἐγχειρεῖν μηδενὶ, καταπληξάμενον δὲ ἀπειλῇ μόνον μὴ χωρῆσαι περαι- τέρω κατὰ τοῦ παρασχόντος αὐτὸν εἰς τοῦτο παρελθεῖν τὸ ἀξίωμα. Ἠξίουν τε περὶ τοῦ κληθέντα ἐπὶ δίκην ἐλθεῖν ἀγανακτοῦντα μεμνῆσθαι καὶ τῆς ἀφέσεως καὶ χάριν αὐτῆς εἰδέναι, καὶ μὴ πρὸς μὲν τὸ σκυθρωπότε- ρον ἁπαντᾶν, περὶ δὲ τῆς σωτηρίας ἀχαριστεῖν, λογί- ζεσθαι δὲ ὡς, εἰ καὶ πολέμου ῥοπὰς βραβεύει τὸ θεῖον, πλέον ἐστὶ τῆς στρατείας τὸ ἄδηλον, διὸ καὶ τὴν νίκην μὴ πάντῃ προσδοκᾶν μέλλοντα πολεμεῖν βασιλεῖ καὶ συντρόφῳ, καὶ πολλὰ μὲν εὐεργετήσαντι, μηδὲν δὲ χα- λεπὸν εἰς αὐτὸν εἰργασμένῳ, περὶ δ' ὧν ἐγκαλοίη, διὰ πονηροὺς συμβούλους, ἀλλὰ μὴ δι' αὐτὸν, ὑπόνοιαν αὐτῷ καὶ σκιὰν δυσκόλου τινὸς παρεσχημένῳ. Πείθε- ται τούτοις Ἡρώδης, ὑπολαβὼν εἰς τὰς ἐλπίδας ἀπο-

« purpura amictus, et caput ornatus cæsarie composita, « et armatis hominibus stipatus, ut si eum ex lege con- « demnaverimus, trucidet nos, ipse vero violato jure eva- « dat. At Herodem haud equidem ob ista reprehenderem, « si utilitatis suæ majorem quam legum rationem habuerit : « sed vosmet et regem, qui tantam ei licentiam præbui- « stis. Veruntamen scitote potentem esse Deum, et quod « iste, quem nunc propter Hyrcanum vultis absolvere, et « vos aliquando et ipsum regem pœna afficiet. » Nihil au- tem deceptus erat in iis quæ dixit. Nam Herodes, regnum adeptus, omnes qui tum fuerant in synedrio, atque adeo Hyrcanum ipsum, interfecit, excepto Samea : hunc enim propter ejus justitiam magno habebat in honore, quodque, postea obsessa urbe ab Herode et Sosio, populum monuis- set, ut Herodem admitterent, dicendo, eum propter pec- cata effugere non posse. Et de istis quidem suo loco di- cemus.

5. Hyrcanus vero videns eos, qui in synedrio erant, in Herodis mortem incitatos, judicium in alium diem distulit, et clam Herodi consultum misit ut ab urbe profugeret : ita enim ex periculo evasurum. Et ille quidem Damascum se, ut regem fugiens, contulit. Quumque ad Sextum Cæsarem venisset, resque suas in tuto collocasset, ita erat animatus ut, si denuo vocaretur ad synedrium in judicium, non ob- temperaret. Illi vero indignabantur qui in synedrio erant, et Hyrcanum docere conabantur eum ea omnia contra se ipsum facere. Idque eum non latebat, sed quid ageret non habe- bat, præ ignavia atque vecordia. Quum autem Sextus He- rodem Cœles-Syriæ præsidem fecisset, (hoc enim ipsi pecu- nia vendiderat,) erat Hyrcanus in metu ne Herodes sibi etiam bellum inferret : id quod non multo post hunc metum accidit. Veniebat utpote Herodes exercitum in ipsum ducens, iratus ei ob judicium, et quod ad causam dicendam in syne- drio vocatus fuisset. Verum pater Antipater et frater eum prohibuerunt ab impressione in Hierosolyma facienda, et obviam profecti, atque impetum ejus deprecati, hortatique ne quid moliretur, nec ultra quam minis terrorem incu- tiendo procederet adversus eum, cujus beneficio ad hanc dignitatem provectus esset. Atque orabant ut indignanti, quod citatus fuerit ut judicio se sisteret, in memoriam ve- niret et quod fuerit dimissus, atque adeo gratiam haberet, et non ad severiora se reciperet, et pro salute accepta in- gratum semet ostenderet, utque secum reputaret, quod, si belli casus Deus regit et moderatur, eo magis erit in incerto expeditionis eventus, adeoque victoriam non omnino ipsi sperandam esse, bellum illaturo regi et socio, qui multis ipsum affecerit beneficiis, nihil vero gravius in eum admi- serit; et quod ad ea quorum eum insimulet, ut per malo- consiliarios, non per se ullam ipsi suspicionem dederit, fe- ceritve quidpiam quod rei durioris speciem præ se ferret. Istis flectitur Herodes, arbitratus sibi satis esse ad spes ratas habendas, quod hoc saltem assequutus esset ut genti

χρῆναι αὐτῷ καὶ τὴν ἰσχὺν ἐπιδείξασθαι τῷ ἔθνει μόνον. Καὶ τὰ μὲν κατὰ τὴν Ἰουδαίαν οὕτως εἶχεν.

ΚΕΦ. Ι'.

Ὁ δὲ Καῖσαρ διελθὼν εἰς Ῥώμην ἕτοιμος ἦν πλεῖν ἐπ' Ἀφρικῆς, πολεμήσων Σκιπίωνι καὶ Κάτωνι. Πέμψας δ' Ὑρκανὸς πρὸς αὐτὸν παρεκάλει βεβαιώσασθαι τὴν πρὸς αὐτὸν φιλίαν καὶ συμμαχίαν. Ἔδοξε δ' ἀναγκαῖον εἶναί μοι πάσας ἐκθέσθαι τὰς γεγενημένας Ῥωμαίοις καὶ τοῖς αὐτοκράτορσιν αὐτῶν τιμὰς καὶ συμμαχίας πρὸς τὸ ἔθνος ἡμῶν, ἵνα μὴ λανθάνῃ τοὺς ἄλλους ἅπαντας ὅτι καὶ οἱ τῆς Ἀσίας καὶ τῆς Εὐρώπης βασιλεῖς διὰ σπουδῆς ἔσχον ἡμᾶς, τήν τε ἀνδρείαν ἡμῶν καὶ τὴν πίστιν ἀγαπήσαντες. Ἐπεὶ δὲ πολλοὶ διὰ τὴν πρὸς ἡμᾶς δυσμένειαν ἀπιστοῦσι τοῖς ὑπὸ Περσῶν καὶ Μακεδόνων ἀναγεγραμμένοις περὶ ἡμῶν, τῷ μὴ καὶ ταῦτα πανταχοῦ μηδ' ἐν τοῖς δημοσίοις ἀποκεῖσθαι τόποις, ἀλλὰ παρ' ἡμῖν τε αὐτοῖς καί τισιν ἄλλοις τῶν βαρβάρων, πρὸς δὲ τὰ ὑπὸ Ῥωμαίων δόγματα οὐκ ἔστιν ἀντειπεῖν, (ἔν τε γὰρ δημοσίοις ἀνάκειται τόποις τῶν πόλεων καὶ ἔτι νῦν ἐν τῷ Καπετωλίῳ, ἀλλὰ καὶ στήλαις ἀναγέγραπται χαλκαῖς· οὐ μὴν ἀλλὰ Καῖσαρ Ἰούλιος τοῖς ἐν Ἀλεξανδρείᾳ Ἰουδαίοις ποιήσας χαλκῆν στήλην ἐδήλωσεν ὅτι Ἀλεξανδρέων πολῖταί εἰσιν,) ἐκ τούτων ποιήσομαι καὶ τὴν ἀπόδειξιν. Παραθήσομαι δὲ καὶ τὰ γενόμενα ὑπό τε τῆς συγκλήτου δόγματα καὶ Ἰουλίου Καίσαρος πρός τε Ὑρκανὸν καὶ τὸ ἔθνος ἡμῶν.

β'. « ΓΑΙΟΣ ΙΟΥΛΙΟΣ ΚΑΙΣΑΡ ΑΥΤΟΚΡΑΤΩΡ καὶ « ἀρχιερεὺς, δικτάτωρ τὸ δεύτερον, Σιδωνίων ἄρχουσι, « βουλῇ, δήμῳ χαίρειν. Εἰ ἔρρωσθε, εὖ ἂν ἔχοι, « κἀγὼ δὲ ἔρρωμαι σὺν τῷ στρατοπέδῳ. Τῆς γενο« μένης ἀναγραφῆς ἐν τῇ δέλτῳ πρὸς Ὑρκανὸν υἱὸν « Ἀλεξάνδρου, ἀρχιερέα καὶ ἐθνάρχην Ἰουδαίων, πέ« πομφα ὑμῖν τὸ ἀντίγραφον, ἵνα ἐν τοῖς δημοσίοις « ὑμῶν ἀνακέηται γράμμασι. Βούλομαι δὲ καὶ Ἑλλη« νιστὶ καὶ Ῥωμαϊστὶ ἐν δέλτῳ χαλκῇ τοῦτο ἀνατε« θῆναι. Ἔστι δὲ δὴ τοῦτο. Ἰούλιος Καῖσαρ, « αὐτοκράτωρ τὸ δεύτερον καὶ ἀρχιερεὺς, μετὰ συμ« βουλίου γνώμης ἐπέκρινα. Ἐπεὶ Ὑρκανὸς Ἀλεξάν« δρου Ἰουδαῖος καὶ νῦν καὶ ἐν τοῖς ἔμπροσθεν χρόνοις, « ἔν τε εἰρήνῃ καὶ πολέμῳ, πίστιν τε καὶ σπουδὴν περὶ « τὰ ἡμέτερα πράγματα ἐνεδείξατο, ὡς αὐτῷ πολλοὶ « μεμαρτυρήκασιν αὐτοκράτορες, καὶ ἐν τῷ ἔγγιστα « ἐν Ἀλεξανδρείᾳ πολέμῳ μετὰ χιλίων πεντακοσίων « στρατιωτῶν ἦκε σύμμαχος, καὶ πρὸς Μιθριδάτην « ἀποσταλεὶς ὑπ' ἐμοῦ πάντας ἀνδρείᾳ τοὺς ἐν τῇ τά« ξει ὑπερέβαλε, διὰ ταύτας τὰς αἰτίας Ὑρκανὸν Ἀλε« ξάνδρου καὶ τὰ τέκνα αὐτοῦ ἐθνάρχας Ἰουδαίων εἶ« ναι βούλομαι, ἀρχιερωσύνην τε Ἰουδαίων διὰ παντὸς « ἔχειν κατὰ τὰ πάτρια ἔθη, εἶναί τε αὐτὸν καὶ τοὺς « παῖδας αὐτοῦ συμμάχους ἡμῖν, ἔτι δὲ καὶ ἐν τοῖς « κατ' ἄνδρα φίλοις ἀριθμεῖσθαι, ὅσα τε κατὰ τοὺς « ἰδίους αὐτῶν νόμους ἐστὶν ἀρχιερατικὰ ἢ φιλάν-

potentiam suam ostenderet. Et hoc quidem in statu erat Judæa.

CAP. X. (XVII.)

Cæsar vero Romam profectus navigationem in Africam adornabat, cum Scipione et Catone bellum gesturus. Ceterum Hyrcanus ad eum misit rogatum ut amicitiam secum initam et societatem firmaret. Mihi autem necessarium esse visum est percensere omnes honores genti nostræ a Romanis eorumque imperatoribus habitos, et societatis fœdera, ut alios universos non lateat quod et Asiæ et Europæ reges nostrûm studiosi fuerint, ex amore fortitudinis nostræ fideique. Quoniam vero multi propter suum in nos odium nolunt animum inducere ut iis credant quæ Persæ et Macedones de nobis scripserunt, quod ea non ubique compareant, neque in locis publicis exstent, sed apud nos et alios quosdam barbarorum adservantur, Romanorum autem decretis non licet contradicere, (nam in urbium locis publicis reposita sunt, et etiamnum in Capitolio, idque columnis æreis inscripta; quin et Julius Cæsar Judæis qui Alexandriæ sunt, facta ænea columna palam fecit eos cives Alexandrinos esse,) ex istis rem demonstrabo. Præterea etiam decreta a senatu facta et Julio Cæsare apponam, quæ ad Hyrcanum gentemque nostram spectant.

2. « CAIUS JULIUS CÆSAR, IMPERATOR, et pontifex maxi« mus, dictator iterum, Sidoniorum magistratibus, senatui, « populo salutem. Si valetis, bene est; ego quoque et « exercitus valemus. Misi ad vos exemplar decreti in ta« bulas relati, quod ad Hyrcanum Alexandri filium, pon« tificem et ethnarcham Judæum, attinet, ut in vestris « actis publicis reponatur. Volo etiam ut Græce Latine« que tabulis æreis mandetur. Est autem hoc. Julius Cæ« sar imperator iterum, et pontifex maximus, ex concilii « sententia decrevi. Quoniam Hyrcanus Alexandri *filius* « Judæus, et nunc et superioribus temporibus, tam pace « quam bello, fidem et diligentiam nostris in negotiis præ« stitit, id quod ei multi imperatores attestati sunt, et « nuperrime in bello Alexandrino in auxilium venit cum mille « et quingentis militibus, et ad Mithridatem a me missus « omnes in agmine fortitudine superavit, has ob causas « Hyrcanum Alexandri *filium* filiosque ejus Judæorum « ethnarchas esse volo, et pontificatum Judæorum perpe« tuo retinere more patrio, esseque ipsum et filios ejus so« cios nobis, prætereaque in singularibus amicis recen« seri; quæcunque etiam propriis illorum legibus ad pon« tifices pertinent, aut benignitate illis concessa sunt,

« θρωπα, ταῦτα κελεύω κατέχειν αὐτὸν καὶ τὰ τέκνα « αὐτοῦ· ἂν δὲ μεταξὺ γένηταί τις ζήτησις περὶ τῆς « Ἰουδαίων ἀγωγῆς, ἀρέσκει μοι κρίσιν γενέσθαι παρ' « αὐτοῦ. Παραχειμασίαν δὲ ἢ χρήματα πράττεσθαι « οὐ δοκιμάζω. »

γ'. « ΓΑΙΟΣ ΚΑΙΣΑΡΟΣ ὑπάτου δεδογμένα, συγκε- « χωρημένα, προσκεκριμένα, ἐστὶν οὕτως ἔχοντα· « ὅπως τὰ τέκνα αὐτοῦ τοῦ Ἰουδαίων ἔθνους ἀρχῇ καὶ « τοὺς δεδομένους τόπους καρπίζωνται, καὶ ὁ ἀρχιε- « ρεὺς αὐτὸς καὶ ἐθνάρχης τῶν Ἰουδαίων προϊστήται « τῶν ἀδικουμένων. Πέμψαι δὲ πρὸς Ὑρκανὸν Ἀλε- « ξάνδρου υἱὸν, ἀρχιερέα τῶν Ἰουδαίων, πρεσβευτὰς « τοὺς περὶ φιλίας καὶ συμμαχίας διαλεξομένους· « ἀνατεθῆναι δὲ καὶ χαλκῆν δέλτον ταῦτα περιέχουσαν « ἔν τε τῷ Καπετωλίῳ καὶ Σιδῶνι καὶ Τύρῳ καὶ ἐν « Ἀσκάλωνι καὶ ἐν τοῖς ναοῖς, ἐγκεχαραγμένην γράμ- « μασι Ῥωμαϊκοῖς τε καὶ Ἑλληνικοῖς, ὅπως τε τὸ « δόγμα τοῦτο πᾶσι τοῖς κατὰ πόλιν ταμίαις καὶ τοῖς « τούτων ἡγουμένοις εἰς τε τοὺς φίλους ἀνενέγκωσι, « καὶ ξένια τοῖς πρεσβευταῖς παρασχεῖν, καὶ διατά- « γματα πέμψαι πανταχοῦ. »

δ'. « ΓΑΙΟΣ ΚΑΙΣΑΡ, αὐτοκράτωρ, δικτάτωρ, ὕπα- « τος, τιμῆς καὶ ἀρετῆς καὶ φιλανθρωπίας ἕνεκεν συν- « εχώρησεν ἐπὶ συμφέροντι τῆς συγκλήτου καὶ τοῦ « δήμου τῶν Ῥωμαίων Ὑρκανὸν Ἀλεξάνδρου υἱὸν, « αὐτόν τε καὶ τὰ τέκνα αὐτοῦ, ἀρχιερεῖς τε καὶ ἱερεῖς « Ἱεροσολύμων καὶ τοῦ ἔθνους εἶναι ἐπὶ τοῖς δικαίοις « καὶ τοῖς νομίμοις οἷς καὶ οἱ πρόγονοι αὐτῶν τὴν ἱε- « ρωσύνην διακατέσχον.

ε'. « ΓΑΙΟΣ ΚΑΙΣΑΡ, ὕπατος τὸ πέμπτον, ἔκρινε « τούτους ἔχειν καὶ τειχίσαι τὴν Ἱεροσολυμιτῶν πόλιν, « καὶ κατέχειν αὐτὴν Ὑρκανὸν Ἀλεξάνδρου, ἀρχιερέα « Ἰουδαίων καὶ ἐθνάρχην, ὡς ἂν αὐτὸς προαιρῆται· « ὅπως τε Ἰουδαίοις ἐν τῷ δευτέρῳ τῆς μισθώσεως « ἔτει τῆς προσόδου κόρον ὑπεξέλωνται, καὶ μήτε ἐρ- « γολαβῶσί τινες μήτε φόρους τοὺς αὐτοὺς τελῶσιν. »

ς'. « ΓΑΙΟΣ ΚΑΙΣΑΡ, αὐτοκράτωρ τὸ δεύτερον, ἔστη- « σε κατ' ἐνιαυτὸν ὅπως τελῶσιν ὑπὲρ τῆς Ἱεροσολυ- « μιτῶν πόλεως, Ἰόπης ὑπεξαιρουμένης, χωρὶς τοῦ « ἑβδόμου ἔτους, ὃν σαββατικὸν ἐνιαυτὸν προσαγο- « ρεύουσιν, ἐπειδὴ ἐν αὐτῷ μήτε ἀπὸ τῶν δένδρων « καρπὸν λαμβάνουσι μήτε σπείρουσι· καὶ ἵνα ἐν Σι- « δῶνι τῷ δευτέρῳ ἔτει τὸν φόρον ἀποδιδῶσι, τὸ τέ- « ταρτον τῶν σπειρομένων· πρὸς τούτοις ἔτι καὶ Ὑρ- « κανῷ καὶ τοῖς τέκνοις αὐτοῦ τὰς δεκάτας τελῶσιν, ἃς « ἐτέλουν καὶ τοῖς προγόνοις αὐτῶν· καὶ ὅπως μηδεὶς « μήτε ἄρχων μήτε στρατηγὸς ἢ πρεσβευτὴς ἐν τοῖς « ὅροις τῶν Ἰουδαίων ἐνιστᾷ συμμαχίαν, μηδὲ στρα- « τιώτας ἐξείη τὰ χρήματα τούτων εἰσπράττεσθαι ἢ « εἰς παραχειμασίαν, ἢ ἄλλῳ τινὶ ὀνόματι, ἀλλ' εἶναι « πανταχόθεν ἀνεπηρεάστους· ὅσα τε μετὰ ταῦτα ἔσχον « καὶ ἐνεμέθησαν ἢ ἐπρίαντο, ταῦτα πάντα αὐτοὺς « ἔχειν. Ἰόπην δὲ πόλιν, ἣν ἀπ' ἀρχῆς ἔσχον Ἰουδαῖοι « ποιούμενοι τὴν πρὸς Ῥωμαίους φιλίαν, αὐτῶν εἶναι,

« ipsum filiosque ejus habere jubeo : si qua vero inter eos « de Judaicis institutis quæstio oriatur, placet mihi judi- « cium penes ipsum esse. Ut vero illic hiemetur, aut pe- « cuniæ ab illis exigantur, mihi non placet. »

3. « CAII CÆSARIS consulis placita, concessa, decreta, « ita se habent. Ut filii ejus principes sint Judæorum gentis, « et locis sibi concessis fruantur; atque pontifex ipse et « Judæorum ethnarcha eos defendat qui injuria afficiuntur. « Mittendosque esse ad Hyrcanum Alexandri filium Ju- « dæorum pontificem legatos de societate et amicitia actu- « ros; æreamque tabulam ista continentem dedicandam « et in Capitolio et apud Sidonem et Tyrum et Ascalonem « et in templis, inscriptam Romanis Græcisque literis, cu- « *randumque* ut hoc decretum ad omnes singularum « urbium quæstores earumque prætores et ad amicos per- « feratur, quo legatis lautia præbeantur, et mandata hæc « passim divulgentur. »

4. « CAIUS CÆSAR, imperator, dictator, consul, honoris « et virtutis et benignitatis ergo, concessit, quod felix fau- « stumque sit senatui populoque Romano, uti Hyrcanus « Alexandri filius, et pariter ac ipse ejus filii, pontifices et « sacerdotes fiant Hierosolymorum totiusque gentis, eo- « dem jure rituque quo et majores eorum sacerdotium te- « nuerunt. »

5. « CAIUS CÆSAR, quintum consul, decrevit ut isti ha- « beant muniantque Hierosolymorum urbem, atque Hyr- « canus Alexandri *filius*, Judæorum pontifex et ethnarcha, « eam occupet quemadmodum ipse voluerit : et ut Judæis « secundo quoque frugum locationis anno de reditibus eo- « rum subducant, et neque fiat *tributorum* redemptio, « nec eadem tributa *semper* solvantur. »

6. « CAIUS CÆSAR, imperator iterum, statuit, ut pro- « pter urbem Hierosolymorum tributa pendat tota Judæo- « rum ditio, excepta Jope, idque singulis annis, nisi sit « annus septimus, quem sabbaticum appellant, quod mos « est in eo neque fructus arborum legere neque seminare : « utque in Sidone secundo quoque anno tributum reddant « quartam satorum partem; ac præterea Hyrcano ejusque « filiis decimas solvant, quas eorum etiam majoribus sol- « vebant : utque nemo vel præses vel dux vel legatus in « finibus Judæorum auxilia colligat; neve liceat milites « pecunias ab his exigere ad hibernandum, aut alio quo- « cunque nomine, sed ubique sint injuria immunes. Quas « cunque etiam postea habuerint et possederint, aut eme « rint, his omnibus fruantur. Jopen civitatem præterea, « quam ab initio habuerunt Judæi, quum societatem cum « Romanis facerent, illorum esse, quemadmodum et antea.

« καθὼς καὶ τὸ πρότερον, ἡμῖν ἀρέσκειν· φόρους τε
« ὑπὲρ ταύτης τῆς πόλεως Ὑρκανὸν ἔχειν Ἀλεξάνδρου
« υἱὸν καὶ παῖδας αὐτοῦ παρὰ τῶν τὴν γῆν νεμομένων,
« χώρας καὶ λιμένος ἐξαγωγίου κατ' ἐνιαυτὸν Σιδῶνι,
« μοδίους δισμυρίους ἑξακισχιλίους καὶ ἑβδομήκοντα
« πέντε, ὑπεξαιρουμένου τοῦ ἑβδόμου ἔτους, ὃ σαββα-
« τικὸν καλοῦσι, καθ' ὃ οὔτε ἀροῦσιν οὔτε τὸν ἀπὸ τῶν
« δένδρων καρπὸν λαμβάνουσι· τάς τε κώμας τὰς ἐν
« τῷ μεγάλῳ πεδίῳ, ἃς Ὑρκανὸς καὶ οἱ πρόγονοι αὐτοῦ
« πρότερον διακατέσχον, ἀρέσκειν τῇ συγκλήτῳ ταῦτα
« Ὑρκανὸν ἔχειν καὶ Ἰουδαίους ἐπὶ τοῖς δικαίοις οἷς
« καὶ πρότερον εἶχον· μένειν δὲ καὶ τὰ ἀπ' ἀρχῆς δί-
« καια, ὅσα πρὸς ἀλλήλους Ἰουδαίοις καὶ τοῖς ἀρχιε-
« ρεῦσι καὶ τοῖς ἱερεῦσιν ἦν, τά τε φιλάνθρωπα, ὅσα
« τοῦ τε δήμου ψηφισαμένου καὶ τῆς συγκλήτου ἔσχον.
« Ἐπὶ τούτοις τε τοῖς δικαίοις χρῆσθαι αὐτοὺς ἐξεῖναι
« ἐν Λύδδοις· τούς τε τόπους καὶ χώρας καὶ ἐποίκια,
« ὅσα βασιλεῦσι Συρίας καὶ Φοινίκης συμμάχοις οὖσι
« Ῥωμαίων κατὰ δωρεὰν ὑπῆρχε καρποῦσθαι, ταῦτα
« δοκιμάζει ἡ σύγκλητος Ὑρκανὸν τὸν ἐθνάρχην καὶ
« Ἰουδαίους ἔχειν· δίδοσθαί τε Ὑρκανῷ καὶ παισὶ
« τοῖς αὐτοῦ καὶ πρεσβευταῖς τοῖς ὑπ' αὐτοῦ πεμφθεῖ-
« σιν ἐν τε πυγμῇ μονομάχων καὶ θηρίων καθεζομένους
« μετὰ τῶν συγκλητικῶν θεωρεῖν, καὶ αἰτησαμένοις
« παρὰ δικτάτορος ἢ παρὰ ἱππάρχου παρελθεῖν, ὅταν
« εἰς τὴν σύγκλητον εἰσάγωσι, τὰ ἀποκρίματα αὐτοῖς
« ἀποδίδόσθαι ἐν ἡμέραις δέκα ταῖς ἁπάσαις, ἀφ' ἧς
« ἂν τὸ δόγμα γένηται. »

ζ'. « ΓΑΙΟΣ ΚΑΙΣΑΡ, αὐτοκράτωρ [δικτάτωρ] τὸ
« τέταρτον, ὕπατός τε τὸ πέμπτον, δικτάτωρ ἀποδε-
« δειγμένος διὰ βίου, λόγους ἐποιήσατο περὶ τῶν
« δικαίων τῶν Ὑρκανοῦ τοῦ Ἀλεξάνδρου, ἀρχιερέως
« Ἰουδαίων καὶ ἐθνάρχου, τοιούτους. Τῶν πρὸ ἐμοῦ
« αὐτοκρατόρων ἐν ταῖς ἐπαρχίαις μαρτυρησάντων
« Ὑρκανῷ ἀρχιερεῖ Ἰουδαίων καὶ Ἰουδαίοις, ἐπί τε
« συγκλήτου καὶ δήμου Ῥωμαίων, εὐχαριστήσαντός
« τε τοῦ δήμου καὶ τῆς συγκλήτου αὐτοῖς, καλῶς ἔχει
« καὶ ἡμᾶς ἀπομνημονεύειν καὶ προνοεῖν ὅπως Ὑρ-
« κανῷ καὶ τῷ ἔθνει τῶν Ἰουδαίων καὶ τοῖς Ὑρκανοῦ
« παισὶν ὑπὸ συγκλήτου καὶ δήμου Ῥωμαίων ἀξία τῆς
« πρὸς ἡμᾶς εὐνοίας αὐτῶν καὶ ὧν εὐεργέτησαν ἡμᾶς
« χάρις ἀνταποδοθῇ. »

η'. « ΙΟΥΛΙΟΣ ΓΑΙΟΣ, στρατηγὸς, ὕπατος Ῥω-
« μαίων, Παριανῶν ἄρχουσι, βουλῇ, δήμῳ χαίρειν.
« Ἐνέτυχόν μοι Ἰουδαῖοι ἐν Δήλῳ καί τινες τῶν πα-
« ροίκων Ἰουδαίων, παρόντων καὶ τῶν ὑμετέρων πρέ-
« σβεων, καὶ ἐνεφάνισαν ὡς ὑμεῖς ψηφίσματι κω-
« λύετε αὐτοὺς τοῖς πατρίοις ἔθεσι καὶ ἱεροῖς χρῆσθαι.
« Ἐμοὶ τοίνυν οὐκ ἀρέσκει κατὰ τῶν ἡμετέρων φίλων
« καὶ συμμάχων τοιαῦτα γίνεσθαι ψηφίσματα καὶ κω-
« λύεσθαι αὐτοὺς ζῆν κατὰ τὰ αὐτῶν ἔθη καὶ χρήματα
« εἰς σύνδειπνα καὶ τὰ ἱερὰ εἰσφέρειν, τοῦτο ποιεῖν αὐ-
« τῶν μηδ' ἐν Ῥώμῃ κεκωλυμένων. Καὶ γὰρ Γάϊος
« Καῖσαρ, ὁ ἡμέτερος στρατηγὸς καὶ ὕπατος, ἐν τῷ

« nobis placere : tributa quoque hujus civitatis nomine ha-
« bere Hyrcanum Alexandri filium ejusque filios ab agri
« cultoribus, propter frumentum e regione et portu quo-
« tannis in Sidonem [exportatum, modios vicies sexies
« mille septuaginta quinque, excepto septimo anno quem
« sabbaticum vocant, in quo neque arant neque fructum
« ex arboribus colligunt. Vicos autem quos in magno
« campo Hyrcanus ejusque majores olim possederunt, se-
« natui placere istos habere Hyrcanum et Judæos, eodem
« jure quo et prius habuerunt : manere etiam jura quæ ab
« initio erant inter Judæos et pontifices et sacerdotes, ut et
« beneficia quæ a populo et a senatu concessa habuerunt.
« Prætereaque eodem jure licere uti iis in Lyddis. Loca
« etiam et agros et villas, quæ fuerunt regum Syriæ et
« Phœnices sociorum populi Romani, quorum usumfru-
« ctum ceperunt ex eorum donatione, placet senatui ut
« Hyrcanus ethnarcha et Judæi habeant. Item Hyrcano
« licere ejusque filiis et legatis ab eo missis ut in ludis gla-
« diatoriis et pugnis cum bestiis inter senatores spectandi
« gratia sedeant, quumque petiverint a dictatore aut ma-
« gistro equitum ut in publicum prodeant, illis, in senatum
« introductis, responsum reddendum, intra decem in uni-
« versum dies, ex quo factum fuerit senatusconsultum. »

7. « Caius Cæsar, imperator [dictator] quartum, consul
« quintum, perpetuus dictator declaratus, hujusmodi verba
« fecit de jure Hyrcani Alexandri filii, Judæorum pontificis
« et ethnarchæ. Quandoquidem imperatores, qui ante me
« fuerunt, testimonium dederunt Hyrcano pontifici Judæo-
« rum et Judæis, tam in provinciis quam coram senatu
« populoque Romano, atque gratias eis populus et senatus
« egerit, bonum factum, ut nos quoque meminerimus et
« operam demus, ut Hyrcano et Judæorum genti filiisque
« Hyrcani a senatu populoque Romano debitæ eorum erga
« nos benevolentiæ et beneficiis in nos collatis gratiæ refe-
« rantur. »

8. « Caius Julius, prætor, consul Romanorum, Pario-
« rum magistratibus, senatui, populo salutem. Convene-
« runt me Judæi in Delo, et quidam ex Judæis *insulæ* in-
« quilinis, præsentibus etiam vestris legatis; et significa-
« runt quod vos decreto eos prohibetis patriis ritibus et
« sacris uti. Verum mihi non placet ejusmodi decreta
« contra amicos et socios nostros fieri, vetarique eos ex
« suis institutis vivere, et conferre pecunias in epulas
« et rem divinam, præsertim quum nec Romæ ista fa-
« cere prohibeantur. Nam et Caius Cæsar, prætor noster

« διατάγματι κωλύων θιάσους συνάγεσθαι κατὰ πόλιν,
« μόνους τούτους οὐκ ἐκώλυσεν οὔτε χρήματα συνεισ-
« φέρειν οὔτε σύνδειπνα ποιεῖν· ὁμοίως δὲ κἀγὼ
« τοὺς ἄλλους θιάσους κωλύων, τούτους μόνους ἐπιτρέπω
« κατὰ τὰ πάτρια ἔθη καὶ νόμιμα συνάγεσθαί τε καὶ
« ἱστασθαι. Καὶ ὑμᾶς οὖν καλῶς ἔχει, εἴ τι κατὰ τῶν
« ἡμετέρων φίλων καὶ συμμάχων ψήφισμα ἐποιήσατε,
« τοῦτο ἀκυρῶσαι διὰ τὴν περὶ ἡμᾶς αὐτῶν ἀρετὴν καὶ
« εὔνοιαν. »

θ'. Μετὰ δὲ τὸν Γαΐου θάνατον Μάρκος Ἀντώνιος καὶ Πόπλιος Δολοβέλλας, ὕπατοι ὄντες, τήν τε σύγκλητον συνήγαγον καὶ τοὺς Ὑρκανοῦ πρέσβεις παραγαγόντες διελέχθησαν περὶ ὧν ἠξίουν, καὶ φιλίαν πρὸς αὐτοὺς ἐποίησαν· καὶ πάντα συγχωρεῖν αὐτοῖς ἡ σύγκλητος ἐψηφίσατο, ὅσων τυγχάνειν ἐβούλοντο. Παρατίθεμαι δὲ καὶ τὸ δόγμα, ὅπως τὴν ἀπόδειξιν τῶν λεγομένων ἐγγύθεν ἔχωσιν οἱ ἀναγινώσκοντες τὴν πραγματείαν. Ἦν δὲ τοιοῦτο.

ι'. Δόγμα συγκλήτου ἐκ τοῦ ταμιείου ἀντιγεγραμμένον ἐκ τῶν δέλτων τῶν δημοσίων τῶν ταμιευτικῶν, Κοίντῳ Ῥουτιλίῳ Κορνηλίῳ ταμίαις κατὰ πόλιν, δέλτῳ δευτέρᾳ καὶ ἐκ τῶν πρώτων. « Τῇ πρὸ τριῶν εἰδῶν
« Ἀπριλλίων ἐν τῷ ναῷ τῆς Ὁμονοίας γραφομένῳ
« παρῆσαν Λούκιος Καλπούρνιος Μενενίᾳ Πείσων,
« Σερούϊος Παπίνιος Λεμωνίᾳ Ποτίτος, Γάϊος Κανίνιος
« Τηρηντίνᾳ Ῥεβίλιος, Πόπλιος Τιδήτιος, Λεύκιος
« Ἀπουλῖνος Λευκίου υἱὸς Σεργίᾳ, * Φλάβιος Λευκίου
« Λεμωνίᾳ, Πόπλιος Πλάτιος Ποπλίου Παπιρίᾳ,
« Μάρκος Ἀκύλιος Μάρκου Μεκίᾳ, Λούκιος Ἐρούκιος
« Λουκίου Στελλατίνᾳ, Μάρκος Κυΐντιος Μάρκου υἱὸς
« Πολλίᾳ Πλάγκιλλος, Πόπλιος Σέριος. Πόπλιος
« Δολοβέλλας, Μάρκος Ἀντώνιος ὕπατοι λόγους ἐποιήσαντο. Περὶ ὧν δόγματι συγκλήτου Γάϊος Καῖσαρ
« ὑπὲρ Ἰουδαίων ἔκρινε καὶ εἰς τὸ ταμιεῖον οὐκ ἔρθασεν ἀνενεχθῆναι, περὶ τούτων ἀρέσκει ἡμῖν γενέσθαι
« ὡς καὶ Ποπλίῳ Δολοβέλλᾳ καὶ Μάρκῳ Ἀντωνίῳ
« τοῖς ὑπάτοις ἔδοξεν, ἀνενεγκεῖν τε ταῦτα εἰς δέλτους
« καὶ πρὸς τοὺς κατὰ πόλιν ταμίας, ὅπως φροντίσωσι
« καὶ αὐτοὶ ἐν δέλτοις ἀναθεῖναι διπτύχοις. Ἐγένετο
« πρὸ πέντε εἰδῶν Φεβρουαρίων ἐν τῷ ναῷ τῆς Ὁμονοίας. Οἱ δὲ πρεσβεύοντες παρ' Ὑρκανοῦ τοῦ ἀρχιερέως ἦσαν οὗτοι, Ἀυσίμαχος Παυσανίου, Ἀλέξανδρος
« Θεοδώρου, Πάτροκλος Χαιρέου, Ἰωνάθης Ὀνίου. »

ια'. Ἔπεμψε δὲ τούτων Ὑρκανὸς τῶν πρεσβευτῶν ἕνα καὶ πρὸς Δολοβέλλαν τὸν τῆς Ἀσίας τότε ἡγεμόνα, παρακαλῶν ἀπολῦσαι τοὺς Ἰουδαίους τῆς στρατείας καὶ τὰ πάτρια τηρεῖν αὐτοῖς ἔθη ἐπιτρέπειν τε κατὰ ταῦτα ζῆν. Λαβὼν γὰρ ὁ Δολοβέλλας τὰ παρὰ τοῦ Ὑρκανοῦ γράμματα, μηδὲ βουλευσάμενος ἐπιστέλλει τοῖς κατὰ τὴν Ἀσίαν ἅπασι γράψας καὶ τῇ Ἐφεσίων πόλει πρωτευούσῃ τῆς Ἀσίας περὶ τῶν Ἰουδαίων. Ἡ δὲ ἐπιστολὴ τοῦτον περιεῖχε τὸν τρόπον.

ιβ'. « Ἐπὶ πρυτάνεως Ἀρτέμωνος Ληναιῶνος
« πρώτῃ, Δολοβέλλας αὐτοκράτωρ Ἐφεσίων βουλῇ

« et consul, quum edicto vetaret ullas in urbe coitiones ha-
« beri, solum istæ ne fierent, simulque ne pecuniam con-
« ferrent aut convivia agitarent, non interdixit : similiter
« et ego, alias coitiones prohibens, illis solis permitto ex
« patriis moribus et institutis congregari et in eo persi-
« stere. Quare bonum factum *erit* ut vos etiam, si quid
« contra amicos nostros et socios edixeritis, id abrogatum
« eatis, propter illorum erga nos merita et benevolen-
« tiam. »

9. Post mortem autem C. Cæsaris, M. Antonius et P. Dolabella consules senatum convocabant, et introductis Hyrcani legatis, de illorum postulatis retulerunt, et amicitiæ fœdus cum eis fecerunt : et omnia illis concedi senatus decrevit, quæcunque impetrare voluerunt. Appono autem etiam decretum, ut demonstrationem eorum quæ dicuntur ad manus habeant lectores hujus historiæ. Erat vero tale.

10. Senatusconsultum ex ærario descriptum et tabulis publicis quæstoriis, Quinto Rutilio *C.* Cornelio quæstoribus urbanis, tabula secunda et ex primis. « Ante diem ter-
« tium idus Apriles in æde Concordiæ scribendo adfuerunt
« Lucius Calpurnius *tribu* Menenia Piso, Servius Papinius
« Lemonia Potitus, Caius Caninius Terentina Rebilius,
« Publius Tidetius, Lucius Apulinus Lucii filius Sergia, *
« Flavius Lucii *filius* Lemonia, Publius Platius Publii
« *filius* Papiria, Marcus Acilius Marci *filius* Mæcia, Lucius
« Erucius Lucii *filius* Stellatina, Marcus Quintius Marci
« filius Pollia Plancillus, Publius Serius. Publius Dola-
« bella, Marcus Antonius consules verba fecerunt. In qui-
« bus rebus senatusconsulto Caius Cæsar pro Judæis de-
« crevit, neque ante curavit in ærarium deferri, de his
« placet nobis fieri, sicut etiam Publio Dolabellæ et Marco
« Antonio consulibus visum fuit, et deferre ista in tabulas,
« et ad quæstores urbanos, ut et ipsis curæ sit ea in tabu-
« lis duplicibus reponere. Factum est ante diem quintum
« idus Februarias apud ædem Concordiæ. Legati autem
« ab Hyrcano pontifice erant isti : Lysimachus Pausaniæ
« *filius*, Alexander Theodori, Patroclus Chæreæ, Jona-
« thas Oniæ. »

11. Sed et ad Dolabellam, qui tunc Asiæ præerat, Hyrcanus unum ex his legatis misit, obsecrans ut dimitteret Judæos a militia, et servaret eis patria instituta, sineretque ex illis vitam agere. Dolabella vero post acceptas ab Hyrcano literas, nulla adhibita deliberatione, tum omnibus Asiaticis epistolam misit, tum etiam Ephesiorum urbi, quæ prima erat Asiæ, de Judæis. Atque epistola illa erat hoc exemplo.

12. « Prytane Artemone, die primo Lenæonis, Dolabella
« imperator senatui Ephesiorum et magistratibus et populo

« καὶ ἄρχουσι καὶ δήμῳ χαίρειν. Ἀλέξανδρος Θεο-
« δώρου, πρεσβευτὴς Ὑρκανοῦ τοῦ Ἀλεξάνδρου υἱοῦ
« ἀρχιερέως καὶ ἐθνάρχου τῶν Ἰουδαίων, ἐνεφάνισέ μοι
« περὶ τοῦ μὴ δύνασθαι στρατεύεσθαι τοὺς πολίτας αὐ-
« τοῦ, διὰ τὸ μήτε ὅπλα βαστάζειν δύνασθαι μήτε
« ὁδοιπορεῖν αὐτοὺς ἐν ταῖς ἡμέραις τῶν σαββάτων,
« μήτε τροφῶν τῶν πατρίων καὶ συνήθων κατ' αὐτοὺς
« εὐπορεῖν. Ἐγώ τε οὖν αὐτοῖς, καθὼς καὶ οἱ πρὸ
« ἐμοῦ ἡγεμόνες, δίδωμι τὴν ἀστρατείαν, καὶ συγχωρῶ
« χρῆσθαι τοῖς πατρίοις ἐθισμοῖς ἱερῶν ἕνεκα καὶ ἁγίων
« συναγομένους, καθὼς αὐτοῖς νόμιμον, καὶ τῶν πρὸς
« τὰς θυσίας ἀφαιρεμάτων, ὑμᾶς τε βούλομαι ταῦτα
« γράψαι κατὰ πόλεις. »

ιγ'. Καὶ ταῦτα μὲν Δολοβέλλας Ὑρκανοῦ πρεσβευ-
σαμένου πρὸς αὐτὸν ἐχαρίσατο τοῖς ἡμετέροις. « Λεύκιος
« δὲ Λέντλος ὕπατος εἶπε· Πολίτας Ῥωμαίων Ἰουδαίους,
« ἱερὰ Ἰουδαϊκὰ ἔχοντας καὶ ποιοῦντας ἐν Ἐφέσῳ, πρὸ
« τοῦ βήματος δεισιδαιμονίας ἕνεκα στρατείας ἀπέλυσα,
« πρὸ δώδεκα καλανδῶν Ὀκτωβρίων, Λευκίῳ Λέντλῳ,
« Γαΐῳ Μαρκέλλῳ ὑπάτοις. Παρῆσαν Τίτος Ἄππιος
« Τίτου υἱὸς Βάλγως Ὁρατίᾳ πρεσβευτὴς, Τίτος Τόγ-
« γιος Τίτου υἱὸς Κροστομίνᾳ, Κόϊντος Ῥαίσιος Κοίν-
« του, Τίτος Πομπήϊος Τίτου Λογγῖνος, Γάϊος Σερουί-
« λιος Γαΐου Τηρηντίνᾳ Βράχχος χιλίαρχος, Πόπλιος
« Κλούσιος Ποπλίου Οὐετουρίᾳ Γάλλος, Γάϊος Σέντιος
« Γαΐου * * υἱὸς Σαβατίνᾳ. Τίτος Ἄππιος Τίτου
« υἱὸς Βόλβος, πρεσβευτὴς καὶ ἀντιστράτηγος, Ἐφεσίων
« ἄρχουσι, βουλῇ, δήμῳ χαίρειν. Ἰουδαίους τοὺς ἐν τῇ
« Ἀσίᾳ Λούκιος Λέντλος ὕπατος, ἐμοῦ ἐντυγχάνοντος
« ὑπὲρ αὐτῶν, ἀπέλυσε τῆς στρατείας. Αἰτησάμενος
« δὲ μετὰ ταῦτα καὶ παρὰ Φανίου τοῦ ἀντιστρατήγου
« καὶ παρὰ Λευκίου Ἀντωνίου τοῦ ἀντιταμίου ἐπέτυ-
« χον, ὑμᾶς τε βούλομαι φροντίσαι ἵνα μή τις διενο-
« χλῇ. »

ιδ'. ΨΗΦΙΣΜΑ ΔΗΛΙΩΝ. « Ἐπὶ ἄρχοντος Βοιωτοῦ
« μηνὸς Θαργηλιῶνος εἰκοστῇ χρηματισμὸς στρατηγῶν.
« Μάρκος Πείσων πρεσβευτὴς, ἐνδημῶν ἐν τῇ πόλει
« ἡμῶν, ὁ καὶ τεταγμένος ἐπὶ τῆς στρατολογίας, προσ-
« καλεσάμενος ἡμᾶς καὶ ἱκανοὺς τῶν πολιτῶν, προσέ-
« ταξεν ἵνα, εἴ τινες Ἰουδαῖοι πολῖται Ῥωμαίων, τού-
« τοις μηδεὶς ἐνοχλῇ περὶ στρατείας, διὰ τὸ τὸν ὕπατον
« Κορνήλιον Λέντλον δεισιδαιμονίας ἕνεκα ἀπολελυκέ-
« ναι τοὺς Ἰουδαίους τῆς στρατείας. Διὸ πείθεσθαι
« ὑμᾶς δεῖ τῷ στρατηγῷ. » Ὅμοια δὲ τούτοις καὶ Σαρ-
διανοὶ περὶ ἡμῶν ἐψηφίσαντο.

ιε'. « ΓΑΙΟΣ ΦΑΝΙΟΣ Γαΐου υἱὸς, στρατηγὸς, ὕπα-
« τος, Κῴων ἄρχουσι χαίρειν. Βούλομαι ὑμᾶς γνῶ-
« ναι ὅτι πρέσβεις Ἰουδαίων μοι προσῆλθον, ἀξιοῦντες
« λαβεῖν τὰ ὑπὸ τῆς συγκλήτου δόγματα περὶ αὐτῶν
« γεγονότα. Ὑποτέταχται δὲ τὰ δεδογμένα. Ὑμᾶς
« θέλω φροντίσαι καὶ προνοῆσαι τῶν ἀνθρώπων κατὰ
« τὸ συγκλήτου δόγμα, ὅπως διὰ τῆς ὑμετέρας χώρας
« εἰς τὴν οἰκείαν ἀσφαλῶς ἀνακομισθῶσι. »

ις'. « ΛΟΥΚΙΟΣ ΛΕΝΤΑΟΣ ὕπατος λέγει, πολίτας

« salutem. Alexander Theodori filius, legatus Hyrcani,
« Alexandri filii, pontificis Judæorum et ethnarchæ, mihi
« significavit non posse populares suos militiæ nomen dare,
« idcirco quod nec arma ferre queant, nec iter illi facere
« diebus sabbatorum, neque cibos patrios et quibus con-
« sueverant seorsum comparare. Propterea ego do illis,
« sicut etiam magistratus, qui ante me fuerunt, immuni-
« tatem a militia, permittoque ut utantur patriis institutis,
« quum propter sacra et res divinas ex more suo congre-
« gantur, et ad oblationes in sacrificia faciendas, et vos volo
« literas de istis per urbes singulas dimittendas curare. »

13. Et hæc quidem Dolabella, quum Hyrcanus ad eum legatos misisset, gratificatus est nostris. « Lucius vero « Lentulus consul dixit : Cives Romanos Judæos, sacra « Judaica habentes iisque operantes in urbe Epheso, pro « tribunali religionis ergo ab militia dimisi, ante diem duo- « decimum calendas Octobres, Lucio Lentulo, Caio Marcello « consulibus. Affuerunt Titus Appius Titi filius Balgus « Horatia legatus, Titus Tongius Titi filius Crustumina, « Quintus Ræsius Quinti *filius*, Titus Pompejus Titi *filius* « Longinus, Caius Servilius Caii *filius* Terentina Bracchus « tribunus militum, Publius Clusius Publii *filius* Veturia « Gallus, Caius Sentius Caii * * filius Sabatina. Titus « Appius Titi filius Bulbus, legatus et proprætor, Ephesio- « rum magistratibus, senatui, populo salutem. Judæos « qui in Asia sunt Lucius Lentulus consul, me pro illis « intercedente, dimisit a militia. Postea autem quum idem « petiissem a Fannio proprætore et a Lucio Antonio pro- « quæstore, *id ipsum* impetravi, vosque volo curare ne « quis molestiam creet. »

14. DECRETUM DELIORUM. « Archonte Bœoto mensis Thar- « gelionis die vigesimo responsum prætorum. Marcus « Piso legatus, quum in urbe nostra ageret, præessetque de- « lectui habendo, nobis multisque civium advocatis impe- « ravit, si qui Judæi cives Romani *essent*, eos ne quis « vexaret propter militiam, idcirco, quod consul Corne- « lius Lentulus religionis ergo Judæos a militia dimiserit. « Quam ob causam vos oportet prætori obtemperare. » Similia autem his etiam Sardiani de nobis decreverunt.

15. « CAIUS FANNIUS Caii filius, imperator, consul, Coo- « rum magistratibus salutem. Volo vos scire, legatos « Judæorum ad me accessisse, orantes ut acciperent decreta « senatus de ipsis facta. Ea vero consulta subjuncta sunt. « Vos volo ex senatusconsulti sententia his hominibus « curam adhibere et prospicere ut per regionem vestram « secure in suam revehantur. »

16. « LUCIUS LENTULUS consul dicit, cives Romanos Ju-

« Ῥωμαίων Ἰουδαίους, οἵτινές μοι ἱερὰ ἔχειν καὶ ποιεῖν « Ἰουδαϊκὰ ἐν Ἐφέσῳ ἐδόκουν, δεισιδαιμονίας ἕνεκα « ἀπέλυσα. Τοῦτο ἐγένετο πρὸ δεκατριῶν καλανδῶν « Ὀκτωβρίων. »

ιζ'. « ΛΟΥΚΙΟΣ ΑΝΤΩΝΙΟΣ Μάρκου υἱὸς, ἀντιτα- « μίας καὶ ἀντιστράτηγος, Σαρδιανῶν ἄρχουσι, βουλῇ, « δήμῳ χαίρειν. Ἰουδαῖοι πολῖται ἡμέτεροι προσελ- « θόντες μοι ἐπέδειξαν ἑαυτοὺς σύνοδον ἔχειν ἰδίαν κατὰ « τοὺς πατρίους νόμους ἀπ' ἀρχῆς καὶ τόπον ἴδιον, ἐν « ᾧ τά τε πράγματα καὶ τὰς πρὸς ἀλλήλους ἀντιλο- « γίας κρίνουσι· τοῦτό τε αἰτησαμένοις ἵν' ἐξῇ αὐτοῖς « ποιεῖν, τηρῆσαι καὶ ἐπιτρέψαι ἔκρινα. »

ιη'. « ΜΑΡΚΟΣ ΠΟΠΛΙΟΣ ὁ Σπουρίου υἱὸς καὶ Μάρ- « κος Μάρκου καὶ Ποπλίου υἱὸς Λούκιος λέγουσι. « Λέντλῳ τῷ ἀνθυπάτῳ προσελθόντες ἐδιδάξαμεν αὐτὸν « περὶ ὧν Δωσίθεος Κλεοπατρίδου Ἀλεξανδρεὺς λόγους « ἐποιήσατο, ὅπως πολίτας Ῥωμαίων Ἰουδαίους ἱερὰ « Ἰουδαϊκὰ ποιεῖν εἰωθότας, ἂν αὐτῷ φανῇ, δεισιδαι- « μονίας ἕνεκα ἀπολύσῃ· καὶ ἀπέλυσι πρὸ δεκατριῶν « καλανδῶν Ὀκτωβρίων. »

ιθ'. « ΚΥΙΝΤΙΛΙῼ Λευκίῳ Λέντλῳ, Γαΐῳ Μαρκέλλῳ « ὑπάτοις. Παρῆσαν Τίτος Ἄππιος Τίτου υἱὸς Βάλ- « βος Ὁρατία πρεσβευτὴς, Τίτος Τόγγιος Κροστομίνα, « Κόϊντος Ῥαίσιος Κοΐντου, Τίτος Πήϊος Τίτου υἱὸς, « Κορνήλιος Λογγῖνος, Γάϊος Σερουΐλιος Γαΐου Τηρην- « τίνα Βράχχος χιλίαρχος, Πόπλιος Κλούσιος Ποπλίου « υἱὸς Οὐετωρία Γάλλος, Γάϊος Τεύτιος Γαΐου Αἰμι- « λία χιλίαρχος, Σέξτος Ἀτίλιος Σέξτου υἱὸς Αἰσουία « Σέρρανος, Γάϊος Ποππήϊος Γαΐου υἱὸς Σαβατίνα, « Τίτος Ἄππιος Τίτου Μένανδρος, Πόπλιος Σερουΐλιος « Ποπλίου υἱὸς Στράβων, Λεύκιος Πάκκιος Λευκίου « Κολλίνα Καπίτων, Αὖλος Φούριος Αὔλου υἱὸς Τέρ- « τιος, Ἄππιος Μηνᾶς. Ἐπὶ τούτων ὁ Λέντλος δό- « γμα ἐξήνεγκε· πολίτας Ῥωμαίων Ἰουδαίους, οἵτινες « ἱερὰ Ἰουδαϊκὰ ποιεῖν εἰώθασιν ἐν Ἐφέσῳ, πρὸ τοῦ « βήματος δεισιδαιμονίας ἕνεκα ἀπέλυσα. »

κ'. « ΛΑΟΔΙΚΕΩΝ ἄρχοντες Γαΐῳ Ῥαβιλίῳ Γαΐου « υἱῷ ὑπάτῳ χαίρειν. Σώπατρος Ὑρκανοῦ τοῦ ἀρχιε- « ρέως πρεσβευτὴς ἐπέδωκεν ἡμῖν τὴν παρὰ σοῦ ἐπι- « στολὴν, δι' ἧς ἐδήλου ἡμῖν παρ' Ὑρκανοῦ τοῦ Ἰου- « δαίων ἀρχιερέως ἐληλυθότας τινὰς γράμματα κομίσαι « περὶ τοῦ ἔθνους αὐτῶν γεγραμμένα, ἵνα τὰ σάββατα « τοῖς Ἰουδαίοις ἐξῇ καὶ τὰ λοιπὰ ἱερὰ ἐπιτελεῖν κατὰ « τοὺς πατρίους νόμους, ὅπως τε μηδεὶς αὐτοῖς ἐπιτάσ- « ῃ, διὰ τὸ φίλους αὐτοὺς ἡμετέρους εἶναι καὶ συμ- « μάχους, ἀδικήσῃ τε μηδεὶς αὐτοὺς ἐν τῇ ἡμετέρᾳ « ἐπαρχίᾳ, ὡς Τραλλιανῶν τε ἀντειπόντων κατὰ « πρόσωπον μὴ ἀρέσκεσθαι τοῖς περὶ αὐτῶν δεδογμέ- « νοις ἐπέταξας ταῦτα οὕτω γίνεσθαι· παρακεκλῆσθαι « δέ γε, ὥστε καὶ ἡμῖν ταῦτα γράψαι περὶ αὐτῶν. « Ἡμεῖς οὖν, κατακολουθοῦντες τοῖς ἐπεσταλμένοις « ὑπὸ σοῦ, τήν τε ἐπιστολὴν τὴν ἀποδοθεῖσαν ἐδεξά- « μεθα καὶ κατεχωρίσαμεν εἰς τὰ δημόσια ἡμῶν γράμ-

« dæos, qui mihi videbantur sacra habere et colere Judaica « in urbe Epheso, religionis ergo dimisi. Id factum est « ante diem tertium decimum calendas Octobres. »

17. « LUCIUS ANTONIUS Marci filius, proquæstor et pro- « prætor, Sardianorum magistratibus, senatui, populo « salutem. Judæi cives nostri, quum ad me accessissent, « ostenderunt, se suos habere cœtus ex legibus patriis jam « inde ab initio, et locum proprium, in quo de negotiis et « controversiis inter ipsos ortis judicium ferunt : quumque « a me petiissent ut id ipsis facere liceret, eadem illis ser- « vari permittique decrevi. »

18. « MARCUS PUBLIUS Spurii filius et Marcus Marci et « Publii filius Lucius dicunt. Quum Lentulum proconsulem « adiissemus, illum edocuimus, de quibus rebus Dositheus « Cleopatridæ filius, Alexandrinus, verba fecit, ut Judæos « cives Romanos sacra Judaica celebrare solitos, si quidem « ei videretur, religionis ergo dimitteret; et dimisit ante « diem tertium decimum calendas Octobres. »

19. « QUINTILI Lucio Lentulo, Caio Marcello consu- « libus. Aderant Titus Appius Titi filius Balbus Horatia « legatus, Titus Tongius Crustumina, Quintus Ræsius « Quinti *filius*, Titus *Pom*pejus Titi filius, Cornelius Lon- « ginus, Caius Servilius Caii *filius* Terentina Bracchus « tribunus militum, Publius Clusius Publii filius Veturia « Gallus, Caius Teutius Caii *filius* Æmilia tribunus mili- « tum, Sextus Atilius Sexti filius *Æsquilina* Serranus, « Caius Pompejus Caii filius Sabatina, Titus Appius Titi « *filius* Menander, Publius Servilius Publii filius Strabo, « Lucius Paccius Lucii *filius* Collina Capito, Aulus Furius « Auli filius Tertius, Appius Menas. His præsentibus Len- « tulus decretum pronunciavit : Judæos cives Romanos, « qui sacra Judaica facere consueverunt in urbe Epheso, « pro tribunali religionis ergo dimisi. »

20. « LAODICENSIUM magistratus Caio Rabilio Caii filio « consuli salutem. Sopater Hyrcani pontificis legatus red- « didit nobis a te epistolam, qua significabat nobis, ab « Hyrcano Judæorum pontifice quosdam profectos attulisse « literas de gente ipsorum scriptas, ut sabbata Judæis lice- « ret ac reliqua sacra peragere ex patriis legibus, et ut « nullus eis imperet, quia amici nostri sunt et socii, ac « nemo eos injuria afficiat in nostra provincia, utpote qui « et Trallianis coram contradicentibus non placere hæc « de illis decreta, imperaris illa sic fieri : sed insuper hoc « se rogatum esse, ut nobis quoque ista de illis scriberes. « Nos igitur, præceptis tuis obsequentes, epistolam tradi- « tam accepimus et in publicas nostras tabulas reposuimus;

« ματα· καὶ περὶ τῶν ἄλλων ὧν ἐπέσταλκας προνοήσο-
« μεν ὥστε μηδὲν μεμφθῆναι. »

κα'. « ΠΟΠΛΙΟΣ Σερουίλιος Ποπλίου υἱὸς Γάλβας
« ἀνθύπατος Μιλησίων ἄρχουσι, βουλῇ, δήμῳ χαίρειν.
« Πρύτανις Ἑρμοῦ υἱὸς, πολίτης ὑμέτερος, προσελθών
« μοι ἐν Τράλλεσιν ἄγοντι τὸν ἀγόραιον, ἐδήλου παρὰ
« τὴν ἡμετέραν γνώμην Ἰουδαίοις ὑμᾶς προσφέρεσθαι,
« καὶ κωλύειν αὐτοὺς τά τε σάββατα ἄγειν καὶ τὰ ἱερὰ
« τὰ πάτρια τελεῖν καὶ τοὺς καρποὺς μεταχειρίζεσθαι,
« καθὼς ἔθος ἐστὶν αὐτοῖς, αὐτόν τε κατὰ τοὺς νόμους
« τεθεικέναι τὸ ψήφισμα. Βούλομαι οὖν ὑμᾶς εἰδέναι
« ὅτι ἀκούσας ἐγὼ λόγων ἐξ ἀντικαταστάσεως γενομέ-
« νων ἐπέκρινα μὴ κωλύεσθαι Ἰουδαίους τοῖς αὐτῶν
« ἔθεσι χρῆσθαι. »

κβ'. ΨΗΦΙΣΜΑ ΠΕΡΓΑΜΗΝΩΝ. « Ἐπὶ πρυτάνεως
« Κρατίππου, Δαισίου πρώτῃ, γνώμη στρατηγῶν. Ἐπεὶ
« οἱ Ῥωμαῖοι κατακολουθοῦντες τῇ τῶν προγόνων ἀγω-
« γῇ τοὺς ὑπὲρ τῆς κοινῆς ἁπάντων ἀνθρώπων ἀσφα-
« λείας κινδύνους ἀναδέχονται, καὶ φιλοτιμοῦνται τοὺς
« συμμάχους καὶ φίλους ἐν εὐδαιμονίᾳ καὶ βεβαίᾳ κα-
« ταστῆσαι εἰρήνῃ, πέμψαντος πρὸς αὐτοὺς τοῦ ἔθνους
« τῶν Ἰουδαίων καὶ Ὑρκανοῦ τοῦ ἀρχιερέως αὐτῶν
« πρέσβεις, Στράτωνα Θεοδότου, Ἀπολλώνιον Ἀλεξάν-
« δρου, Αἰνείαν Ἀντιπάτρου, Ἀριστόβουλον Ἀμύντου,
« Σωσίπατρον Φιλίππου, ἄνδρας καλοὺς κἀγαθοὺς, καὶ
« περὶ τῶν κατὰ μέρη ἐμφανισάντων, ἐδογμάτισεν ἡ
« σύγκλητος, περὶ ὧν ἐποιήσαντο τοὺς λόγους, ὅπως
« μηδὲν ἀδικῇ Ἀντίοχος ὁ βασιλεὺς Ἀντιόχου υἱὸς Ἰου-
« δαίους συμμάχους Ῥωμαίων, ὅπως τε φρούρια καὶ
« λιμένας καὶ χώραν, καὶ εἴ τι ἄλλο ἀφεῖλετο αὐτῶν,
« ἀποδοθῇ, καὶ ἐξῇ αὐτῶν ἐκ τῶν λιμένων ἐξάγειν, ἵνα
« τε μηδεὶς ἀτελὴς ἢ τῆς Ἰουδαίων χώρας ἢ τῶν λιμέ-
« νων αὐτῶν ἐξάγων βασιλεὺς ἢ δῆμος, ἢ μόνος Πτολε-
« μαῖος ὁ Ἀλεξανδρέων βασιλεὺς, διὰ τὸ εἶναι σύμμαχος
« ἡμέτερος καὶ φίλος, καὶ τὴν ἐν Ἰόπῃ δὲ φρουρὰν ἐκβα-
« λεῖν, καθὼς ἐδεήθησαν, τῆς τε βουλῆς ἡμῶν Λούκιος
« Πέττιος ἀνὴρ καλὸς κἀγαθὸς προσέταξεν, ἵνα φροντί-
« σωμεν ταῦτα οὕτω γίνεσθαι, καθὼς ἡ σύγκλητος ἐδο-
« γμάτισε, προνοῆσαί τε τῆς ἀσφαλοῦς εἰς οἶκον τῶν
« πρεσβευτῶν ἀνακομιδῆς. Ἀπεδεξάμεθα δὲ καὶ εἰς τὴν
« βουλὴν καὶ τὴν ἐκκλησίαν τὸν Θεόδωρον, ἐπιλαβόντες
« τε τὴν ἐπιστολὴν παρ' αὐτοῦ καὶ τὸ τῆς συγκλήτου δό-
« γμα, καὶ ποιησαμένου μετὰ πολλῆς σπουδῆς αὐτοῦ
« λόγους, καὶ τὴν Ὑρκανοῦ ἐμφανίσαντος ἀρετὴν καὶ
« μεγαλοψυχίαν, καὶ ὅτι κοινῇ πάντας εὐεργετεῖ καὶ
« κατ' ἰδίαν τοὺς πρὸς αὐτὸν ἀφικνουμένους, τά τε
« γράμματα εἰς τὰ δημόσια ἡμῶν ἀπεθέμεθα, καὶ αὐ-
« τοὶ πάντα ποιεῖν ὑπὲρ Ἰουδαίων, σύμμαχοι ὄντες
« Ῥωμαίων, κατὰ τῆς συγκλήτου δόγμα ἐψηφισάμεθα.
« Ἐδεήθη δὲ καὶ ὁ Θεόδωρος, ὁ τὴν ἐπιστολὴν ἡμῖν
« ἀποδοὺς, τῶν ἡμετέρων στρατηγῶν, ἵνα πέμψωσι
« πρὸς Ὑρκανὸν τὸ ἀντίγραφον τοῦ ψηφίσματος, καὶ
« πρέσβεις δηλώσοντας τὴν τοῦ ἡμετέρου δήμου σπου-
« δὴν, καὶ παρακαλέσοντας συντηρεῖν καὶ αὔξειν αὐτῶν

« et cetera quæ in mandatis dedisti, nobis curæ erunt, ne
« quid reprehendatur. »

21. « PUBLIUS Servilius Publii filius Galba proconsul
« Milesiorum magistratibus, senatui et populo salutem.
« Prytanis Hermæ filius civis vester, quum ad me venisset
« in *urbe* Trallibus, ubi conventum agebam, significabat
« vos præter sententiam nostram tractare Judæos, et pro-
« hibere illos tum sabbata celebrare, tum sacra patria face-
« re, et fructus pro sua consuetudine administrare, ipsum-
« que se ex legibus auctorem fuisse hujus decreti. Volo
« igitur vos scire, me, verbis auditis quæ ultro citroque
« habita sunt, decrevisse, non prohibendos esse Judæos
« uti suis moribus. »

22. DECRETUM PERGAMENORUM. « Prytane Cratippo, primo
« Dæsii mensis die, decretum prætorum. Quoniam Roma-
« ni, majorum institutis obsequentes, pericula pro com-
« muni omnium hominum securitate suscipiunt, et certa-
« tim id agunt ut socios amicosque in felicitate et firma
« pace constituant, quum ad illos misisset natio Judæorum
« et Hyrcanus eorundem pontifex legatos, Stratonem Theo-
« doti, Apollonium Alexandri, Æneam Antipatri, Aristo-
« bulum Amyntæ, Sosipatrum Philippi *filios*, viros bonos
« et probos, atque hi singulaqueque negotia significassent,
« decrevit senatus, de quibus rebus verba fecerunt,
« ne qua injuria Antiochus rex Antiochi filius Judæos so-
« cios Romanorum afficiat, utque præsidia et portus et
« regionem et si quid aliud ab eis abstulit, id reddatur,
« atque liceat ex portubus exportare, et ne quis sine vecti-
« galibus ex Judæorum regione aut ex portubus eorum
« quidquam exportet, *sive* rex sive populus, præter solum
« Ptolemæum Alexandrinorum regem, quia est socius noster
« et amicus; immo et præsidium quod est Jope expellendum
« esse, sicuti petiverunt, et senatus nostri Lucius Pettius,
« vir bonus et probus, mandavit, ut nobis curæ esset illa
« ita fieri quemadmodum senatus decrevit, atque provide-
« remus ut legati in patriam salvi et incolumes redeant.
« Quin etiam admisimus in senatum et in concionem Theo-
« dorum, quumque ab ipso epistolam accepissemus et sena-
« tusconsultum, atque ipse magno studio verba fecisset, et
« virtutem Hyrcani declarasset ac magnanimitatem, quod
« tam communiter universos quam privatim singulos, qui
« ad ipsum veniunt, beneficiis afficiat, ideo et literas in
« publicis tabulariis nostris deposuimus, et nos quoque
« ipsi, utpote Romanorum socii, omnia etiam Judæis
« præstare ex senatusconsulto decrevimus. Insuper Theo-
« dorus, qui epistolam nobis reddidit, prætores nostros
« rogavit ut mitterent Hyrcano exemplum decreti, et
« legatos qui populi nostri studium significarent, et horta-
« rentur ad conservandam augendamque ipsorum erga nos

« τὴν πρὸς ἡμᾶς φιλίαν, καὶ ἀγαθοῦ τινος αἴτιον γίνε-
« σθαι, ὡς ἀμοιβάς τε τὰς προσηκούσας ἀποληψόμενον,
« μεμνημένον τε ὡς καὶ ἐν τοῖς κατὰ Ἄβραμον καὶ-
« ροῖς, ὃς ἦν πάντων Ἑβραίων πατὴρ, οἱ πρόγονοι
« ἡμῶν ἦσαν αὐτοῖς φίλοι, καθὼς ἐν τοῖς δημοσίοις
« εὑρίσκομεν γράμμασι. »

κγ'. ΨΗΦΙΣΜΑ ΑΛΙΚΑΡΝΑΣΣΕΩΝ. « Ἐπὶ ἱερέως Μέ-
« μνονος τοῦ Ὀρεστείδου, κατὰ δὲ ποίησιν Εὐωνύμου,
« Ἀνθεστηριῶνος . . . ἔδοξε τῷ δήμῳ, εἰσηγησαμένου
« Μάρκου Ἀλεξάνδρου. Ἐπεὶ τὸ πρὸς τὸ θεῖον εὐσεβὲς
« καὶ ὅσιον ἐν ἅπαντι καιρῷ διὰ σπουδῆς ἔχομεν, κατακο-
« λουθοῦντες τῷ δήμῳ τῶν Ῥωμαίων πάντων ἀνθρώπων
« ὄντι εὐεργέτῃ, καὶ οἷς περὶ τῆς Ἰουδαίων φιλίας καὶ
« συμμαχίας πρὸς τὴν πόλιν ἔγραψεν, ὅπως συντελῶν-
« ται αὐτοῖς αἱ εἰς τὸν Θεὸν ἱεροποιίαι καὶ ἑορταὶ αἱ
« εἰθισμέναι καὶ σύνοδοι· δέδοκται ἡμῖν Ἰουδαίων τοὺς
« βουλομένους ἄνδρας τε καὶ γυναῖκας τά τε σάββατα
« ἄγειν καὶ τὰ ἱερὰ συντελεῖν κατὰ τοὺς Ἰουδαϊκοὺς
« νόμους, καὶ τὰς προσευχὰς ποιεῖσθαι πρὸς τῇ θαλάσσῃ
« κατὰ τὸ πάτριον ἔθος, ἂν δέ τις κωλύσῃ ἢ ἄρχων ἢ
« ἰδιώτης, τῷδε τῷ ζημιώματι ὑπεύθυνος ἔστω καὶ ὀφει-
« λέτω τῇ πόλει. »

κδ'. ΨΗΦΙΣΜΑ ΣΑΡΔΙΑΝΩΝ. « Ἔδοξε τῇ βουλῇ καὶ
« τῷ δήμῳ, στρατηγῶν εἰσηγησαμένων. Ἐπεὶ οἱ κα-
« τοικοῦντες ἡμῶν ἐν τῇ πόλει Ἰουδαῖοι πολῖται, πολλὰ
« καὶ μεγάλα φιλάνθρωπα ἐσχηκότες διὰ παντὸς ὑπὸ
« τοῦ δήμου, καὶ νῦν εἰσελθόντες ἐπὶ τὴν βουλὴν καὶ
« τὸν δῆμον παρεκάλεσαν, ἀποκαθισταμένων αὐτοῖς τῶν
« νόμων καὶ τῆς ἐλευθερίας ὑπὸ τῆς συγκλήτου καὶ τοῦ
« δήμου τοῦ Ῥωμαίων, ἵνα κατὰ τὰ νομιζόμενα ἔθη
« συνάγωνται, καὶ μὴ διαδικαζώμεθα πρὸς αὐτούς,
« δοθῇ τε αὐτοῖς καὶ τόπος, εἰς ὃν συλλεγόμενοι μετὰ
« γυναικῶν καὶ τέκνων ἐπιτελοῖεν τὰς πατρίους εὐχὰς
« καὶ θυσίας τῷ Θεῷ· δέδοκται οὖν τῇ βουλῇ καὶ τῷ
« δήμῳ συγχεχωρῆσθαι αὐτοῖς συνερχομένοις ἐν ταῖς
« προαποδεδειγμέναις ἡμέραις πράσσειν τὰ κατὰ τοὺς
« αὐτῶν νόμους, ἀφορισθῆναι δ' αὐτοῖς καὶ τόπον ὑπὸ
« τῶν στρατηγῶν εἰς οἰκοδομίαν καὶ οἴκησιν αὐτῶν, ὃν
« ἂν ὑπολάβωσι πρὸς τοῦτ' ἐπιτήδειον, ὅπως τε τοῖς τῆς
« πόλεως ἀγορανόμοις ἐπιμελὲς ᾖ καὶ τὰ ἐκείνοις πρὸς
« τροφὴν ἐπιτήδεια ποιεῖν εἰσάγεσθαι. »

κε'. ΨΗΦΙΣΜΑ ΕΦΕΣΙΩΝ. « Ἐπὶ πρυτάνεως Μηνο-
« φίλου, μηνὸς Ἀρτεμισίου τῇ προτέρᾳ, ἔδοξε τῷ δήμῳ.
« Νικάνωρ Εὐφήμου εἶπεν, εἰσηγησαμένων τῶν στρα-
« τηγῶν. Ἐπεὶ ἐντυχόντων τῶν ἐν τῇ πόλει Ἰουδαίων
« Μάρκῳ Ἰουλίῳ Πομπηΐῳ υἱῷ Βρούτου ἀνθυπάτῳ,
« ὅπως ἄγωσι τὰ σάββατα, καὶ πάντα ποιῶσι κατὰ τὰ
« πάτρια αὐτῶν ἔθη, μηδενὸς αὐτοῖς ἐμποδὼν γινομέ-
« νου, ὁ στρατηγὸς συνεχώρησε· δέδοκται τῇ βουλῇ καὶ
« τῷ δήμῳ, τοῦ πράγματος Ῥωμαίοις ἀνήκοντος, μη-
« δένα κωλύεσθαι παρατηρεῖν τὴν τῶν σαββάτων ἡμέ-
« ραν, μηδὲ πράσσεσθαι ἐπιτίμιον, ἐπιτετράφθαι δ' αὐ-
« τοῖς πάντα ποιεῖν κατὰ τοὺς ἰδίους αὐτῶν νόμους. »

κς'. Πολλὰ μὲν οὖν ἐστι καὶ ἄλλα τῇ συγκλήτῳ

« amicitiam, et ad novum aliquod beneficium conferendum,
« ut qui debitam gratiam meritamque consequuturi sint,
« meminerintque quemadmodum etiam Abrami tempori-
« bus, qui pater erat omnium Hebræorum, majores nostri
« fuerint illis amici, prout in acta publica relatum inveni-
« mus. »

23. DECRETUM HALICARNASSENSIUM. « Sacerdote Memnone
« Orestidæ *filio* et per adoptionem Euonymi, Anthesterio-
« nis die . . . placuit populo, relatione facta a Marco Ale-
« xandro. Quoniam pietatem erga Deum et religionem
« omni tempore studiose colimus, vestigiis sequentes popu-
« lum Romanum de hominibus omnibus bene merentem, et
« respicientes ad ea quæ de Judæorum amicitia et societate
« ad urbem scripserunt, ut illis liceat Dei sacris operari,
« festa solennia et cœtus celebrare, nobis placuit ut jus po-
« testatemque habeant Judæorum quicunque volunt, sive
« viri sive mulieres, tum sabbata observandi, tum sacra
« peragendi ex legibus Judaicis, et preces faciendi ad mare
« pro more patrio; quod si quis quidquam eos impedierit,
« vel magistratus vel privatus, hæc mulcta esto et urbi
« debeto. »

24. DECRETUM SARDIANORUM. « Visum est senatui et po-
« pulo, relatione facta a prætoribus. Quoniam cives Ju-
« dæi urbem hanc nostram incolentes multis magnisque
« a populo per omne tempus cumulati fuerunt beneficiis,
« et nunc ingressi ad senatum et populum obsecrarunt,
« restitutis ipsis legibus et libertate a senatu et populo Ro-
« mano, ut more rituque a legibus præscripto cœtus agi-
« tent, et nullam ipsis controversiam moveamus, locus quo-
« que ipsis assignetur, in quo congregatis cum uxoribus et
« liberis liceat patrias preces et sacra [Deo facere; placuit
« igitur senatui et populo, ut illis concessum sit diebus præ-
« stitutis convenire, et perfungi omnibus prout leges ipso-
« rum postulant, insuper ut locus etiam iis eximatur a præ-
« toribus ad ædificandum et habitationem ipsorum, quem
« ad id accommodatum existimaverint, utque ædilibus
« urbanis curæ sit, etiam illa importare quæ ad victum ipsis
« idonea habeantur. »

25. DECRETUM EPHESIORUM. « Prytane Menophilo, die
« primo mensis Artemisii, placitum est populo. Nicanor
« Euphemi filius dixit, relatione a prætoribus facta. Quo-
« niam Judæis qui in urbe sunt, Marco Julio Pompejo Bruti
« filio proconsule compellato, ut liceret ipsis sabbata obser-
« vare, et omnia facere ex patriis institutis suis, nemine eos
« quidquam impediente, hoc ipsum prætor concessit; pla-
« cuit senatui et populo, præsertim quum res ad Romanos
« pertineat, neminem prohiberi a die sabbatorum celebrando,
« neque mulctam exigendam esse, sed illis potestatem da-
« tum iri omnia ex propriis ipsorum legibus faciendi. »

26. Et multa quidem exstant et alia hujusmodi decreta a

τοιαῦτα καὶ τοῖς αὐτοκράτορσι Ῥωμαίων δόγματα πρὸς Ὑρκανὸν καὶ τὸ ἔθνος ἡμῶν γεγενημένα, καὶ πόλεσι ψηφίσματα, καὶ γράμματα πρὸς τὰς τῶν ἡμετέρων δικαίων ἐπιστολὰς ἀντιπεφωνημένα τοῖς ἡγεμόσι, περὶ ὧν ἁπάντων ἐξ ὧν παρατιθέμεθα πιστεύειν τοῖς ἀναγνωσομένοις οὐ βασκάνως [ἡμῶν τὴν συγγραφὴν πάρεστιν. Ἐπεὶ γὰρ ἐναργῆ καὶ βλεπόμενα τεκμήρια παρεχόμεθα τῆς πρὸς Ῥωμαίους ἡμῖν φιλίας γενομένης, ἐπιδεικνύντες αὐτὰ χαλκαῖς στήλαις καὶ δέλτοις ἐν τῷ Καπετωλίῳ μέχρι νῦν διαμένοντα καὶ διαμενοῦντα, τὴν μὲν πάντων παράθεσιν, ὡς περιττήν τε ἅμα καὶ ἀτερπῆ, παρητησάμην, οὐδένα δ' οὕτως ἡγησάμην σκαιὸν, ὃς οὐχὶ περὶ τῆς Ῥωμαίων ἡμῖν πιστεύσῃ φιλίας, ὅτι ταύτην καὶ διὰ πλειόνων ἐπεδείξαντο πρὸς ἡμᾶς δογμάτων, καὶ ἡμᾶς οὐχ ὑπολήψεται περὶ ὧν εἶναί φαμεν ἀληθεύειν ἐξ ὧν ἐπιδείξαμεν. Τὴν μὲν οὖν πρὸς Ῥωμαίους φιλίαν καὶ συμμαχίαν κατ' ἐκείνους τοὺς καιροὺς γενομένην δεδηλώκαμεν.

senatu et imperatoribus facta, in gratiam Hyrcani gentisque nostræ, necnon civitatum psephismata, et prætorum rescripta ad literas de juribus nostris *missas:* de quibus omnibus ex iis quæ exhibuimus licet illis persuasissimum habere, qui nostra hæc scripta candide lecturi sunt. Quoniam enim clara et manifesta nostræ cum populo Romano amicitiæ dedimus argumenta, indicatis æreis columnis et tabulis in Capitolio etiamnum durantibus et duraturis, universis hic loci apponendis, ut qui id supervacaneum duximus simul et injucundum, supersedimus: quippe neminem adeo perversum fore credidimus, ut de amicitia nostra cum Romanis inita nobis non habiturus sit fidem, præsertim quum decretis pluribus nostrûm in gratiam factis id palam fecerint, neque ex iis quæ demonstravimus, nos id quod verum est dicere, animo præsumat. Atque ita quidem amicitiam et societatem, quæ Romanis nobiscum intercessit, declaravimus.

ΚΕΦ. ΙΑ'.

Συνέβη δ' ὑπὸ τὸν αὐτὸν καιρὸν ταραχθῆναι τὰ κατὰ τὴν Συρίαν ἐξ αἰτίας τοιαύτης. Βάσσος Καικίλιος, εἷς τῶν τὰ Πομπηίου φρονούντων, ἐπιβουλὴν συνθεὶς ἐπὶ Σέξτον Καίσαρα, κτείνει μὲν ἐκεῖνον, αὐτὸς δὲ τὸ στράτευμα αὐτοῦ παραλαβὼν ἐκράτει τῶν πραγμάτων, πόλεμός τε μέγας περὶ Ἀπάμειαν συνέστη, τῶν Καίσαρος στρατηγῶν ἐπ' αὐτὸν ἐλθόντων μετὰ ἱππότων καὶ πεζῆς δυνάμεως. Τούτοις δὲ καὶ Ἀντίπατρος συμμαχίαν ἔπεμψε μετὰ τῶν τέκνων, κατὰ μνήμην ὧν εὐεργετηθείη ὑπὸ Καίσαρος, καὶ διὰ τοῦτο τιμωρεῖν αὐτῷ καὶ δίκην παρὰ τοῦ πεφονευκότος εἰσπράξασθαι δίκαιον ἡγούμενος. Χρονιζομένου δὲ τοῦ πολέμου, Μοῦρκος μὲν ἦλθεν ἐκ Ῥώμης εἰς τὴν ἀρχὴν τὴν τοῦ Σέξτου, Καῖσαρ δ' ὑπὸ τῶν περὶ Κάσσιον καὶ Βροῦτον ἐν τῷ βουλευτηρίῳ κτείνεται, κατασχὼν τὴν ἀρχὴν ἔτη τρία καὶ μῆνας ἕξ. Τοῦτο μὲν οὖν καὶ ἐν ἄλλοις δεδήλωται.

β'. Τοῦ δ' ἐπὶ τῷ Καίσαρος θανάτῳ πολέμου συνερρωγότος καὶ τῶν ἐν τέλει πάντων ἐπὶ στρατιᾶς συλλογὴν ἄλλων ἄλλῃ διεσπαρμένων, ἀφικνεῖται Κάσσιος ἐκ Ῥώμης εἰς Συρίαν, παραληψόμενος τὸ περὶ τὴν Ἀπάμειαν στρατόπεδον, καὶ λύσας τὴν πολιορκίαν ἀμφοτέρους προσάγεται τόν τε Βάσσον καὶ τὸν Μοῦρκον, τάς τε πόλεις ἐπερχόμενος ὅπλα τε καὶ στρατιώτας συνήθροιζε, καὶ φόρους αὐταῖς μεγάλους ἐπετίθει· μάλιστα δὲ τὴν Ἰουδαίαν ἐκάκωσεν, ἑπτακόσια τάλαντα ἀργυρίου εἰσπραττόμενος. Ἀντίπατρος δὲ, ὁρῶν ἐν μεγάλῳ φόβῳ καὶ ταραχῇ τὰ πράγματα, μερίζει τὴν τῶν χρημάτων εἴσπραξιν, καὶ ἑκατέρῳ τῶν υἱῶν συνάγειν δίδωσι, τὰ δὲ Μαλίχῳ κακοήθως πρὸς αὐτὸν διακειμένῳ, τὰ δὲ ἄλλοις προσέταξεν εἰσπράττεσθαι. Καὶ πρῶτος Ἡρώδης ἀπὸ τῆς Γαλιλαίας εἰσπραξόμενος ὅσα ἦν αὐτῷ προστεταγμένα, φίλος ἦν εἰς τὰ μάλιστα Κασσίῳ. Σῶφρον γὰρ ἔδοξεν αὐτῷ Ῥωμαίους ἤδη θεραπεύειν καὶ παρ' αὐτῶν κατασκευάζειν εὔνοιαν ἐκ τῶν

CAP. XI. (XVIII.)

Accidit autem per idem tempus ut tumultuaretur in Syria, ob hujusmodi causam. Bassus Cæcilius, unus e Pompejanis, structis in Sextum Cæsarem insidiis, illum quidem interficit, ipse vero, accepto ejus exercitu, rerum potiebatur. Hinc etiam grave bellum apud Apamiam conflatum est, Cæsaris ducibus eum cum equitatu et peditatu adortis. Etiam Antipater iis subsidium misit cum filiis, memor beneficiorum in ipsum a Cæsare collatorum, et idcirco justum esse existimans ipsum vindicare et pœnas ab ejus interfectore repetere. Quum autem bellum diu duraret, Murcus ad Sexti imperium *suscipiendum* Roma venit, et Cæsar a Cassio et Bruto in curia occisus est, postquam principatum tenuerat annos tres et sex menses. Et hoc quidem alibi quoque memoriæ proditum est.

2. Bello deinde ex morte Cæsaris conflato, et viris omnibus primariis ultro citroque ad contrahendas copias dispersis, venit in Syriam Cassius, accepturus exercitum qui erat ad Apameam, solutaque obsidione ambos sibi conciliat Bassum et Murcum, urbesque peragrans arma colligebat et milites, et urbibus gravia tributa imperabat; sed maxime Judæam afflixit, exactis septingentis argenti talentis. Antipater vero, res magno in metu et perturbatione esse videns, pecuniarum exactionem dividit, et utrique filio redigendas committit, partim Malicho sibi parum amico, partim aliis. Ac primus Herodes, redacto ex Galilæa quantum ei imperatum erat, maximam apud Cassium gratiam iniit. Sapientis enim esse ipsi visum est, Romanos hoc officio demereri, et illorum benevolentiam ex alio-

ἀλλοτρίων πόνων. Ἐπιπράσκοντο δ' αὐτανδροι ὅσοι τῶν ἄλλω· πόλεων ἐπιμεληταὶ, καὶ τέσσαρας πόλεις ἐξανδραποδίζεται Κάσσιος, ὧν ἦσαν αἱ δυνατώτατα Γόφνα τε καὶ Ἐμμαοῦς, πρὸς ταύταις δὲ Λύδδα καὶ Θαμνά. Ἐπεξῆλθε δ' ἂν ὑπ' ὀργῆς Κάσσιος ὥστε καὶ Μάλιχον ἀνελεῖν, (ὥρμητο γὰρ ἐπ' αὐτόν,) εἰ μὴ Ὑρκανὸς δι' Ἀντιπάτρου ἑκατὸν τάλαντα ἐκ τῶν ἰδίων αὐτῷ πέμψας ἐπέσχε τῆς ὁρμῆς.

γ'. Ὑπεὶ δὲ Κάσσιος ἐκ τῆς Ἰουδαίας ἀπῆρε, Μάλιχος ἐπεβούλευσεν Ἀντιπάτρῳ, τὴν τούτου τελευτὴν ἀσφάλειαν Ὑρκανοῦ τῆς ἀρχῆς ἔσεσθαι νομίζων. Οὐ μὴν ἔλαθε τὸν Ἀντίπατρον ταῦτα φρονῶν. Αἰσθόμενος γὰρ ἐκεῖνος ἐχώρει πέραν Ἰορδάνου, καὶ στρατὸν Ἀράβιον ἅμα καὶ ἐγχώριον συνήθροιζε. Δεινὸς μέντοι ὢν ὁ Μάλιχος ἠρνεῖτο τὴν ἐπιβουλὴν, ἀπολογούμενος μεθ' ὅρκων αὐτῷ τε καὶ τοῖς παισὶ, καὶ ὡς Φασαήλου μὲν τὰ Ἱεροσολυμα φρουροῦντος, Ἡρώδου δὲ ἔχοντος τὴν φυλακὴν τῶν ὅπλων, οὐδ' ἂν εἰς νοῦν ἔβαλε τοιοῦτον οὐδέν. Ὁρῶν δὲ τὴν ἀπορίαν καταλλάσσεται πρὸς τὸν Ἀντίπατρον, καὶ συνέθησαν, Μούρκου κατὰ Συρίαν στρατηγοῦντος, ὃς αἰσθόμενος νεωτεροποιοῦντα κατὰ τὴν Ἰουδαίαν τὸν Μάλιχον ἦλθε μὲν ὥστε παρὰ μικρὸν αὐτὸν ἀνελεῖν, Ἀντιπάτρου δὲ παρακαλέσαντος περιέσωσεν.

(ΙΘ'.) δ'. Ἔλαθε δὲ ἄρα φονέα περισώσας Ἀντίπατρος αὐτοῦ τὸν Μάλιχον. Κάσσιος μὲν γὰρ καὶ Μοῦρκος στρατὸν ἀθροίσαντες τὴν ἐπιμέλειαν ἅπασαν ἐνεχείρισαν Ἡρώδῃ, καὶ στρατηγὸν αὐτὸν Κοίλης Συρίας ἐποίησαν, πλοῖα δόντες καὶ δύναμιν ἱππικήν τε καὶ πεζικὴν, ὑποσχόμενοι δὲ καὶ βασιλέα τῆς Ἰουδαίας ἀναδείξειν μετὰ τὸν πόλεμον· συνειστήκει γὰρ τότε πρός τε Ἀντώνιον καὶ τὸν νέον Καίσαρα. Μάλιχος δὲ τότε δείσας μάλιστα τὸν Ἀντίπατρον ἐκποδὼν ἐποιεῖτο, καὶ πείσας ἀργυρίῳ τὸν Ὑρκανοῦ οἰνοχόον, παρ' ᾧ ἑκάτεροι εἱστιῶντο, φαρμάκῳ κτείνει τὸν ἄνδρα, καὶ ὁπλίτας ἔχων ηὐτρέπιζε τὰ κατὰ τὴν πόλιν. Γνόντων δὲ τὴν ἐπιβουλὴν τὴν κατὰ τοῦ πατρὸς Ἡρώδου καὶ Φασαήλου καὶ χαλεπῶς ἐχόντων, ἠρνεῖτο πάντα ὁ Μάλιχος καὶ ἔξαρνος ἦν τοῦ φόνου. Καὶ Ἀντίπατρος μὲν εὐσεβείᾳ καὶ δικαιοσύνῃ διενεγκὼν καὶ τῇ περὶ τὴν πατρίδα σπουδῇ τοῦτον ἐτελεύτησε τὸν τρόπον. Τῶν δὲ παίδων αὐτοῦ Ἡρώδης μὲν εὐθὺς ἔγνω τιμωρεῖν τῷ πατρὶ, μετὰ στρατιᾶς ἐπὶ Μάλιχον ἐλθὼν, Φασαήλῳ δὲ τῷ πρεσβυτέρῳ δόλῳ μᾶλλον ἐδόκει περιγίνεσθαι τἀνδρὸς, μὴ πολέμου κατάρχειν νομισθῶσιν ἐμφυλίου. Τήν τε οὖν ἀπολογίαν Μαλίχου προσδέχεται καὶ πιστεύειν ὑποκρίνεται μηδὲν αὐτὸν περὶ τὸν Ἀντίπατρου κακουργῆσαι θάνατον, τάφον δὲ ἐκόσμει τῷ πατρί. Καὶ παραγενόμενος Ἡρώδης εἰς Σαμάρειαν καὶ καταλαβὼν αὐτὴν κεκακωμένην, ἀνεκτᾶτο καὶ τὰ νείκη διέλυσε τοῖς ἀνθρώποις.

ε'. Μετ' οὐ πολὺ δὲ, ἐνστάσης τῆς ἐν Ἱεροσολύμοις ἑορτῆς, παραγίνεται σὺν τοῖς στρατιώταις εἰς τὴν πόλιν, καὶ δείσας Μάλιχος ἔπεισεν Ὑρκανὸν μὴ ἐπιτρέ-

rum laboribus captare. Ceterarum autem urbium gubernatores omnes cum suis hominibus venundabantur, et quattuor urbes in servitutem redigit Cassius, quarum erant potentissimæ Gophna et Emmaus, reliquæ vero Lydda et Thamna. Insuper eo præ iracundia processit Cassius, ut etiam Malichum occidisset, (nam in ipsum incitatus erat,) nisi ejus impetum cohibuisset Hyrcanus, missis ei per Antipatrum centum talentis de suo.

3. Postquam vero Cassius ab Judæa profectus est, Malichus Antipatro insidiabatur, ejus interitum Hyrcani principatus firmitatem fore putans. Neque tamen ejus consilium latuit Antipatrum. Id enim quum sensisset, recepit sese trans Jordanem, et ex Arabibus simul et indigenis exercitum contrahebat. Quanquam Malichus, homo callidus, insidias infitiabatur, se cum juramento purgans tum Antipatro tum ejus filiis, fieri non posse, Phasaelo Hierosolymorum præsidium tenente, et Herode armorum custodiam habente, ut tale quidpiam ipsi in mentem veniret. Ac videns sibi negotium non succedere, reconciliatus est Antipatro, conventumque est inter eos, quum Murcus Syriæ prætor esset: qui, postquam intellexit Malichum in Judæa res novas moliri, parum abfuit quin eum interfecerit, sed Antipatri precibus ei vitam condonavit.

(XIX.) 4. Nesciebat Antipater se suum interfectorem conservasse. Nam Cassius et Murcus, exercitu coacto, curam omnium Herodi tradiderunt, et eum Cœles-Syriæ præsidem fecerunt, attributa ei classe, et equestribus pedestribusque copiis polliciti etiam Judææ regem eum creaturos post bellum, quod tunc cum Antonio et juvene Cæsare ortum erat. Malichus vero tum maxime veritus Antipatrum e medio tollere curabat: quumque id pecunia persuasisset pocillatori Hyrcani, apud quem uterque epulabatur, veneno necat hominem. Atque, armatos in promptu habens, res urbanas componebat. Ceterum quum insidias patri factas rescivissent Herodes et Phasaelus, et graviter ferrent, negabat omnia Malichus, et cædem infitiabatur. Et Antipater quidem, qui pietate et justitia et studio in patriam excellebat, hoc modo interiit. Ex filiis autem ejus Herodes protinus patrem vindicare statuit, cum exercitu contra Malichum profectus; at Phasaelo natu grandiori potius videbatur hominem astu circumvenire, ne civile bellum incepisse putarentur. Itaque Malichi defensionem accipit, seque credere simulat eum in Antipatri nece nihil maleficii admisisse, patrique sepulcrum adornabat. Interim Herodes, quum Samariam venisset, eamque afflictam offendisset, *urbem* recreabat et hominum dissidia composuit.

5. Non multo autem post, instante Hierosolymis festo, venit cum militibus in urbem, et Malichus veritus suasit Hyrcano ut eum intrare non sineret. Et Hyrcanus quidem

πειν αὐτῷ εἰσιέναι. Καὶ πείθεται μὲν Ὑρκανὸς, προδέδηλται δ' αἰτίαν τῆς ἀποκωλύσεως τὸ μὴ δεῖν ὄχλον ἀλλοδαπὸν ἀγνεύοντος εἰσδέχεσθαι τοῦ πλήθους. Ὀλίγον δὲ φροντίσας Ἡρώδης τῶν ἀγγέλων νύκτωρ εἰσειδ σιν εἰς τὴν πόλιν, καὶ φοβερὸς μὲν ἦν τῷ Μαλίχῳ, ὁ δ' οὐκ ἀνίησι τὴν ὑπόκρισιν, ἀλλ' ἐδάκρυε τὸν Ἀντίπατρον καὶ ἀνεκαλεῖτο φανερῶς ὡς φίλος, κρύφα δὲ φυλακὴν τοῦ σώματος ἐποιεῖτο. Ἔδοξε δὲ καὶ τοῖς περὶ Ἡρώδην μὴ ἀπελέγχειν αὐτοῦ τὴν προσποίησιν, ἀλλὰ 10 καὶ αὐτοὺς εἰς τὸ ἀνύποπτον ἀντιφιλοφρονεῖσθαι τὸν Μάλιχον.

(Κ'.) ς'. Κασσίῳ μέντοι περὶ τῆς τελευτῆς τοῦ πατρὸς Ἡρώδης ἐπέσταλκε. Κἀκεῖνος εἰδὼς οἷος εἴη τὸν τρόπον Μάλιχος ἀντεπέστειλε τιμωρεῖν τῷ πατρὶ καὶ λά15 θρα διαπέμπει πρὸς τοὺς ἐν Τύρῳ χιλιάρχους, κελεύων αὐτοὺς συμπράττειν Ἡρώδῃ, δίκαια μέλλοντι πράξειν. Ὡς δὲ Λαοδίκειαν ἠρηκότος Κασσίου πρὸς αὐτὸν ἀπῆεσαν κοινῇ, στεφάνους τε αὐτῷ καὶ χρήματα κομίζοντες, Ἡρώδης μὲν προσεδόκα δώσειν τὸν Μάλιχον 20 τιμωρίαν ἐκεῖ γενόμενον, ὁ δὲ περὶ Τύρον τῆς Φοινίκης ὑπιδόμενος τὸ πρᾶγμα μειζόνων ἐφήπτετο, καὶ τοῦ παιδὸς αὐτοῦ δμηρεύοντος ἐν Τύρῳ, παρελθὼν εἰς τὴν πόλιν ἔγνω τοῦτόν τε ὑπεκκλέψαι καὶ εἰς τὴν Ἰουδαίαν ἀπαίρειν, σπεύδοντός τε ἐπ' Ἀντώνιον Κασσίου τὸ 25 ἔθνος ἀποστήσας αὐτὸς τὴν ἀρχὴν καθέξειν. Τοῖς δὲ βεβουλευμένοις δ τε δαίμων ἀντέπραξε καὶ δεινὸς ὢν Ἡρώδης, τὴν προαίρεσιν αὐτοῦ κατανοήσας, προεισπέμψας θεράποντα, τῷ μὲν δοκεῖν ἐπὶ δείπνου παρασκευὴν, (καὶ γὰρ ἐστιάσειν αὐτοὺς ἅπαντας προειρή30 κει,) ταῖς δὲ ἀληθείαις πρὸς τοὺς χιλιάρχους, ἐξελθεῖν ἐπὶ Μάλιχον πείθει μετὰ ξιφιδίων. Οἱ δ' ἐξελθόντες καὶ πλησίον τῆς πόλεως αὐτῷ περιτυχόντες ἐπὶ τοῦ αἰγιαλοῦ κατακεντοῦσι τὸν ἄνδρα. Ὑρκανὸς μὲν οὖν ὑπ' ἐκπλήξεως τοῦ γεγονότος εἰς ἀφωνίαν ἐτράπη. Μό35 λις δ' ἀνενεγκὼν ἐπυνθάνετο τῶν περὶ τὸν Ἡρώδην τί ποτ' εἴη τὸ γεγενημένον καὶ τίς ὁ Μάλιχον ἀνῃρηκώς. Εἰπόντων δὲ Κάσσιον τοῦτο προστάξαι, ἐπῄνεσε τὸ ἔργον· πονηρὸν γὰρ εἶναι πάνυ καὶ τῆς πατρίδος ἐπίδουλον. Καὶ Μάλιχος μὲν ταύτην ὑπὲρ τῆς εἰς Ἀν40 τίπατρον παρανομίας δίκην ἔξέτισε.

ζ'. Κασσίου δ' ἐκ Συρίας ἀπάραντος ταραχὴ γίνεται κατὰ τὴν Ἰουδαίαν. Ἕλιξ γὰρ ὑπολειφθεὶς ἐν Ἱεροσολύμοις μετὰ στρατιᾶς ὥρμησεν ἐπὶ Φασάηλον, ὅ τε δῆμος ἐν ὅπλοις ἦν. Ἡρώδης δὲ παρὰ Φάβιον �επο45 ρεύετο ἐν Δαμασκῷ στρατηγοῦντα, καὶ βουλόμενος προσδραμεῖν πρὸς τὸν ἀδελφὸν ὑπὸ νόσου κωλύεται, ἕως οὗ Φασάηλος δι' αὐτοῦ Ἕλικος κρείττων γενόμενος κατακλείει μὲν αὐτὸν εἰς πύργον, εἶτα δὲ ὑπόσπονδον ἀφίησι, τόν τε Ὑρκανὸν ἐμέμφετο, ὡς πολλὰ μὲν εὖ πα50 θόντα ὑπ' αὐτῶν, συμπράττοντα δὲ τοῖς ἐχθροῖς. Ὁ γὰρ ἀδελφὸς Μαλίχου τότε ἀποστήσας οὐκ ὀλίγα χωρία ἐφρούρει, καὶ Μασάδαν τὸ πάντων ἐρυμνότατον. Ἐπὶ μὲν οὖν τούτων ῥαίσας ὁ Ἡρώδης ἐκ τῆς νόσου παραita fecit, idque per speciem prohibendi alienigenarum turbam in lustratam multitudinem admitti. At Herodes, nulla nunciorum ratione habita, noctu ingreditur in urbem, et Malicho quidem terrorem incutiebat, hic vero nihil de simulatione remittit, sed Antipatrum plorabat, et palam ut amicus inclamabat, sed clam corporis sui custodiam agebat. Herodi autem visum est ejus simulationem non coarguere, sed ad tollendam suspicionem cum suis eum vicissim comiter accipere.

(XX.) 6. Attamen ad Cassium de obitu patris scripsit Herodes. Atque ille, sciens quo ingenio esset Malichus, Herodi rescripsit ut patrem ulcisceretur: et tribunis, qui Tyri erant, clam mandata mittit, ut Herodem ipsi adjuvarent, qui æqua facturus esset. Capta autem a Cassio Laodicea, quum communiter ad ipsum ivissent, coronas ei et pecuniam ferentes, sperabat quidem Herodes fore ut postquam eo veniret Malichus pœnas daret, ille vero, apud Tyrum Phœnices rem suspectam habens, majora moliri cœpit: et, quum filius ejus Tyri obses servaretur, in animum induxit ut ingressus in urbem eum surriperet, et in Judæam proficisceretur, et, dum properaret adversus Antonium Cassius, gente ad defectionem perducta, potentatum ipsemet occuparet. Sed consiliis ejus et Deus restitit, et Herodes homo astutus, animadverso illius proposito, per famulum præmissum, specie ad parandam cœnam, (nam omnes ad convivium invitaverat,) re autem vera ad tribunos, persuadet illis ut ad Malichum cum pugionibus egrederentur. Illi vero egressi, eumque in littore prope urbem nacti, hominem transfodiunt. Quo facto ita quidem attonitus est Hyrcanus, ut vox ejus defecerit. Ubi autem ægre ad se rediit, quærit ab Herode quidnam accidisset, et quis Malichum occidisset. Quumque illi Cassium id jussisse dixissent, laudavit factum: hominem enim nequam exstitisse et patriæ insidiatorem. Et has quidem pro scelere in Antipatrum admisso pœnas persolvit Malichus.

7. Cassio autem ex Syria profecto oritur in Judæa tumultus. Helix enim, relictus Hierosolymis cum exercitu, in Phasaelum impetum fecit, et populus arma sumpsit. Herodes vero Fabium adibat Damasci præfectum, volensque ad fratrem currere, morbo impeditur, donec Phasaelus per se superatum Helicem compellit in turrim, ac deinde per compositionem dimittit, et Hyrcanum accusabat, quod multis per eos beneficiis affectus hostes adjuvet. Nam Malichi frater non pauca tum loca, ad defectionem perducta, præsidio tenebat, in quibus et Masadam omnium munitissimum. Haud ita multo post Herodes, ubi convaluerat,

γίνεται, καὶ ἀφελόμενος αὐτὸν πάντα ὅσα εἶχε χωρία ὑπόσπονδον ἀπέλυσεν.

ΚΕΦ. ΙΒ'.

Ἀντίγονον δὲ τὸν Ἀριστοβούλου στρατιὰν ἀθροίσαντα καὶ Φάβιον τεθεραπευκότα χρήμασι κατάγει Πτολεμαῖος ὁ Μενναίου διὰ τὸ κήδευμα. Συνεμάχει δ' αὐτῷ καὶ Μαρίων, ὃν Τυρίων καταλελοίπει Κάσσιος τύραννον· τυραννίσι γὰρ λαβὼν τὴν Συρίαν οὗτος ὁ ἀνὴρ ἐφρούρησεν. Ὁ δὲ Μαρίων καὶ εἰς τὴν Γαλιλαίαν, ὄμορον οὖσαν, ἐνέβαλε, καὶ τρία καταλαβὼν ἐρύματα διὰ φρουρᾶς εἶχεν. Ἐλθὼν δὲ καὶ ἐπὶ τοῦτον Ἡρώδης ἅπαντα μὲν αὐτὸν ἀφείλετο, τοὺς δὲ Τυρίων φρουροὺς φιλανθρώπως ἀπέλυσεν, ἔστιν οἷς καὶ δωρεὰς δοὺς διὰ τὸ πρὸς τὴν πόλιν εὔνουν. Ταῦτα διαπραξάμενος ὑπήντησεν Ἀντιγόνῳ, καὶ μάχην αὐτῷ συνάψας νικᾷ καὶ ὅσον οὔπω τῶν ἄκρων ἐπιβάντα τῆς Ἰουδαίας ἐξέωσεν. Εἰς Ἱεροσόλυμα δὲ παραγενόμενον στεφάνοις ἀνέδει Ὑρκανός τε καὶ ὁ δῆμος. Ἐγεγάμβρευτο δὲ ἤδη καθ' ὁμολογίαν τῷ Ὑρκανοῦ γένει, καὶ διὰ τοῦτο μᾶλλον αὐτοῦ προειστήκει, μέλλων ἄγεσθαι τὴν Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου θυγατέρα, Ὑρκανοῦ δὲ θυγατριδῆν, ἐξ ἧς πατὴρ γίνεται τριῶν μὲν ἀρρένων, δύο δὲ θηλειῶν. Ἦκτο δὲ καὶ πρότερον γυναῖκα δημότιν, Δορὶν ὄνομα, ἐκ τοῦ ἔθνους, ἐξ ἧς αὐτῷ πρεσβύτατος γίνεται παῖς Ἀντίπατρος.

(ΚΒ'.) β'. Κάσσιον μὲν οὖν χειροῦνται Ἀντώνιός τε καὶ Καῖσαρ περὶ Φιλίππους, ὡς καὶ παρ' ἄλλοις δεδήλωται. Μετὰ δὲ τὴν νίκην Καῖσαρ μὲν ἐπ' Ἰταλίας ἐχώρει, Ἀντώνιος δὲ εἰς τὴν Ἀσίαν ἀπῆρε. Γενομένῳ δ' ἐν τῇ Βιθυνίᾳ αἱ πανταχόθεν ἀπήντων πρεσβεῖαι. Παρῆσαν δὲ καὶ Ἰουδαίων οἱ ἐν τέλει, κατηγοροῦντες τῶν περὶ Φασάηλον καὶ Ἡρώδην, πρόσχημα μὲν εἶναι λέγοντες τῆς βασιλείας Ὑρκανὸν, τούτους δὲ τὴν πᾶσαν ἔχειν ἐξουσίαν. Ἡρώδην δὲ Ἀντώνιος διὰ πολλῆς εἶχε τιμῆς, ἐλθόντα πρὸς αὐτὸν ἐπ' ἀπολογίᾳ τῶν κατηγορούντων, καὶ διὰ τοῦτο συνέβη μηδὲ λόγου τυχεῖν τοὺς ἀντιστασιώτας· διεπέπρακτο δὲ τοῦτο χρήμασιν Ἡρώδης παρ' Ἀντωνίου. Ἐπεὶ δ' εἰς Ἔφεσον ἦκεν Ἀντώνιος, ἔπεμψεν Ὑρκανὸς ὁ ἀρχιερεὺς καὶ τὸ ἔθνος τὸ ἡμέτερον πρεσβείαν πρὸς αὐτὸν, στέφανόν τε κομίζουσαν χρυσοῦν καὶ παρακαλοῦσαν τοὺς αἰχμαλωτισθέντας ὑπὸ Κασσίου Ἰουδαίους, οὐ νόμῳ πολέμου, γράψαντα τοῖς κατὰ τὰς ἐπαρχίας ἐλευθέρους ἀπολῦσαι, καὶ τὴν χώραν, ἣν ἐν τοῖς Κασσίου καιροῖς ἁρπηρέθησαν, ἀποδοῦναι. Ταῦτα κρίνας Ἀντώνιος δίκαια τοὺς Ἰουδαίους ἀξιοῖν, παραχρῆμα ἔγραψεν Ὑρκανῷ καὶ τοῖς Ἰουδαίοις, ἐπέστειλε δὲ ἅμα καὶ Τυρίοις διάταγμα περιέχον ταῦτα.

γ'. « Μάρκος Ἀντώνιος αὐτοκράτωρ Ὑρκανῷ ἀρ« χιερεῖ καὶ ἐθνάρχῃ τῶν Ἰουδαίων χαίρειν. Εἰ ἔρρω« σθε, εὖ ἂν ἔχοι, ἔρρωμαι δὲ καὶ αὐτὸς μετὰ τοῦ στρα« τεύματος. Λυσίμαχος Παυσανίου καὶ Ἰώσηπος « Μενναίου καὶ Ἀλέξανδρος Θεοδώρου πρεσβευταὶ ἐν

illuc venit, et eum, de omnibus quæ tenebat locis deturbatum, per compositionem dimisit.

CAP. XII. (XXI.)

Antigonum autem, Aristobuli filium, qui exercitum coegerat et Fabium sibi pecuniis conciliaverat, reducit Ptolemæus Mennæi filius, propter affinitatem. Quin etiam ei auxilium ferebat Marion, quem Tyriorum tyrannum Cassius reliquerat: nam homo ille, quum Syriam occupasset, tyrannorum dominatu custodivit. Marion vero in Galilæam etiam, quæ vicina erat, irruptionem fecit, et tribus castellis potitus ea præsidiis munivit. Sed et hunc aggressus Herodes omnibus quidem privavit, Tyriorum vero præsidia benigne dimisit, nonnullis etiam dona dedit ex sua erga civitatem benevolentia. His confectis occurrit Antigono, et prælio cum eo congressus victoriam reportat, atque jamjam extremos Judææ fines ingressum depulit. Postquam vero Hierosolyma venit, Hyrcanus eum et populus coronis redimivit. Erat autem jam per sponsalia gener factus Hyrcani, eoque magis eum tuebatur, quod erat ducturus in matrimonium filiam Alexandri Aristobuli filii, Hyrcani ex filia neptem, ex qua pater factus est trium filiorum et duarum filiarum. Duxerat etiam prius uxorem plebeiam, nomine Doria, popularem, ex qua filium sustulerat natu maximum Antipatrum.

(XXII.) Interim Cassium Antonius et Cæsar ad Philippos vicerunt, sicut et apud alios expositum est. Post victoriam autem Cæsar in Italiam profectus est, Antonius in Asiam inde movit. Qui ubi venit in Bithyniam, occurrebant ei undique legationes. Aderant etiam Judæorum primarii, qui Phasaelum et Herodem accusabant, dicentes Hyrcanum speciem quidem regni habere, illos vero omnem potestatem tenere. Herodem autem Antonius habebat in magna existimatione; qui ad eum venerat, ut semet contra accusatores defenderet, eamque ob causam accidit ut ne dicendi quidem locum adversarii obtinuerint: id enim pecuniæ largitione Herodes ab Antonio impetraverat. Ut autem Ephesum venit Antonius, misit Hyrcanus pontifex et natio nostra legationem ad eum, quæ ei coronam ferret auream, oraretque ut scriberet ad provinciales, ut liberos dimitterent Judæos, quos non jure belli Cassius captivos reddidisset, utque ipsis restitueretur ager, quo Cassii temporibus mulctati fuissent. Hæc Judæorum postulata æqua esse judicans Antonius, confestim scripsit Hyrcano et Judæis, simulque Tyriis mandatum misit in hæc verba.

3. « Marcus Antonius imperator Hyrcano pontifici et « ethnarchæ Judæorum salutem. Si valetis, bene est; ego « quoque et exercitus valemus. Lysimachus Pausaniæ fi« lius, Josephus Mennæi, Alexander Theodori, legati, quum

« Ἐφέσῳ μοι συντυχόντες τήν τε ἔμπροσθεν ἐν Ῥώμῃ
« τελεσθεῖσαν αὐτοῖς πρεσβείαν ἀνενεώσαντο, καὶ τὴν
« νῦν ὑπὲρ σοῦ καὶ τοῦ ἔθνους σπουδαίως διέθεντο, ἣν
« ἔχεις εὔνοιαν πρὸς ἡμᾶς ἐμφανίσαντες. Πεπεισμέ-
« νος οὖν καὶ ἐκ τῶν πραγμάτων καὶ ἐκ τῶν λόγων ὅτι
« οἰκειότατα ἔχετε πρὸς ἡμᾶς, καὶ τὸ ἀραρὸς ὑμῶν ἦθος
« καὶ τὸ θεοσεβὲς κατανοήσας, ἴδιον ἡγησάμην. Καταδρα-
« μόντων δὲ τὴν Ἀσίαν ἅπασαν τῶν ἐναντιωθέντων
« ὑμῖν τε καὶ τῷ δήμῳ τῶν Ῥωμαίων, καὶ μήτε πόλεων
« μήτε ἱερῶν ἀποσχομένων μήτε ὅρκους οὓς ἐποιήσαντο
« φυλαξάντων, ἡμεῖς, ὡς οὐχ ὑπὲρ ἰδίου μόνον ἀγῶνος,
« ἀλλ' ὑπὲρ ἁπάντων κοινοῦ, τοὺς αἰτίους καὶ τῶν εἰς
« ἀνθρώπους παρανομιῶν καὶ τῶν εἰς θεοὺς ἀνομημά-
« των ἡμυνάμεθα· δι' ἃ καὶ τὸν ἥλιον ἀπεστράφθαι δο-
« κοῦμεν, ὃς καὶ αὐτὸς ἀηδῶς ἐπεῖδε τὸ ἐπὶ Καίσαρι
« μύσος. Ἀλλὰ καὶ τὰς ἐπιβουλὰς αὐτῶν τὰς θεομά-
« χους, ἃς ὑπεδέξατο ἡ Μακεδονία, καθάπερ ἴδιος αὐ-
« τοῖς τῶν ἀνοσίων τολμημάτων ἀὴρ, καὶ τὴν σύγχυσιν
« τῆς ἡμιμανοῦς κακοηθείας, ἣν κατὰ Φιλίππους τῆς
« Μακεδονίας συνεχρότουν, ** καὶ τόπους εὐφυεῖς κα-
« ταλαμβανόμενοι μέχρι θαλάττης ἀποτετειχισμένους
« ὄρεσιν, ὡς πύλῃ μιᾷ τὴν πάροδον ταμιεύσασθαι, τῶν
« θεῶν αὐτοὺς ἐπὶ τοῖς ἀδίκοις ἐγχειρήμασι κατεψηφι-
« σμένων, ἐκρατήσαμεν. Καὶ Βροῦτος συμφυγὼν εἰς
« Φιλίππους καὶ συγκλεισθεὶς ὑφ' ἡμῶν ἐκοινώνησε
« Κασσίῳ τῆς αὐτῆς ἀπωλείας. Τούτων κεκολασμέ-
« νων, εἰρήνης τὸ λοιπὸν ἀπολαύειν ἐλπίζομεν καὶ ἀνα-
« πεπαῦσθαι τὴν Ἀσίαν ἐκ τοῦ πολέμου. Κοινὴν οὖν
« ποιούμεθα καὶ τοῖς συμμάχοις τὴν ὑπὸ Θεοῦ δοθεῖ-
« σαν ἡμῖν εἰρήνην· ὥσπερ οὖν ἐκ νόσου μεγάλης τὸ τῆς
« Ἀσίας σῶμα νῦν διὰ τὴν ἡμετέραν νίκην ἀναφέρει.
« Ἔχων τοίνυν καὶ σὲ διὰ μνήμης καὶ τὸ ἔθνος αὔξειν,
« φροντίσω τῶν ὑμῖν συμφερόντων. Ἐξέθηκα δὲ καὶ
« γράμματα κατὰ πόλεις, ὅπως εἴ τινες ἐλεύθεροι ἢ
« δοῦλοι ὑπὸ δόρυ ἐπράθησαν ὑπὸ Γαΐου Κασσίου ἢ τῶν
« ὑπ' αὐτῷ τεταγμένων, ἀπολυθῶσιν οὗτοι. Τοῖς τε
« ὑπ' ἐμοῦ δοθεῖσι καὶ Δολοβέλλα φιλανθρώπως χρῆ-
« σθαι ὑμᾶς βούλομαι. Τυρίους τε κωλύω βιαίους εἶναι
« περὶ ὑμᾶς, καὶ ὅσα κατέχουσιν Ἰουδαίων, ταῦτα ἀπο-
« καταστῆσαι κελεύω. Τὸν δὲ στέφανον, ὃν ἔπεμψας,
« ἐδεξάμην. »

δ'. « ΜΑΡΚΟΣ ΑΝΤΩΝΙΟΣ αὐτοκράτωρ Τυρίων ἄρ-
« χουσι, βουλῇ, δήμῳ χαίρειν. Ὑπαντησάντων μοι ἐν
« Ἐφέσῳ Ὑρκανοῦ τοῦ ἀρχιερέως καὶ ἐθνάρχου πρε-
« σβευτῶν καὶ χώραν αὐτῶν ὑμᾶς κατέχειν λεγόντων,
« εἰς ἣν ἐνέβητε κατὰ τὴν τῶν ἐναντιωθέντων ἡμῖν ἐπι-
« κράτειαν, ἐπεὶ τὸν περὶ τῆς ἡγεμονίας πόλεμον ἀνε-
« δεξάμεθα καὶ τῶν εὐσεβῶν καὶ δικαίων ποιούμενοι
« πρόνοιαν ἡμυνάμεθα τοὺς μήτε χάριτος ἀπομνημο-
« νεύσαντας μήτε ὅρκους φυλάξαντας, βούλομαι καὶ
« τὴν ἀφ' ὑμῶν εἰρήνην τοῖς συμμάχοις ἡμῶν ὑπάρχειν,
« καὶ ὅσα παρὰ τῶν ἡμετέρων ἐλάβετε ἀνταγωνιστῶν,
« μὴ συγχωρεῖν, ἀλλὰ ταῦτ' ἀποδοῦναι τοῖς ἀφῃρημέ-
« νοις. Οὔτε γὰρ ἐπαρχίας ἐκείνων οὐδεὶς οὔτε στρα-
« τόπεδα τῆς συγκλήτου δούσης ἔλαβεν, ἀλλὰ βίᾳ κα-

« apud Ephesum me convenissent, et eandem quam prius
« Romæ gesserant legationem renovarunt, et quam illis
« nunc mandasti pro te atque populo tuo diligenter obie-
« runt, cum testificatione tuæ erga nos benevolentiæ.
« Quum itaque tam ex rebus quam verbis persuasum ha-
« buerim vos animo esse in nos amicissimo, vestrosque
« mores constantes et pietatem reputaverim, meam rem
« agi existimo. Quoniam vero nostri atque populi Romani
« adversarii incursibus vastarunt totam Asiam, et neque
« civitatibus neque templis manus abstinuerunt, neque
« fidem jurejurando datam servarunt, nos, ut qui non pro
« nostra tantum salute, sed communi omnium dimicave-
« rimus, eos vindicta persequuti sumus, qui et injuriarum
« erga homines et flagitiorum in deos auctores exstiterunt;
« propter quæ solem etiam aversum fuisse credimus, qui
« et ipse scelus in Cæsarem admissum invitus aspexit.
« Verum etiam insidias illorum nefarias, quas Macedonia
« excepit, ceu proprius ipsis impiorum facinorum aer, et
« colluviem hominum animi malignitate furentium, quam
« ad Philippos Macedoniæ congregabant, ** locis etiam
« opportunis occupatis et usque ad mare montium vallo
« munitis, ut per unicam veluti portam pateret aditus,
« diis ipsos ob injusta molimina exitio addicentibus, vici-
« mus. Atque Brutus, quum Philippos confugisset et a
« nobis obsessus teneretur, communem cum Cassio ha-
« buit interitum. His supplicio affectis, pace in posterum
« frui licere speramus, nosque fecisse ut Asia a bello re-
« quiescat. Pacem itaque a Deo nobis donatam cum
« sociis nostris communicamus, adeoque Asiæ corpus no-
« stra victoria quasi e gravi valetudine nunc se recolligit.
« Tui igitur memor gentisque *beneficiis* augendæ, curæ
« mihi erit quicquid e re vestra futurum sit. Immo et
« literas edidi singulas per urbes, ut si qui liberi vel servi
« hastæ subjecti fuerint a C. Cassio, ejusve ducibus, illi
« dimittantur. Voloque vobis rata esse quæcunque mea et
« Dolabellæ benignitate concessa habetis. Veto etiam Ty-
« rios vim vobis intentare; et quicquid de Judæis abreptum
« occupant, id totum restituendum esse jubeo. Coronam
« autem, quam mittendam curasti, accepi. »

4. « MARCUS ANTONIUS imperator Tyriorum magistrati-
« bus, senatui, populo salutem. Quum mihi Ephesi obviam
« facti sint Hyrcani pontificis et ethnarchæ legati, agros
« ipsorum ditionis vos occupare dicentes, quos invasistis
« quum adversarii nostri rerum potirentur, quoniam bellum
« pro imperio suscepimus atque justitiæ et pietati prospi-
« cientes eos vindicavimus, qui neque beneficiorum me-
« moriam neque jurisjurandi fidem servarunt, volo etiam
« vos pacem colere cum sociis nostris, et quæcunque ab
« adversariis nostris accepistis, *vobis* non cedere, sed ea
« illis reddi a quibus ablata fuerint. Nemo enim illorum aut
« provinciam a senatu accepit aut exercitum, sed per vim

« θαρπάσαντες ἐχαρίσαντο βιαίως τοῖς πρὸς ἃ ἠδίκουν « χρησίμοις αὐτοῖς γενομένοις. Δίκην αὐτῶν οὖν δε- « δωκότων, τούς τε συμμάχους τοὺς ἡμετέρους ὅσα ποτ' « εἶχον ἀξιοῦμεν ἀκωλύτους διακατέχειν, καὶ ὑμᾶς εἴ « τινα χωρία Ὑρκανοῦ ὄντα τοῦ ἐθνάρχου Ἰουδαίων, « πρὸ μιᾶς ἡμέρας ἢ Γάϊον Κάσσιον πόλεμον οὐ συγ- « κεχωρημένον ἐπάγοντα ἐπιβῆναι τῆς ἐπαρχίας ἡμῶν, « νῦν ἔχετε, ἀποδοῦναι αὐτῷ· βίαν τε αὐτοῖς μηδεμίαν « προσφέρειν ἐπὶ τῷ ἀσθενεῖς αὐτοὺς ποιεῖν τῶν ἰδίων « δεσπόζειν. Εἰ δέ τινα ἔχετε πρὸς αὐτὸν δικαιολο- « γίαν, ὅταν ἔλθωμεν ἐπὶ τοὺς τόπους, ἐξέσται ὑμῖν « ταύτῃ χρῆσθαι, ἡμῶν ἕκαστα τοῖς συμμάχοις ὁμοίως « τοῖς κρίμασι φυλασσόντων. »

ε'. « ΜΑΡΚΟΣ ΑΝΤΩΝΙΟΣ αὐτοκράτωρ Τυρίων ἄρ- « χουσι, βουλῇ, δήμῳ χαίρειν. Διάταγμα ἐμὸν ἀπέ- « σταλκα πρὸς ὑμᾶς, περὶ οὗ βούλομαι ὑμᾶς φροντίσαι, « ἵν' αὐτὸ εἰς τὰς δημοσίους ἐντάξητε δέλτους, γράμ- « μασι Ῥωμαϊκοῖς καὶ Ἑλληνικοῖς, καὶ ἐν τῷ ἐπιφα- « νεστάτῳ ἔχητε αὐτὸ γεγραμμένον, ὅπως ὑπὸ πάντων « ἀναγινώσκεσθαι δύνηται. Μάρκος Ἀντώνιος αὐ- « τοκράτωρ, τριῶν ἀνδρῶν καταστάντων περὶ τῶν δη- « μοσίων πραγμάτων, εἶπεν. Ἐπεὶ Γάϊος Κάσσιος « ταύτῃ τῇ ἀποστάσει ἀλλοτρίαν ἐπαρχίαν κατεχομένην « ὑπὸ στρατοπέδων καὶ συμμάχους ὄντας διήρπασε, « καὶ ἐξεπολιόρκησε τὸ Ἰουδαίων ἔθνος, φίλον ὑπάρχον « τοῦ Ῥωμαίων δήμου, τὴν ἀπόνοιαν τὴν ἐκείνου τοῖς « ὅπλοις κρατήσαντες, διατάγμασι καὶ κρίμασιν ἐπα- « νορθούμεθα τὰ ὑπ' αὐτοῦ διηρπασμένα, ὥστε ἀποκα- « τασταθῆναι ταῦτα τοῖς συμμάχοις ἡμῶν, καὶ ὅσα « ἐπράθη Ἰουδαίων, ἤτοι σώματα ἢ κτῆσις, ταῦτα « ἀφεθήτω, τὰ μὲν σώματα ἐλεύθερα εἶναι, ὡς ἦν ἀπ' « ἀρχῆς, ἡ δὲ κτῆσις τοῖς πρότερον κυρίοις. Τὸν δ' οὐχ « ὑπακούσαντα τῷ ἐμῷ διατάγματι δίκην συστήσασθαι « βούλομαι· κἂν ἁλῷ, τότε κατὰ τὴν τοῦ πράγματος « ἀξίαν μελήσει μοι ἐπεξελθεῖν τὸν οὐχ ὑπακούσαντα. »

ς'. Τὸ δ' αὐτὸ τοῦτο καὶ Σιδωνίοις καὶ Ἀντιοχεῦσι καὶ Ἀραδίοις ἔγραψε. Παρεθέμεθα μὲν οὖν καὶ ταῦτα εὐκαίρως, τεκμήρια γενησόμενα ἧς φαμὲν Ῥωμαίους ποιήσασθαι προνοίας ὑπὲρ τοῦ ἡμετέρου ἔθνους.

ΚΕΦ. ΙΓ'.

Μετὰ δὲ ταῦτα εἰς Συρίαν Ἀντωνίου παραγενομένου, Κλεοπάτρα περὶ Κιλικίαν ἐντυχοῦσα δι' ἔρωτος αὐτὸν ἐχεχείρωτο. Καὶ δὴ πάλιν Ἰουδαίων ἑκατὸν οἱ δυνατώτατοι παραγίνονται πρὸς αὐτὸν, κατηγοροῦντες Ἡρώδου καὶ τῶν περὶ αὐτὸν, προστησάμενοι σφῶν αὐ- τῶν τοὺς δεινοτάτους λέγειν. Ἀντέλεγε δ' αὐτοῖς Μεσσάλας ὑπὲρ τῶν νεανίσκων, παρόντος καὶ Ὑρκανοῦ, ὃς κηδεστὴς ἐτύγχανεν ἤδη γενόμενος. Ἀκροασάμενος δ' ἀμφοτέρων Ἀντώνιος ἐπὶ Δάφνης, πυνθάνεται Ὑρ- κανοῦ πότεροι τοῦ ἔθνους ἄμεινον προΐστανται. Φή- σαντος δὲ τοὺς περὶ Ἡρώδην, Ἀντώνιος, καὶ πάλαι οἰκείως ἔχων πρὸς αὐτοὺς διὰ τὴν πατρῴαν ξενίαν, ἣν ἡνίκα σὺν Γαβινίῳ παρῆν ἐπεποίητο πρὸς τὸν πατέρα

« sibimet arripuerunt et largiti sunt injustitiæ suæ ministris. « Quandoquidem igitur illi pœnas dederunt, æquum cense- « mus ut socii nostri ea quæ ante habuerunt, nemine ve- « tante, retineant : vosque, si quos agros, qui Hyrcani « Judæorum ethnarchæ erant una die antequam Caius « Cassius bello illicito moto provinciam nostram invaserit, « nunc possidetis, illi restituatis; nec ullam vim Judæis « adhibeatis, quominus valeant suis dominari. Si quid vero « in vestri defensionem ipsi dicendum habeatis, quum eo « locorum venerimus, vobis licebit illud apud nos proferre, « ut qui constituimus singula sociis æquo jure servare. »

5. « MARCUS ANTONIUS imperator Tyriorum magistrati- « bus, senatui, populo salutem. Edictum meum ad vos « misi, de quo id vobis curandum esse volo, ut illud in ta- « bulas publicas literis Græcis Latinisque referatis, idemque « scriptum reponatis in loco maxime illustri, ut ab omnibus « legi possit. Marcus Antonius imperator, *unus* e trium- « viris pro rebus publicis constitutis, dixit : Quoniam C. « Cassius in hac defectione provinciam, quæ præsidiis te- « nebatur, alienam diripuit, et socios expilavit, et Judæo- « rum gentem oppugnavit, populo Romano amicam, inso- « lentia ejus armis nostris perdomita, edictis et judiciis quæ « ab ipso deprædata erant redintegramus, ita ut ista sociis « reddantur; et quæcunque Judæorum vendita fuerint, « sive corpora sive bona, illa dimittantur, corpora quidem « libera ut antea erant, bona vero ut prioribus dominis ce- « dant. Quisquis autem edicto meo non paruerit, eum « pœnas luere volo : atque si deprehendatur, tunc pro rei « dignitate curæ mihi erit persequendum esse eum qui non « paruerit. »

6. Eodem etiam exemplo et Sidoniis et Antiochensibus et Aradiis scripsit. Et ista quidem opportune apposuimus, ut quæ futura sint curæ illius indicia, quam Romanos genti nostræ adhibuisse dicimus.

CAP. XIII. (XXIII.)

Quum autem postea in Syriam venisset Antonius, Cleopatra in Cilicia ei obviam facta, amore ejus captus erat. Ac tum centum Judæorum viri potentissimi eum iterum conveniunt, ut Herodem cum suis accusarent, delectis ad eam rem suorum eloquentissimis. Illis vero contradicebat Messala pro adolescentibus, præsente etiam Hyrcano, qui jam Herodis socer erat. Antonius vero, auditis apud Daphnen utrisque, quæsivit ab Hyrcano utri gentem melius regerent; et quum respondisset, Herodem et suos, Antonius, cui jam ante cum illis intercesserit familiaritas ob paternum hospitium, quod, quum una cum Gabinio adesset, cum patre

αὐτῶν, τούτους μὲν ἀμφοτέρους τετράρχας καθίστησι καὶ τὰ τῶν Ἰουδαίων αὐτοῖς ἐπιτρέπει πράγματα, γράφει δὲ καὶ γράμματα, καὶ πεντεκαίδεκα τῶν ἀντιστασιαστῶν ἔδησε· μέλλοντος δὲ καὶ κτείνειν αὐτοὺς, παρητήσαντο οἱ περὶ Ἡρώδην.

β'. Ἡρέμουν δὲ οὐδ' οὕτως ἐπανελθόντες ἐκ τῆς πρεσβείας, ἀλλ' ἀπήντων πάλιν Ἀντωνίῳ χίλιοι εἰς Τύρον, ἐκεῖ δόξαντι ἀφικέσθαι. Καὶ ὁ Ἀντώνιος, πολλοῖς ἤδη διεφθαρμένος χρήμασιν ὑπό τε Ἡρώδου καὶ τοῦ ἀδελφοῦ αὐτοῦ, τῷ κατὰ τόπον ἄρχοντι προσέταξε κολάσαι τοὺς πρεσβευτὰς τῶν Ἰουδαίων, νεωτέρων ἐπιθυμοῦντας πραγμάτων, καὶ τοῖς περὶ Ἡρώδην συγκαθιστάναι τὴν ἀρχήν. Ταχὺ δὲ Ἡρώδης (ἵδρυντο γὰρ ἐπὶ τῆς ψάμμου πρὸ τῆς πόλεως) προϊὼν ἀπιέναι παρεκελεύετο, συνῆν δὲ αὐτῷ καὶ Ὑρκανὸς, ὡς μεγάλου κακοῦ, εἰ προέλθοιεν εἰς φιλονεικίαν, ἐσομένου. Καὶ οἱ μὲν οὐκ ἐπείθοντο, παραχρῆμα δὲ ἐκδραμόντες Ῥωμαῖοι σὺν ἐγχειριδίοις τοὺς μὲν αὐτῶν ἀπέκτειναν, ἐνίους δὲ κατέτρωσαν, οἱ δὲ λοιποὶ διαφυγόντες ἐπ' οἴκου περιδεεῖς ἡσύχαζον. Τοῦ δὲ δήμου καταβοῶντος Ἡρώδου, παροξυνθεὶς Ἀντώνιος τοὺς δεδεμένους ἀπέκτεινεν.

γ'. (ΚΔ'.) Δευτέρῳ δὲ ἔτει Συρίαν κατέσχον Πάκορός τε ὁ βασιλέως παῖς καὶ Βαρζαφάρνης σατράπης ὢν Πάρθων. Τελευτᾷ δὲ καὶ Πτολεμαῖος ὁ Μενναίου, καὶ τὴν ἀρχὴν αὐτοῦ ὁ παῖς Λυσανίας παραλαβὼν διαπράττεται φιλίαν πρὸς Ἀντίγονον τὸν Ἀριστοβούλου, πρὸς τοῦτο χρήσιμον τὸν σατράπην παραλαβών, μέγα παρ' αὐτῷ δυνάμενον. Ἀντίγονος δ' ὑπισχνεῖτο χίλια τάλαντα καὶ πεντακοσίας γυναῖκας δώσειν Πάρθοις, εἰ τὴν ἀρχὴν Ὑρκανὸν ἀφελόμενοι παραδώσουσιν αὐτῷ καὶ τοὺς περὶ τὸν Ἡρώδην ἀνέλοιεν· οὐ μὴν ἔδωκεν. Ἀλλ' οἱ μὲν Πάρθοι διὰ τοῦτο ἐπὶ τὴν Ἰουδαίαν ἐστράτευσαν κατάγοντες Ἀντίγονον, Πάκορος μὲν διὰ τῆς παραθαλαττίου, ὁ δὲ σατράπης Βαρζαφάρνης διὰ τῆς μεσογείου. Τύριοι μὲν οὖν ἀποκλείουσι Πάκορον, Σιδώνιοι δὲ καὶ Πτολεμαιεῖς ἐδέξαντο. Ἴλην μέντοι Πάκορος ἱππέων εἰς τὴν Ἰουδαίαν ἐξέπεμψε, κατασκεψομένην τε τὰ κατὰ τὴν χώραν καὶ Ἀντιγόνῳ συμπράξουσαν, ἡγεμόνα τε ὁμώνυμον τοῦ βασιλέως οἰνοχόον. Ἐκ δὲ τῶν περὶ Κάρμηλον τὸ ὄρος Ἰουδαίων πρὸς Ἀντίγονον ἐλθόντων καὶ συνεισβαλεῖν ἑτοίμως ἐχόντων, προσεδόκα δι' αὐτοὺς τῆς χώρας μέρος τι λαβεῖν ὁ Ἀντίγονος· Δρυμοὶ δὲ τὸ χωρίον καλεῖται. Καί τινων ὑπαντιασάντων αὐτοῖς, διεκπίπτουσιν εἰς Ἱεροσόλυμα οἱ ἄνθρωποι. Προσγενομένων δέ τινων, πολλοὶ συστραφέντες ἐπὶ τὰ βασίλεια ἦκον καὶ ταῦτα ἐπολιόρκουν· προσβοηθούντων δὲ τῶν περὶ Φασάηλον καὶ Ἡρώδην, καὶ μάχης γενομένης κατὰ τὴν ἀγορὰν, νικῶσιν οἱ νεανίσκοι τοὺς πολεμίους, καὶ συνδιώξαντες εἰς τὸ ἱερὸν πέμπουσιν ὁπλίτας τινὰς εἰς τὰς πλησίον οἰκίας, φρουρήσοντας αὐτὰς, οὓς ἐπαναστὰς ὁ δῆμος συμμάχων ὄντας ἐρήμους σὺν αὐτοῖς οἴκοις κατέπρησεν. Ὑπὲρ μὲν οὖν τῆς ἀδικίας ταύτης Ἡρώδης μετ' ὀλίγον τιμωρήσατο.

eorum fecerat, ambos quidem tetrarchas constituit, eisque rerum Judaicarum administrationem mandat, et ea de re literas scripsit, et quindecim adversariorum in vincula dedit; at quum eos etiam occisurus esset, pro illis deprecatus est Herodes.

2. Neque tamen illi a legatione reversi quiescebant: quin Antonium rursus mille adierunt apud Tyrum, quo venturum fama erat. Et Antonius, multis jam pecuniis ab Herode et ejus fratre corruptus, ejus loci administratori præcepit ut de Judæorum legatis supplicium sumeret, qui novis rebus studerent, Herodique principatum stabiliret. Herodes vero (nam ante urbem in arena constiterant) protinus antegressus cum Hyrcano qui tum ei aderat, eos ut discederet hortabatur, quippe magno eorum malo futurum, si ad contentionem venirent. Et illi quidem non obtemperarunt; statim vero Romani, in eos pugionibus facto impetu, partem eorum interfecerunt, nonnullos vulnerarunt, reliqui autem domum, fuga dilapsi, quietos se trepidi tenuerunt. Populo vero adversus Herodem vociferante, exacerbatus Antonius vinctos interfecit.

(XXIV.) 3. Anno autem secundo Syriam occuparunt Pacorus regis filius et Barzapharnes Parthorum satrapa. Obiit tum Ptolemæus Mennæi filius, ejusque filius Lysanias, occupato principatu, amicitiam instituit cum Antigono Aristobuli filio, usus ad id opera satrapæ, qui apud Antigonum multum poterat. Antigonus autem Parthis mille talenta et quingentas feminas pollicebatur, si sibi principatum Hyrcano ereptum traderent et Herodem cum suis interficerent: neque vero dedit. Et tamen Parthi eam ob causam in Judæam expeditionem fecerunt, Antigonum reducentes, Pacorus quidem per oram maritimam, Barzapharnes vero satrapa per mediterranea. Et Pacorum quidem excluserunt Tyrii, Sidonii vero et Ptolemæenses admiserunt. Ceterum Pacorus equitum turmam misit in Judæam, quæ regionem specularetur et Antigonum adjuvaret, ducemque regi cognominem, pocillatorem regium. Quum autem Judæorum quidam, montem Carmelum incolentes, ad eum se contulissent, et parati essent cum eo una irrumpere, sperabat Antigonus se horum opera partem aliquam regionis adepturum esse: locus autem Drymi (*Saltus*) appellatur. Quumque nonnulli iis occurrissent, Hierosolyma dein homines isti clam pergunt; et quorundam accessione adjuti, magna manu facta ad regiam veniebant, eamque oppugnabant. Opem autem ferentibus Phasaelo et Herode, commissaque in foro pugna, adversarios vicerunt juvenes: et eis in fanum compulsis miserunt armatos quosdam in vicinas domos, qui eas custodirent; quos aggressus populus auxilio destitutos cum ipsis concremarunt. Et ob hanc quidem injuriam

ρίαν παρὰ τῶν ἀντιστασιωτῶν λαμβάνει, συμβαλὼν αὐτοῖς εἰς μάχην καὶ πολλοὺς αὐτῶν ἀποκτείνας.

δ'. Γινομένων δὲ ὁσημέραι ἀκροβολισμῶν αὐτοῖς, ἀνέμενον οἱ πολέμιοι τὸν ἐκ τῆς χώρας ὄχλον εἰς τὴν καλουμένην Πεντηκοστὴν (ἑορτὴ δ' ἔστιν αὕτη) μέλλοντα ἥξειν. Τῆς δ' ἡμέρας ἐνστάσης πολλαὶ περὶ τὸ ἱερὸν ἀθροίζονται μυριάδες ἀνθρώπων ὡπλισμένων τε καὶ ἀνόπλων. Κατεῖχον δὲ τὸ ἱερὸν καὶ τὴν πόλιν οἱ παρόντες, πλὴν τῶν περὶ τὰ βασίλεια· ταῦτα γὰρ σὺν ὀλίγοις στρατιώταις οἱ περὶ Ἡρώδην ἐφρούρουν. Φασάηλος μὲν οὖν τὸ τεῖχος ἐφύλασσεν, Ἡρώδης δὲ λόχον ἔχων ἐπέξεισι τοῖς πολεμίοις κατὰ τὸ προάστειον, καὶ καρτερῶς μαχεσάμενος πολλάς τε μυριάδας τρέπει, τῶν μὲν εἰς τὴν πόλιν φευγόντων, τῶν δὲ εἰς τὸ ἱερὸν, ἔστι δ' ὧν εἰς τὸ ἔξω χαράκωμα· ἦν γάρ τι αὐτόθι. Παρεβοήθει δὲ καὶ Φασάηλος. Πάκορος δὲ ὁ Πάρθων στρατηγὸς σὺν ἱππεῦσιν ὀλίγοις Ἀντιγόνου δεηθέντος εἰς τὴν πόλιν ἔρχεται, λόγῳ μὲν ὡς καταπαύσων τὴν στᾶσιν, τὸ δ' ἀληθὲς συμπράξων ἐκείνῳ τὴν ἀρχήν. Φασαήλου δ' ὑπαντήσαντος καὶ δεξαμένου ξενίᾳ, Πάκορος πείθει πρεσβεύσασθαι παρὰ Βαρζαφάρνην αὐτὸν, δόλον τινὰ τοῦτον συνθείς. Καὶ Φασάηλος οὐδὲν ὑποδόμενος πείθεται, μὴ ἐπαινοῦντος Ἡρώδου τοῖς πραττομένοις, διὰ τὸ τῶν βαρβάρων ἄπιστον, ἀλλὰ καὶ Πακόρῳ καὶ τοῖς ἥκουσιν ἐπιτίθεσθαι κελεύοντος.

ε'. Ὡχοντο γοῦν πρεσβεύοντες Ὑρκανός τε καὶ Φασάηλος, Πάκορος δὲ καταλιπὼν Ἡρώδῃ διακοσίους ἱππεῖς καὶ δέκα τῶν ἐλευθέρων λεγομένων προὔπεμψεν αὐτούς. Γενομένοις δ' ἐν τῇ Γαλιλαίᾳ μεθ' ὅπλων ὑπαντῶσιν οἱ ταύτῃ τῶν πόλεων ἐφεστῶτες. Καὶ Βαρζαφάρνης τὸ μὲν πρῶτον αὐτοὺς ὑποδέχεται προθύμως καὶ δῶρα δίδωσιν, εἶτα ἐπεβούλευε. Πλησίον δὲ μετὰ ἱππέων ὑπὲρ θαλάττης οἱ περὶ Φασάηλον κατάγονται. Καὶ ἐνταῦθα ἀκούσαντες ὡς Ἀντίγονος ὑπόσχοιτο χίλια τάλαντα καὶ γυναῖκας πεντακοσίας τοῖς Πάρθοις κατ' αὐτῶν, δι' ὑποψίας εἶχον ἤδη τοὺς βαρβάρους· οὐ μὴν ἀλλὰ καὶ νύκτωρ ἐπιβουλευομένους αὐτοὺς ἀπήγγειλέ τις, φυλακῆς αὐτοὺς ἐκ τἀφανοῦς περισταμένης. Καὶ συνελήφθησαν ἄν, εἰ μὴ περιέμενον ἕως ἂν οἱ περὶ Ἱεροσόλυμα Πάρθοι Ἡρώδην συλλάβοιεν, μὴ προαναγηρμένων τούτων ἐκεῖνος αἰσθόμενον διαφύγοι. Καὶ ἦν ταῦτα οὕτως ἔχοντα καὶ οἱ φύλακες αὐτῶν ἐωρῶντο. Φασαήλῳ μὲν οὖν παρήνουν τινὲς εὐθὺς ἀφιππάσασθαι καὶ μὴ περιμένειν· μάλιστα μέντοι πρὸς ταῦτα αὐτὸν Ὀφέλλιος ἐνῆγεν, ὃς ἠκηκόει παρὰ Σαμαράλλου τοῦ πλουσιωτάτου τῶν ἐν Συρίᾳ τότε, καὶ πλοῖα πρὸς τὴν φυγὴν ὑπισχνεῖτο· ἐγγὺς γὰρ ἦν ἡ θάλασσα. Ὁ δὲ Ὑρκανὸν ἀπολιπεῖν οὐκ ἠξίου, οὐδὲ παρακινδυνεύειν τῷ ἀδελφῷ· προσελθὼν δὲ πρὸς τὸν Βαρζαφάρνην οὐ δίκαια ποιεῖν αὐτὸν ἔλεγε, τοιαῦτα βουλευόμενον περὶ αὐτῶν· χρημάτων τε γὰρ δεομένῳ πλείονα ἔσεσθαι παρ' αὐτοῦ ὧν Ἀντίγονος δίδωσι, καὶ ἄλλως δεινὸν εἶναι πρὸς αὐτὸν ἐπὶ πίστει συνελθόντας πρεσβευτὰς ἀποκτεῖναι μηδὲν ἀδικοῦντας. Ὁ δὲ

paulo post adversarios ulciscitur Herodes, cum iis prælio congressus, ita ut multos illorum interfecerit.

4. Quum autem quotidianæ velitationes inter eos fierent, exspectabant hostes multitudinem ad Pentecosten quæ vocatur (ipsa autem festum est) e tota regione venturam. Atque instante eo die multa circa fanum congregantur hominum millia partim armatorum partim inermium. Tenebant autem fanum et urbem ii qui aderant, præter regiam quam Herodes cum paucis militibus tutabatur. Et Phasaelus quidem mœnia custodiebat, Herodes vero cum suorum manu in hostes per suburbia eruptionem fecit, et tam acriter pugnavit, ut multa hominum millia verterit, aliis in urbem fugientibus, aliis in fanum, nonnullis etiam in vallum exterius; quoddam enim illic erat. Quin et Phasaelus auxilium ferebat. Pacorus vero Parthorum dux cum paucis militibus, oraute Antigono, in urbem venit, per speciem quidem compescendæ seditionis, re autem vera ut illum in adipiscendo principatu adjuvaret. Quumque Pacoro obviam prodiisset Phasaelus, et eum hospitio excepisset, persuadet ei Pacorus ut ad Barzapharnen legatos mittat : id quod fraudulenter egit. Et Phasaelus nihil suspicatus obtemperat, non assentiente iis quæ gerebantur Herode, propter barbarorum perfidiam, sed Pacorum ceterosque venientes invadi jubente.

5. Igitur in eam legationem profecti sunt Hyrcanus et Phasaelus : et Pacorus, relictis Herodi ducentis equitibus et decem eorum qui Eleutheri (*liberi*) vocantur, illos deduxit. Ubi vero in Galilæam ventum est, venerunt eis obviam in armis qui illic præerant urbibus. Et Barzapharnes primum quidem eos studiose excepit et muneribus donavit : deinde insidiabatur. Diversabatur autem Phasaolus cum equitibus in propinquo ad mare. Ubi quum audivissent Antigonum mille talenta et quingentas feminas promisisse Parthis contra ipsos, cœperunt suspectos habere barbaros. Accessit eo quod insidias ipsis noctu fieri nunciavit quidam, occulte illis adhibita custodia. Et sane comprehensi fuissent, nisi exspectatum esset donec Parthi, qui ad Hierosolyma erant, Herodem cepissent ; ne, si hi prius essent interfecti, ille id sentiens effugeret. Atque ista sic se habebant, et eorum custodes cernebantur. Itaque Phasaelum monebant nonnulli ut statim equo aufugeret, nec exspectaret : maxime vero Ophellius, qui id a Samaralla audiverat, eorum qui tum erant in Syria locupletissimo, hoc ei suasit, et ad fugam navigia pollicebatur, quippe propinquo mari. Verum ille Hyrcanum deserendum non censebat, neque fratri periculum creandum, sed Barzapharnen aggressus, eum non recte facere dicebat, qui hæc in ipsos moliatur : nam si pecunia egeat, majorem a se habiturum, quam quantam det Antigonus; et alioquin atrox facinus esse, legatos, qui ad ipsum accepta fide venerint, interficere insontes. At

βάρβαρος, ταῦτα λέγοντος, ὤμνυε μηδὲν ἀληθὲς εἶναι τῶν ὑπονοουμένων, ἀλλὰ ψευδεῖς αὐτὸν ὑποψίας παράξαι, ἀπῄει τε πρὸς Πάκορον.

(ΚΕ'.) ς'. Οἰχομένου δὲ τῶν Πάρθων ἐδέσμευόν τινες Ὑρκανὸν καὶ Φασάηλον, πολλὰ τῆς ἐπιορκίας κακίζοντα τοὺς Πάρθους. Ὁ δ' ἐπὶ τὸν Ἡρώδην ἀπεσταλμένος οἰνοχόος ἐντολὰς εἶχε προαγαγὼν αὐτὸν ἔξω τοῦ τείχους συλλαμβάνειν. Ἔτυχον δὲ ἄγγελοι παρὰ Φασαήλου πεμφθέντες ἐπὶ δηλώσει τῆς Πάρθων ἀπιστίας, οὓς τῶν πολεμίων συλλαβόντων γνοὺς Ἡρώδης πρόσεισι Πακόρῳ καὶ τῶν Πάρθων τοῖς δυνατωτάτοις, ὡς οὖσι τῶν ἄλλων δεσπόταις. Οἱ δὲ τὸ πᾶν εἰδότες ὑπεκρίνοντο δολερῶς καὶ δεῖν αὐτὸν ἔφασαν μετὰ σφῶν ἐξελθόντα πρὸ τοῦ τείχους ὑπαντᾶν τοῖς τὰ γράμματα κομίζουσιν· οὐδέπω γὰρ αὐτοὺς εἰλῆφθαι πρὸς τῶν ἀντιστασιωτῶν, ἥκειν μέντοι δηλοῦντας ὅσα κατορθώσειε Φασάηλος. Τούτοις Ἡρώδης οὐκ ἐπίστευεν· ἠκηκόει γὰρ τὴν σύλληψιν ταδελφοῦ παρ' ἑτέρων. Καὶ παρῃνούσης δὲ τῆς Ὑρκανοῦ θυγατρὸς, ἧς ἐνεγύητο τὴν παῖδα, ἔτι μᾶλλον ὑπώπτευε τοὺς Πάρθους. Οἱ μὲν οὖν ἄλλοι αὐτῇ οὐ προσεῖχον, αὐτὸς δ' ἐπίστευε λίαν ἔμφρονι γυναικί.

ζ'. Βουλευομένων δὲ τῶν Πάρθων τί χρὴ ποιεῖν (οὐ γὰρ ἤρεσκεν αὐτοῖς ἐκ τοῦ φανεροῦ ἐπιχειρεῖν ἀνδρὶ τηλικούτῳ) καὶ ὑπερθεμένων εἰς τὴν ὑστεραίαν, ἐν τοιαύταις ταραχαῖς Ἡρώδης γενόμενος, καὶ μᾶλλον οἷς ἤκουσε περὶ ταδελφοῦ καὶ τῆς Πάρθων ἐπιβουλῆς ἢ τοῖς ἐναντίοις προσθέμενος, ἑσπέρας ἐπελθούσης ἔγνω ταύτῃ πρὸς φυγὴν χρήσασθαι καὶ μὴ διαμέλλειν ὡς ἐπ' ἀδήλοις τοῖς παρὰ τῶν πολεμίων κινδύνοις. Ἅρας οὖν σὺν οἷς εἶχεν ὁπλίταις καὶ τὰς γυναῖκας τοῖς ὑποζυγίοις ἐπιθέμενος, μητέρα τε αὐτοῦ καὶ ἀδελφὴν καὶ ἣν ἔμελλεν ἄγεσθαι πρὸς γάμον Ἀλεξάνδρου θυγατέρα τοῦ Ἀριστοβούλου παιδὸς, τήν τε ταύτης μητέρα (Ὑρκανοῦ δ' ἦν θυγάτηρ) καὶ τὸν νεώτατον ἀδελφὸν, τήν τε θεραπείαν πᾶσαν, καὶ τὸν ἄλλον ὄχλον τὸν σὺν αὐτοῖς, ἐδίωκε τὴν ἐπὶ Ἰδουμαίας, λαθὼν τοὺς πολεμίους· ὧν οὐδεὶς ἂν οὕτω στερρὸς τὴν φύσιν ηὑρέθη, ὃς τότε παρὼν τοῖς πραττομένοις οὐκ ἂν ᾤκτειρεν αὐτοὺς τῆς τύχης, γυναίων ἐπαγομένων νήπια τέκνα καὶ μετὰ δακρύων καὶ οἰμωγῆς ἀπολειπουσῶν τὴν πατρίδα καὶ φίλους ἐν δεσμοῖς καὶ περὶ αὐτῶν οὐδὲν ἔτι χρηστὸν προσδεχομένων.

η'. Ἀλλ' Ἡρώδης ἐπάνω τῆς ἐκ τοῦ δεινοῦ πληγῆς τὸ φρόνημα ποιησάμενος, αὐτός τε ἦν πρὸς τὸ δεινὸν εὔψυχος, καὶ παριὼν κατὰ τὴν ὁδὸν θαρρεῖν ἕκαστον παρεκελεύετο καὶ μὴ παρέχειν αὑτὸν ἕκδοτον τῇ λύπῃ· τοῦτο γὰρ αὐτοὺς βλάπτειν πρὸς τὴν φυγὴν, ἐν ᾗ τὴν σωτηρίαν αὐτοῖς μόνῃ κεῖσθαι συμβέβηκε. Καὶ οἱ μὲν, ὡς Ἡρώδης παρῄνει, φέρειν τὴν συμφορὰν ἐπειρῶντο· μικροῦ δ' αὐτὸν διεχρήσατο τοῦ ζεύγους περιτραπέντος καὶ τῆς μητρὸς αὐτῷ κινδυνευσάσης ἀποθανεῖν, διά τε τὸ ἐπ' αὐτῆς πάθος καὶ διὰ τὸ φοβεῖσθαι μὴ καταλάβωσιν αὐτὸν οἱ πολέμιοι διώκοντες, τριβῆς

barbarus, hæc dicente, jurabat nihil verum esse eorum quæ suspicaretur, sed eum falsis suspicionibus perturbari: atque ita ad Pacorum profectus est.

(XXV.) 6. Eo digresso Parthorum quidam Hyrcanum constringunt et Phasaelum, multa Parthis convicia facientem ob perjurium. Pocillator autem ad Herodem missus in mandatis habebat eum extra muros deductum comprehendere. Erant autem nuncii a Phasaelo missi ad declarandam Parthorum perfidiam: quos quum hostes cepissent, rei gnarus Herodes Pacorum adit et Parthorum potentissimos quosque, tanquam aliorum dominos. At illi totius rei conscii malitiose dissimulabant, dixeruntque oportere eum extra muros cum ipsis egredi et literas afferentibus obviam ire: nondum enim eos ab adversariis comprehensos, sed ad significandum Phasaeli successum venire. Verum his Herodes non credebat, quippe qui ab aliis fratris comprehensionem audivisset. Accedebat eo quod admonente Hyrcani filia (cujus filiæ filiam ipse sibi desponderat) magis etiam suspectos Parthos habebat. Et ceteri quidem ei non auscultabant, ipse vero cordatæ inprimis feminæ credebat.

7. Interim dum Parthi quid facto opus sit deliberant (illis enim non placebat tantum virum palam aggredi) et negotium in posterum diem differunt, Herodes in tali trepidatione constitutus, magisque iis quæ de fratre et Parthorum insidiis acceperat quam allatis in contrarium fide habita, ubi vespera venit, statuit ea ad fugam uti, et non ideo cunctari quasi in incerto essent pericula ex hostibus. Itaque adhibitis quos habebat militibus, et impositis in jumenta mulieribus, matre sua et sorore et filia Alexandri Aristobuli filii, quam uxorem ducturus erat, hujusque matre, Hyrcani filia, et fratre suo natu minimo, una cum famulitio et reliqua turba in Idumæam ire contendebat, insciis hostibus. Quorum nemo a natura adeo ferreus inventus est qui, quum iis quæ agerentur adesset, eorum fortunæ non misereretur, feminis infantulos suos trahentibus, et cum lacrimis et ejulatu relinquentibus patriam vinctosque amicos, et de se ipsis nihil quod bene habeat exspectantibus.

8. Verum Herodes, animo supra calamitatis ictum sublato, et ipse, periculo impendente, fortiter se gerebat, et per viam singulos obeundo bono esse animo hortabatur, et mœrori nequaquam succumbere: hoc enim ipsis officere et obstare in fuga, in qua sola salutis spem positam esse contigerit. Atque illi quidem, Herodis monitis obsequuti, operam dabant ut calamitatem ferrent. At parum abfuit quin ipse sibi manus afferret, everso vehiculo et matre in mortis periculum adducta, tum propter dolorem quem de ipsa capiebat, tum quod metuebat ne hac ex re injecta

περὶ τὸ πρᾶγμα γενομένης. Σπασάμενον γοῦν αὐτὸν τὸ ξίφος καὶ μέλλοντα πλήττειν αὑτὸν κατέσχον οἱ παρόντες, τῷ τε πλήθει κατισχύσαντες καὶ ὡς οὐκ ἐχρῆν αὐτοὺς ἐγκαταλιπεῖν ἐπὶ τοῖς ἐχθροῖς ἐσομένους λέγοντες· οὐ γὰρ εἶναι γενναίου τῶν δεινῶν αὐτὸν ἐλευθερώσαντα τοὺς φίλους ἐν αὐτοῖς ὑπεριδεῖν. Βιασθεὶς οὖν ἀποσχέσθαι τοῦ καθ' αὑτὸν τολμήματος, αἰδοῖ τε τῶν λεγομένων καὶ πλήθει τῶν οὐκ ἐπιτρεπόντων αὐτοῦ τῇ χειρὶ διακονεῖν οἷς ἐντεθύμητο, ἀνακτησάμενος τὴν μητέρα καὶ θεραπείας ἧς ὁ καιρὸς ἤπειγεν ἀξιώσας, ἐβάδιζε τὴν προκειμένην ὁδὸν, συντονωτέραν ποιούμενος τὴν πορείαν εἰς Μασάδαν τὸ ἔρυμα. Πολλὰς δὲ μάχας πρὸς τοὺς ἐπεξελθόντας καὶ διώκοντας τῶν Πάρθων μαχεσάμενος ἐνίκησε πάσας.

θ'. Ἔμεινε δ' αὐτῷ παρὰ τὴν φυγὴν οὐδὲ τὰ παρὰ τῶν Ἰουδαίων ἀσφαλῆ· συνεπέθεντο δὲ καὶ οὗτοι γενομένοις ἀπὸ σταδίων ἑξήκοντα τῆς πόλεως, προσβαλόντες τε καὶ εἰς χεῖρας ἐρχόμενοι κατὰ τὴν ὁδόν· οὓς δὴ καὶ τρεψάμενος καὶ κρατήσας, οὐχ ὡς ἐν ἀπορίᾳ καὶ ἀνάγκῃ τις τοιαύτῃ καθεστὼς, ἀλλ' ὡς κάλλιστα καὶ μετὰ πολλοῦ τοῦ περιόντος πρὸς πόλεμον παρεσκευασμένος, ἐν ἐκείνῳ τῷ χωρίῳ, ἐν ᾧ τῶν Ἰουδαίων ἐκράτησε, μετὰ χρόνον βασιλεύσας, καὶ βασίλειον κατεσκεύασεν ἀξιολογώτατον καὶ πόλιν περὶ αὐτὸ ἔκτισεν Ἡρωδίαν προσαγορεύσας. Γενομένῳ δὲ τῆς Ἰδουμαίας ἐν Θρήσᾳ χωρίῳ οὕτω καλουμένῳ ὁ ἀδελφὸς Ἰώσηπος ὑπήντησε, καὶ βουλὴν περὶ τῶν ὅλων ἦγε τί χρὴ ποιεῖν, πολλοῦ μὲν πλήθους ἑπομένου, καὶ δίχα τῶν μισθοφορούντων αὐτοῖς, τοῦ δὲ χωρίου τῆς Μασάδας, εἰς ὃ προὔκειτο συμφυγεῖν, ἐλάττονος ὄντος ὑποδέξασθαι τοσοῦτον ὄχλον. Τοὺς μὲν οὖν πλείους ἀπέλυσεν ὑπὲρ ἐννέα χιλιάδας ὄντας, ἄλλον ἀλλαχῇ κελεύσας διὰ τῆς Ἰδουμαίας σώζειν αὐτοὺς, δοὺς ἐφόδια· ὅσοι δ' ἦσαν κοῦφοι καὶ τοὺς ἀναγκαιοτάτους παραλαβὼν εἰς τὸ ἔρυμα παραγίνεται· καὶ καταθέμενος αὐτόθι τάς τε γυναῖκας καὶ τοὺς ἑπομένους, (ἦσαν δ' ὡς ὀκτακόσιοι,) σίτου τε ὄντος ἐν τῷ χωρίῳ καὶ ὕδατος καὶ τῶν ἄλλων ἐπιτηδείων ἁπάντων διαρκούντως, ἐξώρμησεν αὐτὸς ἐπὶ Πέτρας τῆς Ἀραβίας. Ἅμα δ' ἡμέρᾳ τὰ μὲν ἄλλα πάντα τῶν Ἱεροσολυμιτῶν διήρπαζον οἱ Πάρθοι καὶ τὸ βασίλειον, μόνων δὲ ἀπείχοντο τῶν Ὑρκανοῦ χρημάτων· τὰ δ' ἦν εἰς τριακόσια τάλαντα. Πολλὰ δὲ τῶν Ἡρώδου διέφυγε, καὶ μάλιστα ὅσα καὶ προκεκομίσθαι κατὰ προμήθειαν τἀνδρὸς εἰς τὴν Ἰδουμαίαν ἐφθάκει. Τὰ μὲν οὖν κατὰ τὴν πόλιν οὐκ ἀπέχρησε τοῖς Πάρθοις, ἀλλὰ καὶ τὴν χώραν αὐτῶν ἐξιόντες ἐκάκουν, Μάρισσάν τε πόλιν δυνατὴν ἀνέστησαν.

ι'. Καὶ Ἀντίγονος μὲν οὕτω καταχθεὶς εἰς τὴν Ἰουδαίαν ὑπὸ τοῦ Πάρθων βασιλέως Ὑρκανὸν καὶ Φασάηλον δεσμώτας παραλαμβάνει. Σφόδρα δ' ἦν ἄθυμος τῶν γυναικῶν αὐτὸν διαφυγουσῶν, ἃς τοῖς πολεμίοις ἐνεθυμεῖτο δώσειν, τοῦτον αὐτοῖς μετὰ τῶν χρημάτων τὸν μισθὸν ὑποσχόμενος. Φοβούμενος δὲ τὸν Ὑρκανὸν μὴ τὸ πλῆθος αὐτῷ τὴν βασιλείαν ἀποκαταστήσῃ παμmora hostes insequentes ipsum comprehenderent. Eum itaque, quum gladium strinxisset et in eo esset ut se ipsum ense feriret, qui aderant prohibuerunt, quum et numero prævaluissent, dicerentque non committendum esse ut ipsos in hostium potestate futuros relinqueret; non enim viri fortis esse ut, quum semet e periculis liberasset, amicos in iis hærentes negligeret. Itaque a vi sibimet intentata abstinere coactus, partim verecundia illorum quæ dicebantur, partim multitudine eorum qui non sinebant ut manu sua exsequeretur quæ in animo versabat, matre recreata et pro temporis angustia curata, iter institutum persequitur, majori cum festinatione recta pergens ad Masadam castellum. Quumque pugnis multis contra Parthos incursantes et persequentes dimicasset, in universis victoriam reportavit.

9. At neque a Judæis, dum fugeret, tutus erat : sed et *ipsi sexagesimo ab urbe stadio illos aggressi sunt, in itinere* eos adorti manusque conserentes. Quos nimirum quum fudisset fugassetque, ac si non in angustia fuisset et necessitate, sed quasi optime et magna rerum copia ad bellum instructus, eo ipso in loco, ubi Judæos vicit, postea rex factus, ædificavit et exstruxit palatium excellentissimum, et id urbe circumdedit, quam Herodiam appellavit. Ubi autem in Idumææ locum nomine Thresam venit, occurrit ei frater ejus Josephus, et de toto negotio quid agendum esset deliberationem proposuit, quum magna quidem multitudo, etiam præter mercenarios, eos sequeretur, locus vero Masadæ, in quem confugere decrevissent, angustior esset quam ut posset tantam multitudinem capere. At enim ille majorem partem dimisit, quæ fuit supra novem millia, jussitque ut diversi per Idumæam abeuntes saluti suæ consulerent, eisque viaticum dedit. Deinde assumptis expeditissimis quibusque et maxime necessariis in castellum pervenit : et collocatis ibi feminis et comitibus, qui erant circiter octingenti, quod in eo loco magna esset frumenti et aquæ aliarumque rerum omnium necessariarum copia, ipse ad Petram Arabiæ ire contendit. Ceterum, simul ac orta dies est, Parthi reliqua omnia Hierosolymitarum diripuerunt et regiam, tantum ab Hyrcani pecunia abstinuerunt, quæ erat ad talenta trecenta. Herodis autem multa evaserunt, præsertim quæ prius in Idumæam illius providentia fuerant deportata. At enim quæ in urbe erant Parthis non sufficiebant, sed egressi suburbanam regionem affligebant, et Marissam urbem potentem everterunt.

10. Et Antigonus quidem hoc modo in Judæam a rege Parthorum reductus Hyrcanum et Phasaelum vinctos accepit. Erat autem in magna anxietate, quod effugerant eum feminæ, quas hostibus dare in animo habebat, hanc illis mercedem cum pecuniis pollicitus. Metuens vero ne Hyrcanum, qui a Parthis custodiebatur, populus, lato ei auxi-

ραστὰν, (ἐτηρεῖτο δὲ ὑπὸ τῶν Πάρθων,) ἀποτέμνει αὐτοῦ τὰ ὦτα, πραγματευόμενος μηκέτ' αὖθις εἰς αὐτὸν ἀφικέσθαι τὴν ἀρχιερωσύνην διὰ τὸ λελωβῆσθαι, τοῦ νόμου τῶν ὁλοκλήρων εἶναι τὴν τιμὴν ἀξιοῦντος. Φασάηλον δ' ἄν τις θαυμάσειε τῆς εὐψυχίας, ὃς γνοὺς αὐτὸν ἀποσφάττεσθαι μέλλοντα, οὐχὶ τὸν θάνατον ἡγήσατο δεινὸν, τὸ δ' ὑπ' ἐχθροῦ τοῦτο παθεῖν οἰκτρότατον καὶ αἴσχιστον ὑπολαβὼν, τὰς χεῖρας οὐκ ἔχων ἐλευθέρας ὑπὸ δεσμῶν πρὸς ἀναίρεσιν, πέτρᾳ προσαράξας τὴν κεφαλὴν, ἐξήγαγε μὲν ἑαυτὸν τοῦ ζῆν, ὡς ἐδόκει κάλλιστα παρὰ τοιαύτην ἀπορίαν, τῆς δ' ἐξουσίας τοῦ κτεῖναι πρὸς ἡδονὴν αὐτὸν ἀφείλετο τὸν πολέμιον. Λέγουσι δ' ὡς τραύματος μεγάλου γενομένου φαρμάκοις αὐτὸν ὑποπέμψας ἰατροὺς Ἀντίγονος ὡς ἐπὶ θεραπείᾳ διέφθειρε θανασίμοις χρησαμένων εἰς τὸ τραῦμα. Πρὸ μέντοι τοῦ τελέως ἀφεῖναι τὴν ψυχὴν ὁ Φασάηλος ἀκούσας παρά τινος γυναίου τὸν ἀδελφὸν Ἡρώδην τοὺς πολεμίους διαπεφευγότα, σφόδρα τὴν τελευτὴν εὐθύμως ὑπέμεινε, καταλιπὼν τὸν ἐκδικήσοντα τὸν θάνατον αὐτοῦ καὶ τοὺς ἐχθροὺς τιμωρήσασθαι δυνάμενον.

ΚΕΦ. ΙΔ'.

Ἡρώδην δὲ τὸ μέγεθος τῶν περιεστηκότων αὐτὸν κακῶν οὐ κατέπληττεν, ἀλλ' ἐποίει δεινὸν εὑρίσκειν ἐπιβολὰς ἔργων παραβόλων. Πρὸς γὰρ Μάλχον τὸν Ἀράβων βασιλέα πολλὰ πρόσθεν εὐηργετημένον ἀπῄει τὴν ἀμοιβὴν κομιούμενος, ὅτε μάλιστα ἐδεῖτο, χρήματα ληψόμενος εἴτε δάνειον εἴτε δωρεάν, ὡς ἂν πολλῶν ἐξ αὐτοῦ τετυχηκότος· οὐ γὰρ εἰδὼς τὰ κατὰ τὸν ἀδελφὸν, ἔσπευδε λυτρώσασθαι παρὰ τῶν πολεμίων αὐτὸν, λύτρον ὑπὲρ αὐτοῦ καταβαλὼν νόμισμα ἕως τριακοσίων ταλάντων. Ἐπήγετο δὲ καὶ τὸν Φασαήλου παῖδα διὰ ταύτην τὴν αἰτίαν, ἑπταέτη τυγχάνοντα, παρέξων αὐτὸν ἐνέχυρον τοῖς Ἄραψι. Ἀγγέλων δ' αὐτῷ ὑπαντησάντων παρὰ τοῦ Μάλχου, δι' ὧν ἐκέλευσεν αὐτὸν ἀναχωρεῖν, παραγγεῖλαι γὰρ αὐτῷ Πάρθους Ἡρώδην μὴ δέχεσθαι, (ταύτῃ δ' ἐχρῆτο προφάσει ὑπὲρ τοῦ μὴ ἀποδοῦναι τὰ χρέα, καὶ τῶν ἐν τέλει παρὰ τοῖς Ἄραψιν εἰς τοῦτο ἐναγόντων, ὅπως ἀποστερήσωσι τὰς παρακαταθήκας, ἃς παρὰ τοῦ Ἀντιπάτρου λαβόντες ἔτυχον,) ἀπεκρίνατο αὐτοῖς μηδὲν ἐνοχλήσων ἀφικνεῖσθαι πρὸς αὐτοὺς, μόνον δὲ διαλεξόμενος περὶ τῶν ἀναγκαιοτάτων αὐτῷ πραγμάτων.

β'. Ἔπειτα δόξαν ἀναχωρεῖν ἀπῄει μάλα σωφρόνως τὴν ἐπ' Αἰγύπτου. Καὶ τότε μὲν ἓν τινι ἱερῷ κατάγεται, (καταλελοίπει γὰρ αὐτόθι πολλοὺς τῶν ἑπομένων,) τῇ δὲ ὑστεραίᾳ παραγενόμενος εἰς Ῥινοκούρουραν, ἐκεῖ καὶ τὰ περὶ τὸν ἀδελφὸν ἤκουσε. Μάλχῳ δὲ μεταγνόντι καὶ μεταθέοντι τὸν Ἡρώδην οὐδὲν τούτου περισσότερον ἐγένετο· πορρωτάτω γὰρ ἦν ἤδη σπεύδων τὴν ἐπὶ Πηλουσίου. Ἐπεὶ δ' αὐτὸν ἐλθόντα νῆες ὁρμοῦσαι αὐτόθι εἶργον τοῦ ἐπ' Ἀλεξανδρείας πλοῦ, τοῖς ἡγεμόσιν ἐντυγχάνει, ὑφ' ὧν κατ' αἰδῶ καὶ πολλὴν ἐντροπὴν προπεμφθεὶς εἰς τὴν πόλιν ὑπὸ Κλεοπάτρας τῆς βασιλίδος καὶ τῶν τέκνων ἐτιμήθη μεγαλοπρεπῶς, καὶ τὰ μὲν ἀναθήματα τὰ παρὰ τοῦ πατρὸς ἀπολαβὼν, ἐπὶ δὲ τὴν ἀρχιερωσύνην ἐπανελθεῖν οὐκ ἠξίωσεν, ἀλλὰ τὸν ἀδελφὸν Ἀριστόβουλον ἐπὶ τὴν ἀρχὴν ἐκπέμψας, ἐπὶ τὴν Ἀντωνίου μετέβη κλῆσιν.

lio, in regnum restitueret, aures ei abscidit, illud agens, ne deinceps ad pontificatum perveniret, quod mutilatus esset, quum lex id munus integrorum esse velit. Verum Phasaelum alicui mirari subeat ob animi fortitudinem, qui, quum se occisum iri rescivisset, mortem nihil habere quod sit horrendum putavit; ab inimicis vero morte affici miserabile ac turpissimum ratus, quum præ vinculis ei non liceret manus sibimet inferre, alliso ad saxum capite, semet quidem vita privavit, pulcerrime ut visum est in tali angustia, hosti vero potestatem præripuit ipsum ad libidinem perimendi. Ferunt autem, quum ingenti vulnere saucius esset, Antigonum, summissis medicis per speciem curandi eum occidisse, letalibus ad vulnus medicamentis adhibitis. Tamen antequam prorsus animam egisset Phasaelus, audito a quadam muliercula fratrem suum Herodem ex hostibus evasisse, forti admodum animo mortem tulit, ut qui necis suæ ultorem post se reliquerit, cui in manu esset ab inimicis pœnas exigere.

CAP. XIV. (XXV.)

At Herodem malorum, quæ ipsum circumstabant, magnitudo non perterruit, sed acriorem fecit ad inveniendas magna audendi occasiones. Ad Malchum enim regem Arabum, plurimis a se beneficiis antea affectum, proficiscebatur, ab eo vicissim aliquid reportaturus, quum maxime opus esset, pecuniam vel mutuam vel dono *datam* accepturus, præsertim quum ab ipso multa consequutus fuerit: ignarus enim quo in statu res fratris essent, properabat eum ab hostibus liberare, etiamsi in pretium ejus redemptionis nummum solverit ad trecenta usque talenta. Hanc ob causam ducebat secum et Phasaeli filium septennem, ut eum Arabibus pignori daret. Sed quum occurrissent ei a Malcho nuncii, per quos jussit eum discedere; interdictum enim sibi esse a Parthis ne Herodem acciperet, (id autem prætexebat ne mutuum redderet, impellentibus etiam eum ad id primatibus Arabum, ut Antipatri depositum, quod acceperant, interverterent,) illis respondit, se non venisse ut ipsis ulla in re molestum esset, sed ut duntaxat cum rege de rebus ipsi maxime necessariis colloqueretur.

2. Deinde ubi discedere visum est, caute admodum abiit Ægyptum versus. Ac tum in fanum quoddam divertitur, ubi comitum suorum multos reliquit. Postero vero die, quum Rhinocururam perveniret, ibi quæ fratri acciderant cognovit. Malchus autem, pœnitentia ductus, post Herodem concurrit, sed nihil eo profecit, quippe quum ille abesset longissime properans ad Pelusium. Quo postquam pervenit, quum naves, quæ illic in statione erant, eum navigatione ad Alexandriam prohibuissent, loci rectores convenit, a quibus reverenter et honorifice admodum in urbem

τρας κατείχετο. Πεῖσαι μέντοι μένειν αὐτὸν οὐκ ἠδυνήθη, εἰς Ῥώμην ἐπειγόμενον, χειμῶνός τε ὄντος καὶ τῶν κατὰ τὴν Ἰταλίαν ἐν ταραχῇ καὶ σάλῳ πολλῷ ὀηλουμένων.

γ'. Ἀναχθεὶς οὖν ἐκεῖθεν ἐπὶ Παμφυλίας καὶ χειμῶνι σφοδρῷ περιπεσὼν μόλις εἰς Ῥόδον διασώζεται, φορτίων ἀποβολῆς γενομένης. Καὶ δύο μὲν ἐνταυθοῖ τῶν φίλων αὐτῷ συνήντησαν, Σαππίνας τε καὶ Πτολεμαῖος. Εὑρὼν δὲ τὴν πόλιν ὑπὸ τοῦ πρὸς Κάσσιον πολέμου κεκακωμένην, οὐδ' ἐν ἀπόροις ὢν εὖ ποιεῖν αὐτὴν ὤκνησεν, ἀλλὰ καὶ παρὰ δύναμιν αὐτὴν ἀνεκτᾶτο, τριήρη τε κατασκευάσας καὶ ἀναχθεὶς ἐντεῦθεν σὺν τοῖς φίλοις ἐπὶ Ἰταλίας εἰς Βρεντέσιον κατάγεται, κἀκεῖθεν εἰς Ῥώμην ἀφικόμενος πρῶτα μὲν Ἀντωνίῳ φράζει τὰ συμβάντα αὐτῷ κατὰ τὴν Ἰουδαίαν, καὶ πῶς ὁ ἀδελφὸς αὐτοῦ Φασάηλος ὑπὸ Πάρθων ἀπόλοιτο συλληφθεὶς καὶ Ὑρκανὸς ὑπ' αὐτῶν αἰχμάλωτος ἔχοιτο, καὶ ὡς Ἀντίγονον καταστήσειαν βασιλέα, χρήματα δώσειν ὑποσχόμενον χίλια τάλαντα καὶ γυναῖκας πεντακοσίας, αἳ τῶν πρώτων καὶ τοῦ γένους τοῦ αὐτῶν ἔμελλον ἔσεσθαι, καὶ ὅτι ταύτας νυκτὸς ἐκκομίσειε, καὶ διαφύγοι τὰς τῶν ἐχθρῶν χεῖρας πολλὰς ὑπομείνας ταλαιπωρίας· εἶτα ἐπιδιακινδυνεύειν αὐτῷ τοὺς οἰκείους αὐτοῦ πολιορκουμένους, καὶ ὡς πλεύσειέ τε διὰ χειμῶνος καὶ παντὸς καταφρονήσειε δεινοῦ, σπεύδων ἐπὶ τὰς ἐλπίδας τὰς παρ' αὐτοῦ καὶ τὴν μόνην βοήθειαν.

(ΚΖ'.) δ'. Ἀντώνιον δ' οἶκτος εἰσέρχεται τῆς Ἡρώδου μεταβολῆς, καὶ τῷ κοινῷ χρησάμενος λογισμῷ περὶ τῶν ἐν ἀξιώματι τοσούτῳ καθεστώτων, ὡς κἀκείνων ὑποκειμένων τῇ τύχῃ, τὰ μὲν κατὰ μνήμην τῆς Ἀντιπάτρου ξενίας, τὰ δὲ καὶ ὑπὸ χρημάτων ὧν αὐτῷ Ἡρώδης ὑπέσχετο δώσειν, εἰ γένοιτο βασιλεὺς, καθὼς καὶ πρότερον ὅτε τετράρχης ἀποδέδεικτο, πολὺ μέντοι μᾶλλον διὰ τὸ πρὸς Ἀντίγονον μῖσος (στασιαστὴν γὰρ καὶ Ῥωμαίοις ἐχθρὸν αὐτὸν ὑπελάμβανε) πρόθυμος ἦν οἷς Ἡρώδης παρεκάλει συλλαμβάνεσθαι. Καῖσαρ μὲν οὖν καὶ διὰ τὰς Ἀντιπάτρου στρατείας, ἃς κατ' Αἴγυπτον αὐτοῦ τῷ πατρὶ συνδιήνεγκε, καὶ τὴν ξενίαν καὶ τὴν ἐν ἅπασιν εὔνοιαν, χαριζόμενος δὲ καὶ Ἀντωνίῳ σφόδρα περὶ τὸν Ἡρώδην ἐσπουδακότι, πρὸς τὴν ἀξίωσιν καὶ τὴν ὧν ἐβούλετο Ἡρώδης συνεργίαν ἑτοιμότερος ἦν. Συναγαγόντες τε τὴν βουλὴν Μεσσάλας καὶ μετ' αὐτὸν Ἀτρατῖνος, παραστησάμενοι τὸν Ἡρώδην, τάς τε τοῦ πατρὸς αὐτοῦ εὐεργεσίας διεξῆσαν καὶ ἣν αὐτὸς πρὸς Ῥωμαίους εἶχεν εὔνοιαν ὑπεμίμνησκον, κατηγοροῦντες ἅμα καὶ πολέμιον ἀποφαίνοντες Ἀντίγονον, οὐκ ἐξ ὧν τὸ πρῶτον προσέκρουσεν αὐτοῖς μόνον, ἀλλ' ὅτι καὶ παρὰ Πάρθων τὴν ἀρχὴν λάβοι, Ῥωμαίους ὑπεριδών. Τῆς δὲ βουλῆς ἐπὶ τούτοις παρωξυμμένης παρελθὼν Ἀντώνιος ἐδίδασκεν αὐτοὺς ὡς καὶ πρὸς τὸν κατὰ Πάρθων πόλεμον Ἡρώδην βασιλεύειν συμφέρει. Καὶ δόξαν τοῦτο πᾶσι ψηφίζονται.

ε'. Καὶ τοῦτο μέγιστον ἦν τῆς Ἀντωνίου περὶ τὸν Ἡρώδην σπουδῆς, ὅτι μὴ μόνον αὐτῷ τὴν βασιλείαν

deductus a Cleopatra detinebatur. Ei tamen persuadere non potuit ut apud se maneret, quippe qui Romam festinaret, quum et tempus esset procellosum, resque Italia, magno in motu esse et perturbatione nunciarentur.

3. *Igitur quum inde solvisset Pamphyliam versus, et in* gravem tempestatem incidisset, ægre in Rhodum evasit, facta oneris jactura. Et duo ex amicis ei occurrerunt, Sappinas et Ptolemæus. Quumque urbem invenisset Cassiano bello afflictam, quamvis inops, tamen non gravatus est ei benefacere, immo et supra vires eam recreabat; deinde exstructa triremi, quum illinc cum amicis solvisset in Italiam, Brundusium appulit: atque inde Romam profectus, primo omnium Antonio exposuit quæ ipsi in Judæa contigerant, et quomodo frater ejus Phasaelus captus et a Parthis occisus sit, et Hyrcanus ab illis captivus teneatur, quodque Antigonum regem constituissent, pecuniam eis pollicitum usque ad mille talenta daturum, et quingentas mulieres, quæ ex primoribus forent atque e genere ipsorum; et quod eas noctu asportasset, et e manibus hostium evasisset, multas passus ærumnas. Deinde *narravit* suos sibi maximo esse in periculo, ex obsidione, utque per medias tempestates navigasset, et mala omnia contempsisset, festinans ad ipsum, in quo omnem spem repositam habeat et unicum auxilium.

(XXVI.) 4. Antonium autem subit miseratio mutatæ Herodis fortunæ, quumque secum, quod fieri solet, animo reputasset fortunam etiam iis dominari qui in tanta dignitate constituti sunt, partim Antipatri recordatione, cujus ipse usus fuerat hospitio, partim propter pecuniam, quam ei daturum se promittebat Herodes, si rex factus esset, quemadmodum antea, quum tetrarcha factus erat, et multo etiam magis odio Antigoni (ipsum enim seditiosum et Romanis infensum existimabat) paratus erat Herodem in suis postulatis adjuvare. Et Cæsar quidem, partim propter Antipatri militiam, qua in Ægypto cum ipsius patre functus fuerat, propterque ejus hospitium et in omnibus benevolentiam, partim ut Antonio Herodis studiosissimo gratificaretur, promptiori erat animo ad dignitatem *ipsius tuendam* et ad ea quæ volebat Herodes promovenda. Itaque convocato senatu, Messala et post eum Atratinus, producto Herode, *patris ipsius* beneficia narrando recensuerunt, ejusque erga Romanos benevolentiam commemorarunt, accusantes simul hostemque pronunciantes Antigonum, non modo propter ejus primum in eos delictum, sed etiam quod contemptis Romanis a Parthis accepisset *imperium*. His commoto senatu, Antonius in medium progressus eos edocuit etiam ad Parthicum bellum expedire ut rex fiat Herodes. Quumque id omnibus placuisset, decretum faciunt.

5. Atque hoc summum erat Antonii erga Herodem studium, quod non solum id egit ut is præter spem suam regno

οὐκ ἐλπίζοντι περιεποιήσατο, (οὐ γὰρ εἰς ἑαυτὸν ἀνέβη ταύτην αἰτησόμενος, οὐ γὰρ ἐνόμιζεν αὐτῷ τοὺς Ῥωμαίους παρέξειν, τοῖς ἐκ τοῦ γένους ἔθος ἔχοντας αὐτὴν διδόναι, ἀλλὰ τῷ τῆς γυναικὸς ἀδελφῷ λαβεῖν ἀξιώσων Ἀριστοβούλῳ, υἱωνῷ τυγχάνοντι πρὸς μὲν πατρὸς Ἀριστοβούλου, πρὸς δὲ μητρὸς Ὑρκανοῦ,) ἀλλ' ὅτι καὶ ἑπτὰ ταῖς πάσαις ἡμέραις παρέσχεν αὐτῷ, τυχόντι τῶν οὐδὲ προσδοκηθέντων, ἀπελθεῖν ἐκ τῆς Ἰταλίας. Τοῦτον μὲν οὖν τὸν νεανίσκον Ἡρώδης ἀπέκτεινεν, ὡς κατὰ καιρὸν δηλώσομεν. Αυθείσης δὲ τῆς βουλῆς, μέσον ἔχοντες Ἡρώδην Ἀντώνιος καὶ Καῖσαρ ἐξῆεσαν, συμπροαγόντων ἅμα ταῖς ἄλλαις ἀρχαῖς τῶν ὑπάτων, θύσοντές τε καὶ τὰ δόγματα καταθησόμενοι εἰς τὸ Καπετώλιον. Εἰστία δὲ τὴν πρώτην ἡμέραν Ἡρώδην τῆς βασιλείας Ἀντώνιος. Καὶ ὁ μὲν οὕτω τὴν βασιλείαν παραλαμβάνει, τυχὼν αὐτῆς ἐπὶ τῆς ἑκατοστῆς καὶ ὀγδοηκοστῆς καὶ τετάρτης Ὀλυμπιάδος, ὑπατεύοντος Γαΐου Δομετίου Καλουΐνου τὸ δεύτερον καὶ Γαΐου Ἀσινίου Πολλίωνος.

ς'. Τοῦτον δὲ ἅπαντα τὸν χρόνον Ἀντίγονος ἐπολιόρκει τοὺς ἐν Μασάδα, τῶν μὲν ἄλλων αὐτοῖς ἐπιτηδείων ὑπαρχόντων, μόνου δὲ σπανίζοντας ὕδατος, ὡς καὶ διὰ τοῦτο καὶ τὸν ἀδελφὸν Ἡρώδου Ἰώσηπον σὺν διακοσίοις τῶν οἰκείων ἀποδρᾶναι βουλεύσασθαι πρὸς Ἄραβας· ἠκηκόει γὰρ καὶ Μάλχον τῶν εἰς Ἡρώδην ἁμαρτημάτων μετανοεῖν. Κατέσχε δ' αὐτὸν ὕσας διὰ τῆς νυκτὸς ὁ Θεός. Τῶν γὰρ ἐκδοχείων πλησθέντων τοῦ ὕδατος, οὐκέτι τῆς φυγῆς ἐδεῖτο, ἀλλὰ τεθαρρηκότες ἤδη καὶ πλέον κατὰ τὴν εὐπορίαν τοῦ σπανίζοντος, ὡς ἐκ Θεοῦ τῆς προνοίας ταύτης αὐτοῖς γεγενημένης, ἐπεξιόντες καὶ συμπλεκόμενοι τοῖς περὶ τὸν Ἀντίγονον, τοῖς μὲν φανερῶς, τοῖς δὲ καὶ λαθραίως, πολλοὺς αὐτῶν διέφθειραν. Κἀν τούτῳ Οὐεντίδιος ὁ Ῥωμαίων στρατηγὸς πεμφθεὶς ἐκ Συρίας, ὥστε Πάρθους ἀνείργειν, μετ' ἐκείνους εἰς Ἰουδαίαν παρέβαλε, τῷ λόγῳ μὲν Ἰωσήπῳ συμμαχήσων, τὸ δ' ὅλον ἦν αὐτῷ στρατήγημα, χρήματα παρ' Ἀντιγόνου λαβεῖν. Ἔγγιστα γοῦν Ἱεροσολύμων στρατοπεδευσάμενος ἀποχρώντως ἠργυρίσατο τὸν Ἀντίγονον, καὶ αὐτὸς μὲν ἀνεχώρησεν σὺν τῇ πλείονι δυνάμει· ἵνα δὲ μὴ καταφωρον γένηται τὸ τόλμημα, Σίλωνα μετὰ μέρους τινὸς τῶν στρατιωτῶν κατέλιπεν, ὃν καὶ αὐτὸν ἐθεράπευσεν Ἀντίγονος, ὅπως μηδὲν ἐνοχλοίη, προσδοκῶν καὶ πάλιν αὐτῷ Πάρθους ἐπαμυνεῖν.

ΚΕΦ. ΙΕ'.

Ἡρώδης δ' ἐκ τῆς Ἰταλίας ἤδη καταπεπλευκὼς εἰς τὴν Πτολεμαΐδα καὶ συναγαγὼν δύναμιν οὐκ ὀλίγην ξένων τε ἅμα καὶ δημοφύλων, ἤλαυνε διὰ τῆς Γαλιλαίας ἐπ' Ἀντίγονον. Συνελάμβανον δ' αὐτῷ Σίλων τε καὶ Οὐεντίδιος, πεισθέντες ὑπὸ Δελλίου συγκατάγειν Ἡρώδην, τοῦ πεμφθέντος ὑπ' Ἀντωνίου. Οὐεντίδιος μὲν οὖν ἐτύγχανε τὰς ταραχὰς τὰς διὰ Πάρθους ἐν ταῖς πόλεσιν οὔσας καθιστάμενος, Σίλων δ' ἐν Ἰουδαίᾳ,

potiretur (non enim ascenderat illud sibimet petiturus, nam minime putabat id ipsi concessuros Romanos, qui id regii generis hominibus dare consuessent, sed uxoris suæ fratri illud ambiturus Aristobulo, nepoti ex patre Aristobuli, ex matre Hyrcani,) verum etiam quod intra septem in universum dies efficiebat ut ipsi, quæ non speraverat assequuto, liceret ex Italia discedere. Et hunc quidem adolescentem Herodes interfecit, quod suo tempore indicabimus. Dimisso autem senatu, medium stipantes Herodem Antonius et Cæsar exierunt, deducentibus consulibus una cum aliis magistratibus, ad sacrificandum, et decretum in Capitolio reponendum. Ac primo regni Herodis die convivio eum excepit Antonius. Atque ita quidem ille regnum suscipit, illud adeptus Olympiade centesima octogesima quarta, Caio Domitio Calvino iterum et Caio Asinio Pollione consulibus.

6. Toto autem hoc tempore Antigonus eos qui erant Masadæ oppugnabat, ceteris quidem necessariis abundantes, sed aquæ penuria laborantes, ut eam ob causam Herodis frater Josephus cum ducentis suorum decreverit ad Arabes fugere : audierat enim Malchum commissorum in Herodem pœnitere. Ipsum vero continuit Deus, dum noctu plueret. Nam cisternis aqua repletis, illi non amplius opus erat fuga, sed quum omnes jam animos sumpsissent, idque magis ex rei desideratæ affluentia, ut quæ Dei providentia ipsa illis contigisset, eruptiones facientes, manusque cum Antigonianis conserentes, partim aperte partim occulto, eorum complures interfecerunt. Interea Ventidius Romanorum dux, missus ad Parthos Syria arcendos, post illos in Judæam venit, verbis quidem ut Josepho ferret auxilium, re autem vera callide hoc agebat ut pecuniam acciperet ab Antigono. Itaque castris proxime Hierosolyma positis, satis grandem pecuniam obtinuit ab Antigono, atque ipse discessit cum copiarum parte majori : ne tamen facinus deprehenderetur, Silonem cum parte nonnulla militum reliquit; quem etiam ipsum coluit Antigonus, ne quid sibi noceret, sperans iterum Parthos sibi subsidio futuros.

CAP. XV. (XXVII.)

Herodes autem, quum jam ab Italia Ptolemaidem navigasset, et copias non mediocres partim conductitiorum partim popularium contraxisset, properabat per Galilæam adversus Antigonum. Ipsum vero adjuvabant Silo et Ventidius, a Dellio ab Antonio misso persuasi, ut Herodi reducendo operam darent. Et Ventidius quidem in eo erat ut excitatas propter Parthos in urbibus turbas componeret,

χρήμασιν ὑπ' Ἀντιγόνου διεφθαρμένος. Ἡρώδῃ μέντοι προσιόντι κατὰ πᾶσαν ἡμέραν δύναμις ηὔξετο καὶ πᾶσα Γαλιλαία πλὴν ὀλίγων αὐτῷ προστέθειτο. Ὡρμηκότι δ' αὐτῷ ἐπὶ τοὺς ἐν Μασάδᾳ (ἀναγκαῖον γὰρ ἦν τὸ σῶσαι τοὺς ἐν τῷ φρουρίῳ πολιορκουμένους συγγενεῖς ὄντας) ἐμποδὼν Ἰόπη γίνεται· πολεμίαν γὰρ οὖσαν αὐτὴν ἐχρῆν ἐξελεῖν πρότερον, ὅπως μηδὲν ὑπολείπηται κατὰ νώτου τοῖς ἐχθροῖς ἔρυμα, χωροῦντος ἐπὶ Ἱεροσολύμων. Ποιησαμένου δὲ καὶ Σίλωνος ταύτην πρόφασιν τῆς ἀπαναστάσεως, καὶ τῶν Ἰουδαίων διωκόντων αὐτὸν, Ἡρώδης μετ' ὀλίγου στίφους ἐπέξεισι, καὶ τρέπεται μὲν τοὺς Ἰουδαίους, Σίλωνα δὲ σώζει κακῶς ἀμυνόμενον. Ἑλὼν δὲ τὴν Ἰόπην, ἔσπευδε ῥυσόμενος τοὺς ἐν Μασάδᾳ οἰκείους. Τῶν δ' ἐπιχωρίων οἱ μὲν αὐτῷ διὰ τὴν πατρῴαν προσεχώρουν φιλίαν, οἱ δὲ διὰ τὴν αὐτοῦ δόξαν, ἄλλοι δὲ κατὰ ἀμοιβὴν τῆς παρ' ἀμφοτέρων εὐεργεσίας, οἱ πλείους δὲ διὰ τὰς ἐλπίδας, ἃς ὡς ἐπὶ βασιλεῖ βεβαίῳ τὸ λοιπὸν εἶχον.

β'. Ἠθροιστο δ' ἡ δύναμις βαρεῖα, καὶ προϊόντος Ἀντίγονος τῶν παρόδων τοὺς ἐπιτηδείους τόπους ἐνέδραις καὶ λόχοις κατελάμβανε· καὶ καθάπαξ οὐδὲν ἐκ τούτου τοὺς πολεμίους ἢ μικρὰ παντάπασιν ἔβλαπτεν. Ἡρώδης δὲ τοὺς ἐκ Μασάδας οἰκείους ἐπαναλαβὼν καὶ Θρῆσαν τὸ φρούριον, ᾔει πρὸς τὰ Ἱεροσόλυμα, συνείπετο δ' αὐτῷ τὸ μετὰ Σίλωνος στρατιωτικὸν καὶ πολλοὶ τῶν ἐκ τῆς πόλεως τὴν ἰσχὺν καταπλαγέντες. Στρατοπεδευσαμένου δὲ κατὰ τὸ πρὸς δύσιν τῆς πόλεως κλίμα, οἱ κατὰ τοῦτο τεταγμένοι φύλακες ἐτόξευόν τε καὶ ἠκόντιζον πρὸς αὐτόν. Ἐνίων δὲ καὶ κατὰ στῖφος ἐκθεόντων καὶ τοῖς προτεταγμένοις εἰς χεῖρας ἐρχομένων, Ἡρώδης τὸ μὲν πρῶτον ἐκέλευσε κηρύσσειν περὶ τὸ τεῖχος « ὡς ἐπ' ἀγαθῷ τε παρεῖη τοῦ δήμου καὶ σωτηρίᾳ τῆς πόλεως, μηδὲν μηδὲ τοῖς φανεροῖς τῶν ἐχθρῶν μνησικακήσων, ἀλλὰ παρέξων καὶ τοῖς διαφορωτάτοις ἀμνηστίαν τῶν εἰς αὐτὸν ἁμαρτημάτων. » Τοῦ δὲ Ἀντιγόνου πρὸς τὰ ὑπὸ τοῦ Ἡρώδου κηρυχθέντα λέγοντος, πρός τε Σίλωνα καὶ τὸ τῶν Ῥωμαίων στράτευμα, « ὡς παρὰ τὴν αὐτῶν δικαιοσύνην Ἡρώδῃ δώσουσι τὴν βασιλείαν, ἰδιώτῃ τε ὄντι καὶ Ἰδουμαίῳ, τουτέστιν ἡμιιουδαίῳ, δέον τοῖς ἐκ τοῦ γένους οὖσι παρέχειν, ὡς ἔθος ἐστὶν αὐτοῖς. Καὶ γὰρ εἰ νῦν πρὸς αὐτὸν ἔχουσι χαλεπῶς καὶ τὴν βασιλείαν, ὡς λαβόντα παρὰ Πάρθων, ἀφελέσθαι διεγνώκασιν, εἶναί γε πολλοὺς ἐκ τοῦ γένους αὐτοῦ τοὺς ληψομένους κατὰ νόμον τὴν βασιλείαν, οἳ μηδὲν ἐξημαρτηκότες πρὸς Ῥωμαίους καὶ ἱερεῖς ὄντες οὐκ ἂν εἰκότα πάσχοιεν τῆς τιμῆς στερόμενοι. » Ταῦτα πρὸς ἀλλήλους αὐτῶν λεγόντων καὶ προελθόντων εἰς βλασφημίας, Ἀντίγονος ἀμύνασθαι τοὺς ἀπὸ τοῦ τείχους ἐπέτρεπε τοῖς ἰδίοις. Οἱ δὲ τοξεύοντες καὶ πολλῇ προθυμίᾳ κατ' αὐτῶν χρώμενοι ῥᾳδίως αὐτοὺς ἀπὸ τῶν πύργων ἐτρέψαντο.

γ'. Τότε καὶ Σίλων ἀπεκαλύψατο τὴν δωροδοκίαν.

Silo vero in Judæa *manebat*, pecuniis ab Antigono corruptus. Attamen Herodi progredienti quotidie vires augebantur, omnisque Galilæa, paucis exceptis, stabat ab ejus partibus. Ei vero adversus eos qui in Masada erant contendenti (nam necesse habuerat eos qui in castello obsidebantur, utpote cognatos, servare) impedimento erat Jope : nam quum illa hostilis esset, capienda erat, ne qua a tergo relinqueretur hostibus munitio, dum Hierosolyma adoriretur. Quum autem Silo hanc occasionem discedendi arripuisset, et Judæi ipsum persequerentur, egreditur cum exigua manu Herodes, versisque Judæis, Silonem male repugnantem servavit. Deinde, capta Jope, ad liberandos suos, qui in Masada erant, properat. Ex indigenis autem alii quidem propter paternam amicitiam illi se adjungebant, alii vero propter ipsius gloriam, et nonnulli ut utrique ob beneficia gratiam referrent, plerique vero propter spes quas in eo, rege deinceps certo futuro, habebant.

2. Quum autem valida manu coacta procederet, Antigonus adituum loca opportuna obsessione et insidiis occupabat; sed nihil omnino hac ratione hostibus aut certe perparum nocebat. Herodes vero, suis ex Masada receptis, necnon Thresa munitione, Hierosolyma adibat, ipsumque subsequebantur Silonis copiæ, cum multis Hierosolymitanis tanta potentia perterritis. Ubi autem ad urbis occidentalem partem castra fecerat, qui illac dispositi erant custodes, sagittis eum et missilibus impetebant. Quumque nonnulli etiam confertim excurrerent et cum principiis manus consererent, Herodes primum proclamari jussit circa mœnia « sese propter populi utilitatem urbisque salutem adesse; ne apertos quidem adversarios ulturum, sed etiam inimicissimorum in se peccata oblivioni traditurum. » Quum contra Antigonus ad ista Herodis præconia diceret Siloni et Romanorum exercitui, « præter ipsorum justitiam facturos, si Herodi regnum dederint, homini privato et Idumæo, hoc est semi Judæo, quum id *regii* generis hominibus præberi deberet, ut sit ipsorum consuetudo. Quodsi nunc sibi succenseant, et a se regnum auferre, quoniam id a Parthis acceperit, statuerint, esse quidem multos sui generis in regnum successuros, qui, quum neque quicquam contra Romanos peccassent, et sacerdotes essent, indigne paterentur honore privari. » Hæc dum utrinque dicuntur, et ad convicia proceditur, Antigonus hostes a mœnibus deturbare suis permittit. Illi vero quum jacularentur magnamque contra alacritatem adhiberent, facile eos a turribus averterunt.

3. Tunc et Silo palam fecit se pecunia corruptum esse.

Καθῆκε γὰρ τῶν οἰκείων οὐκ ὀλίγους, σπάνιν τε τῶν ἐπιτηδείων καταβοᾶν καὶ χρήματα εἰς τροφὰς αἰτεῖν, καὶ χειμάσοντας ἀπάγειν εἰς τοὺς ἐπιτηδείους τόπους, τῶν περὶ τὴν πόλιν ὄντων ἐρήμων, διὰ τὸ ὑπὸ τῶν Ἀντιγόνου στρατιωτῶν ἀνεσκευάσθαι, ἐκίνει τε τὸ στρατόπεδον καὶ ἀναχωρεῖν ἐπειρᾶτο. Ἡρώδης δ' ἐνέκειτο παρακαλῶν τούς τε ὑπὸ τῷ Σίλωνι ἡγεμόνας καὶ στρατιώτας μὴ καταλιπεῖν αὐτὸν, Καίσαρός τε καὶ Ἀντωνίου καὶ τῆς συγκλήτου προπεμψάντων αὐτόν· προνοήσειν γὰρ αὐτῶν τῆς εὐπορίας καὶ παρέξειν αὐτοῖς ἀφθονίαν ὧν ἐπιζητοῦσι ῥᾳδίως. Καὶ μετὰ τὴν δέησιν εὐθὺς ἐξορμήσας εἰς τὴν χώραν οὐκέτ' οὐδεμίαν Σίλωνι τῆς ἀναχωρήσεως πρόφασιν ὑπελίπετο. Πλῆθος γὰρ ὅσον οὐδ' ἤλπισέ τις τῶν ἐπιτηδείων ἐκόμισε, τοῖς τε περὶ Σαμάρειαν ᾠκειωμένοις πρὸς αὐτὸν ἐπέστελλε σῖτον καὶ οἶνον καὶ ἔλαιον καὶ βοσκήματα τά τε ἄλλα πάντα κατάγειν εἰς Ἱεριχοῦντα, τοῦ μηδὲ τὰς ἑξῆς ἡμέρας τὴν χορηγίαν τοὺς στρατιώτας ἐπιλιπεῖν. Οὐκ ἐλάνθανε δὲ ταῦτ' Ἀντίγονον, ἀλλ' εὐθὺς ἀπέπεμψε κατὰ τὴν χώραν τοὺς εἴρξοντας καὶ λοχήσοντας τοὺς σιτηγοῦντας. Οἱ δὲ πειθόμενοι τοῖς Ἀντιγόνου προστάγμασι καὶ πολὺ πλῆθος ὁπλιτῶν περὶ Ἱεριχοῦντα συναθροίσαντες παρεφύλασσον ἐπὶ τῶν ὀρῶν καθεσθέντες τοὺς τὰ ἐπιτήδεια κομίζοντας. Οὐ μὴν Ἡρώδης τούτων πραττομένων ἠρέμει, δέκα δὲ σπείρας ἀναλαβών, ὧν πέντε μὲν Ῥωμαίων, πέντε δὲ Ἰουδαίων ἦσαν, καὶ μισθοφόρους μιγάδας, πρὸς οἷς ὀλίγους τῶν ἱππέων, ἐπὶ τὴν Ἱεριχοῦντα παραγίνεται· καὶ τὴν μὲν πόλιν ἐκλελειμμένην καταλαβών, πενταχοσίους δὲ τὰ ἄκρα κατειληφότας σὺν γυναιξὶ καὶ γενεαῖς, τούτους μὲν ἀπέλυσε λαβών, Ῥωμαῖοι δὲ εἰσπεσόντες διήρπασαν τὴν πόλιν μεσταῖς ἐπιτυχόντες παντοίων κειμηλίων ταῖς οἰκίαις. Ἱεριχοῦντος μὲν οὖν φρουρὰν ὁ βασιλεὺς καταλιπὼν ὑπέστρεψε, καὶ χειμάσουσαν τὴν Ῥωμαίων στρατιὰν εἰς τὰς προσκεχωρηκυίας διαφῆκεν, Ἰδουμαίαν καὶ Γαλιλαίαν καὶ Σαμάρειαν. Ἔτυχε δὲ καὶ Ἀντίγονος παρὰ Σίλωνος ἀντὶ τῆς δωροδοκίας, ὥστε ὑποδέξασθαι τοῦ στατοῦ μοῖραν ἐν Λύδδοις, θεραπεύων Ἀντώνιον. Καὶ Ῥωμαῖοι μὲν ἐν ἀφθόνοις διῆγον, ἀνειμένοι τῶν ὅπλων.

δ'. Ἡρώδῃ δ' οὐκ ἐδόκει μένειν ἐφ' ἡσυχίας, ἀλλ' ἐπὶ τὴν Ἰδουμαίαν τὸν ἀδελφὸν Ἰώσηπον σὺν δισχιλίοις ὁπλίταις καὶ τετρακοσίοις ἱππεῦσιν ἐξέπεμψεν, αὐτὸς δ' εἰς Σαμάρειαν παραγενόμενος, καὶ καταθέμενος αὐτόθι τήν τε μητέρα καὶ τοὺς ἄλλους συγγενεῖς, ἐξεληλυθότας ἤδη ἐκ τῆς Μασάδας, ἐπὶ Γαλιλαίας ᾤχετο, ἐξαιρήσων τινὰ τῶν χωρίων ὑπ' Ἀντιγόνου φρουραῖς κατειλημμένα. Διελθὼν δ' εἰς Σέπφωριν νίφοντος τοῦ Θεοῦ, καὶ τῶν Ἀντιγόνου φρουρῶν ὑπεξελθόντων, ἐν ἀφθόνοις ἦν τοῖς ἐπιτηδείοις. Εἶτ' ἐκεῖθεν λῃστῶν τινων ἐν σπηλαίοις κατοικούντων, ἱππέων ἐπ' αὐτοὺς ἴλην ἐκπέμπει καὶ ὁπλιτικοῦ τρία τέλη, παῦσαι κακουργοῦντας ἐγνωκώς. Ἔγγιστα δ' ἦν ταῦτα κώμης Ἀρβήλων λεγομένης. Εἰς δὲ τεσσαρακοστὴν ἡμέραν αὐτὸς ἦκε πανστρατιᾷ, καὶ θρασέως ἐξελθόντων τῶν

Nam militum suorum non paucos summisit, qui et clamitarent commeatus esse penuriam, et pecuniam ad alimoniam peterent seque in idonea loca ad hibernandum deduci, vastatis circa urbem agris, quoniam ab Antigonianis sublata fuissent omnia. Ita exercitum movebat et discedere conabatur. Verum Herodes instabat, subjectos Siloni duces et milites cohortando ne se derelinquerent, missum a Cæsare et Antonio et senatu : ipsorum enim commeatui provisurum, et abundantiam eorum quæ postularent facile ipsis præbiturum. Ac statim post eas preces in agros profectus, nullam jam Siloni discedendi occasionem reliquit. Eam enim commeatus copiam apportavit, quam nemo sperasset, suisque apud Samariam amicis in mandatis dedit ut frumentum et vinum et oleum et pecudes et alia omnia Hierichuntem deportarent, ut ne deinceps quidem milites cibariis deficerentur. Hæc vero Antigonum haud latuerunt, quin protinus dimisit in agros qui frumentatores prohiberent ac circumvenirent. Atque illi quæ imperaverat Antigonus facientes, et ingenti armatorum multitudine ad Hierichuntem coacta, consederunt in montibus, ut illos observarent qui commeatus convehebant. Nec Herodes quidem, dum hæc fiunt, quietem agebat, sed assumptis decem cohortibus, quorum quinque Romanorum, alteræ Judæorum erant, adjunctis promiscuis mercenariis, et præterea paucis equitibus, ad Hierichuntem se confert : urbemque vacuam nactus, quingentos quidem homines, qui una cum suis uxoribus et liberis arcem occupaverant, captos dimisit, Romani vero, impetu in urbem facto, eam diripuerunt, domos nacti omni genere bonorum refertas. Et rex quidem, relicto Hierichunte præsidio, reversus est, et Romanum exercitum in eas regiones, quæ deditionem fecerant, Idumæam et Galilæam et Samariam, in hiberna dimisit. Sed et Antigonus a Silone impetravit pecuniarum largitione, ut partem Romani exercitus intra Lydda acciperet, captans Antonii gratiam. Atque ita factum est ut Romani in magna rerum abundantia viverent, dum ab armis quiescerent.

4. Herodi autem otium agere non visum est, sed fratrem suum Josephum cum peditibus bis mille et equitibus quadringentis misit in Idumæam, ipse vero in Samariam profectus, et deposita ibi matre aliisque suis consanguineis, qui jam e Masada fuerant egressi, in Galilæam contendit, expugnaturus quædam loca ab Antigono præsidiis occupata. Quumque Sepphorim cœlo ningente perventum esset, et Antigoni præsidium clam inde proficisceretur, nactus est summam commeatus copiam. Deinde, quum illic latrones quidam in speluncarum recessibus habitarent, equitum turmam et peditum cohortes tres adversum eos mittit, eo consilio ut maleficiis eos prohiberet. Erant autem ista proxime vicum nomine Arbela. Ipse quadragesimo die advenit cum omni exercitu, atque hostibus audacter egressis

πολεμίων, κλίνεται μὲν τὸ εὐώνυμον αὐτῶν κέρας τῆς φάλαγγος, ἐπιφανεὶς δ' αὐτὸς μετὰ στίφους τρέπει μὲν εἰς φυγὰς τοὺς πάλαι νικῶντας, ἀναστρέφει δὲ τοὺς φεύγοντας. Ἐνέκειτο δὲ διώκων τοὺς πολεμίους ἄχρις Ἰορδάνου τοῦ ποταμοῦ, φεύγοντας κατ' ἄλλας ὁδούς, καὶ προσάγεται μὲν πᾶσαν τὴν Γαλιλαίαν, πλὴν τῶν ἐν τοῖς σπηλαίοις κατοικούντων, διανέμει δὲ καὶ ἀργύριον κατ' ἄνδρα δοὺς ἑκατὸν καὶ πεντήκοντα δραχμὰς, τοῖς δ' ἡγεμόσι πολὺ πλεῖον, καὶ εἰς τὰ χειμάδια διέπεμψε. Καὶ ἐν τούτῳ Σίλων ἦκε παρ' αὐτὸν καὶ ἡγεμόνες τῶν ἐν τοῖς χειμαδίοις, Ἀντιγόνου τροφὰς παρέχειν οὐ θέλοντος· μῆνα γὰρ οὐ πλέον ὁ ἀνὴρ αὐτοὺς ἔθρεψε. Διέπεμψε δὲ καὶ πρὸς τοὺς κύκλῳ κελεύων τὰ κατὰ τὴν χώραν ἀνασκευάσασθαι, καὶ εἰς τὰ ὄρη φυγεῖν, ὡς μηδὲν ἔχοντες Ῥωμαῖοι τῶν ἀναγκαίων λιμῷ διαφθαρεῖεν. Ἡρώδης δὲ τὴν μὲν τούτων πρόνοιαν Φερώρᾳ τῷ νεωτάτῳ τῶν ἀδελφῶν ἐπιτρέπει, κελεύσας αὐτὸν ἀνατειχίζειν καὶ Ἀλεξάνδρειον. Ὁ δὲ ταχέως τε τοὺς στρατιώτας ἐν ἀφθονίᾳ πολλῇ τῶν ἀναγκαίων ἐποίησε τό τε Ἀλεξάνδρειον ἠρημωμένον ἀνέκτισεν.

ε'. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον Ἀντώνιος μὲν ἔτριβεν ἐν Ἀθήναις, κατὰ δὲ Συρίαν Οὐεντίδιος Σίλωνα μεταπεμπόμενος ἐπὶ τοὺς Πάρθους· ἐπέστειλε πρῶτα μὲν Ἡρώδῃ συλλαμβάνεσθαι τοῦδε τοῦ πολέμου, ἔπειτα δὲ καὶ ἐπὶ τὸν σφέτερον καλεῖν τοὺς συμμάχους. Ὁ δ' ἐπὶ τοὺς ἐν τοῖς σπηλαίοις λῃστὰς ἐπειγόμενος Σίλωνα μὲν ἐξέπεμψεν Οὐεντιδίῳ, αὐτὸς δ' ἐπ' ἐκείνους ἐξώρμησεν. Ἦν δ' ἐν ὄρεσι τὰ σπήλαια τελέως ἐξερρωγόσι καὶ κατὰ τὸ μεσαίτατον ἀποκρήμνους ἔχοντα τὰς παρόδους καὶ πέτραις ὀξείαις ἐμπεριεχόμενα. Ἐν δὴ τούτοις μετὰ πάντων τῶν οἰκείων ἐφώλευον. Ὁ δὲ βασιλεὺς λάρναξ ἐπ' αὐτοὺς πηξάμενος καθίει ταύτας σιδηραῖς ἁλύσεσιν ἐκδεδεμένας διὰ μηχανῆς ἀπὸ κορυφῆς τοῦ ὄρους, μήτε κάτωθεν ἀνιέναι διὰ τὴν ὀξύτητα τοῦ ὄρους δυναμένων, μήτε ἄνωθεν καθέρπειν ἐπ' αὐτούς. Αἱ δὲ λάρνακες πλήρεις ὁπλιτῶν ἦσαν ἅρπας μεγάλας ἐχόντων, αἷς ἔμελλον τοὺς ἀνθεστῶτας ἐπισπώμενοι κτείνειν καταφερομένους. Τὴν μέντοι κάθεσιν τῶν λαρνάκων σφαλερὰν εἶναι συνέβαινε κατὰ βάθους ἀπείρου γινομένην· ἔνδον μέντοι παρῆν αὐτοῖς καὶ τὰ ἐπιτήδεια. Ὡς δὲ καθιμήθησαν μὲν αἱ λάρνακες, ἑτοίμα δ' οὐδεὶς προσελθεῖν τῶν ἐπὶ τῶν στομίων, ἀλλ' ὑπὸ δέους ἠρέμουν, μάχαιράν τις περιζωσάμενος τῶν ὁπλοφόρων καὶ ταῖν χεροῖν ἀμφοτέραιν δραξάμενος ἁλύσεως ἀφ' ἧς ἤρτητο ἡ λάρναξ, κατῆει ἐπὶ τὰ στόμια, δυσχεράνας τὴν τριβὴν τῶν ἐπεξιέναι μὴ τολμώντων. Καὶ γενόμενος κατά τι στόμιον πρῶτα μὲν παλτοῖς ἀνακόπτει τοὺς πολλοὺς τῶν ἐπὶ τοῦ στομίου, ἔπειτα ἅρπῃ τοὺς ἀνθεστῶτας ἐπισπώμενος ὤθει κατὰ τοῦ κρημνοῦ, καὶ τοῖς ἔνδον ἐπεισελθὼν ἀποσφάττει πολλοὺς, καὶ εἰσελθὼν εἰς τὴν λάρνακα ἡσύχασε· φόβος δὲ εἶχε τοὺς ἄλλους τῆς οἰμωγῆς ἀκούοντας καὶ περὶ τῆς σωτηρίας ἀπόγνωσις. Τὸ μέντοι γε πᾶν ἔργον ἐπέ-

sinistra ejus aciei pars inclinavit, sed ubi ipse cum sua copiarum parte apparuit, jamdudum vincentes in fugam vertit, et suos fugientes revocat. Porro ingruebat, hostes usque ad Jordanem fluvium diversis viis dilapsos persequens. Atque ita totam Galilæam recipit, exceptis iis qui in speluncis habitabant, deinde suis viritim centum et quinquaginta argenti drachmas dividit, ducibus autem multo plus, et in hiberna dimisit. Interea Silo ad eum venit, ut et duces eorum qui in hibernis fuerant, quod Antigonus illis commeatum præbere recusarit : nam mense uno et non amplius eos sustentavit. Quin et ad omnes in circuitu miserat, præcipiens ut quæcunque erant in agris tollerent et ad montes se reciperent, ut Romani necessariis destituti fame perirent. Verum Herodes Pheroræ, fratrum suorum natu minimo, horum curam committebat, dato ei in mandatis ut Alexandrium etiam reficeret. Atque ille e vestigio curavit ut et milites magna necessariorum copia affluerent, et Alexandrium desolatum refecit.

5. Sub idem tempus Antonius Athenis commorabatur, in Syria vero Ventidius, Silonem adversus Parthos accersens, ei mandavit ut primum Herodem in eo bello adjuvaret, deinde ad illud quod sibi in manibus esset socios vocaret. At Herodes, ad latrones speluncas tenentes properans, Silonem quidem Ventidio dimisit, ipse vero adversus illos ire contendit. Erant hæ speluncæ sitæ in montibus abruptissimis, ac in media circiter altitudine præcipites habebant aditus, acutis undique cinctæ rupibus. In harum igitur cavernas sese abstrudentes cum domesticis suis delitescebant. Rex autem, quum arcas compegisset, eas catenis ferreis alligatas de vertice montis machinæ subsidio dimittit, quandoquidem nec ab imo propter erectum montis fastigium ascendere, nec e summitate ad eos reptando quidem devenire quisquam poterat. Erant autem arcæ hominibus armatis plenæ, harpagones longos habentibus, quibus repugnantes attraherent eosque præcipitando occiderent. Hanc tamen arcarum demissionem periculosam esse contigit, propter immensam altitudinem; quanquam illis etiam intus aderant omnia necessaria. Quum autem demissæ essent arcæ, et nemo illorum, qui ad ora speluncarum erant, accedere auderet, sed præ timore quieti consisterent, armatorum quidam gladio accinctus, manu utraque apprehensa catena e qua arca dependebat, ora adibat, quod ægre tulisset conclationem illorum, qui in ipsos egredi non sustinuerunt. Quumque ori cuidam *speluncæ* appropinquasset, primo quidem jaculis plurimos, qui illic erant, fugavit, deinde resistere conatos falcata hasta attractos præcipites dejiciebat; moxque penitus reconditos adortus, ex iis aliquam multos jugulat, et tum demum in arcam reversus quievit : ceteros vero ejulatum audientes pavor corripuit et salutis desperatio. Ne tamen opus perficeretur

σχεν νὺξ ἐπελθοῦσα· καὶ πολλοὶ, συγχωρήσαντος τοῦ βασιλέως, ἐπικηρυκευσάμενοι παρέδοσαν σφᾶς ὑπηκόους εἶναι. Τῷ δ' αὐτῷ τρόπῳ καὶ κατὰ τὴν ἐπιοῦσαν ἐχρήσαντο τῇ προσβολῇ, μᾶλλον ἔτι τῶν ἐν τοῖς πλέγμασιν ἐπεξιόντων αὐτοῖς καὶ κατὰ θύρας μαχομένων, πῦρ τε ἐνιέντων, ἐξαρθέντων τε τῶν ἄντρων· πολλὴ γὰρ ἦν ἐν αὐτοῖς ὕλη. Πρεσβύτης δέ τις ἀπειλημμένος ἔνδον σὺν ἑπτὰ τέκνοις καὶ γυναικὶ, δεομένων τούτων ἐᾶσαι σφᾶς ὑπεξελθεῖν πρὸς τοὺς πολεμίους, στὰς ἐπὶ τοῦ στομίου τὸν ἀεὶ πρῶτον ἐξιόντα τῶν παίδων ἀπέσφαττεν, εἰς ὃ πάντας διεχρήσατο, ἔπειτα δὲ καὶ τὴν γυναῖκα, καὶ ῥίψας κατὰ τοῦ κρημνοῦ τοὺς νεκροὺς ἐπικατέβαλεν ἑαυτὸν, θάνατον πρὸ δουλείας ὑπομένων. Πολλὰ δὲ πρῶτον ὠνείδισε τὸν Ἡρώδην εἰς ταπεινότητα, καίτοι τοῦ βασιλέως (ἦν γὰρ αὐτῷ ἄποπτα τὰ γινόμενα) δεξιάν τε προτείνοντος καὶ πᾶσαν ἀδειαν. Τὰ μὲν οὖν σπήλαια τούτων γενομένων ἤδη πάντα ἐκεχείρωτο.

ς'. Καταστήσας δ' ὁ βασιλεὺς τοῖς αὐτόθι στρατηγὸν Πτολεμαῖον εἰς τὴν Σαμάρειαν ᾤχετο σὺν ἱππεῦσιν ἑξακοσίοις, ὁπλίταις δὲ τρισχιλίοις, ὡς μάχῃ κριθησόμενος πρὸς Ἀντίγονον. Οὐ μὴν τῷ Πτολεμαίῳ προὐχώρησε τὰ κατὰ τὴν στρατηγίαν, ἀλλ' οἱ καὶ πρότερον τὴν Γαλιλαίαν ταράξαντες ἐπεξελθόντες αὐτὸν διεχρήσαντο, καὶ τοῦτο ὁράσαντες συμφεύγουσιν εἴς τε τὰ ἕλη καὶ τὰ δύσβατα τῶν χωρίων, ἄγοντες καὶ διαρπάζοντες τὴν αὐτόθι πᾶσαν. Τιμωρεῖται δὲ τούτους Ἡρώδης ἐπανελθών· τοὺς μὲν γὰρ ἀναιρεῖ τῶν ἀποστάντων, τοὺς δὲ ἀναφυγόντας εἰς ἐρυμνὰ χωρία πολιορκίᾳ παραστησάμενος αὐτούς τε ἀπέκτεινε καὶ τὰ ἐρύματα κατέσκαψεν· ἐζημίωσε δὲ, παύσας οὕτω τὴν νεωτεροποιίαν, καὶ τὰς πόλεις ἑκατὸν ταλάντοις.

ζ'. Ἐν δὲ τῷ μεταξὺ Πακόρου πεσόντος ἐν μάχῃ καὶ τῶν Πάρθων πταισάντων, πέμπει βοηθὸν ὁ Οὐεντίδιος Ἡρώδῃ Μαχαιρᾶν σὺν δυσὶ τάγμασι καὶ χιλίοις ἱππεῦσιν, ἐπισπεύδοντος Ἀντωνίου. Μαχαιρᾶς μὲν οὖν, Ἀντιγόνου καλοῦντος αὐτὸν παρὰ τὴν Ἡρώδου γνώμην, χρήμασι διεφθαρμένος ἀπῄει ὡς κατασκεψόμενος αὐτοῦ τὰ πράγματα. Τὴν δὲ διάνοιαν ὑπιδόμενος αὐτοῦ τὴν τῆς ἀφίξεως Ἀντίγονος οὐ προσεδέξατο, ἀλλὰ σφενδόναις βαλὼν αὐτὸν ἀνεῖργε, καὶ διεδήλου τὴν αὐτοῦ προαίρεσιν. Αἰσθόμενος δὲ τὰ βέλτιστα Ἡρώδην αὐτῷ παραινοῦντα καὶ ἑαυτὸν διημαρτηκότα, παρακούσαντα τῆς ἐκείνου συμβουλίας, ἀνεχώρει μὲν εἰς Ἐμμαοῦν πόλιν· οἷς δὲ κατὰ τὴν ὁδὸν Ἰουδαίοις περιετύγχανε, τούτους ἀπέσφαττεν ἐχθρούς τε καὶ φίλους, ὀργιζόμενος ὑπὲρ ὧν πεπόνθει. Παροξυνθεὶς δὲ ἐπὶ τούτοις ὁ βασιλεὺς ἐπὶ Σαμαρείας ἦει. Πρὸς γὰρ Ἀντώνιον ἔγνω περὶ τούτων ἀφικέσθαι· δεῖσθαι γὰρ οὐχὶ τοιούτων συμμάχων, οἳ βλάψουσιν αὐτὸν μᾶλλον ἢ τοὺς πολεμίους· ἐξαρκεῖν δὲ καὶ αὐτὸν πρὸς τὴν Ἀντιγόνου καθαίρεσιν. Παρακολουθῶν δ' ὁ Μαχαιρᾶς ἐδεῖτο μένειν· εἰ δὲ οὕτως ὥρμησεν, ἀλλὰ τόν γε ἀδελφὸν αὐτοῦ Ἰώσηπον παρακαθιστάνειν σφίnox superveniens impediit: ac multi, rege permittente, per præconem sui deditionem fecerunt. Sequenti vero luce eodem usi sunt oppugnationis genere, magis etiam ex canistris impetum in eos faciendo, et ante ostia pugnando, ignemque injiciendo, ut deflagrarint speluncæ: in ipsis enim multa congesta erat materia. Senex autem quidam intus erat inclusus cum septem liberis et uxore, qui, orantibus ipsis ut sibi permitteret exire et hostibus semet tradere, stetit in ostio, et ut natorum quisque egressus est eum jugulabat, donec tandem omnes trucidaverat, postremoque uxorem, et corporibus in præceps devolutis, se ipsum insuper dejecit, mortem servituti præferens. Multa autem prius convicia fecit in Herodem ob humilitatem, rege licet (nam omnia quæ facta erant prospiciebat) dextram porrigente et omnimodam securitatem. Et hac quidem ratione specus omnes tandem subactæ sunt.

6. Deinde rex, præposito iis qui illic erant duce Ptolemæo, in Samariam proficiscitur cum equitibus sexcentis et peditum tribus millibus, ut prælio dimicaret cum Antigono. Ceterum Ptolemæo parum prospere cessit præfectura: verum ii qui prius Galilæam turbaverant, impetu in ipsum facto, eum interfecerunt; deinde in paludes et inaccessa loca confugiunt, regionem universam vastantes ac diripientes. Herodes autem reversus supplicium ab iis exigit: nam rebelles partim necat, partim qui in munita loca refugerant expugnat, et ipsos interficit et munitiones complanat: atque ita coercito res novas moliendi studio urbes etiam centum talentis mulctat.

7. Interea quum Pacorus in prælio occubuisset, et Parthi male pugnassent, mittit subsidio Ventidius Herodi Machæram, cum duabus legionibus et mille equitibus, incitante Antonio. Ceterum Machæras, Antigono eum sollicitante, præter Herodis sententiam, pecunia corruptus, abiit, tanquam res ipsius exploraturus. Verum Antigonus suspectum habens quo veniret animo, ne admisit quidem, sed fundis impetitum repulit, et qua esset voluntate non dissimulabat. Quum autem *Machæras* intelligeret Herodem ipsi optima suasisse, seque peccasse consilio ejus non obtemperando, in Emmauntem urbem se recepit, et in quoscunque Judæos in via incurrebat, illos jugulabat, sive hostes sive amicos, iratus ob ea quæ ipsi acciderant. At rex istis acerbatus Samariam petiit. Nam illis de rebus ire decreverat ad Antonium: nihil enim talibus sociis egere, qui ipsum magis quam hostes læderent; se solum ad debellandum Antigonum satis esse. Machæras vero eum comitatus orabat ut maneret, atque si adeo ire cuperet, at fratrem suum Josephum sibi adjunctum esse velit, dum Antigo-

σιν προσπολεμοῦσιν Ἀντιγόνῳ. Καὶ διαλλάττεται μὲν τοῦ Μαχαιρᾶ πολλὰ δεηθέντος· καταλιπὼν δὲ τὸν Ἰώσηπον αὐτόθι σὺν στρατῷ παρήνεσε μὴ ἀποκινδυνεύειν, μηδὲ τῷ Μαχαιρᾷ διαφέρεσθαι.

η'. Αὐτὸς δὲ πρὸς Ἀντώνιον ἔσπευδε (ἐτύγχανε δὲ πολιορκῶν Σαμόσατα τὸ πρὸς τῷ Εὐφράτῃ χωρίον) σὺν ἱππόταις τε καὶ πεζοῖς κατὰ συμμαχίαν αὐτῷ παροῦσι. Παραγενόμενος δ' εἰς Ἀντιόχειαν καὶ πολλοῖς ἐπιτυχὼν ἠθροισμένοις, πρὸς Ἀντώνιον μὲν βαδίζειν ἔχουσι σπουδήν, ὑπὸ δέους δὲ διὰ τὸ κατὰ τὰς ὁδοὺς ἐπιτίθεσθαι τοὺς βαρβάρους καὶ πολλοὺς ἀναιρεῖν οὐ τολμῶσιν ἐξορμᾶν παραθαρρύνας αὐτὸς ἡγεμὼν γίνεται τῆς ὁδοῦ. Κατὰ δὲ σταθμὸν δεύτερον τῶν Σαμοσάτων ἐλόχα μὴν αὐτόθι τῶν βαρβάρων ἐνέδρα τοὺς φοιτῶντας πρὸς Ἀντώνιον, δρυμώνων δὲ τὰς εἰσβολὰς τὰς εἰς τὰ πεδία διαλαμβανόντων προλοχίζουσιν αὐτόθι τῶν ἱππέων οὐκ ὀλίγους, ἠρεμήσοντας ἕως ἂν εἰς τὸ ἱππήλατον οἱ διεξιόντες ἔλθοιεν. Ὡς δ' οἱ πρῶτοι διεξῆλθον, ὠπισθοφυλάκει μὲν Ἡρώδης, προσπίπτουσι δὲ ἐξαπιναίως οἱ ἐκ τῆς ἐνέδρας, ὄντες εἰς πεντακοσίους, καὶ τρεψαμένων τοὺς πρώτους, ἐπιβραμὼν ὁ βασιλεὺς τῇ ῥύμῃ τῇ περὶ αὐτὸν παραχρῆμα μὲν ἀνακόπτει τοὺς πολεμίους, ἐπεγείρει δὲ τὸ τῶν οἰκείων φρόνημα καὶ θαρραλέους ἀπεργάζεται, καὶ τῶν πάλαι φευγόντων ἐξ ὑποστροφῆς μαχομένων ἐκτείνοντο πανθαχόθεν οἱ βάρβαροι. Ἐπέκειτο δὲ ὁ βασιλεὺς ἀναιρῶν, καὶ τὰ διηρπασμένα (πολλὰ δ' ἦν σκευοφόρα καὶ ἀνδράποδα) πάντα ἀνασωσάμενος προῆει. Καὶ πλειόνων αὐτοῖς ἐπιτιθεμένων τῶν ἐν τοῖς δρυμῶσιν, οἳ πλησίον τῆς εἰς τὸ πεδίον ἐκβολῆς ἦσαν, καὶ τούτοις προσμίξας αὐτὸς μετὰ στίφους καρτεροῦ τρέπεται, καὶ πολλοὺς αὐτῶν ἀποκτείνας ἀδεᾶ τοῖς ἑπομένοις ὁδὸν παρεῖχεν· οἱ δὲ σωτῆρα καὶ προστάτην αὐτὸν ἀπεκάλουν.

6'. Ἐπεὶ δὲ πλησίον τῶν Σαμοσάτων γεγόνει, πέμπει τὸ στράτευμα ὑπαντησόμενον Ἀντώνιος σὺν τῷ οἰκείῳ κόσμῳ, τιμὴν Ἡρώδῃ ταύτην ἀπονέμων καὶ ἐπικουρίας ἕνεκα· τὴν γὰρ τῶν βαρβάρων ἠκηκόει κατ' αὐτῶν ἐπίθεσιν. Καὶ δὴ παρόντα τε εἶδεν ἀσμένως καὶ τὰ κατὰ τὴν ὁδὸν αὐτῷ πεπραγμένα μαθὼν ἐδεξιοῦτο καὶ τῆς ἀρετῆς ἐθαύμαζεν, αὐτός τε περιλαβὼν αὐτὸν Ἀντώνιος, ὡς εἶδεν, ἠσπάζετο, προὐτίμα τε ὡς νεωστὶ βασιλέα ἀποδείξας. Ἀντιόχου δὲ μετ' οὐ πολὺ τὸ ἔρυμα παραδόντος, καὶ διὰ τοῦτο παυσαμένου τοῦ πολέμου, Σοσσίῳ μὲν Ἀντώνιος παραδίδωσι, παρακελευσάμενος δὲ Ἡρώδῃ συμμαχεῖν αὐτὸς ἐπ' Αἰγύπτου ἐχώρει. Καὶ Σόσσιος μὲν δύο τάγματα ἐπικουρικὰ Ἡρώδῃ προὔπεμψεν εἰς τὴν Ἰουδαίαν, αὐτὸς δὲ μετὰ τοῦ πλείονος στρατοῦ ἠκολούθει.

ι'. Ἔτυχε δ' ἤδη κατὰ τὴν Ἰουδαίαν τεθνεὼς Ἰώσηπος τρόπῳ τοιούτῳ. Ἀήθην μὲν ὢν αὐτῷ παρήγγειλεν ὁ ἀδελφὸς πρὸς Ἀντώνιον ἀνερχόμενος λαμβάνει, στρατοπεδευσάμενος δὲ ἀνὰ τὰ ὄρη (πέντε γὰρ αὐτῷ σπείρας Μαχαιρᾶ δόντος ἐπὶ Ἱεριχοῦντος ἠπείγετο βουλόμενος ἐκθερίσαι τὸν σῖτον αὐτῶν) καὶ νεοσυλλέκτου

num oppugnent. Ita Machæræ, quum vehementer rogaret, reconciliatur *Herodes* : et Josepho cum exercitu illic relicto, monuit ne prælium iniret, neve cum Machæra contenderet.

8. Ille autem ad Antonium properabat (oppugnabat enim Samosata, locum munitum ad Euphratem) cum equitibus et peditibus qui ipsi in auxilium aderant. Quum autem Antiochiam pervenisset, atque multos congregatos offendisset, qui ad Antonium ire magnopere volebant, præ metu tamen ne se barbari in itinere adorirentur multosque interficerent, proficisci non audebant, ipse cohortatus viæ ducem se præbuit. Quum autem duabus mansionibus abesset Samosatis, illic quidem barbari erant in insidiis locati, qui commeantes ad Antonium infestarent, qua vero silvæ claudebant aditus in campestria præstructæ erant insidiæ ab equitibus aliquammultis, tantisper quieturis donec in loca patentia iretur ab iis qui transituri erant. Ubi vero primi pertransierant, in Herodem, qui novissimis præsidio erat, ex improviso irruunt equites fere quingenti in insidiis dispositi, quumque eos qui præcesserant in fugam vertissent, rex suo ipsius impetu hostem repulit : qua re suorum animos erigit, et paulum a metu respirare facit, itsque qui jam terga dederant ad pugnam revertentibus magna ubique fiebat barbarorum strages. Rex autem cæde persequebatur, quumque erepta in his non exiguum jumentorum et mancipiorum numerum) omnia recuperasset, viam perrexit. Et quum plures e saltubus, qui proxime erant ad exitus in planitiem, ipsos adorirentur, hos quoque ille valida suorum manu aggressus in fugam vertit, multisque illorum occisis, securum iis qui sequerentur iter præstitit. Illi vero servatorem eum et protectorem appellabant.

9. Postquam vero prope Samosata ventum est, exercitum ei occursurum suo cum ornatu mittit Antonius, ut hunc Herodi tribueret honorem, pariterque auxilium suppeditaret : audierat enim barbaros impetum in eos fecisse. Itaque et præsentia ejus et aspectu lætatus est, et, ubi intellexit quæ in via ab eo facta erant, benigne eum excipiebat, et virtutem illius suspiciebat, ipseque eum ut in conspectum venit complexus Antonius salutabat, majoremque ei honorem habebat, ut qui nuperrime eum regem creaverat. Quum autem Antiochus munimenti deditionem fecisset, et propterea finiretur bellum, Sossio tradit Antonius, quumque mandavisset ut Herodem adjuvaret, ipse proficiscebatur in Ægyptum. Tum Sossius duas legiones Herodi auxiliares præmisit in Judæam, ipse vero cum majori exercitu subsequebatur.

10. Erat autem jam mortuus in Judæa Josephus in hunc modum. Illi quidem e memoria excidunt quæ mandaverat frater ad Antonium discedens. Quum vero apud montes castra posuisset (nam, quinque cohortibus ipsi a Machæra datis, properabat ad Hierichuntem, volens segetes eorum demetere) et Romanorum exercitus tironum esset bello-

τοῦ Ῥωμαίου στρατεύματος ὄντος καὶ πολέμων ἀπείρως ἐχόντος, (καὶ γὰρ πολὺ ἐκ Συρίας ἦν τὸ κατειλεγμένον,) ἐπιθεμένων αὐτόθι τῶν πολεμίων, ἀποληφθεὶς ἐν δυσχωρίαις αὐτός τε ἀποθνήσκει γενναίως μαχόμενος καὶ τὸ στράτευμα πᾶν ἀπέβαλεν· ἓξ γὰρ σπεῖραι διεφθάρησαν. Κρατήσας δὲ τῶν νεκρῶν Ἀντίγονος ἀποτέμνει τὴν Ἰωσήπου κεφαλήν, πεντήκοντα ταλάντων αὐτὴν ῥυομένου Φερώρα τἀδελφοῦ. Καὶ μετὰ τοῦτο ἀποστάντες Γαλιλαῖοι τῶν παρὰ σφίσι δυνατῶν, τοὺς τὰ Ἡρώδου φρονοῦντας ἐν τῇ λίμνῃ κατεπόντωσαν, καὶ τῆς Ἰουδαίας πολλὰ ἐνεωτερίσθη. Μαγαιρᾶς δὲ Γιτθᾶν χωρίον ἐξωχύρου.

ια'. Παρῆσαν δ' ἄγγελοι τῶν πεπραγμένων πρὸς τὸν βασιλέα, καὶ ἐν Δάφνῃ τῆς Ἀντιοχείας ἐδήλωσαν αὐτῷ τὴν κατὰ τὸν ἀδελφὸν τύχην, προσδεχομένῳ μέντοι καὶ αὐτῷ διά τινας ὀνείρων ὄψεις, τρανῶς προφαινούσας τὸν τοῦ ἀδελφοῦ θάνατον. Ἐπειχθεὶς οὖν κατὰ τὴν πορείαν, ὡς κατὰ Λίβανον τὸ ὄρος γίνεται, ὡς ὀκτακοσίους μὲν τῶν αὐτόθι προσλαμβάνων, ἔχων δὲ καὶ Ῥωμαϊκὸν ἓν τάγμα, εἰς Πτολεμαΐδα παραγίνεται, κἀκεῖθεν νυκτὸς ἀναστὰς μετὰ τοῦ στρατοῦ προῆει διὰ τῆς Γαλιλαίας. Ὑπήντων δ' οἱ πολέμιοι, καὶ κρατηθέντες τῇ μάχῃ κατεκλείσθησαν· εἰς χωρίον, ὅθεν ἦσαν ὡρμηκότες τῇ προτεραίᾳ. Προσβολὰς δὴ τοὐντεῦθεν ἔωθεν ἐποιεῖτο. Καὶ πολλοῦ χειμῶνος καταρραγέντος οὐδὲν ποιεῖν δυνάμενος ἀπάγει τὴν στρατιὰν εἰς τὰς πλησίον κώμας· ἐλθόντος δ' αὐτῷ παρ' Ἀντωνίου καὶ δευτέρου τάγματος, οἱ τὸ χωρίον ἔχοντες φοβηθέντες νυκτὸς ἐξέλειπον αὐτό. Καὶ ὁ βασιλεὺς ἔσπευδεν ἐπὶ Ἱεριχοῦντος, τιμωρήσασθαι κατὰ νοῦν ἔχων αὐτοὺς ὑπὲρ τἀδελφοῦ. Ἐπεὶ δὲ κατέζευξεν, εἱστία μὲν τοὺς ἐν τέλει, μετὰ δὲ τὴν συνουσίαν παρῆλθεν εἰς τὸ δωμάτιον ἀπολύσας τοὺς παρόντας. Ἐνταῦθα ἴδοι τις ἂν τοῦ βασιλέως τὴν ἐκ τοῦ Θεοῦ εὔνοιαν· πίπτει μὲν γὰρ ἡ στέγη τοῦ οἰκήματος, οὐδένα δὲ ἀπολαβοῦσα διέφθειρεν, ὥστε πάντας πιστεῦσαι τὸν Ἡρώδην εἶναι θεοφιλῆ, μέγαν οὕτω καὶ παράδοξον διαφυγόντα κίνδυνον.

ιβ'. Τῇ δ' ὑστεραίᾳ τῶν πολεμίων ἑξακισχίλιοι ἀπ' ἄκρων κατιόντες τῶν ὀρῶν εἰς μάχην ἐφόβουν τοὺς Ῥωμαίους. Οἱ δὲ γυμνῆτες προσιόντες τοῖς παλτοῖς ἔβαλλον καὶ λίθοις τοὺς περὶ τὸν βασιλέα ἐξελιλυθότας, αὐτόν τε παλτῷ τις παρὰ τὴν λαπάραν ἔβαλεν. Ἀντίγονος δ' ἐπὶ τὴν Σαμάρειαν πέμπει στρατηγόν, Πάππον ὄνομα, σὺν δυνάμει τινί, βουλόμενος παρασχεῖν τοῖς πολεμίοις δόξαν πολεμοῦντος ἐκ περιουσίας. Ἀλλ' ὁ μὲν Μαγαιρᾷ τῷ στρατηγῷ παρεκάθητο, Ἡρώδης δὲ πέντε πόλεις παραλαβὼν τοὺς ἐγκαταλειφθέντας περὶ δισχιλίους ὄντας ἐφόνευσεν, αὐτάς τε τὰς πόλεις ἐμπρήσας ἐπανῆλθεν ἐπὶ τὸν Πάππον. Ἐστρατοπεδεύετο δ' οὗτος ἐπὶ κώμην Ἰσάνας καλουμένην. Καὶ πολλῶν αὐτῷ προσρεόντων ἐκ τῆς Ἱεριχοῦντος καὶ τῆς Ἰουδαίας, ἐπεὶ πλησίον γίνεται, τῶν πολεμίων ἐπεξελθόντων αὐτοῖς ὑπὸ θάρσους, συμβαλὼν κρατεῖ τῇ

rumque inexpertus, quippe ex Syria magna ex parte collectus, hostibus illic lacessentibus, in locis difficilibus interceptus, ipse generose pugnans occumbit et exercitum omnem amisit; sex enim cohortes perierunt. Atque Antigonus occisorum potitus Josephi caput abscidit, Pherora ejus fratre id quinquaginta talentis redimere volente. Posteaque Galilæi, quum a suis optimatibus descivissent, eos qui ab Herode stabant in lacum demersos necarunt: et multi in Judæa rerum novarum studio tumultus exstiterunt. In eo autem Machæras erat ut Gittham castellum muniret.

11. Interea rerum gestarum nuncii ad Herodem venerunt: et apud Daphnen Antiochiæ ei fratris fortunam retulerunt, exspectanti quidem propter visa somniorum, quæ ei fratris mortem manifesto prædicebant. Accelerato igitur itinere, postquam ad montem Libanum venit, assumptis fere octingentis ejus loci hominibus, una cum Romana legione quam habebat, Ptolemaidem se confert: et inde quum noctu movisset cum exercitu, per Galilæam progressus est. Hostes autem ei occurrebant, et prælio victi conclusi sunt in castellum unde pridie fuerant profecti. Ita prima luce locum oppugnabat: sed magna coorta tempestate, agere quum nihil posset, exercitum in proximos pagos abducit. Quumque ad eum venisset ab Antonio altera legio, qui locum tenebant territi eum noctu deserebant. Et rex ad Hierichuntem festinat, fratris necem ulcisci in animo habens. Postquam vero castra fecerat, primates ad cœnam adhibuit: finitoque convivio, quum illos qui aderant dimisisset, in cubiculum se recepit. Hic liceat alicui perspicere Dei erga regem benevolentiam: etenim tectum cœnaculi concidit, nec quenquam, quod nemo ibi comprehensus esset, exstinxit. Quo factum ut omnes crederent Herodem Deo carum esse, qui magnum adeo et inopinatum effugerit periculum.

12. Postridie autem sex hostium millia, de montium jugis descendentia in pugnam, Romanos territabant: levisque armaturæ milites progressi in regis stipatores, qui exierant, pila et lapides jaciebant, eique latus quidam pilo vulneravit. Antigonus vero ducem mittit in Samariam, nomine Pappum, cum nonnulla manu, volens hostibus opinionem creare, sese ex supervacaneo bellum gerere. Atque ille Machæræ duci se opposuit: Herodes vero, captis quinque oppidulis, duo circiter hominum millia, quos comprehenderat, interfecit, oppidisque incensis adversus Pappum rediit. Is autem castra habebat ad vicum Isanas appellatum. Ac frequentibus ad eum tum ab Hierichunte tum ab Judæa confluentibus, ubi prope hostes ventum est, quum illi audacter eum invasissent, collatis signis prælio eos su-

μάχῃ, καὶ τιμωρῶν τἀδελφῷ φεύγουσιν εἰς τὴν κώμην ἐπέκειτο κτείνων. Πεπληρωμένων δὲ τῶν οἰκήσεων ὁπλιτῶν καὶ πολλῶν ἀναφευγόντων ἐπὶ τὰς στέγας, κρατεῖ τούτων, καὶ τοὺς ὀρόφους τῶν οἴκων ἀνασκάπτων ἔμπλεα τὰ κάτω τῶν στρατιωτῶν ἑώρα ἀθρόων ἀπειλημμένων. Τούτους μὲν οὖν πέτραις ἄνωθεν βάλλοντες σωρηδὸν ἐπ' ἀλλήλοις ἀνῄρουν, καὶ θέαμα τοῦτο δεινότατον ἦν κατὰ τόνδε τὸν πόλεμον, νεκρῶν τὸ πλῆθος ἄπειρον ἐκτὸς τῶν τειχῶν ἐπ' ἀλλήλοις κειμένων. Τοῦτο τὸ ἔργον μάλιστα τὰ φρονήματα τῶν πολεμίων ἔκλασεν, καραδοκούντων τὸ μέλλον. Ἐωρῶντο γὰρ παμπληθεῖς πόρρωθεν συγγινόμενοι περὶ τὴν κώμην, οἳ τότε ἔφευγον· καὶ εἰ μὴ χειμὼν ἐπέσχε βαθὺς, ἦκεν ἂν καὶ ἐπὶ Ἱεροσόλυμα ἡ βασιλέως στρατιὰ, θαρροῦσα τῷ νενικηκέναι, καὶ τὸ πᾶν ἦν ἂν εἰργασμένη. Καὶ γὰρ Ἀντίγονος ἤδη τὴν παντελῆ φυγὴν ἐσκόπει καὶ ἀπανάστασιν ἐκ τῆς πόλεως.

ιγ'. Τότε μὲν οὖν ὁ βασιλεὺς (ὀψίας γὰρ ἦν) δειπνοποιεῖσθαι κελεύει τοὺς στρατιώτας, αὐτός τε (ἐκεκμήκει γάρ) εἰσελθὼν εἴς τι δωμάτιον περὶ λουτρὸν ἦν· ἔνθα καὶ κίνδυνος αὐτῷ μέγιστος συνέπεσεν, ὃν κατὰ Θεοῦ πρόνοιαν διέφυγε. Γυμνοῦ γὰρ ὄντος αὐτοῦ καὶ μετὰ παιδὸς ἑνὸς ἀκολούθου λουομένου, ἐν τῷ ἐντὸς οἰκήματι τῶν πολεμίων τινὲς ὡπλισμένοι συμπεφευγότες αὐτόθι διὰ φόβον ἦσαν, καὶ μεταξὺ λουομένου ὁ πρῶτος ἐπεξέρχεται ξίφος ἔχων γυμνὸν καὶ διὰ θυρῶν χωρεῖ, καὶ μετ' αὐτὸν δεύτερος καὶ τρίτος ὁμοίως ὡπλισμένοι, οὐδὲν βλάψαντες τὸν βασιλέα ὑπ' ἐκπλήξεως, ἀγαπῶντες δὲ τῷ μηδὲν αὐτοὶ παθόντες εἰς τὸ πρόσθεν διεκπεσεῖν. Τῇ ὑστεραίᾳ τὴν μὲν Πάππου κεφαλὴν (ἀνῄρητο γάρ) ἀποκόψας Φερώρα ἔπεμψε, ποινὴν ἀνθ' ὧν ὁ ἀδελφὸς αὐτοῦ πάθοι· οὗτος γὰρ ἦν αὐτόχειρ ἐκείνου γεγενημένος.

ιδ'. Λήξαντος δὲ τοῦ χειμῶνος ἅρας ἐκεῖθεν ἐγγὺς Ἱεροσολύμων ἔρχεται, καὶ πλησίον στρατοπεδεύεται τῆς πόλεως. Τρίτον δὲ αὐτῷ τοῦτο ἔτος ἦν ἐξ οὗ βασιλεὺς ἐν Ῥώμῃ ἀποδέδεικτο. Ἀναστρατοπεδευσάμενος δὲ καὶ πλησίον ἐλθὼν τοῦ τείχους κατὰ τὸ ἐπιμαχώτατον πρὸ τοῦ ἱεροῦ καταστρατοπεδεύεται, προσβαλεῖν διεγνωκὼς ὡς καὶ πρότερον ποτὲ Πομπήϊος. Τρισὶ δὲ διαλαβὼν χώμασι τὸν τόπον πύργους ἀνίστησι, πολλῇ τε χειρὶ πρὸς τὸ ἔργον χρώμενος καὶ τέμνων τὴν πέριξ ὕλην. Παρακαταστήσας δὲ τοῖς ἔργοις τοὺς ἐπιτηδείους, ἱδρυμένης ἔτι τῆς στρατιᾶς, αὐτὸς εἰς Σαμάρειαν ἐπὶ τὸν γάμον ᾤχετο, ἀξόμενος τὴν Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου θυγατέρα· ταύτην γὰρ ἦν ἠγγυημένος, ὥς μοι καὶ πρότερον εἴρηται.

ΚΕΦ. ΙϚ'.

Μετὰ δὲ τοὺς γάμους ἦλθε μὲν διὰ Φοινίκης Σόσσιος, προεκπέμψας τὴν δύναμιν διὰ τῆς μεσογείου, ἦλθε δὲ καὶ ὁ στρατηγὸς, πλῆθος ἔχων ἱππέων τε καὶ πεζῶν. Παρεγένετο δὲ καὶ ὁ βασιλεὺς ἐκ τῆς Σαμαρείτιδος,

perat, et, ut fratri parentaret, fugientes in vicum cum cæde persequebatur. Quumque domus armatis essent refertæ et multi in tecta refugerent, iis potitur, et evulsis domorum tabulatis, quæ infra erant confertis militibus plena conspicit. Et hos quidem jactis superne saxis acervatim conficiebant : adeoque nullum toto bello acerbius erat spectaculum quam immensa mortuorum multitudo extra mœnia in cumulos congesta. Atque hæc res maxime fregit animos hostium, sollicitorum de futuro. Cernebatur enim procul ingens hominum vis coeuntium circa vicum, qui refugiebant : et nisi hiemis asperitas prohibuisset, invasisset Hierosolyma regis exercitus, victoria fretus, negotiumque peregisset. Jam enim fugam plane adornabat Antigonus et ab urbe discessionem.

13. Et tunc quidem rex (jam enim serum erat) jussit milites cœnatum ire, atque ipse, utpote defatigatus, in cubiculum ingressus ad lavandum se parabat : ubi et maximum discrimen adiit, e quo tamen Dei providentia evasit. Quum enim ipse inermis esset et cum uno puero, qui ei pedissequus erat, lavaret in interiore domo, ubi hostium aliquot armati in fugam conjecti sese præ metu abdiderant, inter lavandum unus stricto gladio prodit e latibulo et foras exit, deinde alter, itidemque tertius, similiter armati, adeo attoniti ut regem ne læserint quidem, contenti sine noxa ipsos sese ex ædibus proripere. Postero autem die Herodes Pappi caput (nam occisus erat) amputatum Pheroræ misit, pœnam repetens ob ea quæ fratri ipsius acciderant : nam ille eum sua manu interfecerat.

14. Hieme autem finita, quum inde exercitum movisset, Hierosolyma venit, et prope urbem castra facit. Ille vero annus idem tertius erat, ex quo Romæ rex creatus fuerat. At quum inde castra movisset et prope muros accessisset, qua parte urbs erat maxime expugnabilis, ante templum collocat, urbem oppugnare in animo habens, ut aliquando ante fecerat Pompejus : atque obsepto tribus aggeribus loco, turres erigit, magna manu ad id opus utens, et proximas arbores secans. Ac præfectis operi idoneis hominibus, sedente adhuc exercitu, ipse Samariam ad nuptias proficiscitur, filiam ducturus Alexandri Aristobuli filii : nam illa ei desponsata erat, ut jam ante a me dictum est.

CAP. XVI. (XXVII.)

Post nuptias autem venit per Phœnicen Sossius, præmissis per mediterranea copiis, post quas venit etiam dux ipse habens equitum peditumque multitudinem. Ipse quoque rex advenit a Samaritide, non parvum exercitum præter

οὐκ ὀλίγον πρὸς τῷ πάλαι στρατὸν ἄγων· περὶ τρισμυρίους γὰρ ἦσαν. Πάντες δὲ ἐπὶ τὸ Ἱεροσολύμων ἠθροίζοντο τεῖχος καὶ διεκάθηντο πρὸς τῷ βορείῳ τείχει τῆς πόλεως, στρατιὰ ἔνδεκα μὲν οὖσα τέλη ὁπλιτικά, ἓξ δὲ χιλιάδες ἱππέων, ἄλλα τε ἐπικουρικὰ ἀπὸ τῆς Συρίας. Δύο δ' ἡγεμόνες, Σόσσιος μὲν ὑπ' Ἀντωνίου σταλεὶς σύμμαχος, Ἡρώδης δ' ὑπὲρ αὐτοῦ, ὡς Ἀντίγονον ἀφελόμενος τὴν ἀρχὴν, ἀποδειχθέντα ἐν Ῥώμῃ πολέμιον, αὐτὸς ἀντ' ἐκείνου βασιλεύσειε κατὰ τὸ τῆς συγκλήτου δόγμα.

β'. Μετὰ πολλῆς δὲ προθυμίας καὶ ἔριδος, ἅτε σύμπαντος ἠθροισμένου τοῦ ἔθνους, οἱ Ἰουδαῖοι τοῖς περὶ τὸν Ἡρώδην ἀντεπολέμουν, καταλειφθέντες ἐντὸς τοῦ τείχους, πολλά τε ἐφήμιζον περὶ τὸ ἱερὸν καὶ πολλὰ ἐπ' εὐφημίᾳ τοῦ δήμου, ὡς ῥυσομένου τῶν κινδύνων αὐτοὺς τοῦ Θεοῦ, τά τε ἐκτὸς τῆς πόλεως ἀπεσκευάσαντο, ὡς μηδ' ὅσα τροφὴ δύναιτο εἶναι ὑπολιπεῖν ἢ ἀνθρώποις ἢ ὑποζυγίοις, λῃστείαις τε λάθρᾳ χρώμενοι ἀπορίαν παρέσχον. Ταῦτα δ' Ἡρώδης συνιδὼν πρὸς μὲν τὰς λῃστείας ἐν τοῖς ἐπικαιροτάτοις τόποις προελόχιζε, πρὸς δὲ τὰ ἐπιτήδεια πέμπων ὁπλιτικὰ τέλη πόρρωθεν ἀγοράν συνεκόμιζεν, ὡς ὀλίγου χρόνου πολλὴν ἀφθονίαν αὐτοῖς γενέσθαι τῶν ἀναγκαίων. Ἤρτο δὲ, συχνῶς ἤδη πολλῆς χειρὸς ἐργαζομένης, καὶ τὰ τρία χώματα εὐπετῶς· θέρος τε γὰρ ἦν καὶ οὐδὲν ἐμποδὼν πρὸς τὴν ἀνάστασιν οὔτ' ἀπὸ τοῦ ἀέρος οὔτ' ἀπὸ τῶν ἐργαζομένων, τά τε μηχανήματα προσάγοντες κατέσειον τὸ τεῖχος καὶ πάσαις ἐχρῶντο πείραις. Οὐ μὴν ἐξέπληττον τοὺς ἔνδον, ἀλλ' ἀντετεχνῶντο κἀκεῖνοι πρὸς τὰ παρὰ τούτων γινόμενα οὐκ ὀλίγα, ἐπεχθέοντές τε τὰ μὲν ἡμίεργα ἐνεπίμπρασαν, τὰ δὲ ἐξειργασμένα, εἴς τε χεῖρας ἰόντες οὐδὲν κακίους Ῥωμαίων ἦσαν τὰς τόλμας, ἐπιστήμῃ δ' ἐλείποντο· πρός τε τὰς μηχανὰς ἀνετείχιζον, ἐρειπομένων τῶν πρώτων οἰκοδομημάτων, ὑπὸ γῆν τε ἀπαντῶντες μεταλλεύουσι διεμάχοντο, ἀπονοίᾳ δὲ τὸ πλέον ἢ προμηθείᾳ χρώμενοι προσελιπάρουν τῷ πολέμῳ εἰς τοὔσχατον, καὶ ταῦτα μεγάλου στρατοῦ περικαθημένου σφᾶς καὶ λιμῷ ταλαιπωρουμένοις καὶ σπάνει τῶν ἐπιτηδείων· τὸν γὰρ ἑβδομαδικὸν ἐνιαυτὸν συνέβη κατὰ ταυτὸν εἶναι. Ἀναβαίνουσι δὲ ἐπὶ τὸ τεῖχος πρῶτον μὲν λογάδες εἴκοσι, ἔπειτα ἑκατόνταρχοι Σοσσίου. Ἠρέθη γὰρ τὸ μὲν πρῶτον τεῖχος ἡμέραις τεσσαράκοντα, τὸ δὲ δεύτερον πεντεκαίδεκα, καί τινες τῶν περὶ τὸ ἱερὸν ἐνεπρήσθησαν στοῶν, ἃς Ἡρώδης Ἀντίγονον ἐμπρῆσαι διέβαλλε, μῖσος αὐτῷ πραγματευόμενος παρὰ τῶν Ἰουδαίων γενέσθαι. Ἡρημένου δὲ τοῦ ἔξωθεν ἱεροῦ καὶ τῆς κάτω πόλεως, εἰς τὸ ἔσωθεν ἱερὸν καὶ τὴν ἄνω πόλιν Ἰουδαῖοι συνέφυγον· δείσαντές τε μὴ διακωλύσωσιν αὐτοὺς οἱ Ῥωμαῖοι τὰς καθημερινὰς θυσίας ἐπιτελεῖν τῷ Θεῷ, πρεσβεύονται ἐπιτρέψαι παρακαλοῦντες θύματα αὐτοῖς μόνον εἰσκομίσασθαι. Ὁ δ' ὡς ἐνδωσόντων αὐτῶν συνεχώρει ταῦτα. Καὶ ἐπεὶ μηδὲν ἑώρα γινόμενον παρ' αὐτῶν ὧν ὑπενόει, ἀλλ' ἰσχυρῶς ἀντέχοντας ὑπὲρ

veterem agens, quippe qui esset ferme triginta millium. Isti autem omnes ad mœnia Hierosolymorum convenerunt, et a muri parte septentrionali consederunt, exercitus ex undecim legionibus peditum et equitum millibus sex, præter alia auxilia a Syria. Duces vero duo *erant*, Sossius ab Antonio missus in auxilium, et Herodes pro se ipso, ut Antigono de principatu dejecto (quippe qui Romæ hostis declaratus esset) ipse pro illo regnaret ex senatusconsulto.

2. Jam vero Judæi magno animo et contentione (utpote universa gente congregata) Herodi repugnabant, intra mœnia conclusi, multaque circa templum jactabant, et populo fausta ominabantur, tanquam Deo eos periculo liberaturo, neque non extra urbem omnia sustulerunt, ut nec alimenta relicta essent hominibus aut jumentis, et claudestinis latrociniis difficultatem afferebant. Quum autem Herodes ista animadvertisset, adversum latrocinia locis opportunis insidias disponebat, atque, ad necessaria missis armatorum legionibus, forum rerum venalium e longinquo comportabat, ita ut brevi tempore magna omnium quibus opus esset copia abundaverint. Jam vero, quum multa manus continenter in opere versaretur, facile perfecti sunt tres aggeres: nam ea astas erat, nihilque ad structuram impedimenti aut ab aeris intemperie aut ab iis qui operam conferebant. Itaque admotis machinis muros quatiunt et omnia experiuntur. Nec tamen perterrebantur qui erant intus: quin excogitabant et ipsi contra ea quæ ab oppugnatoribus fierent non pauca, et eorum opera excursionibus partim inchoata partim perfecta incendebant; et ad manus venientes nihilo Romanis inferiores erant audacia, sed scientia et usu superabantur. Et adversus machinas, dirutis primis ædificiis, alia exstruebant, et sub terra cuniculos agentibus occurrentes pugnabant: ac desperatione magis quam providente consilio utentes, bellum ad extremum persequebantur, idque magno licet exercitu circumsessi, et fame rerumque necessariarum penuria laborantes: nam contigit ut in idem tempus congrueret annus sabbaticus. Tandem muros conscendunt, primum quidem lecti homines viginti, deinde Sossii centuriones. Expugnatus enim erat primus quidem murus quadraginta diebus, secundus vero quindecim, et quædam circa templum porticus combustæ erant, quas Herodes ab Antigono incensas calumniabatur, data industria ut eum Judæorum invidia gravaret. Expugnato exteriore templo et urbe inferiore, Judæi in templum interius et urbem superiorem confugerunt; veritique ne a Romanis quotidiana Deo sacra peragere prohiberentur, legatos miserunt qui postularent ut eis victimas tantum introducere permitteretur. Ille vero petitioni concessit, deditionem facturos arbitratus. At ubi nihil ab eis eorum quæ suspicabatur

τῆς Ἀντιγόνου βασιλείας, προσβαλὼν κατὰ κράτος εἷλε τὴν πόλιν, καὶ πάντα εὐθὺς ἦν φόνων ἀνάπλεα, τῶν μὲν Ῥωμαίων ἐπὶ τριβῇ τῆς πολιορκίας διωργισμένων, τοῦ δὲ περὶ Ἡρώδην Ἰουδαϊκοῦ μηδὲν ὑπολιπεῖν σπεύδοντος ἀντίπαλον. Ἐσῴττοντο δὲ παμπληθεῖς ἔν τε τοῖς στενωποῖς καὶ κατὰ τὰς οἰκίας συνωθούμενοι καὶ τῷ ναῷ προσφεύγοντες, ἧν τε οὔτε νηπίων οὔτε γήρως ἔλεος, οὔτε γυναικῶν ἀσθενείας φειδώ, ἀλλὰ καίτοι περιπέμποντος τοῦ βασιλέως καὶ φείδεσθαι παρακαλοῦντος, οὐδεὶς ἐκράτησε τῆς δεξιᾶς, ἀλλ' ὥσπερ μεμηνότες πᾶσαν ἡλικίαν ἐπεξῆεσαν. Ἔνθα καὶ Ἀντίγονος μήτε τῆς πάλαι μήτε τῆς τότε τύχης ἔννοιαν λαβὼν κάτεισι μὲν ἀπὸ τῆς βάρεως, προσπίπτει δὲ τοῖς Σοσσίου ποσί. Κἀκεῖνος μηδὲν αὐτὸν οἰκτείρας πρὸς τὴν μεταβολὴν ἐπεκρότησε μὲν ἀκρατῶς, καὶ Ἀντιγόνην ἐκάλεσεν, οὐ μὴν ὡς γυναῖκά γε φρουρᾶς ἐλεύθερον ἀφῆκεν, ἀλλ' ὁ μὲν δεθεὶς ἐφυλάττετο.

γ'. Πρόνοια δ' ἦν Ἡρώδῃ κρατοῦντι τῶν πολεμίων τοῦ κρατῆσαι καὶ τῶν ἀλλοφύλων συμμάχων· ὥρμητο γὰρ τὸ ξενικὸν πλῆθος ἐπὶ θέαν τοῦ τε ἱεροῦ καὶ τῶν κατὰ τὸν ναὸν ἁγίων. Ὁ δὲ βασιλεὺς τοὺς μὲν παρακαλῶν, τοῖς δὲ ἀπειλῶν, ἔστι δ' οὓς καὶ τοῖς ὅπλοις ἀνέστειλεν, ἤττης χαλεπωτέραν ἡγούμενος τὴν νίκην, εἴ τι τῶν ἀθεάτων παρ' αὐτῶν ὀφθείη. Διεκώλυε δὲ καὶ τὰς κατὰ τὴν πόλιν ἁρπαγάς, πολλὰ διατεινόμενος πρὸς Σόσσιον, εἰ χρημάτων τε καὶ ἀνδρῶν Ῥωμαῖοι τὸν πόλιν κενώσαντες καταλείψουσιν αὐτὸν ἐρημίας βασιλέα, καὶ ὡς ἐπὶ τοσούτῳ πολιτῶν φόνῳ βραχὺ καὶ τὴν τῆς οἰκουμένης ἡγεμονίαν ἀντάλλαγμα κρίνοι· τοῦ δὲ ἀντὶ τῆς πολιορκίας τὰς ἁρπαγὰς δικαίως τοῖς στρατιώταις ἐπιτρέπειν φαμένου, αὐτὸς ἔφη διανεμεῖν ἐκ τῶν ἰδίων χρημάτων τοὺς μισθοὺς ἑκάστοις· οὕτω τε τὴν λοιπὴν ἐξωνησάμενος πόλιν, τὰς ὑποσχέσεις ἐπλήρωσε. Λαμπρῶς μὲν γὰρ ἕκαστον στρατιώτην, ἀναλόγως δὲ τοὺς ἡγεμόνας, βασιλικώτατα δ' αὐτὸν ἐδωρήσατο Σόσσιον, ὡς πάντας ἀπελθεῖν χρημάτων εὐποροῦντας.

δ'. Τοῦτο τὸ πάθος συνέβη τῇ Ἱεροσολυμιτῶν πόλει, ὑπατεύοντος ἐν Ῥώμῃ Μάρκου Ἀγρίππα καὶ Κανινίου Γάλλου, ἐπὶ τῆς πέμπτης καὶ ὀγδοηκοστῆς καὶ ἑκατοστῆς Ὀλυμπιάδος, τῷ τρίτῳ μηνί, τῇ ἑορτῇ τῆς νηστείας, ὥσπερ ἐκ περιτροπῆς τῆς γενομένης ἐπὶ Πομπηίου τοῖς Ἰουδαίοις συμφορᾶς· καὶ γὰρ ὑπ' ἐκείνου τῇ αὐτῇ ἑάλωσαν ἡμέρᾳ, μετὰ ἔτη εἴκοσι καὶ ἑπτά. Σόσσιος δὲ, χρυσοῦν ἀναθέμενος τῷ Θεῷ στέφανον, ἀνέζευξεν ἀπὸ Ἱεροσολύμων, Ἀντίγονον ἄγων δεσμώτην Ἀντωνίῳ. Δείσας δὲ Ἡρώδης μὴ φυλαχθεὶς Ἀντίγονος ὑπ' Ἀντωνίου, καὶ κομισθεὶς εἰς Ῥώμην ὑπ' αὐτοῦ δικαιολογήσηται πρὸς τὴν σύγκλητον, ἐπιδεικνὺς αὐτὸν μὲν ἐκ βασιλέων, Ἡρώδην δὲ ἰδιώτην, καὶ ὅτι προσῆκεν αὐτῷ βασιλεύειν τοὺς παῖδας διὰ τὸ γένος, εἰ καὶ αὐτὸς εἰς Ῥωμαίους ἐπεξήμαρτε· ταῦτα φοβούμενος πολλοῖς χρήμασι πείθει τὸν Ἀντώνιον ἀνελεῖν τὸν Ἀντίγονον. Οὗ γενομένου, τοῦ δέους μὲν Ἡρώδης

fieri videbat, sed eos fortiter pro Antigoni regno propugnare, urbem aggressus vi cepit, atque omnia protinus plena cædibus erant, Romanis ob obsidionis moram iratis, Herodianis vero Judæis nihil ipsis adversarium relinquere studentibus. Ita densi in angiportibus et per domos constipati et in templo, in quod refugerant, jugulabantur, nec parvulorum nec senum misertum est; nec mulieribus, utpote viribus imbecillis, parcebatur: ac quamvis rex undique mitteret et ut parceretur oraret, nemo dextram continebat, sed tanquam rabiosi in omnem ætatem sævierunt. Interim Antigonus, neque prioris neque præsentis fortunæ memor, ex arce descendit, Sossioque ad pedes accidit. Atque ille nihil miseratus mutatam ejus fortunam, intemperanter insultavit, et Antigonam appellavit: non tamen ut feminam e custodia liberum emisit, sed in vinculis quidem ipse asservabatur.

3. Herodi autem curæ erat, postquam hostes superaverat, alienigenarum auxiliarium vim coercere et moderari: cum impetu enim ferebatur peregrinorum militum vulgus ad templum sacrasque templi res aspiciendas. Verum rex partim precibus, partim minis, nonnullos etiam armis repressit, victoriam clade graviorem existimans, si quid eorum cerneretur quæ ne ab ipsis quidem aspici fas esset. Atque urbem diripi prohibebat, quum Sossium etiam atque etiam interrogasset an Romani, urbe pecuniis virisque exinanita, regem se solitudinis essent relicturi: quippe se vel totius orbis imperium tam multorum civium cæde non emendum esse putare. Quumque ille pro obsidionis labore prædam se militibus merito concedere dixisset, respondit Herodes se sua pecunia mercedem singulis numeraturum. Atque ita reliqua urbe redempta promissum præstitit. Nam et singulos milites magnifice, et duces pro rata parte, et Sossium plane regie muneratus est, ita ut omnes divitiis aucti et locupletati discederent.

4. Hæc urbi Hierosolymitarum accidit clades Marco Agrippa et Caninio Gallo consulibus, Olympiade centesima et octogesima quinta, mense tertio, jejunii solennitate, tanquam recurrente in idem temporis momentum illata Judæis a Pompejo calamitate: nam eodem die ab illo post septem et viginti annos Hierosolyma capta sunt. Sossius vero, corona aurea Deo consecrata, Hierosolymis profectus est, Antigonum vinctum ducens ad Antonium. Veritus autem Herodes ne ab Antonio servatus Antigonus et ab eo Romam perductus causam suam apud senatum ageret, ostendens se quidem regia stirpe, Herodem vero hominem privatum, quodque ad filios suos, licet ipse in Romanos deliquerit, nascendi sorte regnare pertineat, ista metuens multa pecunia persuasit Antonio ut Antigonum necaret. Quo facto Herodes quidem metu liberatur. Ita

ἀπάλλάσσεται, παύεται δ' οὕτως ἡ τοῦ Ἀσαμωναίου ἀρχὴ μετὰ ἔτη ἑκατὸν καὶ εἴκοσι ἕξ. Οἶκος λαμπρὸς οὗτος ἦν καὶ διάσημος γένους τε ἕνεκα καὶ τῆς ἱερατικῆς τιμῆς ὧν τε ὑπὲρ τοῦ ἔθνους οἱ γονεῖς αὐτοῦ διε-
b πράξαντο. Ἀλλ' οὗτοι μὲν διὰ τὴν πρὸς ἀλλήλους στάσιν τὴν ἀρχὴν ἀπέβαλον, μετέβη δ' εἰς Ἡρώδην τὸν Ἀντιπάτρου, οἰκίας ὄντα δημοτικῆς καὶ γένους ἰδιωτικοῦ καὶ ὑπακούοντος τοῖς βασιλεῦσι. Καὶ τοῦτο μὲν τὸ τέλος τῆς Ἀσαμωναίων γενεᾶς παρειλήφαμεν.

vero desiit domus Asamonæi principatus, postquam centum viginti sex annos duraverat. Hæc domus clara fuit et illustris, tum generis nobilitate et honore pontificis, tum rebus per ejus majores pro natione gestis. Verum hi propter mutuas dissensiones principatum amiserunt, isque ad Herodem translatus est, Antipatri filium, hominem plebeiæ familiæ et generis privati et regibus subjecti. Atque hunc quidem Asamonææ familiæ exitum a majoribus accepimus.

ΒΙΒΛΙΟΝ ΠΕΝΤΕΚΑΙΔΕΚΑΤΟΝ.

LIBER DECIMUS QUINTUS.

α'. Ὡς ληφθείσης τῆς Ἱεροσολυμιτῶν πόλεως ὑπὸ Σοσσίου καὶ Ἡρώδου, Ἀντώνιος μὲν Ἀντίγονον ἐπελέκισεν ἐν Ἀντιοχείᾳ, Ἡρώδης δὲ πέντε καὶ τεσσαράκοντα τῶν ἐκείνου φίλων πρώτους Ἱεροσολυμιτῶν ἐπανείλετο, καὶ τὴν πόλιν ἠργυρολόγησεν.

β'. Ὃν τρόπον Ὑρκανὸς, ὁ πρότερον βασιλεὺς Ἰουδαίων καὶ ἀρχιερεὺς, ἀφεθεὶς ὑπὸ τοῦ τῶν Πάρθων βασιλέως Ἀρσάκου, πρὸς Ἡρώδην ὑπέστρεψεν.

γ'. Ὡς Ἡρώδης Ἀριστόβουλον, τὸν τῆς γυναικὸς Μαριάμμης ἀδελφὸν, ἀρχιερέα καταστήσας μετ' οὐ πολὺ διαφθαρῆναι παρεσκεύασεν.

δ'. Ὡς Κλεοπάτρα τῇ τῶν Ἰουδαίων καὶ Ἀράβων ἐπιβουλεύουσα βασιλείᾳ μέρη λαβεῖν αὐτῶν ἰσχυσε παρ' Ἀντωνίου.

ε'. Κλεοπάτρας εἰς τὴν Ἰουδαίαν παρουσία.

ς'. Ὡς Ἡρώδης ἐπολέμησεν Ἀρέταν, καθ' ὃν καιρὸν Ἀντώνιος ὑπὸ Καίσαρος ἐν τῇ κατ' Ἄκτιον νικᾶται μάχῃ.

ζ'. Περὶ τοῦ γενομένου σεισμοῦ κατὰ τὴν Ἰουδαίαν καὶ τῆς φθορᾶς τῶν ἀνθρώπων καὶ βοσκημάτων.

η'. Λόγος Ἡρώδου πρὸς τοὺς Ἰουδαίους ἀθυμοῦντας πρὸς τὰ πάθη καὶ τὴν ἧτταν τὴν γενομένην.

θ'. Ὡς ἀνάγκην ἔχων Ἡρώδης ἀπιέναι πρὸς Καίσαρα νενικηκότα, διέφθειρεν Ὑρκανὸν, καὶ ὡς ἔσχε παρὰ Καίσαρος τὴν βασιλείαν, καὶ παρέπεμψεν αὐτὸν ἐπ' Αἴγυπτον.

ι'. Ὡς Ἡρώδης ἀφικόμενος εἰς Ἀλεξάνδρειαν ὑπὸ Καίσαρος πολλὰ φιλοφρονηθεὶς ἐτιμήθη.

ια'. Ὡς ἐπανελθὼν ὁ αὐτὸς ἐξ Αἰγύπτου ψευδέσι διαβολαῖς παρωξύνθη τὴν γυναῖκα Μαριάμμην ἀποκτεῖναι.

ιϐ'. Περὶ τοῦ λιμοῦ κατὰ τὴν Ἰουδαίαν καὶ Συρίαν γεγονότος, καὶ ὡς διέσωσε τὰ πλήθη καὶ τὰς πόλεις Ἡρώδης.

ιγ'. Περὶ κτίσεως πόλεων Ἑλληνίδων, ἃς Ἡρώδης ὁ βασιλεὺς περιϐλέπτους ἐποιήσατο.

ιδ'. Ὡς Ἡρώδης, καθελὼν εἰς ἅπαν τὸν ἀρχαῖον τῶν Ἰουδαίων ναὸν, ἄλλον ἀντ' ἐκείνου ἐνέστησε μετὰ παρολκὴν ἐτῶν ἑξακοσίων, διπλοῦν τοῖς μέτροις ὑπάρχοντα.

1. Quomodo, Hierosolymis a Sossio et Herode expugnatis, Antonius Antigonum securi feriit apud Antiochiam, et Herodes quadraginta quinque ex ejus amicis, Hierosolymitarum primarios, interfecit, et pecuniam ab urbe exegit.

2. Quo pacto Hyrcanus, antea Judæorum rex et pontifex, a Parthorum rege Arsace dimissus ad Herodem rediit.

3. Quomodo Herodes Aristobulum, Mariamnes uxoris suæ fratrem, pontificem constituit, et non multo post interficiendum curavit.

4. Quomodo Cleopatra, Judæorum et Arabum regnis insidians, partem eorum ab Antonio impetrat.

5 Cleopatræ in Judæam adventus.

6. Quomodo Herodes bellum infert Aretæ, quo tempore Antonius a Cæsare pugna Actiaca debellatur.

7. De terræ motu qui in Judæa accidit, et internecione hominum et jumentorum.

8. Herodis concio ad Judæos adversis casibus et clade iis allata perterritos.

9. Quomodo Herodes ad Cæsarem ire necesse habens Hyrcanum interfecit, utque a Cæsare regnum obtinuit, ipsumque in Ægyptum deduxit.

10. Quomodo Herodes, Alexandriam profectus, a Cæsare, quem multa cum elegantia excepit, honoratus est.

11. Quomodo ille ipse ex Ægypto reversus falsis calumniis ad uxorem Mariamnen interficiendam incitatus est.

12. De fame quæ fuit in Judæa et Syria, et quomodo Herodes populi et civitatum saluti prospexit.

13. De exstructione urbium Græcarum, quas Herodes rex speciosas admodum fecit.

14. Quomodo Herodes, diruto veteri Judæorum templo, aliud pro eo exstruxit, postquam annos sexcentos duraverat, magnitudine duplum ejus.

Περιέχει ἡ βίβλος χρόνον ἐτῶν ιη'.

Continet hic liber tempus annorum octodecim.

ΚΕΦ. Α'.

CAP. I.

Σόσσιος μὲν οὖν καὶ Ἡρώδης ὡς κατὰ κράτος ἔλαϐον Ἱεροσόλυμα καὶ πρὸς τούτοις αἰχμάλωτον Ἀντίγονον, ἡ πρὸ ταύτης ἡμῖν ἐδήλωσε βίβλος· τὰ δὲ ἐκείνοις συνεχῆ νῦν ἐροῦμεν. Ἐπειδὴ τῆς ὅλης Ἰουδαίας
s ἐνεχειρίσθη τὴν ἀρχὴν Ἡρώδης, τοῦ κατὰ τὴν πόλιν πλήθους ὅσοι μὲν ἦσαν ἰδιωτεύοντες ἔτι τὰ ἐκείνου φρονοῦντες, ἐν προαγωγῇ τούτους ἐποιεῖτο, τοὺς δὲ τὰ

Ut Sossius quidem et Herodes Hierosolyma vi ceperint et Antigonum captivum, superiore libro declaravimus: quæ vero illis cohærentia sunt nunc persequemur. Postquam autem Herodes totius Judææ principatum adeptus est, quicunque ex urbana multitudine privati homines adhuc ab ipsius partibus stabant, eos ad honores promo-

τῶν ἐναντίων ἑλομένους οὐκ ἐπέλιπε τιμωρούμενος καὶ κολάζων καθ' ἑκάστην ἡμέραν. Ἐτιμῶντο δὲ μάλιστα παρ' αὐτῷ Πολλίων ὁ Φαρισαῖος καὶ Σαμέας ὁ τούτου μαθητής. Πολιορκουμένων γὰρ τῶν Ἱεροσολύμων οὗτοι συνεβούλευον τοῖς πολίταις δέξασθαι τὸν Ἡρώδην, ἀνθ' ὧν καὶ τὰς ἀμοιβὰς ἀπελάμβανον. Ὁ δὲ Σαμέας οὗτος, καὶ κρινομένου ποτὲ Ἡρώδου τὴν ἐπὶ θανάτῳ, προεῖπεν ὀνειδίζων Ὑρκανῷ καὶ τοῖς δικάζουσιν ὡς περισωθεὶς Ἡρώδης ἅπαντας αὐτοὺς μετελεύσεται. Καὶ τοῦτο χρόνῳ προῦβη, τοῦ Θεοῦ τοὺς λόγους αὐτοῦ τελειώσαντος.

β'. Ἐν δὲ τῷ τότε κρατήσας τῶν Ἱεροσολύμων πάντα συνεφόρει τὸν ἐν τῇ βασιλείᾳ κόσμον, ἔτι καὶ τοὺς εὐπόρους ἀφαιρούμενος, καὶ συναγαγὼν πλῆθος ἀργυρίου καὶ χρυσίου, παντὶ τούτῳ τὸν Ἀντώνιον ἐδωρεῖτο καὶ τοὺς περὶ αὐτὸν φίλους. Ἀπέκτεινε δὲ τεσσαράκοντα πέντε τοὺς πρώτους ἐκ τῆς αἱρέσεως Ἀντιγόνου, φύλακας περιστήσας ταῖς πύλαις τῶν τειχῶν, ἵνα μή τι συνεκκομισθῇ τοῖς τεθνεῶσι. Καὶ τοὺς νεκροὺς ἠρεύνων, καὶ πᾶν τὸ εὑρισκόμενον ἀργύριον ἢ χρυσίον ἤ τι κειμήλιον ἀνεφέρετο τῷ βασιλεῖ, πέρας τε κακῶν οὐδὲν ἦν. Τὰ μὲν γὰρ ἡ πλεονεξία τοῦ κρατοῦντος διεφόρει ἐν χρείᾳ γενομένου, τὴν δὲ χώραν μένειν ἀγεώργητον τὸ ἑβδομαδικὸν ἠνάγκαζεν ἔτος· ἐνειστήκει γὰρ τότε καὶ σπείρειν ἐν ἐκείνῳ τὴν γῆν ἀπηγορευομένον ἐστὶν ἡμῖν. Ἀντώνιος δὲ λαβὼν αἰχμάλωτον τὸν Ἀντίγονον δέσμιον ἔγνω μέχρι τοῦ θριάμβου φυλάττειν. Ἐπεὶ δ' ἤκουσε νεωτερίζειν τὸ ἔθνος, καὶ τοῦ πρὸς Ἡρώδην μίσους εὖνουν Ἀντιγόνῳ διαμένον, ἔγνω τοῦτον ἐν Ἀντιοχείᾳ πελεκίσαι· σχεδὸν γὰρ οὐδαμῶς ἠρεμεῖν ἠδύναντο Ἰουδαῖοι. Μαρτυρεῖ δέ μου τῷ λόγῳ Στράβων ὁ Καππάδοξ λέγων οὕτως. « Ἀντώνιος μὲν Ἀντίγονον τὸν Ἰουδαῖον ἀχθέντα εἰς « Ἀντιόχειαν πελεκίζει· καὶ ἔδοξε μὲν οὗτος πρῶτος « Ῥωμαίων βασιλέα πελεκίσαι, οὐκ οἰηθεὶς ἕτερον « τρόπον μεταθεῖναι ἂν τὰς γνώμας τῶν Ἰουδαίων, « ὥστε δέξασθαι τὸν ἀντ' ἐκείνου καθεσταμένον Ἡρώ- « δην· οὐδὲ γὰρ βασανιζόμενοι βασιλέα αὐτὸν ἀναγο- « ρεύειν ὑπέμειναν, οὕτω μέγα τι ἐφρόνουν περὶ τοῦ « πρώτου βασιλέως. Τὴν οὖν ἀτιμίαν ἐνόμισε μειώσειν « τῆς πρὸς αὐτὸν μνήμης, μειώσειν δὲ καὶ τὸ πρὸς « Ἡρώδην μῖσος. » Ταῦτα μὲν ὁ Στράβων.

vebat, qui vero cum adversariis faciebant, eos quotidie ulcisci et supplicis afficere non intermittebat. Erant autem apud eum in præcipuo honore Pollio Pharisæus et Sameas ejus discipulus. Nam hi, obsessis Hierosolymis, civibus consuluerant ut Herodem admitterent: quam ob rem gratiam ab eo consequebantur. Idem vero ille Sameas, quum Herodes olim in capitis judicium vocaretur, exprobrandi causa Hyrcano et judicibus prædicebat Herodem conservatum ipsos omnes ulturum esse. Id quod temporis processu accidit, Deo faciente ut verba ejus comprobaret eventus.

2. Tunc igitur Hierosolymis potitus omnia regia ornamenta congerebat, et insuper locupletibus spoliatis, magnam argenti aurique vim contraxit, et his omnibus Antonium ejusque familiares donabat. Interfecit etiam quadraginta quinque primos Antigoniarum partium, constitutis ad murorum portas custodiis, ne quid cum mortuis efferretur. Neque non mortui excutiebantur, et quicquid erat inventum argenti, aut auri, aut rerum pretiosarum, ad regem referebatur, denique malorum modus erat nullus, partim propter summam dominantis, qui indigeret, avaritiam, partim quod terram incultam manere cogebat annus septimus: tunc enim instabat, et in illo nobis ne terram seramus interdictum est. Antonius autem, quum captivum cepisset Antigonum, decreverat usque ad triumphum servare vinctum. Sed quum audiret rebus novis studere gentem, et præ Herodis odio benevolentiam erga Antigonum retinere, statuit eum Antiochiæ securi feriendum: alioquin quiescere Judæi minime poterant. Verbis autem meis testimonium perhibet Strabo Cappadox, ita dicens. « Antonius Anti- « gonum Judæum Antiochiam perductum securi ferit: et « hic quidem Romanorum primus visus est regem securi « percussisse, ratus non posse alia via flecti Judæorum « animos, ut Herodem in illius locum suffectum agnosce- « rent: nam ne tormentis quidem adigi poterant ut eum « regem appellarent; adeo magna illis opinio erat de priore « rege. Fore igitur existimavit ut memoria ejus ignominiâ « minueretur, et odium illorum in Herodem mitigaretur. » Hæc quidem Strabo.

ΚΕΦ. Β'.

Κατασχόντος δὲ τὴν βασιλείαν Ἡρώδου, πυθόμενος Ὑρκανὸς ὁ ἀρχιερεὺς (ἦν δὲ παρὰ Πάρθοις αἰχμάλωτος) ἀφικνεῖται πρὸς Ἡρώδην τῆς αἰχμαλωσίας ἀπολυθεὶς τρόπῳ τοιούτῳ. Βαρζαφάρνης καὶ Πάκορος οἱ τῶν Πάρθων στρατηγοὶ λαβόντες αἰχμαλώτους Ὑρκανὸν τὸν πρῶτον ἀρχιερέα γενόμενον, εἶτα βασιλέα, καὶ τὸν ἀδελφὸν Ἡρώδου Φασάηλον εἰς Πάρθους ἀνῆγον. Καὶ Φασάηλος μὲν οὐ φέρων τὴν ἐν τοῖς δεσμοῖς αἰσχύνην, πάσης δὲ ζωῆς κρεῖττονα τὸν μετὰ δόξης

CAP. II.

Quum autem Herodem regnum occupasse fama accepisset Hyrcanus pontifex, (tum enim apud Parthos captivus erat,) ad Herodem venit, captivitate liberatus in hunc modum. Barzapharnes et Pacorus Parthorum duces quum Hyrcanum, qui primo pontifex factus erat et deinde rex, et fratrem Herodis Phasaelum captivos fecissent, eos ad Parthos abducebant. Et Phasaelus quidem non ferens in vinculis per dedecus vitam agere, et cum gloria mori satius esse ducens

ἡγούμενος θάνατον, αὐτὸς ἑαυτοῦ γίνεται φονεὺς καθὼς προεῖπον.

β'. Ὑρκανῷ δ' ἀναχθέντι, Φραάτης ὁ τῶν Πάρθων βασιλεὺς ἐπ' αὐτὸν ἐπιεικέστερον προσηνέχθη, τὸ τῆς εὐγενείας αὐτοῦ διάσημον προπεπυσμένος. Διὰ τοῦτο δεσμῶν μὲν ἀφῆκεν, ἐν Βαβυλῶνι δὲ κατάγεσθαι παρεῖχεν, ἔνθα καὶ πλῆθος ἦν Ἰουδαίων. Οὗτοι τὸν Ὑρκανὸν ἐτίμων ὡς ἀρχιερέα καὶ βασιλέα, καὶ πᾶν τὸ μέχρις Εὐφράτου νεμόμενον Ἰουδαίων ἔθνος· τῷ δ' ἦν ἀγαπητὰ ταῦτα. Πυθόμενος δὲ τὸν Ἡρώδην παρειληφέναι τὴν βασιλείαν, ἀντιμεταχωρεῖ ταῖς ἐλπίσιν, ἐξ ἀρχῆς τε φιλοστόργως διακείμενος καὶ τῆς χάριτος ἀπομνησθήσεσθαι προσδοκῶν, ὅτι κρινόμενον καὶ μέλλοντα θανάτῳ ζημιοῦσθαι τοῦ κινδύνου καὶ τῆς κολάσεως ἐρρύσατο. Λόγους οὖν προσέφερε τοῖς Ἰουδαίοις, ἵναι παρ' αὐτὸν ἐσπουδακόσι. Οἱ δὲ περιείχοντο καὶ μένειν ἠξίουν, τὰς ὑπουργίας ἅμα καὶ τὰς τιμὰς λέγοντες, ὡς οὐδὲν ἐνδεὲς αὐτῷ τῆς εἰς τοὺς ἀρχιερεῖς ἢ βασιλεῖς τιμῆς ἐξ αὐτῶν εἴη καὶ τὸ μεῖζον ὅτι μηδὲ ἐκεῖ τούτων μεταλαβεῖν δύναται, κατὰ λώβην τοῦ σώματος ἣν ὑπ' Ἀντιγόνου πάθοι, τάς τε χάριτας οὐχ ὁμοίως ἀποδίδοσθαι παρὰ τῶν βασιλέων ἃς ἔλαβον ἰδιωτεύοντες, ἐξαλλαττούσης αὐτοὺς οὐκ ὀλίγως τῆς τύχης.

γ'. Τοιαῦτα κατὰ τὸ συμφέρον ὑποτεινόντων, Ὑρκανὸς πόθον εἶχεν ἀπιέναι, καὶ γράφων Ἡρώδης παρεκάλει δεῖσθαι Φραάτου καὶ τῶν ἐκεῖ Ἰουδαίων, μὴ φθονῆσαι δυνάμεως κοινὴν ἕξοντι τὴν βασιλείαν· ἄρτι γὰρ εἶναι καιρὸν αὐτῷ μὲν ἐκτῖσαι τὰς χάριτας ὧν εὖ πάθοι, καὶ τραφεὶς ὑπ' αὐτοῦ καὶ περισωθεὶς, ἐκείνῳ δὲ κομίζεσθαι. Τοιαῦτα γράφων Ὑρκανῷ πέμπει καὶ παρὰ τὸν Φραάτην πρεσβευτὴν Σαραμάλλαν, καὶ δῶρα πλείω, μὴ διακωλῦσαι τὰς εἰς τὸν εὐεργέτην αὐτοῦ χάριτας ὁμοίως φιλανθρωπευόμενος. Ἦν δ' οὐκ ἐντεῦθεν ἡ σπουδή· διὰ δὲ τὸ μὴ κατ' ἀξίαν αὐτὸς ἄρχειν ἐδεδοίκει τὰς ἐξ εὐλόγων μεταβολὰς, καὶ τὸν Ὑρκανὸν ὑποχείριον ἔχειν ἔσπευδεν, ἢ καὶ παντάπασιν ἐκποδὼν ποιήσασθαι. Τοῦτο γὰρ ἔπραξεν ἐν ὑστέρῳ.

δ'. Τότε μέντοι γε ἐπειδὴ παρῆν συμπεπεισμένος, ἀφέντος τε τοῦ Πάρθου καὶ τῶν Ἰουδαίων χρήματα παρασχομένων, ἁπάσῃ τιμῇ δεξάμενος αὐτὸν, ἔν τε τοῖς συλλόγοις τὸν πρῶτον ἔνεμε τόπον καὶ παρὰ τὰς ἑστιάσεις προκατακλίνων ἐξηπάτα, πατέρα καλῶν καὶ παντελῶς τὸ τῆς ἐπιβουλῆς ἀνύποπτον πραγματευόμενος. Ἀποκαθίστατο δὲ καὶ τἆλλα πρὸς τὸ συμφέρον τῆς ἀρχῆς, ἐξ ὧν αὐτῷ καὶ τὰ περὶ τὴν οἰκίαν ἐστασιάσθη. Φυλαττόμενος γάρ τινα τῶν ἐπισήμων ἀποδεικνύναι ἀρχιερέα τοῦ Θεοῦ, μεταπεμψάμενος ἐκ τῆς Βαβυλῶνος ἱερέα τῶν ἀσημοτέρων Ἀνάνηλον ὀνόματι, τούτῳ τὴν ἀρχιερωσύνην δίδωσιν.

ε'. Εὐθὺς οὖν οὐκ ἤνεγκεν Ἀλεξάνδρα τὴν ἐπήρειαν, θυγάτηρ μὲν Ὑρκανοῦ, γυνὴ δὲ Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου βασιλέως, ἐξ Ἀλεξάνδρου παῖδας ἔχουσα,

quam quomodocunque vivere, ipse se interfecit, sicuti jam ante diximus.

2. Hyrcano vero deducto, Phraates Parthorum rex, quum generis ejus nobilitatem audiisset, clementius eum tractavit. Atque ideo eum e vinculis dimisit, et Babylone degere concessit, ubi erat etiam Judæorum multitudo. Illi Hyrcanum ut pontificem et regem honorabant, ut et universa Judæorum gens, quæ usque ad Euphratem incolebat : id quod ei gratum erat. Sed quum Herodem regnum adeptum intellexisset, spem novam concepit, tum quod jam ab initio erat amico in Herodem animo, tum quod eum memorem fore putabat beneficii accepti, cum eum, in judicium vocatum et morte mulctandum, periculo et supplicio liberavit. Itaque hac de re Judæis sermonem injecit, qui ipsum frequentabant. At illi eum retinere, et ut maneret suadere, officia et honores commemorantes, nihilque ei deesse quod ad dignitatem ejus ut pontificis atque regis *tuendam* ab ipsis præstari posset : quodque majus esset, hæc eum Hierosolymis propterea consequi non posse, quod corpus ab Antigono mutilatum haberet; atque beneficia non pariter a regibus referri, quæ privati acceperint, mutante eos non parum fortuna.

3. Quum ista ei ere sua esse suggererent, discedere tamen cupiebat Hyrcanus, et literis eum monuit Herodes ut Phraaten oraret et qui illic essent Judæos, ne ei communem regni potestatem habituro inviderent : nunc enim tempus esse et sibi referendæ illi gratiæ, qui ab eo nutritus et conservatus fuisset, et illi accipiendæ. Hæc Hyrcano scribens, mittit etiam ad Phraaten legatum Saramallam, et complura dona : eum etiam comiter orans ne se homini bene de se merito gratiam referre prohiberet. Verum hoc non erat illud quod adeo desiderabat : sed, quoniam præter dignitatem regiam principatum tenebat, mutationes haud abs re veritus est, quærebatque Hyrcanum in potestate sua habere, aut etiam omnino tollere. Id quod postea faciendum curavit.

4. Ceterum tunc, postquam spei plenus aderat, a Partho dimissus et a Judæis pecunia instructus, quum eum honorificentissime excepisset Herodes, primam in conventibus sedem ei tribuebat, et in conviviis accubandi loco superiore cedendo eum decipiebat, patrem appellans, et omnem insidiarum suspicionem amoliens. Quin et alia fecit ad tuendum principatum, quæ ei domesticam seditionem excitarunt. Ut enim caveret ne quem ex illustribus pontificem Dei crearet, evocat a Babylone ignobiliorem hominem nomine quendam Ananelum sacerdotem, eique pontificatum dat.

5. Hanc igitur contumeliam protinus non tulit Alexandra Hyrcani filia, Alexandri Aristobuli regis filii conjux, quæ ex Alexandro liberos habebat, alterum quidem pulcritudine

τὸν μὲν ὥρᾳ κάλλιστον, Ἀριστόβουλον καλούμενον, τὴν δ' Ἡρῳδῆ συνοικοῦσαν Μαριάμμην, εὐμορφίᾳ διάσημον. Ἐτετάρακτο δὲ καὶ χαλεπῶς ἔφερε τὴν ἀτιμίαν τοῦ παιδὸς, εἰ περιόντος ἐκείνου τῶν ἐπικλήτων τις ἀξιοῦται τῆς ἀρχιερωσύνης· καὶ γράφει Κλεοπάτρᾳ, μουσουργοῦ τινὸς αὐτῇ συμπραγματευομένου τὰ περὶ τὴν κομιδὴν τῶν γραμμάτων, αἰτεῖσθαι παρ' Ἀντωνίου τῷ παιδὶ τὴν ἀρχιερωσύνην.

ς'. Ἀντωνίου δὲ ῥαθυμότερον ὑπακούοντος, ὁ φίλος αὐτοῦ Δέλλιος εἰς Ἰουδαίαν ἐλθὼν ἐπί τινας χρείας, ὡς εἶδε τὸν Ἀριστόβουλον, ἠγάσθη τε τῆς ὥρας καὶ τὸ μέγεθος καὶ κάλλος ἐθαύμασε τοῦ παιδὸς, οὐχ ἧττον δὲ τὴν Μαριάμμην συνοικοῦσαν τῷ βασιλεῖ, καὶ δῆλος ἦν καλλίπαιδά τινα τὴν Ἀλεξάνδραν διειληφώς. Ἐκείνης δὲ εἰς λόγους ἐλθούσης αὐτῷ, πείθει γραψαμένην ἀμφοτέρων εἰκόνας Ἀντωνίῳ διαπέμψασθαι· θεασαμένου γὰρ οὐδενὸς ἀτευκτήσειν ὧν ἀξιοῖ. Τούτοις ἐπαρθεῖσα τοῖς λόγοις Ἀλεξάνδρα πέμπει τὰς εἰκόνας Ἀντονίῳ. Καὶ Δέλλιος ἑτερατεύετο, λέγων οὐκ ἐξ ἀνθρώπων αὐτῷ δοκεῖν, ἀλλά τινος θεοῦ γενέσθαι τοὺς παῖδας. Ἐπραγματεύετο δὲ δι' αὐτοῦ πρὸς ἡδονὰς ἑλκύσαι τὸν Ἀντώνιον. Ὁ δὲ τὴν μὲν κόρην ᾐδέσθη μεταπέμπεσθαι, γεγαμημένην Ἡρῳδῃ, καὶ τὰς εἰς Κλεοπάτραν διαβολὰς ἐκ τοῦ τοιούτου φυλαττόμενος, ἐπέστελλε δὲ πέμπειν τὸν παῖδα σὺν εὐπρεπείᾳ, προστιθεὶς, εἰ μὴ βαρὺ δοκοίη. Τούτων ἀπενεχθέντων πρὸς Ἡρῴδην, οὐκ ἀσφαλὲς ἔκρινεν, ὥρᾳ τε κάλλιστον ὄντα τὸν Ἀριστόβουλον (ἐκκαιδεκαέτης γὰρ ὢν ἐτύγχανε) καὶ γένει προὔχοντα πέμπειν παρὰ τὸν Ἀντώνιον, ἰσχύοντα μὲν ὡς οὐκ ἄλλος τότε Ῥωμαίων, ἕτοιμον δὲ τοῖς ἐρωτικοῖς αὐτὸν ὑποθεῖναι, καὶ τὰς ἡδονὰς ἀπαρακαλύπτως ἐκ τοῦ δύνασθαι ποριζόμενον. Ἀντέγραψεν οὖν ὡς, εἰ μόνον ἐξέλθοι τῆς χώρας τὸ μειράκιον, ἅπαντα πολέμου καὶ ταραχῆς ὑποπλησθήσεται, Ἰουδαίων ἐλπισάντων μεταβολὴν καὶ νεωτερισμὸν ἐπ' ἄλλῳ βασιλεῖ.

ζ'. Τούτοις δὲ παραιτησάμενος τὸν Ἀντώνιον ἔγνω μὴ μέχρι παντὸς ἀτιμάζειν τὸν παῖδα καὶ τὴν Ἀλεξάνδραν, ἀλλὰ καὶ τῆς γυναικὸς Μαριάμμης ἐγκειμένης λιπαρῶς ἀποδοῦναι ταδελφῷ τὴν ἀρχιερωσύνην, καὶ συμφέρειν αὐτῷ κρίνων, ἵνα μηδ' ἀποδημῆσαι δυνατὸν ᾖ τετιμημένῳ. Σύλλογον οὖν ποιήσας τῶν φίλων, ἠτιᾶτο πολλὰ τὴν Ἀλεξάνδραν, κρύφα τε ἐπιβουλεῦσαι λέγων τῇ βασιλείᾳ, καὶ διὰ τῆς Κλεοπάτρας πράττειν ὅπως αὐτὸς μὲν ἀφαιρεθῇ τὴν ἀρχὴν, τὸ δὲ μειράκιον ἀντ' αὐτοῦ παραλάβοι τὰ πράγματα δι' Ἀντωνίου, καὶ ταῦτα βούλεσθαι μὲν ἐκείνην οὐ δικαίως, ὁπότε καὶ τὴν θυγατέρα συναποστεροίη τῆς οὔσης αὐτῇ τιμῆς, καὶ ταραχὰς ἐπὶ τῇ βασιλείᾳ πραγματεύοιτο, πολλὰ πονήσαντος αὐτοῦ καὶ κτησαμένου κινδύνοις τοῖς οὐ τυχοῦσιν, οὐ μὴν ἀπομνημονεύσας αὐτὸς ὢν οὐ καλῶς ἐκείνη πράξειεν ἀποστήσεσθαι τοῦ δίκαιος εἶναι περὶ αὐτοὺς, ἀλλὰ καὶ νῦν ἔφη διδόναι τῷ παιδὶ τὴν ἀρχιερωσύνην, καὶ πάλαι προκαταστήσασθαι τὸν Ἀνάνηλον, παιδίου παντάπασιν ὄντος Ἀριστοβούλου. Τοιαῦτα

præcellentem, nomine Aristobulum, alteram vero nuptam Herodi Mariamnen, formæ venustate insignem. Verum turbata erat, et pueri ignominiam ægre ferebat, si eo superstite adscitus quidam pontificatu donaretur : atque scribit Cleopatræ, fidicine quodam operam suam ei præstante quo recte perferrentur literæ, ut filio ipsius ab Antonio peteret pontificatum.

6. Antonio autem segnius obtemperante, ejus amicus Dellius, qui tum forte in Judæam propter quædam negotia venerat, ut vidit Aristobulum, et pueri venustate obstupuit, et proceritatem et pulcritudinem admiratus est, neque minus Mariamnen regis conjugem : ac se pulcrorum matrem natorum Alexandram existimare præ se ferebat. Quumque illa cum eo in colloquium venisset, persuadet ut depictas amborum imagines Antonio missum iret : iis enim visis nihil non ab illo impetraturam esse. His verbis elata Alexandra picturas Antonio mittit. Et Dellius rem in immensum exaggeravit, dicens non ab hominibus, sed a quopiam deo natos videri sibi pueros. Eo enim animo ipse id agebat, ut ad voluptates Antonium alliceret. Ille vero puellam quidem accersere verecundatus est, quod ea Herodi nupta foret, et apud Cleopatram ex ejusmodi re criminationes vitaret : sed ut puerum mitteret scripsit, idque honeste fecit, addens, nisi grave videretur. His ad Herodem perlatis, haud tutum esse judicavit, forma et ætate florentem Aristobulum (erat enim annorum sedecim) et genere præstantem mittere ad Antonium, hominem eo tempore Romanorum vel potentissimum, eundemque paratum ut illo ad amores uteretur, et voluptates inverecunde (quoniam quicquid sibi lubebat facere posset) conquirentem. Rescripsit igitur Herodes, si vel pedem e regione efferret adolescentulus, fore omnia belli turbarumque plena, Judæis mutationes resque novas sub alio rege sperantibus.

7. Quumque ita Antonio se excusasset, statuit puerum et Alexandram non omnino expertes honoris relinquere, etiam uxore Mariamne assiduis precibus instante ut fratri suo pontificatum restitueret, et quod ipse sibi utile esse judicaret, ne illi in honore constituto fas esset peregre abesse. Convocato igitur amicorum concilio graviter de Alexandra conquerebatur, dicens et ipsam clam regno insidiari, et per Cleopatram id agere, ut ipse regno exueretur, et adolescens ope Antonii rerum administrationem susciperet, idque eam haud juste constituisse, quando et filiam suam de honoris possessione deturbaret, et tumultus faceret in regno, quod ipse multis laboribus ac periculis non levibus quæsisset, neque tamen ipsum, memorem eorum quæ nefarie egerit, desiturum esse semet illis æquum præbere, sed et nunc dicebat se filio ejus pontificatum dare, atque antea Ananelum pontificem creasse, quod puerulus omnino esset Aristobulus. Quum ista non temere, sed, quod maxime

λέγοντος οὐκ ἀσκέπτως, ἀλλ', ὅπερ ἠξίου, μάλιστα πεφροντισμένως, εἰς ἀπάτην γυναικῶν καὶ τῶν συμπαραληφθέντων φίλων, περιπαθὴς ἅμα καὶ χαρᾷ τῶν οὐ προσδοκηθέντων καὶ δέει τῆς ὑποψίας, Ἀλεξάνδρα μετὰ δακρύων ἀπελογεῖτο, περὶ μὲν τῆς ἱερωσύνης φαμένη πᾶν ὅτιοῦν ὑπ' ἀδοξίας σπουδάσαι, βασιλείᾳ δὲ μήτε ἐπιτίθεσθαι μήτ' ἂν εἰ καὶ προσίοι βούλεσθαι λαβεῖν, καὶ νῦν ἀποχρώντως τιμῆς ἔχουσα, διὰ τὴν ἀρχὴν τὴν ἐκείνου καὶ τὴν ἀσφάλειαν τὴν ἐκ τοῦ δύνασθαι μᾶλλον ἑτέρων ἄρχειν αὐτὸν ἅπαντι τῷ γένει περιοῦσαν, νῦν τε νενικημένη ταῖς εὐεργεσίαις δέχεσθαι μὲν εἰς τὸν υἱὸν τὴν τιμὴν, ἔσεσθαι δὲ πρὸς πᾶν ὑπήκοος, παραιτεῖσθαι δὲ κἂν εἴ τι διὰ τὸ γένος καὶ τὴν οὖσαν αὐτῇ παρρησίαν προπετέστερον ὑπ' ἀναξιοπαθείας δράσειεν. Οὕτως ἀλλήλοις ὁμιλήσαντες καὶ σπουδαιότερον ἢ θᾶττον ἐν δεξιαῖς διελύοντο, πάσης ὑποψίας, ὡς ἐδόκουν, ἐξῃρημένης.

ΚΕΦ. Γ'.

Ὁ δὲ βασιλεὺς Ἡρῴδης εὐθὺς μὲν ἀφαιρεῖται τὴν ἀρχιερωσύνην Ἀνάνηλον, ὄντα μέν, ὡς καὶ πρότερον εἴπομεν, οὐκ ἐπιχώριον, ἀλλὰ τῶν ὑπὲρ Εὐφράτην ἀπῳκισμένων Ἰουδαίων. Οὐ γὰρ ὀλίγαι μυριάδες τοῦδε τοῦ λαοῦ περὶ τὴν Βαβυλωνίαν ἀπῳκίσθησαν, ἔνθεν ἦν Ἀνάνηλος, ἀρχιερατικοῦ γένους, καὶ πάλαι κατὰ συνήθειαν Ἡρῴδῃ σπουδαζόμενος. Τοῦτον αὐτὸς μὲν ἐτίμησεν ὅτε τὴν βασιλείαν παρέλαβεν, αὐτὸς δὲ κατέλυσεν, ἐπὶ τῷ παῦσαι τὰς οἰκείας ταραχὰς, παράνομα ποιῶν. Οὐ γὰρ ἄλλως γέ τις ἀφῃρέθη τὴν τιμὴν ἅπαξ παραλαβὼν, ἀλλὰ πρῶτος μὲν Ἀντίοχος ὁ Ἐπιφανὴς ἔλυσε τὸν νόμον, ἀφελόμενος μὲν Ἰησοῦν, καταστήσας δὲ τὸν ἀδελφὸν Ὀνίαν· δεύτερος δὲ Ἀριστόβουλος Ὑρκανὸν ἀφείλετο τὸν ἀδελφὸν, Ἡρῴδης δὲ τρίτος ἀντιπαρέδωκε τὴν ἀρχὴν Ἀριστοβούλῳ τῷ παιδί.

β'. Καὶ τότε μὲν ἐδόκει τεθεραπευκέναι τὰ περὶ τὴν οἰκίαν· οὐ μὴν, ὅπερ εἰκὸς, ἐν διαλλαγαῖς ἀνυπόπτως διετέλει, τὴν Ἀλεξάνδραν ἐπί τε τοῖς ἐγχειρισθεῖσιν ἤδη καὶ καιρὸν εἰ λάβοι νεωτέρων πραγμάτων ἠξιωκὼς δεδοικέναι. Προσέταττεν οὖν ἔν τε τοῖς βασιλείοις διατρίβειν καὶ μηδὲν ἐπ' ἐξουσίας δρᾶν, ἐπιμελεῖς τε ἦσαν αἱ φυλακαὶ, λανθάνοντος οὐδ' εἴ τι πρὸς τὴν καθ' ἡμέραν δίαιταν ἐπιτηδεύοιτο. Ταῦτα πάντα κατὰ μικρὸν αὐτὴν ἐξηγρίου καὶ μῖσος ὑπεφύετο. Φρονήματος γὰρ ἐμπλεως οὖσα γυναικείου ἐκ τῆς ὑπόπτου ἐπιμελείας ἀνηξιοπάθει, παντὸς οὑτινοσοῦν ἀξιοῦσα μᾶλλον ἢ τῆς παρρησίας στερομένη τιμῆς εὐπρεπείᾳ μετὰ δουλείας καὶ φόβου καταζῆν. Ἔπεμπεν οὖν παρὰ τὴν Κλεοπάτραν ἐν οἷς εἴη συνεχῶς ὀδυρομένη, καὶ παρακαλοῦσα προσβοηθεῖν αὐτῇ κατὰ δύναμιν. Ἡ δὲ λαθοῦσαν ἐκέλευσεν ἐπ' Αἰγύπτου σὺν τῷ παιδὶ πρὸς αὐτὴν ἀποδιδράσκειν. Ἐδόκει τε ταῦτα καὶ τεχνάζεται τοιάδε. Δύο λάρνακας ὡς εἰς ἐκκομιδὴν νεκρῶν παρασκευασαμένη, ταύταις αὐτὴν καὶ

volebat, consulto et cogitato diceret, ut mulieres et amicos qui aderant falleret, Alexandra vehementer affecta tum gaudio ex iis quæ non exspectaverat tum metu ne suspecta foret, cum lacrimis pro se verba faciebat, dicens se de sacerdotio quidem præ ignominia magnopere laborasse, de regno vero nequaquam cogitasse, neque, si ad se delatum foret, illud velle accipere, ut quæ nunc satis honoris habeat, quod ille principatum teneat, et abunde securitatis familiæ, quod is magis quam alii ad imperandum a natura factus sit; atque nunc quidem sibi gratum esse honorem in filium collatum, se vero ad omnia posthac obedientem fore, veniamque petere si quid propter generis necessitudinem suique nimiam fiduciam rei indignitate commota inconsultius fecisset. Post hoc colloquium majori etiam cum studio quam antea, fide invicem data, in gratiam redierunt, omni ut videbatur suspicione sublata.

CAP. III.

Igitur Herodes Ananelum pontificatu protinus abdicavit, qui non erat, ut prius retulimus, ex indigenis, sed ab Judæis oriundus ultra Euphratem in coloniam deductis. Nam multa hujusce populi millia circa Babylonem habitatum deportata erant: e quibus erat Ananelus, generis pontificii, quem Herodes jam diu sibi consuetudine devinctum tenebat. Hunc ille quidem honoravit quum regnum adeptus est, ipse vero honorem ei abrogavit, ut domesticas turbas sedaret, contra leges factens. Haud enim aliter quispiam honore isto privatus fuit, ubi semel eum acceperat: sed primus quidem Antiochus Epiphanes eam legem violavit, abdicato Jesu et fratre ejus Onia substituto; secundus vero Aristobulus Hyrcanum fratrem summovit; tertius autem Herodes principatum Aristobulo puero reddidit.

2. Et tunc quidem sibi visus est malis domesticis remedium adhibuisse. Neque tamen, ut par fuit, post gratiam reconciliatam a suspicione vacuus erat, Alexandram tum ex præteritis conatibus cur vereretur sibi justam causam esse arbitratus, tum si res novas moliendi occasionem nacta sit. Itaque jussit eam in regia degere, neque quicquam per potestatem facere; quin et custodes eam ita observarunt, ut nihil præter quotidianam vivendi consuetudinem agere posset quod non resciscerctur. Hæc omnia eam paulatim exacerbabant, odiumque succrescebat. Quum enim superbia muliebri esset inflata, curam suspiciosam sibi adhibitam indigne ferebat, malens quidvis potius pati quam ut libertate privata honoris specie in servitute et formidine vitam ageret. Mittebat igitur ad Cleopatram, de rebus suis continenter conquerendo, et illam ut sibi pro viribus subveniret orando. Illa vero jussit ut clanculum cum puero ad se perfugeret in Ægyptum. Id quod ei facere visum est, et artem hujusmodi comminiscitur. Comparatis tanquam ad efferendos mortuos duabus arcis, in

τὸν υἱὸν ἐνέβαλεν, ἐπιτάξασα τῶν οἰκετῶν τοῖς συνειδόσι διὰ νυκτὸς ἐκφέρειν. Ἦν δὲ τοὐντεῦθεν ἐπὶ θάλατταν ὁδὸς αὐτοῖς, καὶ πλοῖον ᾧ διαπλεύσειν εἰς τὴν Αἴγυπτον ἔμελλον παρεσκευασμένον. Ταῦτα Σαββίωνι τῶν ἐκείνης φίλων Αἴσωπος οἰκέτης αὐτῆς ἀπαγγέλλει προσπεσών, ὡς εἰδότι φράσας. Πυθόμενος δὲ Σαββίων (καὶ γὰρ ἦν ἐχθρὸς Ἡρώδου πρότερον, ὅτι τῶν ἐπιβουλευσάντων Ἀντιπάτρῳ κατὰ τὴν φαρμακείαν εἷς ἐνομίζετο) τὸ μῖσος ὑπαλλάξεσθαι τῇ περὶ τὴν μήνυσιν εὐνοίᾳ προσεδόκησε. Καὶ καταλέγει τῷ βασιλεῖ τὴν τῆς Ἀλεξάνδρας ἐπιβουλήν. Ὁ δὲ τὴν μὲν ἕως τῆς ἐγχειρήσεως ἐάσας προελθεῖν ἐπ' αὐτοφώρῳ τοῦ ὁρασμοῦ συνέλαβε, παρῆκε δὲ τὴν ἁμαρτίαν, χαλεπὸν μὲν οὐδέν, εἰ καὶ σφόδρα βουλομένῳ ἦν αὐτῷ, διαθεῖναι τολμήσας, (οὐ γὰρ ἀνασχέσθαι Κλεοπάτραν αἰτίαν ἐπὶ τῷ πρὸς αὐτὸν μίσει λαβοῦσαν,) ἐμφαίνων δὲ μεγαλοψυχίαν μᾶλλον ἐξ ἐπιεικείας αὐτοῖς συνεγνωκέναι, προὔκειτο μέντοι παντάπασιν αὐτῷ τὸ μειράκιον ἐκποδὼν ποιεῖσθαι· τὸ δὲ μὴ ταχὺ μηδ' ἅμα τοῖς πεπραγμένοις ἐδόκει πιθανώτερον εἰς τὸ λανθάνειν.

γ'. Καὶ τῆς σκηνοπηγίας ἐνστάσης,) ἑορτὴ δ' ἐστὶν αὕτη παρ' ἡμῖν εἰς τὰ μάλιστα τηρουμένη,) ταύτας τὰς ἡμέρας ὑπερεβάλλετο, καὶ πρὸς εὐφροσύναις αὐτός τε καὶ τὸ λοιπὸν πλῆθος ἦν. Ἐκίνησε δ' αὐτὸν ὅμως κἀκ τῶν τοιούτων ἐπισπεῦσαι τὰ περὶ τὴν προαίρεσιν ἐμφανῶς παροξύνων ὁ φθόνος. Τὸ γὰρ μειράκιον Ἀριστόβουλος, ἕβδομον ἐπὶ τοῖς δέκα γεγονὼς ἔτος, ἐπειδὴ κατὰ νόμον ἀνῆλθεν ἐπὶ τὸν βωμὸν συντελέσων τὰ θύματα, τόν τε κόσμον ἔχων τὸν τῶν ἀρχιερέων καὶ τὰ πρὸς τὴν θρησκείαν ἐκτελῶν, κάλλει τε κάλλιστος καὶ μεγέθει πλέον ἢ πρὸς τὴν ἡλικίαν ὑπεράγων, τοῦ γε μὴν περὶ τὸ γένος ἀξιώματος πλεῖστον ἐν τῇ μορφῇ διαφαίνων, ὁρμή τε τῷ πλήθει πρὸς αὐτὸν εὐνοίας ἐγένετο καὶ τῶν Ἀριστοβούλῳ τῷ πάππῳ πεπραγμένων ἐναργὴς ἡ μνήμη παρέστη. Νικώμενοί τε κατὰ μικρὸν ἐξηλέγχοντο τὰς διαθέσεις, χαίροντες ὁμοῦ καὶ συγχεόμενοι, καὶ φωνὰς εὐφήμους εἰς αὐτὸν ἀφιέντες εὐχαῖς μεμιγμένας, ὡς ἐμφανῆ γενέσθαι τὴν εὔνοιαν τῶν ὄχλων, καὶ προπετεστέραν ἐν βασιλείᾳ δοκεῖν τὴν ὧν εὖ πεπόνθεσαν ὁμολογίαν. Ἐπὶ τούτοις πᾶσιν Ἡρώδης ἔγνω τὴν προαίρεσιν ἣν εἶχεν εἰς τὸ μειράκιον ἐξεργάσασθαι. Καὶ τῆς ἑορτῆς παρελθούσης, εἱστιᾶτο μὲν ἐν Ἰεριχοῦντι, δεχομένης αὐτοὺς τῆς Ἀλεξάνδρας, φιλοφρονούμενος δὲ τὸ μειράκιον καὶ προάγων εἰς ἀδεᾶ τόπον, ἕτοιμος ἦν συμπαίζειν καὶ νεανιεύεσθαι κεχαρισμένως ἐκείνῳ. Τοῦ δὲ περὶ τὸν τόπον ἰδιώματος θερινωτέρου τυγχάνοντος, συνειλεγμένοι τάχιον ἐξῆλθον ἀλύοντες, καὶ ταῖς κολυμβήθραις ἐπιστάντες, αἳ μεγάλαι περὶ τὴν αὐλὴν ἐτύγχανον, ἀνέψυχον τὸ θερμότατον τῆς μεσημβρίας. Καὶ πρῶτον μὲν ἐώρων τοὺς νέοντας τῶν οἰκετῶν καὶ φίλων, ἔπειτα προαχθέντος καὶ τοῦ μειρακίου τῷ καὶ τὸν Ἡρώδην παροξῦναι, τῶν φίλων οἷς ταῦτα ἐπιτέτακτο σκότους ἐπισχόντος, βαροῦντες ἀεὶ καὶ βα-

has se ipsam et filium imposuit, postquam famulis consciis imperaverat ut se noctu efferrent. Erat autem inde iter eis ad mare, navisque parata qua in Ægyptum navigaturi erant. Sed ejus famulus Æsopus, quum forte in Sabbionem Alexandræ amicum incidisset, quasi cum conscio loqueretur, rem enunciat. Quo cognito Sabbion (qui prius Herodi invisus erat, quod unus eorum esse putabatur qui Antipatro venenum porrexissent) speravit hujus indicii benevolentia sese odio regis liberaturum. Regi itaque Alexandræ consilium narrat. Ille vero passus eam usque ad rei aggressionem procedere, quum jam in eo esset ut fugeret, eam deprehendit Delictum tamen ei condonavit, nihil duri, quamvis libenter in eam animadversurus esset, statuere ausus; (non enim Cleopatram propter suum in eum odium laturam putabat ut illa accusaretur;) quin ea animi magnitudine videri voluit, ut eis clementia ignovisse putaretur: sed omnino adolescentem e medio tollere ei propositum erat; verum ut probabilius latere posset, non statim id, neque mox post illa quæ perpetraverant, faciendum videbatur.

3. Quumque jam instaret umbraculorum festum, quod apud nos maxima cum solennitate servatur, eos dies præteriit, atque voluptati una cum populo sese dedidit: quæ tamen res in causa fuit ut eum invidia manifeste ad id quod statuerat celerius exsequendum incitarit. Nam adolescens Aristobulus, annos septemdecim natus, quum ad aram ex lege sacra facturus ascendisset, et vestitu pontificio indutus, et religionis ceremonias rite peragens, tam pulcritudine quam magnitudine ætatem antecellens, neque non in forma plurimam generis sui nobilitatem ostendens, tum multitudo et impetu quodam mentis et voluntate in eum ferebatur, eisque non obscure avi ejus Aristobuli facta in memoriam redierunt. Victique paulatim quo erant in ipsum animo palam faciebant, gaudentes simul et mœrentes faustisque acclamationibus preces miscentes, adeo ut populi in ipsum benevolentia facile perspiceretur, et plus justo in regno viderentur beneficiorum acceptorum testificationi studere. His omnibus de causis decrevit Herodes quod instituerat adversus adolescentem perficere. Itaque festis transactis, quum Hierichunte epularetur ipsos excipiente Alexandra, id agebat ut blanditiis adhibitis in locum securum adolescentem proliceret. Quo facto ita se comparabat, ut simul cum eo luderet et juvenili licentia uteretur ad eum delectandum. Quum autem loci natura paulo æstuosior esset, congregati cito exierunt præ languore, et piscinis adstantes, quæ satis magnæ aulam circumfluebant, plagæ meridionalis calorem maximum refrigerabant. Ac primum spectabant quosdam e servulis et amicis natantes: deinde postquam provocante Herode adolescens quoque eis se miscuisset, amici *Herodis*, quibus id negotii mandatum, quum jam tenebræ essent, per lusio-

πτίζοντες ὡς ἐν παιδιᾷ νηχόμενον οὐκ ἀνῆκαν ἕως καὶ παντάπασιν ἀποπνίξαι. Καὶ διεφθάρη μὲν οὕτως Ἀριστόβουλος, ὀκτωκαίδεκα μὲν τὰ πάντα βιοὺς ἔτη, τὴν δ' ἀρχιερωσύνην κατασχὼν ἐνιαυτὸν, ἣν Ἀνάνηλος ἐκομίσατο πάλιν.

δ'. Ἐξαγγελθέντος δὲ τοῦ πάθους ταῖς γυναιξὶν, εὐθὺς μὲν ἐκ μεταβολῆς θρῆνος ἦν ἐπὶ προκειμένῳ τῷ νεκρῷ καὶ πένθος ἄσχετον, ἥ τε πόλις τοῦ λόγου διαδοθέντος ὑπερήλγει, πάσης ἑστίας οἰκειουμένης τὴν συμφορὰν ὡς οὐκ ἐπ' ἀλλοτρίῳ γενομένην. Ἀλεξάνδρα δὲ καὶ μᾶλλον ἐκπαθὴς ἦν συνέσει τῆς ἀπωλείας, τὸ μὲν ἀλγοῦν ἐκ τοῦ γινώσκειν ὅπως ἐπράχθη πλεῖον ἔχουσα, τὸ δὲ καρτερεῖν ἀναγκαῖον ἐπὶ μείζονος κακοῦ προσδοκίᾳ ποιουμένη. Καὶ πολλάκις μὲν ἦλθεν αὐτοχειρίᾳ περιγράψασθαι βίον, ἐπέστησε δ' ὅμως, εἰ δύναιτο ζῶσα προσαρκέσαι τῷ κατ' ἐπιβουλὴν ἀνόμως διεφθαρμένῳ, τό τε πλέον ἐντεῦθεν αὐτῇ παρεκράτει τὸν βίον, καὶ τὸ μηδεμίαν ὑποψίαν ἐνδοῦναι τοῦ κατὰ πρόνοιαν ἀπολέσθαι τὸν υἱὸν ἱκανὸν εἰς εὐκαιρίαν ἀμύνης ἐνόμιζε. Κἀκείνη μὲν ἐγκρατῶς ἔφερε τὴν ὑποψίαν· Ἡρῴδης δὲ πᾶσι τοῖς ἔξωθεν πιθανῶς ἐπεσκευάζετο μὴ μετὰ προνοίας γενέσθαι τῷ παιδὶ τὸν θάνατον, οὐχ ὅσα πρὸς πένθος ἐπιτηδεύων μόνον, ἀλλὰ καὶ δάκρυσι χρώμενος καὶ σύγχυσιν τῆς ψυχῆς ἐμφαίνων ἀληθινὴν, τάχα μὲν καὶ τοῦ πάθους ἀπονικῶντος αὐτὸν, ἐν ὄψει τῆς τε ὥρας καὶ τοῦ κάλλους, εἰ καὶ πρὸς ἀσφάλειαν ὁ θάνατος τοῦ παιδὸς ἐνομίζετο, δῆλον δ' ὡς ἀπολογίαν αὐτὰ πραγματευόμενος. Τά γε μὴν εἰς τὴν πολυτέλειαν τῆς ἐκφορᾶς καὶ μᾶλλον ὑπερεδείξατο, πολλὴν μὲν τὴν παρασκευὴν περί τε τὰς θήκας καὶ τὸ πλῆθος τῶν θυμιαμάτων ποιησάμενος, πολὺν δὲ συγκαταθάπτων κόσμον, ὡς ἐκπλῆξαι. τὸ λυπηρὸν τῆς ἐν ταῖς γυναιξὶν ἀλγηδόνος καὶ παραμυθήσασθαι τούτῳ τῷ μέρει.

(Δ'.) ε'. Τὴν δ' Ἀλεξάνδραν ἥττησε μὲν οὐδὲν τῶν τοιούτων, ἀεὶ δὲ καὶ μᾶλλον ἡ μνήμη τοῦ κακοῦ παρέχουσα τὴν ὀδύνην ὀδυρτικὴν ἐποίει καὶ φιλόνεικον· καὶ γράφει τὴν ἐπιβουλὴν Ἡρῴδου τῇ Κλεοπάτρᾳ καὶ τὴν ἀπώλειαν τοῦ παιδός. Ἡ δὲ καὶ πάλαι σπεύδουσα προσαρκέσαι δεομένῃ καὶ τὰς ἀτυχίας οἰκτείρουσα τῆς Ἀλεξάνδρας, αὐτῆς ἐποιεῖτο τὸ πᾶν πρᾶγμα, καὶ Ἀντώνιον οὐκ ἀνίει τίσασθαι τὸν φόνον τοῦ παιδὸς παροξύνουσα· οὐ γὰρ ἄξιον Ἡρῴδην, δι' αὐτοῦ καταστάντα βασιλέα τῆς οὐδὲν προσηκούσης ἀρχῆς, εἰς τοὺς ὄντως βασιλεῖς τοιαύτας ἐπιδείκνυσθαι παρανομίας. Τούτοις ἀναπειθόμενος Ἀντώνιος, ὡς ἐπὶ Λαοδικείας ἐστάλη, πέμπει κελεύων Ἡρῴδην ἐλθόντα τῶν εἰς Ἀριστόβουλον ἀπολύσασθαι· πεπρᾶχθαι γὰρ οὐκ ὀρθῶς τὴν ἐπιβουλὴν, εἰ δι' αὐτοῦ γέγονεν. Ὁ δὲ τήν τε αἰτίαν δεδοικὼς καὶ τὴν Κλεοπάτρας δυσμένειαν, ὡς οὐκ ἀνῆκεν ἐξεργαζομένη κακοήθως αὐτῷ τὸν Ἀντώνιον ἔχειν, ἔγνω μὲν ὑπακούειν· (οὐδὲ γὰρ ἄλλο τι πράττειν ἐνῆν·) καταλιπὼν δὲ τὸν θεῖον αὐτοῦ Ἰώσηπον ἐπίτροπον τῆς ἀρχῆς καὶ τῶν ἐκεῖ πραγμάτων ἐνεnis speciem deprimere et mergere natantem non prius destiterunt quam eum plane suffocassent. Atque ita quidem exstinctus est Aristobulus, quum annos in universum octodecim vixisset, et pontificatum anno uno tenuisset, quem Ananelus iterum suscepit.

4. Quum autem id quod accidisset mulieribus nunciatum esset, statim quidem ex mutatione fletus fiebat et luctus continuus super mortuo ante oculos jacente, totaque urbs sparso rumore graviter dolebat, unaquaque domo calamitatem tanquam propriam et non alienam deflente. Sed inprimis Alexandra, ubi filii interitum rescivit, vehementer affecta est, majorem etiam dolorem capiens, cognito quo modo res perpetrata erat, ceterum necesse habens omnia patienter ferre, mali gravioris metu. Et sæpe quidem eo ventum est ut sibi manus afferendo vitam finiret, tamen se cohibuit si forte vivendo posset opis aliquid conferre ad ultionem ejus qui per insidias injuste peremptus erat, propterea magis vitam retinebat : ac, dissimulando se scire filium de industria necatum fuisse, existimabat hoc sibi satis esse ut aliquando factum ulcisci posset. Et illa quidem se reprimebat, ne eum suspicaretur; Herodes vero omnibus qui foris essent fidem facere curabat, necem pueri haud data opera illatam fuisse, non solum id agendo ut nihil ad luctus deesset, verum etiam lacrimas emittendo, et se ex animo vereque lugere ostendendo : ac fortasse a dolore victus fuerit ad conspectum exstincti in flore ætatis et pulcritudinis, tametsi arbitraretur pueri mortem sibi in securitatem cedere : sed perspicuum erat ista ab eo facta esse, ut semet expurgaret. Atqui præcipue in funeris magnificentia modum excessit, multa quidem cura adhibita tam in conditorio apparando quam in magna aromatum vi congerenda, plurimisque cum eo sepultis ornamentis; adeo ut mulieribus excusserit mœstitiam et dolorem, atque hac parte solamen eis præbuerit.

(IV.) 5. At hujusmodi nihil vincere et lenire quidem potuit Alexandram, sed in dies magis magisque malorum memoria, dolorem redintegrans, querulam faciebat et pervicacem : atque adeo per literas Cleopatræ significat Herodis insidias filiique interitum. Illa vero, quæ jam pridem Alexandræ precibus satisfacere cuperet ejusque vicem doleret, eam rem pro sua habebat, et Antonium ad pueri necem ulciscendam impellere non desinit : haud enim æquum esse ut Herodes, qui opera ejus regnum ad se nihil pertinens adeptus esset, ejusmodi scelera committeret in veros reges. His adductus Antonius, ubi Laodiceam venit, ad Herodem mittit ut ad causam super Aristobulo dicendam veniat : insidias enim, si ab ipso factæ fuerint, haud recte adhibitas. Ille vero crimen et Cleopatræ simultatem veritus, quæ Antonium in se incitare non intermitteret, statuit obtemperare; (nec enim aliud facere licebat;) mandataque Josepho avunculo suo principatus et rerum procura-

τείλατο λεληθότως, εἰ πάθοι τι παρ' Ἀντωνίῳ, παραχρῆμα καὶ τὴν Μαριάμμην ἀνελεῖν· αὐτόν τε γὰρ ἔχειν φιλοστόργως πρὸς τὴν γυναῖκα καὶ δεδοικέναι τὴν ὕβριν, εἰ καὶ τεθνηκότος ἐκείνη κατ' εὐμορφίαν ἄλλῳ τινὶ σπουδάζοιτο. Τὸ δὲ σύμπαν ἐνέφαινεν ὁρμὴν Ἀντωνίου περὶ τὴν ἄνθρωπον, ὅτι καὶ πάλαι παρακηκοὼς ὑπὲρ τῆς εὐμορφίας ἐτύγχανεν. Ἡρώδης μὲν οὖν ἐπιστείλας ταῦτα, καὶ τὰς ἐλπίδας οὐκ ἀσφαλεῖς ἔχων ὑπὲρ τῶν ὅλων, ἀπῄει πρὸς Ἀντώνιον.

ς'. Ὁ δὲ Ἰώσηπος ἐπὶ τῆς διοικήσεως ὢν τῶν ἐν τῇ βασιλείᾳ πραγμάτων, καὶ διὰ τοῦτο συνεχῶς ἐντυγχάνων τῇ Μαριάμμῃ, περί τε πραγματείας καὶ τιμῆς ἕνεκεν, ἣν ἔδει βασιλευούσῃ παρ' αὐτοῦ γίνεσθαι, καθίει εἰς συνεχεῖς ὁμιλίας ὑπὲρ τῆς Ἡρώδου πρὸς αὐτὴν εὐνοίας καὶ φιλοστοργίας. Ἐξειρωνευομένων δὲ γυναικείως τοὺς λόγους, καὶ μάλιστα τῆς Ἀλεξάνδρας, ὑπερεσπουδακὼς ὁ Ἰώσηπος ἐπιδεῖξαι τὴν διάνοιαν τοῦ βασιλέως, προήχθη καὶ τὰ περὶ τὴν ἐντολὴν εἰπεῖν, πίστιν αὐτὰ ποιούμενος ὡς οὔτε χωρὶς ἐκείνης ζῆν δύναται κἂν εἰ πάσχοι τι δεινὸν οὐκ ἀξιοῦντος οὐδὲ θανάτῳ διαζευχθῆναι. Ταῦτα μὲν ὁ Ἰώσηπος· αἱ δὲ γυναῖκες, ὡς εἰκός, οὐ τὸ φιλόστοργον τῆς περὶ τὸν Ἡρώδην διαθέσεως, τὸ δὲ χαλεπὸν, εἰ μηδ' ἀποθνήσκοντος ὑστερήσειαν ἀπωλείας καὶ θανάτου τυραννικοῦ, προσλαμβάνουσαι, χαλεπὴν τὴν ὑπόνοιαν τοῦ ῥηθέντος εἶχον.

ζ'. Ἐν δὲ τούτῳ καὶ λόγος ἐγένετο κατὰ τὴν πόλιν τῶν Ἱεροσολυμιτῶν παρὰ τῶν ἐν ἔχθει τὸν Ἡρώδην ἐχόντων, ὡς Ἀντώνιος αἰκισάμενος αὐτὸν ἀποκτείνειεν. Ἡ δὲ φήμη πάντας μὲν ἐτάραξεν, ὡς εἰκὸς, τοὺς περὶ τὸ βασίλειον, μάλιστα δὲ τὰς γυναῖκας. Ἀλεξάνδρα δὲ καὶ τὸν Ἰώσηπον ἀναπείθει τῶν βασιλείων ἐξελθόντα σὺν αὐταῖς προσφυγεῖν τοῖς σημείοις τοῦ Ῥωμαϊκοῦ τάγματος, ὃ τότε περὶ τὴν πόλιν ἐπὶ φρουρᾷ τῆς βασιλείας ἐστρατοπέδευεν, ἡγουμένου Ἰουλίου. Διὰ γὰρ τοῦτο πρῶτον μὲν, εἰ καί τις ἀπαντήσειεν ταραχὴ περὶ τὴν αὐλὴν, ἐν ἀσφαλεστέρῳ διάξειν αὐτοὶ Ῥωμαίους εὐμενεῖς ἔχοντες· ἔπειτα καὶ τεύξεσθαι παντὸς ἠλπικέναι, τὴν Μαριάμμην Ἀντωνίου θεασαμένου, δι' οὗ καὶ τὴν ἀρχὴν ἀναλήψεσθαι, καὶ μηδενὸς ὑστερήσειν ὧν εἰκὸς τοῖς ἐν εὐγενείᾳ βασιλικῇ γεγονόσιν.

η'. Ἐπὶ τούτων δὲ τῶν λογισμῶν τετυχηκόσιν αὐτοῖς γράμματα παρ' Ἡρώδου περὶ τῶν ὅλων ἀφίκετο, τῆς φήμης ἐναντία καὶ τῶν προληφθέντων. Ἐπειδὴ γὰρ ἐγένετο παρ' Ἀντωνίῳ, ταχὺ μὲν αὐτὸν ἀνεκτήσατο τοῖς δώροις, ἃ φέρων ἦκεν ἐκ τῶν Ἱεροσολύμων, ταχὺ δὲ ταῖς ὁμιλίαις παρεστήσατο μὴ χαλεπῶς ἔχειν εἰς αὐτὸν, οἵ τε τῆς Κλεοπάτρας λόγοι πρὸς τὴν ἐξ ἐκείνων θεραπείαν ἧττον ἐδυνήθησαν. Οὐ γὰρ ἔφη καλῶς ἔχειν Ἀντώνιος βασιλέα περὶ τῶν κατὰ τὴν ἀρχὴν γεγενημένων εὐθύνας ἀπαιτεῖν, οὕτω γὰρ ἂν οὐδὲ βασιλεὺς εἴη, δόντας δὲ τὴν τιμὴν καὶ τῆς ἐξουσίας καταξιώσαντας, ἐᾶν αὐτῇ χρῆσθαι. Τὸ δ' αὐτὸ καὶ τῇ

tione, ei arcane præcepit ut, si quid ipse ab Antonio passus esset, protinus Mariamnen necaret : ipsum enim mulieris amore devinctum esse et contumeliam timere, si se mortuo illam aliquis propter pulcritudinem adamaret. Summatim vero innuebat Antonii impetum quo in mulierem ferebatur, quum olim de ejus pulcritudine inaudiisset. Et Herodes quidem his præceptis cum spe de summa rerum dubia ad Antonium proficiscitur.

6. Josephus autem quum regni negotia administraret, ideoque continenter cum Mariamne colloqueretur, et quod negotia id postularent et honos quem reginæ ab ipso haberi oportuit, eo devenit ut sæpe memoraret Herodis erga ipsam benevolentiam et amorem. Quumque illæ, præsertim Alexandra, id quod diceret femineo more deriderent, Josephus monstrandi regis animi plus justo cupidus, eo provectus est etiam ut ea detegeret quæ sibi data in mandatis essent, illa in argumentum patefaciens, quod nec sine ea vivere posset, neque si quid gravius pateretur ab ea disjungi vellet. Hæc quidem Josephus : mulieres vero, ut verisimile erat, non ad vehementiam amoris quo tenebatur Herodes, sed ad atrocitatem animum advertentes, ac quasi vel mortuo illo ipsis pereundum esset et tyranni crudelitate morieudum, ex dictis ad gravissima quæque suspicanda adductæ sunt.

7. Interea rumor per urbem Hierosolymitarum sparsus erat ab Herodis inimicis, illum cruciatu et morte ab Antonio affectum esse. Qua ex fama, ut par fuit, tota regia perturbata est, præsertim feminæ. Itaque persuasit Alexandra Josepho ut ex regia egressus sese una cum ipsis sub legionis Romanæ signa reciperet, quæ tum ad urbem regni tuendi gratia Julio duce castra habebat. Sic enim primum, si quis in aula tumultus oriretur, ipsos tutius acturos, quum in Romanorum sint benevolentia : deinde sibi spem factam esse omnia se consequuturam si Mariamnen vidisset Antonius, per eumque principatum recuperaturos, et nulla re carituros quæ in nobilitate regia educatis digna foret.

8. Quum autem hac de re sermonem instituissent, veniunt ab Herode de toto negotio literæ, rumori et conceptæ opinioni plane contrariæ. Ut enim venerat ad Antonium, eum statim donis, quæ Hierosolymis apportaverat, sibi conciliavit : ac statim ut cum eo colloquutus est, effecit ut ei ne succenseret quidem aut irasceretur; atque Cleopatræ verba parum valebant adversus ea quibus benevolentiam ejus demerebatur. Negabat enim Antonius decere a rege rationem eorum reposci, quæ gessisset in imperio; ita enim ne regem quidem eum fore; atque par esse ut qui honorem ei dederint et potestatem tribuerint, ea uti sinant. Idem etiam Cleopa-

Κλεοπάτρᾳ μὴ πολυπραγμονεῖσθαι περὶ τὰς ἀρχὰς ἔλεγε συμφέρειν. Ὑπὲρ τούτων ἔγραφεν Ἡρώδης, καὶ τὰς ἄλλας διεξῆει τιμὰς ἃς ἔχοι παρ' Ἀντωνίῳ, συνθωκῶν ἐν ταῖς διαγνώσεσιν, καὶ συνεστιώμενος ἐφ' ἑκάστης ἡμέρας, καὶ τούτων ὅμως τυγχάνοι χαλεπῆς εἰς τὰς διαβολὰς αὐτῷ τῆς Κλεοπάτρας οὔσης, ἣ, πόθῳ τῆς χώρας ἐξαιτουμένη τὴν βασιλείαν αὐτῇ προσγενέσθαι, πάντα τρόπον ἐσπουδάκει ἐκποδὼν ποιεῖσθαι. Δικαίου μέντοι τυγχάνων Ἀντωνίου, μηδὲν ἔτι προσδοκᾶν δυσχερές, ἀλλὰ καὶ θᾶττον ἥξειν, βεβαιοτέραν τὴν εὔνοιαν τὴν παρ' αὐτοῦ προσειληφὼς τῇ βασιλείᾳ καὶ τοῖς πράγμασιν, καὶ τῇ Κλεοπάτρᾳ μηκέτι προσεῖναι τὴν ἐλπίδα τῆς πλεονεξίας, δόντος Ἀντωνίου ἀνθ' ὧν ἠξίου τὴν Κοίλην Συρίαν, καὶ διὰ τοῦτου παρηγορήσαντος ὁμοῦ καὶ ἀποσκευασαμένου τὰς ἐντεύξεις, ἃς ὑπὲρ τῆς Ἰουδαίας ἐποιεῖτο.

θ'. Τούτων τῶν γραμμάτων ἀπενεχθέντων ἐπαύσαντο μὲν ἐκείνης τῆς ὁρμῆς, ἣν ὡς ἀπολωλότος εἶχον καταφυγεῖν ἐπὶ τοὺς Ῥωμαίους· οὐ μὴν ἔλαθεν αὐτῶν ἡ προαίρεσις. Ἀλλ' ἐπεὶ παραπέμψας ὁ βασιλεὺς Ἀντώνιον ἐπὶ Πάρθους εἰς τὴν Ἰουδαίαν ὑπέστρεψεν, εὐθὺς μὲν ἥ τε ἀδελφὴ Σαλώμη καὶ ἡ μητὴρ αὐτῷ τὴν διάνοιαν, ἣν ἔσχον οἱ περὶ τὴν Ἀλεξάνδραν, ἀπεσήμηναν· ἡ δὲ Σαλώμη καὶ κατ' ἀνδρὸς Ἰωσήπου λόγον εἶπεν, ἐν διαβολῇ ποιοῦσα καὶ τῇ Μαριάμμῃ συγγενόμενον διατελεῖν. Ἔλεγε δὲ ταῦτα χαλεπῶς ἔχουσα πρὸς αὐτὴν ἐκ πλείονος, ὅτι κατὰ τὰς διαφορὰς φρονήματι χρωμένη μείζονι τὴν ἐκείνων ἐξωνείδιζε δυσγένειαν. Ἡρώδης δὲ θερμῶς ἀεὶ καὶ λίαν ἐρωτικῶς πρὸς τὴν Μαριάμμην ἔχων, εὐθὺς μὲν ἐξετετάραχτο, καὶ τὴν ζηλοτυπίαν οὐκ ἔφερεν, ἐπικρατούμενος δὲ τοῦ μὴ προπεπῶς τι ποιῆσαι διὰ τὴν ἔρωτα, συντόνῳ τῷ πάθει καὶ τῷ ζήλῳ παρωξυμμένος, ἰδίᾳ τὴν Μαριάμμην ἀνέκρινεν ὑπὲρ τῶν πρὸς τὸν Ἰώσηπον. Ἀπομνυμένης δ' ἐκείνης καὶ πάνθ' ὅσα μηδὲν ἁμαρτούσῃ προσῆν εἰς ἀπολογίαν καταλογιζομένης, ἀνεπείθετο κατὰ μικρὸν ὁ βασιλεὺς, καὶ μετέβαινεν ἐκ τῆς ὀργῆς ἡττώμενος τῆς περὶ τὴν γυναῖκα φιλοστοργίας, ὡς ἀπολογεῖσθαι περὶ ὧν ἔδοξεν ἀκούσας πεπιστευκέναι, καὶ περὶ τῆς κοσμιότητος αὐτῇ πολλὴν ὁμολόγει χάριν, αὐτός τε ὅπως ἔχοι στοργῆς καὶ εὐνοίας πρὸς αὐτὴν ἀνωμολόγει· καὶ τέλος, ὡς ἐν τοῖς ἐρωτικοῖς φιλεῖ, προὔπιπτον εἰς δάκρυα μετὰ πολλῆς σπουδῆς ἐμπεφυκότες ἀλλήλοις. Ἀεὶ δὲ καὶ μᾶλλον τοῦ βασιλέως πιστουμένου καὶ ἐπὶ τὴν αὐτοῦ διάθεσιν ἕλκοντος, « οὐ φιλοῦντος, εἶπεν ἡ Μαριάμμη, τὸ κατὰ τὴν ἐντολήν, εἰ πάσχοι τι χαλεπὸν ὑπ' Ἀντωνίου κἀμὲ συναπολέσθαι τὴν οὐδενὸς αἰτίαν. » Τούτου προσπεσόντος τοῦ λόγου, περιπαθήσας ὁ βασιλεὺς εὐθὺς μὲν ἐκ τῶν χειρῶν αὐτὴν ἀφῆκεν, ἑδόα δὲ καὶ τῶν αὑτοῦ τριχῶν αὐτὸς ἐδράττετο, περιφανὲς φώριον ἔχειν τῆς τοῦ Ἰωσήπου πρὸς αὐτὴν κοινωνίας λέγων· οὐ γὰρ ἂν ἐξειπεῖν ἃ κατ' ἰδίαν ἤκουσεν, μὴ μεγάλης αὐτοῖς πίστεως ἐγγεγενημένης. Οὕτω δ' ἔχων ὀλί-

trae dicebat, nequaquam convenire in factis principum esse curiosam. Hisce de rebus scripsit Herodes, necnon allos honores ei ab Antonio habitos memoravit, ut pro tribunali illi assideret, et quotidie conviviis ejus interesset, atque ista ab eo assequeretur, infensa licet atque ipsum incusante Cleopatra; quæ, regionis cupiditate petens atque contendens ut sibi regnum obveniret, modis omnibus studuerit ut ipsum e medio tolleret. Verum sibi æquum habenti Antonium nihil gravius jam exspectandum esse, sed brevi venturum, firmiore illius erga regnum resque suas fretum benevolentia, et Cleopatræ nullam amplius plus habendi spem reliquam esse; quum Antonius, vice eorum quæ postulaverat, Cœlen-Syriam ei dederit; atque adeo simul iratam lenierit feceritque ut a petitione regni Judææ desisteret.

9. His literis allatis, voluntas illa ad Romanos se recipiendi, tanquam mortuus esset *Herodes*, statim restincta est: neque tamen non rescitum est illorum consilium. Sed postquam rex, deducto Antonio in Parthos proficiscente, in Judæam rediit, ejus soror Salome et mater ei protinus Alexandræ institutum declararunt: et insuper Salome contra maritum suum Josephum criminationem protulit, quod frequenter cum Mariamne consuetudinem habuerit. Ista autem hac de causa dicebat, quod ei jam pridem infensa erat, propterea quod inter earum contentiones illa, plus justo fastidiosa, eis ignobilitatem exprobrabat. Herodes vero, qui in Mariamnen semper ardore flagrabat amatorio, statim turbatus est, et obtrectationis impatiens erat: verum semet cohibens, ne quid propter amorem temere committeret, vehementi affectu et æmulatione incitatus, Mariamnen seorsum interrogavit de congressibus cum Josepho. Sed ea jurante, et omnia quæ insontibus inesse solent ad sui purgationem allegante, regi paulatim persuadebatur, et ira sedabatur, vincente eum conjugis amore eousque ut sese excusaret, quod iis quæ audierat credidisse videretur, ejusque modestiæ magnas gratias ageret, et singularem suum erga ipsam amorem et benevolentiam fateretur: denique, ut plerumque fit in amoribus, in lacrimas et mutuos complexus magno affectu evaserunt. Quum autem rex magis magisque ei fidem faceret, eamque ad ipsum redamandum pertraheret, « non est amantis, inquit Mariamne, in mandatis dare ut, si quid ipsi gravius accideret ab Antonio, ego una peream nihil commerita. » Hoc elapso verbo, rex percussus eam statim de manibus dimittebat, et vociferabat, atque ipse sibi capillos vellebat, manifestum se dicens indicium habere Josephi cum ea consuetudinis: nunquam enim enunciaturum fuisse quæ seorsum audiisset, nisi magna illis apud se invicem fides fuisset. Sic affectus parum abfuit quin uxorem occideret,

του μὲν ἀπέκτεινε τὴν γυναῖκα, νικώμενος δὲ τῷ πρὸς αὐτὴν ἔρωτι ταύτην μὲν τὴν ὁρμὴν ἐκράτησεν, ἑαυτοῦ διακαρτερήσας ὀδυνηρῶς καὶ δυσχερῶς· τὸν μέντοι Ἰώσηπον οὐδ' εἰς ὄψιν ἐλθόντα διαχρήσασθαι προσέταξεν, καὶ τὴν Ἀλεξάνδραν ὡς ἁπάντων παραιτίαν δήσας ἐφύλαττεν.

ΚΕΦ. Δ.

Ἐν δὲ τούτῳ καὶ τὰ περὶ τὴν Συρίαν ταραχὰς εἶχε, οὐκ ἀνιείσης τῆς Κλεοπάτρας τὸν Ἀντώνιον μὴ πᾶσιν ἐπιχειρεῖν. Ἔπειθε γὰρ ἀφαιρούμενον ἑκάστων τὰς δυναστείας αὐτῇ διδόναι, καὶ πλεῖστον ἴσχυσεν ἐκ τῆς ἐκείνου πρὸς αὐτὴν ἐπιθυμίας. Φύσει δὲ πλεονεξίᾳ χαίρουσα, παρανομίας οὐδὲν ἔλιπε, τὸν μὲν ἀδελφὸν, ᾧ τὴν βασιλείαν ᾔδει γενησομένην, προανελοῦσα φαρμάκοις, πεντεκαιδέκατον ἔτος ἔχοντα, τὴν δ' ἀδελφὴν Ἀρσινόην ἱκετεύουσαν ἐν Ἐφέσῳ πρὸς τῷ τῆς Ἀρτέμιδος ἱερῷ ἀποκτείνασα δι' Ἀντωνίου. Χρημάτων μὲν γὰρ ἕνεκεν, εἴ που μόνον ἐλπισθείη, καὶ ναοὶ καὶ τάφοι παρενομήθησαν, οὔθ' ἱεροῦ τινος οὕτως ἀσύλου δόξαντος ὡς μὴ περιαιρεθῆναι τὸν ἐν αὐτῷ κόσμον, οὔτε βεβήλου μὴ πᾶν ὁτιοῦν τῶν ἀπηγορευμένων παθόντος, εἰ μέλλοι μόνον εἰς εὐπορίαν τῇ τῆς ἀδικούσης πλεονεξίᾳ. Τὸ δ' ὅλον οὐδὲν αὐταρκες ἦν γυναικὶ πολυτελεῖ καὶ δουλευούσῃ ταῖς ἐπιθυμίαις, μὴ καὶ τὰ πάντα πρὸς τὴν ἐπίνοιαν ἐνδεῖν ὧν ἐσπουδάκει. Διὰ ταῦτα καὶ τὸν Ἀντώνιον ἤπειγεν ἀεὶ τὰ τῶν ἄλλων ἀφαιρούμενον αὐτῇ χαρίζεσθαι, καὶ διαβᾶσα σὺν ἐκείνῳ τὴν Συρίαν ἐπενόει κτῆμα ποιήσασθαι. Λυσανίαν μὲν οὖν τὸν Πτολεμαίου Πάρθους αἰτιασαμένη τοῖς πράγμασιν ἐπάγειν ἀποκτίννυσιν· ἤτει δὲ παρ' Ἀντωνίου τήν τε Ἰουδαίαν καὶ τὴν τῶν Ἀράβων, ἀξιοῦσα τοὺς βασιλεύοντας αὐτῶν ἀφελέσθαι. Τῷ δ' Ἀντωνίῳ τὸ μὲν ὅλον ἡττᾶσθαι συνέβαινε τῆς γυναικὸς, ὡς μὴ μόνον ἐκ τῆς ὁμιλίας, ἀλλὰ καὶ φαρμάκοις δοκεῖν ὑπακούειν εἰς ὅ τι ἂν ἐκείνη θέλῃ· τὸ μέντοι περιφανὲς τῆς ἀδικίας ἐξευσώπει μὴ μέχρι τοσούτου κατήκοον γενόμενον ἐπὶ μεγίστοις ἁμαρτάνειν. Ἵν' οὖν μήτ' ἀρνηθείη παντάπασι μήθ' ὅσα προσέταττεν ἐκείνη διαπραξάμενος ἐκ φανεροῦ δόξειε κακὸς, μέρη τῆς χώρας ἑκατέρου παρελόμενος, τούτοις αὐτὴν ἐδωρήσατο· δίδωσι δὲ καὶ τὰς ἐντὸς Ἐλευθέρου ποταμοῦ πόλεις ἄχρις Αἰγύπτου, χωρὶς Τύρου καὶ Σιδῶνος, ἐκ προγόνων εἰδὼς ἐλευθέρας, πολλὰ λιπαρούσης αὐτῆς δοθῆναι.

(Ε'.) β'. Τούτων ἡ Κλεοπάτρα τυχοῦσα, καὶ παραπέμψασα μέχρις Εὐφράτου τὸν Ἀντώνιον ἐπ' Ἀρμενίαν στρατευόμενον, ἀνέστρεψε, καὶ γίνεται μὲν ἐν Ἀπαμείᾳ καὶ Δαμασκῷ, παρῆλθε δὲ καὶ εἰς τὴν Ἰουδαίαν, Ἡρώδου συντυχόντος αὐτῇ καὶ τῆς τε Ἀραβίας τὰ δοθέντα καὶ τὰς περὶ τὴν Ἱεριχοῦντα προσόδους Ἡρώδου μισθωσαμένου. Φέρει δ' ἡ χώρα τὸ βάλσαμον, δ τιμιώτατον τῶν ἐκεῖ καὶ παρὰ μόνοις φύεται, τόν τε φοίνικα πολὺν καὶ καλόν. Ἐν τούτοις οὖσα καὶ πλείο-

Illius autem amore victus, postquam se dolenter et ægre continuisset, hunc impetum reprimebat : veruntamen Josephum, ne in conspectum quidem suum admissum, necari jussit, et Alexandram, tanquam omnium causam, in custodiam dedit.

CAP. IV.

Interea autem turbatum est in Syria, Cleopatra non desinente Antonium incitare, ut vicinos omnes adoriretur. Illi enim persuadebat ut auferens cuique suam dynastiam ipsi donaret, multumque valuit, quod is amore illius vehementer ardebat. Quumque natura esset alieni appetens, nihil utcunque injustum intentatum reliquit, ut quæ fratrem quindecim annos natum, quem sibi in regnum successurum novit, veneno pridem sustulerat; et sororem Arsinoen, Ephesi in templo Dianæ supplicem, ope Antonii interfecerat. Nam pecuniarum quidem gratia, sicubi vel minima ejus spes affulgeret, et templa et sepulcra violata erant : nec quis locus sacer adeo a violentia tutus existimatus, quem non suis ornamentis spoliarit, nec profanus qui non passus esset quodcunque fieri nefas, si modo conferret ad injustam alieni cupidinem. Ad summam nihil satis erat mulieri sumptuosæ atque cupiditatibus servienti, quominus omnia ei deesse viderentur, quorum studio teneretur. Quare et Antonium continuo sollicitabat, ut aliis ablata ipsi largiretur; atque inter obeundum cum eo Syriam, eam in possessionem suam redigere cogitabat. Et Lysaniam quidem Ptolemæi filium, ipsum criminata Parthos ad res turbandas adducere, interficit; flagitabatque ab Antonio Judæam et Arabiam, orans ut a regibus, qui eas tenerent, auferret. Confiebat autem ut Antonius omnino victus mulieri cederet, adeo ut non solum quod cum ea consuesceret, sed fascinatione quadam impelli videretur ad obtemperandum ei quousque ipsa voluerit : veruntamen manifestæ injuriæ verecundia ipsum inhibuit ne in omnibus voluntati ejus obsequendo in maximis offenderet. Ne itaque prorsus recusaret, neve quæcunque ipsa imperaret faciendo palam iniquus videretur, abstulit ab utroque eorum regionis partem, eamque Cleopatræ tribuit : eique etiam urbes eas dedit, quæ sunt intra Eleutherum flumen usque in Ægyptum, exceptis Tyro et Sidone, quod eas antiquitus liberas esse sciret, illa licet ut sibi darentur multum flagitante.

(V.) 2. Cleopatra bis impetratis, et Antonio, qui in Armeniam expeditionem faciebat, usque ad Euphratem deducto, reversa est, et Apameam Damascumque venit, et in Judæam processit, Herode ipsam conveniente, atque Arabiæ partem ei datam redimente, necnon proventum agri Hierichuntis. Regio enim illa balsamum fert, rem ejus loci pretiosissimam et nusquam alibi provenientem, itemque palmas multas easque pulcras. Ibi dum illa moratur, et cum Herode

νος αὐτῆς συνηθείας περὶ τὸν Ἡρώδην γινομένης, διεπείραζεν εἰς συνουσίαν ἐλθεῖν τῷ βασιλεῖ, φύσει μὲν ἀπαρακαλύπτως ταῖς ἐντεῦθεν ἡδοναῖς χρωμένη, τάχα δέ τι καὶ παθοῦσα πρὸς αὐτὸν ἐρωτικὸν, ἢ καὶ τὸ πιθανώτερον ἐνέδρας ἀρχὴν τὴν ἐπ' αὐτὴν γενησομένην ὕβριν ὑποκατασκευάζουσα· τὸ δὲ σύμπαν ἐξ ἐπιθυμίας ἡττᾶσθαι διέφαινεν. Ἡρώδης δὲ καὶ πάλαι μὲν οὐκ εὔνους ἦν τῇ Κλεοπάτρᾳ, χαλεπὴν εἰς ἅπαντας ἐπιστάμενος, τότε δὲ καὶ μισεῖν ἀξιῶν εἰ δι' ἀσέλγειαν εἰς τοῦτο πρόεισι, καὶ φθῆναι τιμωρούμενος, εἰ συνεδρεύουσα τοιούτοις ἐγχειροίη, τοὺς μὲν λόγους αὐτῆς διεκρούσατο, βουλὴν δὲ ἐποιήσατο σὺν τοῖς φίλοις ὑποχείριον ἔχων ἀποκτεῖναι· πολλῶν γὰρ ἀπαλλάξειν κακῶν ἅπαντας οἷς ἐγένετό τε ἤδη χαλεπὴ καὶ προσεδοκᾶτο· τὸ δ' αὐτὸ τοῦτο καὶ Ἀντωνίῳ λυσιτελήσειν, οὐδ' ἐκείνῳ πιστῆς ἐσομένης, εἴ τις αὐτὸν καιρὸν ἡ χρεία κατάσχοι τοιούτων δεησόμενον. Ταῦτα βουλευόμενον ἐκώλυον οἱ φίλοι, πρῶτον μὲν διδάσκοντες ὡς οὐκ ἄξιον μείζω πράττοντα κίνδυνον τὸν φανερώτατον ἀναλαμβάνειν, ἐγκείμενοί τε καὶ δεόμενοι μηδὲν ἐκ προπετείας ἐπιτηδεύειν· οὐ γὰρ ἀνασχέσθαι τὸν Ἀντώνιον, οὐδ' εἰ σφόδρα τις αὐτῷ τὸ συμφέρον στήσειε πρὸ τῶν ὀμμάτων· τόν τε γὰρ ἔρωτα μᾶλλον ὑπεκαύσειν τὸ δοκεῖν βίᾳ καὶ κατ' ἐπιβουλὴν αὐτὸν αὐτῆς στέρεσθαι, μέτριόν τε οὐδὲν εἰς τὴν ἀπολογίαν φανεῖσθαι, τοῦ μὲν ἐπιχειρήματος εἰς γυναῖκα γεγενημένου μέγιστον ἀξίωμα τῶν κατ' ἐκεῖνον ἐσχηκυῖαν τὸν χρόνον, τῆς δ' ὠφελείας, εἰ καὶ ταύτην τις οἰηθείη, σὺν αὐθαδείᾳ καὶ καταγνώσει τῆς ἐκείνου διαθέσεως φανουμένης. Ἐξ ὧν οὐκ ἄδηλον ὡς μεγάλων καὶ ἀπαύστων κακῶν ἀναπλησθήσεται τὰ περὶ τὴν ἀρχὴν αὐτῷ καὶ τὸ γένος, ἐξὸν ἀποκρουσάμενον τὴν ἁμαρτίαν εἰς ἣν ἐκείνη παρεκάλει, θέσθαι τὸν καιρὸν εὐσχημόνως. Τοιαῦτα δεδιττόμενοι καὶ τὸ κινδυνῶδες ἐξ εἰκότων παραδηλοῦντες, ἐπέσχον αὐτὸν τῆς ἐπιχειρήσεως· ὁ δὲ τὴν Κλεοπάτραν δωρεαῖς θεραπεύσας ἐπ' Αἰγύπτου προὔπεμψεν.

γ'. Ἀντώνιος δὲ, τὴν Ἀρμενίαν καταλαβὼν, Ἀρταβάζην τὸν Τιγράνου σὺν τοῖς παισὶ καὶ σατράπαις δέσμιον εἰς Αἴγυπτον ἀποπέμπει, δωρούμενος τούτοις τὴν Κλεοπάτραν καὶ τῷ παντὶ κόσμῳ τῆς βασιλείας ὃν ἐξ αὐτῆς ἔλαβεν. Ἀρμενίας δ' ἐβασίλευσεν Ἀρταξίας ὁ πρεσβύτατος τῶν ἐκείνου παίδων, διαδρὰς ἐν τῷ τότε. Καὶ τοῦτον Ἀρχέλαος καὶ Νέρων Καῖσαρ ἐκβαλόντες Τιγράνην τὸν νεώτερον ἀδελφὸν ἐπὶ τὴν βασιλείαν κατήγαγον. Ταῦτα μὲν οὖν ἐν ὑστέρῳ.

δ'. Περὶ δὲ τοὺς φόρους, οὓς ἔδει τελεῖν, τῆς ὑπ' Ἀντωνίου δοθείσης χώρας ὁ μὲν Ἡρώδης δίκαιος ἦν, οὐκ ἀσφαλὲς ἡγούμενος διδόναι τῇ Κλεοπάτρᾳ μίσους αἰτίαν. Ὁ δ' Ἄραψ Ἡρώδου τὴν φορὰν ἐπιδεξαμένου χρόνον μέν τινα παρεῖχεν ἐκείνῳ τὰ διακόσια τάλαντα, μετὰ ταῦτα δὲ κακοήθης ἦν καὶ βραδὺς εἰς τὰς ἀποδόσεις, καὶ μόλις εἰ καὶ μέρη τινὰ διαλύσειεν, οὐδὲ ταῦτα διδόναι δοκῶν ἀζημίως.

magnum commercium habet, tentabat cum rege rem habere, utens, ut natura ejus ferebat, inverecunde voluptatibus quæ illinc essent, et forsan etiam illius amore capta, aut, quod verisimilius, clam id agens, ut ex stupro quod ab illo passura esset, insidiarum occasionem nanciscceretur: summa autem, amore irretitam esse præ se ferebat. At Herodes, qui jam pridem parum benevolo erat in Cleopatram animo, intelligens in omnes molestam esse, insuper et tunc, si ex effrenata libidine eo devenerit, dignam judicans quam odio haberet, et anteverteret ab ipsa pœnas sumendo, si ex insidiis ad hujusmodi aliquid aggrederetur, ejus sermonem a se repulit, et cum amicis consultavit utrum eam quum posset occidere deberet: malis enim multis omnes se liberaturum esse, quibus et jam molesta fuerit ac porro futura sit; magnoque Antonii etiam commodo hoc ipsum facturum, quandoquidem nec illi se fidelem præstitura esset, si unquam opportunum et utile ei foret ut ita se gereret. Hæc agitantem prohibuerunt amici, primum quidem suggerendo, ipsi haud convenire, dum in rebus majoribus occuparetur, manifestum adire discrimen; deinde urgendo et obsecrando ne quid temere ageret: non enim laturum Antonium, licet ipsi perspicuum foret magno id ei esse emolumento: immo et amorem ipsi magis accensurum, quod vi et ex insidiis ea orbari existimaretur, nec aliquid adesse quod in commodam excusationem afferri posset, quum et mulierem adortus fuerit dignitate omnium illius ævi eminentissimam, et utilitas, si qua esse putaretur, cum audacia et amoris illius reprehensione conjuncta videatur. Ex quibus manifestum, regnum ipsius et domum malis impletum iri magnis et non desituris, quum nihil vetet quin amoliendo peccatum, ad quod ipsa eum alliciebat, opportunitate commode et decenter utatur. Talia ad eum absterrendum dicentes, et periculum ex verisimilibus repræsentantes, illius impetum conatumque cohibuerunt; adeoque ille, quum Cleopatram muneribus demulsisset, ad Ægyptum eam deduxit.

3. Antonius autem, Armenia subjugata, Artabazen Tigranis filium, cum filiis ejus et satrapis, vinctum in Ægyptum mittit; eosque dono dedit Cleopatræ, et regni etiam ornamenta omnia quæ ex eo ceperat. Armeniæ vero regno potitus est Artaxias filiorum illius natu maximus, qui tunc fuga dilapsus est. Quem quum Archelaus et Nero Cæsar ejecissent, Tigranem juniorem ipsius fratrem in regnum reducebant. Et hæc quidem postea contigerunt.

4. Quod autem ad vectigalia attinebat, *Cleopatræ* ob datam ab Antonio regionem pendenda rite solvebat Herodes; parum tutum existimans Cleopatræ causam odii dare. At Arabs, quum Herodes pecuniam ab ipso exigendam recepisset, quippe qui pro eo spopondisset, aliquamdiu ducenta illa talenta ei solvit; sed postea pravus tardusque ad pensiones factus est, et, si quam partem ægre solvebat, ne id quidem sine fraudatione faciebat.

ΚΕΦ. Ε'.

Ἡρώδης δὲ, τοῦτον τὸν τρόπον ἀγνωμονοῦντος καὶ τελευταῖον οὐδὲν ἔτι τῶν δικαίων ποιεῖν ἐθέλοντος, εἶχε μὲν ὡς ἐπελευσόμενος, προθεσμίᾳ δὲ ἐχρήσατο τῷ Ῥωμαϊκῷ πολέμῳ. Τῆς γὰρ ἐπ' Ἀκτίῳ μάχης προσδοκωμένης, ἣν ἐπὶ τῆς ἑβδόμης καὶ ὀγδοηκοστῆς πρὸς ταῖς ἑκατὸν Ὀλυμπιάδος γενέσθαι συνέβη, Καῖσαρ μὲν Ἀντωνίῳ περὶ τῶν ὅλων ἔμελλεν ἀγωνιεῖσθαι πραγμάτων, Ἡρώδης δὲ καὶ τῆς χώρας εὐβότου μενούσης αὐτῷ πολὺν ἤδη χρόναν καὶ προσόδων καὶ δυνάμεων ηὐρημένων, Ἀντωνίῳ συμμαχίαν κατέλεξεν, ἐπιμελεστάταις ταῖς παρασκευαῖς χρησάμενος. Ἀντώνιος δὲ, τῆς μὲν ἐκείνου συμμαχίας οὐδὲν ἔφη δεῖσθαι, τὸν δὲ Ἄραβα (καὶ γὰρ ἠκηκόει παρά τε αὐτοῦ καὶ τῆς Κλεοπάτρας τὴν ἀπιστίαν) ἐπεξελθεῖν προσέταττε. Ἦξίου γὰρ ἡ Κλεοπάτρα ταῦτα, λυσιτελεῖν αὐτῇ τὸν ἕτερον ὑπὸ θατέρου κακῶς πάσχειν ἡγουμένη. Τούτων αὐτῷ παρ' Ἀντωνίου λεχθέντων, ὑποστρέψας Ἡρώδης συνεῖχε τὸ στρατιωτικὸν, ὡς εὐθὺς εἰς τὴν Ἀραβίαν ἐμβαλῶν. Καὶ παρασκευασθέντος ἱππικοῦ καὶ πεζῆς δυνάμεως, εἰς Διόσπολιν ἀφικνεῖται τῶν Ἀράβων ἐκεῖ συναντώντων· (οὐ γὰρ ἐλελήθει τὰ περὶ τὸν πόλεμον αὐτούς·) καὶ μάχης καρτερᾶς γενομένης ἐκράτησαν οἱ Ἰουδαῖοι. Μετὰ δὲ ταῦτα πολλὴ στρατιὰ τῶν Ἀράβων εἰς Κανὰ συνῄει· χωρία δ' ἔστι ταῦτα τῆς Κοίλης Συρίας. Ἡρώδης δὲ προπεπυσμένος ἦκεν ἄγων ἐπ' αὐτοὺς τὸ πλεῖστον ἧς εἶχεν δυνάμεως· καὶ πλησιάσας ἐν Κανὰ στρατοπεδεύεσθαι διεγνώκει, χάρακά τε βάλλόμενος ἐξ εὐκαίρου ταῖς μάχαις ἐπιχειρεῖν. Ταῦτα δὲ αὐτοῦ ἐπιτάττοντος, ἐβόα τὸ πλῆθος τῶν Ἰουδαίων παρελόμενον τῆς τριβῆς ἄγειν ἐπὶ τοὺς Ἄραβας. Ὥρμητο δὲ καὶ τῷ συντετάχθαι πιστεύειν καλῶς, καὶ ταῖς προθυμίαις ἄμεινον ἐχόντων ὅσοι τὴν πρώτην νενικήκεσαν, οὐδ' εἰς χεῖρας ἐλθεῖν ἐπιτρέψαντες τοῖς πολεμίοις. Θορυβούντων οὖν καὶ πᾶσαν ἐπιδεικνυμένων σπουδὴν, ἔγνω τῇ προθυμίᾳ τοῦ πλήθους ὁ βασιλεὺς ἀποχρήσασθαι, καὶ προεἰπὼν ὡς οὐ λελείψεται τῆς ἐκείνων ἀρετῆς, πρῶτος αὐτὸς ἐν τοῖς ὅπλοις ἡγήσατο, πάντων κατ' οἰκεῖα τέλη συνακολουθησάντων. Ἔκπληξις δὲ εὐθὺς ἐμπίπτει τοῖς Ἄραψιν· ἀντιστάντες γὰρ εἰς ὀλίγον, ὡς ἑώρων ἀμάχους ὄντας καὶ μεστοὺς φρονήματος, ἔφυγον οἱ πλείους ἐκκλίναντες, κἂν διεφθάρησαν, μὴ Ἀθηνίωνος κακώσαντος Ἡρώδην καὶ τοὺς Ἰουδαίους. Οὗτος γὰρ ὢν στρατηγὸς μὲν Κλεοπάτρας ἐπὶ τῶν ἐκεῖ, διάφορος δὲ Ἡρώδῃ, τὸ μέλλον οὐκ ἀπαρασκεύως ἐσκόπει, δρασάντων μέν τι λαμπρὸν τῶν Ἀράβων ἐγνωκὼς ἡσυχίαν ἄγειν, ἡττωμένων δὲ, ὃ καὶ συνέβη, τοῖς ἀπὸ τῆς χώρας συνελθοῦσι τῶν οἰκείων παρεσκευασμένος ἐπιτίθεσθαι τοῖς Ἰουδαίοις. Καὶ τότε κεκμηκόσι τε καὶ νικᾶν οἰομένοις ἀπροσδοκήτως ἐπιπεσὼν πολὺν ἐποίει φόνον. Τάς τε γὰρ προθυμίας εἰς τοὺς ὁμολογουμένους ἐχθροὺς ἐκδαπανήσαντες Ἰουδαῖοι, καὶ τῷ νικᾶν ἐπ' ἀδείας χρώμενοι, ταχὺ

CAP. V. (VI.)

Herodes autem, quum improbe et inique ageret, tandemque officio aliquo fungi nollet justo et debito, in eo erat ut armis illum persequeretur, sed rem distulit ob bellum inter Romanos ortum. Quum enim exspectaretur pugna Actiaca, quæ in centesimam et octogesimam septimam Olympiadem incidit, Cæsar quidem cum Antonio de summa rerum decertaturus erat: Herodes vero, qui regionem probe cultam jamdiu teneret, et reditus atque opes quæsivisset, delectum habuit, apparatu accuratissimo, ut Antonio ferret auxilium. Verum Antonius ejus se subsidio egere negavit, eique mandavit ut Arabem (cujus perfidiam tum ab ipso Herode tum a Cleopatra audiverat) adoriretur. Hoc enim volebat Cleopatra, ut quæ existimaret e re sua esse, ut alter alterum laederent. Quum hæc ei relata fuissent ab Antonio, reversus Herodes exercitum retinuit, ut qui mox invasurus esset Arabiam. Quumque equestres pedestresque copias parasset, ad Diospolim pervenit, eo Arabibus illi obviam venientibus; (non enim eos latuit hæc expeditio;) magnoque commisso prælio, Judæi victores evaserunt. Postea vero convenit ingens Arabum exercitus ad Cana, locum in Cœle-Syria. Qua re cognita, Herodes duxit in eos maximam suarum virium partem: atque ubi ad Cana appropinquavit, statuerat castra facere, eaque fossa valloque munire, ut quum opportunum esset prælia faceret. Sed hæc eo instituente, conclamat Judæorum multitudo, ut se in Arabes nulla interposita mora ducat. Quippe incesserat eos cupiditas, quod se pulcre ordinatos credebant: et omnes qui superiorem pugnam, ne ad manus quidem hostes venire passi, vicerant, ferociores erant. Quum itaque tumultuarentur et magnum præ se ferrent animi ardorem, decrevit rex multitudinis alacritate uti, præfatusque se eorum magnanimitati non defuturum, primus ipse in armis agmen ducebat, omnibus eum ordine sequentibus. Statim autem terror Arabes invasit: quippe quum paulisper restitissent, ubi Judæos invictos animique plenos viderunt, plerique in fugam versi sunt, atque concisi fuissent, nisi Athenion Herodi et Judæis injuriam fecisset. Is enim, quum Cleopatræ nomine dux esset illius tractus, et ab Herode dissideret, quid futurum erat non imparatus attendebat, ut qui statuerat, si quid egregium Arabes gessissent, quietum se tenere, sin inferiores essent, id quod accidit, Judæos adoriri, ad hoc paratus una cum suis qui ex ea regione convenerant. Et tunc lassos et se vincere putantes aggressus de improviso, magnam eorum cædem edidit. Nam quum et animorum ferociam in hostes manifestarios effudissent Judæi, et paulo remissius victoria utere[tur],

τῶν ἐπιχειρησάντων ἡττῶντο, καὶ πολλὰς ἐλάμβανον πληγὰς ἐν χωρίοις ἀφίπποις καὶ πετρώδεσιν, ὧν πλείω τὴν ἐμπειρίαν εἶχον οἱ τὴν ἐπίθεσιν ποιησάμενοι. Κακῶς δὲ πασχόντων οἵ τε Ἄραβες ἑαυτοὺς ἀνειλήφεσαν καὶ πάλιν ὑποστρέψαντες ἔκτεινον ἤδη τετραμμένους. Ἐγένοντο δὲ παντοδαπαὶ κτιννυμένων ἀπώλειαι, καὶ τῶν διαπιπτόντων οὐ πολλοὶ συνέφευγον εἰς τὸ στρατόπεδον. Ὁ δὲ βασιλεὺς Ἡρώδης, ἀπεγνωκὼς τὰ κατὰ τὴν μάχην, ἀφιππάζεται βοήθειαν ἄξων, οὐ μὴν ἔφθη, καίπερ ἐσπουδακὼς ἐπαρκεῖν, ἀλλὰ τὸ μὲν στρατόπεδον ἦλω τῶν Ἰουδαίων, οἱ δ' Ἄραβες οὐ μετρίως κὐτυχήκεσαν ἐκ παραλόγου, νίκην τε ἧς πλεῖστον ἀπεδέησαν ἀνειληφότες καὶ πολλὴν τῶν ἐναντίων ἀφηρημένοι δύναμιν. Τοὐντεῦθεν ὁ μὲν Ἡρώδης λῃστείαις ἐχρῆτο, καὶ τὰ πολλὰ κατατρέχων τὴν τῶν Ἀράβων ἐκάκου ταῖς ἐπιδρομαῖς, στρατοπεδευόμενος ἐπὶ τῶν ὀρῶν, καὶ τὸ μὲν σύμπαν ἐξίστατο κατὰ τοὐμφανὲς εἰς χεῖρας ἐλθεῖν, οὐκ ἀζήμιος δὲ γινόμενος τῇ συνεχείᾳ καὶ τῷ φιλοπόνῳ τῶν [τε] οἰκείων ἐπεμελεῖτο παντὶ τρόπῳ τὸ πταῖσμα διορθούμενος.

(Ζ'.) β'. Ἐν τούτῳ καὶ τῆς ἐπ' Ἀκτίῳ μάχης συνεσταμένης Καίσαρι πρὸς Ἀντώνιον, ἑβδόμου ὄντος Ἡρώδῃ τῆς βασιλείας ἔτους, σεισθεῖσα ἡ γῆ τῶν Ἰουδαίων, ὡς οὐκ ἄλλοτ' ἐδόκει, τῶν ἐν τῇ χώρᾳ κτηνῶν πολλὴν φθορὰν ἐποίησεν, ἐφθάρησαν δὲ καὶ τῶν ἀνθρώπων ὑπὸ ταῖς πεπτωκυίαις οἰκίαις περὶ τρισμυρίους, τὸ μέντοι στρατιωτικὸν ἐν ὑπαίθρῳ διαιτώμενον οὐδὲν ὑπὸ τοῦ πάθους κατεβλάβη. Ταῦτα πυνθανομένοις τοῖς Ἄραψιν, καὶ μᾶλλον ἢ κατὰ ἀλήθειαν ἐξαγγελλόντων αὐτοῖς ὅσοι τοὺς ὑπὲρ τῶν γεγονότων λόγους τῷ μίσει τῶν ἀκουσομένων ἐχαρίζοντο, μεῖζον ἐπῆρε φρονεῖν, ὡς τῆς τε χώρας ἀνατετραμμένης τοῖς πολεμίοις καὶ διεφθορότων τῶν ἀνθρώπων μηδὲν ἔτι μηδ' εἰς αὐτοὺς ἀντίπαλον καταλελεῖφθαι δοκεῖν. Καὶ τῶν τε Ἰουδαίων τοὺς πρέσβεις (ἦκον γὰρ ἐπὶ τοῖς γεγενημένοις εἰρήνην ποιησόμενοι) συλλαβόντες ἀπέκτειναν, καὶ μετὰ πάσης προθυμίας ἐχώρουν ἐπὶ τὸ στρατιωτικὸν αὐτῶν. Οἱ δ' οὔτε τὴν ἔφοδον ἐξεδέξαντο καὶ πρὸς τὰς συμφορὰς ἀθύμως διακείμενοι προΐεντο τὰ πράγματα, πλεῖστον ἀπογνώσεως ἐπ' αὐτοῖς πεπονθότες· οὐ γὰρ ἦν οὔτε ἰσοτιμίας ἐλπὶς προηττημένοις ἐν ταῖς μάχαις οὔτε βοηθείας κεκακωμένοις αὐτοῖς τῶν οἴκοι πραγμάτων. Οὕτως οὖν ἐχόντων, ἐπῆγεν ὁ βασιλεὺς λόγῳ τε πείθων τοὺς ἡγεμόνας καὶ πειρώμενος ἀναλαμβάνειν αὐτῶν πεπτωκότα τὰ φρονήματα. Προδιακινήσας δὲ καὶ παραθαρρύνας τινὰς τῶν ἀμεινόνων ἐτόλμησεν ἤδη καὶ τῷ πλήθει διαλέγεσθαι, πρότερον ὀκνῶν αὐτὸ, μὴ καὶ χαλεπῷ χρήσηται διὰ τὰς ἀτυχίας. Παρεκάλει δὲ τοιούτους ποιούμενος εἰς τὸν ὄχλον τοὺς λόγους.

(Η'.) γ'. « Οὐκ ἀγνοοῦμεν, ὦ ἄνδρες, ὅτι πολλὰ περὶ « τόνδε τὸν καιρὸν γεγένηται πρὸς τὰς πράξεις ἡμῖν ἐναν- « τιώματα, καὶ θαρρεῖν εἰκὸς ἐν τοῖς τοιούτοις οὐδὲ τοὺς « πλεῖστον ἀνδραγαθίᾳ διενηνοχότας· ἀλλ' ἐπειδὴ κατε- « πείγει τὸ πολεμεῖν, καὶ τῶν γεγονότων οὐδέν ἐστι

facile cedebant iis qui eos adorti sunt, et magnam cladem accipiebant in locis petrosis et ad equitandum parum idoneis, in quibus assuetiores erant qui lacessebant. Postea quam male adeo cum iis agebatur, Arabes animos resumpserunt, et conversi eos in fugam jam versos occiderunt. Atque ita modis omnibus perempti interibant : paucique admodum elapsi in castra se recipiebant. Herodes vero, quum jam de pugna desperasset, citato equo subsidium accersit : neque tamen mature, quamvis adhibita diligentia, subvenire potuit; quin capta sunt castra Judæorum. Arabibus autem non mediocris felicitas ex insperato contigit, victoria, a qua plurimum aberant, reportata, hostiumque viribus valde attritis. Deinceps Herodes latrociniis utebatur, multisque factis excursionibus Arabiam incursibus vastabat, in montibus castra faciens, atque in universum ne aperte ad manus veniret cavebat : neque tamen non hostibus assiduitate et labore incommodabat, et suorum casum omni ratione corrigere studebat.

(VII.) 2. Interea per tempus pugnæ Actiacæ, quæ Cæsari cum Antonio fuit anno regni Herodis septimo, concussa Judææ terra, quantum nunquam antea videbatur, magnam pecorum stragem fecit per totam regionem, oppressaque sunt hominum etiam circiter triginta millia ruina domorum : sed exercitus, quod erat sub dio, in ea, quam alii passi sunt, calamitate illæsus mansit. Quæ quum Arabes fama accepissent, plura etiam quam vera essent ad illos perferentibus qui rumores de iis quæ evenerant in majus augendo Arabum odio gratificabantur, majores spiritus sumpserunt, quasi, eversa hostium terra deletisque hominibus, nihil jam superesse videretur quod ipsis obstaret. Quin etiam Judæorum legatos (nam eo venerant post ista quæ acciderant pacem facturi) comprehensos interfecerunt, et in eorum exercitum omni studio ire contenderunt. At Judæi incursum illorum excipere detrectarunt, animosque ex calamitate despondentes omnem de rebus suis curam abjiciebant, ut quæ jam ab illis valde desperatæ essent : non enim sperabant post tot clades in prœliis acceptas æquis viribus decertaturos esse, neque auxilium ullum exspectabant rebus suis domi afflictis. Igitur quum ita se haberent, id agebat rex, ut et ducibus oratione persuaderet, tentaretque animos illorum dejectos erigere : atque commotis et audacioribus factis quibusdam de præstantioribus, ad universam multitudinem jam verba facere ausus est, quum antea gravaretur id facere, ne sibi difficile esset eos tractare, utpote adversis casibus vexatos. Cohortationem autem suscipiebat, hujusmodi ad vulgum habita oratione.

(VIII.) 3. « Non nescii sumus, viri, quod multa hoc « tempore evenerint conatibus nostris adversa : et fortasse « vix iis in hujusmodi rebus bono esse animo detur qui « fortitudine plurimum præstant. Sed quoniam bello ur- « gemur, et nihil eorum quæ acciderint ejusmodi est, quod

« τοιοῦτον, ὃ μὴ δι' ἑνὸς ἔργου καλῶς πραχθέντος ἐπα-
« νορθώσετε, παρακαλέσαι προειλόμην ὑμᾶς ἅμα καὶ
« διδάξαι δι' ὧν ἂν ἐμμείναιτε τοῖς οἰκείοις φρονήμα-
« σιν. Βούλομαι δὲ πρῶτον μὲν ὑπὲρ τοῦ πολεμεῖν ὡς
« δικαίως αὐτὸ ποιοῦμεν ἐπιδεῖξαι, διὰ τὴν ὕβριν τῶν
« ἐναντίων ἠναγκασμένοι· μέγιστον γὰρ, εἰ μάθοιτε
« τοῦτο, προθυμίας αἴτιον ὑμῖν ἔσται· μετὰ δὲ τοῦτο
« δεῖξαι διότι καὶ τῶν ἐν ἡμῖν δεινῶν οὐδέν ἐστιν καὶ
« πλείστας εἰς τὸ νικᾶν ἔχομεν τὰς ἐλπίδας. Ἄρξομαι
« δὲ ἀπὸ τοῦ πρώτου, μάρτυρας ὑμᾶς ποιούμενος ὧν
« λέγω. Τὴν γὰρ τῶν Ἀράβων παρανομίαν ἴστε μὲν
« δήπου, καὶ πρὸς τοὺς ἄλλους ἅπαντας οὕτως ἀπίστως
« διακειμένων, ὡς εἰκὸς ἔχειν τὸ βάρβαρον καὶ ἀνεν-
« νόητον Θεοῦ. Πλεῖστα μέντοι προσέκρουσαν ἡμῖν
« πλεονεξίᾳ καὶ φθόνῳ, καὶ ταῖς ταραχαῖς ἐφεδρεύον-
« τες ἐξ ὑπογύου· καὶ τὰ μὲν πολλὰ τί δεῖ λέγειν;
« ἀλλὰ κινδυνεύοντας αὐτοὺς τῆς οἰκείας ἀρχῆς ἐκπε-
« σεῖν καὶ δουλεύειν Κλεοπάτρᾳ τίνες ἄλλοι τοῦ δέους
« ἀπήλλαξαν; ἡ γὰρ ἐμὴ πρὸς Ἀντώνιον φιλία κἀκεί-
« νου πρὸς ἡμᾶς διάθεσις αἰτία γεγένηται, μηδὲ τού-
« τους ἀνήκεστόν τι παθεῖν, φυλαττομένου τἀνδρὸς
« μηδὲν ἐπιτηδεύειν, ὃ δύναιτ' ἂν ὕποπτον ἡμῖν γενέ-
« σθαι. Βουληθέντος δ' ὅμως Κλεοπάτρᾳ μέρη τινὰ
« παρασχεῖν ἀφ' ἑκατέρας τῆς ἀρχῆς, καὶ τοῦτο διῳκη-
« σάμην ἐγὼ, καὶ πολλὰ δῶρα δοὺς ἰδίᾳ τὸ μὲν ἀσφα-
« λὲς ἀμφοτέροις ἐπορισάμην, τὰς δὲ δαπάνας αὐτὸς ἀνέ-
« λαβον, διακόσια μὲν διδοὺς τάλαντα, διακοσίων δὲ
« ἐγγυητὴς γενόμενος, ἃ τῇ μὲν γῇ προσοδευομένη γέ-
« γονεν, αὐτοὶ δὲ ὑπὸ τούτων ἀπεστερήμεθα. Καίτοι
« γε ἄξιον μὲν ἦν μηδενὶ τῶν ὄντων Ἰουδαίους φόρον ἢ
« τῆς χώρας ἀπόμοιραν τελεῖν· εἰ δ' οὖν, ἀλλ' οὐχ ὑπέρ
« γε τούτων οὓς αὐτοὶ σεσώκαμεν· οὐδὲ τοὺς Ἄραβας
« ὁμολογήσαντας μετὰ πολλῆς ἐντεύξεως καὶ χάριτος
« ὅτι τὴν ἀρχὴν ἐδόκουν * * τυγχάνειν, ἀδικεῖν ἡμᾶς
« ἀποστεροῦντας, καὶ ταῦτα οὐ πολεμίους ὄντας, ἀλλὰ
« φίλους· ὡς ἥ γε πίστις ἐχοῦσα καὶ πρὸς τοὺς πολε-
« μιωτάτους τόπον τοῖς γε φίλοις ἀναγκαιοτάτη τετη-
« ρῆσθαι, ἀλλ' οὐ παρὰ τούτοις εἴ τὸ μὲν κερδαίνειν ἐκ
« παντὸς τρόπου κάλλιστον ὑπειλήφασιν, τὸ δ' ἀδικεῖν
« οὐκ ἐπιζήμιον εἰ μόνον κερδαίνειν δυνηθεῖεν. Ἔστιν
« οὖν ἔτι ζήτησις ὑμῖν εἰ δεῖ τοὺς ἀδίκους τιμωρήσα-
« σθαι, τοῦτο καὶ τοῦ Θεοῦ βουλομένου καὶ παραγγέλ-
« λοντος ἀεὶ μισεῖν τὴν ὕβριν καὶ τὴν ἀδικίαν, καὶ
« ταῦτα οὐ μόνον δίκαιον, ἀλλὰ καὶ ἀναγκαῖον πόλεμον
« ἐπεξιόντων; ἃ γὰρ ὡμολόγηται παρανομώτατα τοῖς
« τε Ἕλλησι καὶ τοῖς βαρβάροις, ταῦτα ἔπραξαν εἰς
« τοὺς ἡμετέρους πρέσβεις ἀποσφάξαντες αὐτοὺς, τῶν
« μὲν Ἑλλήνων ἱεροὺς καὶ ἀσύλους εἶναι τοὺς κήρυκας
« φαμένων, ἡμῶν δὲ τὰ κάλλιστα τῶν δογμάτων καὶ
« τὰ ὁσιώτατα τῶν ἐν τοῖς νόμοις δι' ἀγγέλων παρὰ τοῦ
« Θεοῦ μαθόντων· τοῦτο γὰρ τὸ ὄνομα καὶ ἀνθρώποις
« Θεὸν εἰς ἐμφάνειαν ἄγειν καὶ πολεμίους διαλλάττειν
« δύναται. Ποῖον οὖν μεῖζον ἂν γένοιτο ἀσέβημα
« ἢ πρέσβεις ἀποκτεῖναι τοὺς ὑπὲρ τοῦ δικαίου διαλε-

« non una re præclara gesta in melius restituere possitis,
« maxime sane volui vos cohortari, simulque monere quo
« pacto vobis constare valeat animi vestri magnitudo. Pri-
« mum quidem, quod ad bellum attinet, vobis declarabo
« quam justis de causis illud suscipiamus, adversariorum
« injuriis eo compulsi; nam et hoc, si resciscatur, maximam
« vobis alacritatem afferet: deinde ostendam, quare pro nihilo
« habendum sit quicquam malorum quæ nos premunt, et
« magnam nobis superesse victoriæ spem. A primo autem
« exordiar, vosque ipsos testes eorum quæ dicturus sum fa-
« ciam. Nostis utique et ipsi quam injuste egerint Arabes,
« et quanta fuerint erga alios quoque omnes perfidia, ut usu
« venit barbaris et de Deo nihil cogitantibus. Sed in nos
« maxime offenderunt avaritia et invidia, et quum in turbis
« eramus subito nos et insidiose aggrediendo. Multa qui-
« dem quid memorem? verum, quum illis immineret e prin-
« cipatu excidere et Cleopatræ servire, quinam alii eos
« metu liberarunt? nam mea erga Antonium amor, et illius
« in nos benevolentia in causa fuit ne quid gravius isti pa-
« terentur, illo cavente aliquid agere quod nobis suspectum
« foret. Attamen quum vellet partes ex utraque ditione quas-
« dam Cleopatræ dare, ipse hujus rei curam in me suscepi:
« et, datis de meo magnis muneribus, securitati utrinsque
« viam munivi, impensasque ipse feci, talenta præstando
« ducenta, et fidejubendo pro aliis ducentis, quæ illi terræ
« imperata erant, cujus reditus perceperunt; nos vero de-
« fraudarunt. Et tamen par erat ut Judæi nemini de bonis
« suis tributum penderent, aut terræ illorum pars vectigalis
« fieret: sin vero, saltem non pro iis quos ipsi serva vimus;
« neque Arabes, qui quum nos compellarunt gratiasque ege-
« runt, fassi sunt quod *nostra opera* imperium tenere vi-
« deantur, *decet* injuria nos afficere et fraudare, idque non
« hostes, sed amicos: quippe quum fides etiam inter inimicis-
« simos locum habeat, inter amicos necessario servanda sit,
« at non apud eos qui omni modo lucrum quærere honestum
« putant, injustitiam autem cum lucro conjunctam haud
« damno futuram. Vobisne igitur dubium est an injustos
« ulcisci oporteat, Deo hoc jubente et volente ut semper odio
« habeamus injuriam et improbitatem, præsertim, quum non
« modo justum, sed et necessarium bellum persequamini?
« Quæ enim et apud Græcos et barbaros habita sunt iniquis-
« sima, ista admiserunt in legatos nostros, quos jugularunt:
« quum Græci legatos sacrosanctos esse et inviolabiles di-
« cant, et nos dogmatum potissima et sanctissimam legum
« partem per angelos a Deo acceperimus: hanc enim vim
« habet hoc nomen, ut Deum hominibus coram sistat, et
« hostes cum hostibus in gratiam redire faciat. Quæ major
« igitur esse potest impietas quam legatos trucidare de jure

« γομένους; πῶς δ' ἂν ἔτι δύναιντο ἢ περὶ τὸν βίον εὐ-
« σταθεῖν, ἢ περὶ τὸν πόλεμον εὐτυχεῖν τοιούτων αὐτοῖς
« πεπραγμένων; Ἐμοὶ μὲν οὐδαμῶς δοκοῦσιν. Ἴσως
« τοίνυν ἐρεῖ τις, τὸ μὲν ὅσιον καὶ δίκαιον μεθ' ἡμῶν,
« ἀνδρειότεροι δὲ ἢ πλείους ἐκεῖνοι τετυχήκασιν. Ἀλλὰ
« πρῶτον μὲν ἀνάξιον ὑμῖν ταῦτα λέγειν· μεθ' ὧν γὰρ
« τὸ δίκαιόν ἐστιν, μετ' ἐκείνων ὁ Θεὸς, Θεοῦ δὲ πα-
« ρόντος καὶ πλῆθος καὶ ἀνδρεία πάρεστιν. Ἵνα δὲ καὶ
« τὰ καθ' ἑαυτοὺς ἐξετάσωμεν, ἐνικήσαμεν τῇ πρώτῃ
« μάχῃ, συμβαλόντες τὴν δευτέραν οὐδὲ ἀντέσχον ἡμῖν,
« ἀλλ' ἔφυγον εὐθὺς οὐχ ὑπομείναντες τὴν ἔφοδον καὶ
« τὰ φρονήματα· νικῶσιν δ' ἡμῖν Ἀθηνίων ἐπέθετο,
« πόλεμον ἀκήρυκτον ἐπάγων. Πότερον ἀνδραγαθία
« τοῦτ' ἔστιν ἐκείνων, ἢ δευτέρα παρανομία καὶ ἐνέδρα;
« Τί οὖν ἔλαττον φρονοῦμεν ἐφ' οἷς μείζους ἔχειν δεῖ
« τὰς ἐλπίδας; πῶς δ' ἂν καταπλαγείημεν τοὺς, ὅταν
« μὲν ἐξ ἀληθείας ἀγωνίζωνται, πάντοτε νικωμένους,
« ὅταν δὲ κρατεῖν νομισθῶσιν, ἐξ ἀδικίας αὐτὸ ποιοῦν-
« τας; πῶς δ' ἂν, εἰ καὶ γενναίους ἡγηταί τις αὐτοὺς,
« οὐ παρ' αὐτὸ τοῦτο καὶ μᾶλλον ὁρμηθείη; τὸ γὰρ εὖ-
« ψυχον οὐκ ἐν τῷ τοῖς ἀσθενεστάτοις ἐπιχειρεῖν, ἀλλ'
« ἐν τῷ δύνασθαι καὶ τῶν ἰσχυροτέρων κρατεῖν. Εἰ δέ
« τινα καταπλήττει τὰ οἰκεῖα πάθη καὶ τὰ περὶ τὸ σει-
« σμὸν συμβεβηκότα, πρῶτον μὲν ἐννοηθήτω ὅτι τοῦτ'
« αὐτὸ καὶ τοὺς Ἄραβας ἐξαπατᾷ, μείζω τὰ γενόμενα
« τῆς ἀληθείας ὑπειληφότας· ἔπειτα ὡς οὐ καλὸν ἐκεί-
« νοις τε τόλμης καὶ ἡμῖν δειλίας τὴν αὐτὴν αἰτίαν γε-
« νέσθαι. Οἱ μὲν γὰρ οὐκ ἐξ οἰκείου τινὸς ἀγαθοῦ τὸ
« εὔψυχον ἔχουσιν, ἀλλ' ἐκ τῆς περὶ ἡμᾶς ὡς κάμνον-
« τας ἤδη τοῖς κακοῖς ἐλπίδος· ἡμεῖς δὲ χωρήσαντες ἐπ'
« αὐτοὺς παραιρησόμεθα μὲν ἐκείνων τὸ μεῖζον φρο-
« νεῖν, ἀναληψόμεθα δ' αὐτοὶ τὸ μηκέτι θαρσοῦσι μά-
« χεσθαι. Καὶ γὰρ οὔτε κεκακώμεθα τοσοῦτον οὐθ',
« ὅπερ οἱονταί τινες, ὀργὴν Θεοῦ παρέχει τὸ γεγονὸς,
« ἀλλὰ ταῦτα συμπτώματα γίνεται καὶ πάθη τινά. Καὶ
« εἰ κατὰ Θεοῦ γνώμην πέπρακται, δῆλον ὡς καὶ πέ-
« παυται κατὰ τὴν ἐκείνου γνώμην ἀρχουμένου τοῖς γε-
« γονόσι· βουλόμενος γὰρ ἔτι μᾶλλον ἀδικεῖν οὐκ ἂν
« μετεβάλετο. Τὸν δὲ πόλεμον, ὅτι καὶ θέλει τοῦτον
« ἐνεργεῖσθαι καὶ δίκαιον οἶδεν, δεδήλωκεν αὐτός· ἐνίων
« γὰρ ἐν τῷ σεισμῷ περὶ τὴν χώραν ἀπολομένων, οὐδεὶς
« οὐδὲν ἔπαθε τῶν ἐν τοῖς ὅπλοις, ἀλλὰ πάντες ἐσώθη-
« τε, φανερὸν ποιοῦντος τοῦ Θεοῦ διότι κἂν εἰ πανδη-
« μεὶ μετὰ τέκνων καὶ γυναικῶν ἐστρατεύεσθε, περιῆν
« ἂν ὑμῖν μηδὲν ἀνήκεστον παθεῖν. Ταῦτα ἐνθυμηθέν-
« τες, καὶ τὸ μεῖζον ὅτι παρὰ πάντα καιρὸν προϊστά-
« μενον ἔχετε τὸν Θεὸν, ἐπεξέλθετε δικαίαις ἀνδραγα-
« θίαις τοὺς ἀδίκους μὲν πρὸς φιλίαν, ἀσπόνδους δὲ ἐν
« ταῖς μάχαις, ἀνοσίους δὲ εἰς πρέσβεις, ἀεὶ δὲ τῆς ὑμε-
« τέρας ἀρετῆς ἡττημένους. »

δ'. Ταῦτα ἀκούσαντες οἱ Ἰουδαῖοι πολὺ τὰς ψυχὰς ἀμείνους ἐγένοντο πρὸς τὴν μάχην. Ἡρώδης δὲ θυ-
σίας κατὰ τὰ νομιζόμενα ποιήσας καὶ μετὰ σπουδῆς ἀναλαβὼν αὐτοὺς ἦγεν ἐπὶ τοὺς Ἄραβας, διαβὰς τὸν

« agentes? vel qui debinc aut in vita tranquilli aut in bello
« felices esse possunt, hoc in se suscepto facinore? Mihi qui-
« dem minime videntur. Dicat tamen fortasse aliquis, fas
« quidem et jus nobiscum est, illos tamen fortiores esse vel
« plures contigit. Sed primum quidem vobis haud convenit
« hæc oratio : cum quibus enim est jus, cum illis et Deus;
« Deus autem si adsit, adsunt simul et copiæ et robur. Ut
« autem et res a nobis gestas consideremus, prima pugna
« vicimus, commissa secunda, vix nobis restiterunt, sed
« statim fugiebant, non sustinentes impressionem adeo ani-
« mosam : victores autem nos aggressus est Athenio, bel-
« lum inferens non denunciatum. Utrum hæc est eorum
« virtus, an secunda iniquitas, et insidiæ? Cur igitur abje-
« ctiore sumus animo ob eam rem, quæ efficere debet ut
« majorem spem concipiamus? et qui fit ut illi terrorem
« nobis injiciant, qui, quoties sine dolo congrediuntur,
« semper superati sunt; si quando autem victores esse exi-
« stimentur, id ex improbitate consequuntur? Quodsi quis
« eos etiam fortes putet, cur non ea ipsa de causa majori
« *pugnandi* ardeat cupiditate? animosum enim arguit non
« imbecillos adoriri, sed posse etiam viribus superiores vin-
« cere. Si quem autem terrent domestici casus, et quæ in
« terræ motu acciderunt, primum quidem reputet quod hoc
« ipsum etiam Arabibus imponit, majora quæ facta sunt
« quam pro rei veritate existimantibus; deinde non decere
« ut quæ illis audaciæ, ea nobis sit ignaviæ causa. Neque
« enim illi quidem, quod boni aliquid ipsis obtigerit, ani-
« mos sumunt, sed quia sperant nos jam malis succumbere :
« verum si nos contra eos proficiscamur, magnos eorum
« *spiritus contundemus*; et *hoc etiam lucrabimur, ut non*
« iterum cum ferocibus pugnemus. Neque enim adeo af-
« fligimur, neque, ut putant quidam, id quod accidit Dei
« iræ indicium est; sed casus sunt hæc et infortunia. Atque
« si Dei consilio facta sunt, patet ejusdem consilio desiisse,
« ut qui præteritis contentus sit : si enim voluisset adhuc
« amplius nobis nocere, non mutasset sententiam. Bellum
« illius voluntate suscipi et justum ab eo existimari
« ipse ostendit : nonnullis enim terræ motu per totam regio-
« nem peremptis, nemini armatorum mali aliquid accidit,
« sed vos omnes salvi estis, declarante Deo quod, si uni-
« versi cum liberis et conjugibus militassetis, ne gravius qui-
« dem aliquid pati vobis contigisset. Quum hæc vobiscum
« reputaveritis, et quod plus est, quod propugnantem sem-
« per habeatis Deum, juste et fortiter persequimini in ami-
« citia infidos, in bello implacabiles, in legatos impios, et
« a vobis semper virtute superatos. »

4. Judæi istis auditis fortius ad pugnam animati sunt. Herodes autem, sacrificiis rite peractis, eos secum assumptos propere adversus Arabes trans Jordanem fluvium ducit, et non procul ab hostibus castra metatur. Ipsi utique vi-

Ἰορδάνην ποταμόν· καὶ τῶν μὲν πολεμίων στρατοπεδεύεται πλησίον, ἐδόκει δ' αὐτῷ φρούριον ἐν μέσῳ κείμενον καταλαβεῖν· οὕτω γὰρ αὐτὸς μὲν ὠφεληθήσεσθαι καὶ πρὸς τὸ θᾶττον συνάψαι τὴν μάχην, κἂν εἰ παρέλκειν δέον, ἐρυμνὸν αὐτῷ πεπορισμένος τὸ στρατόπεδον. Τὸ δ' αὐτὸ καὶ τῶν Ἀράβων προνοούντων, ἅμιλλα γίνεται περὶ τοῦ χωρίου. Καὶ πρῶτον μὲν ἐν ἀκροβολισμοῖς ἦσαν, εἶτα δὲ καὶ πλείους εἰς χεῖρας ἐρχόμενοι παρ' ἀμφοτέρων ἔπιπτον, ἕως ἡττηθέντες οἱ τῶν Ἀράβων ἀπεχώρουν. Τοῦτο εὐθὺς εἰς ἐλπίδας τοῖς Ἰουδαίοις οὐ μικρὸν ἐγεγόνει. *** καὶ τὴν δύναμιν αὐτῶν ἐννοούμενος πάντα μᾶλλον ἢ πρὸς μάχην ἰέναι βουλομένους, θρασύτερον ἐπεχείρησεν αὐτὸν τὸν χάρακα διασπᾶν καὶ τοῦ στρατοπέδου προσάγων ἅπτεσθαι· τούτοις γὰρ ἐκβιασθέντες προῆσαν ἄτακτοι καὶ προθυμίας ἢ τῆς εἰς τὸ νικᾶν ἐλπίδος οὐδοτιοῦν ἐσχηκότες. Ὅμως δ' οὖν εἰς χεῖρας ἦεσαν, πλείους τε ὄντες καὶ διὰ τὸ κατεπείγειν ἐπὶ τὸ τολμηρὸν ὑπὸ τῆς ἀνάγκης στρατηγούμενοι· καὶ μάχη γίνεται καρτερὰ, πιπτόντων ἑκατέρωθεν οὐκ ὀλίγων. Τέλος δὲ τραπέντες οἱ Ἄραβες ἔφυγον. Ἦν δὲ τοσοῦτος φόνος ἐκκλινάντων, ὡς μὴ μόνον ὑπὸ τῶν πολεμίων θνήσκειν, ἀλλὰ σφίσιν αὐτοῖς παραιτίους γίνεσθαι τῶν κακῶν, ὑπό τε πλήθους καὶ φορᾶς ἀτάκτου συμπατουμένων καὶ περιπιπτόντων τοῖς οἰκείοις ὅπλοις. Πεντακισχίλιοι γοῦν αὐτῶν ἐγένοντο νεκροὶ, τὸ δ' ἄλλο πλῆθος ἔφθη μὲν εἰς τὸ χαράκωμα συμφυγεῖν. Εἶχε δ' οὐκ ἐν βεβαίῳ τὴν ἐλπίδα τῆς σωτηρίας, ἀπορίᾳ τῶν ἐπιτηδείων, καὶ μᾶλλον ὕδατος. Οἱ δὲ Ἰουδαῖοι διώκοντες συνεισπεσεῖν μὲν οὐ κατίσχυσαν, περικαθεζόμενοι δὲ τὸν χάρακα, καὶ παρατηροῦντες εἰσόδου τε τοὺς ἐπαρκοῦντας καὶ ἐξόδου φυγεῖν βουλομένους εἶργον.

ε'. Ἐν τούτοις οὖν ὄντες οἱ Ἄραβες ἐπρεσβεύοντο παρὰ τὸν Ἡρώδην, τὸ μὲν πρῶτον ὑπὲρ διαλύσεως, ἔπειτα (τὸ γὰρ δίψος ἤπειγε) πᾶν ὁτιοῦν ὑφιστάμενοι καὶ τυχεῖν εἰς τὸ παρὸν ἀδείας ἠξιωκότες. Ὁ δὲ οὔτε πρέσβεις οὔτε λύτρα τῶν ἡλωκότων οὔτ' ἄλλο τι μέτριον προσίετο, φιλόνεικος ὢν ἐκδικῆσαι τὰς παρανομίας τὰς εἰς αὐτοὺς ἐξ ἐκείνων γεγενημένας. Καταναγκαζόμενοι οὖν τοῖς τε ἄλλοις καὶ τῷ δίψει προϊόντες αὐτοὺς ἐνεχείριζον ἄγειν καὶ δεῖν. Καὶ πέντε μὲν ἡμέραις τετρακισχίλιοι οὕτως ἑάλωσαν, τῇ δὲ ἕκτῃ πάντες οἱ λοιποὶ διέγνωσαν ἐξιέναι πολέμου νόμῳ χωρήσαντες ἐπὶ τοὺς ἐναντίους, ἐγχειρεῖν, εἰ καὶ δέοι τι πάσχειν, αἱρούμενοι καὶ μὴ διαφθείρεσθαι κατ' ὀλίγους ἀδόξως. Ταῦτα δὲ γνόντες ἐξῆλθον μὲν τοῦ χαρακώματος, διήρκεσαν δ' οὐδαμῶς τῇ μάχῃ, λαμπρῶς μὲν ἀγωνίσασθαι κεκακωμένοι καὶ τὰς ψυχὰς καὶ τὰ σώματα τόπον οὐκ ἔχοντες, κέρδος δ' εἰ θνήσκοιεν, ἐν συμφορᾷ τὸ ζῆν ποιούμενοι· καὶ πίπτουσιν αὐτῶν ἐν τῇ προτεραίᾳ μάχῃ περὶ ἑπτακισχιλίους. Τοιαύτῃ δὲ πληγῇ χρησαμένων, φρονήματος μὲν ὅσον ἦν αὐτοῖς πρότερον ἀφῄρηντο· τεθαυμακότες δ' ἐν ταῖς οἰκείαις συμφοραῖς τὴν Ἡρώδου στρατηγίαν, εἰς τε τὸ λοιπὸν εἶξαν καὶ προστάτην ἀπέφηναν τοῦ ἔθνους. Ὁ δὲ πλεῖστον ἐπὶ τοῖς εὐημεσum est castellum in medio positum occupare : nam et sibi id usui fore putavit, tum ad hostem celeriter prælio lacessendum, tum ad castrorum munitionem, si pugna differenda foret. Quumque idem Arabibus in animo esset, oritur de eo loco certamen. Ac primo quidem velitatio erat, et deinde aliquammulti, quum res ad manus venisset, utrinque cadebant, donec victi Arabes cesserunt. Ea res protinus Judæis non parvum ad spem momentum præbuit. *** et exercitum eorum cogitans omnia malle quam ut pugnam lubenti animo inirent, cœpit vallum fortiter divellere et propius ad castra admotus oppugnare. Atque ita vi compulsi nullo ordine prodierunt, ne tantilla quidem cum alacritate, aut ulla victoriæ spe freti. Veruntamen manus conseruerunt, tum quia numero superabant, tum quia eos animum sumere cogebat pugnandi necessitas; atque acre prælium committitur, multis utrinque cadentibus. Tandem vero Arabes in fugam versi sunt. Tanta autem eorum cædes facta est, ubi cedere cœperunt, ut non solum ab hostibus interierint, verum etiam sibimet cladem attulerint, multis eorum, tum propter multitudinem, tum quia confusi ruebant, conculcatis et suis ipsorum telis vulneratis. Igitur ex iis cæsa sunt quinque millia, reliqua vero turba intra vallum confugiendo evasit. Sed certa salutis spe destituebantur, quippe quum commeatu et maxime aquæ penuria laborarent. Judæi autem, eos persequuti, quum una cum eis irrumpere nequivissent, vallum circumsident; et, custodiis adhibitis, opem ferentes aditu fugamque capessentes exitu prohibebant.

5. Quamobrem eo redacti Arabes, legatos ad Herodem primum de compositione mittunt, deinde, utpote siti cogente, rogatum ut vel quacunque conditione liceat illis in præsens ab interitu securis esse. Sed ille nec legatos, nec pretium pro captivis, nec aliud quicquam æqui admittebat, cupiditate ulciscendi injurias quas ab illis acceperat. Itaque et aliis et siti coacti se ipsos abducendos constringendosque dediderunt. Et quinque quidem diebus homines quater mille sic capti sunt : sexto vero die reliquis omnibus visum est facta more bellico eruptione cum hostibus congredi, et in quemvis eventum periclitari potius quam turpiter perire paulatim. Quum hæc statuissent, extra vallum prodierunt, sed prælium sustinere non potuerunt, præclare quidem dimicândi præ corporis animique debilitate locum non habentes, lucro vero mortem deputantes, vitamque pro calamitate ducentes : ceciderunt quoque primo conflictu circiter septem millia. Quum autem hanc cladem accepissent, priorem quidem fiduciam omnem amiserunt, Herodis vero virtutem imperatoriam in suis calamitatibus admirati, et in posterum ei cesserunt, et pro gentis domino eum habuerunt.

ρήμασιν ἠξιωκὼς φρονεῖν ἀνέστρεφεν εἰς τὴν οἰκείαν, μέγα προσειληφὼς ἀξίωμα καὶ διὰ ταύτην τὴν ἀνδραγαθίαν.

ΚΕΦ. Ϛ'.

Τὰ μὲν οὖν ἄλλα καλῶς εἶχεν αὐτῷ, δυσεπιχειρήτῳ κατὰ πάντα γεγενημένῳ, κίνδυνος δ' ἐμπίπτει τὴν ὑπὲρ τῶν ὅλων κρίσιν ἐπάγων, Ἀντώνιον Καίσαρος ἐν τῇ κατ' Ἄκτιον μάχῃ νενικηκότος. Τότε γὰρ ἀπέγνωστο αὐτῷ τε Ἡρῴδῃ τὰ πράγματα καὶ τοῖς περὶ αὐτὸν ὁμοίως ἐχθροῖς τε καὶ φίλοις· οὐ γὰρ ἦν εἰκὸς ἀτιμώρητον μενεῖν τοσαύτης αὐτῷ πρὸς Ἀντώνιον φιλίας γεγενημένης. Ἦν μὲν οὖν τοῖς μὲν φίλοις ἀπόγνωσις τῶν κατ' αὐτὸν ἐλπίδων, ὅσοι δ' ἐχθρῳδῶς εἶχον, ἐδόκουν μὲν ἐξ ἐμφανοῦς συνάχθεσθαι, πάθος δὲ λεληθὸς ἐφηδομένων εἶχον, ὡς ἀμείνονος τευξόμενοι τῆς μεταβολῆς. Αὐτός τε Ἡρῴδης, τὸν Ὑρκανὸν ὁρῶν μόνον ἐπ' ἀξιώματος βασιλικοῦ, συμφέρειν ᾤετο μηκέτ' ἐμποδὼν ἔᾳν, εἰ μὲν περισωθείη καὶ διαφύγοι τὸν κίνδυνον, ἀσφαλὲς ἡγούμενος πρὸς τὸ μὴ τοῖς τοιούτοις αὐτοῦ καιροῖς ἐφορμεῖν ἄνδρα τυχεῖν τῆς βασιλείας ἀξιώτερον, εἰ δὲ καὶ πάσχοι τι διὰ Καίσαρος, φθόνῳ τὸν μόνον ἐπὶ τῆς βασιλείας γενησόμενον ἐπιθυμῶν ἐξελεῖν.

β'. Ταῦτα δὲ αὐτοῦ δι' ἐννοίας ἔχοντος ἐνεδόθη τι καὶ παρ' ἐκείνων. Ὁ μὲν γὰρ Ὑρκανὸς ἐπιεικείᾳ τρόπου καὶ τότε καὶ τὸν ἄλλον χρόνον οὐκ ἠξίου πολυπραγμονεῖν, οὐδὲ νεωτέρων ἅπτεσθαι, συγχωρῶν τῇ τύχῃ πᾶν τὸ δι' ἐκείνης γενόμενον ἠγαπηκέναι. Φιλόνεικος δ' ἦν Ἀλεξάνδρα, καὶ τὴν ἐλπίδα τῆς μεταβολῆς ἀκρατῶς φέρουσα λόγους ἐποιεῖτο πρὸς τὸν πατέρα, μὴ μέχρι παντὸς ἀναμεῖναι τὴν Ἡρῴδου παρανομίαν εἰς τὸν αὐτοῦ οἶκον, ἀλλὰ προλαβεῖν ἀσφαλείᾳ τὰς αὖθις ἐλπίδας, ἠξίου τε περὶ τούτων Μάλχῳ γράφειν τῷ τὴν Ἀραβιαρχίαν ἔχοντι, δέξασθαί τε αὐτοὺς καὶ δι' ἀσφαλείας ἄγειν· ὑπεξελθόντων γὰρ εἰ τὰ περὶ Ἡρῴδου οὕτω χωρήσειεν, ὡς εἰκὸς ἐν ἔχθρᾳ Καίσαρος, αὐτοὺς ἔσεσθαι τοὺς τὴν ἀρχὴν ἀπολαμβάνοντας μόνους, καὶ διὰ τὸ γένος καὶ διὰ τὴν εὔνοιαν τῶν ὄχλων. Ταῦτα πειθούσης, ὁ μὲν Ὑρκανὸς διωθεῖτο τοὺς λόγους, φιλόνεικον δέ τι καὶ γυναικεῖον αὐτῆς πεπονθυίας, καὶ μήτε νύκτα μήθ' ἡμέραν ἀπολειπομένης, ἀλλ' ἀεὶ περὶ τούτων καὶ τῆς Ἡρῴδου πρὸς αὐτοὺς ἐπιβουλῆς διαλεγομένης, ἀνεπείσθη τέλος ἐπιστολὴν δοῦναι Δοσιθέῳ τινὶ τῶν περὶ αὐτὸν φίλων, ἐν ᾗ συντέτακτο πέμψαι αὐτῷ τὸν Ἄραβα τοὺς ἀναληψομένους καὶ παραπέμψοντας ἱππέας ἐπὶ τὴν Ἀσφαλτῖτιν λίμνην· αὕτη δὲ ἀπέχει τῶν Ἱεροσολυμιτῶν ὅρων σταδίους τριακοσίους. Ἐπίστευε δὲ τῷ Δοσιθέῳ, θεραπεύοντος αὐτοῦ καὶ αὐτὸν καὶ τὴν Ἀλεξάνδραν, καὶ τῆς πρὸς Ἡρῴδην δυσνοίας οὐ μικρὰς αἰτίας ἔχοντος· Ἰωσήπου τε γὰρ, ὃν ἐκεῖνος ἀνῄρηκει συγγενὴς ἦν καὶ τῶν ἐν Τύρῳ φονευθέντων ὑπ' Ἀντωνίου πρότερον ἀδελφός. Οὐ μὴν ἐπήγαγε ταῦτα τὸν Δοσίθεον Ὑρκανῷ πιστὸν εἰς τὴν ὑπηρεσίαν γενέσθαι, πρωτιμήσας δὲ τῶν ἐκείνου τὰς ἐκ τοῦ βασιλεύον-

Qua felicitate ille multum elatus domum reversus est, cum magna existimatione ob hanc quoque rem fortiter gestam.

CAP. VI. (IX.)

At enim dum ceteræ res ejus bene se haberent, utpote quod difficile esset ipsum ulla ex parte aggredi, in periculo erat ne omnia perderet, postquam Cæsar Antonium in pugna Actiaca vicerat. Tunc enim actum de se putavit et Herodes ipse, ejusque amici pariter ac inimici : nam haud verisimile erat ut ipse pœnas effugeret, cui cum Antonio tanta intercessit amicitia. Quo sane factum est ut amici quidem de spe sua deciderent deque eo desperarent, quotquot vero ipsi inimici erant infestique condolentium vultum habitumque induebant, gaudio autem tacito gestiebant, quasi foret ut ipsis res in melius mutarentur : atque Herodes ipse, quum Hyrcanum solum videret in dignitate regia esse, sua referre plurimum existimabat ut is e medio tolleretur, si quidem incolumis foret et e periculo evaderet, sibi provisum esse putans, ne talibus ipsius fortunis immineret vir regno dignior; sin vero quid gravius a Cæsare de ipso statuatur, præ invidia cupiens illum perimere, qui solus sibi in regnum successurus sit.

2. Quæ dum in animo versat *Herodes*, illi ei nonnullam ejus rei occasionem præbuerunt. Etenim Hyrcanus, quod miti esset ingenio, nec tum neque alio tempore negotiis se miscere volebat, nec novis rebus studebat, fortunæ concedens, ut quodcunque sors efferret illo contentus viveret. Verum Alexandra contentionem amabat, et mutationis spe impotenti abrepta, Hyrcanum patrem suum sollicitabat ne Herodis in domum suam scelera in perpetuum perferret, sed futuras spes, quum tuto liceret, anticipet; rogabatque ut de his ad Malchum Arabiæ regnum tenentem scriberet, utque illos acciperet et eo salvos perduceret : si enim post ipsorum discessum Herodi accideret ut Cæsaris inimico accidere consentaneum esset, ipsos unos principatum recepturos, qua propter genus, qua propter plebis benevolentiam. Dum ista ipsi suadere nitebatur, Hyrcanus ejus sermonibus non auscultabat : quum vero pertinacia muliebri ipsa uteretur, et nec die nec nocte cessaret, sed de istis continuo et de insidiis ipsis ab Herode structis verba faceret, tandem ei persuadetur ut cuidam Dositheo literas daret, in quibus statuebatur ut Arabs ei mitteret equites, a quibus reciperetur et usque ad lacum Asphaltiten deduceretur, qui a finibus Hierosolymitanis abest trecentis stadiis. Dositheo autem propterea fidebat, quod ille tum ipsum tum Alexandram colebat, neque non minimas causas Herodem odio prosequendi habebat : nam et consanguineus erat Josephi ab Herode occisi, et eorum frater quos Antonius antea Tyri interfecerat. Tamen istis non inductus est ut fidelem Hyrcano se ministrum præstaret : sed quam pluris fecerit

τος ἐλπίδας, ἐπιδίδωσιν Ἡρώδῃ τὴν ἐπιστολήν. Ὁ δὲ τῆς εὐνοίας ἀποδεξάμενος, ἔτι καὶ τοῦτο προσυπουργῆσαι παρεκελεύετο, πτύξαντα τὴν ἐπιστολὴν καὶ κατασημηνάμενον ἀποδοῦναι τῷ Μάλχῳ καὶ τὰ παρ' ἐκείνου γράμματα λαβεῖν· οὐ γὰρ μικρὸν τὸ διάφορον καὶ τὴν ἐκείνου γνώμην αὐτὸν εἰδέναι. Ταῦτα δὲ τοῦ Δοσιθέου προθύμως ὑπουργήσαντος, ὁ μὲν Ἄραψ ἀντιπέστειλεν αὐτόν τε Ὑρκανὸν δέξεσθαι καὶ τοὺς σὺν αὐτῷ πάντας, ἢ καὶ Ἰουδαίων ὅσοι τὰ ἐκείνου φρονοῦσι, δύναμίν τε πέμψειν τὴν μετὰ ἀσφαλείας αὐτοὺς κομίσουσαν, καὶ πρὸς μηδὲν ἐνδεήσειν ὧν ἠξίου. Ὡς δὲ καὶ ταύτην Ἡρώδης ἐδέξατο τὴν ἐπιστολήν, εὐθὺς μεταπέμπεται τὸν Ὑρκανὸν καὶ περὶ τῶν γενομένων αὐτῷ συνθηκῶν πρὸς τὸν Μάλχον ἀνέκρινεν. Ἀρνησαμένου δὲ τὰς ἐπιστολὰς δείξας τῷ συνεδρίῳ διεχειρίσατο τὸν ἄνδρα.

γ'. Ταῦτα δὲ γράφομεν ἡμεῖς ὡς ἐν τοῖς ὑπομνήμασι τοῖς τοῦ βασιλέως Ἡρώδου περιείχετο. Τοῖς δ' ἄλλοις οὐ κατὰ ταῦτα συμφωνεῖ· τὸν γὰρ Ἡρώδην οὐκ ἐπὶ τοιούτοις δοκοῦσιν, ἀλλ' ἐξ ἐπιβουλῆς μᾶλλον Ὑρκανῷ τὴν αἰτίαν ἐπαγαγόντα κατὰ τὸν αὐτοῦ τρόπον ἀποκτεῖναι. Γράφουσι γὰρ οὕτως· ἐν συμποσίῳ τινὶ μηδὲν ὑποψίας ἐνδόντα λόγον Ὑρκανῷ προσφέρειν, εἴ τινας ἐπιστολὰς παρὰ τοῦ Μάλχου λάβοι· καὶ τὸν μὲν ὁμολογῆσαι προσαγορευτικὰ γράμματα κομίσασθαι, τὸν δ' εἰ καί τινα δωρεὰν εἰληφὼς εἴη πάλιν ἐπερέσθαι· τοῦ δὲ μηδὲν πλέον ἢ κτηνῶν ἀναβατικῶν τέσσαρα πέμψαντος αὐτῷ λαβεῖν, εἰς αἰτίαν τὸ τοιοῦτον ἐπαναφέροντα δωροδοκίας καὶ προδοσίας, ἀπάγχειν προστάξαι τὸν ἄνδρα. Τεκμήρια δὲ τοῦ μηδὲν ἁμαρτόντα τοιούτῳ τέλει περιπεσεῖν καταλογίζονται τὴν ἐπιείκειαν τοῦ τρόπου καὶ τὸ μήτ' ἐν νεότητι θράσους ἢ προπετείας ἐπίδειξιν πεποιῆσθαι μήθ' ὅτε τὴν βασιλείαν αὐτὸς εἶχεν, ἀλλὰ κἀν ταύτῃ τὰ πλεῖστα τῶν κατὰ τὴν διοίκησιν Ἀντιπάτρῳ παραχεχωρηκέναι. Τότε δὲ πλείω μὴν ἢ ὀγδοήκοντα γεγονὼς ἐτύγχανεν ἔτη, κρατοῦντα δὲ μετὰ πάσης ἀσφαλείας τὸν Ἡρώδην ἠπίστατο, διαβεβήκει δὲ καὶ τὸν Εὐφράτην, τοὺς ἐν τῷ πέραν τιμῶντας αὐτὸν καταλιπών, ὡς ὅλως ἐπ' ἐκείνῳ γενησόμενος. Ἐγχειρεῖν οὖν τι καὶ καινοτέρων ἅπτεσθαι πάντων ἀπιθανώτατον καὶ οὐ πρὸς τῆς ἐκείνου φύσεως, ἀλλὰ ταῦτα σκῆψιν Ἡρώδου γενέσθαι.

δ'. Τοῦτο μὴν τὸ τέλος Ὑρκανῷ συνέπεσε τοῦ βίου, ποικίλαις καὶ πολυτρόποις χρησαμένῳ ταῖς ἐν τῷ ζῆν τύχαις. Εὐθὺς μὲν γὰρ ἐν ἀρχῇ βασιλευούσης αὐτοῦ τῆς μητρὸς Ἀλεξάνδρας ἀρχιερεὺς καταστὰς τοῦ Ἰουδαίων ἔθνους, ἔτεσιν ἐννέα τὴν τιμὴν κατέσχε· παραλαβὼν δὲ τὴν βασιλείαν ἀποθανούσης τῆς μητρὸς αὐτῷ, καὶ ταύτην κατασχὼν τρεῖς μῆνας, ἐκπίπτει μὲν ὑπὸ Ἀριστοβούλου τοῦ ἀδελφοῦ, κατάγεται δ' αὖθις ὑπὸ Πομπηΐου, καὶ πάσας τὰς τιμὰς ἀπολαβὼν ἔτη τεσσαράκοντα διετέλεσεν ἐν αὐτοῖς. Ἀφαιρεθεὶς δὲ τὸ δεύτερον ὑπ' Ἀντιγόνου, καὶ λωβηθεὶς τὸ σῶμα, παρὰ Πάρθοις αἰχμάλωτος ἐγένετο. Κἀκεῖθεν εἰς τὴν οἰκείαν

quæ a rege speraret quam quæ ab illo, literas Herodi tradidit. Atque ille laudata ejus benevolentia, ei hoc insuper officium injunxit ut clausas signatasque literas Malcho redderet, literasque vicissim ab illo acciperet : nam sua maxime interesse ut ejus quoque animum cognosceret. Quum autem ista libenter fecisset Dositheus, rescripsit Arabs se Hyrcanum ejusque comites omnes, atque adeo quicunque ab eo starent Judæos recipere, et homines missurum qui eos tuto perducerent, neque ulla in parte illius postulatis defuturum. Postquam autem has literas acceperat Herodes, Hyrcanum e vestigio accersit, et de factis inter eum et Malchum pactionibus interrogabat. Quod quum ille negasset, literas in concilio ostendit, et Hyrcanum interfici jusit.

3. Atque hæc ita scribimus, ut in Herodis regis commentariis habebantur. Inter alios vero non convenit ita se rem habuisse : non enim ob hujusmodi quid Herodem, sed ex insidiis potius accusationem adversus Hyrcanum instituisse more suo atque illum occidisse. Nam sic scribunt : quæsivisse in convivio quodam, nullam dando suspicionem, ab Hyrcano ecquid literarum a Malcho accepisset, illumque literas in quibus ab illo salutaretur, accepisse confessum; atque Herodem rursus interrogasse ecquod donum accepisset : quumque respondisset, nullum nisi quattuor jumenta ab eo missa quibus vectaretur, illud corruptelam et proditionem interpretatum, eum strangulari imperasse. Atqui nullius culpæ affinem hujusmodi exitum habuisse argumenta afferunt, quod natura fuerit mitissimus, ut quum juvenis esset nihil audaciæ aut temeritatis præ se tulerit, ac ne tum quidem quum regno potiretur, sed in eo pleraque omnia administranda Antipatro permiserit. Accedit quod tunc quidem ætatis annum octogesimum excesserit, noveritque res regni Herodi omnino in tuto esse, quin et Euphratem transierat, relictis qui trans amnem eum in summo honore habuerant, ut semet ejus potestati plane subjecturus. Maxime igitur omnium incredibile et ejus ab ingenio alienum ut aliquid moliretur novisque rebus studeret, potiusque ista ab Herode conficta videri.

4. Hyrcano quidem contigit ut hoc modo vitam finiret, diversas dum viveret et multiplices calamitates expertus. Nam, statim quidem ut mater ejus Alexandra regnare cœpit, pontifex Judæorum gentis factus per novem annos eum honorem obtinuit, matreque defuncta quum imperium suscepisset, illudque tribus mensibus tenuisset, eo excidit a fratre Aristobulo ejectus, restituitur autem a Pompejo, receptisque omnibus honoribus, annos quadraginta in iis permansit : iterumque illis ab Antigono privatus, et corporis mutilationem passus, in captivitate apud Parthos degebat. Atque inde aliquanto post tempore domum reversus

ἐπανῄει χρόνῳ, διὰ τὰς ἐξ Ἡρώδου προσγενομένας ἐλπίδας, ὧν οὐδὲν αὐτῷ κατὰ προσδοκίαν ἀπήντα, πολυπαθείᾳ βίου χρησαμένῳ· τὸ δυσχερέστατον δὲ, ὡς προειρήκαμεν, ἐν γήρᾳ τοιούτου τέλους τυγεῖν. Δοκεῖ γὰρ ἐπιεικὴς καὶ μέτριος ἐν πᾶσι γενέσθαι καὶ τὰ πλεῖστα τῆς ἀρχῆς ὑπὸ διοικηταῖς ἄγειν, οὐ πολυπράγμων, οὐδὲ δεινὸς ὢν βασιλείας ἐπιστατεῖν· Ἀντιπάτρῳ δὲ καὶ Ἡρώδῃ μέχρι τοῦδε προελθεῖν ἐγένετο διὰ τὴν ἐπιείκειαν τὴν ἐκείνου, καὶ τὸ πέρας οὔτε δίκαιον οὔτε εὐσεβὲς ἐξ αὐτῶν ηὕρατο [τοιούτου τέλους].

ε'. Ὁ δὲ Ἡρώδης, ὡς καὶ τὸν Ὑρκανὸν ἐκποδὼν ἐποιήσατο, σπεύδων πρὸς Καίσαρα, καὶ μηδὲν ἐλπίσαι περὶ τῶν αὑτοῦ πραγμάτων δυνάμενος χρηστὸν ἐκ τῆς γενομένης αὐτῷ πρὸς Ἀντώνιον φιλίας, ὕποπτον μὲν εἶχε τὴν Ἀλεξάνδραν μὴ τῷ καιρῷ συνεπιθεμένη τὸ πλῆθος ἀποστήσῃ καὶ στασιάσῃ τὰ περὶ τὴν βασιλείαν πράγματα, παρετίθετο δὲ πάντα Φερώρᾳ τἀδελφῷ, καὶ τὴν μητέρα Κύπρον καὶ τὴν ἀδελφὴν καὶ τὴν γενεὰν ἅπασαν ἐν Μασάδοις κατεστήσατο, παρακελευσάμενος, εἴ τι περὶ αὐτοῦ ἀκούσειε δυσχερὲς, ἔχεσθαι τῶν πραγμάτων. Μαριάμμην δὲ τὴν αὐτοῦ γυναῖκα (δυνατὸν γὰρ οὐκ ἦν ἐν διαφορᾷ τῇ πρὸς τὴν ἀδελφὴν καὶ τὴν μητέρα τὴν ἐκείνου δίαιταν τὴν αὐτὴν ἔχειν) ἐν Ἀλεξανδρείᾳ σὺν Ἀλεξάνδρᾳ τῇ μητρὶ κατεστήσατο, Ἰώσηπον τὸν ταμίαν καὶ τὸν Ἰτουραῖον Σόεμον ἐπ' αὐτῷ καταλιπὼν, πιστοτάτους μὲν ἐξ ἀρχῆς γενομένους αὐτῷ, τότε δὲ προφάσει τιμῆς φρουρεῖν ἀπολειφθέντας τὰς γυναῖκας. Ἦν δὲ κἀκείνοις ἐντολὴ, μαθόντας τι περὶ αὐτοῦ δυσχερὲς ἐξ αὐτῆς ἀμφοτέρας διαχειρίσασθαι, τήν τε βασιλείαν εἰς δύναμιν τοῖς παισὶν αὐτοῦ σὺν τἀδελφῷ Φερώρᾳ διατηρεῖν.

(Γ'.) ς'. Ταῦτα ἐντειλάμενος εἰς Ῥόδον ἠπείγετο Καίσαρι συντυχεῖν, κἀπειδὴ κατέπλευσεν εἰς τὴν πόλιν, ἀφῄρητο μὲν τὸ διάδημα, τοῦ δ' ἄλλου περὶ αὐτὸν ἀξιώματος οὐδὲν ὑφεικώς. Ὅτε δὲ καὶ κοινωνῆσαι λόγου κατὰ τὴν συντυχίαν ἠξιώθη, πολὺ μᾶλλον ἐνέφηνε τὸ μεγαλεῖον τοῦ κατ' αὐτὸν φρονήματος, οὔτ' εἰς ἱκεσίας, ὡς εἰκὸς ἐπὶ τοιούτοις, τραπόμενος οὔτε δέησίν τινα προτείνων ὡς ἐφ' ἁμαρτήμασιν, ἀποδοὺς δὲ τὸν λογισμὸν τῶν πεπραγμένων ἀνυποτιμήτως. Ἔλεγε γὰρ τῷ Καίσαρι, « καὶ φιλίαν αὐτῷ μεγίστην γενέσθαι πρὸς Ἀντώνιον καὶ πάντα πρᾶξαι κατὰ τὴν δύναμιν, ὡς ἐπ' ἐκείνῳ γενήσεται τὰ πράγματα, στρατείας μὲν οὐ κοινωνήσας κατὰ περιολκὰς τῶν Ἀράβων, πέμψας δὲ καὶ χρήματα καὶ σῖτον ἐκείνῳ· καὶ ταῦτ' εἶναι μετριώτερα τῶν ἐπιβαλλόντων αὐτῷ γενέσθαι. Τὸν γὰρ ὁμολογοῦντα μὲν εἶναι φίλον, εὐεργέτην δ' ἐκεῖνον ἐπιστάμενον, παντὶ μέρει καὶ ψυχῆς καὶ σώματος καὶ περιουσίας συγκινδυνεύειν δέον, ὧν αὐτὸς ἔλαττον ἢ καλῶς εἶχεν ἀναστραφείς, ἀλλ' ἐκεῖνό γε συνειδέναι καλῶς ἑαυτῷ πεποιηκότι, τὸ μήθ' ἡττηθέντα τὴν ἐν Ἀκτίῳ μάχην καταλιπεῖν, μήτε συμμεταβῆναι ταῖς ἐλπίσι φανερῶς ἤδη μεταβαινούσης τῆς τύχης, φυλάξαι δ' αὐτὸν εἰ καὶ μὴ συναγωνιστὴν ἀξιόχρεων, ἀλλὰ

est, spe inductus quam ei fecerat Herodes : nihil tamen eorum quæ speraverat feliciter ei cecidit, multis vitæ incommodis conflictato, quodque gravissimum est, ut modo diximus, in senectute talem exitum habuit. Nam mitis fuisse videtur et moderatus in omnibus, imperiumque maxima ex parte per alios administrabat, a negotiis aversus, regnandique artium imperitus : fiebatque ut Antipater et Herodes, quod is tanta fuerit lenitate, eo usque processerint; atque coactus est ab illis contra jus ac fas mortem oppetere.

5. Ceterum Herodes, Hyrcano sublato, ad Cæsarem properans, nihilque boni habens quod de rebus suis sperare propter suam cum Antonio amicitiam, Alexandram quidem suspicabatur, ne per occasionem populum ad rebellionem pelliceret, et in regni rebus seditionem suscitaret. Itaque omnia Pheroræ fratri suo mandat et Cyprum matrem et sororem et liberos omnes apud Masada collocat, dato in mandatis, ut si quid durius sibi accidisse fando audiverit, negotia tueretur. Mariamnen vero uxorem (nam fieri non poterat ut, dum adeo a sorore et matre ipsius *regis* dissideret, una cum illis degeret) in Alexandrio cum Alexandra ejus matre collocavit, relictis qui eas curarent et attenderent, Josepho quæstore et Soemo Ituræo, viris ab initio quidem ei fidissimis, tunc vero honoris specie ad mulieres custodiendas adhibitis. Verum et illis præceptum erat ut si quid mali gravioris de ipso intellexissent, statim ambas necarent, regnumque suis filiis una cum fratre Pherora pro viribus conservarent.

(X.) 6. His imperatis, Rhodum magnis itineribus contendit ad Cæsarem. Atque ubi in urbem pervenit, diadema deposuit, cetero apparatu ne minimum quidem mutato. Postquam vero in ejus congressum colloquiumque venerat, multo magis animi sui magnitudinem ostendit, neque ad supplicationes (ut par erat in hujusmodi rebus) versus, neque preces ullas adhibens, ut errati veniam impetraret, sed impune factorum rationem reddens. Nam Cæsari dicebat, « et amicitiam sibi maximam cum Antonio fuisse, seque omnia pro virili præstitisse, ut summa rerum penes illum esset, armis tamen eum non adjuvisse, quod tum bello Arabico distineretur, sed tantum ei pecuniam frumentumque suppeditasse : nec tamen se hac in parte officio suo satisfecisse. Qui enim se amicum esse profitetur, sibique conscius est alterum de se bene meruisse, debet ad vitam non minus ac vires et opes profundendas omne cum eo discrimen adire : ex quibus licet ipse minus quam oportebat ei reddiderit, hoc tamen se præclare fecisse sibi persuasissimum esse, quod neque pugna Actiaca victum deseruerit, neque fortuna jam plane mutata ad spes novas se transtulerit, sed quamvis pro auxiliatore satis idonee

σύμβουλόν γε ἀξιώτατον Ἀντωνίου, τὴν μίαν αἰτίαν τοῦ καὶ σώζεσθαι καὶ μὴ τῶν πραγμάτων ἐκπεσεῖν ὑποθεικνύντα, Κλεοπάτραν ἐπανελέσθαι· προανῃρημένης γὰρ ἐκείνης, αὐτῷ τε τῶν πραγμάτων ἄρχειν ὑπεῖναι καὶ τὰς πρὸς σὲ συμβάσεις ῥᾷον εὑρίσκεσθαι τῆς ἔχθρας. Ὧν οὐδὲν ἐκεῖνος ἐννοηθεὶς ἀλυσιτελῶς μὲν αὐτῷ, συμφερόντως δὲ σοὶ προετίμησε τὴν ἀβουλίαν. Νῦν οὖν εἰ μὲν τῇ πρὸς Ἀντώνιον ὀργῇ κρίνεις καὶ τὴν ἐμὴν προθυμίαν, οὐκ ἂν εἴη μοι τῶν πεπραγμένων ἄρνησις, οὐδ' ἀπαξιώσω τὴν ἐμαυτοῦ πρὸς ἐκεῖνον εὔνοιαν ἐκ τοῦ φανεροῦ λέγειν· εἰ δὲ τὸ πρόσωπον ἀνελὼν τίς εἰμὶ πρὸς τοὺς εὐεργέτας καὶ ποῖος φίλος ἐξετάζοις, ἔσται σοι πεῖρα τῶν ἤδη γεγενημένων ἡμᾶς εἰδέναι. Τοῦ γὰρ ὀνόματος ὑπαλλαγέντος, οὐδὲν ἔλαττον αὐτὸ τὸ τῆς φιλίας βέβαιον ἐν ἡμῖν εὐδοκιμεῖν δυνήσεται. »

ζ'. Τοιαῦτα λέγων καὶ παράπαν ἐμφαίνων τὸ τῆς ψυχῆς ἐλευθέριον, οὐ μετρίως ἐπεσπάσατο τὸν Καίσαρα, φιλότιμον ὄντα καὶ λαμπρὸν, ὥστε αὐτῷ τὰς τῶν ἐγκλημάτων αἰτίας σύστασιν ἤδη τῆς πρὸς ἐκεῖνον εὐνοίας πραγματεύεσθαι. Καὶ τό τε διάδημα πάλιν ἀποκαθίστησιν αὐτῷ καὶ προτρεψάμενος μηδὲν ἐλάττω περὶ αὐτὸν ἢ πρότερον ἦν περὶ τὸν Ἀντώνιον φαίνεσθαι διὰ πάσης ἦγε τιμῆς, προσθεὶς ὅτι Κόϊντος Δίδιος γράψειεν ἁπάσῃ προθυμίᾳ τὰ πρὸς τοὺς μονομάχους αὐτῷ συλλαβέσθαι τὸν Ἡρώδην. Τοσαύτης ἀποδοχῆς ἠξιωμένος καὶ παρ' ἐλπίδας ὁρῶν αὐτῷ πάλιν ἐξ ὑπαρχῆς βεβαιοτέραν τὴν βασιλείαν δόσει Καίσαρος καὶ δόγματι Ῥωμαίων, ὅπερ ἐκεῖνος αὐτῷ πρὸς τὸ βέβαιον ἐπραγματεύσατο, παρέπεμψεν ἐπ' Αἴγυπτου Καίσαρα, δωρησάμενος ὑπὲρ δύναμιν αὐτόν τε καὶ τοὺς φίλους, καὶ πᾶσαν ἐμφαίνων μεγαλοψυχίαν. Ἠτεῖτο δὲ καὶ τῶν Ἀντωνίῳ συνήθων Ἀλέξανδρον, ὡς μηδὲν ἀνήκεστον παθεῖν· ἀλλὰ τούτου μὲν οὐκ ἔτυχεν, ὅρκῳ προκατειλημμένου Καίσαρος. Ἐπανῄει δὲ πάλιν εἰς τὴν Ἰουδαίαν πλείονί τε τιμῇ καὶ παρρησίᾳ καὶ τοῖς τὰ ἐναντία προσδοκήσασιν ἔκπληξιν παρέσχεν, ὡς ἀεὶ τὸ λαμπρότερον ἐκ τῶν κινδύνων κατ' εὐμένειαν τοῦ Θεοῦ προσεπικτώμενος. Εὐθὺς μὲν οὖν περὶ τὴν ὑποδοχὴν ἐγεγόνει Καίσαρος ἀπὸ Συρίας εἰς Αἴγυπτον εἰσβαλεῖν μέλλοντος. Κἀπειδὴ παρῆν, δέχεται μὲν αὐτὸν ἐν Πτολεμαΐδι πάσῃ τῇ βασιλικῇ θεραπείᾳ, παρέσχε δὲ καὶ τῷ στρατεύματι ξένια καὶ τῶν ἐπιτηδείων ἀφθονίαν. Κἂν τοῖς εὐνουστάτοις ἐξητάζετο, τάς τε δυνάμεις ἐκτάττοντος συνιππαζόμενος καὶ δεχόμενος αὐτὸν καὶ φίλους ἀνδρῶσιν ἑκατὸν καὶ πεντήκοντα, πᾶσιν εἰς πολυτέλειαν καὶ πλούτων ὑπηρεσίας ἠσκημένοις. Παρέσχε δὲ καὶ τὴν ἄνυδρον διερχομένοις τὴν τῶν ἐπειγόντων χορηγίαν, ὡς μήτε οἴνου μήτε ὕδατος, ὃ καὶ μᾶλλον ἦν ἐν χρείᾳ στρατιώταις, ὑστερηθῆναι. Αὐτόν γε μὴν Καίσαρα ταλάντοις ὀκτακοσίοις ἐδωρήσατο, καὶ παρέστησεν ἅπασιν ἔννοιαν λαβεῖν ὅτι τῆς βασιλείας ἧς ἔτυχε πολὺ μείζω καὶ λαμπρότερα τὰ κατὰ τὰς ὑπουργίας ἐνεδείξατο. Τοῦτ' αὐτὸν καὶ μᾶλλον εἰς πίστιν εὐνοίας καὶ προθυμίας ἐπισυνίστη, καὶ πλεῖστον ἠνέγκατο τῇ χρείᾳ τοῦ καιροῦ

sese non gesserit, consiliarium tamen Antonio optimum semet probaverit, ut qui unicam salutis viam rationemque sibi omnia salva conservandi ei ostenderit, nempe ut Cleopatram interficeret: hac enim perempta ipsi et rerum potiundi spem subesse, et facilius esse gratiam a te inire quam inimicitias tecum habere. Quæ quum ille nullatenus secum reputasset, temerarium consilium meo prætulit, quod ipsi in damnum, tibi in commodum cessit. Nunc igitur si Antonio subiratus me condemnaveris, quod huic adeo studuerim, confitentem habes reum, neque me pigebit coram dicere quanta illum benevolentia prosequutus sim: sin vero, commutata persona, requiras qui vir sim erga beneficos, qualisque amicus, licebit tibi ex præteritis edocto nos cognoscere. Mutato enim nomine, erit nihilominus ut amicitiæ nostræ firmitudinem alteri approbemus. »

7. Quum talia diceret, et quo esset animo ingenuo ostenderet, non mediocriter Cæsarem allexit, virum generosum et magnificum, ita ut illa ex quibus accusatio instituereturbenevolentiam ei conciliaverint. Et tunc ei diadema rursus imposuit, eumque monuit ut sibi non minus amicus esset quam ante fuisset Antonio, atque ei maximos honores habuit, addens Quintum Didium ad se scripsisse, Herodem omni studio sibi opem tulisse in negotio gladiatorum. Quum tam benigne exceptus esset, atque ex insperato videret regnum rursus ab integro sibi magis confirmatum, tam donatione Cæsaris quam Romanorum senatusconsulto, quod ad majorem certitudinem curavit obtinendum, Cæsarem in Ægyptum *proficiscentem* deduxit, eumque et ejus amicos supra vires muneratus est, sese quam potuit magnificentissime gerens. Quin et petebat ne quid Alexander, qui fuerat ex familiaribus Antonio, gravius pateretur: sed illud quidem non impetravit, impediente Cæsarem jurejurando. Rursus autem in Judæam se recepit, majore cum honore et fiducia, eosque qui contraria exspectaverant attonitos reddidit, quasi Dei benignitate majorem semper ex periculis splendorem sibi acquireret. Et continuo quidem Cæsarem ut acciperet operam dedit, qui a Syria invasurus erat in Ægyptum. Atque ubi ille advenit, apud Ptolemaidem eum omni regio apparatu excepit, insuper et exercitui ejus lautia dedit magnamque rerum necessariarum copiam. Quo factum est ut inter fidissimos haberetur, una cum eo obequitans dum milites ordinaret et lustraret, ipsumque et amicos ejus excipiens cubiculis centum et quinquaginta, omnibus splendidissime et ad ministeria sumptuosissima exornatis. Quin et ipsos per eam regionem transeuntes quæ caret aqua, ita contra inopiam, qua premerentur, munivit, ut nec vino, nec aqua, quæ tum magis necessaria erat militibus, caruerint. Ipsi vero Cæsari octingenta talenta donavit, fecitque ut omnes existimarent majorem in modum et luculentius quam regni facultates ferrent omnia suppeditasse. Atque inde fiebat ut eo magis illis de ejus benevolentia studioque persuaderetur; atque ei plurimum profuit quod ad temporis necessitatem magnanimita-

τὸ μεγαλόψυχον ἁρμόσας. Ὁ δὲ, καὶ πάλιν ἐπανιόντων ἀπ' Αἰγύπτου, τῶν πρώτων οὐδὲν εἰς τὰς ὑπηρεσίας ἥττων ἐφάνη.

ΚΕΦ. Ζ'.

Τότε μέντοι γενόμενος ἐν τῇ βασιλείᾳ τεταραγμένην αὐτῷ τὴν οἰκίαν καταλαμβάνει καὶ χαλεπῶς ἐχούσας τήν τε γυναῖκα Μαριάμμην καὶ τὴν μητέρα τὴν ἐκείνης Ἀλεξάνδραν. Οἰηθεῖσαι γὰρ, ὅπερ γ' ἦν ὕποπτον, οὐκ εἰς ἀσφάλειαν τῶν σωμάτων εἰς ἐκεῖνο κατατεθῆναι τὸ χωρίον, ἀλλ' ὡς ἐν φρουρᾷ μηδενὸς μήτε τῶν ἄλλων μήθ' αὑτῶν ἐξουσίαν ἔχειν, χαλεπῶς ἔφερον. Ἥ τε Μαριάμμη τὸν μὲν ἔρωτα τοῦ βασιλέως ὑπόκρισιν ἄλλως καὶ πρὸς τὸ συμφέρον αὐτῷ γινομένην ἀπάτην ὑπελάμβανεν, ἤχθετο δὲ τῷ μηδ' εἰ πάσχοι τι δεινὸν ἐκεῖνος ἐλπίδα τοῦ βιώσεσθαι δι' αὐτὸν ἐσχηκέναι, καὶ τὰς Ἰωσήπῳ δοθείσας ἐντολὰς ἀνεμνημόνευεν, ὥστ' ἤδη διὰ θεραπείας εἶχε τοὺς φρουροὺς καὶ μᾶλλον τὸν Σόεμον, ἐν ἐκείνῳ τὸ πᾶν ἐπισταμένη. Σόεμος δὲ κατὰ μὲν τὰς ἀρχὰς πιστὸς ἦν, οὐδὲν ὧν Ἡρῴδης ἐνετείλατο παριείς, λόγοις δὲ καὶ δωρεαῖς λιπαρέστερον τῶν γυναικῶν ἐκθεραπευουσῶν αὐτὸν ἡττᾶτο κατὰ μικρὸν ἤδη, καὶ τέλος ἐξεῖπεν ἁπάσας τὰς ἐντολὰς τοῦ βασιλέως, μάλιστα μὲν οὐδ' ἐλπίσας αὐτὸν ἐπὶ τῆς αὐτῆς ὑποστρέψειν ἐξουσίας. Ἐν ᾧ καὶ μᾶλλον ἐκφυγὼν τὸν ἀπ' αὐτοῦ κίνδυνον οὐ μικρὰ χαριεῖσθαι ταῖς γυναιξὶν ὑπελάμβανεν, ἃς ἦν εἰκὸς οὐκ ἀποτεύξεσθαι τοῦ περιόντος ἀξιώματος, ἀλλὰ καὶ πλέον εἰς τὴν ἀμοιβὴν ἐξιέναι βασιλευούσας ἢ τοῦ βασιλεύοντος ἀγχοῦ γενησομένας. Ἐπήλπιζε δ' αὐτὸν οὐχ ἧττον, εἰ καὶ πάντα κατὰ νοῦν πράξας ὑποστρέψειεν Ἡρῴδης, τὸ μηδὲν τῇ γυναικὶ δυνήσεσθαι βουλομένῃ γε ἀντειπεῖν· ἠπίστατο γὰρ τὸν πρὸς τὴν Μαριάμμην ἔρωτα μείζονα λόγου τῷ βασιλεῖ. Ταῦτ' ἦν τὰ προσελκύσαντα τὰς ἐντολὰς ἐξαγγεῖλαι. Μαριάμμη δὲ χαλεπῶς μὲν ἤκουσεν, εἰ μηδὲν πέρας αὐτῇ τῶν ἐξ Ἡρῴδου κινδύνων ἔσται, χαλεπῶς δὲ διέκειτο, μηδενὸς μὲν τυχεῖν αὐτὸν τῶν ἴσων εὐχομένη, δυσύποιστον δ' εἰ τύχοι τὸν μετ' αὐτοῦ βίον κρίνουσα. Καὶ τοῦτο διέδειξεν ἐν ὑστέρῳ, μηδὲν ἐπικρυψαμένη τοῦ καθ' αὑτὴν πάθους.

β'. Ὁ μὲν γὰρ ἐπὶ μεγάλοις οἷς παρ' ἐλπίδας ηὐτυχήκει καταπεπλευκὼς, πρώτῃ μὲν, ὡς εἰκὸς, τῇ γυναικὶ περὶ τούτων εὐηγγελίζετο· μόνην δ' ἐκ πάντων διὰ τὸν ἔρωτα καὶ τὴν οὖσαν αὐτῷ συνήθειαν προτιμῶν ἠσπάζετο. Τῇ δ' οὔτε τὰς εὐημερίας διηγουμένου χαίρειν μᾶλλον ἢ χαλεπῶς φέρειν συνέβαινεν οὔτ' ἐπικρύπτεσθαι τὸ πάθος δυνατὸν ἦν, ἀλλ' ὑπ' ἀξίας καὶ τῆς περιούσης εὐγενείας πρὸς μὲν τοὺς ἀσπασμοὺς ἀνέστενε, τοῖς δὲ διηγήμασιν ἄχθεσθαι μᾶλλον ἢ συγχαίρειν ἐνέφαινεν, ὥστ' οὐχ ὕποπτα μόνον, ἀλλὰ καὶ καταφανῆ γινόμενα τὸν Ἡρῴδην ἐπιταράττειν. Ἠδημόνει μὲν γὰρ ὁρῶν τὸ παράλογον τῆς γυναικὸς πρὸς αὐτὸν μῖσος οὐκ ἀποκεκρυμμένον, ἤχθετο δὲ τῷ πράγματι καὶ τὸν ἔρωτα φέρειν ἀδυνατῶν ταῖς τε ὀργαῖς

tem suam accommodaverit. Ille etiam, quum iterum ex Ægypto redirent, officia prioribus nulla re minora præstitit.

CAP. VII. (XI.)

Tunc vero in regnum reversus, domum suam turbatam offendit, uxoremque Mariammen et illius matrem Alexandram male compositas. Ratæ enim, id quod suspicabantur, non securitatis causa se in id castellum conclusas, sed quasi in carcere nihil rerum alienarum suarumve in sua potestate habere, ægerrime ferebant: et Mariamne regis amorem, ipsius commodo simulatum, nihil nisi fallaciam esse existimabat; eamque angebat quod ne tum quidem, si quid gravius ille pateretur, ipsi per eum vitæ spes superesset: sibique in memoriam revocabat quæ mandata erant Josepho, ita ut custodes modis omnibus demereri studeret, et inprimis Soemum, gnara ejus in manu esse omnia. Ab initio quidem Soemus fidus erat, ita ut nihil eorum omiserit quæ præceperat Herodes; quum autem mulieres studiosius eum blandis sermonibus et muneribus demulcerent, paulatim victus cedebat, et ad extremum omnia regis mandata exposuit; præsertim quod non speraret eum cum eadem potestate reversurum. Quamobrem, ut qui eo magis periculum ex illo effugeret, mulieribus non parum gratificari in animum induxit, quas verisimile erat suam retenturas esse dignitatem, imo et longius in gratia ipsi referenda processuras esse, quum vel regnaturæ sint vel regnanti proximæ futuræ. Nec tamen minorem spem concipiebat, si Herodes, rebus ex sententia confectis, rediret, ut qui uxoris voluntati nihil contradicere potuerit: nam sciebat regem Mariamnes amore justo vehementius ardere. His inductus *regis* mandata enunciavit. At Mariamne ægre admodum accepit, nova sibi semper alia ex aliis ab Herode nasci pericula: idque iniquo animo ferebat, orans optansque ut ille nihil æqui impetraret, quod vitam cum eo vix vitalem esse sibi persuaderet. Id quod postea non dissimulavit, aperte fassa quid ipsam male haberet.

2. At ille quidem quum revertisset, magna præter spem feliciter assequutus, primæ uxori, ut par erat, læta de istis nunciabat, solamque eam ex omnibus, ceteris prælatam, ex amore et more suo salutabat. Illi autem contigit ut dum is itineris sui successum narrat, non magis gauderet quam mœreret, neque dolorem suum occultare potuit, sed, dignitatis quippe et nobilitatis suæ conscia, dum salutaretur ingemiscebat, et ex narratione ejus tristitiam magis quam lætitiam præ se ferebat, ut jam Herodes non tam suspicionibus quam factis manifestis turbaretur. Angebatur enim quum videret uxorem in se habere odium inopinatum minimeque occultum: idcirco rem iniquissime tulit, et amoris

καὶ ταῖς διαλλαγαῖς οὐκ ἐνέμενεν, ἀεὶ δὲ ἀπὸ θατέρου μεταβαίνων εἰς θάτερον ἐφ' ἑκατέρῳ πολλὴν εἶχεν ἀπορίαν. Οὕτως ἦν ἐν μέσῳ τοῦ στυγεῖν καὶ στέργειν ἀπολιφθείς, καὶ πολλάκις ἕτοιμος ὢν ἀμύνασθαι τῆς ὑπερηφανίας αὐτὴν διὰ τὸ προκατειλῆφθαι τὴν ψυχὴν ἀσθενέστερος εἰς τὸ μεταστήσασθαι τὴν ἄνθρωπον ἐγένετο. Τὸ δὲ σύμπαν ἡδέως ἂν ἐκείνην κολάσας ἐδεδοίκει μὴ λάθῃ παρ' αὐτῆς μείζονα τὴν τιμωρίαν ἀποθανούσης εἰσπραττόμενος.

γ'. Συνιδοῦσαι δὲ αὐτὸν οὕτως ἔχοντα πρὸς τὴν Μαριάμμην ἥ τε ἀδελφὴ καὶ ἡ μήτηρ, κάλλιστον ᾠήθησαν τὸν καιρὸν τοῦ πρὸς ἐκείνην μίσους εἰληφέναι, καὶ διελάλουν οὐ μικραῖς παροξύνουσαι τὸν Ἡρώδην διαβολαῖς, μῖσος ὁμοῦ καὶ ζηλοτυπίαν ἐμποιεῖν δυνησομέναις. Ὁ δ' οὔτε τῶν τοιούτων ἀηδῶς ἤκουε λόγων οὔτε δρᾶν τι κατὰ τῆς γυναικὸς ὡς πεπιστευκὼς ἐπεθάρρει. Χεῖρον μέντοι πρὸς αὐτὴν εἶχεν ἀεί, καὶ τὸ πάθος ἀντεξεκαίετο, τῆς μὲν οὐκ ἀποκρυπτομένης τὴν διάθεσιν, τοῦ δὲ τὸν ἔρωτα πρὸς ὀργὴν ἀεὶ μεταβάλλοντος, κἂν εὐθὺς ἐπράχθη τι τῶν ἀνηκέστων. Νῦν δὲ Καίσαρος ἀγγελθέντος κρατεῖν τῷ πολέμῳ καὶ τεθνηκότων Ἀντωνίου καὶ Κλεοπάτρας ἔχειν Αἴγυπτον, ἐπειγόμενος εἰς τὸ Καίσαρι ἁπαντᾶν, κατέλιπεν ὡς εἶχε τὰ περὶ τὴν οἰκίαν. Ἐξιόντι δὲ Μαριάμμη παραστησαμένη τὸν Σόεμον πολλήν τε χάριν τῆς ἐπιμελείας ὡμολόγει καὶ μεριδαρχίαν αὐτῷ παρὰ τοῦ βασιλέως ᾐτήσατο. Κἀκεῖνος μὲν τυγχάνει τῆς τιμῆς, Ἡρώδης δὲ γενόμενος ἐν Αἰγύπτῳ Καίσαρί τε μετὰ πλείονος συντυγχάνει τῆς παρρησίας, ὡς ἤδη φίλος, καὶ μεγίστων ἠξιώθη. Τῶν τε γὰρ Κλεοπάτραν δορυφορούντων Γαλατῶν τετρακοσίοις αὐτὸν ἐδωρήσατο καὶ τὴν χώραν ἀπέδωκεν αὐτῷ πάλιν, ἣν δι' ἐκείνης ἀφῃρέθη· προσέθηκε δὲ καὶ τῇ βασιλείᾳ Γάδαρα καὶ Ἵππον καὶ Σαμάρειαν, ἔτι δὲ τῆς παραλίου Γάζαν καὶ Ἀνθηδόνα καὶ Ἰόπην καὶ Στράτωνος πύργον.

δ'. Ἐπιτυχὼν δὲ καὶ τούτων λαμπρότερος ἦν, καὶ τὸν μὲν Καίσαρα παρέπεμψεν ἐπ' Ἀντιοχείας, αὐτὸς δ' ἐπανελθών, ὅσον ᾤετο τὰ πράγματα αὐτῷ διὰ τῶν ἔξωθεν ἐπιδιδόναι πρὸς εὐδαιμονίαν, τοσοῦτον ἐκαμνε τοῖς οἰκείοις, καὶ μάλιστα περὶ τὸν γάμον, ἐν ᾧ καὶ μᾶλλον εὐτυχεῖν ἐδόκει πρότερον. Ἔρωτα γὰρ οὐδενὸς ἐλάττω τῶν ἱστορουμένων ἐπεπόνθει μετὰ τοῦ δικαίου τῶν Μαριάμμης· ἡ δὲ τὰ μὲν ἄλλα σώφρων καὶ πιστὴ πρὸς αὐτὸν ἦν, εἶχε δέ τι καὶ γυναικεῖον ὁμοῦ καὶ χαλεπὸν ἐκ φύσεως, ἱκανῶς μὲν ἐντρυφῶσα δεδουλωμένῳ διὰ τὴν ἐπιθυμίαν, καὶ τὸ βασιλεύεσθαι καὶ κρατεῖν ἄλλον αὐτῆς οὐ συγκαταλογιζομένη τῷ καιρῷ, πολλάκις μὲν ὑβριστικῶς αὐτῷ προσηνέχθη, καὶ τοῦτ' ἐκεῖνος ἐξειρωνευόμενος ἔφερεν ἐγκρατῶς καὶ μειζόνως. Ἀναφανδὸν δὲ τήν τε μητέρα καὶ τὴν ἀδελφὴν ἐπὶ δυσγενείᾳ διεχλεύαζε καὶ κακῶς ἔλεγεν· ὥστ' ἤδη στάσιν ἐν ταῖς γυναιξὶν εἶναι καὶ μῖσος ἄσπονδον, ἐν δὲ τῷ τότε καὶ διαβολὰς μείζονας. Ἡ τε ὑποψία τρεφομένη παρέτεινεν ἐνιαυτοῦ μῆκος, ἐξ οὗ παρὰ Καίσαρος

impatiens, quandoque iratus erat, quandoque reconciliatus, semperque ab uno ad alterum transiens quo se verteret plane nesciebat. Atque ita in medio inter amorem et odium nutabat, et quum sæpe eam ob superbiam pœna persequi decreverit, amore victus debilior erat quam ut mulierem summoveret. Ad summam, quum valde eam punire cuperet, veritus est ne in se ipsum nihil tale cogitantem gravius, illa defuncta, animadvertat.

3. Quum autem soror ejus et mater animum illius in Mariamnen intellexissent, pulcerrimam se occasionem nactas existimarunt suum in eam odium exercendi: et Herodem, dum sermonem cum eo haberent, calumniis irritarunt acerbis, quibus ad odium et obtrectationem perduci posset. Atqui ille et hujusmodi verba libenter audiebat, neque in uxorem, quasi illis fidem haberet, aliquid statuere audebat. Tamen in dies erat alieniore in eam animo, gliscebatque utrinque malum, dum et illa affectum suum non dissimulat, et hic amorem assidue convertit in odium: adeo ut jam tum fuerit in eam gravius aliquid statuturus. Sed quum interea nunciaretur Cæsar victoria potitus, et mortuis Antonio et Cleopatra Ægyptum obtinuisse, Cæsari celeriter obviam proficiscens domum suam in eo statu reliquit. At discedenti commendavit Mariamne Soemum, plurimumque ei debere fatebatur, qui sui sedulo curam gessisset, eique præfecturam a rege exoravit. Et ille quidem honorem hunc obtinet, Herodes vero, ubi in Ægyptum pervenit, cum Cæsare confidenter, jam ut amicus, colloquebatur, et ab eo maxima *beneficia* accepit. Nam Cæsar ei quadringentos Gallos, Cleopatræ stipatores, dono dedit, terramque ei restituit, qua propter Cleopatram mulctatus fuerat; necnon ejus regno Gadara et Hippon et Samariam addidit, et in ora maritima Gazam et Anthedonem et Jopen et Stratonis turrim.

4. Quas ille insuper res consequutus magnificentior evasit, et Cæsarem quidem ad Antiochiam usque comitatus est, ipse vero reversus, quantum res suas prospero foris successu crescere putabat, tanto plus malorum in domesticis habebat, præsertim in re conjugali, in qua antea tam fortunatus esse videbatur. Flagraverat enim, idque merito, Mariammes amore, non minus quam illi de quibus loquuntur historiæ: illa vero alioquin pudica et erga eum fidelis erat, sed ingenium habebat muliebre paulo odiosius, quippe quæ eum amore devinctum satis imperiose tractaret, atque tum quidem, non secum reputans quod in regno viveret et alterius imperio subesset, sæpe in eum petulantius se gereret, id quod ille dissimulans moderate et patienter ferebat. Deridebat etiam ipsa palam regis matrem et sororem, et de eis ob ipsarum generis obscuritatem male dicebat: adeo ut inter feminas jam esset simultas et odium inexpiabile, et tunc etiam graviores jacerentur calumniæ. Atque ea suspicio tota integrum annum duravit post Herodis a Cæsare

Ἡρώδης ὑποστρέφει. Τέλεον μέντοι προοικονομούμενον ἐκ πλείονος ἐξερράγη, τοιαύτης ἀφορμῆς ἐγενομένης. Κατακλινόμενος ὁ βασιλεὺς ὡς ἀναπαύσασθαι μεσημβρίας οὔσης, ἐκάλει τὴν Μαριάμμην ὑπὸ φιλοστοργίας ἧς ἀεὶ περὶ αὐτὴν εἶχεν. Ἡ δὲ εἰσῆλθε μέν, οὐ μὴν καὶ κατεκλίθη [σπουδάζοντος], ἐκφαυλίσασα καὶ προσλοιδορηθεῖσα τόν τε πατέρα καὶ τὸν ἀδελφὸν αὐτῆς ὡς ἀπεκτόνει. Χαλεπῶς δ' ἐκείνου τὴν ὕβριν ἐνηνοχότος καὶ γεγονότος εἰς προπέτειαν ἑτοίμου, τῆς ταραχῆς αἰσθανομένη μείζονος ἡ τοῦ βασιλέως ἀδελφὴ Σαλώμη, παρεσκευασμένον ἐκ πλείστου τὸν οἰνοχόον εἰσπέμπει, κελεύουσα λέγειν ὡς πείθει Μαριάμμη φίλτρον αὐτῇ συγκατασκευάσαι τῷ βασιλεῖ· κἂν ταραχθῇ καὶ πυνθάνηται τί ποτε τοῦτ' ἦν, λέγειν ὅτι ** φάρμακον μὲν ἐκείνης ἐχούσης, αὐτοῦ δὲ διακονῆσαι παρακαλουμένου· μὴ κινηθέντος δὲ ἐπὶ τῷ φίλτρῳ τὸν λόγον ἀργὸν ἐᾶν· οὐδένα γὰρ αὐτῷ κίνδυνον φέρειν. Τοιαῦτα προδιδάξασα κατ' ἐκεῖνον τὸν καιρὸν εἰσπέμπει διαλεξόμενον. Ὁ δὲ πιθανὸς ἅμα καὶ μετὰ σπουδῆς εἰσῆλθε, δῶρα μὲν αὐτῷ τὴν Μαριάμμην παρεσχῆσθαι λέγων, ἀναπείθειν δὲ φίλτρον αὐτῷ δοῦναι. Πρὸς τοῦτο διακινηθέντος, τὸ φίλτρον ἔλεγεν εἶναι φάρμακον ὑπ' ἐκείνης διδόμενον, οὗ τὴν δύναμιν αὐτὸς οὐκ εἰδέναι· διὸ καὶ προσαγγεῖλαι τοῦτ' ἀσφαλέστερον αὐτῷ καὶ τῷ βασιλεῖ διειληφότα. Τοιούτων ἀκούσας ὁ Ἡρώδης λόγων, καὶ πρότερον κακῶς διακείμενος, ἔτι μᾶλλον ἀνηρεθίσθη, τόν τ' εὐνοῦχον, ὃς ἦν τῇ Μαριάμμῃ πιστότατος, ἐβασάνιζεν ὑπὲρ τοῦ φαρμάκου, γινώσκων ὡς χωρὶς ἐκείνου οὐ δυνατὸν ἦν οὔτε μεῖζον οὔτ' ἔλαττόν τι πεπρᾶχθαι. Γενόμενος δ' ἐν ταῖς ἀνάγκαις ὁ ἄνθρωπος οὐδὲν μὲν ὧν ἕνεκεν ἐβασανίζετο λέγειν εἶχε, τὸ μέντοι τῆς γυναικὸς ἔχθος εἰς αὐτὸν ἔφη γενέσθαι, διὰ τοὺς λόγους οὓς ὁ Σόεμος αὐτῇ φράσειε. Ταῦτα δ' ἔτι λέγοντος, μέγα βοήσας ὁ βασιλεὺς, οὐκ ἂν ἔφη Σόεμον, πιστότατον ὄντα τὸν ἄλλον χρόνον αὐτῷ τε καὶ τῇ βασιλείᾳ, καταπροδοῦναι τὰς ἐντολὰς, εἰ μὴ καὶ περαιτέρω προεληλύθει τῆς πρὸς τὴν Μαριάμμην κοινωνίας. Καὶ τὸν μὲν Σόεμον εὐθὺς ἐκέλευσεν ἀποκτεῖναι συλλαβόντας, τῇ δὲ γυναικὶ κρίσιν ἀπεδίδου, συναγαγὼν τοὺς οἰκειοτάτους αὐτῷ, καὶ τὴν κατηγορίαν ἐσπουδασμένην ποιούμενος ὑπὲρ τῶν κατὰ τὰς διαβολὰς φίλτρων καὶ φαρμάκων. Ἦν δὲ ἀκρατὴς ἐν τῷ λόγῳ καὶ κρίσεως ὀργιλώτερος· καὶ τέλος οὕτως ἔχοντα γινώσκοντες αὐτὸν οἱ παρόντες θάνατον αὐτῆς κατεψηφίσαντο. Διενεχθείσης δὲ τῆς γνώμης, ὑπεγένετο μέν τι καὶ τοιοῦτον αὐτῷ τε καί τισι τῶν παρόντων, μὴ προπετῶς οὕτως ἀναιρεῖν, καταθέσθαι δὲ εἰς ἕν τι τῶν ἐν τῇ βασιλείᾳ φρουρίων. Ἐσπουδάσθη δὲ ταῖς περὶ τὴν Σαλώμην ἐκποδὼν ποιήσασθαι τὴν ἄνθρωπον, καὶ μᾶλλον ἔπεισαν τὸν βασιλέα, τὰς ταραχὰς τοῦ πλήθους, εἰ ζῶσα τύχοι, φυλάξασθαι συμβουλεύουσαι. Μαριάμμη μὲν οὖν οὕτως ἤγετο τὴν ἐπὶ θανάτῳ.

ε'. Συνθεωρήσασα δὲ τὸν καιρὸν ἡ Ἀλεξάνδρα καὶ

reditum. Postremo tamen alitum diu malum erupit ex hujusmodi occasione. Quum rex quietis gratia meridie cubaret, Mariamnen pro suo perpetuo in eam amore ad se vocabat. Illa vero ingressa quidem est, tamen non cum eo cubuit, [quum hoc vellet,] sed contempsit et contumelia affecit, ut patris ipsius fratrisque necis auctorem. Quum autem ille graviter contumeliam tulisset, et ad temerarium aliquid committendum se parasset, Salome regis soror, majorem turbam sentiens, eo summisit regis pocillatorem a se jam pridem subornatum, jussitque ut diceret a Mariamne rogatum se ut ipsam in conficiendo regi amatorio adjuvaret: quodsi rex turbatus quæsivisset quid esset, diceret ** amatorium penes ipsam esse, sed se ab ea oratum ut id regi porrigeret; sin hac amatorii mentione rex non moveretur, sileret et nihil laboraret; id enim ei nullum afferre periculum. Hunc illa ita instructum tempore ipso misit intro colloquuturum. Ille compositus ad fidem et cum studio ingressus, dicit Mariamnen sibi dona dedisse, suasisseque ut regi præberet amatorium. Ad hoc commoto rege, id amatorium dicebat esse pharmacum quod ab ea daretur, cujus quænam vis esset nescire se: hac de causa se id *regi* indicasse, ratum id et sibi et regi tutius futurum. His verbis auditis Herodes, qui jam ante male affectus esset, etiam magis exacerbatus est: et de spadone, qui erat Mariamnæ fidissimus, quæstionem habuit super pharmaco, sciens sine illo nihil tantum tantulumve potuisse fieri. At homo in angustias redactus nihil eorum, propter quæ cruciabatur, dicere potuit: tantum mulieris in se odium dixit a verbis profectum, quæ ei Soemus dixisset. Hæc eo adhuc loquente, rex, magno clamore sublato, dicebat Soemum, antea et sibi et regno fidelissimum, nunquam fuisse mandata enunciaturum, nisi majus ei quam par esset cum Mariamne commercium intercessisset. Atque ita Soemum quidem e vestigio comprehendi et necari jussit, de uxore vero judicium habuit, convocatis suis familiarissimis, et accusatione in ipsam magno studio instituta de amatoriis et pharmacis ei per calumniam objectis. Erat autem *Herodes* in verbis intemperans et iracundior quam esse in judicio deceret; tandemque ii qui aderant ita animatum videntes, eam capite damnarunt. Tamen lata sententia, et ipsi et nonnullis qui præsentes erant in mentem venit ut non temerario illam perimerent, sed in aliquo regni munito loco collocarent. Atqui Salome sedulo operam dedit ut mulier de medio tolleretur, idque magis regi persuasit, consulendo ut populi motus caveret, qui possent exsistere, si ea viva conservaretur. Atque ita quidem ad necem ducta est Mariamne.

5. Alexandra vero, quo loco res esset animadvertens, et

ὅτι μικρὰς ἐλπίδας ἔχει μὴ καὶ αὐτὴ τῶν ὁμοίων ἐξ Ἡρῴδου τύχοι, ἐναντίως πρὸς τὸ πρῶτον θράσος καὶ λίαν ἀπρεπῶς μετεβάλλετο. Βουλομένη γὰρ ἐμφῆναι τὴν ἄγνοιαν ὧν ἐκείνη τὰς αἰτίας εἶχεν, ἐκπηδήσασα καὶ λοιδορουμένη τῇ θυγατρὶ πάντων ἀκουόντων ἐβόα κακὴν καὶ ἀχάριστον πρὸς τὸν ἄνδρα γενέσθαι, καὶ δίκαια πάσχειν ἐπὶ τοιούτοις τολμήμασιν· οὐ γὰρ ἀμείβασθαι δεόντως τὸν πάντων αὐτῶν εὐεργέτην. Τοιαῦτα μεταξὺ καθυποκρινομένης ἀσχημόνως καὶ τολμώσης ἐφάπτεσθαι καὶ τῶν τριχῶν, πολλὴ μέν, ὡς εἰκὸς, καὶ παρὰ τῶν ἄλλων ἡ κατάγνωσις ἦν τῆς ἀπρεποῦς προσποιήσεως, μᾶλλον δὲ ἐνεφάνη παρ' αὐτῆς τῆς ἀπολλυμένης· οὔτε γὰρ λόγον δοῦσα τὴν ἀρχὴν οὔτε ταραχθεῖσα πρὸς τὴν ἐκείνης δυσχέρειαν ἀπέβλεπεν, ἀλλ' ὡς ὑπὸ φρονήματος τὴν ἁμαρτίαν καὶ μᾶλλον ἄχθεσθαι περιφανῶς ἀσχημονούσης ἐνέφηνεν. Αὐτή γε μὴν ἀτρεμαίῳ τῷ καταστήματι καὶ τῇ χρόᾳ τῆς σαρκὸς ἀμεταβλήτῳ πρὸς τὸν θάνατον ἀπῆει, τὴν εὐγένειαν οὐδ' ἐν τοῖς ἐσχάτοις ἄδηλον τοῖς ἐπιθεωροῦσιν αὐτὴν ἐμφαίνουσα.

ς'. Κἀκείνη μὲν οὕτως ἀπέθανεν, γυνὴ καὶ πρὸς ἐγκράτειαν καὶ πρὸς μεγαλοψυχίαν ἄριστα γεγενημένη· τὸ δ' ἐπιεικὲς ἔλειπεν αὐτῇ καὶ πλεῖον ἦν ἐν τῇ φύσει τὸ φιλόνεικον, κάλλει δὲ σώματος καὶ τῷ περὶ τὰς ἐντεύξεις ἀξιώματι μειζόνως ἢ φράσαι τὰς κατ' αὐτὴν ὑπερῆγεν, ἥ τε πλείων ἀφορμὴ τοῦ μὴ κεχαρισμένως τῷ βασιλεῖ μηδὲ πρὸς ἡδονὴν ζῆν ἐντεῦθεν ἐγεγόνει. Θεραπευομένη γὰρ διὰ τὸν ἔρωτα καὶ δυσχερὲς οὐδὲν ἐξ ἐκείνου προσδοκῶσα, τὴν παρρησίαν ἀσύμμετρον εἶχεν· ἠνία δ' αὐτὴν καὶ τὰ περὶ τοὺς οἰκείους, καὶ ταῦτα πάντα πρὸς ἐκεῖνον ὡς ἐπεπόνθει λέγειν ἠξίου, καὶ πέρας ἐξεκίνησεν ἐχθρὰς αὐτῇ γενέσθαι τήν τε μητέρα καὶ τὴν ἀδελφὴν τοῦ βασιλέως, κἀκεῖνον αὐτὸν, ᾧ μόνῳ τὸ μὴ παθεῖν τι δυσχερὲς ἀπεπίστευεν.

ζ'. Ἀναιρεθείσης δὲ τότε καὶ μᾶλλον ἐξήφθη τὰ περὶ τὴν ἐπιθυμίαν τοῦ βασιλέως, ἔχοντος μὲν οὕτως ὡς καὶ πρότερον ἐδηλώσαμεν. Οὐ γὰρ ἀπαθὴς οὐδ' οἷος ἂν ἐκ συνηθείας ἦν ὁ πρὸς αὐτὴν ἔρως, ἀλλὰ καὶ πρότερον ἤρξεν ἐνθουσιαστικῶς, καὶ τῇ παρρησίᾳ τῆς συμβιώσεως οὐκ ἀπενικήθη μὴ πλείων ἀεὶ γίνεσθαι. Τότε μέντοι καὶ μᾶλλον ἐδόκει κατὰ νέμεσίν τινα τῆς κατὰ τὴν Μαριάμμην ἀπωλείας ἐπιθέσθαι, καὶ πολλάκις μὲν ἀνακλήσεις ἦσαν αὐτῆς, πολλάκις δὲ καὶ θρῆνος ἀσχήμων, ἐπενόει δὲ πᾶν εἴ τι δυνατὸν εἰς ψυχαγωγίαν, πότους καὶ συνουσίας αὐτῷ πραγματευόμενος. Καὶ τούτων οὐδὲν ἤρκει. Τὰς οὖν διοικήσεις τῶν κατὰ τὴν βασιλείαν παρητεῖτο, καὶ τοσοῦτον ἥττητο τοῦ πάθους, ὥστ' αὐτὸν ἤδη καὶ καλεῖν τὴν Μαριάμμην προστάξαι τοῖς ὑπηρέταις ὡς ζῶσαν ἔτι καὶ δυναμένην ὑπακούειν. Οὕτω δὲ ἔχοντος, ἐπιγίνεται λοιμώδης νόσος, ἣ καὶ τῶν ὄχλων τοὺς πλείους καὶ τῶν φίλων τοὺς ἐντιμοτάτους διέφθειρε, καὶ παρέσχεν ἅπασιν ἐξυπονοῆσαι κατὰ μῆνιν τοῦ Θεοῦ τοῦτο συνενεχθῆναι, διὰ τὴν γεγενημένην παρανομίαν ἐπὶ τῇ Μαριάμμῃ. Χεῖρον

sibi exiguam spem superesse videns ne et ipsa ita plecteretur ab Herode, contra quam in superiore audacia, nulla decori ratione habita, plane alia facta est. Ut enim se eorum, de quibus illa accusaretur, insciam esse ostenderet, exsiliit foras, et omnium in præsentia filiæ conviciando, clamabat, improbam et adversus maritum ingratam fuisse, et merito ei accidere quæ ejusmodi res ausa fuisset : haud enim quæ oportebat ei retribuisse, de omnibus ipsis optime merito. Hæc dum inhoneste simulat, et illi etiam in crines involare audet, multi quidem, ut consentaneum erat, fœdam ejus simulationem culpabant; maxime vero eam culpare visa est illa ipsa, quæ tum mortem erat obitura : neque enim unum prorsus verbum effata, neque turbata ad matris offensionem respiciebat, sed excelso quasi animo ut erraverit, præsertimque manifestam ejus turpitudinem se ægre ferre monstravit. Ipsa porro intrepida firmitate, et ne minimum quidem mutato corporis colore, ad mortem profecta est, generis sui nobilitatem etiam in extremis conspicuam omnibus præ se ferens.

6. Atque illa quidem ita interiit, femina ad continentiam et animi magnitudinem optime comparata; deerat tamen ipsi moderatio, naturaque contentionibus paulo erat addictior; corporis vero pulcritudine et auctoritate in congressibus plus quam dici potest ceteris suæ ætatis antecellebat : quæ potissima causa erat quod parum admodum regi gratificaretur, minusque jucunde cum eo viveret. Nam quum indulgenter propter amorem tractaretur, et nihil asperius duriusve ab eo exspectaret, libertate usa est immoderata. Præterea illa ipsam male habebant quæ suis acciderant, atque ita omnia apud illum quemadmodum passa fuerat dicere non dubitavit : tandemque infestas sibi reddidit et matrem regis et sororem, illumque ipsum, cui unice fidebat quod non laturus esset ut gravius aliquid pateretur.

7. Illa autem peremta, eo magis etiam regi desiderium exarsit, ut qui ita se haberet sicut prius narravimus. Non enim a perturbatione vacuus, nec qualis in aliis esse solet, ejus erga illam erat amor : sed quum primum ad insaniam usque eam deperiret, licet liberius fidentiusque se in vitæ consuetudine gesserit, nihil de amore remisit. Tunc vero ex ultione divina ob interitum Mariamnes magis adhuc cupiditate ardere videbatur, adeo ut eam subinde inclamaret, subinde turpiter ploraret, omnesque quas poterat voluptates consectaretur, etiam ex conviviis et conventibus, ut ejus desiderium leniret. Sed istis nihil proficiebat. Quare et res regni administrare recusabat, et adeo affectu victus est, ut etiam famulis suis imperaret ut Mariamnen appellarent, quasi ea adhuc viveret et audire posset. Quum autem ita se haberet, oritur pestis, quæ tum plebejorum majorem partem, tum regis amicorum eos sustulit quibus plurimum detulerat : id quod omnibus suspicionem fecit divina ira id accidisse, propter illatam Mariamnæ injuriam. Hæc res

οὖν διετίθει καὶ τοῦτ' αὐτὸν τὸν βασιλέα, καὶ τέλος εἰς τὰς ἐρημίας αὐτὸν διδοὺς καὶ προφάσει κυνηγεσίων ταύταις ἐναδημονῶν οὐκ ἔφθη πλείους διενεγκεῖν ἡμέρας, καὶ περιπίπτει νόσῳ δυσχερεστάτῃ. Φλόγωσις γὰρ ἦν καὶ πεῖσις τοῦ ἰνίου καὶ τῆς διανοίας παραλλαγή, τῶν τε θεραπευμάτων οὐδέν ὅ τι καὶ πρὸς ὠφέλειαν ἐξήνυεν, ἀλλ' ἐναντιούμενα τέλος εἰς ἀπόγνωσιν ἦγεν. Ὅσοι τε περὶ αὐτὸν ἦσαν ἰατροί, τὰ μὲν οἷς αὐτοὶ προσέφερον βοηθήμασιν οὐδὲν ὑπεικούσης τῆς νόσου, τὰ δὲ καὶ τοῦ βασιλέως οὐκ ἔχοντος ἄλλως ἢ κατὰ τὸ βιαζόμενον τῆς ἀρρωστίας διαιτᾶσθαι, πάνθ' οἷς ἐκεῖνος ἐπενεχθείη παρέχειν ἠξίουν, τὸ δύσελπι τῆς σωτηρίας ἐν ἐξουσίᾳ τῆς διαίτης ἀνατιθέντες τῇ τύχῃ. Κἀκεῖνος μὲν ἐν Σαμαρείᾳ, τῇ κληθείσῃ Σεβαστῇ, τοῦτον τὸν τρόπον ἐνοσηλεύετο.

η'. Διατρίβουσα δὲ ἐν τοῖς Ἱεροσολύμοις Ἀλεξάνδρα, καὶ πυθομένη τὰ κατ' αὐτὸν, ἐσπουδάκει τῶν περὶ τὴν πόλιν φρουρίων ἐγκρατὴς γενέσθαι. Δύο δ' ἦν, ἓν μὲν αὐτῆς τῆς πόλεως, ἕτερον δὲ τοῦ ἱεροῦ· καὶ τούτων οἱ κρατοῦντες ὑποχείριον τὸ πᾶν ἔθνος ἐσχήκασι· τὰς μὲν γὰρ θυσίας οὐκ ἄνευ τούτων οἷόν τε γενέσθαι· τὸ δὲ μὴ ταῦτα συντελεῖν οὐδενὶ Ἰουδαίων δυνατὸν, τοῦ ζῆν ἑτοιμότερον ἂν παραχωρησάντων ἢ τῆς θρησκείας, ἣν εἰς τὸν Θεὸν εἰώθασι συντελεῖν. Τοῖς οὖν ἐπὶ τούτων τῶν φυλακτηρίων Ἀλεξάνδρα προσήνεγκε τοὺς λόγους, ὡς δέον αὐτῇ καὶ τοῖς ἐξ Ἡρώδου παραδοῦναι παιδίοις, μὴ καὶ φθῇ τις, ἐκείνου μεταλλάξαντος, ἕτερος ἀντιλαμβάνεσθαι τῶν πραγμάτων· ῥωσθέντι μὲν γὰρ οὐδεὶς ἀσφαλέστερον τῶν οἰκείων διατηρήσει. Τούτους τοὺς λόγους αὐτῆς οὐκ ἐπιεικῶς ἤνεγκαν, ἀλλὰ καὶ τὸν ἔμπροσθεν χρόνον πιστοὶ ὄντες ἔτι μᾶλλον ἐν τῷ τότε διέμειναν, μίσει τε τῆς Ἀλεξάνδρας καὶ τῷ μηδ' ὅσιον ὁπολαμβάνειν ζῶντα τὸν Ἡρώδην ἀπεγνωκέναι. Φίλοι γὰρ ἄνωθεν ἦσαν· εἷς δ' αὐτῶν καὶ ἀνεψιὸς τοῦ βασιλέως Ἀχίαβος ἦν. Εὐθὺς οὖν ἐξήγγειλαν πέμψαντες ἐκείνῳ τὴν γνώμην τῆς Ἀλεξάνδρας. Ὁ δὲ τὴν μὲν οὐδὲν ἀναβαλλόμενος ἀποκτεῖναι προσέταξεν, αὐτὸς δὲ μόλις καὶ σὺν κακοπαθείᾳ διαφυγὼν τὴν νόσον, χαλεπὸς ἦν, ψυχῇ καὶ σώματι κεκακωμένος ὁμοῦ πρὸς τὸ δυσάρεστον, καὶ πάσαις ταῖς αἰτίαις ἑτοιμοτέρως εἰς τιμωρίαν τῶν ὑποπεσόντων ἐχρῆτο. Φονεύει δὲ καὶ τοὺς ἀναγκαιοτάτους αὐτῷ φίλους, Κοστόβαρον καὶ Λυσίμαχον καὶ τὸν Γαδίαν καλούμενον Ἀντίπατρον, ἔτι δὲ Δοσίθεον, ἐξ αἰτίας τοιᾶσδε.

θ'. Κοστόβαρος ἦν γένει μὲν Ἰδουμαῖος, ἀξιώματος τῶν πρώτων παρ' αὐτοῖς, καὶ προγόνων ἱερατευσάντων τῷ Κοζέ· θεὸν δὲ τοῦτον Ἰδουμαῖοι νομίζουσιν. Ὑρκανοῦ δὲ τὴν πολιτείαν αὐτῶν εἰς τὰ Ἰουδαίων ἔθη καὶ νόμιμα μεταστήσαντος, Ἡρώδης τὴν βασιλείαν παραλαβὼν, ἄρχοντα τῆς Ἰδουμαίας καὶ Γάζης ἀποδείκνυσι τὸν Κοστόβαρον, καὶ δίδωσιν αὐτῷ τὴν ἀδελφὴν Σαλώμην, Ἰώσηπον ἀνελὼν τὸν εἰληφότα πρότερον αὐτὴν, ὡς ἐδηλώσαμεν. Κοστόβαρος δὲ τούτων τυχὼν ἀσμένως καὶ παρὰ δόξαν ἦρθη μᾶλλον ὑπὸ τῆς εὐτυ-

etiam deterius regem ipsum affecit, tandemque in solitudinem egressus et ibi per speciem venationis semet afflictans, non potuit sese per aliquot dies sustinere quin difficillimum in morbum inciderit. Nam inflammatio erat et dolor occipitis cum mentis alienatione conjunctus, nec medicina erat ulla, quæ vel minimum ei prodesset, sed potius officeret, adeo ut tandem ejus de vita desperaretur. Atque omnes circa ipsum medici, partim quia morbus remediis quæ attulerant minime cedebat, partim quia rex nullam aliam victus rationem tenere poterat quam eam ad quam morbus cogebat, omnia ei præbere censebant quæ postularet, spem salutis, in victus potestate sitæ, pene abjectam fortunæ committentes. Atque ille quidem in Samaria, Sebaste appellata, ad hunc modum ægrotabat.

8. Alexandra autem, quæ Hierosolymis degebat, his de eo intellectis conata est urbis munitiones occupare. Duæ autem erant, una quidem urbis ipsius, altera vero templi, quibus qui potiuntur universam gentem in sua potestate habent : nam sine iis sacrificia fieri nequeunt; Judæorum autem nemo a se impetrare potest ut sacra non faciat, quippe quod eo sint ingenio ut mori malint quam cultum eum omittere quem solent Deo præstare. Alexandra igitur cum harum munitionum præsidiis colloquuta est, demonstrans eas sibi et Herodis filiis debere tradi, ne, si ille mortuus esset, alius quispiam rerum administrationem occupare anteverteret : sin convaluisset, neminem tutius eas servaturum quam ejus domesticos. Hæc verba illi tulerunt non mediocriter : quin eo magis in fide sua tunc perstiterunt, quam et antea regi præstiterant, partim ob Alexandræ odium, partim quod indignum putabant de rege desperare quam diu superstes esset. Erant autem de ejus veteribus amicis : quin etiam eorum unus, Achiabus, regis erat consobrinus. Itaque eum continuo, nunciis missis, de Alexandræ instituto certiorem fecerunt. Atque ille citra cunctationem eam quidem interfici jussit; ipse vero, postquam ex morbo difficulter, nec sine magno cruciatu revaluit, adeo graviter ex animi simul et corporis vexatione exacerbatus erat, ut haud ægre de iis, qui primi in ejus manus venerant, vel quavis de causa supplicium sumeret. Quin etiam amicos maxime necessarios interficit, Costobarum et Lysimachum et Gadiam cognomine Antipatrum, insuper et Dositheum, ex hujusmodi causa.

9. Erat Costobarus, natu Idumæus, ejus regionis facile primus dignitate, de genere sacerdotum Coze; quem deum existimant Idumæi. Hunc Costobarum, postquam Hyrcanus eos ex patriis institutis in Judæorum mores legesque coegerat, Herodes, regnum adeptus, Idumææ Gazæque præfectum constituit; eique sororem suam Salomen nuptum dedit, interfecto Josepho qui eum ante duxerat, ut indicavimus. Costobarus autem, ista læte admodum et præter spem assequutus, felicitate vehementer elatus est, paulatimque

χίας, καὶ κατὰ μικρὸν ἐξέβαινεν, οὔθ' αὑτῷ καλὸν ἡγούμενος ἄρχοντος Ἡρώδου τὸ προστεταγμένον ποιεῖν οὔτε τοῖς Ἰουδαίοις ἔθεσι τοὺς Ἰδουμαίους χρωμένους ὑπ' ἐκείνοις εἶναι. Διαπέμπεται οὖν πρὸς Κλεοπάτραν, τὴν Ἰδουμαίαν φάμενος ἀεὶ τῶν ἐκείνης προγόνων γεγενῆσθαι, καὶ διὰ ταῦτ' εἶναι δίκαιον αἰτεῖσθαι παρ' Ἀντωνίου τὴν χώραν· αὐτὸς γὰρ ἕτοιμος εἶναι μεταφέρειν τὴν εὔνοιαν εἰς ἐκείνην. Ἔπραττε δὲ ταῦτα τῇ Κλεοπάτρᾳ μὲν οὐδέν τι μᾶλλον εἰς τὴν ἀρχὴν ἀρεσκόμενος, εἰ δὲ περιαιρεθείη τῶν πλειόνων Ἡρώδης εὐεπιχείρητον ἤδη νομίζων καθ' αὑτὸν ἄρξαι τοῦ τῶν Ἰδουμαίων ἔθνους καὶ μεῖζον πράξειν. Ἐπιδιέβαινε γὰρ ταῖς ἐλπίσιν, οὐκ ὀλίγας ἀφορμὰς ἔχων καὶ γένους καὶ χρημάτων, ἃς μετὰ διηνεκοῦς αἰσχροκερδίας ἐπεπόριστο, καὶ μικρὸν οὐδὲν ἐπενόει. Κλεοπάτρα μὲν οὖν Ἀντωνίου δεηθεῖσα περὶ τῆς χώρας ταύτης ἀποτυγχάνει. Λέγονται δὲ πρὸς Ἡρώδην οἱ λόγοι, κἀκεῖνος ἕτοιμος ἦν ἀποκτεῖναι τὸν Κοστόβαρον, ὅμως τῆς ἀδελφῆς αὐτοῦ δεηθείσης καὶ τῆς μητρὸς, ἀφίησι καὶ συγγνώμης ἠξίωσεν, οὐκ ἀνύποπτον αὐτὸν εἰς τὸ λοιπὸν ἔχων τῆς ἐπιχειρήσεως τῆς τότε.

ι'. Χρόνου δὲ διελθόντος, ἐπεὶ συνέβη τὴν Σαλώμην στασιάσαι πρὸς Κοστόβαρον, πέμπει μὲν εὐθὺς αὐτῷ γραμμάτιον, ἀπολυομένη τὸν γάμον, οὐ κατὰ τοὺς Ἰουδαίους νόμους. Ἀνδρὶ μὲν γὰρ ἔξεστι παρ' ἡμῖν τοῦτο ποιεῖν, γυναικὶ δὲ οὐδὲ διαχωρισθείσῃ καθ' αὑτὴν γαμηθῆναι, μὴ τοῦ πρότερον ἀνδρὸς ἀφιέντος. Οὐ μὴν ἡ Σαλώμη τὸν ἐν γένει νόμον, ἀλλὰ τὸν ἐπ' ἐξουσίᾳ ἑλομένη, τήν τε συμβίωσιν προαπηγόρευσε καὶ πρὸς τὸν ἀδελφὸν Ἡρώδην ἔλεγεν ὑπὸ τῆς εἰς ἐκεῖνον εὐνοίας ἀποστῆναι τἀνδρός· ἐγνωκέναι γὰρ αὐτὸν μετ' Ἀντιπάτρου καὶ Λυσιμάχου καὶ Δοσιθέου νεωτέρων ἐφιέμενον. Καὶ πίστιν παρεῖχε τοῦ λόγου τοὺς Βάβα παῖδας, ὅτι διασώζοιντο παρ' αὐτῷ χρόνον ἐνιαυτῶν ἤδη δώδεκα. Τοῦτο δὲ εἶχεν οὑτως· ὃ καὶ πολλὴν ἔκπληξιν ἐνεποίησε τῷ βασιλεῖ παρ' ἐλπίδας ἀκουσθέν, ἐκεκίνητό τε μᾶλλον ἐπὶ τῷ παραδόξῳ τοῦ λόγου. Τὰ γὰρ περὶ τοὺς Βάβα παῖδας ἐσπουδάσθη μὲν αὐτῷ πρότερον ἐπεξελθεῖν, δυσμενεῖς γενομένους τῇ διαθέσει, τότε δὲ διὰ τὸ μῆκος τοῦ χρόνου καὶ τῆς μνήμης ἐξεληλύθεισαν. Ἡ δὲ ἔχθρα πρὸς αὐτοὺς καὶ τὸ μῖσος ἀπὸ τοιούτων ἦν. Ἀντιγόνου τὴν βασιλείαν ἐχοντος, Ἡρώδης μὲν ἐπολιόρκει δυνάμει τὴν τῶν Ἱεροσολύμων πόλιν· ὑπὸ δὲ χρείας καὶ κακῶν, ὅσα πολιορκουμένοις παρίσταται, πλείους ἦσαν οἱ τὸν Ἡρώδην ἐπικαλούμενοι καὶ πρὸς ἐκεῖνον ἀπονεύοντες ἤδη ταῖς ἐλπίσιν. Ὄντες δ' ἐπ' ἀξιώματος οἱ τοῦ Βάβα παῖδες καὶ παρὰ τῷ πλήθει δυνατοὶ πιστοὶ διετέλουν Ἀντιγόνῳ, τόν τε Ἡρώδην διέβαλλον ἀεὶ καὶ συμφυλάττειν τοῖς βασιλεῦσι τὴν ἐκ γένους ἀρχὴν προὔτρεπον. Ἐκεῖνοι μὲν οὖν, ἅμα καὶ συμφέρειν αὐτὰ νομίζοντες, ἐπὶ τοιούτων ἐπολιτεύοντο. Τῆς δὲ πόλεως ἁλισκομένης καὶ κρατοῦντος τῶν πραγμάτων Ἡρώδου, Κοστόβαρος ἀποδειχθεὶς τὰς διεκβολὰς ἀναῤῥάττειν καὶ φρουρεῖν τὴν πόλιν, ὡς

modum excessit, neque sibi honestum existimans imperantis Herodis jussa facere, nec Idumæis in Judæorum potestate esse, eorumque uti moribus. Itaque ad Cleopatram mittit, significans Idumæam semper majoribus ipsius Cleopatræ paruisse, ideoque æquum esse ut ipsa ab Antonio regionem illam sibi postularet : se enim paratum esse *incolarum* benevolentiam transferre ad Cleopatram. Hæc autem agebat, non quod mallet Cleopatram imperio Idumæam tenere, sed quod arbitrabatur, accisis Herodis viribus, facile se posse gentis Idumææ dominatum adipisci, et ad majora pervenire. Veniebat enim in majorem spem, occasionem non exiguam nactus, tum quod magno loco natus erat, tum quod divitiis abundabat, quas assidua quæsiverat avaritia : neque quidquam mediocre moliebatur. Et Cleopatra quidem, quum regionem istam ab Antonio flagitasset, eam non impetravit. Herodes autem ista de re certior factus est, atque in eo erat ut Costobarum interficeret, sed, sororis et matris precibus exoratus, dimittit eum, veniamque ei dedit; sic tamen ut eum deinceps suspectum haberet propter illum conatum.

10. Aliquanto deinde post, quum forte inter Salomen et Costobarum ortum esset dissidium, ea illi continuo misit libellum ad dissuendum matrimonium, contra quam ferunt Judæorum leges. Nam viro quidem apud nos id facere licet; neutiquam vero feminæ, quæ sponte discesserit, alteri nubere fas est, nisi prius a marito dimittatur. Veruntamen Salome, non lege patria, sed ea quæ tum valebat usa, et conjugio renunciavit et ad fratrem Herodem dicebat se propter suam in eum benevolentiam a marito discessisse, quoniam comperisset eum et Antipatrum et Lysimachum et Dositheum novis rebus studere. Atque ad fidem sermoni faciendam mentionem injicit Babæ filiorum, quos Costobarus decimum jam annum servaverat. Id quod verum erat : eaque re vehementer obstupuit rex, ejusmodi quid audiens quod nunquam suspicatus est, eoque magis commotus est, quod res erat incredibilis. Nam quod ad Babæ liberos attinet, id aliquando agebat ut illos ultum iret, quoniam sibi infensi repugnassent : verum tum tantum jam temporis præterierat ut de memoria ipsi exciderint Ejus autem in eos odii et inimicitiarum causa fuit hujusmodi. Quo tempore regno fruebatur Antigonus, Herodes exercitu obsidebat Hierosolymorum urbem, et propter necessitatem et calamitates quibus obsessi premebantur, erant multi qui Herodem advocarent et spe jam in eum propenderent. Babæ autem filii, qui dignitate et gratia multum apud vulgus valebant, Antigono fideles *esse* perseverarunt, Herodemque semper culpabant, ac *ceteros* eo cohortabantur ut regibus operam suam præstarent in tenendo principatu quem a patribus accepissent. Atque illi quidem, dum ista commodo fieri existimarent, hujusmodi rebus studebant. Verum urbe capta, et Herode rerum potito, Costobarus, præcludendis exitibus et urbi custodiendæ præfectus, ne cives

μὴ διαπίπτειν ἐξ αὐτῆς τοὺς ὑπόχρεως τῶν πολιτῶν ἢ τἀναντία τῷ βασιλεῖ πολιτευομένους, εἰδὼς δ' ἐν ὑπολήψει καὶ τιμῇ τοὺς τοῦ Βάβα τῷ παντὶ πλήθει, καὶ νομίζων μέγα μέρος αὐτῷ γενήσεσθαι πρὸς τὰς μεταβολὰς τῶν πραγμάτων τὴν ἐκείνων σωτηρίαν, ὑπεξέθετο καὶ κατέκρυψεν ἐν οἰκείοις χωρίοις. Καὶ τότε μὲν Ἡρώδην (διεληλύθει γὰρ ἡ τῆς ἀληθείας ὑποψία) πιστωσάμενος ὅρκοις, ἢ μὴν οὐδὲν εἰδέναι τῶν κατ' ἐκείνους, ἀφεῖτο τῆς ὑπονοίας. Αὖθις δὲ κηρύγματα καὶ μήνυτρα τοῦ βασιλέως ἐκτιθέντος καὶ πάντα τρόπον ἐρεύνης ἐπινοοῦντος, οὐκ ἦλθεν εἰς ὁμολογίαν, ἀλλὰ τῷ τὸ πρῶτον ἔξαρνος γενέσθαι τὸ φωραθῆναι τοὺς ἄνδρας οὐκ ἀνυποτίμητον αὐτῷ πεπεισμένος, οὐ μόνον ἐκ τῆς εὐνοίας, ἀλλὰ καὶ ἐκ τῆς ἀνάγκης ἤδη τοῦ λανθάνειν αὐτοὺς περιείχετο. [Περὶ] τούτων ἐξαγγελθέντων αὐτῷ διὰ τῆς ἀδελφῆς, ὁ βασιλεὺς πέμψας εἰς τοὺς τόπους, ἐν οἷς διατρίβειν ἐμηνύθησαν, ἐκείνους τε καὶ τοὺς συγκαταιτιαθέντας ἀπέκτεινεν· ὥστε εἶναι μηδὲν ὑπόλοιπον ἐκ τῆς Ὑρκανοῦ συγγενείας, ἀλλὰ τὴν βασιλείαν αὐτεξούσιον αὐτῷ, μηδενὸς ὄντος ἐπ' ἀξιώματος ἐμποδὼν ἵστασθαι τοῖς παρανομουμένοις.

ΚΕΦ. Η'.

Διὰ τοῦτο καὶ μᾶλλον ἐξέβαινε τῶν πατρίων ἐθῶν, καὶ ξενικοῖς ἐπιτηδεύμασιν ὑποδιέφθειρε τὴν πάλαι κατάστασιν, ἀπαρεγχείρητον οὖσαν. Ἐξ ὧν οὐ μικρὰ καὶ πρὸς τὸν αὖθις χρόνον ἠδικήθημεν, ἀμεληθέντων ὅσα πρότερον ἐπὶ τὴν εὐσέβειαν ἦγε τοὺς ὄχλους. Πρῶτον μὲν γὰρ ἀγῶνα πενταετηρικὸν ἀθλημάτων κατεστήσατο Καίσαρι καὶ θέατρον ἐν Ἱεροσολύμοις ᾠκοδόμησεν, αὖθίς τ' ἐν τῷ πεδίῳ μέγιστον ἀμφιθέατρον, περίοπτα μὲν ἄμφω τῇ πολυτελείᾳ, τοῦ δὲ κατὰ τοὺς Ἰουδαίους ἔθους ἀλλότρια. Χρῆσίς τε γὰρ αὐτῶν καὶ θεαμάτων τοιούτων ἐπιδείξεις οὐ παραδίδονται. Τὴν μέντοι πανήγυριν ἐκεῖνος ἐπιφανεστάτην τὴν τῆς πενταετηρίδος συνετέλει, καταγγείλας τε τοῖς πέριξ καὶ συγκαλῶν ἀπὸ τοῦ παντὸς ἔθνους. Οἱ δ' ἀθληταὶ καὶ τὰ λοιπὰ τῶν ἀγωνισμάτων ἀπὸ πάσης γῆς ἐκαλοῦντο κατ' ἐλπίδα τῶν προκειμένων καὶ τῆς νίκης εὐδοξίαν, συνελέγησάν τε οἱ κορυφαιότατοι τῶν ἐν τοῖς ἐπιτηδεύμασιν. Οὐ γὰρ μόνον τοῖς περὶ τὰς γυμνικὰς ἀσκήσεις, ἀλλὰ καὶ τοῖς ἐν τῇ μουσικῇ διαγινομένοις, θυμελικοῖς καλουμένοις, προὐτίθει μέγιστα νικητήρια, καὶ διεσπούδαστο πάντας τοὺς ἐπισημοτάτους ἐλθεῖν ἐπὶ τὴν ἅμιλλαν. Προὔθηκε δὲ καὶ τεθρίπτοις καὶ συνωρίσι καὶ κέλησιν οὐ μικρὰς δωρεάς· καὶ πάνθ' ὅσα κατὰ πολυτέλειαν ἢ σεμνοπρέπειαν παρ' ἑκάστοις ἐσπούδαστο, φιλοτιμίᾳ τοῦ διάσημον αὐτῷ γενέσθαι τὴν ἐπίδειξιν ἐξεμιμήσατο. Τό γε μὴν θέατρον ἐπιγραφαὶ κύκλῳ περιεῖχον Καίσαρος καὶ τρόπαια τῶν ἐθνῶν ἃ πολεμήσας ἐκεῖνος ἐκτήσατο, χρυσοῦ τε ἀπέφθου καὶ ἀργύρου πάντων αὐτῷ πεποιημένων. Τὰ δ' εἰς ὑπηρεσίαν οὐδὲν οὕτως ἦν οὔτ' ἐσθῆτος τίμιον οὔτε σκευῆς λίθων, ὃ μὴ τοῖς δρωμένοις ἀγωνίσμασι συνεπε-

qui sontes essent et regis adversarii evaderent, quum sciret Babæ filios esse in existimatione et honore apud universum populum, cogitaretque, si eis salutem daret, id sibi multum profuturum ad novas res moliendas, eos subtraxit et certis in locis abscondidit. Et tunc quidem Herodi (nam id quod erat suspicatus est) jurejurando fidem fecit se nihil quicquam de illis scire, eique suspicionem ademit. Deinde vero, quum rex per edicta indicii præmium proposuisset, et modis omnibus eos perquireret, ne tum quidem fateri voluit, sed quod primum infitiatus esset, si postea viri deprehenderentur, non se impune laturum persuasum habens, non solum benevolentia, sed necessitate tenebatur eos occultare. [De] istis Herodi nunciatis a sorore quum rex misisset ad loca ubi esse dicebantur, et ipsos et alios cum ipsis accusatos interfecit, ut nihil jam reliquum esset de Hyrcani cognatione, sed regnum plane in sua potestate haberet, nemine jam alicujus auctoritatis superstite, qui quæ contra legem fierent impedire posset.

CAP. VIII. (XI.)

Hac de causa deflexit etiam magis a patriis moribus, et peregrinis institutis antiquum rerum statum subinde labefactavit, quem inviolatum esse et integrum mansisse oportebat. Unde temporis processu magna mali labes nobis illata est, illis insuper habitis, quibus populus antea adductus erat ad pietatem. Primum enim pugilum ludos quinquennales instituit Cæsari, et theatrum Hierosolymis ædificavit, deinde in campo maximum amphitheatrum, utrumque operis magnificentia conspiciendum, sed a moribus Judaicis alienum. Horum enim usum et spectaculorum apparatum a majoribus non acceperat. Ille tamen hunc conventum quinquennalem maximo cum splendore celebravit, missis qui eum finitimis indicerent et *spectatores* ex omni gente convocarent. Adeoque ex cunctis finibus athletæ et omnis generis ludiones accersiti erant spe præmii propositi gloriæque ex victoria, confluxeruntque exercitatissimi quique in ludicris hisce studiis. Nam non solum iis qui gymnicis certaminibus operam dant, sed et in musica vitam agentibus, qui thymelici vocantur, maxima victoriæ nomine constituit præmia, atque in id omni cura incumbebat ut nobilissimi quique in certamen venirent. Præterea dona non exigua et bigis et quadrigis et equo singulari *vincentibus* proponenda curavit : et quæcunque uspiam ad magnificentiam et dignitatem elaborata fuerant studiose æmulabatur, modis omnibus agens ut spectaculum eximium daret et illustre. Theatrum vero ipsum splendidissime ornatum erat, depictis per circuitum Cæsaris gestis et tropæis quæ a gentibus debellatis reportaverat, opere omni ex probo puroque auro et argento. Et quod ad apparatum attinet, nihil erat vestis adeo pretiosum, nihil gemmarum, quod non cum ludionibus qui specta-

δείκνυτο. Παρατκευὴ δὲ καὶ θηρίων ἐγένετο, λεόντων τε πλείστων αὐτῷ συναχθέντων καὶ τῶν ἄλλων ὅσα καὶ τὰς ἀλκὰς ὑπερβαλλούσας ἔχει καὶ τὴν φύσιν ἐστὶ σπανιώτερα· τούτων αὐτῶν τε πρὸς ἄλληλα συμπλοκαὶ καὶ μάχαι πρὸς αὐτὰ τῶν κατεγνωσμένων ἀνθρώπων ἐπετηδεύοντο. Τοῖς μὲν ξένοις ἔκπληξις ὁμοῦ τῆς δαπάνης καὶ ψυχαγωγία τῶν περὶ τὴν θέαν κινδύνων, τοῖς δ' ἐπιχωρίοις φανερὰ κατάλυσις τῶν τιμωμένων παρ' αὐτοῖς ἐθῶν. Ἀσεβὲς μὲν γὰρ ἐκ προδήλου κατεφαίνετο θηρίοις ἀνθρώπους ὑπορρίπτειν ἐπὶ τέρψει τῆς ἀνθρώπων θέας, ἀσεβὲς δὲ ξενικοῖς ἐπιτηδεύμασιν ἐξαλλάττειν τοὺς θεσμούς. Πάντων δὲ μᾶλλον ἐλύπει τὰ τρόπαια· δοκοῦντες γὰρ εἰκόνας εἶναι [τὰς] τοῖς ὅπλοις περιειλημμένας, ὅτι μὴ πάτριον ἦν αὐτοῖς τὰ τοιαῦτα σέβειν, οὐ μετρίως ἐδυσχέραινον.

β'. Ἐλάνθανον δὲ οὐδὲ τὸν Ἡρώδην ἐκταραττόμενοι, καὶ βίαν μὲν ἐπάγειν ἄκαιρον ᾠετο, καθωμίλει δ' ἑνίους καὶ παρηγόρει, τῆς δεισιδαιμονίας ἀφαιρούμενος, οὐ μὴν ἔπειθεν, ἀλλ' ὑπὸ δυσχερείας ὧν ἐδόκουν ἐκεῖνον πλημμελεῖν, ὁμοθυμαδὸν ἐξεβόων, εἰ καὶ πάντα δοκοῖεν οἱστά, μὴ φέρειν εἰκόνας ἀνθρώπων ἐν τῇ πόλει, τὰ τρόπαια λέγοντες· οὐ γὰρ εἶναι πάτριον αὐτοῖς. Ἡρώδης δὲ τεταραγμένους ὁρῶν καὶ μὴ ῥᾳδίως ἂν μεταπεσόντας, εἰ μὴ τύχοιεν παρηγορίας, καλέσας αὐτῶν τοὺς ἐπιφανεστάτους εἰς τε θέατρον παρήγαγε καὶ δείξας τὰ τρόπαια τί ποτε δοκεῖ αὐτοῖς ταῦτα ἐπύθετο. Τῶν δ' ἐκβοησάντων ἀνθρώπων εἰκόνας, ἐπιτάξας ἀφαιρεθῆναι τὸν περιθέσιμον κόσμον, ἐπιδείκνυσιν αὐτοῖς γυμνὰ τὰ ξύλα. Τὰ δ' εὐθὺς ἦν ἀποσυληθέντα γέλως καὶ πλεῖστον εἰς διάχυσιν ἐδυνήθη, τῷ καὶ πρότερον αὐτοὺς ἐν εἰρωνείᾳ τίθεσθαι τὰς κατασκευὰς τῶν ἀγαλμάτων.

γ'. Τοῦτον δὲ τὸν τρόπον αὐτοῦ παρακρουσαμένου τὸ πλῆθος, καὶ τὴν ὁρμὴν ἣν ἐπεπόνθεισαν ἐξ ὀργῆς διαχέαντος, οἱ πλείους μὲν εἶχον ὡς μεταβεβλῆσθαι καὶ μὴ χαλεπαίνειν ἔτι, τινὲς δ' αὐτῶν ἐπέμενον τῇ δυσχερείᾳ τῶν οὐκ ἐξ ἔθους ἐπιτηδευμάτων, καὶ τὸ καταλύεσθαι τὰ πάτρια μεγάλων ἡγούμενοι ἀρχὴν κακῶν, ὅσιον ᾠήθησαν ἀποκινδυνεῦσαι μᾶλλον ἢ δοκεῖν, ἐξαλλαττομένης αὐτοῖς τῆς πολιτείας, περιορᾶν Ἡρώδην πρὸς βίαν ἐπεισάγοντα τὰ μὴ δι' ἔθους ὄντα, καὶ λόγῳ μὲν βασιλέα, τῷ δ' ἔργῳ πολέμιον φαινόμενον τοῦ παντὸς ἔθνους. Ἐκ δὴ τούτου συνομοσάμενοι πάντα κίνδυνον ὑποδύεσθαι δέκα τῶν πολιτῶν ἄνδρες καὶ ξιφίδια τοῖς ἱματίοις ὑποβαλόντες * * * ἦν δ' αὐτοῖς δι' ἀναξιοπάθειαν ὧν ἤκουσεν καὶ τῶν διεφθορότων τις τοὺς ὀφθαλμοὺς συνωμοσιμένος, οὐχ ὡς συνεργῆσαί τι καὶ λίαν εἰς τὴν ἐπιχείρησιν ἱκανὸς, ἀλλ' ἐν ἑτοίμῳ καταθεὶς αὐτὸν παθεῖν εἴ τι κἀκείνοις συμβαίνοι δυσχερές· ὥστε μὴ μετρίαν τὴν ὁρμὴν τοῖς ἐπιχειροῦσι δι' αὐτὸν γενέσθαι.

δ'. Ταῦτα γνόντες ἀπὸ συνθήματος εἰς τὸ θέατρον ἐχώρουν, ἐλπίσαντες μὲν οὐδ' αὐτὸν Ἡρώδην διαφεύξεσθαι, προσπεσόντων ἐξ ἀφανοῦς, πολλοὺς δ', εἰ καὶ μὴ τυγχάνοιεν ἐκείνου, τῶν περὶ αὐτὸν ἀναιρήσειν

rentur simul in conspectum veniret. Paratæ erant etiam feræ, et leonibus quamplurimis ipsius jussu conquisitis, aliisque quæ aut robore præcellebant aut natura mira erant raritate : atque id agebatur ut vel istæ inter se committerentur, vel cum hominibus ad eas damnatis pugnarent. Peregrinis quidem erat admiratio sumptuum, simul et animorum oblectatio ex periculorum conspectu, indigenis vero manifesta videbatur morum, qui ipsis summo in honore erant, dissolutio. Res ipsa enim indicabat plane impium esse, homines ad bestias projicere in hominum ex spectaculo delectationem; itemque leges cum peregrinis moribus permutari. Sed nihil eos magis offendebat quam tropæa : nam quum ea putarent imagines esse armis inclusas, ideo quod patriis legibus istiusmodi quid colere nefas esset, indignissime eas ferebant.

2. Neque vero nesciebat Herodes eos turbari, et vim inferre intempestivum existimabat; quapropter operam dabat ut nonnullos eorum mitigaret verbis, et ea religione solveret : verum nihil proficiebat, sed quod moleste ferrent ea, quibus illum flagitium admittere existimabant, uno consensu vociferabantur, si omnia patienda forent, at hominum quidem imagines (tropæa innuentes) in urbe non passuros : haud enim moribus patriis fas esse. Herodes vero, quum videret illos turbatos esse, et non facile ei cessuros, nisi solatii aliquid adhiberetur, eorum præcipuos vocat, et in theatrum ductis tropæa monstrat, quæritque quidnam hæc eis videantur. Quumque exclamassent, hominum esse imagines, ubi jusserat ornamenta detrahi, merum lignum eis ostendit. Atque ista repente suo denudata ornatu risum excitabant plurimumque ad animos placandos valebant, quippe qui jam ante imaginum apparatus pro ridiculo ducerent.

3. Quum autem populum hoc pacto repulisset, atque impetum quo irati ferebantur dissipasset, plerique sic erant ut mutati pacatique esse viderentur : tamen eorum nonnulli in offensione ex mutatis moribus perseverabant, et, quum crederent ex patriis institutis violatis magna oritura esse mala, satius esse putarunt vel quodvis periculum subire quam videri Herodem sinere, mutato rerum statu, quidquam contra receptos mores per vim introducere, et, dum pro rege se gereret, revera se toti genti inimicum infestumque ostendere. Itaque conjurarunt cives decem in quodvis periculum, et pugiones sub vestibus sumpserunt; * * eratque inter eos quidam cæcus, qui, eorum quæ audiverat indignitate commotus, cum eis conjuravit : non ille quidem quasi eos in facinore patrando multum adjuturus, sed cum eis adversa pati paratus, si male res caderet : id quod illis ad rem aggrediendam multum animi addidit.

4. Ita decreta re vadunt uno animo in theatrum, spei pleni ne Herodem quidem ipsum evasurum, quum ex improviso eum adorituri essent : aut certe si ab eo abeirarent, fore arbitrantes ut multos ex ejus comitibus interfice-

οἰόμενοι, καὶ ταῦτ' αὐτοῖς ἀρκέσειν, εἰ καὶ θνήσκοιεν, εἰς ἔννοιαν ὧν ὁ βασιλεὺς ἐξυβρίζειν ἐδόκει τὸ πλῆθος, καὶ αὐτὸν ἐκεῖνον ἀγαγεῖν. Ἐκεῖνοι μὲν οὖν προκατεστάντες, ἐπὶ τοιαύτης ἦσαν προθυμίας. Εἷς δὲ τῶν ὑφ' Ἡρώδου πολυπραγμονεῖν καὶ διαγγέλλειν τὰ τοιαῦτα τεταγμένων ἐξευρηκὼς ὅλην τὴν ἐπίθεσιν, εἰς τὸ θέατρον εἰσιέναι μέλλοντι τῷ βασιλεῖ κατεμήνυσεν. Ὁ δ' (οὐ γὰρ ἀνοίκειον ᾠήθη τὸν λόγον, εἴς τε τὸ μῖσος ἀφορῶν, ὃ συνῄδει παρὰ τῶν πλειόνων αὐτῷ, καὶ τὰς ταραχὰς τὰς ἐπὶ τοῖς καθ' ἕκαστα γινομένας) ἀναχωρήσας εἰς τὸ βασίλειον ὀνομαστὶ τοὺς ἐν ταῖς αἰτίαις ἐκάλει. Προσπιπτόντων δ' αὐτοῖς τῶν ὑπηρετῶν αὐτόφωροι λαμβανόμενοι, τὸ μὲν ὡς οὐκ ἂν διαφύγοιεν ᾔδεσαν, ἐπεκόσμησαν δὲ τὴν ἀναγκαίαν καταστροφὴν τοῦ βίου τῷ μηδὲν ὑφιέναι τοῦ φρονήματος. Οὐ γὰρ ἐντραπέντες οὐδ' ἀρνησάμενοι τὴν πρᾶξιν ἀνέδειξαν ἤδη κρατούμενοι τὰ ξίφη, διωμολογήσαντο δὲ καλῶς καὶ σὺν εὐσεβείᾳ τὴν συνωμοσίαν αὐτοῖς γενέσθαι, κέρδους μὲν οὐδενὸς οὐδ' οἰκείων ἕνεκεν παθῶν, τὸ δὲ πλέον ὑπὲρ τῶν κοινῶν ἐθῶν, ἃ καὶ πᾶσιν ἦ φυλάττειν ἢ θνήσκειν πρὸ αὐτῶν ἄξιον. Τοιαῦτα μὲν ἐκεῖνοι, τῇ προαιρέσει τῆς ἐπιβουλῆς ἐμπαρρησιασάμενοι, περιστάντων αὐτοῖς τῶν βασιλικῶν ἤγοντο, καὶ πᾶσαν αἰκίαν ὑπομείναντες διερθάρησαν. Μετ' οὐ πολὺ δὲ καὶ τὸν ταῦτα μηνύσαντα κατὰ μῖσος ἁρπασάμενοί τινες οὐκ ἀπέκτειναν μόνον, ἀλλὰ καὶ μελιστὶ διελόντες προὔθεσαν κυσίν. Ἐωρᾶτο δὲ πολλοῖς τῶν πολιτῶν ταῦτα γινόμενα, καὶ κατεμήνυσεν οὐδείς, ἕως Ἡρώδου πικρότερον καὶ φιλόνεικον ποιουμένου τὴν ἔρευναν, ἐκβασανισθεῖσαι γυναῖκές τινες ὡμολόγησαν ἃ πραχθέντα εἶδον. Καὶ τῶν μὲν ἐνεργησάντων ἐγένετο τιμωρία, πανοικὶ τὴν προπέτειαν αὐτῶν ἐπεξιόντος, ἡ δ' ἐπιμονὴ τοῦ πλήθους καὶ τὸ τῆς ὑπὲρ τῶν νόμων πίστεως ἀκατάπληκτον ὀρρωδεῖν ἐποίει τὸν Ἡρώδην, εἰ μὴ μετὰ πλείονος ἀσφαλείας κρατοίη. Καὶ διέγνω πάντοθεν περιειληφέναι τὸ πλῆθος, ὡς μὴ νεωτεριζόντων φανερὰν γενέσθαι τὴν ἀπόστασιν.

ε'. Ἐξωχυρωμένης οὖν αὐτῷ τῆς πόλεως μὲν ὑπὸ τῆς αὐλῆς ἐν ᾗ διῃτᾶτο, τοῦ δὲ ἱεροῦ τῇ περὶ τὸ φρούριον ὀχυρότητι, τὸ καλούμενον Ἀντωνίαν, τὸ κατασκευασθὲν ὑπ' αὐτοῦ, τρίτον παντὶ τῷ λαῷ τὴν Σαμάρειαν ἐπενόησεν ἐπιτείχισμα, καλέσας μὲν αὐτὴν Σεβαστήν, οἰόμενος δὲ κατὰ τῆς χώρας γίνεσθαι τοῦτο οὐδὲν ἔλαττον, ἰσχυροποιεῖ τὸν τόπον, ἀπέχοντα μὲν Ἱεροσολύμων μιᾶς ὁδὸν ἡμέρας, εὔχρηστον δ' ὄντα καὶ κοινὸν ἐπί τε τοῖς ἐν τῇ χώρᾳ καὶ τῇ πόλει γενησόμενον. Τῷ δὲ ἔθνει παντὶ φρούριον ἐνῳκοδόμησεν, τὸ πάλαι μὲν καλούμενον Στράτωνος πύργον, Καισάρειαν δ' ὑπ' αὐτοῦ προσαγορευθέν. Ἔν τε τῷ μεγάλῳ πεδίῳ τῶν ἐπιλέκτων ἱππέων περὶ αὐτὸν ἀποκληρώσας χωρίον συνέκτισεν ἐπί τε τῇ Γαλιλαίᾳ Γάβα καλούμενον καὶ τῇ Περαίᾳ τὴν Ἐσεβωνῖτιν. Ταῦτα μὲν οὖν ἐν τοῖς κατὰ μέρος, ἀεί τι πρὸς ἀσφάλειαν ἐπεξευρίσκων, καὶ διαλαμβάνων φυλακαῖς τὸ πᾶν ἔθνος,

rent, atque ita regi ipsi occasionem præberent cogitandi de injuria, quam genti inferre videbatur, etiamsi ipsis moriendum foret. Et illi quidem jam ante parati ea erant animi alacritate. Quidam autem ex Herodis emissariis, cui datum erat istiusmodi de rebus satagere eique referre, totum negotium, ab ipso deprehensum, regi in theatrum intraturo nunciavit. Atque ille (nam nuncium a vero non abhorrere visum est, si vel ad odium respiceret, quod sibi a plerisque concitari noverat, aut ad turbas ex rebus fere singulis coortas) recepit se in regiam, et conjuratos suis nominibus evocabat. Quum autem a satellitibus, illos adortis, in ipso facinore comprehensi essent, ubi intellexerunt se crimen effugere non posse, operam dederunt ut vitæ exitum, quem evitare non poterant, honestarent, de animo suo nihil remittendo. Non enim eos facti suppuduit, aut quidquam sunt infitiati, sed quum jam tenerentur, pugiones ostenderunt, confessique sunt se pulcre ac pie conjurationem fecisse, non quæstus ullius gratia, neque suis ut obsequerentur affectibus, sed, quod majus, pro institutis publicis, quæ par esset ut omnes aut custodirent aut pro illis vitam amitterent. Istis quidem ab illis de suo insidiandi proposito magna cum fiducia dictis, a regiis circumdati *militibus* abducti sunt, et modis omnibus excruciati mortem oppetierunt. Verum quum et indicem istum, qui illis odio erat, quidam non multo post corripuissent, non solum interfecerunt, sed et membratim discerptum canibus objecerunt. Atque id multi civium viderunt, neque tamen quisquam indicavit, donec, Herode acerbam et acrem quæstionem habente, coactæ quædam cruciatibus mulieres confessæ sunt quæ facta viderant. Et in auctores quidem facinoris animadversum est a totis familiis pro temerario ausu pœnas repetendo. At populi perseverantia et in legum tuitione intrepida constantia, fecit ut sibi timeret Herodes, nisi se tutius muniret. Statuit itaque populum undique circumsepire, ne hujusmodi motus in apertam rebellionem erumperent.

5. Quum igitur urbem haberet firmatam palatio, in quo degebat ipse, et templum validitate munitionis, quæ Antonia vocabatur, quam ipse construxerat, cogitavit tertium contra populum propugnaculum esse posse Samariam, quam nominavit Sebasten: atque id ratus ad provinciam in officio continendam non minoris esse momenti, locum valide munivit, distantem quidem Hierosolymis itinere unius diei, qui vero tum ad regionem tum ad urbem communiter usui esse posset. Præterea ad totam nationem *continendam* ædificavit munitionem, quæ quondam Stratonis turris appellabatur, ab ipso vero Cæsarea nominata est. Item in magno campo, quum ex lectis circa ipsum militibus sorte quosdam duxisset, castellum construxit, itidemque in Galilæa *locum*, Gaba nomine, et in Peræa Esebonitim. Et ista quidem in singulis, ad securitatem semper aliquid adjiciens, totamque gentem custodiis circumdans, ut nequa-

ὡς ἥκιστα μὲν ἀπ' ἐξουσίας εἰς τὰς ταραχὰς προπίπτειν, αἷς καὶ μικροῦ κινήματος ἐγγενομένου συνεχῶς ἐχρῶντο, λανθάνειν δὲ μηδ' εἰ παρακινοῖεν, ἐφεστηκότων ἀεὶ τινῶν πλησίον, οἳ καὶ γινώσκειν καὶ κωλύειν ἐδύναντο. Τότε δὲ τὴν Σαμάρειαν ὡρμημένος τειχίζειν, πολλοὺς μὲν τῶν συμμαχησάντων κατὰ τοὺς πολέμους, πολλοὺς δὲ τῶν ὁμόρων συμπολίζειν ἐπετήδευεν, ὑπό τε φιλοτιμίας τοῦ νεὼν ἐγείρειν, καὶ διὰ τὸ πρότερον οὐκ ἐν ταῖς ἐπισήμοις οὖσαν, καὶ μᾶλλον ὅτι πρὸς ἀσφάλειαν αὐτῷ τὸ φιλότιμον ἐπετηδεύετο, τήν τε προσηγορίαν ὑπήλλαττε, Σεβαστὴν καλῶν, καὶ τῆς χώρας ἀρίστην οὖσαν τὴν πλησίον κατεμέριζε τοῖς οἰκήτορσιν, ὡς εὐθὺς ἐν εὐδαιμονίᾳ συνιόντες οἰκεῖν· καὶ τείχει καρτερῷ τὴν πόλιν περιέλαβε, τό τε τοῦ χωρίου πρόσαντες εἰς ἐρυμνότητα κατασκευαζόμενος, καὶ μέγεθος οὐχ ὡς τὸ πρῶτον, ἀλλ' ὥστε μηδὲν ἀποδεῖν τῶν ἐλλογιμωτάτων πόλεων περιλαμβάνων· στάδιοι γὰρ ἦσαν εἴκοσιν. Ἐντὸς δὲ καὶ κατὰ μέσην τριῶν ἥμισυ σταδίων τέμενος ἀνῆκε, παντοίως κεκοσμημένον, καὶ ναὸν ἐν αὐτῷ μεγέθει καὶ κάλλει τῶν ἐλλογιμωτάτων ἤγειρεν· ἔν τε τοῖς κατὰ μέρος διὰ πάντων ἐκράτει κοσμῶν τὴν πόλιν, τὸ μὴν ἀναγκαῖον τῆς ἀσφαλείας ὁρῶν καὶ τῇ τῶν περιβόλων ἐρυμνότητι φρούριον αὐτὴν ποιούμενος ἐπὶ τῇ μείζονι, τὸ δ' εὐπρεπὲς, ὡς ἂν ἐκ τοῦ φιλοκαλεῖν καὶ μνημεῖα φιλανθρωπίας καταλιπεῖν ἐν ὑστέρῳ.

quam pro arbitrio tumultus cierent, qui frequenter ex motu levissimo fieri solebant, neque laterent quum concitari cœperint, dum nonnulli semper in promptu haberentur qui motus resciscere et impedire possent. Tunc autem ad Samariam muniendam profectus, deduxit eo coloniam, tum eorum quorum opera in bello usus fuerat, tum vicinorum, partim cupiditate erigendi in ea templum, partim quod ea antea parum celebris fuerat, tum maxime quod in sui securitatem etiam munificentiæ valde studebat; atque nomine ejus mutato Sebasten appellavit, et finitimum territorium, quod erat illius regionis optimum, divisit incolis, ut in ipso statim adventu feliciter agerent: et valido muro urbem circumdedit, usus declivitate loci ad firmitatem, comprehensoque spatio, non quantum fuerat prius, sed tanto ut nihil vel celeberrimis urbibus cederet; nam viginti stadiorum erat in circuitu. Quin et intus ejus in meditullio sacrum sesquistadii locum reliquit, omnibus rebus ornatissimum, et ibi templum exstruxit magnitudine et pulcritudine inprimis memorabile: urbemque in singulis ejus partibus in dies decorabat, sibi quidem necessarium esse videns ut tutius degeret, adeoque mœnium validitate eam castelli ad instar muniens majori ex parte, honorificum vero, ut posset ex elegantiæ studio beneficentiæ etiam monumenta posteris relinquere.

ΚΕΦ. Θ'.

Κατὰ τοῦτον μὲν οὖν τὸν ἐνιαυτὸν, τρισκαιδέκατον ὄντα τῆς Ἡρώδου βασιλείας, πάθη μέγιστα τὴν χώραν ἐπέλαβεν, εἴτε δὴ τοῦ Θεοῦ μηνίσαντος, ἢ καὶ κατὰ περιόδους ἀπαντήσαντος τοῦ κακοῦ. Πρῶτον μὲν γὰρ αὐχμοὶ διηνεκεῖς ἐγίνοντο, καὶ διὰ τὸ τοιοῦτον ἄκαρπος ἡ γῆ μηδ' ὅσα κατ' αὐτὴν εἴωθεν ἀναβλαστάνειν φέρουσα· ἔπειτα καὶ τῆς διαίτης κατὰ τὴν ἔνδειαν τῶν σιτίων ἐξαλλαττομένης νόσοι τῶν σωμάτων καὶ πάθος ἤδη λοιμικὸν ἐκράτει, διηνεκῶς ἀντεφοδιαζομένων αὐτοῖς τῶν κακῶν. Τό τε γὰρ ἠπορῆσθαι θεραπείας καὶ τροφῆς ἐπέτεινεν εἰς πλέον ἀρξαμένην ἰσχυρῶς τὴν λοιμώδη νόσον, ἥ τε φθορὰ τῶν οὕτως ἀπολλυμένων ἀφῃρεῖτο καὶ τοὺς περιόντας εὐθυμίας, ἐπεὶ προσαρκεῖν ταῖς ἀπορίαις ἐξ ἐπιμελείας οὐκ ἐδύναντο. Φθαρέντων γε μὴν τῶν ἐπ' ἔτος καρπῶν καὶ τῶν ὅσοι πρότερον ἀπέκειντο δεδαπανημένων, οὐδὲν εἰς ἐλπίδα χρηστὴν ὑπελείπετο, μᾶλλον ἢ κατὰ προσδοκίαν ἐπιτείνοντος τοῦ κακοῦ, καὶ οὐδὲ κατ' ἐκεῖνον τὸν ἐνιαυτὸν μόνον, ὡς αὐτοῖς εἶναι μὲν οὐδὲν ὑπόλοιπον, ἀπολωλέναι δὲ καὶ τῶν περιόντων τὰ σπέρματα, μηδὲ τὸ δεύτερον ἀνείσης τῆς γῆς. Ἥ τε ἀνάγκη πολλὰ διὰ τὰς χρείας ἐκαινούργει· καὶ τὰς ἀπορίας οὐκ ἐλάττους εἶναι συνέβαινεν αὐτῷ τῷ βασιλεῖ, τῶν τε φόρων οὓς ἐλάμβανεν ἀπὸ τῆς γῆς ἀφῃρημένῳ καὶ τὰ χρήματα δεδαπανηκότι πρὸς φιλοτιμίαν ὧν τὰς πόλεις ἐπεσκεύαζεν. Ἦν τε οὐδὲν ὅ τι καὶ βοηθείας ἄξιον ἐδόκει προκατειλημμένον

CAP. IX. (XII.)

Ceterum eodem anno, qui regni Herodis decimus tertius fuit, maximæ calamitates in eam regionem invaserunt, sive ex Dei ira, sive malo statis temporibus ingruente. Nam primum quidem continua erat siccitas, et inde insequuta est sterilitas terræ, ne illos quidem fructus ferentis quæ solita erat sponte sua edere: ac deinde victus ratione præ eduliorum inopia mutata, corporum invalitudine laborabant et pestilentiæ morbus grassabatur, calamitatibus perpetuo in ipsos irruentibus. Nam, et quod curatione egerent et alimento, pestis vehementer ingravescens magis exacerbabatur, et strages eorum qui ita moriebantur etiam superstitibus omnem de se spem eripuit, ut qui necessitatibus suis nulla cura subvenire possent. Porro corruptis anni fructibus et absumptis qui jam ante reponebantur, nihil boni quod sperarent reliquum erat, malo præter opinionem in dies crescente, et non in istum duntaxat annum, adeo ut ne minimum quidem illis restaret, sed etiam semina reservata pericrint, terra secunda vice nihil reddente. Quin et necessitas fecit ut ad inopiam sublevandam novis quamplurimis excogitandis studerent, fiebatque ut ipse rex non minus egestate laboraret: ut qui nihil tributi, prout consueverat, e terra acceperit, et pecuniam consumpserit in liberalitate erga eos, quorum urbes instauravit. Nihilque erat quod idoneum ad malum depellendum videretur, quum

τοῦ κακοῦ καὶ μῖσος εἰς αὐτὸν ἐκ τῶν ἀρχομένων· τὸ γὰρ οὐκ εὖ πράττειν φιλαίτιον ἀεὶ κατὰ τῶν προεστηκότων.

β'. Ἐν τούτοις ὢν διενοεῖτο βοηθεῖν τῷ καιρῷ. Χαλεπὸν δ' ἦν, οὔτε τῶν πλησίον ἐχόντων ἀποδίδοσθαι σιτία, τῷ μηδ' αὐτοὺς ἐλάττω πεπονθέναι, χρημάτων τε οὐκ ὄντων, εἰ καὶ δυνατὸν ὀλίγον ἐπὶ πολλοῖς εὐπορηθῆναι. Καλῶς μέντοι νομίζων ἔχειν πάντως εἰς τὴν βοήθειαν μὴ ἀμελεῖν, τὸν ὄντα κόσμον ἐν τοῖς βασιλείοις αὐτοῦ συνέκοψεν ἀργυρίου καὶ χρυσίου, μήτε τῆς ἐν ταῖς κατασκευαῖς ἐπιμελείας μήτ' εἴ τι τέχνῃ τίμιον ἦν, τούτου φεισάμενος. Ἔπεμπε δ' ἐπ' Αἰγύπτου τὰ χρήματα, Πετρωνίου τὴν ἐπαρχίαν ἀπὸ Καίσαρος εἰληφότος. Οὗτος οὐκ ὀλίγων ἐπ' αὐτὸν καταφευγόντων διὰ τὰς αὐτὰς χρείας, ἰδίᾳ τε φίλος ὢν Ἡρώδῃ καὶ διασώσασθαι θέλων τοὺς ὑπ' αὐτῷ, πρώτοις μὲν ἔδωκεν ἐξάγειν τὸν σῖτον, εἰς ἅπαντα δὲ κατὰ τὴν ὠνὴν καὶ τὸν ἔκπλουν συνήργησεν, ὡς μέγα μέρος ἢ τὸ πᾶν γενέσθαι ταύτης τῆς βοηθείας. Ὁ γὰρ Ἡρώδης, τούτων ἀφικομένων, ἐν ἀφορμῇ τὴν ἐπιμέλειαν τὴν αὐτοῦ προστιθείς, οὐ μόνον ἀντιμετέστησε τὰς γνώμας τῶν πρότερον χαλεπῶς ἐχόντων, ἀλλὰ καὶ μεγίστην ἐποιήσατο τὴν ἐπίδειξιν τῆς εὐνοίας καὶ τῆς προστασίας. Πρῶτον μὲν γὰρ ὅσοις οἷόν τε καὶ δι' αὐτῶν τὰς τροφὰς ἐκπονεῖν ἔνειμε τοῦ σίτου τὴν ἐξέτασιν ἀκριβεστάτην ποιούμενος· ἔπειτα πολλῶν ὄντων οἳ κατὰ γῆρας ἢ τινὰ προσοῦσαν ἄλλην ἀσθένειαν οὐχ ἱκανῶς εἶχον αὐτοῖς παρασκευάζειν τὰ σιτία, προὐνόει καταστήσας ἀρτοποιοὺς καὶ παρέχων ἑτοίμας τροφάς. Ἐπιμέλειαν δὲ καὶ τοῦ μὴ διαχειμάσαι μετὰ κινδύνων αὐτοὺς ἐποιήσατο, συγκατειληφυίας καὶ τῆς περὶ τὰς ἐσθῆτας ἀπορίας, ἐφθαρμένων καὶ παντάπασιν ἐξαναλωθέντων τῶν βοσκημάτων, ὡς οὔτε ἐρίων εἶναι χρῆσιν οὔτε τῶν ἄλλων σκεπασμάτων. Ἐκπορισθέντων δ' αὐτῷ καὶ τούτων, ταῖς πλησίον ἤδη πόλεσιν ἐπεβάλλετο τὰς ὠφελείας παρέχειν, σπέρματα τοῖς ἐν Συρίᾳ διδούς. Καὶ τοῦτ' ὄνησεν οὐχ ἧττον αὐτὸν, εὐστοχηθείσης εἰς εὐφορίαν τῆς χάριτος, ὡς ἅπασιν ἱκανὰ τὰ περὶ τὰς τροφὰς γενέσθαι. Τὸ δὲ σύμπαν ἀμήτου περὶ τὴν γῆν ἐπιφανέντος, οὐκ ἔλαττον ἢ πέντε μυριάδας ἀνθρώπων, οὓς αὐτὸς ἔθρεψεν, εἰς τὴν χώραν διέπεμψε, καὶ τούτῳ τῷ τρόπῳ κακωθεῖσαν αὐτῷ τὴν βασιλείαν ὑπὸ πάσης φιλοτιμίας καὶ σπουδῆς ἀναλαβὼν, οὐχ ἥκιστα καὶ τοὺς πέριξ, ἐν ταῖς αὐταῖς κακοπαθείαις ὄντας, ἐπεκούφισεν. Οὐ γὰρ ἔσθ' ὅστις ὑπὸ χρείας ἐντυχὼν ἀπελείφθη μὴ βοήθειαν εὑρέσθαι κατὰ τὴν ἀξίαν, ἀλλὰ καὶ ὄῆμοι καὶ πόλεις, καὶ τῶν ἰδιωτῶν ὅσοις ἀπορία διὰ τὸπλειόνων προΐστασθαι συνετύγχανεν, ἐπ' αὐτὸν καταφεύγοντες εἶχον ὧν ἐδεήθησαν, ὥστε γενέσθαι λογιζομένῳ τοὺς μὲν ἔξω τῆς ἀρχῆς δοθέντας σίτου κόρους μυρίους, (ὁ δὲ κόρος δύναται μεδίμνους Ἀττικοὺς δέκα,) τοὺς δ' εἰς αὐτὴν τὴν βασιλείαν περὶ ὀκτακισμυρίους. Ταύτην δὲ αὐτοῦ τὴν ἐπιμέλειαν καὶ τὴν τῆς χάριτος εὐκαιρίαν οὕτως ἐν αὐ-

jam ei ex calamitatibus conflatum esset subditorum odium : solet enim fieri ut, quum res minus prospere cedant, in eos qui præsunt querelas adhibeant.

2. Quum ita se res haberent, cogitabat temporis atrocitatem levare. Verum difficile erat, quum nec finitimi haberant quod ad victum suppeditaret, ut qui iisdem malis conflictarentur; nec pecunia suppeteret, si quo modo vel tantillum pro multis comparari potuisset. Par tamen esse existimans ut nihil omnino omitteret ad illos sublevandos, quicquid erat ornatus in regia ex auro et argento in totum concidit, ita ut nec vasis cura elaboratis nec arte pretiosiori factis pepercerit. Mittebat autem pecuniam in Ægyptum, cujus præfecturam a Cæsare acceperat Petronius. Ille, non paucis ob eandem necessitatem ad eum confugientibus, quum privatim esset Herodis amicus, ejusque subditos salvos esse vellet, primis ipsis concessit frumentum exportare, et modis omnibus tam in eo emendo quam in evehendo illos adjuvit, ita ut magna ex parte vel universum ei hoc debeatur auxilium. Herodes itaque, ubi illi advenerant, opis allatæ causam suæ curæ adscribendo, non modo eos qui prius illi succensebant, in aliam de se opinionem traduxit, sed et palam omnibus fecit se animo plane benigno illorum saluti prospicere. Nam primum quidem iis, qui conficiendo erant sibi ipsis panem in victum, frumentum examine instituto accuratissimo distribuit : deinde quia multi erant quibus propter senium, vel alius generis debilitatem, vires deerant ad edulia sibimet præparanda, his providebat pistores illis assignando victumque paratum præbendo. Porro curam adhibuit, ne dum hiemem agerent periculum adirent, ut qui vestium etiam inopia laborarent, perditis planeque consumptis pecoribus, ut nec lana illis ad usum suppeteret, nec aliud quodvis ad integumenta. Quum autem et horum ei copia facta esset, finitimis quoque urbibus subvenire cogitabat, Syriæ incolis semina subministrando. Id quod ei magno erat emolumento, gratia hac ad fertilitatem bene accommodata, adeo ut omnibus de victu abunde provisum fuerit. In summa, messe appetente, divisit per regionem quinquaginta millia hominum quos ipse alebat, atque hac ratione quum regnum afflictum summa cura sublevasset, plurimum etiam vicinos omnes, qui in iisdem malis erant, levavit. Nemo enim erat qui propter inopiam eum adiret, quem non pro ipsius dignitate adjuverit, immo et populi et urbes et privati, quotquot pluribus prospiciendo ad penuriam redacti erant, ad ipsum confugientes quæ desiderarunt assequebantur, adeo ut frumenti cori, extra regnum distracti, numero fuerint decies mille, (continet autem corus medimnos Atticos decem,) in ipso vero regno ad octogies mille. Atque fiebat ut hæc ejus cura et tam opportuna benevolentia tantum gratiæ ipsi conciliave-

τοῖς τε τοῖς Ἰουδαίοις ἰσχῦσαι συνέβη καὶ διαβοηθῆναι παρὰ τοῖς ἄλλοις, ὥστε τὰ μὲν πάλαι μίση κινηθέντα, διὰ τὸ παραχαράττειν ἔνια τῶν ἐθῶν καὶ τῆς βασιλείας, ἐξαιρεθῆναι τοῦ παντὸς ἔθνους, ἀντικατάλλαγμα δὲ φαίνεσθαι τὴν ἐν τῇ βοηθείᾳ τῶν δεινοτάτων φιλοτιμίαν. Εὔκλεια δὲ καὶ παρὰ τῶν ἔξωθεν ἦν, καὶ δοκεῖ τὰ δυσχερῆ συμβῆναι μὲν αὐτῷ μείζω λόγου, κακώσαντα δὲ τὴν βασιλείαν οὐχ ἥκιστα πρὸς εὐδοξίαν ὠφελῆσαι. Τὸ γὰρ ἐν ταῖς ἀπορίαις μεγαλόψυχον παρὰ δόξαν ἐπιδεικνύμενος ἀντιμετέστησε τοὺς ὄχλους, ὡς ἐξ ὑπαρχῆς δοκεῖν οὐχ οἷον ἡ πεῖρα τῶν πάλαι γεγενημένων, ἀλλ' οἷον ἡ μετὰ τῆς χρείας ἐπιμέλεια παρεστήσατο.

γ'. Περὶ δὲ τὸν χρόνον ἐκεῖνον καὶ συμμαχικὸν ἔπεμψε Καίσαρι πεντακοσίους ἐπιλέκτους τῶν σωματοφυλάκων, οὓς Γάλλος Αἴλιος περὶ τὴν Ἐρυθρὰν θάλασσαν ἦγεν, εἰς πολλὰ χρησίμους αὐτῷ γενομένους. Πάλιν οὖν αὐτῷ τῶν πραγμάτων πρὸς ἐπίδοσιν εὐθηνουμένων, βασίλειον ἐξῳκοδόμει περὶ τὴν ἄνω πόλιν, ὑπερμεγέθεις οἴκους ἐγείρων καὶ κόσμῳ κατασκευάζων πολυτελεστάτῳ χρυσοῦ καὶ λίθων καὶ περιαλειμμάτων, ὡς ἕκαστον αὐτῶν κλισίας μὲν ἔχειν παμπόλλους ἄνδρας ὑποδέχεσθαι, κατὰ τὰ μέτρα δὲ καὶ τὰς προσηγορίας· ὁ μὲν γὰρ Καίσαρος, ὁ δὲ Ἀγρίππα ἐκέκλητο. Προσελάμβανε δὲ καὶ γάμον αὐτῷ, κινηθεὶς ἐξ ἐρωτικῆς ἐπιθυμίας, μηδένα τοῦ κατὰ τὴν οἰκείαν ἡδονὴν ζῆν ὑπολογισμὸν ποιούμενος. Ἀρχὴ δ' αὐτῷ τῶν γάμων ἐγένετο τοιάδε. Σίμων ἦν Ἱεροσολυμίτης, υἱὸς Βοηθοῦ τινος Ἀλεξανδρέως, ἱερεὺς ἐν τοῖς γνωρίμοις, εἶχε δὲ θυγατέρα καλλίστην τῶν τότε νομιζομένων. Ὄντος οὖν λόγου παρὰ τοῖς Ἱεροσολυμίταις περὶ αὐτῆς, τὸ μὲν πρῶτον ὑπὸ τῆς ἀκοῆς κεκινῆσθαι τὸν Ἡρῴδην συνέβαινεν, ὡς δὲ καὶ θεασάμενον ἡ τῆς παιδὸς ἐξέπληττεν ὥρα, τὸ μὲν ἀπ' ἐξουσίας χρώμενος διατελεῖν ἅπαν ἀπεδοκίμαζεν, ὑποπτεύων, ὅπερ ἦν, εἰς βίαν καὶ τυραννίδα διαβληθήσεσθαι, βέλτιον δ' ᾤετο γάμῳ τὴν κόρην λαβεῖν. Καὶ τοῦ Σίμωνος ὄντος ἀδοξοτέρου μὲν ἢ πρὸς οἰκειότητα, μείζονος δ' ἢ καταφρονεῖσθαι, τὸν ἐπιεικέστερον τρόπον μετῄει τὴν ἐπιθυμίαν, αὔξων αὐτοὺς καὶ τιμιωτέρους ἀποφαίνων. Αὐτίκα γοῦν Ἰησοῦν τὸν τοῦ Φάβητος ἀφαιρεῖται τὴν ἀρχιερωσύνην, Σίμωνα δὲ καθίστησιν ἐπὶ τῆς τιμῆς, καὶ τὸ κῆδος πρὸς αὐτὸν συνάπτεται.

δ'. Τελεσθέντος δὲ αὐτῷ τοῦ γάμου, προσκατεσκευάσατο φρούριον ἐπὶ τῶν τόπων ἐν οἷς ἐνίκα Ἰουδαίους, ὅτε τῆς ἀρχῆς ἐκπεσόντος Ἀντίγονος ἐπὶ τῶν πραγμάτων ἦν. Τοῦτο δὲ τὸ φρούριον ἀπέχει μὲν Ἱεροσολύμων περὶ ἑξήκοντα σταδίους, φύσει δὲ ὀχυρὸν καὶ πρὸς κατασκευὴν ἐπιτηδειότατον. Ἔστι γὰρ ἐγγὺς ἐπιεικὴς κολωνός, εἰς ὕψος ἀνιὼν χειροποίητον, ὡς εἶναι μαστοειδῆ τὴν περιφορὰν, διείληπται δὲ κυκλοτερέσι πύργοις, ὀρθίαν ἔχων ἄνοδον, ξεστοῖς βαθμῖσιν ἐξῳκοδομημένων εἰς διακοσίους. Ἐντὸς δ' αὐτοῦ καταγωγαὶ βασίλειοι πολυτελεῖς, εἰς ἀσφάλειαν ὁμοῦ καὶ κόσμον πεποιημέναι· περὶ δὲ τὴν βάσιν τοῦ

rit apud Judæos, adeoque aliorum sermone percrebuerit, ut odium vetus, quod concitaverat ob quædam in *receptis* moribus et in ipso regno violata, ex animis populi universi jam fuerit deletum, sibique persuaserint ex ejus liberalitate abunde satisfactum esse, ope in malis gravissimis suppeditata. Quin et magna erat apud exteros gloria: videturque in difficultates incidisse pene incredibiles, quæ regnum licet afflixerint, ad nominis tamen ejus celebritatem plurimum contulerint. Nam quod liberalitatis magnificentiam in angustiis opinione majorem ostenderit, adeo populi animos mutavit, ut ab initio eum exstitisse putarint non qualem jam ante experti sunt, sed qualem ex cura illorum in necessitatibus sese exhibuit.

3. Sub illud autem tempus misit et Cæsari subsidio quingentos lectos homines de suis satellitibus, quos Ælius Gallus ad mare Rubrum duxit, quique ei magno usui fuerunt. Quumque iterum res secundas et auctiores haberet, regiam in superiore urbe condidit, tricliniis exstructis amplissimis exornatisque auro sumptuosissime et marmoribus et coloribus, ut illorum unumquodque lectis instrueretur ad ingentem hominum numerum excipiendum, habita ratione magnitudinis *cujusque illorum* et appellationis: nam unum Cæsaris, alterum Agrippæ nominabatur. Porro et uxorem sibi accipiebat amatoriæ cupidinis impulsu, nulla religione impeditus quominus in vitæ voluptatibus animo suo obsequeretur. Nuptiæ autem factæ sunt ex hujusmodi occasione. Erat Simon Hierosolymitanus, Alexandrini cujusdam nomine Boethi filius, sacerdos, vir illustris, habebatque filiam omnium ejus, ut existimabatur, temporis formosissimam. Itaque quum in ore atque sermone Hierosolymitanorum esse cœperit, primum quidem fiebat ut, de ea ubi audivit, permoveretur Herodes, simul vero ac visa formæ venustate animum illi perculit puella, noluit uti sua potestate ad desiderium explendum, suspicans id, quod erat, sibi vitio versum iri ac si per vim et tyrannice ageret, satius vero arbitrabatur ut illam in matrimonio haberet. Et quoniam Simon minoris erat dignitatis quam ut regis affinis esset, majoris tamen quam ut contemneretur, meliorem cupiditati suæ satisfaciendi viam persequutus est, illos honoribus augendo et illustriores reddendo. Mox igitur Jesu Phabetis filio pontificatum abrogat, et honorem in Simonem confert, atque ita affinitatem cum eo conjungit.

4. Quum autem nuptias celebrasset, castellum etiam in eo loco construxit, ubi Judæos vicerat, regno exactus quando Antigonus rerum potiebatur. Quod castellum abest ab Hierosolymis sexaginta ferme stadiis, natura munitum et ædificationi aptissimum. Est enim propemodum modicus collis, manuum opera in altitudinem evectus, ut ambitu suo mammæ formam et similitudinem præ se ferat: distinguitur autem turribus rotundis, arduum habens ascensum, eumque per gradus ducentos ex lapidibus quadratis structum. Intus vero diversoria sunt regia plane magnifica, tam ad firmitatem quam ad pulcritudinem com-

λόφου διατριβαὶ κατασκευῆς ἀξιοθεάτου, τά τε ἄλλα καὶ τῆς εἰσαγωγῆς τῶν ὑδάτων (οὐ γὰρ οὗτος ὁ τόπος ἔσχηκεν) ἐκ μακροῦ καὶ πλειόνων ἀναλωμάτων πεποιημένης. Τὰ δ' ἐπίπεδα περιῳκοδόμηται πόλεως οὐδεμιᾶς ἐλάσσω, τὸν λόφον ἀκρόπολιν ἔχοντα τῆς ἄλλης οἰκήσεως.

ε'. Πάντων δὲ αὐτῷ προκεχωρηκότων εἰς δέον ὧν ἠλπίκει, τὰς μὲν ἐν αὐτῇ τῇ βασιλείᾳ ταραχὰς οὐδ' ὁπωσοῦν δι' ὑποψίας εἶχεν, ἑκατέρωθεν ὑπηκόους παραστησάμενος, φόβῳ μὲν ὧν ἀπαραίτητος εἰς τὰς τιμωρίας, τὴν ἐπιμέλειαν δὲ μεγαλόψυχος ἐν ταῖς περιπετείαις ηὐρίσκετο. Περιεβάλλετο δὲ τὴν ἔξωθεν ἀσφάλειαν, ὥσπερ ἐπιτείχισμα τοῦτο τοῖς ἀρχομένοις αὐτοῦ ποιούμενος. Πόλεσι μὲν γὰρ ὡμίλει δεξιῶς καὶ φιλανθρώπως καὶ τοὺς δυνάστας ἐθεράπευεν εὐκαιρίαις ὧν ἑκάστους ἐδωρεῖτο μείζους τὰς χάριτας ἐμποιῶν, καὶ τὸ μεγαλόψυχον φύσει πρὸς τὴν βασιλείαν εὐπρεπῶς ἔχων· ὥστ' αὐτῷ πάντα διὰ πάντων αὔξεσθαι πρὸς τὸ πλέον ἀεὶ προσχωρούντων. Ὑπὸ δὲ τῆς εἰς τοῦτο φιλοτιμίας καὶ τῆς θεραπείας, ἣν ἐθεράπευε Καίσαρα καὶ Ῥωμαίων τοὺς πλεῖστον δυναμένους, ἐκβαίνειν τῶν ἐθῶν ἠναγκάζετο καὶ πολλὰ τῶν νομίμων παραχαράττειν, πόλεις τε κτίζων ὑπὸ φιλοτιμίας καὶ ναοὺς ἐγείρων, οὐκ ἐν τῇ τῶν Ἰουδαίων, (οὐδὲ γὰρ ἂν ἠνέσχοντο, τῶν τοιούτων ἀπηγορευμένων ἡμῖν, ὡς ἀγάλματα καὶ τύπους μεμορφωμένους τιμᾶν πρὸς τὸν Ἑλληνικὸν τρόπον,) τὴν δ' ἔξω χώραν καὶ τὰς πόλεις οὕτω κατεσκεύαζετο, Ἰουδαίοις μὲν ἀπολογούμενος μὴ καθ' αὑτὸν, ἀλλ' ἐξ ἐντολῆς καὶ προσταγμάτων ταῦτα ποιεῖν, Καίσαρι δὲ καὶ Ῥωμαίοις τὸ μηδὲ τῶν οἰκείων ἐθῶν ὅσον τῆς ἐκείνων τιμῆς ἐστοχάσθαι χαριζόμενος, αὐτὸς μέντοι τὸ σύμπαν αὑτοῦ στοχαζόμενος, ἢ καὶ φιλοτιμούμενος μείζω τὰ μνημεῖα τῆς ἀρχῆς τοῖς αὖθις ὑπολιπέσθαι. Ὅθεν καὶ περὶ τὰς ἐπισκευὰς τῶν πόλεων ἐκεκίνητο, καὶ πλείστας εἰς τοῦτο δαπάνας ἐποιεῖτο.

(ΙΒ'.) ς'. Κατιδὼν δὲ καὶ πρὸς τῇ θαλάττῃ χωρίον ἐπιτηδειότατον δέξασθαι πόλιν, ὃ πάλαι Στράτωνος ἐκαλεῖτο πύργος, τῇ τε διαγραφῇ μεγαλοπρεπῶς ἐπεβάλλετο καὶ τοῖς οἰκοδομήμασιν ἀνιστὰς ἅπασαν οὐ παρέργως, ἀλλ' ἐκ λευκῆς πέτρας, καὶ διακοσμῶν βασιλείοις τε πολυτελεστάτοις καὶ διαίταις πολιτικαῖς, τὸ δὲ μέγιστον καὶ πλείστην ἐργασίαν παρασχὸν, ἀκλύστῳ λιμένι, μέγεθος μὲν κατὰ τὸν Πειραιᾶ, καταγωγὰς δ' ἔνδον ἔχοντι καὶ δευτέρους ὑφόρμους, τῇ δὲ δομήσει περίβλεπτον, ὅτι μηδ' ἐκ τοῦ τόπου τὴν ἐπιτηδειότητα τῆς μεγαλουργίας εἶχεν, ἀλλ' ἐπεισάκτοις καὶ πολλαῖς ἐξετελειώθη ταῖς δαπάναις. Κεῖται μὲν γὰρ ἡ πόλις ἐν τῇ Φοινίκῃ, κατὰ τὸν εἰς Αἴγυπτον παράπλουν, Ἰόπης μεταξὺ καὶ Δώρων. Πολισμάτια ταῦτ' ἐστὶ παράλια, δύσορμα διὰ τὰς κατὰ λίβα προσβολὰς, αἳ τὰς ἐκ τοῦ πόντου θῖνας ἐπὶ τὴν ἠόνα σύρουσαι καταγωγὴν οὐ μειλίχιον διδόασιν, ἀλλ' ἔστιν ἀναγκαῖον ἀποσαλεύειν τὰ πολλὰ τοὺς ἐμπόρους ἐπ' ἀγκύραις. Τοῦτο τὸ δύσθετον τῆς χώρας διορθούμενος καὶ περι-

parata : et ad imum collis habitationes structuræ spectatu dignissimæ, tum propter alia, tum propter aquæ ductionem (nam locus aqua destitutus erat) ex longo intervallo et magnis impensis factam. Porro planities circumquaque ædificiis erat occupata, ut vix ulli urbi magnitudine cederet; cui collis erat pro arce subjectis domibus imminente.

5. Quum autem omnia quæ speraverat bene ei cecidissent, ne minima quidem tenebatur suspicione de ullo in regno suo motu, ut qui subditos utrinque ad obsequium adstrictos haberet, et timore, quod nemini supplicium remittebat, et cura sua, quod dum premerentur calamitatibus sese magnificum ostenderit. Veruntamen foris securitatem quæsivit, quasi in munimentum contra subditos hoc faceret. Nam in civitates comis erat et humanus, et dynastas ex occasione colebat, quorum singulos muneribus prosequebatur, majoribus non omissis beneficiis, ut qui ad regnum accommodate natura magnificus esset, ita ut ipsius omnia undique incrementa caperent ex prospero rerum successu. Atqui ex hac magnificentia studioque demerendi Cæsarem et Romanorum potentissimos cogebatur a receptis moribus decedere et patria instituta violare, dum et urbes ambitiosa sui ostentatione conderet et templa erigeret, non hæc quidem in Judæa, (nam *Judæi* nunquam tulissent, quum nobis interdictum sit statuas et simulacra Græcorum more colere,) sed alias regiones et urbes *ita* instruxit et ornavit, Judæis semet quidem purgans, quod non suapte sponte, sed ex jussu et mandatis hæc faceret, a Cæsare vero et Romanis gratiam iniens, quod ne patriis quidem moribus tantum quantum illorum honori studeret, dum ipse in summa suæ utilitatis rationem habuit, operamve dedit ut illustriora sui dominatus monumenta posteris relinqueret. Quo factum est ut in animum induxerit urbes instaurare, et in eum finem immanes profuderit sumptus.

(XII.) 6. Quumque animadvertisset in ora maritima locum urbi aptissimum, olim Stratonis turrim appellatum, ad formam ejus magnifice describendam aggressus est, et ædificiis eam universam non tenui opera erexit, sed e candido lapide, tamque regiis sumptuosissimis eam exornando quam ædibus ad cives excipiendos, et, quod omnium erat maximum et operosissimum, portu quam tutissimo, magnitudine Piræeo pari, in quo naves commode stationem haberent et subducerentur, eoque magis structura visendo, quod locus ipse nihil suppeditaret ad opus adeo magnificum accommodatum, sed materia aliunde advecta et immensis sumptibus omnia perfecta essent et absoluta. Sita quidem est hæc urbs in Phœnice, qua in Ægyptum præternavigatur, Jopen inter et Dora. Istæ autem urbeculæ maritimæ sunt, importuosæ ob vehementes Africi flatus, qui, arenas e mari in litus provolventes, nullam stationem quietam esse patiuntur, ita ut plerumque mercatores jactis ancoris in salo morari necesse habeant. Quum autem in eo esset ut hanc regionis incommoditatem corrigeret, tantum

γράψας τὸν κύκλον τοῦ λιμένος ἐφ' ὅσον ἦν αὐταρκες πρὸς τῇ χέρσῳ μεγάλοις στόλοις ἐνορμεῖσθαι, λίθους ὑπερμεγέθεις καθίει τὸ βάθος εἰς ὀργυιὰς εἴκοσιν. Πεντήκοντα ποδῶν ἦσαν οἱ πλείους τὸ μῆκος καὶ πλάτος οὐκ ἔλαττον δεκαοκτὼ, τὸ βάθος δὲ ἐννέα, τούτων οἱ μὲν μείζους, οἱ δὲ ἐλάττους· ἡ δὲ ἐνδόμησις, ὅσην ἐνεβάλετο κατὰ τῆς θαλάττης, εἰς διακοσίους πόδας. Τούτων τὸ μὲν ἥμισυ προβέβλητο ταῖς κυματωγαῖς ὡς ἀπομάχεσθαι περικλώμενον ἐκεῖ τὸν κλύδωνα (προκυμία γοῦν ἐκαλεῖτο), τὸ δὲ λοιπὸν περιεῖχε λίθινον τεῖχος πύργοις διειλημμένον, ὧν ὁ μέγιστος Δροῦσος ὀνομάζεται, πάνυ καλόν τι χρῆμα, τὴν προσηγορίαν εἰληφὼς ἀπὸ Δρούσου τοῦ Καίσαρος προγόνου, τελευτήσαντος νέου. Ψαλίδες δὲ ἐνεπεποίηντο συνεχεῖς, καταγωγαὶ τοῖς ναυτίλοις· τὸ δὲ πρὸ αὐτῶν ἀπόβασις πλατεῖ κύκλῳ περιεστεφάνωκε τὸν πάντα λιμένα, περίπατος τοῖς θέλουσιν ἥδιστος. Ὁ δὲ εἴσπλους καὶ τὸ στόμα πεποίηται πρὸς βορρᾶν, ὃς ἀνέμων αἰθριώτατος. Βάσις δὲ τοῦ περιβόλου παντὸς ἐν ἀριστερᾷ μὲν εἰσπλεόντων πύργος νεναγμένος ἐπὶ πολὺ στερρῶς ἀντέχειν, κατὰ δεξιὰν δὲ δύο λίθοι μεγάλοι καὶ τοῦ κατὰ θάτερα πύργου μείζους, ὀρθοὶ δὲ καὶ συνεζευγμένοι. Περίκεινται δ' ἐν κύκλῳ τὸν λιμένα λειοτάτου λίθου κατασκευῇ συνεχεῖς οἰκήσεις, κἀν τῷ μέσῳ κολωνός τις, ἐφ' οὗ νεὼς Καίσαρος ἄποπτος τοῖς εἰσπλέουσιν, ἔχων ἀγάλματα, τὸ μὲν Ῥώμης, τὸ δὲ Καίσαρος, ἥ τε πόλις αὐτὴ Καισάρεια καλεῖται, καλῆς τε ὕλης καὶ κατασκευῆς τετυχηκυῖα. Τὰ δ' ὑπ' αὐτὴν ὑπόνομοί τε καὶ λαῦραι πραγματείαν οὐκ ἐλάττω τῶν ὑπερῳκοδομημένων ἔχουσαι. Τούτων αἱ μὲν κατὰ σύμμετρα διαστήματα φέρουσιν εἰς τὸν λιμένα καὶ τὴν θάλατταν, μία δὲ ἐγκαρσία πάσας ὑπέζωκεν, ὡς τούς τε ὄμβρους εὐμαρῶς καὶ τὰ λύματα τῶν οἰκητόρων συνεκδίδοσθαι, τήν τε θάλατταν, ὅταν ἔξωθεν ἐπιγένηται, διαρρεῖν καὶ τὴν σύμπασαν ὑποκλύζειν πόλιν. Κατεσκεύασε δ' αὐτῇ καὶ θέατρον ἐκ πέτρας καὶ πρὸς τῷ νοτίῳ τοῦ λιμένος ὄπισθεν ἀμφιθέατρον, πολὺν ὄχλον ἀνθρώπων δέχεσθαι δυνάμενον καὶ κείμενον ἐπιτηδείως ἀποπτεύειν εἰς τὴν θάλατταν. Ἡ μὲν δὴ πόλις οὕτως ἐξετελέσθη δωδεκαετεῖ χρόνῳ, καὶ ταῖς ἐργασίαις οὐκ ἐγκαμόντος καὶ ταῖς δαπάναις ἐπαρκέσαντος τοῦ βασιλέως.

ΚΕΦ. Ι'.

Ἐπὶ τοιούτοις δὲ ὧν καὶ τῆς Σεβαστῆς ἤδη πεπολισμένης ἔγνω τοὺς παῖδας αὐτοῦ πέμπειν εἰς Ῥώμην, Ἀλέξανδρον καὶ Ἀριστόβουλον, συντεξομένους Καίσαρι. Τούτοις ἀνελθοῦσι καταγωγὴ μὲν ἦν ὁ Πολλίωνος οἶκος, ἀνδρὸς τῶν μάλιστα σπουδασάντων περὶ τὴν Ἡρώδου φιλίαν, ἐφεῖτο δὲ κἀν τοῖς Καίσαρος κατάγεσθαι· καὶ γὰρ ἐδέξατο μετὰ πάσης φιλανθρωπίας τοὺς παῖδας, καὶ δίδωσιν Ἡρῴδῃ τὴν βασιλείαν ὅτῳ βούλεται βεβαιοῦν τῶν ἐξ αὐτοῦ γεγονότων, καὶ χώραν ἔτι τόν τε Τραχῶνα καὶ Βαταναίαν καὶ Αὐρανίτιν πρὸς τοῖς προτέροις. Ἐπεὶ δὲ καὶ τὴν Ἰουδαίαν ἐπῆλθεν ὁ Σαβῖνος ἐπὶ τὰ χρήματα τοῦ Ἡρώδου, καὶ τὰ μὲν ἐν τοῖς φρουρίοις ἐκράτησε, τὰ δὲ ἐν τοῖς χωρίοις ἐπὶ τὴν Ἱεροσόλυμα ἐκομίσθη

νῖτιν· ἔδωκε δὲ διὰ τοιαύτην αἰτίαν. Ζηνόδωρός τις ἐμεμίσθωτο τὸν οἶκον τοῦ Λυσανίου. Τούτῳ τὰ μὲν κατὰ τὰς προσόδους οὐκ ἦρκει, λῃστήρια δὲ ἔχων ἐν τῷ Τράχωνι πλείω τὴν πρόσοδον ἔφερεν. Οἰκοῦσι γὰρ ἄνδρες ἐξ ἀπονοίας ζῶντες τοὺς τόπους, οἷ τὰ Δαμασκηνῶν ἐληΐζοντο· καὶ Ζηνόδωρος οὔτ' εἴργει καὶ αὐτὸς τῶν ὠφελειῶν ἐκοινώνει. Κακῶς δὲ πάσχοντες οἱ πλησιόχωροι, Οὐάρρωνος κατεβόων τοῦ τότε ἡγεμονεύοντος καὶ γράφειν ἠξίουν Καίσαρι τοῦ Ζηνοδώρου τὴν ἀδικίαν. Καίσαρ δὲ ἀνενεχθέντων τούτων ἀντέγραφεν ἐξελεῖν τὰ λῃστήρια, τὴν δὲ χώραν Ἡρώδῃ προσνέμειν, ὡς διὰ τῆς ἐπιμελείας τῆς ἐκείνου μηκέτ' ἂν ὀχληρῶν τῶν περὶ τὸν Τράχωνα γενησομένων τοῖς πλησίον. Οὐδὲ γὰρ ῥᾴδιον ἦν ἐπισχεῖν αὐτοὺς, ἐν ἔθει τὸ λῃστεύειν πεποιημένους καὶ βίον οὐκ ἄλλοθεν ἔχοντας· οὔτε γὰρ πόλις αὐτοῖς οὔτε κτῆσις ἀγρῶν ὑπῆρχε, ὑποφυγαὶ δὲ κατὰ τῆς γῆς καὶ σπήλαια καὶ κοινὴ μετὰ τῶν βοσκημάτων δίαιτα. Μεμηχάνηνται δὲ καὶ συναγωγὰς ὑδάτων καὶ προπαρασκευὰς σιτίων, καὶ δύνανται πλεῖστον ἐξ ἀφανοῦς ἀντέχειν. Αἵ γε μὴν εἴσοδοι στεναὶ καὶ καθ' ἕνα παρερχομένων, τὰ δ' ἔνδον ἀπίστως μεγάλα καὶ πρὸς εὐρυχωρίαν ἐξειργασμένα· τὸ δ' ὑπὲρ τὰς οἰκήσεις ἔδαφος οὐχ ὑψηλὸν, ἀλλ' οἷον ἐξ ἐπιπέδου. Πέτρα δὲ τὸ σύμπαν σκληρὰ καὶ ὀύσοδος, εἰ μὴ τρίβῳ χρῷτό τις ἐξ ὁδηγίας· οὐδὲ γὰρ αὖται κατ' ὀρθὸν, ἀλλὰ πολλὰς ἕλικας ἐξελίττονται. Τούτοις, ἐπειδὴ τῶν εἰς τοὺς πλησίον κακουργημάτων ἐκωλύοντο, καὶ κατ' ἀλλήλων ἦν ὁ τῆς λῃστείας τρόπος, ὡς μηδὲν ἀνομίας ἐν τούτῳ λελεῖφθαι. Λαβὼν δὲ τὴν χάριν Ἡρώδης παρὰ Καίσαρος, καὶ παρελθὼν εἰς τὴν χώραν, ὁδηγῶν ἐμπειρίᾳ, τούς τε πονηρευομένους αὐτῶν κατέπαυσε καὶ τοῖς πέριξ ἀδεῆ τὴν εἰρήνην παρέσχεν.

β'. Ὁ δὲ Ζηνόδωρος ἀχθόμενος πρῶτον μὲν ἐπὶ τῇ τῆς ἐπαρχίας ἀφαιρέσει, μᾶλλον δὲ καὶ φθόνῳ τὴν ἀρχὴν Ἡρώδου μετειληφότος, ἀνῆλθεν εἰς Ῥώμην κατηγορήσων αὐτοῦ. Κἀκεῖνος μὲν ἄπρακτος ἀναστρέφει, πέμπεται δὲ Ἀγρίππας τῶν πέραν Ἰονίου διάδοχος Καίσαρι· καὶ τούτῳ περὶ Μυτιλήνην χειμάζοντι συντυχὼν Ἡρώδης (ἦν γὰρ εἰς τὰ μάλιστα φίλος καὶ συνήθης) εἰς τὴν Ἰουδαίαν πάλιν ἀναστρέφει. Γαδαρέων δέ τινες ἐπ' Ἀγρίππαν ἦλθον κατηγοροῦντες Ἡρώδου, καὶ τούτους ἐκεῖνος, οὐδὲ λόγον αὐτοῖς δοὺς, ἀναπέμπει τῷ βασιλεῖ δεσμίους. Οἵ τε Ἄραβες, καὶ πάλαι δυσμενῶς ἔχοντες πρὸς τὴν ἀρχὴν τὴν Ἡρώδου, διεκεκίνηντο καὶ στασιάζειν ἐπεχείρουν αὐτῷ τὰ πράγματα τότε, καὶ μετ' αἰτίας, ὡς ἐδόκουν, εὐλογοτέρας. Ὁ γὰρ Ζηνόδωρος, ἀπογινώσκων ἤδη τῶν καθ' αὑτὸν, ἔφθη τῆς ἐπαρχίας μέρος τι τὴν Αὐρανῖτιν αὐτοῖς ἀποδόσθαι ταλάντων πεντήκοντα. Ταύτης ἐμπεριεχομένης τῇ δωρεᾷ Καίσαρος, ὡς μὴ δικαίως ἀφαιρούμενοι διημφισβήτουν, πολλάκις μὲν ταῖς καταδρομαῖς καὶ τῷ βιάζεσθαι θέλειν, ἄλλοτε δὲ καὶ πρὸς δικαιολογίαν ἰόντες. Ἀνέπειθον δὲ καὶ τοὺς ἀπόρους τῶν στρατιωτῶν καὶ δυσμενεῖς ἦσαν, ἐλπίζοντες ἀεὶ καὶ πρὸς τὸν νεωτερισμὸν

Auranitidem : et dedit ob hujusmodi causam. Zenodorus quidam Lysaniæ domum conduxerat. Hic quidem non satis magnos reditus habebat; eos vero latrociniis per Trachonem exercendis augebat supplebatque. Nam ea loca incolebant desperatæ vitæ homines, qui Damascenum agrum populabantur : neque Zenodorus eos impediebat; quin et ipse prædæ particeps erat. Vicini autem, hac re vexati, adversus Varronem, qui præfectus erat, vociferabantur et ut Cæsari de Zenodori injuriis scriberet flagitabant. Cæsar, his ad eum allatis *querelis*, rescripsit ut ea eo tractu latrones exigerentur, isque Herodi traderetur : nam hujus cura et diligentia cautum fore ne Trachonitæ deinceps finitimis noceant. Neque enim eos prohibere facile erat, quum unum latrocinandi opus haberent, nec aliunde viverent : quippe quibus nec oppida, nec agrorum possessiones erant, sed tantum receptacula subterranea et speluncæ, ubi vitam cum pecoribus suis communem agerent. Sibimet autem confecerunt aquarum copiam et abunde frumenti jam ante pararunt, adeo ut possent ex occulto diu resistere. Enimvero aditus sunt angusti, ut non plures quam singuli transire possint, sed interiora incredibili sunt magnitudine, ac ita facta ut quamplurimos recipiant : atque domorum superius solum non supereminet, sed propemodum terræ æquale est. Id totum rupes est dura et aditu difficilis, nisi via incedatur qua præeat ductor, quippe non rectæ, sed valde flexuosæ factæ sunt semitæ. His hominibus, si quando maleficium in finitimos committere prohibeantur, moris est ut ipsi inter se alii alios spolient, adeo ut a nullo scelerum genere sibi temperent. Atqui Herodes, hoc beneficio donatus a Cæsare, et in regionem peritorum ductu profectus, fecit ut a maleficiis illi abstinerent, finitimisque pacem et securitatem præstitit.

2. Zenodorus autem, iratus primum quod privatus esset præfectura, deinde, et potissimum quidem, quod Herodi principatum assequuto invideret, profectus est Romam ut eum accusaret. Et ille quidem re infecta reversus est; Agrippa vero missus est, ut provincias trans mare Ionium Cæsaris nomine procuraret : eumque Mytilenæ hibernantem Herodes, utpote ei amicissimus et familiarissimus, adiit, deinde Judæam repetiit. Ceterum Gadarenses quidam Herodem apud Agrippam accusatum iverunt, ac ille, eos nullo dignatus responso, regi vinctos remisit. Atque Arabes, qui jamdiu Herodis principatu dolebant, concitati erant, ac tunc ejus rebus dissidium creare conabantur, idque de causa ut tum videbatur satis probabili. Zenodorus enim, de suis rebus jam desperans, eis suæ præfecturæ partem, Auranitidem, vendiderat quinquaginta talentis. Et quoniam pars in eo, quod donaverat Herodi Cæsar, continebatur, tanquam injuste ea privati, cum eo concertabant *Arabes*, et crebras incursiones faciendo, et vim tentare cogitando, nonnunquam etiam jure experiundo. Quin et sibi conciliabant pauperes milites, et *Herodi* infesti erant, semper sperantes et novis rebus studentes, quibus maxime

γράψας τὸν κύκλον τοῦ λιμένος ἐφ' ὅσον ἦν αὔταρκες πρὸς τῇ χέρσῳ μεγάλοις στόλοις ἐνορμεῖσθαι, λίθους ὑπερμεγέθεις καθίει τὸ βάθος εἰς ὀργυιὰς εἴκοσιν. Πεντήκοντα ποδῶν ἦσαν οἱ πλείους τὸ μῆκος καὶ πλάτος οὐκ ἔλαττον δεκαοκτὼ, τὸ βάθος δὲ ἐννέα, τούτων οἱ μὲν μείζους, οἱ δὲ ἐλάττους· ἡ δὲ ἐνδόμησις, ὅσην ἐνεβάλετο κατὰ τῆς θαλάττης, εἰς διακοσίους πόδας. Τούτων τὸ μὲν ἥμισυ προβέβλητο ταῖς κυματωγαῖς ὡς ἀπομάχεσθαι περικλώμενον ἐκεῖ τὸν κλύδωνα (προκυμία γοῦν ἐκαλεῖτο), τὸ δὲ λοιπὸν περιεῖχε λίθινον τεῖχος πύργοις διειλημμένον, ὧν ὁ μέγιστος Δροῦσος ὀνομάζεται, πάνυ καλόν τι χρῆμα, τὴν προσηγορίαν εἰληφὼς ἀπὸ Δρούσου τοῦ Καίσαρος προγόνου, τελευτήσαντος νέου. Ψαλίδες δὲ ἐνεπεποίηντο συνεχεῖς, καταγωγαὶ τοῖς ναυτίλοις· τὸ δὲ πρὸ αὐτῶν ἀπόβασις πλατεῖ κύκλῳ περιεστεφάνωκε τὸν πάντα λιμένα, περίπατος τοῖς θέλουσιν ἥδιστος. Ὁ δὲ εἴσπλους καὶ τὸ στόμα πεποίηται πρὸς βορρᾶν, ὃς ἀνέμων αἰθριώτατος. Βάσις δὲ τοῦ περιβόλου παντὸς ἐν ἀριστερᾷ μὲν εἰσπλεόντων πύργος νεναγμένος ἐπὶ πολὺ στερρῶς ἀντέχειν, κατὰ δεξιὰν δὲ δύο λίθοι μεγάλοι καὶ τοῦ κατὰ θάτερα πύργου μείζους, ὀρθοὶ δὲ καὶ συνεζευγμένοι. Περίκεινται δ' ἐν κύκλῳ τὸν λιμένα λειοτάτου λίθου κατασκευῇ συνεχεῖς οἰκήσεις, κἀν τῷ μέσῳ κολωνός τις, ἐφ' οὗ νεὼς Καίσαρος ἄποπτος τοῖς εἰσπλέουσιν, ἔχων ἀγάλματα, τὸ μὲν Ῥώμης, τὸ δὲ Καίσαρος, ἥ τε πόλις αὐτὴ Καισάρεια καλεῖται, καλῆς τε ὕλης καὶ κατασκευῆς τετυχηκυῖα. Τὰ δ' ὑπ' αὐτὴν ὑπόνομοί τε καὶ λαῦραι πραγματείαν οὐκ ἐλάττω τῶν ὑπερῳκοδομημένων ἔχουσαι. Τούτων αἱ μὲν κατὰ σύμμετρα διαστήματα φέρουσιν εἰς τὸν λιμένα καὶ τὴν θάλατταν, μία δὲ ἐγκαρσία πάσας ὑπέζωκεν, ὡς τούς τε ὄμβρους εὐμαρῶς καὶ τὰ λύματα τῶν οἰκητόρων συνεκδίδοσθαι, τήν τε θάλατταν, ὅταν ἔξωθεν ἐπιγένηται, διαρρεῖν καὶ τὴν σύμπασαν ὑποκλύζειν πόλιν. Κατεσκεύασε δ' αὐτῇ καὶ θέατρον ἐκ πέτρας καὶ πρὸς τῷ νοτίῳ τοῦ λιμένος ὄπισθεν ἀμφιθέατρον, πολὺν ὄχλον ἀνθρώπων δέχεσθαι δυνάμενον καὶ κείμενον ἐπιτηδείως ἀποπτεύειν εἰς τὴν θάλατταν. Ἡ μὲν δὴ πόλις οὕτως ἐξετελέσθη δωδεκαετεῖ χρόνῳ, καὶ ταῖς ἐργασίαις οὐκ ἐγκαμόντος καὶ ταῖς δαπάναις ἐπαρκέσαντος τοῦ βασιλέως.

ΚΕΦ. Ι'.

Ἐπὶ τοιούτοις δὲ ὧν καὶ τῆς Σεβαστῆς ἤδη πεπολισμένης ἔγνω τοὺς παῖδας αὐτοῦ πέμπειν εἰς Ῥώμην, Ἀλέξανδρον καὶ Ἀριστόβουλον, συντευξομένους Καίσαρι. Τούτοις ἀνελθοῦσι καταγωγὴ μὲν ἦν ὁ Πολλίωνος οἶκος, ἀνδρὸς τῶν μάλιστα σπουδασάντων περὶ τὴν Ἡρώδου φιλίαν, ἐφεῖτο δὲ κἀν τοῖς Καίσαρος κατάγεσθαι· καὶ γὰρ ἐδέξατο μετὰ πάσης φιλανθρωπίας τοὺς παῖδας, καὶ δίδωσιν Ἡρώδῃ τὴν βασιλείαν ὅτῳ βούλεται βεβαιοῦν τῶν ἐξ αὐτοῦ γεγονότων, καὶ χώραν ἔτι τόν τε Τραχῶνα καὶ Βαταναίαν καὶ Αὐρανίτιν περίβολον λιμένος σταδίων ἐκτὸς ἐπὶ τοσοῦτον ἐξέβαλεν ὅσον ἐπὶ πλείστους ἐπιδέξασθαι νεῶν στόλους, ὄρυγμα ἐν ὕδατι βάθους εἰκοσιπήχους, ὧν τὰ πλείω πεντηκοντάπηχυ καὶ τὸ πλάτος οὐκ ἔλαττον δεκαοκτὼ καὶ τὸ βάθος ἐννέα, τούτων τὰ μὲν μείζω τὰ δὲ ἐλάττω· ἡ δὲ ἐνδόμησις ἣν ἐνέβαλε κατὰ τῆς θαλάττης εἰς διακοσίους πόδας. Τούτου τὸ ἥμισυ προβέβλητο τοῖς κύμασιν ὡς ἀπομάχεσθαι περικλώμενον ἐκεῖ τὸν κλύδωνα (προκυμία γοῦν ἐκαλεῖτο), τὸ δὲ λοιπὸν περιεῖχε λίθινον τεῖχος πύργοις διειλημμένον, ὧν ὁ μέγιστος Δροῦσος ὀνομάζεται, πάνυ καλόν τι χρῆμα, τὴν προσηγορίαν εἰληφὼς ἀπὸ Δρούσου τοῦ Καίσαρος προγόνου, τελευτήσαντος νέου. Ψαλίδες δὲ ἐνεπεποίηντο συνεχεῖς, καταγωγαὶ τοῖς ναυτίλοις· τὸ δὲ πρὸ αὐτῶν ἀπόβασις πλατεῖ κύκλῳ περιεστεφάνωκε τὸν πάντα λιμένα, περίπατος τοῖς θέλουσιν ἥδιστος. Ὁ δὲ εἴσπλους καὶ τὸ στόμα πεποίηται πρὸς βορρᾶν, ὃς ἀνέμων αἰθριώτατος. Βάσις δὲ τοῦ περιβόλου παντὸς ἐν ἀριστερᾷ μὲν εἰσπλεόντων πύργος νεναγμένος ἐπὶ πολὺ στερρῶς ἀντέχειν, κατὰ δεξιὰν δὲ δύο λίθοι μεγάλοι καὶ τοῦ κατὰ θάτερα πύργου μείζους, ὀρθοὶ δὲ καὶ συνεζευγμένοι. Περίκεινται δ' ἐν κύκλῳ τὸν λιμένα λειοτάτου λίθου κατασκευῇ συνεχεῖς οἰκήσεις, κἀν τῷ μέσῳ κολωνός τις, ἐφ' οὗ νεὼς Καίσαρος ἄποπτος τοῖς εἰσπλέουσιν, ἔχων ἀγάλματα, τὸ μὲν Ῥώμης, τὸ δὲ Καίσαρος, ἥ τε πόλις αὐτὴ Καισάρεια καλεῖται, καλῆς τε ὕλης καὶ κατασκευῆς τετυχηκυῖα. Τὰ δ' ὑπ' αὐτὴν ὑπόνομοί τε καὶ λαῦραι πραγματείαν οὐκ ἐλάττω τῶν ὑπερῳκοδομημένων ἔχουσαι. Τούτων αἱ μὲν κατὰ σύμμετρα διαστήματα φέρουσιν εἰς τὸν λιμένα καὶ τὴν θάλατταν, μία δὲ ἐγκαρσία πάσας ὑπέζωκεν, ὡς τούς τε ὄμβρους εὐμαρῶς καὶ τὰ λύματα τῶν οἰκητόρων συνεκδίδοσθαι, τήν τε θάλατταν, ὅταν ἔξωθεν ἐπιγένηται, διαρρεῖν καὶ τὴν σύμπασαν ὑποκλύζειν πόλιν. Κατεσκεύασε δ' αὐτῇ καὶ θέατρον ἐκ πέτρας καὶ πρὸς τῷ νοτίῳ τοῦ λιμένος ὄπισθεν ἀμφιθέατρον, πολὺν ὄχλον ἀνθρώπων δέχεσθαι δυνάμενον καὶ κείμενον ἐπιτηδείως ἀποπτεύειν εἰς τὴν θάλατταν. Ἡ μὲν δὴ πόλις οὕτως ἐξετελέσθη δωδεκαετεῖ χρόνῳ, καὶ ταῖς ἐργασίαις οὐκ ἐγκαμόντος καὶ ταῖς δαπάναις ἐπαρκέσαντος τοῦ βασιλέως.

in circuitu portus spatium descripsit quantum terram versus magnis classibus recipiendis sufficeret, immensæ magnitudinis saxis in viginti ulnarum profundum demissis, quorum pleraque ad pedes quinquaginta longitudine, latitudine vero non minora octodecim, atque altitudine novempedali fuerunt; alia tamen hisce majora, rursusque alia minora. Hæc moles, quam contra maris impetum exstruxit, ducentorum pedum longitudine erat. Horum dimidium undarum agitationi opposuit, ut fluctuum circumquaque allisorum fractorumque vim repelleret, unde procymia dicebatur; reliquum vero continebat murum lapideum, turribus distinctum, quarum maxima, quæ speciosa admodum erat, Drusus nominabatur, appellatione desumpta a Druso privigno Cæsaris, qui juvenis obiit. Præterea crebri facti erant fornices, nautis diversoria: præque fornicibus exscensus lato ambitu toti portui circumdatus erat, locus ad inambulandum animi causa jucundissimus. Aditus autem et ostium portus obversum est aquiloni, ventorum frigidissimo. Ad imum vero totius ambitus a sinistra quidem intrantibus turris solida ad firmius resistendum *fluctibus*, a dextra vero duo magni lapides, et turri ex adverso majores, iique recti conjunctique. Portui autem in circuitum ædes circumjacent continuata serie, lapide politissimo exstructæ, tumulo in medio exstante, in quo templum Cæsaris iis qui adnavigant eminus visum, habens statuas, unam quidem Romæ, alteram vero Cæsaris: atque urbs ipsa Cæsarea appellatur, tam materia quam structuræ artificio conspicua. Quod autem ad subterranea spectat, cuniculos meatusque angustos, non minori opere constantes quam quæ superstructa erant. Horum nonnulli paribus a se invicem intervallis ad litus et mare ferebant, unus vero transversus omnes succinxit, adeo ut imbres facile et incolarum purgamenta una exonerentur, et mare, æstu fortis accedente, totam etiam urbem subluat. Exstruxit autem urbi et theatrum e saxo, et pone theatrum a meridionali portus latere amphitheatrum erexit, quod ingentem hominum multitudinem capere potuit, loco opportunissimo situm, ut ei pateat prospectus in mare. Atque ita quidem ea urbs perfecta est annis duodecim, quum nec operi rex succubuisset, nec ei defuisset unde sumptus faceret.

CAP. X. (XII.)

His autem absolutis, et Sebaste jam ante ædificata, statuit Romam filios suos mittere, Alexandrum et Aristobulum, ut se Cæsari offerrent. Eo postquam pervenerunt, ad Pollionem, virum Herodis amicitiæ studiosissimum, diverterunt: eisque permissum est etiam apud Cæsarem diversari. Nam et ipse eos accepit humanissime, et Herodi potestatem fecit regnum utri filiorum vellet confirmandi; eique insuper amplius regionum dedit, Trachonem et Batanæam atque

νῖτιν· ἔδωκε δὲ διὰ τοιαύτην αἰτίαν. Ζηνόδωρός τις ἐμεμίσθωτο τὸν οἶκον τοῦ Λυσανίου. Τούτῳ τὰ μὲν κατὰ τὰς προσόδους οὐκ ἤρκει, λῃστήρια δὲ ἔχων ἐν τῷ Τράχωνι πλείω τὴν πρόσοδον ἔφερεν. Οἰκοῦσι γὰρ ἄνδρες ἐξ ἀπονοίας ζῶντες τοὺς τόπους, οἳ τὰ Δαμασκηνῶν ἐληίζοντο· καὶ Ζηνόδωρος οὔτ' εἴργει καὶ αὐτὸς τῶν ὠφελειῶν ἐκοινώνει. Κακῶς δὲ πάσχοντες οἱ πλησιόχωροι, Οὐάρρωνος κατεδόων τοῦ τότε ἡγεμονεύοντος καὶ γράφειν ἠξίουν Καίσαρι τοῦ Ζηνοδώρου τὴν ἀδικίαν. Καῖσαρ δὲ ἀνενεχθέντων τούτων ἀντέγραφεν ἐξελεῖν τὰ λῃστήρια, τὴν δὲ χώραν Ἡρῴδῃ προσνέμειν, ὡς διὰ τῆς ἐπιμελείας τῆς ἐκείνου μηκέτ' ἂν ὀχληρῶν τῶν περὶ τὸν Τράχωνα γενησομένων τοῖς πλησίον. Οὐδὲ γὰρ ῥᾴδιον ἦν ἐπισχεῖν αὐτοὺς, ἐν ἕθει τὸ λῃστεύειν πεποιημένους καὶ βίον οὐκ ἄλλοθεν ἔχοντας· οὔτε γὰρ πόλις αὐτοῖς οὔτε κτῆσις ἀγρῶν ὑπῆρχε, ὑποφυγαὶ δὲ κατὰ τῆς γῆς καὶ σπήλαια καὶ κοινὴ μετὰ τῶν βοσκημάτων δίαιτα. Μεμηχάνηνται δὲ καὶ συναγωγὰς ὑδάτων καὶ προπαρασκευὰς σιτίων, καὶ δύνανται πλεῖστον ἐξ ἀφανοῦς ἀντέχειν. Αἵ γε μὴν εἰσοδοι στεναὶ καὶ καθ' ἕνα παρερχομένων, τὰ δ' ἔνδον ἀπίστως μεγάλα καὶ πρὸς εὐρυχωρίαν ἐξειργασμένα· τὸ δ' ὑπὲρ τὰς οἰκήσεις ἔδαφος οὐχ ὑψηλὸν, ἀλλ' οἷον ἐξ ἐπιπέδου. Πέτρα δὲ τὸ σύμπαν σκληρὰ καὶ δύσοδος, εἰ μὴ τρίβῳ χρῷτό τις ἐξ ὁδηγίας· οὐδὲ γὰρ αὗται κατ' ὀρθὸν, ἀλλὰ πολλὰς ἕλικας ἐξελίττονται. Τούτοις, ἐπειδὴ τῶν εἰς τοὺς πλησίον κακουργημάτων ἐκωλύοντο, καὶ κατ' ἀλλήλων ἦν ὁ τῆς λῃστείας τρόπος, ὡς μηδὲν ἀνομίας ἐν τούτῳ λελεῖφθαι. Λαβὼν δὲ τὴν χάριν Ἡρῴδης παρὰ Καίσαρος, καὶ παρελθὼν εἰς τὴν χώραν, ὁδηγῶν ἐμπειρίᾳ, τούς τε πονηρευομένους αὐτῶν κατέπαυσε καὶ τοῖς πέριξ ἀδεῆ τὴν εἰρήνην παρέσχεν.

β'. Ὁ δὲ Ζηνόδωρος ἀχθόμενος πρῶτον μὲν ἐπὶ τῇ τῆς ἐπαρχίας ἀφαιρέσει, μᾶλλον δὲ καὶ φθόνῳ τὴν ἀρχὴν Ἡρῴδου μετειληφότος, ἀνῆλθεν εἰς Ῥώμην κατηγορήσων αὐτοῦ. Κἀκεῖνος μὲν ἄπρακτος ἀναστρέφει, πέμπεται δὲ Ἀγρίππας τῶν πέραν Ἰονίου διάδοχος Καίσαρι· καὶ τούτῳ περὶ Μυτιλήνην χειμάζοντι συντυχὼν Ἡρῴδης (ἦν γὰρ εἰς τὰ μάλιστα φίλος καὶ συνήθης) εἰς τὴν Ἰουδαίαν πάλιν ἀναστρέφει. Γαδαρέων δέ τινες ἐπ' Ἀγρίππαν ἦλθον κατηγοροῦντες Ἡρῴδου, καὶ τούτους ἐκεῖνος, οὐδὲ λόγον αὐτοῖς δοὺς, ἀναπέμπει τῷ βασιλεῖ δεσμίους. Οἵ τε Ἄραβες, καὶ πάλαι δυσμενῶς ἔχοντες πρὸς τὴν ἀρχὴν τὴν Ἡρῴδου, διεκεκίνηντο καὶ στασιάζειν ἐπεχείρουν αὐτῷ τὰ πράγματα τότε, καὶ μετ' αἰτίας, ὡς ἐδόκουν, εὐλογοτέρας. Ὁ γὰρ Ζηνόδωρος, ἀπογινώσκων ἤδη τῶν καθ' αὑτὸν, ἔφθη τῆς ἐπαρχίας μέρος τι τὴν Αὐρανῖτιν αὐτοῖς ἀποδόσθαι ταλάντων πεντήκοντα. Ταύτης ἐμπεριεχομένης τῇ δωρεᾷ Καίσαρος, ὡς μὴ δικαίως ἀφαιρούμενοι διημφισβήτουν, πολλάκις μὲν ταῖς καταδρομαῖς καὶ τῷ βιάζεσθαι θέλειν, ἄλλοτε δὲ καὶ πρὸς δικαιολογίαν ἰόντες. Ἀνέπειθον δὲ καὶ τοὺς ἀπόρους τῶν στρατιωτῶν καὶ δυσμενεῖς ἦσαν, ἐλπίζοντες ἀεὶ καὶ πρὸς τὸν νεωτερισμὸν

Auranitidem : et dedit ob hujusmodi causam. Zenodorus quidam Lysaniæ domum conduxerat. Hic quidem non satis magnos reditus habebat; eos vero latrociniis per Trachonem exercendis augebat supplebatque. Nam ea loca incolebant desperatæ vitæ homines, qui Damascenum agrum populabantur : neque Zenodorus eos impediebat; quin et ipse prædæ particeps erat. Vicini autem, hac re vexati, adversus Varronem, qui præfectus erat, vociferabantur et ut Cæsari de Zenodori injuriis scriberet flagitabant. Cæsar, his ad eum allatis *querelis*, rescripsit ut ex eo tractu latrones exigerentur, isque Herodi traderetur : nam hujus cura et diligentia cautum fore ne Trachonitæ deinceps finitimis noceant. Neque enim eos prohibere facile erat, quum unum latrocinandi opus haberent, nec aliunde viverent : quippe quibus nec oppida, nec agrorum possessiones erant, sed tantum receptacula subterranea et speluncæ, ubi vitam cum pecoribus suis communem agerent. Sibimet autem confecerunt aquarum copiam et abunde frumenti jam ante pararunt, adeo ut possent ex occulto diu resistere. Enimvero aditus sunt angusti, ut non plures quam singuli transire possint, sed interiora incredibili sunt magnitudine, ac ita facta ut quamplurimos recipiant : atque domorum superius solum non supereminet, sed propemodum terræ æquale est. Id totum rupes est dura et aditu difficilis, nisi via incedatur qua præeat ductor, quippe non rectæ, sed valde flexuosæ factæ sunt semitæ. His hominibus, si quando maleficium in finitimos committere prohibeantur, moris est ut ipsi inter se alii alios spolient, adeo ut a nullo scelerum genere sibi temperent. Atqui Herodes, hoc beneficio donatus a Cæsare, et in regionem peritorum ductu profectus, fecit ut a maleficiis illi abstinerent, finitimisque pacem et securitatem præstitit.

2. Zenodorus autem, iratus primum quod privatus esset præfectura, deinde, et potissimum quidem, quod Herodi principatum assequuto invideret, profectus est Romam ut eum accusaret. Et ille quidem re infecta reversus est; Agrippa vero missus est, ut provincias trans mare Ionium Cæsaris nomine procuraret : eumque Mytilenæ hibernantem Herodes, utpote ei amicissimus et familiarissimus, adiit, deinde Judæam repetiit. Ceterum Gadarenses quidam Herodem apud Agrippam accusatum iverunt, ac ille, eos nullo dignatus responso, regi vinctos remisit. Atque Arabes, qui jamdiu Herodis principatu dolebant, concitati erant, ac tunc ejus rebus dissidium creare conabantur, idque de causa ut tum videbatur satis probabili. Zenodorus enim, de suis rebus jam desperans, eis suæ præfecturæ partem, Auranitidem, vendiderat quinquaginta talentis. Et quoniam pars in eo, quod donaverat Herodi Cæsar, continebatur, tanquam injuste ea privati, cum eo concertabant *Arabes*, et crebras incursiones faciendo, et vim tentare cogitando, nonnunquam etiam jure experiundo. Quin et sibi conciliabant pauperes milites, et *Herodi* infesti erant, semper sperantes et novis rebus studentes, quibus maxime

ἐνδιδόντες, ᾧ μάλιστα χαίρουσιν οἱ κακῶς πράττοντες τῷ βίῳ. Ταῦτα ἐκ μακροῦ γινώσκων Ἡρώδης, ὅμως οὐκ εἰς τὸ δυσμενὲς, ἀλλ' ἐξ ἐπιλογισμοῦ παρηγόρει, ταῖς παραχαῖς οὐκ ἀξιῶν ἀφορμὰς ἐνδιδόναι.

γ'. Ἤδη δ' αὐτοῦ τῆς βασιλείας ἑπταικαιδεκάτου παρελθόντος ἔτους, Καῖσαρ εἰς Συρίαν ἀφίκετο. Καὶ τότε τῶν Γάδαρα κατοικούντων οἱ πλεῖστοι κατεβόων Ἡρώδου, βαρὺν αὐτὸν ἐν τοῖς ἐπιτάγμασι καὶ τυραννικὸν εἶναι. Ταῦτα δὲ ἀπετόλμων μάλιστα μὲν ἐγχειμένου καὶ διαβάλλοντος αὐτὸν Ζηνοδώρου, καὶ παρασχόντος ὅρκους ὡς οὐκ ἐγκαταλείψει μὴ πάντα τρόπον ἀφελέσθαι μὲν τῆς Ἡρώδου βασιλείας, προσθήσειν δὲ τῇ διοικήσει τοῦ Καίσαρος. Τούτοις ἀναπεισθέντες οἱ Γαδαρηνοὶ οὐ μικρὰν καταβοὴν ἐποιήσαντο, θράσει τοῦ μηδὲ τοὺς ὑπ' Ἀγρίππα παραδοθέντας ἐν τιμωρίᾳ γενέσθαι, διαφέντος Ἡρώδου καὶ μηδὲν κακὸν εἰργασμένου· καὶ γὰρ εἴ τις ἄλλος ἐδόκει δυσπαραίτητος μὲν ἐπὶ τοῖς οἰκείοις, μεγαλόψυχος δὲ ἐπὶ τοῖς ἀλλοτρίοις ἁμαρτόντας ἀφιέναι. Κατηγορούντων οὖν ὕβρεις καὶ ἁρπαγὰς καὶ κατασκαφὰς ἱερῶν, ὁ μὲν Ἡρώδης ἀταραχτήσας ἕτοιμος ἦν εἰς τὴν ἀπολογίαν, ἐδεξιοῦτο δὲ Καῖσαρ αὐτὸν, οὐδὲν ὑπὸ τῆς παραχῆς τοῦ πλήθους μεταβαλὼν τῆς εὐνοίας. Καὶ κατὰ μὲν τὴν πρώτην ἡμέραν οἱ περὶ τούτων ἐρρέθησαν λόγοι, ταῖς δ' ἑξῆς οὐκέτι προῆλθε διάγνωσις. Οἱ γὰρ Γαδαρεῖς ὁρῶντες τὴν ροπὴν αὐτοῦ τε Καίσαρος καὶ τοῦ συνεδρίου, καὶ προσδοκήσαντες, ὅπερ ἦν εἰκὸς, ἐκδοθήσεσθαι τῷ βασιλεῖ, κατὰ φόβον αἰκίας οἱ μὲν ἀπέσφαττον αὑτοὺς ἐν τῇ νυκτὶ, τινὲς δὲ καθ' ὕψους ἀφίεσαν, ἄλλοι δ' εἰς τὸν ποταμὸν ἐμπίπτοντες ἐκόντι διεφθείροντο. Ταῦτα δὲ ἐδόκει κατάγνωσις εἶναι τῆς προπετείας καὶ ἁμαρτίας· ἔνθεν οὐδὲ μελήσας ὁ Καῖσαρ ἀπέλυε τῶν αἰτιῶν Ἡρώδην. Ἐπισυμπίπτει δὲ οὐ μέτριον εὐτύχημα τοῖς ἤδη γεγονόσιν· ὁ γὰρ Ζηνόδωρος, ῥαγέντος αὐτῷ τοῦ σπλάγχνου, καὶ πολλοῦ κατὰ τὴν ἀσθένειαν ὑποχωροῦντος αἵματος, ἐν Ἀντιοχείᾳ τῆς Συρίας ἐκλείπει τὸν βίον. Καῖσαρ δὲ καὶ τὴν τούτου μοῖραν, οὐκ ὀλίγην οὖσαν, Ἡρώδῃ δίδωσιν, ἣ μεταξὺ τοῦ Τράχωνος καὶ τῆς Γαλιλαίας ἦν, Οὐλάθαν καὶ Πανιάδα καὶ τὴν πέριξ χώραν. Ἐγκαταμίγνυσι δ' αὐτὸν καὶ τοῖς ἐπιτροπεύουσι τῆς Συρίας, ἐντελάμενος μετὰ τῆς ἐκείνου γνώμης τὰ πάντα ποιεῖν, τό τε σύνολον εἰς τοῦτο προῆλθεν εὐτυχίας, ὥστε δύο τούτων τὴν Ῥωμαίων ἀρχὴν διεπόντων, τοσήνδε τὸ μέγεθος οὖσαν, Καίσαρος καὶ μετ' αὐτὸν Ἀγρίππα, κατὰ τὴν πρὸς αὐτὸν εὔνοιαν, Καῖσαρ μὲν οὐδένα μετ' Ἀγρίππαν Ἡρώδου προετίμησεν, Ἀγρίππας δὲ μετὰ Καίσαρα πρῶτον ἀπεδίδου φιλίας τόπον Ἡρώδῃ. Τοιαύτης δὲ ἐχόμενος παρρησίας, τῷ μὲν ἀδελφῷ Φερώρᾳ παρὰ Καίσαρος ᾐτήσατο τετραρχίαν, αὐτὸς ἀπονείμας ἐκ τῆς βασιλείας πρόσοδον ἑκατὸν ταλάντων, ὡς, εἰ καί τι πάσχοι, τὰ κατ' ἐκεῖνον ἀσφαλῶς ἔχειν, καὶ μὴ τοὺς υἱοὺς αὐτοῦ κρατεῖν. Καίσαρα δ' ἐπὶ θάλατταν προπέμψας, ὡς ἐπανῆκεν, ἐν τῇ Ζηνοδώρου

gaudent qui vitam male agunt. Hæc jam pridem intelligens Herodes, tamen non hostiliter agebat, sed eos prudenter leniebat, neque turbis occasionem dare volebat.

3. Quum autem jam annum decimum septimum in regno egisset *Herodes*, venit Cæsar in Syriam : ac tum maxima Gadarenorum pars de Herode expostulare cœperunt, imperiosum esse acerbumque et tyrannum dicentes. Eos autem ita audaces faciebat Zenodorus, instigando, et de Herode conquerendo, jurandoque se nunquam deserturum eos, quin Herodis regno adempturum esse et Cæsaris ditioni adjecturum. His adducti Gadareni magnum clamorem sustulerunt, eo freti, quod quos ei vinctos tradiderat Agrippa, pœnas non dedissent, sed ab Herode dimissi, nihilque mali ab eo passi fuissent : etenim, si quis alius, in suos inexorabilis esse existimabatur, quum ex animi magnitudine in peccatis alienis remittendis facilem se præberet. Igitur quum ab illis de vi et rapinis et templorum eversionibus accusaretur, Herodes imperturbatus parabat causam suam defendere : sed Cæsar ei dextram dedit, neque quidquam de sua erga eum voluntate ob multitudinis turbationem immutavit. Ac primo quidem die de hisce rebus actum est, die vero sequenti non perrectum est in cognitione. Nam Gadareni, propensionem tum ipsius Cæsaris tum assessorum videntes, et se regi traditum iri (ut erat verisimile) arbitrantes, cruciatuum metu partim se noctu interfecerunt, partim se præcipitarunt, aliique se in fluvium dejicientes mortem sibimet consciverunt. Ista autem videbantur indicare levitatis culpæque pœnitentiam : itaque Cæsar sine ulla dubitatione Herodem absolvit. Præterea et aliud accidit quod ei feliciter admodum cessit : nam Zenodorus, rupto intestino, multoque, quum viribus deficeretur, amisso sanguine, vita decessit Antiochiæ in Syria. Quamobrem et ejus regionem Cæsar Herodi dedit, (quæ erat non parva, inter Trachonem et Galilæam posita,) Ulatham et Paniadem, agrumque finitimum. Quin et eum cum Syriæ procuratoribus conjunxit, eisque, ne quid sine Herodis sententia facerent, imperavit. Atque, ut rem in pauca conferam, eo felicitatis pervenit ut, quum Romanum imperium, idque tantæ magnitudinis, duo isti regerent, Cæsar eique proxime Agrippa, ex *singulari* in eum benevolentia, Cæsar quidem neminem secundum Agrippam pluris fecerit quam Herodem, Agrippa vero secundum Cæsarem Herodi primum in amicitia sua locum tribuerit. Itaque pro ea quæ sibi ex gratia nata est fiducia, a Cæsare tetrarchiam petiit fratri suo Pheroræ, atque ipse ei centum talentorum reditum de suo regno dedit, ut si forte moreretur *Herodes*, esset in tuto Pheroræ res, nec ea potirentur Herodis filii. Postquam autem Cæsarem ad mare comitatus rediit, pulcerrimum ei templum exstruxit, ex candido saxo, in Zeno-

περικαλλέστατον αὐτῷ ναὸν ἐγείρει πέτρας λευκῆς, πλησίον τοῦ Πανίου καλουμένου· σπήλαιον ἐν ὄρει περικαλλές ἐστιν, ὑπ' αὐτῷ δὲ γῆς ὀλίσθημα καὶ βάθος ὑπερρωγὸς ἄφατον, ὕδατος ἀκινήτου πλέον, καθύπερθεν δ' ὄρος παμμέγεθες, ὑπὸ δὲ τὸ σπήλαιον ἀνατέλλουσιν αἱ πηγαὶ τοῦ Ἰορδάνου ποταμοῦ. Τοῦτον ἐπισημότατον ὄντα τὸν τόπον καὶ τῷ ναῷ προσεκόσμησεν, ὃν ἀφιέρωσε Καίσαρι.

δ'. Τότε καὶ τὸ τρίτον μέρος ἀφῆκε τῶν φόρων τοῖς ἐν τῇ βασιλείᾳ, πρόφασιν μὲν ὡς ἀναλάβοιεν ἐκ τῆς ἀφορίας, τὸ δὲ πλέον ἀνακτώμενος ἔχοντας δυσμενῶς· κατὰ γὰρ τὴν ἐξεργασίαν τῶν τοιούτων ἐπιτηδευμάτων, ὡς ἂν λυομένης αὐτοῖς τῆς εὐσεβείας, καὶ μεταπιπτόντων τῶν ἐθῶν, χαλεπῶς ἔφερον, καὶ λόγος δὲ πάντων ἐγίνετο παροξυνομένων ἀεὶ καὶ ταραττομένων. Ὁ δὲ καὶ πρὸς τὸ τοιοῦτον πολλὴν ἐπιμέλειαν ἐπῆγεν, ἀφαιρούμενος μὲν τὰς εὐκαιρίας, ἐπιτάττων δ' ἀεὶ γίνεσθαι πρὸς τοῖς πόνοις· ἦν δ' οὔτε σύνοδος ἐφιεμένη τοῖς περὶ τὴν πόλιν οὔτε κοινωνία περιπάτου καὶ διαίτης, ἀλλ' ἐτετήρητο πάντα. Καὶ χαλεπαὶ τῶν φωραθέντων ἦσαν αἱ κολάσεις, πολλοὶ δὲ καὶ φανερῶς καὶ λεληθότως εἰς τὸ φρούριον ἀναγόμενοι, τὴν Ὑρκανίαν, ἐκεῖ διεφθείροντο, κἀν τῇ πόλει κἀν ταῖς ὁδοιπορίαις ἦσαν οἱ τοὺς συνιόντας εἰς ταὐτὸν ἐπισκοποῦντες. Ἤδη δέ φασιν οὐδ' αὐτὸν ἀμελεῖν τούτου τοῦ μέρους, ἀλλὰ πολλάκις ἰδιώτου σχῆμα λαμβάνοντα καταμίγνυσθαι νύκτωρ εἰς τοὺς ὄχλους, καὶ πειρᾶν αὐτῶν ἣν ἔχουσιν ἔννοιαν περὶ τῆς ἀρχῆς λαμβάνειν. Τοὺς μὲν οὖν παντάπασιν ἐξαυθαδιαζομένους πρὸς τὸ μὴ συμπεριφέρεσθαι τοῖς ἐπιτηδεύμασι πάντας ἐπεῖχε τοὺς τρόπους, τὸ δ' ἄλλο πλῆθος ὅρκοις ἠξίου πρὸς τὴν πίστιν ὑπάγεσθαι, καὶ συνηνάγκασεν αὐτῷ ἐνώμοτον τὴν εὔνοιαν ἢ μὴν διαφυλάξειν ἐπὶ τῆς ἀρχῆς ὁμολογεῖν. Οἱ μὲν οὖν πολλοὶ κατὰ θεραπείαν καὶ δέος εἶχον οἷς ἠξίου, τοὺς δὲ φρονήματος μεταποιουμένους καὶ δυσχεραίνοντας ἐπὶ τῷ καταναγκάζεσθαι, παντὶ τρόπῳ ἐκποδὼν ἐποιεῖτο. Συνέπειθε δὲ καὶ τοὺς περὶ Πολλίωνα τὸν Φαρισαῖον καὶ Σαμέαν καὶ τῶν ἐκείνοις συνδιατριβόντων τοὺς πλείστους ὀμνύειν· οἱ δ' οὔτε συνεχώρησαν οὔθ' ὁμοίως τοῖς ἀρνησαμένοις ἐκολάσθησαν, ἐντροπῆς διὰ τὸν Πολλίωνα τυγχάνοντες. Ἀφείθησαν δὲ ταύτης τῆς ἀνάγκης καὶ οἱ παρ' ἡμῖν Ἐσσαῖοι καλούμενοι. Γένος δὲ τοῦτ' ἐστὶ διαίτῃ χρώμενον τῇ παρ' Ἕλλησιν ὑπὸ Πυθαγόρου καταδεδειγμένῃ. Περὶ τούτων μὲν οὖν ἐν ἄλλοις σαφέστερον διέξειμι· τοὺς δὲ Ἐσσηνοὺς ἀφ' οἵας αἰτίας ἐτίμα, μεῖζόν τι φρονῶν ἐπ' αὐτοῖς ἢ κατὰ τὴν θνητὴν φύσιν, εἰπεῖν ἄξιον· οὐ γὰρ ἀπρεπὴς ὁ λόγος φανεῖται τῷ τῆς ἱστορίας γένει, παραδηλῶν καὶ τὴν ὑπὲρ τούτων ὑπόληψιν.

ε'. Ἦν τις τῶν Ἐσσηνῶν Μανάημος ὄνομα, καὶ τἆλλα κατὰ τὴν προαίρεσιν τοῦ βίου καλοκαγαθίᾳ μαρτυρόμενος καὶ πρόγνωσιν ἐκ Θεοῦ τῶν μελλόντων ἔχων. Οὗτος ἔτι παῖδα τὸν Ἡρώδην εἰς διδασκάλου φοιτῶντα κατιδὼν βασιλέα Ἰουδαίων προσηγόρευσεν. Ὁ δ'

dori terra, prope eum locum quod Panium appellatur. Specus est pulcra admodum in monte, eique subjectus est terræ hiatus et vorago prærupta immensæ altitudinis, stagnantis aquæ plena : supra autem mons ingens imminet, et infra specum oriuntur fontes Jordanis fluminis. Hunc locum, utpote maximæ celebritatis, templo insuper exornavit *Herodes*, quod Cæsari sacrum esse voluit.

4. Tunc etiam sui regni hominibus tertiam vectigalium partem remisit, prætextu quidem ut semel post sterilitatem recrearent reficerentque : sed id magis faciebat, ut ab illis sibimet infensis gratiam iniret : nam ejusmodi operum exsequendorum studium, quasi ex iis tolleretur religio et mores dilaberentur, ægre ferebant : atque in ore erat omni populo, quippe semper irritato et perturbat . Huic autem rei occurrebat ille diligenter, eis occasiones adimendo, et perpetuos labores injungendo, ut jam civibus coire, simulve ambulare aut vivere non liceret, observantibus omnia custodibus : atque si quis deprehensus esset, in eum acerbe animadvertebatur; multique, tum palam tum secreto, in Hyrcaniam castellum adducti, illic interficiebantur : erantque certi tum in urbe tum in viis homines, qui observarent si qui convenirent. Quin ne ipsum quidem aiunt hanc partem neglexisse, verum sæpe vestitu privati hominis sese noctu turbis immiscuisse, ut experiretur et resciscerat quid de principatu sentirent. Quodsi qui obstinate in mores consentire recusarent, eos modis omnibus persequebatur : reliquos vero ad fidem jurejurando perducendos censebat, atque ipsos compulit ut sacramento se astringerent fidelitatem ei in imperio conservaturos esse. Multi itaque, tum ut eum colerent, tum etiam quod metuerent, iis quæ postulabat consenserunt : qui vero fastidiose stomachabantur, et sese cogi non sustinebant, eos quavis ratione e medio tollebat. Volebat etiam Pollionem Pharisæum et Sameam, et complures eorum qui illos frequentabant, ad jurandum cogere : sed illi in eam rem non consenserunt; neque tamen, ut ceteri qui juramentum detrectarunt, pœnas luerunt, illo eorum rationem habente propter Pollionem. Ab hac eadem necessitate excepti fuerunt etiam qui apud nos Essæi appellantur. Sunt autem genus hominum qui simili vitæ instituto utuntur ac Græcorum Pythagorei. Et de illis quidem planius et apertius alibi verba facio. De Essenis vero, quamobrem eos honore affecerit et plus iis tribuerit quam mortalis fert natura, jam dicere convenit : non enim ab historica narratione alienus videbitur hujusmodi sermo, præsertim quum ostendat quæ de istis opinio obtinuerit.

5. Erat Essenorum quidam nomine Manahemus, præter alia in vitæ instituto ob morum honestatem bene audiens, et qui futura divino instinctu prævideret. Hic conspicatus aliquando Herodem, puerum adhuc, in ludum literarium commeantem, dixit regem fore Judæorum. Et

ἀγνοεῖν ἢ κατειρωνεύεσθαι νομίζων αὐτὸν, ἀνεμίμνησκεν ἰδιώτης ὤν. Μανάημος δὲ, μειδιάσας ἠρέμα καὶ τύπτων τῇ χειρὶ κατὰ τῶν γλουτῶν, « ἀλλά τοι « καὶ βασιλεύσεις, ἔφη, καὶ τὴν ἀρχὴν εὐδαιμόνως « ἀπάρξεις· ἠξίωσαι γὰρ ἐκ Θεοῦ, καὶ μέμνησο τῶν « Μαναήμου πληγῶν, ὥστε καὶ τοῦτό σοι σύμβολον « εἶναι τῶν κατὰ τὴν τύχην μεταπτώσεων. Ἄριστος « γὰρ ὁ τοιοῦτος λογισμὸς, εἰ καὶ δικαιοσύνην ἀγαπήσεις καὶ πρὸς τὸν Θεὸν εὐσέβειαν, ἐπιείκειάν τε « πρὸς τοὺς πολίτας· ἀλλ' οὐ γὰρ οἶδά σε τοιοῦτον « ἔσεσθαι, τὸ πᾶν ἐπιστάμενος. Εὐτυχίᾳ μὲν γὰρ « ὅσον οὐκ ἄλλος διοίσεις καὶ τεύξῃ δόξης αἰωνίου, « λήθην δ' εὐσεβείας ἕξεις καὶ τοῦ δικαίου. Ταῦτα δ' « οὐκ ἂν λάθοι τὸ θεῖον, ἐπὶ καταστροφῇ τοῦ βίου τῆς « ἀντ' αὐτῶν ὀργῆς ὑπομνημονευομένης. » Τούτοις αὐτίκα μὲν ἥκιστα τὸν νοῦν προσεῖχεν, ἐλπίδι λειπόμενος αὐτῶν, Ἡρώδης· κατὰ μικρὸν δὲ ἀρθείς, ἕως καὶ τοῦ βασιλεύειν καὶ εὐτυχεῖν, ἐν τῷ μεγέθει τῆς ἀρχῆς μεταπέμπει τὸν Μανάημον, καὶ περὶ τοῦ χρόνου πόσον ἄρξει ἐπυνθάνετο. Μανάημος δὲ τὸ μὲν σύμπαν οὐκ εἶπεν· ὡς δὲ σιωπῶντος αὐτοῦ, μόνον εἰ δέκα γενήσονται τῆς βασιλείας ἐνιαυτοὶ προσεπύθετο, καὶ εἴκοσι καὶ τριάκοντα εἰπὼν, ὅρον οὐκ ἐπέθηκε τῷ τέλει τῆς προθεσμίας. Ἡρώδης δὲ καὶ τούτοις ἀρκεσθεὶς τόν τε Μανάημον ἀφῆκε δεξιωσάμενος καὶ πάντας ἀπ' ἐκείνου τοὺς Ἐσσηνοὺς τιμῶν διετέλει. Ταῦτα μὲν οὖν, εἰ καὶ παράδοξα, δηλῶσαι τοῖς ἐντυγχάνουσιν ἠξιώσαμεν, καὶ περὶ τῶν παρ' ἡμῖν ἐμφῆναι, διότι πολλοὶ [διὰ] τοιούτων ὑπὸ καλοκαγαθίας καὶ τῆς τῶν θείων ἐμπειρίας ἀξιοῦνται.

ΚΕΦ. ΙΑ'.

Τότε δ' οὖν ὀκτωκαιδεκάτου τῆς Ἡρώδου βασιλείας γεγονότος ἐνιαυτοῦ, μετὰ τὰς προειρημένας πράξεις, ἔργον οὐ τὸ τυχὸν ἐπεβάλετο, τὸν νεὼν τοῦ Θεοῦ δι' αὐτοῦ κατασκευάσασθαι, μείζω τε τὸν περίβολον καὶ πρὸς ὕψος ἀξιοπρεπέστατον ἐγείρειν, ἡγούμενος ἁπάντων αὐτῷ τῶν πεπραγμένων περισημότερον, ὥσπερ ἦν, ἐκτελεσθήσεσθαι τοῦτο καὶ πρὸς αἰώνιον μνήμην ἀρκέσειν. Οὐχ ἕτοιμον δὲ τὸ πλῆθος ἐπιστάμενος, οὐδὲ ῥᾴδιον ἔσεσθαι πρὸς τὸ μέγεθος τῆς ἐπιχειρήσεως, ἠξίου λόγῳ προκαταστησάμενος ἐγχειρῆσαι τῷ παντὶ, καὶ συγκαλέσας αὐτοὺς ἔλεγε τοιάδε. « Τὰ μὲν ἄλλα « μοι τῶν κατὰ τὴν βασιλείαν πεπραγμένων, ἄνδρες « ὁμόφυλοι, περισσὸν ὑπολαμβάνω λέγειν, καίτοι τοῦτον « ἐγένετο τὸν τρόπον, ὡς ἐλάττω μὲν ἐμοὶ τὸν ἀπ' αὐτῶν « κόσμον, πλείω δὲ ὑμῖν τὴν ἀσφάλειαν φέρειν. Οὔτε γὰρ « ἐν τοῖς δυσχερεστάτοις ἀμελήσας τῶν εἰς τὰς ὑμετέρας « χρείας διαφερόντων οὔτε ἐν τοῖς κατασκευάσμασιν « ἐπιτηδεύσας ἐμαυτῷ μᾶλλον ἢ καὶ πᾶσιν ὑμῖν τὸ ἀνε« πηρέαστον, οἶμαι σὺν τῇ τοῦ Θεοῦ βουλήσει, πρὸς « εὐδαιμονίαν ὅσον οὐ πρότερον ἀγηοχέναι τὸ Ἰουδαίων « ἔθνος. Τὰ μὲν οὖν κατὰ μέρος ἐξεργασθέντα περὶ « τὴν χώραν καὶ πόλεις, ὅσας ἐν αὐτῇ καὶ τοῖς ἐπικτή-

Herodes, illum aut sui notitiam non habere aut jocari arbitratus, submonuit eum se privatum esse. At Manahemus, leniter subridens et ei nates manu feriens, « at« qui et regnabis, inquit, et imperium (a Deo quippe di« gnus habitus) feliciter auspicaberis : et memento ictuum « Manahemi, ut hoc tibi sit indicium mutationum fort unæ. « Optima enim erit hujusmodi cogitatio, si justitiam et « pietatem erga Deum amaveris, et erga cives clementiam : « verum ego, totius rei gnarus, scio te non talem futurum. « Vitam enim fortunatam tu quidem, si quisquam alius, « ages, et famam tibi paries æternam, sed pietatis et ju« stitiæ oblivionem capies. Hæc autem Deum sane non la« tebunt, dum sub vitæ tuæ finem de te pœnas ob ista su« met. » His verbis mentem protinus minime adhibuit Herodes, quod ejus rei spem nullam haberet : sed postquam paulatim ad regnum, et quidem fortunatum, evectus est, in ipso imperii vigore Manahemum accersit, et ex eo quamdiu regnaturus esset quærebat. Manahemus vero omnino quidem nihil dicit : sed eo tacente quærebat Herodes duntaxat an decem annorum futurum esset regnum : ad quod ille respondit, etiam viginti aut etiam triginta, et vitæ nullum certum finem præstituit. Herodes vero etiam hisce contentus, et Manahemum dextra ei data dimisit, ac deinceps Essenos omnes habuit in honore. Atque hæc quidem, licet fidem pene superent, nobis tamen visum est lectoribus indicare, et de nostris id palam facere, quod multi eorum in hujusmodi rebus propter vitæ honestatem honorati erant rerum divinarum peritia.

CAP. XI. (XIV.)

Tunc igitur decimo octavo regni Herodis anno, post ea facta quæ superius dicta sunt, arduum opus aggressus est, ut Dei templum sua opera ædificatum iret, eique ampliorem ambitum daret, et in altitudinem magnificentissimam erigeret, cogitans fore id omnibus quæ unquam fecisset præclarius, sicuti erat, si illud perficere ei contigerit, atque futurum ad sempiternam memoriam. Verum quum populum minus paratum esse intelligeret, neque facilem habiturum esse ad rem tantæ magnitudinis aggrediendam, in animum induxit prius eos oratione præparare, ac deinde toti operi manum admovere ; quumque illos convocasset, verba fecit in hunc modum. « De aliis quidem ex quo re« gnare cœpi a me factis, viri populares, nihil necesse mihi « dicere arbitror, quanquam ita comparata fuerint ut vobis « plus securitatis quam mihimet ornamenti attulerint. « Nam quum in rebus difficillimis neque ea neglexerim quæ « ad vestras necessitates levandas facerent, neque in iis « quæ ædificavi studuerim ut ipse magis quam vos omnes « ab injuriis sarti tecti essetis, mihimet persuadeo quod « Dei voluntate Judæorum gentem ad eam, quam nunquam « antea habuerunt, felicitatem perduxerim. Ceterum si« gillatim omnia, quæ per provinciam perfecimus, quot-

« τοις ἐγείραντες κόσμῳ τῷ καλλίστῳ τὸ γένος ὑμῶν « ηὐξήσαμεν, περίεργά μοι δοκεῖ λέγειν εἰδόσι. Τὸ δὲ « τῆς ἐπιχειρήσεως, ἧς νῦν ἐπιχειρεῖν ἐπιβάλλομαι, « παντὸς εὐσεβέστατον καὶ κάλλιστον ἐφ' ἡμῶν γενέ- « σθαι νῦν ἐκφανῶ. Τὸν γὰρ ναὸν τοσοῦτον ὠκοδόμη- « σαν μὲν τῷ μεγίστῳ Θεῷ πατέρες ἡμέτεροι, μετὰ « τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον· ἐνδεῖ δ' αὐτῷ πρὸς « τὸ μέγεθος εἰς ὕψος ἑξήκοντα πήχεις· τοσοῦτον γὰρ « ὑπερεῖχεν ὁ πρῶτος ἐκεῖνος ὃν Σολομὼν ἀνῳκοδό- « μησε. Καὶ μηδεὶς ἀμέλειαν εὐσεβείας τῶν πατέ- « ρων καταγνώτω· γέγονε γὰρ οὐ παρ' ἐκείνους ἐλάτ- « των ὁ ναός· ἀλλὰ ταῦτα καὶ Κῦρος καὶ Δαρεῖος ὁ « Ὑστάσπου τὰ μέτρα τῆς δομήσεως ἔδοσαν, οἷς ἐκεῖνοι « καὶ τοῖς ἀπογόνοις δουλεύσαντες, καὶ μετ' ἐκείνους « Μακεδόσιν, οὐκ ἔσχον εὐκαιρίαν τὸ πρῶτον τῆς εὐ- « σεβείας ἀρχέτυπον εἰς ταὐτὸν ἀναγαγεῖν μέγεθος. « Ἐπειδὴ δὲ νῦν ἐγὼ μὲν ἄρχω Θεοῦ βουλήσει, πε- « ρίεστι δὲ καὶ μῆκος εἰρήνης καὶ κτῆσις χρημάτων καὶ « μέγεθος προσόδων, τὸ δὲ μέγιστον, φίλοι καὶ δι' εὐ- « νοίας οἱ πάντων ὡς ἔπος εἰπεῖν κρατοῦντες Ῥωμαῖοι, « πειράσομαι τὸ παρημελημένον ἀνάγκῃ καὶ δουλείᾳ « τοῦ πρότερον χρόνου διορθούμενος τελείαν ἀποδοῦναι « τῷ Θεῷ τὴν ἀνθ' ὧν ἔτυχον τῆσδε τῆς βασιλείας « εὐσέβειαν. »

β'. Ὁ μὲν Ἡρώδης ταῦτ' εἶπεν, ἐξέπληττε δὲ τοὺς πολλοὺς ὁ λόγος παρὰ δόξαν ἐμπεσών· καὶ τὸ μὲν τῆς ἐλπίδος ἄπιστον οὐκ ἐπήγειρεν αὐτούς, ἠδημόνουν δὲ μὴ φθάσας καταλῦσαι τὸ πᾶν ἔργον οὐκ ἐξαρκέσει πρὸς τέλος ἀγαγεῖν τὴν προαίρεσιν· ὅ τε κίνδυνος αὐτοῖς μείζων ἐφαίνετο, καὶ δυσεγχείρητον ἐδόκει τὸ μέγεθος τῆς ἐπιβολῆς. Οὕτω δ' αὐτῶν διακειμένων, παρεθάρρυνεν ὁ βασιλεὺς, οὐ πρότερον καθαιρήσειν φάμενος τὸν νεὼν ἢ πάντων αὐτῷ τῶν εἰς τὴν συντέλειαν παρεσκευασμένων. Καὶ ταῦτα προειπὼν οὐκ ἐψεύσατο. Χιλίας γὰρ εὐτρεπίσας ἁμάξας, αἳ βαστάσουσι τοὺς λίθους, ἐργάτας δὲ μυρίους τοὺς ἐμπειροτάτους ἐπιλεξάμενος, καὶ ἱερεῦσιν τὸν ἀριθμὸν χιλίοις ἱερατικὰς ὠνησάμενος στολὰς, καὶ τοὺς μὲν διδάξας οἰκοδόμους, ἑτέρους δὲ τέκτονας, ἥπτετο τῆς κατασκευῆς, ἁπάν- των αὐτῷ προθύμως προηυτρεπισμένων.

γ'. Ἀνελὼν δὲ τοὺς ἀρχαίους θεμελίους καὶ καταβα- λόμενος ἑτέρους ἐπ' αὐτῶν τὸν ναὸν ἤγειρε, μήκει μὲν ἑκατὸν ὄντα πηχῶν, τὸ δ' ὕψος εἴκοσι *** περιττοῖς, οὓς τῷ χρόνῳ συνιζησάντων τῶν θεμελίων ὑπέβη. Καὶ τοῦτο μὲν κατὰ τοὺς Νέρωνος καιροὺς ἐπεγείρειν ἐγνώ- κειμεν. Ὠκοδομήθη δὲ ὁ ναὸς ἐκ λίθων μὲν λευκῶν τε καὶ κραταιῶν, τὸ μέγεθος ἑκάστων περὶ πέντε καὶ εἴκοσι πήχεις ἐπὶ μῆκος, ὀκτὼ δὲ ὕψος, εὖρος δὲ περὶ δώδεκα. Καὶ παντὸς αὐτοῦ, καθότι καὶ τῆς βασιλείου στοᾶς, τὸ μὲν ἔνθεν καὶ ἔνθεν ταπεινότατον, ὑψηλότατον δὲ τὸ μεσαίτατον, ὡς περίοπτον ἐκ πολλῶν σταδίων εἶναι τοῖς τὴν χώραν νεμομένοις, μᾶλλον δ' εἴ τινες κατ' ἐναντίον οἰκοῦντες ἢ προσιόντες τύχοιεν. Θύρας δὲ ἐπὶ ταῖς εἰσόδοις σὺν τοῖς ὑπερθυρίοις ἴσον ἐχούσας τῷ

« que urbes in ea et regione ei contributa excitando genus « vestrum maximis ornamentis auximus, vobis comme- « morare, qui ea probe nostis, supervacaneum mihi vide- « tur. Quod autem in præsentia mihi in animo est ag- « gredi, id omnium pientissimum, vobisque pulcerrimum « esse nunc ostendam. Fuit quidem templum hoc summo « Deo a parentibus nostris ædificatum, quum a Babylone « revertissent : verum ei ad altitudinem desunt cubiti sexa- « ginta : tanto enim altius erat primum illud a Solomone « constructum. Nemo tamen negligentiam pietatis no- « strorum parentum accuset : nam per illos non stetit quo- « minus hoc magnitudine prius adæquaret; sed Cyrus et « Darius Hystaspis filius hunc ædificii modum præscripse- « runt; quibus illi subjecti, eorumque filiis, et post illos « Macedonibus, facultatem non habuerunt primum pietatis « exemplar ad eandem magnitudinem perducendi. Quo- « niam vero nunc ego quidem Dei beneficio regnum adeptus « sum, et longa pace fruor, et divitiis affluo, et magnis « reditibus abundo, quodque maximum est, cum Romanis, « omnium (ut ita loquar) dominis, in amicitia sum et gra- « tia, operam dabo ut, id quod necessitate et superiorum « temporum servitute omissum est resarciendo, perfectam « Deo, pro illius in me beneficiis in hoc regno pietatem « reddam. »

2. Et Herodes quidem hæc verba habuit : multi vero sermone ejus attoniti sunt, quod præter opinionem acci- debat : et, quia incredibile speratu dicere putabatur, nihil animis attollebantur, sed auxii erant et solliciti, ne si totum opus jam dissolveret, non satis opum haberet ad perficiendum quod proposuerit : atque in majus illis cre- scebat periculum, et augeri visa est rei difficultas ex incepti magnitudine. Quum autem ita affecti essent, rex eos con- firmabat, dicens non se prius templum diruturum quam omnia, quæ ad id absolvendum pertinerent, præparasset. Atque hæc præfatus, fidem firmavit. Nam quum mille carros ad vehendos lapides comparasset, et decem peritissi- morum opificum millia delegisset, et mercatus mille sacer- dotibus vestes sacerdotales, eos partim lapides partim li- gna fabricare docuisset, opus aggressus est, omnibus dili- genter præparatis.

3. Sublatis autem veteribus fundamentis, et jactis aliis, templum super eis erexit in longitudinem cubitorum cen- tum, in altitudinem viginti *** redundantibus, quos proce- dente tempore considentibus fundamentis * Atque hoc attollere decreveramus Neronis temporibus. Ædificatum autem est templum ex lapidibus candidis et firmis; et sin- gulorum magnitudo erat in longum ad cubitos circiter quin- que et viginti, in altitudinem vero circiter duodecim. Erat- que totum templum, quemadmodum et regia porticus, utra- que parte depressius, medio vero editius, adeo ut a multis stadiis regionis incolis conspicuum esset, maxime si qui ex adverso habitarent aut eo accederent. Fores in ingressu cum superliminaribus, ipsi fano æquales, aulæis multicolo-

ναῷ ποικίλοις ἐμπετάσμασι κεκόσμητο, τὰ μὲν ἄνθη ἀλουργέσι, κίονας δ' ἐνυφασμένοις. Καθύπερθεν δ' αὐτῶν ὑπὸ τοῖς θριγκώμασιν ἄμπελος διετέτατο χρυσῆ, τοὺς βότρυς ἀπηωρημένους ἔχουσα, θαῦμα καὶ τοῦ μεγέθους καὶ τῆς τέχνης τοῖς ἰδοῦσιν, οἷον ἐν πολυτελείᾳ τῆς ὕλης τὸ κατασκευασθὲν ἦν. Περιελάμβανε δὲ καὶ στοαῖς μεγίσταις τὸν ναόν, ἅπαντα πρὸς τὴν ἀναλογίαν ἐπιτηδεύων, καὶ τὰς δαπάνας τῶν πρὶν ὑπερβαλλόμενος, ὡς οὐκ ἄλλος τις ἐδόκει ἐπικεκοσμηκέναι τὸν ναόν. Ἄμφω δ' ἦσαν μεγάλου τείχους, αὐτὸ δὲ τὸ τεῖχος ἔργον μέγιστον ἀνθρώποις ἀκουσθῆναι. Λόφος ἦν πετρώδης, ἀνάντης, ῥέμα πρὸς τοῖς ἑῴοις μέρεσι τῆς πόλεως ὑπτιούμενος ἐπὶ τὴν κορυφὴν ἄκραν. Τοῦτον ὁ πρῶτος ἡμῶν βασιλεὺς Σολομῶν, κατ' ἐπιφροσύνην τοῦ Θεοῦ, μεγάλαις ἐργασίαις ἀπετείχιζεν ἄνωθεν τὰ περὶ τὴν ἄκραν, ἀπετείχιζε δὲ κάτωθεν ἀπὸ τῆς ῥίζης ἀρχόμενος, ἣν βαθεῖα περιθεῖ φάραγξ, κατὰ λίβα ταῖς πέτραις μολίβδῳ δεδεμέναις πρὸς ἀλλήλας ἀπολαμβάτων ἀεί τι τῆς ἔσω χώρας, καὶ προβαίνων εἰς βάθος, ὥστ' ἄπειρον εἶναι τό τε μέγεθος τῆς οἰκοδομήσεως καὶ τὸ ὕψος τετραγώνου γεγενημένης, ὡς τὰ μὲν μεγέθη τῶν λίθων ἀπὸ μετώπου κατὰ τὴν ἐπιφάνειαν ὁρᾶσθαι, τὰ δ' ἐντὸς σιδήρῳ διησφαλισμένα συνέχειν τὰς ἁρμογὰς ἀκινήτους τῷ παντὶ χρόνῳ. Τῆς δ' ἐργασίας οὕτω συναπτούσης εἰς ἄκρον τὸν λόφον, ἀπεργασάμενος αὐτοῦ τὴν κορυφὴν, καὶ τὰ κοῖλα τῶν περὶ τὸ τεῖχος ἐμπλήσας, ἰσόπεδον τοῖς κατὰ τὴν ἐπιφάνειαν τὴν ἄνω καὶ λεῖον ἐποίησε. Τοῦτο δὲ ἦν τὸ πᾶν περίβολος, τεττάρων σταδίων τὸν κύκλον ἔχων, ἑκάστης γωνίας στάδιον μῆκος ἀπολαμβανούσης. Ἐνδοτέρω δὲ τούτου καὶ παρ' αὐτὴν τὴν ἄκραν ἄλλο τεῖχος ἄνω λίθινον περιθεῖ, κατὰ μὲν ἑῴαν ῥάχιν ἰσομήκη τῷ τείχει στοὰν ἔχων διπλῆν, ἐν μέσῳ τοῦ νεὼ τετυχηκότος, ἀφορῶσαν εἰς τὰς θύρας αὐτοῦ. Ταύτην πολλοὶ βασιλεῖς οἱ πρόσθεν κατεσκεύασαν. Τοῦ δ' ἱεροῦ παντὸς ἦν ἐν κύκλῳ πεπηγμένα σκῦλα βαρβαρικὰ, καὶ ταῦτα πάντα βασιλεὺς Ἡρώδης ἀνέθηκε, προσθεὶς ὅσα καὶ τῶν Ἀράβων ἔλαβεν.

δ'. Κατὰ δὲ τὴν βόρειον πλευρὰν ἀκρόπολις ἐγγώνιος εὐερκὴς ἐτετείχιστο, διάφορος ὀχυρότητι. Ταύτην οἱ πρὸ Ἡρώδου τοῦ Ἀσαμωναίων γένους βασιλεῖς καὶ ἀρχιερεῖς ᾠκοδόμησαν, καὶ βᾶριν ἐκάλεσαν, ὡς ἐκεῖ τὴν ἱερατικὴν αὐτοῖς ἀποκεῖσθαι στολὴν, ἣν, ὅταν δέῃ θύειν, τότε μόνον ὁ ἀρχιερεὺς ἀμφιέννυται. Ταύτην ὁ βασιλεὺς Ἡρώδης ἐφύλαξεν ἐν τῷ τόπῳ, καὶ μετὰ τὴν ἐκείνου τελευτὴν ὑπὸ Ῥωμαίοις ἦν, μέχρι τῶ Τιβερίου Καίσαρος χρόνων. Ἐπὶ τούτου δὲ Οὐιτέλλιος ὁ τῆς Συρίας ἡγεμὼν, ἐπιδημήσας τοῖς Ἱεροσολύμοις, δεξαμένου τοῦ πλήθους αὐτὸν λαμπρότατα πάνυ, θέλων αὐτοὺς τῆς εὐποιίας ἀμείψασθαι, ἐπεὶ παρεκάλεσαν τὴν ἱερὰν στολὴν ὑπὸ τὴν αὑτῶν ἐξουσίαν ἔχειν, ἔγραψε περὶ τούτων Τιβερίῳ Καίσαρι, κἀκεῖνος ἐπέτρεψε, καὶ παρέμεινεν ἡ ἐξουσία τῆς ἱερατικῆς στολῆς ταῖς Ἰουδαίοις, μέχρι ἐτελεύτησεν ὁ βασιλεὺς Ἀγρίππας.

ribus ornatas habebat, quibus erant et flores purpurei et columnæ intextæ. At supra hæc sub muri coronulis vitis expansa erat aurea, cum racemis ex illa sublime pendentibus, ea quasi materiæ profusione facta, ut aspicientibus tam magnitudine quam arte stuporem incuteret. Præterea templo circumdedit porticus ingentes, omni ex parte proportionis rationem habens, et sumptibus majores superans, ut nec quisquam alius videretur ita templum exornasse. Ambæ autem magno innitebantur muro: ipse vero murus opus omnium quæ homines auditu acceperunt maximum. Collis erat petrosus, arduus, ad orientale urbis latus sensim ac leniter resupinatus usque ad summum ejus fastigium. Hunc *collem* Solomon, qui primus in nos regnavit, superne ad verticem magni operis muro circumduxit, Dei instinctu, itemque inferne, a radicibus incipiens, quibus ad Africum ventum circumjecta est vallis admodum depressa, *eundem* vallavit saxis grandibus plumbo inter se vinctis, semper aliquid spatii intus concludens, et in altitudinem progrediens, adeo ut immanis esset magnitudo pariter ac profunditas structuræ, forma quadrangulari factæ, ut vastitas quidem lapidum a fronte quoad superficiem in conspectum veniret, interiora vero ferro firmata compagines in omne ævum indivulsas haberent. Opere autem ita continuato ut summitati collis jungeretur, quum verticem illius aliquantulum lævigasset et cavitates intra murum comprehensas replevisset, superficiei partibus quæ forte eminerent totum æquavit et ad planum redegit. Atque universum hoc septum erat, quatuor stadiorum in circuitu, unoquoque angulo in longitudinem stadium complectente. Interius deinde ipsum verticem ambit alius murus lapideus, ad orientale quidem latus duplicem sustinens porticum pari cum muro longitudine, spectantem ad januas templi, quod ad medium ejus constitit. Hanc multi priorum regum adornaverant. Porro circa templum undique fixa erant spolia peregrinarum gentium, atque ea omnia rex Herodes dedicavit, additis etiam quæ ab Arabibus ipse reportarat.

4. Ad septentrionale autem latus arx constructa erat angulata, bene munita atque egregie firma. Hanc qui Herodem antecesserunt Asamonæo prognati reges et sacerdotes ædificarunt, et barim appellarunt, ut ibi stola sacerdotalis illis reponeretur, quam ipse pontifex, duntaxat quum erat facienda res divina, induere solebat. Hanc stolam rex Herodes eo in loco custodivit, et post ejus obitum fuit in potestate Romanorum, usque ad tempora Tiberii Cæsaris. Sub eo Vitellius Syriæ prætor, quum Hierosolyma venisset et a populo honorificentissime exceptus fuisset, volens eis gratiam referre, ipse, quoniam obsecrarunt ut *sacra* stola ipsis in potestatem permitteretur, hac de re scripsit ad Tiberium Cæsarem, atque ille eam concessit, mansitque penes Judæos stolæ sacerdotalis potestas usque ad decessum regis Agrippæ. Post eum Cassius Longinus, qui

Μετὰ τοῦτον δὲ Κάσσιος Λογγῖνος, ὁ τὴν Συρίαν τότε διοικῶν, καὶ Κούσπιος Φάδος, ὁ τῆς Ἰουδαίας ἐπίτροπος, κελεύουσι τοὺς Ἰουδαίους εἰς τὴν Ἀντωνίαν καταθέσθαι τὴν στολήν· Ῥωμαίους γὰρ αὐτῆς εἶναι δεῖν κυρίους, καθὼς καὶ πρότερον ἦσαν. Πέμπουσιν οὖν Ἰουδαῖοι πρέσβεις πρὸς Κλαύδιον Καίσαρα περὶ τούτων παρακαλέσοντας. Ὢν ἀναβάντων, ὁ νεώτερος βασιλεὺς Ἀγρίππας, ἐν Ῥώμῃ τυγχάνων, αἰτησάμενος παρὰ τοῦ αὐτοκράτορος τὴν ἐξουσίαν ἔλαβεν, ἐντειλαμένου Οὐϊτελλίῳ τῷ τῆς Συρίας ἀντιστρατήγῳ. Πρότερον δ' ἦν ὑπὸ σφραγῖδος τοῦ ἀρχιερέως καὶ τῶν ταμφυλάκων, καὶ πρὸ μιᾶς ἡμέρας τῆς ἑορτῆς ἐπὶ τὸν Ῥωμαίων φρούραρχον ἀναβαίνοντες οἱ ταμφύλακες καὶ καταμανθάνοντες τὴν ἑαυτῶν σφραγῖδα τὴν στολὴν ἐλάμβανον· εἶτ' αὖθις τῆς ἑορτῆς παρελθούσης εἰς τὸν αὐτὸν κομίσαντες τόπον καὶ τῷ φρουράρχῃ δείξαντες σύμφωνον τὴν σφραγῖδα κατετίθεντο. Ταῦτα μὲν οὖν ὑπὸ τοῦ πάθους τῶν ἐπισυμβεβηκότων παρεδηλώθη. Τότε δ' οὖν ὁ τῶν Ἰουδαίων βασιλεὺς Ἡρώδης καὶ ταύτην τὴν βᾶριν ὀχυρωτέραν κατασκευάσας, ἐπ' ἀσφαλείᾳ καὶ φυλακῇ τοῦ ἱεροῦ, χαριζόμενος Ἀντωνίῳ, φίλῳ μὲν αὐτοῦ, Ῥωμαίων δὲ ἄρχοντι, προσηγόρευσεν Ἀντωνίαν.

ε'. Ἐν δὲ τοῖς ἑσπερίοις μέρεσι τοῦ περιβόλου πύλαι τέσσαρες ἐφέστασαν, ἡ μὲν εἰς τὰ βασίλεια τείνουσα, τῆς ἐν μέσῳ φάραγγος εἰς δίοδον ἀπειλημμένης, αἱ δὲ δύο εἰς τὸ προάστειον, ἡ λοιπὴ δὲ εἰς τὴν ἄλλην πόλιν, βαθμῖσι πολλαῖς κάτω τε εἰς τὴν φάραγγα διειλημμένη καὶ ἀπὸ ταύτης ἄνω πάλιν ἐπὶ τὴν πρόσβασιν. Ἀντικρὺ γὰρ ἡ πόλις ἔκειτο τοῦ ἱεροῦ, θεατροειδὴς οὖσα, περιεχομένη βαθείᾳ φάραγγι κατὰ πᾶν τὸ νότιον κλίμα. Τὸ δὲ τέταρτον αὐτοῦ μέτωπον, τὸ πρὸς μεσημβρίαν, εἶχε μὲν καὶ αὐτὸ πύλας κατὰ μέσον, ἐπ' αὐτοῦ δὲ τὴν βασίλειον στοάν, τριπλῆν κατὰ μῆκος διιοῦσαν ἀπὸ τῆς ἑῴας φάραγγος ἐπὶ τὴν ἑσπέριον· οὐ γὰρ ἦν ἐκβῆναι προσωτέρω δυνατόν. Ἔργον δ' ἦν ἀξιαφηγητότατον τῶν ὑφ' ἡλίῳ. Μεγάλου γὰρ ὄντος τοῦ τῆς φάραγγος ἀναλήμματος, καὶ οὐδ' ἀνεκτοῦ κατιδεῖν εἴ τις ἄνωθεν εἰς τὸν βυθὸν εἰσκύπτοι, παμμέγεθες ὕψος ἐν αὐτῷ τὸ τῆς στοᾶς ἀνέστηκεν, ὡς εἴ τις ἀπ' ἄκρου τοῦ ταύτης τέγους ἄμφω συντιθεὶς τὰ βάθη διοπτεύοι, σκοτιδινιᾶν, οὐκ ἐξικνουμένης τῆς ὄψεως εἰς ἀμέτρητον τὸν βυθόν. Κίονες δ' ἐφέστασαν κατ' ἀντίστοιχον ἀλλήλοις ἐπὶ μῆκος τέτραχα, (συνεδέδετο γὰρ ὁ τέταρτος στοῖχος λιθοδομήτῳ τείχει,) καὶ πάχος ἦν ἑκάστου κίονος ὡς τρεῖς ἐπισυναπτόντων ἀλλήλοις τὰς ὀργυιὰς περιλαβεῖν, μῆκος δὲ ποδῶν ἑπτὰ καὶ εἴκοσι, διπλῆς σπείρας ὑπειλημμένης. Πλῆθος δὲ συμπάντων δύο καὶ ἑξήκοντα καὶ ἑκατὸν, κιονοκράνων αὐτοῖς κατὰ τὸν Κορίνθιον τρόπον ἐπεξειργασμένων γλυφαῖς, ἐκπληξιν ἐμποιούσαις διὰ τὴν τοῦ παντὸς μεγαλουργίαν. Τεσσάρων δὲ στοίχων ὄντων, τρεῖς ἀπολαμβάνουσι τὰς διὰ μέσου χώρας ταῖς στοαῖς. Τῶν δὲ αἱ δύο παράλληλοι τὸν αὐτὸν γεγόνασι τρόπον, εὖρος ἑκατέρας πόδας τριάκοντα, μῆκος δὲ στάδιον, ὕψος δὲ πόδας ὑπὲρ πεν-

tum Syriam administrabat, et Cuspius Fadus, Judææ procurator, Judæis imperarunt ut stolam ponerent in Antonia: debere enim Romanos eam penes se habere, sicut antea. Quamobrem Judæi legatos ad Claudium Cæsarem miserunt, eam rem deprecaturos. Qui quum Romam pervenissent, juvenis rex Agrippa, qui tum illic erat, perfecit suo rogatu apud Imperatorem ut eam illis potestatem traderet, hoc ipso Vitellio in mandatis dato, Syriæ prætori. Antea autem erat sub sigillo pontificis et quæstorum ærarii, et pridie festorum ibant quæstores ad præfectum Romani præsidii, et agnito suo sigillo eam auferebant, deinde rursum festis transactis in eundem locum referebant, et, sigillo concordante ostenso præsidii præfecto, deponebant. Et hæc quidem ex iis qui postea acciderunt casibus declarata sunt. Tunc vero hanc quoque turrim Herodes rex Judæorum munitiorem fecit, ad templi securitatem et custodiam, et in gratiam Antonii, amici sui et Romanorum imperatoris, nominavit Antoniam.

5. A septi autem parte occidentali quattuor erant portæ, quarum una ferebat in regiam, valle interjacente ad transitum intercepta; duæ in suburbium, postrema in reliquam urbem, multis gradibus distincta, ut in vallem descendatur, et deinde ab ea rursus esset ascensus. Nam urbs posita erat e regione templi, speciem præbens theatri, cincta valle profunda circa latus meridianum. Quarta autem pars frontis *templi* a meridie habebat et ipsa portas in medio, simulque regiam porticum, quæ triplex erat, et longitudine ab orientali valle ad occidentalem usque pertinebat: nec enim amplius procedere licebat. Opus erat omnium quæ unquam sol vidit maxime memorabile. Nam quum vallis depressa admodum esset, ut inde caligarent oculi cujusquam ex alto in fundum despicientis, porticum immanis altitudinis super ea exstruxit, ut si quis ex tecti ejus summitate altitudinem simul utramque visu penetrare vellet, periculum esset ne vertigine corriperetur, quum visus ad immensum adeo profundum non pertingeret. Quattuor autem erant columnarum series, ita ab uno porticus fine in alterum dispositæ, ut ex adverso sibi responderent, (quarta enim intertextum habebat parietem lapideum,) atque crassitudo cujusque columnæ tanta erat, quantam possent tres *hominum* inter se contingentium ulnæ complecti, longitudo pedum septem et viginti, duplici spira subjecta. Numero autem universæ erant centum et sexaginta duæ, capitellis ipsarum more Corinthio sculptura obductis, opere omnino magno et mirabili. Quumque quattuor essent *columnarum* series, ex illis tres spatium interceptum in porticus dividebant. Harum autem duæ sibi mutuo respondentes similiter factæ erant, ut utraque haberet triginta pedes in latitudinem, in longitudinem vero stadium, atque in altitudinem

τήκοντα· τῆς δὲ μέσης εὖρος μὲν ἡμίολιον, ὕψος δὲ διπλάσιον· ἀνεῖχε γὰρ πλεῖστον παρὰ τὰς ἑκατέρωθεν. Αἱ δὲ ὀροφαὶ βαθυξύλοις ἐξήσκηνται γλυφαῖς, πολυτρόποις σχημάτων ἰδέαις. Καὶ τὸ τῆς μέσης βάθος ἐπὶ μεῖζον ἤγερτο, περιτετμημένου τοῖς ἐπιστυλίοις προμετωπιδίου τοίχου, κίονας ἔχοντος ἐνδεδομημένους καὶ ξεστοῦ παντὸς ὄντος, ὡς ἄπιστα τοῖς οὐκ ἰδοῦσι καὶ σὺν ἐκπλήξει θεατὰ τοῖς ἐντυγχάνουσιν εἶναι. Τοιοῦτος μὲν ὁ πρῶτος περίβολος ἦν, ἐν μέσῳ δὲ ἀπέχων οὐ πολὺ δεύτερος, προσβατὸς βαθμῖσιν ὀλίγαις, ὃν περιεῖχε ἔρκίον λιθίνου ὀρυφάκτου, γραφῇ κωλῦον εἰστέναι τὸν ἀλλοεθνῆ, θανατικῆς ἀπειλουμένης τῆς ζημίας. Εἶχε δ' ὁ μὲν ἐντὸς περίβολος κατὰ μὲν τὸ νότιον καὶ βόρειον κλίμα τριπτύχους πυλῶνας, ἀλλήλων διεστῶτας, κατὰ δὲ ἡλίου βολὰς ἕνα τὸν μέγαν, δι' οὗ παρήειμεν ἀγνοὶ μετὰ γυναικῶν. Ἐσωτέρω δὲ κἀκείνου γυναιξὶν ἄβατον ἦν τὸ ἱερόν. Ἐκείνου δ' ἐνδοτέρω τρίτον, ὅπου τοῖς ἱερεῦσιν εἰσελθεῖν ἐξὸν ἦν μόνοις. Ὁ ναὸς ἐν τούτῳ καὶ πρὸ αὐτοῦ βωμὸς ἦν, ἐφ' οὗ τὰς θυσίας ὁλοκαυτοῦμεν τῷ Θεῷ. Τούτων εἰς οὐδένα τῶν τριῶν ὁ βασιλεὺς Ἡρώδης παρῆλθεν· (ἐκεκώλυτο γὰρ οὐκ ὢν ἱερεύς·) ἀλλὰ κἀν τοῖς ἔργοις τὰ περὶ τὰς στοὰς καὶ τοὺς ἔξω περιβόλους ἐπραγματεύετο, καὶ ταῦτα ὠκοδόμησεν ἔτεσιν ὀκτώ.

ς'. Τοῦ δὲ ναοῦ διὰ τῶν ἱερέων οἰκοδομηθέντος ἐνιαυτῷ καὶ μησὶν ἕξ, ἅπας ὁ λαὸς ἐπληρώθη χαρᾶς, καὶ τοῦ τάχους πρῶτον μὲν τῷ Θεῷ τὰς εὐχαριστίας ἐποιοῦντο, μετὰ δὲ καὶ τῆς προθυμίας τοῦ βασιλέως, ἑορτάζοντες καὶ κατευφημοῦντες τὴν ἀνάκτισιν. Ὁ δὲ βασιλεὺς τριακοσίους ἐθυσε τῷ Θεῷ βοῦς, καὶ τῶν ἄλλων ἕκαστοι κατὰ δύναμιν, ὧν οὐχ οἷόν τε τὸν ἀριθμὸν εἰπεῖν· ἐκφεύγει γὰρ τὸ δύνασθαι πρὸς ἀλήθειαν εἰπεῖν. Συνεπεπτώκει γὰρ τῇ προθεσμίᾳ τοῦ περὶ τὸν ναὸν ἔργου καὶ τὴν ἡμέραν τῷ βασιλεῖ τῆς ἀρχῆς, ἣν ἐξ ἔθους ἑώρταζεν, εἰς ταὐτὸν ἐλθεῖν· καὶ περισημοτάτην δι' ἀμφοῖν τὴν ἑορτὴν γενέσθαι.

ζ'. Κατεσκευάσθη δὲ καὶ κρυπτὴ διῶρυξ τῷ βασιλεῖ, φέρουσα μὲν ἀπὸ τῆς Ἀντωνίας μέχρι τοῦ ἔσωθεν ἱεροῦ πρὸς τὴν ἀνατολικὴν θύραν, ἐφ' ἧς αὐτῷ καὶ πύργον κατεσκεύασεν, ἵνα ἔχῃ διὰ τῶν ὑπογαίων εἰς αὐτὸν ἀνιέναι, τὸν ἐκ τοῦ δήμου νεωτερισμὸν ἐπὶ τοῖς βασιλεῦσι φυλαττόμενος. Λέγεται δὲ κατ' ἐκεῖνον τὸν καιρὸν οἰκοδομουμένου τοῦ ναοῦ τὰς μὲν ἡμέρας οὐχ ὕειν, ἐν δὲ ταῖς νυξὶ γίνεσθαι τοὺς ὄμβρους, ὡς μὴ κωλυσιεργεῖν. Καὶ τοῦτον τὸν λόγον οἱ πατέρες ἡμῖν παρέδωκαν, οὐδ' ἔστιν ἄπιστον, εἰ καὶ πρὸς τὰς ἄλλας ἀπίδοι τις ἐμφανείας τοῦ Θεοῦ. Τὰ μὲν οὖν περὶ τὸν ναὸν ἐξωκοδομήθη τοῦτον τὸν τρόπον.

plus quinquaginta pedes; media autem erat latitudine sesquialtera, atque altitudine dupla : nam eas ex utraque parte multum supereminebat. Tecta vero sculpturis ligneis profundis erant exornata, in varias formarum species elaboratis : atque medium in majorem altitudinem evectum est, muro frontali epistyliis circumsecto, et columnis insertis distincto, totoque ad amussim polito, ut qui non viderunt minime fidem istis haberent, nec sine admiratione a præsentibus spectarentur. Atque hujusmodi quidem erat primum septum; in medio vero juxta illud etiam alterum, in quod paucis gradibus ascendebatur, circumdante lapidea maceria, cum inscriptione quæ vetaret alienigenam intrare sub pœna capitis. Habebat autem interius conseptum a parte meridionali et septentrionali portas triplices inter se distantes, et ab oriente magnam portam, per quam puri cum feminis intrare consuevimus. Adhuc autem interius erat sanctuarium, quo feminis intrare non licebat. Et porro interius erat tertium, quo non nisi sacerdotibus licebat introire. Hæc erat ædes, et ante eam altare, in quo solida sacrificia Deo cremamus. Horum trium in nullum ingressus est rex Herodes; ab iis enim arcebatur, quoniam sacerdos non esset; sed totus in eo erat ut porticus et exteriora consepta curaret exstruenda; atque ea octo annis ædificavit.

6. Postquam autem ædes a sacerdotibus uno anno et sex mensibus exædificata est, universus populus lætitiæ plenus erat, et primum quod tam cito factum fuisset, Deo gratias agebant, deinde quod eam operi diligentiam adhibuisset rex, festum diem agentes, et templi instaurationem faustis ominibus prosequentes. Rex autem Deo trecentos boves immolavit; reliqui item pro sua quique facultate : quorum numerum ut dicam fieri non potest, quod ad veritatem quo pacto dicendus sit nos lateat. Nam acciderat ut idem esset dies inaugurationis regis, quem celebrare solitus erat, ac ille, quo templum fuit absolutum; atque adeo his duabus de causis festum esset illustrius.

7. Præterea regi facta est fossa occulta, ab Antonia ferens ad orientalem portam templi, super quam etiam sibimet turrim exstruendam curavit, ut per subterranea in eam ascenderet, quo caveret a populo si quando adversus reges novi aliquid molirentur. Fertur etiam, quo tempore templum construebatur, interdiu non pluisse, sed noctu descendisse pluvias, ne opus impediretur : id quod a majoribus accepimus, neque incredibile est, si quis animum advertat ad alia quibus semet nobis patefecerit Deus. Et quæ ad templum quidem spectant hoc modo exædificata erant.

ΒΙΒΛΙΟΝ ΕΚΚΑΙΔΕΚΑΤΟΝ.

α'. Ὅν τρόπον Ἀλέξανδρος καὶ Ἀριστόβουλος ἀπὸ Ῥώμης ὑπέστρεψαν πρὸς τὸν πατέρα· καὶ ὡς Σαλώμη καὶ Φερώρας, οἱ τοῦ βασιλέως ἀδελφοί, ταῖς κατ' αὐτῶν διαβολαῖς ἐχρῶντο.

β'. Ὡς γυναῖκας δοὺς τοῖς περὶ Ἀλέξανδρον καὶ Ἀριστόβουλον Ἡρώδης πρὸς Ἀγρίππαν ἐξέπλευσεν εἰς Μυτιλήνην, κἀκεῖθεν αὐτὸν ἔπεισεν εἰς Ἰουδαίαν παραγενέσθαι.

γ'. Ἔφοδος Ἀγρίππα εἰς Ἰωνίαν, καὶ ὡς Ἡρώδης τὸ δεύτερον ἐξέπλευσεν πρὸς Ἀγρίππαν εἰς τὸν Βόσπορον.

δ'. Ἔντευξις τῶν κατὰ Ἰωνίαν Ἰουδαίων Ἀγρίππᾳ, παόντος Ἡρώδου, περὶ ὧν ἠτιῶντο τοὺς Ἕλληνας.

ε'. Ὡς Ἀγρίππας ἐβεβαίωσε μὲν αὐτοῖς τοὺς νόμους, Ἡρώδης δὲ εἰς Ἰουδαίαν ὑπέστρεψεν.

ς'. Ὡς διεδέξατο Ἱεροσολυμίτας Ἡρώδης, καὶ τὸ τέταρτον αὐτοῖς ἀφῆκεν τῶν φόρων τοῦ παρεληλυθότος ἔτους.

ζ'. Ὡς ἐστασιάσθη τὰ περὶ τὴν οἰκίαν Ἡρώδῃ, προτιμῶντι μὲν Ἀντίπατρον τὸν πρεσβύτατον υἱόν, χαλεπῶς δὲ τῶν περὶ Ἀλέξανδρον φερόντων τὴν ὕβριν.

η'. Ὡς Ἀντιπάτρου διατρίβοντος ἐν Ῥώμῃ, τοὺς περὶ Ἀλέξανδρον καὶ Ἀριστόβουλον Ἡρώδης ἄγων ἐπὶ Καίσαρος, αὐτῶν κατηγόρησεν.

θ'. Ἀλεξάνδρου ἀπολογία ἐπὶ Καίσαρος καὶ διαλλαγαὶ πρὸς τὸν πατέρα.

ι'. Ὡς ἀγῶνας ἤγαγε πενταετηρικοὺς Ἡρώδης ἐπὶ τῇ Καισαρείας κτίσει.

ια'. Πρεσβεία τῶν ἀπὸ Κυρήνης καὶ Ἀσίας Ἰουδαίων ὡς Καίσαρα περὶ ὧν ἠτιῶντο τοὺς Ἕλληνας· καὶ ἀντίγραφα ἐπιστολῶν, ἃς Καῖσαρ καὶ Ἀγρίππας ἔγραψαν ὑπὲρ αὐτῶν ταῖς πόλεσιν.

ιβ'. Ὡς ἀπορῶν χρημάτων Ἡρώδης κατῆλθεν εἰς τὸν Δαυίδου τάφον, καὶ δειμάτων αὐτὸν ταραξάντων μνημεῖον ἔστησεν ἐπὶ τοῦ τάφου.

ιγ'. Ὡς Ἀρχέλαος ὁ Καππαδόκων βασιλεὺς Ἀλέξανδρον τῷ πατρὶ διήλλαξεν, δεθέντα ὑπ' αὐτοῦ πρότερον· καὶ ὡς ὁ μὲν εἰς Καππαδοκίαν, Ἡρώδης δὲ εἰς Ῥώμην ἀνῆλθεν.

ιδ'. Ἀπόστασις τῆς Ἡρώδου βασιλείας τῶν τὸν Τράχωνα οἰκούντων, καὶ παράληψις διὰ τῶν στρατηγῶν τῆς χώρας.

ιε'. Ὡς Ἡρώδης τοὺς εἰς τὴν Ἀραβίαν διαφυγόντας τῶν ἀποστάντων ἐξῃτεῖτο, καὶ μὴ τυγχάνων ἐστράτευσεν ἐπ' αὐτούς, ἐπιτρέποντος Σατορνίνου τοῦ ἡγεμόνος.

ις'. Ὡς κατηγόρησε Σύλλαιος ὁ Ἄραψ ἐπὶ Καίσαρος, ὑπὲρ τῆς ἐμβολῆς τῆς εἰς τὴν Ἀραβίαν, τοῦ Ἡρώδου· καὶ ὡς διὰ Νικολάου ἀπελύσατο τὰς αἰτίας Ἡρώδης, ὀργιζομένου Καίσαρος.

ιζ'. Διαβολαὶ Εὐρυκλέους κατὰ τῶν παίδων πρὸς Ἡρώδην· καὶ ὡς ἔδησεν αὐτοὺς ὁ πατὴρ καὶ τῷ Καίσαρι περὶ αὐτῶν ἔγραψεν.

ιη'. Ὡς, Καίσαρος ἐξουσίαν δόντος, ἐν Βηρυτῷ παρὰ τῷ συνεδρίῳ κατηγόρησε τῶν παίδων Ἡρώδης. Θάνατος τῶν νεανίσκων, καὶ ταφὴ τῶν σωμάτων ἐν Ἀλεξανδρείῳ.

Περιέχει ἡ βίβλος χρόνον ἐτῶν ιϐ'.

LIBER DECIMUS SEXTUS.

1. Quomodo Alexander et Aristobulus Roma redierunt ad patrem : utque Salome et Pheroras, regis fratres, eos calumniantur.

2. Quomodo Herodes, quum Alexandro et Aristobulo uxores locasset, ad Agrippam in Mytilenen navigavit, eique persuasit ut inde in Judæam veniret.

3. Agrippæ in Ioniam profectio, et quomodo Herodes denuo ad Agrippam navigavit in Bosporum.

4. Judæorum in Ionia supplicatio ad Agrippam, præsente Herode, de iis quorum Græcos accusabant.

5. Quomodo Agrippa suas illis leges confirmavit, et Herodes Judæam repetiit.

6. Quomodo Herodes excepit Hierosolymitanos, et quartam superioris anni vectigalium partem eis condonavit.

7. Quomodo domi dissidium oritur Herodi, quod is Antipatrum filium suum natu maximum pluris faceret, et res ista ut contumelia doleret Alexandro.

8. Quomodo, Antipatro Romæ degente, Herodes Alexandrum et Aristobulum ad Cæsarem ductos accusat.

9. Alexander causam suam agit ad Cæsarem et pater cum filiis in gratiam redit.

10. Quemadmodum Herodes quinquennale certamen ob Cæsaream ædificatam celebravit.

11. Judæorum Cyrenensium et Asianorum legatio ad Cæsarem de iis quorum Græcos accusabant : et exemplaria literarum quas Cæsar et Agrippa pro ipsis ad civitates scripserunt.

12. Quomodo Herodes pecunia egens descendit in sepulchrum Davidis, et terroribus perturbatus in ostio sepulchri monumentum exstruxit.

13. Quomodo Archelaus Cappadocum rex Alexandrum a patre in vincula conjectum ei reconciliat : utque Archelaus in Cappadociam, et Herodes Romam profectus est.

14. Trachonitæ deficiunt ab Herodis regno, atque a regionis præfectis iterum ei adjiciuntur.

15. Quomodo defectores, qui se in Arabiam receperant, deposcebat Herodes ; quumque iis potiri nequisset, exercitum in eos duxit permissu Saturnini ducis Cæsareani.

16. Quomodo Syllæus Arabs Herodem apud Cæsarem accusavit de impressione in Arabiam facta; utque Cæsare irato Herodes ope Nicolai crimina diluit.

17. Euryclis ad Herodem calumniæ adversus ipsius filios, et quomodo eos in vincula conjecit pater, et de illis ad Cæsarem scripsit.

18. Quomodo Herodes, Cæsaris permissu, Beryti in judicum assessu filios accusavit. Mors juvenum et corporum eorum sepultura in Alexandrio.

Continet hic liber tempus annorum duodecim.

ΚΕΦ. Α'.

Ἐν δὲ τῇ διοικήσει τῶν ὅλων πραγμάτων ἐσπουδακὼς ὁ βασιλεὺς τὰς κατὰ μέρος ἀδικίας ἀναστεῖλαι τῶν περὶ τὴν πόλιν καὶ τὴν χώραν ἁμαρτανομένων, τίθησι νόμον οὐδὲν ἐοικότα τοῖς πρώτοις, ὃν αὐτὸς ἐβεβαίου,

CAP. I.

Quum in reipublicæ administratione operam dedisset rex ut injurias omnes singulas, quæ tam in urbe quam in agris grassarentur, coerceret, legem tulit prioribus plane dissimilem, quam ipse sancivit, ut fures venderentur addita

τοὺς τοιχωρύχους ἀποδιδόμενος ἐπ' ἐξαγωγῇ τῆς βασιλείας, ὅπερ ἦν οὐκ εἰς τιμωρίαν μόνον τῶν πασχόντων φορτικὸν, ἀλλὰ καὶ κατάλυσιν περιέχον τῶν πατρίων ἐθῶν. Τὸ γὰρ ἀλλοφύλοις καὶ μὴ τὴν αὐτὴν ἔχουσιν δίαιταν τοῦ ζῆν δουλεύειν, καὶ βιάζεσθαι πάνθ' ὅσα προσέταττον ἐκεῖνοι ἐξ ἀνάγκης ποιεῖν, ἁμαρτία πρὸς τὴν θρησκείαν ἦν, οὐ κόλασις τῶν ἁλισκομένων, πεφυλαγμένης ἐν τοῖς πρώτοις τῆς τοιαύτης τιμωρίας. Ἐκέλευον γὰρ οἱ νόμοι τετραπλάσιον καταβαλεῖν τὸν κλέπτην, οὐκ ἔχοντα δὲ πιπράσκεσθαι μὲν, ἀλλ' οὔτι γε τοῖς ἀλλοφύλοις, οὐδ' ὥστε διηνεκῆ τὴν δουλείαν ὑπομένειν· ἔδει γὰρ ἀφεῖσθαι μετὰ ἑξαετίαν. Τόδε, ὥσπερ ὡρίσθη τότε χαλεπὴν καὶ παράνομον γενέσθαι τὴν κόλασιν, ὑπερηφανίας ἐδόκει μέρος, οὐ βασιλικῶς, ἀλλὰ τυραννικῶς αὐτοῦ καὶ πρὸς τὰ κοινὰ τῶν ἀρχομένων ὀλιγώρως θεῖναι τὴν τιμωρίαν νενοηκότος. Ταῦτα μὲν οὖν, καθ' ὁμοιότητα τοῦ λοιποῦ τρόπου γινόμενα, μέρος ἦν τῶν διαβολῶν καὶ τῆς ἐπ' αὐτῷ δυσνοίας.

β'. Ἐν δὲ τούτῳ τῷ καιρῷ καὶ τὸν εἰς τὴν Ἰταλίαν πλοῦν ἐποιήσατο, Καίσαρί τε συντυχεῖν ὁρμηθεὶς καὶ θεάσασθαι τοὺς παῖδας ἐν τῇ Ῥώμῃ διατρίβοντας. Καῖσαρ δὲ τά τε ἄλλα φιλοφρόνως αὐτὸν ἐδέξατο καὶ τοὺς παῖδας, ὡς ἤδη τελειωθέντας ἐν τοῖς μαθήμασιν, ἀπέδωκεν ἄγειν εἰς τὴν οἰκείαν. Ὡς δ' ἦκον ἀπὸ τῆς Ἰταλίας, σπουδὴ περὶ τὰ μειράκια τῶν ὄχλων ἦν καὶ περίοπτοι πᾶσιν ἐγεγόνεισαν, τῷ τε μεγέθει τῆς περὶ αὐτοὺς τύχης κοσμούμενοι καὶ βασιλικοῦ κατὰ τὰς μορφὰς ἀξιώματος οὐκ ἀποδέοντες. Ἐπίφθονοί τε εὐθὺς ἐδόκουν Σαλώμῃ τε τῇ τοῦ βασιλέως ἀδελφῇ καὶ τοῖς Μαριάμμην ταῖς διαβολαῖς κατηγωνισμένοις. Οὕτω γὰρ ὤοντο δυναστευόντων αὐτῶν δίκην δώσειν τῶν εἰς τὴν μητέρα τὴν ἐκείνων παρανομηθέντων. Τὴν αὐτὴν οὖν ταύτην ὑπόθεσιν τοῦ δέους εἰς τὴν κατ' ἐκείνων διαβολὴν μετέφερον, λογοποιοῦντες οὐ καθ' ἡδονὰς συνεῖναι τῷ πατρὶ, διὰ τὸν τῆς μητρὸς θάνατον, ὡς μηδὲ ὅσιον εἶναι δοκεῖν ἐπὶ ταὐτὸν συνεῖναι τῷ τῆς τεκούσης φονεῖ. Ταῦτα γὰρ ἀπὸ τῆς ἀληθείας ἐπὶ τὸ πιθανὸν τῆς αἰτίας φέροντες κακοῦν ἐδύναντο καὶ τῆς εὐνοίας ἣς εἶχεν εἰς τοὺς παῖδας ἀφαιρεῖν. Οὐδὲ γὰρ πρὸς αὐτὸν ἀντικρυς ἔλεγον, ἀλλ' εἰς τὸ λοιπὸν πλῆθος ἐσκόρπιζον τοὺς τοιούτους λόγους· ἐξ ὧν πρὸς Ἡρῴδην ἀναφερομένων ὑποκατεσκευάζετο μῖσος, οὐδ' αὐτῇ τῇ φύσει χρόνῳ νικώμενον. Ἐν μέντοι τῷ τότε πάσης ὑποψίας καὶ διαβολῆς μείζονι χρώμενος ὁ βασιλεὺς τῇ τοῦ γεγεννηκέναι φιλοστοργίᾳ, καὶ τιμῆς ἧς ἔδει μετεδίδου καὶ γυναῖκας ἐν ἡλικίας γεγονόσιν ἐζεύγνυεν, Ἀριστοβούλῳ μὲν τὴν Σαλώμης θυγατέρα Βερενίκην, Ἀλεξάνδρῳ δὲ τὴν Ἀρχελάου τοῦ Καππαδόκων βασιλέως Γλαφύραν.

ΚΕΦ. Β'.

Ταῦτα διοικήσας, ἐπειδὴ καὶ Μάρκον Ἀγρίππαν ἐπύθετο καταπεπλευκέναι πάλιν ἐκ τῆς Ἰταλίας εἰς τὴν Ἀσίαν ἐπειχθεὶς πρὸς αὐτὸν ἠξίωσεν εἴς τε τὴν conditione qua extra regni fines educerentur; quæ res non solum facinorosis nimis gravis erat, sed etiam patriorum morum destructionem continebat. Nam servitutem servire apud exteros et diversam vivendi rationem habentes, et necessitate cogi ad faciendum quicquid illis imperare libuerit, magis religioni in injuriam cedebat quam scelere deprehensis in supplicium, dum in prisçis legibus de hujusmodi pœna cautum fuisset. Illæ enim jubebant furem quadruplo mulctari, aut si solvendo non esset, vendi, sed non alienigenis, neque ut perpetuo serviat: oportebat enim ut post annos sex manumitteretur. Hoc ipsum, sicuti tunc æstimatum erat in animadversione pœnaque durum et iniquum, cum arrogantia conjunctum videbatur, quasi non regio, sed tyrannico more, nulla ratione habita Judæorum reipublicæ, pœnam constituere in animum induxisset. Atque ista quidem, eo modo quo cetera consueverat facta, in parte erant criminationum odique in ipsum.

2. Per id autem profectus est in Italiam, quod desiderarit et cum Cæsare colloqui, et filios suos, qui Romæ agebant, videre. Enimque Cæsar tum cetera comiter excepit, tum filios ei, ut jam in disciplinis perfectos, reddidit domum reducendos. Ubi ab Italia revertebantur, magnum erat populi erga juvenes studium, et conspicui fiebant omnibus, tum quod fortunarum amplitudine ornati erant, tum quod illis non deerat regiæ formæ dignitas: statimque invisi esse cœperunt et Salomæ regis sorori, et iis qui calumniis suis Mariamnen confecerant. Ita enim fore putabant ut, si illi rerum potirentur, ipsi pœnas luerent ob illatam matri eorum injuriam. Itaque hanc ipsam metus causam adhibebant, ut calumnias illis struerent, dictitantes eos patris consuetudine non delectari, propter necem matris, ut qui religioni sibi ducerent cum illius interfectore degere. Sic enim a rei veritate ad rationem verisimilem progredientes lædendi potestatem habebant, patriqne eripiendi suam erga filios benevolentiam. Neque enim illi quidquam palam dicebant, sed in vulgus hujusmodi rumores spargebant: quibus Herodi relatis, sensim suboriebatur odium, quod postea natura ipsa vincere non potuit. Eo tamen tempore rex, quum adhuc ei maneret amor genitoris in liberos omni suspicione et criminatione potentior, et eis honorem habuit, quem debuit, et adultis uxores dedit Aristobulo Berenicen Salomæ filiam, Alexandro vero Glaphyram Archelai Cappadocum regis filiam.

CAP. II.

His factis, quum Marcum Agrippam iterum ab Italia in Asiam navigasse intellexisset, eum propere adiit, obsecravitque ut in regnum suum veniret, et iis quibus affici opor-

βασιλείαν αὐτοῦ παρελθεῖν καὶ τυχεῖν ὧν ἔδει παρὰ ἀνδρὸς ξένου καὶ φίλου. Κἀκεῖνος μὲν εἵξας λιπαρῶς ἐγκειμένου ἦκεν εἰς τὴν Ἰουδαίαν· Ἡρώδης δ' οὐδὲν ἀρεσκείας ἀπέλειπεν, ἔν τε ταῖς νεοκτίστοις πόλεσιν ὑποδεχόμενος αὐτὸν καὶ μετὰ τοῦ τὰς κατασκευὰς ἐπιδεικνύναι πᾶσαν ἀπόλαυσιν διαίτης καὶ πολυτελείας ἐξαλλάττων αὐτῷ καὶ τοῖς φίλοις, ἔν τε τῇ Σεβαστῇ, καὶ Καισαρείᾳ περὶ τὸν λιμένα τὸν ὑπ' αὐτοῦ κατεσκευασμένον, κἀν τοῖς ἐρύμασιν, ἃ πολλαῖς δαπάναις ἐξῳκοδόμησεν, τό τε Ἀλεξάνδρειον καὶ Ἡρώδειον καὶ τὴν Ὑρκανίαν. Ἦγε δὲ καὶ εἰς τὴν πόλιν τῶν Ἱεροσολυμιτῶν, ὑπαντώντος τε τοῦ δήμου παντὸς ἐν ἑορτώδει στολῇ καὶ δεχομένου τὸν ἄνδρα σὺν εὐφημίαις· Ἀγρίππας δὲ τῷ Θεῷ μὲν ἑκατόμβην κατέθυσεν, εἰστία δὲ τὸν δῆμον, οὐδενὸς τῶν μεγίστων πλήθει λειπόμενος. Αὐτὸς δέ, ὅσον ἐπὶ τῷ καθ' ἡδονὴν κἂν ἔτι πλείους ἐπιμείνας ἡμέρας, διὰ τὸν καιρὸν ἠπείγετο· τὸν γὰρ πλοῦν, ἐπιβαίνοντος τοῦ χειμῶνος, οὐκ ἐνόμιζεν ἀσφαλῆ κομιζομένῳ πάλιν ἐξ ἀνάγκης εἰς τὴν Ἰωνίαν.

(Γ'.) β'. Ἐκεῖνος μὲν οὖν ἀπέπλει, πολλαῖς αὐτὸν δωρεαῖς τετιμηκότος Ἡρώδου καὶ σὺν αὐτῷ τοὺς ἐπισημοτάτους. Ὁ δὲ βασιλεὺς, χειμάσας ἐν τοῖς οἰκείοις, ἔαρος ἠπείγετο συντυχεῖν αὐτῷ, τὴν εἰς Βόσπορον εἰδὼς στρατείαν προῃρημένον· καὶ πλεύσας διὰ Ῥόδου καὶ Κῶ προσέσχεν περὶ Λέσβον, οἰόμενος ἐκεῖ καταλήψεσθαι τὸν Ἀγρίππαν. Ἐκεῖ δὲ αὐτὸν ἀπολαμβάνει πνεῦμα βόρειον, εἶργον τὴν ἀναγωγὴν τῶν νεῶν. Ὁ δ' ἐπιδιέτριβεν ἡμέρας πλείους ἐν τῇ Χίῳ, καὶ πολλοὺς μὲν τῶν προσίοντων αὐτῷ δεξιούμενος ἀνελάμβανεν βασιλικαῖς δωρεαῖς, αὐτῆς δὲ τῆς πόλεως ἰδὼν πεπτωκυῖαν στοάν, (ἣν ἐν τῷ Μιθριδατικῷ πολέμῳ καθαιρεθεῖσαν, οὐχ ὥσπερ τὰ ἄλλα διὰ μέγεθος καὶ κάλλος ἀναστῆναι ῥᾴδιον ἦν,) χρήματα δοὺς ὅσον μὴ μόνον ἐπαρκεῖν, ἀλλὰ καὶ περιττεύειν ἐδύνατο πρὸς τὴν συντέλειαν τοῦ κατασκευάσματος, ἐνετέλλετο μὴ περιορᾶν, ἀλλὰ θᾶττον ἐγείρειν, ἀποκαθιστάντας τῇ πόλει τὸν ἴδιον κόσμον. Αὐτὸς δὲ λήξαντος τοῦ πνεύματος εἰς Μυτιλήνην κἀκεῖθεν εἰς Βυζάντιον παρακομισθείς, ὡς ἤκουσεν ἐντὸς Κυανεῶν ἤδη πεπλευκέναι τὸν Ἀγρίππαν, μετέσπευδεν ὡς ἐνῆν. Καὶ περὶ Σινώπην τὴν ἐν τῷ Πόντῳ καταλαβὼν ἀπροσδόκητος μὲν ὤφθη ταῖς ναυσὶν προσπλέων, ἀσμένως δὲ ἐφάνη, πολλαί τε φιλοφρονήσεις ἦσαν, ὥστε καὶ μεγίστην πίστιν εἰληφέναι δοκοῦντος εὐνοίας καὶ φιλοστοργίας τῆς εἰς τὸν αὐτὸν Ἀγρίππα, τοσοῦτον μὲν πλοῦν ἀνύσαντος τοῦ βασιλέως, οὐκ ἀπολειφθέντος δὲ τῆς ἐκείνου χρείας, ἣν μετὰ τοῦ καταλιπεῖν ἀρχὴν καὶ διοίκησιν οἰκείων πραγμάτων προὐργιαιτέραν ἔθετο. Πᾶν γοῦν ἦν αὐτῷ κατὰ τὴν στρατείαν Ἡρώδης, ἔν τε τοῖς πραγματικοῖς συναγωνιστὴς καὶ τοῖς κατὰ μέρος σύμβουλος, ἡδὺς δὲ κἀν ταῖς ἀνέσεσι, καὶ μόνος ἁπάντων κοινωνὸς, ὀχληρῶν μὲν διὰ τὴν εὔνοιαν, ἡδέων δὲ διὰ τὴν τιμήν. Ὡς δ' αὐτοῖς κατείργαστο καὶ τὰ περὶ τὸν Πόντον, ὧν

tebat apud hospitem et amicum uteretur. Et ille quidem, quum instaret urgeretque *Herodes*, annuit, et in Judæam profectus est. Atque Herodes nihil, quod ei placeret, omisit, et in oppidis recens conditis eum excipiens, dumque ædificia ostenderet, ipsi ejusque amicis omne genus deliciarum et magnificentiæ apparatum exhibens, et apud Sebasten, et Cæsaream in portu a se exstructo, et in propugnaculis itidem a se multis sumptibus excitatis, Alexandrio et Herodio et Hyrcania. Etiam in urbem Hierosolymitarum eum duxit, ubi ei populus obviam festo vestitu prodiit, faustisque acclamationibus eum excepit. Agrippa autem Deo centum boves immolavit, et populo convivium præbuit, nemini rerum lautissimarum copia cedens. Is vero, quantum ad oblectationem etiam plures adhuc dies mansurus, propter anni tempus festinabat : sibi enim, necesse habenti Ioniam repetere, hieme appetente navigare haud adeo tutum esse arbitrabatur.

(III.) 2. Ille quidem, avectus est, Herode ei ejusque comitum clarissimis multa largito. Rex vero, quum in sua ditione hiemem exegisset, ineunte vere eum iterum convenire properavit, sciens eum in Bosporum expeditionem parasse : Rhodumque et Con navigando prætervectus prope ad Lesbum appulit, ratus se eo loco offensurum esse Agrippam. Sed a vento aquilonari correptus prohibetur navibus portum tenere. Tum vero aliquot diebus apud Chium morabatur, et multos ipsum adeuntes benigne excipiens, regiis prosequitur muneribus : quumque urbis porticum prolapsam animadvertisset, (quam, bello Mithridatico dejectam, haud facile erat illis, quemadmodum in ceteris fecerant, propter ejus magnitudinem et pulcritudinem instaurare,) tantum pecuniarum eis contulit quantum satis superque esse posset ad structuram absolvendam, hortatus ut non cessarent, idque ocius facerent, ut suum urbi ornamentum restituerent. Ipse vero, quum ventus leniter flaret, primum Mytilenen, deinde Byzantium delatus, ut audivit Agrippam jam ultra Cyaneos scopulos provectum, quanta potuit contentione eum sequutus est. Quumque apud Sinopen in Ponto eum invenisset, ex insperato conspectus est cum classe appellere, sed gratus apparuit, multumque inter se amicissime versabantur, quippe quod Agrippa existimaret se maximum ejus erga ipsum benevolentiæ et amoris testimonium accepisse, quum rex tantum mari cursum confecisset, et illius rebus opportune interesset, quibus, utpote regno relicto rerumque suarum administratione, nihil prius et antiquius habuerit. In universis itaque ei in illa expeditione aderat Herodes, in rebus gerendis socius et adjutor, et in singulis consiliarius et auctor, ei etiam quum animum remitteret gratus et acceptus, solusque omnium particeps, difficilium quidem propter benevolentiam, jucundorum vero honoris ergo. Quum primum autem ab illis confecta essent negotia Pontica, quorum causa

ἕνεκεν Ἀγρίππας ἐστάλη, τὴν ἀνακομιδὴν οὐκ ἔτ' ἐδόκει πιεῖσθαι πλέουσιν, ἀλλὰ διαμειψάμενοι τήν τε Παφλαγονίαν καὶ Καππαδοκίαν, κἀκεῖθεν ἐπὶ τῆς μεγάλης Φρυγίας ὁδεύσαντες εἰς Ἔφεσον ἀφίκοντο, πάλιν δὲ ἐξ Ἐφέσου διέπλευσαν εἰς Σάμον. Πολλαὶ μὲν οὖν καὶ καθ' ἑκάστην πόλιν εὐεργεσίαι τῷ βασιλεῖ κατὰ τὰς χρείας τῶν ἐντυγχανόντων ἐγένοντο. Καὶ γὰρ αὐτὸς ὅσα διὰ χρημάτων ἦν ἢ δεξιώσεως οὐ παρέλειπεν, ἐξ αὐτοῦ τὰς δαπάνας ποιούμενος· καὶ τῶν παρ' Ἀγρίππα τινῶν ἐπιζητουμένων μεσίτης ἦν, καὶ διεπράττετο μηδενὸς ἀτυχῆσαι τοὺς δεομένους. Ὄντος δὲ κἀκείνου χρηστοῦ καὶ μεγαλοψύχου πρὸς τὸ παρέχειν ὅσα τοῖς ἠξιωκόσιν ὠφέλιμα ὄντα μηδένα τῶν ἄλλων ἐλύπει, πλεῖστον ἡ τοῦ βασιλέως ἐποίει ῥοπὴ, προτρέπουσα πρὸς τὰς εὐεργεσίας οὐ βραδύνοντα τὸν Ἀγρίππαν. Ἰλιεῦσι μὲν γὰρ αὐτὸν διήλλαξεν ὀργιζόμενον, δίελυσε δὲ Χίοις τὰ πρὸς τοὺς Καίσαρος ἐπιτρόπους χρήματα καὶ τῶν εἰσφορῶν ἀπήλλαξε, τοῖς δὲ ἄλλοις καθὸ δεηθεῖεν ἑκάστοις παρίστατο.

γ'. Τότε δὲ περὶ τὴν Ἰωνίαν αὐτῶν γενομένων, πολὺ πλῆθος Ἰουδαίων, ὃ τὰς πόλεις ᾤκει, προσῆλθε, καιροῦ καὶ παρρησίας ἐπειλημμένοι, καὶ τὰς ἐπηρείας ἔλεγον ἃς ἐπηρεάζοντο, μήτε νόμοις οἰκείοις ἐώμενοι χρῆσθαι, δίκας τε ἀναγκαζόμενοι διδόναι κατ' ἐπήρειαν τῶν εὐθυνόντων ἐν ἱεραῖς ἡμέραις, καὶ ὡς τῶν εἰς Ἱεροσόλυμα χρημάτων ἀνατιθεμένων ἀφαιροῖντο, στρατειῶν καὶ λειτουργιῶν ἀναγκαζόμενοι κοινωνεῖν, καὶ πρὸς ταῦτα δαπανᾶν τῶν ἱερῶν χρημάτων, ὧν ἀφείθησαν ἀεὶ, Ῥωμαίων αὐτοῖς ἐπιτρεψάντων κατὰ τοὺς οἰκείους ζῆν νόμους. Τοιαῦτα καταβοώντων παρῆτήσατο μὲν ὁ βασιλεὺς ἀκοῦσαι τὸν Ἀγρίππαν αὐτῶν δικαιολογουμένων, Νικόλαον δέ τινα τῶν αὐτοῦ φίλων ἔδωκεν εἰπεῖν ὑπὲρ αὐτῶν τὰ δίκαια. Τοῦ δὲ Ἀγρίππα Ῥωμαίων τε τοὺς ἐν τέλει καὶ βασιλέων καὶ δυναστῶν τοὺς παρόντας αὐτῷ συνέδρους ποιησαμένου, καταστὰς ὁ Νικόλαος ὑπὲρ τῶν Ἰουδαίων ἔλεξεν.

δ'. « Ἅπασι μὲν, ὦ μέγιστε Ἀγρίππα, τοῖς ἐν χρείᾳ « γεγενημένοις ἀνάγκη καταφεύγειν ἐπὶ τοὺς ἀφελέσθαι « τὰς ἐπηρείας αὐτῶν δυνησομένους, τοῖς δὲ νῦν ἐντυγ« χάνουσι καὶ παρρησία. Τυχόντες γὰρ πρότερον ὑμῶν « οἵους ἠξίαντο πολλάκις, τὸ μὴ τὰς χάριτας ἀφαιρεῖ« σθαι δι' ὑμῶν αἰτοῦνται τῶν δεδωκότων, καὶ ταῦτα « εἰληφότες μὲν αὐτὰς παρὰ τούτων, οἷς μόνοις διδόναι « δύναμις, ἀφαιρούμενοι δ' ὑπ' οὐδενὸς κρείττονος, « ἀλλ' οὓς ἴσον ἔχειν αὐτοῖς ἀρχομένους ὁμοίως ὑμῖν « ἴσασιν. Καίτοι γε εἰ μεγάλων ἠξιώθησαν, ἔπαινός « ἐστι τῶν τετυχηκότων, ὅτι τοσούτων παρέσχον αὐ« τοὺς ἀξίους· εἰ δὲ μικρῶν, αἰσχρὸν μὴ καὶ ταῦτα « βεβαιοῦν τοὺς δεδωκότας. Οἵ γε μὴν ἐμποδὼν ὄντες « καὶ πρὸς ἐπήρειαν χρώμενοι Ἰουδαίοις εὔδηλον ὡς « ἄμφω ἀδικοῦσι, τοὺς εἰληφότας, εἰ μὴ νομίζοιεν « ἀγαθοὺς οἷς οἱ κράτιστοι ἐμαρτύρησαν ἐν τῷ καὶ « τοιαῦτα δεδωκέναι, καὶ τοὺς δεδωκότας, εἰ τὰς χά« ριτας αὐτῶν ἀβεβαίους ἀξιοῦσι γενέσθαι. Εἰ δέ τις

Agrippa illuc missus fuerat, minime placuit navibus uti ad revertendum, sed Paphlagoniam et Cappadociam pertranseuntes, ac deinde itinere pedestri in Phrygiam majorem profecti Ephesum pervenerunt, unde in Samum navibus trajecerunt. Et multa quidem per singulas civitates per Herodemdata sunt beneficia, prout supplicantibus opus erat. Namque ipse nihil prætermisit quod pecuniam largiendo aut amice recipiendo præstare potuit, sumptibus etiam de suo erogatis; pro nonnullis etiam qui desiderabant aliquid intercessit apud Agrippam, effecitque ut voti compotes fierent quicunque opem rogabant. Quum autem et ille esset benignus, animique magnifici ad largiendum quicquid petentibus prodesset, modo alios non læderet, non leve momentum erat et in rege ad incitandum Agrippam vel sponte currentem ad beneficentiam. Nam Iliensibus, quum eis irasceretur, hunc reconciliavit, et pro Chiis debitam Cæsaris procuratoribus pecuniam persolvit et a tributis eos liberavit, item aliis, quacunque in re singulis opus esset, adderat.

3. Tunc vero, quum in Ioniam venissent, magna Judæorum multitudo, qui urbes illas incolebant, ad Agrippam, occasione fiduciaque sumpta, se contulerunt: et apud eum de injuriis, quæ sibi fierent, expostulabant, ut qui suis uti legibus prohibeantur, et sacris diebus in jus vocentur magistratuum iniquitate, et pecuniis spolientur quas Hierosolyma mittere vellent, coganturque ad obeundam militiam et publica munera, et in ea sacras pecunias insumere, quibus semper soluti essent, quum ipsis Romani secundum patrias leges vivere permisissent. Hæc dum vociferantur, rogavit Herodes Agrippam ut illorum rationes audire vellet, allegavitque quendam suum amicum, nomine Nicolaum, qui Judæorum causam ageret. Quumque assessores sibi advocasset Agrippa Romanorum primores et qui aderant reges et principes, Nicolaus pro Judæis dicere aggressus est.

4. « Equidem omnibus, Agrippa potentissime, qui in an« gustiis sunt, necessitas est ad eos confugiendi, qui malis « ipsos levare possint; his vero, qui nunc supplices adsunt, « etiam fiducia est. Quum enim vos jam ante habue« rint quales multis votis expetiverunt, ne beneficia illis « eripiantur per vos postulant qui ea dedistis, præsertim « quum ea quidem ab istis acceperint, quibus unica erat « data potestas, eisdem vero privati sint non a superiori« bus, sed ab illis, quos sciunt æque ac ipsos vestro impe« rio subjectos esse: quanquam si magna assequuti fuerint, « id ipsis in laude ponendum, quod tantis sese dignos præ« stiterint; sin parva, turpe erit quod ea confirmare nolint « ii ipsi qui dederint. Minime enim dubium est quin isti, « qui Judæos impediunt et modis indignis tractant, utrisque « injurii sint, eis qui *beneficia* acceperint, si bonos esse « non existiment, quibus viri optimi tam præclare de illis « merendo testimonium tribuerunt, et illis qui ea dederint, « si gratiam illorum irritam fieri postulant. Si quis autem

« αὐτοὺς ἔροιτο δύο τούτων πότερον ἐθέλοιεν ἂν ἀφαι-
« ρεθῆναι, τὸ ζῆν, ἢ τὰ πάτρια ἔθη, τὰς πομπάς, τὰς
« θυσίας, τὰς ἑορτάς, ἃς τοῖς νομιζομένοις προσάγουσι
« θεοῖς, εὖ οἶδ' ὅτι πάντα μᾶλλον αἱρήσονται παθεῖν ἢ
« καταλῦσαί τι τῶν πατρίων. Καὶ γὰρ τοὺς πολέμους
« οἱ πολλοὶ διὰ ταῦτα αἴρουνται, φυλαττόμενοι τὸ μὴ
« παραβαίνειν αὐτὰ, καὶ τὴν εὐδαιμονίαν, ἣν νῦν τὸ
« σύμπαν τῶν ἀνθρώπων γένος δι' ὑμᾶς ἔχει, τούτῳ
« μετροῦμεν, τῷ ἐξεῖναι κατὰ χώραν ἑκάστοις τὰ οἰκεῖα
« τιμῶσιν ἄγειν καὶ διαζῆν. Τοῦτο μὲν οὖν ὃ οὐκ ἂν
« αὐτοὶ παθεῖν ἐθέλοιεν βιάζονται ὁρᾶν κατ' ἄλλων,
« ὥσπερ οὐχ ὁμοίως ἀσεβοῦντες εἴτε τῶν οἰκείων εἰς
« θεοὺς ὁσίων ἀμελοῖεν εἴτε τὰ οἰκεῖα τισιν ἀνοσίως κα-
« ταλύοιεν. Τὸ δ' ἕτερον ἤδη σκοπήσωμεν. Ἔστι τις δῆ-
« μος, ἢ πόλις, ἢ κοινὸν ἔθνος ἀνθρώπων, οἷς οὐ μέγιστον
« ἀγαθὸν πέφηνεν ἡ προστασία τῆς ὑμετέρας ἀρχῆς καὶ
« τὸ Ῥωμαϊκὸν κράτος; ἐθέλοι δ' ἄν τις ἀκύρους τὰς
« ἐντεῦθεν εἶναι χάριτας; Οὐδεὶς οὐδὲ μαινόμενος· οὐδὲ
« γὰρ εἰσὶν οἱ μὴ μετέχοντες αὐτῶν ἰδίᾳ καὶ κοινῇ.
« Καὶ μὴν οἱ τινὰ ὧν ὑμεῖς ἔδοτε παραιρούμενοι, βέ-
« βαιον οὐδ' αὐτοῖς οὐδὲν ὧν δι' ὑμᾶς ἔχουσιν ὑπολεί-
« πονται. Καίτοι τὰς μὲν τούτων χάριτας οὐδὲ με-
« τρῆσαι δυνατόν ἐστιν· εἰ γὰρ ἐκλογίσαιντο τὴν πάλαι
« βασιλείαν καὶ τὴν νῦν ἀρχήν, πολλῶν ὄντων ὅσα πρὸς
« εὐδαιμονίαν αὐτοῖς ἐπέδωκεν, ἔτι κατὰ πάντων ἀρκεῖ
« τὸ μηκέτι δούλους, ἀλλὰ ἐλευθέρους φαίνεσθαι. Τὰ
« δ' ἡμέτερα, καὶ λαμπρῶς πραττόντων, οὐκ ἔστιν ἐπί-
« φθονα. Δι' ὑμᾶς γὰρ καὶ μετὰ πάντων εὐτυχοῦμεν,
« καὶ τούτου μόνου μετέχειν ἠξιώσαμεν, ἀκωλύτως
« τὴν πάτριον εὐσέβειαν διαφυλάττειν, ὃ καὶ καθ' αὑτὸ
« δόξειεν οὐκ ἐπίφθονον καὶ πρὸς τῶν συγχωρούντων
« εἶναι· τὸ γὰρ θεῖον, εἰ χαίρει τιμώμενον, χαίρει
« τοῖς ἐπιτρέπουσι τιμᾶν. Ἐθῶν τε τῶν ἡμετέρων
« ἀπάνθρωπον μὲν οὐδέν ἐστιν, εὐσεβῆ δὲ πάντα καὶ τῇ
« σωζούσῃ δικαιοσύνῃ συγκαθωσιωμένα· καὶ οὔτ'
« ἀποκρυπτόμεθα τὰ παραγγέλματα οἷς χρώμεθα πρὸς
« τὸν βίον ὑπομνήμασι τῆς εὐσεβείας καὶ τῶν ἀνθρω-
« πίνων ἐπιτηδευμάτων, τήν τε ἑβδόμην τῶν ἡμερῶν
« ἀνίεμεν τῇ μαθήσει τῶν ἡμετέρων ἐθῶν καὶ νόμων,
« μελέτην ὥσπερ ἄλλου τινὸς καὶ τούτων ἀξιοῦντες εἶναι,
« δι' ὧν οὐχ ἁμαρτησόμεθα. Καλὰ μὲν οὖν, ἐὰν ἐξε-
« τάζῃ τις, καὶ καθ' αὑτὰ τὰ ἔθη, παλαιὰ δὲ ἡμῖν,
« κἂν μή τισι δοκῇ· ὥστ' αὐτῶν καὶ τὸ τοῦ χρόνου τι-
« μητὸν δυσαποδίδακτον εἶναι τοῖς ὁσίως παρειληφόσι
« καὶ διαφυλάττουσιν. Τούτων ἡμᾶς ἀφαιροῦνται κατ'
« ἐπήρειαν, χρήματα μὲν ἃ τῷ Θεῷ συμφέρομεν ἐπώ-
« νυμα διαρπάζοντες καὶ φανερῶς ἱεροσυλοῦντες, τέλη
« δὲ ἐπιτιθέντες, καὶ ταῖς ἑορταῖς ἄγοντες ἐπὶ δικαστή-
« ρια καὶ πραγματείας ἄλλας, οὐ κατὰ χρείαν τῶν
« συναλλαγμάτων, ἀλλὰ κατ' ἐπήρειαν τῆς θρησκείας,
« ἣν συνίσασιν ἡμῖν, μῖσος οὐ δίκαιον οὐδ' αὐτεξούσιον
« αὐτοῖς πεπονθότες. Ἡ γὰρ ὑμετέρα κατὰ πάντων
« ἀρχὴ γενομένη μία τὴν μὲν εὔνοιαν ἐνεργὸν, τὴν δὲ
« δύσνοιαν ἀργὸν ποιεῖ τοῖς τοιοῦτον ἀντ' ἐκείνου προ-

« eos interroget, utrum horum malint sibi eripi, vitam,
« an patrios ritus, pompas, sacrificia et festa, quæ diis
« suis rite adhibent, probe novi quod omnia potius perpe-
« tienda esse ducent quam ut aliquid ex institutis patriis
« imminui sinant. Quin et multi propter ista bella movent,
« summopere caventes ne quis ea transgrediatur : atque
« felicitatem, qua nunc universum hominum genus per
« vos fruitur, eo ipso metimur, quod per provincias singu-
« lis liceat sua solennia observare, moreque suo vivere. Et
« hoc quidem, quod illi ipsi ægre ferrent, contra alios facere
« vi conantur, quasi non æque nefarie agant, sive suam in
« deos pietatem negligant, sive aliis contra jus fasque sacra
« sua adimi velint. Alterum vero jam consideremus. Nun-
« quid populus est, aut civitas, aut hominum natio, cui
« non maximum bonorum visum est imperii vestri patro-
« cinium, et populi Romani potestas? estne ullus qui
« vestra beneficia irrita esse desideret? Nemo certe, nisi
« mentis inops : neque enim reperiuntur qui illorum
« publice privatimque participes non fuerunt. Atqui ve-
« stro quicunque munere concessa alii auferre volunt, nihil
« sibimet, ex iis quæ vobis accepta debent, firmum et
« incolume relinquunt : quanquam ea ejusmodi sint bene-
« ficia quæ ex dignitate ne æstimari quidem possint. Nam
« si regnorum quæ olim fuerint præsentisque imperii ratio-
« nem habent, inter multa ab eo ad felicitatem illis suppedi-
« tata etiam hoc instar omnium agnoscendum est, quod
« non amplius servi, sed liberi videantur. Nostræ autem
« res, licet præclare nobiscum agatur, non ita comparatæ
« sunt ut invidiam nobis pariant. Per vos enim factum est
« ut una cum omnibus vitam feliciter degamus, et hoc so-
« lum cum aliis commune habere postulavimus, ut sine
« impedimento nobis liceat patriam pietatem colere; id
« quod et in se videatur haud invidendum, et e re illorum
« esse qui concesserint : nam si Deus honore delectetur,
« illis etiam delectatur qui permittunt ut honore afficiatur.
« Porro nostris in institutis nihil ab humanitate alienum,
« sed pietati omnia consentanea, et cum justitia salutari
« conjuncta : neque enim præcepta occultamus, quibus
« ad vitam instituendam utimur ut pietatis monumentis
« nostræque inter homines professionis; septimum etiam
« diem addicimus institutis nostris et legibus perdiscendis,
« volentes ut hisce, æque ac aliis quibuscunque, meditan-
« dis incumbamus, quibus obtemperando peccata vitabi-
« mus. Et pulcra quidem, si cui lubet ea discutere, etiam
« per se sunt illa morum præcepta, nobis vero etiam anti-
« qua, licet nonnullis haud ita videantur : adeo ut a ve-
« tustatis illorum honore ægre discessuri sint qui pia mente
« ea acceperunt et observant. Ista nobis vi et injuria aufe-
« runt : immo et pecuniam, quam Deo dicandam colligi-
« mus, sacrilege diripiunt, et tributa a nobis exigunt, et
« festis diebus in judicia nos vocant atque ad alia negotia
« obeunda, quibus non opus esset ex rerum contractarum
« fide, sed ut religionem nostram injuria afficiant, quam
« nobiscum noverunt, ut qui odio in nos præter jus et fas
« omne flagrent. Nam quum vestrum in universos impe-
« rium unum sit, ita comparatum est ut benevolentiam

« αιρουμένοις. Ταῦτ' οὖν ἀξιοῦμεν, ὦ μέγιστε Ἀγρίπ-
« πα, μὴ κακῶς πάσχειν, μηδὲ ἐπηρεάζεσθαι, μηδὲ
« κωλύεσθαι τοῖς ἔθεσι χρῆσθαι τοῖς ἡμετέροις, μηδ'
« ἀφαιρεῖσθαι τῶν ὄντων, μηδ' ἃ μὴ βιαζόμεθα τούτους,
« ὑπὸ τούτων βιάζεσθαι. Καὶ γὰρ οὐ δίκαια μόνον
« ἐστὶν, ἀλλὰ καὶ ὑφ' ὑμῶν δεδομένα πρότερόν ἐστι.
« Καὶ δυνάμεθα καὶ πολλὰ δόγματα τῆς συγκλήτου
« καὶ τὰς ἐν τῷ Καπετωλίῳ κειμένας δέλτους ὑπὲρ
« τούτων ἀναγινώσκειν, ἃ δῆλον μὲν ὡς μετὰ πεῖραν
« τῆς ἡμετέρας εἰς ὑμᾶς πίστεως ἐδόθη, κύρια δὲ ἂν
« εἰ μηδενὸς ὑπάρξαντος ἐχαρίσασθε. Σχεδὸν γὰρ οὐ
« μόνοις ἡμῖν, ἀλλὰ πᾶσιν ἀνθρώποις τὰ μὲν ὄντα
« ἐφυλάξασθε, μείζω δὲ τῶν ἐλπισθέντων προσθέντες
« εὐεργετεῖτε τῷ κρατεῖν· καὶ δύναιτ' ἄν τις ἐπεξιὼν
« τὰς ἑκάστων εὐτυχίας, ἃς δι' ὑμῶν ἔχουσιν, ἀπερί-
« ληπτον ποιῆσαι τὸν λόγον. Ἵνα μέντοι καὶ δικαίως
« ἁπάντων αὐτῶν τυγχάνοντας ἑαυτοὺς ἐπιδείξωμεν,
« ἀρκεῖ πρὸς παρρησίαν ἡμῖν, τὰ πρότερον σιωπήσα-
« σιν, τὸν βασιλεύοντα νῦν ἡμῶν καὶ σοὶ παρακαθεζό-
« μενον εἰπεῖν. Ποία μὲν εὔνοια πρὸς τὸν ὑμέτερον
« οἶκον παραλέλειπται, ποία δὲ πίστις ἐνδεής ἐστιν;
« τίς δὲ οὐ νενόηται τιμή; ποία δὲ χρεία μὴ εἰς πρῶτον
« ὁρᾷ; Τί δὴ κωλύει καὶ τὰς ὑμετέρας χάριτας τῶν εἰς
« τοσοῦτον εὐεργεσιῶν ἀριθμὸν εἶναι; Καλὸν δ' ἴσως
« μηδὲ τὴν τοῦ πατρὸς Ἀντιπάτρου παραλιπεῖν ἀν-
« δραγαθίαν ἀμνημόνευτον, ὃς, εἰς Αἴγυπτον εἰσβεβλη-
« κότος Καίσαρος, δισχιλίοις ὁπλίταις βοηθήσας, οὐτ'
« ἐν τοῖς κατὰ γῆν ἀγῶσιν οὐθ' ὅτε νεῶν ἔδει δεύτερος
« ἐζητάζετο. Καὶ τί δεῖ λέγειν ὅσην ἐκεῖνοι παρέσχον
« ῥοπὴν τῷ τότε καιρῷ, καὶ πόσων καὶ τίνων δωρεῶν
« ὑπὸ Καίσαρος ἠξιώθησαν; ἄνωθεν δέον ἀναμνῆσαι
« τῶν ἐπιστολῶν, ἃς ἔγραψε τότε Καῖσαρ τῇ συγκλήτῳ,
« καὶ ὡς δημοσίᾳ τιμὰς καὶ πολιτείαν ἔλαβεν Ἀντίπα-
τρος. Ἀρκέσει γὰρ ταῦτα τὰ τεκμήρια τοῦ καὶ τὰς
« χάριτας ἡμᾶς κατ' ἀξίαν ἔχειν καὶ παρὰ σοῦ τὸ βέβαιον
« αὐτῶν αἰτεῖν, παρ' οὗ καὶ πρότερον μὴ δοθείσας ἦν
« ἐλπίσαι, τὴν τοῦ βασιλέως πρὸς ὑμᾶς διάθεσιν καὶ
« τὴν ὑμετέραν πρὸς αὐτὸν ὁρῶσιν. Ἀπήγγελται δὲ
« ἡμῖν ὑπὸ τῶν ἐκεῖ Ἰουδαίων ὡς μὲν ἐπέβης τῆς χώ-
« ρας εὐμενὴς, ὡς δὲ ἀπέδωκας τῷ Θεῷ τέλεια θύ-
« ματα, τιμῶν αὐτὸν ἐπὶ τελείαις εὐχαῖς, ὡς δὲ τὸν
« δῆμον εἱστίασας καὶ τὰ παρ' αὐτοῦ ἐκείνου ξένια
« προσήκω. Ταῦτα γὰρ πάντα καὶ ἐν ἔθνει καὶ πόλει
« πρὸς ἄνδρα τοσούτων ἐπιστατοῦντα πραγμάτων
« δεξιώματα καὶ σύμβολα φιλίας χρὴ δοκεῖν, ἣν ἀπέ-
« δωκας τῷ Ἰουδαίων ἔθνει, τῆς Ἡρώδου προξενούσης
« αὐτὴν ἑστίας. Τούτων ὑπομιμνήσκοντές σε καὶ
« αὐτοῦ τοῦ παρόντος καὶ συγκαθεζομένου βασιλέως
« ἠξιώκαμεν περιττὸν οὐδέν, ἃ δ' αὐτοὶ δεδώκατε,
« ταῦθ' ὑπ' ἄλλων μὴ περιιδεῖν ἀφαιρουμένους. »

ε'. Τοιαῦτα δὲ τοῦ Νικολάου διελθόντος, ἐγένετο μὲν οὐδεμία τῶν Ἑλλήνων ἀντικατάστασις· οὐδὲ γὰρ ὡς ἐν δικαστηρίῳ περὶ τῶν προκειμένων διελάμβανον, ἀλλ' ἦν ἔντευξις ὧν ἐβιάζοντο. Κἀκείνων ἀπολογία μὲν

« alat odioque obsistat, si qui huic potius quam illi stu-
« deant. Ista itaque te rogamus, Agrippa potentissime, ne
« quid mali patiamur, neque injuriose tractemur, neque
« institutis nostris uti prohibeamur, neque fortunis nostris
« spoliemur, neque illorum vi opprimamur in iis rebus in
« quibus nos vim illis nullam adhibemus. Nam et ista non
« solum æqua et justa sunt, sed et antea vestro beneficio
« concessa. Ac possumus et multa de iisdem senatuscon-
« sulta, et tabulas in Capitolio positas recitare, quibus sane,
« fide nostra perspecta, nosmet ornastis, sacrosanctis alio-
« qui futuris, etiamsi gratiam vestram nostra non præces-
« sissent merita. Nam non solum nobis, sed et omni-
« bus mortalibus sua conservastis, multisque præter opi-
« nionem in majus auctis vincendo benefacitis, adeo ut
« in immensum dicendi campum excurreret, qui singulo-
« rum res prosperas, quas vobis acceptas referunt, nume-
« rando percenseret. Verum ut nosmet istis omnibus, quæ
« in nos contulistis, non indignos fuisse ostendamus, suffi-
« ciat nobis ad confidentiam, priora omnia si tacuerimus, de
« eo, qui jam regno potitur tibique assidet, dicere. Quod
« enim ille benevolentiæ genus vestræ familiæ non præsti-
« tit? qua in re fides ejus desiderata? quemnam erga vos
« honorem non excogitavit? ad quam necessitatem non
« primus adfuit? Quid igitur vetat quominus vestra bene-
« ficia tantis ejus in vos meritis respondeant? Forsan et
« par est ut patris ejus Antipatri fortitudinem silentio non
« prætereamus, qui, expeditione in Ægyptum facta a Cæ-
« sare, cum duobus armatorum millibus suppetias tulit,
« et tam terrestribus quam navalibus præliis nemini cedere
« compertus est. Et quid opus est dicere, quantum illi eo
« tempore rebus ejus momentum attulerint, et quantis et
« qualibus muneribus a Cæsare donati fuerint? quum antea
« debuerim literarum mentionem fecisse, quas tunc Cæsar
« senatui scripsit, et quomodo a populo honores et jus
« civitatis obtinuerit Antipater. Hæc enim satis indicant
« nos non immerito vestra consequutos esse beneficia, nec
« *sine ratione* petere ut ea nobis confirmes, quæ, si
« prius data non fuissent, a te sperare nobis licuisset,
« spectantibus regis erga vos animum, vestrumque in illum.
« Quin et nunciatum est a Judææ incolis, quam amice et
« benevole provinciam ingressus sis, utque Deo justa sacri-
« ficia obtuleris, et votis rite factis illum honoraris, utque
« populum epulis adhibueris, ejusque non dedignatus sis
« hospitalia munera. Atque hæc omnia, quibus vir in tanta
« dignitate constitutus a gente et urbe exceptus fuit, pro
« argumentis haberi debent amicitiæ inter te et Judæorum
« gentem sancitæ, Herodis domo eam conciliante. Horum
« te admonentes, regisque, qui jam præsto est tibique as-
« sidet, nihil præterea postulamus quam ut ea, quibus nos
« impertiri voluistis, aliorum vi et injuria nobis eripi non
« patiamini. »

5. Quum ejusmodi orationem Nicolaus habuisset, Græci quidem nullatenus intercesserunt: non enim ut in judicio de rebus istis litigabatur, sed supplicatio erat contra vim. Nec illi quidem omnino infitiabantur se ista fecisse, sed eo

οὐδεμία τοῦ μὴ ταῦτα ποιεῖν, πρόφασις δὲ ὡς τὴν χώραν αὐτῶν νεμόμενοι πάντα νῦν ἀδικοῖεν. Οἱ δὲ ἐγγενεῖς τε αὐτοὺς ἐδείκνυσαν, κἀν τῷ τὰ οἰκεῖα τιμᾶν μηδὲν λυποῦντες οἰκεῖν. (Ε΄.) Συνιδὼν οὖν Ἀγρίππας βιαζομένους ἀπεκρίνατο ταῦτα· « διὰ μὲν τὴν Ἡρώδου πρὸς αὐτὸν εὔνοιάν τε καὶ φιλίαν ἕτοιμος εἶναι πᾶν ὁτιοῦν χαρίζεσθαι Ἰουδαίοις, καὶ καθ' αὑτὰ δὲ δίκαια δοκεῖν· ὥστ' εἰ μὲν ἐδέοντο καὶ πλειόνων, οὐκ ἂν ὀκνῆσαι τά γε μὴ λυποῦντα τὴν Ῥωμαίων ἀρχὴν παρασχεῖν· ἐπεὶ δὲ ἃ καὶ πρῶτον εἰλήφασιν, ἄκυρα μὴ γενέσθαι ἀξιοῦσιν, βεβαιοῦν αὐτοῖς ἀνεπηρεάστους ἐν τοῖς οἰκείοις διατελεῖν ἔθεσι. » Τοιαῦτα εἰπὼν διέλυσε τὸν σύλλογον. Ἡρώδης δὲ προσεστὼς κατησπάζετο καὶ τῆς πρὸς αὐτὸν διαθέσεως ὡμολόγει χάριν. Ὁ δὲ καὶ εἰς ταῦτα φιλοφρονούμενος ἴσον αὑτὸν παρεῖχεν ἀντεμπλεκόμενος καὶ κατασπαζόμενος. Καὶ τότε μὲν ἀνεχώρησεν ἀπὸ Λέσβου. Πλεῖν δ' ὁ βασιλεὺς ἐπ' οἶκου διέγνω, καὶ τὸν Ἀγρίππαν παραιτησάμενος ἀνήχθη· κατάγεται δὲ εἰς Καισάρειαν οὐ πολλαῖς ὕστερον ἡμέραις, πνευμάτων ἐπιτηδείων τυχών. Κἀκεῖθεν ἐλθὼν εἰς Ἱεροσόλυμα συνήγαγεν ἐκκλησίαν πάνδημον· ἦν δὲ πολὺς κἀκ τῆς χώρας ὄχλος. Ὁ δὲ παρελθὼν ἀπολογισμόν τε τῆς ὅλης ἀποδημίας ἐποιήσατο καὶ τὰ περὶ τοὺς Ἰουδαίους, ὅσοι κατὰ τὴν Ἀσίαν ἦσαν, ὡς δι' αὐτὸν ἀνεπηρέαστοι εἰς τὸ λοιπὸν ἔξουσιν. Διηγήσατό τε σύμπαν ἐπὶ ταῖς εὐτυχίαις, καὶ τῇ διοικήσει τῆς ἀρχῆς, ὡς οὐδὲν παραλίποι τῶν ἐκείνοις συμφερόντων, ἀγαλλόμενός τε τὸ τέταρτον τῶν φόρων ἀφίησιν αὐτοῖς τοῦ παρεληλυθότος ἔτους. Οἱ δὲ καὶ τῇ χάριτι καὶ τῷ λόγῳ δεδημαγωγημένοι μετὰ πλείστης ἀπῆσαν χαρᾶς, πολλὰ ἀγαθὰ συνευχόμενοι τῷ βασιλεῖ.

ΚΕΦ. Ι΄.

Προὔβαινε δὲ ἀεὶ τὰ κατὰ τὴν στάσιν τῆς οἰκίας καὶ χαλεπωτέραν ἐλάμβανε τὴν ἐπίδοσιν, ἀντιμεταλαβούσης μὲν ὥσπερ ἐκ κληρονομίας τὸ κατὰ τῶν νεανίσκων μῖσος τῆς Σαλώμης, καὶ πᾶν ὅσον ηὐδοκιμήκει κατὰ τῆς μητρὸς αὐτῶν εἰς ἀπόνοιαν καὶ θράσος λαμβανούσης, μηδένα τῶν ἐξ ἐκείνης καταλιπεῖν, ὃς δυνήσεται τιμωρῆσαι τῷ θανάτῳ τῆς ἀνηρημένης· ἐχόντων δέ τι καὶ τῶν νεανίσκων θρασὺ καὶ δύσνουν εἰς τὸν γεγεννηκότα μνήμη τε τῆς μητρὸς οἷα πάθοι παρὰ τὴν ἀξίαν καὶ τῇ τοῦ κρατεῖν ἐπιθυμίᾳ. Πάλιν τε τὸ κακὸν ὅμοιον ἐγεγόνει τοῖς πρώτοις, βλασφημίαι μὲν ἐξ ἐκείνων εἰς τε τὴν Σαλώμην καὶ τὸν Φερώραν, κακοήθειαι δὲ τούτων εἰς τὰ μειράκια καὶ μετὰ πραγματείας ἐπιβουλή. Τὸ μὲν γὰρ μῖσος ἴσον ἦν ἐξ ἀλλήλων, ὁ δὲ τρόπος τοῦ μισεῖν οὐχ ὅμοιος, ἀλλ' οἱ μὲν ἐν τῷ φανερῷ λοιδορηθῆναι καὶ προσονειδίσαι προπετεῖς, εὐγενὲς ὑπὸ τῆς ἀπειρίας οἰόμενοι τὸ τῆς ὀργῆς ἀνυπόστολον, οἱ δ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλὰ πραγματικῶς καὶ κακοήθως ἐχρῶντο ταῖς διαβολαῖς, προσέλκοντες ἀεὶ τὰ μειράκια, καὶ τὸ θρασὺ καταλογιζόμενοι βίαιον ἔσεσθαι πρὸς τὸν γεγεννηκότα. Τὸ γὰρ οὐκ αἰδεῖσθαι

se tegebant, quod dicerent Judæos ipsorum finibus uti, et in eo nunc injurios esse. Illi vero indigenas se esse demonstrarunt, quodque leges suas haberent in pretio, in eo illis injuriam non facere. (V.) Quamobrem Agrippa, intellecto quod vim paterentur, sic respondit, « se quidem propter Herodis in ipsum benevolentiam et amicitiam paratum esse Judæis postulata concedere, eaque etiam per se justa existimare : adeo ut si plura etiam petiissent, non gravaretur ea illis largiri, dummodo sine incommodo fieret imperii Romani. Quoniam vero postulent ut quæ prius acceperint rata maneant, se confirmatum dare, ut nemo illis injuriam faciat instituta sua observare perseverantibus ». Talia quum dixisset, concionem dimisit. Atque Herodes coram stans ipsum salutabat, et quod ita in ipsos affectus esset gratias agebat. Ille vero hisce delectatus paria referebat, illum in suos complexus accipiens salutansque. Et tunc quidem a Lesbo discessit. Rex autem mari domum reverti statuit, atque ubi Agrippæ valedixerat avectus est; nec multis post diebus Cæsaream appulit, vento usus secundo. Indeque Hierosolyma profectus convocavit omnem populum; ingens autem erat etiam ex agris multitudo. Atque in mediam concionem progressus, eis totius itineris sui rationem exposuit, seque Judæis in Asia perfecisse, ut deinceps sua jura quiete retenturi essent. Etiam de rebus suis prosperis regnique administratione plenam narrationem fecit, ut in omnibus utilitatis eorum studiosus fuerit, atque lætitia elatus, quartam superioris anni vectigalium partem eis condonavit. Illi vero et gratia et oratione mirifice capti vehementer lætati discesserunt, bona multa regi optantes.

CAP. III. (VI.)

Gliscebat autem in dies domesticum dissidium, crescendoque in deterius vergebat, dum Salome quasi jure hereditario in adolescentes odium exercebat, atque ex iis quæ bene cesserant contra matrem eo temeritatis et audaciæ efferebatur, ut neminem relinquere e natis conaretur, qui occisæ mortem ulcisci posset : atque adolescentes econtra feroces et in patrem malevoli fiebant, tum recordatione injuriæ matri illatæ, tum regnandi cupidine. Iterumque malum erat quale prius, quod et adolescentes Salomæ et Pheroræ libere et aperte maledicebant, atque illi malitiosi erant in adolescentes, eisque callide insidias struebant. Nam odium quidem utrinque par erat, modus vero illud exercendi dissimilis, dum hi quidem palam conviciarentur et temere probra jacerent, præ rerum imperitia animi ingenui esse existimantes iram non dissimulare ; illi vero, alia via aggredientes, calumniis callide et improbe confictis utebantur, juvenes ex omni occasione provocantes, reputantesque audaciam illorum versum iri in vim contra genitorem. Nam,

ταῖς τῆς μητρὸς ἁμαρτίαις, οὐδ' οἴεσθαι δίκαια παθεῖν ἐκείνην, ἄσχετον εἶναι πρὸς τὸ μὴ τὸν αἴτιον δοκοῦντα τιμωρήσασθαι καὶ δι' αὐτοχειρίας. Τέλος οὖν ἀνεπλήσθη πᾶσα ἡ πόλις τῶν τοιούτων λόγων, καὶ καθάπερ ἐν τοῖς ἀγωνίσμασιν, ἠλεεῖτο μὲν ἡ τῶν μειρακίων ἀπειρία, κατίσχυε δ' ἡ τῆς Σαλώμης ἐπιμέλεια, καὶ παρ' αὐτῶν ἐκείνων τὰς ἀφορμὰς τοῦ μὴ ψευδῆ λέγειν ἐλάμβανεν. Οἱ γὰρ οὕτως ἀχθόμενοι τῷ θανάτῳ τῆς μητρὸς, ἐπειδὴ κἀκείνην καὶ σφᾶς αὐτοὺς κακῶς ἔλεγον, ἐφιλονείκουν ἐλεεινὴν μὲν, ὥσπερ ἦν, ἀποφαίνειν τὴν καταστροφὴν τῆς μητρὸς, ἐλεεινοὺς δὲ αὑτοὺς, οἳ τῆς ἐκείνης φονεῦσιν ἀναγκάζονται συζῆν καὶ τῶν αὐτῶν μεταλαμβάνειν.

β'. Ταῦτα προῆει μειζόνως, καιρὸν ἐχούσης τῆς στάσεως ἐν ἀποδημίᾳ τοῦ βασιλέως. Ὡς δ' ἐπανῆλθεν Ἡρώδης καὶ τῷ πλήθει διελέξατο, καθὼς προειρήκαμεν, προσέπιπτον εὐθὺς οἱ λόγοι παρά τε τοῦ Φερώρα καὶ τῆς Σαλώμης, μέγαν αὐτῷ τὸν κίνδυνον εἶναι τὸν παρὰ τῶν νεανίσκων, ἀναφανδὸν διαπειλουμένων ὡς οὐκ ἀνέξονται μὴ τισάμενοι τῆς μητρὸς τὸν φόνον. Προσετίθεσαν δ' ἔτι καὶ ὡς ταῖς παρ' Ἀρχελάου τοῦ Καππαδοκος ἐλπίσιν ἐπανέχοιεν ὡς δι' ἐκείνου πρός τε Καίσαρα ἀφιξόμενοι καὶ κατηγορήσοντες τοῦ πατρός. Ἡρώδης δὲ τετάρακτο μὲν εὐθὺς ἀκούσας τοιούτων, ἐξεπέπληκτο δὲ μᾶλλον ὅτι καὶ τῶν ἄλλων τινὲς ἀπήγγελλον. Ἀνέκαμπτε δὲ τῇ συμφορᾷ τά τε πρῶτα καταλογιζόμενος, ὡς οὔτε τῶν φιλτάτων οὔτε τῆς στεργομένης αὐτῷ γυναικὸς ὤνατο διὰ τὰς ἐγγινομένας ταραχὰς κατὰ τὴν οἰκίαν, τό τε μέλλον τοῦ προσπεπτωκότος ἤδη βαρύτερον καὶ μεῖζον ἔσεσθαι ὑπολαμβάνων ἐν συγχύσει τῆς ψυχῆς ἦν. Τῷ γὰρ ὄντι πλεῖστα μὲν τῶν ἔξωθεν καὶ παρ' ἐλπίδας εἰς εὐτυχίαν αὐτῷ τὸ δαιμόνιον προσετίθει, μέγιστα δὲ τῶν οἴκοι καὶ μηδὲ προσδοκώμενα δυστυχεῖν αὐτῷ συνέβαινεν, ἑκατέρου προϊόντος, ὡς οὐκ ἄν τις ᾠήθη, καὶ παρέχοντος ἀμφήριστον τὴν ὑπερβολὴν, εἰ δέον τὴν τοσαύτην εὐτυχίαν τῶν ἔξωθεν πραγμάτων ἀλλάξαι τῶν οἴκοι κακῶν, ἢ τοιοῦτο μέγεθος τῶν περὶ τοὺς οἰκείους συμφορῶν διαφυγεῖν ἐν τῷ μηδὲ τὰ τῆς βασιλείας θαυμαζόμενα κεκτῆσθαι.

γ'. Ταρασσόμενος δὴ καὶ διακείμενος τὸν τρόπον τοῦτον, ἐπὶ καθαιρέσει τῶν μειρακίων ἕτερον αὐτῷ γενόμενον ἰδιωτεύοντι παῖδα προσήγετο, καὶ τοῦτον εὐδόκει τιμᾶν, (ἐκαλεῖτο δὲ Ἀντίπατρος,) οὐχ ὥσπερ ἐν ὑστέρῳ καὶ τελέως ἡττηθεὶς αὐτοῦ καὶ πάντ' εἰς ἐκεῖνον ἀναφέρων, οἰόμενος δὲ παραιρεῖσθαι τοῦ θράσους τοὺς ἐκ Μαριάμμης, καὶ μᾶλλον εἰς νουθεσίαν τὴν ἐκείνων οἰκονομῶν αὐτό· τὸ γὰρ αὔθαδες οὐκ ἂν εἴη παρ' αὐτοῖς, εἰ τοῦτο πεισθεῖεν, ὅτι μὴ μόνοις μηδὲ ἐξ ἀνάγκης ἡ διαδοχὴ τῆς βασιλείας ὀφείλεται. Διὸ καὶ καθάπερ ἔφεδρόν τινα τὸν Ἀντίπατρον εἰσήγαγεν, οἰόμενος ὀρθῶς προνοεῖν, καὶ κατασταλέντων τῶν μειρακίων ἐξεῖναι εὐκαίρως χρῆσθαι βελτίοσιν. Τὸ δ' οὐχ ὥσπερ ἐνόησεν ἀπέβη. Τοῖς τε γὰρ παισὶν οὐ μετρίως ἐδόκει κεχρῆσθαι τῇ πρὸς αὐτοὺς ἐπηρείᾳ, καὶ δεινὸς ὢν τὸν

quum matris criminum eos non puderet, neque eam jure occisam esse putarent, fieri non posse colligebant quin eum ultum irent suis etiam manibus, quem cædis auctorem esse arbitrarentur. Tandem itaque factum est ut urbs hujusmodi sermonibus plena fuerit, et, ut fit in certaminibus, juvenum quidem imperitiæ misertum est, prævalebat autem Salomes cura et diligentia; atque ab illis ipsis occasionem captabat ad dicendum quod verisimile erat. Illi enim ægre adeo ferentes matris occasum, quoniam et illi et ipsis maledicebatur, studiose agebant ut miserabilis, sicuti revera erat, videretur matris interitus, ipsique etiam miserandi, qui necesse haberent una cum parentis interfectoribus vivere, et eadem cum illis participare.

2. Ista in majus crescebant, quod absente rege major erat dissensionis occasio. Quum primum vero reversus est Herodes et cum populo, ut jam ante diximus, colloquutus est, statim sermones serebant Pheroras et Salome, magnum ipsi periculum imminere ab adolescentibus, qui ei aperte minarentur, non se matris necem inultam relicturos. Addebant et illud, eos sperare ab Archelao Cappadoce, fore ut ejus ope ad Cæsarem irent et patrem accusarent. His sermonibus auditis statim turbatus est Herodes, eoque magis perculsus est, quod eadem ab aliis quoque nonnullis accipiebat. Atque ex hac calamitate ei in memoriam et cogitationem veniebant quæ prius acciderant, quod propter dissidia inter domesticos orta nec carissimis sibi nec conjuge dilectissima frui potuerit, atque futura præteritis graviora et majora fore suspicans, plane confusus erat animo. Nam revera foris quidem pleraque, etiam magis quam speraret, ad voluntatem fluebant, Dei beneficio: fiebat autem ut quæ maxima essent domi, etiam præter exspectationem, male ei cederent, rebus utrinque aliter quam opinio tulerit evenientibus, et incertum reddentibus utrum præstabilius fuisset, res foris quam felicissime gessisse ac deinde malis domi implicari, an calamitates adeo magnas inter domesticos effugisse, regnum detrectando et quæ homines in eo mirari solent.

3. Turbatus itaque et in hunc modum afflictus, ut pueros deprimeret, alterum filium, sibi natum quum adhuc privatus esset, (vocabatur autem Antipater,) accersivit, et illum in honore habere statuit; non sicut postea quum ab eo plane victus esset et ad eum omnia referret, sed eo animo ut audaciam filiorum Mariamnes coerceret, magisque ut eos admoneret rem ita constituens: eo enim minus sibi arrogaturos, si persuasum ipsis esset regni successionem neque solis sibi neque necessario deberi. Hac de causa Antipatrum, quasi æmulum, ad se domum recepit, putans se bene ac sapienter rebus suis providere, atque, repressa juvenum ferocia, fore ut liceat opportuno tempore eos meliores habere. Verum longe aliter evenit ac putarat. Nam et pueri

τρόπον Ἀντίπατρος, ἐπειδὴ παρρησίας τινὸς ἐκ τῆς οὐ πρότερον οὔσης ἐλπίδος ἀντεποιήσατο, μίαν ἔσχεν ὑπόθεσιν, κακοῦν τοὺς ἀδελφοὺς, καὶ μὴ παραχωρεῖν τῶν πρωτείων, ἀλλ' ἔχεσθαι τοῦ πατρός, ἤδη μὲν ἠλλοτριωμένου ταῖς διαβολαῖς, εὐμεταχειρίστου δ' ὄντος εἰς ὅπερ ἐσπουδάκει πολὺ χαλεπώτερον ἀεὶ γενέσθαι τοῖς διαβεβλημένοις. Ἦσαν οὖν οὗτοι παρ' αὐτοῦ μόνου οἱ λόγοι, φυλαττομένου δι' αὐτοῦ δόξαι τὰ τοιαῦτα καταμηνύειν, ἀλλὰ μᾶλλον ἐχρῆτο συνεργοῖς τοῖς ἀνυπόπτοις καὶ διὰ τὴν εὔνοιαν τὴν πρὸς τὸν βασιλέα πιστευθησομένοις αὐτὸ ποιεῖν. Ἤδη δὲ πλείους ἐγεγόνεισαν οἱ κἀκεῖνον ἐφ' οἷς ἠλπίκει θεραπεύοντες καὶ τὸν Ἡρώδην ἐκ τοῦ δοκεῖν κατ' εὔνοιαν τὰ τοιαῦτα λέγειν ὑπαγόμενοι. Καὶ τούτων πολυπροσώπως καὶ πιστῶς ἀλλήλοις συναγωνιζομένων, ἔτι καὶ μᾶλλον αἱ παρὰ τῶν μειρακίων ἀφορμαὶ προσεγίνοντο. Καὶ γὰρ καὶ δάκρυα πολλάκις ἦν κατ' ἐπήρειαν ὧν ἠτιμάζοντο καὶ τῆς μητρὸς ἀνακλήσεις, καὶ τὸν πατέρα φανερῶς ἤδη πρὸς τοὺς φίλους οὐ δίκαιον ἐλέγχειν ἐπετήδευον. Ἅπερ ἅπαντα κακοήθως ὑπὸ τῶν περὶ τὸν Ἀντίπατρον καιροφυλακτούμενα καὶ μειζόνως πρὸς τὸν Ἡρώδην ἐξαγγελλόμενα προὔβαινεν οὐ μικρὰν ἀπεργαζόμενα τὴν τῆς οἰκίας στάσιν. Ἀχθόμενος γὰρ ὁ βασιλεὺς ταῖς διαβολαῖς, καὶ ταπεινῶσαι βουλόμενος τοὺς ἐκ τῆς Μαριάμμης, μείζονα ἀεὶ πρὸς τιμὴν Ἀντιπάτρῳ παρεῖχεν, καὶ τέλος ἡττηθεὶς ἐπεισήγαγεν τὴν ἐκείνου μητέρα· Καίσαρι δὲ πολλάκις γράφων ὑπὲρ αὐτοῦ καὶ ἰδίᾳ συνίστη σπουδαιότερον. Ἀγρίππα μὲν οὖν ἀνιόντι εἰς τὴν Ῥώμην, μετὰ τὴν διοίκησιν τῶν ἐπὶ τῆς Ἀσίας δεκαετῆ γεγενημένην, πλεύσας ἀπὸ τῆς Ἰουδαίας, καὶ συντυγχάνων μόνον τε τὸν Ἀντίπατρον ἐπηγάγετο καὶ παρέδωκεν εἰς Ῥώμην ἀνάγειν μετὰ πολλῶν δώρων, Καίσαρι φίλον ἐσόμενον· ὥστε ἤδη πάντα δοκεῖν ἐπ' ἐκείνῳ καὶ παρεῶσθαι παντάπασιν ἐκ τῆς ἀρχῆς τὰ μειράκια.

ΚΕΦ. Δ'.

Πρὸς μὲν οὖν τιμὴν καὶ τὸ πρῶτον εἶναι δοκεῖν Ἀντιπάτρῳ προὐχώρει τὰ κατὰ τὴν ἀποδημίαν· καὶ γὰρ ἐν τῇ Ῥώμῃ, πᾶσιν ἐπεσταλκότος Ἡρώδου τοῖς φίλοις, διάσημος ἦν. Ἤχθετο δὲ τῷ μὴ παρεῖναι μηδὲ ἔχειν ἐξ εὐκαίρου διαβάλλειν ἀεὶ τοὺς ἀδελφοὺς, καὶ μᾶλλον ἐδεδοίκει μεταβολὴν τοῦ πατρὸς, εἴ τι καὶ καθ' αὑτὸν ἀξιώσειεν ἐπιεικέστερον εἰς τοὺς ἐκ τῆς Μαριάμμης φρονεῖν. Ταῦτα δὲ δι' ἐννοίας ἔχων οὐκ ἀφίστατο τῆς ἑαυτοῦ προαιρέσεως, ἀλλὰ κἀκεῖθεν, ὅτε ἀνιάσειν τι καὶ παροξύνειν ἤλπιζεν τὸν πατέρα κατὰ τῶν ἀδελφῶν, συνεχῶς ἐπέστελλεν, πρόφασιν μὲν, ὡς ὑπεραγωνιῶν αὐτοῦ, τὸ δὲ ἀληθὲς, ἀφ' ἧς εἶχεν ἐν φύσει κακοηθείας, τὴν ἐλπίδα μεγάλην καθ' ἑαυτὴν οὖσαν ἐμπορευόμενος, ἕως εἰς τοῦτο προήγαγεν τὸν Ἡρώδην ὀργῆς καὶ δυσθυμίας, ὡς ἤδη μὲν ἔχειν δυσμενῶς τοῖς μειρακίοις· ἐν δὲ τῷ κατοχνεῖν εἰς τοιοῦτον ἐμβῆναι πάθος, ὡς μητ' ἀμελῶν μήτ' ἐκ προπετείας ἁμαρτάνοι, κρεῖττον ἡγήgravi se injuria affici interpretabantur, et Antipater, homo ingeniosus, postquam spiritus ei accesserat ex spe qua antea carnerat, id unum dabat operam ut fratres male tractaret et primum eis locum non cederet, sed patri adhæreret, qui jam ab illis alienatus erat per calumnias, et in id cui studuerat facile adduci potuit, ut in eos in dies magis magisque irritaretur, calumniis oneratos. Omnes itaque rumores ab illo solo disseminabantur, qui cavebat ne ipse videretur hujusmodi quid *ad patrem* deferre, sed in eam rem utebatur potius opera hominum, in quos nulla caderet suspicio, quique id ex sua in regem benevolentia facere crederentur. Jam vero multi Antipatrum propter ejus spem colebant, et hujusmodi sermonibus Herodi plane persuadebant, quod ex suo in illum amore profecti viderentur. Quumque hæc per multos inter sese fideles certatim agebantur, tum etiam ipsi adolescentes magnam ejus rei præbebant occasionem. Nam frequenter lacrimas ob contumeliam, qua afficerentur, emittebant et matrem appellabant: quin etiam aperte apud amicos patrem ut iniquum redarguere conabantur. Quæ omnia, pro ea qua erat malitia, opportune aucupatus Antipater, Herodi non sine additamento renunciabat: quibus factum est ut domestica his sensim deterior evaderet. Rex enim calumniis offensus, et Mariamnes filios deprimere volens, Antipatrum in dies novis augebat honoribus, adeo ut tandem victus ejus matrem domum asciverit; Cæsari etiam sæpe pro eo scribens, privatim hunc ei officiosissime commendabat. Quum Agrippa autem in eo esset ut Romam, post decem annos administratas Asiæ res, peteret, ab Judæa profectus *Herodes* ad illum navigavit, eique Antipatrum, quem unum secum duxerat, tradidit, Romam ducendum cum multis donis, ut fieret Cæsaris amicus: adeo ut jam omnia penes illum esse, adolescentes vero spe regni prorsus excidisse viderentur.

CAP. IV. (VII.)

Atque iste peregrinatio plurimum Antipatro profuit, tum ad honorem, tum ut *fratribus* prælatus videretur: quippe Romæ, quum de eo scripsisset Herodes ad omnes amicos suos, illustris fiebat. Ceterum ægre ferebat quod *patri* non adesset, neque commodam haberet occasionem fratribus perpetuo maledicendi; eoque magis veritus est ne pater mutaretur, si quid mitius de Mariamnes filiis sentire in animum induceret. Dum ista secum reputaret, a proposito suo non desistebat, sed et Roma, quoties sperabat se posse patrem contristare et irritare in fratres, assidue literas mittebat, magnam de eo sollicitudinem simulando, revera autem, qua erat ingenii malignitate, ex spe in se magna quæstum faciens, donec eo indignationis et ægritudinis Herodem perduxit, ut jam adolescentibus infensus esse cœperit. Dum vero pigratur talem induere affectum, ne quid negligenter aut temere committeret, visum est ei

σατο πλεύσας εἰς Ῥώμην, ἐκεῖ τῶν παίδων κατηγορεῖν παρὰ Καίσαρι, καὶ μηδὲν αὐτῷ τοιοῦτον ἐπιτρέπειν, ὃ καὶ διὰ μέγεθος τῆς ἀσεβείας ὕποπτον ἦν. Ὡς δὲ ἀνῆλθεν εἰς τὴν Ῥώμην, ἐγένετο μὲν μέχρι τῆς Ἀκυλητίας πόλεως Καίσαρι συντυχεῖν ἐπειγόμενος· ἐλθὼν δ' εἰς λόγους, καὶ καιρὸν αἰτησάμενος ἐπὶ μεγάλοις οἷς ἐδόκει δυστυχεῖν, παρεστήσατο μὲν τοὺς παῖδας, ἠτιᾶτο δὲ τῆς ἀπονοίας καὶ τῆς ἐπιχειρήσεως « ὡς ἐχθρῶς ἔχουσιν ἅπαντα τρόπον ἐσπουδακότες μισεῖν τὸν ἑαυτῶν πατέρα, ὥστε διαχειρίσασθαι αὐτὸν καὶ τὴν βασιλείαν ὠμοτάτῳ τρόπῳ παραλαβεῖν, ὃ δ' οὐδὲ θνήσκων ἐξ ἀνάγκης μᾶλλον ἢ κρίσει παραδοῦναι τῷ διαμείναντι πρὸς αὐτὸν εὐσεβεστέρῳ παρὰ Καίσαρος ἐξουσίαν ἔχοι. Τοῖς δ' οὐχ ὑπὲρ τῆς ἀρχῆς τὸ πλέον, ἀλλ' εἰ καὶ ταύτης στεροῖντο καὶ τοῦ ζῆν ἔλαττον λόγος, εἰ μόνον ἀποκτεῖναι τὸν πατέρα δυνηθεῖεν· οὕτως ἀγριόν τι καὶ μιαρὸν ἐντετηκέναι ταῖς ψυχαῖς αὐτῶν μῖσος. Καὶ ταύτην τὴν ἀτυχίαν αὐτὸς ἐκ μακροῦ φέρων ἀναγκασθῆναι νῦν ἐξηγεῖσθαι Καίσαρι, καὶ μιαίνειν αὐτοῦ τὰς ἀκοὰς τοιούτοις λόγοις. Καίτοι τί μὲν εἴησαν παθόντες ἐξ αὐτοῦ δυσχερές; ἐπὶ τίνι δὲ μέμφονται βαρὺν ὄντα; πῶς δ' οἴονται καὶ δίκαιον ἦν αὐτὸς ἐκτήσατο πολλοῖς χρόνοις καὶ κινδύνοις ἀρχήν, ταύτης οὐκ ἐᾶν κύριον εἶναι, κρατεῖν τε καὶ διδόναι τῷ κατ' ἀξίαν; ὡς τοῦτό γε μετὰ τῶν ἄλλων ἄθλων εὐσεβείας ἐκτίθεται τῷ μέλλοντι πρὸς τὸν ποτὲ γενήσεσθαι τοιούτῳ τὴν ἐπιμέλειαν, ἅτε καὶ τῆς ἀμοιβῆς τοσῆσδε οὔσης ἐπιτυγχάνειν. Ὅτι δὲ μηδὲ εὐσεβὲς αὐτοῖς ὑπὲρ τούτου πολυπραγμονεῖν, εὔδηλον· ὁ γὰρ ἀεί τι περὶ τῆς βασιλείας ἐνθυμούμενος, συγκαταλογίζεται τὸν θάνατον τοῦ γεγεννηκότος, μεθ' ὃν ἄλλως οὐκ ἔστι τὴν ἀρχὴν παραλαβεῖν. Αὐτὸς δ' ὅσα βασιλευομένοις καὶ βασιλέως παισὶν οὐχ ὑστέρησεν, μέχρι νῦν ἀποδιδοὺς, οὐ κόσμον, οὐχ ὑπηρεσίαν, οὐ τρυφὴν, ἀλλὰ καὶ γάμους τοὺς ἐπισημοτάτους παρεσχῆσθαι, τῷ μὲν ἐκ τῆς ἀδελφῆς, Ἀλεξάνδρῳ δὲ τὴν Ἀρχελάου τοῦ βασιλέως θυγατέρα συνοικίσας. Τὸ δὲ μέγιστον, οὐδὲ ἐπὶ τοιούτοις ἦν εἶχεν ἐξουσίαν ταύτῃ κατ' αὐτῶν χρησάμενος ἀγαγεῖν ἐπὶ τὸν κοινὸν εὐεργέτην Καίσαρα, καὶ παρελόμενον αὐτοῦ πᾶν ὅσον ἢ πατὴρ ἀσεβούμενος ἢ βασιλεὺς ἐπιβουλευόμενος δύναται, κρίσεως ἰσοτιμίᾳ παρεστακέναι· δεήσειν μέντοι μὴ παντάπασιν αὐτὸν ἀτιμώρητον γενέσθαι, μηδ' ἐν τοῖς μεγίστοις φόβοις καταζῆν, οὐδ' ἐκείνοις λυσιτελοῦντος ἐφ' οἷς ἐνεθυμήθησαν ὁρᾶν τὸν ἥλιον, εἰ νῦν διαφεύγοιεν, ἔργων μέγιστα τῶν ἀνθρωπίνων καὶ δράσαντας καὶ πεισομένους. »

β'. Ταῦτα μὲν Ἡρώδης ἐμπαθῶς ἠτιάσατο παρὰ Καίσαρι τοὺς αὐτοῦ παῖδας. Τῶν δὲ νεανίσκων ἤδη μὲν καὶ λέγοντος δάκρυα καὶ σύγχυσις ἦν, μᾶλλον δ' ἐπεὶ κατέπαυσεν Ἡρώδης τὸν λόγον. Τὸ μὲν γὰρ ἔξω τῆς τοιαύτης ἀσεβείας γενέσθαι, τὸν λόγον πιστὸν εἶδον ἐν τῷ συνειδότι, τὸ δ' ἐκ τοῦ πατρὸς ἐπιφέρεσθαι τὰς διαβολὰς, δυσαπολόγητον, ὥσπερ ἦν, ἤδεσαν, οὐκ εὐσχημονοῦντος οὐδὲ τοῦ κατὰ παρρησίαν λόγου τοῦ πρὸς

satius Romam navigare, ibique eos coram Cæsare accusare, nihilque sibi tale permittere, quod ex magnitudine impietatis suspicionem daret. Ac postquam Romam pervenit, progressus est ad urbem Aquileiam, Cæsarem convenire festinans. *Quum primum vero datum esset sermonem* cum eo habere, quumque orasset ut se de maximis, quibus implicari videbatur, incommodis audire vellet, filios coram adduxit, deque eorum indole deplorata querebatur, atque de nefario eorum conatu, « ut ipsi inimici infestique sint, qui modis omnibus id egerint ut suum in patrem odium ostenderent, eo usque ut ipsum perimere regnumque crudelissimo facinore sibimet arripere cogitent, *dum* ipse potestatem habeat a Cæsare regnum relinquendi, quum moreretur, non ex necessitate, sed judicio, filio isti qui in maxima erga se pietate perseverarit. Illis vero non tam magni imperium quam, si illo priventur, parvi penditur vita, dummodo patrem possint interficere : adeo immane et fœdum illorum animis penitus insedit et inveteravit odium. Eamque calamitatem diu toleratam nunc se coactum esse Cæsari aperire, et aures ejus hujusmodi sermonibus *offendere*. Atqui, *quid ab eo durius perpessi sint?* aut qua in re se ipsis gravem et asperum querantur? Quomodo justum et æquum esse putant, ut quem ipse principatum longo tempore per multa pericula quæsisset, ejus non sinant esse dominum, eoque potiri, et optime merenti dare? nam hoc cum aliis pietatis præmiis proponitur ei cui in animo est præcedentem diligentia æquare, utpote qui speret talem sibi gratiam relatum iri. Quod vero nefas sit illis hac de re satagere, *manifestum*. *Nam qui semper regnum in animo* habet, simul cogitat de patris interitu, quum non nisi post illum assequuturus sit regnum. Ipse vero quænam illis, ut in regio imperio viventibus regiisque liberis, hactenus non largiendo deesse passus sit? non ornamenta, non ministerium, non delicias; immo et conjugia illis honoratissima procurasse, alteri suæ sororis, Alexandro vero Archelai regis filia collocata. Et quod maximum est, ne post talia quidem *ausa sua se potestate in eos usum*, *sed ad communem* benefactorem Cæsarem adduxisse, et cedendo de omni eo quod aut pater læsus aut rex insidiis petitus agere potuit, æquo cum illis jure disceptatum venisse : rogare tamen ne ipse omnino inultus sit, neque in summo metu ætatem agat, quum, post ea quæ moliti sint, ne ipsis quidem, si nunc *pœnam* effugiant, expediat diutius vivere, malorum extrema, quemadmodum patrarint, etiam passuris. »

2. Ista quidem Herodes magna cum vehementia filiis suis objecit coram Cæsare. Juvenes autem etiam eo dicente confusi lacrimabant, magis vero postquam Herodes dicendi finem fecit. Nam se quidem extra hujusmodi impietatem esse ex conscientia bonæ mentis persuasum habuerunt, contra ea vero quæ illis pater crimini dedisset, difficile esse, id quod erat, sese defendere probe noverant, quum libere etsi opportune verba facere haud eos deceret, ut patrem,

τὸν καιρὸν, εἰ μέλλοιεν ἐκ βίας ἀεὶ καὶ κατὰ σπουδὴν ἐλέγχειν πεπλανημένον. Ἦν οὖν ἀπορία τοῦ δύνασθαι λέγειν καὶ δάκρυα καὶ τέλος οἰμωγὴ συμπαθεστέρα, δεδοικότων μὲν ὡς, εἰ σιγῷεν, δόξουσιν ἐκ τοῦ συνειδότος ἠπορῆσθαι, ῥᾳδίαν δ' οὐχ εὑρισκομένων τὴν ἀπολογίαν ὑπὸ νεότητος καὶ ταραχῆς ἧς ἐπεπόνθεισαν. Οὐ μὴν ὅ γε Καῖσαρ, ἐπιβλέπων αὐτοὺς ὡς εἶχον, ἀσύνετον ἐποιεῖτο τὸ μὴ κατὰ συνείδησιν ἀτοπωτέραν, ἀλλὰ ἐξ ἀπειρίας καὶ μετρίοτητος ὀκνεῖν. Ἐλεεινοί τε ἐγένεισαν τοῖς παροῦσιν, ἰδίᾳ δὲ καὶ τὸν πατέρα διεκίνησαν ἀληθινῷ τῷ πάθει συνεχόμενον.

(Η'.) γ'. Ἐπεὶ δὲ συνεῖδον εὐμένειάν τινα καὶ παρ' ἐκείνου καὶ παρὰ τοῦ Καίσαρος, καὶ τῶν ἄλλων δὲ ἕκαστον τοὺς μὲν συνδακρύοντας, ἅπαντας δὲ συναλγοῦντας, θάτερος αὐτῶν Ἀλέξανδρος, ἐπικαλεσάμενος αὐτὸν, ἐπεχείρει διαλύειν τὰς αἰτίας, καὶ, « πάτερ, εἶπεν, ἡ μὲν « σὴ πρὸς ἡμᾶς εὔνοια δῆλη καὶ παρ' αὐτὴν τὴν κρίσιν· « οὐκ ἂν γάρ, εἴ τι δυσχερὲς ἐνενόεις ἐφ' ἡμῖν, ἐπὶ τὸν « πάντας σώζοντα προήγαγες. Καὶ γὰρ ἐξῆν, παρούσης μὲν « σης ἐξουσίας ὡς βασιλεῖ, παρούσης δὲ ὡς πατρὶ, « τοὺς ἀδικοῦντας ἐπεξιέναι· τὸ δ' εἰς Ῥώμην ἄγειν καὶ « τοῦτον ποιεῖσθαι μάρτυρα σώζοντος ἦν· οὐδεὶς γὰρ « ἀποκτεῖναί τινα προαιρούμενος εἰς ἱερὰ καὶ ναοὺς ἄγει. « Τὸ δ' ἡμέτερον ἤδη χεῖρον· οὐ γὰρ ἂν ὑπομείναιμεν ἔτι ζῆν εἰ τοιοῦτον ἠδικηκέναι πατέρα πεπιστεύ« μεθα. Καὶ μήποτε τοῦτο ἐκείνου χεῖρον, ἀντὶ τοῦ « τεθνάναι μηδὲν ἀδικοῦντας τὸ ζῆν ἀδικεῖν ὑποπτευο« μένους; Εἰ μὲν οὖν εὕροι λόγον τῆς ἀληθείας ἡ παρ« ρησία, μακάριον καὶ σὲ πεῖσαι καὶ τὸν κίνδυνον « διαφυγεῖν· εἰ δ' οὕτως ἡ διαβολὴ κρατεῖ, περιττὸς « ἡμῖν ὁ νῦν ἥλιος, ὃν τί δεῖ βλέπειν μετὰ τῆς ὑπο« ψίας; Τὸ μὲν οὖν φάναι βασιλείας ἐπιθυμεῖν, εὔκαιρος « εἰς νέους αἰτία, καὶ τὸ προστιθέναι τὴν τῆς ἀθλίας « μητρὸς ἱκανὸν ἐκ τῆς πρώτης τὴν νῦν ἀτυχίαν ἐξερ« γάζεσθαι. Βλέψον δὲ εἰ μὴ κοινὰ ταῦτα καὶ πᾶσιν « ὁμοίως λέγεσθαι δυνησόμενα. Κωλύσει γὰρ οὐδὲν « τῷ βασιλεύοντι, παῖδες εἰ εἰσὶ νέοι καὶ μήτηρ αὐτῶν « ἀποθανοῦσα, πάντας ὑπόπτους εἶναι τοῦ πατρὸς ἐπι« βούλους δοκεῖν. Ἀλλ' οὐ τὸ ὕποπτον πρὸς τοιαύτην « ἀσέβειαν ἀρκετόν. Εἴπάτω δή τις ἡμῖν εἰ τετόλμη« ται τοιοῦτον ᾧ καὶ τὰ μὴ πιστὰ πίστιν εἴωθεν ὑπὲρ « εὐεργείας λαμβάνειν. Φαρμάκου παρασκευὴν ἐλέγ« χειν δύναταί τις, ἢ συνωμοσίαν ἡλικιωτῶν, ἢ διαφθο« ρὰν οἰκετῶν, ἢ γράμματα κατὰ σοῦ γεγραμμένα; « καίτοι τούτων ἕκαστον ἔσθ' ὅπη καὶ μὴ γενόμενον ἐκ « διαβολῆς ἐπλάσθη. Χαλεπὸν γὰρ οὐχ ὁμονοῶν οἶκος « ἐν βασιλείᾳ· καὶ τὴν ἀρχὴν, ἣν σὺ φῂς ἔπαθλον εὐσε« βείας, συμβαίνει πολλάκις αἰτίαν γίνεσθαι τοῖς πο« νηροτάτοις ἐλπίδων, δι' ἃς οὐδεμίαν ὑποστολὴν ποιῶν« ται κακοηθείας. Ἀδίκημα μὲν οὖν οὐδεὶς ἐρεῖ καθ' « ἡμῶν. Τὰς δὲ διαβολὰς πῶς ἂν λύσειεν ὁ ἀκούειν μὴ « θέλων; Ἐλαλήσαμέν τι μετὰ παρρησίας; οὐκ εἰς σὲ, « τοῦτο γὰρ ἦν ἄδικον, ἀλλ' εἰς τοὺς οὐδ' ὅ τι λελάληται « μὴ σιωπῶντας. Τὴν μητέρα τις ἡμῶν ἔκλαυσεν;

dum violenter usque et nimium festinanter ageret, in errorem inductum ostenderent. Ideo quid dicerent non habebant, lacrimæque illis obortæ sunt, et tandem vehementius suspirabant, veriti quidem ne, si silerent, ex conscientia viderentur hæsitasse, haud vero invenientes quo pacto defensionem sui expedirent, propter ætatis *infirmitatem* animique consternationem. Non tamen Cæsar, aspiciens ipsos quemadmodum perturbati erant, non sentiebat eos ex imperitia et modestia potius hærere et impediri quam ex facinorum conscientia. Nec quisquam aderat quem non eorum miseresceret: immo et patrem ita affecerunt ut vere animo commoveretur.

(VIII.) 3. Postquam vero animadvertunt et patrem ipsis aliquanto magis benevolum, ipsumque etiam Cæsarem, insuper et reliquorum singulos partim vicem ipsorum dolentes, partim a lacrimis non temperantes, alter illorum Alexander, patre appellato, crimina diluere aggressus est, dicebatque, « pa« ter, qua es in nos benevolentia satis declarat hoc ipsum « judicium: nam si quid in nos durius in animo agitasses, « nunquam ad omnium servatorem nos adduxisses. Etenim « poteras, vel pro regia vel pro patria potestate, de sontibus « supplicium sumere: verum Romam nos ducere, et hunc « ipsum testem adhibere, servare volentis est. Nemo enim, « cui in animo est quenquam interficere, ad templa eum sa« crariaque perducit. Verum pejori jam statu res nostræ « sunt: non enim amplius vivere sustineremus, si talem « patrem nos læsisse cuiquam persuasum esset. Fortasse « et hoc isto deterius, ut, quum mori debuissemus boni et « innocentes, sceleris suspecti vivamus. Jam vero si quid « valeat fiducia ex veritate, nobis lætissimum sit tibi fidem « facere, et periculum effugere: quodsi ita vincit calumnia, « satis superque nobis præsens hic dies, quem quorsum « suspecti intueremur? Et dum quidem dicis nos regnum « affectare, accusationem in juvenes bene accommodas, « *dumque adjicis matris miseræ insimulationem*, ex *priori* « infelicitate præsenti cumulus accedit. Sed vide obse« cro, annon hæc nobis cum omnibus communia si« militer dici possint. *Nihil enim vetabit quin rex, cui* « filii sint juvenes et matri defunctæ superstites, eos in su« spicionem vocet, quasi struant insidias. Sed suspicio « non satis est ad fidem hujusmodi impietati faciendam. « Dicat itaque quispiam, an tale aliquid ausi fuerimus, unde « et incredibilia propter *hominum* credulitatem fidem ac« quirere consueverunt. Potestne quisquam indicare ve« nenum paratum, aut conjurationem cum æqualibus, aut « corruptos *pecunia* famulos, aut scriptas contra te literas? « atqui horum singula interdum de nihilo fingit calumnia. « Grave enim regno est dissidium et dissensio in regia, atque « sæpe fit ut principatus, quem tu dicis esse pietatis præ« mium, homines flagitiosissimos ad spem excitet, quæ facit « ut nihil mali intentatum relinquant. Ceterum injuriam « alicui factam nemo nobis objicit. Nos vero calumniis quo« modo liberabit qui nobis auscultare recusat? Paulo « *liberius loquuti sumus? at non in te, (nam hoc nefas esset,)* « sed in eos qui nihil quod dictum fuerit silentio premunt. « Nostrûm quis matrem deflevit? non quod interierit,

« οὐχ ὅτι τέθνηκεν, ἀλλ' ὅτι καὶ νεκρὰ κακῶς ἤκουσεν
« ὑπὸ τῶν οὐκ ἀξίων. Ἀρχῆς ἐπιθυμοῦμεν ἧς ἴσμεν
« ἔχοντα τὸν πατέρα; τί καὶ θέλοντες; εἰ μέν εἰσιν ἡμῖν
« τιμαὶ βασιλέων, ὥσπερ εἰσὶν, οὐ κενοσπουδοῦμεν;
« εἰ δὲ οὐκ εἰσὶν, οὐκ ἐλπίζομεν; ἢ σὲ διαχειρισάμενοι
« κρατήσειν τὴν βασιλείαν προσεδοκήσαμεν, οἷς οὔτε
« γῆ βάσιμος οὔτε πλωτὴ θάλαττα μετὰ τοιοῦτον ἔργον;
« ἡ δὲ τῶν ἀρχομένων εὐσέβεια καὶ θρησκεία τοῦ παντὸς
« ἔθνους ἠνέσχετο ἂν πατροκτόνους ἐπὶ τῶν πραγμάτων
« εἶναι καὶ εἰς τὸν ἁγιώτατον ὑπὸ σοῦ κατασκευασθέντα
« ναὸν εἰσιέναι; τί δ' εἰ καὶ τῶν ἄλλων κατεφρονήσαμεν,
« ἐδύνατό τις φονεύσας ἀτιμώρητος μένειν, ζῶντος
« Καίσαρος; Οὔτ' ἀσεβεῖς οὕτως ἐγέννησας οὔτε ἀλγί-
« στους, ἀτυχεστέρους δ' ἴσως ἢ σοὶ καλῶς εἶχεν. Εἰ
« δὲ μήτ' αἰτίας ἔχεις μήτ' ἐπιβουλὰς εὑρίσκεις, τί σοι
« πρὸς πίστιν αὔταρκες τοιαύτης δυσσεβείας; Ἡ μήτηρ
« τέθνηκεν. Ἀλλά τοι τὰ κατ' ἐκείνην οὐ παροξύνειν
« ἡμᾶς, ἀλλὰ νουθετεῖν ἐδύνατο. Πλείω μὲν ἀπολογεῖ-
« σθαι βουλόμεθα, λόγον δ' οὐκ ἐπιδέχεται τὰ μὴ γε-
« νόμενα. Διόπερ ἐπὶ τῷ πάντων δεσπότῃ Καίσαρι
« μεσιτεύοντι τὸν παρόντα καιρὸν συντιθέμεθα ταύτην
« τὴν συνθήκην· εἰ μὲν ἀνύποπτον ἐξ αὐτῆς τῆς ἀληθείας
« τὴν πρὸς ἡμᾶς διάθεσιν ἀπολαμβάνεις, ὦ πάτερ, ζή-
« σωμεν, οὐδ' οὕτω μὲν εὐτυχῶς· δεινὸν γὰρ τῶν με-
« γάλων κακῶν καὶ ψευδὴς αἰτία· παρούσης δέ τινος
« ὀρρωδίας, σὺ μὲν ἐν τῇ κατὰ σαυτὸν εὐλαβείᾳ μένε,
« δώσομεν δὲ λόγον ἡμεῖς ἑαυτοῖς· οὐχ οὕτως ὁ βίος
« ἡμῖν τίμιος, ὡς ἔχειν αὐτὸν ἐπ' ἀδικίᾳ τοῦ δεδωκό-
« τος. »

δ'. Τοιαῦτα δὲ λέγοντος ὅ τε Καῖσαρ, οὐδὲ πρότερον πιστεύων τῷ μεγέθει τῆς διαβολῆς, ἔτι μᾶλλον ἐξηλλάττετο, καὶ συνεχὲς εἰς τὸν Ἡρώδην ἀπέβλεπεν, ὁρῶν κἀκεῖνον ὑποσυγκεχυμένον· ἀγωνία τε τοῖς παροῦσιν ἐνεπεπτώκει, καὶ περὶ τὴν αὐλὴν ὁ λόγος διαδοθεὶς ἐπίφθονον ἐποίει τὸν βασιλέα. Τὸ γὰρ ἄπιστον τῆς διαβολῆς καὶ τὸ περὶ τοὺς νεανίσκους ἐν ἀκμῇ καὶ κάλλει σωμάτων ἐλεεινὸν ἐπεσπᾶτο βοήθειαν, ἔτι δὲ μᾶλλον ἐπειδὴ καὶ τῷ λόγῳ ὀξιῶς καὶ μετὰ φρονήσεως ἀπήντησεν Ἀλέξανδρος. Ἦν δ' οὐδ' ἐκείνοις ἔτι ταυτὸν σχῆμα, κλαίουσι μὲν ὅμως καὶ σὺν κατηφείᾳ πρὸς τὴν γῆν νενευκόσιν· ἡ δ' ἐλπὶς ἀμείνων ὑπεφαίνετο, καὶ δόξας ὁ βασιλεὺς ἐξ ὧν αὐτὸς ἔπειθεν οὐκ εὔλογα κατηγορηκέναι, διὰ τὸ μηδὲν ἔχειν αὐτὸν ἐξελέγχειν, ἀπολογίας τινὸς ἐδεῖτο. Καῖσαρ δὲ μικρὸν ἐπισχὼν τοὺς μὲν νεανίσκους, εἰ καὶ πόρρω τῆς ἐπ' αὐτοῖς διαβολῆς δοκοῦσιν, αὐτό γε τοῦτο ἁμαρτεῖν ἔφη, τὸ μὴ τοιούτους αὑτοὺς παρασχεῖν τῷ πατρὶ ὡς μηδὲ γενέσθαι τὸν ἐπ' αὐτοῖς λόγον. Ἡρώδην δὲ παρεκάλει πᾶσαν ὑπόνοιαν ἀφελόντα διαλλάττεσθαι τοῖς παισίν· οὐ γὰρ εἶναι δίκαιον οὐδὲ πιστεύειν τὰ τοιαῦτα κατὰ τῶν ἐξ αὐτοῦ· δύνασθαι δὲ τὴν μετάνοιαν ἀμφοτέροις οὐ μόνον ἰάσασθαι τὰ συμβεβηκότα, παροξῦναι δὲ τὴν εὔνοιαν, ἐν ᾧ τὸ προπετὲς ἑκάτεροι τῆς ὑποψίας ἀπολογούμενοι σπουδῇ πλείονι περὶ ἀλλήλους ἀξιώσουσι κεχρῆσθαι.

« sed quod mortua ab hominibus inhonestis male audierit.
« Regnum appetimus quod scimus a patre teneri? at quid
« in animo habentes? si enim nobis sunt regii honores,
« id quod fatendum, nonne frustra laboramus? sin minus,
« nonne eos sperare licet? an te interfecto in regnum
« successuros esse exspectavimus, quibus, tali facinore
« commisso, nec terra ambulanda nec mare navigandum?
« num subditorum pietas et totius gentis religio ferre po-
« tuisset ut parricidæ summa rerum potirentur, et in san-
« ctissimum a te ædificatum templum ingrederentur? sed
« quid? etsi ceteros contemnere datum fuisset, num qui te
« interfecerit, dum Cæsar in vivis esset, pœnam effugere
« potuisset? Non tam impios genuisti, neque tam stultos,
« sed infeliciores forsan quam rebus tuis expediat. Quod-
« si nec aliquid nobis vitio vertendum habes, nec insidias
« invenisti, quid tanti erat ut posset ejusmodi impietatis
« tibi fidem facere? Mater occidit. Illius vero casus nul-
« lam nos irritandi, sed admonendi vim habere poterat.
« Equidem pluribus causam agere nobis in animo est, sed
« excusationem non admittunt quæ nunquam commissa
« erant. Quapropter coram Cæsare, omnium domino no-
« stroque in præsentia sequestro, hanc tecum pactionem
« facimus: si possis, o pater, revera affectum in nos in-
« duere ab omni suspicione vacuum, liceat nobis vivere,
« quamvis haud ita feliciter; grave enim est magnorum
« malorum etiam falso insimulari: verum si quid est quod
« timeas, perge tibimet cautionem adhibere, nos nobismet
« rationem reddemus. Non enim usque adeo cara nobis
« est vita ut eam in auctoris damnum conservare velimus. »

4. Quum ita causam ageret, tum Cæsar, qui jam ante gravi adeo calumniæ non credebat, magis adhuc mutatus est, et Herodem, quem nonnihil etiam confusum animadvertit, continenter aspexit; tum omnes, qui aderant, anxii erant et solliciti de juvenibus, sermoque per aulam diffusus regem in odium adducebat. Nam quod calumnia parum credibilis illis visa est, juvenesque in flore ætatis erant summaque corporum pulcritudine, illorum misertum est, et miseratio omnes ad opem illis ferendam trahebat, sed multo magis postquam Alexander tam sollerter prudenterque patris accusationi respondisset. Verum non illis idem manebat oris vultusque habitus, lacrimantibus quidem et præ mœstitia in terram intuentibus; spei tamen melioris nonnihil effulgebat, atque rex, ex iis quibus ipse ad persuadendum usus erat haud juste accusasse visus, excusatione aliqua egebat, ut qui nihil ipse haberet quo dicta redargueret. At Cæsar, paulum cunctatus, adolescentes, licet a crimine abesse viderentur, tamen in eo peccasse dicebat, quod non se tales erga patrem præstitissent, ut de ipsis sermo oriri non posset. Herodemque hortatus est ut, deposita omni suspicione, cum pueris in gratiam rediret: iniquum enim esse talia de iis, quos genuisset, credere, fierique posse ut animorum mutatio non solum medeatur iis quæ utrisque acciderint, sed et alliciat ad benevolentiam, dum invicem excusantes suspicionis temeritatem, æquum censeant ut majori studio ad

Τοιαῦτα νουθετῶν ἔνευσε τοῖς νεανίσκοις· ἐκείνων δὲ βουλομένων ὑποπεσεῖν ἐπὶ δεήσει, παραναλαβὼν αὐτοὺς ὁ πατὴρ δακρύοντας ἠσπάζετο, παρ' ἕκαστον ἐν μέρει περιπτύσσων, ὡς μηδένα τῶν παρατυγχάνόντων, ἐλεύθερον ἢ δοῦλον, ἀπαθῆ γενέσθαι.

ε'. Τότε μὲν οὖν εὐχαριστήσαντες Καίσαρι μετ' ἀλλήλων ἀπῆσαν, καὶ σὺν αὐτοῖς Ἀντίπατρος ὑποκρινόμενος ἐφήδεσθαι ταῖς διαλλαγαῖς. Ἐν δὲ ταῖς ὑστέραις ἡμέραις Ἡρώδης μὲν ἐδωρεῖτο Καίσαρα τριακοσίοις τα-
10 λάντοις, θέας τε καὶ διανομὰς ποιούμενος τῷ Ῥωμαίων δήμῳ, Καῖσαρ δὲ αὐτῷ τοῦ μετάλλου τοῦ Κυπρίων χαλκοῦ τὴν ἡμίσειαν πρόσοδον καὶ τῆς ἡμισείας τὴν ἐπιμέλειαν ἔδωκεν, καὶ τἄλλα ξενίαις καὶ καταγωγαῖς ἐτίμησε, καὶ περὶ τῆς βασιλείας αὐτῷ τὴν ἐξουσίαν ἐφῆκεν ὃν
15 ἂν αἱρῆται τῶν παίδων διάδοχον καθιστάνειν, ἢ καὶ διανέμειν μέρος ἑκάστῳ τῆς τιμῆς εἰς πάντας διελευσομένης. Ἐκείνου δὲ ἤδη θέλοντος αὐτὸ ποιεῖν, οὐκ ἐπιτρέψειν ἔφη ζῶντι μὴ καὶ τῆς βασιλείας καὶ τῶν παίδων κρατεῖν.

20 ς'. Ἐπὶ τούτοις ἐπανῆει πάλιν εἰς τὴν Ἰουδαίαν. Ἀποδημοῦντος δὲ, οὐ μικρὸν μέρος ἀπέστη τῆς ἀρχῆς, τὸ περὶ τὸν Τράχωνα· καὶ τούτους οἱ καταλειφθέντες στρατηγοὶ χειρωσάμενοι πάλιν ὑπακούειν ἠνάγκασαν. Ἡρώδης δὲ πλέων σὺν τοῖς παισὶν, ὡς ἐγένετο κατὰ
25 Κιλικίαν ἐν Ἐλαιούσῃ, τῇ μετωνομασμένῃ νῦν Σεβαστῇ, καταλαμβάνει τὸν βασιλέα τῆς Καππαδοκίας Ἀρχέλαον, ὃς αὐτὸν ἐκδέχεται φιλοφρόνως, ἡδόμενος ἐπὶ ταῖς τῶν παίδων διαλλαγαῖς καὶ τῷ τὸν Ἀλέξανδρον, ὃς εἶχεν αὐτοῦ τὴν θυγατέρα, τῆς αἰτίας ἀπολε-
30 λύσθαι· δωρεάς τε ἀντέδωκαν ἀλλήλοις ἃς εἰκὸς βασιλεῖς. Ἐντεῦθεν Ἡρώδης, ἐπὶ Ἰουδαίας ἐλθὼν καὶ γενόμενος ἐν τῷ ἱερῷ, περὶ τῶν πεπραγμένων κατὰ τὴν ἀποδημίαν διελέγετο, τὴν Καίσαρος εἰς αὐτὸν φιλοφροσύνην καὶ τἄλλα διεξιὼν, ὅσα κατὰ μέρος αὐτῷ
35 πραχθέντα συμφέρειν ἡγεῖτο καὶ τοὺς ἄλλους εἰδέναι· τέλος ἐπὶ νουθεσίᾳ τῶν παίδων κατέστρεψε τὸν λόγον, τοὺς περὶ τὴν αὐλὴν καὶ τὸ λοιπὸν πλῆθος εἰς ὁμόνοιαν παρακαλῶν, καὶ τοὺς υἱοὺς μετ' αὐτὸν ἀποδεικνύων βασιλέας γενέσθαι, πρῶτον μὲν Ἀντίπατρον, εἶτα καὶ
40 τοὺς ἐκ Μαριάμμης Ἀλέξανδρον καὶ Ἀριστόβουλον· ἐν δὲ τῷ τότε πάντας ἀποβλέπειν εἰς αὐτὸν ἀξιῶν, καὶ βασιλέα καὶ δεσπότην ἁπάντων δοκεῖν, μήτε γήρᾳ παραπροδιζόμενον, ἐν ᾧ τοῦ χρόνου τὸ πρὸς ἀρχὴν ἐμπειρότατον ἔχειν, οὔτε τοῖς ἄλλοις ἐπιτηδεύμασιν
45 ἐλαττούμενον, ἃ δύναται καὶ βασιλείας κρατεῖν καὶ παίδων ἄρχειν· τούς τε ἡγεμόνας καὶ τὸ στρατιωτικὸν, εἰ πρὸς ἕνα βλέποιεν αὐτὸν, ἀτάραχον ἔφη τὸν βίον ἕξειν, καὶ πᾶσαν ἀφορμὴν εὐδαιμονίας ἐξ ἀλλήλων ἕσεσθαι. Ταῦτ' εἰπὼν ἀφίησι τὴν ἐκκλησίαν, τοῖς
50 πλείστοις μὲν ἀρεστὰ διειλεγμένος, ἐνίοις δ' οὐχ ὁμοίως· ἤδη γὰρ ὑπὸ τῆς ἀμίλλης καὶ τῶν ἐλπίδων, ἃς ἐδεδώκει τοῖς παισὶν, νενεωτέριστο πολλὰ, καὶ νεωτέρων ἐφιέμενα.

mutuum amorem ferantur. Has inter admotiones pueris innuit : quumque illi patri ad pedes accidere et veniam orare pararent, antevertit pater eos lacrimantes complecti, et in amplexum utriusque invadere, adeo ut nemo præsens esset, sive ingenuus sive servus, qui non ad misericordiam adduceretur.

5. Et tunc quidem Cæsari gratias egerunt, et una discesserunt, comitante Antipatro cum simulatione lætitiæ ob amoris redintegrationem. Sequentibus autem diebus largitus est Herodes Cæsari trecenta talenta, ludos agenti et Romano populo congiaria dividenti : et Cæsar ei dimidium reditum æris Cyprii donavit, et alterius dimidii curam commisit, et præterea hospitiis et mansionibus eum honoravit, atque de regno ei potestatem dedit, quem vellet filiorum successorem suum constituendi, aut honorem in singulos pro rata parte dividendi. Quumque Herodes id e vestigio facere vellet, negavit Cæsar permissurum se ut non per omnem vitam dominus esset et regni et filiorum.

6. Postea ille rursus in Judæam rediit. Dum autem peregre abesset, Trachonitæ, ejus ditionis pars non exigua, rebellarunt : sed relicti illic duces eos subegerunt, iterumque sub imperium redegerunt. Ceterum Herodes, cum filiis navigans, ubi juxta Ciliciam appulit ad Elæusam, quæ nunc mutato nomine Sebaste dicitur, illic offendit Archelaum Cappadociæ regem, qui eum perhumaniter excipit, lætus admodum quod cum filiis in gratiam rediisset, quodque Alexander, qui filiam ejus habuit, crimina ipsis objecta diluisset : atque munera, quæ regibus convenirent, sibi invicem largiti sunt. Inde Herodes in Judæam reversus, ingressusque in templum, de iis quæ in profectione sua egisset orationem habuit, Cæsaris in ipsum liberalitatem narrando persequens, et singillatim reliqua ab ipso gesta, quæ non nescire aliorum interesse existimabat : et in extremo suæ orationis filios suos monitis instruxit, aulicosque et reliquum populum admonuit, ut concordiam tuerentur; declaravitque filios post se regnaturos, primum Antipatrum, deinde Mariamnes liberos, Alexandrum et Aristobulum : in præsentia autem edixit ut omnes in ipsum intuerentur, seque pro domino et rege ducerent, neque senectute impeditum, quæ ex omni vitæ tempore rerum usu aptissima sit ad imperium exercendum, neque ceteris institutis imminutum, quibus possumus regna moderari et liberos regere : duces quoque cum exercitibus, si se unum respiciant, summa tranquillitate vitam acturos esse dicebat, sibique invicem omnino fore felicitatis auctores. His dictis, conventum dimisit : fuitque ejus oratio grata multis, sed nonnullis haud item; jam enim ex contentione et spe quam filiis dederat, multi res novas moliebantur earumve desiderio tenebantur.

ΚΕΦ. Ε'.

Περὶ δὲ τὸν χρόνον τοῦτον συντέλειαν ἔλαβεν ἡ Καισάρεια Σεβαστὴ ἣν ᾠκοδόμει, δεκάτῳ μὲν ἔτει πρὸς τέλος ἐλθούσης αὐτῷ τῆς ὅλης κατασκευῆς, ἐκπεσούσης δὲ τῆς προθεσμίας εἰς ὄγδοον καὶ εἰκοστὸν ἔτος τῆς ἀρχῆς, ἐπ' Ολυμπιάδος δευτέρας καὶ ἐνενηκοστῆς πρὸς ταῖς ἑκατόν. Ἦν οὖν εὐθὺς πρὸς τῇ καθιερώσει μείζων ἑορτή, καὶ παρασκευαὶ πολυτελέσταται. Κατηγγέλκει μὲν γὰρ ἀγῶνα μουσικῆς καὶ γυμνικῶν ἀθλημάτων, παρεσκευάκει δὲ πολὺ πλῆθος μονομάχων καὶ θηρίων, ἵππων τε δρόμον, καὶ τὰ πολυτελέστερα τῶν ἐν τῇ Ῥώμῃ καὶ παρ' ἄλλοις τισὶν ἐπιτηδευμάτων. Ἀνετίθει δὲ καὶ τοῦτον τὸν ἀγῶνα Καίσαρι, κατὰ πενταετηρίδα παρεσκευασμένος ἄγειν αὐτόν. Ὁ δ' αὐτῷ πᾶσαν τὴν εἰς τὰ τοιαῦτα παρασκευὴν ἀπὸ τῶν οἰκείων διεπέμπετο, τὴν φιλοτιμίαν ἐπικοσμῶν· ἰδίᾳ δὲ καὶ ἡ γυνὴ Καίσαρος Ἰουλία τὰ πολλὰ πῶν ἐκεῖ πολυτελεστάτων ἀπέστειλεν, ὡς μηδὲν ὑστερεῖν, τὰ πάντα συντιμώμενα ταλάντων πεντακοσίων. Συνελθόντος δὲ εἰς τὴν πόλιν ὄχλου πλείονος κατὰ θεωρίαν καὶ πρέσβεων, οὓς ἔπεμπον οἱ δῆμοι δι' ἃς ἐπεπόνθεισαν εὐεργεσίας, ἅπαντας ἐξεδέξατο καταγωγαῖς καὶ τραπέζαις καὶ διηνεκέσιν ἑορταῖς, τῆς πανηγύρεως ἐν μὲν ταῖς ἡμέραις ἐχούσης τὰς ἀπὸ τῶν θεαμάτων ψυχαγωγίας, ἐν δὲ ταῖς νυξὶ τὰς εὐφροσύνας καὶ τὴν εἰς τοῦτο πολυτέλειαν, ὡς ἐπίσημον γενέσθαι τὴν μεγαλοψυχίαν αὐτοῦ. Εἰς πάντα γὰρ, ἅπερ ἂν ἐπιτηδεύσειεν, ἐφιλονείκει τὴν τῶν ἤδη γεγενημένων ἐπίδειξιν ὑπερβάλλεσθαι. Καὶ φασὶν αὐτόν τε Καίσαρα καὶ Ἀγρίππαν πολλάκις εἰπεῖν ὡς ἀποδέοι τὰ τῆς ἀρχῆς Ἡρῴδῃ τῆς οὔσης ἐν αὐτῷ μεγαλοψυχίας· ἄξιον γὰρ εἶναι καὶ Συρίας ἁπάσης καὶ Αἰγύπτου τὴν βασιλείαν ἔχειν.

β'. Μετὰ δὲ τὴν πανήγυριν ταύτην καὶ τὰς ἑορτὰς πόλιν ἄλλην ἀνήγειρεν ἐν τῷ πεδίῳ τῷ λεγομένῳ Καφαρσαβᾷ, τόπον ἔνυδρον καὶ χώραν ἀρίστην φυτοῖς ἐκλέξας, ποταμοῦ τε περιρρέοντος τὴν πόλιν αὐτὴν, καὶ καλλίστου κατὰ μέγεθος τῶν φυτῶν περιειληφότος ἄλσους. Ταύτην ἀπὸ Ἀντιπάτρου τοῦ πατρὸς Ἀντιπατρίδα προσηγόρευσεν. Ἐπώνυμον δὲ καὶ τῇ μητρὶ χωρίον ὑπὲρ Ἱεριχοῦντα οἰκοδομήσας, ἀσφαλείᾳ τε διάφορον καὶ καταγωγαῖς ἥδιστον, ἐκάλεσε Κύπρον. Φασαήλῳ τε τῷ ἀδελφῷ μνημεῖα διὰ τὴν γεγενημένην πρὸς αὐτὸν φιλοστοργίαν ἀνετίθει τὰ κάλλιστα, πύργον ἐπ' αὐτῆς τῆς πόλεως ἀναστήσας οὐδὲν ἐλάττω τοῦ κατὰ τὴν Φάρον, ὃν προσηγόρευσεν Φασάηλον, ἀσφαλείας τε τῇ πόλει μέρος ὄντα καὶ μνήμης τῷ τετελευτηκότι διὰ τὴν προσηγορίαν. Ὁμώνυμον δὲ αὐτῷ καὶ πόλιν περὶ τὸν αὐλῶνα τῆς Ἱεριχοῦντος ἔκτισεν, ἀπιόντων κατὰ βορρᾶν ἄνεμον, δι' ἧς καὶ τὴν πέριξ χώραν ἔρημον οὖσαν ἐνεργοτέραν ἐποίησεν ταῖς ἐπιμελείαις τῶν οἰκητόρων· Φασαηλίδα καὶ ταύτην ἐκάλει.

γ'. Τὰς δὲ ἄλλας εὐεργεσίας ἄπορον εἰπεῖν ὅσας

CAP. V. (IX.)

Circa id tempus Cæsarea Augusta, quæ ab eo condebatur, perfecta et absoluta est, decimo quidem anno ad finem perducto toto opere, stata autem solennitate in annum ejus regni duodetrigesimum et Olympiadem centesimam nonagesimam secundam incidente. Statim itaque ad eam dicandam magnam adhibuit celebritatem et sumptuosissimum apparatum. Indixerat enim certamen musicum et ludos gymnicos, et gladiatorum magnum numerum et ferarum præparaverat, cursusque equorum et quicquid ejusmodi studii pretiosius erat et Romæ et alibi uspiam. Præterea hoc certamen Cæsari consecravit, quod ita instituerat ut per singula quinquennia instauraretur. Ille autem omnem ad istiusmodi spectacula apparatum propriis sumptibus suppeditatum misit, ut inde major esset liberalitatis suæ laus; verum et de suo Julia, Cæsaris uxor, multa ex iis, quæ in Italia maximo in pretio habita, mittenda curavit, ut nihil *ad splendorem* deesset: summa omnium efficiebat quingenta talenta. Quum autem in urbem spectatum convenisset ingens multitudo, et legationes, quæ a populis mittebantur ob accepta beneficia, omnes excepit diversoriis et mensis et continuis hilaritatibus, dum hominum frequentia spectaculis se totos dies oblectat, noctu vero lætitiis et sumptibus in eas profusis: adeo ut ab universis extolleretur ob animi magnitudinem et liberalitatem. Nam in omnibus, quibuscunque studeret, id agere contendebat ut quæ prius ostensa erant longe superaret. Atque perhibetur et Cæsarem ipsum et Agrippam aliquoties dixisse, Herodis imperium minime respondere animi ejus magnitudini: dignum enim esse qui totius etiam Syriæ et Ægypti regno potiretur.

2. Post hanc autem celebritatem et lætitiam aliam urbem condidit in campo qui dicitur Capharsaba, electo ad hoc loco irriguo et terra arboribus et plantis accommodata, et amne urbem ipsam circumfluente, et luco circumdante pulcerrimo pro arborum magnitudine. Hanc ab Antipatro patre nominavit Antipatridem. Ædificavit et alium locum supra Hierichuntem, magnæ securitatis nec minoris ad habitandum amœnitatis, quem matris suæ nomine Cypron appellavit. Porro fratri Phasaelo ex suo erga illum amore monimentum dedicavit pulcerrimum, turrim in ipsa urbe exstructam, quæ magnitudine Phariam adæquaret, eamque Phasaelum nuncupavit, quæ et urbi partim esset in securitatem et defuncto in memoriam propter appellationem. Itemque urbem ipsi cognominem construxit in valle Hierichuntia, qua itur boream versus: quæ in causa erat ut terra omnis finitima, antea deserta, incolarum industria cultior evaderet: hanc autem Phasaelidem nominabat.

3. Cetera Herodis beneficia longum esset dicere, quæ

ἀπέδωκεν ταῖς πόλεσιν ἔν τε Συρίᾳ καὶ κατὰ τὴν Ἑλλάδα καὶ παρ' οἷς ποτ' ἂν ἀποδημήσας τύχοι. Καὶ γὰρ πλείους λειτουργίας καὶ δημοσίων ἔργων κατασκευὰς καὶ χρήματα τοῖς δεομένοις ἔργοις εἰς ἐπιτέλειαν, τῶν προτέρων ἐκλελοιπότων, ἄρθονα χαρίσασθαι δοκεῖ. Τὰ δὲ μέγιστα καὶ διασημότατα τῶν πεπραγμένων αὐτῷ, Ῥοδίοις μὲν τό τε Πύθιον ἀνέστησεν οἰκείοις ἀναλώμασι καὶ παρέσχεν ἀργυρίου πολλὰ τάλαντα πρὸς ναυπηγίαν· Νικοπολίταις δὲ τοῖς ἐπ' Ἀκτίῳ κτισθεῖσιν ὑπὸ Καίσαρος τὰ πλεῖστα τῶν δημοσίων συγκατεσκεύασεν· Ἀντιοχεῦσι δὲ τοῖς ἐν Συρίᾳ μεγίστην πόλιν οἰκοῦσιν, ἡ κατὰ μῆκος τέμνει πλατεῖα, ταύτην αὐτὴν στοαῖς παρ' ἑκάτερα, καὶ λίθῳ τὴν ὕπαιθρον ὁδὸν ξεστῷ καταστορέσας, πλεῖστον εἰς κόσμον καὶ τὴν τῶν οἰκούντων εὐχρηστίαν ὠφέλησεν. Τόν γε μὴν Ὀλυμπίασιν ἀγῶνα, πολὺ τῆς προσηγορίας ἀδοξότερον ὑπ' ἀχρηματίας διατεθειμένον, τιμιώτερον ἐποίει, χρημάτων προσόδους καταστήσας, καὶ πρός τε θυσίας καὶ τὸν ἄλλον κόσμον ἐσεμνοποίησεν τὴν πανήγυριν. Διὰ δὴ ταύτην τὴν φιλοτιμίαν διηνεκὴς ἀγωνοθέτης παρὰ τοῖς πλείστοις ἀνεγράφη.

δ'. Τοῖς μὲν οὖν ἄλλοις ἐπέρχεται θαυμάζειν τὸ διεστὸς τῆς ἐν τῇ φύσει προαιρέσεως. Ὅταν μὲν γὰρ εἰς τὰς φιλοτιμίας καὶ τὰς εὐεργεσίας ἀπίδωμεν, αἷς ἐκέχρητο πρὸς ἅπαντας ἀνθρώπους, οὐκ ἔστιν ὅπως [οὐκ] ἄν τις αὐτὸν καὶ τῶν ἧττον τετιμηκότων ἠρνήθη μὴ συνομολογεῖν εὐεργετικωτάτῃ κεχρῆσθαι τῇ φύσει· ὅταν δὲ εἰς τὰς τιμωρίας καὶ ἀδικίας, ἃς εἰς τοὺς ἀρχομένους καὶ τοὺς οἰκειοτάτους ἐπεδείξατο βλέψῃ τις καὶ καταμάθῃ τὸ σκληρὸν καὶ τὸ δυσπαραίτητον τοῦ τρόπου, νικηθήσεται θηριώδη δοκεῖν καὶ πάσης μετριότητος ἀλλότριον· ἔνθεν καὶ διάφορόν τινα καὶ μαχομένην ἐπ' αὐτῷ νομίζουσι γενέσθαι τὴν προαίρεσιν. Ἐγὼ δ' οὐχ οὕτως ἔχων μίαν αἰτίαν ἀμφοτέρων τούτων ὑπολαμβάνω. Φιλότιμος γὰρ ὢν καὶ τούτου τοῦ πάθους ἡττημένος ἰσχυρῶς προσήγετο μὲν εἰς μεγαλοψυχίαν, εἴ που μνήμης εἰσαῦθις ἡ κατὰ τὸ παρὸν εὐφημίας ἐλπὶς ἐμπέσοι· ταῖς δὲ δαπάναις ὑπὲρ δύναμιν χρώμενος ἠναγκάζετο χαλεπὸς εἶναι τοῖς ὑποτεταγμένοις. Τὰ γὰρ εἰς οὓς ἐδαπάνα πολλὰ γινόμενα, κακὸν πορίστην ἐξ ὧν ἐλάμβανεν ἐποίει· καὶ συνειδὼς ἐφ' οἷς ἠδίκει τοὺς ὑποτεταγμένους μισουμένους ἑαυτόν, τὸ μὲν ἐπανορθοῦσθαι τὰς ἁμαρτίας οὐ ῥᾴδιον ἐνόμιζεν, (οὐδὲ γὰρ εἰς τὰς προσόδους λυσιτελὲς ἦν,) ἀντεφιλονείκει δὲ τὴν δύσνοιαν αὐτὴν εὐπορίας ἀφορμὴν ποιούμενος. Περὶ μὲν οὖν τοὺς οἰκείους εἴ τις λόγῳ μὴ θεραπεύοιτο δοῦλον ἑξομολογούμενος, ἢ δόξειεν εἰς τὴν ἀρχήν τι παρακινεῖν, οὐχ ἱκανὸς ἑαυτοῦ κρατεῖν ἐγίνετο, καὶ διεξῆλθεν ὁμοῦ συγγενεῖς καὶ φίλους, ἴσα πολεμίοις τιμωρούμενος, ἐκ τοῦ μόνος θέλειν τετιμῆσθαι τὰς τοιαύτας ἁμαρτίας ἀναλαμβάνων. Μαρτύριον δέ μοι τούτου τοῦ πάθους, ὅτι μέγιστον περὶ αὐτὸν ἦν, καὶ τὰ γινόμενα κατὰ τὰς Καίσαρος καὶ Ἀγρίππα καὶ τῶν ἄλλων

contulit in civitates tum in Syria tum in Græcia, et ubicunque eum versari contigit. Namque ingentem pecuniæ vim impendisse videtur pluribus muneribus publicis, et publicorum operum exstructionibus perficiendis, exhausta, quæ jam ante suppeditata erat, pecunia. Maxima vero et nobilissima ab eo facta hæc erant: in Rhodiorum gratiam et Pythium templum suis sumptibus exædificavit, et ad naves compingendas multa argenti talenta præbuit; Nicopolitarum autem urbi, apud Actium a Cæsare conditæ, ad pleraque loca publica exstruenda contulit; Antiochensibus etiam, maximam in Syria urbem habitantibus, plateam, mediam ejus longitudinem secantem, porticibus ex utraque parte inclusam dedit, et viam ejus subdialem lapide polito stravit, ad maximum ejus ornamentum et incolarum commoditatem. Præterea fecit ut ludi Olympici, propter pecuniæ inopiam nominis gloriæ haud satis respondentes, majori in honore haberentur, annuos eis reditus assignando, et quoad sacrificia reliquumque apparatum magnum celebritati honorem conciliavit. Ob hanc itaque liberalitatem fere omnium voce perpetuus in tabulas relatus erat agonotheta.

4. Jam vero alios forsan subeat mirari tantam in eo animi ingeniique diversitatem. Nam si ejus liberalitatem spectemus et beneficentiam, qua erga omnes usus est, non est sane ut quisquam, qui vel minimum ei tribuerit, infitias eat quod natura propensissimus fuerit ad benefaciendum: sin autem quis respexerit supplicia et injurias, quibus subditos affecit et sibi conjunctissimos, secumque perpendat quam durus fuerit et inexorabilem se præbuerit, victus fatebitur ipsum videri ferum et immanem et ab omni mansuetudine alienum: unde etiam existimant voluntatem ei variam fuisse et sibi dissentientem. Ego vero, seorsum ab his sentiens, unam eandemque utriusque causam fuisse arbitror. Eo enim quod honoris esset cupidissimus et totus huic affectui deditus, incitabatur ad magnificentiam, sicubi spes esset aut in præsens laudis aut in posterum memoriæ: quare quod profusior esset sumptibus quam res pateretur, subditis asper et iniquus esse cogebatur. Nam quum aliis plurimum largiretur, necesse erat id aliquando ab aliis male quærere; sibique conscius quod subditorum in odium incurrerit ob injurias illis factas, difficile quidem arbitrabatur vitia ista corrigere, (neque enim fieri potuit nisi reditus suos minueret,) contra vero nitebatur, ex ipsa illorum malevolentia captans occasionem suas augendi facultates. Et ad familiares quidem quod attinet, si quis ad ejus voluntatem non loqueretur, servum se ei obsequentem profitendo, aut aliquid in regnum ejus moliri creditus fuerit, ex impotentis animi effrenatione cognatos simul et amicos persequebatur, tanquam in hostes vindicans, istiusmodi in se peccata admittens, quod ipse solus honorari vellet. Quam vehementi autem hujus rei desiderio teneretur mihi testimonio sunt isti honores, quos Cæsari et Agrippæ aliisque amicis deferendos curavit.

φίλων τιμάς. Οἷς γὰρ ἐθεράπευε τοὺς κρείττονας, τούτοις καὐτὸς ἠξίου θεραπεύεσθαι, καὶ τὸ κάλλιστον ὧν ᾤετο παρέχειν, τῶν ὁμοίων ἐπιθυμίαν ἐδήλου. Τό γε μὴν Ἰουδαίων ἔθνος ἠλλοτρίωται νόμῳ πρὸς πάντα τὰ τοιαῦτα, καὶ συνείθισται τὸ δίκαιον ἀντὶ τοῦ πρὸς δόξαν ἠγαπηκέναι· διόπερ οὐκ ἦν αὐτῷ κεχαρισμένον, ὅτι μὴ δυνατὸν εἰκόσιν, ἢ ναοῖς, ἢ τοιούτοις ἐπιτηδεύμασιν κολακεύειν τοῦ βασιλέως τὸ φιλότιμον. Αἰτία μὲν αὕτη μοι δοκεῖ τῆς Ἡρώδου περὶ μὲν τοὺς οἰκείους καὶ συμβούλους ἁμαρτίας, περὶ δὲ τοὺς ἔξω καὶ μὴ προσήκοντας εὐεργεσίας.

ΚΕΦ. Ϛ'.

Τοὺς δὲ κατὰ τὴν Ἀσίαν Ἰουδαίους καὶ ὅσους ἡ πρὸς Κυρήνην Λιβύη κατέσχεν ἐκάκουν αἱ πόλεις, τῶν μὲν πρότερον βασιλέων ἰσονομίαν αὐτοῖς παρεσχημένων, ἐν δὲ τῷ τότε δι' ἐπηρείας ἐχόντων τῶν Ἑλλήνων αὐτούς, ὡς καὶ χρημάτων ἱερῶν ἀφαίρεσιν ποιεῖσθαι καὶ καταβλάπτειν ἐν τοῖς ἐπὶ μέρους. Πάσχοντες δὲ κακῶς καὶ πέρας οὐδὲν εὑρίσκοντες τῆς τῶν Ἑλλήνων ἀπανθρωπίας, ἐπρεσβεύσαντο πρὸς Καίσαρα καὶ περὶ τούτων. Ὁ δ' αὐτοῖς τὴν αὐτὴν ἰσοτέλειαν ἔδωκεν, γράψας τοῖς κατὰ τὰς ἐπαρχίας· ὧν ὑπεταξαμεν τὰ ἀντίγραφα μαρτύρια τῆς διαθέσεως ἣν ἔσχον ὑπὲρ ἡμῶν ἄνωθεν οἱ κρατοῦντες.

β'. « Καῖσαρ Σεβαστὸς, ἀρχιερεὺς, δημαρχι-
« κῆς ἐξουσίας * λέγει. Ἐπειδὴ τὸ ἔθνος τὸ τῶν
« Ἰουδαίων εὐχάριστον ηὑρέθη οὐ μόνον ἐν τῷ ἐνεσ-
« τῶτι καιρῷ, ἀλλὰ καὶ ἐν τῷ προγεγενημένῳ, καὶ
« μάλιστα ἐπὶ τοῦ ἐμοῦ πατρὸς αὐτοκράτορος Καί-
« σαρος, πρὸς τὸν δῆμον τῶν Ῥωμαίων, ὅ τε ἀρ-
« χιερεὺς αὐτῶν Ὑρκανὸς, ἔδοξέ μοι καὶ τῷ ἐμῷ
« συμβουλίῳ μετὰ ὁρκωμοσίας γνώμῃ δήμου Ῥω-
« μαίων, τοὺς Ἰουδαίους χρῆσθαι τοῖς ἰδίοις θεσμοῖς
« κατὰ τὸν πάτριον αὐτῶν νόμον, καθὼς ἐχρῶντο ἐπὶ
« Ὑρκανοῦ ἀρχιερέως Θεοῦ ὑψίστου, τά τε ἱερὰ εἶναι
« ἐν ἀσυλίᾳ, καὶ ἀναπέμπεσθαι εἰς Ἱεροσόλυμα, καὶ
« ἀποδίδοσθαι αὐτὰ τοῖς ἀποδοχεῦσιν Ἱεροσολύμων
« ἐγγύας τε μὴ ὁμολογεῖν αὐτοὺς ἐν σάββασιν, ἢ τῇ
« πρὸ ταύτης παρασκευῇ· ἀπὸ ὥρας ἐνάτης. Ἐὰν
« δέ τις φωραθῇ κλέπτων τὰς ἱερὰς βίβλους αὐτῶν, ἢ
« τὰ ἱερὰ χρήματα, ἔκ τε σαββατείου ἔκ τε ἀν-
« δρῶνος, εἶναι αὐτὸν ἱερόσυλον, καὶ τὸν βίον αὐτοῦ
« ἐνεχθῆναι εἰς τὸ δημόσιον τῶν Ῥωμαίων. Τὸ δὲ
« ψήφισμα τὸ δοθέν μοι ὑπ' αὐτῶν, ὑπὲρ τῆς ἐμῆς
« εὐσεβείας, ἧς ἔχω πρὸς πάντας ἀνθρώπους, καὶ
« ὑπὲρ Γαΐου Μαρκίου Κηνσωρίνου, καὶ τοῦτο τὸ
« διάταγμα κελεύω ἀνατεθῆναι ἐν ἐπισημοτάτῳ τόπῳ
« γενηθέντι μοι ὑπὸ τοῦ κοινοῦ τῆς Ἀσίας ἐν Ἀγκύρῃ.
« Ἐὰν δέ τις παραβῇ τι τῶν προειρημένων, δώσει
« δίκην οὐχὶ μετρίαν ». Ἐστηλογραφήθη ἐν τῷ Καί-
σαρος ναῷ.

γ'. « ΚΑΙΣΑΡ ΝΟΡΒΑΝΩΙ ΦΛΑΚΚΩΙ ΧΑΙΡΕΙΝ. Ἰου-
« δαῖοι, ὅσοι ποτ' οὖν εἰσὶν οἱ δι' ἀρχαίαν συνήθειαν

Quemadmodum enim majores colebat ipse, ita sibi *a minoribus* fieri volebat, et quod ille optimum se dare putabat, id ipsum desiderare indicio erat. Atqui Judæorum gens lege sua ab istis omnibus abhorrebat, et assuefacta erat majorem justi et æqui quam gloriæ rationem habere : quapropter ipsi non adeo grata erat et accepta, quod non potuerat statuis et templis et hujusmodi rebus regis ambitionem adulari. Mihi quidem hæc causa videtur cur familiares et consiliorum participes male tractando peccaverit, dum exteros et alienos beneficiis demereri studuerit.

CAP. VI. (X.)

Ceterum Judæi qui in Asia et Libya Cyrenensi degebant, a civitatibus vexabantur, quum superioribus quidem regibus in æquo jure ipsis concesso fuissent, tunc vero per Græcos injuriis afficerentur, adeo ut sacra pecunia spoliarentur et privatim læderentur. Quapropter quum in ea calamitate essent, neque Græcorum crudelitatis finem ullum invenirent, miserunt etiam istis de rebus legatos ad Cæsarem. Ille vero iis juris æquitatem concessit, et ad provinciales ea de re scripsit : quorum rescriptorum exemplaria subjecimus, ut nobis testimonio sint, qua in nos voluntate fuerint imperatores superiores.

2. « Cæsar Augustus, pontifex maximus, tribunitiæ po-
« testatis * edicit. Quandoquidem Judæorum gens non se-
« lum hoc tempore fida et grata populo Romano inventa
« est, sed et multo ante, maximeque sub patre meo Cæsare
« imperatore, et in primis pontifex maximus Hyrcanus,
« placuit mihi et consiliariis meis auctoratis, de sententia
« populi Romani, ut Judæi suis moribus uti ex patria ipso-
« rum lege sinerentur, quemadmodum utebantur tempore
« Hyrcani pontificis summi Dei; neque eorum donaria attin-
« gerentur, sed Hierosolyma mitti *permitterentur*, et tradi
« receptoribus Hierosolymorum : neve cogerentur ad vadi-
« monia præstanda sabbatis, aut quæ ante hæc fuerit præ-
« paratio ab hora nona. Quodsi quis furatus sacros eorum
« libros aut sacram pecuniam, ex cella sabbataria aut ex
« cella conclavium virorum, deprehensus fuerit, pro sa-
« crilego habetor, ejusque bona in publicum populo Ro-
« mano addicuntor. Decretum etiam quod mei in hono-
« rem scripserunt, ob meum in universum hominum gens
« pietatem, ob Caii Marcii Censorini merita, una cum hoc
« edicto reponendum esse jubeo in loco celeberrimo a
« communi Asiæ mihi Ancyræ consecrato. Si quis contra
« ea, quæ ediximus, fecerit, non levi mulctabitur pœna. »
Inscriptum est columnæ in templo Cæsaris.

3. « Cæsar norbano flacco salutem. Judæis ubicun-
« que gentium degentibus, qui ex veteri instituto soliti erant

« εἰώθασι χρήματά τε ἱερὰ φέροντες ἀναπέμπειν εἰς « Ἱεροσόλυμα, ἀκωλύτως τοῦτο ποιείτωσαν. » Καὶ ταῦτα μὲν Καῖσαρ.

δ'. Ἀγρίππας δὲ καὶ αὐτὸς ἔγραψεν ὑπὲρ τῶν Ἰουδαίων τὸν τρόπον τοῦτον. « Ἀγρίππας Ἐφεσίων « ἄρχουσι, βουλῇ, δήμῳ χαίρειν. Τῶν εἰς τὸ ἱερὸν « τὸ ἐν Ἱεροσολύμοις ἀναφερομένων ἱερῶν χρημάτων « τὴν ἐπιμέλειαν καὶ φυλακὴν βούλομαι τοὺς ἐν Ἀσίᾳ « Ἰουδαίους ποιεῖσθαι κατὰ τὰ πάτρια· τούς τε κλέ- « πτοντας ἱερὰ χρήματα τῶν Ἰουδαίων, καταφεύγοντάς « τε εἰς τὰς ἀσυλίας, βούλομαι ἀποσπᾶσθαι καὶ παρα- « δίδοσθαι τοῖς Ἰουδαίοις, ᾧ δικαίῳ ἀποσπῶνται οἱ « ἱερόσυλοι. Ἔγραψα δὲ καὶ Σιλανῷ τῷ στρατηγῷ, « ἵνα σάββασι μηδεὶς ἀναγκάζῃ Ἰουδαῖον ἐγγύας ὁμο- « λογεῖν. »

ε'. « ΜΑΡΚΟΣ ΑΓΡΙΠΠΑΣ Κυρηναίων ἄρχουσι, βου- « λῇ, δήμῳ χαίρειν. Οἱ ἐν Κυρήνῃ Ἰουδαῖοι, ὑπὲρ ὧν « ἤδη ὁ Σεβαστὸς ἔπεμψεν πρὸς τὸν ἐν Λιβύῃ στρατηγὸν « τότε ὄντα Φλάβιον καὶ πρὸς τοὺς ἄλλους τοὺς τῆς « ἐπαρχίας ἐπιμελουμένους, ἵνα ἀνεπικωλύτως ἀναπέμ- « πηται τὰ ἱερὰ χρήματα εἰς Ἱεροσόλυμα, ὡς ἐστὶν αὐτοῖς « πάτριον, ἐνέτυχόν μοι νῦν, ὡς ὑπό τινων συκοφαντῶν « ἐπηρεάζοιντο, καὶ ὡς ἐν προφάσει τελῶν μὴ ὀφειλο- « μένων κωλύοιντο· οἷς ἀποκαθιστάνειν κατὰ μηδένα « τρόπον ἐνοχλουμένοις, καὶ εἴ τινων ἱερὰ χρήματα « ἀφῄρηνται τῶν πόλεων τοὺς εἰς ταῦτα ἀποκεκριμένους, « καὶ ταῦτα διορθώσασθαι τοῖς ἐκεῖ Ἰουδαίοις κελεύω. »

ς'. « ΓΑΙΟΣ ΝΟΡΒΑΝΟΣ ΦΛΑΚΚΟΣ ἀνθύπατος Σαρ- « διανῶν ἄρχουσι καὶ βουλῇ χαίρειν. Καῖσάρ μοι « ἔγραψε κελεύων μὴ κωλύεσθαι τοὺς Ἰουδαίους ὅσοι ἂν « ὦσι κατὰ τὸ πάτριον αὐτοῖς ἔθος συναγαγόντες χρή- « ματα ἀναπέμπειν εἰς Ἱεροσόλυμα. Ἔγραψα οὖν « ὑμῖν, ἵν' εἰδῆτε ὅτι Καῖσαρ κἀγὼ οὕτω θέλομεν « γίνεσθαι. »

ζ'. Οὐδὲν ἧττον καὶ Ἰούλιος Ἀντώνιος ἀνθύπατος ἔγραψεν. « Ἐφεσίων ἄρχουσι, βουλῇ, δήμῳ χαί- « ρειν. Οἱ ἐν τῇ Ἀσίᾳ κατοικοῦντες Ἰουδαῖοι εἰδοῖς « Φεβρουαρίοις δικαιοδοτοῦντί μοι ἐν Ἐφέσῳ ὑπέδει- « ξαν Καίσαρα τὸν Σεβαστὸν καὶ Ἀγρίππαν συγκεχω- « ρηκέναι αὐτοῖς χρῆσθαι τοῖς ἰδίοις νόμοις καὶ ἔθεσιν, « ἀπαρχάς τε ἃς ἕκαστος αὐτῶν ἐκ τῆς ἰδίας προαιρέ- « σεως εὐσεβείας ἕνεκα τῆς πρὸς τὸ θεῖον * * ἀνακο- « μιδῆς συμπορευομένους, ποιεῖν ἀνεμποδίστως· ἤτουν « τε ὅπως κἀγὼ ὁμοίως τοῖς ὑπὸ τοῦ Σεβαστοῦ καὶ « Ἀγρίππα δοθεῖσιν τὴν ἐμὴν γνώμην βεβαιώσω. « Ὑμᾶς οὖν βούλομαι εἰδέναι ἐμὲ τοῖς τοῦ Σεβαστοῦ « καὶ Ἀγρίππα βουλήμασι συνεπιτρέπειν αὐτοῖς χρῆ- « σθαι καὶ ποιεῖν κατὰ τὰ πάτρια χωρὶς ἐμποδι- « σμοῦ. »

η'. Ταῦτα μὲν οὖν παραθέμην ἐξ ἀνάγκης, ἐπειδὴ μέλλουσιν αἱ τῶν ἡμετέρων πράξεων ἀναγραφαὶ τὸ πλέον εἰς τοὺς Ἕλληνας ἰέναι, δεικνὺς αὐτοῖς ὅτι πάσης τιμῆς ἄνωθεν ἐπιτυγχάνοντες οὐδὲν τῶν πατρίων ἐκωλύθημεν ὑπὸ τῶν ἀρχόντων πράττειν, ἀλλὰ καὶ

« pecuniam sacram Hierosolyma mittere, liceat hoc facere « nemine prohibente. » Atque hæc quidem Cæsar.

4. Porro et ipse Agrippa pro Judæis scripsit in hunc modum. « Agrippa Ephesiorum magistratibus, senatui et « populo salutem. Pecuniæ sacræ, quæ Hierosolyma in « templum mitti solet, procurationem et custodiam penes « Judæos in Asia esse volo more patrio : et si qui sacram « Judæorum pecuniam furati ad asyla confugerint, eos « inde abstrahi volo et Judæis tradi, quo jure abstrahi solent « sacrilegi. Insuper et Silano prætori scripsi ne quis Ju- « dæum sabbatis compellat ad vadimonia præstanda. »

5. « M. AGRIPPA Cyrenæorum magistratibus, senatui, « populo salutem. Judæi Cyrenenses, pro quibus jam Au- « gustus scripsit Flavio Libyæ tum prætori, aliisque istius « provinciæ procuratoribus, non esse vetandos mittere ex « more patrio sacram pecuniam Hierosolyma, nunc me in- « terpellarunt, dicentes se vexari a delatoribus quibusdam « improbis, vetarique hoc facere simulatione quorundam « tributorum quæ minime debentur : quibus sine ulla mo- « lestia in integrum restitui jubeo, etiam sacram urbis « uniuscujusque pecuniam, si quæ hominibus erepta fuerit « ad eam colligendam custodiendamve delectis, curarique « ut res istæ Judæis, qui illic sint, in melius cedant. »

6. « CAIUS NORBANUS FLACCUS proconsul Sardianorum « magistratibus et senatui salutem. Cæsar mihi scripsit « jubere se ut Judæi quicunque more patrio pecuniam col- « legerint, nequaquam vetentur eam Hierosolyma mittere. « Vobis itaque scripsi, ne vos lateat quod et Cæsar et ego « hoc ita fieri volumus. »

7. Nec aliter Julius Antonius proconsul scripsit. « Ephe- « siorum magistratibus, senatui, populo salutem. Judæi « Asiam habitantes mihi, idibus Februariis Ephesi jus red- « denti, indicaverunt Cæsarem Augustum et Agrippam ipsis « concessisse ut ex suis legibus et institutis viverent, et « primitias, quas unusquisque sponte sua ex pietate in Deum « *solvet*, liceat, nemine prohibente, cum comitatu depor- « tare; rogabantque ut ipse, convenienter iis quæ a Cæ- « sare et Agrippa concessa erant, meam sententiam decreto « sanciem. Volo itaque vos scire meam, ut Cæsaris et « Agrippæ, voluntatem esse, ut permittantur pro libitu vi- « vere atque agere juxta patriam consuetudinem. »

8. Et hæc quidem apponere necesse habui, ut ostenderem Græcis, quorum in manus maxime perventura sunt quæ de rebus nostris gestis perscripsi, quod superiore tempore omni in honore habiti, nequaquam a magistratibus prohibiti fuerimus ex patriis legibus vitam instituere; sed

συνεργούμεθα τὰ τῆς θρησκείας ἔχοντες καὶ τῶν εἰς τὸν Θεὸν τιμῶν. Ποιοῦμαι δὲ πολλάκις αὐτῶν τὴν μνήμην ἐπιδιαλλάττων τὰ γένη, καὶ τὰς ἐμπεφυκυίας τοῖς ἀλογίστοις ἡμῶν τε κἀκείνου μίσους αἰτίας ὑπεξαιρούμενος. Ἔθεσι μὲν γὰρ οὐδέν ἐστι γένος ὃ τοῖς αὐτοῖς ἀεὶ χρῆται, καὶ κατὰ πόλεις ἔσθ' ὅπη πολλῆς ἐγγινομένης τῆς διαφορᾶς· τὸ δίκαιον δὲ πᾶσιν ἀνθρώποις ὁμοίως ἐπιτηδεύσει λυσιτελέστατον ὂν Ἕλλησί τε καὶ βαρβάροις, οὗ πλεῖστον οἱ παρ' ἡμῖν νόμοι λόγον ἔχοντες ἅπασιν ἡμᾶς, εἰ καθαρῶς ἐμμένοιμεν αὐτοῖς, εὔνους καὶ φίλους ἀπεργάζονται. Διὸ καὶ ταῦτα παρ' ἐκείνων ἡμῖν ἀπαιτητέον, καὶ δέον οὐκ ἐν τῇ διαφορᾷ τῶν ἐπιτηδευμάτων οἴεσθαι τὸ ἀλλότριον, ἀλλ' ἐν τῷ πρὸς καλοκἀγαθίαν ἐπιτηδείως ἔχειν· τοῦτο γὰρ κοινὸν ἅπασι καὶ μόνον ἱκανὸν διασώζειν τὸν τῶν ἀνθρώπων βίον. Ἐπάνειμι δὲ ἐπὶ τὰ συνεχῆ τῆς ἱστορίας.

ΚΕΦ. Ζ'.

Ὁ γὰρ Ἡρώδης, πολλοῖς τοῖς ἀναλώμασιν εἴς τε τὰς ἔξω καὶ τὰς ἐν τῇ βασιλείᾳ χρώμενος, ἀκηκοὼς ἔτι τάχιον ὡς Ὑρκανὸς ὁ πρὸ αὐτοῦ βασιλεὺς ἀνοίξας τὸν Δαυίδου τάφον ἀργυρίου λάβοι τρισχίλια τάλαντα, κειμένων πολὺ πλειόνων ἔτι καὶ δυναμένων εἰς ἅπαν ἐπαρκέσαι ταῖς χορηγίαις, ἐκ πλείονος μὲν δι' ἐννοίας εἶχε τὴν ἐπιχείρησιν, ἐν δὲ τῷ τότε νυκτὸς ἀνοίξας τὸν τάφον εἰσέρχεται πραγματευσάμενος ἥκιστα μὲν ἐν τῇ πόλει φανερὸς εἶναι, παρειληφὼς δὲ τοὺς πιστοτάτους τῶν φίλων. Ἀποθέσιμα μὲν οὖν χρήματα, καθάπερ Ὑρκανὸς, οὐχ ηὗρεν, κόσμον δὲ χρυσοῦ καὶ κειμηλίων πολὺν, ὃν ἀνείλετο πάντα. Σπουδὴν δ' εἶχεν, ἐπιμελεστέραν ποιούμενος τὴν ἔρευναν, ἐνδοτέρω τε χωρεῖν καὶ κατὰ τὰς θήκας, ἐν αἷς ἦν τοῦ Δαυίδου καὶ τοῦ Σολομῶνος τὰ σώματα. Καὶ δύο μὲν αὐτῷ τῶν δορυφόρων διεφθάρησαν, φλογὸς ἔνδοθεν εἰσιούσιν ἀπαντώσης, ὡς ἐλέγετο· περίφοβος δ' αὐτὸς ἐξῆλθε καὶ τοῦ δέους ἱλαστήριον μνῆμα λευκῆς πέτρας ἐπὶ τῷ στομίῳ κατεσκευάσατο, πολυτελὲς τῇ δαπάνῃ. Τούτου καὶ Νικόλαος, ὁ κατ' αὐτὸν ἱστοριογράφος, μέμνηται τοῦ κατασκευάσματος, οὐ μὴν ὅτι κατῆλθεν, οὐκ εὐπρεπῆ τὴν πρᾶξιν ἐπισταμένος. Διατελεῖ δὲ καὶ τἄλλα τοῦτον τὸν τρόπον χρώμενος τῇ γραφῇ. Ζῶν τε γὰρ ἐν τῇ βασιλείᾳ καὶ συνὼν αὐτῷ, κεχαρισμένως ἐκείνῳ καὶ καθ' ὑπηρεσίαν ἀνέγραφεν, μόνων ἁπτόμενος τῶν πρὸς εὔκλειαν αὐτῷ φερόντων, πολλὰ δὲ καὶ τῶν ἐμφανῶς ἀδίκων ἀντικατασκευάζων καὶ μετὰ πάσης σπουδῆς ἐπικρυπτόμενος· ὅς γε καὶ τὸν Μαριάμμης θάνατον καὶ τῶν παίδων αὐτῆς ὡμῶς τῷ βασιλεῖ πεπραγμένον εἰς εὐπρέπειαν ἀνάγειν βουλόμενος ἐκείνης τε ἀσέλγειαν καὶ τῶν νεανίσκων ἐπιβουλὰς καταψεύδεται, καὶ διατετέλεκε τῇ γραφῇ τὰ μὲν πεπραγμένα δικαίως τῷ βασιλεῖ πριττότερον ἐγκωμιάζων, ὑπὲρ δὲ τῶν παρανομηθόντων ἐσπουδασμένως ἀπολογούμενος. Ἐκείνῳ μὲν οὖν πολλὴν ἄν τις, ὡς ἔφην, ἔχοι τὴν συγγνώμην· οὐ γὰρ ἱστορίαν τοῖς ἄλλοις, ἀλλὰ ὑπουργίαν τῷ βασι-

eorum etiam auctoritate freti et muniti religionem Deique cultum conservarimus. Sæpius autem illorum mentionem facio, ut gentes reconciliem, odiique in nos et illum causas in hominibus nihil pensi habentibus insitas ejiciam. Nam gens quidem nulla est, quæ tota eisdem semper utatur institutis, sed oppidatim fere discrepatur plurimum : at jus ipsum omnibus ex æquo hominibus accommodatur, tam barbaris utilissimum quam Græcis : cujus quidem rationem habentes maximam quæ apud nos sunt leges, faciunt nos, modo eas recte observemus, cunctis hominibus benevolos et amicos. Quamobrem par est ut et ista ab illis expetamus ; neque nos arbitrari a se alienos debent *alii* eo quod institutis differamus, sed id potius spectare an ad virtutem et probitatem comparata sint : hoc enim ad omnes communiter pertinet, solumque per se sufficit ad tuendam hominum vitam. Sed ad narrationem institutam redeo.

CAP. VII. (XI.)

Herodes vero, qui tum in regno suo tum extra ingentes sumptus faciebat, quum jam ante audivisset Hyrcanum, suum in regno antecessorem, aperto sepulcro Davidis, inde tria millia talentorum argenti abstulisse, atque ibi multo adhuc plura restare, quæ ejus largitioni abunde sufficerent, multo quidem ante in animo habebat ut idem faceret : tunc vero noctu recluso sepulcro, eo cum amicorum suorum fidelissimis intravit, cavens ne id in urbe resciscceretur. Et pecunias quidem depositas similiter ac Hyrcanus non invenit, sed aurea ornamenta multumque supellectilis pretiosæ, quæ omnia abstulit. Ac, dum accurate rimatur, voluit etiam ulterius progredi ad ipsa usque conditoria, in quibus sita erant corpora Davidis et Solomonis. Ac duos e suis satellitibus amisit, flamma ex adytis, ut ferebatur, prodeunte quæ in intrantes incidit : ille vero perterritus exiit et placandi numinis gratia exstruxit in ostio sepulcri magnis sumptibus monumentum albo lapide. Hujus etiam operis meminit Nicolaus historiarum scriptor, qui Herodis tempore floruit ; non tamen *memoravit* quod descenderit *rex*, præter decorum id factum esse sciens : ac cetera quoque hoc modo scribendæ historiæ constanter utitur. Nam quum et in regno ejus vixerit et simul cum eo, quæ illi grata essent eique inservirent, scriptis mandavit, ea tantum attingens quæ ad gloriam ejus pertinerent ; insuper et multa ejus facinora manifesto injusta aliis coloribus depingens, et quantum potuit occultare studens. Ille etiam Mariamnes ejusque liberorum cædi, crudeliter a rege perpetratæ, speciosam causam astruere volens, illam calumniatur quod impudice se gesserit, juvenesque, quod insidias struxerint : totoque in opere idem fecit, quæ a rege præclare gesta erant nimium extollens, quæ vero improbe egerit excusare laborans. Ceterum illi, ut dixi, facile quis potest ignoscere : nam id sibi negotii dedit, non ut res gestas aliis narraret, sed

λεῖ ταύτην ἐποιεῖτο. Ἡμεῖς δὲ, καὶ γένους ὄντες ἀγχοῦ τῶν ἐξ Ἀσαμωναίου βασιλέων καὶ διὰ τοῦτο σὺν τιμῇ τὴν ἱερωσύνην ἔχοντες, τὸ ψεύσασθαί τι περὶ αὐτῶν οὐκ εὐπρεπὲς ὑπειληφότες καθαρῶς καὶ δικαίως ἐκτίθεμεν τὰς πράξεις, πολλοὺς μὲν τῶν ἐγγόνων τῶν ἐκείνου βασιλεύοντας ἔτι δι' ἐντροπῆς ἔχοντες, τὴν δ' ἀλήθειαν πρὸ ἐκείνων τετιμηκότες, ἣν, ὅτε δικαίως ἐγίνετο * * συνέβη δὲ παρ' αὐτοῖς ἐκείνοις ὀργῆς τυγχάνειν.

β'. Ἡρώδης δὲ διὰ τὴν ἐπιχείρησιν, ἣν ἐποιήσατο τῷ τάφῳ, χεῖρον ἐδόκει πράττειν ἐν τοῖς κατὰ τὴν οἰκίαν, εἴτε δὴ τοῦ μνήματος ἐπιδόντος εἰς ἃ μάλιστα καὶ πρότερον ἐνόσει πλείω γενέσθαι καὶ πρὸς ἀνηκέστους ἐξελθεῖν συμφορὰς, εἴτε καὶ τῆς τύχης ἐν ἐκείνοις τὴν ἐπίθεσιν ποιουμένης, ἐν οἷς τὸ κατὰ τὴν αἰτίαν εὔκαιρον οὐ μικρὰν πίστιν παρεῖχε τοῦ διὰ τὴν ἀσέβειαν αὐτῷ τὰς συμφορὰς ἀπηντηκέναι. Στάσις γὰρ ἦν ὥσπερ ἐμφυλίου πολέμου κατὰ τὴν αὐλὴν καὶ μίση πρὸς ἀλλήλους ἀνθ' ὑπερβαλλομένων ταῖς διαβολαῖς. Ἐστρατήγει δ' ἀεὶ κατὰ τῶν ἀδελφῶν Ἀντίπατρος, δεινὸς ὢν ἔξωθεν μὲν περιβάλλειν αὐτοὺς ταῖς αἰτίαις, αὐτὸς δὲ πολλάκις ἀπολογουμένου τόπον λαμβάνειν, ἵν' ἢ τὸ δοκοῦν εὔνουν πιστὸν αὐτῷ πρὸς τὰς ἐπιχειρήσεις ὧν ἐδόκει. Καὶ τούτῳ τῷ τρόπῳ ποικίλως ἐξεριελήλυθει τὸν πατέρα, μόνος ὑπὲρ τῆς ἐκείνου σωτηρίας ἅπαντα πράττειν αὐτὸς πεπιστευκώς. Ὁ δὲ καὶ Πτολεμαῖον, ὃς ἦν αὐτῷ διοικητὴς τῶν τῆς βασιλείας πραγμάτων, Ἀντιπάτρῳ συνίστη, καὶ μετὰ τῆς ἐκείνου μητρὸς ὑπὲρ τῶν ἐπειγόντων ἐβουλεύετο. Καὶ καθόλου τὰ πάντα ἦσαν οὗτοι, καὶ πράττειν ὅσα θέλοιεν καὶ πρὸς δύσνοιαν ἄγειν τὸν βασιλέα τῶν ἔξωθεν ὅσοις ἐδόκει συμφέρειν. Οἱ δ' ἐκ τῆς Μαριάμμης χαλεπώτερον ἀεὶ διετίθεντο, καὶ τὴν ἀτιμίαν ὑπ' εὐγενείας οὐκ ἔφερον παρεωσμένοι καὶ τάξιν ἀτιμοτέραν ἔχοντες. Αἵ γε μὴν γυναῖκες, ἡ μὲν Ἀλεξάνδρῳ συνοικοῦσα, θυγάτηρ Ἀρχελάου Γλαφύρα, μῖσος εἶχεν εἰς τὴν Σαλώμην, κατά τε τὴν πρὸς τὸν ἄνδρα διάθεσιν καὶ τοῦ πρὸς τὴν ἐκείνης θυγατέρα δοκεῖν ὑπερηφανώτερον διακεῖσθαι· συνῴκει μὲν γὰρ Ἀριστοβούλῳ, τὴν δὲ ἰσοτιμίαν αὐτῆς ἀνηξιοπάθει Γλαφύρα.

γ'. Δευτέρας οὖν ταύτης ἔριδος ἐμπεπτωκυίας, οὐδ' ὁ τοῦ βασιλέως ἀδελφὸς Φερώρας ἔξω ταραχῆς ἦν. Ἰδίαν δὲ ὑπόθεσιν ὑποψίας καὶ μίσους εἶχεν. Ἐμπεπτώκει μὲν γὰρ εἰς ἔρωτα δουλευούσης αὐτῷ γυναικὸς, ἥττητο δὲ τῆς ἀνθρώπου μεμηνότως, ἐπὶ τοσοῦτον κρατούμενος ὥστ' αὐτῷ καὶ τῆς τοῦ βασιλέως ἐγγυηθείσης θυγατρὸς τὴν μὲν ὑπερηφανῆσαι, πρὸς δὲ τῇ δούλῃ τὸν νοῦν εἶχεν. Ἤχθετο δὲ ἀτιμασθεὶς Ἡρώδης τῷ πολλὰ μὲν εὐεργετῆσαι τὸν ἀδελφὸν, δυνάμει δὲ καὶ κοινωνὸν ἔχειν τῆς βασιλείας, οὐχ ὅμοιον εἰς τὰς ἀμοιβὰς ὁρῶν, κἂν τῷ προσώπῳ δυστυχεῖν ᾤετο. Καὶ τὴν μὲν κόρην, μὴ τυχὼν Φερώρα δικαίου, παιδὶ Φασαήλου δίδωσιν, αὐτὸς δὲ, χρόνου διελθόντος οἰόμενος ἤδη παρηκμακέναι τὴν ἐπιθυμίαν τἀδελφῷ, περί τε τῶν

ut regi in hac re gratificaretur. Nos vero, qui etiam generis propinquitate reges ex stirpe Asamonæi attingimus, propterea que sacerdotii honore fungimur, minime id nos decere rati ut illorum gratia falsi quid audeamus, incorrupte sincereque res actas exponimus, multos quidem e posteris illius regno potitos adhuc reverentes, ita tamen ut veritatem quam eos pluris fecerimus, quam, dum honeste fiebat ** accidit autem ut eos ipsos nobis iratos haberemus.

2. Ceterum Herodis domesticæ res, posteaquam sepulcrum aggressus est, in dies deterius habebant, sive diris ultricibus in eam partem invadentibus, qua jam ante maxime laborabat, ut malum ingravesceret ad insanabilem usque calamitatem, sive fortuna eo tempore in illum impetum faciente, quo res opportune adeo ceciderunt, ut fidem haud parvam facerent ipsum propter impietatem in miserias istas incidisse. Dissidium enim erat in regia quod belli civilis speciem præ se ferebat, et mutua crescebant odia, unde alii alios certatim calumniis onerabant. Antipater autem semper aliquid adversus fratres moliebatur, adeoque malitiose versutus erat, ut eos ab aliis insimulandos curaret, at ipse sæpe eos simulate excusaret, ut quoniam benevolus videretur fidem inveniret in conatibus quos contra illos conceperat. Atque hoc pacto ita callide patrem circumveniebat, ut is crederet unum esse Antipatrum, cui patris salus summæ curæ foret. Herodes etiam Ptolemæum, negotiorum regni sui procuratorem, Antipatro commendavit, ac magnis de rebus cum Antipatri matre consultabat. In summa hi omnia erant, ut et quæ vellent facerent, et in alios prout ipsis videretur regis odium commoverent. Erat autem ea res Mariammes filiis in dies gravior, et quod ad omnia summa nati essent, hoc eos pupugit dedecus, neque se repelli suamque dignitatem minui ferre poterant. Immo et de feminis Glaphyra Archelai filia, Alexandri conjux, simultatem cum Salome exercebat, partim propter suum in maritum amorem, partim quia habita esset paulo insolentior in ejus filiam : nam nupta quidem ea erat Aristobulo, sed illa pari eam secum dignitate esse indigne ferebat.

3. Ceterum altera hac lite exorta, etiam frater regis Pheroras turbas ciebat. Illi vero erat privata suspicionis et odii causa. Nam amore captus est servæ mulierculæ, quam habebat, atque ita perdite eam adamavit, ut spreta regis, quam sibi desponderat, filia, servæ totus adhæresceret. Quam rem ægre ferebat Herodes, quasi contumelia affectus, quum frater, quem tot beneficiis ornaverat et eo potentiæ evexerat ut regni socius esset, sibi in amore parum responderet : atque in eo homine sese infelicem esse existimabat. Et puellam quidem, quum parum æquum haberet Pheroram, Phasaeli filio nuptam locavit; tempore vero aliquanto post, arbitratus fratris amores

πρώτων ἠτιᾶτο καὶ τὴν δευτέραν ἠξίου λαμβάνειν· Κύπρος δ' ἐκαλεῖτο. Φερώρᾳ δὲ συμβουλεύει Πτολεμαῖος ἤδη παυσαμένῳ τῆς εἰς τὸν ἀδελφὸν ἀτιμίας καταβαλεῖν τὸν ἔρωτα· καὶ γὰρ αἰσχρὸν εἶναι δούλης ἡττώμενον ἀποστερεῖν μὲν αὐτὸν τῆς εὐνοίας τῆς παρὰ βασιλέως, αἴτιον δὲ κἀκείνῳ ταραχῆς καὶ μίσους πρὸς αὐτὸν καθίστασθαι. Ταῦτ' ἐκεῖνος εἰδὼς λυσιτελήσοντα, τῷ καὶ πρότερον ἐν διαβολαῖς γενόμενος συνεγνῶσθαι, τὴν μὲν ἄνθρωπον, ἤδη καὶ παῖδα ἐξ αὐτῆς ἔχων, ἀποπέμπεται, βασιλεῖ δὲ ὡμολόγει λήψεσθαι τὴν δευτέραν αὐτοῦ θυγατέρα, καὶ τριακοστὴν ἡμέραν συνέθετο τοῦ γάμου, συνεπομνύμενος ὡς οὐδὲν ἔτι κοινώνημα πρὸς τὴν ἀποπεμφθεῖσαν ἔσται. Διελθουσῶν δὲ τῶν τριάκοντα ἡμερῶν τοσοῦτον ἦν ἥττων τοῦ ἔρωτος, ὥστε μηδὲν μὲν ἔτι ποιῆσαι τῶν ὡμολογημένων, πάλιν δὲ διατελεῖν ἐπὶ τῇ πρώτῃ. Ταῦτα φανερῶς ἤδη τὸν Ἡρώδην ἐλύπει καὶ πρὸς ὀργὴν ἦγεν. Ἦσαν οὖν λόγοι τινὲς ἀεὶ προσπίπτοντες παρ' αὐτοῦ, καὶ πολλοὶ τὴν ὀργὴν τοῦ βασιλέως ἀφορμὴν τῶν κατὰ Φερώρα διαβολῶν ἐποιοῦντο. Διέλειπε δὲ οὐκέτι τις ἡμέρας οὐδ' ὥρα, καθ' ἣν ἀτρεμεῖν αὐτῷ συνέβαινεν, ἀλλ' ἀεί τι προσέπιπτεν καινὸν ἀγώνισμα τῶν συγγενῶν καὶ φιλτάτων εἰς ἀλλήλους πεποιημένων. Τοῦτο μὲν γὰρ ἡ Σαλώμη χαλεπὴ καὶ δύσνους οὖσα τοῖς ἐκ Μαριάμμης, οὐδὲ τὴν ἑαυτῆς θυγατέρα συνοικοῦσαν Ἀριστοβούλῳ, θατέρῳ τῶν νεανίσκων, εἶα τῇ τοῦ γάμου πρὸς ἐκεῖνον εὐνοίᾳ χρῆσθαι, λέγειν εἴ τι λαλήσειεν κατ' ἰδίαν ἀναπείθουσα καὶ μηνύειν ἑαυτῇ, κἂν τοῖς προσκρούσμασιν, οἷα συμβαίνει, πολλὰς ὑποψίας εἰσάγουσα. Δι' ὧν αὐτὴ μὲν ἅπαντα τὰ κατ' ἐκείνους ἐμάνθανε, δύσνουν δὲ τὴν παῖδα τῷ νεανίσκῳ πεποίηκε. Χαριζομένη δ' ἐκείνη τῇ μητρὶ πολλάκις ἔλεγεν ὡς μέμνηνται μὲν ἰδιάζοντες ἐκεῖνοι τῆς Μαριάμμης, ἐστυγήκασι δὲ τὸν πατέρα, συνεχὲς δὲ διαπειλοῦσιν, εἰ τύχοιεν αὐτοὶ ποτὲ τῆς ἀρχῆς, τοὺς μὲν ἐκ τῶν ἄλλων γυναικῶν παῖδας Ἡρώδῃ γεγενημένους κωμογραμματεῖς καταστήσειν, (ἁρμόσειν γὰρ εἰς τοιαύτην χρείαν τὸ νῶν ἐπιμελὲς αὐτῶν καὶ πρὸς παιδείαν ἐσπουδασμένον,) τὰς δὲ γυναῖκας, εἴ ποτε καὶ ταύτας ἴδοιεν τοῦ μητρῴου κόσμου μετειληφυίας, ἀντὶ τῆς παρούσης ἁβρότητος ἀπειλεῖν ὡς τριχίναις ἡμφιεσμέναι καθεδοῦνται μηδὲ τὸν ἥλιον βλέπουσαι. Ταῦτ' εὐθὺς ἀπηγγέλλετο διὰ τῆς Σαλώμης τῷ βασιλεῖ· κἀκεῖνος ἤκουε μὲν ἀλγεινῶς, ἐπειρᾶτο δὲ διορθοῦν. Ἐκακοῦτο δὲ ταῖς ὑποψίαις καὶ χείρων ἀεὶ γινόμενος ἅπασιν κατὰ πάντων ἐπίστευεν, Οὐ μὴν ἀλλὰ τότε μέν ἐπιπλήξας τοῖς παισὶν, ἀπολογησαμένων ῥᾳόων εἰς τὸν καιρὸν ἐγίνετο, ταῖς δ' ἑξῆς πολὺ χείρω προσέπεσεν.

δ'. Ὁ γὰρ Φερώρας ἐλθὼν παρὰ τὸν Ἀλέξανδρον, ἔχοντα τὴν Ἀρχελάου θυγατέρα Γλαφύραν, ὡς ἐδηλώσαμεν, Σαλώμης ἔφη λεγούσης ἀκηκοέναι, τὸν Ἡρώδην ἡττῆσθαι τοῦ τῆς Γλαφύρας ἔρωτος καὶ δυσπαρηγόρητον αὐτῷ τὴν ἐπιθυμίαν εἶναι. Τοῦτο οὖν ἐκεῖνος ἀκούσας ὑπό τε νεότητος καὶ ζηλοτυπίας ἐξεκαίετο,

jam refrixisse, de prima apud eum expostulavit, et ut secundam, nomine Cypron, duceret, postulavit. Tum Ptolemæus Pheroræ consilium dat ut omissis amoribus suis fratri opprobrio esse desineret : turpe enim esse servam deperiundo semet privare regis amicitia, eique molestiam facessere et sibi odium conflare. Illi itaque, id e re sua esse videns, quod sibi ante accusato venia data fuisset, cum muliere, quamvis ex ea jam filium haberet, divortium facit, regique pollicebatur se filiam ejus secundam ducturam, et nuptias in diem trigesimum constituebat, fide jurejurando data sibi cum repudiata nihil amplius rei fore. Verum præteritis triginta diebus, adeo amore victus erat, ut nihil eorum præstiterit quæ pepigerat, sed iterum servæ adhæserit. Quam rem Herodem ægre tulisse iratoque animo palam erat : dum sibi semper aliquod ea de re verbum elabi sinebat; unde multi ab ira regis occasionem sumebant de Pherora detrahendi. Tamque eo processum est ut non dies, non hora ulla quieta foret, quin semper novæ aliquæ simultates intervenirent, quas ejus consanguinei et summi amici inter se exercebant. Nam hinc quidem Salome, quæ animo infenso infestoque erat in Mariamnes filios, ne filiam quidem suam, Aristobuli juvenum alterius conjugem, passa est ita se in maritum gerere ut postulabat conjugium, ei persuadens ut secreta illius colloquia renunciaret, ipsique proderet; et quum aliquid ut fieri solet offensionis accidisset, multas suspiciones injiciens. Quibus factum est ut omnia illorum arcana resciscerent, et filiæ animum alienaret a marito. Atque illa matri gratificans narrabat illos sæpiuscule, dum seorsum essent, mentionem facere Mariamnes, patrem vero odisse, atque identidem denunciare, si unquam rerum potirentur, facturos de filiis, quos Herodes ex ceteris uxoribus sustulisset, scribas paganos, (ad quod munus idoneum fore studium quod tum in literas impenderent,) feminis vero, si unquam matris suæ mundo comptas viderent, minari facturos ut pro præsenti vestitu ciliciis indutæ includerentur, ut ne solem quidem aspicerent. Hæc continuo a Salome regi referebantur : atque ille ea dolenter quidem audiebat, operam vero dabat ut omnia componeret. Suspicionibus autem adeo erat exagitatus ut deterior in dies fieret et omnibus contra omnes crederet. Quanquam tunc quidem filios ubi objurgaverat, audita eorum purgatione, paulo melius in præsentia se habuit, at postea tamen longe pejora evenerunt.

4. Nam Pheroras quum ad Alexandrum venisset, qui Glaphyram, ut memoravimus, Archelai filiam habuit, sese ex Salome audivisse dicebat Herodem effictim amare Glaphyram, neque desiderium ejus posse leniri. Qua re audita ille ex juventutis fervore et zelotypia vehementer inflammatus erat; et quam comitatem Herodes erga puellam

καὶ τὰ κατὰ τὴν τιμὴν εἰς τὴν παῖδα γινόμενα παρ' Ἡρώδου (πολλάκις δὲ ἦσαν αἱ τοιαῦται φιλοφρονήσεις) ἐπὶ τὸ χεῖρον ἐλάμβανεν ἐξ ὑπονοιῶν διὰ τὸν ἐκπεσόντα λόγον. Οὐκ ἐκαρτέρησέ τε τὴν ὀδύνην τοῦ πράγματος, ἀλλὰ ἐλθὼν πρὸς τὸν πατέρα καταμηνύει τὰ ὑπὸ τοῦ Φερώρα ῥηθέντα μετὰ δακρύων. Ἡρώδης δὲ πολὺ μᾶλλον ἐκπαθὴς γενόμενος καὶ τὸ σὺν αἰσχύνῃ τῆς διαβολῆς ἐψευσμένον οὐ φέρων ἐτετάραχτο, καὶ πολλάκις μὲν ὠδύρετο τὴν πονηρίαν τῶν οἰκείων, οἷος εἰς αὐτοὺς γενόμενος οἷων τυγχάνοι, μεταπέμπεται δὲ τὸν Φερώραν, καὶ προσονειδίσας, « κάκιστε ἁπάντων, εἶπεν, « εἰς τοῦτο τῆς ἀμέτρου καὶ περιττῆς ἦλθες ἀχαριστίας, « ὡς τοιαῦτα μὲν περὶ ἡμῶν νοῆσαι, τοιαῦτα δὲ λαλεῖν; « ἆρ' οὐχ ὁρῶ τὴν σὴν προαίρεσιν, ὡς οὐ βλασφημίας « ἐστοχασμένος τοὺς τοιούτους λόγους τῷ παιδὶ προσ« ήνεγκας, ἐπιβουλὴν δὲ καὶ φάρμακον αὐτοὺς ποιού« μενος τῆς ἐμῆς ἀπωλείας; Τίς γὰρ ἂν, εἰ μὴ δαιμό« νων ἀγαθῶν ἔτυχεν ὥσπερ οὗτος ὁ παῖς, ἠνέσχετο τὸν « πατέρα μὴ τίσασθαι διὰ τοιαύτην ὑποψίαν; Ἥτερον « δὲ λόγον εἰς τὴν ψυχήν, ἢ ξίφος εἰς τὴν δεξιὰν ἐμβαλεῖν « αὐτῷ δοκεῖς κατὰ τοῦ γεγεννηκότος; τί δέ σοι βούλε« ται τὸ μισοῦντά τε αὐτὸν καὶ τὸν ἀδελφὸν αὐτοῦ πρὸς « μόνην τὴν κατ' ἐμοῦ βλασφημίαν εὔνοιαν ὑποκρίνα« σθαι, καὶ περὶ τούτων λέγειν ἃ τῆς σῆς ἀσεβείας ἦν « καὶ νοῆσαι καὶ διαβαλεῖν; Ἔρρε, κάκιστος εἰς εὐεργέ« την καὶ ἀδελφὸν γενόμενος, καὶ σοὶ μὲν ἡ συνείδησις « αὕτη συζήσειεν, ἐγὼ δὲ νικήσω ἀεὶ τοὺς ἐμοὺς, « μήτε ἀμυνόμενος κατ' ἀξίαν καὶ μειζόνως εὐεργετῶν « ἢ τυχεῖν εἰσι δίκαιοι. »

ε'. Τοιαῦτα μὲν οὖν ὁ βασιλεύς. Φερώρας δὲ ἐπ' αὐτοφώρῳ τῇ μηχθηρίᾳ ἁλοὺς, Σαλώμην ἔφη ταῦτα συνθεῖναι, καὶ παρ' ἐκείνης εἶναι τοὺς λόγους. Ἡ δὲ ὡς μόνον ἤκουσεν, (ἐτύγχανε δὲ παροῦσα,) πιθανῶς ἀνεβόησεν ὡς οὐδὲν εἴη παρ' αὐτῆς τοιοῦτον, καὶ ὅτι διὰ σπουδῆς ἐστιν ἅπασιν εἰς μῖσος ἀγαγεῖν αὐτὴν τοῦ βασιλέως, καὶ πάντα τρόπον ἀνελεῖν διὰ τὴν εὔνοιαν ἣν ἔχοι περὶ τὸν Ἡρώδην, ἀεὶ προγινώσκουσα τοὺς κινδύνους· ἐν δὲ τῷ παρόντι καὶ μᾶλλον ἐπιβουλεύεσθαι· μόνη γὰρ ἀναπείθουσα τὸν ἀδελφὸν ἐκβάλλειν ἣν ἔχει νῦν γυναῖκα, λαμβάνειν δὲ θυγατέρα τὴν βασιλέως, εἰκότως ὑπ' ἐκείνου μεμισῆσθαι. Τοιαῦτα λεγούσης, καὶ πολλάκις μὲν ἐπιδραττομένης τῶν τριχῶν, πολλάκις δὲ τυπτούσης τὰ στέρνα, ἡ μὲν ὄψις εἶχέ τι πρὸς τὴν ἄρνησιν πιθανὸν, ἡ δὲ κακοήθεια τοῦ τρόπου τὴν ἐν τοῖς γενομένοις ὑπόκρισιν ἀπεσήμαινεν. Ὁ δὲ Φερώρας εἰς μέσον ἀπείληπτο, μηδὲν εὔσχημον εἰς ἀπολογίαν ἔχων, εἰπεῖν μὲν ὡμολογηκὼς, ἀκοῦσαι δ' οὐ πιστευόμενος. Ἐγένετο μὲν οὖν ἐπὶ πλεῖον ἥ τε σύγχυσις καὶ ἡ τῶν λόγων εἰς ἀλλήλους ἅμιλλα· τέλος δὲ ὁ βασιλεὺς τόν τε ἀδελφὸν καὶ τὴν ἀδελφὴν μεμισηκὼς ἀπεπέμπετο, καὶ τὸν υἱὸν ἐπαινέσας τῆς ἐγκρατείας καὶ τοῦ πρὸς αὐτὸν ἀνενεγκεῖν τοὺς λόγους, ὀψὲ τῆς ὥρας περὶ θεραπείαν τοῦ σώματος ἐγένετο. Τοιαύτης δὲ τῆς μάχης ἐμπεσούσης, κακῶς ἤκουσεν ἡ Σαλώμη, (παρ'

saepe honoris causa exhibuit, in pejorem partem vertebat, suspicione injecta ex iis quæ audierat. Atque doloris ex ea re impatiens, patrem adiit, eique Pheroræ verba non sine lacrimis refert. Herodes autem multo magis ira percitus, et se turpis adeo criminis falso insimulari non ferens, turbatus est, suorumque malitiam sæpe deplorabat, exprobrans ipsis quam magnis eos affecerit beneficiis et quam indigne ab iis acceptus fuerit. Moxque Pheroram evocat, et, quum multis eum opprobriis onerasset, « omnium, « inquit, nequissime, adeone supra modum et insigniter « ingratus evasisti, ut talia de nobis cogites, talia loqua« ris? nonne perspectum habeo quid velis, quod non solum « ut nobis convicia faceres hujusmodi sermones cum filio « institueris, sed ut suaderes mei in interitum insidias et « veneficia parari? quis enim nisi qui Deum præsentem « haberet ut iste puer, non ultum iret patrem ob hujusmodi « criminis suspicionem? Utrum tibi videris sermonem in « animum, an in dextram gladium inseruisse, quo paren« tem conficeret? aut quid tibi voluisti, qui, quum et ipsum « oderis ejusque fratrem, benevolentiam simulasti dun« taxat ut in me calumnias projiceres, atque ea diceres « quæ tu solus, qua es impietate, in animo et in ore habere « potuisti? Apage, pessime de benefactore et fratre meri« tus, et quam diu vivas te angat crucietque scelerum con« scientia : ego vero non desinam meos *benignitate* vince« re, et debitas pœnas ab illis non exigendo, et majoribus « quam mereantur beneficiis eos prosequendo. »

5. Atque ista quidem rex. Pheroras vero, in manifesto facinore deprehensus, Salomen ista commentam esse dicebat, et ab ea hæc verba prodiisse. At illa quum præsens adesset, simulac hæc audivit, exclamavit ratione probabili, nihil tale ab ipsa profectum esse, sed omnes studere ipsam regi invisam facere, idque modis omnibus agere ut occideretur, propter suam erga Herodem benevolentiam, dum semper pericula prævideat : ac præsenti tempore eos ipsi multo infensiores esse : se enim solam fratri suadere, ut quam nunc habeat uxorem repudiet regisque filiam ducat; itaque non mirum esse, si fratri invisa foret. Hæc dicens, et sibi capillos subinde vellens pectusque pulsans, ore vultuque fidem faciebat se vere omnia negare, sed ingenii ejus perversitas simulationem in factis esse coarguebat. Interea Pheroras medius tenebatur, nihil quidem ad semet excusandum habens, ut qui se ista dixisse non infitias iverit, sed aliunde audivisse non crederetur. Itaque duravit diutius ea perturbatio et verborum mutua contentio; tandemque rex, et fratrem et sororem exosus, eos dimisit, filioque collaudato, qui ita continens fuisset, et eos sermones ad patrem tulisset, sero admodum ad curam corporis se contulit. Post id dissidium male audiebat Salome, quippe

« οὐχ ὅτι τέθνηκεν, ἀλλ' ὅτι καὶ νεκρὰ κακῶς ἤκουσεν « ὑπὸ τῶν οὐκ ἀξίων. Ἀρχῆς ἐπιθυμοῦμεν ἧς ἴσμεν « ἔχοντα τὸν πατέρα ; τί καὶ θέλοντες ; εἰ μέν εἰσιν ἡμῖν « τιμαὶ βασιλέων, ὥσπερ εἰσὶν, οὐ κενοσπουδοῦμεν ; « εἰ δὲ οὐκ εἰσὶν, οὐκ ἐλπίζομεν; ἢ σὲ διαχειρισάμενοι « κρατήσειν τὴν βασιλείαν προσεδοκήσαμεν, οἷς οὔτε « γῆ βάσιμος οὔτε πλωτὴ θάλαττα μετὰ τοιοῦτον ἔργον; « ἡ δὲ τῶν ἀρχομένων εὐσέβεια καὶ θρησκεία τοῦ παντὸς « ἔθνους ἠνέσχετο ἂν πατροκτόνους ἐπὶ τῶν πραγμάτων « εἶναι καὶ εἰς τὸν ἁγιώτατον ὑπὸ σοῦ κατασκευασθέντα « ναὸν εἰσιέναι ; τί δ' εἰ καὶ τῶν ἄλλων κατεφρονήσαμεν, « ἐδύνατό τις φονεύσας ἀτιμώρητος μένειν, ζῶντος « Καίσαρος; Οὔτ' ἀσεβεῖς οὕτως ἐγέννησας οὔτε ἀλογί- « στους, ἀτυχεστέρους δ' ἴσως ἢ σοὶ καλῶς εἶχεν. Εἰ « δὲ μήτ' αἰτίας ἔχεις μήτ' ἐπιβουλὰς εὑρίσκεις, τί σοι « πρὸς πίστιν αὐταρκες τοιαύτης δυσσεβείας; Ἡ μήτηρ « τέθνηκεν. Ἀλλά τοι τὰ κατ' ἐκείνην οὐ παροξύνειν « ἡμᾶς, ἀλλὰ νουθετεῖν ἐδύνατο. Πλείω μὲν ἀπολογεῖ- « σθαι βουλόμεθα, λόγον δ' οὐκ ἐπιδέχεται τὰ μὴ γε- « νόμενα. Διόπερ ἐπὶ τῷ πάντων δεσπότῃ Καίσαρι « μεσιτεύοντι τὸν παρόντα καιρὸν συντιθέμεθα ταύτην « τὴν συνθήκην· εἰ μὲν ἀνύποπτον ἐξ αὐτῆς τῆς ἀληθείας « τὴν πρὸς ἡμᾶς διάθεσιν ἀπολαμβάνεις, ὦ πάτερ, ζή- « σωμεν, οὐδ' οὕτω μὲν εὐτυχῶς· δεινὸν γὰρ τῶν με- « γάλων κακῶν καὶ ψευδὴς αἰτία· παρούσης δέ τινος « ὀρρωδίας, σὺ μὲν ἐν τῇ κατὰ σαυτὸν εὐλαβείᾳ μένε, « δώσομεν δὲ λόγον ἡμεῖς ἑαυτοῖς· οὐχ οὕτως ὁ βίος « ἡμῖν τίμιος, ὡς ἔχειν αὐτὸν ἐπ' ἀδικίᾳ τοῦ δεδωκό- « τος. »

δ'. Τοιαῦτα δὲ λέγοντος ὅ τε Καῖσαρ, οὐδὲ πρότερον πιστεύων τῷ μεγέθει τῆς διαβολῆς, ἔτι μᾶλλον ἐξηλλάττετο, καὶ συνεχὲς εἰς τὸν Ἡρώδην ἀπέβλεπεν, ὁρῶν κἀκεῖνον ὑποσυγκεχυμένον· ἀγωνία τε τοῖς παροῦσιν ἐνεπεπτώκει, καὶ περὶ τὴν αὐλὴν ὁ λόγος διαδοθεὶς ἐπίφθονον ἐποίει τὸν βασιλέα. Τὸ γὰρ ἄπιστον τῆς διαβολῆς καὶ τὸ περὶ τοὺς νεανίσκους ἐν ἀκμῇ καὶ κάλλει σωμάτων ἐλεεινὸν ἐπεσπᾶτο βοήθειαν, ἔτι δὲ μᾶλλον ἐπειδὴ καὶ τῷ λόγῳ δεξιῶς καὶ μετὰ φρονήσεως ἀπήντησεν Ἀλέξανδρος. Ἦν δ' οὐδ' ἐκείνοις ἔτι ταυτὸν σχῆμα, κλαίουσι μὲν ὅμως καὶ σὺν κατηφείᾳ πρὸς τὴν γῆν νενευκόσιν· ἡ δ' ἐλπὶς ἀμείνων ὑπεφαίνετο, καὶ δόξας ὁ βασιλεὺς ἐξ ὧν αὐτὸς ἔπειθεν οὐκ εὔλογα κατηγορηκέναι, διὰ τὸ μηδὲν ἔχειν αὐτὸν ἐξελέγξειν, ἀπολογίας τινὸς ἐδεῖτο. Καῖσαρ δὲ μικρὸν ἐπισχὼν τοὺς μὲν νεανίσκους, εἰ καὶ πόρρω τῆς ἐπ' αὐτοῖς διαβολῆς δοκοῦσιν, αὐτό γε τοῦτο ἁμαρτεῖν ἔφη, τὸ μὴ τοιούτους αὐτοὺς παρασχεῖν τῷ πατρὶ ὡς μηδὲ γενέσθαι τὸν ἐπ' αὐτοῖς λόγον. Ἡρώδην δὲ παρεκάλει πᾶσαν ὑπόνοιαν ἀφελόντα διαλλάττεσθαι τοῖς παισίν· οὐ γὰρ εἶναι δίκαιον οὐδὲ πιστεύειν τὰ τοιαῦτα κατὰ τῶν ἐξ αὐτοῦ· δύνασθαι δὲ τὴν μετάνοιαν ἀμφοτέροις οὐ μόνον ἰάσασθαι τὰ συμβεβηκότα, παροξῦναι δὲ τὴν εὔνοιαν, ἐν ᾧ τὸ προπετὲς ἑκάτεροι τῆς ὑποψίας ἀπολογούμενοι σπουδῇ πλείονι περὶ ἀλλήλους ἀξιώσουσι κεχρῆσθαι.

« sed quod mortua ab hominibus inhonestis male audierit. « Regnum appetimus quod scimus a patre teneri? at quid « in animo habentes? si enim nobis sunt regii honores, « id quod fatendum, nonne frustra laboramus? sin minus, « nonne eos sperare licet? an te interfecto in regnum « successuros esse exspectavimus, quibus, tali facinore « commisso, nec terra ambulanda nec mare navigandum? « num subditorum pietas et totius gentis religio ferre po- « tuisset ut parricidæ summa rerum potirentur, et in san- « ctissimum a te ædificatum templum ingrederentur? sed « quid? etsi ceteros contemnere datum fuisset, num qui te « interfecerit, dum Cæsar in vivis esset, pœnam effugere « potuisset? Non tam impios genuisti, neque tam stultos, « sed infeliciores forsan quam rebus tuis expediat. Quod- « si nec aliquid nobis vitio vertendum habes, nec insidias « invenisti, quid tanti erat ut posset ejusmodi impietatis « tibi fidem facere? Mater occidit. Illius vero casus nul- « lam nos irritandi, sed admonendi vim habere poterat. « Equidem pluribus causam agere nobis in animo est, sed « excusationem non admittunt quæ nunquam commissa « erant. Quapropter coram Cæsare, omnium domino no- « stroque in præsentia sequestro, hanc tecum pactionem « facimus : si possis, o pater, revera affectum in nos in- « duere ab omni suspicione vacuum, liceat nobis vivere, « quamvis haud ita feliciter; grave enim est magnorum « malorum etiam falso insimulari : verum si quid est quod « timeas, perge tibimet cautionem adhibere, nos nobismet « rationem reddemus. Non enim usque adeo cara nobis « est vita ut eam in auctoris damnum conservare velimus. »

4. Quum ita causam ageret, tum Cæsar, qui jam ante gravi adeo calumniæ non credebat, magis adhuc mutatus est, et Herodem, quem nonnihil etiam confusum animadvertit, continenter aspexit; tum omnes, qui aderant, auxii erant et solliciti de juvenibus, sermoque per aulam diffusus regem in odium adducebat. Nam quod calumnia parum credibilis illis visa est, juvenesque in flore ætatis erant summaque corporum pulcritudine, illorum misertum est, et miseratio omnes ad opem illis ferendam trahebat, sed multo magis postquam Alexander tam sollerter prudenterque patris accusationi respondisset. Verum non illis idem manebat oris vultusque habitus, lacrimantibus quidem et præ mœstitia in terram intuentibus; spei tamen melioris nonnihil effulgebat, atque rex, ex iis quibus ipse ad persuadendum usus erat haud juste accusasse visus, excusatione aliqua egebat, ut qui nihil ipse haberet quo dicta redargueret. At Cæsar, paulum cunctatus, adolescentes, licet a crimine abesse viderentur, tamen in eo peccasse dicebat, quod non se tales erga patrem præstitissent, ut de ipsis sermo oriri non posset. Herodemque hortatus est ut, deposita omni suspicione, cum pueris in gratiam rediret : iniquum enim esse talia de iis, quos genuisset, credere, fierique posse ut animorum mutatio non solum medeatur iis quæ utrisque acciderint, sed et alliciat ad benevolentiam, dum invicem excusantes suspicionis temeritatem, æquum censeant ut majori studio ad

Τοιαῦτα νουθετῶν ἔνευσε τοῖς νεανίσκοις· ἐκείνων δὲ βουλομένων ὑποπεσεῖν ἐπὶ δεήσει, παραναλαβὼν αὐτοὺς ὁ πατὴρ δακρύοντας ἠσπάζετο, παρ' ἕκαστον ἐν μέρει περιπτύσσων, ὡς μηδένα τῶν παρατυγχάνόντων, ἐλεύθερον ἢ δοῦλον, ἀπαθῆ γενέσθαι.

ε'. Τότε μὲν οὖν εὐχαριστήσαντες Καίσαρι μετ' ἀλλήλων ἀπῆσαν, καὶ σὺν αὐτοῖς Ἀντίπατρος ὑποκρινόμενος ἐφήδεσθαι ταῖς διαλλαγαῖς. Ἐν δὲ ταῖς ὑστέραις ἡμέραις Ἡρώδης μὲν ἐδωρεῖτο Καίσαρα τριακοσίοις τα-
10 λάντοις, θέας τε καὶ διανομὰς ποιούμενον τῷ Ῥωμαίων δήμῳ, Καῖσαρ δὲ αὐτῷ τοῦ μετάλλου τοῦ Κυπρίων χαλκοῦ τὴν ἡμίσειαν πρόσοδον καὶ τῆς ἡμισείας τὴν ἐπιμέλειαν ἔδωκεν, καὶ τἆλλα ξενίαις καὶ καταγωγαῖς ἐτίμησε, καὶ περὶ τῆς βασιλείας αὐτῷ τὴν ἐξουσίαν ἐφῆκεν ὃν
15 ἂν αἱρῆται τῶν παίδων διάδοχον καθιστάνειν, ἢ καὶ διανέμειν μέρος ἑκάστῳ τῆς τιμῆς εἰς πάντας διελευσομένης. Ἐκείνου δὲ ἤδη θέλοντος αὐτὸ ποιεῖν, οὐκ ἐπιτρέψειν ἔφη ζῶντι μὴ καὶ τῆς βασιλείας καὶ τῶν παίδων κρατεῖν.

20 ς'. Ἐπὶ τούτοις ἐπανῆει πάλιν εἰς τὴν Ἰουδαίαν. Ἀποδημοῦντος δὲ, οὐ μικρὸν μέρος ἀπέστη τῆς ἀρχῆς, τὸ περὶ τὸν Τράχωνα· καὶ τούτους οἱ καταλειφθέντες στρατηγοὶ χειρωσάμενοι πάλιν ὑπακούειν ἠνάγκασαν. Ἡρώδης δὲ πλέων σὺν τοῖς παισὶν, ὡς ἐγένετο κατὰ
25 Κιλικίαν ἐν Ἐλαιούσῃ, τῇ μετωνομασμένῃ νῦν Σεβαστῇ, καταλαμβάνει τὸν βασιλέα τῆς Καππαδοκίας Ἀρχέλαον, ὃς αὐτὸν ἐκδέχεται φιλοφρόνως, ἡδόμενος ἐπὶ ταῖς τῶν παίδων διαλλαγαῖς καὶ τῷ τὸν Ἀλέξανδρον, ὃς εἶχεν αὐτοῦ τὴν θυγατέρα, τῆς αἰτίας ἀπολε-
30 λύσθαι· δωρεάς τε ἀντέδωκαν ἀλλήλοις ἃς εἰκὸς βασιλεῖς. Ἐντεῦθεν Ἡρώδης, ἐπὶ Ἰουδαίας ἐλθὼν καὶ γενόμενος ἐν τῷ ἱερῷ, περὶ τῶν πεπραγμένων κατὰ τὴν ἀποδημίαν διελέγετο, τὴν Καίσαρος εἰς αὐτὸν φιλοφροσύνην καὶ τἆλλα διεξιὼν, ὅσα κατὰ μέρος αὐτῷ
35 πραχθέντα συμφέρειν ἡγεῖτο καὶ τοὺς ἄλλους εἰδέναι· τέλος ἐπὶ νουθεσίᾳ τῶν παίδων κατέστρεψε τὸν λόγον, τοὺς περὶ τὴν αὐλὴν καὶ τὸ λοιπὸν πλῆθος εἰς ὁμόνοιαν παρακαλῶν, καὶ τοὺς υἱοὺς μετ' αὐτὸν ἀποδεικνύων βασιλέας γενέσθαι, πρῶτον μὲν Ἀντίπατρον, εἶτα καὶ
40 τοὺς ἐκ Μαριάμμης Ἀλέξανδρον καὶ Ἀριστόβουλον· ἐν δὲ τῷ τότε πάντας ἀποβλέπειν εἰς αὐτὸν ἀξιῶν, καὶ βασιλέα καὶ δεσπότην ἁπάντων δοκεῖν, μήτε γήρᾳ παραποδιζόμενον, ἐν ᾧ τοῦ χρόνου τὸ πρὸς ἀρχὴν ἐμπειρότατον ἔχειν, οὔτε τοῖς ἄλλοις ἐπιτηδεύμασιν
45 ἐλαττούμενον, ἃ δύναται καὶ βασιλείας κρατεῖν καὶ παίδων ἄρχειν· τούς τε ἡγεμόνας καὶ τὸ στρατιωτικὸν, εἰ πρὸς ἕνα βλέποιεν αὐτὸν, ἀτάραχον ἔφη τὸν βίον ἕξειν, καὶ πᾶσαν ἀφορμὴν εὐδαιμονίας ἐξ ἀλλήλων ἕσεσθαι. Ταῦτ' εἰπὼν ἀφίησι τὴν ἐκκλησίαν, τοῖς
50 πλείστοις μὲν ἀρεστὰ διειλεγμένος, ἐνίοις δ' οὐχ ὁμοίως· ἤδη γὰρ ὑπὸ τῆς ἀμίλλης καὶ τῶν ἐλπίδων, ἃς ἐδεδώκει τοῖς παισὶν, νενεωτέριστο πολλὰ, καὶ νεωτέρων ἐφιέμενα.

mutuum amorem ferantur. Has inter admotiones pueris innuit : quumque illi patri ad pedes accidere et veniam orare pararent, antevertit pater eos lacrimantes complecti, et in amplexum utriusque invadere, adeo ut nemo præsens esset, sive ingenuus sive servus, qui non ad misericordiam adduceretur.

5. Et tunc quidem Cæsari gratias egerunt, et una discesserunt, comitante Antipatro cum simulatione lætitiæ ob amoris redintegrationem. Sequentibus autem diebus largitus est Herodes Cæsari trecenta talenta, ludos agenti et Romano populo congiaria dividenti : et Cæsar ei dimidium reditum æris Cyprii donavit, et alterius dimidii curam commisit, et præterea hospitiis et mansionibus eum honoravit, atque de regno ei potestatem dedit, quem vellet filiorum successorem suum constituendi, aut honorem in singulos pro rata parte dividendi. Quumque Herodes id e vestigio facere vellet, negavit Cæsar permissurum se ut non per omnem vitam dominus esset et regni et filiorum.

6. Postea ille rursus in Judæam rediit. Dum autem peregre abesset, Trachonitæ, ejus ditionis pars non exigua, rebellarunt : sed relicti illic duces eos subegerunt, iterumque sub imperium redegerunt. Ceterum Herodes, cum filiis navigans, ubi juxta Ciliciam appulit ad Elæusam, quæ nunc mutato nomine Sebaste dicitur, illic offendit Archelaum Cappadociæ regem, qui eum perhumaniter excipit, lætus admodum quod cum filiis in gratiam rediisset, quodque Alexander, qui filiam ejus habuit, crimina ipsis objecta diluisset : atque munera, quæ regibus convenirent, sibi invicem largiti sunt. Inde Herodes in Judæam reversus, ingressusque in templum, de iis quæ in profectione sua egisset orationem habuit, Cæsaris in ipsum liberalitatem narrando persequens, et singillatim reliqua ab ipso gesta, quæ non nescire aliorum interesse existimabat : et in extremo suæ orationis filios suos monitis instruxit, aulicosque et reliquum populum admonuit, ut concordiam tuerentur; declaravitque filios post se regnaturos, primum Antipatrum, deinde Mariamnes liberos, Alexandrum et Aristobulum : in præsentia autem edixit ut omnes in ipsum intuerentur, seque pro domino et rege ducerent, neque senectute impeditum, quæ ex omni vitæ tempore rerum usu aptissima sit ad imperium exercendum, neque ceteris institutis imminutum, quibus possumus regna moderari et liberos regere : duces quoque cum exercitibus, si se unum respiciant, summa tranquillitate vitam acturos esse dicebat, sibique invicem omnino fore felicitatis auctores. His dictis, conventum dimisit : fuitque ejus oratio grata multis, sed nonnullis haud item; jam enim ex contentione et spe quam filiis dederat, multi res novas moliebantur earumve desiderio tenebantur.

ΚΕΦ. Ε'.

Περὶ δὲ τὸν χρόνον τοῦτον συντέλειαν ἔλαβεν ἡ Καισάρεια Σεβαστὴ ἣν ᾠκοδόμει, δεκάτῳ μὲν ἔτει πρὸς τέλος ἐλθούσης αὐτῷ τῆς ὅλης κατασκευῆς, ἐκπεσούσης δὲ τῆς προθεσμίας εἰς ὄγδοον καὶ εἰκοστὸν ἔτος τῆς ἀρχῆς, ἐπ' Ολυμπιάδος δευτέρας καὶ ἐνενηκοστῆς πρὸς ταῖς ἑκατόν. Ἦν οὖν εὐθὺς πρὸς τῇ καθιερώσει μείζων ἑορτὴ, καὶ παρασκευαὶ πολυτελέσταται. Κατηγγέλκει μὲν γὰρ ἀγῶνα μουσικῆς καὶ γυμνικῶν ἀθλημάτων, παρεσκευάκει δὲ πολὺ πλῆθος μονομάχων καὶ θηρίων, ἵππων τε δρόμον, καὶ τὰ πολυτελέστερα τῶν ἐν τῇ Ῥώμῃ καὶ παρ' ἄλλοις τισὶν ἐπιτηδευμάτων. Ἀνετίθει δὲ καὶ τοῦτον τὸν ἀγῶνα Καίσαρι, κατὰ πενταετηρίδα παρεσκευασμένος ἄγειν αὐτόν. Ὁ δ' αὐτῷ πᾶσαν τὴν εἰς τὰ τοιαῦτα παρασκευὴν ἀπὸ τῶν οἰκείων διεπέμπετο, τὴν φιλοτιμίαν ἐπικοσμῶν· ἰδίᾳ δὲ καὶ ἡ γυνὴ Καίσαρος Ἰουλία τὰ πολλὰ τῶν ἐκεῖ πολυτελεστάτων ἀπέστειλεν, ὡς μηδὲν ὑστερεῖν, τὰ πάντα συντιμώμενα ταλάντων πεντακοσίων. Συνελθόντος δὲ εἰς τὴν πόλιν ὄχλου πλείονος κατὰ θεωρίαν καὶ πρέσβεων, οὓς ἔπεμπον οἱ δῆμοι δι' ἃς ἐπεπόνθεισαν εὐεργεσίας, ἅπαντας ἐξεδέξατο καταγωγαῖς καὶ τραπέζαις καὶ διηνεκέσιν ἑορταῖς, τῆς πανηγύρεως ἐν μὲν ταῖς ἡμέραις ἐχούσης τὰς ἀπὸ τῶν θεαμάτων ψυχαγωγίας, ἐν δὲ ταῖς νυξὶ τὰς εὐφροσύνας καὶ τὴν εἰς τοῦτο πολυτέλειαν, ὡς ἐπίσημον γενέσθαι τὴν μεγαλοψυχίαν αὐτοῦ. Εἰς πάντα γὰρ, ἅπερ ἂν ἐπιτηδεύσειεν, ἐφιλονείκει τὴν τῶν ἤδη γεγενημένων ἐπίδειξιν ὑπερβάλλεσθαι. Καὶ φασὶν αὐτόν τε Καίσαρα καὶ Ἀγρίππαν πολλάκις εἰπεῖν ὡς ἀποδέοι τὰ τῆς ἀρχῆς Ἡρῴδῃ τῆς οὔσης ἐν αὐτῷ μεγαλοψυχίας· ἄξιον γὰρ εἶναι καὶ Συρίας ἁπάσης καὶ Αἰγύπτου τὴν βασιλείαν ἔχειν.

β'. Μετὰ δὲ τὴν πανήγυριν ταύτην καὶ τὰς ἑορτὰς πόλιν ἄλλην ἀνήγειρεν ἐν τῷ πεδίῳ τῷ λεγομένῳ Καφαρσαβᾷ, τόπον ἔνυδρον καὶ χώραν ἀρίστην φυτοῖς ἐκλέξας, ποταμοῦ τε περιρρέοντος τὴν πόλιν αὐτὴν, καὶ καλλίστου κατὰ μέγεθος τῶν φυτῶν περιειλῃφότος ἄλσους. Ταύτην ἀπὸ Ἀντιπάτρου τοῦ πατρὸς Ἀντιπατρίδα προσηγόρευσεν. Ἐπώνυμον δὲ καὶ τῇ μητρὶ χωρίον ὑπὲρ Ἱεριχοῦντα οἰκοδομήσας, ἀσφαλείᾳ τε διάφορον καὶ καταγωγαῖς ἥδιστον, ἐκάλεσε Κύπρον. Φασαήλῳ τε τῷ ἀδελφῷ μνημεῖα διὰ τὴν γεγενημένην πρὸς αὐτὸν φιλοστοργίαν ἀνετίθει τὰ κάλλιστα, πύργον ἐπ' αὐτῆς τῆς πόλεως ἀναστήσας οὐδὲν ἐλάττω τοῦ κατὰ τὴν Φάρον, ὃν προσηγόρευσεν Φασάηλον, ἀσφαλείας τε τῇ πόλει μέρος ὄντα καὶ μνήμης τῷ τετελευτηκότι διὰ τὴν προσηγορίαν. Ὁμώνυμον δὲ αὐτῷ καὶ πόλιν περὶ τὸν αὐλῶνα τῆς Ἱεριχοῦντος ἔκτισεν, ἀπιόντων κατὰ βορρᾶν ἄνεμον, δι' ἧς καὶ τὴν πέριξ χώραν ἔρημον οὖσαν ἐνεργοτέραν ἐποίησεν ταῖς ἐπιμελείαις τῶν οἰκητόρων· Φασαηλίδα καὶ ταύτην ἐκάλει.

γ'. Τὰς δὲ ἄλλας εὐεργεσίας ἄπορον εἰπεῖν ὅσας

CAP. V. (IX.)

Circa id tempus Cæsarea Augusta, quæ ab eo condebatur, perfecta et absoluta est, decimo quidem anno ad finem perducto toto opere, stata autem solennitate in annum ejus regni duodetrigesimum et Olympiadem centesimam nonagesimam secundam incidente. Statim itaque ad eam dicandam magnam adhibuit celebritatem et sumptuosissimum apparatum. Indixerat enim certamen musicum et ludos gymnicos, et gladiatorum magnum numerum et ferarum præparaverat, cursusque equorum et quicquid ejusmodi studii pretiosius erat et Romæ et alibi uspiam. Præterea hoc certamen Cæsari consecravit, quod ita instituerat ut per singula quinquennia instauraretur. Ille autem omnem ad istiusmodi spectacula apparatum propriis sumptibus suppeditatum misit, ut inde major esset liberalitatis suæ laus; verum et de suo Julia, Cæsaris uxor, multa ex iis, quæ in Italia maximo in pretio habita, mittenda curavit, ut nihil *ad splendorem* deesset: summa omnium efficiebat quingenta talenta. Quum autem in urbem spectatum convenisset ingens multitudo, et legationes, quæ a populis mittebantur ob accepta beneficia, omnes excepit diversoriis et mensis et continuis hilaritatibus, dum hominum frequentia spectaculis se totos dies oblectat, noctu vero lætitiis et sumptibus in eas profusis: adeo ut ab universis extolleretur ob animi magnitudinem et liberalitatem. Nam in omnibus, quibuscunque studeret, id agere contendebat ut quæ prius ostensa erant longe superaret. Atque perhibetur et Cæsarem ipsum et Agrippam aliquoties dixisse, Herodis imperium minime respondere animi ejus magnitudini: dignum enim esse qui totius etiam Syriæ et Ægypti regno potiretur.

2. Post hanc autem celebritatem et lætitiam aliam urbem condidit in campo qui dicitur Capharsaba, electo ad hoc loco irriguo et terra arboribus et plantis accommodata, et amne urbem ipsam circumfluente, et luco circumdante pulcerrimo pro arborum magnitudine. Hanc ab Antipatro patre nominavit Antipatridem. Ædificavit et alium locum supra Hierichuntem, magnæ securitatis nec minoris ad habitandum amœnitatis, quem matris suæ nomine Cypron appellavit. Porro fratri Phasaelo ex suo erga illum amore monimentum dedicavit pulcerrimum, turrim in ipsa urbe exstructam, quæ magnitudine Phariam adæquaret, eamque Phasaelum nuncupavit, quæ et urbi partim esset in securitatem et defuncto in memoriam propter appellationem. Itemque urbem ipsi cognominem construxit in valle Hierichuntia, qua itur boream versus: quæ in causa erat ut terra omnis finitima, antea deserta, incolarum industria cultior evaderet: hanc autem Phasaelidem nominabat.

3. Cetera Herodis beneficia longum esset dicere, quæ

ἀπέδωκεν ταῖς πόλεσιν ἔν τε Συρίᾳ καὶ κατὰ τὴν Ἑλλάδα καὶ παρ' οἷς ποτ' ἂν ἀποδημήσας τύχοι. Καὶ γὰρ πλείους λειτουργίας καὶ δημοσίων ἔργων κατασκευὰς καὶ χρήματα τοῖς δεομένοις ἔργοις εἰς ἐπιτέλειαν, τῶν προτέρων ἐκλελοιπότων, ἄφθονα χαρίσασθαι δοκεῖ. Τὰ δὲ μέγιστα καὶ διασημότατα τῶν πεπραγμένων αὐτῷ, Ῥοδίοις μὲν τό τε Πύθιον ἀνέστησεν οἰκείοις ἀναλώμασι καὶ παρέσχεν ἀργυρίου πολλὰ τάλαντα πρὸς ναυπηγίαν· Νικοπολίταις δὲ τοῖς ἐπ' Ἀκτίῳ κτισθεῖσιν ὑπὸ Καίσαρος τὰ πλεῖστα τῶν δημοσίων συγκατεσκεύασεν· Ἀντιοχεῦσι δὲ τοῖς ἐν Συρίᾳ μεγίστην πόλιν οἰκοῦσιν, ἣ κατὰ μῆκος τέμνει πλατεῖα, ταύτην αὐτὴν στοαῖς παρ' ἑκάτερα, καὶ λίθῳ τὴν ὕπαιθρον ὁδὸν ξεστῷ καταστορέσας, πλεῖστον εἰς κόσμον καὶ τὴν τῶν οἰκούντων εὐχρηστίαν ὠφέλησεν. Τόν γε μὴν Ὀλυμπίασιν ἀγῶνα, πολὺ τῆς προσηγορίας ἀδοξότερον ὑπ' ἀχρηματίας διατεθειμένον, τιμιώτερον ἐποίει, χρημάτων προσόδους καταστήσας, καὶ πρός τε θυσίας καὶ τὸν ἄλλον κόσμον ἐσεμνοποίησεν τὴν πανήγυριν. Διὰ δὴ ταύτην τὴν φιλοτιμίαν διηνεκὴς ἀγωνοθέτης παρὰ τοῖς πλείστοις ἀνεγράφη.

δ'. Τοῖς μὲν οὖν ἄλλοις ἐπέρχεται θαυμάζειν τὸ διεστὸς τῆς ἐν τῇ φύσει προαιρέσεως. Ὅταν μὲν γὰρ εἰς τὰς φιλοτιμίας καὶ τὰς εὐεργεσίας ἀπίδωμεν, αἷς ἐκέχρητο πρὸς ἅπαντας ἀνθρώπους, οὐκ ἔστιν ὅπως [οὐκ] ἄν τις αὐτὸν καὶ τῶν ἧττον τετιμηκότων ἠρνήθη μὴ συνομολογεῖν εὐεργετικωτάτῃ κεχρῆσθαι τῇ φύσει· ὅταν δὲ εἰς τὰς τιμωρίας καὶ ἀδικίας, ἃς εἰς τοὺς ἀρχομένους καὶ τοὺς οἰκειοτάτους ἐπεδείξατο βλέψῃ τις καὶ καταμάθῃ τὸ σκληρὸν καὶ τὸ δυσπαραίτητον τοῦ τρόπου, νικηθήσεται θηριώδη δοκεῖν καὶ πάσης μετριότητος ἀλλότριον· ἔνθεν καὶ διάφορόν τινα καὶ μαχομένην ἐπ' αὐτῷ νομίζουσι γενέσθαι τὴν προαίρεσιν. Ἐγὼ δ' οὐχ οὕτως ἔχων μίαν αἰτίαν ἀμφοτέρων τούτων ὑπολαμβάνω. Φιλότιμος γὰρ ὢν καὶ τούτου τοῦ πάθους ἡττημένος ἰσχυρῶς προσήγετο μὲν εἰς μεγαλοψυχίαν, εἴ που μνήμης εἰσαῦθις ἡ κατὰ τὸ παρὸν εὐφημίας ἐλπὶς ἐμπέσοι· ταῖς δὲ δαπάναις ὑπὲρ δύναμιν χρώμενος ἠναγκάζετο χαλεπὸς εἶναι τοῖς ὑποτεταγμένοις. Τὰ γὰρ εἰς οὓς ἐδαπάνα πολλὰ γινόμενα, κακὸν πορίστην ἐξ ὧν ἐλάμβανεν ἐποίει· καὶ συνειδὼς ἐφ' οἷς ἠδίκει τοὺς ὑποτεταγμένους μισούμενον ἑαυτόν, τὸ μὲν ἐπανορθοῦσθαι τὰς ἁμαρτίας οὐ ῥᾴδιον ἐνόμιζεν, (οὐδὲ γὰρ εἰς τὰς προσόδους λυσιτελὲς ἦν,) ἀντεφιλονείκει δὲ τὴν δύσνοιαν αὐτὴν εὐπορίας ἀφορμὴν ποιούμενος. Περὶ μὲν οὖν τοὺς οἰκείους εἴ τις λόγῳ μὴ θεραπεύοιτο δοῦλον ἑξομολογούμενος, ἢ δόξειεν εἰς τὴν ἀρχήν τι παρακινεῖν, οὐχ ἱκανὸς ἑαυτοῦ κρατεῖν ἐγίνετο, καὶ διεξῆλθεν ὁμοῦ συγγενεῖς καὶ φίλους, ἴσα πολεμίοις τιμωρούμενος, ἐκ τοῦ μόνος θέλειν τετιμῆσθαι τὰς τοιαύτας ἁμαρτίας ἀναλαμβάνων. Μαρτύριον δέ μοι τούτου τοῦ πάθους, ὅτι μέγιστον περὶ αὐτὸν ἦν, καὶ τὰ γινόμενα κατὰ τὰς Καίσαρος καὶ Ἀγρίππα καὶ τῶν ἄλλων

contulit in civitates tum in Syria tum in Græcia, et ubicunque eum versari contigit. Namque ingentem pecuniæ vim impendisse videtur pluribus muneribus publicis, et publicorum operum exstructionibus perficiendis, exhausta, quæ jam ante suppeditata erat, pecunia. Maxima vero et nobilissima ab eo facta hæc erant: in Rhodiorum gratiam et Pythium templum suis sumptibus exædificavit, et ad naves compingendas multa argenti talenta præbuit; Nicopolitarum autem urbi, apud Actium a Cæsare conditæ, ad pleraque loca publica exstruenda contulit; Antiochensibus etiam, maximam in Syria urbem habitantibus, plateam, mediam ejus longitudinem secantem, porticibus ex utraque parte inclusam dedit, et viam ejus subdialem lapide polito stravit, ad maximum ejus ornamentum et incolarum commoditatem. Præterea fecit ut ludi Olympici, propter pecuniæ inopiam nominis gloriæ haud satis respondentes, majori in honore haberentur, annuos eis reditus assignando, et quoad sacrificia reliquumque apparatum magnum celebritati honorem conciliavit. Ob hanc itaque liberalitatem fere omnium voce perpetuus in tabulas relatus erat agonotheta.

4. Jam vero alios forsan subeat mirari tantam in eo animi ingeniique diversitatem. Nam si ejus liberalitatem spectemus et beneficentiam, qua erga omnes usus est, non est sane ut quisquam, qui vel minimum ei tribuerit, infitias eat quod natura propensissimus fuerit ad benefaciendum: sin autem quis respexerit supplicia et injurias, quibus subditos affecit et sibi conjunctissimos, secumque perpendat quam durus fuerit et inexorabilem se præbuerit, victus fatebitur ipsum videri ferum et immanem et ab omni mansuetudine alienum: unde etiam existimant voluntatem ei variam fuisse et sibi dissentientem. Ego vero, seorsum ab his sentiens, unam eandemque utriusque causam fuisse arbitror. Eo enim quod honoris esset cupidissimus et totus huic affectui deditus, incitabatur ad magnificentiam, sicubi spes esset aut in præsens laudis aut in posterum memoriæ: quare quod profusior esset sumptibus quam res pateretur, subditis asper et iniquus esse cogebatur. Nam quum aliis plurimum largiretur, necesse erat id aliquando ab aliis male quærere; sibique conscius quod subditorum in odium incurrerit ob injurias illis factas, difficile quidem arbitrabatur vitia ista corrigere, (neque enim fieri potuit nisi reditus suos minueret,) contra vero nitebatur, ex ipsa illorum malevolentia captans occasionem suas augendi facultates. Et ad familiares quidem quod attinet, si quis ad ejus voluntatem non loqueretur, servum se ei obsequentem profitendo, aut aliquid in regnum ejus moliri creditus fuerit, ex impotentis animi effrenatione cognatos simul et amicos persequebatur, tanquam in hostes vindicans, istiusmodi in se peccata admittens, quod ipse solus honorari vellet. Quam vehementi autem hujus rei desiderio teneretur mihi testimonio sunt isti honores, quos Cæsari et Agrippæ aliisque amicis deferendos curavit.

φίλων τιμάς. Οἷς γὰρ ἐθεράπευε τοὺς κρείττονας, τούτοις καὐτὸς ἠξίου θεραπεύεσθαι, καὶ τὸ κάλλιστον ὧν ᾤετο παρέχειν, τῶν ὁμοίων ἐπιθυμίαν ἐδήλου. Τό γε μὴν Ἰουδαίων ἔθνος ἠλλοτρίωται νόμῳ πρὸς πάντα τὰ τοιαῦτα, καὶ συνείθισται τὸ δίκαιον ἀντὶ τοῦ πρὸς δόξαν ἠγαπηκέναι· διόπερ οὐκ ἦν αὐτῷ κεχαρισμένον, ὅτι μὴ δυνατὸν εἰκόσιν, ἢ ναοῖς, ἢ τοιούτοις ἐπιτηδεύμασιν κολακεύειν τοῦ βασιλέως τὸ φιλότιμον. Αἰτία μὲν αὕτη μοι δοκεῖ τῆς Ἡρώδου περὶ μὲν τοὺς οἰκείους καὶ συμβούλους ἁμαρτίας, περὶ δὲ τοὺς ἔξω καὶ μὴ προσήκοντας εὐεργεσίας.

ΚΕΦ. ς'.

Τοὺς δὲ κατὰ τὴν Ἀσίαν Ἰουδαίους καὶ ὅσους ἡ πρὸς Κυρήνην Λιβύη κατέσχεν ἐκάκουν αἱ πόλεις, τῶν μὲν πρότερον βασιλέων ἰσονομίαν αὐτοῖς παρεσχημένων, ἐν δὲ τῷ τότε δι' ἐπηρείας ἐχόντων τῶν Ἑλλήνων αὐτούς, ὡς καὶ χρημάτων ἱερῶν ἀφαίρεσιν ποιεῖσθαι καὶ καταβλάπτειν ἐν τοῖς ἐπὶ μέρους. Πάσχοντες δὲ κακῶς καὶ πέρας οὐδὲν εὑρίσκοντες τῆς τῶν Ἑλλήνων ἀπανθρωπίας, ἐπρεσβεύσαντο πρὸς Καίσαρα καὶ περὶ τούτων. Ὁ δ' αὐτοῖς τὴν αὐτὴν ἰσοτέλειαν ἔδωκεν, γράψας τοῖς κατὰ τὰς ἐπαρχίας· ὧν ὑπεταξάμεν τὰ ἀντίγραφα μαρτύρια τῆς διαθέσεως ἣν ἔσχον ὑπὲρ ἡμῶν ἄνωθεν οἱ κρατοῦντες.

β'. « Καῖσαρ Σεβαστὸς, ἀρχιερεὺς, δημαρχι-
« κῆς ἐξουσίας * λέγει. Ἐπειδὴ τὸ ἔθνος τὸ τῶν
« Ἰουδαίων εὐχάριστον ηὑρέθη οὐ μόνον ἐν τῷ ἐνεσ-
« τῶτι καιρῷ, ἀλλὰ καὶ ἐν τῷ προγεγενημένῳ, καὶ
« μάλιστα ἐπὶ τοῦ ἐμοῦ πατρὸς αὐτοκράτορος Καί-
« σαρος, πρὸς τὸν δῆμον τῶν Ῥωμαίων, ὅ τε ἀρ-
« χιερεὺς αὐτῶν Ὑρκανὸς, ἔδοξέ μοι καὶ τῷ ἐμῷ
« συμβουλίῳ μετὰ ὁρκωμοσίας γνώμῃ δήμου Ῥω-
« μαίων, τοὺς Ἰουδαίους χρῆσθαι τοῖς ἰδίοις θεσμοῖς
« κατὰ τὸν πάτριον αὐτῶν νόμον, καθὼς ἐχρῶντο ἐπὶ
« Ὑρκανοῦ ἀρχιερέως Θεοῦ ὑψίστου, τά τε ἱερὰ εἶναι
« ἐν ἀσυλίᾳ, καὶ ἀναπέμπεσθαι εἰς Ἱεροσόλυμα, καὶ
« ἀποδίδοσθαι αὐτὰ τοῖς ἀποδοχεῦσιν Ἱεροσολύμων
« ἐγγύας τε μὴ ὁμολογεῖν αὐτοὺς ἐν σάββασιν, ἢ τῇ
« πρὸ ταύτης παρασκευῇ· ἀπὸ ὥρας ἐνάτης. Ἐὰν
« δέ τις φωραθῇ κλέπτων τὰς ἱερὰς βίβλους αὐτῶν, ἢ
« τὰ ἱερὰ χρήματα, ἔκ τε σαββατείου ἔκ τε ἀν-
« δρῶνος, εἶναι αὐτὸν ἱερόσυλον, καὶ τὸν βίον αὐτοῦ
« ἐνεχθῆναι εἰς τὸ δημόσιον τῶν Ῥωμαίων. Τὸ δὲ
« ψήφισμα τὸ δοθέν μοι ὑπ' αὐτῶν, ὑπὲρ τῆς ἐμῆς
« εὐσεβείας, ἧς ἔχω πρὸς πάντας ἀνθρώπους, καὶ
« ὑπὲρ Γαΐου Μαρκίου Κηνσωρίνου, καὶ τοῦτο τὸ
« διάταγμα κελεύω ἀνατεθῆναι ἐν ἐπισημοτάτῳ τόπῳ
« γενηθέντι μοι ὑπὸ τοῦ κοινοῦ τῆς Ἀσίας ἐν Ἀγκύρᾳ.
« Ἐὰν δέ τις παραβῇ τι τῶν προειρημένων, δώσει
« δίκην οὐχὶ μετρίαν ». Ἐστηλογραφήθη ἐν τῷ Καί-
σαρος ναῷ.

γ'. « ΚΑΙΣΑΡ ΝΟΡΒΑΝΩΙ ΦΛΑΚΚΩΙ ΧΑΙΡΕΙΝ. Ἰου-
« δαῖοι, ὅσοι ποτ' οὖν εἰσὶν οἱ δι' ἀρχαίαν συνήθειαν

Quemadmodum enim majores colebat ipse, ita sibi *a minoribus* fieri volebat, et quod ille optimum se dare putabat, id ipsum desiderare indicio erat. Atqui Judæorum gens lege sua ab istis omnibus abhorrebat, et assuefacta erat majorem justi et æqui quam gloriæ rationem habere : quapropter ipsi non adeo grata erat et accepta, quod non potuerat statuis et templis et hujusmodi rebus regis ambitionem adulari. Mihi quidem hæc causa videtur cur familiares et consiliorum participes male tractando peccaverit, dum exteros et alienos beneficiis demereri studuerit.

CAP. VI. (X.)

Ceterum Judæi qui in Asia et Libya Cyrenensi degebant, a civitatibus vexabantur, quum superioribus quidem regibus in æquo jure ipsis concesso fuissent, tunc vero per Græcos injuriis afficerentur, adeo ut sacra pecunia spoliarentur et privatim læderentur. Quapropter quum in ea calamitate essent, neque Græcorum crudelitatis finem ullum invenirent, miserunt etiam istis de rebus legatos ad Cæsarem. Ille vero iis juris æquitatem concessit, et ad provinciales ea de re scripsit : quorum rescriptorum exemplaria subjecimus, ut nobis testimonio sint, qua in nos voluntate fuerint imperatores superiores.

2. « Cæsar Augustus, pontifex maximus, tribunitiæ po-
« testatis * edicit. Quandoquidem Judæorum gens non se-
« lum hoc tempore fida et grata populo Romano inventa
« est, sed et multo ante, maximeque sub patre meo Cæsare
« imperatore, et in primis pontifex maximus Hyrcanus,
« placuit mihi et consiliariis meis auctoratis, de sententia
« populi Romani, ut Judæi suis moribus uti ex patria ipso-
« rum lege sinerentur, quemadmodum utebantur tempore
« Hyrcani pontificis summi Dei; neque eorum donaria attin-
« gerentur, sed Hierosolyma mitti *permitterentur*, et tradi
« receptoribus Hierosolymorum : neve cogerentur ad vadi-
« monia præstanda sabbatis, aut quæ ante hæc fuerit præ-
« paratio ab hora nona. Quodsi quis furatus sacros eorum
« libros aut sacram pecuniam, ex cella sabbataria aut ex
« cella conclavium virorum, deprehensus fuerit, pro sa-
« crilego habetor, ejusque bona in publicum populo Ro-
« mano addicuntor. Decretum etiam quod mei in hono-
« rem scripserunt, ob meum in universum hominum genus
« pietatem, ob Caii Marcii Censorini merita, una cum hoc
« edicto reponendum esse jubeo in loco celeberrimo a
« communi Asiæ mihi Ancyræ conseorato. Si quis contra
« ea, quæ ediximus, fecerit, non levi mulctabitur pœna. »
Inscriptum est columnæ in templo Cæsaris.

3. « CÆSAR NORBANO FLACCO SALUTEM. Judæis ubicun-
« que gentium degentibus, qui ex veteri instituto soliti erant

« εἰώθασι χρήματά τε ἱερὰ φέροντες ἀναπέμπειν εἰς « Ἱεροσόλυμα, ἀκωλύτως τοῦτο ποιείτωσαν. » Καὶ ταῦτα μὲν Καῖσαρ.

δ'. Ἀγρίππας δὲ καὶ αὐτὸς ἔγραψεν ὑπὲρ τῶν Ἰουδαίων τὸν τρόπον τοῦτον. « Ἀγρίππας Ἐφεσίων « ἄρχουσι, βουλῇ, δήμῳ χαίρειν. Τῶν εἰς τὸ ἱερὸν « τὸ ἐν Ἱεροσολύμοις ἀναφερομένων ἱερῶν χρημάτων « τὴν ἐπιμέλειαν καὶ φυλακὴν βούλομαι τοὺς ἐν Ἀσίᾳ « Ἰουδαίους ποιεῖσθαι κατὰ τὰ πάτρια· τούς τε κλέ- « πτοντας ἱερὰ χρήματα τῶν Ἰουδαίων, καταφεύγοντάς « τε εἰς τὰς ἀσυλίας, βούλομαι ἀποσπᾶσθαι καὶ παρα- « δίδοσθαι τοῖς Ἰουδαίοις, ᾧ δικαίῳ ἀποσπῶνται οἱ « ἱερόσυλοι. Ἔγραψα δὲ καὶ Σιλανῷ τῷ στρατηγῷ, « ἵνα σάββασι μηδεὶς ἀναγκάζῃ Ἰουδαῖον ἐγγύας ὁμο- « λογεῖν. »

ε'. « ΜΑΡΚΟΣ ΑΓΡΙΠΠΑΣ Κυρηναίων ἄρχουσι, βου- « λῇ, δήμῳ χαίρειν. Οἱ ἐν Κυρήνῃ Ἰουδαῖοι, ὑπὲρ ὧν « ἤδη ὁ Σεβαστὸς ἔπεμψεν πρὸς τὸν ἐν Λιβύῃ στρατηγὸν « τότε ὄντα Φλάβιον καὶ πρὸς τοὺς ἄλλους τοὺς τῆς « ἐπαρχίας ἐπιμελουμένους, ἵνα ἀνεπικωλύτως ἀναπέμ- « πηται τὰ ἱερὰ χρήματα εἰς Ἱεροσόλυμα, ὡς ἐστὶν αὐτοῖς « πάτριον, ἐνέτυχόν μοι νῦν, ὡς ὑπό τινων συκοφαντῶν « ἐπηρεάζοιντο, καὶ ὡς ἐν προφάσει τελῶν μὴ ὀφειλο- « μένων κωλύοιντο· οἷς ἀποκαθιστάνειν κατὰ μηδένα « τρόπον ἐνοχλουμένοις, καὶ εἴ τινων ἱερὰ χρήματα « ἁφήρηνται τῶν πόλεων τοὺς εἰς ταῦτα ἀποκεκριμένους, « καὶ ταῦτα διορθώσασθαι τοῖς ἐκεῖ Ἰουδαίοις κελεύω. »

ς'. « ΓΑΙΟΣ ΝΟΡΒΑΝΟΣ ΦΛΑΚΚΟΣ ἀνθύπατος Σαρ- « διανῶν ἄρχουσι καὶ βουλῇ χαίρειν. Καῖσάρ μοι « ἔγραψε κελεύων μὴ κωλύεσθαι τοὺς Ἰουδαίους ὅσοι ἂν « ὦσι κατὰ τὸ πάτριον αὐτοῖς ἔθος συναγαγόντες χρή- « ματα ἀναπέμπειν εἰς Ἱεροσόλυμα. Ἔγραψα οὖν « ὑμῖν, ἵν' εἰδῆτε ὅτι Καῖσαρ κἀγὼ οὕτω θέλομεν « γίνεσθαι. »

ζ'. Οὐδὲν ἧττον καὶ Ἰούλιος Ἀντώνιος ἀνθύπατος ἔγραψεν. « Ἐφεσίων ἄρχουσι, βουλῇ, δήμῳ χαί- « ρειν. Οἱ ἐν τῇ Ἀσίᾳ κατοικοῦντες Ἰουδαῖοι εἰδοῖς « Φεβρουαρίοις δικαιοδοτοῦντί μοι ἐν Ἐφέσῳ ὑπέδει- « ξαν Καίσαρα τὸν Σεβαστὸν καὶ Ἀγρίππαν συγκεχω- « ρηκέναι αὐτοῖς χρῆσθαι τοῖς ἰδίοις νόμοις καὶ ἔθεσιν, « ἀπαρχάς τε ἃς ἕκαστος αὐτῶν ἐκ τῆς ἰδίας προαιρέ- « σεως εὐσεβείας ἕνεκα τῆς πρὸς τὸ θεῖον * * ἀνακο- « μιδῆς συμπορευομένους, ποιεῖν ἀνεμποδίστως· ἤτουν « τε ὅπως κἀγὼ ὁμοίως τοῖς ὑπὸ τοῦ Σεβαστοῦ καὶ « Ἀγρίππα δοθεῖσιν τὴν ἐμὴν γνώμην βεβαιώσω. « Ὑμᾶς οὖν βούλομαι εἰδέναι ἐμὲ τοῖς τοῦ Σεβαστοῦ « καὶ Ἀγρίππα βουλήμασι συνεπιτρέπειν αὐτοῖς χρῆ- « σθαι καὶ ποιεῖν κατὰ τὰ πάτρια χωρὶς ἐμποδι- « σμοῦ. »

η'. Ταῦτα μὲν οὖν παραθέμην ἐξ ἀνάγκης, ἐπειδὴ μέλλουσιν αἱ τῶν ἡμετέρων πράξεων ἀναγραφαὶ τὸ πλέον εἰς τοὺς Ἕλληνας ἰέναι, δεικνὺς αὐτοῖς ὅτι πάσης τιμῆς ἄνωθεν ἐπιτυγχάνοντες οὐδὲν τῶν πατρίων ἐκωλύθημεν ὑπὸ τῶν ἀρχόντων πράττειν, ἀλλὰ καὶ

« pecuniam sacram Hierosolyma mittere, liceat hoc facere « nemine prohibente. » Atque hæc quidem Cæsar.

4. Porro et ipse Agrippa pro Judæis scripsit in hunc modum. « Agrippa Ephesiorum magistratibus, senatui et « populo salutem. Pecuniæ sacræ, quæ Hierosolyma in « templum mitti solet, procurationem et custodiam penes « Judæos in Asia esse volo more patrio : et si qui sacram « Judæorum pecuniam furati ad asyla confugerint, eos « inde abstrahi volo et Judæis tradi, quo jure abstrahi solent « sacrilegi. Insuper et Silano prætori scripsi ne quis Ju- « dæum sabbatis compellat ad vadimonia præstanda. »

5. « M. AGRIPPA Cyrenæorum magistratibus, senatui, « populo salutem. Judæi Cyrenenses, pro quibus jam Au- « gustus scripsit Flavio Libyæ tum prætori, aliisque istius « provinciæ procuratoribus, non esse vetandos mittere ex « more patrio sacram pecuniam Hierosolyma, nunc me in- « terpellarunt, dicentes se vexari a delatoribus quibusdam « improbis, vetarique hoc facere simulatione quorundam « tributorum quæ minime debentur : quibus sine ulla mo- « lestia in integrum restitui jubeo, etiam sacram urbis « uniuscujusque pecuniam, si quæ hominibus erepta fuerit « ad eam colligendam custodiendamve delectis, curarique « ut res istæ Judæis, qui illic sint, in melius cedant. »

6. « CAIUS NORBANUS FLACCUS proconsul Sardianorum « magistratibus et senatui salutem. Cæsar mihi scripsit « jubere se ut Judæi quicunque more patrio pecuniam col- « legerint, nequaquam vetentur eam Hierosolyma mittere. « Vobis itaque scripsi, ne vos lateat quod et Cæsar et ego « hoc ita fieri volumus. »

7. Nec aliter Julius Antonius proconsul scripsit. « Ephe- « siorum magistratibus, senatui, populo salutem. Judæi « Asiam habitantes mihi, idibus Februariis Ephesi jus red- « denti, indicaverunt Cæsarem Augustum et Agrippam ipsis « concessisse ut ex suis legibus et institutis viverent, et « primitias, quas unusquisque sponte sua ex pietate in Deum « *solvet*, liceat, nemine prohibente, cum comitatu depor- « tare; rogabantque ut ipse, convenienter iis quæ a Cæ- « sare et Agrippa concessa erant, meam sententiam decreto « sanciam. Volo itaque vos scire meam, ut Cæsaris et « Agrippæ, voluntatem esse, ut permittantur pro libitu vi- « vere atque agere juxta patriam consuetudinem. »

8. Et hæc quidem apponere necesse habui, ut ostenderem Græcis, quorum in manus maxime perventura sunt quæ de rebus nostris gestis perscripsi, quod superiore tempore omni in honore habiti, nequaquam a magistratibus prohibiti fuerimus ex patriis legibus vitam instituere; sed

συνεργούμεθα τὰ τῆς θρησκείας ἔχοντες καὶ τῶν εἰς τὸν Θεὸν τιμῶν. Ποιοῦμαι δὲ πολλάκις αὐτῶν τὴν μνήμην ἐπιδιαλλάττων τὰ γένη, καὶ τὰς ἐμπεφυκυίας τοῖς ἀλογίστοις ἡμῶν τε κἀκείνου μίσους αἰτίας ὑπεξαιρούμενος. Ἔθεσι μὲν γὰρ οὐδέν ἐστι γένος ὃ τοῖς αὐτοῖς ἀεὶ χρῆται, καὶ κατὰ πόλεις ἔσθ' ὅπη πολλῆς ἐγγινομένης τῆς διαφορᾶς· τὸ δίκαιον δὲ πᾶσιν ἀνθρώποις ὁμοίως ἐπιτηδεύσει λυσιτελέστατον ὂν Ἕλλησί τε καὶ βαρβάροις, οὗ πλεῖστον οἱ παρ' ἡμῖν νόμοι λόγον ἔχοντες ἅπασιν ἡμᾶς, εἰ καθαρῶς ἐμμένοιμεν αὐτοῖς, εὔνους καὶ φίλους ἀπεργάζονται. Διὸ καὶ ταῦτα παρ' ἐκείνων ἡμῖν ἀπαιτητέον, καὶ δέον οὐκ ἐν τῇ διαφορᾷ τῶν ἐπιτηδευμάτων οἴεσθαι τὸ ἀλλότριον, ἀλλ' ἐν τῷ πρὸς καλοκἀγαθίαν ἐπιτηδείως ἔχειν· τοῦτο γὰρ κοινὸν ἅπασι καὶ μόνον ἱκανὸν διασώζειν τὸν τῶν ἀνθρώπων βίον. Ἐπάνειμι δὲ ἐπὶ τὰ συνεχῆ τῆς ἱστορίας.

ΚΕΦ. Ζ'.

Ὁ γὰρ Ἡρώδης, πολλοῖς τοῖς ἀναλώμασιν εἴς τε τὰς ἔξω καὶ τὰς ἐν τῇ βασιλείᾳ χρώμενος, ἀκηκοὼς ἔτι τάχιον ὡς Ὑρκανὸς ὁ πρὸ αὐτοῦ βασιλεὺς ἀνοίξας τὸν Δαυίδου τάφον ἀργυρίου λάβοι τρισχίλια τάλαντα, κειμένων πολὺ πλειόνων ἔτι καὶ δυναμένων εἰς ἅπαν ἐπαρκέσαι ταῖς χορηγίαις, ἐκ πλείονος μὲν δι' ἐννοίας εἶχε τὴν ἐπιχείρησιν, ἐν δὲ τῷ τότε νυκτὸς ἀνοίξας τὸν τάφον εἰσέρχεται πραγματευσάμενος ἥκιστα μὲν ἐν τῇ πόλει φανερὸς εἶναι, παρειληφὼς δὲ τοὺς πιστοτάτους τῶν φίλων. Ἀποθέσιμα μὲν οὖν χρήματα, καθάπερ Ὑρκανός, οὐχ ηὗρεν, κόσμον δὲ χρυσοῦ καὶ κειμηλίων πολὺν, ὃν ἀνείλετο πάντα. Σπουδὴν δ' εἶχεν, ἐπιμελεστέραν ποιούμενος τὴν ἔρευναν, ἐνδοτέρω τε χωρεῖν καὶ κατὰ τὰς θήκας, ἐν αἷς ἦν τοῦ Δαυίδου καὶ τοῦ Σολομῶνος τὰ σώματα. Καὶ δύο μὲν αὐτῷ τῶν δορυφόρων διεφθάρησαν, φλογὸς ἔνδοθεν εἰσιούσιν ἀπαντώσης, ὡς ἐλέγετο· περίφοβος δ' αὐτὸς ἐξῆει καὶ τοῦ δέους ἱλαστήριον μνῆμα λευκῆς πέτρας ἐπὶ τῷ στομίῳ κατεσκευάσατο, πολυτελὲς τῇ δαπάνῃ. Τούτου καὶ Νικόλαος, ὁ κατ' αὐτὸν ἱστοριογράφος, μέμνηται τοῦ κατασκευάσματος, οὐ μὴν ὅτι κατῆλθεν, οὐκ εὐπρεπῆ τὴν πρᾶξιν ἐπισταμένος. Διατελεῖ δὲ καὶ τὰ ἄλλα τοῦτον τὸν τρόπον χρώμενος τῇ γραφῇ. Ζῶν τε γὰρ ἐν τῇ βασιλείᾳ καὶ συνὼν αὐτῷ, κεχαρισμένως ἐκείνῳ καὶ καθ' ὑπηρεσίαν ἀνέγραφεν, μόνων ἁπτόμενος τῶν πρὸς εὔκλειαν αὐτῷ φερόντων, πολλὰ δὲ καὶ τῶν ἐμφανῶς ἀδίκων ἀντικατασκευάζων καὶ μετὰ πάσης σπουδῆς ἐπικρυπτόμενος· ὅς γε καὶ τὸν Μαριάμμης θάνατον καὶ τῶν παίδων αὐτῆς ὡμῶς τῷ βασιλεῖ πεπραγμένον εἰς εὐπρέπειαν ἀνάγειν βουλόμενος ἐκείνης τε ἀσέλγειαν καὶ τῶν νεανίσκων ἐπιβουλὰς καταψεύδεται, καὶ διατετέλεκε τῇ γραφῇ τὰ μὲν πεπραγμένα δικαίως τῷ βασιλεῖ πριττότερον ἐγκωμιάζων, ὑπὲρ δὲ τῶν παρανομηθόντων ἐσπουδασμένως ἀπολογούμενος. Ἐκείνῳ μὲν οὖν πολλὴν ἄν τις, ὡς ἔφην, ἔχοι τὴν συγγνώμην· οὐ γὰρ ἱστορίαν τοῖς ἄλλοις, ἀλλὰ ὑπουργίαν τῷ βασι-

eorum etiam auctoritate freti et muniti religionem Deique cultum conservarimus. Sæpius autem illorum mentionem facio, ut gentes reconciliem, odiique in nos et illum causas in hominibus nihil pensi habentibus insitas ejiciam. Nam gens quidem nulla est, quæ tota eisdem semper utatur institutis, sed oppidatim fere discrepatur plurimum : at jus ipsum omnibus ex æquo hominibus accommodatur, tam barbaris utilissimum quam Græcis : cujus quidem rationem habentes maximam quæ apud nos sunt leges, faciunt nos, modo eas recte observemus, cunctis hominibus benevolos et amicos. Quamobrem par est ut et ista ab illis expetamus ; neque nos arbitrari a se alienos debent *alii* eo quod institutis differamus, sed id potius spectare an ad virtutem et probitatem comparata sint : hoc enim ad omnes communiter pertinet, solumque per se sufficit ad tuendam hominum vitam. Sed ad narrationem institutam redeo.

CAP. VII. (XI.)

Herodes vero, qui tum in regno suo tum extra ingentes sumptus faciebat, quum jam ante audivisset Hyrcanum, suum in regno antecessorem, aperto sepulcro Davidis, inde tria millia talentorum argenti abstulisse, atque ibi multo adhuc plura restare, quæ ejus largitioni abunde sufficerent, multo quidem ante in animo habebat ut idem faceret : tunc vero noctu recluso sepulcro, eo cum amicorum suorum fidelissimis intravit, cavens ne id in urbe resciscceretur. Et pecunias quidem depositas similiter ac Hyrcanus non invenit, sed aurea ornamenta multumque supellectilis pretiosæ, quæ omnia abstulit. Ac, dum accurate rimatur, voluit etiam ulterius progredi ad ipsa usque conditoria, in quibus sita erant corpora Davidis et Solomonis. Ac duos e suis satellitibus amisit, flamma ex adytis, ut ferebatur, prodeunte quæ in intrantes incidit : ille vero perterritus exiit et placandi numinis gratia exstruxit in ostio sepulcri magnis sumptibus monumentum albo lapide. Hujus etiam operis meminit Nicolaus historiarum scriptor, qui Herodis tempore floruit ; non tamen *memoravit* quod descenderit *rex*, præter decorum id factum esse sciens : ac cetera quoque hoc modo scribendæ historiæ constanter utitur. Nam quum et in regno ejus vixerit et simul cum eo, quæ illi grata essent eique inservirent, scriptis mandavit, ea tantum attingens quæ ad gloriam ejus pertinerent ; insuper et multa ejus facinora manifesto injusta aliis coloribus depingens, et quantum potuit occultare studens. Ille etiam Mariamnes ejusque liberorum cædi, crudeliter a rege perpetratæ, speciosam causam astruere volens, illam calumniatur quod impudice se gesserit, juvenesque, quod insidias struxerint : totoque in opere idem fecit, quæ a rege præclare gesta erant nimium extollens, quæ vero improbe egerit excusare laborans. Ceterum illi, ut dixi, facile quis potest ignoscere : nam id sibi negotii dedit, non ut res gestas aliis narraret, sed

λεῖ ταύτην ἐποιεῖτο. Ἡμεῖς δὲ, καὶ γένους ὄντες ἀγχοῦ τῶν ἐξ Ἀσαμωναίου βασιλέων καὶ διὰ τοῦτο σὺν τιμῇ τὴν ἱερωσύνην ἔχοντες, τὸ ψεύσασθαί τι περὶ αὐτῶν οὐκ εὐπρεπὲς ὑπειληφότες καθαρῶς καὶ δικαίως ἐκτίθεμεν τὰς πράξεις, πολλοὺς μὲν τῶν ἐγόνων τῶν ἐκείνου βασιλεύοντας ἔτι δι' ἐντροπῆς ἔχοντες, τὴν δ' ἀλήθειαν πρὸ ἐκείνων τετιμηκότες, ἣν, ὅτε δικαίως ἐγίνετο * * συνέβη δὲ παρ' αὐτοῖς ἐκείνοις ὀργῆς τυγχάνειν.

β'. Ἡρώδης δὲ διὰ τὴν ἐπιχείρησιν, ἣν ἐποιήσατο τῷ τάφῳ, χεῖρον ἐδόκει πράττειν ἐν τοῖς κατὰ τὴν οἰκίαν, εἴτε δὴ τοῦ μηνίματος ἐπιδόντος εἰς ἃ μάλιστα καὶ πρότερον ἐνόσει πλείω γενέσθαι καὶ πρὸς ἀνηκέστους ἐξελθεῖν συμφορὰς, εἴτε καὶ τῆς τύχης ἐν ἐκείνοις τὴν ἐπίθεσιν ποιουμένης, ἐν οἷς τὸ κατὰ τὴν αἰτίαν εὔκαιρον οὐ μικρὰν πίστιν παρεῖχε τοῦ διὰ τὴν ἀσέβειαν αὐτῷ τὰς συμφορὰς ἀπηντηκέναι. Στάσις γὰρ ἦν ὥσπερ ἐμφυλίου πολέμου κατὰ τὴν αὐλὴν καὶ μίση πρὸς ἀλλήλους ἀνθ' ὑπερβαλλομένων ταῖς διαβολαῖς. Ἐστρατήγει δ' ἀεὶ κατὰ τῶν ἀδελφῶν Ἀντίπατρος, δεινὸς ὢν ἔξωθεν μὲν περιβάλλειν αὐτοὺς ταῖς αἰτίαις, αὐτὸς δὲ πολλάκις ἀπολογουμένου τόπον λαμβάνειν, ἵν' ἢ τὸ δοκοῦν εὔνουν πιστὸν αὐτῷ πρὸς τὰς ἐπιχειρήσεις ὧν ἐδόκει. Καὶ τούτῳ τῷ τρόπῳ ποικίλως ἐξεριελήλυθει τὸν πατέρα, μόνος ὑπὲρ τῆς ἐκείνου σωτηρίας ἅπαντα πράττειν αὐτὸς πεπιστευκώς. Ὁ δὲ καὶ Πτολεμαῖον, ὃς ἦν αὐτῷ διοικητὴς τῶν τῆς βασιλείας πραγμάτων, Ἀντιπάτρῳ συνίστη, καὶ μετὰ τῆς ἐκείνου μητρὸς ὑπὲρ τῶν ἐπειγόντων ἐβουλεύετο. Καὶ καθόλου τὰ πάντα ἦσαν οὗτοι, καὶ πράττειν ὅσα θέλοιεν καὶ πρὸς δύσνοιαν ἄγειν τὸν βασιλέα τῶν ἔξωθεν ὅσοις ἐδόκει συμφέρειν. Οἱ δ' ἐκ τῆς Μαριάμμης χαλεπώτερον ἀεὶ διετίθεντο, καὶ τὴν ἀτιμίαν ὑπ' εὐγενείας οὐκ ἔφερον παρεωσμένοι καὶ τάξιν ἀτιμοτέραν ἔχοντες. Αἵ γε μὴν γυναῖκες, ἡ μὲν Ἀλεξάνδρῳ συνοικοῦσα, θυγάτηρ Ἀρχελάου Γλαφύρα, μῖσος εἶχεν εἰς τὴν Σαλώμην, κατά τε τὴν πρὸς τὸν ἄνδρα διάθεσιν κἀκ τοῦ πρὸς τὴν ἐκείνης θυγατέρα δοκεῖν ὑπερηφανώτερον διακεῖσθαι· συνῴκει μὲν γὰρ Ἀριστοβούλῳ, τὴν δὲ ἰσοτιμίαν αὐτῆς ἀνῃξιοπάθει Γλαφύρα.

γ'. Δευτέρας οὖν ταύτης ἔριδος ἐμπεπτωκυίας, οὐδ' ὁ τοῦ βασιλέως ἀδελφὸς Φερώρας ἔξω ταραχῆς ἦν. Ἰδίαν δὲ ὑπόθεσιν ὑποψίας καὶ μίσους εἶχεν. Ἐμπεπτώκει μὲν γὰρ εἰς ἔρωτα δουλευούσης αὐτῷ γυναικὸς, ἥττητο δὲ τῆς ἀνθρώπου μεμηνότως, ἐπὶ τοσοῦτον κρατούμενος ὥστ' αὐτῷ καὶ τῆς τοῦ βασιλέως ἐγγυηθείσης θυγατρὸς τὴν μὲν ὑπερηφανῆσαι, πρὸς δὲ τῇ δούλῃ τὸν νοῦν εἶχεν. Ἠχθετο δὲ ἀτιμασθεὶς Ἡρώδῃ τῷ πολλὰ μὲν εὐεργετῆσαι τὸν ἀδελφὸν, δυνάμει δὲ καὶ κοινωνὸν ἔχειν τῆς βασιλείας, οὐχ ὅμοιον εἰς τὰς ἀμοιβὰς ὁρῶν, κἀν τῷ προσώπῳ δυστυχεῖν ᾤετο. Καὶ τὴν μὲν κόρην, μὴ τυχὼν Φερώρα δικαίου, παιδὶ Φασαήλου δίδωσιν, αὐτὸς δὲ, χρόνου διελθόντος οἰόμενος ἤδη παρηκμακέναι τὴν ἐπιθυμίαν τἀδελφῷ, περί τε τῶν

ut regi in hac re gratificaretur. Nos vero, qui etiam generis propinquitate reges ex stirpe Asamonæi attingimus, propterea que sacerdotii honore fungimur, minime id nos decere rati ut illorum gratia falsi quid audeamus, incorrupte sincereque res actas exponimus, multos quidem e posteris illius regno potitos adhuc reverentes, ita tamen ut veritatem quam eos pluris fecerimus, quam, dum honeste fiebat * * accidit autem ut eos ipsos nobis iratos haberemus.

2. Ceterum Herodis domesticæ res, posteaquam sepulcrum aggressus est, in dies deterius habebant, sive diris ultricibus in eam partem invadentibus, qua jam ante maxime laborabat, ut malum ingravesceret ad insanabilem usque calamitatem, sive fortuna eo tempore in illum impetum faciente, quo res opportune adeo ceciderunt, ut fidem haud parvam facerent ipsum propter impietatem in miseras istas incidisse. Dissidium enim erat in regia quod belli civilis speciem præ se ferebat, et mutua crescebant odia, unde alii alios certatim calumniis onerabant. Antipater autem semper aliquid adversus fratres moliebatur, adeoque malitiose versutus erat, ut eos ab aliis insimulandos curaret, at ipse sæpe eos simulate excusaret, ut quoniam benevolus videretur fidem inveniret in conatibus quos contra illos conceperat. Atque hoc pacto ita callide patrem circumveniebat, ut is crederet unum esse Antipatrum, cui patris salus summæ curæ foret. Herodes etiam Ptolemæum, negotiorum regni sui procuratorem, Antipatro commendavit, ac magnis de rebus cum Antipatri matre consultabat. In summa hi omnia erant, ut et quæ vellent facerent, et in alios prout ipsis videretur regis odium commoverent. Erat autem ea res Mariammes filiis in dies gravior, et quod ad omnia summa nati essent, hoc eos pupugit dedecus, neque se repelli suamque dignitatem minui ferre poterant. Immo et de feminis Glaphyra Archelai filia, Alexandri conjux, simultatem cum Salome exercebat, partim propter suum in maritum amorem, partim quia habita esset paulo insolentior in ejus filiam : nam nupta quidem ea erat Aristobulo, sed illa pari eam secum dignitate esse indigne ferebat.

3. Ceterum altera hac lite exorta, etiam frater regis Pheroras turbas ciebat. Illi vero erat privata suspicionis et odii causa. Nam amore captus est servæ mulierculæ, quam habebat, atque ita perdite eam adamavit, ut spreta regis, quam sibi desponderat, filia, servæ totus adhæresceret. Quam rem ægre ferebat Herodes, quasi contumelia affectus, quum frater, quem tot beneficiis ornaverat et eo potentiæ evexerat ut regni socius esset, sibi in amore parum responderet : atque in eo homine sese infelicem esse existimabat. Et puellam quidem, quum parum æquum haberet Pheroram, Phasaeli filio nuptam locavit; tempore vero aliquanto post, arbitratus fratris amores

πρώτων ἠτιᾶτο καὶ τὴν δευτέραν ἠξίου λαμβάνειν· Κύπρος δ' ἐκαλεῖτο. Φερώρᾳ δὲ συμβουλεύει Πτολεμαῖος ἤδη παυσαμένῳ τῆς εἰς τὸν ἀδελφὸν ἀτιμίας καταβαλεῖν τὸν ἔρωτα· καὶ γὰρ αἰσχρὸν εἶναι δούλης ἡττώμενον ἀποστερεῖν μὲν αὐτὸν τῆς εὐνοίας τῆς παρὰ βασιλέως, αἴτιον δὲ κἀκείνῳ ταραχῆς καὶ μίσους πρὸς αὐτὸν καθίστασθαι. Ταῦτ' ἐκεῖνος εἰδὼς λυσιτελήσοντα, τῷ καὶ πρότερον ἐν διαβολαῖς γενόμενος συνεγνῶσθαι, τὴν μὲν ἄνθρωπον, ἤδη καὶ παῖδα ἐξ αὐτῆς ἔχων, ἀποπέμπεται, βασιλεῖ δὲ ὡμολόγει λήψεσθαι τὴν δευτέραν αὐτοῦ θυγατέρα, καὶ τριακοστὴν ἡμέραν συνέθετο τοῦ γάμου, συνεπομνύμενος ὡς οὐδὲν ἔτι κοινώνημα πρὸς τὴν ἀποπεμφθεῖσαν ἔσται. Διελθουσῶν δὲ τῶν τριάκοντα ἡμερῶν τοσοῦτον ἦν ἥττων τοῦ ἔρωτος, ὥστε μηδὲν μὲν ἔτι ποιῆσαι τῶν ὡμολογημένων, πάλιν δὲ διατελεῖν ἐπὶ τῇ πρώτῃ. Ταῦτα φανερῶς ἤδη τὸν Ἡρώδην ἐλύπει καὶ πρὸς ὀργὴν ἦγεν. Ἦσαν οὖν λόγοι τινὲς ἀεὶ προσπίπτοντες παρ' αὐτοῦ, καὶ πολλοὶ τὴν ὀργὴν τοῦ βασιλέως ἀφορμὴν τῶν κατὰ Φερώρα διαβολῶν ἐποιοῦντο. Διέλειπε δὲ οὐκέτι τις ἡμέρας οὐδ' ὥρα, καθ' ἣν ἀτρεμεῖν αὐτῷ συνέβαινεν, ἀλλ' ἀεί τι προσέπιπτεν καινὸν ἀγώνισμα τῶν συγγενῶν καὶ φιλτάτων εἰς ἀλλήλους πεποιημένων. Τοῦτο μὲν γὰρ ἡ Σαλώμη χαλεπὴ καὶ δύσνους οὖσα τοῖς ἐκ Μαριάμμης, οὐδὲ τὴν ἑαυτῆς θυγατέρα συνοικοῦσαν Ἀριστοβούλῳ, θατέρῳ τῶν νεανίσκων, εἴα τῇ τοῦ γάμου πρὸς ἐκεῖνον εὐνοίᾳ χρῆσθαι, λέγειν εἴ τι λαλήσειεν κατ' ἰδίαν ἀναπείθουσα καὶ μηνύειν ἑαυτῇ, κἂν τοῖς προσκρούσμασιν, οἷα συμβαίνει, πολλὰς ὑποψίας εἰσάγουσα. Δι' ὧν αὐτὴ μὲν ἅπαντα τὰ κατ' ἐκείνους ἐμάνθανε, δύσνουν δὲ τὴν παῖδα τῷ νεανίσκῳ πεποίηκε. Χαριζομένη δ' ἐκείνη τῇ μητρὶ πολλάκις ἔλεγεν ὡς μέμνηνται μὲν ἰδιάζοντες ἐκεῖνοι τῆς Μαριάμμης, ἐστυγήκασι δὲ τὸν πατέρα, συνεχὲς δὲ διαπειλοῦσιν, εἰ τύχοιεν αὐτοὶ ποτὲ τῆς ἀρχῆς, τοὺς μὲν ἐκ τῶν ἄλλων γυναικῶν παῖδας Ἡρώδῃ γεγενημένους κωμογραμματεῖς καταστήσειν, (ἁρμόσειν γὰρ εἰς τοιαύτην χρείαν τὸ νῶν ἐπιμελὲς αὐτῶν καὶ πρὸς παιδείαν ἐσπουδασμένον,) τὰς δὲ γυναῖκας, εἴ ποτε καὶ ταύτας ἴδοιεν τοῦ μητρῴου κόσμου μετειληφυίας, ἀντὶ τῆς παρούσης ἁβρότητος ἀπειλεῖν ὡς τριχίναις ἡμφιεσμέναι καθεδοῦνται μηδὲ τὸν ἥλιον βλέπουσαι. Ταῦτ' εὐθὺς ἀπηγγέλλετο διὰ τῆς Σαλώμης τῷ βασιλεῖ· κἀκεῖνος ἤκουε μὲν ἀλγεινῶς, ἐπειρᾶτο δὲ διορθοῦν. Ἐκακοῦτο δὲ ταῖς ὑποψίαις καὶ χείρων ἀεὶ γινόμενος ἅπασιν κατὰ πάντων ἐπίστευεν, Οὐ μὴν ἀλλὰ τότε μὲν ἐπιπλήξας τοῖς παισὶν, ἀπολογησαμένων ῥᾳόν εἰς τὸν καιρὸν ἐγίνετο, ταῖς δ' ἐξῆς πολὺ χείρω προσέπεσεν.

δ'. Ὁ γὰρ Φερώρας ἐλθὼν παρὰ τὸν Ἀλέξανδρον, ἔχοντα τὴν Ἀρχελάου θυγατέρα Γλαφύραν, ὡς ἐδηλώσαμεν, Σαλώμης ἔφη λεγούσης ἀκηκοέναι, τὸν Ἡρώδην ἡττῆσθαι τοῦ τῆς Γλαφύρας ἔρωτος καὶ δυσπαρηγόρητον αὐτῷ τὴν ἐπιθυμίαν εἶναι. Τοῦτο οὖν ἐκεῖνος ἀκούσας ὑπό τε νεότητος καὶ ζηλοτυπίας ἐξεκαίετο,

jam refrixisse, de prima apud eum expostulavit, et ut secundam, nomine Cypron, duceret, postulavit. Tum Ptolemæus Pheroræ consilium dat ut omissis amoribus *suis* fratri opprobrio esse desineret : turpe enim esse servam deperiundo semet privare regis amicitia, eique molestiam facessere et sibi odium conflare. Illi itaque, id e re sua esse videns, quod sibi ante accusato venia data fuisset, cum muliere, quamvis ex ea jam filium haberet, divortium facit, regique pollicebatur se filiam ejus secundam ducturam, et nuptias in diem trigesimum constituebat, fide jurejurando data sibi cum repudiata nihil amplius rei fore. Verum præteritis triginta diebus, adeo amore victus erat, ut *nihil eorum præstiterit quæ pepigerat*, sed iterum servæ adhæserit. Quam rem Herodem ægre tulisse iratoque animo palam erat : dum sibi semper aliquod ea de re verbum elabi sinebat; unde multi ab ira regis occasionem sumebant de Pherora detrahendi. Tamque eo processum est ut non dies, non hora ulla quieta foret, quin semper novæ aliquæ simultates intervenirent, quas ejus consanguinei et summi amici inter se exercebant. Nam hinc quidem Salome, quæ animo infenso infestoque erat in Mariamnes filios, ne filiam quidem suam, Aristobuli juvenum *alterius conjugem*, passa est ita se in maritum gerere ut postulabat conjugium, ei persuadens ut secreta illius colloquia renunciaret, ipsique proderet; et quum aliquid ut fieri *solet offensionis* accidisset, multas suspiciones injiciens. Quibus factum est ut omnia illorum arcana resciscerent, et filiæ animum alienaret a marito. Atque illa matri gratificans narrabat *illos sæpiuscule*, *dum seorsum essent*, mentionem facere Mariamnes, patrem vero odisse, atque identidem denunciare, si unquam rerum potirentur, facturos de filiis, quos Herodes ex ceteris uxoribus *sustulisset*, scribas paganos, (ad quod munus idoneum fore studium quod tum in literas impenderent,) feminis vero, si unquam matris suæ mundo comptas viderent, minari facturos ut pro præsenti vestitu ciliciis indutæ includerentur, ut ne solem quidem aspicerent. Hæc continuo a Salome regi referebantur : atque ille ea dolenter quidem audiebat, operam vero dabat ut *omnia componeret*. Suspicionibus autem adeo erat exagitatus ut deterior in dies fieret et omnibus contra omnes crederet. Quanquam tunc quidem filios ubi objurgaverat, audita eorum purgatione, paulo melius *in præsentia* se habuit, at postea tamen longe pejora evenerunt.

4. Nam Pheroras quum ad Alexandrum venisset, qui Glaphyram, ut memoravimus, Archelai filiam habuit, *sese* ex Salome audivisse dicebat Herodem efflictim amare Glaphyram, neque desiderium ejus posse leniri. Qua re audita ille ex juventutis *fervore* et zelotypia vehementer inflammatus erat; et quam comitatem Herodes erga puellam

καὶ τὰ κατὰ τὴν τιμὴν εἰς τὴν παῖδα γινόμενα παρ' Ἡρώδου (πολλάκις δὲ ἦσαν αἱ τοιαῦται φιλοφρονήσεις) ἐπὶ τὸ χεῖρον ἐλάμβανεν ἐξ ὑπονοιῶν διὰ τὸν ἐκπεσόντα λόγον. Οὐκ ἐκαρτέρησέ τε τὴν ὀδύνην τοῦ πράγματος, ἀλλὰ ἐλθὼν πρὸς τὸν πατέρα καταμηνύει τὰ ὑπὸ τοῦ Φερώρα ῥηθέντα μετὰ δακρύων. Ἡρώδης δὲ πολὺ μᾶλλον ἐκπαθὴς γενόμενος καὶ τὸ σὺν αἰσχύνῃ τῆς διαβολῆς ἐψευσμένον οὐ φέρων ἐτετάραχτο, καὶ πολλάκις μὲν ὠδύρετο τὴν πονηρίαν τῶν οἰκείων, οἷος εἰς αὐτοὺς γενόμενος οἵων τυγχάνοι, μεταπέμπεται δὲ τὸν Φερώραν, καὶ προσονειδίσας, « κάκιστε ἁπάντων, εἶπεν, « εἰς τοῦτο τῆς ἀμέτρου καὶ περιττῆς ἦλθες ἀχαριστίας, « ὡς τοιαῦτα μὲν περὶ ἡμῶν νοῆσαι, τοιαῦτα δὲ λαλεῖν; « Ἆρ' οὐχ ὁρῶ τὴν σὴν προαίρεσιν, ὡς οὐ βλασφημίας « ἐστοχασμένος τοὺς τοιούτους λόγους τῷ παιδὶ προσ« ήνεγκας, ἐπιβουλὴν δὲ καὶ φάρμακον αὐτοὺς ποιού« μενος τῆς ἐμῆς ἀπωλείας; Τίς γὰρ ἂν, εἰ μὴ δαιμό« νων ἀγαθῶν ἔτυχεν ὥσπερ οὗτος ὁ παῖς, ἠνέσχετο τὸν « πατέρα μὴ τίσασθαι διὰ τοιαύτην ὑποψίαν; Πότερον « δὲ λόγον εἰς τὴν ψυχήν, ἢ ξίφος εἰς τὴν δεξιὰν ἐμβαλεῖν « αὐτῷ δοκεῖς κατὰ τοῦ γεγεννηκότος; τί δέ σοι βούλε« ται τὸ μισοῦντά τε αὐτὸν καὶ τὸν ἀδελφὸν αὐτοῦ πρὸς « μόνην τὴν κατ' ἐμοῦ βλασφημίαν εὔνοιαν ὑποκρίνα« σθαι, καὶ περὶ τούτων λέγειν ἃ τῆς σῆς ἀσεβείας ἦν « καὶ νοῆσαι καὶ διαβαλεῖν; Ἔρρε, κάκιστος εἰς εὐεργέ« την καὶ ἀδελφὸν γενόμενος, καὶ σοὶ μὲν ἡ συνείδησις « αὕτη συζήσειεν, ἐγὼ δὲ νικήσω ἀεὶ τοὺς ἐμοὺς, « μήτε ἀμυνόμενος κατ' ἀξίαν καὶ μειζόνως εὐεργετῶν « ἢ τυχεῖν εἰσι δίκαιοι. »

ε'. Τοιαῦτα μὲν οὖν ὁ βασιλεύς. Φερώρας δὲ ἐπ' αὐτοφώρῳ τῇ μηχθηρίᾳ ἁλοὺς, Σαλώμην ἔφη ταῦτα συνθεῖναι, καὶ παρ' ἐκείνης εἶναι τοὺς λόγους. Ἡ δὲ ὡς μόνον ἤκουσεν, (ἐτύγχανε δὲ παροῦσα,) πιθανῶς ἀνεβόησεν ὡς οὐδὲν εἴη παρ' αὐτῆς τοιοῦτον, καὶ ὅτι διὰ σπουδῆς ἐστιν ἅπασιν εἰς μῖσος ἀγαγεῖν αὐτὴν τοῦ βασιλέως, καὶ πάντα τρόπον ἀνελεῖν διὰ τὴν εὔνοιαν ἣν ἔχοι περὶ τὸν Ἡρώδην, ἀεὶ προγινώσκουσα τοὺς κινδύνους· ἐν δὲ τῷ παρόντι καὶ μᾶλλον ἐπιβουλεύεσθαι· μόνη γὰρ ἀναπείθουσα τὸν ἀδελφὸν ἐκβάλλειν ἣν ἔχει νῦν γυναῖκα, λαμβάνειν δὲ θυγατέρα τὴν βασιλέως, εἰκότως ὑπ' ἐκείνου μεμισῆσθαι. Τοιαῦτα λεγούσης, καὶ πολλάκις μὲν ἐπιδραττομένης τῶν τριχῶν, πολλάκις δὲ τυπτούσης τὰ στέρνα, ἡ μὲν ὄψις εἶχέ τι πρὸς τὴν ἄρνησιν πιθανὸν, ἡ δὲ κακοήθεια τοῦ τρόπου τὴν ἐν τοῖς γενομένοις ὑπόκρισιν ἀπεσήμαινεν. Ὁ δὲ Φερώρας εἰς μέσον ἀπείληπτο, μηδὲν εὔσχημον εἰς ἀπολογίαν ἔχων, εἰπεῖν μὲν ὁμολογηκὼς, ἀκοῦσαι δ' οὐ πιστευόμενος. Ἐγένετο μὲν οὖν ἐπὶ πλεῖον ἥ τε σύγχυσις καὶ ἡ τῶν λόγων εἰς ἀλλήλους ἅμιλλα· τέλος δὲ ὁ βασιλεὺς τόν τε ἀδελφὸν καὶ τὴν ἀδελφὴν μεμισηκὼς ἀπεπέμπετο, καὶ τὸν υἱὸν ἐπαινέσας τῆς ἐγκρατείας καὶ τοῦ πρὸς αὐτὸν ἀνενεγκεῖν τοὺς λόγους, ὀψὲ τῆς ὥρας περὶ θεραπείαν τοῦ σώματος ἐγένετο. Τοιαύτης δὲ τῆς μάχης ἐμπεσούσης, κακῶς ἤκουσεν ἡ Σαλώμη, (παρ'

saepe honoris causa exhibuit, in pejorem partem vertebat, suspicione injecta ex iis quæ audierat. Atque doloris ex ea re impatiens, patrem adiit, eique Pheroræ verba non sine lacrimis refert. Herodes autem multo magis ira percitus, et se turpis adeo criminis falso insimulari non ferens, turbatus est, suorumque malitiam sæpe deplorabat, exprobrans ipsis quam magnis eos affecerit beneficiis et quam indigne ab iis acceptus fuerit. Moxque Pheroram evocat, et, quum multis eum opprobriis onerasset, « omnium, « inquit, nequissime, adeone supra modum et insigniter « ingratus evasisti, ut talia de nobis cogites, talia loqua« ris? nonne perspectum habeo quid velis, quod non solum « ut nobis convicia faceres hujusmodi sermones cum filio « institueris, sed ut suaderes mei in interitum insidias et « veneficia parari? quis enim nisi qui Deum præsentem « haberet ut iste puer, non ultum iret patrem ob hujusmodi « criminis suspicionem? Utrum tibi videris sermonem in « animum, an in dextram gladium inseruisse, quo paren« tem conficeret? aut quid tibi voluisti, qui, quum et ipsum « oderis ejusque fratrem, benevolentiam simulasti dun« taxat ut in me calumnias projiceres, atque ea diceres « quæ tu solus, qua es impietate, in animo et in ore habere « potuisti? Apage, pessime de benefactore et fratre meri« tus, et quam diu vivas te angat crucietque scelerum con« scientia : ego vero non desinam meos *benignitate* vince« re, et debitas pœnas ab illis non exigendo, et majoribus « quam mereantur beneficiis eos prosequendo. »

5. Atque ista quidem rex. Pheroras vero, in manifesto facinore deprehensus, Salomen ista commentam esse dicebat, et ab ea hæc verba prodiisse. At illa quum præsens adesset, simulac hæc audivit, exclamavit ratione probabili, nihil tale ab ipsa profectum esse, sed omnes studere ipsam regi invisam facere, idque modis omnibus agere ut occideretur, propter suam erga Herodem benevolentiam, dum semper pericula prævideat : ac præsenti tempore eos ipsi multo infensiores esse : se enim solam fratri suadere, ut quam nunc habeat uxorem repudiet regisque filiam ducat; itaque non mirum esse, si fratri invisa foret. Hæc dicens, et sibi capillos subinde vellens pectusque pulsans, ore vultuque fidem faciebat se vere omnia negare, sed ingenii ejus perversitas simulationem in factis esse coarguebat. Interea Pheroras medius tenebatur, nihil quidem ad semet excusandum habens, ut qui se ista dixisse non infitias iverit, sed aliunde audivisse non crederetur. Itaque duravit diutius ea perturbatio et verborum mutua contentio; tandemque rex, et fratrem et sororem exosus, eos dimisit, filioque collaudato, qui ita continens fuisset, et eos sermones ad patrem tulisset, sero admodum ad curam corporis se contulit. Post id dissidium male audiebat Salome, quippe

αὐτῆς γὰρ ἐδόκει κεκινῆσθαι τὰ περὶ τὴν διαβολήν,) αἵ τε τοῦ βασιλέως γυναῖκες ἤχθοντο, φύσει δυσχερεστάτην εἰδυῖαι καὶ γινομένην ἄλλοτ' ἄλλην, κατὰ καιροὺς ἐχθρὰν καὶ φίλην. Ἔλεγον οὖν ἀεί τι πρὸς τὸν Ἡρώδην κατ' αὐτῆς καί τι συμπεσὸν ἐπὶ μεῖζον ἤγαγε τὴν εἰς τοῦτο παρρησίαν.

ς'. Ἦν μὲν γὰρ ὁ τῆς Ἀραβίας βασιλεὺς Ὀβόδας ἀπράγμων καὶ νωθὴς τὴν φύσιν· Συλλαῖος δ' αὐτῷ διώκει τὰ πολλὰ, δεινὸς ἀνὴρ καὶ τὴν ἡλικίαν νέος ἔτι καὶ καλός. Οὗτος ὑπὸ χρείας [οὖν] τινὸς ἐλθὼν ὡς τὸν Ἡρώδην συνδειπνῶν εἶδε τὴν Σαλώμην, καὶ τὸν νοῦν ἔσχε πρὸς αὐτήν· γινώσκων δ' ὅτι καὶ χήρα τυγχάνοι, διελέγετο. Σαλώμη δὲ καὶ χεῖρον ἢ πάλαι φερομένη παρὰ τἀδελφῷ, καὶ τὸν νεανίσκον οὐκ ἀπαθῶς ὁρῶσα, πρὸς τὸν γάμον ὥρμητο· ταῖς τε μεταξὺ φοιτώντων ἐπὶ τὸ δεῖπνον ἐνεφαίνετο πλείω τε καὶ μὴ μέτρια τῆς ἐκείνων ὁμολογίας. Ταῦτα δὲ αἱ γυναῖκες ἀνέφερον τῷ βασιλεῖ, διαγελῶσαι τὴν ἀσχημοσύνην· Ἡρώδης δὲ καὶ παρὰ τοῦ Φερώρα προσεπυνθάνετο, καὶ τηρεῖν ἠξίου παρὰ τὸ δεῖπνον πῶς τὰ πρὸς ἀλλήλους ἐσχήκασιν. Ἐκεῖνος δὲ ἀπήγγελλεν ὅτι καὶ νεύμασι καὶ βλέμμασιν οὐκ ἄδηλοι τῆς ὁρμῆς εἰσιν ἀμφότεροι. Μετὰ τοῦτο ὁ μὲν Ἄραψ ὕποπτος ὢν ἀπῆει· διαλιπὸν δὲ δύο μῆνας ἢ τρεῖς ἔρχεται πάλιν ὡς ἐπ' αὐτὸ τοῦτο, καὶ λόγους Ἡρώδῃ προσέφερεν, ἀξιῶν αὐτῷ τὴν Σαλώμην δοθῆναι πρὸς γάμον· ἔσεσθαι γὰρ οὐκ ἀλυσιτελὲς τὸ κῆδος ἐπιμιξίᾳ τῆς τῶν Ἀράβων ἀρχῆς, ἣν αὐτῷ καὶ νῦν ἤδη παρεῖναι δυνάμει, καὶ μᾶλλον ὀφείλεσθαι. Τοῦ δὲ Ἡρώδου τὸν λόγον ἀναφέροντος, καὶ πυνθανομένου τῆς ἀδελφῆς εἰ πρὸς γάμον ἑτοίμως ἔχει, ταχέως μὲν ἐκείνη προσήκατο· Συλλαῖος δὲ, ἀξιούντων αὐτὸν ἐγγραφῆναι τοῖς τῶν Ἰουδαίων ἔθεσι καὶ τότε γαμεῖν, (ἄλλως γὰρ οὐκ εἶναι δυνατόν,) οὐχ ὑπομείνας, ἀλλὰ καὶ καταλευσθήσεσθαι πρὸς τῶν Ἀράβων εἰπὼν, εἰ τοῦτο πράξειεν, ἀπαλλάττεται. Σαλώμην οὖν ὅ τε Φερώρας ἤδη διέβαλλεν εἰς ἀκρασίαν, καὶ μᾶλλον αἱ γυναῖκες, λέγουσαι κοινωνίαν αὐτῇ γενέσθαι πρὸς τὸν Ἄραβα. Τὴν δὲ κόρην ἣν τἀδελφῷ κατενεγύησεν ὁ βασιλεὺς, ἣν ὁ μὲν Φερώρας οὐκ ἔλαβεν, ὡς προεῖπον, ἠττημένος τῆς γυναικὸς, αἰτούσης Σαλώμης εἰς τὸν υἱὸν τὸν ἐκ Κοστοβάρου γενόμενον, ὥρμητο μὲν ἐκείνῳ συνοικίσαι, μεταπείθεται δὲ ὑπὸ τοῦ Φερώρα, τὸν νεανίσκον οὐκ εὔνουν ἔσεσθαι λέγοντος, διὰ τὴν ἀπώλειαν τοῦ πατρὸς, καὶ δικαιότερον εἶναι λαβεῖν τὸν αὐτοῦ παῖδα τῆς τετραρχίας ὄντα διάδοχον. Οὕτω δὲ συγγνώμην ᾐτεῖτο καὶ μετέπεσεν οὗτος. Ἐκείνη μὲν οὖν, ἀντιμεταθείσης τῆς ἐγγύης, ἐγαμεῖτο τῷ Φερώρα μειρακίῳ, φέρνην ἐπιδόντος ἑκατὸν τάλαντα τοῦ βασιλέως.

ΚΕΦ. Η'.

Οὐκ ἀνεῖτο δὲ τὰ κατὰ τὴν οἰκίαν ἀεὶ καὶ μείζους τὰς ταραχὰς λαμβάνοντα. Καὶ συμπίπτει τι τοιοῦτον, ἐξ αἰτίας μὲν οὐκ εὐπρεποῦς, χωρῆσαν δὲ πρόσω κατὰ

quæ prima videretur istam confinxisse calumniam : et eam regis uxores oderant, scientes eam natura difficillimam esse, et quæ subinde mutaretur, et modo inimica modo amica, pro temporis opportunitate, fieret. Itaque Herodi semper aliquid adversus eam dicebant, et ad id majorem audaciam eis addidit casus quidam.

6. Erat Arabiæ quidem rex Obodas, homo natura segnis et tardus : hujus autem negotiorum pleraque administrabat Syllæus, vir acer et juvenis adhuc, idemque formosus. Hic *Syllæus* quum aliquando ad Herodem ob aliquod negotium venisset, et inter cœnandum Salomen vidisset, animum ad eam adjecit : et viduam esse quum sciret, cum ea verba fecit. Et Salome, quæ fratri minus quam antea cara esset, neque non juvenem valde amaret, in conjugium consentiebat : ac sequentibus diebus, ut ad cœnam ibatur, multa magnaque signa cernebantur eorum conventionis. Hæc regi referebant uxores, ejusmodi turpitudinem deridentes : et Herodes eadem de re quæsivit etiam ex Pherora, jussitque ut in cœna observaret, quomodo se erga se invicem gererent. Ille vero retulit facile ex eorum aspectibus et nutibus intelligi posse utrumque ad eam rem proclivem esse. Postea discessit Arabs suspectus : deinde post duos aut tres menses rediit ob eam ipsam rem, et de ea cum Herode loquebatur, ab eo Salomen petens in matrimonium : fore enim ei hanc affinitatem non inutilem, ut commercium habeat cum Arabum regno, quod et jam, si potestas spectetur, ipsi contigerit, multoque magis penes ipsum futurum sit. Quum autem hoc ad sororem referret Herodes, et eam interrogaret an ad nuptias consentiret, protinus quidem illa annuit : Syllæus vero, quum rogaretur ut ipse in Judæorum mores concederet, atque tum demum matrimonium iniret, (aliter enim fieri non posse,) non consensit, dixitque, si faceret, se ab Arabibus lapidatum iri : atque ita discessit. Inde Salome a Pherora ut mulier intemperans vituperabatur, magisque etiam a feminis, quæ eam cum Arabe rem habuisse dicerent. Quum autem Salome filio suo e Costobaro nato puellam peteret, a rege fratri suo Pheroræ desponsam, ei tamen non nuptam, quod, ut antea dixi, uxoris amore captus esset, *rex* quidem voluit illam ei locare, sententiam vero mutavit suasu Pheroræ, dicentis haud fore ut amaret eam propter patris sui cædem; atque satius esse ut sibi caperet ipsius filium, qui in tetrarchiam successurus erat. Atque ita veniam impetravit, simulque sententiam rex mutavit. Tum illa quidem, mutatis sponsalibus, nuptum datur Pheroræ adolescentulo, rege centum talentorum dote eam locupletante et ornante.

CAP. VIII. (XI.)

Attamen in tranquillo non erant res domesticæ, sed magis magisque in dies crescebant turbæ. Atque istiusmodi quid accidit, quod ab initiis non adeo honestis profectum

δυσχέρειαν. Ἦσαν εὐνοῦχοι τῷ βασιλεῖ διὰ κάλλος οὐ μετρίως ἐσπουδασμένοι· τούτων ὁ μὲν οἰνοχοεῖν, ὁ δὲ δεῖπνον προσφέρειν, ὁ δὲ κατακοιμίζειν τὸν βασιλέα πεπίστευτο, καὶ τὰ μέγιστα τῶν ἐν ταῖς ἀρχαῖς. Καί τις ἀναγγέλλει τῷ βασιλεῖ διαφθαρῆναι τούτους ὑπὸ Ἀλεξάνδρου τοῦ παιδὸς ἐπὶ πολλοῖς χρήμασιν. Ἀνακρίναντι δὲ περὶ μὲν τῆς γεγενημένης πρὸς αὐτὸν κοινωνίας καὶ μίξεως ὡμολόγουν, ἄλλο δὲ οὐδὲν δυσχερὲς εἰς τὸν πατέρα συνειδέναι. Βασανιζόμενοι δὲ μᾶλλον καὶ ἐν ταῖς ἀνάγκαις ὄντες, ἐπιτεινόντων ἀεὶ τῶν ὑπηρετῶν καὶ χαριζομένων τῷ Ἀντιπάτρῳ τὸ τοιοῦτον, ἔλεγον ὡς εἴη δυσμένεια πρὸς τὸν πατέρα καὶ μῖσος ἔμφυτον Ἀλεξάνδρῳ· παραινοίη δ' αὐτοῖς Ἡρώδην μὲν ἀπεγνωκέναι περιττὸν ἤδη τετυχηκότα, καὶ τῷ γήρᾳ παρακαλυμμα τοῦ χρόνου ποιούμενον, μελαίνοντα τὰς τρίχας καὶ κλέπτοντα τὸν ἔλεγχον τῆς ἡλικίας. Εἰ δ' αὐτῷ προσέχοιεν τὸν νοῦν, περιγενομένου τῆς βασιλείας, ἣν καὶ μὴ βουλομένου τοῦ πατρὸς οὐκ ἄλλου τινὸς εἶναι, ταχὺ τὸν πρῶτον ἕξειν ἐν αὐτῇ τόπον· οὐ γὰρ μόνον διὰ τὸ γένος, ἀλλ' ἤδη καὶ ταῖς παρασκευαῖς ἕτοιμον αὐτῷ τὸ κρατεῖν εἶναι· πολλοὶ μὲν γὰρ τῶν ἡγεμόνων, πολλοὶ δὲ τῶν φίλων συνεστᾶσιν, οὐχὶ πονηροὶ πᾶν ὁτιοῦν καὶ δρᾶν καὶ πάσχειν.

β'. Τούτων τῶν λόγων ἀκούσας Ἡρώδης ὅλος ἐγένετο τῆς ἐπηρείας καὶ τοῦ δέους, τὰ μὲν εἰς ὕβριν ῥηθέντα χαλεπῶς, τὰ δ' εἰς ὑπόνοιαν οὐκ ἀκινδύνως ἐκλαβών· ὥστε καὶ μᾶλλον ἐξ ἀμφοτέρων ἠρεθίζετο, καὶ πικρὸς ὢν ἐδεδοίκει μὴ καί τι ταῖς ἀληθείαις συνέστηκεν ἐπ' αὐτὸν ἰσχυρότερον ἢ φυλάξασθαι πρὸς ἐκεῖνον τὸν καιρόν. Ἔνθεν οὐδ' ἐκ φανεροῦ τὴν ἔρευναν ἐποιεῖτο, κατασκόπους δὲ τῶν ὑπονοουμένων διέπεμψεν· ὑποφία τε καὶ μίση πρὸς ἅπαντας ἦν, καὶ τὴν ὑπόνοιαν ἐπ' ἀσφαλείᾳ λαμβάνων πολλὴν, καὶ κατὰ τῶν οὐκ ἀξίων αὐτῇ χρώμενος διετέλει. Πέρας τε οὐδὲν ἦν, ἀλλὰ μένειν οἱ νομιζόμενοι μᾶλλον, ὡς ἂν καὶ μᾶλλον ἰσχύοντες, ἐδόκουν αὐτῷ φοβεροί· τοὺς δ' οἷς οὐκ ἦν συνήθεια πλείων ὀνομάσαι μόνον ἔδει, καὶ μέρος εὐθὺς ἀσφαλείας ἐδόκουν ἀπολλύμενοι. Τέλος τε οἱ περὶ αὐτὸν, ἐν τῷ μηδὲν ἔχειν βέβαιον εἰς ἐλπίδα σωτηρίας, ἐπ' ἀλλήλους ἐτράπησαν, νομίζοντες μὲν εἰ φθάσας ἕτερος τὸν ἕτερον διαβάλοι, τοῦτ' αὐτῷ πρὸς σωτηρίαν φέρειν. Ἐπίφθονοι δ' εἴ ποτε τύχοιεν ὄντες ἠξίουν γενόμενοι, * * καὶ τὸ δικαίως αὐτοὶ παθεῖν ἐφ' οἷς ἀλλήλους ἠδίκησαν προλαμβάνοντες μόνον. Ἤδη οὖν οἰκείας τινὲς ἔχθρας ἐπεξήεσαν τῷ τοιούτῳ τρόπῳ, καὶ καταφωραθέντες ἐν τοῖς ὁμοίοις ἐγένοντο, τὸν καιρὸν ὥσπερ ὄργανον καὶ πάγην ἐπὶ τοὺς ἐχθροὺς νοοῦντες, καὶ συναλισκόμενοι τῇ πείρᾳ, καθ' ἣν ἑτέροις ἐπεβούλευον. Ἥ τε γὰρ μετάνοια τῷ βασιλεῖ ταχὺ διὰ τὸ μὴ προφανῶς ἁμαρτάνοντας ἀναιρεῖν ἐπεγίνετο, καὶ ταύτης τὸ χαλεπὸν, οὐκ εἰς τὸ παύσασθαι τὰ ὅμοια δρᾶν, ἀλλ' εἰς τὸ τιμωρήσασθαι τοῖς ἴσοις τοὺς ἐνδειξαμένους ἀπηρτίζετο.

γ'. Τοιαύτη μὲν ἦν τῶν περὶ τὴν αὐλὴν ἡ ταραχή.

magnas peperit difficultates. Erant spadones regi propter formæ elegantiam carissimi : quorum unus ei erat a poculis, alter a mensa, tertius sopiendi regis procurationem habebat, et regni maxima negotia administrabat. Atque hos ab Alexandro filio multa pecunia corruptos quidam regi indicavit. Illi vero, quum interrogati essent an cum eo consueverint et congressi fuerint, rem fassi sunt; aliud quiddam in patrem flagitiosum nihil scire. Sed quum acrius cruciarentur et in necessitatibus essent, et a ministris in gratiam Antipatri semper crudelius torquerentur, in hanc sententiam dixerunt, Alexandrum scilicet patri esse infensum, innatumque odium alere, seque ab eo monitos, Herodem longioris imperii spem abjecisse, ut qui jam inutilis esset et senectuti annorum operimentum faceret, capillos denigrando, occultandoque quicquid ætatem proderet. Quodsi ipsius partes sequi vellent, fore ut se regnum adepto (quod vel invito patre ad alium neminem venturum esset) brevi primas in regno tenerent : sibi enim facile esse imperio potiri, non solum propter genus, sed jam etiam propter apparatum quem haberet, quippe quod multi et ducum et amicorum ab ipso starent, non ignavi ad quidvis et faciendum et patiendum.

2. His auditis Herodes iræ timorisque plenus erat, contumeliose dicta ægre ferens, quæque suspicionem movebant pro periculosis habens : adeo ut ex utrisque magis irritaretur, et exacerbatus metuerit ne quid revera gravius contra se conflatum esset, quam ut illo tempore de eo satis cavere posset. Quo factum est ut eam rem aperte non exculeret, sed homines mitteret ad observandos eos quos suspectos habebat : atque adeo in omnes suspicione et odio laborabat, ratusque tutius esse ut multos suspicaretur, etiam de innocentium fide magnopere dubitabat. In summa, nullus modus erat : quo quisque magis eum frequentabat, eo magis timebatur, tanquam qui lædere magis posset; qui vero ad eum non itabant, eos plerumque vel nominasse tantum sat erat, statimque ad sui securitatem facere credebatur ut interficerentur. Ad extremum eo versi sunt aulici, quoniam certa spe salutis carerent, ut alii in alios inveherentur, dum pro se quisque cogitat, si alterum accusare anticipet, se posse esse salvum. Deinde, ubi quis alterum oppresserat, invisus *erat*, ** et merito ob ea ulciscendus videbatur, quibus alios læserat, solummodo quod eos anteverteret. Jam hac ratione sese nonnunquam de privatis inimicitiis vindicabant : et ipsi vicissim deprehensi similiter pœnas dabant, et occasione tanquam machina et decipula in adversarios utebantur, ac deinde eodem, quem aliis obtenderant, laqueo capiebantur. Nam regem mox pœnitebat, quoniam quos necasset convicti non essent : quodque pejus erat, non utebatur ea pœnitentia ad talia deinceps cavenda, sed ad eos similiter puniendos, qui alios accusassent.

3. Hujusmodi quidem turbis agitabatur aula. Quin

Πολλοῖς δὲ τῶν φίλων ἤδη καὶ τοῦτ' αὐτὸ προεῖπεν ὡς οὔτ' ἐμφανίζεσθαι δέον αὐτῷ λοιπὸν οὔτ' εἰς τὸ βασίλειον εἰσιέναι· ταύτην δὲ τὴν παραγγελίαν ἐποιεῖτο, καθὸ ἡ παρρησίας ἐλάττονος ἢ πλείονος ἐντροπῆς μετειλήφει. Καὶ γὰρ Ἀνδρόμαχον καὶ Γέμελλον, ἄνδρας ἄνωθεν φίλους αὐτῷ, καὶ πολλὰ μὲν περὶ τὰς βασιλικὰς χρείας, ἔν τε πρεσβείαις καὶ συμβουλίαις ὀνήσαντας αὐτοῦ τὸν οἶκον, συμπαιδεύσαντας δὲ καὶ τοὺς υἱοὺς, καὶ τί γὰρ ἡ πρῶτον παρρησίας τόπον ἐσχηκότας, παρητήσατο τότε· τὸν μέν, ὅτι Δημήτριος ὁ παῖς αὐτοῦ συνήθης ἦν Ἀλεξάνδρῳ, Γέμελλον δὲ εὔνουν ἐπιστάμενος ἐκείνῳ· καὶ γὰρ ἐν ταῖς τροφαῖς καὶ τῇ παιδείᾳ παραγεγόνει, καὶ τὴν ἐν τῇ Ῥώμῃ συνδιέτριβεν ἀποδημίαν. Παρητήσατο δὲ καὶ τούτους ἡδέως μὲν ἂν καὶ χεῖρον· ὑπὸ δὲ τοῦ μὴ κατ' ἀνδρῶν οὐκ ἀσήμων ἔχειν τὴν ἄχρι τοσούτων παρρησίαν, τήν τε τιμὴν καὶ τὸ δύνασθαι κωλύειν ἁμαρτάνοντα παραιρούμενος.

δ'. Ἦν δὲ τούτων ἁπάντων αἴτιος Ἀντίπατρος, ὃς, ἐπειδὴ τὸ νενοσηκὸς τῆς τοῦ πατρὸς παρρησίας κατέμαθεν, ἔκπαλαι μὲν συνεδρεύων αὐτῷ προσέκειτο, καὶ μᾶλλον ἐδόκει τι περαίνειν, εἰ τῶν ἀντέχειν δυναμένων ἕκαστος ὑπεξαιρεθείη. Τότε γοῦν τῶν περὶ τὸν Ἀνδρόμαχον ἀπελαθέντων λόγου καὶ παρρησίας, πρῶτον μὲν ὁ βασιλεὺς ὅσους ᾤετο πιστοὺς Ἀλεξάνδρῳ, βασάνοις ἀνέκρινεν εἴ τι κατ' αὐτοῦ τολμηθὲν εἰδείησαν. Οἱ δὲ ἀπέθνησκον, οὐδὲν ἔχοντες λέγειν. Τῷ δ' ἦν φιλονεικίας αἴτιον, εἰ μή τι τοιοῦτον οἷον ἐνόει κακῶς εὑρίσκοιτο· καὶ δεινὸς Ἀντίπατρος ἦν τὸν μὲν ὑπ' αὐτῆς τῆς ἀληθείας ἀναίτιον εἰς ἐγκράτειαν καὶ πίστιν διαβαλεῖν, ἐπιπαροξῦναι δὲ ζητεῖν ἐκ πλειόνων τὸ λανθάνον τῆς ἐπιχειρήσεως. Καί τις ἐν πολλοῖς τοῖς βασανιζομένοις εἶπεν ὡς εἰδείη τὸν νεανίσκον λέγοντα πολλάκις, ὅτε ἐπαινούμενος αὐτὸς τύχοι τό τε σῶμα ὡς εἴη μέγας καὶ τὴν τοξικὴν εὐστοχος καὶ τἄλλα τὰ πρὸς ἀρετὴν ὑπὲρ ἅπαντας, ὅτι ταῦτα αὐτῷ καλὰ μᾶλλον ἢπερ ἀγαθὰ παρὰ τῆς φύσεώς ἐστιν· ἄχθεσθαι γὰρ ἐπ' αὐτοῖς τὸν πατέρα καὶ φθονεῖν· αὐτός τε, ὅτε μὲν ἅμα περιπατοίη, συστέλλειν αὑτὸν καὶ καθαιρεῖν ὡς μὴ μείζων δρᾶσθαι, τοξεύων δὲ ἐν τοῖς κυνηγεσίοις ἐκείνου παρόντος ἅπο σκόπου ῥίπτειν· τὴν γὰρ φιλοτιμίαν εἰδέναι τοῦ γεγεννηκότος κατὰ τῶν εὐδοκιμούντων. Βασανιζομένῳ οὖν * * τῷ λόγῳ καὶ προσγινομένης ἀνέσεως τῷ σώματι, προσετίθει ὅτι καὶ συνεργὸν ἔχων τὸν ἀδελφὸν Ἀριστόβουλον βουλεύσαιτο ἐν κυνηγεσίῳ λοχήσας ἀνελεῖν τὸν πατέρα, καὶ φεύγειν εἰς Ῥώμην, ἐπειδὰν τοῦτ' αὐτῷ πραχθῇ, τὴν βασιλείαν αἰτησόμενος. Ηὑρέθη δὲ καὶ γράμματα τοῦ νεανίσκου πρὸς τὸν ἀδελφὸν ἐν οἷς ἐμέμφετο τὸν πατέρα μὴ δίκαια ποιεῖν Ἀντιπάτρῳ χώραν ἀπονέμοντα πρόσοδον διακοσίων ταλάντων φέρουσαν. Ἐπὶ τούτοις εὐθὺς μὲν ἔδοξέ τι πιστὸν ἔχειν Ἡρώδης, ὡς ᾤετο, τῆς κατὰ τῶν παίδων ὑποψίας· καὶ συλλαβὼν ἔδησε τὸν Ἀλέξανδρον. Αὖθις δὲ οὐκ ἀνίει χαλεπὸς ὢν, τὰ μὲν οὐδ' οἷς ἤκουσεν ἄγαν πεπιστευκώς· (ἀναλογιζομένῳ γὰρ

etiam multis amicorum denunciavit non fore deinceps cur ad se officii causa ventitarent, aut in regiam intrarent : idque jussum eo fecit, quod propter eorum reverentiam minus licenter peccare audebat. Namque tunc expulit Andromachum et Gemellum, qui erant de ejus veteribus amicis, et multum ejus domui, tum curandis regiis negotiis, tum legationibus et consiliis profuerant, ejusque filios docuerant, et sane primum tenuerant apud eum auctoritatis locum : et alterum quidem, quod Demetrius ejus filius Alexandrum frequentaret; Gemellum vero, quod illum nosceret animo esse in Alexandrum benevolo : nam et ei puero adhuc in ludo literario adfuerat, et Romæ commoranti comes adhæserat. Ceterum et hos expulit, graviori etiam pœna libenter affecturus : sed ne licenter grassari videretur in viros tantæ dignitatis, satis habuit honore eos et potestate sibimet peccanti obstandi privare.

4. Horum autem omnium causa erat Antipater, qui, postquam insanam patris licentiam animadverterat, quum jam diu ei a consiliis fuisset, vehementer eum urgebat, eoque facilius quæ vellet perficere putabat, si omnes qui sibi resistere possent e medio tollerentur. Tunc igitur ejectis Andromacho et Gemello, ut regem alloqui et admonere non possent, cœpit rex in omnes tormentis quæstionem habere, quos Alexandro fideles esse credebat, ut extorqueret si quid scirent quod ille contra se molitus esset. Illi vero quum nihil dicere haberent, moriebantur : id quod regem reddebat furiosiorem, quia nihil eorum quæ male suspicaretur deprehendi posset : et Antipater ita malitiosus erat, ut ubi quis re ipsa innocens reperiebatur, negaret innocentiam esse, sed constantiam atque fidem, regemque instigaret ad quærendum ex aliis pluribus de arcanis insidiis. Atque accidit, inter complures qui cruciabantur, ut unus fateretur se nosse Alexandrum dicere solitum, quum a corporis proceritate et jaculandi peritia ceterarumque virtutum singulari excellentia collaudaretur, eas sibi naturæ dotes magis pulcras esse quam bonas, quippe patri invisas et invidiosas : itaque se cum patre ambulantem se ipsum supprimere solere atque demittere, ne illo major videretur, et in venatione cum patre jaculantem data opera aberrare, ut qui patrem gloriæ studiosiorem norit, quam ut alios ferret sibi laudem ex istis comparare. Deinde super ea re tormentis interrogatus, remisso cruciatu illud addidit, Alexandrum cum fratre suo Aristobulo statuisse in venatione patrem insidiis perimere, et tum patrato facinore Romam ad petendum regnum perfugere. Repertæ sunt præterea Alexandri ad fratrem literæ, in quibus de patre conquerebatur, qui inique Antipatro regionem daret, ex qua ducenta talenta ad eum redirent. Hic continuo sibi visus Herodes certum aliquod habere argumentum suspicionis, quam de pueris conceperat, Alexandrum comprehendi et in vincula tradi jubet. Deinde ne sic quidem molestus esse desinebat, partim quia auditis non multum fidei adjungebat, (nam rem perpendendo nihil

ἄξιον μὲν ἐπιβουλῆς ἐξ αὐτῶν οὐδὲν ἐφαίνετο, μέμψεις δὲ καὶ νεανικαὶ φιλοτιμίαι, καὶ τὸν κτείναντα φανερῶς εἰς τὴν Ῥώμην ὁρμᾶν ἀπίθανον· ἠξίου δὲ καὶ μεῖζόν τι λαβεῖν τῆς περὶ τὸν υἱὸν παρανομίας τεκμήριον, καὶ φιλόνεικος ἦν μὴ δόξαι προπετῶς τὰ δεσμὰ κατεγνωκέναι. Τῶν δὲ φίλων τῶν Ἀλεξάνδρου βασανίζων τοὺς ἐν τέλει, διέφθειρεν αὐτῶν οὐκ ὀλίγους, οὐδὲν εἰπόντας ὧν ἐκεῖνος ᾤετο. Πολλῆς δὲ τῆς εἰς τὸ τοιοῦτον ἑτοιμότητος οὔσης καὶ φόβου καὶ ταραχῆς περὶ τὸ βασίλειον, εἷς τις τῶν νεωτέρων, ὡς ἐν ταῖς ἀνάγκαις ἐγένετο, διαπέμπειν ἔφη τοῖς ἐν Ῥώμῃ φίλοις τὸν Ἀλέξανδρον, ἀξιοῦντα κληθῆναι θᾶττον ὑπὸ Καίσαρος, ἔχειν δὲ αὐτῷ πρᾶξιν ἐπ' αὐτὸν συνισταμένην μηνῦσαι, Μιθριδάτην τὸν βασιλέα Πάρθων τοῦ πατρὸς ἡρημένου κατὰ Ῥωμαίων φίλον· εἶναι δὲ αὐτῷ καὶ φάρμακον ἐν Ἀσκάλωνι κατεσκευασμένον.

ε'. Τούτοις ἐπίστευσεν Ἡρώδης, καί τινα παραμυθίαν τῆς προπετείας εἴληφεν ἐν τοῖς κακοῖς ὑπὸ τῶν χειρόνων κολακευόμενος. Καὶ τὸ μὲν φάρμακον εὐθὺς ἐσπουδακότι ζητεῖν οὐχ ηὑρέθη, τὴν δ' ὑπερβολὴν τῶν κακῶν Ἀλέξανδρος ἐκ φιλονεικίας ἐπιρρῶσαι θέλων, εἰς μὲν ἄρνησιν οὐκ ἐτράπετο, μετῆει δὲ τὴν προπέτειαν τοῦ πατρὸς ἁμαρτίᾳ μείζονι, τάχα δὲ καὶ διὰ τούτου δυσωπῆσαι βουλόμενος τὸ πρὸς τὰς διαβολὰς ἕτοιμον, οὐχ ἥκιστα δὲ, εἰ καὶ ἔτυχε πιστευθείς, κακοῦν αὐτὸν καὶ πᾶσαν τὴν βασιλείαν προῃρημένος. Γράμματα γὰρ γράψας ἐν βίβλοις τέτταρσιν ἀπέστειλεν, ὡς οὐδὲν δεῖ βασανίζειν, οὐδὲ περαιτέρω χωρεῖν· γενέσθαι γὰρ τὴν ἐπιβουλὴν, καὶ ταύτῃ συλλαμβάνειν τόν τε Φερώραν καὶ τοὺς πιστοτάτους αὐτῷ τῶν φίλων, Σαλώμην δὲ καὶ νύκτωρ ἐπεισελθοῦσαν ἄκοντι μιγῆναι· καὶ πάντας ἐπὶ ταὐτὸν ἥκειν, τὸ θᾶττον ἐκεῖνον ἐκποδὼν ποιησαμένους ἄδειαν τῆς ἀεὶ προσδοκίας ἔχειν. Ἐν τούτοις καὶ Πτολεμαῖος διεβέβλητο καὶ Σαπίννιος, οἱ πιστότατοι τῷ βασιλεῖ. Καὶ τί γὰρ ἡ καθάπερ λύττης τινὸς ἐμπεσούσης κατ' ἀλλήλων οἱ πάλαι φίλτατοι τεθηρίωντο, μήτ' ἀπολογίας μήτ' ἐλέγχου τόπον ὡς ἀληθείας ἐχόντων, ἀλλ' ἀεὶ γινομένης ἀκρίτου τινὸς εἰς ἅπαντας ἀπωλείας· καὶ τῶν μὲν δεσμὰ, τῶν δὲ θανάτους, τῶν δὲ τὸ ταῦτα μέλλειν ἐπ' αὐτοῖς ὀδυρομένων, ἡσυχία τε καὶ κατήφεια τὸ βασίλειον ἀπεκόσμει τῆς πρώτης εὐδαιμονίας. Καὶ χαλεπὸς ἦν Ἡρώδῃ πᾶς ὁ βίος ἐκτεταραγμένῳ, καὶ τὸ μηδενὶ πιστεύειν μέγα τῆς προσδοκίας κολαστήριον ἔχοντι· πολλάκις γοῦν ὡς ἐπανιστάμενον αὐτῷ τὸν υἱὸν ἢ καὶ ξιφήρη παρεστῶτα διὰ φαντασίας ἐλάμβανεν. Οὕτως ἡ ψυχὴ καὶ νύκτα καὶ ἡμέραν πρὸς τοῦτῳ γενομένη πάθος ἀνεμάξατο μανίας καὶ ἀνοίας οὐχ ἧττον. Καὶ τὰ μὲν περὶ ἐκεῖνον εἶχεν οὕτως.

(IB'.) ς'. Ἀρχέλαος δὲ ὁ τῶν Καππαδόκων βασιλεὺς, ὡς ἐπύθετο τὰ κατὰ τὸν Ἡρώδην, ἀγωνιῶν τε ὑπὲρ τῆς θυγατρὸς καὶ τοῦ νεανίσκου καὶ συναλγῶν ἀνδρὶ φίλῳ τῆς ἐπὶ τοσόνδε ταραχῆς, ἦκεν οὐκ ἐν παρέργῳ θέμενος τὰ πράγματα. Καὶ καταλαβὼν οὕτως ἔχοντα, τὸ μὲν

apparebat cur deberet ab illis per insidias appeti, sed videbat querimonias esse et contentiones juveniles, neque credi posse ut qui patrem interfecerit palam Romam proficisceretur;) sed etiam majus argumentum culpæ filii habere volebat, et sollicitus erat ne eum inconsideratius in vincula dedisse videretur. Itaque summos amicorum Alexandri eousque excruciavit, ut multos necarit, nec tamen quicquam extorserit eorum quæ exspectabat. Huic ille rei dum vehementer incumbit, et regia timorum turbarumque plena est, fuit juvenis quidam, qui, ubi tormenta ei admota erant, fatebatur Alexandrum Romam ad amicos literas misisse, ut se curarent a Cæsare cito accersendum : habere se novas adversus eum res, quas ei indicare vellet, videlicet suum patrem cum Mithridate Parthorum rege amicitiam contra Romanos coiisse : atque illud adjecit, Alexandrum habere paratum venenum Ascalone.

5. His rebus credidit Herodes, et in iis malis nonnullam temeritatis suæ consolationem cepit, sibi ipsi assentando et majora esse quam erant mala persuadendo. Verum non est inventum venenum, licet illico diligenter quærendum curaverit; neque tamen id negavit Alexander, ut qui de industria malorum magnitudinem augere vellet : sed patris temeritatem majori adhuc crimine incitavit, forsan ut hoc ipso facilitatis in fide calumniis habenda pudorem ei incuteret, non minime tamen, ut, si forte crederetur, dedita opera ipsum cum tota regia malis exagitaret. Dimisit enim quaternas literas, in quibus significabat, nihil opus esse tormentis, neque procedendum ulterius, quippe quod ipse insidias fecerit, et quidem socio Pherora et regiorum amicorum fidissimis; Salomen quoque ad se venisse noctu et secum per vim concubuisse : atque omnium conatus eo tendere ut regem de medio tollerent, atque ita perpetuo metu liberarentur. Inter ceteros accusabantur etiam Ptolemæus et Sapinnius, qui regi fidelissimi habiti sunt. Quid enim multis? haud aliter ac si rabies eos occupasset, in se invicem efferabantur qui aliquando fuerant amicissimi, quum neque sui defendendi neque alios refellendi, ad veritatem patefaciendam, locum haberent, sed omnes nullo judicio neci darentur : atque dum alii vincula, alii necem, alii eorundem exspectationem certam deflerent, solitudo et mœstitia, pro præteriti temporis felicitate, regiam complebant. Itaque tota Herodis vita ipsi erat acerba, ut qui turbaretur, et, quod nemini se auderet credere, tristi futuri exspectatione cruciaretur; ac frequenter animo suo persuadebat invadi se a filio, et eum stricto gladio astare, adeo ut, dum in ea cogitatione dies noctesque versatur, non secus ac furiosus et mente captus baccharetur. Atque ita quidem ille se habebat.

(XII.) 6. Ubi autem ista de Herode intellexit Archelaus Cappadocum rex, et de filia et de adolescente sollicitus, amicique vicem dolens qui in tantas inciderit turbas, *Hierosolyma* profectus est rem non negligendam esse ratus. Quumque eum sic *uti audiverat* affectum invenisset, tempori

ἐπιτιμᾶν ἢ φάναι γενέσθαι τι προπετὲς αὐτῷ τελέως ἀνοίκειον εἰς τὸν καιρὸν ἡγήσατο· φιλονεικήσειν γὰρ κεκακωμένον, καὶ μᾶλλον ἀπολογεῖσθαι σπεύδοντα πλείονος ὀργῆς ἀναπλησθήσεσθαι. Μετῆει δὲ τάξιν ἑτέραν εἰς τὴν ἐπανόρθωσιν τῶν ἠτυχημένων, ὀργιζόμενος τῷ νεανίσκῳ κἀκεῖνον ἐπιεικῆ λέγων, τῷ μηδὲν ἐκ προπετείας ἐργάσασθαι· τόν τε γάμον διαλύσειν ἔφη πρὸς τὸν Ἀλέξανδρον, καὶ μηδ' ἂν τῆς θυγατρὸς φείσασθαι δικαίως, εἴ τι συνειδυῖα τούτῳ οὐ κατεμήνυσεν. Τοιούτου δ' ὄντος Ἀρχελάου οὐ κατὰ προσδοκίαν ὧν ὁ Ἡρώδης ᾤετο, τὸ δὲ πλέον ὑπὲρ αὐτοῦ τὴν ὀργὴν ἐπιδεικνυμένου, μετέπιπτεν ὁ βασιλεὺς τῆς χαλεπότητος, καὶ λαβὼν ἐκ τοῦ δικαίου δοκεῖν τὰ πεπραγμένα πεποιηκέναι, κατὰ μικρὸν εἰς τὸ τοῦ πατρὸς ἀντιμεθίστατο πάθος. Οἰκτρὸς δὲ ἦν ἐν ἀμφοτέροις, ὅτε μὲν ἀπελύοντο τινὲς τὰς τοῦ νεανίσκου διαβολὰς, εἰς ὀργὴν ἐκταραττόμενος, ἐπειδὴ δὲ Ἀρχέλαος συγκατηγόρει, πρὸς δάκρυα καὶ λύπην οὐκ ἀπαθῆ μεθιστάμενος· ἐδεῖτο γοῦν ἐκείνου μήτε διαλύειν τὸν γάμον, ὀργῆς τε ἔλαττον ἔχειν, ἐφ' οἷς ὁ νεανίσκος ἠδίκηκεν. Ἀρχέλαος δὲ, παραλαβὼν ἐπιεικέστερον, εἴς τε τοὺς φίλους μετέφερεν τὰς διαβολὰς, ἐκείνων εἶναι λέγων νέον ὄντα καὶ κακοηθείας ἀναίσθητον διαφθεῖραι, τόν τε ἀδελφὸν αὐτῷ μᾶλλον εἰς ὑποψίαν καθίστη. Τοῦ γὰρ Ἡρώδου χαλεπῶς καὶ πρὸς τὸν Φερώραν ἔχοντος, ὁ μὲν ἀπορίᾳ τοῦ διαλλάξαντος, Ἀρχέλαον ὁρῶν μάλιστα δυνάμενον, αὐτὸς τυχὼν πρὸς ἐκεῖνον ἐτράπετο μελανείμων καὶ πάντα τὰ σημεῖα τῆς μετὰ μικρὸν ἀπωλείας ἔχων, Ἀρχέλαος δὲ οὔτε ὑπερεῖδε τὴν ἔντευξιν οὔτ' ἔφη δυνατὸς εἶναι ταχὺ μεταπείθειν οὕτως ἔχοντα τὸν βασιλέα· βέλτιον δὲ εἶναι αὐτῷ προσιέναι καὶ δεῖσθαι τῶν πάντων αἴτιον αὐτὸν ὁμολογοῦντα· λωφήσειν γὰρ οὕτω τοῦ θυμοῦ τὸ περιττὸν, αὐτὸς δὲ συλλήψεσθαι παρών. Ταῦτα δὲ πεισθέντος αὐτοῦ, συναμφότερον ἦν διαπεπραγμένον, αἵ τε διαβολαὶ παρὰ δόξαν ἀφῄρηντο τοῦ νεανίσκου καὶ Φερώραν Ἀρχέλαος διαλλάξας οὕτως εἰς Καππαδοκίαν ἀπῆλθε, κεχαρισμένος, ὡς οὐκ ἄλλος ἐν τῇ τότε περιστάσει τῶν καιρῶν, Ἡρώδῃ γενόμενος· ὅθεν καὶ δώροις αὐτὸν ἐτίμησε πολυτελεστάτοις, κἀν τοῖς ἄλλοις μεγαλοπρεπὴς ἐν τοῖς μάλιστα φίλτατον ἡγησάμενος. Ἐποιήσατο δὲ καὶ συνθήκας εἰς Ῥώμην ἐλθεῖν, ἐπειδὴ περὶ τούτων ἐγέγραπτο Καίσαρι, καὶ μέχρις Ἀντοχείας ἐπὶ τὸ αὐτὸ παρῆλθον. Ἐκεῖ καὶ τὸν ἡγεμόνα Συρίας Τίτιον, ἐκ διαφορᾶς Ἀρχελάῳ κακῶς ἔχοντα, διήλλαξεν Ἡρώδης, καὶ πάλιν εἰς Ἰουδαίαν ὑποστρέφει.

ΚΕΦ. Θ'.

Γενομένῳ δὲ ἐν τῇ Ῥώμῃ κἀκεῖθεν ἐπανήκοντι συνέστη πόλεμος πρὸς τοὺς Ἄραβας ἐξ αἰτίας τοιαύτης. Οἱ κατοικοῦντες τὸν Τράχωνα, Καίσαρος ἀφελομένου Ζηνόδωρον καὶ προσθέντος Ἡρώδῃ τὴν χώραν, ληστεύειν μὲν οὐκ εἶχον ἐξουσίαν ἔτι, γεωργεῖν δὲ καὶ ζῆν ἡμέρως ἠναγκάζοντο. Τὸ δ' ἦν ἐκείνοις οὐχ αἱρετὸν, οὐδὲ λυσιτέλειαν ἔφερεν ἡ γῆ πονούντων. Ὅμως δὲ κατ' requaquam congruere existimavit ut eum reprehenderet aut temeritatis argueret : fore enim ut ille æger animi irritaretur, et quo majori studio semet excusaret, ira vehementiori exardesceret. Quapropter alia via aggressus est ad ea quæ tam male ceciderant emendanda, adolescenti quidem succensendo, et Herodem hominem æquum esse pronunciando, qui nihil temere fecisset. Atque illud insuper adjecit, se filiæ suæ et Alexandri matrimonium dissoluturum, ac ne filiæ quidem jure parsurum esse, si quid ea sciret quod Herodi non indicasset. Rex autem ubi Archelaum, quem sibi adversaturum putabat, a se stare vidit, suique in gratiam tantam præ se ferre iracundiam, aliquantulum de acerbitate sua remisit, et dum putaret jure facta videri quæ fecisset, paulatim animum paternum induit. Jamque in utramque partem miserandus erat; quum quidem nonnulli conjectas in Alexandrum calumnias refellebant, turbabatur, quum vero Herodem defendebat Archelaus, ad fletum convertebatur, graviterque dolore affectus erat : eo usque ut eum oraverit, ne connubium dissolveret, neque adeo juveni ob maleficia irasceretur. Itaque ubi paulo æquiorem factum vidit Archelaus, vertit in amicos calumnias, ab iis dicens corruptum Alexandrum, qui juvenis esset, neque malitiam sentiret; et suspicionem etiam magis in fratrem detorsit. Nam quum Pheroras etiam in Herodis indignationem incurrisset, ille, quum neminem haberet per quem cum rege in gratiam redire posset, videns magnam esse Archelai auctoritatem, eum adiit atratus, omniaque signa de salute desperantis præ se ferens. Tum Archelaus supplicis preces admisit, fieri tamen posse negavit ut tantam regis iram cito restingueret; proinde præstare ut ipse ab illo veniam petitum iret, seque totius mali auctorem esse confiteretur : ita enim immodicam *regis* iram cessaturam, se vero tum in auxilium commode adfuturum. Quum autem hæc ei persuasisset, utrumque simul perfectum est, atque ita juvenis præter opinionem crimine sublevatus est, et Archelaus Pheroram Herodi reconciliavit : deinde se in Cappadociam recepit, gratus Herodi ut temporibus illis nemo quisquam alius, adeo ut eum muneribus pretiosissimis honoraverit Herodes, et in ceteris magnificus eum pro summo amico habuerit. Pepigit etiam iturum se Romam, quoniam de suis negotiis ad Cæsarem scripsisset : iveruntque una Antiochiam usque. Ibi litem composuit Herodes inter Archelaum et Titium Syriæ præsidem illi iratum, atque ita in Judæam reversus est.

CAP. IX. (XIII.)

Postquam autem Romam profectus inde redierat, bellum ortum est adversus Arabas ob hujusmodi causam. Incolæ Trachonis, postquam Cæsar eam regionem, Zenodoro ademptam, Herodi attribuerat, amplius latrocinari nequibant, terram vero colere et quiete vivere cogebantur; id quod eis parum placebat, nec admodum idoneum agriculturæ solum habebant. Veruntamen a principio, rege eos coercente, fini-

ἀρχὰς μὲν, οὐκ ἐπιτρέποντος τοῦ βασιλέως, ἀπείχοντο τῶν εἰς τοὺς περιοίκους ἀδικημάτων, καὶ πολλὴ διὰ τοῦτο ἦν εὐδοξία τῆς ἐπιμελείας Ἡρώδου· πλεύσαντος δὲ εἰς τὴν Ῥώμην, ὅτε καὶ τοῦ παιδὸς Ἀλεξάνδρου κατηγόρει, καὶ παραθησόμενος Ἀντίπατρον τὸν υἱὸν παρελήλυθει Καίσαρι, λόγον ὡς ἀπολωλὼς εἴη διασπείροντες οἱ τὸν Τράχωνα νεμόμενοι, τῆς τε ἀρχῆς ἀπέστησαν καὶ πάλιν ἐπὶ τὰ συνήθη τοὺς πλησιοχώρους ἀδικεῖν ἐτρέποντο. Τότε μὲν οὖν αὐτοὺς οἱ στρατηγοὶ, τοῦ βασιλέως ἀπόντος, ἐχειρώσαντο· περὶ τετταράκοντα δέ τινες ἀρχιλῃσταὶ, κατὰ δέος τῶν ἡλωκότων, ἐξέλιπον μὲν τὴν χώραν, εἰς δὲ τὴν Ἀραβίαν ἀφορμήσαντες, Συλλαίου δεξαμένου μετὰ τὴν ἀποτυχίαν τοῦ Σαλώμης γάμου, τόπον τε ἐρυμνὸν ἐκείνου δόντος ᾤκησαν καὶ κατατρέχοντες οὐ μόνον τὴν Ἰουδαίαν, ἀλλὰ καὶ τὴν Κοίλην Συρίαν ἅπασαν ἐλῄζοντο, παρέχοντος ὁρμητήρια τοῦ Συλλαίου καὶ κακῶς ποιοῦσιν ἄδειαν. Ἡρώδης δὲ ἐπανελθὼν ἀπὸ τῆς Ῥώμης ἔγνω πολλὰ τῶν οἰκείων αὐτῷ κεκακωμένα· καὶ τῶν μὲν λῃστῶν ἐγκρατὴς οὐ δυνάμενος γενέσθαι διὰ τὴν ἀσφάλειαν, ἣν ἐκ τῆς τῶν Ἀράβων προστασίας ἐπορίσαντο, χαλεπῶς δὲ ἔχων αὐτὸς τῶν ἀδικημάτων, ἐκπεριελθὼν τὸν Τράχωνα τοὺς οἰκείους αὐτῶν ἀπέσφαξεν. Ἐντεῦθεν ἐκεῖνοι καὶ μᾶλλον πρὸς ὀργὰς ὧν ἐπεπόνθεισαν, ὄντος αὐτοῖς καὶ νόμου πάντα τρόπον ἐπεξιέναι τοὺς τῶν οἰκείων φονεῖς, ἀνυποτιμήτως τὴν Ἡρώδου πᾶσαν ἄγοντες καὶ φέροντες διετέλουν. Ἐκεῖνος δὲ διελέγετο περὶ τούτων τοῖς Καίσαρος ἡγεμόσιν Σατουρνίνῳ τε καὶ Οὐολομνίῳ, ἐπὶ κολάσει τοὺς λῃστὰς ἐξαιτούμενος. Ὅθεν ἔτι καὶ μᾶλλον ἰσχυρῶς ἐχόντων, πλείους μὲν ἐγίνοντο, πάντα δὲ ἐτάραττον ἐπαναστάσει, τῆς Ἡρώδου βασιλείας χωρία καὶ κώμας πορθοῦντες, καὶ τοὺς λαμβανομένους τῶν ἀνθρώπων ἐπισφάττοντες, ὡς εἶναι πολέμῳ τὴν ἀδικίαν ἐοικυῖαν· ἐγεγόνεισαν γὰρ ἤδη περὶ χιλίους. Ἐφ' οἷς ἀχθόμενος Ἡρώδης τούς τε λῃστὰς ἐξήτει, καὶ χρέος ὃ διὰ Συλλαίου δανείσας ἔτυχεν Ὀβόδᾳ, τάλαντα ἑξήκοντα, παρηκούσης αὐτῷ τῆς προθεσμίας, ἀπολαβεῖν ᾔξίου. Συλλαῖος δὲ τὸν μὲν Ὀβόδαν παρωσάμενος, αὐτὸς δὲ ἅπαντα διοικῶν, τούς τε λῃστὰς ἔξαρνος ἦν μὴ κατὰ τὴν Ἀραβίαν εἶναι καὶ περὶ τῶν χρημάτων ἀνεβάλλετο, περὶ ὧν ἐπί τε Σατουρνίνου καὶ Οὐολομνίου τῶν Συρίας ἐπιστατούντων ἐγίνοντο λόγοι. Τέλος δὲ συνέθετο δι' ἐκείνων ἐντὸς ἡμερῶν τριάκοντα τά τε χρήματα τὸν Ἡρώδην ἀπολαβεῖν καὶ τοὺς ἀλλήλων ἐν ἑκατέρᾳ τῇ βασιλείᾳ. Καὶ παρὰ μὲν Ἡρώδῃ τῶν Ἀράβων οὐδεὶς ηὑρέθη τὸ συνόλον οὔτε ἐπ' ἀδικίας οὔτε κατ' ἄλλον τρόπον, οἱ δ' Ἄραβες ἠλέγχοντο τοὺς λῃστὰς παρ' αὐτοῖς ἔχειν.

(ΙΔ'.) β'. Διελθούσης δὲ τῆς προθεσμίας ὁ Συλλαῖος, οὐδὲν τῶν δικαίων πεποιηκὼς, εἰς Ῥώμην ἀνέρχεται. Ῥύσια δὲ τῶν χρημάτων καὶ τῶν παρ' ἐκείνοις λῃστῶν Ἡρώδης ἐποιεῖτο, καὶ τῶν περὶ τὸν Σατουρνῖνον καὶ Οὐολόμνιον ἐπιτρεπόντων ἀγνωμονοῦντας ἐπεξιέναι. Στρατιάν τε ἔχων προσήγαγεν εἰς τὴν Ἀραβίαν, τρισὶν

timos nullis lacessebant injuriis. Qua ex re Herodes magnam diligentiæ laudem adeptus est. Illo autem Romam profecto, quum et puerum Alexandrum accusabat, et Antipatrum suum filium commendaturus Cæsarem adibat, Trachonis incolæ mortuum esse Herodem sermonibus divulgarunt, rebellaruntque, et iterum finitimum agrum, ut ante consueverant, diripere et vastare cœperunt. At tum regii duces, absente ipso, eos domuerunt : sed fuerunt circiter quadraginta latronum principes, qui, captorum exemplo territi, ex iis finibus cesserunt, seque in Arabiam receperunt, et a Syllæo, postquam is a Salomes conjugio aberraverat, accepti sunt, qui eis locum munitum dedit : qua habitatione usi, cœperunt non solum Judæam incursare, verum etiam universam Cœlen-Syriam, receptum et præsidium maleficis sceleratisque præstante Syllæo. Herodes autem, Roma reversus, comperit eos gravia damna suis intulisse, et quoniam latronibus ipsis potiri nequibat, quippe securitate ex Arabum tutela fretis, eas contumelias ægre ferens, Trachonem obiit, et latronum consanguineos necavit. Ea res, quam pro gravi injuria habuerunt, tanto reddidit irritatiores, præsertim quod legem habebant, quæ suorum interfectores omnibus modis ulcisci juberet : adeo ut, quicunque tandem sequuturus esset eventus, ex universa Herodis ditione prædas agere eamque diripere non cessarent. Ille vero, hac de re locutus cum Saturnino et Volumnio, Cæsarianis ducibus, latrones ad supplicium depoposcit. Quamobrem latrones se ipsos magis etiam confirmare, et numero aucti omnia perdere, loca pagosque Herodiani regni vastando, hominesque quos ceperant interficiendo : adeo ut hujusmodi incursiones bellicis similes essent; homines enim jam circiter mille erant. Quam rem moleste ferens Herodes latrones deposcebat, et sexaginta talenta exigebat, quæ Obodæ per manus Syllæi mutua dederat, quorumque dies transacta jam erat. At Syllæus, qui Oboda rejecto omnia regebat, negare in Arabia esse latrones, et pecuniæ solutionem differre : qua de re coram Saturnino et Volumnio, qui tum Syriæ præerant, disceptatum est. Tandem vero, illis ita decernentibus, convenit Herodi intra dies triginta pecuniam solutum iri, et utrumque alterius homines redditurum, quos in suo regno haberet. Atque Herodes quidem neminem omnino Arabem habere compertus est, neque ob maleficium, neque ob aliam causam : at Arabes convicti sunt habere in suis finibus latrones.

(XIV.) 2. Ceterum quum jam elapsa esset dies præstituta, Syllæus, antequam aliquid eorum quæ debebat fecisset, Romam profectus est. Herodes vero exsequebatur redditionem pecuniarum et latronum qui apud Arabas erant, Saturnino et Volumnio permittentibus ut contumaces illos armis persequeretur. Atque exercitum habens in Arabiam

ἡμέρας ἑπτὰ σταθμοὺς διανύσας. Καὶ γενόμενος ἐπὶ τοῦ φρουρίου τοῦ τοὺς λῃστὰς ἔχοντος, αἱρεῖ μὲν ἓξ ἑφόδου πάντας αὐτοὺς, κατασκάπτει δὲ τὸ χωρίον, Ῥάϊπτα καλούμενον· τῶν δὲ ἄλλων οὐδένα ἐλύπησεν. Ἐκβοηθησάντων δὲ τῶν Ἀράβων ἡγουμένου Ναχέβου, μάχη γίνεται, καθ' ἣν ὀλίγοι μὲν τῶν Ἡρώδου, Νάκεβος δὲ ὁ τῶν Ἀράβων στρατηγὸς καὶ περὶ εἴκοσι πέντε τῶν σὺν αὐτῷ πίπτουσιν, οἱ δὲ ἄλλοι πρὸς φυγὴν ἐτράποντο. Τισάμενος δὲ τούτους, τρισχιλίους Ἰδουμαίων ἐπὶ τῇ Τραχωνίτιδι κατοικίσας, εἶργε λῃστὰς τοὺς ἐκεῖ, καὶ περὶ τούτων τοῖς ἡγεμόσιν ἔπεμπε περὶ Φοινίκην οὖσιν, ἀποδεικνὺς ὅτι μηδὲν πλέον ὧν ἀγνωμονοῦντας ἐπεξελθεῖν ἔδει τοὺς Ἄραβας αὐτῷ πέπρακται. Ταῦτα μὲν οὖν ἐκεῖνοι πολυπραγμονοῦντες ηὕρισκον οὐ ψευδόμενον.

(ΙΕ'.) γ'. Ἄγγελοι δὲ Συλλαίῳ καταταχήσαντες εἰς Ῥώμην τὰ πεπραγμένα διεσάφουν, εἰς μεῖζον, ὡς εἰκὸς, ἕκαστον τῶν γεγονότων αἴροντες. Ὁ δὲ ἤδη μὲν ἐπεπραγμάτευτο γνώριμος εἶναι Καίσαρι, τότε δὲ περὶ τὴν αὐλὴν ἀναστρεφόμενος, ὡς ἤκουσεν, εὐθὺς μεταμφιέννυται μέλαιναν ἐσθῆτα, καὶ παρελθὼν ἔλεγεν ὡς αὐτὸν ὅτι πολέμῳ τὰ περὶ τὴν Ἀραβίαν εἴη κεκακωμένα καὶ πᾶσα ἀνάστατος ἡ βασιλεία, στρατιᾷ πορθήσαντος αὐτὴν Ἡρώδου. Δακρύων δὲ πεντακοσίους μὲν ἐπὶ δισχιλίοις Ἀράβων ἀπολωλέναι τοὺς πρώτους ἔλεγεν, ἀνῃρῆσθαι δὲ καὶ τὸν στρατηγὸν αὐτῶν Νάκεβον, οἰκεῖον αὐτῷ καὶ συγγενῆ, πλοῦτον δὲ διηρπάσθαι τὸν ἐν Ῥαΐπτοις· καταπεφρονῆσθαι δὲ τὸν Ὀβόδαν, ὑπὸ ἀσθενείας οὐκ ἀρκέσαντα τῷ πολέμῳ, διὰ τὸ μήτ' αὐτὸν μήτε τὴν Ἀραβικὴν δύναμιν παρεῖναι. Τοιαῦτα τοῦ Συλλαίου λέγοντος, καὶ προστιθέντος ἐπιφθόνως ὡς οὐδ' ἂν αὐτὸς ἀπέλθοι τῆς χώρας μὴ πεπιστευκὼς ὅτι Καίσαρι μέλοι τὴν εἰρήνην ἅπασιν εἶναι πρὸς ἀλλήλους, μηδ', εἰ παρὼν ἐτύγχανεν ἐκεῖ, λυσιτελῆ ποιῆσαι τὸν πόλεμον Ἡρώδῃ, παροξυνθεὶς ἐπὶ τοῖς λεγομένοις ὁ Καῖσαρ ἀνέκρινε τῶν Ἡρώδου τοὺς παρόντας καὶ τῶν ἰδίων τοὺς ἀπὸ Συρίας ἥκοντας αὐτὸ μόνον, εἰ τὴν στρατιὰν Ἡρώδης ἐξαγάγοι. Τῶν δὲ τοῦτο μὲν αὐτὸ λέγειν ἀνάγκην ἐχόντων, τὸ δὲ ἐφ' ὅτῳ καὶ πῶς οὐκ ἀκούοντος, ὀργή τε μεῖζον ἐγίνετο τῷ Καίσαρι καὶ γράφει πρὸς τὸν Ἡρώδην τά τε ἄλλα χαλεπῶς καὶ τοῦτο τῆς ἐπιστολῆς τὸ κεφάλαιον, ὅτι πάλαι χρώμενος αὐτῷ φίλῳ, νῦν ὑπηκόῳ χρήσεται. Γράφει δὲ καὶ Συλλαῖος ὑπὲρ τούτων τοῖς Ἄραψιν. Οἱ δὲ ἐπαρθέντες οὔτε τῶν λῃστῶν ὅσοι διέφυγον ἐξεδίδοσαν οὔτε τὰ χρήματα διευλύτουν, νομάς τε ἃς ἐκείνου μισθωσάμενοι διακατεῖχον, ἀμισθὶ ταύταις ἐχρῶντο, τεταπεινωμένου τοῦ τῶν Ἰουδαίων βασιλέως διὰ τὴν ὀργὴν τοῦ Καίσαρος. Ἐπιτίθενται δὲ τῷ καιρῷ καὶ οἱ τὴν Τραχωνῖτιν ἔχοντες, τῆς τῶν Ἰδουμαίων φρουρᾶς κατεξαναστάντες καὶ λῃστηρίοις χρώμενοι μετὰ τῶν Ἀράβων, οἳ ἐλεηλάτουν τὴν ἐκείνων χώραν, οὐκ ἀπ' ὠφελείας μόνον, ἀλλὰ καὶ μνησικακίας χαλεπώτεροι τὰς ἀδικίας ὄντες.

ϛ'. Ἡρώδης δὲ ταῦτα πάντα φέρων ἠνείχετο, μεeum duxit, septem mansiones triduo emensus. Et postquam ad præsidium, quod latrones habebat, pervenit, omnes primo impetu cepit, et locum qui Raipta vocabatur complanavit, aliorum vero neminem violavit. Quumque latronibus Arabes, Nacebo duce, subsidio venissent, prælium committitur, in quo pauci quidem ex Herodianis, Arabum vero dux Nacebus una cum suorum circiter viginti quinque ceciderunt, reliqui in fugam compulsi sunt. Isto autem de illis sumpto supplicio, quum tria Idumæorum millia in Trachonitidem deportasset, regionis illius latrones coercebat: totaque de re literas dedit ad duces qui erant in Phœnice, quibus eos certiores fecit quod nihil amplius, quam in contumaces Arabes fieri oportebat, ab eo actum fuisset. Et ista quidem illi, quum in ea diligenter inquirerent, vera esse comperiebant.

(XV.) 3. Nuncii autem Romam celeriter ad Syllæum res gestas perlulere, et, ut fere fit, singulas in majus auxerunt. Ille vero, qui jam id consequutus erat ut Cæsari innotesceret, forte tum circa palatium erat, his auditis, confestim mutata veste pullatus Cæsari indicatum ibat Arabiam bello esse vexatam, et universum regis exercitum eversum ab Herode, qui regionem vastaverit. Ad hæc lacrimans querebatur duo millia et quingentos Arabiæ primarios cecidisse, eorumque ducem Nacebum occubuisse, amicum cognatumque suum: direptasque divitias, quæ Raiptis essent, contempto Oboda ut ad bellum sustinendum inferiore, quoniam nec ipse Syllæus, nec Arabum exercitus adesset. Quum istiusmodi verba faceret Syllæus, et, ut invidiosiorem redderet Herodem, illud etiam adjiceret, se eam profectionem susceperum non fuisse, nisi Cæsarem putasset daturum operam ut cum omnibus omnes pacem haberent, neque, si ipsum ibi adesse contigisset, faustum Herodi bellum futurum fuisse; his verbis irritatus Cæsar quæsivit ab Herodis amicis qui aderant, et a suis, qui ex Syria venerant, hoc solum, an Herodes exercitum eduxisset. Id quidem quum illi fateri necesse haberent, Cæsar vero quam ob causam et quo pacto non auscultaret, tum ille magis ira exardescebat, et scripsit Herodi quum alia acerbius, tum literarum summa hæc fuit, se eum aliquando in amicis habuisse, nunc pro subdito habiturum. Syllæus quoque ea de re scripsit ad Arabes. Atque illi elati neque prædones elapsos dediderunt, neque pecuniam solverunt, insuper et pascuis, quæ Herodis erant et ipsi conduxerant, gratis utebantur, quoniam Judæorum rex esset per Cæsaris iram dejectus. Item Trachonitæ hanc occasionem nacti in Idumæorum præsidium consurgunt, atque una cum Arabibus latrocinantes, qui Idumæorum agrum populabantur, non solum lucri, sed etiam ultionis causa vehementer in eos sæviebant.

4. Herodes autem ista omnia ferre cogebatur, perdita,

ταβεβληκυίας αὐτῷ τῆς παρρησίας ἣν εἶχε διὰ Καίσαρα, καὶ τὸ μεῖζον ἀφῄρητο τοῦ φρονήματος. Οὐδὲ γὰρ πέμψαντος αὐτοῦ πρεσβείαν ἀπολογησομένην ὁ Καῖσαρ ἠνέσχετο, πάλιν δὲ τοὺς συνελθόντας ἀπράκτους ἀπέπεμψεν. Ἦν δ' οὖν ἐπὶ τούτοις ἀθυμία καὶ δέος, ὅ τε Συλλαῖος οὐ μετρίως ἐλύπει, πιστευθείς τε καὶ παρὼν ἐν τῇ Ῥώμῃ, τότε δὲ καὶ μειζόνων ἀπτόμενος. Ὁ μὲν γὰρ Ὀβόδας ἐτεθνήκει, παραλαμβάνει δὲ τὴν τῶν Ἀράβων ἀρχὴν Αἰνείας, ὁ μετονομασθεὶς αὖθις Ἀρέτας. Τοῦτον γὰρ ἐπεχείρει διαβολαῖς παρωσάμενος αὐτὸς ἀναλαμβάνειν τὴν ἀρχήν, χρήματα μὲν πολλὰ διδοὺς τοῖς περὶ τὴν αὐλήν, πολλὰ δὲ Καίσαρι δώσειν ὑπισχνούμενος. Ὁ δὲ τῷ μὴ τὸν Ἀρέταν ἐπιστείλαντα πρότερον αὐτῷ βασιλεύειν ὠργίζετο. Πέμπει δὲ κἀκεῖνος ἐπιστολὴν καὶ δῶρα τῷ Καίσαρι, στέφανόν τε χρυσοῦν ἀπὸ πολλῶν ταλάντων. Ἡ δὲ ἐπιστολὴ κατηγόρει Συλλαῖον ὄντα πονηρὸν δοῦλον, Ὀβόδαν τε φαρμάκοις διαφθεῖραι καὶ ζῶντος ἔτι κρατεῖν αὐτὸν, τάς τε τῶν Ἀράβων μοιχεύοντα γυναῖκας, καὶ χρήματα δανειζόμενον, ὥστ' ἐξιδιώσασθαι τὴν ἀρχήν. Προσέσχεν δὲ οὐδὲ τούτοις ὁ Καῖσαρ, ἀλλ' ἀποπέμπει μηδὲν τῶν δώρων λαβών. Τὰ δὲ περὶ τὴν Ἰουδαίαν καὶ Ἀραβίαν ἀεὶ καὶ μᾶλλον ἐπεδίδου, τὰ μὲν εἰς ἀταξίαν, τὰ δ' ὡς καταφθειρομένων μηδένα προεστάναι. Τῶν γὰρ βασιλέων ὁ μὲν οὔπω τὴν ἀρχὴν βεβαίαν ἔχων οὐχ ἱκανὸς ἦν κωλύειν τοὺς ἀδικοῦντας, Ἡρῴδης δὲ, ἐφ' οἷς ἠμύνατο τάχιον ὀργισθέντος αὐτῷ Καίσαρος, ἁπάσας τὰς εἰς αὐτὸν παρανομίας φέρειν ἠναγκάζετο. Πέρας δ' οὐδὲν ὁρῶν τῶν περιεστώτων κακῶν, ἔγνω πάλιν εἰς Ῥώμην ἀποστέλλειν, εἴ τι δύναιτο μετριώτερον εὑρεῖν διά τε τῶν φίλων καὶ πρὸς αὐτὸν Καίσαρα τὴν ἐντυχίαν ποιησάμενος. Κἀκεῖ μὲν ὁ Δαμασκηνὸς ἀπῄει Νικόλαος.

ΚΕΦ. Ι'.

Ἐξετετάραχτο δὲ τὰ περὶ τὴν οἰκίαν καὶ τοὺς παῖδας αὐτῷ πολὺ χεῖρον ἐσχηκότα κατὰ τὸν καιρὸν ἐκεῖνον. Ὅλως μὲν γὰρ οὐδὲ τὸν ἔμπροσθεν χρόνον ἀσύνοπτον ἦν ὡς τὸ μέγιστον καὶ δυσχερέστατον τῶν ἀνθρωπίνων παθῶν ἠπείληται τῇ βασιλείᾳ διὰ τῆς τύχης· ἐπέβαινε δὲ καὶ μᾶλλον ηὐξήθη τότε παρὰ τοιαύτην αἰτίαν. Εὐρυκλῆς ἀπὸ Λακεδαίμονος, οὐκ ἄσημος τῶν ἐκεῖ, κακὸς δὲ τὴν ψυχὴν ἄνθρωπος, καὶ περὶ τρυφὴν καὶ κολακείαν δεινὸς ἑκατέραν αὐτῶν ἔχειν τε καὶ μὴ δοκεῖν, ἐπιδημήσας ὡς τὸν Ἡρῴδην, δῶρά τε δίδωσιν αὐτῷ καὶ πλείω παρ' ἐκείνου λαβὼν ταῖς εὐκαιρίαις τῶν ἐντεύξεων ἐπραγματεύσατο φίλος ἐν τοῖς μάλιστα γενέσθαι βασιλέως. Ἦν δ' αὐτῷ καταγωγὴ μὲν ἐν τοῖς Ἀντιπάτρου, πρόσοδος δὲ καὶ συνήθεια πρὸς τὸν Ἀλέξανδρον· Ἀρχελάῳ γὰρ ἔλεγεν εἶναι τῷ Καππάδοκι διὰ σπουδῆς. Ὅθεν καὶ τὴν Γλαφύραν ὑπεκρίνατο τιμᾶν, καὶ πολὺς ἦν ἀφανῶς μὲν ἐκθεραπεύων ἅπαντας, ἀεὶ δὲ τοῖς λαλουμένοις ἢ γινομένοις προσέχων, ὡς ἐξ αὐτῶν ἀντιχαρίζεσθαι τὰς διαβολάς. Τέλος δὲ τοιοῦτος ἑκάστῳ κατὰ τὰς συντυχίας ἀπέβαινεν, ὡς ἐκείνῳ μὲν

quam in Cæsare habuerat, fiducia, et ablato ipsi quod potissimum spiritus attulerat. Nam *Cæsar* legationem missam ab Herode ob causæ suæ defensionem audire nolebat, eamque iterum venientem re infecta remisit. Itaque erat ex istis in magna sollicitudine atque metu, et ei pergravis erat Syllæus, tum quod ei crederetur, tum quod Romæ esset, et eo tempore ad majora spiraret. Nam Obodas quidem diem supremum obierat, Æneas vero, mutato deinde nomine dictus Aretas, Arabum imperium occupat. Ceterum Syllæus enim per calumnias deturbare, regnumque invadere nitebatur, magnas largitiones aulicis faciens, multasque Cæsari promittens. Aretæ quoque Cæsar succensebat, quod regnum usurpasset neque prius ad se scripsisset. Verum et ille literas cum muneribus ad Cæsarem mittit, et in his auream coronam multa talenta pendentem : quibus in literis Syllæum accusabat ut qui malus servus esset et Obodam veneno sustulisset, quo etiam vivo rerum dominus fuisset, dum et Arabum uxores adulteraret, et pecuniam mutuaretur, ut imperium sibimet vindicaret. Cæsar autem ne hos quidem audire dignatus est, sed nullo accepto dono remisit. Judææ vero et Arabiæ regna in dies deterius se habebant, tam propter turbas quibus agitabantur, quam quia nemo erat qui ei ruinæ mederetur. Nam regum alter, utpote nondum certo rex, improbos non valebat coercere, alter vero Herodes, quod semet celerius vindicatum iverit, Cæsarem iratum habens, omnes in ipsum contumelias perpeti cogebatur. Quum autem nullum finem videret malorum, quæ eum circumsteterant, Romam iterum mittere decrevit, si quid æquius amicorum gratia et precibus apud Cæsarem posset obtinere. Atque istam quidem legationem suscepit Nicolaus Damascenus.

CAP. X. (XVI.)

Verum res ejus domesticæ filiorumque multo magis illo tempore exacerbatæ erant, et plane turbatæ. Omnino enim nec jam ante obscurum erat, fortunam malorum, quæ in homines cadunt, maximum et gravissimum regno minatam esse : tunc autem ingruebat et in majus crevit ex hujusmodi causa. Eurycles Lacedæmonius, honesto loco natus, sed homo nequam, voluptatibus et assentationi deditus, ita tamen tecte ut non animadverteretur, quum peregre ageret apud Herodem, multis muneribus ei datis et majoribus acceptis, urbanitate sua sese in intimam regis amicitiam insinuavit. Antipatri quidem hospitio utebatur, ad Alexandrum vero itabat, multumque cum eo erat, ut qui se Archelao Cappadociæ regi familiarissimum esse dictitaret. Ideoque Glaphyræ honorem se præbere simulabat, atque in eo totus erat ut omnes clam coleret, et quæ dicerentur et fierent semper observabat, ut ita calumniis retineret hominum benevolentiam. Postremo id consequutus est ut, quum se in familiaritatem alicujus dedidisset, ejus

εἶναι φίλος, τοῖς δὲ ἄλλοις ὀχεῖν κατὰ τὸ συμφέρον ἐκείνῳ προσιέναι. Τὸν οὖν Ἀλέξανδρον προσεκτήσατο νέον ὄντα καὶ περὶ ὧν ἐπεπόνθει μηδενὶ μὲν, πρὸς ἐκεῖνον δὲ μόνον ἀδεῶς πεπεισμένον ἐξεῖναι λέγειν· ἐνέφαινεν οὖν ἀχθόμενος ὡς ὁ πατὴρ ἠλλοτρίωτο, καὶ τὰ περὶ τὴν μητέρα διηγεῖτο καὶ τὸν Ἀντίπατρον, ὅτι παρωθούμενος αὐτοὺς τῆς τιμῆς τὰ πάντα ἤδη δύναται. Τούτων δὲ ἀνεκτὸν οὐδὲν ἔφη, κατεσκευασμένου πρὸς μῖσος ἤδη τοῦ πατρὸς, μηδὲ συμποσίοις μηδὲ συλλόγοις ἀνέχεσθαι λέγων. Τοιαῦτα μὲν ἐκεῖνος, ὡς εἰκὸς, ἐφ' οἷς ἤλγει. Τοὺς δὲ λόγους Εὐρυκλῆς Ἀντιπάτρῳ τούτους ἀνέφερε, λέγων μὲν ὡς οὐχ ἕνεκα αὐτοῦ ταῦτ' αὐτὸ ποιεῖ, νικᾶσθαι δὲ ὑπὸ σοῦ τιμώμενος τῷ μεγέθει τοῦ πράγματος, καὶ φυλάττεσθαι παρακελευόμενος τὸν Ἀλέξανδρον· οὐ γὰρ ἁπαθῶς τούτων ἕκαστον λέγειν, ἀλλὰ τοῖς ῥήμασιν αὐτοῖς εἶναι τὴν αὐτοχειρίαν. Ἀντίπατρος μὲν οὖν εὖνουν ὑπολαμβάνων ἐκ τούτων, μεγάλας αὐτῷ παρ' ἕκαστα δωρεὰς ἐδίδου, καὶ τέλος ἤδη πείθει πρὸς τὸν Ἡρώδην ἀναφέρειν τὸν λόγον. Ὁ δ' οὐκ ἦν τὴν Ἀλεξάνδρου δύσνοιαν ἐξ ὧν ἔλεγεν ἀκηκοέναι διηγούμενος ἀπίθανος, ἀλλ' οὕτω διέθηκε τὸν βασιλέα, περιάγων ἀεὶ τοῖς ῥήμασι καὶ παροξύνων, ὡς ἀμετάγνωστον ποιῆσαι τὸ μῖσος. Ἐδήλωσε δὲ καὶ πρὸς αὐτὸν τὸν καιρόν· εὐθὺς γὰρ Εὐρυκλεῖ δίδωσι πεντήκοντα τάλαντα δωρεάν. Ὁ δὲ ταῦτα λαβὼν, καὶ πρὸς τὸν Ἀρχέλαον ἀναβὰς τὸν βασιλέα τῶν Καππαδόκων, τὸν Ἀλέξανδρον ἐπῄνει καὶ χρήσιμος ἔλεγεν αὐτῷ εἰς πολλὰ πρὸς τὰς διαλλαγὰς τὰς πρὸς τὸν πατέρα γεγενῆσθαι. Χρηματισάμενος δὲ καὶ παρ' ἐκείνου, πρὶν καταφωραθῆναι τῆς κακοηθείας, ἀπῆλθεν. Εὐρυκλῆς μὲν οὖν, οὐδὲ ἐν τῇ Λακεδαίμονι παυσάμενος εἶναι μοχθηρὸς, ἐπὶ πολλοῖς ἀδικήμασιν ἀπεστερήθη τῆς πατρίδος.

β'. Ὁ δὲ τῶν Ἰουδαίων βασιλεὺς οὐχ ὥσπερ πρότερον εἶχε πρός τε τὸν Ἀλέξανδρον καὶ τὸν Ἀριστόβουλον, ἀκούειν μόνον τὰς κατ' αὐτῶν διαβολὰς, ἀλλ' ἤδη διὰ μίσους οἰκείου γεγενημένος αὐτὸς, εἰ καὶ μὴ λέγοι τις, ἐξειργάζετο, παρατηρῶν ἕκαστα καὶ πυνθανόμενος καὶ πᾶσιν ἐνδιδοὺς τοῖς βουλομένοις, εἴ τις ἔχοι τι κατ' ἐκείνων εἰπεῖν, Εὐάρατόν τε Κῷον Ἀλεξάνδρῳ συνειδέναι. Καὶ τοῦτο μὲν οὖν καθ' ἡδονὴν τὸ πάντων ἥδιστον Ἡρώδης ἐλάμβανεν.

γ'. Ἐπιγίνεται δὲ κατὰ τῶν νεανίσκων μεῖζόν τι, σκευωρουμένης ἀεὶ τῆς κατ' αὐτῶν διαβολῆς, καὶ πᾶσιν ὡς εἰπεῖν ἄθλου τούτου προκειμένου λέγειν τι περὶ ἐκείνων δυσχερὲς, ὃ πρὸς τῆς τοῦ βασιλεύοντος ἐδόκει σωτηρίας. Σωματοφύλακες ἦσαν Ἡρώδῃ δύο κατ' ἰσχὺν καὶ μέγεθος τιμώμενοι, Ἰούκουνδος καὶ Τύραννος. Οὗτοι προσκρούσαντος αὐτοῖς τοῦ βασιλέως ἀπεωσμένοι τοῖς περὶ Ἀλέξανδρον ἦσαν συνιππαζόμενοι καὶ κατὰ γυμνασίαν τιμώμενοι, καί τι χρυσίον καὶ δωρεὰς ἄλλας ἐλάμβανον. Εὐθὺς οὖν καὶ τούτους ὁ βασιλεὺς ἔχων ἐν ὑποψίᾳ ἐβασάνιζεν. Οἱ δὲ διακαρτερήσαντες πολὺν χρόνον ὕστερον ἔλεγον ὅτι πείθοι φονεύειν αὐτοὺς Ἡρώδην Ἀλέξανδρος, ἐπεὶ περί τι κυνηγέσιον

amicus esse videretur; quodsi alium frequentaret, id ejus gratia facere putaretur. Alexandrum itaque, ut juvenem, adeo sibi conciliavit, ut ei persuaserit se tuto posse ei querelas de iis quæ passus fuerat concredere, id quod alii audebat nemini. Suam igitur vicem dolens ei aperuit, ut pater alienatus esset, narravitque ei cuncta de matre, itemque de Antipatro, quod is, ipsis ab honoribus repulsis, omnem sibimet potestatem arripuisset. Atque ista haud ferenda esse dicebat, præsertim quod pater tantum in ipsos odium jam conceperat, ut cum ipsis, prout adjiciebat, nec convivia nec colloquia communicare sustineat. Talia quidem ipsi, ut consentaneum erat, dolor suggerebat. Hæc autem verba Eurycles Antipatro referebat, dicens quidem, non sui ipsius gratia hoc se facere, sed tanti esse momenti rem ut, honoratus ab eo, tacere nequeat, quo illi ab Alexandro cavendum esse putet : neque enim hæc singula sine affectu eum dicere, sed verbis ipsis inesse nocendi voluntatem. Jam vero Antipater, quum ex istis eum sibi amicum opinaretur, ei sæpe liberaliter largiebatur : et ad extremum persuasit ut ea referret Herodi. Ille vero, dum ex iis quæ se audivisse dicebat de Alexandri malevolentia verba faceret, non difficulter fidem inveniebat, atque ita regem affecit, orationis calliditate eum circumagens atque irritans, ut odium inexpiabile susciperet : id quod ea ipsa hora ostendit; nam Eurycli extemplo quinquaginta talenta dedit. Is vero quum ista accepisset, et Archelaum Cappadociæ regem adiisset, laudabat Alexandrum, seque ei in componenda cum patre pace magno usui fuisse prædicabat. Hac arte Archelao etiam pecunia emuncto, antequam detegeretur malitia, discessit. Et Eurycles quidem iste, quum in Lacedæmone improbus esse non desiisset, ob multa facinora a patria relegatus est.

2. Judæorum autem rex non ut ante satis habebat criminationes adversus Alexandrum et Aristobulum audire, verum etiam tam intestino in eos odio flagrabat, ut, si nemo criminaretur, ipse ad criminandum induceret, omnia speculando et explorando, et omnibus, si quid contra eos haberent, dicendi potestatem faciendo : ac perfecit ut ei referretur, Euaratum Coum cum Alexandro conspirasse. Et hoc quidem omnium libentissime audivit Herodes.

3. Huc et majus quiddam contra juvenes accedit, dum novæ semper in eos excogitantur calumniæ, et omnes, ut ita dicam, certatim id agunt ut grave aliquid de iis ad regem deferrent, quod pro salute ipsius facere videretur. Erant Herodi satellites duo, qui propter corporis fortitudinem et proceritatem habebantur in pretio, videlicet Jucundus et Tyrannus. Ii, offenso rege depulsi, cum Alexandro equitabant, et, quoniam homines exercitati essent, erant in honore, et auri aliquantum aliaque dona accipiebant. Quapropter rex eos statim suspectos habuit et in quæstionem vocavit. Illi vero, postquam diu perstiterant, tandem dixerunt Alexandrum sibi persuadere voluisse, ut Herodem oc-

θηρίων διώκων προσβάλοι· δυνατὸν γὰρ εἶναι λέγειν ὡς ἀπὸ τοῦ ἵππου κατενεχθεὶς ἐμπαρείη ταῖς ἑαυτοῦ λόγχαις· καὶ γὰρ πρότερον αὐτῷ τοιοῦτον γενέσθαι πάθος. Ἐπέδειξαν δὲ καὶ χρυσίον μὲν ἐν ἱππῶνι κατορωρυγμένον καὶ τὸν ἀρχικύνηγον ἐξήλεγχον, ὅτι καὶ λόγχας αὐτοῖς δοίη βασιλικὰς, καὶ τοῖς Ἀλέξανδρον θεραπεύουσιν ὅπλα, κελεύοντος ἐκείνου.

δ'. Μετὰ τούτους ὁ φρούραρχος Ἀλεξανδρείου ληφθεὶς ἐβασανίζετο· καὶ γὰρ ἐκεῖνος αἰτίαν εἶχε δέξασθαι τῇ φρουρᾷ, καὶ παρέξειν τοῖς νεανίσκοις χρήματα ὑπεσχῆσθαι τὰ κείμενα τῶν βασιλικῶν κατ' ἐκεῖνο τὸ φρούριον. Αὐτὸς μὲν οὖν οὐδὲν ὡμολόγησεν· υἱὸς δὲ αὐτοῦ παρελθὼν ταῦτα ἔφη γενέσθαι, καὶ γράμματα ἐπέδωκεν ὡς εἰκάσαι τῆς Ἀλεξάνδρου χειρός. « Τελέσαντες, σὺν « Θεῷ εἰπεῖν, ἃ προεθέμεθα πάντα, ἥξομεν πρὸς ὑμᾶς· « ἀλλὰ πειράθητε, καθὼς ὑπέσχησθε, δέξασθαι ἡμᾶς τῷ « φρουρίῳ. » Μετὰ τοῦτο τὸ γραμματεῖον ὁ μὲν Ἡρώδης οὐκέτι ἐνδοιασίμως εἶχε περὶ τῆς τῶν παίδων εἰς αὐτὸν ἐπιβουλῆς· Ἀλέξανδρος δὲ Διόφαντον ἔφη τὸν γραμματέα μιμήσασθαι τὸν τύπον, καὶ δι' Ἀντιπάτρου κακουργηθῆναι τὸ γραμματίδιον. Ὁ γὰρ Διόφαντος ἐδόκει τὰ τοιαῦτα δεινός· ἐν ὑστέρῳ δὲ διελεγχθεὶς ἐπ' ἄλλοις οὕτως ἀπέθανε.

ε'. Τοὺς δὲ βασανισθέντας ὁ βασιλεὺς καὶ εἰς τὸ πλῆθος προήγαγεν ἐν Ἱεριχοῦντι κατηγοροῦντας τῶν παίδων. Καὶ τούτους μὲν ἐκ χειρὸς οἱ πολλοὶ βάλλοντες ἔκτειναν. Ὡρμημένων δὲ καὶ τοὺς περὶ Ἀλέξανδρον ὁμοίως κτεῖναι, τοῦτο μὲν ὁ βασιλεὺς παρῃτήσατο, διὰ Πτολεμαίου καὶ Φερώρα τὸ πλῆθος ἀναστείλας. Ἦν δὲ φυλακὴ καὶ τήρησις αὐτῶν, καὶ προσῄει μὲν οὐδεὶς ἔτι, πάντα δὲ ἐπεσκοπεῖτο τὰ γινόμενα καὶ λαλούμενα, καὶ τί γὰρ ἢ καταδίκων εἶχον ἀδοξίαν καὶ δέος. Ἕτερος δὲ αὐτῶν Ἀριστόβουλος, ἐκ βαρυθυμίας ἐπαγόμενος καὶ τὴν ἑαυτοῦ τηθίδα καὶ πενθερὰν συναλγεῖν αὐτῷ ταῖς συμφοραῖς καὶ μισεῖν τὸν τὰ τοιαῦτα πειθόμενον, « οὐ γὰρ, ἔφη, καὶ σοὶ κίνδυνος ἀπωλείας, διαβεβλη- « μένῃ Συλλαίῳ κατ' ἐλπίδα γάμων ἅπαντα τἀνθάδε « προμηνύειν; » Τούτους ἐκείνη ταχὺ μάλα τἀδελφῷ προσφέρει τοὺς λόγους. Ὁ δὲ οὐκέτι κατασχὼν αὐτὸν δῆσαί τε κελεύει καὶ διαστήσαντας ἀπ' ἀλλήλων ὅσα κακῶς ἐποίησαν ἐπὶ τῷ πατρὶ, ταῦτα γραψαμένους Καίσαρι ἀποφέρειν. Οἱ δὲ, ἐπεὶ τοῦτο προσετέτακτο αὐτοῖς, ἐγγράφουσιν, ἐπιβουλὴν μὲν οὔτε νοῆσαι κατὰ τοῦ γεγεννηκότος οὔτε συσκευάσασθαι, δρασμῷ δὲ ἐπιβαλέσθαι, καὶ τοῦτο δι' ἀνάγκην, ὑπόπτου καὶ δυσχεροῦς ὄντος αὐτοῖς τοῦ βίου.

ς'. Κατὰ τοῦτον τὸν χρόνον ἥκοντος ἀπὸ Καππαδοκίας πρεσβευτοῦ παρὰ Ἀρχελάου, Μήλα τινὸς, ὃς ἦν δυνάστης τῶν ἐκείνου, βουλόμενος Ἡρώδης ἐνδείξασθαι τὴν δύσνοιαν Ἀρχελάου πρὸς αὐτὸν, ἐκάλει τὸν Ἀλέξανδρον, ὡς ἦν ἐν τοῖς δεσμοῖς, καὶ πάλιν ἠρώτα περὶ τῆς φυγῆς, ὅπου καὶ πῶς ἐγνώκασιν ἀποχωρεῖν· ὁ δὲ Ἀλέξανδρος πρὸς Ἀρχέλαον ἔφη ἐκεῖθεν εἰς Ῥώμην ὁμολογήσαντα διαπέμψειν· ἀλλ' οὐδὲν οὔτε ἀτοciderent, si quando in venatione feras persequens occurreret : facile enim confingi posse, equo delapsum suismet venabulis transfixum esse; nam etiam ante pæne simile quiddam ei acciderat. Simulque indicaverunt aurum in equili defossum esse, et venatorum præfectum convicerunt sibi regia venabula, et Alexandri aulicis arma, ipsius jussu, dedisse.

4. Post hos comprehenditur et torquetur præfectus præsidii Alexandrii, quippe accusatus promisisse adolescentibus sese eos castello recepturum, eisque regiam pecuniam, quæ in ea munitione esset, traditurum. Atque ipse quidem nihil confessus est; sed prodiit ejus filius et rem ita esse dixit; literasque tradidit scriptas, ut videbatur, manu Alexandri. « Perfectis, si Deus voluerit, omnibus « quæ instituimus, veniemus ad vos : sed date operam, « sicut promisistis, ut nos castello recipiatis. » Post hanc schedam non dubitabat Herodes quin insidiæ sibi a filiis paratæ fuerint. Alexander autem dicebat manum suam a Diophanto notario assimulatam, eamque schedam ab Antipatro malitiose effictam. Erat enim Diophantus assimulandarum literarum peritissimus, tandemque alias simulasse convictus morte pœnas dedit.

5. Eos autem, in quos fuerat habita quæstio, produxit rex Hierichunte etiam ad populum, ut accusarent pueros : atque illos quidem vulgus lapidibus obsutos necarunt. Quum vero idem Alexandro et Aristobulo facturi essent, hoc ipsum quidem ne fieret prohibuit rex, per Ptolemæum et Pheroram populi impetum reprimendo. At pueros ita concludendos custodiendosque curavit, ut eos adiret nemo, cunctaque eorum facta et dicta observarentur; et nihil omnino a condemnatis differebant infamia et metu. Eorum autem alter Aristobulus tantum animi dolorem concepit, ut Salomæ amitæ socruique suæ persuadere tentaverit, ut ipsius calamitatem acerbe ferret, eumque odio haberet, qui se eo perduci sineret : « etenim nonne tu quoque, inquit, in mortis « periculo versaris, quum omnia quæ hic fiunt Syllæo spe « conjugii detegere dicaris? » Hæc verba illa protinus fratri narratum it. Ille vero, ut qui non amplius semet cohibere potuerit, eum sine ulla cunctatione constringi jubet, et utrumque ab altero separatum scripto prodere Cæsari quicquid mali in patrem commisissent. Illi vero, quoniam ita ipsis mandatum esset, scribunt se in patrem insidias neque cogitasse neque struxisse, fugam autem adornasse, idque vi coactos, quia suspectam molestamque vitam degerent.

6. Eo tempore, quum venisset ex Cappadocia legatus ab Archelao, Mela quidam, unus ex illius dynastis, volens Herodes ei ostendere Archelai in se malevolentiam, Alexandrum vinctum accivit ad se, et ex eo iterum quæsivit de fuga, quonam et quo pacto discedere decrevissent; ad quod respondit Alexander, ad Archelaum, qui se inde Romam eos missurum promisisset : verum in patrem se

πον οὔτε δυσχερὲς ἐντεθυμῆσθαι κατὰ τοῦ πατρὸς, οὐδὲ ὅσα συνεσκεύασται κακοηθείᾳ τῶν ἐναντίων ἀληθὲς εἶναί τι τούτων· βούλεσθαι δὲ ἂν ἔτι ζῆν καὶ τοὺς περὶ Τύραννον εἰς ἐξέτασιν ἀσφαλεστέραν, ἀλλὰ καὶ τούτους ἀπολέσθαι θᾶττον, Ἀντιπάτρου τῷ πλήθει τοὺς ἰδίους ἐγκαθίσαντος φίλους.

ζ'. Τοιαῦτα λέγοντος ἐκέλευσεν ἅμα τόν τε Μῆλαν καὶ τὸν Ἀλέξανδρον ἄγειν ὡς Γλαφύραν τὴν Ἀρχελάου, καὶ πυνθάνεσθαι παρ' αὐτῆς εἰ μηδὲν ἠγνόει τῶν εἰς ἐπιβουλὴν Ἡρώδου γιγνομένων. Ὡς δὲ ἦκον, εὐθὺς μὲν ἡ Γλαφύρα, δεσμώτην ἰδοῦσα τὸν Ἀλέξανδρον, ἐπλήξατο τὴν κεφαλὴν, καὶ καταπληξαμένη μέγα καὶ συμπαθὲς ἀνώμωξεν. Ἦν δὲ καὶ τοῦ νεανίσκου δάκρυα, καὶ τῶν παρόντων ὀδυνηρά τις θέα, μέχρι πλείονος οὐδὲ ἐφ' οἷς ἦκον εἰπεῖν ἢ πράττειν δυναμένων. Ὀψὲ δὲ τοῦ Πτολεμαίου (τούτῳ γὰρ ἄγειν αὐτὸν ἐπετέτακτο) φράζειν κελεύσαντος εἴ τι τῶν πραττομένων ἡ γυνὴ σύνοιδεν αὐτῷ, « τί δὲ οὐκ ἂν, ἔφη, συνέγνω « τῆς ψυχῆς ἐμοὶ στεργομένη πλέον καὶ κοινωνοῦσα « τέκνων; » Ἡ δὲ πρὸς ταῦτα μὲν ἀνεβόησεν « ὡς συνειδείη μὲν οὐδὲν ἄτοπον· εἰ δὲ φέροι πρὸς σωτηρίαν τὴν ἐκείνου τὸ καὶ καθ' αὑτῆς τι ψεύσασθαι, πάντα ὁμολογεῖν. » Ὁ δὲ Ἀλέξανδρος, « ἀσεβὲς μὲν οὐδὲν, εἶπεν, οὐδὲ ὧν ὑπονοοῦσιν οὓς ἥκιστα ἐχρῆν, οὔτε « αὐτὸς ἐνενόησα οὔτε σὺ οὐδὲν οἶσθα, ἀλλ' ὅτι παρ' « Ἀρχέλαον ἀπῳχωρεῖν ἐγνώκειμεν κἀκεῖθεν εἰς Ῥώ« μην. » Ταῦτα κἀκείνης ὁμολογούσης, ὁ μὲν Ἡρώδης, Ἀρχέλαον ἐξεληλέγχθαι τῆς πρὸς αὐτὸν δυσνοίας ὑπολαβὼν, δίδωσιν Ὀλύμπῳ καὶ Οὐολομνίῳ γράμματα, κελεύσας ἐν παράπλῳ μὲν Ἐλαιούσῃ τῆς Κιλικίας προσχόντας Ἀρχελάῳ τὸ περὶ τούτων ἀποδοῦναι, καὶ μεμψαμένους ὅτι τῆς ἐπιβουλῆς ἐφάψαιτο τοῖς παισὶν, ἐκεῖθεν εἰς Ῥώμην πλεῖν· κἂν εὕρωσιν ἀνύσαντά τι Νικόλαον, ὡς μηκέτι αὐτῷ δυσχεραίνειν Καίσαρα, διδόναι τὰς ἐπιστολὰς καὶ τοὺς ἐλέγχους, οὓς κατὰ τῶν νεανίσκων κατεσκευασμένους ἀπέστειλεν. Ἀρχέλαος μὲν οὖν ἀπελογεῖτο, δέξασθαι μὲν τοὺς νεανίσκους ὁμολογήσας διὰ τὸ συμφέρον αὐτοῖς τε ἐκείνοις καὶ τῷ πατρὶ, μὴ καὶ χαλεπώτερόν τι προστεθῇ κατ' ὀργὴν ὧν ὑπόπτως ἔχοντες ἐστασίαζον, οὐ μὴν καὶ πρὸς Καίσαρα πέμψειν, οὐδὲ ἄλλο τι κατὰ δύσνοιαν τὴν πρὸς ἐκεῖνον ὁμολογῆσαι τοῖς νεανίσκοις.

η'. Εἰς δὲ τὴν Ῥώμην ἀποκομισθέντες ἔσχον [τε] καιρὸν ἀποδοῦναι τὰ γράμματα τῷ Καίσαρι, διηλλαγμένον εὑρόντες Ἡρώδῃ. Τὰ γὰρ περὶ τὴν Νικολάου πρεσβείαν ἀπέβη τοῦτον τὸν τρόπον. Ὡς ἀνῆλθεν εἰς τὴν Ῥώμην καὶ περὶ τὴν αὐλὴν ἐγένετο, πρῶτον μὲν οὐκ ἐφ' οἷς ἐληλύθει μόνον, ἀλλὰ καὶ Συλλαίου κατηγορεῖν ἠξίου. Καὶ οἱ Ἄραβες ὄῆλοι πρὸ τῆς ἐντυχίας ἦσαν ἀλλήλους πολεμοῦντες, καὶ ὑπονοστήσαντες ἐξ αὐτοῦ καὶ τῷ Νικολάῳ προσελθόντες τὰς ἀδικίας ἁπάσας ἐμήνυον, καὶ τῶν Ὀβόδου ὡς διαφθαρέντων πλείστων ἐκφανῆ τεκμήρια παρέχοντες. Ἦσαν γὰρ καὶ τῶν γραμμάτων αὐτοῦ κατὰ τὴν ἀπόστασιν ὑφηρημένοι,

nihil sceleris aut maleficii conatos fuisse, neque eorum quæ ipsis ab adversariis malitiose imponerentur, quidquam verum esse; ac velle se ut adhuc viverent Tyrannus et ejus socii, ut circumspectius haberetur quæstio, sed illos celerius periisse, auctore Antipatro, qui amicos suos inter multitudinem summisisset.

7. Hæc eo dicente, jussit ut Melas et Alexander ad Glaphyram Archelai filiam ducerentur, et ex ea quæreretur, ecqu'd insidias Herodi structas sciret. Quo ut ventum est, Glaphyra, simulac vinctum conspexit Alexandrum, caput sibi percussit, animoque consternata magnum tristemque ploratum edit. Etiam juveni manarunt lacrimæ, atque iis qui aderant miserabile adeo erat spectaculum, ut diu id cujus causa venerant dicere aut facere nequirent. Tandem vero quum Ptolemæus (huic enim mandatum erat ut illum duceret) jussisset dicere, ecquid ei factorum conscia foret mulier: « qui potuit, inquit, non conscia esse, « quæ mihi sit vel ipsa anima carior, et communes mecum « natos habeat? » Ad hæc quidem illa exclamavit, « nullius se malæ rei consciam: sed si ejus utilitas postulet ut aliquid vel contra se ipsam mentiatur, omnia confessuram. » Tum Alexander, « scelus quidem, inquit, nullum « eorum quæ suspicantur quos minime omnium decebat, « neque ego cogitavi, neque tu nosti, nisi quod ad Arche« laum nos recipere decreveramus, et inde Romam ». Ista etiam illa fatente, Herodes, ratus Archelaum malevolentiæ in se convictum esse, dedit Olympo et Volumnio literas, jussitque ut inter navigandum ad Elæusam Ciliciæ appulsi Archelao scriptum de his redderent, et, post expostulationem quod insidiarum particeps cum filiis suis fuisset, recta inde Romam navigarent; et si quid illic a Nicolao expeditum invenirent, adeo ut Cæsar ipsi non succenseret, literas et testimonia traderent, quæ contra adolescentes parata mittebat. Verum Archelaus sese purgabat, de susceptione quidem *juvenum confitendo*, quod e re *illorum ipsorum* esset patrisque ne quid præterea durius in eos statueret, dum illis succenseret ob ea quorum ex suspicione orta esset dissensio; non tamen missurum fuisse ad Cæsarem, neque aliud quidquam ex ulla in illum malevolentia juvenibus promisisse.

8. Quum autem Romam pervenissent, opportunitatem habuerunt literas tradendi Cæsari, quod eum Herodi reconciliatum offenderunt. Nam Nicolai legatio hunc in modum se habuit. Quum primum Romam venit et in palatium profectus est, visum est ei non solum id agere cujus causa venerat, verum etiam Syllæum accusare. Nam Arabes, priusquam cum iis colloqueretur, aperte inter se dissentiebant, quorum nonnulli quum se a Syllæo subduxissent, ad Nicolaum se applicuere, facta omnia injusta ei indicantes, manifestisque indiciis ostendentes, eum plurimos ex Obodæ *hominibus interfecisse*: quum enim discessionem fecissent, subripuerant literas, quibus ipsum redarguebant. Quam

καὶ διὰ τούτων ἤλεγχον. Ὁ δὲ Νικόλαος ἐπιτυχίαν ταύτην ὁρῶν αὐτῷ προσγεγενημένην, δι' αὐτῆς ἐπραγματεύετο τὸ μέλλον, ἐπείγων ἐλθεῖν εἰς διαλλαγὰς Ἡρώδῃ ποιῆσαι Καίσαρα. Σαφῶς γὰρ ἠπίστατο βουλομένῳ μὲν ἀπολογήσασθαι περὶ ὧν ἔπραξεν οὐκ ἔσεσθαι παρρησίαν, ἐθέλοντι δὲ κατηγορεῖν Συλλαίου γενήσεσθαι καιρὸν ὑπὲρ Ἡρώδου λέγειν. Συνεστώτων οὖν ἐπ' ἀλλήλους καὶ δοθείσης ἡμέρας, Νικόλαος, παρόντων αὐτῷ τῶν Ἀρέτα πρέσβεων, τά τε ἄλλα κατηγόρει τοῦ Συλλαίου, τήν τε τοῦ βασιλέως ἀπώλειαν λέγων καὶ πολλῶν Ἀράβων, χρήματά τε ὡς εἴη δεδανεισμένος ἐπ' οὐδὲν ὑγιὲς, καὶ μοιχείας ἐξελέγχων οὐ τῶν ἐν Ἀραβίᾳ μόνον, ἀλλὰ καὶ τῶν ἐν Ῥώμῃ γυναικῶν· προσετίθει δὲ τὸ μέγιστον, ὡς ἐξαναστήσειε Καίσαρα, μηδὲν ἐληθὲς διδάξας ὑπὲρ τῶν Ἡρώδῃ πεπραγμένων. Ὡς δὲ ἦκεν ἐπὶ τοῦτον τὸν τόπον, ὁ μὲν Καῖσαρ ἐξεῖργεν αὐτὸν τοῦτο μόνον ἀξιῶν ὑπὲρ Ἡρώδου λέγειν, ὡς οὐ στρατιὰν ἤγαγεν εἰς Ἀραβίαν, μηδὲ δισχιλίους καὶ πεντακοσίους ἀποκτείνειεν τῶν ἐκεῖ, μηδὲ αἰχμαλώτους λάβοι τὴν χώραν διαρπάσας. Πρὸς ταῦτα ὁ Νικόλαος « ὑπὲρ τούτων ἔφη καὶ μάλιστα διδάξειν ὅτι μηδὲν ἢ τὰ πλεῖστά γε αὐτῶν οὐ γέγονεν ὡς σὺ ἀκήκοας, καὶ δίκαιον ἦν ἐπ' αὐτοῖς χαλεπῶς φέρειν. » Πρὸς δὲ τὸ παράδοξον Καίσαρος ἐνδόντος αὐτὸν ἀκροατὴν, τὸ δάνειον εἰπὼν τῶν πεντακοσίων ταλάντων καὶ τὴν συγγραφὴν, ἐν ᾗ καὶ τοῦτο ἦν προσγεγραμμένον, ἐξεῖναι τῆς προθεσμίας παρελθούσης ῥύσια λαμβάνειν ἐξ ἁπάσης τῆς χώρας, « τὴν μὲν στρατείαν οὐκ ἐπιστρατείαν ἔλεγεν, ἀλλὰ δικαίαν τῶν ἰδίων ἀπαίτησιν χρημάτων· καὶ μηδὲ ταχὺ ταύτην μηδὲ ὡς ἐπέτρεπον αἱ συγγραφαὶ * * τολλάκις μὲν ἐπὶ Σατουρνῖνον ἐλθόντα καὶ Οὐολόμνιον τοὺς τῆς Συρίας ἡγεμόνας, τελευταῖον δὲ ἐν Βηρυτῷ τούτων ἐναντίον Συλλαίου τὴν σὴν τύχην ἐπομόσαντος, ἢ μὴν ἐντὸς ἡμερῶν τριάκοντα παρέξειν τὰ χρήματα καὶ τοὺς ἐκ τῆς ἀρχῆς τῆς Ἡρώδου πεφευγότας. Ὧν οὐδὲν ποιήσαντος Συλλαίου πάλιν ἐπὶ τοὺς ἡγεμόνας ἐλθεῖν Ἡρώδην, κἀκείνων ἐφέντων αὐτῷ λαμβάνειν τὰ ῥύσια, μόλις οὕτως ἐξελθεῖν σὺν τοῖς περὶ αὐτόν. Ὁ μὲν δὴ πόλεμος, ὡς οὗτοι τραγῳδοῦντες ἔλεγον, καὶ τὰ τῆς ἐπιστρατείας τοιαῦτα. Καίτοι πῶς ἂν εἴη πόλεμος, ἐπιτρεψάντων μὲν τῶν σῶν ἡγεμόνων, δεδωκυίας δὲ τῆς συνθήκης, ἠσεβημένου δὲ μετὰ τῶν ἄλλων θεῶν καὶ τοῦ σοῦ, Καῖσαρ, ὀνόματος; Τὰ δὲ περὶ τοὺς αἰχμαλώτους ἐξῆς ἤδη λεκτέον. Λησταὶ τῶν τὸν Τράχωνα κατοικούντων, τεσσαράκοντα τὸ πρῶτον, εἶτα αὖθις πλείονες, τὰς Ἡρώδου κολάσεις διαφεύγοντες ὁρμητήριον ἐποιήσαντο τὴν Ἀραβίαν. Τούτους ὑπεδέξατο Συλλαῖος ἐπὶ πάντας ἀνθρώπους τρέφων, καὶ χώραν ἔδωκε νέμεσθαι, καὶ τὰ κέρδη τῶν ληστῶν αὐτὸς ἐλάμβανεν. Ὡμολόγησε δὲ καὶ τούτους ἐπὶ τοῖς ὅρκοις ἀποδώσειν κατὰ τὴν αὐτὴν τοῦ δανείου προθεσμίαν, καὶ δύναιτο ἂν οὐκ ἐπιδεῖξαι κατὰ τὸ παρὸν ἄλλον τινὰ τῆς Ἀράβων χώρας ἢ τούτους ἐξῃρημένους, οὐδὲ πάντας, ἀλλ' ὅσοι μὴ λαθεῖν ἴσχυσαν.

rem sibi valde opportunam videns Nicolaus, ea utebatur ad id quod sibi agendum erat, modis omnibus studens ut Cæsarem cum Herode in gratiam redire faceret. Certo enim sciebat, si vellet Herodis facta defendere, non habiturum audientiam; sin Syllæum accusare constitueret, fore ut occasio sibi daretur Herodis causam agendi. Contestata igitur lite, dictaque die, Nicolaus, adsistentibus sibi Aretæ legatis, et alia Syllæo objiciebat, et quod regi suo Arabumque multis perniciem attulisset, quodque ad perturbandum statum pecunias mutuo sumpsisset; eum etiam arguebat mulieres corrupisse, tam Romæ quam in Arabia: et, quod maximum esset, adjiciebat, Cæsarem alienasse, quod nihil veri de gestis ab Herode docuerit. Ubi autem ad hunc locum ventum est, eum interpellabat Cæsar, jubens hoc unum diceret de Herode, annon exercitum in Arabiam duxisset, et bis mille et quingentos homines illic occidisset, et direpto agro abduxisset captivos. Ad hæc Nicolaus « de his se vel maxime aiebat docere posse, hæc partim nihil habere veri, partim non ita facta, ut tute intellexisti, nec ut ob ea merito succensere debeas. » His præter opinionem auditis, et Cæsare attentiorem se præbente, quum narrasset de quingentis talentis mutuo datis, et de syngrapha, in qua cautum fuerat ut liceret Herodi, ubi dies præstituta cessisset, pignora capere ex universa terra, « hanc expeditionem non expeditionem esse dicebat, *sed justis de causis pecúniæ sibi debitæ exactionem* : neque tamen huc festinanter decurrisse, neque eo modo quem formula cautionis permitteret, *sed* post aditos aliquoties *Syriæ duces Saturninum et Volumnium; denique*, postquam apud Berytum his coram Syllæus per tuam fortunam jurasset, omnino intra trigesimum diem se et nomen exsoluturum, et *dediturum qui ex ditione Herodis profugerant*. Et quum horum nihil Syllæus præstitisset, iterum ab Herode appellatos duces; quumque hi ei permisissent pignora capere, vix *tandem cum suis profectum in Arabiam*. Equidem hoc, inquit, est quod tragice exaggerantes bellum appellant, atque ejusmodi erat ista expeditio. At quo modo *bellum dicatur, post impetratam a ducibus* a te *datis* veniam, idque ex præscripto cautionis, post violatum et deorum aliorum numen et tui, Cæsar, nominis majestatem? *Jam restat dicere quæ ad captos homines pertinent.* Quum Trachonitæ latrocinari cœpissent, quadraginta primum, mox etiam plures, ne ab Herode ad supplicium raperentur, *in Arabiam perfugerunt. Hos recepit* Syllæus, et omnium hominum in damnum alebat, locumque ad habitandum dedit, immo et horum ex latrociniis quæstus partem *in se vertebat. Eodem tamen juramento spopondit*, hos se dediturum illa ipsa die, quæ et pecuniæ exsolvendæ erat præstituta; nec potest ostendere in præsenti quenquam *alium præter* hos ex Arabia abductum, ac ne hos quidem omnes, sed qui latebras reperire nequibant. Jam quum videris illud invidiæ plenum de hominibus captis nihil esse

Οὕτως οὖν καὶ τοῦ τῆς αἰχμαλωσίας ἐπιφθόνου συκοφαντήματος πεφηνότος, μέγιστον, ὦ Καῖσαρ, κατάμαθε πλάσμα καὶ ψεῦσμα πρὸς τὴν σὴν ὀργὴν αὐτῷ ποιηθέν. Φημὶ γὰρ, ἐπελθούσης ἡμῖν τῆς Ἀράβων δυνάμεως καὶ τῶν περὶ Ἡρώδην πεσόντος ἑνὸς καὶ δευτέρου, τότε μόλις ἀμυνομένου Νάκεβον τὸν στρατηγὸν αὐτῶν καὶ περὶ πέντε καὶ εἴκοσι συνέβη πεσεῖν τοὺς πάντας ὧν ἕκαστον αὐτὸς εἰς ἑκατὸν ἀναφέρων δισχιλίους καὶ πεντακοσίους τοὺς ἀπολωλότας ἔλεγε. »

θ'. Ταῦτα μᾶλλον ἐκίνει τὸν Καίσαρα, καὶ πρὸς τὸν Συλλαῖον ἐπιστραφεὶς ὀργῆς μεστὸς ἀνέκρινεν ὁπόσοι τεθνήκασι τῶν Ἀράβων. Ἀπορουμένου δὲ αὐτοῦ καὶ πεπλανῆσθαι λέγοντος, αἵ τε συνθῆκαι τῶν δανείων ἀνεγινώσκοντο καὶ τὰ τῶν ἡγεμόνων γράμματα, πόλεις τε ὅσαι λῃστήρια κατῃτιῶντο. Καὶ πέρας εἰς τοῦτο κατέστη Καῖσαρ, ὡς τοῦ μὲν Συλλαίου καταγνῶναι θάνατον, Ἡρώδῃ δὲ διαλλάττεσθαι, μετάνοιαν ἐφ' οἷς ἐκ διαβολῆς πικρότερον ἔγραψεν αὐτῷ πεπονθὼς, καί τι τοιοῦτον εἰπεῖν εἰς τὸν Συλλαῖον, ὡς ἀναγκάσειεν αὐτὸν ψευδεῖ λόγῳ πρὸς ἄνδρα φίλον ἀγνωμονῆσαι. Τὸ δὲ σύμπαν, ὁ μὲν Συλλαῖος ἀνεπέμπετο, τὰς δίκας καὶ τὰ χρέα τοῖς δεδανεικόσιν ἀποδώσων, εἶτα οὕτω κολασθησόμενος. Ἀρέτᾳ δὲ οὐκ εὐμενὴς ἦν Καῖσαρ, ὅτι τὴν ἀρχὴν μὴ δι' ἐκείνου, ἀλλὰ καθ' αὑτὸν ἔλαβεν. Ἐγνώκει γὰρ καὶ τὴν Ἀραβίαν Ἡρώδῃ διδόναι· διεκώλυσε δὲ τὰ παρ' ἐκείνου πεμφθέντα γράμματα. Τοῖς γὰρ περὶ τὸν Ὄλυμπον καὶ Οὐολόμνιον, εὐμενῆ Καίσαρα πυθομένοις, εὐθὺς ἔδοξεν ἐξ ἐντολῆς Ἡρώδου τὰ περὶ τῶν παίδων γράμματα καὶ τοὺς ἐλέγχους ἀναδιδόναι. Καῖσαρ δὲ ἀναγνοὺς τὸ μὲν ἀρχὴν ἄλλην προστιθέναι γέροντι καὶ κακῶς πράττοντι τὰ περὶ τοὺς παῖδας οὐκ ᾠήθη καλῶς ἔχειν, δεξάμενος δὲ τοὺς περὶ Ἀρέταν, καὶ τοῦτο μόνον ἐπιτιμήσας, ὡς προπετείᾳ χρήσαιτο, τῷ μὴ παρ' αὐτοῦ τὴν βασιλείαν ἀναμεῖναι λαβεῖν, τά τε δῶρα προσήκατο καὶ τὴν ἀρχὴν ἐβεβαιώσατο.

ΚΕΦ. ΙΑ'.

Ἡρώδῃ δὲ γράφει διηλλαγμένος ἐπί τε τοῖς παισὶν ἄχθεσθαι λέγων καὶ δέον, εἰ μὲν ἀνοσιώτερόν τι τετολμήκασιν, ἐπεξιέναι πατραλοίας ὄντας, (αὐτῷ γὰρ ἐφεῖναι ταύτην τὴν ἐξουσίαν,) εἰ δὲ δρασμὸν ἐνενόησαν, ἄλλως νουθετήσαντα μηδὲν ἀνήκεστον διαπράττεσθαι· συμβουλεύειν δὲ ἔχειν αὐτῷ συνέδριον ἀποδείξαντα περὶ Βηρυτὸν, ἐν ᾗ κατοικοῦσι Ῥωμαῖοι, καὶ παραλαβόντα τούς τε ἡγεμόνας καὶ τὸν βασιλέα τῶν Καππαδόκων Ἀρχέλαον, ὅσους τε τῶν ἄλλων οἴεται φιλίᾳ τε καὶ ἀξιώματι εἶναι ἐπιφανεῖς, μετὰ τῆς ἐκείνων γνώμης ὅτι χρὴ διαλαμβάνειν. Καῖσαρ μὲν τοιαῦτα ἐπέστελλεν· ὁ δὲ Ἡρώδης, τῶν γραμμάτων ὡς αὐτὸν ἀπενεχθέντων, περιχαρ�ὴς μὲν εὐθὺς ἐπὶ ταῖς διαλλαγαῖς ἐγεγόνει, περιχαρὴς δὲ καὶ τῷ πάντα ἐξεῖναι κατὰ τῶν παίδων αὐτῷ, καί πως τὸ μὲν οὐκ εὖ πράττειν ἐν τῷ πρότερον χαλεπὸν μὲν, ἀλλ' οὔτε θρασὺν οὔτε προ-

nisi calumniam, rogo aliud, Cæsar, cognoscas nequissimum figmentum et mendacium, quo usus hic est, ut te ad iram concitaret. Pro cognito enim affirmo, quum in nostras partes irrupisset Arabum exercitus, et eorum qui Herodi parebant unus atque alter periissent, tum demum, et non ante, sua tutante Herode, occubuisse Nacebum illorum ducem, et una homines non supra viginti quinque e quorum iste singulis centenos faciens, bis mille et quingentos narrabat occisos. »

9. Cæsarem hæc commoverunt, et ad Syllæum versus, jam manifestus iræ, quærit quot Arabes interierint. Illo autem hærente et male se edoctum fatente, lecta est rei creditæ cautio, lectæ et ducum literæ, et civitatum querelæ de latrociniis. Tandem eo perductus est Cæsar ut capitis quidem Syllæum damnaret, Herodi vero conciliaretur, ut quem jam pœniteret eorum quæ calumniis inductus duriora ipsi scripserat, et Syllæo hoc quoque exprobraret, sese ejus falsis verbis adductum ut in amicum virum amicitiæ officia exueret. In summa, remittitur Syllæus jure functurus, et æs alienum soluturus, deinde afficiendus supplicio. Aretæ autem parum amicus erat Cæsar, quod non exspectata ipsius voluntate, sed per se regnum arripuisset. Constituerat enim et Arabiam Herodi dare : sed huic rei obstiterunt literæ, quas miserat Herodes. Nam quum Olympus et Volumnius placatum esse Cæsarem audivissent, illico ipsis, prout jusserat Herodes, visum est literas de filiis ei reddere et argumenta *ad insidias illorum patefaciendas*. Quibus lectis Cæsar haud consultum putavit alterum imperium et seni et circa pueros laboranti addere; sed Aretæ legatos admisit : et eo ob id duntaxat reprehenso, quod temere fecisset, non exspectando dum regnum a se haberet, munera accepit et ei principatum confirmavit.

CAP. XI. (XVII.)

Herodi autem reconciliatus *Cæsar* ad eum scribit hujusmodi verbis, « dolere se vicem ejus, qui tales haberet filios, oportereque in eos, si quid gravioris sceleris susceperint, ut parricidas animadvertere; (se enim ei ejus rei potestatem facere;) sin nihil nisi fugam instituerint, corrigendos aliter, neque ad extrema veniendum. Se etiam suadere ut ea de re judicium haberet concilio indicto apud Berytum, in qua Romani degerent, et advocatis ducibus et Cappadociæ rege Archelao, omnibusque reliquis quos sibi amicos et dignitate illustres putaret, eorum sententiam in judicio ferendo sequeretur. » Ita quidem Cæsar ad eum scripsit. Herodes vero, literis ad ipsum perlatis, lætitia statim gestiens exsultabat, tum quod Cæsar secum in gratiam rediisset, tum propter potestatem sibi factam de filiis pro arbitrio statuendi. Et nescio quo modo factum est ut qui prius in fortuna non secunda

πετῆ πρὸς τὴν ἀπώλειαν τῶν τέκνων παρεῖχεν αὐτὸν, ἐν δὲ τῷ τότε μεταβολῆς ἀμείνονος καὶ παρρησίας ἐπιλαβόμενος διὰ τὸ μίσος ἐκαινοτόμει τὴν ἐξουσίαν. Διέπεμπεν οὖν ὅσους ἐδόκει καλεῖν εἰς τὸ συνέδριον, Ἀρχελάου χωρίς· ἐκεῖνον γὰρ δι' ἔχθος οὐκ ἠξίου παρατυγχάνειν, ἢ καὶ τῇ προαιρέσει νομίζων ἐμποδὼν ἔσεσθαι.

β'. Γενομένων δὲ ἐν Βηρυτῷ τῶν τε ἡγεμόνων καὶ τῶν ἄλλων ὅσους ἀπὸ τῶν πόλεων ἐκάλεσε, τοὺς μὲν παῖδας (οὐ γὰρ ἠξίου παράγειν εἰς τὸ συνέδριον) ἐν κώμῃ τινὶ Σιδωνίων εἶχε, Πλατάνῃ καλουμένῃ, πλησίον τῆς πόλεως, ὡς ἔχειν, εἰ κληθεῖεν, παραστῆσαι. Μόνος δὲ καθ' αὑτὸν εἰσελθών, ἑκατὸν καὶ πεντήκοντα συγκαθημένων ἀνδρῶν, κατηγόρει κατηγορίαν οὐκ ὀδυνηρὰν ὡς πρὸς ἀνάγκην ὧν ἠτύχει, πλεῖστον δὲ ἀπεοικυῖαν ἧ πατὴρ ἐπὶ παισὶν εἴποι. Βίαιος γὰρ ἦν καὶ περὶ τὴν ἐπίδειξιν τῆς αἰτίας ἐτετάρακτο, καὶ μέγιστα θυμοῦ καὶ ἀγριότητος ἐνεδίδου σημεῖα, τούς τε ἐλέγχους οὐκ ἐκείνοις ἐπιτρέπων καταμαθεῖν, ἀλλὰ συνηγορίαν αὐτοῖς προστιθεὶς πατρὶ κατὰ παίδων ἀσχήμονα, καὶ τὰ γραφέντα δι' αὐτῶν ἐκείνων ἀναγινώσκων, ἐν οἷς ἐπιβουλὴ μὲν ἥ τις ἐπίνοια δυσσεβείας οὐκ ἐγέγραπτο, μόνον δὲ ὡς φυγεῖν βουλεύοιντο, καὶ λοιδορίαι τινὲς εἰς αὐτὸν ἀνείδη περιέχουσαι διὰ τὴν δύσνοιαν. Ἐφ' αἷς ἐκεῖνος ὡς ἐγένετο, μᾶλλόν τε ἐξεβόα καὶ τὸ περιὸν εἰς ὁμολογίαν τῆς ἐπιβουλῆς δι' ἐκείνων ἤξανε, ἐπομνύμενος ὡς ἥδιον ἂν στέροιτο τῆς ζωῆς ἢ τοιούτων ἀκούειν λόγων. Τὸ δὲ τελευταῖον εἰπὼν ὅτι καὶ τῇ φύσει καὶ τῇ Καίσαρος δόσει τὴν ἐξουσίαν αὐτὸς ἔχοι, προσέθηκε καὶ πάτριον αὐτῷ νόμον, ὃς ἐκέλευσεν, εἰ τοῦ κατηγορηθέντος οἱ γονεῖς ἐπιθεῖεν τῇ κεφαλῇ τὰς χεῖρας, ἐπάναγκες εἶναι τοῖς περιεστῶσι βάλλειν, καὶ τοῦτον ἀποκτείνειν τὸν τρόπον. Ὅπερ ἕτοιμος ὢν αὐτὸς ἐν τῇ πατρίδι καὶ τῇ βασιλείᾳ ποιεῖν, ὅμως ἀναμεῖναι τὴν ἐκείνων κρίσιν· ἧκειν μέντοι δικαστὰς μὲν οὐχ οὕτως ἐπὶ φανεροῖς οἷς ἐκ τῶν παίδων ὀλίγου πάθοι, συνοργισθῆναι δὲ καιρὸν ἔχοντας, ὡς οὐδενὶ καὶ τῶν πόρρω γεγονότων ἀμελῆσαι τοιαύτης ἐπιβουλῆς ἄξιον.

γ'. Ταῦτα τοῦ βασιλέως εἰπόντος, καὶ τῶν νεανίσκων οὐδὲ ἕως τῆς ἀπολογίας παρηγμένων, συμφρονήσαντες οἱ κατὰ τὸ συνέδριον ὡς ἐπιεικείας καὶ διαλλαγῶν χεῖρον ἔχοιεν, τὴν ἐξουσίαν ἐβεβαίουν αὐτῷ. Καὶ πρῶτος μὲν Σατουρνῖνος, ἀνὴρ ὑπατικὸς καὶ τῶν ἐπ' ἀξιώματος, ἀπεφήνατο γνώμην αἰδημονεστάτην περιστάσει χρώμενος. Ἔφη γὰρ καταδικάζειν μὲν τῶν Ἡρώδου παίδων, κτείνειν δὲ οὐκ οἴεσθαι δίκαιον, αὐτὸς παῖδας ἔχων, καὶ τοῦ πάθους μείζονος ὄντος, εἰ καὶ πάντα δι' αὐτοὺς δεδυστύχηκε. Μετ' ἐκεῖνον οἱ Σατουρνίνου παῖδες (εἵποντο γὰρ αὐτῷ τρεῖς ὄντες πρεσβευταί) τὴν αὐτὴν γνώμην ἀπεφήναντο. Οὐολόμνιος δὲ ἄντικρυς ἔφη κολάζειν θανάτῳ τοὺς οὕτως ἀσεβήσαντας εἰς τὸν πατέρα. Τὰ δὲ αὐτὰ καὶ τῶν ἑξῆς οἱ πλείους, ὥστε μηκέτι ἄλλο τι δοκεῖν ἢ καταδεδικάσθαι

durus quidem pater fuerat, non tamen temerarius aut præceps ferebatur ad filiorum interitum, nunc rebus suis in melius mutatis et fiducia fretus, novo more laxaverit habenas odiis. Advocavit itaque quos visum est ad concilium, sed Archelaum non advocavit : noluit enim ut is interesset ex suo in eum odio, aut quod vereretur ne voluntati suæ repugnaturus esset.

2. Postquam autem duces atque alii, quos ab urbibus accersivit, Berytum advenerunt, filios quidem (nam in concilium eos adducere noluit) in vico Sidoniorum, nomine Platana, collocavit, prope urbem, ut sisti possent si vocarentur; solusque per se ingressus, centum et quinquaginta virorum in consessu usus est accusatione, non tam propter infortunium et necessitatem miserabili, quam patri filios criminanti valde indecora. Nam vehemens erat et in crimine demonstrando turbidus, et maxima furoris et agrestis immanitatis præ se ferebat indicia; non permittens assessoribus ut argumenta cognoscerent atque perpenderent, sed, haud convenienter patri contra filios, ipse ea tuens atque defendens, et quæ ab illis scripta erant legens, in quibus nihil insidiarum inerat aut sceleris quod machinati fuerint, sed tantum cogitatam fugam continebant, et maledicta quædam in patrem contumeliosa, propter ejus in eos malevolentiam. Ad quæ ubi ventum est, exclamabat etiam vehementius, crimenque exaggerabat, perinde ac si de insidiis confessi fuissent, jurans se vitam amittere maluisse quam talia audire. Postremo autem, quum dixisset se tum jure naturæ, tum permissu Cæsaris potestatem habere, addidit et legem patriam quæ jussit ut, si parentes filio accusato manus in caput imponant, necesse habeant circumstantes in eum lapides mittere atque ita eum occidere. Quod quum ipse in sua patria et regno facere potuisset, illorum tamen sententiam exspectasse : qui tamen eo non ut judices (utpote in tam manifestis *insidiis*, quibus parum abfuerit quin ipse *extrema* passus fuisset a filiis, sed ut iræ suæ adjutores opportune venissent : nam par esse ut nemini, quamvis remoto, negligantur ejusmodi insidiæ.

3. Hæc loquuto rege, et juvenibus ne ad causæ quidem suæ dictionem introductis, assessores, quum eum iratiorem esse percepissent quam ut ad æquitatem aut concordiam perducere possent, potestatem ei confirmarunt. Et primus quidem Saturninus, vir consularis et magnæ auctoritatis, sententiam protulit moderatissimam, sua conditione utens. Dicebat enim se damnare quidem Herodis filios, non vero justum censere ut morte mulctentur, ut qui ipse filios haberet, quum majus esset hoc supplicium quam omnia quæ ab iis accidere mala potuissent. Deinde Saturnini filii (nam tres una secum legatos habebat) eandem sententiam sequuti sunt. Sed Volumnius econtra morte plectendos pronunciabat qui se in patrem tam impie gessissent. In eadem deinceps ivit maxima pars reliquorum, adeo ut nihil aliud

τὴν ἐπὶ θανάτῳ τοὺς νεανίσκους. Κἀκεῖθεν μὲν εὐθὺς Ἡρώδης ἦκεν, ἄγων αὐτοὺς εἰς Τύρον, καὶ τοῦ γε Νικολάου πλεύσαντος ὡς αὐτὸν ἐκ τῆς Ῥώμης ἐπυνθάνετο, προδιηγησάμενος τὰ ἐν Βηρυτῷ, ἥντινα ἔχοιεν γνώμην περὶ τῶν παίδων αὐτοῦ καὶ οἱ ἐν τῇ Ῥώμῃ αὐτοῦ φίλοι. Κἀκεῖνος εἶπεν ὅτι δοκεῖ « μὲν ἀσεβῆ εἶναι τὰ ἐκείνοις περὶ σὲ ἐγνωσμένα, χρῆναι μέντοι αὐτοὺς καθείρξαντα δεσμώτας φυλάττειν. Καὶ εἰ μὲν ἑτέρως σοι δοκοίη, κολάζειν αὐτούς, μὴ φαίνοιο ὀργῇ τὸ πλέον ἢ γνώμῃ κεχρῆσθαι· εἰ δὲ τἀναντία, ἀπολύειν, μὴ ἀνεπανόρθωτον εἴη σοι τὸ ἀτύχημα. Τὰ αὐτὰ δὲ δοκεῖ καὶ ἐν Ῥώμῃ τοῖς πλείστοις τῶν σῶν φίλων. » Καὶ ὃς σιωπήσας ἐν πολλῇ ἐγένετο συννοίᾳ, κἀκεῖνον ἐκέλευσε συμπλεῖν αὐτῷ.

δ'. Ὡς δὲ ἦκεν εἰς Καισάρειαν, γίνεται λόγος εὐθὺς ἅπασι τῶν παίδων, καὶ μετέωρος ἡ βασιλεία, ποῖ ποτε χωρήσειε τὰ κατ' αὐτοὺς ἐκδεχομένων. Δεινὸν γὰρ ὑπῆει πάντας δέος ἐκ παλαιοῦ καταστασιαζομένους εἰς αὐτὸ τὸ πέρας ἐλθεῖν, καὶ τοῖς μὲν πάθεσιν ἐδυσχέραινον, οὐκ ἦν δὲ οὔτε εἰπεῖν τι προπετὲς οὔτε ἄλλου λέγοντος ἀκούειν ἀκίνδυνον, ἀλλ' ἐγκεκλεισμένοι τὸν ἕλεον ὀδυνηρῶς μὲν, ἀναύδως δὲ τὴν ὑπερβολὴν τοῦ πάθους ἔφερον. Εἷς δὲ αὐτῷ πάλαι στρατιώτης, ὀνόματι Τήρων, υἱοῦ αὐτῷ καθ' ἡλικίαν ὄντος Ἀλεξάνδρου φίλου, πάντα, ὅσα καὶ τοῖς ἄλλοις ὑποδυόμενα δι' ἡσυχίας ἦν, αὐτὸς ὑπ' ἐλευθεριότητος ἐξελάλει, καὶ βοᾶν ἠναγκάζετο πολλάκις ἐν τοῖς πλήθεσιν, ἀπαρακαλύπτως λέγων ὡς ἀπόλοιτο μὲν ἡ ἀλήθεια, τὸ δὲ δίκαιον ἐκ τῶν ἀνθρώπων ἀνῃρημένον εἴη, κρατοίη δὲ τὰ ψεύσματα καὶ ἡ κακοήθεια, καὶ τοσοῦτον νέφος ἐπάγει τοῖς πράγμασιν, ὡς μηδὲ τὰ μέγιστα τῶν ἀνθρωπίνων παθῶν ὁρᾶσθαι τοῖς ἁμαρτάνουσιν. Τοιοῦτος ὢν ἐδόκει μὲν οὐκ ἀκινδύνως παρρησιάζεσθαι· τὸ δὲ εὔλογον ἐκίνει πάντας, οὐκ ἀνάνδρως αὐτοῦ πρὸς τὸν καιρὸν ἱσταμένου. Διὸ καὶ πάντα, ἅπερ αὐτὸς εἶπειεν, ἕκαστος ἡδέως ἤκουεν ὑπ' ἐκείνου λεγόμενα, καὶ τὸ καθ' αὑτοὺς ἀσφαλὲς ἐν τῷ σιγᾶν προορώμενοι τὴν ἐκείνου παρρησίαν ὅμως ἀπεδέχοντο· τὸ γὰρ προσδοκώμενον πάθος ἐβιάζετο πάντα ὀντιναοῦν ὑπὲρ αὐτοῦ λαλεῖν.

ε'. Ὁ δὲ καὶ πρὸς τὸν βασιλέα μετὰ πάσης παρρησίας ὡσάμενος, μόνος μόνῳ λέγειν ἠξίου· καὶ συγχωρήσαντος, « οὐ δυνάμενος, εἶπεν, ὦ βασιλεῦ, διακαρτερεῖν ἐπὶ τοιούτῳ πάθει, τὴν τολμηρὰν ταύτην παρρησίαν, ἀναγκαίαν δὲ σοὶ καὶ συμφέρουσαν, εἰ λάβοις τι χρήσιμον ἐξ αὐτῆς, προὔκρινα τῆς ἐμῆς ἀσφαλείας. « Ποῖ ποτε ᾤχοντό σου καὶ πεπτώκασιν ἐκ τῆς ψυχῆς « αἱ φρένες; ποῖ δὲ καὶ ὁ περιττὸς ἐκεῖνος νοῦς, ᾧ « πολλὰ καὶ μεγάλα κατώρθους; τίς δὲ ἡ τῶν φίλων « καὶ συγγενῶν ἐρημία; κρίνω δὲ οὐδὲ παρόντας αὐτοὺς « εἶναι συγγενεῖς ἢ φίλους, οἳ περιορῶσι τοιοῦτον μύ« σος ἐπὶ τῇ μακαριζομένῃ ποτὲ βασιλείᾳ. Σὺ δὲ οὐ « σκέψῃ τί πραττόμενόν ἐστι; δύο νεανίσκους ἐκ βασι« λίδος σοὶ γυναικὸς γεγεννημένους, εἰς πᾶσαν ἀρετὴν « ἄκρους, ἀναιρήσεις, σεαυτὸν ἐν γήρᾳ καταλιπὼν ἐφ' credereturque quam capite damnatum iri juvenes. Moxque illinc Tyrum proficiscitur Herodes, pueros secum ducens, et Nicolaum ad se Roma reversum interrogat, postquam ei acta Beryti narraverat, quænam fuerit amicorum suorum, qui Romæ essent, de pueris sententia. Cui ille respondit, « videri eis impios quidem esse filiorum in te conatus, debere tamen eos a te vinculis custodiaque teneri. Postea, si severior sententia placuerit, punias eos ita, ne iracundia magis quam ratione usus esse videare : sin mitiora malis, abire sinas, ne in immedicabile infortunium incidas. Hæc sunt quæ plerique omnes amici tui Romæ degentes censent » Tum ille diu in tacita cogitatione erat et Nicolaum secum navigare jussit.

4. Ubi autem Cæsaream ventum est, ceperunt statim vulgo de pueris loqui : atque per regnum suspensi tenebantur, *cunctis* quo tandem res illorum evasuræ essent exspectantibus. Vehementer enim omnes metuebant ad ipsum inveterati dissidii exitum et terminum pervenire, atque vicem illorum graviter dolebant . tamen nec vocem ullam temere vel emittere vel etiam audire ab alio licebat sine periculo, sed misericordiam clausam tenebant, et tam atrox facinus dolenter quidem, sed taciti ferebant. Unus autem, nomine Tero, miles veteranus, qui filium habebat Alexandro æqualem atque amicum, quicquid in aliis occultatum quiescebat, ipse libere eloquebatur, et sæpe palam in vulgus exclamare cogebatur, dicens interiisse veritatem, sublatum jus ex hominibus, vigere mendacium et malitiam, et tantam nubem rebus inducere, ut a peccantibus ne maxima quidem mala in homines cadentia cerni possent. Hæc tam libere dicens videbatur quidem non sine periculo facere, sed movebat omnes æquitas rei, quod animose et fortiter se illis temporibus gereret. Quapropter omnia quæ ille diceret libenter omnes audiebant ut ab eo dicta, et quum sibi cavendum esse silentio providerent, tamen ejus confidentiam collaudabant : nam tanti mali exspectatio unumquemque cogebat quodcunque liberet pro eo loqui.

5. Ille vero regem ipsum adiit audacissime, et solum cum solo colloqui velle dicebat, ac facta potestate, « non possum, inquit, o rex, diutius ferre hanc animi anxietatem. Equidem audacem hanc confidentiam, sed tibi ne« cessariam et conducibilem, si quid ab ea utilitatis perce« peris, meæ vitæ anteposui. Sanusne es, aut ubi est « excellens illud ingenium, quo tot tantasque res assequutus « es? quæ est ista amicorum cognatorumque solitudo? quos « equidem, quamvis præsentes, nec cognatos nec amicos « judico, qui tantum scelus in quondam felici regno perpe« trari sustineant. Et tu non aspicies quid agatur? duos « juvenes regina conjuge tibi natos, omni virtute ornatissi« mos interficies, tuamque senectutem uni puero commit-

« ἑνὶ παιδὶ, κακῶς οἰκονομήσαντι τὴν εἰς αὐτὸν ἐλπίδα, « καὶ συγγενέσιν, ὧν αὐτὸς ἤδη τοσαυτάκις κατέγνως « θάνατον; οὐκ ἐννοήσεις ὅτι καὶ τῶν ὄχλων ἡ σιωπὴ « τὴν ἁμαρτίαν ὅμως ὁρᾷ καὶ μισεῖ τὸ πάθος, ἥ τε « στρατιὰ πᾶσα, καὶ ταύτης οἱ πρωτεύοντες, ἔλεον μὲν « τῶν ἀτυχούντων, μῖσος δὲ τῶν ταῦτα διαπραττομέ- « νων ἐσχήκασιν; » Ἤκουε τούτων ὁ βασιλεὺς, ἐν ἀρχῇ μὲν οὐ παντάπασιν ἀγνωμόνως, ἀλλὰ, τί δεῖ καὶ λέγειν, διεκίνησεν ἑαυτὸν ἀψαμένου τοῦ Τήρωνος ἐναργῶς τοῦ τε πάθους καὶ τῆς περὶ τοὺς οἰκείους ἀπιστίας. Αὖθις δὲ ὁ μὲν ἐπεδίδου κατὰ μικρὸν ἀμέτρῳ καὶ στρατιωτικῇ χρώμενος παρρησίᾳ, (τὸ γὰρ ἀπαίδευτον ἐξέπιπτε τοῦ καιροῦ,) παραχῆς δὲ Ἡρώδης ἐνεπίμπλατο, καὶ μᾶλλον ὀνειδίζεσθαι δοκῶν ἢ πρὸς τὸ συμφέρον ἀκούειν τῶν λόγων, ἐπεὶ καὶ τοὺς * διακειμένους στρατιώτας καὶ τοὺς ἀγανακτοῦντας ἡγεμόνας ἐπύθετο, προστάττει τῶν τε ὀνομαστὶ δηλωθέντων ἅπαντας καὶ τὸν Τήρωνα δῆσαντας ἔχειν ἐν φυλακῇ.

ς'. Τούτου γενηθέντος, ἐπιτίθεται τῷ καιρῷ καὶ Τρύφων τις κουρεὺς τοῦ βασιλέως, ὃς ἔφη προσελθὼν ὡς πείθοι πολλάκις ὁ Τήρων, ὁπόταν θεραπεύῃ τὸν βασιλέα, ξυρῷ τὸν λαιμὸν ἀποτεμεῖν· ἔσεσθαι γὰρ ἐν πρώτοις τοῖς περὶ Ἀλέξανδρον καὶ μεγάλας λήψεσθαι δωρεάς. Ταῦτα εἰπόντα συλλαμβάνειν κελεύει, καὶ μετὰ ταῦτα βάσανος ἦν τοῦ τε Τήρωνος καὶ τοῦ παιδὸς αὐτοῦ καὶ τοῦ κουρέως. Διακαρτεροῦντός τε τοῦ Τήρωνος, ὁρῶν ὁ νεανίσκος τὸν πατέρα χαλεπῶς μὲν ἤδη διακείμενον, ἔχοντα δὲ οὐδεμίαν ἐλπίδα σωτηρίας, αὐτό τε τὸ μέλλον ἐκ τῆς περὶ τὸν πάσχοντα ὑσχερείας προῦπτον, ἔφη μηνύσειν τῷ βασιλεῖ τὴν ἀλήθειαν, εἰ παραιτήσεται διὰ τοῦ φράσαι τῆς βασάνου καὶ τῆς αἰκίας αὐτόν τε καὶ τὸν πατέρα. Δόντος δὲ πίστιν ἐπὶ τούτοις, ἔλεγεν ὡς εἴη συνθήκη τις ἐπιθέσθαι δι' αὐτοχειρίας βασιλεῖ τὸν Τήρωνα· προσελθεῖν γὰρ εὔπορον εἶναι μόνον μόνῳ, καὶ δράσαντα παθεῖν τι τῶν εἰκότων οὐκ ἀγεννὲς Ἀλεξάνδρῳ χαριζόμενον. Ταῦτα μὲν οὖν ἐκεῖνος εἰπὼν ἐξαιρεῖται τὸν πατέρα τῆς ἀνάγκης, ἄδηλον εἴτε τὴν ἀλήθειαν ἐκβιασθεὶς φράζειν, εἴτε κἂν περιγραφὴν νοήσας τινὰ ταύτην τῶν κακῶν αὐτῷ καὶ τῷ γεγεννηκότι.

ζ'. Ὁ δὲ Ἡρώδης, οὐδὲ εἴ τι πρότερον ἐνδοιάσιμον ἦν αὐτῷ περὶ τὴν τεκνοκτονίαν, τούτῳ τόπον ἢ χώραν καταλελοιπὼς ἐν τῇ ψυχῇ, ἀλλὰ πᾶν ἐξηρημένος τὸ δυνάμενον αὐτῷ ὑπόνοιαν ἀμείνονος λογισμοῦ παρασχεῖν, ἔσπευσεν ἤδη τέλος ἐπιθεῖναι τῇ προαιρέσει. Καὶ προαγαγὼν εἰς ἐκκλησίαν τριακοσίους τε τῶν ἡγεμόνων τοὺς ἐν αἰτίᾳ γενομένους καὶ τὸν Τήρωνα σὺν τῷ παιδὶ καὶ τῷ ἐκείνους διελέγχοντι κουρεῖ, κατηγορίαν ἁπάντων αὐτῶν ἐποιήσατο· κἀκείνους μὲν τὸ πλῆθος ἀεὶ τοῖς παρατυχοῦσι βάλλοντες ἀπέκτειναν, Ἀλέξανδρος δὲ καὶ Ἀριστόβουλος, ἀχθέντες εἰς Σεβαστὴν, ἐπιτάξαντος τοῦ πατρὸς, στραγγάλῃ κτείνονται, τὰ δὲ σώματα νύκτωρ εἰς Ἀλεξάνδρειον ἀπέθεντο, τοῦ τε μητροπάτορος ἐκεῖ καὶ τῶν πλείστων αὐτοῖς προγόνων κειμένων.

« tes, qui susceptam de se spem male sustinuit, et con- « sanguineis, quos ipse toties jam capitis dampasti? nonne « cogitabis vulgus silere quidem, sed peccatum tamen videre « et facinus odisse, exercitumque universum, et maxime « præcipuos, misericordia commoveri erga infelices, odio erga « infelicitatis auctores? » Audiebat rex ista, principio quidem non omnino intemperanter; sed ubi scilicet Tero facinus et domesticorum perfidiam aperte taxavit, commovit se rex. Et Tero econtra paulatim modum excessit immoderata et militari libertate usus, nec tempus satis scite et commode cepit: unde ita turbatus est Herodes, ut, ea verba pro conviciis magis quam pro utili admonitione ducens, ubi milites rem ægre ferre et duces indignari audivit, tam eos qui nominati fuerant quam ipsum Teronem in custodia vinctos adservari jusserit.

6. Hoc facto Tryphon quidam, regis tonsor, arrepta occasione, regem adiit, eique nunciabat Teronem sæpe sibi persuadere voluisse, ut regi barbam tondens eum novacula jugularet, ita principem locum apud Alexandrum habiturus et magna præmia consequuturus. Hæc loquutum jussit rex comprehendi, ac deinde de Terone et ejus filio et tonsore quæstio habita est. Quumque Tero persisteret, juvenis patrem male jam mulctatum, nec ullam spem salutis habere videns, et quid futurum esset ex summis ejus angoribus conjiciens, dicebat se regi veritatem patefacturum, si fore polliceretur ut et ipsi et patri tormenta et cruciatus remitteret. Ubi autem rex ei fidem dedit, aiebat constitutum fuisse ut Tero regi manum afferret, ac factu facile esse ut solus solum aggrederetur: quo perpetrato, si quid ei sinistrum accidisset, id honori fore, dum Alexandro gratificaretur. Istis quidem ab illo dictis, patrem a necessitate redemit: neque scitur verumne dixerit vi coactus, an id fecerit ut a semetipso et patre dolorem depelleret.

7. Herodes vero, si vel minimam antea de filiis occidendis dubitationem habuerit, huic jam nullo in anima loco relicto, sed ejectis omnibus quæ sibi vel tantillum melioris consilii suggerere possent, institutum exsequi properavit. Quumque in cœtu produxisset duces trecentos in reos relatos, et Teronem cum suo filio, et tonsorem indicem, eos omnes accusavit: atque populus, conjectis quæcunque venerunt in manum, eos necavit. Alexander vero et Aristobulus, ducti Sebasten, jussu patris ibi strangulantur: et corpora noctu portantur Alexandrium, ubi siti erant maternus avunculus et plurimi ex majoribus eorum.

η'. Ἴσως μὲν οὖν οὐκ ἄλογον ἐνίοις καταφαίνεται τρεφόμενον ἐκ πολλοῦ τὸ μῖσος οὕτως αὐξηθῆναι, καὶ περαιτέρω προελθὸν ἀπονικῆσαι τὴν φύσιν· ἐπίστασις δὲ γένοιτο ἂν εἰκότως, εἴτε εἰς τοὺς νεανίσκους ἀνοιστέον τὴν τοιαύτην αἰτίαν, πρὸς αἴτιον ὀργῆς ἀγαγόντας τὸν πατέρα καὶ χρόνῳ παρασκευάσαντας ὑπὸ χαλεπότητος ἀνήκεστον αὐτοῖς, εἴτε καὶ πρὸς αὐτὸν ἐκεῖνον ἀπαθῆ καὶ περιττὸν ὄντα περὶ τὴν ἐπιθυμίαν τῆς ἀρχῆς καὶ τῆς ἄλλης εὐδοξίας, ὡς μηδένα οἴεσθαι παραληπτέον, ἐφ' ᾧ πᾶν τὸ βουλόμενον ἀκίνητον ἔχειν, ἢ καὶ τὴν τύχην παντὸς εὐγνώμονος λογισμοῦ μείζω τὴν δύναμιν ἐσχηκυῖαν, ὅθεν καὶ πειθόμεθα τὰς ἀνθρωπίνας πράξεις ὑπ' ἐκείνης προκαθωσιῶσθαι τῆς τοῦ γενέσθαι πάντως ἀνάγκης καὶ καλοῦμεν αὐτὴν εἱμαρμένην, ὡς οὐδενὸς ὄντος, ὃ μὴ δι' αὐτὴν γίγνεται. Τοῦτον μὲν οὖν τὸν λόγον, ὡς νομίζω, πρὸς ἐκεῖνον ἀρκέσει κρίνειν, ἡμῖν τε αὐτοῖς ἀποδιδόντα τι καὶ τὰς διαφθορὰς τῶν ἐπιτηδευμάτων οὐκ ἀνευθύνους ποιοῦντας· ἃ πρὸ ἡμῶν ἤδη πεφιλοσόφηται καὶ τῷ νόμῳ. Τῶν δὲ ἄλλων δύο τὴν μὲν ἀπὸ τῶν παίδων μέμψαιτο ἄν τις αἰτίαν, ὑπό τε αὐθαδείας νεωτερικῆς καὶ βασιλικῆς οἰήσεως, ὅτι καὶ διαβολῶν ἠνείχοντο κατὰ τοῦ πατρὸς, καὶ τῶν πραττομένων αὐτῷ κατὰ τὸν βίον οὐκ εὐμενεῖς ἦσαν ἐξετασταὶ, καὶ κακοήθεις μὲν ὑπονοεῖν, ἀκρατεῖς δὲ λέγειν, εὐάλωτοι δὲ δι' ἀμφότερα τοῖς ἐπιτηροῦσιν αὐτοὺς καὶ πρὸς χάριν καταμηνύουσιν. Ὁ μέντοι πατὴρ οὐδὲ ἐντροπῆς ἔοικεν ἄξιος φαίνεσθαι τοῦ περὶ ἐκείνους ἀσεβήματος, ὃς οὔτε πίστιν ἐπιβουλῆς ἐναργῆ λαβὼν οὔτε παρασκευὴν ἐπιχειρήσεως ἐλέγχειν ἔχων, ἐτόλμησεν ἀποκτεῖναι τοὺς ἐκ αὐτοῦ φύντας, ἀρίστους μὲν τὰ σώματα καὶ περιποθήτους πᾶσι τοῖς ἀλλοτρίοις, οὐκ ἀποδέοντας δὲ ἐν τοῖς ἐπιτηδεύμασιν, εἴ που θηρᾶν ἢ γυμνάζεσθαι τὰ πολέμου, ἢ λέγειν ὑπὲρ τῶν ἐμπεσόντων ἔδει. Τούτων γὰρ ἁπάντων μετεῖχον, Ἀλέξανδρος δὲ καὶ μᾶλλον ὁ πρεσβύτερος. Ἤρκει γὰρ, εἰ καὶ κατέγνω, καὶ ζῶντας ὅμως ἐν δεσμοῖς ἢ ξενιτεύοντας ἀπὸ τῆς ἀρχῆς ἔχειν, μεγάλην ἀσφάλειαν αὐτῷ περιβεβλημένῳ τὴν Ῥωμαίων δύναμιν, δι' ἣν οὐδὲν οὔτε ἐξ ἐφόδου καὶ βίᾳ παθεῖν ἐδύνατο. Τὸ δὲ ἀποκτεῖναι ταχὺ καὶ πρὸς ἡδονὴν τοῦ νικῶντος αὐτὸν πάθους, ἀσεβείας τεκμήριον ἀνυποτιμήτου, καὶ τῆς ἡλικίας οὔσης ἐν γήρᾳ τοσοῦτον ἐξήμαρτεν. Ἥ γε μὴν παρολκὴ καὶ τὸ χρονίζον συγγνώμην οὐκ ἂν αὐτῷ τινα φέροι. Ταχὺ μὲν γὰρ ἐκπλαγέντα καὶ κεκινημένον χωρῆσαι πρός τι τῶν ἀτόπων, εἰ καὶ δυσχερές, ἀλλὰ ἀεὶ συμβαῖνον· ἐν ἐπιστάσει δὲ, καὶ πολλάκις μὲν ὁρμηθέντα, πολλάκις δὲ μελλήσαντα, τὸ τελευταῖον δὲ ὑποστῆναι καὶ διαπράξασθαι, φονώσης καὶ δυσμετακινήτου ψυχῆς ἀπὸ τῶν χειρόνων. Ἐδήλωσε δὲ καὶ τοῖς αὖθις, οὐκ ἀποσχόμενος οὐδὲ τῶν περιλοίπων ὅσους ἐδόκει φιλτάτους, ἐφ' οἷς τὸ μὲν δίκαιον ἔλαττον ἐποίει συμπαθεῖσθαι τοὺς ἀπολλυμένους, τὸ δὲ ὠμὸν ὅμοιον ἦν, τῷ μηδὲ ἐκείνων φεισαμένῳ. Διέξιμεν δὲ ὑπὲρ αὐτῶν ἑξῆς ἀφηγούμενοι.

8. Et forsan quidem aliquibus minime mirum videbitur odium inveteratum adeo crevisse, et eousque processisse, ut ipsam naturam vinceret : merito autem dubitari possit an adolescentibus ejusmodi quid vitio vertendum, quod patri justam illis succensendi causam dederint, ac deinde ita eum perversitate sua irritarint, ut implacabilis evaderet; an quod ipse adeo durus fuerit et ferreus, et tam in aliis rebus gloriæ quam dominationis vehementer cupidus, ut neminem sibi assumendum putaret, quod quicquid ei placeret firmum ratumque haberi voluerit : an *quod dicendum* fortunam vim obtinuisse, omni consilio prudentiæ licet pleno potentiorem; unde et credere solemus humanos actus a necessitate quadam præsancitos esse ut omnino fiant, eamque vim fatum vocamus, quod nihil sit quod illa non efficiat. Ceterum satis erit, ut arbitror, sententiam hanc ex illa cernere, quæ nobismet aliquid tribuit, nec prohibet quominus sua cuique imputetur morum pravitas : quæ jam olim ante nos sapienter in lege tractata sunt. Ex duabus autem reliquis causis, ea quæ ad filios spectat culpari potest tam ex juvenili arrogantia quam fastu regio, quod calumniis in patrem auscultarint, et in acta ejus et vitam parum æqui inquisitores fuerint, malitiose suspicaces, et linguæ temperare nescii, et ob utrumque iis obnoxii qui id agebant ut eos observarent, et ad gratiam captandam *Herodi omnia* indicarent. Veruntamen non est ut pater justam excusationem inveniat suæ in filios impietatis, qui omni re ad fidem certam insidiis faciendam destitutus, nec aliud habens ad eos convincendos hujusmodi conatus in *ipsius perniciem* parati, sustinuit ex se genitos interficere; forma egregia et ab alienis omnibus valde expetitos, quibus nihil ad studia et exercitationes deerat, si aut venationi sese dare, aut militiæ muneribus vacare, aut pro re nata dicere oporteret. Horum vero omnium gnari erant peritique, præsertim Alexander natu major. Satis enim fuisset, etiamsi eos damnare libuisset, aut vivos in vinculis asservare, aut procul a regno relegare, quum abunde tutus ageret Romanorum potentia munitus, qua fretus non erat ut aut repentinum impetum aut vim metueret. Tam cito autem eos occidisse, et ut impotenti affectui gratificaretur, quid aliud est quam argumentum impiæ licentiæ? præsertim quod adeo peccaverit quum esset ætate provectior. Quin neque mora aut dilatio facit ut ei quodammodo ignoscatur. Nam ut quis repentino casu perculsus et commotus ad atrocia facinora impellatur, utut grave sit, sæpe tamen solet accidere : verum ut re perpensa, quum sæpe incitaretur et subinde cunctaretur, postremo tale quidpiam aggredereturet perpetraret, sanguinarii animi est et obstinati in deterius : id quod et postea declaravit, dum nec reliquis parceret quos carissimos habuerit : qui tametsi minus miserabiles erant, quod jure merito perirent, similem tamen exercuit crudelitatem, eo quod ab illorum cædibus non temperarit. Sed de his dicturi sumus in sequentibus.

ΒΙΒΛΙΟΝ ΕΠΤΑΚΑΙΔΕΚΑΤΟΝ.

α'. Ὡς Ἀντίπατρος ἐμισήθη ὑπὸ παντὸς τοῦ ἔθνους διὰ τὴν ἀναίρεσιν τῶν ἀδελφῶν αὐτοῦ· καὶ ὡς διὰ τοῦτο ἐθεράπευσε τοὺς ἐν Ῥώμῃ πολλοῖς χρήμασι, καὶ τὸν πεπιστευμένον τὴν Συρίαν Σατουρνῖνον καὶ τοὺς σὺν αὐτῷ ἡγεμόνας.

β'. Ὡς Ἡρώδης ὁ βασιλεὺς, ἰδὼν τὴν Τραχωνῖτιν χώραν μὴ δυναμένην εὐσταθεῖν διὰ τὰς ἐπιδρομὰς τῶν Ἀράβων, Ζάμαριν Ἰουδαῖον, ἐκ Βαβυλῶνος ὑποχωρήσαντα καὶ ἐν Ἀντιοχείᾳ διαιτώμενον, μεταπεμψάμενος, ἐγκατῴκισεν αὐτῇ, καὶ ἐχρῆτο αὐτῷ προβλήματι πρὸς τοὺς Ἄραβας.

γ'. Ὡς Ἡρώδου τοῦ Ἀλεξάνδρου καὶ Ἀριστοβούλου τῶν υἱῶν αὐτοῦ παῖδας προσποιησαμένου, καὶ τὰς Φερώρα θυγατέρας μνηστεύσαντος αὐτοῖς, Ἀντίπατρος ἔπεισε τὸν πατέρα τὴν μνηστείαν εἰς τοὺς παῖδας μεταθέσθαι τοὺς αὐτοῦ. Καὶ ὡς ἐθεράπευσεν Ἀντίπατρος τοὺς περὶ Φερώραν, βουλόμενος ἤδη δι' αὐτῶν ἐπιβουλεῦσαι τῷ πατρί. Καὶ ὡς γνοῦσα ἡ ἀδελφὴ τοῦ βασιλέως Σαλώμη κρυφαίως ἀπήγγειλεν τῷ ἀδελφῷ. Καὶ ὡς Ἡρώδης παρήγγειλεν Ἀντιπάτρῳ μὴ φοιτᾶν πρὸς Φερώραν, μηδὲ ἀπόρρητον μηδὲν ἀπαγγέλλειν αὐτῷ. Ὁ δὲ φανερῶς μὲν οὐδὲν ἐποίει, ἀλλὰ κρυπτῶς· καὶ ταῦτα δὲ οὐκ ἐλάνθανε τὸν Ἡρώδην.

δ'. Ὡς Ἀντίπατρος ἔγραψε τοῖς ἐν Ῥώμῃ φίλοις, παρακαλῶν αὐτοὺς γράψαι τῷ πατρὶ αὐτοῦ, πείθοντας ἵνα πέμψῃ αὐτὸν πρὸς Καίσαρα μετὰ πολλῶν χρημάτων· καὶ πεισθεὶς Ἡρώδης ἐξέπεμψε τὸν υἱόν.

ε'. Ὡς Ἀντίπατρος ἔπεισε Φερώραν ἵνα ἀνέλῃ τὸν πατέρα αὐτοῦ Ἡρώδην φαρμάκῳ, δοὺς αὐτὸς τὸ φάρμακον Φερώρᾳ. Καὶ ὡς ὁ βασιλεὺς Ἡρώδης παρήγγειλεν τῷ ἀδελφῷ αὐτοῦ Φερώρᾳ ἐκβαλεῖν τὴν γυναῖκα αὐτοῦ, ἣ ἀναχωρῆσαι ἐκ τῆς βασιλείας. Ὁ δὲ ἀσμένως ἤκουσε καὶ ἀνεχώρησεν εἰς τὴν ἰδίαν τετραρχίαν, κἀκεῖ μετ' οὐ πολὺ τελευτᾷ.

ς'. Κατηγορία τῆς γυναικὸς Φερώρα ὑπὸ τῶν ἀπελευθέρων Φερώρα ὡς ἀναιρεθέντος φαρμάκῳ. Καὶ ὡς Ἡρώδης ἐκζητήσας ηὗρε τὸ φάρμακον, κατεσκευασμένον ἐπ' αὐτῷ ὑπὸ τοῦ υἱοῦ αὐτοῦ Ἀντιπάτρου, καὶ βασανίσας ἔγνω τὰς Ἀντιπάτρου ἐπιβουλάς.

ζ'. Κατάπλους Ἀντιπάτρου ἐκ Ῥώμης πρὸς τὸν πατέρα. Καὶ ὡς κατηγορηθεὶς ὑπὸ Νικολάου τοῦ Δαμασκηνοῦ καὶ καταγνωσθεὶς θανάτου ὑπὸ τοῦ πατρὸς, καὶ ὑπὸ Κουϊντιλίου Οὐάρου τοῦ τότε πεπιστευμένου τὴν Συρίαν ἐδέθη μέχρι τῆς ἐσομένης διαγνώσεως ὑπὸ Καίσαρος.

η'. Πρεσβεία πεμφθεῖσα ὑπὸ Ἡρώδου πρὸς Καίσαρα περὶ Ἀντιπάτρου· καὶ ὡς Καῖσαρ, ἀκούσας τὰς κατηγορίας, κατέγνω αὐτοῦ θάνατον.

θ'. Περὶ τῆς Ἡρώδου νόσου καὶ στάσεως τῶν Ἰουδαίων δι' αὐτήν· καὶ κόλασις τῶν στασιαστῶν.

ι'. Ὡς δόξαντος Ἀντιπάτρου Ἡρώδην τετελευτηκέναι, Ἀντίπατρος διαλεχθείη τῷ σωματοφύλακι περὶ ἀφέσεως· καὶ διὰ τοῦτο Ἀντιπάτρου ἀναίρεσις.

ια'. Ἡρώδου τελευτή, καὶ διαθήκη τοῦ αὐτοῦ πρὸς Καίσαρα, καὶ μερισμὸς πρὸς τοὺς τρεῖς υἱοὺς αὐτοῦ, καὶ ὡς Ἀρχέλαον βασιλέα ποιεῖ τῆς Ἰουδαίας.

ιβ'. Ἐπιστολὴ Ἡρώδου πρὸς τὸν στρατὸν, καὶ ἑκάστῳ αὐτῶν δωρεὰ, καὶ παράκλησις πίστεως πρὸς τὸν υἱὸν αὐτοῦ Ἀρχέλαον.

ιγ'. Ταφὴ Ἡρώδου ἐν Ἡρωδείῳ τῷ φρουρίῳ, καὶ ὡς ὁ λαὸς ἐστασίασε πρὸς τὸν υἱὸν αὐτοῦ Ἀρχέλαον ἐν τῇ ἑορτῇ· καὶ ὡς Ἀρχέλαος τρισχιλίους αὐτῶν ἀνεῖλεν, αὐτὸς δὲ ἔπλευσε πρὸς Καίσαρα σὺν τῷ ἀδελφῷ αὐτοῦ Ἡρώδῃ εἰς Ῥώμην, πιστεύσας τὴν βασιλείαν αὐτοῦ τῷ ἀδελφῷ Φιλίππῳ.

ιδ'. Ὡς Σαβῖνος ὁ ἐν τῇ Συρίᾳ Καίσαρος ἐπίτροπος ἀνέβη εἰς Ἱεροσόλυμα, βίᾳ αἰτῶν τὰ Ἡρώδου χρήματα καὶ φρούρια παρὰ τῶν Ἀρχελάου ἐπιμελητῶν· καὶ ὡς ἔπεισαν οἱ Ἀρχελάου ἐπιμεληταὶ τὸν λαὸν χωρεῖν ἐπὶ ὅπλα, καὶ πολιορκῆσαι

LIBER DECIMUS SEPTIMUS.

1. Quomodo Antipater genti universæ invisus erat ob fratrum ipsius cædem: utque ob hanc causam amicos, qui Romæ erant, ingenti pecunia sibi conciliare studebat, atque etiam Saturninum Syriæ præsidem et duces qui cum eo erant.

2. Quomodo Herodes rex, quum vidisset regionem Trachonitidem in tranquillo esse non posse ob crebras Arabum incursiones, Zamarin Judæum, qui Babylone relicta in Antiochia degebat, accersivit, locumque ad habitandum dedit in Trachonitide, eoque usus est propugnaculo contra Arabes.

3. Quomodo Antipater, quum Herodes Alexandri et Aristobuli filiorum suorum filios sibi adsumpsisset, eisque Pheroræ filias despondisset, patri suasit ut illas econtra suis filiis desponsatas daret; utque Antipater Pheroram studiose colebat, eo animo ut ipso ad insidias patri struendas uteretur; utque Salome, regis soror, insidias sibi cognitas clam fratri narravit; utque Herodes Antipatro interdixit ne ad Pheroram iret, neve arcani aliquid ei nunciaret. Atque ille nihil horum palam faciebat, sed remotis arbitris; id quod Herodem non latebat.

4. Quomodo Antipater ad amicos suos Romæ degentes scripsit, eos obsecrans patri scriberent ut ei suaderent ipsum Romam ad Cæsarem mittere cum ingenti pecunia: quibus obsequutus Herodes eo misit filium.

5. Quomodo Antipater Pheroræ suasit ut Herodem patrem suum pharmaco tolleret, quod ipse Pheroræ dederat; utque Herodes rex jussit fratri suo Pheroræ, ut uxorem suam repudiaret, aut e regno discederet: cui ille libenter morem gessit, et in suam tetrarchiam se recepit, ubi non multo post diem supremum obiit.

6. Pheroræ uxor a Pheroræ libertis accusatur occisi veneno mariti; utque Herodes, inquisitione facta, pharmacum invenit sibi a filio suo Antipatro paratum, et quæstione habita deprehendit Antipatri insidias.

7. Antipater Roma navigans ad patrem redit; utque a Nicolao Damasceno accusatur, et capitis damnatus a patre, et a Quintilio Varo, tunc Syriæ præside, in vinculis adservatur, donec ea de re cognosceret Cæsar.

8. Legatio ab Herode ad Cæsarem missa de Antipatro: utque Cæsar, accusatione audita, capitis eum damnavit.

9. De Herodis morbo, motaque ob eam causam seditione: et quomodo puniti erant seditiosi.

10. Quemadmodum Antipater, quum putaret mortuum esse Herodem, verba fecit ad custodem de liberatione e vinculis: quam ob rem patris jussu interimitur.

11. Herodis mors, et quænam testamento legavit Cæsari, qualisque facta erat divisio in tres filios, et quomodo Archelaum Judææ regem constituit.

12. Herodis epistola ad exercitum, et munificentia erga milites, et cohortatio ad eos ut fidem Archelao filio suo præstarent.

13. Sepultura Herodis in Herodio castello, utque in festo seditionem movit populus contra filium ejus Archelaum: et ut Archelaus tria seditiosorum millia occidit, atque ipse cum fratre suo Herode Romam navigavit ad Cæsarem, regni cura fratri suo Philippo commissa.

14. Quomodo Sabinus Cæsaris in Syria procurator Hierosolyma ascendit, vi contendens ut sibi Herodis pecuniæ et munitiones traderentur ab Archelai curatoribus; utque curatores ab Archelao relicti populo suaserunt ut arma cape-

τὸν Σαβῖνον καὶ στρατὸν αὐτοῦ ἐν τῇ Ἀντωνίᾳ. Καὶ ὡς ταῦτα ἀκούσας ὁ Οὖαρος μετὰ μεγάλης δυνάμεως ἀνέβη εἰς Ἱεροσόλυμα, καὶ ῥυσάμενος τὸν Σαβῖνον ἐκ τῆς πολιορκίας τοὺς αἰτίους τῆς στάσεως ἐκόλασε· καὶ καλῶς διαθεὶς τὰ ἐν τῇ Ἰουδαίᾳ ἔγραψε Καίσαρι, δηλῶν αὐτῷ τὰ πραχθέντα.

ιε'. Ὡς Καῖσαρ τὰς Ἡρώδου διαθήκας βεβαίας ἐποίησε, φυλάξας τοῖς υἱοῖς αὐτοῦ τὴν διαδοχήν· καὶ περὶ Ψευδαλεξάνδρου.

ις'. Καὶ ὡς κατηγορεῖται Ἀρχέλαος ὑπὸ τῶν συγγενῶν αὐτοῦ ἐπὶ Καίσαρος, καὶ νικήσας ἔλαβε τὴν βασιλείαν· καὶ βασιλεύσας μοχθηρῶς δεκαετίαν, πάλιν κατηγορηθεὶς ἐξωρίσθη εἰς Βίενναν, τὴν δὲ βασιλείαν αὐτοῦ μετέθηκε Καῖσαρ εἰς ἐπαρχίαν.

Περιέχει ἡ βίβλος χρόνον ἐτῶν ιδ'.

rent, et Sabinum exercitumque ejus in Antonia obsiderent; et ut Varus, istis auditis, magna cum militum manu Hierosolyma ascendit, Sabinoque ab obsidione liberato in seditionis auctores animadvertit; ac deinde, rebus in Judæa compositis, literis Cæsari significavit res a se gestas.

15. Quomodo Cæsar Herodis testamentum sancivit, custodita ejus filiis successione: et de falso Alexandro.

16. Et ut Archelaus a consanguineis suis coram Cæsare accusatur, et illis superatis regnum accepit; quumque decem annos misere imperasset, accusatione iterum in eum instituta, Viennam relegatus est, quo facto regnum ipsius in provinciam mutavit Cæsar.

Continet hic liber tempus annorum quattuordecim.

ΚΕΦ. Α'.

Ἀντιπάτρῳ δὲ, ἀραμένῳ τοὺς ἀδελφοὺς, ἀσεβείᾳ τε τῇ ὑστάτῃ καὶ ἀλαστορίᾳ τῶν ἐπ' αὐτοῖς τὸν πατέρα περιδεβληκότι, οὔ τι κατὰ γνώμην ἡ ἐλπὶς τοῦ αὖθις βίου ἦν. Ἀπαλλαγεὶς γὰρ φόβου τοῦ ἐπὶ τῇ ἀρχῇ διὰ τὸ τῶν ἀδελφῶν μὴ ἐπικοινωνῆσον, ἐργωδέστερον καὶ ἄπορον αὐτῷ ηὗρισκεν τὸ τῆς βασιλείας περιγίγνεσθαι· τοσόνδ' ἐφύη τῷ ἔθνει μῖσος πρὸς αὐτόν. Ὄντος δὲ αὐτῷ καὶ τοῦδε χαλεποῦ, πλειόνως παρελύπει τὸ στρατιωτικὸν, ἀλλοτρίως ἔχον τῇ γνώμῃ πρὸς αὐτὸν, εἰς οὓς τὰ πάντα ἦν τοῖς βασιλεῦσιν ἀνακείμενα τοῦ οἰκείου ἀσφαλοῦς, ὁπότε τύχοι τὸ ἔθνος νεωτέρων ὀρεγνώμενον πραγμάτων. Τοσόνδε κίνδυνον ἐμνήστευσεν αὐτῷ ὁ ὄλεθρος τῶν ἀδελφῶν. Οὐ μὴν ἀλλὰ καὶ συνῆρχέ τε τῷ πατρὶ, οὐδὲν ἄλλο ἢ βασιλεὺς ὤν, καὶ ἐπιστεύετο παρ' αὐτῷ μειζόνως, ἐξ ὧν ἀπολωλέναι καλῶς εἶχεν εὐνοίας βεβαιώματα ηὑρημένος, ὡς ἐπ' ἀσφαλείᾳ σωτηρίας τῆς Ἡρώδου τοὺς ἀδελφοὺς ἐνδεδειχὼς, ἀλλ' οὐκ ἔχθρᾳ τῇ πρὸς ἐκείνους καὶ πρὸ αὐτῶν πρὸς τὸν πατέρα. Τοιαῖδε αὐτὸν περιέσπευδον ἀραί. Ἅπερ δὴ πάντα μηχαναὶ τῆς ἐπὶ τὸν Ἡρώδην ὁδοῦ ἵσταντο Ἀντιπάτρῳ, ἐρημοῦντι αὐτὸν μὲν κατηγόρων ἐφ' οἷς πράττειν διενοεῖτο, Ἡρώδῃ δὲ αὖ καταφυγῆς, οἳ βοηθοῖεν αὐτῷ, τοῦ Ἀντιπάτρου φανερῶς πολεμίου καταστάντος. Ὥστε μίσει μὲν τῷ πρὸς τὸν πατέρα ἔπραττε τὴν ἐπιβουλὴν τῶν ἀδελφῶν, τότε δὲ ἧπτετο μειζόνως τοῦ ἐγχειρῶν μὴ ἀφίεσθαι τῆς πράξεως, ἀποθνήσκοντος μὲν Ἡρώδου, βεβαίως αὐτῷ περιγενομένης τῆς ἀρχῆς, ἐξικνουμένου δὲ εἰς τὸ πλέον ἐπιζῆν, κινδύνων ἀντιπεριστάντων, ἐξαγγελτοῦ γενομένης τῆς πράξεως, ἧς συνθέτης γεγονὼς πολέμιον ἠνάγκαζε τὸν πατέρα καταστῆναι. Καὶ διὰ τοῦτο χαρίζεσθαι πολυτελὴς ἦν τοῖς περὶ τὸν πατέρα, κέρδεσι μεγάλοις ἐκπλήσσων τὸ τῶν ἀνθρώπων μῖσος πρὸς αὐτὸν, καὶ μάλιστα τοὺς ἐπὶ Ῥώμης φίλους πομπαῖς μεγάλων δωρεῶν εὔνους καθιστάμενος, πρὸ πάντων δὲ Σατουρνῖνον, τὸν τῆς Συρίας ἐπιμελητήν. Ὑπῆρχεσθαί τε ἦν ἐλπὶς αὐτῷ καὶ τὸν Σατουρνίνου ἀδελφὸν μεγέθει δώρων ἃ ἐδίδου,

CAP. I.

Antipatro autem, postquam fratres sustulerat, et patrem extrema nequitia et furiis illorum injurias ulciscentibus circumdederat, nihil ad spem, quam de reliqua vita conceperat, firmandam affulgebat. Nam omni de imperio metu liberatus, quod nihil cum fratribus commune habiturus esset, tamen ut regnum adipisceretur opus arduum fore et impeditum sentiebat : odium in ipsum tam inveteratum genti penitus insederat. Quum autem et hoc ei grave esset et molestum, majorem adhuc sollicitudinem ei injiciunt milites, animos ab ipso alienos habentes, quorum ex fide pendet omnis regnantium securitas, si quando gens ipsa novarum rerum studio teneatur. Tantum periculi sibi conflavit ex fratrum interitu. Neque tamen non cum patre regnabat, nihil plane a rege discrepans : et majorem apud eum auctoritatem habebat, benevolentia sibi ex iis ob quæ periisse debuerat firmiori conciliata, quasi in Herodis securitatem fratrum delator exstitisset, non autem ex odio quo illos prosequebatur et inprimis patrem. Tales ipsum agitabant diræ. Quæ scilicet omnia Antipatro viam sternebant ad Herodem *submovendum*, id agenti ut nemo esset qui ipsum accusaret de iis quæ perpetrare cogitabat, utque Herodes perfugium non haberet, unde auxilium ipsi ferretur si Antipater semet hostem ei aperte profiteretur. Proinde ut ex odio in patrem factæ erant in fratres insidiæ, sic tunc longe magis stimulabatur cœptos conatus persequi, quod Herode defuncto pro certo regnum adepturus esset : sin vero diutius viveret, magno in periculo fore ne patefacto facinore, cujus ipse auctor erat et machinator, patrem eo adigeret ut hostis sibi fieret. Hac de causa nullis sumptibus parcebat ut patris amicos demereretur, hominum in se odium abolere volens magnis beneficiis, præsertimque amicos qui Romæ erant, missione ingentium munerum sibi benevolos reddens, et inprimis Syriæ prætorem Saturninum. Fore etiam sperabat ut eorum quæ dono dedit magnitudine sibi conciliaret Saturnini fratrem, iisdem-

καὶ τὴν ἀδελφὴν τοῦ βασιλέως, ἀνδρὶ πρώτῳ τῶν περὶ τὸν Ἡρώδην συνοικοῦσαν, τῷ αὐτῷ τρόπῳ χρώμενος. Ψευσάμενός τε φιλίαν πρὸς τοὺς ὁμιλοῦντας δεινότατος ἦν πεπιστεῦσθαι, καὶ μῖσος ἀράμενος ἐφ' οὑστινασοῦν ἐπικρύψασθαι συνετώτατος. Οὐ μὴν ἠπάτα γε τὴν τηθίδα, προκατανενοηκυῖαν ἐκ πλείονος αὐτὸν καὶ μηκέθ' οἷαν οὖσαν παραλογισθῆναι διὰ τὸ ἤδη παρασκευῇ τῇ πάσῃ ἀντιτετάχθαι αὐτοῦ πρὸς τὸ κακότροπον· καίτοι θυγατρὶ αὐτῆς συνῴκει θεῖος πρὸς μητρὸς Ἀντιπάτρου, προνοίᾳ τῇ ἐκείνου καὶ διαπράξει παραλαβὼν τὴν κόρην πρότερον Ἀριστοβούλῳ γεγαμημένην, τὴν δὲ ἑτέραν ὁ ἐκ τοῦ ἀνδρὸς αὐτῆς Καλλίας παῖς γυναῖκα εἶχεν· ἀλλ' οὐδὲν ἐπὶ τῷ μὴ κατανοεῖσθαι πονηρὸν ὄντα ἦν ἡ ἐπιγαμία τεῖχος, ὥσπερ οὐδ' ἡ πρότερον συγγένεια πρὸς τὸ οὐ μεμισῆσθαι. Τὴν δὲ Σαλώμην Ἡρώδης, ἐσπουδακυῖαν Συλλαίῳ τῷ Ἄραβι γαμηθῆναι κατ' ἐρωτικὴν ἐπιθυμίαν, βιάζεται τῷ Ἀλεξᾷ συνοικεῖν, συμπρασσούσης αὐτῷ Ἰουλίας καὶ πειθούσης τὴν Σαλώμην μὴ ἀνήνασθαι τὸν γάμον, μὴ καὶ ἔχθρα καθίσταιτο αὐτοῖς προῦπτος, ὀμωμοκότος Ἡρώδου μὴ ἂν εὐνοήσειν Σαλώμῃ μὴ ἀποδεξαμένῃ τὸν Ἀλεξᾶ γάμον. Καὶ ἐπείθετο Καίσαρός τε οὔσῃ γυναικὶ τῇ Ἰουλίᾳ καὶ ἄλλως συμβουλεύσῃ πάνυ συμφέροντα. Ἐν τούτῳ δὲ καὶ τὴν Ἀρχελάου θυγατέρα τοῦ βασιλέως Ἡρώδης ὡς τὸν αὐτῆς πατέρα ἐξέπεμψεν Ἀλεξάνδρῳ συνῳκηκυῖαν, ἐν τῶν αὐτοῦ τὴν προῖκα ἀποδοὺς, ὥστε ἀμφισβήτημα αὐτοῖς μηδὲν εἶναι.

β'. Ἀνέτρεφε δὲ αὐτὸς τῶν παίδων τὰ τέκνα πάνυ ἐπιμελῶς· (ἦσαν γὰρ τῷ μὲν Ἀλεξάνδρῳ ἐκ Γλαφύρας ἄρσενες δύο, Ἀριστοβούλῳ δὲ ἐκ Βερενίκης τῆς Σαλώμης θυγατρὸς ἄρσενές τε τρεῖς καὶ θήλειαι δύο·) καί ποτε παρόντων αὐτῷ τῶν φίλων παραστησάμενος τὰ παιδάρια καὶ τῶν υἱέων ἀνακλαύσας τὴν τύχην, ηὔχετο μηδὲν τοιόνδε παισὶ τοῖς ἐκείνων συνελθεῖν· αὐξηθέντας δὲ ἀρετῇ, καὶ συμφορᾷ τοῦ δικαίου, τὰς τροφὰς ἀμείψασθαι ἃς ἐποιεῖτο. Ἐνεγύητό τε εἰς γάμον, ὁπότε ἀφίκοιντο εἰς ὥραν τὴν ἐπ' αὐτῷ, τῷ μὲν πρεσβυτέρῳ τῶν Ἀλεξάνδρου παίδων Φερώρα θυγατέρα, τῷ δὲ Ἀριστοβούλου τὴν Ἀντιπάτρου, καὶ θυγατέρα τὴν Ἀριστοβούλου ἐπωνόμαζε παιδὶ τῷ Ἀντιπάτρου, τὴν δὲ ἑτέραν τῶν Ἀριστοβούλου θυγατέρων Ἡρώδῃ παιδὶ τῷ αὐτοῦ, γίνεται δὲ τῷ βασιλεῖ ἐκ τῆς τοῦ ἀρχιερέως θυγατρός· πάτριον γὰρ ἐν ταὐτῷ πλείοσιν ἡμῖν συνοικεῖν. Ἔπρασσε δὲ τὰς μνηστείας τῶν παίδων ὁ βασιλεὺς ἐλέῳ τῶν ὀρφανῶν, εἰς εὔνοιαν αὐτῶν διὰ τὴν ἐπιγαμίαν τὸν Ἀντίπατρον προκαλούμενος. Ἀντιπάτρου δὲ γνώμην τὴν πρὸς τοὺς ἀδελφοὺς ταλυπεύειν οὐκ ἐνέλιπε καὶ πρὸς παῖδας αὐτοῖς γεγονότας, ἥ τε τοῦ πατρὸς σπουδὴ περὶ αὐτοὺς ἠρέθιζεν αὐτὸν, μεῖζονας ἔσεσθαι τῶν ἀδελφῶν προσδεχόμενον, καὶ μάλιστα ὁπότε ἀνδρωθεῖεν, Ἀρχελάου συλλήψομένου τοῖς θυγατριδοῖς, βασιλέως ἀνδρὸς, καὶ Φερώρα τῷ υἱῷ ληψομένου τὴν θυγατέρα· τετράρχης δὲ καὶ οὗτος ἦν. Ἐπήγειρε δὲ αὐτὸν καὶ τὸ πᾶν πλῆθος ἐλέῳ μὲν τῷ

que artibus et regis sororem, quæ uni de præcipuis Herodis amicis nupserat. Eratque mirus artifex fidem iis faciendi, quibuscum versaretur, veram esse quam simulabat amicitiam, et ad odium in quoscunque illud susceperat dissimulandum callidissimus. Non tamen fallebat amitam, quæ eum jam pridem exploraverat, nec jam decipi poterat, quod omnes adhibuerit machinas ad occurrendum ejus malitiæ: quamvis avunculus maternus Antipatri Salomæ filiam haberet in matrimonio, eam quæ antea nupserat Aristobulo, auctore et conciliatore nuptiarum Antipatro; nam alteram Callias, ex ejus marito filius, habebat uxorem. Sed nec affinitas hæc effecit quo minus perspecta esset ejus malitia, sicut nec prior illa consanguinitas odium exstinguere potuit. Salomen autem, quæ Syllæo Arabi ex amatoria cupiditate matrimonio jungi studebat, compulit Herodes ut nuberet Alexæ, operam suam ei præstante Julia et Salomæ suadente ut nuptias non detrectaret, ne apertæ cum ipsa illi intercederent inimicitiæ, utpote quod juraverit Herodes, nunquam se eam amaturum, nisi vellet sese nuptum dare Alexæ. Atque paruit Juliæ, et quod Cæsaris uxor esset, et quod præterea utilia admodum suaderet. Hoc ipso tempore Herodes regis Archelai filiam, Alexandri uxorem, ad patrem remisit, eique dotem de suo restituit, ne quid esset inter eos controversiæ.

2. Herodes autem filiorum liberos alebat accuratissime; (sustulerat enim Alexander ex Glaphyra duos mares, et Aristobulus ex Berenice Salomes filia tres filios et duas filias) et quum liberos aliquando, præsentibus amicis, in conspectum eorum dedisset, et filiorum fortunam deplorasset, orabat ne tale quidquam illorum liberis accidat, sed ut virtute aucti, insuper et æqui bonique scientia, gratiam pro educationis cura dignam rependant. Spoponderuntque in matrimonium, ubi ad id ætatis adolevissent, Alexandri filio grandiori Pheroræ filiam, Aristobuli autem filio Antipatri filiam; Aristobuli autem filiam addicebat Antipatri filio, Aristobuli vero alteram Herodi filio suo, quem ex pontificis filia rex sustulerat: nam mos nobis est patrius eodem tempore plures habere uxores. Hæc liberorum sponsalia faciebat rex pupillorum misericordia, ut eis Antipatri amorem ex affinitate conciliaret. Antipater autem non cessabat eundem animum erga liberos gerere, quem erga fratres habuerat: patris etiam studium, quod in eos exstitit, vehementer illum irritabat, cui jam persuasum erat illos fore potentiores ipsius fratribus, præsertim quod, quum forent adulti, Archelaus, vir regiæ dignitatis, nepotibus auxilium laturus esset, et Pheroras, qui et ipse tetrarcha, pupillarum alterum filio suo conjugem accepturus. Quin et ipsum provocabat quod populus mise-

πρὸς τοὺς ὀρφανοὺς χρώμενον, μίσει δὲ τῷ πρὸς αὐτὸν τὰ πάντα ἐξαγαγεῖν οὐκ ἀπηλλαγμένον κακοτροπίας τῆς ἐπὶ τοῖς ἀδελφοῖς. Ἐμηχανᾶτο οὖν διάλυσιν τῶν τῷ πατρὶ ἐγνωσμένων, ἐν δεινῷ τιθέμενος εἰ προσλήψοιτο τοσῆσδε αὐτοὺς ὁμιλῆσαι δυνάμεως. Καὶ μετέπιπτεν Ἡρώδης εἴκων δεήσει τῇ Ἀντιπάτρου, ὥστε αὐτὸν μὲν τὴν θυγατέρα Ἀριστοβούλου γαμεῖν, καὶ τὴν Φερώρα τὸν υἱὸν αὐτοῦ. Καὶ τὰ μὲν τῶν ὁμολογιῶν τοῦ γάμου τοῦτον κινεῖται τὸν τρόπον, ἄκοντος τοῦ βασιλέως.

γ'. Ἡρώδῃ δὲ τῷ βασιλεῖ κατὰ τοῦτον τὸν χρόνον συνῴκουν ἐννέα γυναῖκες, ἥ τε Ἀντιπάτρου μήτηρ, καὶ ἡ θυγατὴρ τοῦ ἀρχιερέως, ἐξ ἧς καὶ ὁμώνυμος αὐτῷ παῖς ἐγεγόνει. Ἦν δὲ καὶ ἀδελφοῦ παῖς αὐτῷ μία γεγαμημένη, καὶ ἀνεψιὰ σὺν αὐταῖς. Καὶ ταῖσδε μὲν τέκνον οὐδὲν ἐφύη. Ἦν δ' ἐν ταῖς γυναιξὶν κἀκ τοῦ Σαμαρέων ἔθνους μία, καὶ παῖδες αὐτῇ Ἀντίπας καὶ Ἀρχέλαος, καὶ θυγάτηρ Ὀλυμπιάς· καὶ ταύτην μὲν ὕστερον Ἰώσηπος γαμεῖ, βασιλέως ἀδελφιδοῦς ὤν· Ἀρχέλαος δὲ καὶ Ἀντίπας ἐπὶ Ῥώμης παρά τινι ἰδιώτῃ τροφὰς εἶχον. Κλεοπάτρα τε Ἱεροσολυμῖτις ἐγεγάμητο αὐτῷ, καὶ παῖδες ἐξ αὐτῆς Ἡρώδης τε ἐγεγόνεισαν καὶ Φίλιππος, ὃς καὶ αὐτὸς ἐν Ῥώμῃ τροφὰς εἶχεν. Καὶ Παλλὰς δὲ ἦν ἐν ταῖς γαμεταῖς, Φασάηλον πεποιημένη αὐτῷ παῖδα· πρός γε μὴν ταύταις Φαίδρα καὶ Ἐλπὶς ἦσαν, ἐξ ὧν θυγατέρες δύο ἦσαν, Ῥωξάνη καὶ Σαλώμη. Τὰς δὲ πρεσβυτέρας αὐτοῦ θυγατέρας ὁμομητρίας τῶν περὶ Ἀλέξανδρον, ὧν περιεώρα Φερώρας τὸν γάμον, συνῴκισε τὴν μὲν Ἀντιπάτρῳ τοῦ βασιλέως ἀδελφῆς παιδὶ ὄντι, Φασαήλῳ δὲ τὴν ἑτέραν· καὶ οὗτος Ἡρώδου ἀδελφοῦ παῖς ἐγεγόνει. Καὶ τοῦτο μὲν Ἡρώδου τὸ γένος ἦν.

ΚΕΦ. Β'.

Τότε δὲ βουλόμενος πρὸς Τραχωνίτας ἀσφαλὴς εἶναι, κώμην πόλεως μέγεθος οὐκ ἀποδέουσαν ἔγνω Ἰουδαίοις κτίσαι ἐν μέσῳ, δυσέμβολόν τε ποιεῖν τὴν αὐτοῦ καὶ τοῖς πολεμίοις ἐξ ἐγγίονος ὁρμώμενος ἐμβαλὼν ἐκ τοῦ ὀξέος κακουργεῖν. Καὶ ἐπιστάμενος ἄνδρα Ἰουδαῖον ἐκ τῆς Βαβυλωνίας σὺν ἱππεῦσι πεντακοσίοις, ἱπποτοξότας πᾶσι, καὶ συγγενῶν πλήθει εἰς ἑκατὸν ἀνδρῶν τὸν Εὐφράτην διαβεβηκότα κατὰ τύχας ἐν Ἀντιοχείᾳ τῇ ἐπὶ Δάφνῃ τῆς Συρίας διαιτᾶσθαι, Σατουρνίνου τοῦ τότε στρατηγοῦντος εἰς ἐνοίκησιν αὐτῷ δεδωκότος χωρίον, Οὐαλαθὰ ὄνομα αὐτῷ, μετεπέμπετο τοῦτον σὺν τῷ πλήθει τῶν ἑπομένων, παρέξειν ὑπισχνούμενος γῆν ἐν τοπαρχίᾳ τῇ λεγομένῃ Βαταναία, (ὡρίζετο δὲ αὐτὴ τῇ Τραχωνίτιδι,) βουλόμενος πρόβλημα τὴν κατοίκησιν αὐτοῦ κτᾶσθαι, ἀτελῆ τε τὴν χώραν ἐπηγγέλλετο, καὶ αὐτοὺς εἰσφορῶν ἀπηλλαγμένους ἁπασῶν, αἳ εἰωθυῖαι * *, ἐγκατοικεῖν, τὴν γῆν ἄπρακτον παρασχόμενος.

β'. Τούτοις πεισθεὶς ὁ Βαβυλώνιος ἀφικνεῖται, καὶ λαβὼν τὴν γῆν, φρούρια ᾠκοδομήσατο καὶ κώμην, Βαratione orbatorum, odioque in ipsum, de malitia in fratres nihil unquam remittentem, cuncta patefacturus esset. Itaque tentabat ut patrem ad sua decreta rescindenda pertraheret, periculosum ducens, si eos in societatem adscisceret qui tanta essent potestate. Atque Herodes precibus Antipatri flexus a sententia sua discessit, ita ut Antipater ducturus esset Aristobuli filiam, Antipatri vero filius Pheroræ filiam. Et sponsalia quidem, invito rege, in hunc modum mutantur.

3. Eo autem tempore Herodes rex uxores novem habebat, videlicet Antipatri matrem, ac pontificis filiam, ex qua filium sustulit sibi cognominem; porro et fratris sui filiam, unaque sororis suæ filiam: quæ quidem liberos non habuerunt. Erat etiam illi inter uxores Samaritana una, ex qua filios *duos* procreavit Antipam et Archelaum, et filiam Olympiadem, quæ postea Josepho nupsit regis fratris filio. Archelaus autem et Antipas Romæ apud privatum quendam educabantur. Cleopatra etiam Hierosolymitana ei nupta erat, ex qua filios genuit Herodem et Philippum, qui Philippus et ipse Romæ educabatur. Porro in uxoribus erat etiam Pallas, quæ ei Phasaelum filium peperit. Præterque illas habuit Phædram et Elpidem, ex quibus duas filias sustulit Roxanen et Salomen. Filias autem suas grandiores, Alexandri *filii sui* sorores ex eadem matre, quas ducere Pheroras recusarat, elocavit, alteram quidem Antipatro sororis suæ filio, alteram vero Phasaelo, qui fratris sui filius erat. Atque hæc fuit Herodis progenies.

CAP. II.

Eo autem tempore, quum vellet adversus Trachonitas in tuto esse, statuit vicum, qui urbi magnitudine non cederet, Judæis in medio condere, ut et suam terram contra irruptiones muniret, factoque e propinquo in hostes impetu, repentina incursione eos infestaret. Quumque *intelligeret* tum forte Judæum quendam e Babylonia cum quingentis equitibus, qui omnes essent ex equo sagittarii, et cognatorum multitudine ad centum homines, Euphrate trajecto, degere in Antiochia quæ est ad Daphnen Syriæ, eique Saturninum, qui tum prætor erat, locum dedisse ad habitandum, nomine Valatha, hunc ejusque comites accersivit, pollicitus sese ei terram daturum in præfectura Batanæa, quæ Trachonitidi *confinis est*, eo animo ut ejus habitationem propugnaculum *in hostes* haberet: promisitque regionem vectigalibus immunem, utque ipsi incolerent nullis tributis obnoxii, quæ *pendi* solebant, quum terram ab exactionibus liberam eis dedisset.

2. His inductus Babylonius venit, terraque occupata, in ea castella ædificavit atque vicum, quem Bathyram appellari

θυρὰν ὄνομα αὐτῇ θέμενος. Πρόβλημά τε ἦν οὗτος ὁ ἀνὴρ καὶ τοῖς ἐγχωρίοις τὰ πρὸς τοὺς Τραχωνίτας καὶ Ἰουδαίων τοῖς ἐκ Βαβυλῶνος ἀφικνουμένοις διὰ θυσίας ἐπὶ Ἱεροσολύμων, τοῦ μὴ λῃστείαις ὑπὸ τῶν Τραχωνιτῶν κακουργεῖσθαι· πολλοί τε ὡς αὐτὸν ἀφίκοντο καὶ ἀπανταχόθεν οἷς τὰ Ἰουδαίων θεραπεύεται πάτρια. Καὶ ἐγένετο ἡ χώρα σφόδρα πολυάνθρωπος, ἀδεία τοῦ ἐπὶ πᾶσιν ἀτελοῦς, ἃ παρέμενεν αὐτοῖς Ἡρώδου ζῶντος· Φίλιππος δὲ δεύτερος ἐκείνου παραλαβὼν τὴν ἀρχὴν ὀλίγα τε καὶ ἐπ' ὀλίγον αὐτοὺς ἐπράξατο. Ἀγρίππας μέντοι γε ὁ μέγας καὶ ὁ παῖς αὐτοῦ ὁμώνυμος καὶ πάνυ ἐξετρύχωσαν αὐτούς, οὐ μέντοι τὰ τῆς ἐλευθερίας κινεῖν ἠθέλησαν. Παρ' ὧν Ῥωμαῖοι δεξάμενοι τὴν ἀρχὴν τοῦ μὲν ἐλευθέρου καὶ αὐτοὶ τηροῦσι τὴν ἀξίωσιν, ἐπιβολαῖς δὲ τῶν φόρων εἰς τὸ πάμπαν ἐπίεσαν αὐτούς. Καὶ τάδε μὲν ἡ καιρὸς ἀκριβώσομαι προϊόντος τοῦ λόγου.

γ'. Τελευτᾷ δὲ Ζάμαρις ὁ Βαβυλώνιος, ὃς ἐπὶ κτήσει τῆσδε τῆς χώρας Ἡρώδῃ προσποιεῖται, ζήσας μετ' ἀρετῆς, καὶ παῖδας λιπὼν ἀγαθούς, Ἰάκειμον μέν, ὃς ἀνδρείᾳ γενόμενος ἐπιφανὴς ἱππεύειν συνεχρότησε τοὺς ὑφ' αὑτῷ Βαβυλωνίους, καὶ ἴλη τῶνδε τῶν ἀνδρῶν ἐδορυφόρει τούσδε τοὺς βασιλέας. Καὶ Ἰάκειμος, ἐν γήρᾳ τελευτῶν, Φίλιππον ἄνδρα χεῖρας ἀγαθὸν κατέλιπε τὸν υἱόν, καὶ τὰ ἄλλα ἀρετῇ χρήσασθαι παρ' ὁντιναοῦν ἀξιόλογον. Διόπερ φιλία τε πιστὴ καὶ εὔνοια ἀσφαλὴς αὐτῷ πρὸς Ἀγρίππαν γίνεται τὸν βασιλέα· στρατιὰν δὲ, ὁπόσην ὁ βασιλεὺς ἔτρεφεν, οὗτος ἀσκῶν διετέλει, καὶ ὅπῃ ἐξοδεύειν δεήσειεν ἡγούμενος.

(Γ'.) δ'. Ἡρώδου δ' ἐν οἷς εἶπον ὄντος, ἀφεώρα τὰ πάντα πράγματα εἰς Ἀντίπατρον, καὶ ἐφ' οἷς ἐθελήσειε κυροῦν οὐκ ἀπήλλακτο ἐξουσίας, ἐπικεχωρηκότος τε τοῦ πατρὸς, ἐλπίδι εὐνοίας καὶ πίστεως, καὶ περαιτέρω κτᾶσθαι τὴν ἐπ' αὐτοῖς ἐξουσίαν τολμηρὸς καθιστάμενος, διὰ τὸ ἀδηλος τῷ πατρὶ εἶναι κακουργῶν καὶ ἐφ' οἷς εἴπειε πιστότατος. Ἦν τε πᾶσι φοβερὸς οὐχ οὕτως ἰσχύϊ τῆς ἐξουσίας ὡς τοῦ κακοτρόπου τῷ προμηθεῖ, μάλιστα δὲ αὐτὸν Φερώρας ἐθεράπευε, καὶ ἀντεθεραπεύετο δεινῶς, πάνυ τοῦ Ἀντιπάτρου περιστοιχίσαντος αὐτὸν καὶ τὴν γυναικωνῖτιν συνισταμένου τὰ πρὸς αὐτόν. Ἐδεδούλωτο γὰρ Φερώρας γαμετῇ τε καὶ μητρὶ ταύτης καὶ ἀδελφῇ, καὶ ταῦτα μισῶν τὰς ἀνθρώπους ὕβρει θυγατέρων αὐτοῦ παρθένων· ἀλλ' ὅμως ἠνείχετο, πράσσειν τε οὐδὲν ἦν οἷά τῶν γυναικῶν ἐκπεριωδευκυιῶν τὸν ἄνθρωπον καὶ ἀλλήλαις εὐνοίᾳ συμπράσσειν τὰ πάντα μὴ ἀπηλλαγμένων· ὥστε παντοίως ὁ Ἀντίπατρος ὑπῆκτο αὐταῖς, καὶ δι' αὐτοῦ καὶ διὰ τῆς μητρός· ταὐτὸν γὰρ αἵδε αἱ τέσσαρες γυναῖκες ἔλεγον. Φερώρᾳ δὲ πρὸς Ἀντίπατρον ἐπ' οὐδαμινοῖς τισιν αἱ γνῶμαι διήλλασσον. Ἀντίσπασμα δ' ἦν αὐτοῖς βασιλέως ἀδελφὴ, περισκοποῦσά τ' ἐκ πλείονος τὰ πάντα καὶ τὴν εὔνοιαν αὐτῶν ἐπὶ κακοῖς τοῖς Ἡρώδου πρασσομένην εἰδυῖά τε καὶ μηνύειν οὐκ ἀποτετραμμένη. Καὶ γνόντες ἐν ἀπεχθείᾳ βασιλεῖ τὴν εὔνοιαν αὐτῶν ἐπινοοῦσιν

voluit. Erat et iste vir præsidio tum incolis adversus Trachonitas, tum Judæis qui ex Babylonia Hierosolyma veniebant ob sacrificia, ne latrociniis eos vexarent Trachonitæ; multique ad eum se receperunt, et undique ii quibus curæ erant patria Judæorum instituta. Et facta est ea regio valde populosa, quod secure ageretur cum immunitate in omnibus, quæ eis Herode vivente manserunt; Philippus vero filius, post eum principatum adeptus, pauca et non diu ab eis exegit: at Agrippa magnus et filius ejus ei cognominis eos plane attriverunt, non tamen libertatem eis adimere voluerunt. A quibus Romani quum accepissent principatum, libertatis dignitatem ipsi etiam illis conservarunt, sed tributis quæ imperarunt prorsus eos oppresserunt. Et hæc quidem suo tempore accuratius deinceps persequar.

3. Zamaris autem Babylonius, quem ad hanc regionem possidendam accersit Herodes, moritur, postquam cum virtute vitam egerat, liberis egregiis post se relictis, et in his Jacimo, qui, fortitudine illustris, Babylonios suos ad equitandum instituit: atque turma horum virorum reges isti satellitibus usi sunt. Jacimus, quum senex esset, moritur, et Philippum filium reliquit, virum manu strenuum, et in ceteris ob virtutem supra alium quemcunque memorabilem. Quare fidam ei amicitiam firmamque benevolentiam præstitit rex Agrippa: et milites, quotquot rex alebat, ille semper *ad militiæ munera* exercebat, et quocunque expeditionem facerent eos ducebat.

(III.) 4. Cum autem Herodes in eo esset, quem dixi, rerum statu, omnia spectabant ad Antipatrum, nec quæ vellet rata faciendi potestate carebat, concedente patre, bene sperante de ejus benevolentia et fide, et majorem in eis potestatem sibi vindicare ausus, quod patrem latebat ejus pequitia et verbis facile fidem impetrabat. Atque erat omnibus formidabilis, non tam propter potestatis magnitudinem quam propter versutam malitiam; maximeque eum colebat Pheroras, et ipse vicissim mirum in modum Pheroram, quem Antipater instructis in eum feminis callidissime irretiverat. Erat enim Pheroras uxori suæ et socrui obnoxius et *uxoris* sorori, quamvis eas perosus propter injurias filiabus suis virginibus illatas: sed tamen ferebat, neque quidquam sine his feminis facere poterat, quæ hominem illaqueaverant, et inter se omnibus in rebus, quibus mutuo adjuvarentur, fideles erant, adeo ut eis esset Antipater addictissimus, tum per se ipsum tum per matrem: eadem enim dicebant hæ quatuor feminæ. Sed exorta est inter Pheroram et Antipatrum dissensio ob nullius momenti causas. Eos quippe dissociabat regis soror, quæ jam pridem rem totam explorabat, et quum eorum concordiam Herodi detrimentosam esse sciret, eam indicare non detrectabat. Itaque illi, quum suam concordiam regi non placere cognoscerent, cogitarunt palam non convenire, sed mutua

ὥστε φανερὰν μὲν μὴ εἶναι τὴν πρὸς ἀλλήλους αὐτῶν σύνοδον, μίσους δὲ καὶ λοιδοριῶν οὐ καιρὸς προσποίησιν, καὶ μάλιστα Ἡρῴδου παρατυγχάνοντος ἢ εἴ τις πρὸς αὐτὸν ἀπαγγέλλειν ἔμελλεν, κρυπτῶς δὲ τὰ τῆς εὐνοίας ἐχυρώτερα καθίστασθαι. Καὶ ἔπρασσον οὕτως. Ἐλάνθανε δὲ τὴν Σαλώμην οὔτε πρῶτον ἡ διάνοια αὐτῶν ἐπὶ τοιοῖσδε ὡρμημένων οὔτε ἐπειδὴ τοῖσδε χρῆσθαι * οὐκ ἀπήλλακτο αὕτη, πάντα δὲ ἀνίχνευέ τε καὶ πρὸς τὸν ἀδελφὸν μειζόνως ἐκδηλοῦσα ἀπεσήμαινεν, συνόδους τε κρυπτὰς καὶ πότους, βουλευτήριά τε ἀφανῶς κατεσκευασμένα· ὧν μὴ ἐπ' ὀλέθρῳ τῷ ἐκείνου συντιθεμένων κἂν πεφανερῶσθαι μὴ κεκωλύσθαι· νῦν δὲ τοὺς μὲν ἐκ τοῦ προῦπτου διαφόρους καὶ τὰ πάντα ἐπὶ βλάβῃ τῇ ἀλλήλων λέγοντας, εἰς δὲ τὸ ἀφανὲς τοῖς πολλοῖς τὴν εὔνοιαν ἀνατιθεμένους, καὶ ὁπότε ἀλλήλοις συμμονωθεῖεν φίλια πράσσειν μὴ ἀπηλλαγμένους ὁμολογεῖν πολεμεῖν πρὸς οὓς λανθάνειν χρώμενοι εὐνοίᾳ τῇ ἀλλήλων ἐσπουδάκοιεν. Καὶ ἡ μὲν ταῦτα ἀνίχνευέ τε καὶ ἀκριβῶς συντυγχάνουσα τῷ ἀδελφῷ ἀνέφερε, συνιέντι μὲν ἤδη τὰ πολλὰ καὶ δι' ἑαυτοῦ, εἰς δὲ τὸ θαρσεῖν * * οὐ διὰ κενῆς ὑπονοιῶν καθισταμένων διαβολαῖς τῆς ἀδελφῆς. Καὶ ἦν γὰρ μόριόν τι Ἰουδαϊκῶν ἀνθρώπων ἐπ' ἐξακριβώσει μέγα φρονοῦν τοῦ πατρίου νόμου, χαίρειν τὸ θεῖον προσποιουμένων, οἷς ὑπῆκτο ἡ γυναικωνῖτις· Φαρισαῖοι καλοῦνται, βασιλεῦσι δυνάμενοι μάλιστα ἀντιπράσσειν, προμηθεῖς, κἀκ τοῦ προῦπτου εἰς τὸ πολεμεῖν τε καὶ βλάπτειν ἐπηρμένοι. Παντὸς γοῦν τοῦ Ἰουδαϊκοῦ βεβαιώσαντος δι' ὅρκων ἢ μὴν εὐνοῆσαι Καίσαρι καὶ τοῖς βασιλέως πράγμασι, οἵδε οἱ ἄνδρες οὐκ ὤμοσαν, ὄντες ὑπὲρ ἑξακισχίλιοι· καὶ αὐτοὺς βασιλέως ζημιώσαντος χρήμασιν, ἡ Φερώρα γυνὴ τὴν ζημίαν ὑπὲρ αὐτῶν εἰσφέρει. Οἱ δὲ ἀμειβόμενοι τὴν εὔνοιαν αὐτῆς (προγνωσιν δὲ ἐπεπίστευντο ἐπιφοιτήσει τοῦ Θεοῦ) προὔλεγον ὡς Ἡρῴδῃ μὲν καταπαύσεως ἀρχῆς ὑπὸ Θεοῦ ἐψηφισμένης αὐτῷ τε καὶ γένει τῷ ἀπ' αὐτοῦ, τῆς δὲ βασιλείας εἰς τε ἐκείνην περιηξούσης καὶ Φερώραν παῖδάς τε οἳ εἶεν αὐτοῖς. Καὶ τάδε (οὐ γὰρ ἐλάνθανε τὴν Σαλώμην) ἐξαγγελτὰ βασιλεῖ ἦν, καὶ ὅτι τῶν περὶ τὴν αὐλὴν διαφθείροιέν τινας· καὶ ὁ βασιλεὺς τῶν τε Φαρισαίων τοὺς αἰτιωτάτους ἀναιρεῖ καὶ Βαγώαν τὸν εὐνοῦχον Καρόν τε τῶν τότε προὔχοντα ἀρετῇ τοῦ εὐπρεποῦς καὶ παιδικὰ ὄντα αὐτοῦ. Κτείνει δὲ καὶ πᾶν ὅ τι τοῦ οἰκείου συνειστήκει οἷς ὁ Φαρισαῖος ἔλεγεν. Ἦρτο δὲ ὁ Βαγώας ὑπ' αὐτῶν, ὡς πατήρ τε καὶ εὐεργέτης ὀνομασθησόμενος τοῦ ἐπικατασταθησομένου προρρήσει βασιλέως· κατὰ χεῖρα γὰρ ἐκείνῳ τὰ πάντα εἶναι, παρέξοντος αὐτῷ γάμου τε ἰσχὺν καὶ τεκνώσεως παίδων γνησίων.

ΚΕΦ. Γ'.

Ἡρῴδης δὲ, κολάσας τῶν Φαρισαίων τοὺς ἐπὶ τοῖσδε ἐληλεγμένους, συνέδριόν τε ποιεῖται τῶν φίλων καὶ κατηγορίαν τῆς Φερώρα γυναικὸς, τήν τε ὕβριν τῶν παρθένων τῇ τόλμῃ τῆς γυναικὸς ἀνατιθεὶς καὶ ἔγκλημα

opportune odia et convicia simulare, præsertim præsente Herode, aut quopiam qui id ei dicturus esset : secreto tamen conjunctiores fore quam unquam antea : id quod faciebant. Salomen autem neque latebat quod primum de ejusmodi rebus instituerant, neque procul erat quum eadem exsequi cœpissent : sed omnia et pervestigabat, et fratri etiam *in deterius aucta renuncians indicabat* occultos congressus, et compotationes, et arcana consilia, quæ, inquit, nisi in perniciem illius struerentur, quominus palam fierent *nihil prohibuisse* : *nunc vero qui coram dissideant* et nihil non conviciorum jactent ad se invicem lædendos, ubi ex omnium oculis sese abstulere, benevolentiam profiteri, et quum secum versentur ab arbitris remoti, amicitiæ indulgere, non refugientes a conjuratione de illis oppugnandis, quibus mutuam benevolentiam occultam esse studuerunt. Et hæc *quidem illa perscrutabatur, fratrique*, quum ei adesset, accurate referebat, qui et ipse per se magnam jam partem sciebat, sed ad audendum *timidus erat*, quoniam *non de nihilo suspectos* habebat sermones sororis. Erat enim Judæorum quædam secta, qui legis accuratam cognitionem profitebantur et de ea ferociebant, se Deo caros esse simulantes, *quibus* addictæ erant *feminæ*. Ii Pharisæi vocantur, qui maxime regibus ausi sunt resistere, cauti, et ad aperte bellandum lædendumque prompti. Certe quum universa Judæorum natio *jurasset* se Cæsaris *regisque* rebus fauturos esse, ii non jurarunt, quum essent supra sex millia : quumque eos rex mulctasset, Pheroræ conjux mulctam pro eis solvit. Pro quo beneficio ut ei *gratiam referrent*, (credebantur enim futura scire ex afflatu divino,) fore prædixerunt ut Herodes ejusque progenies Dei decreto imperium amittat, idque ad ipsam et ad Pheroram *ipsorumque* liberos deferatur. Atque hæc regi (nam Salomen non fugiebant) nunciata erant, et aulicorum nonnullos ab eis corruptos esse : quamobrem rex et Pharisæorum *nocentissimos* interficit, et Bagoam spadonem, et Carum quendam regis pusionem, eo tempore pulcritudinis primas tenentem. Necavit etiam ex sua familia omnes, qui cum Pharisæorum dictis consenserant. Fuerat autem per eos elatus Bagoas, quod dicerent eum patrem beneficumque appellatum iri ejus qui ex eorum prædictione creandus rex esset : habiturum enim eum regem omnium rerum potestatem, et Bagoæ vires conciliaturum eum muliere congrediendi, propriosque liberos gignendi.

CAP. III.

Igitur Herodes, sumpto de Pharisæis convictis supplicio, convocat amicos, uxoremque Pheroræ accusat, et injurias virginibus illatas hujus feminæ audaciæ imputans, et de hac sibi facta contumelia actionem constituens, « utpote quod

ταύτην ἀτιμίαν αὐτῷ ποιούμενος, « ὥστε ἀγωνοθετεῖν στάσιν αὐτῷ πρὸς τὸν ἀδελφὸν καὶ πόλεμον ἐκ φύσεως αὐτοῖς καὶ λόγῳ καὶ δι' ἔργων ὅσα δύναιτο, τήν τε διάλυσιν τῆς ζημίας τῆς ὑπ' αὐτοῦ ἐπιβληθείσης τέλεσι διαφευχθῆναι τοῖς ἐκείνης, τῶν τε νῦν πεπραγμένων οὐδὲν ὅ τι οὐ μετ' αὐτῆς. Ἀνθ' ὧν Φερώρᾳ καλῶς ἔχειν, οὐδὲ δεήσει γνωμῶν εἰσηγήσεως τῶν ἐμῶν, αὐτοκέλευστον ἀποπέμπεσθαι γυναῖκα ταύτην, ὡς πολέμου τοῦ πρός με σοὶ αἰτίαν ἐσομένην, καὶ νῦν, εἴπερ ἀντιποιῇ συγγενείας τῆς ἐμῆς, ἀπείπεσθαι τήνδε τὴν γαμετήν. Μενεῖς γὰρ οὕτως ἀδελφός τε ἐμὸς καὶ στέργειν οὐκ ἀπηλλαγμένος. » Φερώρας δέ, καίπερ λόγων ἀρετῇ περιωθούμενος, οὔτε συγγενείας τῆς πρὸς τὸν ἀδελφὸν ἔλεγε κινήσειν δίκαιον οὐδὲν οὔτε τῶν πρὸς τὴν γαμετὴν εὐνοιῶν, αἱρεῖσθαί τε πρότερον θανεῖν ἢ ζῶν τολμᾶν ἀπαστερῆσθαι γυναικὸς αὐτῷ κεχαρισμένης. Ἡρῴδης δὲ Φερώρᾳ μὲν ὑπερεβάλλετο τὴν ἐπὶ τούτοις ὀργήν, καίπερ ἀνήδονον τιμωρίαν εἰσπεπραγμένος, Ἀντιπάτρῳ τε ἀπεῖπε καὶ μητρὶ τῇ ἐκείνου Φερώρᾳ τε μὴ ὁμιλεῖν καὶ τῶν γυναικῶν φυλάσσεσθαι, τὸ εἰς ταὐτὸν συνεσόμενον. Οἱ δ' ὡμολόγουν μέν, συνῆσαν δὲ ἥ καιρὸς, καὶ συνεκώμαζον Φερώρας καὶ Ἀντίπατρος Ἔφοιτα δὲ ὁ λόγος, ὁμιλεῖν καὶ Ἀντιπάτρῳ τὴν Φερώρα γυναῖκα, συμπρασσούσης αὐτοῖς τὰ εἰς τὴν σύνοδον τῆς Ἀντιπάτρου μητρός.

(Δ'.) β'. Ὑφορώμενος δὲ τὸν πατέρα καὶ δεδιὼς μὴ εἰς πλεῖον προχωροίη τὰ τοῦ μίσους ἐπ' αὐτῷ, γράφει πρὸς τοὺς ἐν τῇ Ῥώμῃ φίλους, κελεύων ἐπιστέλλειν Ἡρῴδῃ πέμπειν ἥ τάχος Ἀντίπατρον ὡς Καίσαρα. Οὗ γενομένου, ἔπεμπεν Ἡρῴδης Ἀντίπατρον, δῶρα συνεκπέμψας ἀξιολογώτατα, καὶ διαθήκην ἐν ᾗ μετ' αὐτὸν Ἀντίπατρον ἀπεδείκνυε βασιλέα, φθάσαντος δὲ τελευτᾶν, Ἡρῴδην, τὸν ἐκ τῆς τοῦ ἀρχιερέως θυγατρὸς υἱὸν αὐτῷ γεγεννημένον. Συνεξορμᾷ δ' Ἀντιπάτρῳ καὶ Συλλαῖος ὁ Ἄραψ, μηδὲν ὧν πρσέταξε Καῖσαρ διαπεπραγμένος· καὶ Ἀντίπατρος αὐτοῦ κατηγορεῖ ἐπὶ Καίσαρος περὶ ὧν πρότερον Νικόλαος. Κατηγορεῖτο δὲ καὶ ὑπὸ Ἀρέτα Συλλαῖος ὡς πολλοὺς ἀπεκτονὼς ἐν Πέτρᾳ ἀξιολόγων παρὰ γνώμην τὴν αὐτοῦ, καὶ μάλιστα Σόεμον, ἄνδρα τῇ εἰς πάντα ἀρετῇ τιμᾶσθαι δικαιότατον, ἀνῃρηκέναι δὲ καὶ Φάβατον Καίσαρος δοῦλον. Καὶ Συλλαῖος αἰτίαν εἶχεν ἐκ τοιῶνδε ἐγκλημάτων. Κόρινθος ἦν Ἡρῴδου σωματοφύλαξ τοῦ βασιλέως μάλιστα πιστευόμενος ὑπ' αὐτοῦ. Τοῦτον πείθει Συλλαῖος ἐπὶ χρήμασι μεγάλοις Ἡρῴδην ἀποκτεῖναι, καὶ ὑπέσχετο. Μαθὼν οὖν Φάβατος, Συλλαίου πρὸς αὐτὸν εἰρηκότος, διηγεῖται πρὸς τὸν βασιλέα· ὁ δὲ Κόρινθον βασανίζει συλλαβών, καὶ πάντα ἀνάπυστα ἦν αὐτῷ. Συλλαμβάνει δὲ καὶ δύο ἑτέρους Ἄραβας καταγορεύσει τῇ Κορίνθου πειθόμενος, τὸν μὲν φύλαρχον ὄντα, τὸν δὲ Συλλαίου φίλον· οἳ καὶ αὐτοὶ (βασανίζει γὰρ αὐτοὺς ὁ βασιλεὺς) ὡμολόγουν ὅτι παρεῖεν ἐξοτρύνοντες μὴ μαλακίζεσθαι Κόρινθον, καὶ εἴ που δεήσειε καὶ συγχειfaceret dissidium inter ipsum et fratrem, et ex ingenio hostilitatem inter ipsos, quoad posset, tam factis quam verbis excitaret, ejusque impendiis evitata esset solutio mulctæ ab ipso impositæ, nihilque jam sine illa ageretur. Recte igitur facturum Pheroram, si nec precibus nec admonitionibus meis impulsus, sed sponte sua hanc mulierem dimitteret, ut quæ nos in mutuas inimicitias conjectura sit : et nunc, si fraternam necessitudinem tibi vindices, oportet missam facias hanc uxorem. Sic enim frater mihi germanus eris, et amore conjunctus. » Pheroras autem, licet verborum vi moveretur, dicebat tamen se neque ejus fratrem esse desiturum, neque fore ut uxorem suam non amaret; morique malle quam amissa uxore dilecta vivere. Tum quidem Herodes suam ob ista in Pheroram iram distulit, gravi licet contumelia affectus : Antipatroque et ejus matri interdixit ne cum Pherora colloquerentur, utque daret operam Antipater ne feminæ convenirent : id quod illi quidem promiserunt, sed nihilo minus conveniebant interdum, simulque convivia agitabant Pheroras et Antipater. Quin etiam rumor erat, habere Antipatrum cum Pheroræ uxore consuetudinem, Antipatri matre lenocinante.

(IV.) 2. Patrem autem suspectum habens *Antipater* et ne ejus in se odium longius progrederetur metuens, scripsit ad amicos suos Romæ degentes, Herodi significare jubens ut Antipatrum primo quoque tempore mitteret ad Cæsarem : id quod Herodes fecit, et Antipatrum magnis cum muneribus misit, necnon testamentum suum, in quo statuebat ut post mortem suam regnaret Antipater, sin vero prius moreretur, filius suus Herodes, quem habebat ex filia pontificis. Eodem autem tempore quo Antipater profectus est etiam Syllæus Arabs, quum nihil eorum præstitisset quæ Cæsar imperarat : eumque postulavit apud Cæsarem Antipater eorundem criminum, quorum ante fuerat postulatus a Nicolao. Etiam Aretas eum insimulabat interfectorum Petræ, injussu suo, multorum, et quidem primariorum virorum, et potissimum Soemi, ob suam in omnibus virtutem honore dignissimi, insuper et necis Fabati Cæsaris servi. Et in Syllæum instituta erat accusatio ex hujusmodi causa. Habebat Herodes rex satellitem nomine Corinthum, cui summopere fidebat. Huic suasit Syllæus grandi pecunia ut Herodem occideret : id quod ille suscepit. Hoc ubi ipsius Syllæi indicio rescivit Fabatus, regi significavit : is vero Corinthum comprehendi jussit, et ab eo quæstione totius criminis confessionem expressit. Curavit etiam comprehendendos alios Arabas duos, fidem habens Corinthi indicio, quorum alter tribus præfectus, alter Syllæi amicus erat : qui et ipsi, quæstionem de eis habente rege, confessi sunt sese venisse ut Corinthum adhortarentur ne animo defice-

ρουργήσοντες αὐτῷ τὸν φόνον. Καὶ Σατουρνῖνος, δηλώσεως αὐτῷ πάντων ὑπὸ Ἡρώδου γενομένης, εἰς Ῥώμην ἐξέπεμψεν αὐτούς.

(Ε'.) γ'. Φερώραν δὲ, ἰσχυρῶς ἐμμένοντα εὐνοίᾳ τῆς γυναικὸς, ἀναχωρεῖν εἰς τὴν αὐτοῦ Ἡρώδης κελεύει. Ὁ δὲ ἀσμένως ἐπὶ τὴν τετραρχίαν ἀπῆρεν, πολλὰ ὀμόσας οὐ πρότερον ἥξειν ἢ πύθοιτο Ἡρώδην τετελευτηκότα· ὥστε καὶ νοσήσαντος τοῦ βασιλέως ἀξιωθεὶς ἥκειν ἐπί τινων πιστεύσεσιν ἐντολῶν, πρὶν ἢ μέλλοι τελευτᾶν, οὐχ ὑπήκουσεν ἐπὶ τῇ τιμῇ τοῦ ὅρκου. Οὐ μὴν Ἡρώδης γε μιμεῖται τὴν ἐπὶ τοιοῖσδε ἐκείνου γνώμην, προαφῃρημένος ἣν ἔχει, ἀλλ' ἧκεν ὡς τὸν Φερώραν, ἐπειδὴ ὕστερον ἄρχεται νοσεῖν, καὶ μεταπεμψάμενος αὐτῷ μὴ γενομένης. Θανόντα δὲ περιστείλας ἐπὶ Ἱεροσολύμων ἀγόμενος ταφῆς ἠξίου, καὶ πένθος μέγα ἐπ' αὐτῷ προέθετο. Τοῦτο Ἀντιπάτρῳ καίτοι γε ἐπὶ Ῥώμης πεπλευκότι κακῶν ἐγένετο ἀρχὴ, τῆς ἀδελφοκτονίας αὐτὸν τινυμένου τοῦ Θεοῦ. Διηγήσομαι δὲ τὸν πάντα περὶ αὐτοῦ λόγον, παράδειγμα τῷ ἀνθρωπίνῳ γένει ἐσόμενον τοῦ ἀρετῇ πολιτεύεσθαι ἐπὶ πᾶσιν.

ΚΕΦ. Δ'.

Ἐπειδὴ Φερώρας τελευτᾷ, ταφαί τε ἐγεγόνεισαν αὐτῷ, ἀπελεύθεροι δύο τῶν Φερώρα τιμίων, προσελθόντες Ἡρώδῃ, ἠξίουν μὴ ἀνεκδίκητον καταλιπεῖν τοῦ ἀδελφοῦ τὸν νεκρὸν, ἀλλὰ ζήτησιν ποιεῖσθαι τῆς ἀλόγου τε καὶ δυστυχοῦς μεταστάσεως. Τοῦ δ' ἐπιστραφέντος τοῖς λόγοις (πιστὰ γὰρ ἐδόκει) δειπνῆσαι μὲν αὐτὸν ἔλεγον παρὰ τῇ γυναικὶ τῇ προτέρᾳ τῆς νόσου, φάρμακόν τε προσκομισθὲν ἐν βρώματι μὴ πρότερον εἰωθότι ἐμφαγόντα ὑπὸ τούτου τελευτῆσαι· κομιστὸν μέντοι γενέσθαι τὸ φάρμακον ὑπὸ γυναικὸς ἐκ τῆς Ἀραβίας, λόγῳ μὲν ἐπὶ προσποίησιν ἐρώτων, (φίλτρον γὰρ δὴ ὄνομα αὐτῷ εἶναι,) τὸ δ' ἀληθὲς ἐπὶ τῇ Φερώρα τελευτῇ. Φαρμακιστόταται δέ εἰσι γυναικῶν αἱ ἐκ τῆς Ἀραβίας· ᾗ δὲ ταῦτα ἐπεκάλουν, [καὶ] τῆς Συλλαίου ἐρωμένης ἐν ταῖς μάλιστα ὁμολόγητο εἶναι φίλη. Πείσουσαί τε αὐτὴν ἐπὶ πράσει τοῦ φαρμάκου, εἰς τοὺς τόπους ἐληλύθεισαν ἥ τε μήτηρ τῆς Φερώρα γυναικὸς καὶ ἡ ἀδελφὴ, καὶ ἐπανῆκον αὐτὴν ἀγόμεναι τοῦ δείπνου πρότερον ἡμέρᾳ μιᾷ. Ὑπὸ τούτων ὁ βασιλεὺς τῶν λόγων παροξυνθεὶς δούλας τε ἐβασάνιζε τῶν γυναικῶν καί τινας ἐλευθέρας, καὶ ὄντος ἀφανοῦς τοῦ πράγματος, διὰ τὸ μηδεμίαν ἐξειπεῖν, τελευταία τις, περιουσῶν αὐτῆς τῶν ἀλγηδόνων, ἄλλο μὲν ἔφη οὐδὲν, Θεὸν δὲ ἐπικαλεῖσθαι τοιαῖσδε αἰκίαις δώσειν περιβαλεῖν τὴν Ἀντιπάτρου μητέρα, κακῶν τῶν ἐπεχόντων αἰτίαν πᾶσι γενομένην. Ταῦτα εἰς ἐπίστασιν Ἡρώδην ἄγει, καὶ τὰ πάντα βασάνοις τῶν γυναικῶν ἀνάπυστα ἦν, οἵ τε κῶμοι καὶ αἱ κρυπταὶ σύνοδοι, καὶ δὴ καὶ λόγων πρὸς μόνον τὸν υἱὸν εἰρημένων ἐξοίσεις πρὸς τὰς Φερώρα γυναῖκας, (ἦν δὲ ταλάντων ἑκατὸν δωρεὰν ἐπικρύπτεσθαι ἐπὶ τῷ μὴ φράζειν πρὸς Φερώραν τῷ Ἀντιπάτρῳ κέλευσις ὑπὸ τοῦ πατρός,) μῖσός τε πρὸς τὸν πατέρα, καὶ ὀλο-

ret, promittentes, si res postularet, ei operam suam ad eam cædem perpetrandam. Hæc omnia quum exposuisset Herodes Saturnino, misit eos Romam Saturninus.

(V.) 3. Pheroram autem, in conjugis amore obstinate perseverantem, jussit Herodes in suam regionem discedere. Ille vero, quum multa jurasset non se prius rediturum quam Herodem obiisse intelligeret, libenter in suam tetrarchiam se recepit: adeo ut quum rex ægrotans eum orandum curasset ut ad se veniret, quod ei quasi moriturus vellet aliquid coram mandare, noluit propter jurisjurandi religionem. Non tamen in istis eodem animo se erga fratrem gessit Herodes, suam jam ante mutando sententiam · sed posteaquam Pheroras ægrotare cœperat, etiam non vocatus, ad eum visendum ibat. Quumque mortuum in feretro reponendum curasset, Hierosolyma deportatum sepultura dignatus est, luctuque magno prosequendum edixit. Ea res Antipatro, quamvis Romam profecto, malorum fuit initium, Deo tandem reposcente ab eo fratricidii pœnas. Totam autem de eo narrationem persequar, ut in posterum hominum generi documento sit in omni vitæ instituto adhibendam esse virtutem.

CAP. IV. (VI.)

Post obitum Pheroræ solutasque ei exsequias, duo Pheroræ liberti, quos habuerat in pretio, Herodem adierunt, rogantes ne fratris necem inultam relinqueret, sed de eo ita misere et infeliciter mortuo quæstionem haberet. His verbis auscultante rege (videbantur enim vera esse) dicebant illum, pridie quam ægrotasset, cœnavisse domi uxoris suæ, comesoque pharmaco, quod ei in ferculo insolito appositum fuisset, inde interiisse, idque pharmacum allatum fuisse a quadam muliere Arabica, nomine quidem amatorii, (philtrum enim appellari,) sed re ipsa ad Pheroram tollendum. Sunt autem Arabicæ mulieres veneficæ maximæ: et quæ tum insimulabatur, eam constabat amicæ Syllæi esse amicissimam; eique persuasuræ ut pharmacum venderet, eo loci profectæ erant mater et soror uxoris Pheroræ, et in reditu secum illam adduxerant, uno die ante istam cœnam. His verbis incensus rex, feminarum servas torsit et nonnullas liberas: quumque nihil appareret, quod nulla earum quidquam confiteretur, tandem una victa doloribus nihil aliud dixit, nisi se Deum precari ut talibus implicaret cruciatibus matrem Antipatri, quæ illorum omnium malorum causa esset. Ista adverterunt Herodem, quo factum est ut omnia mulieres torquendo cognita haberet, convivia, clandestinos conventus, atque etiam verba quædam Pheroræ mulieribus enunciata, quæ ipse soli dixerat Antipatro, (erant autem quæ pater Antipatro in mandatis dederat, ut celaret centum talentorum donum, ne cum Pherora colloquia misceret,) odiumque Antipatri in patrem, et apud matrem querimonias de tam longa vita,

φυρμοὶ πρὸς τὴν μητέρα, ὡς ἐπὶ μήκιστον τοῦ πατρὸς βίου ἐξηγμένου, καὶ αὐτῷ μηδὲν ἐλάσσονος τοῦ γήρως ἐπικειμένου, ὡς μηδ' ἂν ἐλθοῦσαν τὴν βασιλείαν ὁμοίως εὐφρᾶναί ποτ' αὐτόν. Παρατρέφεσθαί τε πολλοὺς ἐπὶ τῇ βασιλείᾳ καὶ ἀδελφοὺς καὶ ἀδελφῶν παῖδας, οὐδαμῶς ἀδεῆ τὴν ἐλπίδα παρεχομένους τἀσφαλοῦς· καὶ γὰρ δὴ καὶ νῦν, εἴ τι πάσχειν αὐτὸν συμβαίη, ἀδελφῷ μᾶλλον ἢ παιδὶ τῷ αὐτοῦ κελεύειν τὴν ἀρχὴν δίδοσθαι. Ὠμότητά τε πολλὴν κατηγόρει τοῦ βασιλέως, καὶ τὰς σφαγὰς τῶν υἱέων, φόβῳ τε μὴ καὶ αὐτῶν ἅπτοιτο ἤδη, τὸν μὲν ἐπὶ Ῥώμης ἆρασθαι τέχνην ἐπινοῆσαι, Φερώραν δ' ἐπὶ τῆς αὑτοῦ τετραρχίας.

β'. Ταῦτα δὲ συνῆδε τοῖς λόγοις τῆς ἀδελφῆς καὶ πολὺ τοῦ μὴ ἀπιστίαν ἔτι ὑποπτεύεσθαι συνῆρεν αὐταῖς. Ὁ δὲ βασιλεὺς, κρατυνάμενος ἐπὶ κακίᾳ τοῦ Ἀντιπάτρου τὴν Δωρίδα τὴν μητέρα αὐτοῦ, πάντα τὸν περὶ αὐτὴν κόσμον καταλάντων πολλῶν ὄντα ἀφελόμενος, ἔπειτα αὐτὴν ἀποπέμπεται, καὶ ταῖς Φερώρα γυναιξὶν φιλίαν ἐσπείσατο. Μάλιστα δὲ ἐξώτρυνεν εἰς ὀργὴν κατὰ τοῦ παιδὸς τὸν βασιλέα Σαμαρείτης ἀνὴρ Ἀντίπατρος, ἐπιτροπεύων τὸν υἱὸν τοῦ βασιλέως Ἀντίπατρον, ἄλλα τε αὐτοῦ ἐν ταῖς βασάνοις κατειπὼν καὶ ὅτι παρασκευασάμενος φάρμακον θανάσιμον δοίη Φερώρᾳ, κελεύσας παρὰ τὴν ἀποδημίαν αὐτοῦ, ἵν' ὡς πλεῖστον ἀφεστήκοι τῶν ἐν τούτοις ὑποτοπασμῶν, τῷ πατρὶ δοῦναι· καὶ κομίσαι μὲν Ἀντίφιλον ἐξ Αἰγύπτου τὸ φάρμακον, ἕνα τῶν Ἀντιπάτρου φίλων, σταλῆναι δὲ ὡς Φερώραν διὰ Θευδίωνος ἀδελφοῦ τῆς μητρὸς Ἀντιπάτρου τοῦ βασιλέως παιδὸς, καὶ οὕτως ἐλθεῖν τὸ φάρμακον εἰς τὴν γυναῖκα τὴν Φερώρα, δόντος φυλάξειν τοῦ ἀνδρὸς αὐτῆς. Ἡ δὲ ὡμολόγει μὲν ἀνακρίναντος τοῦ βασιλέως, καὶ δραμοῦσα ὡς κομίσειε, ῥίπτει κατὰ τέγους αὐτὴν, οὐ μὴν τελευτᾷ, ἐπὶ πόδας τῆς πτώσεως γενομένης. Καὶ οὕτως ἐπεὶ ἀνεκτήσατο αὐτὴν, ἄδειάν τε αὐτῇ ὑπισχνούμενος καὶ τοῖς οἰκείοις μηδὲν ἐπ' ἀφανισμῷ τἀληθοῦς τρεπομένῃ, τρίψειν γε μὴν κακοῖς τοῖς ὑστάτοις ἀγνωμονεῖν προθεμένην, ὑπισχνεῖται καὶ ὤμοσεν ἢ μὴν ἐρεῖν τὰ πάντα ὃν ἐπράχθη τρόπον, λέγουσα μὲν, ὡς ἔφασαν οἱ πολλοὶ τῶν ἀνθρώπων, ἀληθῆ τὰ πάντα. « Ἐκομίσθη γὰρ ἐκ τῆς Αἰγύπτου τὰ φάρμακον ὑπ' « Ἀντιφίλου, ἀδελφός τε ἐκείνῳ ἰατρὸς ὢν ἐπόρισε· καὶ « Θευδίωνος ὡς ἡμᾶς κομίσαντος, ἐφύλασσον αὐτὴ, « παρὰ Φερώρα λαβοῦσα ἐπὶ σὲ ὑπ' Ἀντιπάτρου ἡτοι- « μασμένον. Ἐπεὶ οὖν ἐνόσει Φερώρας, καὶ ἐθερά- « πευες αὐτὸν ἀφικόμενος, ὁρῶν σου τὴν εὔνοιαν ἥ « περὶ αὐτὸν ἔχρῃ, ἐπεκλάσθη τε τῇ διανοίᾳ, καὶ με- « ταπαλέσας με, ὦ γύναι, φησὶ, περιώδευσέ με Ἀντί- « πατρος ἐπὶ πατρὶ μὲν τῷ ἑαυτοῦ, ἀδελφῷ δὲ τῷ ἐμῷ, « θανάσιμόν τε γνώμην συνθεὶς καὶ φάρμακον ᾧ δια- « κονήσει αὐτῇ πεπορισμένος. Νῦν οὖν, ἐπειδὴ δ τε « ἀδελφὸς οὐδὲν ἀρετῇ ἧ πρότερον ἐχρῆτο περὶ ἐμοῦ « ὑφαιρῶν ὤπται, ἐμέ τε ἐλπὶς οὐκ εἰς μακρὰν ἀπέ- « σεσθαι τοῦ βίου, φέρε, μὴ γνώμῃ ἀδελφοκτόνῳ ἀπο- « τισαίμην προπάτορας τοὺς ἐμαυτοῦ, τὸ φάρμακον

dum interim etiam ipse consenesceret, ut, etiamsi regnum adipisceretur, nunquam eo pariter delectaretur. Esse etiam multos tum fratres tum fratrum filios, qui una secum in spem regni nutrirentur, quæ res spes sibi dubias redderet, quandoquidem jam nunc, si quid fatale sibi accidisset, fratrem suum, non filium, ab Herode regem constitui. Conquerebatur etiam de atroci regis crudelitate, et filiorum cæde; quorum malorum metu ipse sibi Romam proficiscendum prudenter excogitasset, Pheroras autem in suam tetrarchiam.

2. Conveniebant autem hæc cum sororis suæ dictis, multumque, ad elevandam perfidiæ suspicionem, feminas adjuvabant. Rex vero, quum in Antipatri malitia deprehendisset Doridem matrem illius, ubi omni ornatu, qui erat multorum talentorum, eam spoliaverat, postea dimittit, et cum feminis Pheroræ amicitiæ fœdus iniit. Maxime autem regem in filium ejus exacerbavit Samaritanus quidam Antipater, ipsius Antipatri regis filii procurator, qui inter cruciatus dixit et alia, et hæc inprimis : paratum ab Antipatro mortiferum venenum, quod Pheroræ dedisset, eique mandasset ut quum peregre profectus esset, ne in minimam rei hujusmodi suspicionem veniret, id patri porrigeret, allatumque fuisse id venenum ex Ægypto per Antiphilum, unum de amicis Antipatri, missum inde ad Pheroram a Theudione fratre matris Antipatri regis filii, atque ita pervenisse ad uxorem Pheroræ, cui servandum Pheroras tradidisset. Illa vero quum rex eam interrogasset, id quod erat confessa est; et quum quasi venenum petitum se foras proripuisset, se ipsam de tecto præcipitat, sed in pedes delapsa non interiit. Atque ita, posteaquam ipsam recreasset, eique et omnibus domesticis veniam promittendo, dummodo nihil de veritate celaret, porroque extremos cruciatus minando, si obstinate aliquid reticere decrevisset, pollicetur, juravitque sese rem omnem uti gesta esset dicturam, id quod fecit, nihil nisi verum, ut plerique dixerunt, proferens. « Apportatum est venenum, inquit, ex Ægypto « per Antiphilum, qui id sui fratris medici opera ha- « buerat : quumque Theudio illud ad nos pertulisset, « ipsa servavi acceptum a Pherora, paratum ab Anti- « patro adversum te. Igitur quum Pheroras ægrotaret, « et tu ad eum curandum venisses, ille, animadversa tua « in se benevolentia, fractus animo me evocat, et, o uxor, « inquit, circumvenit Antipater me, dum in suum ipsius « patrem eundemque meum fratrem consilia capit morti- « fera, et quod iis subserviat venenum comparat. Nunc « igitur, quandoquidem frater meus facile ostendit nihil « se de pristina sua erga me virtute diminuere, et ego non « diu superstitem fore me spero, age, ne parricidali animo « majores meos impiem, affer venenum, et spectante me

« καῖέ τε ἐμοῦ βλέποντος, κομίσασάν τε οὐδὲν εἰς ἀνα-
« βολὰς πράσσειν τοῦ ἀνδρὸς τὰς ἐντολάς· καὶ τὸ μὲν
« πλεῖστον καύσασαν τοῦ φαρμάκου τυχεῖν, ὑπολείπε-
« σθαι δὲ ὀλίγον, ἵνα, εἰ Φερώρα μεταστάντος περιέ-
« ποι κακῶς αὐτὴν ὁ βασιλεὺς, μεθίσταιτο διάδρασιν
« ποιουμένη τῶν ἀναγκῶν. » Ταῦτα εἰποῦσα τό τε φάρ-
μακον καὶ τὴν πυξίδα εἰς τὸ μέσον παρῆγεν. Καὶ
ἀδελφὸς δὲ Ἀντιφίλου ἕτερος καὶ μήτηρ αὐτοῦ, ἀνάγ-
καις τε καὶ βασάνων σφοδρότητι, ταὐτὰ ἔλεγον καὶ
ἐγνώριζον τὴν πυξίδα. Κατηγορεῖτο δὲ καὶ τοῦ ἀρ-
χιερέως ἡ θυγάτηρ, γυνὴ δὲ τοῦ βασιλέως, ὡς πάντων
τούτων ἴστωρ γενομένη, κρύπτειν τε προθυμηθεῖσα
αὐτά. Καὶ διὰ τάδε Ἡρώδης ἐκείνην τε ἐξέβαλε καὶ
τὸν υἱὸν αὐτῆς ἐξήλειψε τῶν διαθηκῶν, εἰς τὸ βασι-
λεῦσαι μεμνημένων ἐκείνου· καὶ τὸν πενθερὸν τὴν ἀρ-
χιερωσύνην ἀφεῖλετο Σίμωνα τὸν τοῦ Βοηθοῦ, καθίστη
δὲ Ματθίαν τὸν Θεοφίλου, Ἱεροσολυμίτην γένει.

γ'. Ἐν τούτῳ δὲ καὶ Βάθυλλος ἐκ Ῥώμης ἀπελεύ-
θερος Ἀντιπάτρου παρῆν, καὶ βασανισθεὶς εὑρίσκεται
φάρμακον κομίζων, δώσειν τῇ τε αὐτοῦ μητρὶ καὶ Φε-
ρώρᾳ, ὡς εἰ τὸ πρότερον μὴ ἅπτοιτο τοῦ βασιλέως,
τούτῳ γοῦν μεταχειρίζοιντο αὐτόν. Ἀφίκετο δὲ γράμ-
ματα παρὰ τῶν ἐν Ῥώμῃ φίλων τῷ Ἡρώδῃ, γνώμῃ
καὶ ὑπαγορεύσει Ἀντιπάτρου, ἐπὶ κατηγορίᾳ Ἀρχελάου
καὶ Φιλίππου συγκείμενα· ὡς δῆθεν διαβάλλοιέν τε
τὸν πατέρα ἐπὶ σφαγῇ τῶν περὶ Ἀριστόβουλον καὶ
Ἀλέξανδρον, δι' οἴκτου δὲ καὶ αὐτοὺς λαμβάνοιεν· ἤδη
γὰρ καὶ ἐκαλοῦντο ὑπὸ τοῦ πατρὸς, οὐχ ὡς ἐφ' ἑτέροις,
ἀλλ' ἐπὶ τῷ κἀκείνους προσαπολωλέναι τῆς κλήσεως
αὐτῶν γινομένης. Ταῦτα δὲ μεγάλων μισθῶν οἱ φίλοι τῷ
Ἀντιπάτρῳ συνέπρασσον. Γράφει δὲ καὶ αὐτὸς Ἀντίπα-
τρος τῷ πατρὶ περὶ αὐτῶν ἐπὶ μείζοσι τῶν αἰτιῶν,
καὶ παντελῶς ἀπαλλάσσει φάσκων αὐτὰ μειράκια, τῶν
δὲ λόγων τῇ ἡλικίᾳ τὴν ἀνάθεσιν ποιούμενος. Αὐτὸς
δὲ, δι' ὧν τὰ περὶ Συλλαῖον ἠγωνίζετο, καὶ περὶ θε-
ραπείαν τῶν πρώτων ἀνδρῶν ἐγεγόνει, κόσμους τε
ἀξιοπρεπεῖς ταλάντων ἐώνητο διακοσίων. Θαυμάσειε
δ' ἄν τις ὅτι τοσῶνδε ἐν Ἰουδαίᾳ κατ' αὐτοῦ κεκινη-
μένων μηνὶ πρότερον ἑπτὰ, οὐδὲν αὐτῷ δῆλον γένοιτο.
Αἴτιον δ' ἦν ἥ τε ἀκρίβεια καὶ φυλακὴ τῶν ὁδῶν καὶ
μῖσος τῶν ἀνθρώπων τὸ πρὸς Ἀντίπατρον· οὐδεὶς γὰρ ἦν
ὃς προθύμως κινδύνῳ τῷ αὐτοῦ παριστὴς τῶν ἐκείνου
ἀσφαλειῶν καθίστατο.

ΚΕΦ. Ε'.

Ἡρώδης δὲ, Ἀντιπάτρου γεγραφότος πρὸς αὐτὸν
ὡς τὰ πάντα ὃν χρὴ διαπεπραγμένος τρόπον ἥξει ἐν
τάχει, ἐπικρυψάμενος τὴν ὀργὴν ἀντεπετίθει, κελεύων
μὴ βραδύνειν εἰς τὴν ὁδὸν, μὴ καί τι πάσχοι παρὰ τὴν
ἐκδημίαν αὐτοῦ· καὶ ἅμα τῆς μητρὸς κατηγοραῖν ὡς
ὀλίγον, καταθήσεσθαι μέμψεις ἐπαγγελλόμενος τὰς πρὸς
αὐτὴν, ὁπότε ἐκεῖνος ἀφίκοιτο. Παντί τε τρόπῳ φι-
λότητα τὴν πρὸς αὐτὸν ἐνεδείκνυτο, δεδιὼς μὴ καί τι
ὑποτοπήσας ὑπερβάλλοιτο μὲν ὁδοὺς τὰς πρὸς αὐτὸν,

« combure; seque, quum illud attulisset, sine cunctatione
« viri mandatis obsequutam esse, maximaque pharmaci
« parte in ignem conjecta, parum sibi reservasse, ut si
« post obitum Pheroræ inclementius ipsam tractaret rex,
« vita decederet *patiendi* necessitatem effugiens. » His
dictis pyxidem cum veneno in medium protulit. Etiam
alter Antiphili frater et mater ejus, tormentorum vehementia compulsi, eadem fatebantur, et pyxidem agnoscebant. Insuper et pontificis filia, eademque regis uxor, accusata est ut quæ hæc omnia scivisset et celare voluisset. Hanc ob causam repudiavit eam Herodes, ejusque filium de testamento suo expunxit, quod ejus, ut qui regnaturus esset, meminerit: socerum quoque suum Simonem Boethi filium pontificatu abdicavit, et eum honorem ad Matthiam Theophili filium, natu Hierosolymitanum, detulit.

3. Dum hæc fiunt, venit Roma Bathyllus Antipatri libertus: et, quæstione habita, deprehensus est venenum afferre, quod Antipatri matri et Pheroræ traderet, ut si prius in regem vires non habuisset, illo eum tollerent. Venerunt et Roma literæ ab Herodis amicis, consilio et rogatu Antipatri, in quibus insimulabantur Archelaus et Philippus, quasi patrem ob interemptos Alexandrum et Aristobulum vituperassent, eorumque miserescerent: seque jam a patre non aliam ob causam accersi dicerent (nam arcessebantur) quam ut evocati ab eo similiter necarentur. Obtinueratque ab amicis Antipater magnis largitionibus, ut sibi ad hæc operam commodarent. Quin etiam ipse Antipater de illis ad patrem scripsit, atrocibus eos onerans criminibus, et eos omnino excusat, puerulos esse dicens, eorumque verba ætati imputans. Ipse interim decertabat contra Syllæum, et colendis primoribus incumbebat, comparatis splendidis ornamentis *ducentorum talentorum pretio*. *Mirum autem* alicui videatur quod septimum jam mensem tam multa adversus eum moverentur in Judæa, quorum ipse omnium ignarus esset. Verum in causa erat diligens itinerum custodia, atque hominum in Antipatrum odium: nemo enim erat qui suo periculo libenter vellet illius incolumitati consulere.

CAP. V. (VII.)

Herodes vero, quum ei scripsisset Antipater, sese brevi omnibus rite confectis venturum, rescripsit, ira dissimulata, jubens ne diu moraretur in itinere, ne quid sibi eo absente incommodi accideret: simulque leviter conquerebatur de ejus matre, promittens sese, postquam ille venisset, querelas adversus illam missum facturum; atque modis omnibus amorem in illum præ se ferebat, ne quid ille suspicatus reditum ad ipsum non maturaret, sed Romæ degens regno insidiaretur, et in ipsum etiam aliquid perficeret. Has li-

τῇ δὲ Ῥώμῃ ἐνδιαιτώμενος ἐφεδρεύοι τῇ βασιλείᾳ, καὶ διαπράσσοιτό τι αὐτῷ. Τούτοις ἐν Κιλικίᾳ τοῖς γράμμασιν ἐπιτυγχάνει, τοῖς δὲ τὴν Φερώρα τελευτὴν διασαφοῦσιν ἐν Τάραντι πρότερον· δεινῶς τε ἤνεγκεν οὐκ εὐνοίᾳ τῇ Φερώρα, διότι δὲ τοῦ πατρὸς τὴν ἀναίρεσιν οὐ διαπραξάμενος, ὥσπερ ὑπέσχετο, ἀπέθανεν. Περὶ δὲ Κελένδεριν τῆς Κιλικίας γενόμενος ἐνεδοίαζεν ἤδη περὶ τοῦ οἴκαδε πλοῦ, δεινῶς τῇ ἐκβολῇ τῆς μητρὸς λελυπημένος. Καὶ τῶν φίλων οἱ μὲν ἐκέλευον αὐτὸν ταῦτά πη καραδοκοῦντα ἐπέχειν, οἱ δὲ μὴ διαμέλλειν τὸν οἴκαδε πλοῦν· λύσειν γὰρ παραγενόμενον αἰτίαν πᾶσαν, ὡς καὶ νῦν οὐχ ἑτέρωθεν, ἀλλὰ διὰ τὴν ἐκείνου ἀπουσίαν, ἰσχὺν τοῖς κατηγόροις ὑπογενέσθαι. Τούτοις πεισθεὶς ἔπλει τε καὶ προσέσχε τῷ Σεβαστῷ λιμένι λεγομένῳ, ὃν κατασκευάσας Ἡρῴδης πολλῶν χρημάτων ἐπὶ τιμῇ τῇ Καίσαρος καλεῖ Σεβαστόν. Ἐν προὐπτοις δ' ἦν Ἀντίπατρος ἤδη τοῖς κακοῖς, μήτε προσιόντος αὐτῷ μηδενὸς μήτε προσαγορεύοντος, ὥσπερ ὅτε ἐξῄει μετ' εὐχῶν καὶ ἀγαθῶν ἐπιφημισμάτων· ταῖς δ' ἐναντιωτάταις ἀραῖς οὐκ ἐκωλύοντο αὐτὸν δέχεσθαι, ποινὴν τοῖς ἀδελφοῖς ἀποτίνειν ὑπειληφότες.

β'. Ἐτύγχανε δὲ ἐν Ἱεροσολύμοις κατὰ τοῦτον τὸν καιρὸν Οὔαρος Κυϊντίλιος, διάδοχος μὲν Σατουρνίνῳ τῆς ἐν Συρίᾳ ἀρχῆς ἀπεσταλμένος, ἥκων δὲ αὐτός τε σύμβουλος Ἡρῴδῃ περὶ τῶν ἐνεστηκότων αὐτῷ δεηθέντι. Καὶ αὐτῶν συνεδρευόντων, παρῆν ὁ Ἀντίπατρος, οὐδενὸς αὐτῷ ἐκπύστου γεγονότος· εἴσεισι δὲ εἰς τὸ βασίλειον, ἔτι πορφυρίδας ἀμπεχόμενος. Καὶ αὐτὸν μὲν δέχονται οἱ ἐπὶ θύραις, ἀνείργουσι δὲ τοὺς φίλους. Ἐθορυβεῖτο δὲ ἤδη σαφῶς οἷ ἐληλύθει κατανοῶν, ἐπειδὴ καὶ ὁ πατὴρ αὐτὸν προσιόντα ὡς ἀσπάσαιτο ἀπεώσατο, ἀδελφοκτονίαν τε ἐπικαλῶν καὶ βούλευσιν ὀλέθρου τοῦ ἐπ' αὐτῷ, πάντων τε ἀκροατὴν καὶ δικαστὴν ἑσεσθαι Οὔαρον τῇ αὔριον. Καὶ ὁ μὲν τοιούτου κακοῦ ἅμα τε ἀκροαθέντος καὶ παρόντος τῷ μεγέθει περιφερόμενος ᾤχετο, ὑπαντιάζουσι δ' αὐτῷ ἥ τε μήτηρ καὶ ἡ γυνή· (αὕτη δὲ ἦν ἡ γενομένη Ἀντιγόνῳ παῖς τῷ πρὸ Ἡρῴδου Ἰουδαίων βεβασιλευκότι·) παρ' ὧν τὰ πάντα ἐκμαθὼν ἐν παρασκευαῖς τοῦ ἀγῶνος ἦν.

γ'. Τῇ δ' ἑξῆς συνήδρευε μὲν Οὔαρός τε καὶ ὁ βασιλεὺς, εἰσεκλήθησαν δὲ καὶ οἱ ἀμφοῖν φίλοι καὶ ὁ συγγενεῖς βασιλέως, Σαλώμη τε ἡ ἀδελφὴ, εἶτα εἴ τινες μηνύσειν ἔμελλον, καὶ ὧν τινὲς βάσανοι γεγόνασιν, δοῦλοί τε μητρῷοι τοῦ Ἀντιπάτρου, μικρῷ πρότερον συνειλημμένοι ἢ ἐκεῖνον ἥκειν, ἐπιστολὴν φέροντες, ἧς τὸ κεφάλαιον τῶν γεγραμμένων ἦν « μὴ ἐπανιέναι, ὡς « πάντων τῷ πατρὶ ἡκόντων εἰς πύστιν, μόνην τε ἂν « καταφυγὴν αὐτῷ λιπέσθαι Καίσαρα, καὶ σὺν αὐτῇ « τὸ μὴ τῷ πατρὶ ὑποχείριον γενέσθαι. » Ἀντιπάτρου δὲ προσπεσόντος τῷ πατρὶ πρὸς τὰ γόνατα καὶ ἱκετεύοντος μὴ προδιεγνωσμένην καταστῆσαι δίκην, ἀλλ' ἀκροάσεως αὐτοῦ γενομένης παρὰ τῷ πατρὶ, ἀκεραίῳ μένειν δυναμένῳ, τοῦτον κελεύσας Ἡρῴδης ἀπάγειν εἰς μέσον, αὐτὸς αὐτὸν ὠλοφύρατο τῶν παίδων τῆς ποιήσεως, « ἣν

teras accepit Antipater in Cilicia, quum prius Tarenti eas accepisset quæ Pheroræ obitum declarabant: quem quidem obitum doluit, non Pheroræ amore, sed quia mortuus esset non interfecto patre, quod se facturum susceperat. Ubi autem ad Celenderim in Ciliciam venit, dubitare cœpit utrum in patriam ire deberet, matris ejectionem ferens iniquissime. Atque amicorum quidem alii suadebant ut horum eventum alicubi exspectaret, alii vero ut sine mora domum rediret: adventu enim suo crimen omne soluturum, at nunc una ejus absentia confirmatos esse delatores. Ab his persuasus solvit, appellitque ad portum nomine Sebastum, quem magno sumptu constructum in honorem Augusti Sebastum appellavit Herodes. Jam mala sua in conspectu habuit Antipater, utpote quod nemo ei obviam prodiret, salutaret nemo, ut in ejus discessu factum fuerat, quum ei fausta omnia comprecati fuissent: quin contra eum, nemine prohibente, exsecrabantur, putantes venire ad dandas de nece fratrum pœnas.

2. Erat eo tempore Hierosolymis Quintilius Varus, missus Saturnino successor ad gubernandam Syriam: veneratque Herodis rogatu, ut ei super præsentibus negotiis consilium daret. Atque his concilium habentibus supervenit Antipater, ignarus totius negotii; et in palatium purpuratus adhuc intrat. Eum janitores ingredi sinunt, amicos excludunt. Tum vero ille turbari, quo redactus esset plane intelligens; præsertim quum a patre, ad quem salutandum accedebat, repelleretur, ei fratrum necem perpetratam et patris tentatam exprobrante; ac postridie Varum aditurum, et de toto negotio judicaturum. Et ille quidem, tanto malo audito pariterque imminente, ad ejus magnitudinem animo distractus abiit, moxque ei occurrunt mater et uxor; (illa autem erat Antigoni filia, ejus qui ante Herodem regnaverat in Judæa;) e quibus quum rem omnem rescivisset, sese ad causæ suæ defensionem præparavit.

3. Postero die consederunt in concilio Varus et rex, advocatis eo utriusque amicis, regisque consanguineis, et ejusdem sorore Salome, et iis qui crimen aliquod indicaturi erant, et iis de quibus habita fuerat quæstio, et matris Antipatri servis, qui paulo ante ejus adventum comprehensi fuerant, literas ferentes, quarum summa hæc erat: « ne « reveniret; patrem enim de tota re certiorem esse factum, « jamque hoc unum ei superesse perfugium, ut ad Cæsarem « se reciperet, neve simul cum ipsa in patris manus veni- « ret. » Quum autem Antipater sese patris ad pedes abjecisset, orassetque ne quidquam de se ex præjudicata opinione decerneret, sed sibi audientiam faceret pater, ut qui integer mansurus sit et incorruptus, Herodes, eo in medio collocari jusso, suam ipse deflevit fortunam in liberis procreandis,

ἐπὶ τοιαύταις αὐτῷ τύχαις γενομένην [πρότερον ἐκ τῆς δυσμενείας ἀποσπάσασθαι τῶν πρότερον καὶ] εἰς Ἀντίπατρον ἐμβαλεῖν αὐτοῦ τὸ γῆρας, τροφάς τε καὶ παιδεύσεις ἃς ποιήσαιτο αὐτῶν ἐξηγούμενος, καὶ πλούτου εὐκαιρίαν ἐν καιροῖς ὡς ἐθελήσειαν προτεθεῖσαν εἰς πάντα· ὧν οὐδὲν ἐπ' ἐμποδίσματι γενέσθαι τοῦ μὴ οὐκ ἐπιβουλῇ τῇ ἐκείνων κινδυνεῦσαι τελευτᾶν, ὑπὲρ τοῦ θᾶσσον δυσσεβῶς τὴν βασιλείαν παραλαβεῖν ἢ φύσεως νόμῳ μεταστάντος εὐχῇ τε τοῦ πατρὸς καὶ δίκῃ. Τόν τε Ἀντίπατρον θαυμάζειν, τίνων ἐλπίδι ἐπαρθεὶς θαρσήσειεν ἐπὶ τοιαῦτα χωρεῖν μὴ ἀποτραπῆναι. Διάδοχον μὲν γὰρ ἀποφήνασθαι διὰ γραμμάτων τῆς ἀρχῆς, ζῶντος δὲ ἐπ' οὐδενὶ μειονεκτεῖν, ἀξιώματός τε ἐπιφανείᾳ καὶ δυνάμει ἐξουσίας, πεντήκοντα μὲν τάλαντα ἐπέτειον πρόσοδον κομισάμενον, δωρεὰν δ' εἰληφότα ὁδοῦ τῆς εἰς Ῥώμην τριακοσίων ταλάντων ἀριθμόν. Ἐπεκάλει δὲ καὶ τῶν ἀδελφῶν, εἰ μὲν πονηρῶν γεγονότων κατηγορίαν προθεμένῳ, μιμητῇ γεγονότι, εἰ δὲ μή, διὰ κενῆς τοιῶνδε ἐσαγωγὰς ἐπάγοντι αὐτῷ τῶν συγγενῶν. Τὰ γὰρ πάντα οὐδαμόθεν ἀλλ' ἢ μηνύσει τῇ ἐκείνου μεμαθηκότα πρᾶξαι τὰ ἐπ' αὐτοῖς πεπραγμένα γνώμῃ τῇ ἐκείνου· οὓς ἀπολύειν κακοῦ παντὸς κληρονόμον τῆς πατροκτονίας αὐτοῖς καθιστάμενον. »

δ'. Ταῦθ' ἅμα λέγων εἰς δάκρυα τρέπεται, λέγειν τε ἄπορος ἦν. Καὶ Νικόλαος ὁ Δαμασκηνὸς φίλος τε ὢν τοῦ βασιλέως καὶ τὰ πάντα συνδιαιτώμενος ἐκείνῳ καὶ τοῖς πράγμασιν ὃν πραχθεῖσι τρόπον παρατετευχώς, δεηθέντι τῷ βασιλεῖ τὰ λοιπὰ εἰπεῖν, ἔλεγεν ὁπόσα ἀποδείξεών τε καὶ ἐλέγχων ἐχόμενα ἦν. Καὶ τοῦ Ἀντιπάτρου κατὰ δικαιολογίαν πρὸς τὸν πατέρα τετραμμένου, καὶ ὁπόσα παραδείγματα τῆς εὐνοίας πρὸς αὐτὸν διεξιόντος, τὰς τιμὰς αἳ ὑπῆρχον αὐτῷ προφερόμενος, ἃς μὴ ἄν ποτε γενέσθαι μὴ οὐκ ἀρετῆς ἀξίῳ περὶ αὐτὸν γεγονότι· « καὶ γὰρ ὁπόσα προϊδεῖν δεήσειε πάντων προβεβουλευκέναι σωφρόνως, εἴτε τινὰ ἐδεῖτο χειρῶν πόνῳ τῷ αὐτοῦ ἐκπεπρᾶχθαι τὰ πάντα, εἰκός τε οὐκ εἶναι τῶν ἀλλαχόθεν ἐπιβουλῶν τὸν πατέρα ἐξελόμενον αὐτὸν ἐπιβουλευτὴν καταστῆναι καὶ ἀφανίζοντα ἀρετὴν, ἣν ἐπ' ἐκείνοις ἐμαρτυρεῖτο, κακίᾳ τῇ ἐπὶ τοῖσδε μελλούσῃ συνεῖναι. Καίτοι γε τοῦ βασιλεύοντος διάδοχον προαποδεδεῖχθαι καὶ τοῦ συναπολαυσομένου τιμῶν, αἳ εἰς τὸ παρὸν περιῆσαν, οὐκ ἐπικεκωλύσθαι, εἰκός τε οὐκ εἶναι τῶν ἁπάντων ἀκινδύνως καὶ μετ' ἀρετῆς ἔχοντα τὴν ἡμίσειαν, μετὰ φόβων καὶ κινδύνου ἐφίεσθαι τοῦ ὅλου, ἄδηλον εἰ δυνάμενον περιγενέσθαι, καὶ ταῦτα τεθεαμένον τὴν ζημίαν τῶν ἀδελφῶν, καὶ μηνυτὴν μὲν καὶ κατηγορητὴν γενόμενον λανθάνειν δυναμένων, κολαστὴν τε, ἐπεὶ φανεροὶ κατέστησαν πονηροὶ τὰ πρὸς τὸν πατέρα ὄντες. Καὶ τάδε μὲν αὐτῷ τῶν ἐνταῦθα ἠγωνισμένων παραδείγματα εἶναι, τῶν ἀκράτῳ εὐνοίᾳ πρὸς τὸν πατέρα πεπολιτευμένων. Τῶν δ' ἐπὶ Ῥώμης μάρτυρα εἶναι Καίσαρα, ἐπ' ἴσης τῷ Θεῷ ἀπατηθῆναι μὴ οἷόν τε ὄντα· ὧν πίστιν εἶναι τὰ ὑπ' ἐκείνου γράμματα

« per quos tot calamitates perpessus in senectute incidisset in improbitatem Antipatri; deinde memorabat quantum curæ illis educandis instituendisque impenderit, quantumque divitiarum opportune illis, quandocunque voluerint, ad omnia suppeditarit, quibus se nihil profecisse quominus insidiis illorum in vitæ discrimen adduceretur, ut citius quam fata sinerent, aut quam jure liceret paterve vellet, scelerate regnum arriperent. Sibique mirum videri aiebat, qua spe elatus Antipater, quave audacia fretus eo usque procedere non dubitarit. Successorem enim imperii jam scripto testamento designatum fuisse, sibi quoque viventi nec dignitatis splendore nec potestatis amplitudine cedere, talenta etiam quinquaginta proventum in singulos annos tulisse, quumque Romam proficisceretur, dono accepisse talenta trecenta in viaticum. Quin et ipsi objiciebat quod fratrum, si quidem eorum, ut qui improbi essent, accusationem instituisset, imitator exstiterit; sin vero ut qui boni fuissent, quod inique adversus tales consanguineos criminationes ad se attulerit. Se enim nec comperisse de iis quicquam nisi ejus indicio, nec quicquam eorum quæ perpessi sint statuisse nisi ex illius sententia et consilio: quos ipsum omni crimine absolvere, quippe parricidii illorum hæredem constitutum. »

4. Hæc dicenti Herodi obortæ lacrimæ finem dicendi fecere. Atque Nicolaus Damascenus, qui et regi amicus erat et convictor prope quotidianus, et plerisque suis rebus, quemadmodum agebantur, interfuerat, quum eum rogasset rex ut reliqua adderet, quæ pertinerent ad criminum probationem et redargutionem persequebatur. Tum Antipater, ut causam suam defenderet, ad patrem conversus, et quæcunque essent paternæ in eum benevolentiæ exempla percurrens, honores ipsi habitos enumerabat, qui nunquam ei obtigissent, nisi sua in ipsum pietate eos promeruisset, « se enim quæcunque providenda essent sollerter prospexisse, et sicubi res manuum operam postularet, suo labore omnia confecisse; atque haud verisimile esse ut qui patrem aliorum ab insidiis eripuerit, ipse ei insidiaretur, et virtutem, quam in iis opprimendis ostenderit, malitia, hujusmodi facinora comitante, obscuraret, præsertim quum jam ante, nemine vetante, regni successor declaratus fuerit, et in partes venerit honorum quibus in præsens tempus fruatur; atque haud consentaneum esse ut qui rerum omnium dimidium sine periculo et cum dignitate teneret, totum cum infamia et discrimine cupide appeteret, dum in incerto sit an obtineri possit, maximeque, postquam vidisset quam gravia perpessi sint fratres; quorum ipse, quum forsan delituissent, index fuerit et accusator, itemque supplicii auctor, quum primum nefarii in patrem sceleris convicti fuerint. Atque istas quidem, quas domi venerit, contentiones argumento esse quam sincera fide et benevolentia in patrem se gesserit. Quæ vero Romæ egerit, testatissima esse Cæsari, quem æque difficile esse ac Deum ipsum fallere et decipere: quibus fidem faciant literæ ab eo missæ, quas periniquum esse

ἐπεσταλμένα, ὧν οὐ καλῶς ἔχειν ἰσχυροτέρας εἶναι τὰς διαβολὰς τῶν στασιάζειν αὐτοὺς προθεμένων, τὰς πλείους ἀποδημίᾳ τῇ αὐτοῦ συντεθῆναι σχολῆς τοῖς ἐχθροῖς ἐγγενομένης, ἣν οὐκ ἂν αὐτοῖς ἐπιδημοῦντος παραγενέσθαι. » Διαβάλλοντος δὲ καὶ τὰς βασάνους εἰς ψευδολογίαν, ὡς τῆς ἀνάγκης φύσιν ἐχούσης διδάσκειν τοὺς ὑποπεσόντας ἡδονῇ τὰ πολλὰ τῶν ἐφεστηκότων λέγειν, καὶ παρέχοντος αὐτὸν εἰς βάσανον **.

ε'. Ἐπὶ τούτοις τροπῆς τοῦ συνεδρίου γενομένης, (σφόδρα γὰρ ᾠκτειραν τὸν Ἀντίπατρον, δάκρυσί τε καὶ αἰκίαις τοῦ προσώπου γρώμενον, ὥστε καὶ τοῖς ἐχθροῖς δι' οἴκτου καταστῆναι, φανερὸν δὲ ἦδη καὶ Ἡρώδην καμπτόμενόν τι τῇ γνώμῃ, καίπερ μὴ βουλόμενον ἔκδηλον εἶναι,) Νικόλαος ἀρξάμενος οἷς τε ὁ βασιλεὺς κατήρξατο λόγοις παλιλλογεῖν μειζόνως ἐκδεινῶν καὶ ὁπόσα ἐκ βασάνων ἢ μαρτυριῶν συνῆγε ** τὴν ἀπόδειξιν τοῦ ἐγκλήματος, μάλιστα δὲ τὴν ἀρετὴν ἐπιπολὺ ἐξηγεῖτο τοῦ βασιλέως, ἥπερ εἰς τε τροφὰς καὶ παιδεύματα χρησάμενος τῶν υἱέων, οὐδαμόθεν εὕροιτο ὀνησιφόρον αὐτῇ, περιπταίων ἑτέροις ἀφ' ἑτέρων. Καίτοι γε οὐχ οὕτω θαυμάζειν τῶν προτέρων τὴν ἀβουλίαν· νεωτέρους γὰρ καὶ κακίᾳ συμβούλων διεφθαρμένους ἀπαλεῖψαι τὰ τῆς φύσεως δικαιώματα, ἀρχῆς θᾶσσον ἢ χρῆν μεταποιεῖσθαι σπουδάσαντας· Ἀντιπάτρου δ' ἂν δικαίως τὴν μιαρίαν καταπλαγῆναι, μὴ μόνον ὑπὸ τοῦ πατρὸς εὐεργετηθέντα τὸν λογισμὸν ὥσπερ τὰ ἰοβολώτατα τῶν ἑρπετῶν μὴ μαλαχθέντος, καίτοι γε κἀκείνοις τινὸς ἐγγινομένης μαλακίας τοῦ ἀδικεῖν τοὺς εὐεργέτας, ἀλλὰ μηδὲ τὰς τύχας τῶν ἀδελφῶν πρὸς τὸ οὐ μιμητὴν αὐτῶν καταστῆναι τῆς ὠμότητος ἐμποδὼν στήσαντος. « Καίτοι γε, ὦ Ἀντίπατρε, τῶν ἀδελφῶν « μηνυτής τε ὢν τολμήσειαν αὐτὸς ἦς καὶ ἐρευνητὴς « τῶν ἐλέγχων καὶ κολαστὴς τῶν πεφωραμένων, καὶ « οὐ τοῦ ἐπ' ἐκείνοις ἐγκαλοῦμεν θυμῷ χρῆσθαι μὴ « ἐλλείποντος, ἀλλὰ τοῦ μιμεῖσθαι τὴν ἀσέλγειαν αὐ« τῶν σπουδάσαντος ἐκπεπλήγμεθα, εὑρίσκοντες κά« κεῖνα οὐκ ἐπ' ἀσφαλείᾳ τοῦ πατρὸς, ἀλλ' ἐπ' ὀλέθρῳ « τῶν ἀδελφῶν πεπραγμένα, ὅπως μισοπονηρίᾳ τῇ κατ' « αὐτῶν φιλοπάτωρ εἶναι πεπιστευμένος, ἀδεεστέραν « ἐπ' αὐτῷ κακουργεῖν παραλάβοις δύναμιν· δ δὴ καὶ « τοῖς ἔργοις παρέστησας. Ἅμα δὲ καὶ τοὺς ἀδελ« φοὺς ἀνῄρεις ἐφ' οἷς ἤλεγχες πονηροὺς γεγονότας, « καὶ τοὺς ὁμοπραγήσαντας αὐτοῖς οὐχ ὑπεδίδους, φα« νερὸν τοῖς πᾶσι καθιστὰς ὡς καὶ συνθήκην πρὸς « αὐτοὺς κατὰ τοῦ πατρὸς ποιησάμενος ἐπανείλου κα« τηγορεῖν, βουλόμενος σοὶ τὴν ἐπιβουλὴν τῆς πατρο« κτονίας κερδαίγεσθαι κατὰ μόνας καὶ δυοῖν ἀγώνοιν « εὐφροσύνην καρπούμενος, τρόπου τοῦ σοῦ ἀξίαν, « φανεροῦ μὲν τοῦ κατὰ τῶν ἀδελφῶν, ᾧ καὶ ἠγάλλου « ὡς ἐπὶ τοῖς μεγίστοις, καὶ ἦν ἄξιον οὕτω φρονεῖν, εἰ « δὲ μή γε, σὺ χείρων ἦς κρυπτὸν δόλον κατὰ τοῦ « πατρὸς συντιθείς, ἐκείνους μὲν οὐχ ὡς τῷ πατρὶ ἐπι« βεβουλευκότας μισῶν, (οὐ γὰρ ἂν ἐξώκειλας αὐτὸς « ἐπὶ πρᾶξιν παραπλησίαν,) ἀλλ' ὡς διαδόχους τῆς

hominum, id sibi proponentium ut seditionem turbasque moverent, calumniis posthaberi, ad quas magna ex parte confingendas otii abunde nactos esse inimicos, dum ipse abesset, quod se præsente nunquam habere potuerint. » Deinde quum etiam in quæstiones inveheret, quibus fiat ut falsa dicantur, utque vi necessitatis homines ei subjectos adigente ad multa loquenda in dominantium gratiam, tandemque sese in quæstionem offerret * *.

5. Quum ex his dictis mutatio facta esset totius consessus, (miserebat enim eos valde Antipatri, qui distorto vultu magnam vim lacrimarum profundebat, adeo ut ejus etiam adversarii misericordia commoverentur; immo et ipsum Herodem jam flecti apparebat, licet id animadverti nollet,) Nicolaus orationem a rege cœptam atrocius persequens, argumenta omnia ad accusationem firmandam, quæ ex quæstionibus aut testium fide haberi poterant, densabat; inprimis vero regis virtutem prædicabat, et merita in bene educandis instituendisque liberis, quorum ipse non modo fructum perciperet nullum, sed inde in alias ex aliis incideret calamitates. Neque tamen adeo se mirari priorum filiorum temeritatem : fuisse enim juvenes, et a malis consultoribus corruptos, ut majori quam oporteret fruendi imperii festinatione a naturæ legibus desciscerent : at Antipatri stupendum plane esse scelus, quem tot patris merita non flexerint, venenati in morem animantis, nisi quod hujus quoque generis feritas aliquid creditur benefactis emolliri, Antipatrum vero ne fratrum quidem miseranda exempla absterruerint quominus eos imitaretur obfirmato in duritatem animo. « Atqui tu ipse, o Antipater, index fuisti facinoris « fratrum, tu argumenta suppeditasti, tu in convictos ut « animadverteretur fecisti; nec id culpamus quod in illis « iram satiasti, sed hoc miramur, te tam subito æmulatum « ipsorum improbitatem : et hinc discimus quæ fecisti antea, « in iis propositam tibi fuisse non salutem patris, sed fra« trum perniciem, dum insectando scilicet ipsorum mali« tiam id consequutus ut patris amans filius credereris, « majores inde vires et audaciam ad scelus aggrediendum « sumeres : id quod docet res ipsa. Simul et fratres sustulisti « ob ea quæ illos nequam factos redargueras, et conscios ad« jutoresque eorum non dedidisti, ut facile omnibus appareat « te tacito cum his fœdere inito accusationem ingressum, « eo nimirum animo ut solus parricidii compos fieres, et « ex duabus concertationibus duplicem, sed utramque tuo « dignam ingenio, perciperes voluptatem, palam quidem « confectis fratribus, quo nomine, tanquam rem præclare « gessisses, ultro gloriaris, et merito quidem; sin minus, « tu illis pejor, qui clam patris vitæ insidiatus es, illos, « non quod patri moliti essent necem, odio habens, (nam « si id esset, non te obligasses eodem crimine,) sed quod

« ἡγεμονίας σου δικαιότερον ἂν γενομένους· τὸν δὲ πα-
« τέρα ἐπισφάζειν τοῖς ἀδελφοῖς *, ἵνα θᾶσσον ὡς ἐκεί-
« νων ἐπικαταψεύσαιο μὴ ἐλεγχθῇς, καὶ ὧν αὐτὸς δίκας
« παρασχεῖν ἄξιος γένοιο, ταύτην παρὰ τοῦ δυστυχοῦς
« εἰσπράξαιο πατρὸς, ἐπινοῶν πατροκτονίαν οὐ κοινὴν,
« ἀλλ' οἵαν μέχρι νῦν οὐχ ἱστόρησεν ὁ βίος. Οὐχ
« υἱὸς γὰρ μόνον πατρὶ ἐπεβούλευες, ἀλλὰ καὶ φιλοῦντι
« καὶ εὐηργετηκότι, κοινωνὸς τῆς βασιλείας ὢν τοῖς
« ἔργοις καὶ διάδοχος προφανθείς, καὶ τὴν μὲν ἡδονὴν
« τῆς ἐξουσίας ἤδη προλαμβάνειν μὴ ἐπικεκωλυμένος,
« ἐλπίδα δὲ τὴν εἰσαῦθις γνώμῃ τοῦ πατρὸς καὶ γράμ-
« μασι προησφαλισμένος. Ἀλλ' οὐκ ἄρα τῇ Ἡρώδου
« ἀρετῇ τὰ πράγματα, γνώμῃ δὲ καὶ πονηρίᾳ ἔκρινες
« τῇ ἑαυτοῦ, βουλόμενος τοῦ πάντων σοι ὑπακούσαντος
« πατρὸς καὶ τὸ μέρος ἀφαιρεῖσθαι· καὶ ὃν προσεποίου
« τοῖς λόγοις σώζειν, τοῖς ἔργοις τοῦτον ἀφανίσαι ζητῶν,
« καὶ μὴ μόνον αὐτὸς πονηρὸς καθιστάμενος, ἀλλὰ καὶ
« τὴν μητέρα ὧν ἐπενόεις πιμπλὰς, καὶ στασιοποιῶν
« τὴν εὔνοιαν τοῖς ἀδελφοῖς, καὶ τολμῶν θηρίον ἀποκα-
« λεῖν τὸν πατέρα, παντὸς ἑρπετοῦ χαλεπωτέραν τὴν
« διάνοιαν κατεσκευασμένος, ἢ τὸν ἐκεῖνον ἰὸν ἐπὶ τοὺς
« συγγενεστάτους καὶ τοὺς ἐπὶ τοσούτοις εὐεργέτας πα-
« ρεκάλεις ἐπὶ συμμαχίαις φυλάκων, καὶ τέχναις ἀνδρῶν
« καὶ γυναικῶν φρασσόμενος κατὰ τοῦ γέροντος, ὥσπερ
« οὐκ ἀρκούσης σοῦ τῆς διανοίας μῖσος τὸ ὑποικουροῦν
« παραστῆσαι. Καὶ νῦν ἐλήλυθας μετὰ βασάνους ἐλευ-
« θέρων, οἰκετῶν, ἀνδράσι καὶ γυναιξὶ διὰ σὲ γεγονυίας,
« μηνύσεις τῶν συνωμοτῶν, ἀντιλέγειν τῇ ἀληθείᾳ σπεύ-
« δων, καὶ οὐχὶ μόνον τὸν πατέρα ἀναιρεῖν μεμελετη-
« κὼς ἐκ τοῦ ἀνθρωπείου βίου, ἀλλ' ἤδη καὶ νόμον κατὰ
« σοῦ γεγραμμένον, καὶ τὴν ἀρετὴν τοῦ Οὐάρου, καὶ
« τοῦ δικαίου τὴν φύσιν. Οὕτως ἄρα τῇ ἀναιδείᾳ πέ-
« ποιθας, ὥστε καὶ βασανίζεσθαι ἀξιοῖς, καὶ ψευδεῖς
« λέγων τὰς βασάνους τῶν προβεβασανισμένων, ἵν' οἱ
« μὲν ῥυόμενοί σου τὸν πατέρα ἐκκρουσθῶσι τοῦ ἠλη-
« θευκέναι, αἱ δὲ σαὶ βάσανοι δοκῶσι πισταί. Οὐ ῥύσῃ,
« Οὔαρε, τὸν βασιλέα τῆς ἐπηρείας τῶν συγγενῶν, οὐδὲ
« ἀπολεῖς πονηρὸν θηρίον, ἐπ' ὀλέθρῳ μὲν τῶν ἀδελφῶν
« εὔνοιαν προσποιούμενον τοῦ πατρὸς, ἔνθα δὲ μέλλοι
« κατὰ μόνας ταχέως ἀποίσεσθαι τὴν βασιλείαν, πάντων
« αὐτῷ θανασιμώτατον ἀναφαινόμενον, γνοὺς ὅτι πα-
« τροκτονία κοινόν ἐστιν ἀδίκημα καὶ τῆς φύσεως καὶ
« τοῦ βίου, πεφηνυῖα οὐδὲν ἧσσον ** ὡς τοῦ βεβουλευ-
« μένου, καὶ ὁ μὴ κολάζων ἀδικεῖ τὴν φύσιν. »

ς'. Προσετίθει δὲ ἤδη τὰ τῆς μητρὸς Ἀντιπάτρου, ὁπόσα πρός τινας ἦν κουφολογίᾳ γυναικείῳ εἰρημένα, μαντείας τε καὶ θυσίας ἐπὶ τῷ βασιλεῖ γεγονυίας, καὶ ὁπόσα μετὰ τῶν Φερώρα γυναικῶν Ἀντιπάτρῳ ἠσέλγητο μετὰ οἴνου καὶ λύμης ἐρωτικῆς, τῶν τε βασάνων τὰς ἀνακρίσεις καὶ ὁπόσα μαρτυριῶν ἐχόμενα· πολλὰ δὲ καὶ παντοῖα ἦν τὰ μὲν προητοιμασμένα, τὰ δὲ πρὸς τοῦ ὀξέως ἀπαγγέλλεσθαί τε καὶ βεβαιοῦσθαι ἐφηυρημένα. Οἱ γὰρ ἄνθρωποι κἂν εἴ τι κατὰ φόβον τοῦ Ἀντιπάτρου, μὴ διαδρᾶς ἀμύνοιτο αὐτοὺς, σιγῇ παρεδίδοσαν, ὁρῶν-

« regni heredes te essent justiores : patrem autem inter-
« ficere *voluisti* fratribus superadditum, ut periculum
« effugeres, ne quæ in eos calumniatus es celeriter dete-
« gerentur, et quæ tu meritus es supplicia, ea de infelici
« patre exigeres, repertor non vulgaris parricidii, sed quale
« hactenus ignorat *hominum* vita. Non enim tantum
« patri filius insidiatus es, sed et amanti te, beneficiis ab
« eo affectus, re ipsa jam particeps regni, et successor etiam
« designatus, immo et voluptatem imperii jam ante capere
« nequaquam prohibitus, spe futuræ possessionis certissima
« præmunitus, conscripta patris voluntate. At tu non He-
« rodis bonitate, sed pravitate ingenii tui res metiebaris,
« id agens, ut patri indulgentissimo partem quæ ei restabat
« de imperio auferres, et cujus conservator volueras dici,
« eum re ipsa conareris interficere : ac quasi non satis esset
« temet malum esse, matrem etiam tuis pessimis consiliis
« implesti, atque fratrum concordiam dissociasti; ac deinde
« patrem feram appellare ausus es, ipse pessimos serpentes
« exsuperans feritate animi, unde illud virus in proximos
« sanguine et tantorum tibi bonorum auctores in promptu
« esset, *stipato satellitiis*, armato astubus, nec virorum
« tantum, sed et mulierum adversus senem, quasi tuus
« ille odio tam injusto insessus animus ad maleficia non
« sufficeret. Et nunc apparere hic audes, ut post tortos
« homines liberos, servos, viros, feminas, tuam unius ob
« causam, post tot indicia eorum qui tecum conspiraverant,
« veritatem oppugnes : quasi quod patrem rebus humanis
« voluisti eximere parum sit, nisi insuper evertas legem in
« te scriptam, et Vari æquitatem, et ipsam vim justitiæ.
« Itane tuæ confidis audaciæ et impudentiæ, ut etiam tor-
« mentis temetipsum subjici velis, dum prius habitis quæ-
« stionibus fidem detrahis, ut illi scilicet, qui patrem tuum
« salvum voluerunt, mendaces habeantur, iis vero creda-
« tur quæstionibus quas tu rexisti? Quando regem liberabis,
« Vare, a consanguineorum *injuriis? quando exstingues*
« portentum illud hominis, eum dico qui in fratrum per-
« niciem patris amorem simulavit, ac deinde, quum solus
« brevi regno esset potiturus, fata ejus maxime omnium
« præcipitare voluit? scis quippe parricidium communem
« *in humanum genus universum* esse injuriam, et
« naturæ pariter ac vitæ hominum infestum, nec ideo
« minus * * ut tantummodo cogitatum; et qui non punit,
« naturæ ipsi facit injuriam. »

6. Addidit super hæc *Nicolaus* de matre Antipatri nonnulla, quæ illa garrulitate muliebri effutierat, consultos vates, et sacra facta quibus rex devoveretur; et quæ in Pheroræ uxo-res Antipater in vino atque amoris æstu proterve fecerat; tum vero repetiit quæ tormentis et testimoniis comperta erant : *multa autem et varia* erant *partim* ex præmeditatione indicata, partim ex tempore, et subinde confirmari reperta. Homines enim etiam si quid metu Antipatri, ne aufugiens vindictam ab iis sumeret, silentio premebant, quum viderent

τες αὐτὸν ἐπιβατὸν ταῖς κατηγορίαις τῶν ἀρξάντων γεγονότα καὶ τὴν ποτὲ πολλὴν αὐτῷ συστᾶσαν τύχην προφανῶς αὐτὸν τοῖς ἐχθροῖς παραδεδωκυῖαν, οἳ καὶ ἁπλήστως μίσους τοῦ πρὸς αὐτὸν ἐνεφοροῦντο, τότε πάντα ἐξέφερον. Κατέσπευδε δὲ τοῦτο οὐ τοσοῦτον ἔχθρᾳ τῶν ἐπιχειρηκότων κατηγορεῖν, ὡς μεγέθει τόλμης ὧν ἐπενόησεν κακιῶν, καὶ δυσμενείας τῆς πρὸς τὸν πατέρα καὶ τοὺς ἀδελφοὺς, στάσεως καὶ ἀλληλοφθορῶν ἀναπεπληκὼς τὸν οἶκον καὶ μήτε μίσει κατὰ δίκην μήτε φιλίᾳ δι' εὔνοιαν χρώμενος, ἀλλ' ὡς μελλήσοι αὐτῷ συμφέρειν. Ὧν ἁπάντων ἐκ πλέονος αὐτοῖς οἱ πολλοὶ προανεσκοπημένοι, οἵπερ δὴ μάλιστα ἀρετῇ κρίνειν παφύκασιν ἐπὶ τοῖς πράγμασι, διὰ τὸ καὶ ὀργῆς ἀπηλλαγμένους ἐπιψηφίζειν τοῖς γιγνομένοις, καταβοὰς ἐν τοῖς πρὶν εἰρχθέντες ποιεῖσθαι, παραγενομένης ἀδείας ἐξέφερον εἰς μέσον ὁπόσα εἰδεῖεν. Πολύτροποί τε κακιῶν ἀποδείξεις ἦσαν, οὐδαμόθεν ψεύδους αἰτίαν ἐγκαλεῖσθαι δυνάμεναι, διὰ τὸ μήτε εὐνοίᾳ τῇ πρὸς Ἡρῴδην λέγειν τοὺς πολλοὺς μήτε ὑποψίᾳ κινδύνων σιγῆς ἐφ' οἷς ἔχοιεν εἰπεῖν ἐγκαλουμένης, ἀλλὰ τῷ πονηρά τε ἡγεῖσθαι τὰ πράγματα, καὶ τὸν Ἀντίπατρον οὐκ ἀσφαλείᾳ τῇ Ἡρῴδου, πονηρίᾳ δὲ τῇ αὐτοῦ, πάσης ἄξιον τιμωρίας. Πολλά τε ἦν καὶ παρὰ πολλῶν οἷς μὴ παρηγγέλλετο εἰπεῖν ἀγορευόμενα, ὥστε τὸν Ἀντίπατρον καίπερ ἐπὶ πλεῖστον πάντα δεινότατον ὄντα ψεύσασθαι καὶ ἀπερυθριᾶσαι, μηδὲ ὅσον ἀπὸ φωνῆς ἐπ' ἀντιλέξει τὴν ἰσχὺν εἰσφέρεσθαι. Νικολάου δὲ παυσαμένου τῶν τε λόγων καὶ τῶν ἐλέγχων, Οὔαρος ἐκέλευσεν Ἀντίπατρον ἐπ' ἀπολογίαν τῶν ἐγκλημάτων χωρεῖν, εἴ τινες αὐτῷ παρασκευαὶ τοῦ μὴ ἐνόχῳ τοῖς ἐπιφερομένοις εἶναι· καὶ γὰρ αὐτὸς εὔχεσθαι καὶ τὸν πατέρα εἰδέναι τῶν ὁμοίων εὐχόμενον μηδὲν αὐτὸν ἀδικοῦντα φωρᾶν. Ὁ δ' ἐπὶ στόμα ἔκειτο ἀνατετραμμένος, τῷ τε Θεῷ καὶ πᾶσι προστιθεὶς τὸ ἐπιμαρτυρῆσαι αὐτῷ μηδὲν ἀδικεῖν, ἢ τεκμηρίοις ἐμφανέσι παραστῆσαι, μὴ οὐκ ἐπίβουλον αὐτὸν τοῦ πατρὸς γεγονέναι. Εἰωθότες μὲν καὶ πάντες οἷς ἐπιλείπει ἀρετῆς, ὁπότε μὲν ἐγχειρηταί τινων κακῶν εἶεν, τοῦ θείου τὸ πᾶσι παρατυγχάνειν ἀφορίσαντες, γνώμῃ τῇ αὐτῶν ἐπὶ τὰ ἔργα χωρεῖν· ὁπότε δὲ φωρώμενοι κινδυνεύοιεν δίκην ὑποσχεῖν, κατ' ἐπίκλησιν αὐτοῦ μαρτυρεῖν τὰ πάντα ἐκτρέπειν· ὃ δὴ καὶ τῷ Ἀντιπάτρῳ συμβεβήκει. Τὰ πάντα γὰρ ὡς ἐν ἐρημίᾳ τοῦ θείου διαπεπραγμένος, κατειργούσης αὐτὸν πανταχόθεν τῆς δίκης ἀπορίᾳ τῶν ἀλλαχόθεν δικαιωμάτων, οἷς ἀπολύσαιτο τὰ ἐγκεκλημένα, αὖθις ἐνεπαρώνει τῇ ἀρετῇ τοῦ θείου, μαρτυρίαν ἐπισκήπτων αὐτῷ, ὅτιπερ ἰσχύϊ τῇ ἐκείνου περισέσωστο, εἰς μέσους παραγαγὼν ὁπόσα περὶ τῷ πατρὶ πράσσειν τολμᾶν οὐκ ἐνέλιπεν.

ζ'. Ὁ δὲ Οὔαρος, ἐπειδὴ πολλάκις ἀνακρίνων τὸν Ἀντίπατρον οὐδὲν κύρισκετο πλέον τῆς ἀνακλήσεως τοῦ Θεοῦ, ὁρῶν ἀπέραντον ὂν τὸ γινόμενον, ἐκέλευσε τὸ φάρμακον εἰς μέσους ἐνεγκεῖν, ἵν' εἰδῇ τὴν περιοῦσαν αὐτῷ δύναμιν. Καὶ κομισθέντος, τῶν ἐπὶ θανάτῳ τις ἁλωκότων πίνει κελεύσαντος Οὐάρου, καὶ παραipsum criminationibus eorum, qui accusare cœperunt, obnoxium, et fortunam, quæ multa ei olim indulserat, manifesto illum inimicis, qui insatiabili in eum odio flagrabant, tradentem, tunc omnia prodebant. Præceps autem actus est non adeo illorum inimicitiis qui ad accusandum aggressi sunt, ac magnitudine ausorum et scelerum quæ excogitavit, malevolentiæque in patrem fratresque; et quod domum seditione et mutuis cædibus impleverat, nec odia justa exercens, nec amicitiam benevolentia colens, sed prout in rem suam fore videretur. Quæ omnia quum jamdudum multi observarint, qui scilicet optime comparati erant ad judicandum de rebus, quod et ira non accensi facta suffragiis suis confirmarunt, atque antea prohibiti fuerint de iis gravius queri, quum primum tuto licuit, cœperunt pro se quisque ea proferre quæ scirent. Varia autem criminum afferebantur indicia, quæ neque redargui neque falsitatis convinci potuerunt, quod neque ad regis gratiam plerique loquerentur, neque illis objici posset quod periculi metu silentio quidquam texerint, sed *indicabant* quia nefaria putabant illa facinora, et Antipatrum non tam ob patris securitatem quam suam nequitiam omni supplicio dignum censebant. Multa etiam a multis, qui non interrogati erant, dicebantur, ita ut, licet Antipater callidissimus esset mendaciorum artifex frontisque perfrictissimæ, tamen nec respondere ad hæc aut omnino hiscere auderet. Postquam autem Nicolaus et dicere et dictorum probationes afferre desierat, jussit Antipatrum Varus ut semet ad criminationes depellendas accingeret, si quid paratum haberet, quo se non teneri criminibus, quorum accusabatur, ostenderet; valde enim et se optare, scireque patrem quoque idem velle, ut in maleficio non deprehendatur. Ille vero, pronus humi jacens, Deum omnesque appellabat ut testatum fieret, se nullæ culpæ affinem esse, aut ut manifestis signis ostenderetur se nihil adversus patrem molitum fuisse. Solent nimirum omnes quibus deest virtus, quum scelus aliquod aggrediuntur, quasi Deum rebus humanis præsentem adesse negassent, suopte arbitrio ad agendum ferri: ubi vero deprehensi in judicii periculum venerint, Deum testem invocando omnia *contra se allata* evertere: id quod et Antipatro accidit. Postquam enim nefaria omnia, tanquam e mundo sublatum esset numen, perpetraverat, ubi supplicii metu undique constringebatur plane destitutus juris præsidiis, quibus crimina dilueret, Dei iterum virtute petulanter abusus est, eum contestans ut suæ potentiæ acceptum tulerit quod adhuc supersit, productis in medium quæ nullo puncto temporis intermisso facere ausus sit pro patris incolumitate.

7. Tum Varus, quum crebris interrogationibus nihil ab Antipatro eliceret præter Dei invocationem, rem infinitam esse videns, venenum coram omnibus proferri jussit, ut quænam ei vis superesset experiretur. Quod ubi allatum erat, Varique jussu cuidam capitis damnato ut propinare-

χρῆμα ἔθανε. Τότε δ' ἐξαναστὰς ἀπῄει τοῦ συνεδρίου, καὶ τῇ ἑξῆς ἐπ' Ἀντιοχείας· οὗπερ δὴ καὶ τὸ πλεῖστον ἦσαν αὐτῷ αἱ διατριβαὶ, διὰ τὸ Σύροις τοῦτο βασίλειον εἶναι. Ἡρώδης δὲ παραχρῆμα μὲν ἔδησε τὸν υἱόν. Ἄδηλοι δὲ τοῖς πολλοῖς ἦσαν αἱ Οὐάρου πρὸς αὐτὸν ὁμιλίαι καὶ τί εἰπὼν ἀπεληλύθει· εἰκάζετο δὲ τοῖς πολλοῖς γνώμῃ τῇ ἐκείνου πράσσειν ὁπόσα περὶ τὸν Ἀντιπατρον ἔπραξεν. Δήσας δὲ αὐτὸν εἰς Ῥώμην ὡς Καίσαρα ἐκπέμπει γράμματα περὶ αὐτοῦ, καὶ τοὺς ἀπὸ γλώσσης διδάξοντας τὸν Καίσαρα τὴν κακίαν τοῦ Ἀντιπάτρου. Ἀλίσκεται δὲ ὑπὸ τὰς αὐτὰς ἡμέρας καὶ ἐπιστολὴ ὑπὸ Ἀντιφίλου πρὸς Ἀντίπατρον γεγραμμένη, (ἐν Αἰγύπτῳ δὲ αὐτὸς διέτριβε,) καὶ λυθεῖσα ὑπὸ τοῦ βασιλέως τάδε ἐδήλου. « Ἔπεμψά σοι τὴν παρ' Ἀκμῆς « ἐπιστολὴν, μὴ φεισάμενος τῆς ἐμῆς ψυχῆς. Οἶσθα « γὰρ ὅτι αὖθις κινδυνεύω ὑπὸ δύο οἰκιῶν εἰ γνωσθείην. « Σὺ δ' εὐτυχοίης περὶ τὸ πρᾶγμα. » Καὶ ἡ μὲν ἐπιστολὴ τάδε ἐδήλου. Ἐζήτει δὲ ὁ βασιλεὺς καὶ τὴν ἑτέραν ἐπιστολήν· οὐ μὴν φανερά γε ἦν· καὶ ὁ τοῦ Ἀντιφίλου δοῦλος, ὃς τὴν ἀναγνωσθεῖσαν ἔφερεν, ᾐρεῖτο ἑτέραν παραλαβεῖν. Ἀπορίας οὖν ἐχούσης τὸν βασιλέα, τῶν φίλων τις τῶν τοῦ Ἡρώδου θεώμενος ὑπερραμμένον τοῦ δούλου τὸν ἐντὸς χιτῶνα, (ἐνεδεδύκει γὰρ δύο,) εἶχασεν ἐντὸς τῆς ἐπιπτυχῆς κρύπτεσθαι τὰ γράμματα. Καὶ ἦν δὲ οὕτως. Λαμβάνουσιν οὖν τὴν ἐπιστολὴν, ἐγγεγραμμένα τε ἦν ἐν αὐτῇ τάδε. « Ἀκμὴ Ἀντιπάτρῳ. « Ἔγραψα τῷ πατρί σου οἵαν ἤθελες ἐπιστολὴν, καὶ ἀν« τίγραφον ποιήσασα τῇ πρὸς τὴν ἐμὴν κυρίαν ὡς παρὰ « Σαλώμης ἔγραψα· ἣν ἀναγνοὺς, οἷς' ὅτι τιμωρήσεται « Σαλώμην ὡς ἐπίβουλον. » Ἦν δὲ ἡ παρὰ τῆς Σαλώμης δοκοῦσα εἶναι πρὸς τὴν δέσποιναν αὐτῆς, ὑπ' Ἀντιπάτρου ἐπ' ὀνόματι τῷ Σαλώμης, ὅσα γοῦν ἡ διάνοια θέλει ὑπαγορευομένη, λέξει δὲ συνέκειτο αὐτῆς. Τὰ δὲ γεγραμμένα ἦν τοιάδε. « Ἀκμὴ βασιλεῖ Ἡρώδῃ. « Ἐγὼ ἔργον ποιουμένη μηδέν σε λανθάνειν τῶν κατὰ « σοῦ γινομένων, εὑροῦσα ἐπιστολὴν Σαλώμης πρὸς τὴν « ἐμὴν κυρίαν κατὰ σοῦ γεγραμμένην, ἐπικινδύνως ἐ « μαυτῇ, σοὶ δὲ ὠφελίμως ἐξεγραψάμην, καὶ ἀπέστειλά « σοι. Ταύτην δὲ ἐκείνη ἔγραψε γήμασθαι Συλλαίῳ « θέλουσα. Κατάσχισον οὖν τὴν ἐπιστολὴν, ἵνα μὴ « κἀγὼ τὸ ζῆν κινδυνεύσω. » Πρὸς δὲ αὐτὸν ἐγέγραπτο Ἀντίπατρον, διασαφούσης ὅτι διακονουμένη κελεύσματι τῷ ἐκείνου αὐτή τε γράψειε πρὸς Ἡρώδην, ὡς Σαλώμης ἐπιβούλως αὐτῷ πράσσειν ἐπειγομένης τὰ πάντα, καὶ ἀντίγραφον τῆς ὡς πρὸς δέσποιναν τὴν αὐτῆς, πεμφθείσης ἐπιστολῆς ἀπὸ Σαλώμης ἀποπέμψειεν αὐτή. Ἦν δὲ ἡ Ἀκμὴ, Ἰουδαία μὲν τὸ γένος, ἐδούλευε δὲ Ἰουλίᾳ τῇ Καίσαρος γυναικί· καὶ ἔπρασσε ταῦτα φιλίᾳ τῇ Ἀντιπάτρου, ὠνηθεῖσα ὑπ' αὐτοῦ μεγάλῃ δόσει χρημάτων συγκακουργεῖν κατά τε τοῦ πατρὸς καὶ κατὰ τῆς τηθίδος.

η'. Ἡρώδης δὲ, ἐκπλαγεὶς μεγέθει τῆς Ἀντιπάτρου κακίας, ὥρμησε μὲν καὶ παραχρῆμα αὐτὸν ἀνελεῖν, ὡς κύκηθρον μεγάλων γεγονότα πραγμάτων, καὶ μὴ μόνον

tur datum, confestim exstinctus est. Tunc ille surgit et e concilio discedit, et postridie Antiochiam proficiscitur, ubi plurimum commorari solebat, quoniam id Syrorum palatium est. Herodes vero filium protinus vinculis astringendum curavit : neque vulgo sciebatur quid cum eo loquutus Varus fuisset, antequam discederet; multi tamen opinabantur ex sententia illius acta esse quæcunque in Antipatrum admiserat. Eo vincto, misit de eo literas Romam ad Cæsarem, et una homines qui eum verbis de Antipatri malitia docerent. *Per eos autem dies interceptæ sunt literæ* per Antiphilum ex Ægypto (ibi enim ille degebat) ad Antipatrum scriptæ : in quibus, a rege solutis, ista continebantur. « Misi tibi Acmes literas, etiam cum vitæ meæ dis« crimine. Nosti enim mihi rursus a duabus familiis « immineре periculum, si deprehendor. Opto tibi in isto « negotio successum. » In hanc sententiam scripta erat hæc epistola. Rex autem et alteram epistolam requirebat; nusquam tamen apparuit : et servus Antiphili, qui lectam attulerat, negabat se ullam præterea accepisse. Quum autem dubius hæreret rex, unus ex amicis ejus, animadversa quadam sutura in interiori servi tunica (nam duabus erat indutus) conjectavit in plicatura latere literas. Atque ita erat. *Epistolam igitur arripiunt*, quæ ista scripta continebat. « Acme Antipatro. Scripsi ad tuum patrem qua« les volebas literas, eique exemplum mitto fictarum Salo« mes literarum ad dominam meam, quibus lectis scio « sumpturum de Salome tanquam insidiatrice supplicium. » Fuerant autem literæ hæ, quæ Salomes ad Acmes dominam esse videbantur, compositæ ab Antipatro Salomes nomine quantum ad sensum, ipsius vero Acmes verbis. Literæ autem sic se habebant. « Acme regi Herodi. Ego dans « operam ut nihil te lateat eorum quæ contra te fiunt, « nacta Salomes epistolam ad dominam meam contra te « scriptam, eam mihi periculose, sed tibi utiliter exscripsi, « et tibi misi. Hanc illa scripsit volens nubere Syllæo. « *Igitur* has literas conscinde, ne ego de vita *periclitер*. » Ad ipsum autem Antipatrum scripta erat epistola, indicante se mandatis ejus obsequutam esse, et ad Herodem scripsisse, quasi Salome ei ut insidiaretur omnia agere festinaret : insuper et exemplar epistolæ ad dominam suam a Salome missæ ad eum mittendum curasse. Erat autem hæc Acme Judæa genere, Juliæ Cæsaris uxoris serva : atque ista faciebat in Antipatri gratiam, qui eam grandi pecunia corruperat, ut ipsum adjuvaret in nece maturanda patri amitæque.

8. Herodes autem, singulari Antipatri malitia stupefactus, impetu ferebatur ad ipsum e vestigio tollendum, ut magnarum rerum turbatorem, et qui non sibi solum, sed et sorori

αὐτῷ, ἀλλὰ καὶ τῇ ἀδελφῇ ἐπιβεβουλευκότα καὶ τοῦ Καίσαρος διεφθαρκότα τὴν οἰκίαν. Ἐξώτρυνε δὲ αὐτὸν καὶ ἡ Σαλώμη, στερνοτυπουμένη καὶ κτείνειν αὐτὴν κελεύουσα, εἴ τινος ἐπὶ τοιοῖσδε πίστεως αἰτίαν ἀξιόχρεων οἵα τε παρασχεῖν γένοιτο. Ἡρῴδης δὲ μεταπέμψας ἀνέκρινε τὸν υἱὸν, κελεύων, εἴ τι ἀντειπεῖν ἔχει, λέγειν μηδὲν ὑπιδόμενον. Ἐπεὶ δὲ ἀχανὴς ἦν, ἤρετο αὐτὸν, ἐπειδὴ πανταχοῦ πεφώραται πονηρὸς ὤν, τοὺς γοῦν συγκακουργήσαντας αὐτῷ τὰ πράγματα μὴ μελλῆσαι κατειπεῖν. Ὁ δὲ Ἀντιφίλῳ τὴν πάντων αἰτίαν ἀνετίθει, ἕτερον δ' οὐδένα προὐτίθει. Ἡρῴδης δὲ περιαλγῶν ὥρμησε μὲν πέμπειν ἐπὶ Ῥώμης τὸν υἱὸν ὡς Καίσαρα, λόγον ὑφέξοντα τῶν ἐπὶ τοῖσδε βουλευμάτων· ἔπειτα δείσας μὴ βοηθείᾳ τῶν φίλων εὑρίσκοιτο τοῦ κινδύνου διαφυγήν, αὐτὸν μὲν δέσμιον ὡς καὶ πρότερον ἐφύλασσεν, αὖθις δὲ πρίσβεις ἐξέπεμψε καὶ γράμματα ἐπὶ κατηγορίαν τοῦ υἱέος, ὁπόσα τε Ἄκμὴ συγκακουργήσειεν αὐτῷ, καὶ ἀντίγραφα τῶν ἐπιστολῶν.

ΚΕΦ. Ϛ'.

Καὶ οἱ μὲν πρέσβεις ἐπὶ τῆς Ῥώμης ἠπείγοντο, ὁπόσα τε ἀνακρινομένους δεήσοι λέγειν προεκδιδαχθέντες καὶ τὰ γράμματα φέροντες. Εἰς νόσον δὲ ὁ βασιλεὺς ἐμπεσὼν διαθήκας γράφει, τῷ νεωνάτῳ τῶν υἱῶν τὴν βασιλείαν διδοὺς, μίσει τῷ πρὸς τὸν Ἀρχέλαον καὶ Φίλιππον ἐκ τῶν Ἀντιπάτρου διαβολῶν, Καίσαρί τε χρήματα ταλάντων χιλίων, καὶ γυναικὶ Ἰουλίᾳ τῇ Καίσαρος καὶ τέκνοις καὶ φίλοις καὶ ἀπελευθέροις Καίσαρος πεντακοσίων. Ἔνεμε δὲ καὶ τοῖς υἱέσι χρήματα καὶ προσόδους καὶ ἀγροὺς καὶ υἱέσι τοῖς ἐκείνων· Σαλώμην τε ἐπὶ μέγα ἐπλούτιζε τὴν ἀδελφὴν, εὔνουν τε ἐν πᾶσι πρὸς αὐτὸν διαμεμενηκυῖαν καὶ μηδαμόθι θρασυνομένην κακουργεῖν. Ἀπεγνωκὼς δὲ περιοίσειν (καὶ γὰρ περὶ ἔτος ἑβδομηκοστὸν ἦν) ἐξηγρίωσεν ἀκράτῳ τῇ ὀργῇ καὶ πικρίᾳ εἰς πάντας χρώμενος· αἴτιον δὲ ἦν δόξα τοῦ καταφρονεῖσθαι καὶ ἡδονῇ τὰς τύχας αὐτοῦ τὸ ἔθνος φέρειν, ἄλλως τε ἐπειδή τινες τῶν δημοτικωτέρων ἀνθρώπων καὶ ἐπανέστησαν αὐτῷ διὰ τοιαύτην αἰτίαν.

β'. Ἦν Ἰούδας ὁ Σαριφαίου καὶ Ματθίας ὁ Μαργαλώθου Ἰουδαίων λογιώτατοι καὶ παρ' οὐστιναοῦν τῶν πατρίων ἐξηγηταὶ νόμων, ἄνδρες καὶ δήμῳ προσφιλεῖς διὰ παιδείαν τοῦ νεωτέρου· (ὁσημέραι γὰρ διημέρευον αὐτοῖς πάντες οἷς προσποίησις ἀρετῆς ἐπετετήδευτο·) οἳ τότε πυνθανόμενοι τοῦ βασιλέως τὴν νόσον θεραπεύειν ἄπορον οὖσαν, ἐξῆραν τὸ νεώτερον, ὥστε ὁπόσα παρὰ τὸν νόμον τὸν πάτριον κατεσκεύαστο ἔργα ὑπὸ τοῦ βασιλέως, ταῦτα καθελόντες εὐσεβείας ἀγωνίσματα παρὰ τῶν νόμων φέρεσθαι· καὶ γὰρ δὴ διὰ τὴν τόλμαν αὐτῶν, παρ' ἃ διηγόρευεν ὁ νόμος, τῆς ποιήσεως, τά τε ἄλλα αὐτῷ συντυχεῖν οἷς παρὰ τὸ εἰωθὸς τοῦ ἀνθρώπου διετρίβη καὶ δὴ καὶ τὴν νόσον. Ἦν γὰρ τῷ Ἡρῴδῃ τινὰ πραγματευθέντα παρὰ τὸν νόμον, ἃ δὴ ἐπεκάλουν οἱ περὶ τὸν Ἰούδαν καὶ Ματθίαν. Κατεσκευάκει δὲ ὁ βασιλεὺς ὑπὲρ τοῦ πυλῶνος τοῦ μεγάλου τοῦ

insidias struxerit, domumque Cæsaris corruperit. Præterea eum incitabat Salome, quæ pectus plangeret seque occidi juberet, si quod argumentum istis de rebus fide dignum contra se afferri possit. Itaque Herodes filium evocavit et interrogavit, jussitque ut sine ulla dissimulatione diceret si quid contra haberet. Illo autem obmutescente petiit ab eo ut, postquam undequaque malus reperiretur, saltem suos in his sceleribus adjutores sine mora nominaret. Ille vero Antiphilum omnium auctorem esse dicebat, neque quenquam alium indicabat. Tum Herodes valde dolens festinavit Romam mittere filium ad Cæsarem, pœnas daturum scelerum quæ mente agitaverat : at deinde veritus ne amicorum ope periculo eximeretur, eum in custodia, ut antea, habuit ; iterumque legatos misit ad Cæsarem et literas ad filium accusandum, indiciaque eorum quæ Acme ad illius maleficia contulerat, adjunctis literarum exemplaribus.

CAP. VI. (VIII.)

Interea, dum legati jam ante edocti quid responderent ad interrogata, et literas secum ferentes, Romam properabant, rex in morbum lapsus, testamentum fecit, in quo filiorum suorum natu minimo regnum dabat, ob odium quo tum Archelaum et Philippum ob Antipatri calumnias prosequebatur; Cæsarique mille talenta donabat, et Juliæ Cæsaris uxori et Cæsaris filiis et amicis et libertis quingenta. Filiis præterea suis pecuniam et pensiones et agros distribuebat, itemque nepotibus suis : Salomen etiam sororem suam valde locupletabat, quod in omnibus summam ei benevolentiam præstiterit, et nusquam aliquid adversus eum moliri ausa fuerit. Quumque convaliturum se non sperasset, quippe jam septuaginta circiter annos natus, efferatus est, et ex ira et acerbitate cum omnibus stomachabatur, eo præcipue nomine, quod contemni se gentemque suo malo delectari putabat. Accedit quod exstiterunt quidam e maxime popularibus, qui in eum etiam consurrexerunt ob hujusmodi causam.

2. Erant Judas Sariphæi et Matthias Margalothi filius. Judæorum eloquentissimi et legis patriæ interpretes præstantissimi, viri populo etiam carissimi, quoniam juventutem docerent : qui enim virtuti comparandæ studebant, eos quotidie frequentabant. Hi tum, audientes regis morbum esse insanabilem, concitarunt juventutem, ut, sublatis operibus quæcunque a rege præter patriam consuetudinem facta fuissent, certaminis pro pietate præmia ex legibus ferrent : nam ex eo quod ausus esset ea facere quæ ne fierent lege cautum erat, morbum istum ut et cætera infortunia proficisci, quibus aliquanto secus atque solent homines multatus fuerit. Quippe nonnulla ab Herode contra legem fabricata fuerant, quæ ei crimine dabant Judas et Matthias. Fecerat enim rex et super majorem portam templi dedica-

ναοῦ ἀνάθημα καὶ λίαν πολυτελὲς, ἀετὸν χρύσεον μέγαν· κωλύει δὲ ὁ νόμος εἰκόνων τε ἀναστάσεις ἐπινοεῖν καί τινων ζώων ἀναθέσεις ἐπιτηδεύεσθαι τοῖς βιοῦν κατ' αὐτὸν προηρημένοις. Ὥστε ἐκέλευον οἱ σοφισταὶ τὸν ἀετὸν κατασπᾶν· « καὶ γὰρ εἴ τις ἂν γένοιτο κίνδυνος τῶν εἰς θάνατον ἀναχειμένων, πολὺ τῆς ἐν τῷ ζῆν ἡδονῆς λυσιτελεστέραν φαίνεσθαι τὴν προτεθειμένην ἀρετὴν ὑπ' αὐτοῦ, τοῖς ἐπὶ σωτηρίᾳ καὶ φυλακῇ τοῦ πατρίου μελλήσουσι τελευτᾶν, διὰ τὸ ἀΐδιον τοῦ ἐπαινεῖσθαι φήμην κατασκευασαμένους, ἔν τε τοῖς νῦν ἐπαινεθήσεσθαι καὶ τοῖς ἐσομένοις ἀειμνημόνευτον καταλιπεῖν τὸν βίον. Καίτοι γε τοῖς ἀκινδύνως διαιτωμένοις ἄφυκτον εἶναι τὴν συμφορὰν, ὥστε καλῶς ἔχειν τοῖς ἀρετῆς ὀριγνωμένοις τὸ κατεψηφισμένον αὐτῶν μετ' ἐπαίνων καὶ τιμῶν δεχομένοις ἀπιέναι τοῦ βίου. Φέρειν καὶ κούφισιν πολλὴν τὸ ἐπὶ καλοῖς ἔργοις, ὧν μνηστῆρα τὸν κίνδυνον εἶναι, τελευτᾶν, καὶ ἅμα υἱέσι τοῖς αὐτῶν, καὶ ὁπόσοι τοῦ συγγενοῦς καταλείποιντο ἄνδρες ἢ γυναῖκες, καὶ τοῖσδε περιποιῆσαι ὄφελος εὐκλείᾳ τῇ ἀπ' αὐτῶν. »

γ'. Καὶ οἱ μὲν τοιούτοις λόγοις ἐξῆραν τοὺς νέους. Ἀφικνεῖται δὲ λόγος εἰς αὐτοὺς τεθνάναι φράζων τὸ βασιλέα, καὶ συνέπραττε τοῖς σοφισταῖς. Καὶ μέσης ἡμέρας ἀνελθόντες κατέσπων τε καὶ πελέκεσιν ἐξέκοψαν τὸν ἀετὸν, πολλῶν ἐν τῷ ἱερῷ διατριβόντων. Καὶ ὁ στρατηγὸς τοῦ βασιλέως (ἀγγέλλεται γὰρ ἡ ἐπιχείρησις πρὸς αὐτόν) ἀπὸ μείζονος διανοίας ἢ ἐπράσσετο ὑπολαβὼν ἄνεισι χεῖρα πολλὴν ἀγόμενος, ὁπόσοι ἀνθέξοιεν τῷ πλήθει τῶν πειρωμένων καθαιρεῖν τὸ ἀνάθημα· ἐπιπεσών τε μὴ προσδεχομένοις, ἀλλ' ὁποῖα ὄχλος φιλεῖ δόξῃ μᾶλλον ἀμαθεῖ ἢ προνοίᾳ ἀσφαλεῖ τετολμηκόσι, ἀσυντάκτοις τε καὶ μηδὲν τοῦ ὀνήσαντος προανεσκοπημένοις, τῶν τε νέων οὐκ ἐλάσσους τεσσαράκοντα ἀνδρῶν, οἳ θάρσει ἁμένον ἐπιόντα εἰς φυγὴν τοῦ λοιποῦ πλήθους καταστάντος, συλλαμβάνει, καὶ τοὺς εἰσηγητὰς τοῦ τολμήματος Ἰούδαν καὶ Ματθίαν, ἄδοξον ἡγουμένους ὑποχωρεῖν τὴν ἔφοδον αὐτοῦ, καὶ ἀνηγάγετο ἐπὶ τὸν βασιλέα. Ἐρομένου δὲ ἐπεὶ ἀφίκοντο ἐπ' αὐτὸν τοῦ βασιλέως, εἰ τολμήσειαν αὐτοῦ τὸ ἀνάθημα καθελεῖν, « ἀλλὰ καὶ πεφρόνηταί γε ἡμῖν τὰ φρονηθέντα καὶ « πέπρακται τὰ πεπραγμένα μετ' ἀρετῆς ἀνδράσι πρε« πωδεστάτης. Τοῦ τε γὰρ θείου τῇ ἀξιώσει πεπι« στευμένα βεβοήθηται ὑφ' ἡμῶν καὶ τοῦ νόμου τῇ « ἀκροάσει πεφροντίσμεθα· θαυμαστόν τε οὐδὲν εἰ τῶν « σῶν δογμάτων ἀξιωτέρους τετηρῆσθαι ἡγούμεθα « τοὺς νόμους, οὓς Μωϋσῆς ὑπαγορεύσει καὶ διδαχῇ « τοῦ Θεοῦ γραψάμενος κατέλιπεν. Ἡδονῇ τε τὸν θά« νατον οἴσομεν καὶ τιμωρίαν ἥντινα ἐπιβάλοις, διὰ τὸ « μὴ ἐπ' ἀδίκοις ἔργοις, ἀλλὰ φιλίᾳ τοῦ εὐσεβοῦς μέλλειν συνείσεσθαι τὸ ἐφομιλῆσαν αὐτοῦ. » Καὶ οἱ μὲν ταῦτα πάντες ἔλεγον, οὐδὲν ἐλλιπεστέρᾳ τῇ τόλμῃ τοῦ λόγου χρώμενοι, ἢ θαρσήσαντες τὸ ἔργον πράττειν οὐκ ἀπετράποντο. Βασιλεὺς δὲ αὐτοὺς καταδήσας ἐξέπεμπεν εἰς Ἱεριχοῦντα, καλέσας Ἰουδαίων τοὺς ἐν

verat ingentem et magni pretii aquilam ex auro : lege autem vetitum est iis qui volunt ex ejus institutis vitam agere, vel quidquam cogitare de imaginibus erigendis, operamve dare animantium simulacris consecrandis. Atque adeo dictitabant illi magistri aquilam istam deturbandam esse : « quodsi cui ejusmodi immineat periculum ut morti devoveatur, bonum ea ex re propositum illis, qui pro legibus patriis conservandis tuendisque morituri sint, longe magis e re sua esse videri quam voluptatem ex vitæ usura percipiendam, eo quod sempiterna sibi laude comparata vitam relicturi sint, præsenti seculo celebrandam, futurisque in omne ævum memorandam. Et iis quidem, qui sine periculo vitam agant, non effugiendam esse mortis calamitatem, proinde recte facturos qui virtutis desiderio teneantur, si, quod fors tulerit cum laude et gloria amplectentes, diem obierint supremum. Quippe magnum afferre levamen, præclaris operibus, ad quæ provocent pericula, immori, ut ex gloria illorum simul ad filios redundet utilitas, ejusque in partem tota cognatio tam viri quam feminæ veniant. »

3. Dum illi his et aliis sermonibus juventutem incitant, nunciatur obiisse regem, id quod plurimum adjuvabat istos magistros. Itaque illi meridie aquilam demolitum eunt, atque eam securibus discindunt, spectantibus multis qui in templo morabantur. Hoc ubi regis prætori nunciatum est, is, suspicatus majorem aliquam rem quam revera esset tentari, eo cum magna manu proficiscitur, satis valida ad multitudinis impetum repellendum, quæ id agebat ut tolleretur quod rex dedicaverat : quumque inopinantes aggressus esset, sed ut solet vulgus ad audendum aliquid magis opinione temere præsumpta quam tuta rerum provisione adductum, incompositos quique nihil quod in rem suam esset animo prospexerant, juvenes ad quadraginta, qui reliquis fuga dilapsis eum animose exspectarant, comprehendit, factique suasores ducesque Judam et Matthiam, qui sibi dedecori esse putarunt ad adventum ejus recedere; eosque ad regem perdux it. Quos quum rex, postquam ad eum venerant, interrogasset an quod ipse dedicasset, id dejicere ausi fuissent, « at nos, *inquiunt*, et de iis quæ deliberata « erant deliberavimus, et quod factum erat id fecimus, « ut viros bonos fortesque decuit. Nam et iis succur« rimus quæ Dei honori sacrata sunt, et de lege ex ejus « auditione solliciti esse didicimus, nihilque mirum si ser« vatu digniora credimus jussis tuis ea quæ Moyses Deo « docente et suggerente scripta reliquit. Nobisque volupe « erit mortem, etiam quovis supplicio exacerbatam, obire, « ut qui conscii erimus nos cum ea congressuros, non ob « maleficia, sed ob pietatis amorem. » Atque in istis quidem illi omnes consentiebant, audacia verbis respondente adhibita, qua animati facinus aggredi non dubitarunt. Rex autem, ubi eos colligaverat, Hierichuntem nuncios misit,

τέλει. Καὶ παραγενομένων, ἐξεκλησιάσας εἰς τὸ αὐτὸ θέατρον ἐπὶ κλινιδίου κείμενος ἀδυναμίᾳ τοῦ στῆναι, τῶν ἀγωνιῶν τε ἐφ' ὅσον δή τινες ἦσαν ἐπ' αὐτοὺς γεγονυῖαι ἀνηριθμεῖτο, καὶ τοῦ ναοῦ τὴν κατασκευὴν ὡς μεγάλοις τέλεσι τοῖς αὐτοῦ γένοιτο, μὴ δυνηθέντων ἔτεσιν ἑκατὸν εἴκοσι πέντε τῶν Ἀσαμωναίου ἐν οἷς ἐβασίλευον τοιόνδε τι ἐπὶ τιμῇ πρᾶξαι τοῦ Θεοῦ· κοσμῆσαι δὲ καὶ ἀναθήμασιν ἀξιολόγοις, ἀνθ' ὧν ἐλπίδα μὲν αὐτῷ γενέσθαι κἂν μεθ' ὃ θάνοι καταλελείψεσθαι μνήμην τε αὐτοῦ καὶ εὔκλειαν. Κατεδόα τε ἤδη, διότι μηδὲ ζῶντα ὑβρίζειν ἀπόσχοιντο εἰς αὐτὸν, ἀλλ' ἡμέρας τε καὶ ἐν ὄψει τῆς πληθύος ὕβρει χρωμένους ἅψασθαι τῶν ὑπ' αὐτοῦ ἀνακειμένων, καὶ καθαίρεσιν ὑβρίζοντας [τε] ποιεῖσθαι λόγῳ μὲν εἰς αὐτὸν, ἀληθείᾳ δὲ, εἴ τις ἐξετάζοι τὸ γεγονὸς, ἱεροσυλοῦντας.

δ'. Οἱ δὲ διὰ τὴν ὠμότητα αὐτοῦ μὴ δὴ καὶ κατ' αὐτῶν ἐξαγρώσας εἰσπράττοιτο τιμωρίαν, οὔτε γνώμῃ ἔφασαν αὐτὰ πεπρᾶχθαι τῇ αὐτῶν, φαίνεσθαί τε αὐτοῖς οὐκ ἀπηλλαγμένα κολάσεως αὐτὰ εἶναι. Ὁ δὲ τοῖς μὲν ἄλλοις πρᾳοτέρως ἔσχεν, Ματθίαν δὲ τὸν ἀρχιερέα παύσας ἱερᾶσθαι ὡς αἴτιον τοῦ μέρους τούτων γεγονότα, καθίστα Ἰώζαρον ἀρχιερέα, ἀδελφὸν γυναικὸς τῆς αὐτοῦ. Ἐπὶ δὲ τοῦ Ματθίου τούτου ἱερωμένου συμβαίνει καὶ ἕτερον ἀρχιερέα καταστῆναι πρὸς μίαν ἡμέραν ἣν Ἰουδαῖοι νηστείαν ἄγουσιν. Αἰτία δέ ἐστιν ἥδε. Ὁ Ματθίας ἱερώμενος ἐν νυκτὶ τῇ φερούσῃ εἰς ἡμέραν ἣ ἡ νηστεία ἐνίστατο ἔδοξεν ἐν ὀνείρατι ὠμιληκέναι γυναικί· καὶ διὰ τόδε οὐ δυναμένου ἱερουργεῖν, Ἰώσηπος ὁ τοῦ Ἐλλήμου συνιεράσατο αὐτῷ, συγγενὴς ὤν. Ἡρῴδης δὲ τόν τε Ματθίαν ἐπεπαύκει τῆς ἀρχιερωσύνης καὶ τὸν ἕτερον Ματθίαν, ὃς ἐγηγέρκει τὴν στάσιν, καὶ ἄνδρας ἐκ τῶν ἑταίρων αὐτοῦ ἔκαυσε ζῶντας. Καὶ ἡ σελήνη δὲ τῇ αὐτῇ νυκτὶ ἐξέλιπεν.

ε'. Ἡρῴδῃ δὲ μειζόνως ἡ νόσος ἐνεπικραίνετο, δίκην ὧν παρανομήσειεν ἐκπρασσομένου τοῦ Θεοῦ. Πῦρ μὲν γὰρ μαλακὸν ἦν, οὐχ ὧδε πολλὴν ἀποσημαῖνον τοῖς ἐπαφωμένοις τὴν φλόγωσιν, ὁπόσην τοῖς ἐντὸς προσετίθει τὴν κάκωσιν. Ἐπιθυμία δὲ δεινὴ τοῦ δέξασθαί τι ἀπ' αὐτοῦ· οὐ γὰρ ἦν μὴ οὐχ ὑπουργεῖν· καὶ ἑλκώσεις τῶν τε ἐντέρων καὶ μάλιστα τοῦ κώλου δειναὶ ἀλγηδόνες, καὶ φλέγμα ὑγρὸν περὶ τοὺς πόδας καὶ διαυγές· παραπλησία δὲ καὶ περὶ τὸ ἦτρον κάκωσις ἦν· ναὶ μὴν καὶ τοῦ αἰδοίου σῆψις σκώληκας ἐμποιοῦσα· πνεύματός τε ὀρθία ἔντασις, καὶ αὖτη λίαν ἀηδὴς ἀχθηδόνι τε τῆς ἀποφορᾶς καὶ τῷ πυκνῷ τοῦ ἄσθματος· ἐσπασμένος τε περὶ πᾶν ἦν μέλος, ἰσχὺν οὐχ ὑπομονητὴν προστιθέμενος. Ἐλέγετο οὖν ὑπὸ τῶν θειαζόντων καὶ οἷς ταῦτα προαποφθέγγεσθαι σοφίᾳ προὔκειτο, ποινὴν τοῦ πολλοῦ δυσσεβοῦς ταύτην ὁ Θεὸς εἰσπράσσεσθαι παρὰ τοῦ βασιλέως. Ὁ δὲ, καίπερ δὴ μειζόνως ἢ ἀντίσχοι ἄν τις ταλαιπωρούμενος, ἐν ἐλπίδι τοῦ ἀνασῴζεσθαι ἦν, ἰατρούς τε μεταπέμπων καὶ ὁπόσα ἀρωγὰ ὑπαγορεύσειαν χρῆσθαι μὴ ἀποτετραμμένος· ποταμόν τε περάσας Ἰορδάνην, θερμοῖς τοῖς

Judæorum primores accersens. Quumque illi convenissent, concione advocata in ipsum theatrum, rex in lectica jacens, quoniam stare non posset, enumerabat quot et quam diu ipsorum causa labores pertulisset, utque templum magnis suis sumptibus exstruxisset, quum Asamonæi nati centum viginti quinque annis, quibus regnassent, nullum unquam tale opus ad Dei honorem facere potuissent : idque se ornasse præcellentibus donariis, pro quibus se etiam post mortem celebratum et collaudatum iri sperasset. Hic vero clamare cœpit, eos ne vivente quidem se a contumeliis abstinere, quin luce palam auderent suis donariis manus admovere, eaque deturbare, per simulationem ipsum contumelia afficiendi, sed re ipsa, si res diligenter perpenderetur, id esse sacrilegium.

4. Illi vero ejus crudelitatis metu, ne forte efferatus in ipsos vindictam exigeret, negarunt id factum de sua sententia, ac sibi videri facinus vindicandum. Atque ille in alios satis leniter se gessit, sed Matthiam pontificatus honore, ut earum rerum nonnulla ex parte auctorem, abdicavit, et Jozarum uxoris ejusdem fratrem pontificem creavit. Hujus Matthiæ pontificatu accidit ut alius crearetur pontifex, in unam diem, qua Judæi jejunium agebant, ob hujusmodi causam. Is Matthias, munere sacerdotali fungens, ea nocte, quæ jejunii diem antecessit, visus est sibi secundum quietem rem habere cum muliere : quam ob causam quum rem divinam facere non posset, ei vicariam operam præstitit Josephus Ellemi filius, ejus consanguineus. Hunc autem Matthiam Herodes munus deponere coegit, alterum vero Matthiam qui seditionis auctor exstiterat, et ejus sociorum nonnullos, vivos igni cremavit. Eadem etiam nocte fuit lunæ defectio.

5. Herodi autem morbus magis magisque ingravescebat, Deo pœnas scelerum illius exigente. Nam ignis quidem erat eum lente exurens, qui non tantum tactui ardorem prodebat, quantum partibus internis dolorem afferebat. Ab eodem malo erat vehemens aliquid assumendi desiderium, cui quidem non obtemperare non licebat. Aderat etiam intestinorum exulceratio, maximeque eum vexabant acerbi in colo cruciatus, etiam pedes occupaverat humor aqueus et pellucens, similisque erat circa abdomen mali labes; quin et genitalium putredo gignebat vermes, et laborabat, quum erectus esset, gravi spirandi difficultate quæ tum ob anhelitus fœtorem tum spiritus crebritatem erat molestissima; denique convulsiones per universa propemodum membra insuperabile ipsi robur addebant. Aiebant porro divini, et qui in hujusmodi vaticinandi scientia studium suum collocaverant, hanc multiplicem impietatis pœnam Deum a rege exposcere. Ille vero, licet gravius afflligeretur quam ut quis cruciatum ferre posse videretur, salutem tamen sperabat, et medicos accersebat, et eorum consiliis per omnia obsequebatur : trajectoque Jordane flu-

κατὰ Καλλιρρόην αὐτὸν παρεδίδου, ἅπερ σὺν τῇ ἐς πάντ' ἀρετῇ καὶ πότιμά ἐστιν· ἔξεισι δὲ τὸ ὕδωρ τοῦτο εἰς λίμνην τὴν ἀσφαλτοφόρον λεγομένην. Κἀνταῦθα τοῖς ἰατροῖς δοκῆσαν ὥστε ἀναθάλπειν αὐτὸν, καθεσθεὶς εἰς πύελον ἐλαίου πλέων, δόξαν μεταστάσεως ἐνεποίησεν αὐτοῖς. Τῶν δὲ οἰκετῶν οἰμωγῇ χρωμένων περιενεγκὼν, καὶ μηδ' ἥντινα ἀμφὶ τοῦ σωθησομένου ἐλπίδα ἔχων, τοῖς στρατιώταις ἀνὰ πεντήκοντα δραχμὰς ἑκάστῳ κελεύει νεμηθῆναι. Πολλὰ δὲ καὶ τοῖς ἡγεμόσιν αὐτῶν καὶ φίλοις τοῖς αὑτοῦ ἐδωρεῖτο, καὶ παρῆν αὖθις ἐπὶ Ἱεριχοῦντος· μέλαινά τε χολὴ αὐτὸν ἤρει ἐπὶ πᾶσιν ἐξαγριαίνουσα, ὥστε δὴ τελευτῶν πρᾶξιν τοιάνδε ἐπινοεῖν. Ἀφικομένων προστάγματι τῷ αὐτοῦ Ἰουδαίων ἀνδρῶν παντὸς τοῦ ἔθνους ὅπου ποτὲ ἀξιολόγων, (πολλοὶ δὲ ἐγένοντο ὡς τοῦ παντὸς ἔθνους κατακεκλημένου, καὶ πάντων ἀκροασαμένων τοῦ διατάγματος, εἰς γὰρ θάνατον ἦν ἀνακείμενα τοῖς ἀλογήσασι τῶν ἐπιστολῶν,) ἐμμαινομένου πᾶσι τοῦ βασιλέως ὁμοίως τοῖς τε ἀναιτίοις καὶ παρεσχηκόσιν αἰτίαν, συγκλείσας αὐτοὺς πάντας ἐν τῷ ἱπποδρόμῳ, τήν τε ἀδελφὴν αὐτοῦ Σαλώμην καὶ τὸν ἄνδρα αὐτῆς Ἀλεξᾶν μεταπέμψας, « τεθνήξεσθαι μὲν οὐ πόρρω ἔλεγεν, ἐπὶ τοσόνδε τῶν ἀλγηδόνων αὐτὸν περιεχουσῶν. Καὶ τόδε μὲν οἰστόν τε καὶ πᾶσι φίλον παρατυγχάνειν· ὁλοφυρμῶν δὲ ἄπειρον καὶ πένθους ἐνδεᾶ ὁποῖον ἐπὶ βασιλεῖ πράσσοιτο ἄν, μάλιστα αὐτῷ λυπηρὸν εἶναι. Οὐ γὰρ ἀπὸ σκοποῦ * τὴν Ἰουδαίων διάνοιαν, ὡς εὐκταῖος αὐτοῖς καὶ πάνυ κεχαρισμένος ὁ θάνατος αὐτοῦ, διὰ τὸ καὶ ζῶντος ἐπὶ ἀποστάσει ἐπείγεσθαι καὶ ὕβρει τῶν ὑπ' αὐτοῦ προτιθεμένων. Ἔργον δ' ἄρα ἐκείνων εἶναι κούφισίν τινα αὐτῷ ψηφίσασθαι τοῦ ἐπὶ τοιοῖσδε ἀλγεινοῦ. Τὰ αὐτὰ γὰρ δὴ φρονῆσαι δόξῃ τῇ αὐτοῦ μὴ ἀπειπαμένων μέγαν αὐτοῦ τὸν ἐπιτάφιον γενήσεσθαι, καὶ ὁποῖος οὐδ' ἄλλοις βασιλέων, καὶ πένθος διὰ τοῦ ἔθνους ἅπαντος ἐκ ψυχῆς ὁλοφυραμένων ** ἐπὶ παιδιᾷ καὶ γέλωτι αὐτοῦ. Ἐπὰν οὖν θεάσωνται τὴν ψυχὴν ἀφέντα αὐτὸν, περιστήσαντας τῷ ἱπποδρόμῳ τὸ στρατιωτικὸν ἀγνοοῦν ἔτι τὸν θάνατον αὐτοῦ, (μὴ γὰρ πρότερον εἰς τοὺς πολλοὺς ἐξενεγκεῖν ἢ τάδε πρᾶξαι,) κελεύειν ἀκοντίσαι τοὺς ἐγκαθειργμένους, καὶ πάντας τοῦτον ἀνελόντας τὸν τρόπον διχόθεν αὐτὸν οὐχ ἁμαρτήσοντας τοῦ εὐφρανοῦντος, κυρώσει τε ὧν ἐπιστείλειεν αὐτοῖς μέλλων τελευτᾶν καὶ τῷ πένθει ἀξιολόγῳ τετιμῆσθαι. » Καὶ ὁ μὲν μετὰ δακρύων ποτνιώμενος καὶ τοῦ συγγενοῦς τὴν εὔνοιαν καὶ πίστιν τοῦ θείου προσκαλῶν ἐπέσκηπτε μὴ ἠτιμῶσθαι ἀξιῶν. Κἀκεῖνοι ὡμολόγουν οὐ παραβήσεσθαι.

ς'. Κατανοήσειε δ' ἄν τις τὴν διάνοιαν τοῦ ἀνθρώπου, καὶ ὅτῳ τὰ πρότερα ἤρεσκεν, ὡς ὑπὸ τοῦ φιλοζωεῖν πράξειε τὰ εἰς τοὺς συγγενεῖς πεπραγμένα, ἐκ γοῦν τῶν ἄρτι ἐντολῶν οὐδὲν ἀνθρώπειον εἰσφερομένων, εἴ γε καὶ ἀπιὼν τοῦ βίου πρόνοιαν εἶχεν ὡς ἐν πένθει καὶ ἐρημίᾳ τῶν φιλτάτων τὸ πᾶν καταστήσειεν ἔθνος, ἕνα ἀπὸ ἑκάστου οἴκου κελεύων μεταχειρίσαι, μηδὲν

vio thermis utebatur Callirrhoensibus, quæ præter ceteras tot dotes etiam potui commodæ sunt. Hæ aquæ in lacum influunt, qui bituminis ferax esse dicitur. Ibi quum medicis visum esset eum refovere, demissus in solium olei plenum, in eo esse credebatur ut animam efflaret. Sed famulis ploratum edentibus ad se rediit : ac de salute sua desperans, quinquaginta drachmas militibus viritim jussit distribui. Insuper ducibus et amicis ingentem pecuniæ vim largitus est, ac deinde iterum Hierichuntem revertebatur : ubi atra bile correptus adeo exacerbatus est, ut ad extremum hujusmodi facinus excogitaverit. Quum totius gentis primores, ubicunque degerent, jussu ipsius ad eum convenissent, (quæ fuit ingens sane multitudo, tota quippe gente evocata, et universis edicto obsequutis, quod pœna capitis iis intentata esset qui mandata negligerent,) rex, ut qui similiter in omnes insontes sontesque sæviret, eos in hippodromum cunctos conclusit, deinde, accersita sorore sua Salome ejusque viro Alexa, dicebat, « se, nimirum quod tantis undique premeretur doloribus, non procul a morte abesse : quæ res tolerabilis et omnibus optanda sit. Ut vero sine ulla lamentatione aut luctu, qui rege dignus sit, moreretur, hoc sibi animum urere. Se enim quæ sit Judæorum mens perspectum habere, nihil illis sua morte optatius lætiusque accidere posse, ut qui se vivente rebellare ausi fuerint, suoque donario contumeliam facere. Itaque illorum officii esse ut ad se aliquantulum hoc dolore sublevandum aliquid decernerent. Nam si secum sentire voluerint, fore ut justa sibi splendida, et longe alia quam regibus solent, persolvantur, utque serio per universam nationem luctu condecoretur, *quem alioquin non nisi* per ludum jocumque *deplorarent*. Quare ubi se animam egisse videbunt, debere eos collocare circa hippodromum milites mortis ipsius adhuc ignaros, (neque enim eam nisi hoc perfecto indicandam,) jubereque ut omnes ibi conclusos missilibus configant : atque ita, quum isti hoc modo perempti fuerint, ipsum eos bifariam delectaturos esse, dum et sui morientis voluntatem exsequantur, et ipse luctu memorabili celebretur. » Atque ille quidem eis ista mandavit, plorans miserabiliter, et per amorem consanguinitatis, perque fidem, quam Deo deberent, eos obtestans, ne sibi honorem hunc denegarent : id quod illi se facturos esse promiserunt.

6. Jam vero qui fuerit homini isti animus, etiam si cui priora forsan probabantur, quod ex vitæ amore acta essent quæ in consanguineos suos perpetraverat, ex iis licet conjicere, quæ modo in mandatis, ab omni humanitate aliena dederat, ut totam gentem in luctum et carissimorum desiderium conjiceret, jubendo unum aliquem e singulis familiis neci dari, nulla licet ipsum injuria affecerint, nec criminis cu-

ἄδικον μήτε εἰς αὐτὸν δεδρακότας μήτε ἐφ' ἑτέροις ἐγκλήμασι κατηγορίας αὐτῶν γενομένης, εἰωθότων οἷς προσποίησις ἀρετῆς καὶ πρὸς τοὺς ἐν δίκῃ ἐχθροὺς γεγονότας ἐν τοιοῖσδε καιροῖς τὰ μίση κατατίθεσθαι.

ΚΕΦ. Ζ'.

Ταῦτα δὲ ἐπιστέλλοντος αὐτοῦ πρὸς τοὺς συγγενεῖς, γράμματα παρῆν ὑπὸ τῶν εἰς Ῥώμην πρέσβεων ἀπεσταλμένων πρὸς Καίσαρα· καὶ ἀναγνωσθέντων τὸ κεφάλαιον ἦν ὡς τῆς τε Ἀκμῆς ὀργῇ τῇ Καίσαρος ἀνῃρημένης, ἐφ' οἷς Ἀντιπάτρῳ συγκακουργήσειεν, αὐτόν τε Ἀντίπατρον, ὡς ἐπὶ γνώμῃ τῇ ἐκείνου ποιοῖτο ὡς πατρὸς καὶ βασιλέως εἴτε φυγάδα ἐλάυνειν ἐθελήσειεν εἴτε καὶ κτιννύειν. Τούτων ἀκροώμενος Ἡρώδης βραχὺ μέν τι ἀνήνεγκεν ἡδονῇ τῶν γεγραμμένων, θανάτῳ τε τῆς Ἀκμῆς ἐπαιρόμενος καὶ ἐξουσίᾳ τῆς ἐπὶ τῷ παιδὶ τιμωρίας. Προϊουσῶν δὲ εἰς μέγα τῶν ἀλγηδόνων παρεῖτο τεταλαιπωρημένος σιτίων, καὶ ᾔτησε μῆλον καὶ μαχαίριον· ἦν γὰρ ἐν ἔθει καὶ πρότερον αὐτῷ περιλέψαντι αὐτὸ δι' αὐτοῦ καὶ κατ' ὀλίγον τέμνοντι ἐσθίειν. Λαβὼν δὲ καὶ περιβλεψάμενος γνώμην εἶχεν ὡς παίσων ἑαυτὸν, κἂν ἐπεπράχει, μὴ φθάσαντος αὐτοῦ καταλαβεῖν τὴν δεξιὰν Ἀχιάβου, ὃς ἀνεψιὸς ἦν αὐτοῦ· καὶ μέγα ἀνακραγόντος οἰμωγή τε αὖθις ἀνὰ τὸ βασίλειον ἦν καὶ θόρυβος μέγας ὡς οἰχομένου τοῦ βασιλέως. Καὶ Ἀντίπατρος (πιστεύει γὰρ τέλος ἀληθῶς τὸν πατέρα ἔχειν) θάρσει τε ἐρρῆτο ἐπὶ τοῖς λόγοις, ὅλος ὡς ἤδη τῶν δεσμῶν ἀφειμένος καὶ τὴν βασιλείαν ἀκονιτὶ δεξόμενος εἰς χεῖρας, καὶ τῷ εἱρκτοφύλακι περὶ ἀφέσεως ἦν αὐτοῦ διάλογος, μεγάλα ὑπισχνουμένου εἰς τὸ παρὸν καὶ τὸ αὖθις, ὡς ἂν περὶ τοιόνδε τοῦ ἀγῶνος ἐνεστηκότος. Ὁ δὲ οὐ μόνον ἀπειθὴς ἦν πράσσειν ἐφ' οἷς ἠξίου Ἀντίπατρος, ἀλλὰ καὶ τῷ βασιλεῖ ἀποσημαίνει διάνοιαν τὴν ἐκείνου, πολλαῖς καὶ προσεισφοραῖς παρ' αὐτοῦ χρώμενος. Ὁ δὲ Ἡρώδης καὶ πρότερον οὐχ ἡσσώμενος εὐνοίᾳ τοῦ υἱέος, ἐπεὶ ἤκουσε τοῦ εἱρκτοφύλακος ταῦτα εἰρηκότος, ἀνεβόησέ τε ἀνατυψάμενος τὴν κεφαλὴν, καίπερ ἐν τῷ ὑστάτῳ ὢν, καὶ ἐπὶ τὸν ἀγκῶνα περιάρας ἑαυτὸν κελεύει πέμψας τινὰς τῶν δορυφόρων μηδὲν εἰς ἀναβολὰς, ἀλλ' ἐκ τοῦ ὀξέος κτείναντας αὐτὸν ἐν Ὑρκανίᾳ ταφὰς ἀσήμους ποιεῖσθαι.

ΚΕΦ. Η'.

Τὰς δὲ διαθήκας αὖθις μετέγραφε μεταβολῆς αὐτῷ περὶ τὴν διάνοιαν γενομένης, Ἀντίπαν μὲν, ᾧ τὴν βασιλείαν καταλελοίπει, τετράρχην καθιστὰς Γαλιλαίας τε καὶ Περαίας, Ἀρχελάῳ δὲ τὴν βασιλείαν χαριζόμενος, τήν τε Γαυλωνῖτιν καὶ Τραχωνῖτιν καὶ Βαταναίαν καὶ Παναιάδα Φιλίππῳ, παιδὶ μὲν τῷ αὐτοῦ, Ἀρχελάου δὲ ἀδελφῷ γνησίῳ, τετραρχίαν εἶναι, Ἰάμνειαν δὲ καὶ Ἄζωτον καὶ Φασαηλίδα Σαλώμῃ τῇ ἀδελφῇ αὐτοῦ κατανέμει, καὶ ἀργυρίου ἐπισήμου μυριάδας πεντήκοντα. Προὐνόησε δὲ καὶ τῶν λοιπῶν, ὁπόσοι συγγενεῖς ἦσαν αὐτῷ, χρημάτων τε δόσεσι καὶ

juspiam ab aliis accusati fuerant: quum iis qui vel minimum sibi virtutis vindicant moris sit in eos, quibuscum illis justæ inimicitiæ, in ejusmodi præsertim tempore odium deponere.

CAP. VII. (IX.)

Interim, dum ista cognatis suis mandat, adveniunt Roma literæ a legatis, quos ad Cæsarem miserat, quibus significabatur Acmen indignatione Cæsaris interfectam esse, quod Antipatro facinorum adjutrix fuerit, ipsumque Antipatrum relictum esse arbitrio illius, ut patris et regis, sive in exsilium eum pellere vellet, sive morte mulctare. Quum ista accepisset Herodes, meliuscule se habuit ex tam læto nuncio, animis et ex Acmes interitu sublatis et ex potestate de filio supplicium sumendi sibi permissa. Cruciatibus autem in immensum crescentibus, languescebat inedia confectus, atque pomum poposcit et cultellum: solitus enim erat et antea manu sua poma decorticare et frustatim comesse. Ubi id habuit, circumspexit, et se ipsum ferire voluit. Quod sane fecisset, nisi ejus sobrinus Achiabus manum ei prehendisset, magnumque clamorem edidisset: unde tantus repente in regia ululatus et tumultus coortus est, quantus si mortuus rex fuisset. Et Antipater, patrem vere mortuum credens, cœpit confidenter, quasi jam solutus et rex nullo negotio futurus, loqui, cumque custode carceris de missione agere, multa ei tum in præsens tum in futurum promittens: rem enim jam in eo verti. Ille non solum id, quod voluit Antipater, facere recusabat, sed et voluntatem ejus regi it nunciatum, postquam multas ab eo sollicitationes expertus fuisset. Tum Herodes, qui jam ante male affectus erat erga filium, ubi audivit custodem carceris ista narrantem, cum exclamatione caput sibi, quamvis in extremis esset, percussit, erectusque in cubitum imperat, missis quibusdam satellitibus, ut e vestigio, sine ulla cunctatione, Antipatrum interficerent, eumque in Hyrcania ignobili funere sepelirent.

CAP. VIII. (X.)

Deinde mutata voluntate testamentum suum denuo mutavit *Herodes*: et Antipam quidem, cui regnum reliquerat, Galilææ Perææque tetrarcham constituit, regnum vero Archelao dedit; atque Gaulonitidem et Trachonitidem et Batanæam et Paniadem Philippo filio suo, Archelai fratri, tetrarchiæ nomine concessit; et Salomæ sorori suæ Jamniam et Azotum et Phasaelidem attribuit, et argenti signati quingenta millia. Etiam reliquis, quotquot ipsi consanguinei essent, prospexit atque consuluit, singulos pecuniam iis largiendo reditusve egregie locupletans. Cæsari quoque *le-*

προσόδων ἀναφοραῖς, ἑκάστους ἐν εὐπορίᾳ καθιστάμενος. Καίσαρι δὲ ἀργυρίου μὲν ἐπισήμου μυριάδας χιλίας, χωρὶς δὲ σκεύη τὰ μὲν χρυσοῦ, τὰ δ' ἀργύρου, καὶ ἐσθῆτα πάνυ πολυτελῆ, Ἰουλίᾳ δὲ τῇ Καίσαρος γυναικὶ καί τισιν ἑτέροις πεντακοσίας μυριάδας. Ταῦτα πράξας ἡμέρᾳ πέμπτῃ μεθ' ὃ Ἀντίπατρον κτείνει τὸν υἱὸν τελευτᾷ, βασιλεύσας μεθ' ὃ μὲν ἀνεῖλεν Ἀντίγονον, ἔτη τέσσαρα καὶ τριάκοντα, μεθ' ὃ δὲ ὑπὸ Ῥωμαίων ἀπεδέδεικτο, ἑπτὰ καὶ τριάκοντα, ἀνὴρ ὠμὸς μὲν εἰς πάντας ὁμοίως, καὶ ὀργῆς μὲν ἥσσων· κρείσσων δὲ τοῦ δικαίου, τύχῃ δὲ εἰ καί τις ἕτερος κεχρημένος εὐμενεῖ, (ἔκ τε γὰρ ἰδιώτου βασιλεὺς καταστὰς καὶ κινδύνοις περιστοιχιζόμενος μυρίοις, πάντων ποιεῖται διάδρασιν, καὶ τοῦ ζῆν ἐπὶ μήκιστον ἐξίκετο), ὁπόσα δὲ τὰ κατ' οἶκον περὶ υἱεῖς τοὺς αὐτοῦ, ὅσα μὲν γνώμῃ τῇ ἐκείνου, καὶ πάνυ δεξιᾷ κεχρημένος διὰ τὸ κρίνας ἐχθροὺς κρατεῖν οὐχ ὑστερῆσαι, δοκεῖν δέ μοι καὶ πάνυ δυστυχής.

β'. Σαλώμη δὲ καὶ Ἀλεξᾶς, πρὶν ἔκπυστον γενέσθαι τὸν θάνατον τοῦ βασιλέως, τοὺς ἐπὶ τὸν ἱππόδρομον κατακεκλεισμένους ἐκπέμπονται ἐπὶ τὰ αὐτῶν, φάμενοι βασιλέα κελεύειν ἀπιοῦσιν αὐτοῖς ἐπὶ τοὺς ἀγροὺς νέμεσθαι τὰ οἰκεῖα. Πράσσεταί τε αὐτοῖς ἤδη εὐεργεσία μεγίστη εἰς τὸ ἔθνος. Ἐφανεροῦτο δ' ἤδη ὁ θάνατος τοῦ βασιλέως· καὶ Σαλώμη καὶ Ἀλεξᾶς, συναγαγόντες τὸ στρατιωτικὸν εἰς τὸ ἀμφιθέατρον τὸ ἐν Ἱεριχοῦντι, πρῶτον μὲν ἐπιστολὴν ἀνέγνωσαν πρὸς τοὺς στρατιώτας γεγραμμένην, ἐπί τε πίστεως εὐχαριστίᾳ καὶ εὐνοίας τῆς εἰς αὐτὸν, καὶ παρακλήσει τῶν ὁμοίων παροκωχῆς Ἀρχελάῳ τῷ παιδὶ αὐτοῦ, ὃν βασιλέα καθίσταιτο. Εἶτα μέντοι Πτολεμαῖος, τὸν σημαντῆρα τοῦ βασιλέως πεπιστευμένος, τὰς διαθήκας ἀνέλεγεν, αἳ λήψεσθαι κύρωσιν οὐκ ἄλλως ἔμελλον ἢ Καίσαρος ἐντυχόντος αὐταῖς. Βοὴ οὖν εὐθὺς ἦν ἐκτιμώντων Ἀρχέλαον βασιλέα, καὶ οἱ στρατιῶται κατὰ στίφη τε αὐτοὶ καὶ οἱ ἡγεμόνες εὔνοιάν τε ὑπισχνοῦνται καὶ προθυμίαν τὴν αὐτὴν, καὶ συλλήπτορα τὸν Θεὸν παρεκάλουν.

γ'. Ἐντεῦθεν δὲ τάφον ἡτοίμαζον τῷ βασιλεῖ, μελλῆσαν Ἀρχελάῳ πολυτελεστάτην γενέσθαι τὴν ἐκκομιδὴν τοῦ πατρὸς, καὶ πάντα τὸν κόσμον προκομίσαντος εἰς ὃ συμπομπεύσειε τῷ νεκρῷ. Ἐφέρετο δὲ ἐπὶ κλίνης χρυσέας λίθοις πολυτελέσι καὶ ποικίλοις διαπεπασμένης· στρωμνή τε ἦν ἁλουργὴς καὶ ἡμπίσχετο πορφυρίσιν ὁ νεκρὸς διαδήματι ἠσκημένος, ὑπερκειμένου στεφάνου χρυσέου, σκῆπτρόν τε τῇ δεξιᾷ παρακείμενον. Περὶ δὲ τὴν κλίνην οἵ τε υἱεῖς καὶ τὸ πλῆθος ἦν τῶν συγγενῶν· ἐπὶ δὲ τούτοις τὸ στρατιωτικὸν κατὰ οἰκεῖα ἔθνη καὶ προσηγορίας διέκειντο, οὕτω νεμηθέντες· πρῶτοι μὲν οἱ δορυφόροι, μετὰ δὲ τὸ Θρᾴκιον, ἐπὶ δὲ τούτοις ὁπόσοι Γερμανοί, καὶ τὸ Γαλατικὸν μετ' αὐτοὺς, ἐν κόσμῳ πάντες τῷ πολεμιστηρίῳ. Τούτων δὲ κατόπιν ἤδη πᾶς ὁ στρατὸς ὡς ἐς πόλεμον ἐξοδεύοντες, ὥσπερ ὑπὸ λοχαγῶν ἀγόμενοι καὶ τοῖς τα-

gavit argenti signati centies centena millia, ac præterea vasa tam aurea quam argentea, pretiique stupendi vestes; Juliæ autem Cæsaris uxori et aliis nonnullis quinquagies centena millia. His factis, quinto post occisum Antipatrum die vitam finivit, quum regnasset post interfectum Antigonum annos triginta quattuor, postquam autem a Romanis rex creatus fuerat, triginta septem: vir pari in omnes immanitate, iræ effrenatæ; animoque jus fasque despiciente, fortuna autem, si quis alius, propitia usus, ut qui ex privato ad regnum evectus fuerit, et innumeris circumdatus periculis ex omnibus effugerit, et non nisi provecta ætate vita decesserit. Quod vero ad res domesticas attinet, præsertimque filios suos, hic quoque felix fuit sua sententia, quod se de inimicis victoriam reportasse existimaverit, meo vero judicio pro misero admodum et infelici habendus est.

2. Ceterum Salome et Alexas, antequam divulgata esset regis mors, conclusos in hippodromum domum dimiserunt, dicentes regem jubere ut in provincias suas discederent, resque domi curarent. Ita quidem maximo beneficio ab illis affecta est gens. Atque jam mors regis in ore et sermone omnium cœpit esse: ac Salome et Alexas, militia omni in Hierichuntis theatrum coacta, primum scriptas ad milites literas legerunt, in quibus rex eis ob fidem et gratum erga se animum gratias agebat, et ut idem Archelao filio suo, quem regem instituisset, præstarent orabat. Deinde Ptolemæus, cui creditum erat regis sigillum, testamentum recitavit, quod ratum esse non poterat, nisi prius inspectum esset a Cæsare. Ac subito clamor exstitit in honorem Archelai, eique milites gregatim, necnon duces, eandem, quam patri præstitissent, amicitiam benevolentiamque præstiterunt, Deumque ei secundum exoptarunt.

3. At post hæc funus parabant regi, id agente Archelao ut pater splendidissime efferretur, atque omnem ornatum proferente ut cum pompa comitaretur mortuum. Ferebatur igitur in lectica aurea, multis et variis ingentis pretii lapidibus distincta; stragula murice fulgebat, et corpus purpura erat amictum, cujus vertici adhærebat diadema, supraque corona aurea; et dextra sceptrum gestabat. Lectum stipabant filii et cognatorum multitudo. His proximi erant milites per gentes suas distributi earumque nominibus distincti, in hunc modum dispositi: primi incedebant satellites; deinde *agmen* Thracicum; postea Germani; et deinceps Galli, ornatu omnes militari: reliqua deinde exercitus multitudo, ac si in bellum iretur, ducibus suis

ξιαρχοῦσιν αὐτῶν. Τούτοις εἵποντο πενταχόσιοι τῶν οἰκετῶν ἀρωματοφόροι. Ἦσαν δὲ ἐπὶ Ἡρωδείου στάδια ὀκτώ· τῇδε γὰρ αὐτῷ ἐγένοντο αἱ ταφαὶ κελεύσματι τῷ αὐτοῦ. Ἡρώδης μὲν δὴ τοῦτον ἐτελεύτα τὸν τρόπον.

δ'. Ἀρχέλαος δὲ ἐπὶ μὲν ἑβδόμην ἡμέραν πένθος τὸ ἐπὶ τῷ πατρὶ τιμῶν διετέλει· (τόσας γὰρ διαγορεύει τὸ νόμιμον τοῦ πατρίου·) ἑστιάσας δὲ τοὺς ὁμίλους καὶ καταλύσας τὸ πένθος ἄνεισιν εἰς τὸ ἱερόν. (Ἦσαν δὲ εὐφημίαι καὶ ἔπαινοι καθ' οὕστινας ἴοι, ἑκάστων τὰ πρὸς ἀλλήλους φιλοτιμουμένων εἰς τὸ δοκεῖν μείζοσι χρῆσθαι ταῖς εὐφημίαις. Ὁ δὲ εἰς ὑψηλὸν βῆμα πεποιημένον ἀνελθὼν καὶ ἱδρυθεὶς εἰς θρόνον χρυσοῦ πεποιημένον ἀντεδεξιοῦτο τοὺς ὁμίλους, χάρματι τῶν εὐφημιῶν τὴν εὔνοιαν αὐτῶν ἡδονῇ φέρων· χάριν τε ὡμολόγει, ὅτι μηδὲν αὐτῷ μνησικακοῖεν ἀνθ' ὧν ὁ πατὴρ εἰς αὐτοὺς ὑβρίσειε, καὶ πειράσεσθαι μὴ ἐλλείψειν ἀμειβόμενον τὸ πρόθυμον αὐτῶν. Ἄρτι μέντοι φειδὼ ποιεῖσθαι τοῦ βασιλείου ὀνόματος· τετιμῆσθαι γὰρ αὐτὸν τῇ ἀξιώσει, εἴπερ βεβαίως Καῖσαρ ἐπικυρώσειε τὰς διαθήκας, αἳ ὑπὸ τοῦ πατρὸς ἐγράφησαν αὐτοῦ· δι' ἣν αἰτίαν οὐδὲ τοῦ στρατεύματος ἐν Ἱεριχοῦντι τὸ διάδημα αὐτῷ περιδέσθαι προθυμουμένου δέξασθαι τὸ περιμάχητον τῆς ἐνθένδε τιμῆς, διὰ τὸ μηδέπω τὸν κυρίως ἀποδώσοντα φανερὸν εἶναι παρασχόμενον. Περιιόντων μέν γε εἰς αὐτὸν τῶν πραγμάτων οὐ λείψειν ἀρετῆς τοῦ ἀμειψομένου τὴν εὔνοιαν αὐτῶν· σπουδάσειν γὰρ ἐν πᾶσι τὰ πρὸς αὐτοὺς φανεῖσθαι τοῦ πατρὸς ἀμείνων τὰ πάντα. Οἱ δὲ, οἷον ὄχλος φιλεῖ, οἰόμενοι τὰς πρώτας τῶν ἡμερῶν τὰς διανοίας ἐμφανίζειν τῶν παριόντων ἐπὶ τοιάσδε ἀρχὰς, ὅσῳ πρᾴως καὶ θεραπευτικῶς ὁ Ἀρχέλαος διελέγετο αὐτοῖς, τοσῷδε μειζόνως τε ἐχρῶντο τοῖς ἐπαίνοις καὶ τὰς αἰτήσεις δωρεῶν ἐπεφέροντο, οἱ μὲν εἰσφορὰς ἃς ἐνιαυσίους φέροιεν ἐπικουφίζειν βοῇ χρώμενοι, οἱ δὲ αὖ δεσμωτῶν, οἱ ὑφ' Ἡρώδου ἐδέδεντο (πολλοὶ δὲ ἦσαν καὶ πολλῶν χρόνων), ἀπόλυσιν· εἰσὶ δὲ οἱ ἅρσεις τῶν τελῶν, ἃ ἐπὶ πράσεσιν ἢ ὠναῖς δημοσίαις ἐπεβάλλετο πρασσόμενα πικρῶς, ἠτοῦντο. Ἀντέλεγέ τε οὐδαμῶς Ἀρχέλαος, ἐπίηρα τοῦ ὁμίλου σπουδαῖος ὢν ποιεῖν πάντα, διὰ τὸ νομίζειν μέγα πρᾶγμα εἰς τήρησιν τῆς ἀρχῆς γενήσεσθαι τὴν εὔνοιαν αὐτῷ τῆς πληθύος. Ἐντεῦθεν δὲ θύσας τῷ Θεῷ κατ' εὐωχίαν τρέπεται μετὰ τῶν φίλων.

ΚΕΦ. Θ'.

Ἐν τούτῳ δὲ τινὲς τῶν Ἰουδαίων, συνελθόντες νεωτέρων ἐπιθυμίᾳ πραγμάτων, ὠδύροντο Ματθίαν καὶ τοὺς σὺν αὐτῷ ὑφ' Ἡρώδου ἀποθανόντας, (οἳ παραχρῆμα τῆς ἐκ τοῦ πενθεῖσθαι τιμῆς φόβῳ τῷ ἐκείνου ἀπεστέρηντο, ἦσαν δὲ τῶν ἐπὶ καθαιρέσει τοῦ χρυσοῦ ἀετοῦ καταδεδικασμένων· ἐπὶ μέγα τε τῇ βοῇ καὶ οἰμωγῇ χρώμενοι, καί τινα, ὡς κούφισιν φέροντα τοῖς τεθνεῶσιν, ἀπερρίπτουν εἰς τὸν βασιλέα. Συνόδου τε

et centurionibus præeuntibus. Hos sequebantur quingenti famuli aromata portantes. Ibant autem versus Herodium octo stadia : ibi enim, ut ipse mandaverat, sepultus est. Et Herodes quidem hoc modo e vita excessit.

4. Archelaus autem luctum dierum septem in honorem patris agebat; (tot enim dies postulat patria consuetudo;) deinde quum multitudinem convivio excepisset, luctu finito, in templum ascendit. Atque omnes, quaqua transibat, faustis eum ominibus et præconiis prosequebantur, certatim id agentibus singulis ut quam lætissimas edere viderentur acclamationes. Tum vero ille, conscenso suggestu, sublimis in aurea sella residens, populum vicissim salutabat, ostendens sibi gratam acceptamque esse illorum benevolentiam lætis gratulationibus expressam, eisque gratias egit, quod paternarum in ipsos injuriarum memoriam deposuissent, seque sedulo conaturum ne quid sibi desit quominus egregiæ illorum voluntati vices rependeret. In præsenti quidem regio nomine se abstinere; appellationis tamen honorem consequuturum, si Cæsar testamentum a patre scriptum auctoritate sua confirmaverit : quam ob causam ipsum, cum studiose id ageret exercitus, ut diadema ei imponeretur, honorem ejus adeo expetitum accipere noluisse, quod esset adhuc incerta voluntas ejus qui istum valere ratumque esse jussurus esset. Verum si fuerit adeptus imperium, ipsis non defuturam suam bonitatem qua benevolentiam ipsorum remuneraturus sit : operam enim daturum ut in omnibus erga eos patre melior esse videatur. Illi vero, quo more vulgus solet, rati primis diebus aperiri mentem eorum qui ad tantæ potestatis fastigium provehuntur, quo suavius et humanius eos alloquebatur Archelaus, eo magis eum collaudabant, et ingerebant quæ sibi dari postulabant : alii ut tributa annua diminuerentur clamabant; alii ut vincti solverentur, quos et multos et longo tempore Herodes habebat : erant etiam qui vectigalia rebus in foro emptis venditisque imposita, et satis acerbe exacta, tolli efflagitabant. Ad quæ Archelaus minime contradicebat, quoniam id susceperat ut multitudini in omnibus gratificaretur, quippe quod populi erga se benevolentiam permagni momenti esse existimaret ad confirmationem regni sui. Et hinc, facta re divina, ad convivium cum amicis se contulit.

CAP. IX. (XI.)

Interea Judæi quidam, novarum rerum desiderio congregati, Matthiæ et ejus sociorum, ab Herode occisorum, mortem deplorabant, (qui tunc temporis exsequiarum honore privati erant metu Herodis, erant quippe isti ob dejectam aquilam auream morte multati,) magnum edentes clamorem et lamentationem; insuper et convicia quædam, quasi in mortuorum solatium, in regem jactabant. Quumque in

αὐτοῖς γενομένης ἠξίουν τιμωρίαν αὐτοῖς ὑπ' Ἀρχελάου γενέσθαι κολάσεσι τῶν ὑπὸ Ἡρώδου τιμωμένων, καὶ πάντων γε καὶ πρῶτον καὶ εὐδηλότατον, τὸν ὑπ' αὐτοῦ ἀρχιερέα καθεστῶτα παύσαντα νομιμώτερόν τε ἅμα καὶ καθαρὸν ἀρχιερᾶσθαι ἄνδρα αἱρεῖσθαι. Τούτοις Ἀρχέλαος, καίπερ δεινῶς φέρων τὴν ὁρμὴν αὐτῶν, ἐπένευε, ἔχων τὴν ἐπὶ Ῥώμης ὁδὸν ἀνύεσθαι προκειμένην αὐτῷ τάχος, ἐπὶ περισκοπήσει τῶν ὀξάντων Καίσαρι. Πέμψας δὲ τὸν στρατηγὸν πειθοῖ χρῆσθαι καὶ τῆς ἐπὶ τοιούτοις τιμωρίας ἀποστάντας σκοπεῖν θάνατόν τε ὃς τοῖς φίλοις αὐτῶν συνέλθοι μετὰ νόμων γεγονότα, καὶ τὰς αἰτήσεις ὡς ἐπὶ μέγα τοῦ ὑβρίζειν προΐοιεν, τούς τε καιροὺς οὐκ ἐν τοιοῖσδε εἶναι, μᾶλλον δὲ τοῦ ὁμονοεῖν ἕως καταστησάμενος τὴν ἀρχὴν ἐπινεύσει τῇ Καίσαρος ἀφίκοιτο ὡς αὐτούς· τότε γὰρ κοινῇ βουλεύσειν περὶ ὧν ἀξιοῖεν σὺν αὐτοῖς· ἄρτι δὲ ἀνέχειν, μὴ καὶ στασιάζειν δοκοῖεν.

β'. Καὶ ὁ μὲν ταῦτα ὑπειπὼν καὶ διδάξας τὸν στρατηγὸν ἐκπέμπεται πρὸς αὐτούς. Οἱ δὲ βοῶντες λέγειν τε οὐκ εἴων καὶ εἰς κίνδυνον τοῦ ἀπολουμένου ἐκείνου τε καθίσταν καὶ τῶν ἄλλων ὅστις γε ἐπὶ σωφρονισμῷ καὶ ἀποτροπῇ τῶν τοιῶνδε ὀριγνᾶσθαι [τολμήσειν] φθέγξασθαι φανερὸς ἦν, διὰ τὸ πάντα βουλήσει τῇ αὐτῶν μᾶλλον ἢ ἐξουσίᾳ τῶν ἐφεστηκότων συγχωρεῖν, δεινὸν ἡγούμενοι, εἰ ζῶντός τε Ἡρώδου στερηθεῖεν τῶν φιλτάτων, καὶ τελευτῆς αὐτῷ γενομένης τιμωριῶν τῶν ἐπ' αὐτοῖς, ὡρμηκότες ταῖς γνώμαις, κωλύοιντο, καὶ νόμιμόν τε καὶ δίκαιον ἡγούμενοι ὅ τι μελλήσοι ἡδονὴν αὐτοῖς φέρειν, κίνδυνόν τε τὸν ἀπ' αὐτοῦ προϊδέσθαι τε ἀμαθεῖς καὶ εἴ τῳ ὑποπτευθείη, ὑπερβολῆς αὐτῷ γενομένης τῆς παραχρῆμα ἡδονῆς ἐκ τοῦ τιμωρήσασθαι τοὺς ἐχθίστους δοκοῦντας αὐτοῖς. Πολλῶν δὲ ὑπὸ Ἀρχελάου πεμπομένων οἱ διαλέξοιντο αὐτοῖς, τῶν δὲ οὐχ ὡς ὑπ' ἐκείνου, γνώμῃ δὲ τῇ αὐτῶν [δοκεῖν] παριόντων, ὅπως εἰς τὸ πραΰτερον καταστήσονται αὐτούς, οὐδενὸς ἠνείχοντο εἰπεῖν. Ἀνάστασίς τε ἦν λίαν ὀργῇ χρωμένων, φανεροί τε ἦσαν ἐπὶ μέγα αὐξήσοντες τὴν στάσιν πλήθους ἐπισυρρυέντος αὐτοῖς.

γ'. Ἐνστάσης δὲ κατὰ τόνδε τὸν καιρὸν ἑορτῆς, ἐν ᾗ Ἰουδαίοις ἄζυμα προτίθεσθαι πάτριον, (Φάσκα δὲ ἡ ἑορτὴ καλεῖται, ὑπόμνημα οὖσα τῆς ἐξ Αἰγύπτου ἀπάρσεως αὐτῶν γενομένης, καὶ θύουσιν αὐτὴν προθύμως, πλῆθός τε ἱερείων ὡς οὐκ ἐν ἄλλῃ κατακόπτειν ἐστὶν αὐτοῖς νόμιμον, κάτεισι δὲ πλῆθος ἀναρίθμητος ἐκ τῆς χώρας, ἤδη δὲ καὶ ἐκ τῆς ὑπερορίας, ἐπὶ θρησκείᾳ τοῦ Θεοῦ,) καὶ οἱ νεωτερισταὶ τοὺς περὶ τὸν Ἰούδαν καὶ Ματθίαν ἐξηγητὰς τῶν νόμων ὀδυρόμενοι συστάντες ἐν τῷ ἱερῷ τροφῆς ηὐποροῦντο, τοῖς στασιώταις οὐκ ὂν ἐν αἰσχύνῃ μεταιτεῖν αὐτήν. Καὶ δείσας Ἀρχέλαος μὴ καί τι δεινὸν βλαστήσειεν αὐτῶν τῇ ἀπονοίᾳ, πέμπει σπεῖράν τε ὁπλιτῶν χιλίαρχόν τε τὴν ὁρμὴν στασιαζόντων καταστεῖλαι πρὸ τοῦ, τὸν πάντα ὅμιλον τοῦ μανιώδους αὐτῶν πλέων καταστῆναι, καὶ εἴ τινες διάδηλοι πολὺ τῶν ἄλλων καθίσταιντο προθυ-

unum locum convenissent, ab Archelao contendebant ut id facinus in eos vindicaret, quos habuerat Herodes in pretio, utque in primis pontificem abdicaret ab Herode constitutum, aliumque virum deligeret magis legitimum et ad munus obeundum puriorem. Istis Archelaus, licet graviter illorum impetum ferens, annuebat, quod iter ipsi instaret, quod ad Romam quam celerrime facere proposuerat, ut voluntatem Cæsaris de se perspectam haberet. Misso itaque duce qui persuasione uteretur, ut omisso propter ista vindictæ studio considerarent, et morte pœnas dedisse illorum amicos ex lege, et postulatis eorum magnas inesse contumelias, et tempus hoc alia *consilia* poscere, opusque esse concordia, donec ad ipsos reverteretur in imperio confirmatus approbatione Cæsaris; tunc enim de iis quæ postularent una cum illis consultaturum esse: interim vero quiescerent, ne in seditionis crimen incurrerent.

2. Et ille quidem, quum ista suggessisset edocuisseteque, ducem misit ad eos. Sed illi clamantes eum ne verbum quidem facere permiserunt, mortisque periculum ei intenderunt et ceterorum quicumque palam aliquid dicere auderet eos ad sanam mentem perducturus amoliturusque ab *hujusmodi rerum studio*, *quod plus* suæ *voluntati tribuerent* quam præsidentium auctoritati, grave esse existimantes, si carissimorum, quos vivo Herode amiserant, ne *mortuo* quidem *illo impetraretur ultio*, animis incitati, atque id demum jus et fas reputantes quod ipsis voluptatem allaturum videbatur, et periculum ab eo intentatum providere nescientes, etiamsi alicui de eo suspicio foret, præsenti quippe lætitia nimium elato, quod eos ulturi essent quos sibi inimicissimos esse crediderunt. Et multis ab Archelao missis qui cum eis colloquerentur, quibusdam etiam tanquam non ipsius jussu, sed sponte quasi sua advenientibus, ut ad mitiorem animum reducerentur, neminem ipsos vel tantillum alloqui passi sunt. Et seditio mota est ab iis qui valde irascebantur, palamque erat tumultum valde auctum iri, magno hominum numero ad eos confluente.

3. *Quum autem sub id tempus instaret festum*, *quo* Judæis patrium est vesci non fermentatis panibus, (Pascha autem illa festivitas appellatur, in memoriam exitus illorum ex *Ægypto instituta*, *quam quidem agunt ingenti* lætitia, tumque illis mos est majorem quam in ulla alia solennitate victimarum numerum mactare, atque magna vis hominum ex *universa* regione locisque extra *illius fines* religionis ergo convenit,) etiam seditiosi illi, Judam et Matthiam legis interpretes lamentantes, in fano cœtus habuerunt, non *deficiente victu*, *quem perturbatores istos* non pudebat mendicato quærere. Itaque Archelaus, veritus ne quid gravius oriretur ex illorum insolentia, misit eo *centurionem cum cohorte militum qui seditiosos coercerent*, priusquam cetera multitudo hujus furoris inficeretur contagio: et si quorum emineret in concienda seditione fero-

μίᾳ τοῦ στασιάζειν, ἐπ' αὐτὸν ἀγαγεῖν. Ἐπὶ τούτους οἱ στασιῶται τῶν ἐξηγητῶν καὶ τὸ πλῆθος ἐξηγρίωσαν, βοῇ καὶ διακελευσμῷ χρώμενοι, ὥρμησάν τε ἐπὶ τοὺς στρατιώτας, καὶ παραστάντες καταλεύουσι τοὺς πλείστους αὐτῶν· ὀλίγοι δέ τινες καὶ ὁ χιλίαρχος τραυματίαι διέφυγον. Καὶ τοῖς μὲν ταῦτα πράξασι διὰ χειρῶν αὖθις ἡ θυσία ἦν· Ἀρχελάῳ δὲ ἄπορον ἐδόκει σώζεσθαι τὰ πάντα μὴ οὐκ ἀνακόψοντι τὴν ἐπὶ τοῖσδε ὁρμὴν τῆς πληθύος· ἐκπέμπει δὲ πᾶν τὸ στρατόπεδον καὶ τοὺς ἱππεῖς, οἳ τούς τε αὐτόθι ἐσκηνωκότας κωλύοιεν τοῖς κατὰ τὸ ἱερὸν βοηθεῖν καὶ τοὺς ἐκπίπτοντας ὑπὸ τῶν πεζῶν δέχοιντο ἀντειλῆφθαι τοῦ ἀσφαλοῦς ἤδη πεπιστευκότας. Καὶ εἰς μὲν τρισχιλίους ἄνδρας ἐκτειναν οἱ ἱππεῖς, τὸ δὲ λοιπὸν ᾤχετο ἐπὶ ὄρη τὰ πλησίον ἰόντες. Ἐκήρυσσε δ' Ἀρχέλαος ἀναχωρεῖν ἐπὶ τὰ αὐτῶν πᾶσιν. Οἱ δὲ ἀπῄεσαν τὴν ἑορτὴν καταλιπόντες, φόβῳ κακοῦ μείζονος, καίπερ θρασεῖς ὄντες διὰ τὸ ἀπαίδευτον. Ἀρχέλαος δ' ἐπὶ θαλάσσης κατῄει μετὰ τῆς μητρὸς, Νικόλαον καὶ Πτολεμαῖον καὶ πολλοὺς τῶν φίλων ἐπαγόμενος, Φιλίππῳ τἀδελφῷ τὰ πάντα ἐφεὶς καθίστασθαι τοῦ οἴκου καὶ τῆς ἀρχῆς. Συνεξῄει δ' αὐτῷ καὶ Σαλώμη Ἡρώδου ἀδελφὴ τὴν γενεὰν ἀγομένη τὴν αὐτῆς, πολλοὶ δὲ τῶν συγγενῶν, λόγῳ μὲν ὡς συναγωνιούμενοι τῷ Ἀρχελάῳ ἐπὶ κτήσει τῆς βασιλείας, ἔργῳ δὲ ἀντιπράξοντες, καὶ μάλιστα περὶ τῶν πεπραγμένων ἐν τῷ ἱερῷ ποιησόμενοι καταβοάς. Ὑπαντιάζει δ' ἐν Καισαρείᾳ τὸν Ἀρχέλαον Σαβῖνος, Καίσαρος ἐπίτροπος τῶν ἐν Συρίᾳ πραγμάτων, εἰς Ἰουδαίαν ὁρμημένος ἐπὶ φυλακῇ τῶν Ἡρώδου χρημάτων. Καὶ αὐτὸν τῆς ἐπὶ τοῖσδε ὁρμῆς ἐπέσχεν ὁ Οὔαρος παρελθών· διὰ γὰρ Πτολεμαίου μετάπεμπτος ὑπ' Ἀρχελάου παρῆν· καὶ Οὐάρῳ Σαβῖνος χαριζόμενος οὔτε τὰς ἄκρας ὅσαι γε ἐν τοῖς Ἰουδαίοις ἦσαν παρέλαβεν οὔτε τοὺς θησαυροὺς κατεσημήνατο, εἶα δ' ἔχειν Ἀρχέλαον μέχρι Καίσαρι δόξειέν τι περὶ αὐτῶν, καὶ ἔμενεν ἐν τῇ Καισαρείᾳ τοῦθ' ὑποσχόμενος. Ἐπεὶ δ' ἐκπλεῖ μὲν ἐπὶ τῆς Ῥώμης Ἀρχέλαος, Οὐάρῳ δ' ἐπ' Ἀντιοχείας ἐγένοντο κομιδαὶ, Σαβῖνος ἐπὶ Ἱεροσολύμων χωρήσας παραλαμβάνει τὰ βασίλεια. Μετὰ πέμψας δὲ τοὺς φρουράρχους καὶ ὁπόσοι διοικηταὶ τῶν πραγμάτων ἦσαν, λόγους τε ἀπαιτεῖν πρόδηλος ἦν, καὶ τὰς ἄκρας καθίστατο ᾗ αὐτῷ δοκοῖ. Οὐ μὴν οἱ φύλακες ἐν ὀλίγῳ τὰς Ἀρχελάου ἐντολὰς ἐποιοῦντο, ἀλλ' ἔμενον σώζοντες τὰ πάντα ᾗ προσετέτακτο αὐτοῖς· Καίσαρι δὲ φυλάσσειν ἕκαστα ἦν προσποίησις αὐτοῖς.

δ'. Πλεῖ δὲ κατὰ τοῦτον τὸν καιρὸν ἐπὶ Ῥώμης καὶ Ἀντίπας, Ἡρώδου μὲν παῖς, ἐπὶ ἀντιποιήσει τῆς ἀρχῆς, ὑποσχέσεσι Σαλώμης ἡρμένος ἐπὶ τῷ ἄρξειν, καὶ πολὺ δικαιότερος Ἀρχελάου παραλήψεσθαι τὰ πράγματα, ἠξιωκὼς τὸ κατὰ τὰς προτέρας διαθήκας βασιλεὺς ἀποπεφάνθαι, ἃς ἀσφαλεστέρας εἶναι τῶν ἐπιγραφεισῶν. Ἐπήγετο δὲ οὗτος τήν τε μητέρα καὶ τὸν ἀδελφὸν τὸν Νικολάου Πτολεμαῖον, φίλων τε Ἡρώδῃ τιμιώτατον γεγενημένον καὶ αὐτῷ προσκεί-

cia, illos ut ad se adducerent. In hos illi qui e factione erant legis interpretum, et multitudo hostiliter irruerunt, clamoribus et mutuis usi cohortationibus : adeo ut impetum in milites fecerint, propiusque adstantes maximam eorum partem lapidarint; ac pauci tantum cum centurione vulnerati effugerunt. Eoque facto manum iterum sacrificio admovent. Archelaus autem de rerum summa periclitari sibi visus est, nisi multitudinis impetum ex hujusmodi occasione retunderet : itaque milites omnes eo misit et equites, qui eos qui foris essent, iis qui in templo forent, succurrere prohiberent, et eos qui a peditibus evasissent, jam in tuto se existimantes, ferro exciperent. Ita occisa sunt ab equitibus circiter tria hominum millia : reliqui in montes qui in propinquo erant se receperunt. Et Archelaus proclamari jussit ut omnes domum discederent : id quod illi fecerunt, et festum, quamvis audaces propter rerum imperitiam, deteriora veriti reliquerunt. Deinde Archelaus ad mare descendit una cum matre, secum ducens Nicolaum et Ptolemæum, multosque amicorum, relicta totius domus et principatus cura Philippo fratri suo. Eum comitata est etiam Herodis soror Salome, una cum suis natis multisque consanguineis, per speciem adjuvandi Archelaum ad regnum obtinendum, sed re ipsa ad ei adversandum, et maxime ad conquerendum de eo quod in templo factum fuerat. Cæsareæ autem Archelao occurrit Sabinus, Cæsaris in Syria rerum procurator, in Judæam properans ad custodiendam Herodis pecuniam : sed Varus superveniens eum ab hoc itinere avertit; aderat enim ab Archelao accersitus per Ptolemæum : inque Vari gratiam Sabinus neque Judææ castella occupavit, neque pecuniam consignavit, sed Archelao, donec de ea Cæsar statuisset, reliquit; eoque promisso Cæsareæ remansit. Sed postquam Archelaus Romam solvit, et Varus Antiochiam discessit, Sabinus Hierosolyma profectus palatium occupat. Deinde, accersitis præsidiorum præfectis omnibusque rerum administratoribus, demonstrat se rationes exigere, et de castellis statuit arbitratu suo. Non tamen custodes Archelai mandata neglectui habuerunt, sed in tuendo omnia, quæ illis in mandatis dederat, perseverabant, et præ se ferebant, quod cuncta Cæsari reservarent.

4. Eo autem tempore Antipas quoque Herodis filius Romam ad obtinendum principatum profectus est, spe regnandi elatus ex Salomes promissis, longe quam Archelaus dignior imperio, utpote in priore testamento rex institutus, quod magis ratum esse deberet quam posterius. Hic vero una secum ducebat matrem, et Nicolai fratrem Ptolemæum, quondam Herodi amicorum carissimum, et

μενον. Μάλιστα δὲ αὐτὸν ἐνῆγεν ἐπ' ἀντιποιήσει τῆς βασιλείας φρονεῖν Εἰρηναῖος, ῥήτωρ ἀνὴρ καὶ δόξῃ δεινότητος τῆς περὶ αὐτὸν τὴν βασιλείαν πεπιστευμένος. Διὸ δὴ καὶ τῶν κελευόντων εἶκειν Ἀρχελάῳ πρεσβυτέρῳ ὄντι καὶ ταῖς ἐπιδιαθήκαις ὑπὸ τοῦ πατρὸς ἐγγεγραμμένῳ βασιλεῖ, οὐκ ἠνείχετο. Ἐπεὶ δ' εἰς τὴν Ῥώμην ἀφίκετο, καὶ πάντων τῶν συγγενῶν ἀπόστασις ἦν πρὸς αὐτόν, οὐκ εὐνοίᾳ τῇ ἐκείνου, μίσει δὲ τῷ πρὸς Ἀρχέλαον, μάλιστα μὲν ἐπιθυμοῦντες ἐλευθερίας καὶ ὑπὸ Ῥωμαίων στρατηγῷ τετάχθαι· εἰ δ' ἄρα τι ἀντισταίη, λυσιτελέστερον Ἀρχελάου τὸν Ἀντίπαν λογιζόμενοι, συνέπρασσον Ἀντίπᾳ τὴν βασιλείαν. Καὶ Σαβῖνος κατηγόρει παρὰ Καίσαρι τοῦ Ἀρχελάου διὰ γραμμάτων.

ε'. Καίσαρι δὲ Ἀρχέλαος εἰσπέμψας γράμματα, ἐν οἷς τὰ δικαιώματα προσετίθει τε αὐτοῦ καὶ τὴν διαθήκην τοῦ πατρὸς, καὶ τοὺς λογισμοὺς τῶν Ἡρώδου χρημάτων σὺν τῷ σημαντῆρι κομίζοντα Πτολεμαῖον, ἐκαραδόκει τὸ μέλλον. Ὁ δὲ, ταῦτά τε ἀναγνοὺς τὰ γράμματα καὶ τὰς τοῦ Οὐάρου καὶ Σαβίνου ἐπιστολὰς, ὁπόσα τε χρήματα ἦν καὶ τί ἐπ' ἔτος ἐφοίτα, καὶ ὡς Ἀντίπας ἐπ' οἰκειώσει τῆς βασιλείας ἐπεπόμφει γράμματα, συνῆγεν ἐπὶ παροχωχῇ γνωμῶν τοὺς φίλους, σὺν οἷς καὶ Γάϊον τὸν Ἀγρίππα μὲν καὶ Ἰουλίας τῆς αὐτοῦ θυγατρὸς υἱὸν, ποιητὸν δὲ αὐτῷ γεγονότα, πρῶτόν τε καθεδούμενον παρέλαβε, καὶ κελεύει λέγειν τοῖς βουλομένοις περὶ τῶν ἐνεστηκότων. Καὶ πρῶτος ὁ Σαλώμης υἱὸς Ἀντίπατρος, δεινότατός τε ὢν εἰπεῖν καὶ τῷ Ἀρχελάῳ ἐναντιώτατος, ἔλεγεν, Ἀρχελάῳ παιδιὰν τὸν περὶ τῆς ἀρχῆς εἶναι λόγον, ἔργῳ τὴν δύναμιν αὐτῆς πρότερον ἢ Καίσαρα συγχωρῆσαι παρειληφότι, ἐπικαλῶν τὰ ἐπιτετολμημένα ἐπὶ τοῖς ἀπολωλόσι κατὰ τὴν ἑορτήν· ὧν καὶ ἀδικούντων ἄλλως, ἐχρῆν τὴν τιμωρίαν εἰς τοὺς ἔξω χρῆσθαι δυναμένους ἀνακειμένην εἶναι, καὶ μὴ ὑπ' ἀνδρὸς πεπρᾶχθαι, εἰ μὲν βασιλέως, ἀδικοῦντος τὸ Καίσαρος ἀγνοίᾳ περὶ αὐτοῦ ἔτι χρωμένου, εἰ δὲ ἰδιώτου, πολὺ χεῖρον, [ὡς διὰ τὸ μηδεμιᾶς βασιλείας ἀντιποιουμένῳ καλῶς ἄν τι συγχεχωρῆσθαι,] διὰ τὸ Καίσαρα τῆς ἐπ' αὐτοῖς ἐξουσίας ἀφαιρεῖσθαι. Καθήπτετο δὲ αὐτοῦ ἡγεμόνων τινῶν ἐν τῷ στρατιωτικῷ μεταστάσεις ἐπικαλῶν, καὶ προκάθισιν ἐπὶ θρόνου βασιλείου, καὶ δικῶν διαλύσεις ὡς ὑπὸ βασιλέως γενομένας, κατανεύσεις τε αἰτήσεων τοῖς δημοσίᾳ αἰτουμένοις, καὶ πάντων διάπραξιν, ὧν οὐδὲν ἂν μειζόνως ἐπινοῆσαι καθιστάμενον ὑπὸ τοῦ Καίσαρος εἰς τὴν ἀρχήν. Ἀνετίθει δὲ αὐτῷ καὶ τῶν ἐκ τοῦ ἱπποδρόμου δεσμωτῶν τὴν ἄφεσιν, καὶ πολλὰ τὰ μὲν γεγονότα, τὰ δὲ καὶ πιστεύεσθαι δυνάμενα, διὰ τὸ φύσιν ἔχειν γίνεσθαι ὑπό τε νεωτέρων καὶ φιλοτιμίᾳ τοῦ ἄρχειν προλαμβανόντων τὴν ἐξουσίαν· πένθους τε τοῦ ἐπὶ τῷ πατρὶ ἀμελείας, καὶ κώμους αὐτονυκτὶ τῇ ἐκείνου τελευτῇ γεγονότας· ἐφ' οἷς δὴ καὶ τὴν πληθὺν ἀρχὴν τοῦ στασιάζειν λαβεῖν. Εἰ τοιαῦτα εὐεργετήσαντος αὐτὸν τοῦ πατρὸς καὶ οὕτω

tum ipsius studiosum. At potissimum eum ad appetendum regnum impellebat Irenæus, qui orator erat et ob eloquentiæ existimationem regni procurationem habuerat: unde etiam iis qui consulebant ut cederet Archelao, qui et natu grandior et ultimo patris testamento rex constitutus esset, auscultare nolebat. Postquam autem Romam pervenit, cognati omnes ejus partibus accedebant, non illi quidem ejus amore, sed Archelai odio, cupientes ante omnia liberi esse, et sub Romani præsidis administratione: quod si parum succederet, Antipam magis e re sua fore sperantes quam Archelaum, operam suam Antipæ commodarunt regnum ad adipiscendum. Quin et Sabinus apud Cæsarem literis accusabat Archelaum.

5. Quum autem Archelaus literas, in quibus jus suum tueretur, Cæsari misisset, necnon patris testamentum, et Ptolemæum Herodianæ pecuniæ rationes sigillumque ferentem, eventum exspectabat. Ille vero postquam scripta ista legerat, Varique et Sabini literas, et quantum pecuniarum annuique reditus esset, utque Antipas regnum appetens literas misisset, amicos convocat ut eorum sententias audiat, et in his Caium, Agrippæ quidem natum et Juliæ Augusti filiæ, sed ab ipso *Augusto* adoptatum, cui primum in consessu locum tribuit, imperatque ut qui velit de præsentibus negotiis verba faciat. Ac primus Antipater Salomes filius, homo inprimis disertus et Archelai maxime adversarius, dicebat, Archelaum nunc per ludibrium de regno agere, ut qui potestatem ejus prius sibimet vindicasset quam bona Cæsaris cum venia licuerit, ei objiciens audaciam qua impulsus in festo die tam multos interemerat: qui etiamsi inique egissent, oportuisse vindictam externæ legitimæque potestati reservari, et non ab homine exigi, qui, si spectetur ut rex, injuriam faciat Cæsari, dum adhuc ignoret quid ille de se statuet, sin vero ut privatus, multo pejus esse, [utpote cui, regiam dignitatem quærenti, haud fas esset quidquam concedi,] quod Cæsarem in ipsos potestate privatum iverit. Quin et perstringebat eum, vitio ei vertendo quod duces nonnullos in exercitu mutaverit, et in solio regio sese collocaverit, et lites tanquam rex esset dijudicarit, populique postulatis palam factis annuerit, in summa omnia ita fecerit ut nihil amplius ei in mentem venire potuerit, si a Cæsare in imperio constitutus fuisset. Præterea imputabat ei quod in hippodromo vinctos dimiserit, aliaque afferebat multa, partim vera, partim verisimilia, quod hujuscemodi res fieri consueverunt ab adolescentibus et qui regnandi cupiditate imperium festinanter præripiunt. Insuper ei crimini dabat neglectum patris luctum, et comessationes eadem qua ille obiit nocte celebratas: unde coortam esse populi seditionem. Si, quum pater tanta in eum contulisset beneficia et tam magna ei præsti-

μεγάλων ἠξιωκότος, τοιοῖσδε ἀμείβεσθαι τὸν νέκυν, ὥσπερ ἐπὶ σκηνῆς δακρύειν μὲν προσποιούμενον τὰς ἡμέρας, ἀπολαύοντα δὲ ἡδονῆς τῆς ἐπὶ τῆς ἀρχῆς ὅσαι νύκτες, φανεῖσθαι [τε] καὶ περὶ τὸν Καίσαρα τοιόνδε ὄντα Ἀρχέλαον συγχωροῦντα τὴν βασιλείαν, ὁποῖος γένοιτο καὶ περὶ τὸν πατέρα· χορεύειν γὰρ καὶ ᾄδειν, ὥσπερ ἐχθροῦ πεσόντος, ἀλλ' οὐκ ἀνδρὸς οὕτω μὲν συγγενοῦς, τηλικαῦτα δ' εὐεργετεῖν εἰρημένου. Δεινότατόν τε πάντων ἀπέφηνε τὸ νῦν ἥκειν ἐπὶ Καίσαρα, κατανεύσει τῇ ἐκείνου χρησόμενον τῇ βασιλείᾳ, πάντων αὐτῷ προπεποιημένων ὁπόσα γένοιτο ἂν ὑπ' αὐτοῦ καὶ βεβαίως ἤδη τοῦ αὐτοκράτορος παρασχηκότος πρασσόμενα. Μάλιστα δὲ τὴν σφαγὴν τῶν περὶ τὸ ἱερὸν ἐδείνου τῷ λόγῳ καὶ τὴν δυσσέβειαν, ὡς ἑορτῆς τε ἐνεστηκυίας καὶ ἱερείων ἐν τρόπῳ σφαχθεῖεν, ἔνιοι μὲν ξένοι, οἱ δὲ ἐγχώριοι, πλησθείη δὲ τὸ ἱερὸν νεκρῶν, οὐχ ὑπ' ἀλλοφύλου, ἀλλὰ καὶ μετὰ νομίμων ὀνομάτων τῆς βασιλείας ἐφιεμένου τῆς πράξεως, ὅπως δυνηθείη πληρῶσαι τῆς φύσει τυραννίδος τὴν πᾶσιν ἀνθρώποις μεμισημένην ἀδικίαν· δι' ἣν μηδὲ ὄναρ ποτὲ ὁρᾶσθαι τῆς βασιλείας αὐτῷ τὴν διαδοχὴν ἀρετῇ τοῦ πατρός· ἐπίστασθαι γὰρ αὐτοῦ τὸν τρόπον, καὶ τὸν ἐχθρὸν αὐτῷ ἐκ τῶν διαθηκῶν τῶν ἰσχυροτέρων Ἀντίπαν καθίστασθαι· κληθῆναι γὰρ ὑπὸ τοῦ πατρὸς ἐπὶ τὴν βασιλείαν οὐχὶ νοσοῦντος πρὸς τῷ σώματι καὶ τὴν ψυχήν, ἀλλὰ ἀκραιφνεῖ μὲν τῷ λογισμῷ χρωμένου, ἀλκῇ δὲ σώματος τοῖς πράγμασιν ἐφεστηκότος. Εἰ δὲ καὶ πρότερον εἰς αὐτὸν ἐπ' ἴσης τοῖς νῦν διατεθεῖσθαι τὸν πατέρα, ἀποφαίνεσθαι ποταπὸς ἂν γένοιτο βασιλεύς, τὸν μὲν κύριον παρασχεῖν τὴν βασιλείαν Καίσαρα ἀφῃρημένον τοῦ δοῦναι τὴν ἐξουσίαν, τοὺς δὲ πολίτας ἰδιώτην ὄντα ἀκμὴν σφάζειν ἐν ἱερῷ μὴ ἀποτετραμμένον.

ς'. Καὶ Ἀντίπατρος μὲν τοιάδε εἰπών, καὶ μαρτύρων παραστάσεσι τὰ εἰρημένα κρατυνάμενος πολλοῖς τῶν συγγενῶν, παύεται τοῦ λέγειν. Ἀνίσταται δὲ Νικόλαος ὑπὲρ Ἀρχελάου, καὶ ἔλεγεν, τὰ μὲν ἐν τῷ ἱερῷ γνώμῃ τῶν πεπονθότων ἀνατιθεὶς μᾶλλον ἢ ἐξουσίᾳ τοῦ Ἀρχελάου· τοὺς γὰρ ἐπὶ τοιοῖσδε ἄρχοντας οὐ μόνον τῷ καθ' αὐτοὺς ὑβρίζοντι εἶναι πονηροὺς, ἀλλὰ καὶ τῷ ἀναγκάζοντι εἰς τὴν ἄμυναν αὐτῶν εὐγνωμονεῖν προαιρουμένους. Ὡς δὲ πολέμια ἔδρων λόγῳ μὲν κατ' Ἀρχελάου, τὸ δὲ ἀληθὲς εἰς Καίσαρα φανερὸν εἶναι· τοὺς γὰρ ὑβριοῦντας, κωλύτας παραγενομένους καὶ ὑπ' Ἀρχελάου πεπομφότας, κτεῖναι ἐπιτιθεμένους, οὔτε τοῦ Θεοῦ οὔτε τοῦ νόμου τῆς ἑορτῆς ἐν φροντίδι γενομένους, ὧν Ἀντίπατρον οὐκ αἰσχύνεσθαι ἐκδικητὴν καθιστάμενον ἐπὶ θεραπείᾳ ἔχθρας τῆς αὐτοῦ πρὸς Ἀρχέλαον, ἢ μίσει τοῦ ἀρετῇ δικαίου. Οἱ παρελθόντες καὶ μὴ πρὸς διανοουμένους ἄρχοντας ἀδίκων ἔργων, οἵδε εἰσὶν οἱ βιαζόμενοι καὶ μὴ θέλοντας τοὺς ἀμυνομένους ἐφ' ὅπλα χωρεῖν. Ἀνετίθει δὲ καὶ τὰ λοιπὰ πᾶσι τοῖς ἐν βουλῇ τῶν κατηγόρων· οὐδὲν γὰρ ὅ τι μὴ οὐ μετὰ γνώμης τῆς αὐτῶν

tisset, mortuo talem rependerit gratiam, ut interdiu tanquam personam induens lacrimas simularet, noctes vero singulas in voluptatibus regiis ageret, non alium sese ostensurum esse erga Cæsarem, si ab eo regnum acceperit quam erga patrem se gesserit: cantu quippe se oblectare et choreis tanquam in morte inimici, non sibi conjunctissimi et beneficentissimi. Omnium etiam indignissimum esse ostendebat nunc venire ad Cæsarem, ut regnum ipsius munere et concessu accipiat, quum jam ante omnia egisset quæ ab ipso fieri poterant postquam validam ea agendi potestatem dedisset rerum dominus. Maxime autem cædem in templo nefarie factam verbis exaggerabat: utque festiva solennitate etiam victimarum more mactati fuerint tam peregrini quam indigenæ, et cæsorum corporibus fanum fuerit repletum, idque non ab alienigena, sed qui legitimam regis appellationem prætexens ferretur ad facinus, ut tyrannico suo ingenio obsequutus posset explere injustitiam omnibus odiosam. Quamobrem ne in somnis quidem spem successionis in regnum a patre habuisse, ut qui mores ejus probe norit, et in potioribus tabulis ejus adversarium Antipam *successorem* constituerit; a patre quippe ad regnum vocatum, non quum animam pariter ac corpus vires defecissent, sed dum integra esset mente et ratione, eoque corporis robore quod negotiis obeundis adhiberi potuerit. Immo si jam antea tale de Archelao fuisset patris judicium quale in posterioribus tabulis, ipsum tamen satis declarasse qualisnam rex futurus sit qui Cæsarem, cujus erat regnum ei largiri, largiendi potestate exutum iverit, et privatus adhuc cives in templo jugulare non dubitarit.

6. Et Antipater quidem hujusmodi verba loquutus, multisque e consanguineis ad ea quæ dixerat testimoniis suis firmanda adhibitis, finem dicendi fecit. Surrexit vero Nicolaus, qui Archelai causam egit, dicebatque, illa quidem quæ in templo facta erant obstinatis potius eorum animis qui passi erant imputans quam Archelai potestati; qui enim tales res cœplent, non eo tantum injustos esse quod innocentes vexent, sed etiam quod pacis et æqui amantes in ultionem impellant. Hos autem homines verbo quidem in Archelaum patrasse hostilia, re ipsa autem in Cæsarem, rem apertam esse. Constare enim tumultuum auctores eos, qui ad vim et injuriam propulsandam ab Archelao missi fuerint, facto impetu occidisse, neque Deum neque festi diei legem reverentes: et horum tutelam suscipere jam non pudere Antipatrum, sive ut odio in Archelaum suo morem gereret, sive quod jus et æquum omne aversetur. Certe qui adoriantur alios, nihilque mali suspicantes injuriis lacessant, hos esse qui vel nolentes cogant sui causa ad arma recurrere. Tum reliquorum omnium, quæ objecta fuerant, causam assignavit iis ipsis qui a consilio erant accusatoribus: nihil enim esse quod non illorum suasu et

γεγενημένον αἰτίᾳ τοῦ ἀδικεῖν ὑπάγεσθαι. Οὐ τῇ φύσει τοιούτως αὐτὰ γεγονότα πονηρὰ εἶναι, ἀλλὰ τῷ βλάψειν ἂν δοκεῖν Ἀρχέλαον. Τοσήνδε αὐτοῖς εἶναι βουλὴν τοῦ ὑβριοῦντος εἰς ἄνδρα συγγενῆ, καὶ πατρὸς μὲν εὐεργέτην, συνήθη δὲ αὐτοῖς καὶ διὰ παντὸς οἰκείως πεπολιτευμένον. Τάς γε μὴν διαθήκας ὑπό τε σωφρονοῦντος γεγράφθαι τοῦ βασιλέως καὶ κυριωτέρας εἶναι τῶν γεγραμμένων πρότερον, διὰ τὸ Καίσαρα δεσπότην τῶν ὅλων καταλελεῖφθαι πρὸς τὴν κρίσιν τῶν ἐν αὐταῖς γεγραμμένων. Μιμήσεσθαί τε οὐδαμῶς Καίσαρα τὴν ὕβριν αὐτῶν, οἳ τῆς Ἡρώδου παντοίως ἀπολαύσαντες παρ' ὃν ἔζη καιρὸν δυνάμεως, τὰ πάντα ἐπὶ ὕβριν γνώμης ἐπείγοιντο αὐτοῦ, οὐδ' αὐτῶν περὶ τὸν συγγενῆ τοιούτων γεγονότων. Οὔκουν Καίσαρά τε ἀνδρὸς ὑπ' αὐτῷ πεποιημένου τὰ πάντα καὶ φίλου καὶ συμμάχου καταλύσειν τὰς διαθήκας, ἐπὶ πίστει τῇ αὐτοῦ γεγραμμένας. Οὐδὲ μιμήσεσθαι κακίαν τὴν ἐκείνων τὴν Καίσαρος ἀρετὴν καὶ πίστιν, πρὸς ἅπασαν τὴν οἰκουμένην ἀνενδοίαστον γενομένην, καὶ μανίαν καὶ λογισμοῦ ἔκστασιν καταχρινεῖν ἀνδρὸς βασιλέως, υἱεῖ μὲν ἀγαθῷ τὴν διαδοχὴν καταλελοιπότος, πίστει δὲ τῇ αὐτοῦ προσπεφευγότος· οὔτε ἁμαρτάνειν Ἡρώδην ποτὲ περὶ κρίσιν τοῦ διαδόχου, σωφροσύνῃ κεχρημένον ἐπὶ τῇ Καίσαρος γνώμῃ τὰ πάντα ποιεῖσθαι.

Ζ'. Καὶ Νικόλαος μὲν τοιάδε διελθὼν καταπαύει τὸν λόγον. Καῖσαρ δὲ Ἀρχέλαον, προσπεσόντα αὐτῷ πρὸς τὰ γόνατα, φιλοφρόνως τε ἀνίστη, φάμενος ἀξιώτατον εἶναι τῆς βασιλείας, πολλήν τε ἀπέφαινε τροπὴν γνώμης τῆς αὐτοῦ οὐκ ἄλλα πράξων, ἀλλ' ὁπόσα αἵ τε διαθῆκαι ὑπηγόρευον καὶ Ἀρχελάῳ συνέφερεν. Οὐ μέντοι γε ἐκεκύρωτο οὐδέν, ὡς ἂν ἐχεγγύῳ παραδείγματι χρώμενον ἐπ' ἀδείας Ἀρχέλαον εἶναι. Καὶ διαλύσεως τῶν ἀνδρῶν γενομένης ἐσκοπεῖτο καθ' αὑτὸν εἴτε Ἀρχελάῳ τὴν βασιλείαν εἴη κυρωτέον εἴτε κοινὴν αὐτὴν ποιεῖσθαι παντὶ τῷ Ἡρώδου γένει, καὶ τούτων πολλῆς ἐπικουρίας δεομένων.

ΚΕΦ. Ι'.

Πρότερον δὲ ἡ κύρωσίν τινα τούτων γενέσθαι Μαλθάκη τε ἡ Ἀρχελάου μήτηρ νόσῳ τελευτᾷ καὶ παρὰ Οὐάρου τοῦ Συρίας στρατηγοῦ παρῆν γράμματα τὴν Ἰουδαίων ἀπόστασιν διασαφοῦντα. Τοῦ γὰρ Ἀρχελάου μετὰ τὸν ἔκπλουν ἐθορυβήθη τὸ πᾶν ἔθνος, καὶ Οὔαρος αὐτὸς, ἐπεὶ παρῆν, τοὺς αἰτίους τῆς κινήσεως τιμωρίᾳ περιβαλὼν, καὶ τοῦ πλείστου τῆς στάσεως ἐπίσχεσιν ποιησάμενος πολλῆς γενομένης, ἐπ' Ἀντιοχείας τὴν ἀναζυγὴν ἐποιεῖτο, τάγμα ἓν τῆς στρατιᾶς ἐν Ἱεροσολύμοις λειπόμενος, τὴν Ἰουδαίων νεωτεροποιίαν ἐπιστομιοῦντας. Οὐ μὴν ἐπεραίνετό γε οὐδὲν ἐπὶ παύλῃ τοῦ μὴ οὐ στασιάσοντος αὐτῶν. Ὅ τε γὰρ Οὔαρος ἀπῄει καὶ Σαβῖνος ὁ ἐπίτροπος τοῦ Καίσαρος ὑπομείνας αὐτόθι μεγάλως τοὺς Ἰουδαίους κατεπόνει, στρατείᾳ τε τῇ καταλελειμμένῃ πιστεύων ὡς καὶ περιέσοι-

instinctu factum jam in injuriæ *tanquam ab Archelao commissæ* accusationem producatur. Unde color quæratur injuriæ, quod non ipsis factum sit suasoribus. Neque ea per se esse improba, sed in odium Archelai ita referri ut improba videantur. Tanto illos agi studio lædendi cognatum *hominem, de ipsorum parente bene meritum et ipsos* omnibus amicitiæ officiis prosequutum. Testamentum a patre factum esse bene mentis compote, et haud dubie posteriores tabulas potiores esse prioribus, eoque magis quod Cæsari omnium, quæ in iis scripta sint, plenissimum arbitrium relinquatur. Neque timendum ne horum iniquitatem Cæsar imitetur, qui Herodis, ex cujus viventis potentia *fructus plurimos ceperint, nunc mortui voluntatem* oppugnent; idque satis sibi conscii, neutiquam se de Herode ita meritos ut Archelaus fuerit. Non eum vero esse Cæsarem qui viri amici, bellorum socii, qui in omnibus a Cæsare pendere semper voluerit, rescindat testamentum suæ commissum fidei. Multum ab horum malignitate abfuturam Cæsaris virtutem atque fidem toti humano generi testatissimas; neque id in eum cadere ut non sanæ mentis pronuntiet regem, qui primum filio bono hereditatem reliquerit, deinde in hoc ipsius Cæsaris fidem imploraverit. Quando testamentum condens Herodes ita sapuerit ut Cæsaris arbitratui cuncta submitteret, in herede quidem eligendo desipere non potuisse.

7. Et Nicolaus quidem, quum ista oratione percurrisset, finem dicendi facit. Cæsar autem Archelaum, qui sese ad pedes ejus abjecerat, comiter allevavit, regno dignissimum esse dicens, seque satis ostendit sic esse affectum, ut non aliter facturus esset quam testamentum postularet et e re Archelai esset. Verum, ubi Archelaum, ut qui *benevolentiæ ejus* indicio satis magno fretus esset, securum esse animadvertit, *nihil sanxit. Postea dimisso concilio dispexit* ipse secum utrum regnum Archelao confirmare deberet, an vero id omnibus Herodis filiis communiter dividere, idque quoniam plurimum egerent auxilio.

CAPUT X. (XII.)

Antequam vero horum quicquam sancitum esset, obiit morbo Malthace mater Archelai, veneruntque a Varo Syriæ præside literæ, quæ Judæorum rebellionem declararent. Nam post Archelai discessum seditionem fecit universa natio: et Varus, qui illic aderat, in ejus auctores animadvertit, ac seditione, quæ gravis sane fuit, maxima ex parte *composita, Antiochiam profectus est, relicta Hierosolymis* una legione ad Judæos reprimendos, si quid moverent. Nec tamen quicquam proficiebat ad finem seditioni imponendum. Nam digresso Varo, Sabinus ibi, Cæsaris procurator, manens, multum Judæis negotii facessebat, sperans eos iis copiis, quæ magnæ restabant, cohiberi posse.

το αὐτῶν καὶ τῷ πλήθει. Πολλοὺς γὰρ ὁπλίσας δορυφόρους ἐχρῆτο αὐτοῖς, ἐπείγων τοὺς Ἰουδαίους καὶ ἐκταράσσων ἐπὶ ἀποστάσει· τάς τε γὰρ ἄκρας ἐβιάζετο παραλαμβάνειν καὶ τῶν βασιλικῶν χρημάτων ἐπ' ἐρεύνῃ προθύμως ὥρμητο βίᾳ διὰ κέρδη καὶ πλεονεξιῶν ἐπιθυμίας.

β'. Ἐνστάσης δὲ τῆς Πεντηκοστῆς (ἑορτὴ δὲ ἡμῶν ἐστι πάτριος τοῦτο κεκλημένη) οὔτι κατὰ τὴν θρησκείαν μόνον παρῆσαν, ἀλλ' ὀργῇ φέροντες τὴν παροινίαν τῆς Σαβίνου ὕβρεως, μυριάδες συνηθροίσθησαν ἀνθρώπων καὶ πάνυ πολλαί, Γαλιλαίων τε καὶ Ἰδουμαίων, Ἱεριχουντίων τε ἡ πληθὺς, καὶ ὁπόσοι περάσαντες Ἰορδάνην ποταμὸν οἰκοῦσιν, αὐτῶν τε Ἰουδαίων πλῆθος ἦν, οἳ πρὸς πάντας συνειλέγατο, καὶ πολὺ προθυμότεροι τῶν ἄλλων ἐπὶ τιμωρίᾳ τοῦ Σαβίνου ὡρμήκεσαν. Καὶ τρία μέρη νεμηθέντες ἐπὶ τοιῶνδε στρατοπεδεύονται χωρίων· οἱ μὲν τὸν ἱππόδρομον ἀπολαβόντες, καὶ τῶν δὲ λοιπῶν δύο μερῶν οἱ μὲν τῷ βορείῳ τοῦ ἱεροῦ πρὸς μεσημβρίαν τετραμμένοι τὴν ἑῴαν μοῖραν εἶχον, μοῖρα δὲ αὐτῶν ἡ τρίτη τὰ πρὸς δυόμενον ἥλιον, ἔνθα καὶ τὸ βασίλειον ἦν. Ἐπράσσετο δὲ τὰ πάντα αὐτοῖς ἐπὶ πολιορκίᾳ τῶν Ῥωμαίων ἀπανταχόθεν αὐτοῖς ἀποκεκλεισμένων. Καὶ Σαβῖνος (ἔδεισε γὰρ τό τε πλῆθος αὐτῶν καὶ τὰ φρονήματα ἀνδρῶν ἐν ὀλίγῳ τὸ θανεῖν ποιουμένων ὑπὸ τοῦ ἡττᾶσθαι μὴ ἐθέλειν ἐφ' οἷς ἀρετὴ κρίνοιτο ἂν τὸ νικᾶν) παραχρῆμά τε ὡς τὸν Οὔαρον ἔπεμπε γράμματα, καὶ, τὸ σύνηθες, οὐκ ἀνίει κελεύων ἐκ τοῦ ὀξέος βοηθεῖν, ὡς κινδύνου μεγίστου τὸ ἐγκαταλειφθὲν στράτευμα περιεσχηκότος, διὰ τὸ μὴ εἰς μακρὰν ἐλπίζειν κατακοπήσεσθαι ληφθέντας αὐτούς. Αὐτὸς δὲ τοῦ φρουρίου τὸν ὑψηλότατον τῶν πύργων καταλαβόμενος Φασάηλον, ἐπὶ τιμῇ τοῦ Ἡρώδου ἀδελφοῦ Φασαήλου ᾠκοδομημένον τε καὶ οὕτως εἰρημένον τελευτῆς ὑπὸ Παρθυαίων αὐτῷ γενομένης, κατέσειε τοῖς Ῥωμαίοις ἐπεξιέναι τοῖς Ἰουδαίοις, αὐτὸς μὲν οὐδ' εἰς τοὺς φίλους τολμῶν κατιέναι, τοὺς δ' ἄλλους προαποθνήσκειν αὐτοῦ τῆς πλεονεξίας δικαιῶν. Τολμησάντων δ' εἰς τὴν ἔξοδον τῶν Ῥωμαίων, μάχη συνῆει καρτερά· καὶ οἱ Ῥωμαῖοι τῶν πολεμίων ἔργῳ ἐκράτουν, οὐ μὴν τὰ φρονήματά γε τοῖς Ἰουδαίοις ἔκαμνε τῇ ὄψει τοῦ δεινοῦ πολλῶν αὐτοῖς πεπτωκότων, περιοδεύσαντες δ' ἀνίασιν ἐπὶ τὰς στοὰς, αἵπερ ἦσαν τοῦ ἱεροῦ τὸν ἔξωθεν περίβολον περιέχουσαι, καὶ πολλῆς μάχης γενομένης λίθους τε ἠφίεσαν, τοὺς μὲν ἐκ χειρὸς ὑπάραντες, τοὺς δὲ σφενδονῶν, ἀθληταὶ τρόπου τοιούτης μάχης ὄντες. Καὶ οἱ τοξόται πάντες παρατεταγμένοι μεγάλα ἔβλαπτον τοὺς Ῥωμαίους, διὰ τὸ ὑπερδέξιοί τε εἶναι καὶ ἐπιχειρεῖσθαι μὲν ἄποροι διὰ τὸ ἀνέφικτοι τοῖς εἰσακοντίζειν πειρωμένοις εἶναι, ῥᾴους δὲ κρατεῖσθαι τοὺς πολεμίους ἔχοντες. Καὶ πολὺν μὲν χρόνον ἡ μάχη συνέστη τοιάδε οὖσα. Ἔπειτα Ῥωμαῖοι, δεινῶς φέροντες τοῖς δρωμένοις, πῦρ ἐνιᾶσιν ταῖς στοαῖς, λαθόντες Ἰουδαίων τοὺς ἀναβεβηκότας ἐπ' αὐτάς. Καὶ τὸ πῦρ ὑπό τε πολλῶν προστιθεμένων καὶ μετὰ τῶν ἐγείρειν φλόγα δυνα-

Circumducebat enim frequentes armatos satellites, per quos Judæos premens atque turbans rebellare cogebat : etenim castella vi conabatur occupare, et ad pecunias regias vestigandas impetu animi magno acrique ferebatur, lucrorum et rapinarum cupidine incitatus.

2. Instante autem Pentecoste (festum enim est nobis patrium ita appellatum) conventum est Hierosolyma non solum religionis gratia, sed etiam indignatione contumeliarum Sabini : coiveruntque plurima Galilæorum et Idumæorum et Hierichuntiorum millia, et omnes Transjordanini, et Judæorum magna vis, qui ad universos sese aggregaverunt, et plus aliis cupiditate incensi in Sabini ultionem festinarunt; atque in tres turmas divisi hoc modo castra metantur : pars quidem una hippodromum occupat, reliquarum vero duarum altera a septentrionali templi regione meridiem versus orientalia tenebat; tertia autem illorum pars ad occidentem posita erat, ubi regia locabatur. Atque ista illi agebant, ut Romanos ab illis undique inclusos obsiderent. Tum Sabinus (nam et multitudinem eorum formidabat, spiritusque hominum elatos, qui mori facile maluerunt quam victoriam non reportare, ubi vincere virtutis loco habetur,) confestim per literas Varo rem significabat, atque, ut fieri solet, non intermittebat hortari ut sibi celeriter auxilium ferret, legionem quippe ibi relictam in maximo versari periculo, quod non longe abesse exspectarent quin ipsi capti trucidarentur. Ipse vero, arcis excelsissima turri occupata, (ea Phasaelus appellabatur, in honorem Phasaeli Herodis fratris exstructa atque ita nominata, postquam a Parthis occisus fuerat,) inde Romanis signum dedit, ut Judæos excuntes adoriantur; et quum ipse ne ad suos quidem amicos descendere auderet, postulabat ut alii propter ipsius avaritiam se prius mortis periculo objicerent. Quumque Romani eruptionem fecissent, commissum est acre prælium : in quo licet hostibus revera superiores essent Romani, non tamen animis fracti erant aut desponderunt Judæi ad conspectum periculi, postquam multi de suis ceciderant : quin per circuitum conscensis porticibus, quæ circum exterius templi septum erant, magnaque pugna edita, et saxa dejiciebant, partim e manibus partim e fundis, utpote in hujuscemodi pugnis bene exercitati. Et sagittarii universi illis immisti Romanis multum nocebant, et quod superiore loco essent atque expugnatu difficiles, ut qui attingi nequirent ab iis qui tela ad eos adigere conarentur, et hostes nullo negotio profligare possent. Et diu quidem hunc in modum pugnatum est. Deinde Romani, rei indignitate commoti, ignem porticibus, insciis ipsis qui eo ascenderant Judæis, subjiciunt. Atque ignis, eo quod multa apponerentur quæque flammam excitare possent, quam celerrime tectum cor-

μένων ἥπτετο τοῦ ὀρόφου ἡ τάχος. Ἡ δὲ ξύλωσις, παρέχουσα πίσσης τε καὶ κηροῦ πλέον, ἔτι δὲ κηρῷ χρυσὸν ἐπαληλιμμένον, εὐθέως εἶχεν· ἔργα τε μεγάλα ἐκεῖνα καὶ ἀξιολογώτατα ἠφανίζετο, καὶ τοὺς ὑπὲρ τῶν στοῶν ὅλεθρος οὗτος ἀπροσδόκητος κατέλαβεν. Οἱ μὲν γὰρ τοῦ ὀρόφου καταρραγέντος συγκατεφέροντο αὐτῷ, τοὺς δὲ περισταδὸν ἔβαλλον οἱ πολέμιοι· πολλοὶ δὲ ἀπορίᾳ τε σωτηρίας καὶ ἐκπλήξει κακοῦ τοῦ περιεστηκότος οἱ μὲν εἰς τὸ πῦρ ἐπαφεῖσαν ἑαυτούς, οἱ δὲ καὶ τοῖς ξίφεσι χρώμενοι διάδρασιν αὐτοῦ ἐποιοῦντο. Ὁπόσοι δὲ εἰς τὸ κατόπιν χωρήσαντες ὀδῷ ἢ ἀναβεβήκεσαν ἐσώζοντο, οἱ Ῥωμαῖοι πάντας ἔκτειναν γυμνούς τε ὄντας καὶ τὰ φρονήματα ἐκλελυμένους, οὐδὲν τῆς ἀπονοίας διὰ τὸ ἄνοπλον βοηθεῖν δυναμένης. Ἐσώθη δὲ τῶν ἀνελθόντων ἐπὶ τὸ τέγος οὐδ' ὁστισοῦν. Καὶ οἱ Ῥωμαῖοι, διὰ τοῦ πυρὸς ἢ παρείκοι ὠσθέντες, ἐκράτουν τοῦ θησαυροῦ, καθ' ὃν ἱερὰ ἦν χρήματα. Καὶ διεκλάπη μὲν πολλὰ ὑπὸ τῶν στρατιωτῶν, Σαβῖνος δὲ περιεποίησεν εἰς τὸ φανερὸν τετρακόσια τάλαντα.

γ'. Ἰουδαίους δὲ ἐλύπει μὲν τὸ πάθος τῶν φίλων, οἳ ἐν τῇδε ἔπεσον τῇ μάχῃ, ἐλύπει δὲ καὶ τῶν ἀναθημάτων ἡ ἁφαίρεσις. Οὐ μὴν ἀλλ' ὅπερ αὐτῶν ἐτύγχανεν συνεστραμμένον καὶ μαχιμώτατον, τούτῳ ἐμπεριέχοντες τὸ βασίλειον ἠπείλουν πῦρ τε ἐνήσειν αὐτῷ καὶ πάντας κτείνειν, κελεύοντες ἢ τάχος ἀπιέναι, καὶ πειθομένοις ὑπισχνούμενοι ἄδειαν καὶ Σαβίνῳ σὺν αὐτοῖς. Καὶ τῶν βασιλικῶν τὸ πλεῖστον ἠτομόλησαν πρὸς αὐτούς· Ῥοῦφος δὲ καὶ Γρᾶτος τρισχιλίους τῶν μαχιμωτάτων τοῦ Ἡρώδου στρατεύματος ἔχοντες, ἄνδρας τοῖς σώμασι δραστηρίους, Ῥωμαίοις προσετίθεσαν. Καί τι καὶ ἱππικὸν ἦν ὑπὸ τῷ Ῥούφῳ τεταγμένον, ὃ καὶ αὐτὸ προσθήκη τῶν Ῥωμαίων ἐγεγόνει. Ἰουδαίοις δὲ οὐκ ἠμέλητο ἡ πολιορκία, ἀλλὰ καὶ τὰ τείχη μετήλλευον, καὶ τοῖς μεταβαλλομένοις ἐκέλευον μὴ ἐμποδιστὰς εἶναι τοῦ ἀπολήψομένου χρόνου παροῦσαν αὐτοῖς ἐλευθερίαν τὴν πάτριον. Σαβίνῳ μὲν οὖν εὐκτὸν ἦν ἀπιέναι μετὰ τῶν στρατιωτῶν, πιστεύειν δ' οὐχ οἷός τε ἦν διὰ τὰ πεπραγμένα, καὶ τὸ λίαν εὔγνωμον τῶν πολεμίων ἐπ' ἀποτροπῇ τοῦ καταστησομένου εἶχεν· ἅμα δὲ καὶ τὸν Οὔαρον ἥξειν προσδοκῶν ὑπέμενε τὴν πολιορκίαν.

δ'. Ἐν τούτῳ δὲ καὶ ἕτερα μύρια θορύβων ἐχόμενα τὴν Ἰουδαίαν κατελάμβανε, πολλῶν πολλαχόσε κατ' οἰκείων ἐλπίδας κερδῶν καὶ Ἰουδαίων ἔχθρας ἐπὶ τὸ πολεμεῖν ὡρμημένων. Δισχίλιοι μὲν τῶν ὑφ' Ἡρώδῃ ποτὲ στρατευσαμένων καὶ ἤδη καταλελυκότες ἐν αὐτῇ Ἰουδαίᾳ συστάντες προσεπολέμουν τοῖς βασιλικοῖς, ἀντιστατοῦντος αὐτοῖς Ἀχιάβου τοῦ Ἡρώδου ἀνεψιοῦ, καὶ τῶν μὲν πεδίων εἰς τὰ μετέωρα ἀνεωσμένου δι' ἐμπειρίαν τὴν εἰς τὰ πολεμικὰ τῶν ἀνδρῶν, ταῖς δὲ δυσχωρίαις σώζοντος ὁπόσα δυνατά.

ε'. Ἰούδας δὲ ἦν Ἐζεκίου τοῦ ἀρχιλῃστοῦ υἱὸς ἐπὶ μέγα δυνηθέντος, ὑφ' Ἡρώδου δὲ μεγάλοις ληφθέντος πόνοις. Οὗτος οὖν ὁ Ἰούδας περὶ Σέπφωριν τῆς Γαripuit. Ejus vero materies, quod et pice et cera abundaret, prætereaque auro cera perunctо, confestim *flammis* cedebat, atque opera magna et admiratione dignissima sic evanuerunt, et quotquot super porticus erant improviso perierunt exitio. Nam alios secum ruina tecti trahebat, alii ab hostibus undique cædebantur : multi, nihil reliqui ad salutem videntes, maloque eos circumstante attoniti, aut in ignem se conjiciebant, aut ut flammas effugerent se ipsos gladiis suis occidebant. Quicunque vero retro abscedendo qua ascenderant evadere conabantur, a Romanis omnes cæsi sunt, quippe inermes animosque debilitati, desperatione nihil eos adjuvante quod armis erant destituti. Ex iis itaque qui tectum ascenderant ne unus quidem elapsus est. Tum Romani per flammam, qua dabatur, irruentes, thesauro potiebantur in quo recondita erat pecunia sacra, ejusque magna parte a militibus direpta, ipse Sabinus talenta quadringenta palam recepit.

3. Interea Judæos magno quidem dolore affecit amicorum calamitas, qui in ista pugna ceciderunt; eosque etiam male habuit donariorum direptio. Veruntamen, conglobatis suorum fortissimis quibusque, hisce regiam obsident, flammasque ei et extrema omnibus minitabantur, jubentes ut celeriter exirent; quo facto promittebant nihil ipsis et Sabino nocitum iri. Proinde regiorum maxima pars ad Judæos sese contulit. Sed Rufus et Gratus, qui tria millia e præstantissimis Herodis militibus habebant, viros corpore validos strenuosque, ad Romanos transierunt. Idem fecerunt etiam equites quidam quibus præerat Rufus, et ipsi facti sunt accessio ad Romanos. Verum Judæi nihilominus obsidionem urgere, et cuniculos agere, atque perfugis clamare *ut exirent*, ne per ipsos stet quominus tempus jam arripiant patriæ libertatem recuperandi. Et Sabino quidem nihil erat optatius quam cum militibus exire; sed Judæis fidere non poterat propter ea quæ perpetraverat : et non vulgaris hostium lenitas, *ipsi utpote suspecta*, in causa erat quod conditiones rejecerit; adde quod a Varo exspectabat auxilium, eamque ob rem obsidionem sustinebat.

4. Ea autem tempestate exsistebant in Judæa mille aliæ turbæ, multique plurimis in locis aut lucri cupiditate aut odio in Judæos, bellum concitabant. Nam duo quidem hominum millia, qui aliquando sub Herode meruerant, jamque dimissi erant, in ipsa Judæa inter se conspirarunt, et regios oppugnare cœperunt; quibus Achiabus Herodis sobrinus resistebat, et ex agris in editiora loca compulsus, quippe ab hominibus rei militaris scientissimis, difficiles aditus insidendo servabat quæ poterat.

5. Exstitit et Judas, Ezechiæ filius latronum præfecti, qui magnarum erat virium, quemque Herodes ægerrime oppresserat. Hic Judas apud Sepphorim Galilææ *oppidum*,

λιλαίας συστησάμενος πλῆθος ἀνδρῶν ἀπονενοημένων ἐπιδρομὴν τῷ βασιλείῳ ποιεῖται, καὶ ὅπλων κρατήσας ὁπόσα αὐτόθι ἀπέκειτο, ὡπλίζε τοὺς περὶ αὐτὸν καθ' ἕνα καὶ ἀποφέρεται χρήματα ὁπόσα κατελείφθη αὐτόθι, φοβερός τε ἅπασιν ἦν ἄγων καὶ φέρων τοὺς προστυγχάνοντας, ἐπιθυμίᾳ μειζόνων πραγμάτων καὶ ζηλώσει βασιλείου τιμῆς, οὐκ ἀρετῆς ἐμπειρίᾳ, τοῦ δὲ ὑβρίζειν περιουσίᾳ, κτήσεσθαι προσδοκῶν γέρας τὸ ἐντεῦθεν.

ς'. Ἦν δὲ καὶ Σίμων δοῦλος μὲν Ἡρῴδου τοῦ βασιλέως, ἄλλως δὲ ἀνὴρ εὐπρεπὴς καὶ μεγέθει καὶ ῥώμῃ σώματος ἐπὶ μέγα προὔχων τε καὶ πεπιστευμένος. Οὗτος ἀρθεὶς τῇ ἀκρασίᾳ τῶν πραγμάτων διαδημά τε ἐτόλμησε περιθέσθαι, καί τινος πλήθους συστάντος καὶ αὐτὸς βασιλεὺς ἀναγγελθεὶς μανίᾳ τῇ ἐκείνων, καὶ εἶναι ἄξιος ἐλπίσας παρ' ὀντινοῦν τὸ ἐν Ἰεριχοῦντι βασίλειον πίμπρησι, δι' ἁρπαγῆς ἄγων τὰ ἐγκαταλελειμμένα, πολλὰς δὲ καὶ ἄλλας τῶν βασιλικῶν οἰκήσεων πολλαχοῦ τῆς χώρας πῦρ ἐνιεὶς ἠφάνιζεν, τοῖς συνεστηκόσι λείαν ἄγειν τὰ ἐγκαταλελειμμένα ἐπιτρέπων. Ἐπέπρακτο δ' ἄν τι μεῖζον ἀπ' αὐτοῦ μὴ ταχείας ἐπιστροφῆς γενομένης. Ὁ γὰρ Γρᾶτος, τῶν βασιλικῶν στρατιωτῶν Ῥωμαίοις προστεθειμένος, μεθ' ἧς εἶχε δυνάμεως ὑπαντιάζει τὸν Σίμωνα. Καὶ μάχης αὐτοῖς μεγάλης ἐπὶ πολὺ γενομένης, τό τε πολὺ τῶν Περαίων, ἀσύνταχτοι ὄντες καὶ τόλμῃ μᾶλλον ἢ ἐπιστήμῃ μαχόμενοι, διεφθάρησαν, καὶ αὐτοῦ Σίμωνος, φυγῇ διά τινος φάραγγος σώζοντος αὐτὸν, Γρᾶτος ἐντυχὼν τὴν κεφαλὴν ἀποτέμνει. Κατεπρήσθη δὲ καὶ τὰ ἐπὶ τῷ Ἰορδάνῃ ποταμῷ ἐν Ἀμαθοῖς βασίλεια ὑπὸ τινῶν συστάντων ἀνδρῶν Σίμωνι παραπλησίων. Οὕτω πολλὴ ἀφροσύνη ἐνεπολίτευσε τῷ ἔθνει, διὰ τὸ βασιλέα μὲν οἰκεῖον οὐκ εἶναι τὸν καθέξοντα τὸ πλῆθος ἀρετῇ, τοὺς δὲ ἀλλοφύλους ἐπελθόντας σωφρονιστὰς τοῦ στασιάσοντος τῶν ἀνθρώπων ὑπέκκαυμα αὐτῶν διά τε τοῦ ὑβρίζειν καὶ πλεονεκτεῖν γενέσθαι·

ζ. ἐπεὶ καὶ Ἀθρόγγης, ἀνὴρ οὔτε προγόνων ἐπιφανὴς ἀξιώματι οὔτε ἀρετῆς περιουσίᾳ ἢ τινῶν πλήθει χρημάτων, ποιμὴν δὲ καὶ ἀνεπιφανὴς τοῖς πᾶσιν εἰς τὰ πάντα ὤν, ἄλλως δὲ μεγέθει σώματος καὶ τῇ κατὰ χεῖρας ἀλκῇ διαπρέπων, ἐτόλμησεν ἐπὶ βασιλείᾳ φρονῆσαι, καὶ διὰ τὴν ἡδονὴν τοῦ πλέον ὑβρίσαι καὶ θνήσκων οὐκ ἐν μεγάλοις τίθεσθαι τῆς ψυχῆς τὸ ἐπὶ τοιοῖσδε ἀνάλωμα γενησόμενον. Ἦσαν δὲ αὐτῷ καὶ ἀδελφοὶ τέσσαρες, μεγάλοι τε καὶ αὐτοὶ καὶ ἐπὶ μέγα προὔχειν τῇ κατὰ χεῖρας ἀρετῇ πεπιστευμένοι, πρόβλημα εἶναι τῆς καθέξεως τῆς βασιλείας δοκοῦντες· λόχου τε αὐτῶν ἦρχεν ἕκαστος· συλλέγεται γὰρ μεγάλη πληθὺς πρὸς αὐτούς. Καὶ οἱ μὲν στρατηγοὶ ἦσαν, καὶ ὑπεστρατήγουν αὐτῷ ὁπόσα εἰς τὰς μάχας φοιτῶντες δι' αὐτῶν. Ὁ δὲ διάδημα περιθέμενος βουλευτήριόν τε ἦγεν ἐπὶ τοῖς ποιητέοις καὶ τὰ πάντα γνώμῃ ἀνακείμενα εἶχεν τῇ αὐτοῦ. Διέμενέ τε ἐπὶ πολὺ τῷδε τῷ ἀνδρὶ ἡ ἰσχὺς, βασιλεῖ τε κεκλημένῳ καὶ ἃ πράσσειν

coacta profligatorum hominum caterva, palatium adortus, arma omnia ibi reposita occupavit, iisque suorum singulos armavit, et omnem illic repertam pecuniam abstulit, suique terrorem omnibus injecit, obvios quosque diripiens secumque abducens, rerum majorum desiderio regnandique cupiditate, eam adipisci sperans dignitatem non virtutis peritia, sed effrenata nocendi licentia.

6. Fuit et Simon quidam regis Herodis servus, homo alioqui formosus, et corporis amplitudine atque robore excellens, creditusque excellere. Hic, sumpta ex rebus turbidis fiducia et diadema sibi imponere ausus est, et congregata hominum multitudine, quum ipse et rex ab illis insanientibus salutatus fuisset, seque aliis digniorem imperio existimasset, Hierichuntiam regiam a se direptam cremavit, aliasque multas regis domos in multis regionis locis incendit, omnibus quæ in illis erant sociis in prædam concessis. Quin et majus quiddam perpetrasset, nisi mature in eum animadversum fuisset. Nam Gratus, postquam regios milites Romanis junxerat, cum copiis suis omnibus Simoni obviam occurrit : et post longum et acre prælium, profligatis Simonianis, quippe Transjordanis, et nullo ordine, audacia magis quam arte pugnantibus, Gratus nactus Simonem, per angustias, ut salutem sibi quæreret, fugientem, caput ei amputavit. Apud Amatha quoque, ad Jordanem fluvium posita, crematum est palatium ab hominum caterva Simonis similium. Tantus tum furor per totam gentem grassabatur, eo quod proprium regem non haberet cujus justo fortique imperio multitudo regeretur, qui vero alienigenæ ad castigandos seditiosos venerant, malum potius exacerbarent, graves superbia simul et avaritia :

7. Quum etiam Athronges, vir nec generis dignitate illustris, neque magna virtute aut opum abundantia fretus, sed opilio, cunctis cetera omnia obscurus, vasto tantum corpore et manuum robore insignis, regnum affectare ausus esset, cui adeo placebat major nocendi licentia, ut mori certus parvi penderit vitæ jacturam, quam talia agendo facturus esset. Illi autem quattuor erant fratres, qui et ipsi grandi statura, et ad facinus quodvis arduum manu prompti habebantur, magni momenti esse visi ad conservationem imperii. Atque hi singuli singulis cohortibus præerant : convenerat enim ad eos magna hominum multitudo. Atque illi quidem turmarum præfecti erant, et quum per se itarent pro Athronge prælia faciebant. Ipse autem diadema sibi imposuit, et de rebus agendis concilium habuit, omniaque gerebat arbitratu suo. Et diu in potestate permansit, regio nomine, faciens quæ vellet; magnasque

ἐθέλοι μὴ ἀποστερουμένῳ, φόνῳ τε καὶ αὐτὸς καὶ οἱ ἀδελφοὶ ἦσαν ἐπὶ μέγα προσκείμενοι Ῥωμαίων τε καὶ τῶν βασιλικῶν, μίσει πολιτεύοντες ὁμοίως πρὸς ἀμφοτέρους, τούτους μὲν ὕβρει ᾗ χρήσαιντο ἐπὶ τῆς Ἡρώδου ἀρχῆς, Ῥωμαίους δὲ ὧν εἰς τὸ παρὸν ἔδοξαν ἀδικεῖν. Προϊόντος δὲ τοῦ χρόνου καὶ ἐπὶ πλεῖον ὁμοίως ἐξηγρίωσαν. Διάφευξίς τε οὐκ ἦν τοῖς πᾶσιν ἐν πᾶσι, τὰ μὲν κέρδους ἐλπίδι, τὰ δὲ καὶ συνηθείᾳ τοῦ φονεύειν. Ἐπιτίθενται δὲ ποτὲ καὶ Ῥωμαίων λόχῳ κατὰ Ἐμμαοῦντα, οἳ σῖτόν τε καὶ ὅπλα τῆς στρατιᾶς ἔφερον. Καὶ περιστάντες Ἄρειον μὲν τὸν ἑκατόνταρχον, ὃς ἡγεῖτο τοῦ τάγματος, καὶ τεσσαράκοντα τῶν περὶ αὐτὸν, πεζῶν τοὺς κρατίστους κατηκόντισαν· οἱ δὲ λοιποὶ, δείσαντες πρὸς τὸ πάθος αὐτῶν, Γράτου σὺν τοῖς βασιλικοῖς οἱ περὶ αὐτὸν ἦσαν σκέπης αὐτοῖς γενομένης, σώζονται τοὺς νεκροὺς καταλιπόντες. Καὶ πολὺν μὲν χρόνον τοιουτοτρόποις χρώμενοι μάχαις, Ῥωμαίους τε παρελύπησαν οὐκ [εἰς] ὀλίγα καὶ τὸ ἔθνος ἐκάκωσαν ἐπὶ μέγα. Χειροῦνται δ' οὖν χρόνῳ ὕστερον, ὁ μὲν Γράτῳ συμβαλὼν, ὁ δὲ Πτολεμαίῳ· καὶ τὸν πρεσβύτατον Ἀρχελάου λαβόντος, ὁ τελευταῖος πάθει τε τῷ ἐκείνου λελυπημένος καὶ ἄπορον ἐπὶ πλέον ὁρῶν τὴν σωτηρίαν ὑπὸ μονώσεως καὶ καμάτου πολλοῦ, ψιλωθεὶς τῆς δυνάμεως, ἐπὶ δεξιαῖς καὶ πίστει τοῦ θείου Ἀρχελάῳ παραδίδωσιν αὑτόν. Καὶ τάδε μὲν ὕστερον γίνεται.

η'. Ληστηρίων δὲ ἡ Ἰουδαία ἔμπλεως ἦν, καὶ ὡς ἂν παρατύχοιέν τινι οἱ συστασιάσαντες αὐτῷ, βασιλεὺς προϊστάμενος ἐπ' ὀλέθρῳ τοῦ κοινοῦ ἠπείγετο, ὀλίγα μὲν καὶ ἐπ' ὀλίγοις Ῥωμαίοις λυπηροὶ καθιστάμενοι, τοῦ δὲ ὁμοφύλου φόνου ἐπὶ μήκιστον ἐμποιοῦντες.

θ'. Οὔαρος δὲ, ἐπειδὴ τὸ πρῶτον πυνθάνεται τὰ πεπραγμένα, Σαβίνου γράψαντος πρὸς αὐτὸν, δείσας περὶ τοῦ τάγματος, δύο τὰ λοιπὰ ἀναλαβὼν (τρία γὰρ ἐπὶ Συρίας τὰ πάντα ἦν) καὶ ἴλας ἱππέων τέσσαρας, ὁπόσα τε ἐπικουρικὰ ἡ βασιλεῖς ἢ τινες τετράρχαι τότε παρεῖχον, ἠπείγετο βοηθεῖν τοῖς ἐν Ἰουδαίᾳ τότε πολιορκουμένοις. Εἴρητο δὲ πᾶσιν εἰς Πτολεμαΐδα ἐπείγεσθαι, ὁπόσοι προεξεπέμποντο. Διδόασί τε αὐτῷ καὶ Βηρύτιοι, διότι αὐτῶν τὴν πόλιν, ἐπικούρους πεντακοσίους καὶ χιλίους. Πέμπει δὲ καὶ Ἀρέτας ὁ Πετραῖος, ἔχθει τῷ Ἡρώδου φιλίαν τὴν Ῥωμαίων κτώμενος, συμμαχίαν οὐκ ὀλίγην, χωρὶς πεζῶν τε καὶ ἱππέων. Συναχθείσης δ' ἐν Πτολεμαΐδι πάσης ἤδη τῆς δυνάμεως, μέρος τι ταύτης τῷ υἱῷ παραδοὺς καὶ ἑνὶ τῶν αὑτοῦ φίλων, Γαλιλαίους ἐξέπεμπε πολεμεῖν, οἳ τὰ Πτολεμαΐδος ἐχόμενα κατοικοῦσιν. Ὃς ἐμβαλὼν τούς τε ἀντικαταστάντας εἰς μάχην τρέπεται καὶ Σέπφωριν ἑλὼν τοὺς μὲν οἰκήτορας ἠνδραποδίσατο, τὴν δὲ πόλιν ἐνέπρησεν. Αὐτὸς δὲ Οὔαρος ἐπὶ Σαμαρείας τῷ παντὶ στρατῷ προϊὼν τῆς μὲν πόλεως ἀπέσχε διὰ τὸ ἀνέγκλητον ἐπὶ τοῖς νεωτερισμοῖς εἶναι, στρατοπεδεύεται δὲ ἔν τινι κώμῃ Πτολεμαίου κτήματι, Ἄρους ὄνομα αὐτῇ. Καὶ οἱ Ἄραβες μίσει τῷ Ἡρώ-

tum ipse tum fratres cædes edebant tam Romanorum quam regiorum, utpote utrisque ex æquo infensi, his propter licentiam qua sub Herode usi fuerant, Romanis propter injurias quas tum ab illis acceperant. Tempore autem consequenti magis magisque pariter in omnes efferabantur, et vix quisquam interitum poterat effugere, partim quod quæstui inhiarent, partim ob interficiendi consuetudinem. Hi aliquando Romanorum cohortem, qui frumenta et arma militibus ferebant, prope Emmauntem aggressi, ita circumdederunt ut Arum centurionem, legionis ducem, et quadraginta ejus peditum fortissimos missilibus confixerint: reliqui, illorum clade attoniti, auxilio Grati, qui eis cum regiis succurrit, evaserunt, relictis cæsorum cadaveribus. In hunc modum longo tempore pugnas conserentes, et Romanis magna detrimenta intulerunt et gentem suam valde afflixerunt. Postea tamen subacti sunt, unus cum Grato prælio congressus, alter cum Ptolemæo: natuque maximo in Archelai potestatem redacto, ultimus qui supererat, ex fratris casu mœrore confectus, et nullam videns salutis spem reliquam, quod solus restaret, continuis laboribus exhaustus, amissis copiis suis, accepta fide et jurejurando ipse quoque Archelao se dedidit. Sed hæc postea facta sunt

8. Tunc autem Judæa plena erat latrociniis: et ut quisque seditiosorum cœtus coiverat, reges creabantur, qui omnia agebant in perniciem reipublicæ, ut qui parum admodum et in rebus tenuibus Romanis nocerent, ipsi vero in populares suos longe latoque cædibus grassarentur.

9. Interea Varus, ubi primum ex Sabini literis quæ gesta erant intelligit, sollicitus de legione, duas reliquas assumpsit, (quippe tres in universum erant in Syria,) et quattuor turmas equitum, omniaque regum et tetrarcharum auxilia, atque celeriter obsessis in Judæa subsidio proficiscitur. Omnibus autem jussum erat, qui præmittebantur, ut Ptolemaidem properarent. Dant illi etiam Berytii, quum per urbem eorum transiret, mille quingentos auxiliares. Aretas quoque Petræus, ex suo in Herodem odio amicus Romanis factus, alias ei suppetias affert præter pedites equitesque. Coactis itaque ad Ptolemaidem totis copiis, earum partem filio et cuidam amico tradit, eosque ad bellum Galilæis supra Ptolemaidem incolentibus inferendum mittit. Atque ille hostes prælio aggressus in fugam vertit, captoque et incenso oppido Sepphori incolas vendidit. Ipse Varus cum universo exercitu ad Samariam profectus, urbi, quod seditionis culpa cararet, manus abstinuit: sed castra in vico, cui nomen est Arûs, posuit, qui Ptolemæi ditionis erat: eumque vicum Arabes Herodis

δου ἐμπιπρᾶσιν αὐτὴν, ἐχθρῶς καὶ πρὸς φίλους τοὺς ἐκείνου ἔχοντες. Ἐκεῖθεν δὲ προϊόντες Σαμφὼ κώμην ἑτέραν διήρπασάν τε οἱ Ἄραβες καὶ ἔκαυσαν, πάνυ ἐρυμνὴν οὖσαν καὶ ὀχυράν. Ἐν δὲ τῇ προόδῳ οὐδὲν αὐτοὺς διέφυγεν, ἀλλὰ πυρὸς καὶ φόνου τὰ πάντα μεστὰ ἦν. Πίμπραται δὲ καὶ Ἔμμαους, Οὐάρου κελεύσαντος ἐπ' ἐκδικίᾳ τῶν συντετελευτηκότων, προεκλειφθεῖσα ὑπὸ τῶν οἰκητόρων. Ἐντεῦθεν δὲ καὶ Ἱεροσολύμοις ἤδη συνῆπτε, καὶ Ἰουδαίων οἱ κατὰ πολιορκίαν τοῦ τάγματος τῇδε στρατοπεδευόμενοι τὴν ὄψιν τῆς προσόδου τῶν στρατευμάτων οὐχ ὑπομείναντες ὤχοντο, ἡμίεργον τὴν πολιορκίαν καταλιπόντες. Οἱ δ' ἐν τοῖς Ἱεροσολύμοις Ἰουδαῖοι, δεινῶς τοῦ Οὐάρου σφίσιν ἐγκαλοῦντος, ἀπελύοντο τὰς αἰτίας, ὡς τῆς μὲν συνόδου τῆς πληθύος διὰ τὴν ἑορτὴν γενομένης, τοῦ δὲ πολέμου μηδαμῇ γνώμῃ τῇ αὐτῶν, τόλμῃ δὲ τῶν ἐπηλύδων, συνελθόντες αὐτοῖς, καὶ συμπολιορκηθέντες Ῥωμαίοις μᾶλλον ἢ πολιορκεῖν προθυμίαν ἔχοντες. Προαπηντήκασι δὲ τῷ Οὐάρῳ Ἰώσηπός τε ἀνεψιὸς Ἡρώδου βασιλέως, Γρᾶτός τε καὶ Ῥοῦφος τοὺς ὑπ' αὐτοῖς τῶν στρατιωτῶν ἄγοντες, καὶ τῶν Ῥωμαίων οἱ πολιορκούμενοι. Σαβῖνος δὲ οὐκ ἀφίκετο Οὐάρῳ εἰς ὄψιν, ἀλλ' ὑπεξῆλθε τῆς πόλεως ἐπὶ θαλάσσης.

ι'. Οὔαρος δὲ κατὰ τὴν χώραν πέμψας τοῦ στρατοῦ μέρος ἐπεζήτει τοὺς αἰτίους τῆς ἀποστάσεως. Καὶ σημαινομένων, τοὺς μὲν ἐκόλασεν ὡς αἰτιωτάτους, εἰσὶ δ' οὓς καὶ ἀφῆκεν. Ἐγένοντο δὲ οἱ διὰ ταύτην τὴν αἰτίαν σταυρωθέντες δισχίλιοι. Μετὰ δὲ τοῦτο τὴν μὲν αὐτοῦ στρατιὰν ἀποπέμπεται, χρήσιμον μὲν ὁρῶν ἐπ' οὐδαμοῖς οὖσαν τοῖς πράγμασι· πολλὰ γὰρ ἠτάκτητο αὐτοῖς καὶ παρήκουστο τῶν δογμάτων καὶ ὧν ἠξίου Οὔαρος, ἐφέσει κερδῶν ἃ ἐκ τοῦ κακουργεῖν περιεγένοντο αὐτοῖς. Αὐτὸς δὲ, μυρίους Ἰουδαίους συνεστηκέναι πυνθανόμενος, ἠπείγετο εἰς κατάληψιν αὐτῶν. Οἱ δὲ οὐχ ἧκον εἰς χεῖρας, ἀλλὰ παρέδοσαν αὐτοὺς γνώμῃ τῇ Ἀχιάβου συνελθόντες. Καὶ Οὔαρος, τῷ πλήθει συγχωρῶν τὰς αἰτίας τῆς ἀποστάσεως, ἔπεμπεν ἐπὶ Καίσαρα ὁπόσοι ἡγεμόνες ἦσαν αὐτῶν. Καῖσαρ δὲ τοὺς μὲν αὐτῶν πολλοὺς διῆκεν, ὁπόσοι τε συγγενεῖς ὄντες Ἡρώδου συνεστράτευον αὐτοῖς, τοὺς δὲ ἐκόλασε μόνους, οἳ μηδὲν φροντίσαντες τοῦ δικαίου κατὰ τῶν οἰκείων ἐστράτευον.

ΚΕΦ. ΙΑ'.

Οὔαρος μὲν δὴ ταῦτα καταστησάμενος, καὶ φρουρὰν Ἱεροσολύμων τὸ καὶ πρότερον καταλιπὼν τάγμα, ἐπ' Ἀντιοχείας ἠπείγετο. Ἀρχελάῳ δὲ ἐπὶ Ῥώμης ἑτέρων πραγμάτων ἐφύοντο ἀρχαὶ κατὰ τοιαύτας αἰτίας. Ἀφίκετο εἰς τὴν Ῥώμην πρεσβεία Ἰουδαίων, Οὐάρου τὸν ἀπόστολον αὐτῶν τῷ ἔθνει ἐπικεχωρηκότος ὑπὲρ αἰτήσεως αὐτονομίας. Καὶ ἦσαν οἱ μὲν πρέσβεις οἱ ἀποσταλέντες γνώμῃ τοῦ ἔθνους πεντήκοντα, συνίσταντο δὲ αὐτοῖς τῶν ἐπὶ Ῥώμης Ἰουδαίων ὑπὲρ ὀκτακισχιλίους.

odio amicis quoque ejus infensi incenderunt. Illinc digressi Arabes vicum alium, nomine Sampho, munitissimum et instructissimum, diripuerunt atque concremarunt. Quin toto itinere nihil eos effugit, omnia miscentes flammis ac cædibus. Emmaus quoque, sed ab incolis deserta, jussu Vari cremata est, ut iis qui ibi fuerant occisi parentaret. Inde ad ipsa Hierosolyma ducit, ubi Judæi, qui legionem ab ea parte obsidebant, ad primum venientis exercitus conspectum fugæ se mandarunt, obsidione semiperfecta relicta. Hierosolymitani autem Judæi, graviter a Varo increpati, sese purgarunt, demonstrantes ob festa coivisse populum, neque suo consilio bellum, sed externorum audacia susceptum; se quidem cum Romanis magis obsessos fuisse quam eos obsidere animo habuisse. Et jam ante Varo se obtulerant Josephus Herodis regis sobrinus, et Gratus et Rufus cum suis militibus, et Romani qui obsessi erant. At Sabinus in Vari conspectum non veniebat, sed clam ex urbe se subduxit et ad mare profectus est.

10. Tum Varus per regionem copiarum suarum partem ad conquirendos seditionis auctores mittit, factoque indicio, in quosdam ut ceteris nocentiores animadvertit, ceteros vero dimisit, duobus millibus ob eam causam in crucem sublatis. Deinde milites, quod ad nullam rem utiles esse videret, exauctoravit: multa enim peccaverant, Varique præceptis et voluntati non obtemperaverant, cupiditate lucri quod eis ex maleficiis provenerat. Ille vero, quum decem Judæorum millia coivisse intellexisset, celeriter ad eos opprimendos profectus est. Atqui illi manus conserere non sunt ausi, sed ex Achiabi sententia omnes sese dediderunt. Atque Varus, data plebeiis defectionis venia, eorum duces omnes misit ad Cæsarem. Cæsar autem plerosque ex eis dimittit, et de illis qui ex Herodis consanguineis sese eis adjunxerant, supplicium sumpsit solis, quod præter jus fasque contra necessarios suos arma tulerant.

CAP. XI. (XII.)

Varus itaque his perfectis Antiochiam profectus est, relicta Hierosolymorum ad præsidium priore legione. Romæ vero Archelao novum ortum est negotium ex hujusmodi causis. Judæorum legatio, Varo genti mittendi potestatem faciente, Romam veniebat, ad postulandam suis legibus vivendi libertatem. Et legati quidem ex decreto totius gentis missi quinquaginta erant: illis vero Romæ sese adjunxerunt supra octo Judæorum millia. Quumque Cæsar convocasset

λίους. Καίσαρός τε συνέδριον φίλων τε τῶν αὐτοῦ καὶ Ῥωμαίων τῶν πρώτων συναγαγόντος ἐν ἱερῷ Ἀπόλλωνος, μεγάλοις τέλεσιν ὑπ' αὐτοῦ ἱδρυμένῳ, οἱ μὲν πρέσβεις μετὰ τοῦ πλήθους τῶν αὐτόθι Ἰουδαίων ἀφικνοῦνται, Ἀρχέλαος δὲ μετὰ τῶν φίλων. Ὁπόσοι δὲ συγγενεῖς ἦσαν τοῦ βασιλέως, Ἀρχελάῳ μὲν συντετάχθαι διὰ μῖσος τὸ πρὸς αὐτὸν ὑστέρουν, τοῖς δὲ πρέσβεσιν ὁμοψηφεῖν κατ' αὐτοῦ δεινὸν ἡγοῦντο, ἐν αἰσχύνῃ τῇ αὐτῶν οἰόμενοι γενήσεσθαι παρὰ Καίσαρι κατ' ἀνδρὸς οἰκείου τοιάδε πράσσειν προθυμεῖσθαι. Παρῆν δὲ ἤδη καὶ Φίλιππος ἀπὸ Συρίας, ἐξοτρύναντος αὐτὸν Οὐάρου, τὸ μὲν κεφάλαιον ἐπὶ συνηγορίᾳ τἀδελφοῦ, (πάνυ γὰρ εὐνόει Οὔαρος αὐτῷ,) γενομένης δὲ τῆς βασιλείας μεταπτώσεως, (καὶ τάδε ὑπώπτευεν Οὔαρος, νέμησιν αὐτῆς γενήσεσθαι διὰ τὸ πολλοὺς εἶναι τοὺς αὐτονομίας γλιχομένους,) οὐχ ὑστεριῶν τοῦ κἂν αὐτὸς μοῖραν αὐτῆς τινα φέρεσθαι.

β'. Λόγου οὖν τοῖς Ἰουδαίων πρέσβεσι δοθέντος, οἳ ἐπὶ καταλύσει τῆς βασιλείας ἤλπιζον λέγειν, ἐπὶ κατηγορίαν τῶν Ἡρώδου παρανομιῶν τρέπονται, βασιλέα μὲν ὀνόματι ἀποφαίνοντες αὐτὸν, τῶν δὲ ἐν ταῖς τυραννίσιν ἑκάσταις τὸ ἀνήκεστον ἀναδεξάμενον εἰς αὐτὸν ἐπ' ὀλέθρῳ τῶν Ἰουδαίων συνθέντα κεχρῆσθαι, τὰ πολλὰ καὶ φύσει τῇ αὐτοῦ προσκαινουργεῖν οὐκ ἀπηλλαγμένον. Πολλῶν γοῦν ὄντων οἱ ὀλέθριοι ἀπολώλοιεν, ὅσους οὐχ ἱστορήσειν πω πρότερον, πολλῷ δυστυχεστέρους τοῦ πάθους ἐκείνων τοὺς ζῶντας εἶναι, οὐ μόνον ὧν ὄψει καὶ διανοίᾳ ἐπ' αὐτοὺς ἀνιαθεῖεν, ἀλλὰ καὶ ὧν ταῖς οὐσίαις. Πόλεις μέν γε τὰς μὲν περιοικίδας καὶ ὑπὸ ἀλλοφύλων οἰκουμένας κοσμοῦντα μὴ παύσασθαι μετὰ καταλύσεώς τε καὶ ἀφανισμοῦ τῶν ἐν τῇ ἀρχῇ αὐτοῦ κατῳκημένων, πενίας δὲ ἀπόρου τὸ ἔθνος ἀναπεπληκέναι, σὺν ὀλίγοις εὔδαιμον παρειληφότα, τῶν τε εὐπατριδῶν, ὁπότε κτείνειεν αὐτοὺς ἐπ' ἀλόγοις αἰτίαις, τὰς οὐσίας ἀποφερόμενον, καὶ οἷς συγχωρήσειε τὴν ἄδειαν τοῦ ζῆν, ψίλωσιν χρημάτων καταδικάζοντα. Καὶ χωρὶς μὲν πράσσεσθαι φόρους ἐπιβαλλομένους ἑκάστοις τὸ ἐπ' ἔτος, χωρὶς δὲ εὐπορίας εἶναι παρακαταβολὰς αὐτῷ τε καὶ οἰκείοις καὶ φίλοις, καὶ τῶν δούλων, οἳ ἐπ' ἐκπράξει τῶν φόρων ἀξιοῖεν, διὰ τὸ μὴ εἶναι κτῆσιν τοῦ ἀνυβρίστου, μηδὲ χρυσοῦ μηδὲ ἀργυρίων διδομένων. Παρθένων μέντοι φθορὰς καὶ γυναικῶν αἰσχύνας, ὁπόσας ἐπὶ παροινίᾳ καὶ ἀπανθρωπίᾳ δρωμένας, σιγᾶν, διὰ τὸ ἡδονὴν ἴσην εἶναι τοῖς πεπονθόσι τοῦ μὴ γεγονέναι τὴν ἐκ τοῦ ἀνέκπυστα αὐτὰ εἶναι. Τοσήνδε Ἡρώδην ἐπεισάγεσθαι τὴν ὕβριν αὐτοῖς, ὁπόσην οὐδ' ἂν θηρίον, ἀνθρώπων ἐπιστατεῖν δύναμεως αὐτῷ παραγενομένης. Πολλῶν γοῦν ἀναστάσεων καὶ μεταστάσεων παραλαβουσῶν τὸ ἔθνος, οὐδεμίαν ἱστορῆσθαι πώποτε τοιάνδε δυστυχίαν ἐπελθοῦσαν αὐτῷ παράδειγμα κακώσεως, ἣν [αὐτῷ] Ἡρώδης ἐπετίθει τῷ ἔθνει. Καὶ διὰ ταῦτ' εἰκότως ἂν γενέσθαι τὸ ἀσμένως Ἀρχέλαον βασιλέα προσειπεῖν, οἰομένους πάντα ὁντινασοῦν τὸν ἐπὶ τὴν βασιλείαν ἐσόμενον Ἡρώδου

in ædem Apollinis, quæ ab ipso magnis sumptibus fuerat exstructa, concilium tam amicorum quam primorum Romanorum, venerunt eo legati, eos prosequente Judæorum Romæ degentium turba, Archelaus autem ecotra cum amicis. Verum regis quotquot fuere consanguinei ab Archelao stare recusabant, quod eum oderant, et tamen in eadem cum legatis contra eum ire illis grave videbatur, id sibi dedecori fore existimantes, velle coram Cæsare adversari homini tam propinqua necessitudine sibimet conjuncto. Philippus quoque eo venit ex Syria, impulsu Vari, maxime quidem ut fratris partes adjuvaret, (nam eum amabat Varus,) facta vero regni mutatione, (idque suspicabatur Varus fore ut regnum divideretur, quod multi essent qui suis legibus vivendi libertatem desiderarent,) ut ipse sibi non deesset quominus partem ejus aliquam obtineret.

2. Igitur ubi dicendi locus datus est Judæorum legatis, qui de regno dissolvendo verba facere sibi proposuerant, ad iniquitatum Herodis accusationem se convertunt, nomine quidem eum regem exstitisse indicantes, at gravissima quæque in omni tyrannide in se recepisse, et in Judæorum perniciem conflata exercuisse, et a novis aliquammultis suo etiam ingenio excogitatis non refugisse. Quum itaque plurimi diversis mortis generibus occubuerint, quotquot superiore tempore nusquam reperire sit, multo infeliciores iis qui interierint superstites esse, non solum quod ex vultu et animo in eos maligno anxietate laborent, verum etiam quod de facultatibus suis in sollicitudine versentur: urbes quippe vicinas, ab exteris habitatas, ornare non desiisse, ut quæ in suo regno sitæ sint sumptibus exhaustæ funditus perirent: et ad summam inopiam gentem suam adegisse, quam cum paucis florentem acceperit, nobilium, quoties ei visum fuerit eos levibus de causis interficere, bona diripiendo, quibusque vitam concesserit, fortunis suis eos spoliando. Ac præterquam quod annua tributa singulis imposita exigerentur, insuper etiam in uberiorem quæstum munera collata esse et in ipsum et familiares ejus et amicos, servosque illos qui vectigalibus colligendis præfuerint; quippe quod immunitas ab injuriis impetrari non potuerit, ne auro quidem et argento dato. Ceterum virginum corruptelas matronarumque pudicitiam summa cum petulantia et immanitate attentatam se silere, quod miseris par fere solamen afferat ut ista lateant facinora ac si nunquam perpetrata fuissent. Tantas se ab Herode passos injurias, ut majoribus ipsos afficere non potuisset bellua, si in homines imperium accepisset. Itaque quum multæ acciderint genti eversiones migrationesque, nullum tamen exstare in rerum monumentis mali exemplum, cum quo conferri possit præsens per Herodem genti illata calamitas. Quapropter merito ab eis Archelaum non sine lætitia regem consalutatum, quod putarent fieri non posse quin quicunque tandem in regnum succederet, sese Herode

μετριώτερον φανεῖσθαι, καὶ τόν τε πατέρα συνολοφύρασθαι αὐτῷ θεραπεύοντας, εἰ δὲ μετρίου τυχεῖν δυνηθεῖεν, καὶ τὰ ἄλλα οἰκειουμένους. Τὸν δέ, δείσαντα μὴ οὐχ Ἡρώδου γνήσιος πιστεύοιτο υἱός, οὐδὲν εἰς ἀναβολάς, ἀλλ' ἐκ τοῦ ὀξέος ἐπάξειν ἂν τῷ ἔθνει τὴν διάνοιαν αὐτοῦ, καὶ ταῦτα μηδέπω τέλεον κρατυνάμενον τὴν ἡγεμονίαν, διὰ τὸ ἐπὶ Καίσαρι δοῦναι καὶ μὴ τὴν ἐξουσίαν εἶναι. Παράδειγμά τε τῆς εἰσαῦθις ἀρετῆς τίθεσθαι τοῖς ἀρχθησομένοις μετριότητα καὶ εὐνομίαν, ᾗ χρήσαιτο ἂν πρὸς αὐτούς, ἀπὸ τῆς ἐν πρώτοις ἀποδειχθείσης πράξεως, ἐπί τε τοῖς πολίταις καὶ τῷ Θεῷ, τρισχιλίων ὁμοφύλων ἀνδρῶν σφαγὴν ἐν τῷ τεμένει ποιησάμενον. Πῶς οὐκ ἂν ἤδη δικαίως μίσει χρήσασθαι κατ' αὐτῶν, πρὸς τῇ λοιπῇ ὠμότητι, καὶ ἔγκλημα τῆς ἀντιστάσεως καὶ ἀντιλογίας ἐπὶ τῇ ἀρχῇ προσφερόμενον; Ἦν δὲ κεφάλαιον αὐτοῖς τῆς ἀξιώσεως, βασιλείας μὲν καὶ τοιῶνδε ἀρχῶν ἀπηλλάχθαι, προσθήκην δὲ Συρίας γεγονότας ὑποτάσσεσθαι τοῖς ἐκεῖσε πεμπομένοις στρατηγοῖς· φανερωθήσεσθαι γὰρ οὕτως εἴτε ἀληθῶς στασιώδεις εἶεν καὶ νεωτερισμοῖς τὰ πολλὰ προησκημένοι, εἴτε καὶ εὔτακτοι μετριωτέρων τυχόντες οἱ ἐπιστήσονται αὐτοῖς.

γ'. Τοιαῦτα δὲ τῶν Ἰουδαίων εἰρηκότων, Νικόλαος τούς τε βασιλεῖς ἀπήλλασσε τῶν ἐγκλημάτων, Ἡρώδην μὲν, διὰ τὸ παρ' ὃν ἔζη χρόνον τυχεῖν ἀκατηγόρητον, οὐ γὰρ δεῖν τοὺς ἐγκαλεῖν ἔχοντας ἐπὶ μετρίοις καὶ παρὰ ζῶντος τιμωρίαν λαβεῖν δυναμένους ἐπὶ νεκρῷ κατηγορίαν συντιθέναι, τὰ δὲ ὑπ' Ἀρχελάου πραχθέντα ὕβρει τῇ ἐκείνων ἀνετίθει, οἱ ὀργιγώμενοι πραγμάτων παρὰ τοὺς νόμους, καὶ σφαγῆς ἁρξαντες τῶν κωλύειν ὑβρίζοντας προμηθουμένων, ἀμύνης γενομένης ἐγκαλοῖεν· ἐνεκάλει δὲ νεωτεροποιίας αὐτοῖς καὶ τοῦ στασιάζειν ἡδονὴν ἀπαιδευσίαν τε τοῦ ἕπεσθαι δίκῃ καὶ νόμοις, ὑπὸ τοῦ θέλειν τὰ πάντα νικᾶν. Ταῦτα μὲν οὖν Νικόλαος.

(IIv.) δ'. Καῖσαρ δὲ ἀκούσας διαλύει μὲν τὸ συνέδριον, ὀλίγων δὲ ἡμερῶν ὕστερον Ἀρχέλαον βασιλέα μὲν οὐκ ἀποφαίνεται, τοῦ δὲ ἡμίσεως τῆς χώρας ἥπερ Ἡρώδῃ ὑπετέλει ἐθνάρχην καθίσταται, τιμήσειν ἀξιώματι βασιλείας ὑπισχνούμενος εἴπερ τὴν εἰς αὐτὴν ἀρετὴν προσφέροιτο. Τὴν δὲ ἑτέραν ἡμίσειαν νείμας διχῇ δυσὶν Ἡρώδου παισὶν ἑτέροις παρεδίδου, Φιλίππῳ καὶ Ἀντίπᾳ τῷ πρὸς Ἀρχέλαον τὸν ἀδελφὸν ἀμφισβητήσαντι περὶ τῆς ὅλης ἀρχῆς· καὶ τούτῳ μὲν ἥ τε Περαία καὶ τὸ Γαλιλαῖον ὑπετέλουν, φορά τε ἦν τάλαντα διακόσια τὸ ἐπ' ἔτος. Βαταναία δὲ σὺν Τραχωνίτιδι καὶ Αὐρανίτις σύν τινι μέρει οἴκου τοῦ Ζηνοδώρου λεγομένου Φιλίππῳ τάλαντα ἑκατὸν προσέφερε, τὰ δὲ Ἀρχελάῳ συντελοῦντα Ἰδουμαία τε καὶ Ἰουδαία τό τε Σαμαρειτικὸν· τετάρτου μέρους οὗτοι τῶν φόρων παρελέλυντο, Καίσαρος αὐτοῖς κούφισιν ψηφισαμένου, διὰ τὸ μὴ συναποστῆναι τῇ λοιπῇ πληθύϊ. Καὶ ἦσαν πόλεις αἱ Ἀρχελάῳ ὑπετέλουν, Στράτωνός τε πύργος καὶ Σεβαστὴ σὺν Ἰόπῃ καὶ Ἱεροσολύμοις· Γάζα γὰρ καὶ Γάδαρα καὶ Ἵπ-

moderatiorem præstiturus esset, atque adeo in ejus gratiam patrem publico luctu cohonestasse, alia etiam facturos ad demerendam ejus benevolentiam, si modo eum aliquanto mitem habere possent. At ille, quasi veritus ne non germanus Herodis filius crederetur, nihil ultra distulit, sed statim quo esset in gentem animo ostendit, idque priusquam principatum firmiter tenuerat, utpote quod penes Cæsarem esset dare negareve. Immo et subditis futuræ virtutis, modestiæ scilicet et æquitatis qua in eos uteretur, in ipso statim primordio specimen edidit, eo in cives et Deum perpetrato facinore, quo tria suorum popularium millia in templo necavit. Annon igitur justis de causis odio habebitur qui, ut reliquæ crudelitati hoc demum accederet, accusationem in eos instituit, quod circa imperium ei restiterint et contradixerint? In summa autem hoc erat quod postulabant, ut regno et hujusmodi principatu liberati Syriæ contribuantur, prætorumque Romanorum administrationi subjiciantur: ita perspicuum fore utrum natura seditiosi sint rebusque novis moliendis addicti, an quieti modestique, quum ipsis contigerit ut moderato imperio regantur.

3. Quum autem Judæi hujusmodi orationem habuissent, Nicolaus reges de criminibus purgavit, Herodem quidem, quod nulla de re ab illis accusatus fuerit quam diu viveret, neque fas esse ut qui apud æquos rerum judices accusare et de vivente supplicium sumere potuerint, mortuo accusationem conflarent; quæ vero ab Archelao acta essent, ad illorum improbitatem injuriasque referebat, qui quum res contra leges affectassent, et illorum cædes facere cœpissent quibus curæ erat ipsos ab injuriis prohibere, nunc de injuriis vindicatis quererentur: et illis objiciebat rerum novarum studium, quodque seditionibus delectarentur, ut qui justitiam colere legibusque parere nescirent, quod in omnibus vincere vellent. Atque hæc quidem Nicolaus.

(XIII.) 4. Cæsar autem hisce auditis dimisit concilium: at aliquot post diebus Archelaum regem quidem non declarat, sed ejus ditionis, quæ Herodi erat subjecta, in partem dimidiam constituit ethnarcham, pollicitus regii nominis honorem, si dignam rege virtutem præstitisset. Alteram vero partem dimidiam in duas partitus, reliquis duobus Herodis filiis divisit, Philippo et Antipæ, qui cum fratre Archelao de toto regno contenderat; et huic quidem paruit Transjordanensis ager et Galilæa, quæ ei quotannis ducenta talenta pensitabant. Batanæa vero cum Trachonitide, et Auranitis cum parte quadam domus Zenodori quæ appellatur, Philippo datæ, ei talenta centum reddebant; Archelao autem tributæ erant Idumæa et Judæa et Samaria; quarta vectigalium parte condonata Samaritanis, Cæsaris decreto onere levatis, quod cum ceteris non rebellassent. Fueruntque Archelao subjectæ urbes, Stratonis turris et Sebaste, Jope et Hierosolyma: nam Gaza et Gadara et

πος Ἑλληνίδες εἰσὶ πόλεις, ἃς ἀπορρήξας αὐτοῦ τῆς διοικήσεως Συρίας προσθήκην ποιεῖται. Προσήει δὲ Ἀρχελάῳ φορὰ χρημάτων τὸ κατ' ἐνιαυτὸν εἰς τάλαντα ἑξακόσια ἐξ ἧς παρέλαβεν ἀρχῆς.

ε'. Καὶ τάδε μὲν τοῖς Ἡρώδου υἱέσιν τῶν πατρῴων παρῆν. Σαλώμῃ δὲ πρὸς οἷς ὁ ἀδελφὸς ἐν ταῖς διαθήκαις ἀπονέμει (Ἰάμνεια δὲ ἦν ταῦτα καὶ Ἄζωτος καὶ Φασαηλὶς καὶ ἀργυρίου ἐπισήμου μυριάδες πεντήκοντα) Καῖσαρ δὴ χαρίζεται καὶ τὴν ἐν Ἀσκάλωνι βασίλειον οἴκησιν. Ἦν δὲ καὶ ταύτῃ πρόσοδος ἐκ πάντων τάλαντα ἑξήκοντα τὸ ἐπ' ἔτος· καὶ αὐτῆς ὁ οἶκος ἦν ἐν τῇ Ἀρχελάου ἀρχῇ. Κομίζονται δὲ καὶ οἱ λοιποὶ τοῦ βασιλέως συγγενεῖς ὁπόσαι αἱ διαθῆκαι διηγόρευον. Δυσὶ δὲ αὐτοῦ θυγατράσι παρθένοις, χωρὶς ὧν ὁ πατὴρ κατέλιπε, Καῖσαρ ἑκατέρᾳ δωρεὰν ἐπετίθει μυριάδων ἀνὰ πέντε καὶ εἴκοσι ἀργυρίου ἐπισήμου, καὶ συνῴκισεν αὐτὰς τοῖς Φερώρα υἱέσι. Χαρίζεται δὲ καὶ ὁπόσα αὐτῷ καταλέλειπτο τοῖς παισὶ τοῦ βασιλέως, ὄντα πεντακοσίων ταλάντων καὶ χιλίων, ὀλίγα τῶν σκευῶν ὑπεξελόμενος, οὐχ οὕτω μεγέθει τέλους ὡς μνήμῃ τοῦ βασιλέως αὐτῷ κεχαρισμένα.

ΚΕΦ. ΙΒ'.

Τούτων δὲ ταύτῃ διαπεπραγμένων ὑπὸ Καίσαρος, νεανίας, Ἰουδαῖος μὲν τὸ γένος, ἐπὶ δὲ τῆς Σιδωνίων πόλεως ἀνατεθραμμένος παρά τινι τῶν Ῥωμαϊκῶν ἀπελευθέρων, εἰσῴκισεν αὐτὸν εἰς τὴν Ἡρώδου συγγένειαν, ὁμοιότητι μορφῆς ἣ πρὸς Ἀλέξανδρον αὐτῷ τὸν ἀνῃρημένον υἱὸν Ἡρώδου ἐμαρτυρεῖτο παρὰ τοῖς θεωροῦσι. Καὶ τοῦτο παρόρμημα ἦν αὐτῷ εἰς τὸ μεταποιεῖσθαι τῆς ἡγεμονίας. Καὶ ὁμοπράγμονα παρελάβων ὁμόφυλον ἄνδρα, ἔμπειρον δὲ τῶν ἀμφὶ τὸ βασίλειον, πονηρὸν δὲ ἄλλως καὶ ταράξαι μεγάλα πράγματα φύσιν ἔχοντα, καὶ τοιαύτης κακίας διδάσκαλον αὐτῷ γενόμενον, ἀπέφαινεν αὐτὸν Ἀλέξανδρον, καὶ Ἡρώδου παῖδα ὄντα διακεκλεμμένον ὑπό τινος τῶν ἀνελεῖν αὐτὸν ἑσταλμένων· κτείναντα γὰρ ἕτέρους, οἳ ἀπατήσειν ἔμελλον τοὺς θεωροῦντας, αὐτόν τε περιποιῆσαι καὶ τὸν ἀδελφὸν Ἀριστόβουλον. Καὶ τούτοις αὐτός τε ἀπεντέρωτο καὶ τοὺς ἐντυγχάνοντας οὐκ ἀπήλλακτο ἀπατῶν, ἀλλὰ Κρήτῃ προσενεχθείς, Ἰουδαίων ὁπόσοις εἰς ὁμιλίαν ἀφίκετο ἐπηγάγετο εἰς πίστιν, καὶ χρημάτων εὐπορηθεὶς δόσει τῇ ἐκείνων, ἐπὶ Μήλου διῆρεν. Πολὺ πλείονα δὲ ἦν ἐντεῦθεν ὁπόσα αὐτῷ προσήει χρήματα, πίστει τῆς βασιλικῆς συγγενείας καὶ ἐλπίδι τοῦ ἀπολαβεῖν τὴν πάτριον ἀρχὴν καὶ ἀμείψασθαι τοὺς εὐεργέτας. Ἐπὶ Ῥώμης οὖν ἠπείγετο, παραπομπῇ τῶν ἰδιοξένων· καὶ Δικαιαρχεία προσβαλὼν οὐκ ἠτύχει καὶ τοὺς τῇδε Ἰουδαίους ἐφ' ὁμοίας ἀπάτης προσαγαγέσθαι· προσῆεσάν τε ὥσπερ βασιλεῖ οἵ τε ἄλλοι καὶ ὁπόσοις ξενία πρὸς Ἡρώδην καὶ εὔνοια ἦν. Αἴτιον δὲ ἦν τῶν ἀνθρώπων τὸ ἡδονῇ δεχόμενον τοὺς λόγους σὺν τῷ φερεγγύῳ τῆς μορφῆς· καὶ γὰρ τοῖς πάνυ ὁμιληκόσιν Ἀλεξάνδρῳ πολὺ τὸ πιστὸν ἐνετίθει τοῦ μὴ οὐχ ἕτερος, ἀλλ' αὐτὸς

Hippos sunt Græcæ civitates, quas ab ejus diœcesi avulsas Syriæ adjunxit *Cæsar*. Archelao autem ex suo principatu quotannis redibant sexcenta talenta.

5. Atque hæc quidem Herodis filiis ex patris possessionibus obtigere. Salomæ vero præter ea quæ frater ei legaverat, videlicet Jamniam et Azotum et Phasaelidem et argenti signati quingenta millia, Cæsar regiam dedit Ascaloniam. Ejus annui reditus summa erat talenta sexaginta, ac domus ei in Archelai ditione posita erat. Etiam ceteri regis consanguinei obtinent legata omnia quæ testamentum constituerat. Duabus autem filiabus ejus virginibus, præter illa quæ pater reliquerat, Cæsar utrique dono dedit auri signati ducenta quinquaginta millia, easque Pheroræ filiis nuptum elocavit. Immo quicquid ipsi rex legaverat regis ipsius filiis distribuit, mille scilicet et quingenta talenta, paucis aliquot vasis sibimet reservatis, utpote donis, non tam ob pretii magnitudinem quam ob regis memoriam sibi gratis.

CAP. XII. (XIV.)

His ita a Cæsare ordinatis juvenis quidam, genere Judæus, in Sidoniorum urbe educatus apud quendam libertorum Romanorum, semetipsum in Herodis familiam adoptavit, ex formæ similitudine quæ illi erat cum Alexandro Herodis filio, qui fuerat occisus : id quod attestabantur omnes qui utrumque viderant. Atque hoc ei incitamentum erat, ut ad imperium occupandum animum adjiceret. Itaque adjutore in rebus agendis sibi assumpto, homine ejusdem tribus, rerum aulicarum perito, ac præterea nequam et improbo, et natura comparato ad magnas turbas excitandas, ipsique facto ejusmodi malarum artium magistro, se Alexandrum esse præ se ferebat, Herodisque filium, qui abditus fuisset ab eorum quodam, quibus fuerat ejus interficiendi commissum negotium : qui quidem, ut hominibus imponeretur, alios interfecisset, se vero et fratrem Aristobulum conservasset. Hisce rebus ipse elatus inflatusque eos fallere pergebat in quos inciderat : adeo ut, quum in Cretam delatus esset, Judæi, quotcunque ibi nactus est, ei fidem habuerint, largiterque illi nummos suppeditarint, quibus fretus se in Melum trajecit. Atque illic ingenti pecunia auctus est, quod regio sanguine ortum credebant, sperabantque fore ut regnum paternum recuperaret et de se bene meritis vicem rependeret. Romam itaque properabat, hospitibus suis eum deducentibus ; ac Dicæarchiam appulso tam bene res ceciderunt, ut in similem fraudem istius loci homines impulerit : immo et ei tanquam regi sese adjunxerunt, tam alii quam quibuscunque cum Herode hospitium fuerat et amicitia. In causa erat hominum natura, libenter ea quæ de se prædicabat accipiens, fidem iis conciliante forma : quippe qui facile iis persuaderet, quibus cum Alexandro familiaritas intercesserat, non alterum esse, sed ipsissimum illum ;

εἶναι, καὶ πρὸς τοὺς πλησίον καὶ ὤμνυσαν. Ὥστε καὶ προελθόντος εἰς τὴν Ῥώμην λόγου τοῦ περὶ αὐτοῦ, πᾶν τὸ τῇδε Ἰουδαίων πλῆθος ὑπαντιάζοντες ἐξήεσαν, τῷ παρὰ δόξαν τῆς σωτηρίας ἐκθειάζοντες τὸ ἔργον, καὶ χάρμα ποιούμενοι διὰ τὸ μητρῷων αὐτῶν γένος, ὁπότε χωροίη κατὰ τοῦ στενωποῦ διφροφορούμενος· καὶ πᾶν τὸ βασίλειον περὶ αὐτὸν σχῆμα ἦν ἀναλώμασι τῶν ἰδιοξένων, μεγάλαι τε περιστάσεις ἐγίνοντο τῆς πληθύος, ἐπιδοήσεις τε εὔφημοι καὶ ὁπόσα εἰκὸς τοῖς οὕτω παρ' ἐλπίδα σωθεῖσι συντυγχάνειν οὐδὲν ὅ τι οὐκ ἐπράσσετο.

β'. Καίσαρι δὲ ὡς ἀφίκετο ἀγγελία περὶ αὐτοῦ, ἠπίστει μὲν διὰ τὸ μὴ ἂν ῥᾳδίως ἀπατηθῆναι Ἡρώδην ἐν πράγμασιν ἐπὶ μέγα ἀνήκουσιν αὐτῷ· διδοὺς δὲ τῇ ἐλπίδι, Κέλαδον τῶν αὐτοῦ τινὰ ἐξελευθέρων, ὡμιληκότα τοῖς μειρακίοις, πέμπει κελεύσας ἀγαγεῖν εἰς ὄψιν αὐτῷ τὸν Ἀλέξανδρον. Ὁ δὲ ἀνῆγεν, οὐδέν τι βελτίων ἐπὶ τῇ κρίσει τῶν πολλῶν γενόμενος. Οὐ μὴν Καῖσαρ διηπάτητο· ἀλλ' ἦν μὲν ἐμφερής, οὐ μὴν ὥστε ἀπατῆσαι τοὺς σωφρόνως ἐκλογίζεσθαι δυναμένους. Αὐτουργία τε γὰρ ἐτετράχωτο ὁ Ψευδαλέξανδρος καὶ παρὰ τὸ ἐκείνῳ ῥᾴδαρὸν τοῦ σώματος ὑπὸ τρυφῆς καὶ γενναιότητος συνερχόμενον, διὰ τὰ ἐναντία τῷδε ἐπὶ σκληρότερον ἐξεβεβήκει τὸ σῶμα. Θεασάμενος οὖν συμπνευσμὸν ἐπὶ ψευδολογίᾳ διδασκάλου καὶ μαθητοῦ καὶ λόγων τολμηρῶν συγκρότησιν, ἐξήταζε περὶ Ἀριστοβούλου τί καὶ γεγόνοι συνεκκλαπέντος αὐτῷ, καὶ δι' ἣν αἰτίαν οὐ παραγεγόνοι μεταποιούμενος τῆς ἀξίας, ἧς προσῆκε τυγχάνειν τοὺς οὕτω γεγονότας. Φαμένου δὲ ἐπὶ νήσου τῆς Κυπρίων καταλελεῖφθαι, κινδύνων ὑφοράσει τῶν κατὰ θάλασσαν, εἰ περὶ αὐτὸν συσταίη τι δεινόν, μὴ παντελὲς ἐξαλείφοιτο τὸ Μαριάμμης γένος, ἀλλὰ περιὼν Ἀριστόβουλος μένοι τοὺς ἐπιβεβουλευκότας. Ταῦτα διισχυριζομένου καὶ συνεστῶτος αὐτῷ τοῦ μηχανοποιοῦ τῆς πράξεως, Καῖσαρ κατὰ μόνας ἀπολαβὼν τὸ μειράκιον, « ἀλλά σοι μισθὸς, εἶπε, προκείσεται τοῦ μὴ καὶ πρὸς ἐμὲ ἀπάτῃ χρησαμένου τὸ μὴ ἀπολούμενον τῆς σωτηρίας· φάθι δή μοι αὐ« τόν τε ὃς ὢν τυγχάνεις καὶ ὅς σε τοιάδε ἧξε τολμῆσαι « διανοεῖσθαι· μεῖζον γὰρ τὸ ἐπιβούλευμα κακίας ἧς « ἐγκεχείρηκας χρόνων οὓς γεγονὼς τυγχάνεις. » Καὶ δὴ (οὐ γὰρ ἦν ἄλλως πράσσειν) φράζει πρὸς τὸν Καίσαρα τὸ ἐπιβούλευμα, ὅν τε τρόπον καὶ ἐφ' οὗ τυγχάνοι συγκείμενον. Καὶ ὁ Καῖσαρ τὸν μὲν Ψευδαλέξανδρον (οὐ γὰρ ἐψεύσατο ὁμολογίαν τὴν πρὸς αὐτόν) δραστήριον ὁρῶν αὐτουργῆσαι τῷ σώματι, ἐρέσσειν ἐν τοῖς ναύταις καταλέγει, τὸν δὲ ἀναπείσαντα κτείνει. Καταδίκη δὲ ἦρκει Μηλίοις ὁπόσα ἐτετελέκεσαν εἰς τὸν Ψευδαλέξανδρον διὰ κενῆς ἀναλωκέναι. Καὶ τὰ μὲν περὶ τὸν Ψευδαλέξανδρον τολμηρῶς συντεθέντα οὕτως ἀκλεῶς εἶχεν.

id quod aliis etiam jurejurando firmabant. Adeo ut, fama de illo Romam perlata, universa Judæorum illic agentium multitudo obviam ei prodierit, Deo adscribentes quod præter omnium opinionem salvus et incolumis sit, magnoque cum gaudio eum excipientes propter maternum genus, quacunque per vias in curru sublimis incederet regio plane apparatu : quæ res fiebat sumptibus ejus hospitum. Quin et magnus ad eum factus est populi concursus, faustisque ominibus ei acclamabatur, et nihil non actum fuerat quod iis solet accidere qui adeo præter spem servati sunt.

2. Quum autem hæc de eo Cæsari nunciata essent, fidem dicentibus non habebat, quod sciret Herodem haud facile potuisse decipi in re magna, quæ ipsum propius attingeret : nonnihil tamen suspicans, Celadum unum e suis libertis, cum adolescentibus familiariter versatum, mitti jubet ut Alexandrum sibi in conspectum adduceret. Id quod ille fecit, non majori tamen quam vulgus ad eum discernendum erat perspicacia. Verum non ita deceptus est Cæsar : nam erat quidem similitudo, non tamen tanta ut eis imponeret, quibus paulo sobrium erat judicium. Iste enim falsus Alexander et labore asperitatem manibus obductam habuit, et pro mollitudine corporis, qua esse debuerat, utpote delicatus et ingenuus, contra erat corpore scabriore et rigidiore. Postquam igitur animadvertit magistrum atque discipulum in eadem conspirare mendacia inque eadem consentire audacter conficta, quærebat quid factum sit Aristobulo simul cum eo subrepto, et quam ob causam ille non venisset, ut jus tam præclaris natalibus debitum reposceret. Cui ille respondit in Cypro insula, periculorum in mari formidine, relictum esse, ut si quid Alexandro humanitus accidisset, Mariamnes genus non funditus interiret, sed Aristobulus superstes exciperet insidiatores. Hæc affirmantem juvenem, eum eo consentiente qui commenti auctor erat, Cæsar seducit, et ita dicit, « si mihi verum dicere « voles, hoc tibi præmium erit quod veniam et salutem « assequuturus sis. Age itaque, dic mihi quis tu sis, et « quis tibi ejusmodi res audere persuaserit : Ista enim quæ « animo agitasti et aggressus es majoris sunt malitiæ quam « pro ætate tua. » Tum ille, ut qui non posset aliud, totum commentum Cæsari exponit, et quo pacto, et a quo fuerit compositum. Et Cæsar Pseudalexandrum (nam fidem ei datam fallere noluit) ad remiges relegavit, quod corpore ad tolerandos labores validum videret, et ejus fraudis auctorem interfecit. Ceterum Meliis abunde magna mulcta fuit pecuniarum amissio, quas in fictitium Alexandrum impenderant. Atque ita quidem cœptum Pseudalexandri temerarium turpis consequutus est exitus.

ΚΕΦ. ΙΓ'.

Ἀρχέλαος δὲ τὴν ἐθναρχίαν παραλαβὼν ἐπεὶ εἰς Ἰουδαίαν ἀφικνεῖται, Ἰωάζαρον τὸν Βοηθοῦ ἀφελόμενος τὴν ἀρχιερωσύνην, ἐπικαλῶν συστάντι τοῖς στασιώταις, Ἐλεάζαρον τὸν ἐκείνου ἐπικαθίσταται ἀδελφόν. Ἀνοικοδομεῖ δὲ καὶ τὸ ἐν Ἱεριχοῦντι βασίλειον ἐκπρεπῶς, τῶν τε ὑδάτων ὁπόσα Νεαρὰν τὴν κώμην ὠφελεῖ ἐπιρρέοντα ἐξ ἡμισείας ἀπέστρεψεν, ἐπαγωγὴν αὐτῶν ποιούμενος τῷ πεδίῳ φοίνιξιν ὑπ' αὐτοῦ πεφυτευμένῳ. Κώμην δὲ κτίσας Ἀρχελαΐδα ὄνομα αὐτῇ τίθεται· καὶ τοῦ πατρίου παράβασιν ποιησάμενος, Γλαφύραν μὲν τὴν Ἀρχελάου θυγατέρα, Ἀλεξάνδρου δὲ τοῦ ἀδελφοῦ γαμετὴν γενομένην, ἐξ οὗ καὶ τέκνα ἦν αὐτῇ, ἀπώμοτον ὂν Ἰουδαίοις γαμετὰς ἀδελφῶν ἄγεσθαι, γαμεῖ. Διατρίβει δὲ οὐδ' ὁ Ἐλεάζαρος ἐν τῇ ἱερωσύνῃ, ἐπικατασταθέντος αὐτῷ ζῶντι Ἰησοῦ τοῦ Σιὲ παιδός.

β'. Δεκάτῳ δὲ ἔτει τῆς ἀρχῆς Ἀρχελάου οἱ πρῶτοι τῶν ἀνδρῶν ἔν τε Ἰουδαίοις καὶ Σαμαρείταις, μὴ φέροντες τὴν ὠμότητα αὐτοῦ καὶ τυραννίδα, κατηγοροῦσιν αὐτοῦ ἐπὶ Καίσαρος, καὶ μάλιστα ἐπεὶ ἔγνωσαν αὐτὸν παραβεβηκότα τὰς ἐντολὰς αὐτοῦ, ἵνα ἐπιεικῶς ἀναστρέφηται πρὸς αὐτούς. Ὁ τοίνυν Καῖσαρ ὡς ἤκουσεν, ὀργῇ φέρων, τὸν ἐπίτροπον Ἀρχελάου τῶν ἐν Ῥώμῃ πραγμάτων (Ἀρχέλαος δὲ καὶ τούτῳ ὄνομα ἦν) μεταπαλέσας, γράφειν μὲν Ἀρχελάῳ ταπεινὸν ἡγεῖται, « σὺ δὲ παραχρῆμα, φησὶ, πλέων μηδὲν εἰς ἀναβολὰς ἐπανάγειν αὐτὸν πρὸς ἡμᾶς. » Καὶ ὃς ἔκπλουν ἐκ τοῦ ὀξέος ποιησάμενος καὶ ἀφικόμενος εἰς Ἰουδαίαν καταλαμβάνει τὸν Ἀρχέλαον ἐν εὐωχίᾳ ὄντα μετὰ τῶν φίλων, τήν τε διάνοιαν ἀποσημαίνει τὴν Καίσαρος, καὶ ὥρμησεν αὐτὸν εἰς τὴν ἔξοδον. Καὶ ὁ Καῖσαρ ἀφικομένου ἐπί τινων κατηγόρων ἀκροᾶται καὶ αὐτοῦ λέγοντος, καὶ ἐκεῖνον μὲν φυγάδα ἐλαύνει, δοὺς οἰκητήριον αὐτῷ Βίενναν πόλιν τῆς Γαλατίας, τὰ δὲ χρήματα ἀπηνέγκατο.

γ'. Πρότερον δὲ ἢ κληθεὶς ἐπὶ Ῥώμης ἀνελθεῖν Ἀρχέλαος, ὄναρ τοιόνδε ἐκδιηγεῖται τοῖς φίλοις. Θεασάμενος ἀστάχυας δέκα τὸν ἀριθμὸν, πλέους πυροῦ, τὴν ἰδίαν ἀκμὴν ἀπειληφότας, δόξα ἦν αὐτῷ βιβρωσκομένους ὑπὸ βοῶν θεωρεῖν. Καὶ περιεγρόμενος (φέρειν γὰρ εἰς μέγα δόξα ἦν τὴν ὄψιν αὐτῷ) μεταστέλλεται τοὺς μάντεις, οἷς περὶ ὀνειράτων ἦσαν αἱ ἀναστροφαί. Σκιδναμένων δὲ ἑτέρων ἐφ' ἑτέροις, (οὐ γὰρ εἰς ἕνα ἔκειτο πᾶσιν ἀφήγησις,) Σίμων, ἀνὴρ γένος Ἐσσαῖος, ἀσφάλειαν αἰτησάμενος, μεταβολὴν πραγμάτων ἔλεγεν Ἀρχελάῳ φέρειν τὴν ὄψιν οὐκ ἐπ' ἀγαθοῖς πράγμασιν. Βοὰς μὲν γὰρ κακοπαθείας [τε] ἀποσαφεῖν διὰ τὸ ἔργοις ἐπιταλαιπωρεῖν τὸ ζῷον, μεταβολὰς δὲ αὖ πραγμάτων, διὰ τὸ τὴν γῆν, πόνῳ τῷ ἐκείνων ἀρουμένην, ἐν ταὐτῷ μένειν οὐ δύνασθαι· τοὺς δὲ ἀστάχυας, δέκα ὄντας, τοσόνδε ἀριθμὸν ἐνιαυτῶν ὁρίζειν· περιόδῳ γὰρ ἑνὸς παραγίγνεσθαι θέρους· καὶ τὸν χρόνον ἐξήκειν Ἀρχε-

CAP. XIII. (XV.)

Postquam autem Archelaus ethnarcha factus in Judæam pervenit, Joazarum Boethi filium pontificatu privavit, eum cum seditiosis conjurasse criminatus, idque munus Eleazaro ejusdem fratri tradidit. Refecit etiam Hierichunte palatium magnifice, et dimidiam aquam, qua Neara vicus irrigabatur, ductu ei facto, in campum divertit, quem palmetis totum conseverat. Vicum etiam construxit, quem Archelaidem nuncupavit, et contra leges patrias Glaphyram Archelai filiam, Alexandri sui fratris quondam uxorem, ex quo ipsa liberos habebat, in matrimonium duxit, quum apud Judæos res detestanda sit fratris habere uxorem. Neque Eleazarus in pontificatu permansit, suffecto in ipsius viventis locum Josua Sie filio.

2. Anno autem decimo principatus Archelai, primores viri Judæorum et Samaritanorum, ejus crudelitatem et tyrannidem non ferentes, eum apud Cæsarem accusant, maxime quum intellexissent contra Cæsaris fecisse mandatum, quo jubebatur ipsos tractare leniter. Quamobrem Cæsar, audita accusatione, quum iratus Archelai negotiorum quæ Romæ essent procuratorem, qui et ipse Archelaus vocabatur, accersivisset, non quidem Archelao quidquam scribere dignatus est, « sed tu, inquit, e vestigio conscensa navi, age eum adeas, et nulla interposita mora ipsum ad nos adducas. » Atque ille prima navigatione transmissus in Judæam venit, et Archelaum cum amicis epulantem deprehendit : cui quum voluntatem Cæsaris exposuisset, ad maturandam profectionem perpulit. Ubi autem *Romam* venit, Cæsar, postquam illum causam suam contra aliquot accusatores agentem audivit, eum in exsilium abegit, Vienna Galliarum urbe in commorandi locum ei assignata, pecuniaque spoliavit.

3. Antequam autem evocatus Romam iret Archelaus, somnium hujusmodi suis amicis narravit. Visus est sibi videre decem spicas, tritici plenas, jam perfectas, quas, ut ipsi videbatur, boves depascerent. Expergefactusque (putabat enim visionem magna sibi portendere) conjectores accersit, qui in somniis versabantur. Quum autem alii ab aliis dissentirent, (nam una eademque omnibus non erat interpretatio,) Simon quidam Essæus, postulata dicendi venia, dixit Archelao, visione illa significari rerum mutationem, idque in deterius. Boves enim ærumnam declarare, quippe laboriosum animal; itemque rerum mutationem, quoniam humus, quæ ab eis coleretur, eodem in statu permanere non posset : spicas autem, quum decem essent, totidem annorum indices esse, quoniam una æstate proveniat spica : itaque Archelao finem adesse imperii. Atque sic

λάῳ τῆς ἡγεμονίας. Καὶ ὁ μὲν ταύτῃ ἐξηγήσατο τὸ ὄνειρον. Πέμπτῃ δὲ ἡμέρᾳ μεθ' ὃ τὸ πρῶτον αὐτοῦ ἡ ὄψις Ἀρχελάῳ συνῆλθεν, ὁ ἀνακαλούμενος Ἀρχέλαος πεμπτὸς εἰς Ἰουδαίαν ὑπὸ Καίσαρος ἀφίκετο.

δ'. Παραπλήσια δὲ καὶ Γλαφύρᾳ τῇ γυναικὶ αὐτοῦ τυγχάνει, βασιλέως Ἀρχελάου θυγατρὶ οὔσῃ, ἦ, ὡς πρότερον εἶπον, συνῴκει, παρθένον λαβών, Ἀλέξανδρος Ἡρῴδου μὲν υἱός, Ἀρχελάου δὲ ἀδελφός· ἐπεὶ δὲ συμβαίνει τὸν Ἀλέξανδρον ὑπὸ πατρὸς τελευτῆσαι, Ἰόβᾳ τῷ Λιβύων βασιλεῖ γαμεῖται, μεταστάντος δὲ τοῦ Λιβύος χηρεύουσαν ἐν Καππαδοκίᾳ παρὰ τῷ πατρὶ Ἀρχέλαος ἄγεται, τὴν συνοικοῦσαν αὐτῷ Μαριάμμην ἐκβαλών· τοσόσδε αὐτὸν τῆς Γλαφύρας ἀνέστρεψεν ἔρως. Καὶ συνοικοῦσα τῷ Ἀρχελάῳ τοιόνδε ὄναρ θεᾶται. Ἐδόκει τὸν Ἀλέξανδρον ἐπιστάντα θεασαμένη χαίρειν καὶ περιβάλλειν προθύμως, τὸν δὲ κατάμεμψίν τε αὐτῆς ποιεῖσθαι καὶ φάναι, « Γλαφύρα, συνηγορεῖς ἄρα λόγῳ, ὃς ἄπιστα ἔλεγεν εἶναι γυναιξὶν, ἡ συνομολογήσασά μοι καὶ συγκατοικισθεῖσα παρθένος, παίδων ἡμῖν γεγονότων, λήθῃ παρεδίδως ἔρωτας τοὺς ἐμοὺς, δευτέρων ἐπιθυμίᾳ γάμων. Πληθώρα δέ σοι οὐδὲ οὕτως ὕβρεως, ἀλλὰ καὶ τρίτον ἐτόλμησας σαυτῇ παρακατακλῖναι νυμφίον, ἀπρεπῶς καὶ ἀναισχύντως ἐπεισιοῦσα οἴκῳ τῷ ἐμῷ, καὶ γάμῳ συντιθεμένη πρὸς Ἀρχέλαον, ἄνδρα μὲν σεαυτῆς, ἀδελφὸν δ' ἡμέτερον. Ἀλλ' οὐκ ἔγωγε λήθην ποιήσομαι εὐνοίας τῆς σῆς, ἀπαλλάξω δέ σε παντὸς τοῦ ὀνειδιοῦντος, ἐμὴν, ὥσπερ ἦς, κατασκευασάμενος. » Ταῦτα διηγησαμένη πρὸς τὰς συνήθεις τῶν γυναικῶν, μετ' ὀλίγας ἡμέρας τελευτᾷ τὸν βίον.

ε'. Ἐγὼ δὲ οὐκ ἀλλότρια νομίσας αὐτὰ τῷδε τῷ λόγῳ εἶναι, διὰ τὸ περὶ τῶν βασιλέων αὐτὸν συνεστηκέναι, καὶ ἄλλως ἐπὶ παράδειγμά τι φέρειν τοῦ τε ἀμφὶ τὰς ψυχὰς ἀθανασίας ἐμφεροῦς καὶ τοῦ θείου προμηθείᾳ τὰ ἀνθρώπινά περιειληφότος τῇ αὐτοῦ, καλῶς ἔχειν ἐνόμισα εἰπεῖν. Ὅτῳ δὲ ἀπιστεῖται τὰ τοιάδε, γνώμης ὀνάμενος τῆς ἑαυτοῦ κώλυμα οὐκ ἂν γένοιτο τῷ ἐπ' ἀρετὴν αὐτὰ προτιθεμένῳ. Τῆς δὲ Ἀρχελάου χώρας ὑποτελοῦς προσνεμηθείσης τῇ Σύρων, πέμπεται Κυρήνιος ὑπὸ Καίσαρος, ἀνὴρ ὑπατικὸς, ἀποτιμησόμενος τὰ ἐν Συρίᾳ καὶ τὸν Ἀρχελάου ἀποδωσόμενος οἶκον.

ille somnium enucleavit. Quinto autem die, postquam hoc somnium viderat Archelaus, *alter* Archelaus qui eum evocabat, a Cæsare in Judæam missus veniebat.

4. Simile quiddam et Glaphyræ ejus uxori accidit, Archelai regis filiæ, quam, ut jam ante diximus, virginem uxorem duxerat Alexander Herodis filius, Archelai frater; postea vero quam Alexander a patre fuerat interemptus, nupserat Jubæ Libyæ regi, cujus post decessum, viduam domi patris in Cappadocia degentem, in matrimonium accepit Archelaus, repudiata uxore sua Mariamne : tantus erat ejus amor in Glaphyram. Igitur quum Archelai conjux esset, vidit hujusmodi somnium. Visa est cernere astantem sibi Alexandrum, qua re gavisa cupidissime eum complecti; at ille de ea queri videbatur et dicere, « Glaphyra, ergo tu vulgare verbum comprobas, quo feminis fidendum non esse dicitur, quæ mihi desponsa et nupta virgo, genitis ex me liberis, amores oblita meos, alii nupseris, neque hac contumelia contenta, cum tertio marito cubare ausa sis, cum dedecore et probro in domum meam ingressa, Archelaoque viro tuo, fratri nostro, nupseris. Ego vero meæ in te benevolentiæ idcirco non obliviscar, quin te omni infamia liberabo, meam facturus ut prius fuisti. » Hæc quum apud mulieres socias suas narrasset, paucis post diebus moritur.

5. Ego vero, ista ab hac narratione non aliena esse ratus, quod mihi sermo sit de regibus, præsertimque quod aliquid in exemplum afferant et ad probandam animarum immortalitatem et Dei circa res humanas providentiam, commodum esse existimavi ut illa memorarem. Cui vero hæc videntur incredibilia, sua dum fruitur opinione, ei non sit impedimento, qui ea virtutis caussa proposuit. Ceterum ditione Archelai Syriæ contributa, missus est a Cæsare Quirinus, vir consularis, ut censum ageret bonorum in Syria et Archelai domum addiceret.

ΒΙΒΛΙΟΝ ΟΚΤΩΚΑΙΔΕΚΑΤΟΝ.

α'. Ὡς Κυρήνιος ὑπὸ Καίσαρος ἐπέμφθη τιμητὴς Συρίας καὶ Ἰουδαίας καὶ ἀποδωσόμενος τὴν Ἀρχελάου οὐσίαν, μεταπεσούσης τῆς Ἰουδαίας ἐκ βασιλείας εἰς ἐπαρχίαν· καὶ ὡς Κωπώνιος, ἐκ τοῦ ἱππικοῦ τάγματος, ἐπέμφθη ἔπαρχος Ἰουδαίας. Καὶ ὡς Ἰούδας ὁ Γαλιλαῖος καί τινες ἕτεροι ἔπεισαν τὸ πλῆθος μὴ ἀπογράψασθαι τὰς οὐσίας, καὶ πολλοὶ ἠκολούθησαν αὐτῶν ταῖς γνώμαις, μέχρι Ἰωάζαρος ὁ ἀρχιερεὺς ἔπεισεν αὐτοὺς μᾶλλον ὑπακοῦσαι Ῥωμαίοις, καὶ ἀποτιμήσασθαι τοὺς βίους.

β'. Τίνες αἱρέσεις, καὶ ὁπόσαι παρὰ Ἰουδαίοις φιλοσοφίαι, καὶ τίνες οἱ νόμοι.

γ'. Ὡς Ἡρῴδης καὶ Φίλιππος οἱ τετράρχαι πόλεις ἔκτισαν εἰς τιμὴν Καίσαρος.

δ'. Ὡς Σαμαρεῖς, ὀστᾶ νεκρῶν διαρρίψαντες εἰς τὸ ἱερὸν, τὸν λαὸν ἑπτὰ ἡμέρας ἐμίαναν.

ε'. Ὡς Σαλώμη ἡ ἀδελφὴ Ἡρῴδου τελευτήσασα τὰ αὐτῆς κατέλιπεν Ἰουλίᾳ τοῦ Καίσαρος γαμετῇ.

ς'. Ὡς Πόντιος Πιλάτος ἠθέλησε κρύφα εἰσενέγκαι εἰς Ἱεροσόλυμα προτομὰς Καίσαρος, γνοὺς δὲ ὁ λαὸς ἐστασίασε πρὸς αὐτὸν, ἄχρι ἐξεκόμισεν αὐτὰς ἀπὸ Ἱεροσολύμων εἰς Καισάρειαν.

ζ'. Τὰ συμβάντα Ἰουδαίοις ἐν Ῥώμῃ κατὰ τοῦτον τὸν καιρὸν, καὶ περὶ τῆς ἐν Σαμαρείᾳ καταφθορᾶς τοῦ πλήθους, καὶ ὡς πολλοὺς ἀπώλεσε Πιλάτος.

η'. Κατηγορία ὑπὸ Σαμαρέων Πιλάτου ἐπὶ Οὐιτελλίου, καὶ ὡς Οὐιτέλλιος ἠνάγκασεν αὐτὸν ἀναβῆναι εἰς Ῥώμην πρὸς Καίσαρα, καὶ ἀποδοῦναι λόγον περὶ τῶν πεπραγμένων.

θ'. Οὐιτελλίου ἀνάβασις εἰς Ἱεροσόλυμα, καὶ ὡς Τιβέριος Καῖσαρ ἔγραψεν αὐτῷ, Ἀρταβάνην μὲν τὸν Πάρθον πεῖσαι ὁμήρους αὐτῷ πέμψαι, πρὸς Ἀρέταν δὲ πολεμεῖν.

ι'. Τελευτὴ Φιλίππου, καὶ ὡς ἡ τετραρχία αὐτοῦ ἐπαρχία ἐγένετο.

ια'. Πόλεμος Ἡρῴδου τοῦ τετράρχου πρὸς Ἀρέταν τὸν τῶν Ἀράβων βασιλέα, καὶ ἧττα.

ιβ'. Ἀπόπλους Ἀγρίππα τοῦ βασιλέως εἰς Ῥώμην πρὸς Τιβέριον Καίσαρα, καὶ ὡς κατηγορηθεὶς ὑπὸ τοῦ ἰδίου ἀπελευθέρου ἐδέθη· καὶ ὃν τρόπον ἐλύθη ὑπὸ Γαΐου μετὰ τὴν Τιβερίου τελευτὴν, καὶ ἐγένετο βασιλεὺς τῆς Φιλίππου τετραρχίας.

ιγ'. Ὡς Ἡρῴδης τετράρχης ἀναβὰς εἰς Ῥώμην, κατηγορηθεὶς ὑπὸ Ἀγρίππα, ἐξωρίσθη· καὶ ὡς τὴν τετραρχίαν αὐτοῦ ἐδωρήσατο Γάϊος Ἀγρίππᾳ.

ιδ'. Στάσις τῶν ἐν Ἀλεξανδρείᾳ Ἰουδαίων καὶ Ἑλλήνων, καὶ πρεσβεία ἀφ' ἑκατέρων πρὸς Γάϊον.

ιε'. Κατηγορία Ἰουδαίων ὑπὸ Ἀπίωνος καὶ τῶν συμπρεσβέων ἐπὶ τῷ μὴ ἔχειν Καίσαρος ἀνδριάντα.

ις'. Ὡς ἀγανακτήσας Γάϊος πέμπει Πετρώνιον ἡγεμόνα εἰς Συρίαν, δοὺς ἐντολὰς συναγαγόντα δύναμιν πολεμῆσαι Ἰουδαίους, ἐὰν μὴ θέλωσι δέξασθαι αὐτοῦ τὸν ἀνδριάντα.

ιζ'. Τὰ συμβάντα τοῖς ἐν Βαβυλῶνι Ἰουδαίοις δι' Ἀσιναῖον καὶ Ἀνιλαῖον τοὺς ἀδελφούς.

Περιέχει ἡ βίβλος χρόνον ἐτῶν λϐ'.

ΚΕΦ. Α'.

Κυρήνιος δὲ, τῶν εἰς τὴν βουλὴν συναγομένων ἀνὴρ, τά, τε ἄλλας ἀρχὰς ἐπιτετελεκὼς καὶ διὰ πασῶν ὁδεύσας ὑπατος γενέσθαι, τά τε ἄλλα ἀξιώματι μέγας,

LIBER DECIMUS OCTAVUS

1. Quomodo Quirinus ad censendam Syriam et Judæam missus est a Cæsare, et ad Archelai facultates addicendas, Judæa e regno in provinciæ formam redacta: utique Coponius, equestris ordinis homo, ad procurandam Judæam missus est. Et quomodo Judas Gallilæus et alii nonnulli populo persuaserunt ut bonorum censum impedirent, multique in eorum sententiam iverunt, donec Jozarus pontifex eos adduxit ad obedientiam Romanis præstandam, et ad censum facultatum admittendum.
2. Quænam sectæ, et quot apud Judæos philosophandi genera, et quæ instituta.
3. Quomodo Herodes et Philippus tetrarchæ urbes in honorem Cæsaris ædificarunt.
4. Quomodo Samaritæ, mortuorum ossa passim per templum dispergendo, populum septem dies polluerunt.
5. Quomodo Salome Herodis soror bona sua, quum moreretur, Juliæ Cæsaris uxori reliquit.
6. Quomodo Pontius Pilatus secum statuit Cæsaris effigies in Hierosolyma clam inferre; populusque, ea re cognita, a seditione in eum mota non destitit, donec imagines Hierosolymis Cæsaream ablatæ essent.
7. Quænam Judæis Romæ degentibus sub id tempus acciderint, et de populo corruptela depravato apud Samariam, utque Pilatus complures interemit.
8. Pilatus a Samaritis accusatur apud Vitellium, utque Vitellius eum Romam ad Cæsarem proficisci compulit, ut factorum rationem redderet.
9. Vitellii profectio Hierosolyma, et quomodo ei scripsit Tiberius Cæsar ut Artabano Partho persuaderet obsides ei mittere, bellumque contra Aretam suscipere.
10. Philippi obitus, et quomodo tetrarchia ejus facta erat provincia.
11. Herodes bellum movet contra Aretam, et prælio superatur.
12. Agrippa rex Romam mari proficiscitur ad Tiberium Cæsarem, utque a liberto suo accusatus in vincula conjicitur: et quo pacto post Tiberii excessum e Caio solutus est, et rex factus est Philippi tetrarchiæ.
13. Quomodo Herodes tetrarcha Romam profectus et ab Agrippa accusatus in exsilium missus erat; utque Caius tetrarchiam ejus dedit Agrippæ.
14. Judæorum et Græcorum apud Alexandriam seditio, et legatio utrorumque ad Caium.
15. Judæi ab Apione ceterisque cum illo legatis accusantur, quod Cæsaris statuam non haberent.
16. Ut Caius iratus in Syriæ præfecturam mittit Petronium, cum mandatis ut exercitu coacto bellum inferret Judæis, nisi vellent ipsius statuam recipere.
17. Quænam Judæis apud Babylonem acciderunt ex factis Asinæi et Anilæi fratrum

Continet hic liber tempus annorum XXXII.

CAP. I.

Interea Quirinus, unus e senatoribus, vir omnibus magistratibus jam perfunctus, et qui per omnes honorum gradus ad consulatum usque provectus fuerat, aliis etiam

σὺν ὀλίγοις ἐπὶ Συρίας παρῆν, ὑπὸ Καίσαρος δικαιοδότης τοῦ ἔθνους ἀπεσταλμένος, καὶ τιμητὴς τῶν οὐσιῶν γενησόμενος. Κωπώνιός τε αὐτῷ συγκαταπέμπεται, τάγματος τῶν ἱππέων, ἡγησόμενος Ἰουδαίων τῇ ἐπὶ πᾶσιν ἐξουσίᾳ. Ἦρῆν δὲ καὶ Κυρήνιος εἰς τὴν Ἰουδαίων προσθήκην τῆς Συρίας γενομένην, ἀποτιμησόμενός τε αὐτῶν τὰς οὐσίας, καὶ ἀποδωσόμενος τὰ Ἀρχελάου χρήματα. Οἱ δὲ, καίπερ τὸ κατ' ἀρχὰς ἐν δεινῷ φέροντες τὴν ἐπὶ ταῖς ἀπογραφαῖς ἀκρόασιν, ὑποκατέδησαν τοῦ εἰς πλέον ἐναντιοῦσθαι, πείσαντος αὐτοὺς τοῦ ἀρχιερέως Ἰωαζάρου· Βοηθοῦ δὲ οὗτος υἱὸς ἦν. Καὶ οἱ μὲν, ἡττηθέντες τοῦ Ἰωαζάρου τῶν λόγων, ἀπετίμων χρήματα, μηδὲν ἐνδοιάσαντες· Ἰούδας δὲ Γαυλανίτης ἀνὴρ, ἐκ πόλεως ὄνομα Γάμαλα, Σάδδουκον Φαρισαῖον προσλαμβανόμενος, ἠπείγετο ἐπὶ ἀποστάσει, τήν τε ἀποτίμησιν οὐδὲν ἄλλο ἢ ἀντικρυς δουλείαν ἐπιφέρειν λέγοντες, καὶ τῆς ἐλευθερίας ἐπ' ἀντιλήψει παρακαλοῦντες τὸ ἔθνος· ὡς παρασχὸν μὲν κατορθοῦν εἰς τὸ εὔδαιμον ἀνακειμένης τῆς κτήσεως, σφαλεῖσι δὲ τοῦ ταύτης περιόντος ἀγαθοῦ, τιμὴν καὶ κλέος ποιήσεσθαι τοῦ μεγαλόφρονος, καὶ τὸ θεῖον οὐκ ἄλλως ἢ ἐπὶ συμπράξει τῶν βουλευμάτων εἰς τὸ κατορθοῦν συμπροθυμεῖσθαι, μᾶλλον ἂν μεγάλων ἐργάται τῇ διανοίᾳ καθιστάμενοι μὴ ἐξαφίωνται πόνου τοῦ ἐπ' αὐτοῖς. Καὶ (ἡδονῇ γὰρ τὴν ἀκρόασιν ὧν λέγοιεν ἐδέχοντο οἱ ἄνθρωποι) προὔκοπτεν ἐπὶ μέγα ἡ ἐπιβολὴ τοῦ τολμήματος. Κακὸν δὲ οὐκ ἔστιν οὗ μὴ φυέντος ἐκ τῶνδε τῶν ἀνδρῶν, καὶ περαιτέρω τοῦ εἰπεῖν, ἀνεπλήσθη τὸ ἔθνος· πολέμων τε ἐπαγωγαῖς οὐχ οἷόν τε [οὐκ] ἄπαυστον τὴν βίαν ἔχειν, καὶ ἀποστέρησιν φίλων, οἳ καὶ ἐπελαφρύνοιεν τὸν πόνον, λῃστηρίων δὲ μεγάλων ἐπιθέσεσι καὶ διαφθοραῖς ἀνδρῶν τῶν πρώτων, δόξῃ μὲν τοῦ ὀρθουμένου τῶν κοινῶν, ἔργῳ δὲ οἰκείων κερδῶν ἐλπίσιν. Ἐξ ὧν στάσεις τε ἐφύησαν, δι' αὐτὰς δὲ φόνος πολιτικὸς, ὁ μὲν ἐμφυλίοις σφαγαῖς, μανίᾳ τῶν ἀνθρώπων εἴς τε ἀλλήλους καὶ αὐτοὺς χρωμένων ἐπιθυμίᾳ τοῦ μὴ λείπεσθαι τῶν ἀντικαθεστηκότων, ὁ δὲ τῶν πολεμίων· λιμός τε εἰς ὑστάτην ἀνακείμενος ἀναισχυντίαν, καὶ πόλεων ἁλώσεις καὶ κατασκαφαὶ, μέχρι δὴ καὶ τὸ ἱερὸν τοῦ Θεοῦ ἐνείματο πυρὶ τῶν πολεμίων ἥδε ἡ στάσις. Οὕτως ἄρα ἡ τῶν πατρίων κίνησις καὶ μεταβολὴ μεγάλας ἔχει ῥοπὰς τοῦ ἀπολουμένου τοῖς συνελθοῦσιν, εἴ γε καὶ Ἰούδας καὶ Σάδδουκος, τετάρτην φιλοσοφίαν ἐπείσακτον ἡμῖν ἐγείραντες, καὶ ταύτης ἐραστῶν εὐπορηθέντες, πρός τε τὸ παρὸν θορύβων τὴν πολιτείαν ἐνέπλησαν καὶ τῶν αὖθις κακῶν κατειληφότων ῥίζας ἐφυτεύσαντο τῷ ἀσυνήθει πρότερον φιλοσοφίας τοιᾶσδε· περὶ ἧς ὀλίγα βούλομαι διελθεῖν, ἄλλως τε ἐπεὶ καὶ τῷ κατ' αὐτῶν σπουδασθέντι τοῖς νεωτέροις ὁ φθόρος τοῖς πράγμασι συνέτυχε.

(B'.) β'. Ἰουδαίοις φιλοσοφίαι τρεῖς ἦσαν ἐκ τοῦ πάνυ ἀρχαίου τῶν πατρίων, ἥ τε τῶν Ἐσσηνῶν καὶ ἡ τῶν Σαδδουκαίων· τρίτην δὲ ἐφιλοσόφουν οἱ Φαρισαῖοι λεγόμενοι. Καὶ τυγχάνει μέντοι περὶ αὐτῶν ἡμῖν εἰ-

dignitatum insignibus conspicuus, cum paucis comitibus in Syriam pervenit, missus a Cæsare, tum ut jus redderet populo, tum ut census facultatum ageret. Mittitur etiam cum eo Coponius, vir ordinis equestris, qui summa cum potestate Judæis præesset. Venit Quirinus etiam in Judæam Syriæ additam, ut eorum bona censeret et Archelai pecuniam addiceret. Judæi vero, quamvis in principio vel nomen descriptionis ægre audire voluerant, paulatim tamen eo venerunt ut huic rei non adversarentur, idque suasu pontificis Joazari, qui Boethi filius erat. Atque illi quidem, Joazari rationibus assentientes, sine controversia bonorum censum agi permiserunt : Judas vero Gaulanites, ortus ex oppido Gamalis, Sadduco Pharisæo sibi adjuncto, populum ad defectionem concitabat, *ambo* dicentes censum nihil minus secum afferre quam manifestam servitutem, et universam gentem ad libertatem vindicandam cohortantes : nam fieri posse ut prospero utantur successu, rebus suis in tuto positis ; si vero infeliciter ipsis res processerit, gloriam et laudem ex animi magnitudine comparaturos esse ; Deumque non alia ratione prompte ipsos adjuturum esse quam si consultis suis strenue operam navarint, præsertim si magnis rebus in animo agitatis, iis exsequendis nulli parcant labori. Atque ita (nam summa cum aviditate ea quæ dicerent accipiebant homines) in majus provehebatur temerarium quod ausi sunt inceptum. Nihilque fuit malorum, quo non, ex viris istis profecto, repleta fuerit gens, etiam supra quam dici potest : alioque post aliud bello exorto fieri non potuit quin vi perpetua affligerentur, et amissione amicorum, qui ærumnas leviores facerent, accedente, quod frequens erat latronum grassatio, magnaque primariorum virorum occisio, prætextu quidem communis libertatis propugnandæ, re vera autem lucri privati spe. Unde coortæ sunt seditiones, et ex his cædes publicæ, partim quidem popularium edita strage, (dum in se invicem furerent homines eo animo ut nemo ex parte adversa relinqueretur,) partim vero hostium : deinde sequuta sunt fames, quæ omnem ad facinus quodcunque verecundiam sustulit, urbium expugnationes et excidia, usquedum etiam templum ex ista seditione igne hostili deflagraret. Tantum rerum novarum molitio et institutorum patriorum mutatio valet ad eos, qui in idem convenerunt, perdendos : siquidem Judas et Sadducus, qui quartum philosophandi genus nobis invexerant et plurimos habuerant sectatores ejus studiosos, non in præsens tantum universam seditione rempublicam perturbarunt, sed et mala futura, quæ tum radices egerant, severunt irrigaruntque ejusmodi philosophia, cui antea homines non assueverant. De qua paucis volo disserere, eoque magis quod juniores istis institutis dediti rebus nostris exitium attulerint.

(II.) 2. Habebant Judæi a priscis inde temporibus tres patriæ philosophiæ sectas, unam quidem Essenorum, alteram vero Sadducæorum, tertiam autem, quam profitebantur Pharisæi nomine. Et quanquam de his egimus in secundo

ρημένα ἐν τῇ δευτέρᾳ βίβλῳ τοῦ Ἰουδαϊκοῦ πολέμου· μνησθήσομαι δὲ ὅμως καὶ νῦν αὐτῶν ἐπ' ὀλίγον.

γ'. Οἵ τε γὰρ Φαρισαῖοι τὴν δίαιταν ἐξευτελίζουσιν, οὐδὲν εἰς τὸ μαλακώτερον ἐνδιδόντες, ὧν τε ὁ λόγος κρίνας παρέδωκεν ἀγαθῶν, ἕπονται τῇ ἡγεμονίᾳ, περιμάχητον ἡγούμενοι τὴν φυλακὴν ὧν ὑπαγορεύειν ἠθέλησε. Τιμῆς γε τοῖς ἡλικίας προήκουσι παραχωροῦσιν, οὐδὲν ἐπ' ἀντιλέξει τῶν εἰσηγηθέντων ταῦτα θράσει ἐπαιρόμενοι. Πράσσεσθαί τε εἱμαρμένῃ τὰ πάντα ἀξιοῦντες, οὐδὲ τοῦ ἀνθρωπείου τὸ βουλόμενον τῆς ἐπ' αὐτοῖς ὁρμῆς ἀφαιροῦνται, δοκῆσαν τῷ Θεῷ κρᾶσιν γενέσθαι καὶ τῷ ἐκείνης βουλευτηρίῳ καὶ τῶν ἀνθρώπων τῷ θελήσαντι προσχωρεῖν μετ' ἀρετῆς ἢ κακίας. Ἀθάνατόν τε ἰσχὺν ταῖς ψυχαῖς πίστις αὐτοῖς εἶναι, καὶ ὑπὸ χθονὸς δικαιώσεις τε καὶ τιμὰς οἷς ἀρετῆς ἢ κακίας ἐπιτήδευσις ἐν τῷ βίῳ γέγονε, καὶ ταῖς μὲν εἱργμὸν ἀΐδιον προτίθεσθαι, ταῖς δὲ ῥαστώνην τοῦ ἀναβιοῦν. Καὶ δι' αὐτὰ τοῖς τε δήμοις πιθανώτατοι τυγχάνουσι, καὶ ὁπόσα θεῖα εὐχῶν τε ἔχεται καὶ ἱερῶν ποιήσεως ἐξηγήσει τῇ ἐκείνων τυγχάνουσι πρασσόμενα. Εἰς τοσόνδε ἀρετῆς αὐτοῖς αἱ πόλεις ἐμαρτύρησαν ἐπιτηδεύσει τοῦ ἐπὶ πᾶσι κρείσσονος, ἔν τε τῇ διαίτῃ τοῦ βίου καὶ λόγοις.

δ'. Σαδδουκαίοις δὲ τὰς ψυχὰς ὁ λόγος συναφανίζει τοῖς σώμασι, φυλακῆς δὲ οὐδαμῶν τινῶν μεταποίησις αὐτοῖς ἢ τῶν νόμων. Πρὸς γὰρ τοὺς διδασκάλους σοφίας, ἣν μετίασιν, ἀμφιλογεῖν ἀρετὴν ἀριθμοῦσιν, εἰς ὀλίγους τε ἄνδρας οὗτος ὁ λόγος ἀφίκετο, τοὺς μέντοι πρώτους τοῖς ἀξιώμασι. Πράσσεταί τε ὑπ' αὐτῶν οὐδὲν ὡς εἰπεῖν· ὁπότε γὰρ ἐπ' ἀρχὰς παρέλθοιεν, ἀκουσίως μὲν καὶ κατ' ἀνάγκας, προσχωροῦσι δ' οὖν οἷς ὁ Φαρισαῖος λέγει, διὰ τὸ μὴ ἄλλως ἀνεκτοὺς γενέσθαι τοῖς πλήθεσιν.

ε'. Ἐσσηνοῖς δ' ἐπὶ μὲν Θεῷ καταλιπεῖν φιλεῖ τὰ πάντα ὁ λόγος. Ἀθανατίζουσι δὲ τὰς ψυχὰς, περιμάχητον ἡγούμενοι τοῦ δικαίου τὴν πρόσοδον. Εἰς δὲ τὸ ἱερὸν ἀναθήματα στέλλοντες θυσίας οὐκ ἐπιτελοῦσι διαφορότητι ἁγνειῶν ἃς νομίζοιεν, καὶ δι' αὐτὸ εἰργόμενοι τοῦ κοινοῦ τεμενίσματος ἐφ' αὑτῶν τὰς θυσίας ἐπιτελοῦσι. Βέλτιστοι δὲ ἄλλως ἄνδρες τὸν τρόπον, καὶ τὸ πᾶν πονεῖν ἐπὶ γεωργίᾳ τετραμμένοι. Ἄξιον δὲ αὐτῶν θαυμάσαι παρὰ πάντας τοὺς ἀρετῆς μεταποιουμένους τὸ δίκαιον, μηδαμῶς ὑπάρξαν Ἑλλήνων ἢ βαρβάρων τισὶν, ἀλλὰ μηδ' εἰς ὀλίγον, ἐκείνοις δ' ἐκ παλαιοῦ συνελθὸν, ἐν τῷ ἐπιτηδεύεσθαι μὴ κεκωλύσθαι τὰ χρήματα κοινὰ αὐτοῖς εἶναι, ἀπολαύοι δὲ οὐδὲν ὁ πλούσιος τῶν οἰκείων μειζόνως ἢ ὁ μηδ' ὁτιοῦν κεκτημένος· καὶ τάδε πράσσουσιν ἄνδρες ὑπὲρ τετρακισχίλιοι τὸν ἀριθμὸν ὄντες. Καὶ οὔτε γαμετὰς εἰσάγονται οὔτε δούλων ἐπιτηδεύουσι κτῆσιν, τὸ μὲν εἰς ἀδικίαν φέρειν ὑπειληφότες, τὸ δὲ στάσεως ἐνδιδόναι ποίησιν· αὐτοὶ δ' ἐφ' ἑαυτῶν ζῶντες διακονίᾳ τῇ ἐπ' ἀλλήλους ἐπιχρῶνται. Ἀποδέκτας δὲ τῶν προσόδων χειροτονοῦσι καὶ ὁπόσα ἡ γῆ φέροι ἄνδρας ἀγαθοὺς ἱερεῖς, διὰ ποίησιν

libro Judaici belli, nunc tamen eas iterum paucis attingere non gravabimur.

3. Pharisæi enim tenuiter vivunt, nihil deliciis tribuentes: et quæ ratio judicavit bona ac tradidit, eorum regulam sequuntur, tuenda omni modo censentes quæ ab illa præscripta sunt. Exhibent et honorem ætate provectioribus, non id sibi sumentes arrogantiæ ut contradicant eis rebus quas illi induxere. Quumque dicant fato omnia fieri, voluntatem hominis non privant impetu a se ipsa pendente: quippe sic Deo placitum esse, ut certo temperamento miscerentur in unum fati decretum et ratio humana, si quis vellet accedere aut cum vitio aut cum virtute. Credunt etiam animis vim esse immortalem, ac sub terra vel præmiis vel pœnis eos affici, qui in hac vita virtuti se aut vitiis addixerint; et hos quidem sempiterno carcere clausos teneri, illis vero facultatem esse in vitam redeundi. Et propter hæc tantæ apud populum sunt auctoritatis, ut quæcunque ad religionem pertineant, supplicationes et sacrificia, ista ex eorum interpretatione fiant. Amplum adeo virtutis testimonium eis dederunt civitates, quod iis quæ optima essent studuerint, tam in vita quam oratione.

4. Sadducæorum vero doctrina facit ut animæ cum corporibus intereant; nec illi quicquam aliud præter legem sibi servandum vindicant. Nam contra magistros quidem ejus quam sequuntur sapientiæ disputare, virtuti tribuunt: eorumque opinioni suffragantur pauci, sed dignitate primi. Atque ab illis nihil fere agitur: nam si quando magistratus gerunt, inviti quidem et necessitate coacti, Pharisæorum opinioni assentiuntur, quod eos alioqui non ferret populus.

5. Esseni autem omnia Dei in manu relinquenda esse censent. Animas immortales faciunt, fructusque justitiæ magnopere expetendos ducunt. In templum autem donaria dum mittunt, ibi sacra non faciunt, propterea quod lustrationes habeant sanctiores: hac de causa communi delubro arcentur, et sacra sua seorsum faciunt. Ceterum homines sunt optime morati, et agriculturæ prorsus addicti. Convenit autem illos mirari, supra omnes qui virtutis laudem sibi tribui volunt, propter justitiam, minime quidem inter Græcos aut barbaros cultam, ab illis tamen non ad breve tempus, sed a multis retro annis usurpatam, qua modis omnibus agebant ne quid eos impediret quominus habeant bona inter se communia, ita ut dives suis bonis non magis fruatur quam qui nihil possidet: suntque super quattuor hominum millia qui hæc faciunt. Et neque uxores ducunt, neque servos habere student, quod hoc iniquum, illud jurgiosum arbitrantur, sed separati vivunt et alii aliis ministrant. Quæstores etiam suorum proventuum et terræ frugum creant viros bonos sacerdotes, qui frumen-

σίτου τε καὶ βρωμάτων. Ζῶσι δὲ οὐδὲν παρηλλαγμένως, ἀλλ' ὅτι μάλιστα ἐμφέροντες Δακῶν τοῖς Πολισταῖς λεγομένοις.

ς'. Τῇ δὲ τετάρτῃ τῶν φιλοσοφιῶν ὁ Γαλιλαῖος Ἰούδας ἡγεμὼν κατέστη, ἧς οἱ τρόφιμοι τὰ μὲν λοιπὰ πάντα γνώμῃ τῶν Φαρισαίων ὁμολογοῦσι, δυσκίνητος δὲ τοῦ ἐλευθέρου ἔρως ἐστὶν αὐτοῖς, μόνον ἡγεμόνα καὶ δεσπότην τὸν Θεὸν ὑπειληφόσι· θανάτων τε ἰδίας ὑπομένειν παρηλλαγμένας ἐν ὀλίγῳ τίθενται καὶ συγγενῶν τιμωρίας καὶ φίλων, ὑπὲρ τοῦ μηδένα ἄνθρωπον προσαγορεύειν δεσπότην. Ἑωρακόσι δὲ τοῖς πολλοῖς τὸ ἀμετάλλακτον αὐτῶν τῆς ἐπὶ τοιούτοις ὑποστάσεως, περαιτέρω διελθεῖν παρέλιπον· οὐ γὰρ δέδοικα μὴ εἰς ἀπιστίαν ὑπολη φθῇ τι τῶν λεγομένων ἐπ' αὐτοῖς, τοὐναντίον δὲ μὴ ἐλασσόνως τοῦ ἐκείνων καταφρονήματος, δεχομένου τὴν ταλαιπωρίαν τῆς ἀληθόνος, ὁ λόγος ἀφηγῆται. Ἀνοίᾳ τε τῇ ἐντεῦθεν ἤρξατο νοσεῖν τὸ ἔθνος, Γεσσίου Φλώρου, ὃς ἡγεμὼν ἦν, τῇ ἐξουσίᾳ τοῦ ὑβρίζειν ἀπονοήσαντος αὐτοὺς ἀποστῆναι Ῥωμαίων. Καὶ φιλοσοφεῖται μὲν Ἰουδαίοις τοσάδε.

ΚΕΦ. Β'.

Κυρήνιος δὲ τὰ Ἀρχελάου χρήματα ἀποδόμενος ἤδη, καὶ τῶν ἀποτιμήσεων πέρας ἐχουσῶν, αἳ ἐγένοντο τριακοστῷ καὶ ἑβδόμῳ ἔτει μετὰ Ἀντωνίου ἐν Ἀκτίῳ ἥττων ὑπὸ Καίσαρος, Ἰωάζαρον τὸν ἀρχιερέα καταστασιασθέντα ὑπὸ τῆς πληθύος ἀφελόμενος τὸ ἀξίωμα τῆς τιμῆς, Ἄνανον τὸν Σὲθ καθίσταται ἀρχιερέα. Ἡρῴδης δὲ καὶ Φίλιππος τετραρχίαν ἑκάτερος τὴν ἑαυτοῦ παρειληφότες καθίσταντο. Καὶ Ἡρῴδης, Σέπφωριν τειχίσας, πρόσχημα τοῦ Γαλιλαίου παντὸς, ἀνῆκεν αὐτὴν αὐτοκράτορι· Βηθαραμφθᾶ δὲ (πόλις ἦν καὶ αὕτη) τείχει περιλαβών, Ἰουλιάδα ἀπὸ τοῦ αὐτοκράτορος ἀγορεύει τῆς γυναικός. Φίλιππος δὲ Πανεάδα τὴν πρὸς ταῖς πηγαῖς τοῦ Ἰορδάνου κατασκευάσας ὀνομάζει Καισάρειαν· κώμην δὲ Βηθσαϊδὰν, πρὸς λίμνῃ δὲ τῇ Γεννησαρίτιδι, πόλεως παρασχὼν ἀξίωμα, πλήθει τε οἰκητόρων καὶ τῇ ἄλλῃ δυνάμει, Ἰουλίᾳ θυγατρὶ τῇ Καίσαρος ὁμώνυμον ἐκάλεσεν.

β'. Κωπωνίου δὲ τὴν Ἰουδαίαν διέποντος, ὃν ἔφην Κυρηνίῳ συνεκπεμφθῆναι, τάδε πράσσεται. Τῶν ἀζύμων τῆς ἑορτῆς ἀγομένης, ἣν Πάσχα καλοῦμεν, ἐκ μέσης νυκτὸς ἐν ἔθει τοῖς ἱερεῦσιν ἦν ἀνοιγνύναι τοῦ ἱεροῦ τοὺς πυλῶνας. Καὶ τότε οὖν ἐπεὶ τὸ πρῶτον γίνεται ἡ ἀνοιξις αὐτῶν, ἄνδρες Σαμαρεῖται κρύφα εἰς Ἱεροσόλυμα ἐλθόντες διάρριψιν ἀνθρωπείων ὀστῶν ἐν ταῖς στοαῖς ποιοῦνται· δι' ὃ καὶ πάντας τοῦ ἱεροῦ εἴρξαντο, μὴ πρότερον ἐπὶ τοιούτοις νομίζοντες, τά τε ἄλλα διὰ φυλακῆς μείζονος ἦγον τὸ ἱερόν. Καὶ Κωπώνιος μετ' οὐ πολὺ εἰς Ῥώμην ἐπαναχωρεῖ, διάδοχος δὲ αὐτῷ τῆς ἀρχῆς παραγίνεται Μάρκος Ἀμβιούϊος, ἐφ' οὗ καὶ Σαλώμη τοῦ βασιλέως Ἡρῴδου ἀδελφὴ μεταστᾶσα Ἰουλίᾳ Ἰάμνειάν τε καταλείπει καὶ τὴν τοπαρχίαν πᾶσαν, τήν τε ἐν τῷ πεδίῳ Φασαηλίδα καὶ Ἀρχελαΐδα, ἔνθα

tum parant et edulia Vivunt omnes uno eodemque modo, et quam maxime referunt Dacas qui Polistæ appellantur.

6. Præter has tres sectas, Judas ille Galilæus quartam introduxit, cujus sectatores ceteroquin cum Pharisæis sentiunt, sed libertatem sic amant ut eam mordicus tueantur, Deum unum pro rectore et domino habentes : varias etiam mortes subeundas, cognatorumque supplicia et amicorum nihili faciunt, dummodo hominum neminem dominum appellent. Quum autem ista multis perspecta fuerint, de firma illorum in ejusmodi rebus animi præsentia quidquam amplius dicere omisi : non enim veritus sum ne mea de illis verba fidem non inveniant, sed e contra ne minus quam debuit tam insignem patientiam et doloris contemptum assequatur oratio. Et ista ex amentia ægrotare cœpit gens, Gessio Floro præside, dum potestate sua abutitur, eos ex desperatione adigente ad defectionem a Romanis. Atque ita philosophatum est ab Judæis.

CAP. II. (III.)

Quirinus postquam Archelai pecuniam addixit et censui finem imposuit, qui factus est anno trigesimo septimo post Cæsaris Actiacam victoriam de Antonio, Joazarum, cui cum plebe contentio fuerat, dignitate atque honore abdicavit, ejusque muneri Ananum Sethi filium præfecit. Herodes vero et Philippus in suæ uterque tetrarchiæ possessionem venerunt. Et Herodes Sepphorim munivit, totius Galilææ ornamentum, eamque consecravit Cæsari : item quum Betharamphtha, quæ ipsa quoque urbs erat, mœnibus cinxisset, Juliadem ab uxore Imperatoris appellavit. Philippus quoque Paneadem apud Jordanis fontes positam construxit, eique Cæsareæ nomen fecit : vicum etiam Bethsaidam, lacui Gennesaritico adsitum, quum ad dignitatem urbis perduxisset multisque habitatoribus et cetera opulentia auxisset, nomen ei dedit ab Julia Cæsaris filia.

2. Ceterum Coponio, quem cum Quirino missum diximus, Judæam administrante, hujusmodi quiddam accidit. In Azymorum festo, quod Pascha vocamus, sacerdotibus moris erat post mediam noctem aperire templi januas. Tunc igitur, quum primum apertæ sunt, Samaritani quidam clam Hierosolyma ingressi, ossa humana disjiciunt per porticus et per totum templum : ideoque omnes, præter suam in ejusmodi festivitate consuetudinem, a templo arcebant, ceteroquin et solito majorem fano custodiam adhibuerunt. Non multo autem post Coponius Romam revertitur, eique successit in prætura M. Ambivius, sub quo etiam Salome Herodis regis soror, vita decedens, Juliæ reliquit Jamniam omnemque toparchiam, et Phasaelidem

φοινίκων πλείστη φύτευσις καὶ καρπὸς αὐτῶν ἄριστος. Διαδέχεται δὲ καὶ τοῦτον Ἄννιος Ῥοῦφος, ἐφ' οὗ δὴ καὶ τελευτᾷ Καῖσαρ, δεύτερος μὲν Ῥωμαίων αὐτοκράτωρ γενόμενος, ἑπτὰ δὲ καὶ πεντήκοντα τῆς ἀρχῆς ἔτη, πρὸς οἷς μῆνες ἕξ, ἡμέραιν δυοῖν πλείονες, (τούτου δὲ αὐτῷ τοῦ χρόνου τεσσαρεσκαίδεκα ἔτη συνῆρξεν Ἀντώνιος,) βιώσας ἔτη ἑπτὰ καὶ ἑβδομήκοντα. Διαδέχεται δὲ τῷ Καίσαρι τὴν ἡγεμονίαν Τιβέριος Νέρων, τῆς γυναικὸς αὐτοῦ Ἰουλίας υἱὸς ὤν. Τρίτος ἦδη οὗτος αὐτοκράτωρ, καὶ πεμπτὸς ὑπ' αὐτοῦ παρῆν Ἰουδαίοις ἔπαρχος, διάδοχος Ἀννίου Ῥούφου, Οὐαλέριος Γρᾶτος· ὃς παύσας ἱερᾶσθαι Ἄνανον, Ἰσμάηλον ἀρχιερέα ἀποφαίνει τὸν τοῦ Φαβί. Καὶ τοῦτον δὲ μετ' οὐ πολὺ μεταστήσας, Ἐλεάζαρον τὸν Ἀνάνου τοῦ ἀρχιερέως υἱὸν ἀποδείκνυσιν ἀρχιερέα. Ἐνιαυτοῦ δὲ διαγενομένου, καὶ τόνδε παύσας Σίμωνι τῷ Καμίθου τὴν ἀρχιερωσύνην παραδίδωσιν. Οὐ πλέον δὲ καὶ τῷδε ἐνιαυτοῦ τὴν τιμὴν ἔχοντι διεγένετο χρόνος, καὶ Ἰώσηπος, ὁ καὶ Καϊάφας, διάδοχος ἦν αὐτῷ. Καὶ Γρᾶτος μὲν ταῦτα πράξας εἰς Ῥώμην ἐπανεχώρει, ἕνδεκα ἔτη διατρίψας ἐν Ἰουδαίᾳ· Πόντιος δὲ Πιλᾶτος διάδοχος αὐτῷ ἦκεν.

γ'. Ἡρῴδης δὲ ὁ τετράρχης (ἐπὶ μέγα γὰρ ἦν τῷ Τιβερίῳ φιλίας προελθών) οἰκοδομεῖται πόλιν ἐπώνυμον αὐτῷ Τιβεριάδα, τοῖς κρατίστοις ἐπικτίσας αὐτὴν τῆς Γαλιλαίας, ἐπὶ λίμνῃ τῇ Γεννησαρίτιδι. Θερμὰ δὲ οὐκ ἄπωθεν ἔνεστιν ἐν κώμῃ· Ἐμμαοῦς ὄνομα αὐτῇ. Σύγκλυδες δὲ ᾤκησαν, οὐκ ὀλίγον δὲ καὶ τὸ Γαλιλαῖον ἦν, καὶ ὅσοι μὲν ἐκ τῆς ὑπ' αὐτῷ γῆς ἀναγκαστοὶ καὶ πρὸς βίαν εἰς τὴν κατοικίαν ἀγόμενοι, τινὲς δὲ καὶ τῶν ἐν τέλει. Ἐδέξατο δὲ αὐτοῖς συνοίκους καὶ τοὺς παντα χόθεν ἐπισυναγομένους ἄνδρας ἀπόρους, ἔστι δὲ οὓς μήτε σαφῶς ἐλευθέρους, πολλά τε αὐτοὺς καὶ ἐπὶ πολλοῖς ἠλευθέρωσε καὶ εὐηργέτησεν, ἀνάγκασμα τοῦ μὴ ἀπολείψειν τὴν πόλιν ἐπιτιθεὶς κατασκευαῖς τε οἰκήσεων τελείαις τῆς αὐτοῦ καὶ γῆς ἀποδόσει, εἰδὼς παράνομον τὸν οἰκισμὸν ὄντα καὶ ἀπὸ τοῦ Ἰουδαίοις πατρίου, διὰ τὸ ἐπὶ μνήμασιν, ἃ πολλὰ τῇδε ἦν, ἀνῃρημένοις τὴν ἵδρυσιν Τιβεριάδι γενέσθαι, μιαροὺς δὲ ἐπὶ ἑπτὰ ἡμέρας εἶναι τοὺς οἰκήτορας, ὡς ἀγορεύει ἡμῖν τὸ νόμιμον.

δ'. Τελευτᾷ δὲ καὶ Φραάτης ὁ Παρθυαίων βασιλεὺς κατὰ τοῦτον τὸν χρόνον, ἐπιβουλῆς αὐτῷ γενομένης ὑπὸ Φραατάκου τοῦ υἱέως κατὰ τοιαύτην αἰτίαν. Φραάτης, παίδων αὐτῷ γνησίων γενομένων, Ἰταλικῇ παιδίσκῃ, ὄνομα αὐτῇ Θερμοῦσα, ταύτῃ ὑπὸ Ἰουλίου Καίσαρος μετ' ἄλλων δωρεῶν ἀπεσταλμένῃ τὸ μὲν πρῶτον παλλακίδι ἐχρῆτο· καταπλαγεὶς δὲ τῷ πολλῷ τῆς εὐμορφίας, προϊόντος χρόνου καὶ παιδὸς αὐτῇ τοῦ Φραατάκου γενομένου, γαμετήν τε τὴν ἄνθρωπον ἀποφαίνεται καὶ τιμίαν ἦγεν. Ἡ δὲ ἐπὶ πᾶσιν οἷς εἰκὸς πιθανὴ τῷ βασιλεῖ γεγονυῖα, καὶ σπεύδουσα τῷ αὐτῆς παιδὶ γενέσθαι τὴν Πάρθων ἡγεμονίαν, ἑώρα μὴ ἄλλως γενησομένην μὴ ἀποσκευῆς αὐτῇ μηχανη-

in planitie et Archelaidem, ubi magna palmarum copia quarum fructus erat præstantissimus. Huic successit Annius Rufus, quo prætore mortuus est Cæsar, secundus Romanorum Imperator, quum septem et quinquaginta annis imperasset, prætereaque sex mensibus et duobus diebus (cujus temporis annos quattuordecim ei in imperio socius fuerat Antonius,) vixissetque annos septem et septuaginta. Cæsari autem in imperium successit Tiberius Nero, uxoris ejus Juliæ filius. Hic tertius Romanorum imperator, et ab eo post Annium Rufum prætor in Judæam missus est Valerius Gratus : qui Ananum pontificatu privavit, et hunc Ismaeli Phabi filio tribuit. Atque hunc quoque non multo post abdicavit, et id munus Eleazaro Anani pontificis filio commisit. Uno autem post anno huic etiam ademptum sacerdotium Simoni Camithi filio tradidit : quumque is dignitatem non ultra anni spatium tenuisset, Josephus, cui etiam Caiaphæ nomen fuit, ei successit. Et Grato quidem, quum in Judæa annos undecim exegisset, his actis Romam reverso, Pontius Pilatus successit.

3. Herodes autem tetrarcha (nam magna ei cum Tiberio amicitia intercesserat) urbem ædificavit, ab ipso Tiberiadem appellatam, in parte optima Galilææ positam, ad lacum Gennesareth. Thermæ autem non procul in vico sunt, cui nomen Emmaus. Eamque convenæ habitarunt et multi quoque ex Galilæa, coactique nonnulli e regione sub illius imperio et per vim eo ad habitandum deducti, quidam etiam ex optimatibus. Quin et pauperes undique collectos ad incolendum admisit, et nonnullos qui an liberi essent non constabat, illisque numero multis magnas facultates et immunitates dedit, utque tenerentur adstricti ad degendum in illo oppido, eorum domos exstruxit eisque agros e suis assignavit, quod sciret habitationem esse Judaicis legibus moribusque repugnantem, propterea quod, ad Tiberiadem collocandam, sublata fuerant multa quæ illic erant sepulcra, quum lex nostra hujusmodi incolas pollutos pronunciet in septem dies.

4. Sub idem tempus etiam moritur Phrahates Parthorum rex, ex insidiis illi a Phrahatace filio factis, hujusmodi de causa. Phrahates, quum ei filii essent legitimi, ancillam Italici generis, cui nomen Thermusa, quæ cum aliis muneribus ei ab Julio Cæsare missa erat, primum quidem pro concubina habuit; captus vero formæ illius pulcritudine, aliquanto post tempore etiam filio ex ipsa Phrahatace suscepto, eam in matrimonium duxit et honoravit. Illa quidem quum universa quæ diceret regi persuaderet, et modis omnibus ageret ut Parthorum regnum filio adstrueret, nihil se effecturam intellexit, nisi viam aliquam exco-

θείσης τῶν γνησίων τοῦ Φραάτου παίδων. Πείθει οὖν αὐτὸν ἐκπέμπειν εἰς Ῥώμην ἐφ' ὁμηρείαν τοὺς γνησίους παῖδας. Καὶ οὗτοι μὲν (οὐ γὰρ ἀντειπεῖν εὔπορον Φραάτην τοῖς Θερμούσης ἐπιτάγμασιν) ἐπὶ τῆς Ῥώμης ἐξεπέμποντο. Φραατάκης δὲ μόνος ἐπὶ τοῖς πράγμασι τρεφόμενος δεινὸν ἡγεῖτο καὶ ἅμα χρόνιον τοῦ πατρὸς διδόντος τὴν ἀρχὴν λαμβάνειν· ὥστε ἐπεβούλευε τῷ πατρὶ συμπράξει τῆς μητρὸς, ᾗ δὴ καὶ συνεῖναι λόγος. Καὶ δι' ἀμφότερα μισηθεὶς, οὐδὲν ἧσσον τῆς πατροκτονίας τὸ μύσος τῆς μητρὸς ἔρωτος τιθεμένων τῶν ὑπηκόων, στάσει περιελαθεὶς πρότερον ἢ φῦναι μέγας ἐξέπιπτε τῶν πραγμάτων, καὶ οὕτω θνήσκει. Συμφρονήσαντες δὲ οἱ γενναιότατοι Πάρθων ὡς ἀβασιλεύτοις μὲν ἀμήχανον πολιτεύεσθαι, οἱ δὲ βασιλεύοντες ἐκ τοῦ γένους τῶν Ἀρσακιδῶν * * (οὐ γὰρ ἑτέροις ἄρχειν νόμιμον, ἀπέχρη δὲ πολλάκις καὶ μέχρι νῦν περιῦβρίσθαι τὴν βασιλείαν ἔκ τε γάμων τῆς Ἰταλικῆς παλλακίδος καὶ γενέσεων,) Ὀρώδην ἐκάλουν πρεσβεύσαντες, ὄντα ἄλλως μὲν ἐπίφθονον παρὰ τῷ πλήθει καὶ ὑπαίτιον καθ' ὑπερβολὰς ὠμότητος (πάνυ γὰρ ἦν σκαιὸς καὶ δυσδιάθετος εἰς ὀργήν), ἕνα δὲ τῶν ἐκ τοῦ γένους. Τοῦτον μὲν δὴ συστάντες ἀποκτείνουσιν, ὡς μὲν ἔνιοι φασὶν, ἐν σπονδαῖς καὶ τραπέζαις, (μαχαιροφορεῖν γὰρ ἔθος ἅπασιν,) ὡς δὲ ὁ πλείων κατέχει λόγος, εἰς θήραν προαγαγόντες. Πρεσβεύσαντες δὲ εἰς Ῥώμην ᾐτοῦντο βασιλέα τῶν ὁμηρευόντων· καὶ πέμπεται Βονώνης προκριθεὶς τῶν ἀδελφῶν. Ἐδόκει γὰρ χωρεῖν τὴν τύχην, ἣν αὐτῷ δύο μέγισται τῶν ὑπὸ τὸν ἥλιον ἡγεμονίαι προσέφερον, ἰδία καὶ ἀλλοτρία. Ταχεῖα δὲ ἀνατροπὴ τοὺς βαρβάρους ὕπεισιν, ἅτε καὶ σφαλεροὺς φύσει ὄντας, πρός τε τὴν ἀναξιοπάθειαν (ἀνδραπόδων γὰρ ἀλλοτρίων ποιῆσαι τὸ προστασσόμενον οὐκ ἠξίουν, τὴν ὁμηρείαν ἀντὶ δουλείας ὀνομάζοντες) καὶ τῆς ἐπικλήσεως τὴν ἀδοξίαν· οὐ γὰρ ἂν πολέμου δικαίῳ δεδόσθαι τὸν βασιλεύσοντα Πάρθοις, ἀλλὰ, ὃ τῷ παντὶ χεῖρον, εἰρήνης ὕβρει. Παραχρῆμα δὲ ἐκάλουν Ἀρτάβανον Μηδίας βασιλεύοντα, γένος Ἀρσακιδῶν. Πείθεται δὲ Ἀρτάβανος καὶ μετὰ στρατιᾶς ἔπεισιν. Ὑπαντιάζει δὲ αὐτῷ Βονώνης. Καὶ τὸ μὲν πρῶτον συμφρονήσαντος αὐτῷ τοῦ πλήθους τῶν Πάρθων, παραταξάμενος νικᾶται καὶ φεύγει πρὸς τοὺς ὅρους τῆς Μηδίας Ἀρτάβανος· μετ' οὐ πολὺ δὲ συναγαγὼν πολλὴν στρατιὰν συμβάλλει τε Βονώνῃ καὶ νικᾷ, καὶ Βονώνης εἰς Σελεύκειαν ἀφιππάζεται σὺν ὀλίγοις τοῖς περὶ αὐτόν. Ἀρτάβανος δὲ πολὺν τῇ τροπῇ φόνον ἐργασάμενος ὑπ' ἐκπλήξεως τῶν βαρβάρων, πρὸς Κτησιφῶντα μετὰ τοῦ πλήθους ἀναχωρεῖ. Κἀκεῖνος μὲν ἐβασίλευεν ἤδη Πάρθοις, Βονώνης δὲ εἰς Ἀρμενίαν διαπίπτει. Καὶ κατ' ἀρχὰς μὲν ἐφίετο τῆς χώρας καὶ πρὸς Ῥωμαίους ἐπρέσβευεν· ὡς δὲ αὐτῷ Τιβέριος μὲν ἀπεῖπε πρός τε τὴν ἀνανδρίαν καὶ τοῦ Πάρθου τὰς ἀπειλὰς, (ἀναπρεσβεύει γὰρ δὴ πόλεμον ἀνατεινόμενος, μηχανὴ δὲ ἦν ἑτέρα βασιλείας οὐδεμία· καὶ γὰρ οἱ περὶ Νιφάτην δυνατοὶ τῶν Ἀρμενίων Ἀρταβάνῳ προσ-

gitaret ad submovendos legitimos Phrahatis filios. Persuasit igitur marito ut filios legitimos Romam obsides mitteret. Et illi quidem (nam haud facile erat regi Thermusæ voluntati morem non gerere) Romam mittuntur. Phrahataces autem, qui solus ad res administrandas educatus erat, molestum sibi reputabat et longum fore, donec regnum a patre traditum acciperet. Quo factum ut insidias patri paraverit, matre eum adjuvante, cum qua rumor erat eum stupri consuetudinem habere. Itaque quum pro utroque in odium venisset, subditis incesti cum matre flagitium nihilo minus parricidio habentibus, priusquam magnis viribus auctus esset, facta seditione regno pulsus est, atque ita interiit. Quum autem Parthorum nobilissimi in hoc inter se consensissent, sine rege rempublicam administrari non posse, et ex Arsacidarum sanguine qui regnarent *esse deberent* (alios enim imperare haud fas esse, satisque habere contumeliarum quas sæpius et hucusque pertulerit regnum, ex nuptiis cum Italica concubina factis liberisque inde ortis,) Oroden per legatos acciverunt, ut qui e genere regio, quamvis alias populo invisus culpæque affinis ob immanem crudelitatem, quippe ingenio intractabili et ad iram proclivi. Igitur et hunc quidem, inita conjuratione, interemerunt, ut nonnulli tradunt, inter libationes et epulas, (nam moris est omnibus gladios gestare,) ut vero plerique dicunt, quum ad venationem eum prolicuissent. Itaque legatione Romam missa regem petierunt unum ex obsidibus : mittiturque Vonones, ceteris fratribus prælatus. Videbatur enim isti fortunæ sufficere, quam ei duo maxima in terris offerebant imperia, suum et externum. Sed brevi barbarorum animos subiit consilii mutatio, ut qui natura sunt inconstantes, et ad factorum indignitatem, (dedignabantur enim facere quæ alienum mancipium imperaret, mancipium vocantes obsidem,) et ad appellationis ignominiam : non enim jure belli datum esse qui Parthis imperitaret, sed, quod multo pejus, per pacis contumeliam. Confestim autem mittunt qui Artabanum accirent in Media regnantem, genere Arsaciden. Illi persuadetur, et cum exercitu venit. Cui Vonones occurrit; et quum primum quidem plerique Parthorum ab ipso stetissent, prælio Artabanus victus in Mediæ fines fugam capessit : sed non multo post magno coacto exercitu cum Vonone congreditur, eumque superat, ita ut Vonones cum paucis e suis equitibus in Seleuciam fugeret. Artabanus autem magna cæde grassatus in fusos fugatosque, quod animis consternati erant barbari, cum copiis suis Ctesiphontem se recipit. Et ille quidem jam Parthis imperabat; Vonones autem fuga in Armeniam dilapsus, statim quidem regionis imperium affectavit, Romamque legatos misit : ut vero repulsam passus est a Tiberio, et propter ipsius ignaviam et Parthi minas, (nam per legatos se bellum illaturum minatur; via autem alia ad regnum conservandum nulla erat; nam potentiores Armeniorum Niphaten accolentes Artabano se adjun-

τίθενται,) παραδίδωσιν αὐτὸν Σιλανῷ τῷ τῆς Συρίας στρατηγῷ. Κἀκεῖνος μὲν κατὰ αἰδῶ τῆς ἐν Ῥώμῃ κομιδῆς ἐν Συρίᾳ παρεφυλάττετο· τὴν δὲ Ἀρμενίαν Ὀρώδῃ δίδωσιν Ἀρτάβανος ἑνὶ τῶν ἑαυτοῦ παίδων.

ε'. Ἐτελεύτησε δὲ καὶ ὁ τῆς Κομμαγηνῆς βασιλεὺς Ἀντίοχος, διέστη δὲ τὸ πλῆθος πρὸς τοὺς γνωρίμους, καὶ πρεσβεύουσιν ἀφ' ἑκατέρου μέρους, οἱ μὲν δυνατοὶ μεταβάλλειν τὸ σχῆμα τῆς πολιτείας εἰς ἐπαρχίαν ἀξιοῦντες, τὸ πλῆθος δὲ βασιλεύεσθαι κατὰ τὰ πάτρια. Καὶ ψηφίζεται ἡ σύγκλητος Γερμανικὸν πέμπειν διορθώσοντα τὰ κατὰ τὴν ἀνατολήν, πραγματευομένης αὐτῷ τῆς τύχης εὐκαιρίαν τοῦ θανάτου. Καὶ γὰρ γενόμενος κατὰ ἀνατολὴν καὶ πάντα διορθώσας ἀνῃρέθη φαρμάκῳ ὑπὸ Πίσωνος, καθὼς ἐν ἄλλοις δεδήλωται.

ΚΕΦ. Γ'.

Πιλᾶτος δὲ, ὁ τῆς Ἰουδαίας ἡγεμὼν, στρατιὰν ἐκ Καισαρείας ἀγαγὼν καὶ μεθιδρύσας χειμαδιοῦσαν ἐν Ἱεροσολύμοις, ἐπὶ καταλύσει τῶν νομίμων τῶν Ἰουδαϊκῶν, ἐφρόνησε προτομὰς Καίσαρος, αἳ ταῖς σημαίαις προσῆσαν, εἰσάγειν εἰς τὴν πόλιν, εἰκόνων ποίησιν ἀπαγορεύοντος ἡμῖν τοῦ νόμου· καὶ διὰ τοῦτο οἱ πρότερον ἡγεμόνες ταῖς μὴ μετὰ τοιῶνδε κόσμων σημαίαις ἐποιοῦντο εἴσοδον τῇ πόλει. Πρῶτος δὲ Πιλᾶτος, ἀγνοίᾳ τῶν ἀνθρώπων διὰ τὸ νύκτωρ γενέσθαι τὴν εἴσοδον, ἰδρύεται τὰς εἰκόνας φέρων εἰς τὰ Ἱεροσόλυμα. Οἱ δὲ ἐπεὶ ἔγνωσαν, κατὰ πληθὺν παρῆσαν εἰς Καισάρειαν, ἱκετείαν ποιούμενοι ἐπὶ πολλὰς ἡμέρας ἐπὶ μεταθέσει τῶν εἰκόνων. Καὶ μὴ συγχωροῦντος διὰ τὸ εἰς ὕβριν Καίσαρι φέρειν, ἐπεί περ οὐκ ἐξανεχώρουν λιπαρεῖν, κατὰ ἕκτην ἡμέραν ἐν ὅπλοις ἀφανῶς ἐπικαθίσας τὸ στρατιωτικὸν αὐτὸς ἐπὶ τὸ βῆμα ἦκε· τὸ δὲ ἐν τῷ σταδίῳ κατεσκεύαστο, ὅπερ ἀπέκρυπτε τὸν ἐφεδρεύοντα στρατόν. Πάλιν δὲ τῶν Ἰουδαίων ἱκετείᾳ χρωμένων, ἀπὸ συνθήματος περιστήσας τοὺς στρατιώτας, ἠπείλει θάνατον ἐπιθήσειν ζημίαν ἐκ τοῦ ὀξέος, εἰ μὴ παυσάμενοι θορυβεῖν ἐπὶ τὰ οἰκεῖα ἀπίοιεν. Οἱ δὲ πρηνεῖς ῥίψαντες ἑαυτοὺς καὶ γυμνοῦντες τὰς σφαγὰς, ἡδονῇ δέξεσθαι τὸν θάνατον ἔλεγον ἢ τολμήσειν τὴν σοφίαν παραβήσεσθαι τῶν νόμων. Καὶ Πιλᾶτος, θαυμάσας τὸ ἐχυρὸν αὐτῶν ἐπὶ φυλακῇ τῶν νόμων, παραχρῆμα τὰς εἰκόνας ἐκ τῶν Ἱεροσολύμων ἐπανεκόμισεν εἰς Καισάρειαν.

β'. Ὑδάτων δὲ ἐπαγωγὴν εἰς τὰ Ἱεροσόλυμα ἔπραξε, δαπάνῃ τῶν ἱερῶν χρημάτων, ἐκλαβὼν τὴν ἀρχὴν τοῦ ῥεύματος ὅσον ἀπὸ διακοσίων σταδίων. Οἱ δὲ οὐκ ἠγάπων τοῖς ἀμφὶ τὸ ὕδωρ δρωμένοις, πολλαί τε μυριάδες ἀνθρώπων συνελθόντες κατεβόων αὐτοῦ, παύσασθαι τοῦ ἐπὶ τοιούτοις προθυμουμένου· τινὲς δὲ καὶ λοιδορίᾳ χρώμενοι ὕβριζον εἰς τὸν ἄνδρα, οἷα δὴ φιλεῖ πράσσειν ὅμιλος. Ὁ δὲ, στολῇ τῇ ἐκείνων πολὺ πλῆθος στρατιωτῶν ἀμπεχόμενον, οἳ ἐφέροντο σκυτάλας ὑπὸ ταῖς στολαῖς, διαπέμψας εἰς ὃ περιέλθοιεν αὐτοὺς, αὐτὸς ἐκέλευσεν ἀναχωρεῖν. Τῶν δὲ ὡρμηκότων δὲ, σὺν τῷ Σιλανῷ τῷ τῆς Συρίας στρατηγῷ.) Καὶ εἶνος μὲν κατὰ αἰδῶ τῆς ἐν Ῥώμῃ κομιδῆς ἐν Συρίᾳ παρεφυλάττετο· τὴν δὲ Ἀρμενίαν Ὀρώδῃ δίδωσιν Ἀρτάβανος ἑνὶ τῶν ἑαυτοῦ παίδων.

ε'. Ἐτελεύτησε δὲ καὶ ὁ τῆς Κομμαγηνῆς βασιλεὺς Ἀντίοχος, διέστη δὲ τὸ πλῆθος πρὸς τοὺς γνωρίμους, καὶ πρεσβεύουσιν ἀφ' ἑκατέρου μέρους, οἱ μὲν δυνατοὶ μεταβάλλειν τὸ σχῆμα τῆς πολιτείας εἰς ἐπαρχίαν ἀξιοῦντες, τὸ πλῆθος δὲ βασιλεύεσθαι κατὰ τὰ πάτρια. Καὶ ψηφίζεται ἡ σύγκλητος Γερμανικὸν πέμπειν διορθώσοντα τὰ κατὰ τὴν ἀνατολήν, πραγματευομένης αὐτῷ τῆς τύχης εὐκαιρίαν τοῦ θανάτου. Καὶ γὰρ γενόμενος κατὰ ἀνατολὴν καὶ πάντα διορθώσας ἀνῃρέθη φαρμάκῳ ὑπὸ Πίσωνος, καθὼς ἐν ἄλλοις δεδήλωται.

xerunt,) semet Silano Syriæ præsidi dedidit. Atque ille quidem eum utpote Romæ educatum reveritus apud se in Syria asservabat : Armeniam autem Orodi uni e filiis suis tradit Artabanus.

5. Ea tempestate moritur etiam Antiochus Commagenæ rex : et contentio orta est inter plebejos et nobiles, ita ut utraque pars legationem Romam mitteret, proceribus quidem regnum in provinciæ formam redigi postulantibus, plebe vero patrio more regum imperio subjici. Quapropter Germanicus ex senatusconsulto ad componendum Orientis statum mittitur, fortuna occasionem quærente illius exitio. Nam quum in Oriente esset et res illic composuisset, Pisonis opera veneno sublatus est, sicuti alibi memoratum est.

CAP. III. (IV.)

Pilatus autem Judææ prætor, quum exercitum e Samaria eduxisset et Hierosolyma in hiberna transtulisset, ut Judaicas leges aboleret, Cæsaris effigiem in militaribus signis curavit intra urbem inferendam, quum lex imagines habere nos vetet : quam ob causam ejus decessores prætores soliti erant in urbem intrare cum signis quæ hujusmodi carerent ornamentis. Sed Pilatus primus, ignorante populo, quippe noctu facto introitu, illatas imagines Hierosolymis statuit. Quam rem ubi populus rescivit, magno agmine Cæsaream profecti sunt, Pilatumque per multos dies orarunt ut eas imagines alio transferre vellet. Illoque non concedente, utpote quod ea re Cæsari fieret contumelia, postquam illi eum urgere non desinebant, die septimo, quum milites occulte armasset, suggestum conscendit in circo factum : quæ res collocatum in insidiis exercitum tegebat. Quumque Judæi eadem rursus ab eo flagitarent, signum militibus dedit ut eos circumsisterent, eisque præsentem mortem minatus est, nisi quieti domum discederent. At illi humi procumbere, detectisque cervicibus dicere se longe mori malle quam ut auderent quidquam contra legum sapientiam committere. Atque Pilatus, animorum constantiam et firmitatem in legibus conservandis miratus, imagines e vestigio Hierosolymis Cæsaream referri jussit.

2. Paravit etiam *Pilatus* aquam derivare Hierosolyma, idque sacrarum pecuniarum impensis, petito fontis capite ducentesimo ab urbe stadio. Sed Judæis displicebat quod circa aquam egerat : coiveruntque hominum multa millia, qui vociferarentur ut ab instituto desisteret; nonnullis etiam, id quod in turba promiscua fieri solet, convicia et contumelias homini dicentibus. Itaque ille magnum militum numerum habitu Judaico, qui occultas sub veste clavas ferrent, misit in locum unde possent circumdare Judæos; deinde Judæis ut se inde reciperent imperavit. Quumque

των εἰς τὸ λοιδορεῖν, ἀποδίδωσι τοῖς στρατιώταις ὃ προσυνέκειτο σημεῖον· οἱ δὲ καὶ πολὺ μειζόνως ἢπερ ἐπέταξε Πιλᾶτος ἐχρῶντο πληγαῖς, τούς τε θορυβοῦντας ἐν ἴσῳ καὶ μὴ κολάζοντες. Οἱ δὲ εἰσεφέροντο μαλακὸν οὐδέν, ὥστε ἄοπλοι ληφθέντες ὑπ' ἀνδρῶν ἐκ παρασκευῆς ἐπιφερομένων, πολλοὶ μὲν αὐτῶν ταύτῃ καὶ ἀπέθνησκον, οἱ δὲ καὶ τραυματίαι ἀνεχώρησαν. Καὶ οὕτω παύεται ἡ στάσις.

γ'. Γίνεται δὲ κατὰ τοῦτον τὸν χρόνον Ἰησοῦς, σοφὸς ἀνήρ, εἴ γε ἄνδρα αὐτὸν λέγειν χρή. Ἦν γὰρ παραδόξων ἔργων ποιητής, διδάσκαλος ἀνθρώπων τῶν ἡδονῇ τἀληθῆ δεχομένων· καὶ πολλοὺς μὲν Ἰουδαίους, πολλοὺς δὲ καὶ τοῦ Ἑλληνικοῦ ἐπηγάγετο. Ὁ Χριστὸς οὗτος ἦν. Καὶ αὐτὸν ἐνδείξει τῶν πρώτων ἀνδρῶν παρ' ἡμῖν σταυρῷ ἐπιτετιμηκότος Πιλάτου, οὐκ ἐπαύσαντο οἵ γε πρῶτον αὐτὸν ἀγαπήσαντες. Ἐφάνη γὰρ αὐτοῖς τρίτην ἔχων ἡμέραν πάλιν ζῶν, τῶν θείων προφητῶν ταῦτά τε καὶ ἄλλα μυρία θαυμάσια περὶ αὐτοῦ εἰρηκότων. Εἰσέτι τε νῦν τῶν Χριστιανῶν ἀπὸ τοῦδε ὠνομασμένων οὐκ ἐπέλιπε τὸ φῦλον.

δ'. Καὶ ὑπὸ τοὺς αὐτοὺς χρόνους ἕτερόν τι δεινὸν ἐθορύβει τοὺς Ἰουδαίους, καὶ περὶ τὸ ἱερὸν τῆς Ἴσιδος τὸ ἐν Ῥώμῃ πράξεις αἰσχυνῶν οὐκ ἀπηλλαγμέναι συντυγχάνουσι. Καὶ πρότερον τοῦ τῶν Ἰσιακῶν τολμήματος μνήμην ποιησάμενος, οὕτω μεταδίωμι τὸν λόγον ἐπὶ τὰ ἐν τοῖς Ἰουδαίοις γεγονότα. Παυλῖνα ἦν τῶν ἐπὶ Ῥώμης προγόνων τε ἀξιώματι τῷ τε καθ' ἑαυτὴν ἐπιτηδεύματι κόσμου ἀρετῆς ἐπὶ μέγα προϊοῦσα τῷ ὀνόματι, δύναμίς τε αὐτῇ χρημάτων ἦν, καὶ γεγονυῖα τὴν ὄψιν εὐπρεπὴς καὶ τῆς ὥρας ἐν ᾗ μάλιστα ἀγάλλονται αἱ γυναῖκες, εἰς τὸ σωφρονεῖν ἀνέκειτο ἡ ἐπιτήδευσις τοῦ βίου. Ἐγεγάμητο δὲ Σατουρνίνῳ, τῷ εἰς τὰ πάντα ἀντισουμένῳ τῶν περὶ αὐτὴν ἀξιολόγων. Ταύτης ἐρᾷ Δέκιος Μοῦνδος, τῶν τότε ἱππέων ἐν ἀξιώματι μεγάλῳ· καὶ μείζονος γὰρ οὔσης ἢ ὥστε ἀλῶναι δώροις, διὰ τὸ καὶ πεμφθέντων εἰς πλῆθος περιιδεῖν, ἐξῆπτο μᾶλλον, ὥστε καὶ εἴκοσι μυριάδας δραχμῶν Ἀττικῶν αὐτῇ δώσειν ὑπισχνεῖται εὐνῆς μιᾶς. Καὶ μηδὲ ὡς ἐπικλωμένης, οὐ φέρων τὴν ἀτυχίαν τοῦ ἔρωτος, ἐνδεία σιτίων θάνατον ἐπιτιμᾶν αὑτῷ καλῶς ἔχειν ἐνόμιζεν ἐπὶ Παυλίνῃ κακοῦ τοῦ κατειληφότος. Καὶ ὁ μὲν ἐπεψήφιζέ τε τοιαύτῃ τελευτῇ καὶ πράσσειν οὐκ ἀπηλλάσσετο. Ἦν δὲ Ἰὼν πατρῷος ἀπελεύθερα τῷ Μούνδῳ, παντοίων ἰδρὼς κακῶν· ἡ δεινῶς φέρουσα τοῦ νεανίσκου τῷ ψηφίσματι τοῦ θανεῖν (οὐ γὰρ ἀφανὴς ἦν ἀπολούμενος) ἀνεγείρει τε αὐτὸν ἀφικομένη διὰ λόγου, πιθανή τε ἦν ἐλπίδων τινῶν ὑποσχέσει ὡς διαπραχθησομένων ὁμιλιῶν πρὸς τὴν Παυλῖναν αὐτῷ. Καὶ δεχομένου τὴν ἱκετείαν ἡδονῇ, πέντε μυριάδων δεήσειν αὐτῇ μόνων ἔλεγεν ἐπὶ ἁλώσει τῆς γυναικός. Καὶ ἡ μὲν ἐπὶ τούτοις ἀναγείρασα τὸν νεανίσκον, καὶ τὸ αἰτηθὲν λαβοῦσα ἀργύριον, οὐ τὰς αὐτὰς ὁδοὺς ἐστέλλετο τοῖς προδεδιακονημένοις, ὁρῶσα τῆς γυναικὸς τὸ μηδαμῶς χρημάτων ἁλισκόμε-

Judæi conviciis eum petere inciperent, signum quod convenerat militibus dat: illi vero longe atrocius quam jusserat Pilatus quietos æque ac seditiosos castigarunt. Isti autem de pertinacia nihil remittebant, adeo ut, inermibus inclementer acceptis ab armatis eos adorientibus, multi ex illis hoc modo perierint, alii saucii discesserint. Atque ita compressa est seditio.

3. Eo etiam tempore fuit Jesus, vir sapiens, si tamen virum eum appellare fas est. Fuit enim mirabilium operum effector, magister hominum qui verum cum voluptate accipiunt: multosque Judæos, multos item gentiles ad se pellexit. Hic erat Christus. Quem quum Pilatus, ab hominum nostrorum primis delatum, crucis supplicio addixisset, eum tamen amare non desierunt qui primum amaverant. Apparuit enim eis tertio die redivivus, divinis vatibus et hæc et mille alia de eo miranda effatis. Atque ab eo denominata Christianorum natio durat usque ad hunc diem.

4. Circa eadem tempora etiam mali quiddam aliud Judæos perturbavit, Romæque accidit ut in fano Isidis res agerentur cum turpitudine conjunctæ. Primum igitur facinus in Isiacis commissum memorabo, ac tum demum orationem convertam ad ea persequenda quæ apud Judæos evenerunt. Erat Romæ Paulina et natalium dignitate illustris, et ob studium quod ipsa virtutis decori impenderat magni nominis, porroque divitiis affluens, et forma egregia, ea etiam ætate qua maxime lætitia gestiunt mulieres, ac præter cetera vita ad pudicitiam composita. Nupta autem erat Saturnino, viro cum ipsa in omnibus quibus eminebat conferendo. Hujus amore correptus est Decius Mundus, vir magnæ inter equites dignitatis: qui quum eam comperisset frustra muneribus sollicitari, ut quæ ingentia ab eo missa rejecerat, tanto magis amore accendebatur, ita ut ei pro uno concubitu ducenta drachmarum Atticarum millia polliceretur. At quum *ea* nec hisce animo flecti potuerit, se amore destitui graviter ferenti, optimum visum est inedia mortem sibi consciscere propter malum quod ipsi ex Paulina acciderat. Atque ita quidem ille vitam finire decreverat, nec ei mora quin id continuo faceret. Fuit autem Mundo paterna liberta, Ide nomine, omnium malarum artium perita: quæ, quum ei valde displiceret ut juvenis in obstinato moriendi proposito persisteret, (nam palam erat ipsum se perditum ire,) ad eum veniebat verbisque afflictum excitabat, fidem ei faciens spem ingerendo fore ut Paulinæ complexibus potiretur. Illoque precibus libenter auscultante, subjiciebat sibi tantum opus esse quinquaginta drachmarum millibus ad expugnandam mulieris pudicitiam. Et illa quidem, quum istis juvenis animum erexisset, quantumque petierat pecuniæ accepisset, alia ipsam aggreditur via quam ii quorum opera usus fuerat et ministerio, quod mulierem videret majorem quam ut pecunia caperetur;

νον· εἰδυῖα δ' αὐτὴν θεραπεία τῆς Ἴσιδος σφόδρα ὑπηγμένην τεχνᾶταί τι τοιόνδε. Τῶν ἱερέων τισὶν ἀφικομένη διὰ λόγων ἐπὶ πίστεσι μεγάλαις, τὸ δὲ μέγιστον δόσει χρημάτων, τὸ μὲν παρὸν μυριάδων δυοῖν καὶ ἡμισείας, λαβόντος δ' ἕκβασιν τοῦ πράγματος ἑτέρῳ τοσῷδε, διασαφεῖ τοῦ νεανίσκου τὸν ἔρωτα αὐτοῖς, κελεύουσα παντοίως ἐπὶ τῷ ληψομένῳ τὴν ἄνθρωπον σπουδάσαι. Οἱ δ' ἐπὶ πλήθει τοῦ χρυσίου παραχθέντες ὑπισχνοῦντο. Καὶ αὐτῶν ὁ γεραίτατος ὡς τὴν Παυλῖναν ὡσάμενος, γενομένων εἰσόδων, κατὰ μόνας [τε] διὰ λόγων ἐλθεῖν ἠξίου. Καὶ συγχωρηθὲν, πεμπτὸς ἔλεγεν ἥκειν ὑπὸ τοῦ Ἀνούβιδος, ἔρωτι αὐτῆς ἡσσημένου τοῦ θεοῦ, κελεύοντός τε ὡς αὐτὸν ἐλθεῖν. Τῇ δὲ εὐκτὸς ὁ λόγος ἦν, καὶ ταῖς τε φίλαις ἐνεκαλλωπίζετο τῇ ἐπὶ τούτοις ἀξιώσει τοῦ Ἀνούβιδος καὶ φράζει πρὸς τὸν ἄνδρα, δεῖπνόν τε αὐτῇ καὶ εὐνὴν τοῦ Ἀνούβιδος εἰσηγγέλθαι. Συνεχώρει δ' ἐκεῖνος, τὴν σωφροσύνην τῆς γυναικὸς ἐξεπιστάμενος. Χωρεῖ οὖν εἰς τὸ τέμενος, καὶ δειπνήσασα', ὡς ὕπνου καιρὸς ἦν, κλεισθεισῶν τῶν θυρῶν ὑπὸ τοῦ ἱερέως, ἔνδον ἐν τῷ ναῷ καὶ τὰ λύχνα ἐκποδὼν ἦν, καὶ ὁ Μοῦνδος (προεκέκρυπτο γὰρ τῇδε) οὐχ ἡμάρτανεν ὁμιλιῶν τῶν πρὸς αὐτὴν, παννύχιόν τε αὐτῷ διηκονήσατο, ὑπειληφυῖα θεὸν εἶναι. Καὶ ἀπελθόντος πρότερον ἢ κίνησιν ἄρξασθαι τῶν ἱερέων, οἳ τὴν ἐπιβουλὴν οὐκ ἤδεσαν, ἡ Παυλῖνα, πρωὶ ὡς τὸν ἄνδρα ἐλθοῦσα, τὴν ἐπιφάνειαν ἐκδιηγεῖται τοῦ Ἀνούβιδος, καὶ πρὸς τὰς φίλας ἐνελαμπρύνετο λόγοις τοῖς ἐπ' αὐτῷ. Οἱ δὲ τὰ μὲν ἠπίστουν εἰς τὴν φύσιν τοῦ πράγματος ὁρῶντες, τὰ δ' ἐν θαύματι καθίσταντο, οὐκ ἔχοντες ὡς χρὴ ἄπιστα αὐτὰ κρίνειν, ὁπότε εἰς τὴν σωφροσύνην καὶ τὸ ἀξίωμα ἀπίδοιεν αὐτῆς. Τρίτῃ δὲ ἡμέρᾳ μετὰ τὴν πρᾶξιν ὑπαντιάσας αὐτὴν ὁ Μοῦνδος, « Παυλῖνα, φησὶν, ἀλλά μοι καὶ εἴκοσι μυριάδας διε« σώσω, δυναμένῃ οἴκῳ προσθέσθαι τῷ αὐτῆς, διακονεῖσθαί τε ἐφ' οἷς προεκαλούμην οὐκ ἐνέλιπες. Ἃ « μέντοι εἰς Μοῦνδον ὑβρίζειν ἐπειρῶ, μηδέν μοι « μελῆσαν τῶν ὀνομάτων, ἀλλὰ τῆς ἐκ τοῦ πράγματος « ἡδονῆς, Ἄνουβιν ὄνομα ἐθέμην ἐμαυτῷ. » Καὶ ὁ μὲν ἀπῄει ταῦτα εἰπών· ἡ δὲ εἰς ἔννοιαν τότε πρῶτον ἐλθοῦσα τοῦ τολμήματος, περιρρήγνυταί τε τὴν στολὴν καὶ τἀνδρὶ ὀηλώσασα τοῦ παντὸς ἐπιβουλεύματος τὸ μέγεθος, ἐδεῖτο μὴ περιῶφθαι βοηθείας τυγχάνειν. Ὁ δὲ τῷ αὐτοκράτορι ἐπεσήμηνε τὴν πρᾶξιν. Καὶ ὁ Τιβέριος, μαθήσεως ἀκριβοῦς αὐτῷ γενομένης ἐξετάσει τῶν ἱερέων, ἐκείνους τε ἀνεσταύρωσε καὶ τὴν Ἶδην ὀλέθρου γενομένην αἰτίαν καὶ τὰ πάντα ἐφ' ὕβρει συνθεῖσαν τῆς γυναικός· τόν τε ναὸν καθεῖλε, καὶ τὸ ἄγαλμα τῆς Ἴσιδος εἰς τὸν Θύβριν ποταμὸν ἐκέλευσεν ἐμβαλεῖν. Μούνδῳ δὲ φυγῆς ἐτίμησεν, κώλυμα τοῦ μὴ μειζόνως κολάζειν τὸ μετὰ ἔρωτος αὐτῷ ἡμαρτῆσθαι τὰ ἡμαρτημένα ἡγησάμενος. Καὶ τὰ μὲν περὶ τὸ ἱερὸν τῆς Ἴσιδος τοῖς ἱερεῦσιν ὑβρισμένα τοιαῦτα ἦν. Ἐπάνειμι δὲ ἐπὶ τὴν ἀφήγησιν τῶν ἐν Ῥώμῃ Ἰουδαίοις κατὰ τοῦτον τὸν χρόνον συντυχόντων, ὥς μοι καὶ προεσήμηνεν ὁ λόγος.

gnara autem eam vehementer addictam esse Isidis cultui, tale quiddam comminiscitur. Conventis aliquot ex ejus sacerdotibus, verbisque ultro citroque habitis, ut fidem quam maxime solennem acceperat, et, quod efficacissimum, pecuniam ostentaverat, in præsens viginti quinque millia, et altera totidem re perfecta, indicat eis amorem juvenis, rogans modis omnibus adniterentur ut ei mulieris copiam facerent. Illi autem, auri vi magna inducti, id facturos recipiunt. Et illorum natu maximus propere se ad Paulinam contulit, atque intromissus petiit ut remotis arbitris cum ea colloqueretur. Quo concesso, venire se aiebat missum ab Anubide, deo quippe illius amore capto, jubenteque ut ad se veniret. Illi verba ista grata erant et optata, seque apud familiares suas jactabat ob honorem quo eam dignabatur Anubis : marito quoque indicat, condicta sibi esse cœnam et cubile Anubidis. Ille vero concessit, ut qui probe norat pudicitiam uxoris. Itaque it in fanum, et quum cœnavisset, quo tempore somni hora erat, clausis januis a sacerdote, intus in sacrario etiam ablatæ erant lucernæ, nec Mundus (nam illic antea abditus fuerat) ab ejus consortio aberravit; totamque noctem illi obsequuta est, deum esse rata. Quumque ille abiisset, priusquam moverentur sacerdotes qui insidias nesciebant, Paulina mane quum venisset ad virum, apparitionem Anubidis ei narrat, et propterea etiam apud familiares verbis sese extollit. Illi vero partim fidem negabant, rei naturam spectantes, partim mirabantur, ut qui non potuerint, id quod æquum, fide indigna judicare, quando ad ejus pudicitiam et nobilitatem respiciebant. Tertia autem die post facinus patratum Mundus, ipsi obviam factus, « Paulina, inquit, equi« dem mihi et ducenta millia servasti, quæ potuistis facul« tatibus tuis adjicere, et morem nihilominus meæ voluntati « gessisti. Nihil vero mea refert, quod Mundum verborum « contumeliis onerasti; sed mihi res ipsa voluptati fuit sub « Anubidis nomine latitanti. » Et is quidem ista loquutus discessit : illa vero, ut quæ tum primum aliquid de flagitio rescivit, et vestem sibi lacerat, et marito indicat omnem insidiarum turpitudinem, eumque obsecrabat ut ipsam vindicatum ire non negligeret. Is autem totum negotium imperatori aperit. Atque Tiberius quum rem omnem, quæstione de sacerdotibus habita, probe intellexisset, et illos cruci suffixit, et Iden exitii illorum causam, utpote quæ omnia machinata est in mulieris injuriam : insuper et templum evertit, et Isidis simulacrum in Tiberim fluvium demergi jussit. Mundum autem exillo multavit, causam satis idoneam ratus cur majori pœna non afficeretur, quod amoris vehementia deliquisset. Et ista quidem sunt quibus templum Isidis dehonestarunt sacerdotes. Nunc autem ad ea narranda revertor, quæ per id tempus Judæis Romæ degentibus contigerunt : id quod jam ante facturum recepi.

(Ε'.) ε'. Ἦν ἀνὴρ Ἰουδαῖος, φυγὰς μὲν τῆς αὐτοῦ, κατηγορίᾳ τε παραβάσεως νόμων καὶ δέει τιμωρίας τῆς ἐπ' αὐτοῖς, πονηρὸς δὲ εἰς τὰ πάντα. Καὶ δὴ τότε ἐν τῇ Ῥώμῃ διαιτώμενος προσεποιεῖτο μὲν ἐξηγεῖσθαι σοφίαν νόμων τῶν Μωϋσέως, προσποιησάμενός τε τρεῖς ἄνδρας εἰς τὰ πάντα ὁμοιοτρόπους, τούτοις ἐπιφοιτήσασαν Φουλβίαν, τῶν ἐν ἀξιώματι γυναικῶν καὶ νομίμοις προσεληλυθυῖαν τοῖς Ἰουδαϊκοῖς, πείθουσι πορφύραν καὶ χρυσίον εἰς τὸ ἐν Ἱεροσολύμοις ἱερὸν διαπέμψασθαι· καὶ λαβόντες ἐπὶ χρείας τοῖς οἰκείοις ἀναλώμασιν αὐτὰ ποιοῦνται, ἐφ' ὅπερ καὶ τὸ πρῶτον ἡ αἴτησις ἐπράσσετο. Καὶ ὁ Τιβέριος (ἀποσημαίνει γὰρ πρὸς αὐτὸν φίλος ὢν Σατουρνῖνος τῆς Φουλβίας ἀνὴρ ἐπισκήψει τῆς γυναικός) κελεύει πᾶν τὸ Ἰουδαϊκὸν τῆς Ῥώμης ἀπελαθῆναι. Οἱ δὲ ὕπατοι, τετρακισχιλίους ἀνθρώπων ἐξ αὐτῶν στρατολογήσαντες, ἔπεμψαν εἰς Σαρδὼ τὴν νῆσον· πλείστους δὲ ἐκόλασαν μὴ θέλοντας στρατεύεσθαι, διὰ φυλακὴν τῶν πατρίων νόμων. Καὶ οἱ μὲν διὰ κακίαν τεσσάρων ἀνδρῶν ἠλαύνοντο τῆς πόλεως.

ΚΕΦ. Δ'.

Οὐκ ἀπήλλακτο δὲ θορύβου καὶ τὸ Σαμαρέων ἔθνος. Συστρέφει γὰρ αὐτοὺς ἀνὴρ ἐν ὀλίγῳ τὸ ψεῦδος τιθέμενος, καὶ ἐφ' ἡδονῇ τῆς πληθύος τεχνάζων τὰ πάντα, κελεύων ἐπὶ τὸ Γαριζὶν ὄρος αὐτῷ συνελθεῖν, ὃ ἀγνότατόν τε αὐτοῖς ὀρῶν ὑπείληπται, ἰσχυρίζετό τε παραγενομένοις δείξειν τὰ ἱερὰ σκεύη τῇδε κατορωρυγμένα, Μωϋσέως τῇδε αὐτῶν ποιησαμένου κατάθεσιν. Οἱ δὲ ἐν ὅπλοις τε ἦσαν, πιθανὸν ἡγούμενοι τὸν λόγον, καὶ καθίσαντες ἔν τινι κώμῃ (Τιραθανᾶ λέγεται) παρελάμβανον τοὺς ἐπισυλλεγομένους, ὡς μεγάλῳ πλήθει τὴν ἀνάβασιν εἰς τὸ ὄρος ποιησόμενοι. Φθάνει δὲ Πιλᾶτος τὴν ἄνοδον αὐτῶν προκαταλαβόμενος ἱππέων τε πομπῇ καὶ ὁπλιτῶν, οἳ συμβαλόντες τοῖς ἐν τῇ κώμῃ προσυνηθροισμένοις, παρατάξεως γενομένης, τοὺς μὲν ἔκτεινον, τοὺς δὲ εἰς φυγὴν τρέπονται, ζωγρίᾳ τε πολλοὺς ἦγον, ὧν τοὺς κορυφαιοτάτους καὶ τοὺς ἐν τοῖς φυγοῦσι δυνατωτάτους ἔκτεινε Πιλᾶτος.

β'. Καταστάντος δὲ τοῦδε τοῦ θορύβου, Σαμαρέων ἡ βουλὴ παρὰ Οὐϊτέλλιον ὑπατικὸν ἴασιν ἄνδρα Συρίας τὴν ἡγεμονίαν ἔχοντα, καὶ Πιλάτου κατηγόρουν ἐπὶ τῇ σφαγῇ τῶν ἀπολωλότων· οὐ γὰρ ἐπὶ ἀποστάσει Ῥωμαίων, ἀλλ' ἐπὶ διαφυγῇ τῆς Πιλάτου ὕβρεως εἰς τὴν Τιραθανᾶ παραγενέσθαι. Καὶ Οὐϊτέλλιος, Μάρκελλον τῶν αὐτοῦ φίλων ἐκπέμψας ἐπιμελητὴν τοῖς Ἰουδαίοις γενησόμενον, Πιλᾶτον ἐκέλευσεν ἐπὶ Ῥώμης ἀπιέναι, πρὸς ἃ κατηγοροῦεν Ἰουδαῖοι διδάξοντα τὸν αὐτοκράτορα. Καὶ Πιλᾶτος, δέκα ἔτεσιν διατρίψας ἐπὶ Ἰουδαίας, εἰς Ῥώμην ἠπείγετο, ταῖς Οὐϊτελλίου πειθόμενος ἐντολαῖς, οὐκ ὢν ἀντειπεῖν. Πρὶν δὲ ἢ τῇ Ῥώμῃ προσχεῖν αὐτὸν, φθάνει Τιβέριος μεταστάς.

(Ϛ') γ'. Οὐϊτέλλιος δὲ εἰς τὴν Ἰουδαίαν ἀφικόμενος, ἐπὶ Ἱεροσολύμων ἀνῄει, καὶ ἦν αὐτοῖς ἑορτὴ Πάσχα δὲ καλεῖται. Δεχθεὶς δὲ μεγαλοπρεπῶς Οὐϊτέλλιος τὰ τέλη

(V.) 5. Erat vir genere Judæus, patria quidem sua profugus, ut qui accusaretur quod contra leges fecerat et pœnam metueret, in omnibus vero nequam et improbus. Is tum Romæ degens, se quidem legis Mosaicæ interpretem profitebatur, et tribus aliis per omnia sui similibus in societatem ascitis, Fulviæ, feminæ nobili, quæ, legem Mosaicam amplexa, sese illis in disciplinam tradiderat, persuadent ut purpuram et aurum in templum Hierosolymitanum mitteret: qui quum ea accepissent, in proprios usus verterunt et profuderunt, quem in finem ea etiam ab initio postulaverant. Quo fit ut Tiberius (ei quippe rem indicaverat quo amico utebatur Saturninus Fulviæ maritus ex uxoris instigatione) juberet cunctos Judæos Roma pelli. Ex quibus consules delectu habito quattuor millia militum in Sardiniam insulam miserunt: plurimos etiam, qui ut servarent patria instituta militiam detrectarunt, pœnis affecerunt. Atque ita, propter quattuor hominum nequitiam, Judæi ejecti sunt e civitate.

CAP. IV. (V.)

Interea ne Samaritani quidem tumultu caruerunt. Concitat enim eos vir, qui mentiri pro nihilo ducebat et omnia ad ineundam a plebe gratiam faciebat, jubens ut secum montem Garizin conscenderent, montium apud eos sanctitatis opinione celeberrimum; illisque asseverabat se ostensurum ipsis, ubi eo pervenirent, sacra vasa a Moyse istic defossa atque recondita. Illi vero, quæ diceret verisimilia esse credentes, arma sumpserunt, et in vico quodam Tirathana nomine consedentes sibi adjungebant quotquot sese ad illos aggregarent, ut magno agmine montem ascenderent. Sed Pilatus prior viam, qua iretur, occupat equitibus quos miserat et peditibus: qui congressi cum illis qui in urbem convenerant, primo conflictu alios occiderunt, alios in fugam verterunt, et multos etiam captivos abduxerunt, quorum præcipuos, et potentissimos eorum quos in fuga ceperant, interfecit Pilatus.

2. Sedato autem hoc tumultu, Samaritanorum senatus adeunt Vitellium, virum consularem et Syriæ præsidem, atque Pilatum cædis eorum qui interiere accusabant: non enim ut a Romanis desciscerent, sed ut tutum a Pilati injuriis perfugium haberent, in Tirathana sese recepisse. Tum Vitellius, Marcello amico suo ad res Judæorum procurandos misso, Pilatum jussit Romam proficisci, ad objecta a Judæis *crimina* coram Imperatore responsurum. Ita Pilatus, decem annis in Judææ provincia exactis, Romam properabat, Vitellii mandatis, quibus contradicere non poterat, obsequutus. At priusquam Romam appelleret, decesserat Tiberius.

(VI.) 3. Vitellius autem in Judæam profectus, Hierosolyma ascendit, ea tempestate, qua festum ageretur quod Pascha appellatur. Quumque a Judæis magnifice exceptus fuisset

τῶν ὠνουμένων καρπῶν ἀνίησιν εἰς τὸ πᾶν τοῖς ταύτῃ κατοικοῦσι, καὶ τὴν στολὴν τοῦ ἀρχιερέως καὶ τὸν πάντα αὐτοῦ κόσμον συνεχώρησεν ἐν τῷ ἱερῷ κείμενον ὑπὸ τοῖς ἱερεῦσιν ἔχειν τὴν ἐπιμέλειαν, καθότι καὶ πρότερον ἦν αὐτοῖς ἐξουσία· τότε δὲ ἐν τῇ Ἀντωνίᾳ (φρούριον δ' ἔστιν οὕτω λεγόμενον) ἡ ἀπόθεσις αὐτῆς ἦν διὰ τοιαύτην αἰτίαν. Τῶν ἱερέων τις Ὑρκανὸς, πολλῶν δὲ ὄντων οἳ τόδε ἐκαλοῦντο τὸ ὄνομα ὁ πρῶτος, ἐπεὶ πλησίον τῷ ἱερῷ βᾶριν κατασκευασάμενος ἐν ταύτῃ τὰ πολλὰ τὴν δίαιταν εἶχε καὶ τὴν στολὴν, (φύλαξ γὰρ ἦν αὐτῆς,) διὰ τὸ καὶ μόνῳ συγκεχωρῆσθαι τοῦ ἐνδύεσθαι τὴν ἐξουσίαν, ταύτῃ εἶχεν ἀποκειμένην, ὁπότε εἰς τὴν πόλιν κατιὼν ἀναλαμβάνοι τὴν ἰδιωτικήν· καὶ οἵ τε υἱεῖς αὐτοῦ ταῦτα πράσσειν ἐπετήδευον, καὶ τέκνα ἐκείνων. Ἡρώδης δὲ βασιλεύσας τήν τε βᾶριν ταύτην, ἐν ἐπιτηδείῳ κειμένην, κατασκευάσας πολυτελῶς, Ἀντωνίαν καλεῖ ὄνομα, τῷ Ἀντωνίῳ φίλος ὤν, καὶ τὴν στολὴν ὥσπερ καταλαμβάνει τῇδε κειμένην κατεῖχε, πιστεύων οὐδὲν νεωτεριεῖν ἐπ' αὐτῷ τὸν λαὸν διὰ τάδε. Ἔπρασσε δὲ ὅμοια τῷ Ἡρώδῃ καὶ ὁ ἐπικατασταθεὶς αὐτῷ βασιλεὺς Ἀρχέλαος υἱὸς ὢν· οὗ Ῥωμαῖοι παραδεξάμενοι τὴν ἀρχὴν ἐκράτουν τῆς στολῆς τοῦ ἀρχιερέως, ἀποκειμένης ἐν οἴκῳ λίθου οἰκοδομηθέντι ὑπὸ σφραγῖδι τῶν τε ἱερέων καὶ τῶν γαζοφυλάκων, τοῦ φρουράρχου τὸ ἐφ' ἡμέραν ἑκάστην λύχνον ἅπτοντος. Ἑπτὰ δὲ ἡμέραις πρὸ τῆς ἑορτῆς ἀπεδίδοτο αὐτοῖς ὑπὸ τοῦ φρουράρχου· καὶ ἀγνισθείσῃ χρησάμενος ὁ ἀρχιερεὺς μετὰ μίαν τῆς ἑορτῆς ἡμέραν ἀπετίθετο αὖθις εἰς τὸν οἶκον, ἥπερ ἔκειτο πρότερον. Καὶ τοῦτο ἐπράσσετο τρισὶν ἑορταῖς ἑκάστου ἔτους καὶ κατὰ τὴν νηστείαν. Οὐϊτέλλιος δὲ ἐπὶ τῷ ἡμετέρῳ πατρίῳ ποιεῖται τὴν στολὴν, ἥ τε κείσοιτο μὴ πολυπραγμονεῖν ἐπισκήψας τῷ φρουράρχῳ, καὶ ὁπότε δέοι χρῆσθαι.» Καὶ ταῦτα πράξας ἐπὶ εὐεργεσίᾳ τοῦ ἔθνους, καὶ τὸν ἀρχιερέα Ἰώσηπον τὸν καὶ Καϊάφαν ἐπικαλούμενον ἀπαλλάξας τῆς ἱερωσύνης, Ἰωνάθην καθίστησιν Ἀνάνου τοῦ ἀρχιερέως υἱόν. Ἐπ' Ἀντιοχείας δ' αὖθις ἐποιεῖτο τὴν ὁδόν.

δ'. Πέμπει δὲ καὶ Τιβέριος ὡς Οὐϊτέλλιον γράμματα, κελεύων αὐτῷ πράσσειν φιλίαν πρὸς Ἀρτάβανον τὸν Πάρθων βασιλέα. Ἐφόβει γὰρ αὐτὸν ἐχθρὸς ὤν, καὶ Ἀρμενίαν παρεσπασμένος, μὴ ἐπὶ πλέον κακουργῇ· πιστεύειν δὲ τῇ φιλίᾳ μόνως ὁμήρων αὐτῷ διδομένων, μάλιστα δὲ τοῦ Ἀρταβάνου υἱέως. Ταῦτα δὲ γράφων Τιβέριος πρὸς τὸν Οὐϊτέλλιον μεγάλων δόσεσι χρημάτων πείθει καὶ τὸν Ἰβήρων καὶ τὸν Ἀλβανῶν βασιλέα πολεμεῖν Ἀρταβάνῳ μηδὲν ἐνδοιάσαι. Οἱ δὲ αὐτοὶ μὲν ἀντεῖχον, Σκύθας δὲ, δίοδον αὐτοῖς διδόντες διὰ τῆς αὐτῶν καὶ τὰς θύρας τὰς Κασπίας ἀνοίξαντες, ἐπάγουσι τῷ Ἀρταβάνῳ. Καὶ ἥ τε Ἀρμενία ἁφῄρητο αὖθις, καὶ πλησθείσης πολέμων τῆς Παρθυαίων γῆς, οἵ τε πρῶτοι τῶν τῇδε ἐκτείνοντο ἀνδρῶν, ἀνάστατά τε ἦν αὐτοῖς τὰ πάντα, καὶ τοῦ βασιλέως ὁ υἱὸς ἐκ τούτων τῶν μαχῶν ἔπεσε μετὰ πολλῶν στρατοῦ μυριάδων. Καὶ αὐτοῦ τὸν πατέρα Ἀρτάβανον Οὐϊτέλλιος, πομπῇ χρη-

Vitellius, vectigal fructuum venalium Hierosolymitanis in universum remisit, et stolam pontificis cum omni ejus ornatu passus est in templo, ut olim, a sacerdotibus adservari: sed eo tempore in Antonia (castellum est ita nuncupatum) deposita erat hujusmodi de causa. Pontificum quidam Hyrcanus, ejus nominis primus, (nam plures erant eo nomine appellati,) quum turrim in vicinia templi exstruxisset, illic maxima ex parte vitam agebat, et stolam, quæ in ejus custodia erat, eo quod sibi soli licebat eam induere, ibi depositam habebat, quandocunque privata veste resumpta in urbem iret; idemque filii ipsius eorumque filii facere consueverunt. Herodes autem regnum adeptus et turrim hanc, loco opportuno sitam, magno sumptu instruxit, Antoniæ nomine ei indito ex Antonio, qui ipsi erat amicus, et stolam, ita ut ibi reperta est, apud se retinuit, ratus populum ea de re nihil novi contra se moliturum. Deinceps vero similiter ac Herodes faciebat Archelaus, filius ejus, qui ei in imperio successit: cujus regnum quum Romani sibimet assumpsissent, nacti sunt stolam pontificiam, in domo ex lapide constructa repositam, sacerdotum custodumque ærarii sigillo obsignatam, castelli præfecto quotidie eo in loco lucernam accendente. Septem vero ante festum diebus illis ab arcis præfecto tradebatur: quumque ea purificata usus fuisset pontifex, die proxima post solennitatem rursus eam in domum reponebat, ubi antea condita erat. Idque quotannis fiebat, tribus festis et jejunii die. Vitellius autem facit ut *stola*, prout mos patrius ferebat, servaretur, dato arcis præfecto in mandatis ut nec inquireret in locum ubi reconderetur, nec ad diem attenderet quo ea uti oporteret. Quumque ita fecisset ut a gente gratiam iniret, et Josepho pontifici, cui etiam Caiaphæ nomen fuit, sacerdotium abrogasset, Jonatham Anani pontificis filium in ejus locum substituit, ac deinde Antiochiam reversus est.

4. Tunc etiam Tiberius ad Vitellium literas misit, cum mandatis ut amicitiam pangeret cum Artabano Parthorum rege. Eum enim territabat, quod inimicus esset et Armeniam occupasset, ne majora damna inferret; eaque solum lege ejus amicitiæ credendum esse, si obsides illi traderentur, præcipue vero Artabani filius. Quum autem ista Tiberius ad Vitellium scriberet, ingentis pecuniæ largitione Iberorum et Albanorum regibus persuadet, ut sine mora Artabano bellum inferrent. At illi quidem huic repugnabant, Scythas vero, data illis facultate per provincias suas itineris faciundi, Pylisque Caspiis patefactis, immiserunt in Artabanum. Quo facto et Armeniam denuo Parthi amiserunt, belloque per terram illorum pervadente, nobilissimi quique ejus gentis ceciderunt, regioque tota vastata erat, atque in his pugnis filius regis cecidit cum multis copiarum millibus. Porro in eo fere erat Vitellius ut patrem quidem illius Artabanum, pecuniam ad cognatos ejus et ami-

μάτων εἴς τε συγγενεῖς καὶ φίλους τοὺς ἐκείνου γενομένη, ἐμέλλησε μὲν κτιννύειν διὰ τῶν τὰ ὦρα εἰληφότων, αἰσθόμενος δὲ τὴν ἐπιβουλὴν ὁ Ἀρτάβανος ἄφυκτον οὖσαν, διὰ τὸ ὑπὸ πολλῶν καὶ τῶν πρώτων ἀνδρῶν συντεθεῖσαν μὴ ἀνεῖσθαι τοῦ ἐπὶ πέρας ἐλθεῖν, καὶ νομίζων καὶ ὁπόσον αὐτῷ καθαρῶς συνειστήκει, καὶ τόδε ἤτοι ἐῤῥωμένον ἐπὶ δόλῳ τὴν εὔνοιαν προσποιεῖσθαι, ἢ πείρας αὐτῷ γενομένης μετατάξεσθαι πρὸς τοὺς προαφεστηκότας, ἐπὶ τῶν ἄνω σατραπειῶν ἔσωζεν αὐτόν. Καὶ πολλὴν μετὰ ταῦτα στρατιὰν ἀθροίσας Δαῶν τε καὶ Σακῶν, καὶ πολεμήσας τοὺς ἀνθεστηκότας, κατέσχε τὴν ἀρχήν.

ε'. Ταῦτα ἀκούσας ὁ Τιβέριος ἠξίου φιλίαν αὐτῷ γενέσθαι πρὸς τὸν Ἀρτάβανον. Ἐπεὶ δὲ κἀκεῖνος προκληθεὶς, ἀσμένως ἐδέχετο τὸν περὶ αὐτοῦ λόγον, ἐπὶ τὸν Εὐφράτην παρῆσαν ὅ τε Ἀρτάβανος καὶ ὁ Οὐϊτέλλιος· καὶ ζεύξεως τοῦ ποταμοῦ γενομένης, κατὰ τὸ μεσαίτατον τῆς γεφύρας ἀλλήλους ὑπηντίαζον μετὰ φυλακῆς ἑκάτερος τῆς περὶ αὐτόν. Καὶ λόγων αὐτοῖς συμβατικῶν γενομένων, Ἡρῴδης ὁ τετράρχης εἱστίασεν αὐτοὺς, κατὰ μέσον τὸν πόρον σκηνίδα ἐπισκηψάμενος τῷ πόρῳ πολυτελῆ. Καὶ Ἀρτάβανος μετ' οὐ πολὺ πέμπει Τιβερίῳ ὅμηρον Δαρεῖον τὸν υἱὸν μετὰ πολλῶν δώρων, ἐν οἷς καὶ ἄνδρα ἑπτάπηχυν τὸ μέγεθος, Ἰουδαῖον τὸ γένος Ἐλεάζαρον ὄνομα, ὃς διὰ τὸ μέγεθος Γίγας ἐπεκαλεῖτο. Ἐπὶ τούτοις Οὐϊτέλλιος μὲν ἐπ' Ἀντιοχείας ἦει, Ἀρτάβανος δὲ ἐπὶ τῆς Βαβυλωνίας. Ἡρῴδης δὲ, βουλόμενος δι' αὐτοῦ πρώτου γενέσθαι πύστιν Καίσαρι τῶν ὁμήρων τῆς λήψεως, ἐκπέμπει γραμματοφόρους, τὰ πάντα ἀκριβῶς γράψας εἰς ἐπιστολὴν καὶ μηδὲν ὑπολειπόμενος ἐπὶ μηνύσει τῷ ὑπατικῷ. Πρὸς Οὐϊτελλίου δὲ ἐπιπεμφθεισῶν ἐπιστολῶν, καὶ τοῦ Καίσαρος ἐπισημήναντος πρὸς αὐτὸν ὡς δῆλα αὐτῷ γένοιτο πρότερον πύστιν περὶ αὐτῶν Ἡρῴδου προτεθεικότος, ταραχθεὶς ὁ Οὐϊτέλλιος μεγάλως, καὶ πεπονθέναι τι μειζόνως ἢ ἐπέπρακτο ὑπολαμβάνων, ἄδηλον τὴν ἐπ' αὐτοῖς ἐκρυπτεν ὀργὴν, μέχρι δὴ καὶ μετῆλθε, Γαΐου τὴν ἀρχὴν παρειληφότος.

ς'. Τότε δὲ καὶ Φίλιππος (Ἡρῴδου δὲ ἦν ἀδελφὸς) τελευτᾷ τὸν βίον, εἰκοστῷ μὲν ἐναυτῷ τῆς Τιβερίου ἀρχῆς, ἡγησάμενος δὲ αὐτὸς ἑπτὰ καὶ τριάκοντα τῆς Τραχωνίτιδος καὶ Γαυλανίτιδος καὶ τοῦ Βαταναίων ἔθνους πρὸς αὐτοῖς, μέτριον δὲ ἐν οἷς ἦρχε παρασχὼν τὸν τρόπον καὶ ἀπράγμονα. Δίαιταν μὲν γὰρ τὸ πᾶν ἐν τῇ ᾗ τῇ ὑποτελεῖ ἐποιεῖτο· πρόοδοι δ' ἦσαν αὐτῷ σὺν ὀλίγοις τῶν ἐπιλέκτων, καὶ τοῦ θρόνου εἰς ὃν κρίνειε καθιζόμενος ἐν ταῖς ὁδοῖς ἑπομένου, ὁπότε τις ὑπαντιάσας ἐν χρείᾳ γένοιτο αὐτῷ ἐπιβοηθεῖν, οὐδὲν εἰς ἀναβολὰς, ἀλλ' ἐκ τοῦ ὀξέος ἱδρύσεως τοῦ θρόνου ᾗ καὶ τύχοι γενόμενης, καθιζόμενος ἠκροᾶτο· καὶ τιμωρίας τε ἐπετίμα τοῖς ἁλοῦσι καὶ ἠφίει τοὺς ἀδίκως ἐγκλήμασι γενομένους. Τελευτᾷ δ' ἐν Ἰουλιάδι, καὶ αὐτοῦ κομισθέντος ἐπὶ τὸ μνημεῖον, ὃ ἔτι πρότερον ᾠκοδόμησεν αὐτὸς, ταφαὶ γίνονται πολυτελεῖς. Τὴν δ' ἀρχὴν (οὐ γὰρ κακος mittendo, perimeret ope illorum qui munera acceperant: ille vero quum intelligeret se insidias effugere non posse, quod necesse erat ut quæ a multis virisque primariis factæ essent ex illorum sententia succederent, quumque numerum iniret eorum qui sibi adhærere profiterentur, et cogitaret etiam plerosque ex illis *largitione* corruptos dolose simulare benevolentiam, aut si periculum eorum faceret ad eos qui prius desciverant transituros esse, incolumis evasit ad superiores satrapias. Ac postea ex Dahis et Sacis magno coacto exercitu, et debellatis inimicis, imperium occupabat.

5. Istis auditis Tiberius jussit ut Artabanus sibi amicitia adjungeretur. Postquam autem ille invitatus sermonem de se habitum lubenter accepit, ad Euphratem convenerunt rex et Vitellius; junctoque fluvio in medio ponte obviam inter se facti sunt, cum suis uterque satellitibus. Et quum de fœdere convenisset, Herodes tetrarcha convivio eos excepit, in medio ubi transiretur magnis sumptibus erecto tentorio. Et non multo post Artabanus misit Tiberio filium Darium obsidem cum multis muneribus: in quibus vir erat septem cubitorum proceritate, genere Judæus, Eleazarus nomine, qui ex magnitudine Gigas cognominatus est. Post hæc Vitellius Antiochiam reversus est, Artabanus in Babyloniam. Herodes autem, volens ut ipse primus Cæsari nunciaret de impetratis obsidibus, tabellarios mittit cum literis, in quibus singula accurate perscripserat, adeo ut nihil reliqui esset quod significaret legatus. Quo factum est ut, quum hic ipse etiam misisset literas, eique rescripsisset Cæsar, se omnia, ut qui ex Herode ea prius inaudivisset, jam ante rescivisse, Vitellius vehementer perturbatus, ratusque se graviorem quam re vera erat passum esse injuriam, iram in animo occultam gereret, usquedum vindictam sumeret, Caio imperium adepto.

6. Tunc etiam Philippus, qui Herodis frater erat, vita decessit, anno quidem Tiberii principatus vigesimo, postquam vero ipse præfuerat Trachonitidi et Gaulanitidi atque etiam Batanææ, anno trigesimo septimo, vir suapte natura moderatus erga subditos, quietique ingenii; nam omnem vitam in sua ditione agebat. Quoties autem domo progrederetur, cum paucis delectis incedebat, atque in solio sedens unde jus diceret, quod dum iter faceret subsequebatur, si quis obviam factus ejus ope et auxilio egeret, sine mora et dilatione qua occursus erat posito throno, in eo sedens causam cognoscebat; et sontes pœnis afficiebat, et iniquis criminibus irretitos solvebat. Diem obit supremum in Juliade, atque illatus in monumentum, quod jam ante sibi construxerat, magnifice sepultus est. Ejus autem princi-

τελείπετο παῖδας) Τιβέριος παραλαβὼν προσθήκην ἐπαρχίας ποιεῖται τῆς Σύρων· τοὺς μέντοι φόρους ἐκέλευσε συλλεγομένους ἐν τῇ τετραρχίᾳ ἐκείνου γενομένῃ κατατίθεσθαι.

ΚΕΦ. Ε'.

Ἐν τούτῳ δὲ στασιάζουσιν Ἀρέτας τε ὁ Πετραῖος βασιλεὺς καὶ Ἡρῴδης διὰ τοιαύτην αἰτίαν. Ἡρῴδης ὁ τετράρχης γαμεῖ τὴν Ἀρέτα θυγατέρα, καὶ συνῆν χρόνον ἤδη πολύν. Στελλόμενος δ' ἐπὶ Ῥώμης, κατάγεται ἐν Ἡρῴδου ἀδελφοῦ ὄντος οὐχ ὁμομητρίου· ἐκ γὰρ τῆς Σίμωνος τοῦ ἀρχιερέως θυγατρὸς Ἡρῴδης ἐγεγόνει. Ἐρασθεὶς δὲ Ἡρωδιάδος τῆς τούτου γυναικὸς, (θυγάτηρ δὲ ἦν Ἀριστοβούλου καὶ οὗτος ἀδελφὸς αὐτῶν, Ἀγρίππα δὲ ἀδελφὴ τοῦ μεγάλου,) τολμᾷ λόγων ἅπτεσθαι περὶ γάμων. Καὶ δεξαμένης, συνθῆκαι γίνονται μετοικιεῖσθαι πρὸς αὐτὸν ὁπότε ἀπὸ Ῥώμης παραγένοιτο· ἦν δὲ ἐν ταῖς συνθήκαις, ὥστε καὶ τοῦ Ἀρέτα τὴν θυγατέρα ἐκβαλεῖν. Καὶ ὁ μὲν εἰς τὴν Ῥώμην ἔπλει, ταῦτα συνθέμενος. Ἐπεὶ δὲ ἐπανεχώρει διαπραξάμενος ἐν τῇ Ῥώμῃ ἐφ' ἅπερ ἔσταλτο, ἡ γυνὴ, πύστεως αὐτῇ τῶν πρὸς τὴν Ἡρωδιάδα συνθηκῶν γενομένης, πρὶν ἔκπυστος αὐτῷ γενέσθαι τὰ πάντα ἐκμαθοῦσα, κελεύει πέμπειν αὐτὴν ἐπὶ Μαχαιροῦντος (μεθόριον δέ ἐστι τῆς τε Ἀρέτα καὶ Ἡρῴδου ἀρχῆς) γνώμην οὐκ ἐκφαίνουσα τὴν ἑαυτῆς. Καὶ Ἡρῴδης ἐξέπεμψε, μηδὲν ἠσθῆσθαι τὴν ἄνθρωπον προσδοκῶν. Ἡ δὲ (προαπεστάλκει γὰρ ἐκ πλείονος εἰς τὸν Μαχαιροῦντα, τότε πατρὶ αὐτῆς ὑποτελῆ) πάντων εἰς τὴν ὁδοιπορίαν ἡτοιμασμένων ὑπὸ τοῦ στρατηγοῦ, ἅμα τε παρῆν καὶ ἀφορμᾶται εἰς τὴν Ἀραβίαν κομιδῇ τῶν στρατηγῶν ἐκ διαδοχῆς, παρῆν τε ὡς τὸν πατέρα ἦ τάχος, καὶ αὐτῷ τὴν Ἡρῴδου διάνοιαν ἔφραζε. Ὁ δὲ ἀρχὴν ἔχθρας ταύτην ποιησάμενος, περί τε ὅρων ἐν τῇ γῇ τῇ Γαμαλίτιδι, καὶ δυνάμεως ἑκατέρῳ συλλεγείσης, εἰς πόλεμον καθίστανται, στρατηγοὺς ἀπεσταλκότες ἀνθ' ἑαυτῶν. Καὶ μάχης γενομένης, διεφθάρη πᾶς ὁ Ἡρῴδου στρατὸς, προδοσίας αὐτῷ γενομένης ὑπ' ἀνδρῶν φυγάδων, οἳ ὄντες ἐκ τῆς Φιλίππου τετραρχίας Ἡρῴδῃ συνεστράτευον. Ταῦτα Ἡρῴδης γράφει πρὸς Τιβέριον. Ὁ δὲ, ὀργῇ φέρων τὴν Ἀρέτα ἐπιχείρησιν, γράφει πρὸς Οὐϊτέλλιον πόλεμον ἐξενεγκεῖν, καὶ ἢτοι ζωὸν ἐλόντα ἀναγαγεῖν δεδεμένον, ἢ κτεινομένου πέμπειν τὴν κεφαλὴν ἐπ' αὐτόν. Καὶ Τιβέριος μὲν ταῦτα πράσσειν ἐπέστελλε τῷ κατὰ Συρίαν στρατηγῷ.

β'. Τισὶ δὲ τῶν Ἰουδαίων ἐδόκει ὀλωλέναι τὸν Ἡρῴδου στρατὸν ὑπὸ τοῦ Θεοῦ, καὶ μάλα δικαίως τιννυμένου κατὰ ποινὴν Ἰωάννου τοῦ ἐπικαλουμένου Βαπτιστοῦ. Κτείνει γὰρ τοῦτον Ἡρῴδης, ἀγαθὸν ἄνδρα, καὶ τοὺς Ἰουδαίους κελεύοντα, ἀρετὴν ἐπασκοῦντας καὶ τῇ πρὸς ἀλλήλους δικαιοσύνῃ καὶ πρὸς τὸν Θεὸν εὐσεβείᾳ χρωμένους, βαπτισμῷ συνιέναι· οὕτω γὰρ καὶ τὴν βάπτισιν ἀποδεκτὴν αὐτῷ φανεῖσθαι, μὴ ἐπί τινων ἁμαρτάδων παραιτήσει χρωμένων, ἀλλ' ἐφ'

patum (nam sine liberis decessit, quum sibi accepisset Tiberius, eum provinciæ Syriæ attribuit : tributa tamen quæ in tetrarchia illius colligerentur, jussit in eadem adservari.

CAP. V. (VII.)

Sub id autem tempus inter se dissidebant Aretas rex Petrææ et Herodes hujusmodi de causa. Herodes tetrarcha uxorem duxerat Aretæ filiam, et cum ea jam longiuscule vixerat. Quum autem Romam proficisceretur, divertit ad fratrem, non tamen ex eadem matre, Herodem : nam Herodes ex Simonis pontificis filia natus erat. Ac Herodiadis hujus uxoris amore captus, quæ filia erat Aristobuli, utriusque illorum fratris, Agrippæque magni soror, ausus est cum ea de nuptiis sermones serere. Cui quum non displiceret, convenit inter eos ipsam in ejus domum concessuram statim atque ipse Roma rediisset : insuper pactum erat ut Aretæ filiam ejiceret. Atque ille quidem Romam vehitur, postquam ista pepigerat. Ubi autem revertebatur, rebus Romæ perfectis, quarum gratia profectus est, uxor ejus, fama eorum quæ Herodiadi pactus fuerat ad ipsam perlata, antequam eam ille cuncta rescivisse intelligeret, mitti petiit Machæruntem, *castellum* in confinio ditionis Herodis et Aretæ situm, de suo consilio nihil indicans. Atque Herodes mittendam curavit, ne suspicans quidem mulieri quidquam innotuisse. Illa vero (nam aliquamdiu ante miserat Machæruntem, tunc in patris sui ditione et potestate) omnibus ad iter ineundum a præfecto paratis, eo pervenit, atque inde in Arabiam properat ab uno præfecto ad alium advecta, et quam celerrime ad patrem venit, ipsique Herodis voluntatem aperuit. Inde autem ab eo inimicitiarum facto initio, accedente de finibus agri Gamalitici contentione, postquam utrique erant copiæ conscriptæ, bellum inter eos conflatum est, qui vicem suam duces suos miserunt. Commissoque prœlio Herodes victus est et omnis ejus exercitus cæsus, quippe proditus a quibusdam profugis, qui quum essent ex Philippi tetrarchia, merebant Herodis stipendia. Hæc Herodes Tiberio per literas significat. Ille vero, indigne ferens id quod aggressus erat Aretas, scribit Vitellio ut ei bellum inferat, et aut vivum captum in vinculis adducat, aut occisi caput ad ipsum mittat. Atque Syriæ quidem prætori, ut ista ageret in mandatis dedit Tiberius.

2. Erant autem quidam ex Judæis qui existimarent Dei ira periisse exercitum Herodis, qui justas ob interfectum Joannem, cognomento Baptistam, pœnas dabat. Hunc enim Herodes necari jusserat, quum esset vir bonus, Judæosque ad virtutis studium excitaret, præcipiens ut juste quidem inter se, erga Deum autem pie agentes ad lavacrum accederent : Deo enim ita acceptum iri lavacrum, quum eo non ad expiationem criminum uterentur, sed ad corporis

ἁγνείᾳ τοῦ σώματος, ἅτε δὴ καὶ τῆς ψυχῆς δικαιοσύνῃ προεκκεκαθαρμένης. Καὶ τῶν ἄλλων συστρεφομένων (καὶ γὰρ ἥρθησαν ἐπὶ πλεῖστον τῇ ἀκράσει τῶν λόγων) δείσας Ἡρώδης τὸ ἐπὶ τοσόνδε πιθανὸν αὐτοῦ τοῖς ἀνθρώποις μὴ ἐπὶ ἀποστάσει τινὶ φέροι, (πάντα γὰρ ἐῴκεσαν συμβουλῇ τῇ ἐκείνου πράζοντες,) πολὺ κρεῖττον ἡγεῖται, πρίν τι νεώτερον ἐξ αὐτοῦ γενέσθαι, προλαβὼν ἀναιρεῖν, ἢ μεταβολῆς γενομένης εἰς τὰ πράγματα ἐμπεσὼν μετανοεῖν. Καὶ ὁ μὲν ὑποψίᾳ τῇ Ἡρώδου δέσμιος εἰς τὸν Μαχαιροῦντα πεμφθεὶς, τὸ προειρημένον φρούριον, ταύτῃ κτίννυται· τοῖς δὲ Ἰουδαίοις δόξαν ἐπὶ τιμωρίᾳ τῇ ἐκείνου τὸν ὄλεθρον ἐπὶ τῷ στρατεύματι γενέσθαι, τοῦ Θεοῦ κακῶς Ἡρώδῃ θέλοντος.

γ'. Οὐϊτέλλιος δὲ παρασκευασάμενος ὡς εἰς πόλεμον τὸν πρὸς Ἀρέταν δυσὶ τάγμασιν ὁπλιτῶν, ὅσοι τε περὶ αὐτὰ ψιλοὶ καὶ ἱππεῖς συμμαχοῦντες ἐκ τῶν ὑπὸ Ῥωμαίοις βασιλειῶν ἀγόμενος ἐπὶ τῆς Πέτρας ἠπείγετο, καὶ ἔσχε Πτολεμαΐδα. Ὡρμημένῳ δ' αὐτῷ διὰ τῆς Ἰουδαίων ἄγειν τὸν στρατὸν, ὑπαντιάσαντες ἄνδρες οἱ πρῶτοι παρῃτοῦντο τὴν διὰ τῆς χώρας ὁδόν· οὐ γὰρ αὐτοῖς εἶναι πάτριον περιορᾶν εἰκόνας εἰς αὐτὴν φερομένας, πολλὰς δ' εἶναι σημαίαις ἐπικειμένας. Καὶ πεισθεὶς μετέβαλέ τε τῆς γνώμης τὸ ἐπὶ τοιούτοις προβουλεῦσαν, καὶ διὰ τοῦ μεγάλου πεδίου κελεύσας χωρεῖν τὸ στρατόπεδον, αὐτός τε μετὰ Ἡρώδου τοῦ τετράρχου καὶ τῶν φίλων εἰς Ἱεροσόλυμα ἀνῄει, θύσων τῷ Θεῷ, ἑορτῆς πατρίου τοῖς Ἰουδαίοις ἐνεστηκυίας. Εἰς ἣν ἀπαντήσας καὶ δεχθεὶς ὑπὸ τοῦ τῶν Ἰουδαίων πλήθους ἐκπρεπῶς, τρεῖς μὲν ἡμέρας ταύτῃ διατριβὴν ποιεῖται, ἐν αἷς Ἰωνάθην τὴν ἀρχιερωσύνην ἀφελόμενος ἐγχειρίζει τῷ ἀδελφῷ αὐτοῦ Θεοφίλῳ, τῇ τετάρτῃ δὲ, γραμμάτων αὐτῷ παραγενομένων, ἃ ἐδήλου τὴν Τιβερίου τελευτὴν, ὥρκισε τὴν πληθὺν ἐπ' εὐνοίᾳ τῇ Γαΐου. Ἀνεκάλει δὲ καὶ τὸ στράτευμα ἐπὶ τὰ οἰκεῖα ἑκάστου χειμαδιοῦντος, πόλεμον ἐκφέρειν οὐκέθ' ὁμοίως δυνάμενος, διὰ τὸ εἰς Γάϊον μεταπεπτωκέναι τὰ πράγματα. Ἐλέγετο δὲ καὶ τὸν Ἀρέταν οἰωνοσκοπησάμενον πρὸς τὴν ἀγγελίαν τῆς Οὐϊτελλίου στρατείας φάναι μηχανὴν οὐκ εἶναι τῷ στρατῷ τῆς ἐπὶ Πέτρας εἰσόδου· τεθνήξεσθαι γὰρ τῶν ἡγεμόνων ἢ τὸν πολεμεῖν κελεύσαντα, ἢ τὸν γνώμῃ τῇ ἐκείνου ὡρμημένον διακονεῖσθαι, ἢ ἐφ' ὃν γένοιτο ἡ παρασκευὴ τοῦ στρατεύματος. Καὶ Οὐϊτέλλιος μὲν ἐπ' Ἀντιοχείας ἀνεχώρησεν· Ἀγρίππας δὲ ὁ Ἀριστοβούλου υἱὸς, ἐνιαυτῷ πρότερον ἢ τελευτῆσαι Τιβέριον, ἐπὶ Ῥώμης ἄνεισι πράξων τι παρὰ τῷ αὐτοκράτορι, δυνάμεώς τινος αὐτῷ παραγενομένης. Βούλομαι οὖν εἰπεῖν ἐπὶ μακρότερον περί τε Ἡρώδου καὶ γένους αὐτοῦ ὡς ἐγένετο, ἅμα μὲν καὶ διὰ τὸ ἀνήκειν τῇ ἱστορίᾳ τὸν περὶ αὐτῶν λόγον, ἅμα δὲ καὶ παράστασιν ἔχειν τοῦ θείου, ὡς οὐδὲν ὠφελεῖ πλῆθος οὐδ' ἄλλη τις ἀλκὴ τῶν ἐν ἀνθρώποις ἐπιτετηδευμένων, δίχα τῶν πρὸς τὸ θεῖον εὐσεβειῶν· εἴ γε ἐντὸς ἑκατὸν ἐτῶν ἐξόδου συνέβη πλὴν ὀλίγων, (πολλοὶ δ' ἦ-

munditiem, utpote mentibus jam ante per justitiam puriticatis. Quumque multi ad eum undique confluerent, (hujusmodi enim sermonibus mirum in modum elati erant,) Herodes veritus ne tanta hominis auctoritas subditos ad defectionem impelleret, (videbantur enim omnia de consilio ejus facturi esse,) satius esse duxit, priusquam novi aliquid ex illo oriretur, illum e medio tollere, quam ut mutatione rerum facta, ipse in discrimen adductus pœnitentiam ageret. Atque ille quidem ob hanc Herodis suspicionem in vincula conjectus, missusque ad castellum Machæruntem, cujus supra meminimus, ibidem cæsus est: Judæi vero persuasum habebant in ultionem necis ejus deletum esse exercitum, Deo propterea Herodi infenso.

3. Vitellius autem quum se accinxisset ad bellum Aretæ inferendum, assumptis duabus legionibus, et quotquot circa illas erant levis armaturæ milites equitesque a sociis regibus missos secum ducens, Petram versus properabat, et Ptolemaidem pervenit. Quumque vellet per Judæam cum exercitu transire, ei obviam facti viri primarii deprecabantur iter per regionem: neque enim sui moris esse pati simulacra per eam ferri, multa autem esse insignis. Atque ille exoratus et mutavit quam sibi istiusmodi de rebus proposuit sententiam, quumque per magnam planitiem copias ire jussisset, et ipse cum Herode tetrarcha atque amicis ascendit Hierosolyma, Deo, in festo Judæis patrio quod instabat, sacrificaturus. Quo tempore quum adfuisset, et honorifice ab Judæorum populo exciperetur, illic quidem triduum mansit, atque interim Jonatham pontificatu abdicavit, et fratrem ejus Theophilum in eo collocavit: illic vero, quarto postquam venerat die, quum literas, quæ Tiberii obitum significarent, accepisset, populum juramento adegit ut Caio faverent. Etiam milites ex itinere revocatos in sua quemque hiberna dimisit, quod non amplius ei eadem ac antea belli gerendi potestas esset, rerum summa ad Caium delata. Fertur etiam Aretam, augurio acto quum primum expeditionis Vitellii nuncium acceperit, dixisse fieri non posse ut iste exercitus Petram adiret; brevi enim moriturum esse ducem, vel qui belligerare jussisset, vel qui illius consilio morem gerere properaret, vel eum contra quem paratus esset exercitus. Et Vitellius quidem Antiochiam se recepit. Agrippa autem Aristobuli filius, anno antequam Tiberius moreretur, Romam proficiscitur, de re quadam cum Imperatore transacturus, simulac potestas primum ei data esset. Volo itaque fusius aliquanto et uberius agere de Herode, deque illius satu ortis et eorum rebus, et quia magni refert ad historiam illos percensere, argumentoque est numen esse, quod nihil prosit numerosa soboles, neque ulla potentia quæ in hominibus dominatur, sine pietate erga Deum, si quidem intra centum annos contigerit ut Herodis posteri, qui sane per-

σαν) διαφθαρῆναι τοὺς Ἡρώδου ἀπογόνους. Φέροι δ' ἄν τι καὶ σωφρονισμῷ τοῦ ἀνθρωπείου γένους τὸ τὴν δυστυχίαν αὐτῶν μαθεῖν· ἅμα δὲ καὶ τὸν Ἀγρίππαν διηγήσασθαι θαύματος ἀξιώτατον γεγενημένον, ὃς ἐκ πάνυ ἰδιώτου, καὶ παρὰ πᾶσαν δόξαν τῶν εἰδότων, αὐτὸν, ἐπὶ τοσόνδε ηὐξήθη δυνάμεως. Εἴρηται μὲν οὖν καὶ πρότερον περὶ αὐτῶν, λεχθήσεται δέ μοι καὶ νῦν ἀκριβῶς.

δ'. Ἡρώδῃ τῷ μεγάλῳ θυγατέρες ἐκ Μαριάμμης, τῆς Ὑρκανοῦ θυγατρὸς, γίνονται δύο· Σαλαμψὼ μὲν ἡ ἑτέρα, ἣ γαμεῖται Φασαήλῳ τῷ αὐτῆς ἀνεψιῷ, Φασαήλου παιδὶ ὄντι τοῦ Φασαήλου ἀδελφοῦ Ἡρώδου, δεδωκότος αὐτὴν τοῦ πατρός· Κύπρος δὲ Ἀντιπάτρῳ καὶ αὐτὴ ἀνεψιῷ, παιδὶ τῆς ἀδελφῆς Ἡρώδου Σαλώμης. Καὶ Φασαήλῳ μὲν ἐκ Σαλαμψιοῦς γίνονται πέντε παῖδες, Ἀντίπατρος, Ἡρώδης, Ἀλέξανδρος, θυγατέρες δὲ Ἀλεξάνδρα καὶ Κύπρος, ἣν Ἀγρίππας γαμεῖ ὁ Ἀριστοβούλου. Ἀλεξάνδραν δὲ γαμεῖ μὲν Τίμιος Κύπριος, ἀνὴρ τῶν ἀξιολόγων, παρ' ᾧ δὴ καὶ ἄτεκνος τελευτᾷ· Κύπρῳ δ' ἐξ Ἀγρίππα μὲν ἄρσενες γίνονται δύο, θυγατέρες δὲ τρεῖς, Βερενίκη, Μαριάμμη, Δρούσιλλα· Ἀγρίππας δὲ καὶ Δροῦσος τοῖς ἄρσεσιν ὀνόματα, ὧν ὁ Δροῦσος πρὶν ἡβῆσαι τελευτᾷ. Ὁ δὲ πατὴρ τούτων Ἀγρίππας ἐτρέφετο μετὰ καὶ ἑτέρων ἀδελφῶν, Ἡρώδου τε καὶ Ἀριστοβούλου. Ἐκ Βερενίκης καὶ οἵδε παῖδες τοῦ υἱέως Ἡρώδου τοῦ μεγάλου· ἡ δὲ Βερενίκη Κοστοβάρου καὶ Σαλώμης παῖς τῆς Ἡρώδου ἀδελφῆς. Τούτους Ἀριστόβουλος νηπίους θνήσκει λιπὼν ὑπὸ τοῦ πατρὸς σὺν Ἀλεξάνδρῳ τῷ ἀδελφῷ, καθάπερ εἰρήκαμεν. Ἡβήσαντες δ' ἄγονται Ἡρώδης μὲν οὗτος, ὁ τοῦ Ἀγρίππα ἀδελφὸς, Μαριάμμην θυγατέρα Ὀλυμπιάδος τῆς Ἡρώδου τοῦ βασιλέως θυγατρὸς, καὶ Ἰωσήπου τοῦ Ἰωσήπου παιδὸς, ἀδελφὸς δ' οὗτος τοῦ βασιλέως Ἡρώδου· ἴσχει δ' ἐξ αὐτῆς υἱὸν Ἀριστόβουλον. Ὁ δὲ τρίτος τοῦ Ἀγρίππα ἀδελφὸς Ἀριστόβουλος γαμεῖ Ἰωτάπην Σαμψιγεράμου θυγατέρα τοῦ Ἐμεσῶν βασιλέως· θυγάτηρ δὲ αὐτοῖς γίνεται κωφὴ, ὄνομα καὶ τῇδε Ἰωτάπη. Καὶ τάδε μὲν τῶν ἀρσένων τέκνα. Ἡρωδιὰς δὲ αὐτῶν ἡ ἀδελφὴ γαμεῖται Ἡρώδῃ Ἡρώδου τοῦ μεγάλου παιδὶ, ὃς γέγονεν ἐκ Μαριάμμης τῆς τοῦ Σίμωνος τοῦ ἀρχιερέως, καὶ αὐτοῖς Σαλώμη γίνεται, μεθ' ἧς τὰς γονὰς Ἡρωδιὰς, ἐπὶ συγχύσει φρονήσασα τῶν πατρίων, Ἡρώδῃ γαμεῖται τοῦ ἀνδρὸς τῷ ὁμοπατρίῳ ἀδελφῷ, διαστᾶσα ζῶντος· τὴν δὲ Γαλιλαίων τετραρχίαν εἶχεν οὗτος. Ἡ δὲ θυγάτηρ αὐτῆς Σαλώμη Φιλίππῳ γαμεῖται, Ἡρώδου παιδὶ τῷ τετράρχῃ τῆς Τραχωνίτιδος. Καὶ ἄπαιδος τελευτήσαντος, Ἀριστόβουλος αὐτὴν ἄγεται, Ἡρώδου παῖς τοῦ Ἀγρίππα ἀδελφοῦ. Παῖδες δὲ ἐγένοντο αὐτοῖς τρεῖς, Ἡρώδης, Ἀγρίππας, Ἀριστόβουλος. Τοῦτο μὲν δὴ τὸ Φασαήλου καὶ Σαλαμψιοῦς ἐστι γένος. Κύπρῳ δ' ἐξ Ἀντιπάτρου θυγάτηρ γίνεται Κύπρος, καὶ αὐτὴν Ἀλεξᾶς ὁ Ἐλκίας γαμεῖ τοῦ Ἀλεξᾶ· καὶ αὐτοῖς θυγάτηρ ἦν Κύπρος. Ἡρώδης δὲ καὶ Ἀλέξανδρος, οὓς ἀδελφοὺς ἔφην Ἀντιπάτρου, ἄτεκνοι τελευτῶσιν. Ἀλεξάνδρῳ δὲ τῷ Ἡρώ-

multi erant, ferè omnes interierint. Accedit quod humano generi documento esse possit illorum perspectam habere infelicitatem, præsertim ubi de Agrippa narrationem fecero, viro admiratione dignissimo, qui ex vita privata et præter omnium quibus notus erat exspectationem ad tantæ potestatis fastigium provectus erat. Illorum quidem jam antea mentionem feci, nunc vero de illis agam accurate.

4. Herodi Magno ex Mariamne Hyrcani filia natæ sunt duæ filiæ, altera quidem Salampsio, quæ nupsit Phasaelo consobrino suo, Phasaeli filio fratris Herodis, dante illam patre : Cypros vero *altera* Antipatro et ipsa nupsit consobrino, Herodis nepoti ex sorore Salome. Et Phasselus ex Salampsione genuit quinque liberos, Antipatrum, Herodem, Alexandrum, et filias Alexandram ac Cypron, quæ nupsit Agrippæ Aristobuli filio. Alexandram vero duxit quidem Timius Cyprius, vir nobilis, cujus in matrimonio sine liberis defuncta est : Cypros vero Agrippæ duos filios peperit, et tres filias, Berenicen, Mariamnen, Drusillam; filii autem Agrippa et Drusus dicti sunt, quorum Drusus ante quam pubesceret diem obit. Horum autem pater Agrippa cum aliis etiam fratribus educabatur, Herode et Aristobulo. Isti quoque filii erant *Aristobuli* filii Herodis Magni ex Berenice : Berenice vero Costobari et Salomes sororis Herodis filia erat. Hos Aristobulus infantulos reliquit, a patre cum Alexandro fratre occisus, quemadmodum diximus. Postquam autem ex ephebis excesserant, uxores ducunt, Herodes hic, Agrippæ frater, Mariamnen filiam Olympiadis Herodis regis filiæ et Josephi, filii Josephi, qui Herodis regis frater erat : et ex ea suscepit filium Aristobulum. Tertius autem Agrippæ frater Aristobulus ducit Iotapen Sampsigerami Emesorum regis filiam, et ipsis nata est filia surda, cui et ipsi nomen Iotape. Et a maribus quidem hæc soboles erat. Herodias vero soror eorum nupsit Herodi Herodis Magni filio, quem sustulit ex Mariamne Simonis pontificis filia ; illisque genita est Salome, cujus post nativitatem Herodias, ut quæ in animum induxerat leges patrias violare, Herodi nupsit, viri sui, a quo vivo discessit, ex eodem patre fratri : hic autem Galilææ tetrarchiam habebat. Ejus vero filia Salome nupta erat Philippo Herodis filio, tetrarchiam habenti Trachonitidis. Eoque sine liberis defuncto duxit eam Aristobulus filius Herodis, fratris Agrippæ : ei autem nati sunt filii tres, Herodes, Agrippa, Aristobulus. Et hæc quidem est Phasaeli et Salampsionis progenies. Cypros autem Antipatro filiam Cypron peperit; ipsamque duxit Alexas Helcias, Alexæ filius : atque illis filia erat Cypros. Sed Herodes et Alexander, quos Antipatri fratres fuisse dixi, sine prole decesserunt. Ceterum Alexander Herodis regis filius,

δου παιδὶ τοῦ βασιλέως, τῷ ὑπὸ τοῦ πατρὸς ἀνῃρημένῳ, Ἀλέξανδρος καὶ Τιγράνης ἐγεγόνεισαν υἱεῖς ἐκ τῆς Ἀρχελάου τοῦ Καππαδόκων βασιλέως θυγατρός. Καὶ Τιγράνης μὲν βασιλεύων Ἀρμενίας, κατηγοριῶν αὐτοῦ ἐπὶ Ῥώμης γενομένων, ἄπαις τελευτᾷ. Ἀλεξάνδρῳ δὲ Τιγράνης ὁμώνυμος τῷ ἀδελφῷ γίνεται παῖς, καὶ βασιλεὺς Ἀρμενίας ὑπὸ Νέρωνος ἐκπέμπεται· υἱός τε Ἀλέξανδρος αὐτῷ γίνεται. Γαμεῖ δ' οὗτος Ἀντιόχου τοῦ Κομμαγηνῶν βασιλέως θυγατέρα Ἰωτάπην· νησῖδός τε τῆς ἐν Κιλικίᾳ Οὐεσπασιανὸς αὐτὸν ἵσταται βασιλέα. Καὶ τὸ μὲν Ἀλεξάνδρου γένος, εὐθὺς ἅμα τῷ φυῆναι, τὴν θεραπείαν ἐξέλιπε τῶν Ἰουδαίοις ἐπιχωρίων, μεταταξάμενοι πρὸς τὰ Ἕλλησι πάτρια. Ταῖς δὲ λοιπαῖς θυγατράσιν Ἡρώδου τοῦ βασιλέως ἀτέκνοις τελευτᾶν συνέπεσεν. Τῶν δὲ γενομένων Ἡρώδου ἀπογόνων οὓς κατελέξαμεν ὄντων, ἐν ᾧ χρόνῳ Ἀγρίππας ὁ μέγας τὴν βασιλείαν παρέλαβε, τούτων τέ μοι τοῦ γένους προδεδηλωμένου, διέξειμι λοιπὸν ὁπόσαι τε Ἀγρίππᾳ τύχαι συνέλθοειν, ὥστε αὐτῶν διάδρασιν ποιησάμενος ἐπὶ μέγιστον ἀξιώματός τε ἅμα προκόψειε καὶ δυνάμεως.

ΚΕΦ. Ϛ'.

Ἡρώδου τοῦ βασιλέως ὀλίγον πρὸ τῆς τελευτῆς Ἀγρίππας ἐν τῇ Ῥώμῃ διαιτώμενος, καὶ ὁμοτροφίας καὶ συνηθείας αὐτῷ πολλῆς γενομένης πρὸς Δροῦσον τὸν Τιβερίου τοῦ αὐτοκράτορος υἱόν, καὶ Ἀντωνίᾳ, τῇ Δρούσου τοῦ μεγάλου γυναικί, εἰς φιλίαν ἀφίκετο, Βερενίκης τῆς μητρὸς τιμωμένης παρ' αὐτῆς καὶ προαγαγεῖν ἠξιωκυίας τὸν υἱόν. Φύσει δὲ μέγας ὢν Ἀγρίππας καὶ δωρεῖσθαι πολυτελής, ζώσης μὲν τῆς μητρὸς, οὐκ ἐξέφαινε τῆς ψυχῆς τὸ θέλον, διαδιδράσκειν αὐτῆς ἠξιωκὼς τὴν ἐπὶ τοιούτοις γενομένην ὀργήν· ἐπεὶ δ' ἡ Βερενίκη τελευτᾷ, γενόμενος ἐπὶ τῷ αὐτοῦ τρόπῳ, τὰ μὲν εἰς πολυτέλειαν τῆς καθ' ἡμέραν διαίτης, τὰ δὲ εἰς τὸ μὴ μέτρῳ τῶν δωρεῶν προϊέμενον ἀνάλωσε τῶν χρημάτων, τὰ πλεῖστα δ' εἰς τοὺς Καίσαρος ἀπελευθέρους ἐτετέλεστο, ἐλπίδι πράξεως τῆς αὐτῶν. Πενία τε ἐν ὀλίγῳ περὶ αὐτὸν ἦν, καὶ τοῦτ' ἦν κώλυμα τῆς ἐν Ῥώμῃ διαίτης. Καὶ ὁ Τιβέριος τοῖς φίλοις τοῦ υἱέως τετελευτηκότος ἀπειπὼν φοιτᾶν εἰς ὄψιν αὐτῷ, διὰ τὸ ἀνερεθίζεσθαι πρὸς τὸ λυπεῖσθαι μνημονεύων τοῦ παιδὸς θεωρίᾳ τῇ ἐκείνων.

β'. Διὰ μὲν δὴ ταῦτα ἐπὶ τῆς Ἰουδαίας πλέων ᾤχετο κακοπραγῶν, καὶ τεταπεινωμένος ὀλέθρῳ τε ὧν εἶχε χρημάτων καὶ ἀπορίᾳ τοῦ ἐκτίσοντος τὰ χρέα τοῖς δανεισταῖς, πολλοῖς τε οὖσι καὶ ἐλεωρὴν οὐδ' ἠντιναοῦν ἐνδιδοῦσιν· ὥστε ἀπορίᾳ τῶν ποιητέων καὶ αἰσχύνῃ τῇ ἐπ' αὐτοῖς ὑποχωρήσας εἴς τινα πύργον ἐν Μαλάθοις τῆς Ἰδουμαίας ἐν περινοίᾳ τοῦ μεταστήσοντος αὐτὸν ἦν. Αἰσθάνεται δ' αὐτοῦ τὴν διάνοιαν Κύπρος ἡ γυνή, παντοία τε ἦν ἀπείργουσα τῶν ἐπὶ τοιούτοις βουλευμάτων. Διαπέμπεται δὲ καὶ ὡς τὴν ἀδελφὴν αὐτοῦ Ἡρωδιάδα, Ἡρώδῃ τῷ τετράρχῃ συνοικοῦ-

qui a patre fuerat interemptus, Alexandrum et Tigranen filios suscepit ex filia Archelai Cappadocum regis. Et Tigranes quidem Armeniæ rex, dum Romæ accusationem subiret, sine liberis obiit. Alexandro autem Tigranes fratri cognominis nascitur filius, qui a Nerone ad regnandum in Armenia mittitur: atque Alexandrum filium genuit. Ille vero Iotapen duxit, Antiochi Commagenorum regis filiam: et insulæ in Cilicia rex a Vespasiano factus est. Et Alexandri quidem soboles fere ab utero desernit patria Judæorum instituta, ad ritus transiens moresque Gentilium. Ceteris vero Herodis filiabus contigit ut sine prole decederent. Quum autem Herodis posteri, quos percensuimus, e medio non sublati fuerint, eo tempore quo Agrippa Magnus imperium adeptus est, quumque horum genus jam ante declaraverim, superest ut narrem quos in casus fortuna Agrippam demiserit, utque ex iis evaserit et ad maximam dignitatem et potentiam pervenerit.

CAP. VI. (VIII.)

Paulo ante Herodis regis obitum Agrippa Romæ degens, atque convictore quotidiano et familiari usus Druso, Tiberii imperatoris filio, nactus est etiam Antoniæ, Drusi majoris conjugis, amicitiam, utpote quæ Berenicen matrem in honore habuerit, filiumque dignitate augere voluerit. Quumque Agrippa natura esset magnanimus et munificus, quam diu mater vixerit, voluntatem suam occultabat et dissimulabat, quod noluerit ut mater sibi hujusmodi de causa irasceretur: postquam vero decessit Berenice, quum jam sui esset arbitrii, facultates partim luxuriose vivendo quotidie prodegit, partim immodica largitione profudit, maximos vero in libertos Cæsaris fecerat sumptus, sperans fore ut eorum opera adjuvaretur. Brevique ad inopiam redactus est, adeo ut non potuerit diutius Romæ commorari. Accessit quod Tiberius filii sui non ita pridem defuncti amicis interdixerat ne in conspectum suum venirent, ne ex illis visis renovata filii memoria luctus suus redintegraretur.

2. His itaque de causis conscensa navi in Judæam profectus est, male se habens, animoque dejectus et quod omnem suam pecuniam absumpserat, et nihil ei supererat unde solveret quod creditoribus debebat, qui et multi erant et motus ejus omnes observabant ne qua effugeret. Eo igitur redactus ut quid ageret nesciret, factorumque eum valde puderet, secessit in castellum quoddam apud Malatha Idumææ, et de manibus sibi afferendis cogitabat. Subolet autem hoc Cypro uxori quod ille in animo agitabat, atque modis omnibus agebat ut eum ab hujusmodi consilio depelleret: ad sororemque ejus Herodiadem scripsit, Herodi

σαν, γράμματα, δηλοῦσα τό τε ἐπὶ τοῖς τοιούτοις τοῦ Ἀγρίππα προβουλεῦσαν καὶ τὴν ἀνάγκην ἢ ἐπ' αὐτὰ ἐξῆγεν, ἐκέλευέ τε συγγενῆ οὖσαν βοηθεῖν, καὶ τὸν ἄνδρα πρὸς τοῦτο παρασκευάζειν, θεωροῦσαν ὡς αὐτὴ παντοίως κουφίζοι τὸν ἄνδρα, καὶ ταῦτα οὐκ ἐξ ὁμοίων ἀφορμῶν. Οἱ δὲ μεταπέμψαντες αὐτὸν οἰκητήριον ἀπέδειξαν Τιβεριάδα καί τι καὶ ἀργύριον ὥρισαν εἰς τὴν δίαιταν, ἀγορανομία τε τῆς Τιβεριάδος ἐτίμησαν. Οὐ μὴν ἐπὶ πλεῖόν γε Ἡρώδης ἐνέμεινε τοῖς δεδογμένοις, καίτοι γε οὐδ' ὡς ἀρκοῦντα ἦν. Ἐν γὰρ Τύρῳ παρὰ συνουσίαν ὑπὸ οἴνου γενομένων αὐτοῖς λοιδοριῶν, ἀνεκτὸν οὐχ ἡγησάμενος Ἀγρίππας, τοῦ Ἡρώδου τε ἐπονειδίσαντος εἰς ἀπορίαν καὶ τροφῆς ἀναγκαίας μετάδοσιν, ὡς Φλάκκον τὸν ὑπατικὸν εἴσεισι, φίλον ἐπὶ Ῥώμης τὰ μάλιστα αὐτῷ γεγονότα πρότερον, Συρίαν δὲ ἐν τῷ τότε διεῖπεν.

γ'. Καὶ δεξαμένου Φλάκκου παρὰ τούτῳ διῆγεν, παρακατεσχηκότος αὐτοῦ ἐκεῖ καὶ Ἀριστόβουλον, ὃς ἀδελφὸς ὢν Ἀγρίππα διάφορός τε ἦν· οὐ μὴν ἐβλάπτοντο ἔχθρᾳ τῇ ἀλλήλων, ὥστε μὴ φιλίᾳ τοῦ ὑπατικοῦ τὰ εἰκότα τιμὴν φέρεσθαι. Οὐ μὴν ὅ γε Ἀριστόβουλος ἀνίει τι τοῦ πρὸς τὸν Ἀγρίππαν δυσμενοῦς, μέχρι καὶ εἰς ἔχθραν αὐτὸν Φλάκκῳ καθίστησιν, αἰτίαν τοιαύτην ἐπὶ τῇ δυσμενείᾳ παραλαβών. Δαμασκηνοὶ Σιδωνίοις περὶ ὅρων διάφοροι καθεστῶτες, μέλλοντος Φλάκκου περὶ τούτων ἀκροᾶσθαι, μαθόντες τὸν Ἀγρίππαν ὡς παρ' αὐτῷ μέγα δύναιτο, ἠξίουν μερίδος τῆς αὐτῶν γενέσθαι, ἀργύριόν τε πλεῖστον ὡμολόγητο αὐτῷ. Καὶ ὁ μὲν πάντα ἐπὶ τῇ βοηθείᾳ τῶν Δαμασκηνῶν ὥρμητο πράσσειν· Ἀριστόβουλος δὲ (οὐ γὰρ ἐλάνθανεν αὐτὸν ἡ ὁμολογία τῶν χρημάτων) καταγορεύει πρὸς τὸν Φλάκκον. Καὶ βασανιζομένου τοῦ πράγματος ἐπεὶ φανερὰ ἦν, ἐξωθεῖ τὸν Ἀγρίππαν φιλίας τῆς πρὸς αὐτόν. Ὁ δὲ εἰς ὑστάτην ἀπορίαν περιωσμένος εἰς Πτολεμαΐδα παρῆν, καὶ κατὰ τὸ ἄπορον τῆς ἀλλαχόθεν διαίτης γνώμην ἐποιεῖτο ἐπὶ τῆς Ἰταλίας πλεῖν. Εἰργόμενος δὲ χρημάτων ἀπορίᾳ ἠξίου Μαρσύαν, ὄντα αὐτοῦ ἀπελεύθερον, ποριστὴν γενέσθαι τῶν ἐπὶ τοιούτοις μηχανῶν, δανεισάμενον παρά τινων. Καὶ ὁ Μαρσύας Πέτρον κελεύει, Βερενίκης ὄντα ἀπελεύθερον τῆς Ἀγρίππα μητρὸς, διαθήκης δὲ τῆς ἐκείνου δικαίως ὑποτελοῦντα τῆς Ἀντωνίας, αὐτῷ γοῦν παρασχεῖν ἐπὶ γράμματι καὶ πίστει τῇ αὐτοῦ. Ὁ δὲ (ἐπεκάλει γὰρ τῷ Ἀγρίππᾳ χρημάτων τινῶν ἀποστέρησιν) ἀναγκάζει τὸν Μαρσύαν δύο μυριάδων Ἀτθίδων συμβόλαιον ποιησάμενον πεντακοσίαις καὶ δισχιλίαις ἐλάσσονα λαμβάνειν. Συνεχώρει δὲ ἐκεῖνος κατὰ τὸ μὴ εἶναι ἄλλως ποιεῖν. Εἰλημμένου δὲ τοῦ χρήματος τούτου, Ἀγρίππας εἰς Ἀνθηδόνα παραγενόμενος καὶ λαβὼν ναῦν ἐν ἀναγωγαῖς ἦν. Καὶ γνοὺς Ἑρέννιος Καπίτων ὁ τῆς Ἰαμνείας ἐπίτροπος, πέμπει στρατιώτας, οἳ εἰσπράξονται αὐτὸν ἀργυρίου τριάκοντα μυριάδας θησαυρῷ τῷ Καίσαρος ὀφειλομένας ἐπὶ Ῥώμης ὑπ' αὐτοῦ, ἀνάγκας τε ἐπετίθεσαν τοῦ μετατετραρχαι nuptam, significans et quid rebus ita se habentibus Agrippa decreverit, et qua necessitate adactus eo devenerit; hortataque est eam ut pro jure cognationis afferret auxilium, maritumque ad idem faciendum perduceret, præsertim quum cerneret ipsam omnes vias persequi quibus virum sublevaret, idque quum opibus non adeo abundaret. Accersitus igitur a sorore ejusque marito, jussus est habitare Tiberiade, assignata certa pecunia ut de victu caveretur, datoque ei in cumulum ædilitatis istius loci honore. Non tamen diu Herodes *in ea voluntate perstitit, quamvis ne* sic quidem satisfieret *Agrippæ* necessitatibus. Quum enim apud Tyrum convivium agerent, interque bibendum convicia jacerentur, atque Herodes inopiam Agrippæ exprobrasset, quodque necessarium victum ei suppeditaret, ille hoc nullo modo ferendum esse ratus, ad Flaccum virum consularem se contulit, qui tunc Syriam administrabat, cum quo ipsi Romæ jam ante magna intercesserat amicitia.

3. A Flacco *autem benigne exceptus*, apud *eum* vitam agebat, ibi quoque secum Aristobulum habentem, fratrem quidem Agrippæ, ab ipso vero dissentientem : non impediit tamen hæc simultas quominus uterque viri consularis uteretur amicitia, eundemque ut par erat honorem ab eo referret. At vero Aristobulus nihil de suo in Agrippam odio remittebat, nec quiescebat donec Flaccum ei infensum reddidisset, faciens ut ex hujusmodi causa offensionem exciperet. Damasceni, orta cum Sidoniis de finibus controversia, quum litem dijudicaturus esset Flaccus, cognito quod Agrippa multum apud eum valeret, rogaverunt ut adesset ipsorum partibus, magnam *ei pecuniæ vim polliciti*. Et ille quidem omnia studiose agebat ut Damascenis auxilium ferret : Aristobulus autem (nam ipsum non latebat pactum de pecunia) *fratrem* apud Flaccum detulit. Quod quum facta inquisitione ille ita esse deprehenderet, ab amicitia sua Agrippam repulit. Is vero in extremam egestatem relapsus venit Ptolemaidem, et, quod nusquam alibi haberet unde viveret, in Italiam navigare decrevit. Quum autem ipsum inhiberet pecuniarum inopia, jussit Marsyam libertum *suum* ut, *omni arte in hujusmodi necessitate* adhibita, mutuam alicunde pecuniam sumeret. Atque Marsyas adit Petrum, Berenices Agrippæ matris libertum, ejus vero testamenti jure Antoniæ ditionis factum, eumque hortatur ut pecuniam Agrippæ syngrapha fideque accepta daret mutuam. At ille (nam Agrippam pecuniæ, quam retinuerat, insimulabat) Marsyam compellit syngraphamdare de viginti millibus drachmarum Atticarum, *quum bis* mille et quingentis minus accepisset. Id quod ille fecit, ut *qui* ita facere *necesse* haberet. Accepta itaque pecunia, quum ad Anthedonem pervenisset, navemque nactus esset, in eo erat ut solveret. Quod ubi comperit Herennius Capito procurator Jamniæ, misit milites exacturos argenti trecenta millia, quæ Cæsaris filio a b eo debebantur dum Romæ ageret; a quibus illic manere coactus est. Et tunc

νοῦντος. Καὶ τότε μὲν πείθεσθαι τοῖς κεκελευσμένοις προσποιητὸς ἦν, νυκτὸς δὲ ἐπιγενομένης κώπας τὰ ἀπόγεια ὤχετο ἐπ' Ἀλεξανδρείας πλέων. Ἔνθα Ἀλεξάνδρου δεῖται τοῦ Ἀλαβάρχου μυριάδας εἴκοσι δάνεια αὐτῷ δοῦναι. Ὁ δὲ ἐκείνῳ μὲν οὐκ ἂν ἔφη παρασχεῖν, Κύπρῳ δὲ οὐκ ἠρνεῖτο, τήν τε φιλανδρίαν αὐτῆς καταπεπληγμένος καὶ τὴν λοιπὴν ἅπασαν ἀρετήν. Ἡ δὲ ὑπισχνεῖτο, καὶ ὁ Ἀλέξανδρος, πέντε τάλαντα αὐτοῖς ἐν τῇ Ἀλεξανδρείᾳ δοὺς, τὸ λοιπὸν ἐν Δικαιαρχείᾳ γενομένῳ παρέξειν ἐπαγγέλλεται, δεδιὼς τοῦ Ἀγρίππα τὸ εἰς τὰ ἀναλώματα ἕτοιμον. Καὶ Κύπρος μὲν, ἀπαλλάξασα τὸν ἄνδρα ἐπὶ τῆς Ἰταλίας πλευσούμενον, αὐτὴ μετὰ τῶν τέκνων ἐπὶ Ἰουδαίας ἀνέζευξεν.

δ'. Ἀγρίππας δὲ εἰς Ποτιόλους παραβαλὼν ἐπιστολὴν ὡς Τιβέριον Καίσαρα γράφει διαιτώμενον ἐν Καπρέαις, παρουσίαν τε τὴν αὐτοῦ δηλῶν ἐπὶ θεραπείᾳ καὶ ὄψει τῇ ἐκείνου, καὶ ἀξιῶν ἔφεσιν αὐτῷ γενέσθαι εἰς Καπρέας παραβαλεῖν. Τιβέριος δὲ οὐδὲν ἐνδοιάσας τά τε ἄλλα αὐτῷ γράφει φιλανθρωπίᾳ χρώμενος, ἔτι καὶ χαίρειν ἀποσημαίνων ἐπὶ τῷ σῶον ἐπανήκειν εἰς τὰς Καπρέας. Ἐπεὶ δὲ ἀφικνεῖται, μηδὲν ὑφελὼν τοῦ ἐν τοῖς γράμμασι προθύμου, ἡσπάζετό τε καὶ ἐξένιζε. Τῇ δ' ἑξῆς Καῖσαρ, γραμμάτων αὐτῷ παρὰ Ἐρεννίου Καπίτωνος ἀφικομένων, ὅτι Ἀγρίππας μυριάδας τριάκοντα δάνεισμα ποιησάμενος καὶ πρὸς τὰς καταβολὰς ἐκλιπὼν χρόνον τὸν συγκείμενον, ἀπαιτήσεως γενομένης, οἴχοιτο φυγὰς ἐκ τῶν ὑπ' αὐτῷ χωρίων, ἄκυρον αὐτὸν καθιστὰς τῆς ἐπὶ τῶν εἰσπραξαμένων ἐξουσίας· ταύτην ἀναγνοὺς τὴν ἐπιστολὴν περιαλγεῖ τε ὁ Καῖσαρ καὶ διάκλεισιν γενέσθαι τῷ Ἀγρίππᾳ κελεύει εἰσόδων τῶν πρὸς αὐτὸν, ἄχρι δὴ καταβάλοι τὸ χρέος. Ὁ δὲ, μηδὲν τῇ ὀργῇ τοῦ Καίσαρος καταπλαγείς, Ἀντωνίας δεῖται, Γερμανικοῦ τε μητρὸς καὶ Κλαυδίου τοῦ ὕστερον γενομένου Καίσαρος, δάνεισμα αὐτῷ δοθῆναι τῶν τριάκοντα μυριάδων, ἵνα φιλίας μὴ ἁμάρτοι τῆς πρὸς Τιβέριον. Ἡ δὲ Βερενίκης τε μνήμῃ τῆς μητρὸς αὐτοῦ (σφόδρα γὰρ ἀλλήλαις ἐχρῶντο αἵδε αἱ γυναῖκες) καὶ αὐτῷ ὁμοτροφίας πρὸς τοὺς ἀμφὶ Κλαύδιον γεγενημένης, δίδωσι τὸ ἀργύριον, καὶ αὐτῷ ἀποτίσαντι τὸ χρέος ἀνεπικώλυτος ἦν ἡ φιλία τοῦ Τιβερίου. Αὖθις δὲ αὐτῷ Τιβέριος ὁ Καῖσαρ συνίστησιν υἱωνὸν τὸν αὐτοῦ, κελεύων τὰ πάντα αὐτοῦ ταῖς ἐξόδοις παρατυγχάνειν. Ἀγρίππας δὲ φιλίᾳ δεχθεὶς ὑπὸ τῆς Ἀντωνίας, κατὰ θεραπείαν τρέπεται τὴν Γαΐου, υἱωνοῦ τε ὄντος αὐτῇ καὶ εὐνοίᾳ τοῦ πατρὸς εἰς τὰ πρῶτα τιμωμένου. Καὶ δή τις ἦν Θάλλος Σαμαρεὺς γένος, Καίσαρος δὲ ἀπελεύθερος· Παρὰ τούτου δάνεισμα μυριάδων ἑκατὸν εὑρόμενος τῇ τε Ἀντωνίᾳ καταβάλλει τὸ ὀφειληθὲν χρέος καὶ τῶν λοιπῶν τῷ ἀναλώματι θεραπεύων τὸν Γαΐον μειζόνως ἐν ἀξιώματι ἦν παρ' αὐτῷ.

ε'. Προϊούσης δὲ εἰς μέγα τῷ Ἀγρίππᾳ τῆς πρὸς Γαΐον φιλίας, αἰωρουμένοις ποτὲ λόγος περὶ τοῦ Τιβερίου γίνεται, καὶ τοῦ Ἀγρίππα κατ' εὐχὰς τραπομένου

quidem se jussa facturum esse simulabat; de nocte vero, præcisis retinaculis, Alexandriam navigavit. Ubi ab Alexandro Alabarcha poposcit ut ducenta argenti millia sibi crederet. Ille vero non ipsi se crediturum dicebat, sed Cypro dare non recusabat, ut qui conjugalem ejus amorem ceterasque omnes virtutes obstupesceret. Illa autem quum fidejuberet, mox Alexander, quinque talentis Alexandriæ repræsentatis, promisit se reliqua daturum esse ubi primum Dicæarchiam veniret, de illis metuens quod sui profusum noverat Agrippam. Et Cypros quidem, quum virum in Italiam navigaturum dimisisset, ipsa cum liberis in Judæam reversa est.

4. Agrippa vero Puteolos appulsus literas dat Tiberio Cæsari, qui sese in Caprearum secessum abdiderat, venisse se officii causa illumque ut viseret significans, roganscque ut sibi liceat in Capreas trajicere. Tiberius autem nihil cunctatus et alia ad eum summa cum humanitate rescripsit, et quod gauderet ipsum iterum ad se Capreas venire. Quumque ille advenisset, non minore alacritate, quam præ se tulerat literis, eum amplexus est et hospitio excepit. Postridie vero Cæsari allatis ab Herennio Capitone literis, quod Agrippa trecentis millibus mutuo sumptis, nec ad constitutum tempus persolutis, de reddendo admonitus, e locis suæ ditionis sese fuga proripuisset, ita ut omnem ipsi pecuniam ab eo exigendi potestatem ademerit : quum istas legisset literas, ægerrime rem tulit Cæsar, et Agrippæ omnes ad se aditus præcludi jussit, usquedum debitum solveret. Ille nequaquam ira Cæsaris attonitus, ab Antonia Germanici et Claudii, qui postea Cæsar factus est, matre petiit mutuo trecenta millia, ne Tiberii amicitia excideret. Illa vero, Berenices matris ejus memoria (istæ enim mulieres sibi invicem perfamiliares erant) quodque simul ipse educatus fuerat cum Claudio, argentum ei suppeditat; quumque *Agrippa* æs alienum exsolvisset, patefactus est ei aditus ad Tiberii amicitiam. Deinde ipsi Tiberius Cæsar nepotem suum commendat, dato in mandatis ut eum foris egredientem comitaretur. Agrippa vero, quod benigne adeo exceptus fuerat ab Antonia, cœpit Caium studiose colere, utpote nepotem illius, et in summo apud omnes honore ex illorum in patrem ejus benevolentia. Erat tum Thallus quidam, genere Samarita, Cæsaris libertus : ab hoc decies centena millia mutuatus, et Antoniæ solvit quod ei debebat, et quum reliquum in sumptus erogasset quibus Caium demereretur, majore auctoritate apud ipsum pollebat.

5. Agrippa autem plurimum apud Caium in gratia proficiente, quodam die dum una in curru gestarentur et in sermonem incidirent de Tiberio, accidit ut Agrippa (nam

(μόνω δ' ἤστην) ἦ τάχος Τιβέριον ὑπεκστάντα τῆς ἀρχῆς Γαΐῳ παραχωρεῖν ἀξιωτέρῳ τὰ πάντα ὄντι. Τούτων ἀκροᾶται τῶν λόγων Εὔτυχος, Ἀγρίππα δ' ἦν ἀπελεύθερος καὶ ἡνίοχος, καὶ παραχρῆμα μὲν σιγῇ παρεδίδου· κλοπῆς δὲ ἱματίων αὐτῷ τοῦ Ἀγρίππα ἐπικαλουμένης, (καὶ ἀκριβῶς δὲ ἐκεκλόφει,) φυγὼν καὶ ληφθεὶς, ἀγωγῆς αὐτοῦ ἐπὶ Πείσωνα γενομένης, ὃς ἦν φύλαξ τῆς πόλεως, ἐρομένου τὴν αἰτίαν τῆς φυγῆς, Καίσαρί φησιν ἀπορρήτους ἔχειν λόγους εἰπεῖν ἐπ' ἀσφαλείᾳ τῆς σωτηρίας αὐτοῦ φέροντας· ὥστε δήσας αὐτὸν ἔστελλεν εἰς τὰς Καπρέας. Καὶ Τιβέριος τῷ αὐτοῦ τρόπῳ χρώμενος, εἶχεν αὐτὸν δέσμιον, μελλητὴς εἰ καί τις ἑτέρων βασιλέων ἢ τυράννων γενόμενος· οὔτε γὰρ πρεσβειῶν ὑποδοχὰς ἐκ τοῦ ὀξέος ἐποιεῖτο, ἡγεμόσι τε ἢ ἐπιτρόποις ὑπ' αὐτοῦ σταλεῖσιν οὐδεμία ἦν διαδοχὴ, ὁπότε μὴ φθαῖεν τετελευτηκότες. Ὅθεν καὶ δεσμωτῶν ἀκροάσεως ἀπερίοπτος ἦν. Ὥστε καὶ τῶν φίλων ἐρομένων τὴν αἰτίαν αὐτὸν τοῦ ἐπὶ τοιούτοις ὀλκῇ χρωμένου, ἔφη τὰς μὲν πρεσβείας τρίβειν, ὅπως μὴ ἀπαλλαγῆς αὐταῖς ἐκ τοῦ ὀξέος γενομένης, ἕτεροι πρέσβεις ἐπιχειροτονηθέντες ἐπανίοιεν, ὄχλος τε αὐτῷ γίνοιτο ἐπιδοχαῖς αὐτῶν καὶ πομπαῖς προσκειμένῳ. Τὰς δ' ἀρχὰς συγχωρεῖν τοῖς ἅπαξ εἰς αὐτὰς ὑπ' αὐτοῦ καταστᾶσιν, αἰδοῦς προμηθείᾳ τῶν ὑποτελῶν. Φύσει μὲν γὰρ εἶναι πᾶσαν ἡγεμονίαν οἰκείαν τοῦ πλεονεκτεῖν· τὰς δὲ μὴ παγίους, ἀλλ' εἰς ὀλίγον καὶ ἄδηλον ὁπότε ἀφαιρεθεῖεν, καὶ μειζόνως ἐξοτρύνειν ἐπὶ κλοπαῖς τοὺς ἔχοντας. Εἰ μὲν οὖν ἐφεστήκασιν εἰς πλέον αὐταῖς, ἄδην τῶν κλοπῶν ἔξειν ὑπὸ τοῦ πολλοῦ τῶν κεκερδημένων ἀμβλυτέρως τὸ λοιπὸν σὺταῖς χρωμένους· διαδοχῆς δ' ἐπιπαραγενομένης ἐκ τοῦ ὀξέος, οὐδαμῶς ἂν ἀρκέσαι τοὺς ἆθλα τοῖς ἄρχουσι προκειμένους, ἀναστροφῆς αὐτοῖς οὐ διδομένης καιρῶν, ἐν οἷς πλήρεις οἱ προειληφότες γενόμενοι ὑποδιδοῖεν τῆς σπουδῆς τῆς ἐπὶ τῷ λαμβάνειν, διὰ τὸ πρὶν ἐν καιρῷ γενέσθαι μεταστῆναι. Παράδειγμά τε αὐτοῖς φησι τοῦτον τὸν λόγον. Τραυματίᾳ τινὶ κειμένῳ μυῖαι κατὰ πλῆθος τὰς ὠτειλὰς περιέφτησαν· καί τις τῶν παρατυχόντων οἰκτείρας αὐτοῦ τὴν δυστυχίαν, καὶ νομίσας ἀδυναμίᾳ μὴ βαθεῖν, οἷός τε ἦν ἀποσοβεῖν αὐτὰς παραστάς. Καὶ δεομένου παύσασθαι τῶν ἐπὶ τοιοῖσδε, ὑπολαβὼν ἤρετο τὴν αἰτίαν τοῦ ἀπρομηθοῦς εἰς τὴν διαφυγὴν κακοῦ τοῦ ἐφεστηκότος· « μειζόνως γὰρ ἂν ἀδικοίης με, εἶπεν, ταύτας ἀπαγαγών. Ταῖς μέν γε ἤδη πληρωθείσαις τοῦ αἵματος οὐκ ἔσθ' ὁμοίως ἔπειξις ὄχλον μοι παρασχεῖν, ἀλλά πῃ καὶ ἀνίσχουσιν· αἱ δ' ἀκραιφνεῖς τῷ κατ' αὐτὰς λιμῷ συνελθοῦσαι καὶ τετρυμένον ἤδη παραλαμβάνουσαι, καὶ ὀλέθρῳ ἂν παραδοῖεν. » Διὰ τάδε οὖν καὶτὸς ὑπὸ πολλῶν τῶν κλοπῶν διεφθαρμένους τοῖς ὑποτελέσιν προμηθὴς εἶναι, μὴ συνεχὲς ἐξαποστέλλειν τοὺς ἡγησομένους, οἳ ἐν τρόπῳ μυιῶν ἐκπολεμοῖεν αὐτοὺς, φύσει πρὸς κέρδος ὁρωρεγμένοις σύμμαχον παραλαμβάνοντες τὴν ἐλπίδα τοῦ ταχέως ἁψαιρησομένου τὴν ἔνθεν ἡδονήν. Μαρτυρήσει δέ μοι

soli erant) *Deum* precaretur ut Tiberius Caio omnino digniori quamprimum imperio cederet. Has voces excepit Eutychus, Agrippæ libertus et auriga, et tum quidem silebat : *insimulatus autem ab Agrippa, quod vestem ei surripuisset,* (id quod revera factum erat,) et ex fuga retractus, quum perductus esset ad Pisonem urbis præfectum, rogatus fugæ causam, ait se habere secreta quædam Cæsari enuncianda, quæ salutis ejus interessent. Quapropter ipsum in vincula conjectum Capreas mittebat. Ac Tiberius more suo vinctum servabat, quod cunctator, si quis alius aut *rex aut tyrannus*, factus esset : nam neque legationes sine mora admittebat, neque curabat ut mitterentur qui præsidibus aut procuratoribus ab eo missis succederent, *nisi illi* decessissent. Unde fiebat ut vinctos quoque audire negligeret. Proinde, quum amici causam ex ipso quærerent cur adeo procrastinaret, dicebat legationibus quidem se moras nectere, ne illis cito dimissis alii mox creati ad ipsum denuo accedant legati, atque ita sibi continuo incumbat negotium illos accipiendi ablegandique. Imperia autem illis, quibus semel ea dederit, *diuturna esse sinere*, ut aliquo saltem pudore adhibito consulatur subditis. Ingenium enim omnium hominum in magistratu proclive esse ad avaritiam : qui vero haud perpetui sunt, sed ad breve tempus, ut incertum sit quando illis auferatur potestas, majori aviditate ad rapinas ferri. Itaque si diutius ea fruantur, furtorum satietate tandem expleti, ut qui satis superque sibi acquisiverint, *deinde tardiores fieri ad rapiendum* : quum autem ocius illis succedatur, nequaquam fore ut magistratibus sufficiant qui illis in prædam exposita sint, tanto eis tempore haud concesso, in quo antecessores sui spoliorum pleni de habendi cupiditate remitterent, quod revocati fuerint antequam satis diu magistratum obiissent. Atque argumenti caussa hoc iis narrabat. Vulneratum quendam humi procumbentem magna vis muscarum ulcera circumsedebat : ac viator, quum forte adesset, vicem *ejus miseratus est*, *languidiorem esse ratus quam* ut illas arcere posset, propiusque accedens parabat eas depellere. Orante autem ut hujusmodi quid facere omitteret, subjiciens causam quærebat, cur ita liberari a præsenti molestia negligeret. Cui ille, « gravius me læsum ibis, inquit, illas abigendo. Nam hæ jam plenæ cruoris non perinde ac ante certatim agunt ut mihi molestiam facessant, sed *aliquantulum remissius insistunt*. Quodsi recentes et famelicæ convenerint et jam attritum acceperint, etiam ad interitum usque exsugent. » Has igitur ob causas et ipsum subditis suis, multis expilationibus male mulcatis, haud ita frequenter, unum post alium, rectores mittere, qui more muscarum eos infestarent, præsertim quum natura propensis ad lucrum insuper ad cupiditatem augendam injiciatur metus, ne quæstus sibi adeo jucundus cito eripia-

τῷ λόγῳ περὶ τῆς ἐπὶ τοιούτοις φύσεως Τιβερίου τὸ ἔργον αὐτό. Ἔτη γὰρ δύο πρὸς τοῖς εἴκοσιν αὐτοκράτωρ γενόμενος, δύο τοὺς πάντας Ἰουδαίοις ἐξέπεμψε διοικήσοντας τὸ ἔθνος, Γρᾶτόν τε καὶ Πιλᾶτον, ὃς αὐτῷ διεδέξατο τὴν ἡγεμονίαν. Καὶ οὐκ ἐπὶ μὲν Ἰουδαίων τοιοῦτος ἦν, ἑτεροῖος δὲ ἐπὶ τῶν λοιπῶν ὑπηκόων, ἀλλὰ καὶ τῶν δεσμωτῶν τὴν ὑπερβολὴν τῆς ἀκροάσεως ἀπεσήμαινεν ὑπὸ τοῦ δικαιωθεῖσι μὲν θανάτου κούφισιν γενέσθαι τῶν ἐνεστηκότων κακῶν, διὰ τὸ μὴ ἐπ' ἀρετῇ τῶν ἐπὶ τοιούτοις τύχῃ συνελθεῖν· τριβομένοις δὲ ἐχθηδόνι τῇ ἐπικειμένῃ μείζονα προσρέπειν τὴν δυστυχίαν.

ς'. Διὰ μὲν δὴ ταῦτα καὶ Εὔτυχος ἀκροάσεώς τε οὐκ ἐτύγχανε καὶ δεσμοῖς ἐνείχετο. Χρόνου δὲ ἐγγενομένου, Τιβέριός τε ἐκ τῶν Καπρεῶν εἰς Τουσκουλάνον παραγίνεται, ὅσον ἀπὸ σταδίων ἑκατὸν τῆς Ῥώμης, καὶ ὁ Ἀγρίππας ἀξιοῖ τὴν Ἀντωνίαν διαπράξασθαι τῷ γενέσθαι τῷ Εὐτύχῳ τὴν ἀκρόασιν ἐφ' οἵστισι τὴν κατηγορίαν ποιοῖτο αὐτοῦ. Τιμία δ' ἦν Ἀντωνία Τιβερίῳ εἰς τὰ πάντα, συγγενείας τε ἀξιώματι (Δρούσου γὰρ ἦν ἀδελφοῦ τοῦ αὐτοῦ γυνή) καὶ ἀρετῇ τοῦ σώφρονος· νέα γὰρ χηρεύειν παρέμεινε, γάμῳ τε ἀπεῖπε τῷ πρὸς ἕτερον, καίπερ τοῦ Σεβαστοῦ κελεύσαντός τινι γαμεῖσθαι, καὶ λοιδορίῶν ἀπηλλαγμένον διεσώσατο αὐτῆς τὸν βίον. Ἰδίᾳ τε εὐεργέτις ἦν εἰς τὰ μέγιστα τοῦ Τιβερίου· ἐπιβουλῆς γὰρ μεγάλης συστάσης ἐπ' αὐτὸν ὑπὸ Σηϊανοῦ, φίλου τε ἀνδρὸς καὶ δύναμιν ἐν τῷ τότε μεγίστην ἔχοντος διὰ τὸ τῶν στρατευμάτων εἶναι ἡγεμονίαν αὐτῷ, καὶ τῆς τε βουλῆς οἱ πολλοὶ καὶ τῶν ἀπελευθέρων προσέθεντο, καὶ τὸ στρατιωτικὸν διέφθαρτο, προύκοπτέ τε ἡ ἐπιβουλὴ ἐπὶ μέγα, κἂν ἐπέπρακτο Σηϊανῷ τὸ ἔργον, μὴ τῆς Ἀντωνίας τόλμῃ χρησαμένης σοφωτέρᾳ τῆς Σηϊανοῦ κακουργίας. Ἐπεὶ γὰρ μανθάνει τὰ ἐπὶ τῷ Τιβερίῳ συγκείμενα, γράφει πρὸς αὐτὸν τὰ πάντα ἀκριβῶς, καὶ Πάλλαντι ἐπιδοῦσα τὰ γράμματα τῷ πιστοτάτῳ τῶν δούλων αὐτῆς, ἐκπέμπει πρὸς Τιβέριον εἰς τὰς Καπρέας. Ὁ δὲ μαθὼν τόν τε Σηϊανὸν κτείνει καὶ τοὺς συνεπιβούλους, τήν τε Ἀντωνίαν, καὶ πρὶν ἀξιολόγως ἄγων, τιμιωτέραν τε ὑπελάμβανε καὶ πᾶσι πιθανήν. Ὑπὸ δὴ ταύτης τῆς Ἀντωνίας ὁ Τιβέριος παρακαλούμενος ἐξετάσαι τὸν Εὔτυχον, « ἀλλ' « εἰ μὲν καταψεύσεται, φησὶν ὁ Τιβέριος, τοῦ Ἀγρίππα « τὰ εἰρημένα Εὔτυχος, ἀρκοῦσαν κομίζεται παρ' αὐ« τοῦ τιμωρίαν ἣν ἐπιτετίμηκα αὐτός· εἰ δὲ βασανιζο« μένου ἀληθῆ φανείη τὰ εἰρημένα, μήπου κολάζειν « ποθῶν τὸν ἀπελεύθερον ἐπ' αὐτὸν μᾶλλον καλοίη τὴν « δίκην. » Καὶ ὁ Ἀγρίππας ταῦτα φαμένης πρὸς αὐτὸν Ἀντωνίας, πολλῷ μᾶλλον ἐπέκειτο ἀξιῶν ἐξέτασιν γενέσθαι τοῦ πράγματος· καὶ ἡ Ἀντωνία (οὐ γὰρ ἀνίει πολὺς ὢν ὁ Ἀγρίππας ἐπὶ τοῖσδε δεῖσθαι) καιρὸν παραλαβοῦσα τοιοῦτον (ἠωρεῖτο μὲν Τιβέριος ἐπὶ φορείου κείμενος, προϊόντων Γαΐου τε τοῦ ἐκείνης υἱωνοῦ καὶ Ἀγρίππα, ἀπ' ἀρίστου δὲ ἦσαν) παραπεριπατοῦσα τῷ

tur. Huic quod dixi de ingenio Tiberii res ipsa testimonio est, quod duobus et vigiuti annis rerum potitus, Judæis duos duntaxat miserit qui gentis res administrarent, Gratum ejusque in præfectura successorem Pilatum. Nec talem se gessit erga Judæos, alium vero in reliquos imperio subditos, *sed in omnes eundem*. Quin et vinctorum causas se serius aliquanto cognoscere indicabat, ne capite damnati quibus premuntur malis leventur, id quod facinorosi isti nequaquam meriti sint, sed ut angoribus præsentibus, dum diutius in custodia morantur, major accedat calamitas.

6. Atque ob hanc quidem causam Eutychus ad cognitionem non delatus est, sed in vinculis servabatur. Tempore vero aliquanto post Tiberius Capreis venit Tusculanum, stadiis fere centum Roma dissitum : et Agrippa rogavit Antoniam efficeret ut tandem audiretur Eutychus, de quibus ipsum accusaret. Erat autem Antonia magno in honore apud Tiberium, et cognationis gratia, (Drusi enim fratris uxor fuerat,) et propter pudicitiam : nam florente adhuc ætate vidua mansit, et secundas nuptias recusavit, quamvis eam hortatus est Augustus ut alicui nuberet, vitamque ab omni probro intactam conservavit. Huc accedebat et privatum beneficium quo maxime devinxerat Tiberium : magna enim conspiratione in eum facta a Sejano, amico viri Antoniæ, et maximam eo tempore potestatem habente, quod ipsi mandata erat prætorianorum militum præfectura, multi e senatoribus cum libertis sese ei adjunxerunt, et corruptus erat exercitus, atque conjuratio non mediocres acceperat vires, resque Sejano successisset, nisi Antoniæ audacia sapientiâ superasset Sejani malitiam. Quum primum enim intellexit quæ in Tiberium machinati sunt, omnia ei accuratissime perscripsit, traditisque literis Pallanti servorum suorum fidissimo misit eum Capreas ad Tiberium. Ille vero, re cognita, Sejanum occidit et hujusce consilii participes ; et Antoniam, quem antea magni faciebat, majore in honore habuit, eique in omnibus confidit. Ab hac itaque Antonia rogatus Tiberius ut Eutychum examinaret, « si quidem, inquit, mentitus fuerit quod « Agrippa ista dixerit Eutychus, pœnam satis gravem « subiit, quam ipse ei constitui ; sin vero quæstione habita « vera esse deprehendantur, *videndum* ne forte dum pœ« nas expetit a liberto, faciat ut supplicium in caput suum « recidat. » At vero Agrippa, quum ista ei narrasset Antonia, eo magis precibus contendebat ut res discuteretur. Atque Antonia (nam rogare non desiit Agrippa, multusque in eo erat) tempus opportunum nacta, (vehebatur enim Tiberius in lectica jacens, præcedente ipsius nepote Caio una cum Agrippa, quum jam pransi essent,) juxta lecticam

φορείῳ παρεκάλει καλεῖσθαί τε τὸν Εὔτυχον καὶ ἐξετάζεσθαι. Ὁ δὲ, « ἀλλ' ἴστων μὲν, εἶπεν, Ἀντωνία, « οἱ θεοὶ ὅτι μὴ γνώμῃ τῇ ἐμαυτοῦ, ἀνάγκῃ δὲ τῆς « σῆς παρακλήσεως ἐξαγόμενος πράξω τὰ πεπραξό- « μενα. » Ταῦτα εἰπὼν κελεύει Μάκρωνα, ὃς Σηϊανοῦ διάδοχος ἦν, τὸν Εὔτυχον ἀγαγεῖν. Καὶ ὁ μὲν οὐδὲν εἰς ἀναβολὰς παρῆν· Τιβέριος δ' αὐτὸν ἤρετο τί καὶ ἔχοι λέγειν κατ' ἀνδρὸς ἐλευθερίαν αὐτῷ παρεσχηκότος. Ὁ δὲ φησὶν, « ὦ δέσποτα, ἠρούμην μὲν « ἐφ' ἁμάξης Γάϊός τε οὗτος καὶ Ἀγρίππας σὺν « αὐτῷ, καὶ σφῶν ἐζόμην παρὰ τοῖν ποδοῖν, λόγων « τε πολλῶν ἀνακυκλουμένων, Ἀγρίππας φησὶ πρὸς « Γάϊον, Εἰ γὰρ ἀφίκοιτό ποτε ἡμέρα ἣ μεταστὰς ὁ « γέρων οὗτος χειροτονοίη σε ἡγεμόνα τῆς οἰκουμέ- « νης· οὐδὲν γὰρ ἡμῖν Τιβέριος ὁ υἱωνὸς αὐτοῦ γέ- « νοιτ' ἂν ἐμποδὼν ὑπὸ σοῦ τελευτῶν, καὶ ἥ τε οἰκου- « μένη γένοιτ' ἂν μακαρία κἀγὼ πρὸ αὐτῆς. » Τιβέ- ριος δὲ πιστὰ ἡγησάμενος τὰ εἰρημένα, καὶ ἅμα μῆνιν ἀναφέρων τῷ Ἀγρίππᾳ παλαιὰν, διότι κελεύσαντος αὐτοῦ θεραπεύειν Τιβέριον, υἱωνὸν αὐτοῦ γεγονότα καὶ Δρούσου παῖδα ὄντα, ὁ Ἀγρίππας ἀτίμως ἦγε, παρα- κροασάμενος τὰς ἐντολὰς, καὶ πᾶς ὡς τὸν Γάϊον μετεκά- θιζε, « τοῦτον μὲν δὴ, φησὶ, Μάκρων, δῆσον. » Μάκρων δὲ τὸ μὲν οὐ σαφῶς ὄντινα ἂν προστάξειεν ἐξεπιστάμε- νος, τὸ δὲ οὐκ ἂν προσδοκῶν περὶ τοῦ Ἀγρίππα αὐτὸν βουλεῦσαί τι τοιοῦτον, ἐπανεῖχεν ἀκριβωσόμενος τὰ εἰρημένα. Ἐπεὶ δὲ Καῖσαρ περιοδεύσας τὸν ἱππό- δρομον λαμβάνει τὸν Ἀγρίππαν ἑστηκότα, « καὶ μὲν δὴ, φησὶ, Μάκρων, τοῦτον εἶπον δεθῆναι· » τοῦ δὲ ἐπανερο- μένου ὁντινανοῦν, « Ἀγρίππαν γε, » εἶπεν. Καὶ ὁ Ἀγρίπ- πας τρέπεται μὲν κατὰ δεήσεις, τοῦ τε παιδὸς ᾧ συν- ετέθραπτο μνημονεύων καὶ τοῦ Τιβερίου τῆς ἐκτροφῆς, οὐ μὴν ἤνυέ γέ τι, ἀλλ' ἦγον αὐτὸν ἐν πορφυρίδι δέ- αμιον. Καὶ καῦμά τε γὰρ σφοδρὸν ἦν καὶ ὑπὸ οἴνου τοῦ ἐπὶ σιτίοις [μὴ] πολλοῦ γεγονότος ὀΐψος ἐξέκαιεν αὐ- τὸν, καί τι καὶ ἠγωνία καὶ τὸ παρ' ἀξίαν κατελάμβανε. Θεασάμενος οὖν τινα τῶν Γαΐου παίδων Θαυμαστὸν ὄνομα, ὕδωρ ἐν ἀγγείῳ κομίζοντα, ᾔτησε πιεῖν. Καὶ ὀρέξαντος προθύμως πιὼν, « ἀλλ' εἴπερ ἐπ' ἀγαθοῖς, « φησὶν, ὦ παῖ, τὰ τῆσδέ σου τῆς διακονίας γέγονε, « διαφυγῆς μοι γενομένης τῶνδε τῶν δεσμῶν, οὐκ ἂν « βραδύνοιμι ἐλευθερίαν εἰσπρασσόμενός σοι παρὰ « Γαΐου, ὃς καὶ δεσμώτῃ μοι γενομένῳ διακονεῖσθαι « καθάπερ ἐν τῷ πρότερον καθεστηκότι σχήματι τῆς « περὶ ἐμὲ ἀξιώσεως οὐκ ἐνέλιπες. » Καὶ οὐκ ἐψεύσατο ταῦτα εἰπὼν, ἀλλὰ δὴ ἠμείψατο. Ἐν ὑστέρῳ γὰρ βασιλεύσας τὸν Θαυμαστὸν μειζόνως ἐλεύθερόν τε ἀφῆκε παρὰ Γαΐου Καίσαρος γεγονότος λαβὼν, καὶ τῆς οὐσίας ἐπίτροπον καθίστησι, τελευτῶν τε τῷ υἱεῖ Ἀγρίππᾳ καὶ Βερενίκῃ τῇ θυγατρὶ ἐπὶ τοῖς ὁμοίοις διακονησόμε- νον κατέλιπεν, ἐν τιμῇ τε ὢν ταύτῃ γεραιὸς τελευτᾷ. Καὶ ταῦτα μὲν ὕστερον ἐγένετο.

ζ'. Ἀγρίππας δὲ τότε δεθεὶς εἱστήκει πρὸ τοῦ βασι- λείου, πρός τινι δένδρῳ κλιθεὶς ὑπὸ ἀθυμίας, μετὰ ambulans, petiit vocari Eutychum et examinari. Ille vero, « deos, inquit, testor, Antonia, quod non ex mea sen- « tentia, sed precibus tuis coactus faciam quod facturus « sum. » Quum ista dixisset, Macroni, qui successerat Se- jano, imperat Eutychum adducere. Et ille quidem sine mora aderat. Tiberius autem illum interrogabat, quidnam habeat quod diceret contra virum qui ipsum in libertatem vindicaverat. Cui ille, « domine, inquit, vehebantur in curru « Caius hic et Agrippa cum eo, atque ipse ad illorum pe- « des sedebam, et post verba aliquammulta ultro citroque « habita, Caio dixit Agrippa, Utinam veniat dies, quo senex « iste decedens te principem orbis terrarum designet : nam « Tiberius ejus nepos minime nobis impedimento erit, si a « te tollatur : atque et orbis terrarum felicitate fruetur, et « ego ante hunc. » Quum autem verba ista Tiberius credibilia existimasset, simulque ejus in animo vetus in Agrippam ira penitus insideret, quod jussus ab eo Agrippa ut Tiberium nepotem suum Drusique filium coleret, ipsum contra quam mandaverat minus observasset, totumque se ad Caium contulisset, ad Macronem versus inquit, « huic tu injice vincula. » At Macro, partim quod non satis intelligeret, quemnam vinciri juberet, par- tim quod non suspicaretur ipsum quidquam tale de Agrippa statuisse, cunctabatur donec certius sciret quæ dixerit *Tiberius*. Postquam autem Cæsar, quum in circo per or- bem ivisset, Agrippam stantem deprehendit, « atqui, Ma- cro, inquit, hunc jussi vinciri. » Illo etiam tum requirente quemnam præciperet, « Agrippam, » inquit. Tum Agrippa ad preces convertitur, filium ei in memoriam revocans cum quo simul fuerit educatus, et Tiberium cujus institutionis curam gesserit. Nihil tamen proficiebat, sed ipsum, ita ut erat purpura amictum, vinctum agebant. Atque tum, (nam æstus vehemens erat, et inter vescendum [parum] ad- modum vini suppeditatum erat) gravis illi accendebatur sitis, fiebatque ut animi nonnihil discruciaretur, remque ferret indigne. Conspicatus igitur quendam e Caii famulis, Thaumastum nomine, aquam in vase portantem, petiit *aliquantum* ad bibendum. Illoque porrigente, quum bi- bisset, « certe, inquit, tuo bono, o puer, factum est quod « mihi ministrasti. Quum ex his vinculis effugero, nulla in « me mora erit quin libertatem tibi a Caio impetrem, qui « mihi etiam vincto, prout antea quum dignitatis speciem « habuerim, ministrare non gravatus es. » Neque mentitus est quum ista diceret, sed gratiam ei reposuit. Nam re- gnum adeptus Thaumastum quam diligentissime, a Caio, ubi Cæsar factus esset, impetratum manumisit, et rerum suarum curatorem fecit; moriensque hunc filio suo Agrippæ et Berenice filiæ similiter ministraturum reliquit; atque in hoc honore ætate provecta obiit. Et hæc quidem postea contigerunt.

7. Tunc vero Agrippa, dum in vinculis teneretur, cum aliquammultis itidem vinctis ante regiam stabat, præ lau-

πολλῶν οἱ ἐδέδεντο. Καί τινος ὀρνέου καθίσαντος ἐπὶ τοῦ δένδρου ᾧ Ἀγρίππας προσεκέκλιτο, (βουβῶνα δὲ οἱ Ῥωμαῖοι τὸν ὄρνιν τοῦτον καλοῦσι,) τῶν δεσμωτῶν τις Γερμανὸς θεασάμενος ἤρετο τὸν στρατιώτην ὅστις εἴη ὁ ἐν τῇ πορφυρίδι. Καὶ μαθὼν μὲν Ἀγρίππαν ὄνομα αὐτῷ, Ἰουδαῖον δὲ τὸ γένος καὶ τῶν ἐκείνῃ ἀξιολογωτάτων, ἠξίωσε τὸν συνδεδεμένον αὐτῷ στρατιώτην πλησίον ἐλθεῖν διὰ λόγων· βούλεσθαι γάρ τινα ἀμφὶ τῶν πατρίων ἐρέσθαι αὐτόν. Καὶ τυχὼν, ἐπεὶ πλησίον ἵσταται, δι' ἑρμηνέως, « ὦ νεανία, φησὶ, « καταχθεῖ μέν σε τὸ αἰφνίδιον τῆς μεταβολῆς, πολλήν « τε οὕτω καὶ ἀθρόαν ἐπαγαγὸν τὴν τύχην· ἀπιστία « δέ σοι λόγων οἱ ἐπὶ φυγῇ κακοῦ τοῦ ἐφεστηκότος « διαιροῖντο τοῦ θείου τὴν πρόνοιαν. Ἴσθι γε μὴν, « θεοὺς τοὺς ἐμοὺς πατρῴους καὶ τοὺς τῇδε ἐγχω- « ρίους, οἳ τόνδε ἐπρυτάνευσαν ἡμῖν τὸν σίδηρον, ἐπο- « μνύμενος λέξω τὰ πάντα, οὔτε ἡδονῇ γλωσσάργῳ δι- « δοὺς τὸν ἐπ' αὐτοῖς λόγον οὔτε διὰ κενῆς εὐθυμεῖν σε « ἐσπουδακώς· αἱ γὰρ ἐπὶ τοιοῖσδε προαγορεύσεις ὑστε- « ρηκότος τοῦ ἀποβεῖσοντος ἔργου χαλεπωτέραν πρὸσ- « τίθενται τὴν ἀχθηδόνα τοῦ εἰ μηδὲ τὴν ἀρχὴν ἀκροά- « σαιτο αὐτῶν. Ἀλλὰ καὶ τὸ ἐμὸν κινδύνοις παρα- « βαλλόμενος, δίκαιον ἡγησάμην σοι διασαφῆσαι τὴν « προαγόρευσιν τῶν θεῶν. Οὐκ ἔσθ' ὅπως οὐκ εὐθέως « ἀπαλλαγή τέ σοι τῶνδε τῶν δεσμῶν παρέσται καὶ « πρόοδος ἐπὶ μήκιστον ἀξιώματός τε καὶ δυνάμεως, « ζηλωτός τε ἂν γένοιο πᾶσιν οἳ νῦν δι' οἴκτου τὰς τύχας « σου λαμβάνουσιν, εὐδαίμονά τε ἂν ποιοῖο τὴν τελευ- « τὴν, παισὶν οἳ εἶεν τὸν ὄλβον καταλιπόμενος. Μνη- « μονεύειν δὲ ὁπότε εἰσαῦθις τὸν ὄρνιν θεάσαιο τοῦτον, « πέντε ἡμέραις σοι τὴν τελευτὴν ἐσομένην. Ταῦτα « πεπράξεται μὲν ἥπερ ἀποσημαίνει σοι τοῦ θεοῦ τὸ « ἐξαποστεῖλαν τουτονὶ τὸν ὄρνιν. Προγνώσει τε « αὐτῶν σύνεσιν τὴν παραγενομένην ἀποστερεῖν σε « ἄδικον ἡγησάμην, ὅπως ἐπιστάμενος ἀγαθοῦ μέλλον- « τος τὸ λυσιτελοῦν ἐν ὀλίγῳ τὴν ἀχθηδόνα τοῦ παρόν- « τος τιθεῖο. Μνήμην δὲ ποιεῖσθαι, εἰς χεῖράς σου « παραγενομένου τοῦ εὐδαίμονος, καὶ τοῦ καθ' ἡμᾶς « διαφευξομένου δυστυχίαν ἥ τανῦν σύνεσμεν. » Καὶ ὁ μὲν Γερμανὸς τοσάδε προειπὼν εἰς τοσόνδε ὤφλε γέλωτα τῷ Ἀγρίππᾳ ἐφ' ὅσον ἐν τοῖς ὕστερον κατεφάνη τεθαυμάσθαι ἄξιος. Ἡ δὲ Ἀντωνία χαλεπῶς φέρουσα τοῦ Ἀγρίππα τὴν δυστυχίαν, τὸ μὲν Τιβερίῳ περὶ αὐτοῦ διαλέγεσθαι ἐργωδέστερον ἑώρα καὶ ἄλλως ἐπ' ἀπράκτοις γενησόμενον· ηὐρίσκετο δ' αὐτῷ παρὰ τοῦ Μάκρωνος, στρατιωτῶν τε μετρίων ἀνδρῶν, οἳ παραφυλάξειαν αὐτὸν ἐν φρουρίσιν, καὶ ἑκατοντάρχου ἐφεστηξομένου τε ἐκείνοις καὶ συνδέτου ἐσομένου, λουτρά τε καθ' ἡμέραν συγχωρεῖσθαι καὶ ἀπελευθέρων καὶ φίλων εἰσόδους, τήν τε ἄλλην ῥαστώνην ἢ τῷ σώματι γένοιτ' ἄν. Εἰσῆεσάν τε ὡς αὐτὸν φίλος τε Σίλας καὶ τῶν ἀπελευθέρων Μαρσύας καὶ Στοιχεὺς τροφὰς εἰσκομίζοντες αἷς ἔχαιρε, καὶ δι' ἐπιμελείας πάσης ἔχοντες, ἱμάτιά τε κομίζοντες ἐπὶ προσποιήσει πράσεως, ὁπότε

guore reclinatus in arborem. Quumque ales quidam insedisset arbori, in quam se rejecerat Agrippa, (alitem hunc Romani bubonem appellant,) unus e vinctis *natione* Germanus, viso alite, quæsivit a milite quisnam esset ille purpuratus. Cognitoque esse Agrippam quidem nomine, Judæum vero origine, virumque ex ea gente nobilissimum, rogavit militem, qui ei vinculis copulatus erat, propius accederet ut cum eo colloqueretur, velle enim ex eo de rebus patriis percontari. Quo impetrato, quum ei astaret, intercedente interprete, « o juvenis, inquit, te quidem « contristat tanta subito facta mutatio, quæ tibi multam « magnamque importavit calamitatem : nec facile meis « verbis fidem habebis, quæ explicant quid deus tibi pro- « viderit, ut e malis præsentibus effugias. Scito vero « (deos meos patrios deosque hujus loci præsides testor, « quorum voluntate in hæc vincula devenimus) me dictu- « rum omnia, nihil ut auribus tuis darem petulanter lo- « quendo, studiove te vana spe lactandi : nam hujusmodi « prædictiones, si facto non comprobentur, plus afferunt « tristitiæ quam si nihil omnino de illis accepisses. Itaque « æquum duxi vel cum meo periculo tibi patefacere quid « dii futurum esse prænuncient. Fieri non potest quin « tua brevi ventura sit ex hisce vinculis liberatio; dein ad « summam dignitatem provectus eris et potentiam, et « omnes beatum te prædicabunt quos tuæ jam sortis mise- « ret, felicemque habiturus es exitum, liberis, qui tibi nati « sint, tuas relinquens opes. Memento autem, quum istam « volucrem denuo videris, te quinque post diebus moriturum « esse. Hæc quidem eventura sunt quemadmodum deus « significat, qui hunc tibi alitem mittere dignatus est. Quum- « que ipse ea præsciverim, nefas esse putabam, tecum « nolle ista quæ intelligerem communicare, ut de felicitate « futura certior factus, leve esse existimes quod hoc tem- « pore patiaris. Quum autem ad hanc felicitatem pervene- « ris, fac nostri quoque memineris, ut calamitatem, cum « qua nunc conflictamur, effugiamus. » Hoc Germani præsagium tam videbatur Agrippæ ridiculum quam postea admiratione dignum est habitum. At Antonia graviter ferens calamitatem Agrippæ, paulo quidem difficilius esse sentiebat de eo verba facere ad Tiberium, prætereaque nihil apud ipsum precibus loci relictum esse : hoc vero a Macrone assequebatur, ut milites viri essent humaniores et modesti, tam quibus curæ erat excubias agere quam centurio qui illis præesset et ei copularetur, utque lavacra ei quotidiana concederentur, et liceret libertis et amicis eum adire, atque alia ei indulta essent quæ ad corporis curam facerent. Ingrediebanturque ad eum Silas amicus et e libertis Marsyas atque Stœcheus, cibum ad comedendum afferentes quo delectabatur, omnemque erga ipsum officiosam sedulitatem adhibentes, quin et stragula quasi venalia appor-

νὺξ γένοιτο ὑπεστρώννυσαν αὐτῷ συμπράξει τῶν στρατιωτῶν, Μάκρωνος προειρηκότος. Καὶ ταῦτα ἐπράσσετο ἐπὶ μῆνας ἕξ, καὶ τὰ μὲν κατὰ Ἀγρίππαν ἐν τούτοις ἦν.

η'. Τιβέριος δ' ἐπανελθὼν εἰς τὰς Καπρέας ἐμαλακίζετο, τὰ μὲν πρῶτα μετρίως, ἐπιδούσης δ' εἰς τὸ μᾶλλον τῆς νόσου, πονηρὰς ἔχων ἐπ' αὐτῷ τὰς ἐλπίδας, Εὔοδον, ὃς ἦν αὐτῷ τιμιώτατος τῶν ἀπελευθέρων, κελεύει τὰ τέκνα προσαγαγέσθαι πρὸς αὐτόν· χρῄζειν γὰρ ἀφικέσθαι φησὶ διὰ λόγων πρὶν ἢ τελευτᾶν. Ἦσαν δὲ αὐτῷ παῖδες γνήσιοι μὲν οὐκέτι· Δροῦσος γὰρ δή, ὁ μόνος αὐτῷ γεγονὼς, ἐτύγχανε τεθνεώς· υἱὸς δὲ τούτου κατελείπετο Τιβέριος, ἐπικαλούμενος Γέμελλος, Γαΐου τε Γερμανικοῦ παῖς ἀδελφοῦ υἱὸς γεγονὼς, νεανίας τε ἤδη καὶ παιδείαν ἐκπεπονηκὼς ἐπὶ πλεῖστον, εὐνοίᾳ τε τοῦ δήμου τιμώμενος, διὰ τὴν Γερμανικοῦ τοῦ πατρὸς ἀρετήν. Ἐπὶ μέγιστον γὰρ δὴ οὗτος ἦλθε παρὰ τοῖς πλήθεσι τιμῆς εὐσταθείᾳ τρόπου καὶ ὁμιλητότητι τοῦ ὁμιλεῖν ἀνεπαχθὴς ὤν, καὶ τὴν ἀξίωσιν κτώμενος τῷ βούλεσθαι ἴσος πᾶσιν εἶναι. Ἐξ ὧν οὐ μόνον ὁ δῆμος καὶ ἡ βουλὴ μειζόνως ἦγον αὐτὸν, ἀλλὰ καὶ τῶν ὑποτελῶν ἕκαστον ἐθνῶν, οἱ μὲν ὠμιλητότος ἁλισκόμενοι τῇ χάριτι τῆς ἐντεύξεως, οἱ δὲ πύστει τῆς ἐκείνων ἀφηγήσεως παραλαμβάνοντες. Πένθος τε αὐτοῦ τελευτήσαντος προὐτίθη πᾶσιν, οὐ θεραπείᾳ τῆς ἀρχῆς ἐπιψευδομένων τὴν συμφορὰν, λύπῃ δὲ ἀληθεῖ ἐκκειουμένων, διὰ τὸ ἴδιον τυχεῖν ἑκάστοις τὴν μετάστασιν αὐτοῦ ὑπειλῆφθαι. Οὕτως ἀνεπαχθῶς ὡμίλησε τοῖς ἀνθρώποις· ἐξ ὧν μέγα ὄφελος καὶ τῷ παιδὶ αὐτοῦ παρὰ πᾶσι κατελέλειπτο τοῖς τε ἄλλοις καὶ μάλιστα τὸ στρατιωτικὸν ἧρτο, αἱρετὸν ἀριθμοῦντες τὸ περὶ τῆς ἀρχῆς ἐκείνῳ περιγενησομένης, εἰ δεήσει, καὶ τελευτᾶν.

θ'. Ὁ δὲ Τιβέριος, Εὐόδῳ πρόσταγμα ποιησάμενος κατὰ τὴν ὑστεραίαν ὑπὸ τὴν ἕω εἰσαγαγεῖν τοὺς παῖδας, εὔχεται τοῖς πατρίοις θεοῖς σημεῖόν τι προφαντὸν αὐτῷ δεῖξαι περὶ τοῦ τὴν ἡγεμονίαν διαδεξαμένου, σπεύδων μὲν τῷ υἱεῖ τοῦ παιδὸς αὐτὴν καταλιπεῖν, μεῖζον δὲ δόξης τε καὶ βουλήσεως τῆς αὐτοῦ πεπιστευκὼς τοῦ Θεοῦ τὸ ἐπ' αὐτοῖς ἀποφανούμενον. Οἰώνισμα δ' οὖν αὐτῷ προὔκειτο εἰς ἐκεῖνον ἥξειν τὴν ἡγεμονίαν, ὃς ἂν κατὰ τὴν ἐπιοῦσαν ἀφίκοιτο πρὸς αὐτὸν πρότερος. Ταῦτα διανοηθεὶς, πέμπει παρὰ τοῦ υἱωνοῦ παιδαγωγὸν, κελεύων ὑπὸ πρώτην ὥραν ἄγειν τὸν παῖδα ὡς αὐτὸν, καταμελήσεσθαι στρατηγίας τὸν Θεὸν ὑπολαμβάνων. Ὁ δ' ἀντεψήφιζεν αὐτοῦ τὴν χειροτονίαν. Ὁ μὲν δὴ ταῦτ' ἐνθυμησάμενος, ἐπεὶ τάχιστα ἡμέρα ἦν, κελεύει τὸν Εὔοδον εἰσκαλεῖν τῶν παίδων τὸν παρόντα πρότερον. Ἐξελθὼν δ' ἐκεῖνος, καὶ τὸν Γάϊον πρὸ τοῦ δωματίου καταλαβὼν, (ὁ γὰρ Τιβέριος οὐ παρῆν μετεώρου τῆς τροφῆς αὐτῷ γενομένης, ἤδει δ' ὁ Εὔοδος οὐδὲν ὧν ἐβούλετο ὁ δεσπότης,) « καλεῖ σέ, φησὶν, ὁ πατὴρ, » καὶ εἰσήγαγεν αὐτόν. Τιβέριος δ' ὡς θεᾶται Γάϊον, τότε πρῶτον εἰς ἐπίνοιαν ἐλθὼν τοῦ θείου τῆς ἐξουσίας, καὶ τὴν κατ' αὐτὸν ἡγεμονίαν παντελῶς ἀφῃ-

tantes, noctu ea ipsi substernebant, militibus jussu Macronis operam suam conferentibus. Atque hæc facta sunt per sex menses, resque Agrippæ ita se habebant.

8. Tiberius autem Capreas reversus primum quidem modice cœpit ægrotare, morbo vero ingravescente, quum de salute desperaret, Euodum, quem ex omnibus libertis maxime faciebat, liberos ad se jubet adducere : se enim desiderare dicebat ut eos ante obitum alloqueretur. Sui quidem non jam in vivis erant liberi; nam mortuus erat Drusus quem unicum habebat : verum filius hujus Tiberius supererat cognomine Gemellus, et Caius Germanici fratris filius, jam adolescens et doctrina liberaliter institutus, et gratiosus apud populum ob Germanici patris virtutem. Hunc enim populus maximo in honore habuit, quod esset moribus bene temperatis, in alloquiis comis et affabilis, quodque princeps dignatione cum omnibus par esse voluerit. Quibus fiebat ut tam senatus quam populus majorem in modum eum diligerent colerentque; atque etiam e singulis gentibus in provincias redactis alii quidem suavitate ejus in congressu et colloquiis capti, alii vero ubi auditione eorum narrationis ea acciperent. Ipsoque mortuo luctum omnes ingentem prætulerunt, non ex observantia in imperium simulate calamitatem lugentes, sed sincero mœrore eam ut suam deplorantes, quod unusquisque ejus mortem semetipsum propius attingere crediderit. Quæ res et filio ipsius plurimum profuerunt ad omnium benevolentiam conciliandam : interque alios maxime etiam milites adeo devincti tenebantur, ut in lucro deputarent vel mortem, si necesse esset, oppetere, modo ei imperium possent asserere.

9. Tunc autem Tiberius, quum Euodum jussit postridie filios summo mane ad ipsum adducere, deos patrios precatur, ut eum qui in principatum successurus esset, manifesto aliquo indicio sibi ostenderent, id quidem modis omnibus agens ut nepoti suo imperium relinqueret, plus vero signo, quod Deus ostensurus esset, fisus quam suæ sententiæ aut voluntati. Augurium itaque ipsi propositum erat illi cessurum esse imperium qui sequenti die ad se prior accessisset. Quum ista secum reputasset, mittit ad nepotis sui pædagogum, jubens ut prima luce puerum ad ipsum perduceret, existimans Deum insuper habiturum esse imperatoris munus. Deus autem quod ille designavit irritum esse jussit. Quippe quum is ita cogitasset, ubi illuxit, jussit Euodum ut puerum qui prior adesset intro vocaret. Ille vero egressus, quum Caium pro cubiculi foribus offendisset, (nam Tiberius nondum aderat, cibo ipsi tardiuscule parato, atque Euodus plane nesciverat quid sibi voluerit dominus,) « pater, inquit, te vocat, » simulque eum introduxit. At Tiberius, ubi Caium aspicit, tunc primum cogitare cœpit de Dei potestate, suumque sibi plane ereptum esse

ρημένην, ἐπικυροῦν οἷς ψηφίσαιτο δυνάμεως ἐκείθεν αὐτῷ μὴ παραγενομένης, πολλὰ δὴ κατωλοφύρατο, αὐτὸν μὲν τοῦ ἐφ' οἷς προβουλεύσειε κυροῦν ἀφῃρημένον τὸ κράτος, Τιβέριον δὲ τὸν υἱωνὸν, ὡς τῆς τε Ῥωμαίων ἀρχῆς ὁμοῦ διαμάρτοι καὶ τῆς σωτηρίας κεχρημένον, διὰ τὸ ἐπ' ἄλλων κρεισσόνων οὐκ ἀνεκτὸν εἰσηγησαμένων τὴν συναναστροφὴν κείσεσθαι τὴν σωτηρίαν, αὐτῷ τοῦ μὴ συγγενοῦς ὠφελεῖν δυναμένου, φόβῳ τε καὶ μίσει τοῦ ἐφεστηκότος χρησομένου πρὸς αὐτὸν, τὰ μὲν ὡς προσεδρεύοντα τῇ ἀρχῇ, τὰ δ' ὡς ἀντεπιβουλεύειν ὑπέρ τε τῆς σωτηρίας καὶ τῆς ἀντιλήψεως τῶν πραγμάτων μὴ ἀφησόμενον. Ἦν δὲ καὶ γενεθλιαλογίᾳ Τιβέριος τὰ μάλιστα προσκείμενος, κατὰ τὰ κατορθούμενα αὐτῆς μειζόνως τῶν εἰς τόδε ἀνακειμένων ἑκόντως βίον ἐξηγμένος. Γάλβαν οὖν ποτε θεασάμενος ὡς αὐτὸν εἰσιόντα, φησὶ πρὸς τοὺς ἐπιτηδειοτάτους αὐτῷ ὡς παραγένοιτο ἀνὴρ τῇ Ῥωμαίων ποτὲ τιμησόμενος ἡγεμονίᾳ. Τά τε πάντα μαντειῶν ὁπόσα ἐχόμενα πιθανὰ ἡγούμενος ἡγεμόνων μάλιστα ἀνὴρ οὗτος, ὑπὸ τοῦ ἐπαληθεύοντος αὐτῶν ἐπὶ τοῖς πράγμασιν ἐχρῆτο αὐταῖς. Καὶ τότε ἐν χαλεποῖς ἦν συντυχίᾳ τοῦ γεγονότος, ὡς ἐπ' ἀπολωλότι τῷ υἱεῖ τοῦ παιδὸς ἀχθεινῶς διατιθέμενος, καὶ κατάμεμψιν αὑτοῦ ποιούμενος τοῦ κατὰ τὴν οἰώνισιν προμηθοῦς· παρὸν γὰρ ἂν αὐτῷ λύπης ἀπηλλαγμένῳ τελευτᾶν ἀμαθίᾳ τῶν ἐσομένων, διαφθείρεσθαι τῷ προεγνωκὼς τὴν ἐσομένην δυστυχίαν τῶν φιλτάτων τελευτᾶν. Καίπερ δὲ συντεταραγμένος τῇ παρὰ δόξαν τῆς ἀρχῆς εἰς οὓς οὐκ ἤθελε περίοδῳ, ἄχων τε καὶ μὴ βουλόμενος φησὶ γοῦν πρὸς τὸν Γάϊον, « ὦ παῖ, καίπερ μοὶ συγγενεστέρου « Τιβερίου ἢ κατὰ σὲ ὄντος, δόξῃ τε τῇ ἐμαυτοῦ καὶ τῷ « ὁμοψήφῳ ἐπ' αὐτῇ τῶν θεῶν, σοὶ φέρων ἐγχειρίζω « τὴν Ῥωμαίων ἡγεμονίαν. Ἀξιῶ δὲ σὲ μηδὲν ἀμνημονεῖν, ὁμιλήσαντα αὐτῇ, μήτε εὐνοίας τῆς ἐμῆς, ὃς « εἰς τοσόνδε σε ἀξιώματος καθίστημι μέγεθος, μήτε « τοῦ πρὸς Τιβέριον συγγενοῦς, ἀλλ' ἐπιστάμενον ὡς « σύν τε τοῖς θεοῖς καὶ μετ' αὐτοὺς τοιῶνδε σοι κατα« σταίην ἀγαθῶν ποριστὴς, ἀμείβεσθαί μου τὸ ἐπ' αὐ« τοῖς πρόθυμον, καὶ ἅμα Τιβερίου φροντίζειν διὰ τὴν « συγγένειαν, ἄλλως τε καὶ γινώσκων ὡς τεῖχός σοι « καὶ τῆς ἀρχῆς ὁμοῦ καὶ τῆς σωτηρίας περιὼν γίνοιτο « ἂν Τιβέριος, φροίμιον δὲ τοῦ δυστυχοῦς μεθιστάμε« νος. Αἵ τε γὰρ μονώσεις ἐπικίνδυνοι τοῖς εἰς τηλι« κούτων πραγμάτων ὄγκον καταστᾶσιν, καὶ θεοῖς οὐκ « ἀτιμώρητα ὁπόσα παρὰ δίκην πρασσόμενα ἀφανίζοι « τοῦ νόμου τὸ ἑτέρως πράσσειν παρακαλοῦν. » Ταῦτα μὲν ὁ Τιβέριος ἔλεγεν, οὐ μὴν πιθανὸς ἦν τῷ Γαΐῳ, καίπερ ὑπισχνουμένῳ, ἀλλὰ καταστὰς εἰς τὴν ἀρχὴν τόν τε Τιβέριον μαντείαις αἱρεῖ ταῖς ἐκείνου καὶτὸς, ἐπιβουλῶν ἐπ' αὐτὸν συντεθεισῶν, μετ' οὐ πολὺ τελευτᾷ.

ι'. Τιβέριος δὲ τότε τὸν Γάϊον ἀποδείξας διάδοχον τῆς ἡγεμονίας, ὀλίγας ἐπιβιοὺς ἡμέρας ἔθανε, σχὼν αὐτὸς τὴν ἀρχὴν ἡμέρας τρεῖς καὶ πέντε μῆνας πρὸς

imperium, ut qui non amplius posset quod sibi visum esset statuere. Multis itaque et se ipsum quidem deploravit, cui adempta esset potestas ratum faciendi quod jam ante decreverat, itemque Tiberium nepotem suum, ut qui ex augurio acto et omni de spe imperii decíderit, vitæque discrimen adiret, quod foret ut ejus salus ab aliis iisque potentioribus penderet, qui non ferendum putaturi essent ut vitam cum illis ageret, nihil ipsi profutura cognatione, quem in metu simul et odio habiturus sit rerum dominus, partim quod proximus sit imperio, partim quod pro incolumitate atque rerum potiatur insidias contra tendere non sit desiturus. Erat autem Tiberius maxime addictus prædictionibus ex natalitiis, ad eas quæ feliciter evenerant vitam exigens, magis quam ii qui se totos huic rei dediderant : adeo ut Galbam aliquando ad ipsum venientem conspicatus, ad quosdam ei maxime necessarios dixerit, « ecce homo qui Romanorum imperio aliquando erit honoratus. » Atque ille maxime ex imperatoribus omni quod vel affine erat vaticinationibus credendum esse ratus, eo quod eum *aliquoties* non fefellerint, eas in rebus agendis adhibuit. Et tunc in angustiis erat propter eventum qui acciderat, graviter dolens ac si nepos jam exstinctus esset, et semetipsum accusans quod de venturis sollicitus augurio uti voluisset : quum enim sibi a mœrore vacuo liceret e vita excedere futurorum ignoratione, de se actum esse, ut qui moriturus esset cum præsensione malorum quæ sibi carissimis eventura erant. Quamvis autem conturbatus erat, quod inopinato adeo alii quam ipse voluerit imperii vices habituri sint, Caio tamen invitus et præter voluntatem dixit, « fili, etsi Ti« berius mihi te genere propinquior sit, ego tamen e meo« pte judicio et deorum suffragiis tibi in manus trado Ro« manorum imperium. Te vero oro atque obsecro ne ei « admotus obliviscaris aut meæ benevolentiæ, qui te in « tantæ dignitatis fastigium provexi, aut tuæ cum Tiberio « cognationis; sed, intelligens quod diis volentibus et se« cundum eos tantorum beneficiorum tibi auctor fuerim, « gratiam mihi referas pro mea ad ista propensa voluntate, « Tiberiique ut cognati rationem habeas : præterea que scias « quod superstes Tiberius tibi erit imperii simul et salutis « propugnaculum, interitus vero illius calamitatum origo. « Periculosa enim solitudo in ejusmodi rerum celsitudine « constitutis; nec dii inulta patientur quæ præter jus fasque « perpetrata legem deleant diversa agere præcipientem. » Ista quidem loquutus est Tiberius, haud tamen Caio persuadebat, licet ita facturum recipiebat : sed in imperio collocatus, et Tiberium juxta illius præsagium tollit, et ipse non multo post ex insidiis in semet structis interemptus est.

10. At Tiberius, quum eo tempore Caium principatus successorem declarasset, paucis diebus superstes vita decessit, postquam imperium tenuisset annos duos et viginti, ac præ-

ἐνιαυτοῖν δυοῖν καὶ εἴκοσι. Γάϊος δὲ ἦν αὐτοκράτωρ τέταρτος. Ῥωμαῖοι μὲν δὴ, πύστει τῆς Τιβερίου τελευτῆς, ηὐφραίνοντο μὲν τῷ ἀγαθῷ τῆς ἀγγελίας, οὐ μὴν πιστεύειν γε θάρσος ἦν αὐτοῖς, οὐ τῷ μὴ βούλεσθαι, (πρὸ πολλῶν γὰρ ἂν ἐτίμησαν χρημάτων τὸ ἐπαληθεῦσαν τῶν λόγων,) δέει δὲ μὴ ψευδοῦς τῆς ἀγγελίας γενομένης προεξαναστάντες ἐπὶ δηλώσει τοῦ αὐτῶν χάρματος, εἶτ' ἀπολλύοιντο διαβολῆς αὐτῶν γενομένης. Πλεῖστα γὰρ ἀνὴρ εἷς οὗτος Ῥωμαίων τοὺς εὐπατρίδας εἰργάσατο δεινὰ, δυσόργητος ἐπὶ πᾶσιν ὢν, καὶ ἀνήκεστος εἰς τὸ ἐργάζεσθαι καταστὰς, εἰ καὶ χωρὶς λόγου τὴν αἰτίαν ἐπανέλοιτο τοῦ μισεῖν, καὶ ἐπὶ πᾶσι μὲν οἷς κρίνειεν ἐξαγριοῦν φύσιν ἔχων, εἰς θάνατον δὲ καὶ τῶν κουφοτάτων ἀνατιθεὶς τὴν ζημίαν. Ὥστε ἡδονῇ τοῦ ἐπ' αὐτῷ λόγου φέροντες τὴν ἀκρόασιν, εἰς ὅσον ἐβούλοντο ἀπολαύσματι χρῆσθαι ἐκεκώλυντο δείματι κακῶν, ἃ προεωρᾶτο ψευσθεῖσι τῆς ἐλπίδος. Μαρσύας δὲ τοῦ Ἀγρίππα ὁ ἀπελεύθερος, πυθόμενος Τιβερίου τὴν τελευτὴν, ἔθει δρομαῖος τῷ Ἀγρίππᾳ εὐαγγελιούμενος. Καὶ καταλαβὼν ἐν ἐξόδοις ὄντα εἰς τὸ βαλανεῖον, συνεύσας πρὸς αὐτὸν, γλώσσῃ τῇ Ἑβραίων « τέθνηκεν ὁ λέων » φησίν. Ὁ δὲ σύνεσίν τε τοῦ λόγου ποιησάμενος καὶ χάρματι τῷ ἐπ' αὐτῷ περιενεχθεὶς, « ἀλλά σοι « τῶν ἁπάντων καὶ τῆς ἐπὶ τῶνδε εὐαγγελίας χάριτες « ἐν ἐμοὶ παντοῖαι γίνονται, μόνον ἀληθῆ τὰ λεγόμενα « εἴη. » Καὶ ὁ ἑκατοντάρχης, ὅς γε τῇ φυλακῇ ἐφειστήκει τοῦ Ἀγρίππα, θεώμενος τήν τε σπουδὴν μεθ' οἵας ὁ Μαρσύας ἀφίκετο καὶ τὸ ἐκ τῶν λόγων χάρμα Ἀγρίππᾳ συνελθὸν, ὑποτοπήσας καίνωσίν τινα γεγονέναι τῶν λόγων, ἤρετο σφᾶς περὶ τοῦ λόγου τοῦ ἐφεστηκότος. Οἱ δὲ τέως μὲν παρέτρεπον, ἐγκειμένῳ δὲ ἀποσημαίνει ὁ Ἀγρίππας (ἦδη γὰρ φίλος ἦν) μηδὲν ἐνδοιάσας. Ὁ δὲ ἐκοινοῦτό τε τὴν ἡδονὴν τοῦ λόγου, διὰ τὸ εἰς ἀγαθὰ τῷ Ἀγρίππᾳ φέρειν, προὐτίθει τε αὐτῷ δεῖπνον. Εὐωχουμένῳ δ' αὐτῷ καὶ τοῦ πότου προϊόντος παρῆν τις λέγων ζῆν τε τὸν Τιβέριον καὶ ὀλίγων ἡμερῶν ἐπανήξειν εἰς τὴν πόλιν. Καὶ ὁ ἑκατοντάρχης δεινῶς θορυβηθεὶς τῷ λόγῳ, διὰ τὸ εἰς θάνατον ἀνακείμενα πεπραχέναι, δεσμώτῃ τε καὶ ἐπ' ἀγγελίᾳ θανάτου Καίσαρος συνδεδιητῆσθαι μετὰ χάρματος, ἀπωθεῖται τὸν Ἀγρίππαν τοῦ κλινιδίου· καὶ, « ἦ που, φησὶν, λήσειν με ὑπονοεῖς θάνατον τοῦ αὐτο- « κράτορος καταψευσάμενος, ἀλλ' οὐ κεφαλῇ τῇ σῇ « τοῦτον ἀναμαξάμενος τὸν λόγον; » ταῦτα εἰπὼν κελεύει δῆσαι τὸν Ἀγρίππαν, λευκὼς πρότερον αὐτὸν, φυλακήν τε ἀκριβεστέραν αὐτοῦ ἢ πρότερον καθίσταται. Καὶ νύκτα μὲν ἐκείνην ὁ Ἀγρίππας ἐν τοιούτοις ἦν κακοῖς· τῇ δὲ ὑστεραίᾳ λόγος τε πλείων ἦν κατὰ τὴν πόλιν ἰσχυριζόμενος ἐπὶ τῇ τελευτῇ τοῦ Τιβερίου, ἐθάρρουν τε οἱ ἄνθρωποι φανερῶς ἤδη θροεῖν, καί τινες καὶ θυσίας ἐπετέλουν, ἐπιστολαί τε ἀφίκοντο παρὰ τοῦ Γαΐου, ἡ μὲν πρὸς τὴν σύγκλητον τοῦ Τιβερίου διασαφοῦσα τὴν τελευτὴν καὶ τὴν αὐτοῦ παράληψιν τῆς ἡγεμονίας γενομένην, ἡ δὲ πρὸς Πείσωνα τὸν φύλακα

terea menses quinque et dies tres. Caius autem quartus erat Imperator. Quumque Romanis quidem de morte Tiberii allatum esset, ex bono nuncio in sinu gaudebant, vix tamen ausi sunt inducere animum ut crederent, non quod id non vellent, (nam verum esse quod nunciaretur vel ingenti pecunia redemptum irent,) sed quod vererentur ne vano rumore ante tempus excitati gaudium suum proderent, deinde accusatione in eos instituta male perirent. Ille enim unus omnium patriciis Romanis mala quamplurima intulerat, homo ex qualibet re iracundia inflammatus, et qui ab ea exercenda cohiberi non potuit, etiamsi odii in aliquem temere causam arripuisset, et natura quidem proclivis ad sæviendum pro arbitrio, mortemque vel levissimorum supplicium constituens, adeo ut quum rumorem de eo sparsum libentissime audirent, lætitia perfrui quantum vellent inhibiti fuerint malorum metu, quæ frustrata spe ante oculos versabantur. Marsyas vero Agrippæ libertus, audita Tiberii morte, contento cursu Agrippæ nunciatum properabat; quumque ipsum forte offendisset in via quæ duceret in balneum, admoto ei capite, sermone Hebraico, « mortuus est, inquit, leo. » Ille vero, quum probe norit quid sibi vellet istis verbis, et inde lætitia gestiret, « at tibi, inquit, tum « pro ceteris officiis, tum pro læto hoc nuncio, gratias « omnes et ago et habeo, modo vera sint quæ nuncias. » Tum centurio, qui præerat custodiæ Agrippæ, quum animadvertisset qua festinatione accederet Marsyas et quantum gaudii ex illius verbis obortum esset Agrippæ, suspicatus sermonem illis fuisse de re nova, eos interrogavit de sermonibus quos inter se conferrent. Illi vero primum quidem diverticula quærebant; quum autem instaret, Agrippa ei, ut qui jam amicus esset, sine mora omnia aperit. Atque ille ex iis voluptate cum eo communi fruebatur, quod in rem facerent Agrippæ, eique epulas apposuit. Quum autem iis adhiberetur, et meliuscule biberent, aderat quidam nuncians Tiberium vivere, et cis paucos dies in urbem reversurum esse. Tunc centurio his verbis graviter turbatus, quod ea fecerat ex quibus vitæ discrimen adiret, ut qui morte Cæsaris audita hilariter cum vincto epularetur, Agrippam lectulo deturbat, dicitque, « tu me impune, « ut existimasti, falles mentitus mortem Imperatoris, et non « capite lues hanc linguæ petulantiam? » His dictis Agrippam, quem prius solverat, vinciri jubet, et accurationem ei quam antea custodiam adhibet. Atque eam noctem Agrippa in his malis exegit: postridie vero rumor in urbe de Tiberii morte increbuit, nec ab ea divulganda jam refugerunt homines, quibusdam etiam sacra facientibus; moxque allatæ sunt a Caio literæ, alteræ ad senatum quibus Tiberii mortem significabat seque in imperium successisse; alteræ ad Pisonem urbi præfectum, quæ et hoc ipsum nun-

τῆς πόλεως, τοῦτό τε ἀγορεύουσα, καὶ τὸν Ἀγρίππαν ἐκέλευσεν ἐκ τοῦ στρατοπέδου μεταστήσειν εἰς τὴν οἰκίαν ἐν ᾗ πρότερον ἡ δεθῆναι δίαιταν εἶχεν· ὥστε ἐν θάρσει λοιπὸν ἦγε τὰ περὶ αὐτῆς. Φυλακὴ μὲν γὰρ καὶ τήρησις ἦν, μετὰ μέντοι ἀνέσεως τῆς εἰς τὴν δίαιταν. Γάϊος δ' ὡς ἐπὶ Ῥώμης παρῆν ἄγων τοῦ Τιβερίου τὸ σῶμα, ταφάς τε αὐτοῦ ποιεῖται πολυτελεῖς νόμοις τοῖς πατρίοις, Ἀγρίππαν δὲ αὐθημερὸν λύειν ὄντι προθύμῳ κώλυμα Ἀντωνία ἦν, οὔ τι μίσει τῷ πρὸς τὸν δεδεμένον, προμηθείᾳ δὲ τοῦ Γαΐου εὐπρεποῦς, μὴ δόξαν ἐπάγοιτο ἡδονῇ δεχομένου τὴν Τιβερίου μετάστασιν, ἄνδρα ὑπ' ἐκείνου δεδεμένον λύων ἐκ τοῦ ὀξέος. Διελθουσῶν μέντοι οὐ πολλῶν ἡμερῶν, μεταπεμψάμενος αὐτὸν εἰς τὸν οἶκον, ἀποκείρει τε αὐτὸν καὶ μεταμφιέννυσιν· εἶτα δὲ τὸ διάδημα περιτίθησι τῇ κεφαλῇ καὶ βασιλέα καθίστησιν αὐτὸν τῆς Φιλίππου τετραρχίας, δωρησάμενος αὐτῷ καὶ τὴν Λυσανίου τετραρχίαν, ἀλλάττει τε τῇ σιδηρᾷ ἁλύσει χρυσῆν ἰσόσταθμον, ἵππάρχην δὲ ἐπὶ τῆς Ἰουδαίας ἐκπέμπει Μάρυλλον.

ια'. Δευτέρῳ δὲ ἔτει τῆς Γαΐου Καίσαρος ἡγεμονίας, Ἀγρίππας ἠξίου συγχώρησιν αὐτῷ γενέσθαι πλεύσαντι τήν τε ἀρχὴν καταστήσασθαι καὶ τὰ ἄλλα εἰς δέον οἰκονομησαμένῳ ἐπανιέναι. Καὶ συγχωροῦντος τοῦ αὐτοκράτορος παρῆν, παρ' ἐλπίδας τε ὤφθη πᾶσι βασιλεὺς, πολλήν τε τῆς τύχης ἐπεδείκνυεν ἐπὶ τοῖς ἀνθρώποις τὴν ἐξουσίαν τοῖς θεωροῦσιν ἐκ λογισμῶν ἀπορίας τε τῆς πρότερον καὶ τοῦ ἐν τῷ παρόντι εὐδαίμονος. Καὶ οἱ μὲν ἐμακάριζον τοῦ μὴ διαμαρτίᾳ χρησαμένου τῶν ἐλπίδων, οἱ δ' ἐν ἀπιστίᾳ περὶ τῶν γεγονότων ἦσαν.

ΚΕΦ. Ζ'.

Ἡρωδιὰς δ' ἡ ἀδελφὴ τοῦ Ἀγρίππα, συνοικοῦσα Ἡρώδῃ, (τετράρχης δὲ οὗτος ἦν Γαλιλαίας καὶ Περαίας,) φθόνῳ τἀδελφοῦ τὴν ἐξουσίαν ἐδέχετο, ὁρῶσα ἐν πολὺ μείζονι ἀξιώματι γεγενημένον ἀνδρὸς τοῦ αὐτῆς, διὰ τὸ φυγῇ μὲν τότε ποιήσασθαι τὴν ἔξοδον, διαλῦσαι τὰ χρέα μὴ δυνάμενον, κάθοδον δὲ μετ' ἀξιώματος καὶ οὕτω πολλοῦ τοῦ εὐδαίμονος. Ἐλυπεῖτο δ' οὖν καὶ βαρέως ἔφερε τῇ ἐπὶ τοσοῦτον μετα**β**ολῇ, καὶ μάλιστα, ὁπότε θεάσαιτο μετὰ τῶν εἰωθότων παρασήμων τῆς βασιλείας ἐπιφοιτῶντα τοῖς πλήθεσιν, ἐπικρύπτεσθαι οὐκ ἠνείχετο τὴν δυστυχίαν τοῦ φθόνου, ἀλλὰ τὸν ἄνδρα ἐξῆρε, κελεύουσα ἐπὶ τῆς Ῥώμης πλεῖν ἐπὶ μνηστείᾳ τῶν ἴσων· « οὐ γὰρ ἀνεκτὸν εἶναί σφισι τὸ ζῆν, εἰ Ἀγρίππας Ἀριστοβούλου μὲν υἱὸς ὢν, θανεῖν ὑπὸ τοῦ πατρὸς κατεγνωσμένου, πενίᾳ δὲ ἀπόρῳ συνὼν, ὡς τελέως αὐτῷ ἐπικουφίζεσθαι τἀναγκαῖα τοῦ ἐφ' ἡμέρας, φυγῇ δὲ τῶν δεδανεικότων τὸν πλοῦν πεποιημένος, ἐπανεληλύθοι βασιλεὺς, αὐτὸς δέ γε ὢν παῖς βασιλέως, καὶ τοῦ συγγενοῦς τῆς ἀρχῆς καλοῦντος αὐτὸν ἐπὶ μεταποιήσει τῶν ἴσων, καθέζοιτο ἀγαπῶν ἐν ἰδιωτείᾳ διαβιοῦν. Ἀλλ' εἰ καὶ πρότερόν γε, Ἡρώδη, μηδὲν ἐλύπει σε τὸ ἐν ἐλάσσονι τιμῇ πα-

ciarunt, jusseruntque Agrippam e militum custodia in eas ædes transferri quas habitabat antequam vinciretur : adeo ut vacuus a timore in posterum illic ageret. Nam in custodia quidem servabatur, ita tamen ut remissius haberetur viveretque. At Caius, postquam Romam venit, perducto secum Tiberii corpore, more patrio magnifice eum sepelivit, voluitque eadem die Agrippam e vinculis dimisisse, nisi ei obstitisset Antonia, minime quidem ex odio in vinctum, sed ut decori quod ad Caium attinet ratio haberetur : ne, si confestim solveret quem ille vinxerat, cum lætitia nuncium Tiberii mortis accepisse videretur. Veruntamen non multis post diebus, domum ad se accersitum tonderi, vestemque mutare jubet : imposito deinde in ejus caput diademate, tetrarchiæ, quæ Philippi fuerat, regem constituit, adjecta etiam Lysaniæ tetrarchia, et auream catenam pro ferrea ei dedit pari pondere. Marullum autem misit qui equitum magister esset in Judæa.

11. Anno autem Caii Cæsaris imperii secundo petiit Agrippa id sibi concedi ut in regnum suum ejus ordinandi gratia navigaret, ea lege ut, quum omnia quo oporteret modo composuisset, ad eum reverteretur. Et permittente Imperatore patriam petebat, et præter exspectationem rex ab omnibus conspectus est, quantaque esset fortunæ potestas ostendebat hominibus, qui secum reputarent superiorem ejus egestatem præsentemque felicitatem. Et alii quidem beatum prædicabant, quod de spe sua non deciderit, alii vero vix poterant animum inducere ut rem ita esse crederent.

CAP. VII. (IX.)

Herodias autem Agrippæ soror, conjux Herodis tetrarchæ Galilææ atque Perææ, invidebat fratri hanc potentiam, quod eum in celsiore honoris sede quam maritum suum collocatum cerneret, et quod *de provincia* quidem quum fuga discesserit, non valens debita dissolvere, reversus autem esset dignitate auctus, adeoque multa felicitate. Itaque dolebat graviterque ferebat tantam mutationem, maximeque quum illum vidisset regiis insignibus ornatum per turbas invehi, non sustinuit invidiæ suæ infelicitatem clam habere, sed virum exstimulavit suo hortatu ut Romam navigaret paremque honorem ambiret : sibi enim vitam non vitalem esse, si Agrippa, Aristobuli a patre morte mulctati filius, et cum extrema inopia conflictatus, ut omnino ei ad victum quotidianum necessaria *ab aliis* suppeditarentur, postquam metu creditorum fugam per mare capessiverit, cum regia dignitate reverteretur, ipse vero, quum esset regis filius, et cognatio cum imperio eum excitare deberet ad eundem statum sibimet vindicandum, vita privata contentus quiesceret Atqui si antehac nunquam tibi, Herodes, molestum fuit infra patrem e quo

τρὸς οὗ γέγονας εἶναι, νῦν γοῦν ὀρέχθητι συγγενοῦς ἀξιώματος· μηδὲ ὑπόμενε ἡσσᾶσθαι προὔχοντι τιμῆς ἀνδρὶ· πλοῦτον τεθεραπευκότι τὸν σὸν, μηδὲ πενίαν ἀποφήνῃς τὴν ἐκείνου τῆς ἡμετέρας εὐπορίας ἀρετῇ μᾶλλον χρῆσθαι δυναμένην, μηδὲ δευτερεύειν ἀνεπαίσχυντον ἡγοῦ τῶν χθὲς καὶ πρώην ἐλέῳ τῷ σῷ διαβεβιωκότων. Ἀλλ' ἐπὶ τῆς Ῥώμης ἴωμεν, καὶ μήτε πόνου φειδώ τις ἔστω μήτε ἀργυρίου δαπάνης καὶ χρυσίου, διὰ τὸ μὴ ἐπ' οὐδαμοῖς ἐν βελτίοσι γενέσθαι τὴν τήρησιν αὐτῶν ἀναλώσεως τῆς ἐπὶ κτήσει βασιλείας ἐσομένης.

β'. Ὁ δὲ τέως μὲν ἀπεμάχετο ἀγαπῶν τὴν ἡσυχίαν καὶ τῆς Ῥώμης τὸν ὄχλον δι' ὑποψίας λαμβάνων, ἀναδιδάσκειν τε αὐτὴν ἐπειρᾶτο. Ἡ δ' ἐφ' ὅσον ἐξαναχωροῦντα ἑώρα μειζόνως ἐπέκειτο, κελεύουσα μὴ ἀνιέναι πάντα πράσσειν ἐπὶ τῇ βασιλείᾳ· καὶ πέρας οὐκ ἀνῆκεν, ἕως ἐξεκίνησεν αὐτὸν ὁμογνώμονα αὐτῇ ἀκουσίως γενέσθαι, διὰ τὸ μὴ εἶναι ἄλλως ἀποφυγεῖν αὐτῆς τὸ ἐπὶ τοιούτοις ψηφισάμενον. Παρασκευασάμενός τε ὡς ἐνῆν πολυτελῶς, καὶ φειδοῖ μηδενὸς χρώμενος, ἀνήγετο ἐπὶ τῆς Ῥώμης, ἅμα δὲ καὶ τὴν Ἡρωδιάδα ἀγόμενος. Ἀγρίππας δὲ, τήν τε διάνοιαν αὐτῶν καὶ τὴν παρασκευὴν αἰσθανόμενος, καὶ αὐτὸς παρεσκευάζετο. Ἐπεί τε ἐκπεπλευκότας ἀκούει, πέμπει καὶ αὐτὸς ἐπὶ τῆς Ῥώμης Φορτουνᾶτον αὐτοῦ τῶν ἀπελευθέρων, δῶρά τε κομίζοντα τῷ αὐτοκράτορι καὶ ἐπιστολὰς κατὰ τοῦ Ἡρώδου, τὰ δὲ καὶ αὐτὸν διδάξοντα, εἰ καιρὸς, τὸν Γάϊον. Ὁ δὲ ἐπαναχθεὶς τοῖς ἀμφὶ τὸν Ἡρώδην καὶ δεξιῷ χρησάμενος τῷ πλῷ τοσόνδε ἀπελείπετο τοῦ Ἡρώδου, ὥστε τὸν μὲν ἐντυχεῖν Γαΐῳ, ὁ δὲ ἐπικατάγεται, καὶ τὰς ἐπιστολὰς ἀπεδίδου. Καὶ προσέπλευσαν ἀμφότεροι Δικαιαρχείᾳ, καὶ τὸν Γάϊον ἐν Βαΐαις λαμβάνουσι· πολίδριον δ' ἔστι καὶ τοῦτο τῆς Καμπανίας, ὅσον ἀπὸ σταδίων πέντε τῆς Δικαιαρχείας κείμενον. Βασίλειοί τε εἰσὶν οἰκήσεις αὐτόθι πολυτελέσι κεχρημέναι κατασκευαῖς, φιλοτιμηθέντος τῶν αὐτοκρατόρων ἑκάστου τοὺς προγεγονότας ὑπερβάλλεσθαι· λουτρά τε παρέχεται τὸ χωρίον θερμὰ γῆθεν αὐτόματα ἀνιόντα, ἀγαθὰ ἐπί τε ἰάσει τοῖς χρωμένοις καὶ ἄλλως τῷ ἀνειμένῳ τῆς διαίτης συμφέροντα. Γάϊος δὲ ἅμα τε προσαγορεύων τὸν Ἡρώδην (πρῶτον δὲ αὐτῷ ἐνετύγχανεν) ἅμα τε τοῦ Ἀγρίππα τὰς ἐπιστολὰς ἐπιὼν ἐπὶ τῇ κατηγορίᾳ τῇ ἐκείνου συγκειμένας (κατηγόρει δὲ αὐτοῦ ὁμολογίαν τε πρὸς Σηϊανὸν κατὰ τῆς Τιβερίου ἀρχῆς, καὶ πρὸς Ἀρτάβανον τὸν Πάρθον ἐπὶ τοῦ παρόντος κατὰ τῆς Γαΐου ἀρχῆς, παράδειγμά τε ἦν αὐτῷ τοῦ λόγου μυριάσιν ἑπτὰ ὁπλιτῶν ἀρκέσουσα κατασκευὴ ἐν ταῖς Ἡρώδου ὁπλοθήκαις ἀποκειμένη) ἐκινεῖτό τε ὑπὸ τῶν εἰρημένων καὶ ἤρετο τὸν Ἡρώδην εἰ ἀληθὴς ὁ περὶ τῶν ὅπλων λόγος. Τοῦ δὲ (οὐ γὰρ ἦν ἕτερα εἰπεῖν διὰ τὸ ἀντιφθέγξασθαι ἀλήθειαν) εἰπόντος εἶναι τὰ ὅπλα, πιστὰ ἡγούμενος εἶναι τὰ ἐπὶ τῇ ἀποστάσει κατηγορούμενα, τὴν τετραρχίαν ἀφελόμενος αὐτὸν,

ortus es deprimi, nunc saltem dignitatem tibi cognatam appete, neque sustine viro cedere te præeunti in honore, quem non puduit tuas aucupari divitias, neque facias ut illius egestas plus valere potestate videatur quam nostra rerum omnium copia atque affluentia, neque non erubescendum existima illis inferiorem esse qui heri et nudiustertius tua vixerant misericordia. Sed Romam eamus, nec labori parcentes, nec auri argentive impendiis, quod nequaquam melius erit ea servare quam regno parando prodigere.

2. Ille vero interim quidem repugnabat, otium et quietem diligens, suspectasque habens res Romæ turbatas, conabatur etiam uxorem meliora edocere. Illa autem, in quantum ipsum videret refugientem, vehementius instabat, jubens ut regnandi causa nihil intentatum relinqueret; nec prius destitit quam Herodem, etiam invitum, in suam sententiam pertraxisset, ut qui aliter defugere non potuerit *quod ipsi agere constitutum erat.* Ac *quum omnia*, quoad liceret, magnificentissime præparasset, ut nihil sumptibus parceret, Romam, Herodiadem secum ducens, navigabat. Agrippa vero, intellecto eorum consilio et apparatu, et ipse se parabat: et quum primum eos ora solvisse didicit, etiam ipse Romam misit Fortunatum, unum e libertis suis, ad Imperatorem cum muneribus et literis contra Herodem *scriptis*, utque istis de rebus Caium ipsum, si opportune posset, certiorem faceret. Ille Herodem e portu subsequutus, et secunda navigatione usus, ab Herode tantummodo a tergo relictus est, ut dum ille cum Caio loqueretur, hic ipse adveniret et literas redderet. Atque uterque Dicæarchiam adpulit, et Caium apud Bajas reperiunt: id autem oppidulum est Campaniæ, quinque ferme stadia dissitum a Dicæarchia. Atque illic prætoria sunt splendidissime instructa et apparata, quod Imperatorum quisque superiorem vincere studuerit munificentia: calidaque lavacra suppeditat iste locus, sponte e terra scaturientia, quæ et utentibus prosunt ad instaurandam valetudinem, præterea que ad vitæ delicias conferunt. Caius autem, quum eodem tempore et Herodem alloqueretur, (ipsum autem primum admittebat,) et Agrippæ literas perlegeret in Herodis accusationem compositas, (accusabat autem eum et olim conspirationis cum Sejano contra Tiberii imperium, et jam cum Artabano Partho adversus Caii dominatum, atque hoc unum ad probanda ea quæ narraret afferebat, tantum armorum apparatum *in ejus armamentariis esse* repositum, qui satis futurus esset instruendis virorum septuaginta millibus,) et indicio commotus est, et Herodem percontabatur an vera essent quæ de armis nunciarentur. Illoque arma se habere confitente (aliud enim dicere non poterat, ne veritati obloqueretur) *Caius* credenda esse existimans quæ ei de defectione objicerentur, ademptam illi tetrarchiam Agrippæ

προσθήκην τῇ Ἀγρίππα βασιλείᾳ ποιεῖται, καὶ τὰ χρήματα ὁμοίως τῷ Ἀγρίππᾳ δίδωσιν, αὐτόν τε φυγῇ ἀϊδίῳ ἐζημίωσεν, ἀποδείξας οἰκητήριον αὐτοῦ Λούγδουνον πόλιν τῆς Γαλλίας. Ἡρωδιάδα δὲ μαθὼν Ἀγρίππα ἀδελφὴν οὖσαν, τά τε χρήματα ἐδίδου ὁπόσα ἐκείνῃ ἴδια ἦν, καὶ μὴ κοινωνεῖν νομίσας τῷ ἀνδρὶ τῆς συμφορᾶς, τεῖχος αὐτῇ τὸν ἀδελφὸν ἔλεγεν. Ἡ δέ, « ἀλλὰ σὺ μέν, αὐτοκράτωρ, εἶπεν, μεγαλοφρόνως τε καὶ « ἀξιώματι τῷ σεαυτοῦ πρεπόντως τάδε λέγεις, κώλυμα « δέ μοι ἐστὶ χρῆσθαί σου τῇ χάριτι τῆς δωρεᾶς εὔνοια « ἡ πρὸς τὸν γεγαμηκότα, οὗ κοινωνόν με τῆς εὐδαι- « μονίας γενομένην οὐ δίκαιον ἐγκαταλιπεῖν ἐπὶ ταῖς « τύχαις καθιστάμενον. » Ὁ δὲ ἐν ὀργῇ τοῦ μεγαλό- φρονος αὐτὴν ποιησάμενος συνήλαυνε καὶ αὐτὴν τῷ Ἡρώδῃ, καὶ τὴν οὐσίαν αὐτῆς τῷ Ἀγρίππᾳ δίδωσιν. Ἡρωδιάδι μὲν δὴ φθόνου τοῦ πρὸς τὸν ἀδελφὸν καὶ Ἡρώδῃ, γυναικείων ἀκροασαμένῳ κουφολογιῶν, δίκην ταύτην ἐπετίμησεν ὁ Θεός. Γάϊος δὲ τὸν μὲν πρῶτον ἐνιαυτὸν καὶ τὸν ἑξῆς πάνυ μεγαλοφρόνως ἐχρῆτο τοῖς πράγμασι, καὶ μέτριον παρέχων αὑτὸν εἰς εὔνοιαν προὐχώρει παρά τε Ῥωμαίοις αὐτοῖς καὶ τοῖς ὑπηκόοις· προϊὼν δ' ἐξίστατο τοῦ ἀνθρωπείως φρονεῖν ὑπὸ μεγέ- θους τῆς ἀρχῆς ἐκθειάζων ἑαυτὸν, καὶ τὰ πάντα ἐπ' ἀτιμίᾳ τοῦ θείου πολιτεύειν ἦρτο.

ΚΕΦ. Η'.

Καὶ δὴ στάσεως ἐν Ἀλεξανδρείᾳ γενομένης Ἰουδαίων τε οἱ ἐνοικοῦσι καὶ Ἑλλήνων, τρεῖς ἀφ' ἑκατέρας τῆς στάσεως πρεσβευταὶ αἱρεθέντες παρῆσαν ὡς τὸν Γάϊον. Καὶ ἦν γὰρ τῶν Ἀλεξανδρέων πρέσβεων εἷς Ἀπίων, ὃς πολλὰ εἰς τοὺς Ἰουδαίους ἐβλασφήμησεν, ἄλλα τε λέγων καὶ ὡς τῶν Καίσαρος τιμῶν περιορῷεν· πάντων γοῦν, ὁπόσοι τῇ Ῥωμαίων ἀρχῇ ὑποτελεῖς εἶεν, βωμοὺς τῷ Γαΐῳ καὶ νεὼς ἱδρυμένων, τά τε ἄλλα πᾶσιν αὐτὸν ὥσπερ τοὺς θεοὺς δεχομένων, μόνους τούσδε ἄδοξον ἡγεῖσθαι ἀνδριᾶσι τιμᾶν καὶ ὄρκιον αὐτοῦ τὸ ὄνομα ποιεῖσθαι. Πολλὰ δὲ καὶ χαλεπὰ Ἀπίωνος εἰρηκότος, ὑφ' ὧν ἀρθῆναι ἤλπιζε τὸν Γάϊον καὶ εἰκὸς ἦν, Φίλων ὁ πρεσβεύτης τῶν Ἰουδαίων τῆς πρεσβείας, ἀνὴρ τὰ πάντα ἔνδοξος, Ἀλεξάνδρου τε τοῦ Ἀλαβάρχου ἀδελ- φὸς ὢν καὶ φιλοσοφίας οὐκ ἄπειρος, οἷός τε ἦν ἐπ' ἀπολογίᾳ χωρεῖν τῶν κατηγορημένων. Διακλείει δ' αὐτὸν Γάϊος κελεύσας ἐκποδὼν ἀπελθεῖν, περιοργής τε ὢν φανερὸς ἦν ἐργασόμενός τι δεινὸν αὐτούς. Ὁ δὲ Φίλων ἔξεισι περιῤῥιφισμένος, καὶ φησὶ πρὸς τοὺς Ἰου- δαίους, οἳ περὶ αὐτὸν ἦσαν, ὡς χρὴ θαρρεῖν, Γαΐου λόγῳ μὲν αὐτοῖς ὠργισμένου, ἔργῳ δὲ ἤδη τὸν Θεὸν ἀντιπαρεξάγοντος.

β'. Γάϊος δὲ ἐν δεινῷ φέρων εἰς τοσόνδε ὑπὸ Ἰου- δαίων περιῶφθαι μόνων, πρεσβευτὴν ἐπὶ Συρίας ἐκ- πέμπει Πετρώνιον, διάδοχον Οὐϊτελλίῳ τῆς ἀρχῆς, κελεύων χειρὶ πολλῇ εἰσβάλλοντι εἰς τὴν Ἰουδαίαν, εἰ μὲν ἑκόντες δέχονται, ἱστᾶν αὐτοῦ ἀνδριάντα ἐν τῷ ναῷ τοῦ Θεοῦ, εἰ δ' ἀγνωμοσύνῃ χρῷντο, πολέμῳ

regno adjecit, itidemque pecuniam Agrippæ donavit, et Herodem perpetuo exsilio damnavit, Lugduno Galliæ oppido ei ad habitandum assignato. Cognito deinde sororem Agrippæ esse Herodiadem, ei pecuniam, quæ ad ipsam pertineret, concessit, et, ratus ipsam haud libenter fore calamitatis mariti participem, ipsi præsidio fore fratrem dicebat. At illa, « tu quidem, Imperator, magnifice admo- « dum, sicut dignitatem tuam decebat, ista loquutus es, « sed mihi, quominus tui muneris gratia uterer, impedi- « mento est meus erga maritum amor, cui in secunda for- « tuna quum fuerim socia, non æquum esse censeo ut eum « in adversa desererem. » At ille, ei quod tam elato esset animo vehementer iratus, ipsam quoque cum Herode abegit, ejusque facultates Agrippæ largitus est. Hanc sane Herodiadi, quod fratri adeo inviderit, et Herodi, quod muliebris orationis vanitati fuerit obsequutus, pœnam intulit Deus. Caius porro primo ac sequenti anno egregia cum animi magnitudine res administrabat, atque moderate se gerens benevolentiam sibi conciliabat tam apud Romanos quam ceteros ei subditos : aliquanto autem post imperii magnitudine elatus, more humano de se sentire desiit, semet deum faciens, et in numinis contumeliam nihil non agere ausus est.

CAP. VIII. (X.)

Orta Alexandriæ seditione inter Judæos qui illic habitabant et Græcos, terni legati ex utraque factione lecti apud Caium aderant. Atque unus ex Alexandrinorum legatis erat Apion quidam, qui multa acerbe et malitiose in Judæos dixit, tum alia eis objiciens, tum quod Cæsaris cultum aspernarentur : nam quum omnes qui Romano imperio subditi essent aras ac templa Caio statuerent, prorsusque in aliis ei tanquam numini honorem haberent, solos Judæos turpe existimare statuas illi dedicare ac per nomen ejus jurare. Hæc et alia gravissima Apion quum dixisset, quibus Caium exasperatum iri sperabat, id quod verisimile erat, Philo princeps legationis Judæorum, vir undecunque clarissimus, Alexandrique Alabarchæ frater, et haudquaquam philosophiæ imperitus, ad respondendum ejus criminationibus se parabat. Verum prohibitus est a Caio, jussusque ut ab ipsius conspectu secederet : tantaque erat iracundia, ut nemo dubitaret quin Judæos gravissime esset mulctaturus. At Philo contumelia affectus discessit, Judæisque circumstantibus dixit bono ipsos animo esse oportere, quod Caius verbis quidem ipsis succenseat, re ipsa vero Deum sibi hostem constituerit.

2. Verum Caius indigne ferens a Judæis solis ita se despici, legatum in Syriam mittit Petronium, Vitellii in imperio successorem, jubens ut cum magna manu in Judæam irrumpens, statuam ejus, si sponte quidem eam susciperent, in templo Dei collocaret; sin vero detrectarent,

κρατήσαντα τοῦτο ποιεῖν. Καὶ Πετρώνιος, Συρίαν παραλαβὼν, ἠπείγετο διακονεῖσθαι ταῖς ἐπιστολαῖς τοῦ Καίσαρος· συμμαχίαν δὲ πλείστην ὅσην ἠδύνατο ἀθροίσας, καὶ τάγματα δύο τῆς Ῥωμαίων δυνάμεως ἄγων, ἐπὶ Πτολεμαΐδος παρῆν αὐτόθι χειμάσων, ὡς πρὸς ἔαρ τοῦ πολεμεῖν οὐκ ἀφεξόμενος, καὶ πρὸς τὸν Γάϊον ἔγραφε περὶ τῶν ἐπεγνωσμένων. Ὁ δὲ ἐπῄνει τῆς προθυμίας αὐτὸν, καὶ ἐκέλευε μὴ ἀνιέναι, πολεμεῖν δὲ μὴ πειθομένοις ἐντεταμένως. Ἰουδαίων δὲ πολλαὶ μυριάδες παρῆσαν ὡς τὸν Πετρώνιον εἰς Πτολεμαΐδα κατὰ δεήσεις μὴ ἐπὶ παρανομίᾳ σφᾶς ἐπαναγκάζειν καὶ παραβάσει τοῦ πατρίου νόμου. « Εἰ δὲ σοὶ πάντως « πρόκειται τὸν ἀνδριάντα φέρειν καὶ ἱστᾶν, ἡμᾶς « αὐτοὺς πρότερον μεταχειρισάμενος πρᾶσσε τὰ δεδο- « γμένα. Οὐ γὰρ ἂν δυναίμεθα περιόντες συγχωρεῖν « πράγματα ἡμῖν ἀπηγορευμένα ἀξιώματί τε τοῦ νο- « μοθέτου καὶ προπατόρων τῶν ἡμετέρων, εἰς ἀρετὴν « ἀνήκειν αὐτὰ κεχειροτονηκότων. » Πετρώνιος δὲ ὀργὴν προσλαβὼν εἶπεν, « ἀλλ' εἰ μὲν αὐτοκράτωρ « ὢν βουλεύμασι χρῆσθαι τοῖς ἐμαυτοῦ τάδε πράσσειν « ἐπενόουν, κἂν δίκαιος ἦν ὑμῖν πρός με ὁ λόγος οὗτος· « νῦν δέ μοι Καίσαρος ἐπεσταλκότος, πᾶσα ἀνάγκη « διακονεῖσθαι τοῖς ἐκείνῳ προανεψηφισμένοις, διὰ τὸ « εἰς ἀνηκεστοτέραν φέρειν ζημίαν τὴν παρακρόασιν « αὐτῶν. » « Ἐπεὶ τοίνυν οὕτω φρονεῖς, ὦ Πετρώνιε, « φασὶν οἱ Ἰουδαῖοι, ὡς μὴ ἂν ἐπιστολὰς τὰς Γαΐου πα- « ρελθεῖν, οὐδ' ἂν αὐτοὶ παραβαίημεν τοῦ νόμου τὴν « προαγόρευσιν, Θεῷ πεισθέντες κἀρετῇ καὶ πόνοις « τῶν ἡμετέρων προγόνων εἰς νῦν ἀπαράβατοι μεμε- « νηκότες, οὐδ' ἂν τολμήσαιμεν ἐπὶ τοσοῦτον κακοὶ γε- « νέσθαι, ὥστε ὁπόσα ἐκείνῳ δόξειε μὴ πρασσόμενα « ἀγαθοῦ ῥοπὴν ἡμῖν φέρειν, αὐτοὶ παραβαίνειν ποτ' ἂν « θάνατον φοβηθέντες. Ὑπομενοῦμεν δὲ εἰς τύχας « ἰόντες, ἐπὶ φυλακῇ τε πατρίων καὶ κινδυνεύειν προ- « θεμένοις ἐλπίδα οὖσαν ἐξεπιστάμενοι κἂν περιγενέσθαι, « διά τε τοῦ Θεοῦ τὸ στησόμενον μεθ' ἡμῶν, ἐπὶ τιμῇ « τε τῇ ἐκείνου τὰ δεινὰ ὑποδεχομένων, καὶ τῆς τύχης « τὸ ἐπ' ἀμφότερα φιλοῦν τοῖς πράγμασι παρατυγχάνειν· « ἐκ δὲ τοῦ σοὶ πείθεσθαι πολλὴν μὲν λοιδορίαν τοῦ « ἀνάνδρου προσκεισομένην, ὡς δι' αὐτὸ παράβασιν « τοῦ νόμου προσποιουμένοις, καὶ ἅμα πολλὴν ὀργὴν « τοῦ Θεοῦ, ὃς καὶ παρὰ σοὶ δικαστῇ γένοιτο ἂν βελτίων « Γαΐου. »

γ'. Καὶ ὁ Πετρώνιος ἐκ τῶν λόγων θεασάμενος δυσνίκητον αὐτῶν τὸ φρονοῦν καὶ μὴ ἂν ἀμαχὶ δύναμιν αὐτῷ παραγενέσθαι διακονήσασθαι τῷ Γαΐῳ τὴν ἀνάθεσιν τοῦ ἀνδριάντος, πολὺν δὲ ἔσεσθαι φόνον, τούς τε φίλους ἀναλαβὼν καὶ θεραπείαν, ἣ περὶ αὐτὸν ἦν, ἐπὶ Τιβεριάδος ἠπείγετο, χρήζων κατανοῆσαι τῶν Ἰουδαίων τὰ πράγματα ὡς ἔχοι. Καὶ Ἰουδαῖοι μέγαν ἡγούμενοι τὸν ἐκ τοῦ πρὸς Ῥωμαίους πολέμου κίνδυνον, πολὺ μείζονα δὲ κρίνοντες τὸν ἐκ τοῦ παρανομεῖν, αὖθις πολλαὶ μυριάδες ὑπηντίαζον Πετρώνιον εἰς τὴν Τιβεριάδα γενόμενον, καὶ ἱκετείᾳ χρώμενοι μηδαμῶς εἰς ἀνάγκας

postquam eos vicisset id ipsum faceret. Petronius, susceptа Syriæ administratione, Cæsaris exsequi jussa properabat : contractisque quantum poterat auxiliis, et duabus Romanorum legionibus assumptis, Ptolemaidem veniebat, ut illic hiberna ageret, *primo* vere bellum acriter gesturus, quodque decreverat Caio per literas significabat. Ille vero, collaudata ejus alacritate, hortatus est eum ad agendum gnaviter, bellumque illis inferendum qui imperata non facerent. Judæorum autem multa millia Ptolemaidem venerunt ad Petronium, orantium ne ad transgrediendum et patria instituta violanda cogerentur. « Quodsi, *inquiunt*, « tibi omnino constitutum est statuam afferre et collocare, « nobismetipsis prius interfectis quæ tibi visa sunt perfice; « nam usque dum vivimus, non est ut ea fieri patiamur « quæ nobis vetita sunt, et legislatoris auctoritate et proa- « vorum nostrorum, qui ea ut vetarentur ad virtutem spe- « ctare suffragiis suis confirmarunt. » Ad hæc Petronius iratus respondit : « si ita facere cogitarem meapte au- « ctoritate, meisque ipsius consiliis obsequutus, æqua et « honesta videretur vestra postulatio : nunc autem quum « Cæsar ista fieri jusserit, necesse omnino habeo ejus de- « cretis morem gerere, ne illis non obtemperando malum « mihi gravissimum accersam. » Cui Judæi : quoniam « itaque hæc tua sententia est, o Petroni, nihil eorum quæ « Caius præceperit omittendum esse, neque par est ut nos « contra legis interdictum quidquam faciamus, qui Deo et « virtute freti et majorum nostrorum perpessionibus huc- « usque in obedientia perseveravimus; neque erit ut sus- « tineamus adeo nequiter agere, ut quæ Deus, si ea « observemus, statuerit nobis in bonum cessura esse, ea « mortis metu transgrediamur. Verum quamlibet cala- « mitatem perferemus, dummodo leges patriæ maneant « incolumes, ut qui certo scimus effugii spem illos manere, « quibus propositum est periculis sese objicere, quod Deus « a nobis erit, si propter ejus honorem gravia patiamur « et ancipitem fortunæ aleam experiamur; sin vero tibi « pareamus, magnum ignaviæ dedecus admissuros esse, « ut qui ex ea id nobis assumpserimus ut legem violaremus, « simulque Deum nobis vehementer iratum habituros, qui « vel te judice non potest non esse Caio præstantior. »

3. Tunc Petronius, quum ex verbis illorum perspexisset quam obstinato et pervicaci essent animo, neque sine pugna fieri posse ut Caio in statua dedicanda operam suam præstaret, sed multam factum iri cædem, assumptis amicis et famulitio quod secum habuerat, Tiberiadem properabat, ea mente ut quo in statu Judæorum res essent dispiceret. Atque Judæi secum reputantes magnum sibi ex bello cum Romanis imminere periculum, multoque adhuc majus ex legibus violatis adituros esse, iterum ad multa millia occurrunt Petronio quum ad Tiberiadem venisset, supplicantes ne se ad ejusmodi necessitatem adigeret, neve statuæ cre-

τοιαύτας αὐτοὺς καθιστᾶν, μηδὲ μιαίνειν ἀνδριάντος ἀναθέσει τὴν πόλιν. « Πολεμήσετε ἄρα Καίσαρι, Πετρώνιος ἔφη, μήτε τὴν ἐκείνου παρασκευὴν λογιζόμενοι μήτε τὴν ὑμετέραν ἀσθένειαν; » Οἱ δὲ, « οὐδαμῶς « πολεμήσομεν, ἔφασαν, τεθνηξόμεθα δὲ πρότερον ἢ « παραβῆναι τοὺς νόμους· » ἐπί τε τὰ πρόσωπα κείμενοι καὶ τὰς σφαγὰς προδεικνύντες ἕτοιμοι καὶ κτίννυσθαι ἔλεγον εἶναι. Καὶ ταῦτα ἐπράσσετο ἐπὶ ἡμέρας τεσσαράκοντα, καὶ τοῦ γεωργεῖν ἀπερίοπτοι λοιπὸν ἦσαν, καὶ ταῦτα τῆς ὥρας οὔσης πρὸς σπόρῳ· πολλή τε ἦν προαίρεσις αὐτοῖς καὶ τοῦ θνήσκειν ἐπιθυμίας πρόθεσις ἢ τὴν ἀνάθεσιν τοῦ ἀνδριάντος θεάσασθαι.

δ'. Ἐν τοιούτοις δὲ ὄντων τῶν πραγμάτων, Ἀριστόβουλος ὁ Ἀγρίππα τοῦ βασιλέως ἀδελφὸς καὶ Ἑλκίας ὁ μέγας, ἄλλοι τε οἱ κράτιστοι τῆσδε τῆς οἰκίας, καὶ οἱ πρῶτοι σὺν αὐτοῖς, εἰσίασιν ὡς τὸν Πετρώνιον παρακαλοῦντες αὐτὸν, « ἐπειδὴ τὴν προθυμίαν ὁρᾷ τῆς πληθύος, μηδὲν εἰς ἀπόνοιαν αὐτῆς παρακινεῖν, ἀλλὰ γράφειν πρὸς Γάϊον τὸ ἀνήκεστον αὐτῶν πρὸς τὴν ὑποδοχὴν τοῦ ἀνδριάντος, πῶς τε ἀποστάντες τοῦ γεωργεῖν ἀντικαθέζονται, πολεμεῖν μὲν οὐ βουλόμενοι διὰ τὸ μηδ' ἂν δύνασθαι, θανεῖν δ' ἔχοντες ἡδονήν, πρὶν παραβῆναι τὰ νόμιμα αὐτοῖς, πῶς τε ἀσπόρου τῆς γῆς γενομένης λῃστείαι ἂν φύοιντο, ἀδυναμίᾳ καταβολῆς τῶν φόρων. Ἴσως γὰρ ἂν ἐπικλασθέντα τὸν Γάϊον μηδὲν ὠμὸν διανοηθῆναι μηδὲ ἐπ' ἀναστάσει φρονῆσαι τοῦ ἔθνους, ἐμέμνοντος δὲ τῇ τότε βουλῇ τοῦ πολεμεῖν, τότε δὴ καὶτὸν ἅπτεσθαι τοῦ πράγματος. » Καὶ οἱ μὲν ἀμφὶ τὸν Ἀριστόβουλον ἐπὶ τούτοις τὸν Πετρώνιον παρεκάλουν. Πετρώνιος δὲ, τοῦτο μὲν τῶν περὶ τὸν Ἀριστόβουλον παντοίως ἐπικειμένων, διὰ τὸ ὑπὲρ μεγάλων ποιεῖσθαι τὴν δέησιν, καὶ πάσῃ μηχανῇ προσχρησαμένων εἰς τὰς ἱκετείας, τοῦτο δὲ καὶ τῶν Ἰουδαίων θεώμενος τὴν ἀντιπαράταξιν τῆς γνώμης, καὶ δεινὸν ἡγούμενος τοσαῖσδε μυριάσιν ἀνθρώπων, μανίᾳ τῇ Γαΐου διακονούμενος, ἐπαγαγὼν θάνατον, ἐν αἰτίᾳ τὸ πρὸς Θεὸν σεβάσμιον ἔχειν, καὶ μετὰ πονηρᾶς τὸν μετὰ ταῦτα βίον ἐλπίδος διαιτᾶσθαι, πολὺ κρεῖσσον ἡγεῖτο ἐπιστεῖλαι τῷ Γαΐῳ * * τὸ ἀνήκεστον αὐτοῦ, ὀργῇ φέροντος μὴ ἐκ τοῦ ὀξέος δεδιακονημένου αὐτοῦ ταῖς ἐπιστολαῖς· τάχα μὲν γὰρ καὶ πείσειν, καὶ τῇ τὸ πρῶτον μανίᾳ τῆς γνώμης ἐπιμένοντος, ἅψασθαι πολέμου τοῦ πρὸς αὐτούς· εἰ δ' ἄρα τι καὶ κατ' αὐτοῦ τρέποιτο τῆς ὀργῆς, καλῶς ἔχειν τοῖς ἀρετῆς μεταποιουμένοις· ὑπὲρ τοσῆσδε ἀνθρώπων πληθύος τελευτᾶν. Ἔκρινε γοῦν πιθανὸν ἡγεῖσθαι τῶν δεομένων τὸν λόγον.

ε'. Συγκαλέσας δὲ εἰς τὴν Τιβεριάδα τοὺς Ἰουδαίους, (οἱ δὲ ἀφίκοντο πολλαὶ μυριάδες,) καταστὰς ἐπ' αὐτοὺς τήν τε ἐν τῷ παρόντι στρατείαν οὐ γνώμης ἀπέφηνε τῆς αὐτοῦ, τοῦ δὲ αὐτοκράτορος τῶν προσταγμάτων, τὴν ὀργὴν οὐδὲν εἰς ἀναβολὰς, ἀλλ' ἐκ τοῦ παραχρῆμα ἐπιφέρεσθαι τοῖς πράγμασι τοῖς παρακροᾶσθαι θάρσος

ction urbem pollueret. « An igitur, inquit Petronius, « bellum Cæsari illaturi estis, neque ejus apparatus, neque « vestram imbecillitatem expendentes? » At illi, minime, inquiunt, bellum gesturi sumus, sed moriemur citius « quam ut contra legem aliquid faciamus : » simulque proni procumbentes, jugulosque porrigentes, ad mortem oppetendam se paratos esse aiebant. Atque hæc per quadraginta dies agebantur, et a terra colenda interim cessabant, idque quum sementis faciundæ tempus esset : firmiterque permanebant in suscepto consilio propositoque moriendi desiderio, antequam statuam positam conspecturi essent.

4. Quum autem res ita essent, Aristobulus Agrippæ regis frater, et Helcias *cognomine* Magnus, cum aliis istius familiæ optimatibus et primoribus Judæorum, Petronium adeunt, ei supplicantes « ut, quum perspectam haberet obstinatam populi voluntatem, nihil furiose moveret quo eos in desperationem ageret, quin potius Caio scriberet quemadmodum Judæi nullis rationibus ad statuam recipiendam adduci possint; utque terræ cultura relicta ex adverso sedeant, bellum quidem gerere recusantes, quippe quod eis vires desint, lubentissime vero morituri, prius quam aliquid contra patria instituta admittant; atque semente omissa latrocinia commissuri sint, quod nihil eis suppetat ad tributa solvenda. Fortasse enim Caium de sententia moveri posse, ut nihil sævius statuat, neque de gente evertenda amplius cogitet. Quodsi in eo consilio persistat ut bellum inferat, tunc et ipsi licere ad rem aggredi. » Et Aristobulus quidem et qui cum eo erant ad ista Petronium adhortati sunt. At Petronio, partim quidem Aristobulo ceterisque vehementius instantibus, ut qui pro rebus magni momenti preces adhiberent, atque omni arte et studio supplicationi incumberent, partim vero quod videret Judæorum in contrario proposito constantiam, indignumque duceret tot hominum millia, dum Caii insaniæ gratificatum iret, morte mulctando, vitio vertere pietatem et religionem erga Deum, ac deinceps magna cum sollicitudine vitam agere; longe satius videbatur, ut per literas Caio significaret, etsi sciebat graviter laturum, quod non ocius exsequutus fuerit quæ jusserat, (forsan enim et ipsi quidem persuasurum esse,) dein si in eadem ac antea permanserit mentis insania, ad bellum cum eis gerendum sese accincturum; sin vero iram ipsius in se convertat, decere virtutis cultores pro tanta hominum multitudine mortem non defugere. Statuit itaque supplicum orationi auscultare.

5. Quum autem Judæos ad Tiberiadem convocasset, qui etiam ad multa hominum millia eo veniebant, accedens ad eos, præsentem expeditionem non sua voluntate susceptam esse declarabat, sed Cæsaris mandato, ut sine mora statim in eos ira effunderetur, qui ea detrectare ausi fuerint quæ facere decreverat : quandoquidem sibi conveniret, qui

εἰσφερομένοις· ᾧ καλῶς ἔχειν τόν γε τιμῆς τοσαυτης ἐπιτετευχότα συγχωρήσει τῇ ἐκείνου οὐδὲν ἐναντίον πράσσειν. « Οὐ μὴν δίκαιον ἡγοῦμαι ἀσφάλειάν τε « καὶ τιμὴν τὴν ἐμαυτοῦ μὴ οὐχ ὑπὲρ τοῦ ὑμετέρου μὴ « ἀπολουμένου τοσούτων ὄντων ἀναλοῦν, διακονουμέ- « νων τῇ ἀρετῇ τοῦ νόμου, ὃν πάτριον ὄντα περιμάχη- « τον ἡγεῖσθε, καὶ τῇ ἐπὶ πᾶσιν ἀξιώσει καὶ δυνάμει « τοῦ Θεοῦ, οὗ τὸν ναὸν οὐκ ἂν περιιδεῖν τολμήσαιμι « ὕβρει περιπεσεῖν τῆς τῶν ἡγεμονευόντων ἐξουσίας. « Στέλλω δὲ ὡς Γάϊον γνώμας τε τὰς ὑμετέρας διασα- « φῶν καί πη καὶ συνηγορίᾳ χρώμενος ὑπὲρ τοῦ μὴ « ὑμᾶς παρορᾶν πεισομένους ἐφ' οἷς προὔθεσθε ἀγαθοῖς. « Καὶ συμπράσσοι μὲν ὁ Θεὸς (βελτίων γὰρ ἀνθρωπίνης « μηχανῆς καὶ δυνάμεως ἡ κατ' ἐκεῖνον ἐξουσία) « πρυτανεύων ὑμῖν τε τὴν τήρησιν τῶν πατρίων, καὶ « αὐτῷ τὸ μηδὲν ἀνθρωπείαις παρὰ γνώμην βουλήσεσι « τιμῶν τῶν εἰωθυιῶν ἁμαρτεῖν. Εἰ δ' ἐκπικρανθεὶς « Γάϊος εἰς ἐμὲ τρέψει τὸ ἀνήκεστον τῆς ὀργῆς, τλή- « σομαι πάντα κίνδυνον καὶ πᾶσαν ταλαιπωρίαν συν- « ιοῦσαν τῷ σώματι καὶ τῇ ψυχῇ, ὑπὲρ τοῦ μὴ ὑμᾶς « τοσούσδε ὄντας ἐπὶ οὕτως ἀγαθαῖς πράξεσι διαλλυμέ- « νους θεωρεῖν. Ἄπιτε οὖν ἐπὶ ἔργα τὰ αὑτῶν ἕκαστοι « καὶ τῇ γῇ ἐπιπονεῖτε. Πέμψω δ' αὐτὸς ἐπὶ Ῥώμης, « καὶ τὰ πάντα ὑπὲρ ὑμῶν δι' ἐμαυτοῦ καὶ τῶν φίλων « οὐκ ἀποτραπήσομαι διακονεῖν. »

ς'. Ταῦτα εἰπὼν καὶ διαλύσας τῶν Ἰουδαίων τὸν σύλλογον, προμηθεῖσθαι τῶν εἰς τὴν γεωργίαν ἠξίου τοὺς ἐν τέλει καὶ καθομιλεῖν τὸν λαὸν ἐλπίσι χρηστοῖς. Καὶ ὁ μὲν εὐθυμεῖν τὸ πλῆθος ἔσπευδεν· ὁ Θεὸς δὲ παρουσίαν ἐπεδείκνυε τὴν αὐτοῦ Πετρωνίῳ καὶ τὴν ἐπὶ τοῖς ὅλοις σύλληψιν. Ἅμα τε γὰρ ἐπαύετο τοῦ λόγου, ὃν πρὸς τοὺς Ἰουδαίους εἶπε, καὶ αὐτίκα ὑετὸν ἠφίει μέγαν παρ' ἐλπίδα τοῖς ἀνθρώποις γενόμενον, διὰ τὸ ἐκείνην τὴν ἡμέραν αἴθριον οὖσαν ἔωθεν οὐδὲν ὄμβριον ἀποσημαίνειν ἐκ τῶν περὶ τὸν οὐρανόν, καὶ τὸ πᾶν ἔτος αὐχμῷ μεγάλῳ κατεσχημένον ἐπ' ἀπογνώσει ποιεῖν τοὺς ἀνθρώπους ὕλατος τοῦ ἄνωθεν, εἰ καὶ σύννεφόν ποτε θεάσαιντο τὸν οὐρανόν· ὥστε δὴ τότε πολλοῦ καὶ παρὰ τὸ εἰωθὸς καὶ παρὰ τὸ ἑτέρως δόξαν ἐφιγμένου ὕδατος, τοῖς τε Ἰουδαίοις ἐλπὶς ἦν οὐδαμῶς ἀτυχήσειν Πετρώνιον ὑπὲρ αὐτῶν δεόμενον. Ὁ Πετρώνιος δὲ κατεπέπληκτο μειζόνως, ὁρῶν ἐναργῶς τὸν Θεὸν τῶν Ἰουδαίων προμηθούμενον, καὶ πολλὴν ἀποσημήναντα τὴν ἐπιφάνειαν, ὡς μηδ' ἂν τοῖς ἔργῳ προθεμένοις τἀναντία φρονεῖν ἰσχὺν ἀντιλέξεως καταλελεῖφθαι. Ὡς δὲ καὶ πρὸς τὸν Γάϊον σὺν τοῖς λοιποῖς ὁπόσα ἔγραφεν ** ἐπαγωγὰ δ' ἦν τὰ πάντα καὶ παντοίως παρακαλοῦντα μὴ τοσαύτας μυριάδας ἀνθρώπων ἀπονοεῖν, ἃς εἰ κτείνοι, (οὐ γὰρ δίχα γε πολέμου παραχωρήσειν τοῦ νομίμου τῆς θρησκείας,) προσόδου τε τῆς ἀπ' αὐτῶν ἀποστερεῖσθαι καὶ τῷ τροπαίῳ τῆς ἀρᾶς ὑποτίθεσθαι τὸν μέλλοντα αἰῶνα. Καὶ ἄλλως θείου τοῦ προεστηκότος αὐτῶν τὴν δύναμιν ὡς ἀκραιφνῆ ἀπέφαινε, καὶ μηδὲν ἐνδοίαστον

illius gratia et beneficio tantum honoris assequutus fuerat, ei obsequium præstare. « Haud tamen, *inquit*, æquum esse « arbitror ut salutem honoremque meum non pro vestra « incolumitate, qui multi admodum estis, impendam, dum « operam vestram virtuti lege præceptæ addicitis, pro qua « utpote patria modis omnibus contendendum esse existi- « matis. Mihique, summa Dei auctoritate et potentia freto, « religio erit templum pati principum licentia profanari. « Caio itaque mittam, ut eum de vestra voluntate certiorem « faciam, quantum possum causam adjuvans, ne vos ne- « gligam passuros ob ea quæ honeste vobismet proposuistis. « Auxilioque sit Deus (illius enim potestas omni arte hu- « mana et potentia superior est) et ita pro imperio faxit, « ut et vos patrios ritus servetis, nec ille, humanis cupidi- « tatibus modum transgressus, etiam consuetis honoribus « excidat. Quodsi Caius exacerbatus graviter mihi suc- « censeat et irascatur, quodvis discrimen adibo, omnemque « feram calamitatem, quæ in corpus animamque inciderit, « ne vos tot numero pro iis quæ honeste facitis per- « euntes videam. Abite igitur quo suum quemque vocat « negotium, et agriculturæ incumbite. Ipse autem Ro- « mam literas mittam, nec quidquam, quod in rem ve- « stram sit, tam per me quam per amicos, agere recu- « sabo. »

6. Quum ista dixisset et Judæorum concionem dimisisset, magistratus hortabatur ut agrorum colendorum curam ageret, et alloquiis suis populum ad meliora speranda animarent. Et ille quidem multitudinem exhilarare properabat : Deus autem Petronio præsentiam suam declarabat, seque illi in omnibus adjutorem fore. Simul enim ac ille orationem finierat quam habuit ad Judæos, Deus pluviam ingentem demisit præter hominum exspectationem, quod illa dies utpote serena admodum mane nullum pluviæ signum e cœlo dederit, siccitasque magna per totum annum fecerit homines desperare de aqua superne descensura, etiamsi cœlum nubibus obductum cernerent. Quapropter quum largus imber tunc præter solitum et opinionem ingrueret, spes facta est Judæis non irritam fore Petronii pro ipsis supplicationem. Quin et Petronius eo magis admiratione perculsus est, ubi ei perspicuum erat Deum res Judæorum curare, clareque indicare se illis præsentem adesse, adeo ut qui revera aliter sentire in animum induxerant, quidquam contradicere non valerent. Qui quum etiam Caio inter alia quæ scripserat ** omnia autem accommodata erant ad suadendum, eumque modis omnibus hortandum, ne tam multa millia hominum ad insaniam adigeret, quos si interficeret, (non enim nisi bello compulsos a religione patria discessuros,) se ipsum mulctaret reditibus ex ea gente accipiendis, et insigni apud eam maledicto et contumeliæ sese subjiceret in omne ævum. Prætereaque Dei, qui illis præerat, potestatem ut manifestam ostendebat, quæ-

ἐπὶ δυνάμει τῇ αὐτοῦ ἐπιδείκνυσθαι καταλείπουσαν. Καὶ Πετρώνιος μὲν ἐν τούτοις ἦν.

ζ'. Ἀγρίππας δὲ ὁ βασιλεὺς (ἐτύγχανε γὰρ ἐπὶ Ῥώμης διαιτώμενος) προὔκοπτε φιλίᾳ τῇ πρὸς τὸν Γάϊον μειζόνως. Καί ποτε προθεὶς δεῖπνον αὐτῷ, καὶ πρόνοιαν ἔχων πάντας ὑπερβαλέσθαι τέλεσί τε τοῖς εἰς τὸ δεῖπνον καὶ παρασκευῇ τοῦ εἰς ἡδονὴν φέροντος, ὡς μὴ ὅπως ἄν τινα τῶν λοιπῶν, ἀλλὰ μηδ' αὐτὸν Γάϊόν ποτε ἰσωθῆναι θελήσοντα οὐχ ὅπως ὑπερβαλέσθαι· τοσοῦτον ἀνὴρ τῇ παρασκευῇ πάντας ὑπερῆρε καὶ τῷ τὰ πάντα Καίσαρι ἐκφροντίσας παρασχεῖν· καὶ ὁ Γάϊος ἐκθαυμάσας τήν τε διάνοιαν αὐτοῦ καὶ τὴν μεγαλοπρέπειαν, ὡς ἐπ' ἀρεσκείᾳ τῇ αὐτοῦ βιάζοιτο καὶ ὑπὲρ δύναμιν τῶν χρημάτων εὐπορίᾳ χρῆσθαι, βουλόμενός τε μιμήσασθαι τὴν Ἀγρίππα φιλοτιμίαν ἐφ' ἡδονῇ τῇ αὐτοῦ πρασσομένην, ἀνειμένος ὑπὸ οἴνου καὶ τὴν διάνοιαν εἰς τὸ ἱλαρώτερον ἐκτετραμμένος, φησὶν ἐν συμποσίῳ, παρακαλοῦντος εἰς πότον Ἀγρίππα, « καὶ πρότερον « μέν σοι τιμὴν συνῄδειν ἣ ἐγρῶ τὰ πρὸς ἐμέ, καὶ « πολλὴν εὔνοιαν μετὰ κινδύνων ἀποδειχθεῖσαν, οἷς « ὑπὸ Τιβερίου περιέστης δι' αὐτήν, ἐπιλείπεις τε οὐ« δὲν καὶ ὑπὲρ δύναμιν ἀρετῇ χρῆσθαι τῇ πρὸς ἡμᾶς. « Ὅθεν (αἰσχρὸν γὰρ ἡσσᾶσθαί με ὑπὸ τῆς σῆς σπου« δῆς) ἀναλαβεῖν βούλομαι τὰ ἐλλελειμμένα πρότερον. « Ὀλίγον γὰρ πᾶν ὁπόσον σοι δωρεῶν ἐχόμενον ἀπε« μοιρασάμην· τὸ δὲ πᾶν, ὅπερ σοι ῥοπὴν ἂν προσ« θείη τοῦ εὐδαίμονος, δεδιακονήσεταί σοι προθυμία « τε καὶ ἰσχύϊ τῇ ἐμῇ. » Καὶ ὁ μὲν ταῦτα ἔλεγεν, οἰόμενος γῆν τε πολλὴν αἰτήσεσθαι, ἢ καί τινων προσόδους πόλεων. Ὁ δὲ, καίπερ τὰ πάντα ἐφ' οἷς αἰτήσαι παρεσκευασμένος, οὐκ ἐφανέρου τὴν διάνοιαν, ἀλλ' ἐκ τοῦ ὀξέος ἀμείβεται τὸν Γάϊον « ὅτι οὔτε πρότερον κέρδος τὸ ἀπ' αὐτοῦ καραδοκῶν παρὰ τὰς Τιβερίου ἐντολὰς θεραπεύσειεν αὐτὸν, οὔτε νῦν πράσσειν τι τῶν εἰς χάριν τὴν ἐκείνου κερδῶν οἰκείων ἔν τισι λήψεσι· μεγάλα δὲ εἶναι τὰ προδεδωρημένα, καὶ περαιτέρω τῷ θράσει χρωμένου τῶν ἐλπίδων· καὶ γὰρ εἰ τῆς σῆς ἐλάττονα γέγονε δυνάμεως, τῆς γέ μου τοῦ εἰληφότος διανοίας τε καὶ ἀξιώσεως μείζονα. » Καὶ ὁ Γάϊος, ἐκπλαγεὶς τὴν ἀρετὴν αὐτοῦ, πλειόνως ἐνέκειτο εἰπεῖν ὅ τι χαρίζοιτ' ἂν αὐτῷ παρασχόμενος. Ὁ δὲ, « ἐπείπερ, ὦ δέσποτα, προθυμίᾳ τῇ σῇ δωρεῶν με « ἄξιον ἀποφαίνεις, αἰτήσομαι τῶν μὲν εἰς ὄλβον φε« ρόντων οὐδέν, διὰ τὸ μεγάλως με ἐνδιαπρέπειν οἷς « ἥδη παρέσχες· ὅ τι δ' ἂν σοὶ δόξαν προσποιῇ τοῦ εὐσε« βοῦς, καὶ τὸ θεῖον σύμμαχον ἐφ' οἷς θελήσειας παρα« καλῶ, καμοὶ πρὸς εὐκλείας γένοιτο παρὰ τοῖς πυν« θανομένοις, ὡς μηδενὸς ὢν χρησαίμην ὑπὸ τῆς σῆς « ἐξουσίας ἀτυχεῖν πώποτε γνόντι. Ἀξιῶ γάρ σε τοῦ « ἀνδριάντος τὴν ἀνάθεσιν, ἣν ποιήσασθαι κελεύεις « Πετρώνιον εἰς τὸ Ἰουδαίων ἱερὸν, μηκέτι πράσσειν « διανοεῖσθαι. »

η'. Καὶ ὁ μὲν, καίπερ ἐπικίνδυνον τοῦτο ἡγούμενος, (εἰ γὰρ μὴ πιθανὰ ἔκρινε Γάϊος, οὐδὲν ἄλλο ἢ εἰς

que nihil dubium relinquat ad vim suam demonstrandam. Et in istis quidem erat Petronius.

7 Rex autem Agrippa, qui tum forte Romæ versabatur, magis magisque apud Caium amicitia proficiebat. Quumque aliquando eum convivio excipieret, idque magno studio curaque ageret, ut cunctos et impensis in epulas factis et in omnibus ad delicias et voluptates apparandis superaret, ita ut nemo e ceteris, immo nec ipse Caius de istis æquandis cogitarit, multo minus superandis, (adeo ille universis epularum apparatu facile præstitit, desiderioque omnia Cæsari suppeditandi;) tum Caius animi ergo et magnificentiæ eum admiratus, ut qui etiam supra facultates sumptibus immensis sibi placere contenderit, volensque Agrippæ liberalitatem ad sui oblectationem accommodatam æmulari, quum animus vino laxatus esset et ad multam hilaritatem traductus, dixit in convivio, ipsum ad bibendum invitante Agrippa, « et antea jam tibi conscius eram honoris quo « me prosequutus es, et quantam mihi benevolentiam osten« disti, etiamsi ex ea te circumsteterint pericula a Tiberio « intentata; et nunc nihil omittis quo mihi fere ultra quam « possis gratificeris. Quare, quum turpe mihi sit a te vinci « tua erga me voluntate et studio, omnia quibus antea tibi « deeram jam adjecta esse volo. Quod ad munera attinet « quæ tibi dedi, ea levidensia esse fateor: id autem totum, « quod tibi aliquid conferat ad felicitatem complendam, « alacriter et quoad potero tibi suppeditabo. » Et ille quidem ista dicebat, ratus ampla latifundia postulaturum aut urbium aliquarum vectigalia. Is vero, quamvis ipsi decretum esset quid peteret, id tamen animo reticebat, et statim Cajo respondet, « quod neque prius, contra quam mandaverat Tiberius, illum coluerit, ut qui lucri aliquid exspectaret; neque jam in ejus gratiam quidquam agere, ut inde vel minimum lucri sibi quæreret. Abunde autem magna esse priora ejus beneficia, et ultra quam speraret quisquam paulo arrogantior: nam etsi minora essent quam quæ dare potueras, mea tamen qui ea acceperim exspectatione et dignitate sunt majora. » Tum Caius, eum propter animi continentiam admiratus, magis instabat ut diceret, quidnam a se datum iri voluerit. Cui ille, « quo« niam ex tua in me benevolentia, domine, præ te fers me « dignum haberi cui præterea aliquid largiaris, nihil quidem « eorum quæ ad me locupletandum attinent a te postulabo, « quippe quod tuæ gratiæ acceptum debeam ut iis rebus « præter ceteros excellam; illud vero te rogo, quod pietatis « gloriam tibi conciliabit, facietque ut Deus tuæ voluntati « faveat et adjutor sit, et mihi ad existimationem pulcrum « erit apud eos qui fama id acceperint, ut qui certum habue« rim omnia propter tuam potestatem impetraturum esse « quorum opus mihi fuerit. Oro igitur et obsecro te ut de « statuæ dedicatione in Judæorum templo, mandata Petro« nio, nolis amplius cogitare. »

8. Et ille quidem licet hoc periculi plenum duceret, (nam quæ persuaderi non poterant Caio ea mortem certis-

θάνατον ἔφερεν,) διὰ τὸ μεγάλα νομίζειν τε καὶ εἶναι, κύβον ἀναρριπτεῖν τὸν ἐπ' αὐτοῖς ἡγεῖτο. Γάϊος δὲ ἅμα τῇ θεραπείᾳ τοῦ Ἀγρίππα ἐνειλημμένος καὶ ἄλλως ἀπρεπὲς ὑπολαμβάνων ἐπὶ τοσῶνδε μαρτύρων ψευδὴς γενέσθαι περὶ ὧν προθύμως ἐδιάζετο αἰτεῖσθαι τὸν Ἀγρίππαν, μετὰ τοῦ ὀξέος μεταμέλῳ χρώμενος, ἅμα δὲ τοῦ Ἀγρίππα τὴν ἀρετὴν θαυμάσας, ὅτι ἐν ὀλίγῳ * αὔξειν τὴν οἰκείαν ἀρχὴν ἤτοι προσόδοις χρημάτων ἢ ἄλλῃ δυνάμει τοῦ κοινοῦ τῆς εὐθυμίας ἐπεμελοῖτο, πρεσβεύων τοὺς νόμους καὶ τὸ θεῖον συγχωρεῖ, καὶ γράφει πρὸς τὸν Πετρώνιον, ἐκεῖνόν τε τῆς ἀθροίσεως τοῦ στρατεύματος ἐπαινῶν καὶ τοῦ πρὸς αὐτὸν περὶ αὐτῶν ἀπεσταλκότος. « Νῦν οὖν εἰ μὲν φθάνεις τὸν ἀνδριάντα « ἑστακὼς, ἑστάτω· εἰ δὲ μήπω πεποίησαι τὴν ἀνάθε- « σιν, μηδὲν περαιτέρω κακοπαθεῖν, ἀλλὰ τόν τε στρα- « τὸν διάλυε καὶ αὐτὸς ἐφ' ἃ τὸ πρῶτόν σε ἔστειλα ἄπιθι. « Οὐδὲν γὰρ ἐπιδέομαι τῆς ἀναστάσεως τοῦ ἀνδριάν- « τος, Ἀγρίππᾳ χαριζόμενος ἀνδρὶ παρ' ἐμοὶ τιμωμένῳ « μειζόνως ἢ ὥστε μὲ χρείᾳ τῇ ἐκείνου καὶ οἷς κελεύ- « σειεν ἀντειπεῖν. » Γάϊος μὲν δὴ ταῦτα γράφει πρὸς τὸν Πετρώνιον, πρότερον ἢ ἐντυχεῖν ταῖς αὐτοῦ ἐπιστολαῖς ἐμφαινούσαις ἐπὶ ἀποστασίᾳ Ἰουδαίους κατὰ τὸν ἀνδριάντα ἐπείγεσθαι· μηδὲν γὰρ ἕτερον ἀποσημαίνειν τὴν διάνοιαν αὐτῶν, ἀλλὰ πόλεμον ἀντικρυς Ῥωμαίοις ἀπειλεῖν. Καὶ περιαλγήσας ὡς ἐπὶ πείρᾳ τῆς ἡγεμονίας αὐτοῦ τετολμηκότων, ἀνὴρ ἐπὶ πᾶσιν ἥσσων μὲν τοῦ αἰσχροῦ, κρείσσων δὲ τοῦ βελτίστου, καὶ ἐφ' οἱστισι κρίνειεν ὀργῇ χρῆσθαι παρ' ὀντινοῦν ἐπειγόμενος, παίδευσιν αὐτῆς οὐδ' ἡντινοῦν προστιθεὶς, ἀλλ' ἐφ' ἡδονῇ τιθεὶς τῇ ἐκείνης τὴν κρίσιν τοῦ εὐδαίμονος, γράφει πρὸς τὸν Πετρώνιον, « ἐπειδὴ δῶρα ὁπόσα σοι οἱ Ἰουδαῖοι « παρέσχον ἐν μείζονι λόγῳ τῶν ἐμῶν πεποίησαι ἐντο- « λῶν, διακονεῖσθαι τὰ πάντα ἡδονῇ τῇ ἐκείνων ἀρθεὶς, « ἐπὶ παραβάσει τῶν ἐμῶν ἐντολῶν, κελεύω σε σαυτῷ « κριτὴν γενόμενον λογίσασθαι περὶ τοῦ ποιητέου σοι « ὑποστάντα ὀργῇ τῇ ἐμῇ, ἐπεί τοι παράδειγμα ποιοῖμ' « ἂν σὲ τοῖς τε νῦν πᾶσι καὶ ὁπόσοι ὕστερον γένοιντ' « ἄν, μηδαμῶς ἀκυροῦν αὐτοκράτορος ἀνδρὸς ἐντολάς. »

θ'. Ταύτην μὲν γράφει Πετρωνίῳ τὴν ἐπιστολὴν, οὐ μὴν φθάνει γε ζῶντος Πετρώνιος δεξάμενος αὐτὴν, βραδυνθέντος τοῦ πλοῦ τοῖς φέρουσι εἰς τοσόνδε, ὥστε Πετρωνίῳ γράμματα πρὸ αὐτῆς ἀφικέσθαι, δι' ὧν μανθάνει τὴν Γαΐου τελευτήν. Θεὸς γὰρ οὐκ ἄρ' ἀμνημονήσειν ἔμελλε Πετρωνίῳ κινδύνων οὓς ἀνειλήφει ἐπὶ τῇ τῶν Ἰουδαίων χάριτι καὶ τιμῇ τῇ αὐτοῦ, ἀλλὰ τὸν Γάϊον ἀποσκευασάμενος ὀργῇ ὧν ἐπὶ σεβασμῷ τῷ αὐτοῦ πράσσειν ἐτόλμησε, τὸν μισθὸν χρεωλυτεῖν. Συνεργεῖ τῷ Πετρωνίῳ ἥ τε Ῥώμη καὶ πᾶσα ἡ ἀρχὴ, μάλιστα δ' ὁπόσοι τῆς βουλῆς προὔχοιεν ἀξιώματι, διὰ τὸ εἰς ἐκείνους ἀκράτῳ τῇ ὀργῇ χρῆσθαι τὸν Γάϊον. Καὶ τελευτᾷ μὲν οὐ μετὰ πολὺν χρόνον ἢ γράψαι τῷ Πετρωνίῳ τὴν ἐπὶ τὸ θανεῖν ἀνακειμένην ἐπιστολήν· τὴν δ' αἰτίαν ἐξ ἧς τελευτᾷ καὶ τῆς ἐπιβουλῆς τὸν τρόπον ἀφηγήσομαι προϊόντος τοῦ λόγου. Πετρωνίῳ

simam postulanti afferebant,) quod tamen ea magna existimaret ut revera erant, fortunæ aleam in istis experiri statuit. Caius autem officiosa Agrippæ liberalitate captus, pudendumque esse ratus mendacii in istis, ad quæ petenda Agrippam ultro provocaverat, coram tot testibus argui, ac si statim eum promissi pœnituisset, simulque Agrippæ virtutem miratus, quod de imperio suo aut amplioribus reditibus aut alia potestate augendo parum sollicitus, publicæ tranquillitatis curam ageret, pro legibus intercedendo et numine divino, postulatis annuit : ac scribit ad Petronium, eum collaudans, et quod exercitum collegerat, et ipsum per literas consuluerat quid de Judæis faciendum censeret. « Ceterum nunc, si contigit te jam statuam erexisse, ne « tollatur : sin vero nondum eam collocavisti, ne quid « amplius molestiæ ea de re tibi facessas; sed exercitum « volo dimittas, abscedasque ad ea quæ primo tibi mandavi « exsequenda. Nihil enim mihi opus est ut statua erigatur, « Agrippæ gratificari cupienti, quem virum majoris facio « quam ut ejus desiderio et precibus quidquam denega- « rem. » Et hæc quidem Caius ad Petronium scripsit, literis illius nondum lectis, quæ significabant Judæos ob statuam illam ad seditionem concitatos : nam ex voluntatis eorum indiciis palam esse eos minitari bellum adversus Romanos. Itaque graviter dolens, quasi id ausi fuissent ut experirentur ejus imperium, homo *scilicet* nihil turpe ducens, nullamque honesti rationem habens, et in quemcunque pro arbitrio ira excandescens, cui nullam moderationem adhibuit, id sibi in felicitatem cedere reputans si iracundiæ maxime indulgeret, scribit Petronio : quandoquidem munera, quibuscunque te donarint Judæi, « meis mandatis prætulisti, illis gratificari ausus alia quam « jusseram faciendo, jubeo te, quum temet de te judicem « constitueris, quid tibi agendum sit dispicere, iræ meæ « obnoxium, quippe in te exemplum edam quod et præ- « sentes et posteros moneat non negligenda esse Imperatoris « mandata. »

9. Has quidem literas scribit ad Petronium : eas tamen, dum in vivis esset Cæsar, non accepit Petronius, retardata eousque perferentibus navigatione, ut aliæ literæ, quibus mortem Caii intellexit, prius in manus ejus venerint. Deus utique haud immemor futurus erat periculorum quæ adierat Petronius in Judæorum gratiam Deique honorem, sed Caio e medio tollendo, infensus ei quod cultum *divinum* sibimet arrogare fuerit ausus, Petronio mercedem persoluturus. Lætabantur autem cum Petronio omnes tam Romæ quam per universum imperium, præcipue vero quotquot e senatoribus maxima erant dignitate, quod in eos iram suam effuderit Cajus. Et ille quidem moritur non multo post quam ad Petronium literas scripserat mortem ei denunciantes : causam autem propter quam sublatus est *Caius*, et quemadmodum instructæ erant in eum insidiæ, in sequentibus narrabo. Ad Petronium autem primum

δὲ προτέρα μὲν πρῴην ἡ διασαφοῦσα τοῦ Γαΐου τὴν τελευτὴν ἐπιστολή, μετ' οὐ πολὺ δὲ ἡ κελεύουσα αὐτὸν τελευτᾶν αὐτόχειρα. Καὶ ἥσθη τε τῇ συντυχίᾳ τοῦ ὀλέθρου, ὃς τὸν Γάϊον κατέλαβε, καὶ τοῦ Θεοῦ τὴν πρόνοιαν ἐξεθαύμασεν, οὐδὲν εἰς ἀναβολάς, ἀλλ' ἐκ τοῦ ὀξέος μισθὸν αὐτῷ τιμῆς τε τῆς εἰς τὸν ναὸν καὶ βοηθείας τῆς Ἰουδαίων σωτηρίας παρασχομένου. Καὶ Πετρωνίῳ μὲν οὕτω μὴ αὐτῷ ὀφθεὶς διεφεύχθη βαδίως ὁ κίνδυνος τοῦ θανεῖν.

ΚΕΦ. Θ'.

Γίνεται δὲ καὶ περὶ τοὺς ἐν τῇ Μεσοποταμίᾳ καὶ μάλιστα τὴν Βαβυλωνίαν οἰκοῦντας Ἰουδαίους συμφορὰ δεινὴ καὶ οὐδεμιᾶς ἧττονος ἐλάσσων, φόνος τε αὐτῶν πολὺς καὶ ὁπόσος οὐχ ἱστορημένος πρότερον. Περὶ ὧν δὴ τὰ πάντα ἐπ' ἀκριβὲς διηγησάμενος ἐκθήσομαι καὶ τὰς αἰτίας, ἀφ' ὧν αὐτοῖς τὸ πάθος συνέτυχεν. Νάαρδα τῆς Βαβυλωνίας ἐστὶ πόλις, ἄλλως τε πολυανδροῦσα καὶ χώραν ἀγαθὴν καὶ πολλὴν ἔχουσα καὶ σὺν ἄλλοις ἀγαθοῖς καὶ ἀνθρώπων ἀνάπλεων· ἔστι δὲ καὶ πολεμίοις οὐκ εὐέμβολος, περιόδῳ τε τοῦ Εὐφράτου πᾶσαν ἐντὸς αὐτὴν ἀπολαμβάνοντος καὶ κατασκευαῖς τειχῶν. Ἔστι δὲ καὶ Νίσιβις πόλις κατὰ τὸν αὐτὸν τοῦ ποταμοῦ περίρρουν. Ὅθεν Ἰουδαῖοι, τῇ φύσει τῶν χωρίων πεπιστευκότες, τό τε δίδραχμον ὃ τῷ Θεῷ καταβάλλειν ἑκάστοις πάτριον, ταύτῃ κατέτιθεντο καὶ ὁπόσα ἄλλα ἀναθήματα, ἐχρῶντό τε ὥσπερ ταμιείῳ ταῖσδε ταῖς πόλεσιν. Ἐντεῦθεν δὲ ἐπὶ Ἱεροσολύμων ἀνεπέμπετο ἧ καιρὸς, πολλαί τε μυριάδες ἀνθρώπων τὴν κομιδὴν τῶν χρημάτων παρελάμβανον, δεδιότες τὰς Παρθυαίων ἁρπαγὰς, ὑποτελούσης ἐκείνοις τῆς Βαβυλωνίας. Καὶ ἦσαν γὰρ Ἀσιναῖος καὶ Ἀνιλαῖος, Νααρδάται μὲν τὸ γένος, ἀλλήλων δὲ ἀδελφοί· καὶ αὐτοὺς (πατρὸς δ' ἦσαν ὀρφανοί) ἡ μήτηρ προσέταξεν ἱστῶν μαθήσει ποιήσεως, οὐκ ὄντος ἀπρεποῦς τοῖς ἐπιχωρίοις ὥστε τοὺς ἄνδρας ταλασιουργεῖν παρ' αὐτοῖς. Τούτοις ὁ τοῖς ἔργοις ἐφεστὼς (καὶ γὰρ ἐμεμαθήκεσαν παρ' αὐτοῦ) βραδυτῆτα ἐπικαλέσας τῆς ἀφίξεως ἐκόλασε πληγαῖς. Οἱ δ' ἐφ' ὕβρει τὴν δικαίωσιν λογιζόμενοι, κατασπάσαντες τῶν ὅπλων πολλὰ ὁπόσα ἦν ἐπὶ τῆς οἰκίας φυλασσόμενα, ᾤχοντο εἴς τι χωρίον διάρρηξιν μὲν ποταμῶν ποιούμενον, νομὰς δὲ ἀγαθὰς παρασχεῖν πεφυκὸς καὶ χιλῶν ὁπόσοι εἰς τὸν χειμῶνα ἀποτιθεῖντο. Συνήεσάν τε ὡς αὐτοὺς τῶν νέων οἱ ἀπορώτατοι, καὶ τούτους τοῖς ὅπλοις φραγνύντες στρατηγοί τε ἦσαν καὶ τῶν κακῶν ἡγεμόνες οὐκ ἐκώλυόντο εἶναι. Προελθόντες γὰρ ἐπὶ τὸ ἄμαχον καὶ κατασκευάσαντες ἀκρόπολιν διέπεμπον πρὸς τοὺς νέμοντας, φόρον αὐτοῖς κελεύοντες καταβάλλειν τῶν βοσκημάτων, ἃ ἀρκοῦντα ἐπὶ τροφῇ γίνοιτ' ἂν, προτιθέντες φιλίαν τε πειθομένοις καὶ ἄμυναν τῶν ἀλλαχόθεν ποθὲν πολεμίων, σφαγὰς δὲ τῶν ποιμνίων ἀπειθοῦσιν. Οἱ δὲ (οὐ γὰρ ἦν ἕτερα παρ' αὐτὰ ποιεῖν) ἠκροῶντο, καὶ τῶν προβάτων ἐστελλον ὁπόσα κελευσθεῖεν. Ὥστε

perlatæ sunt literæ Caii mortem significantes, et non multo post ei redditæ sunt istæ, quibus semet sua manu interimere jubebatur. Simulque lætatus est quod ita evenerit ut Caius mortem oppeteret, Deique admiratus est providentiam, quod nulla interposita mora confestim ei præmium dederit pro honore a se templo habito et auxilio Judæis lato. Et ita quidem Petronius e mortis periculo ipsi non viso facile evasit.

CAP. IX. (XII.)

Ceterum Judæis in Mesopotamia, maximeque apud Babyloniam, habitantibus gravis incidit calamitas et alia quacunque non minor; multaque facta est illorum cædes, quanta non antea in historia memoratur: de quibus accurate omnia expositurus, cladis illius causas prima ab origine repetam. Naarda urbs est Babyloniæ, et populosa ipsa, et fertilem amplamque regionem possidens, quæ cum aliis bonis etiam hominibus abundat: ad hæc non patet hostium assultibus, undique Euphrate et firmis moris circumdata. Porro et Nisibis urbs intra fluminis ejusdem ambitum posita est. Quapropter Judæi, freti locorum natura, et didrachmum, quod a singulis Deo pendi moris erat, ibi deposuerunt, et ceteram votivam pecuniam; illis enim urbibus tanquam ærario utebantur; et inde Hierosolyma suo tempore transmittebatur *pecunia*, multaque hominum millia eam deferendam in se recipiebant, metu Parthorum latrociniorum, quibus vectigalis erat Babylonia. Etenim *ex istis* erant Asinæus et Anilæus, origine quidem Naardatæ, fratres autem germani. Atque illis mater (nam patre erant orbati) id negotii dedit, ut telarum conficiendarum artem addiscerent: id quod indigenis adeo non turpe erat, ut etiam viri lanificia exerceant. His *magister* qui operibus præerat, apud quem etiam artem didicerant, objecit quod tardiuscule venerant, eosque verberibus mulctavit. Illi vero castigationem sibi contumeliæ esse existimantes, quum arma omnia, quæ in ea domo adservabantur, arripuissent, in locum quendam se conferebant, ubi fluvii divortium est, et magna esse solebat pascuorum copia et ubertas fructuum, qui in hiemem possunt reponi. Atque ad eos mox confluxit juvenum quisque egentissimus: quos quum armis instruxissent, et pro ducibus se gerebant, et haud ægre fiebat quin illis maleficiorum auctores et principes se præberent. Quum enim facti essent inexpugnabiles, et arcem sibi construxissent, ad pastores e suis dimittebant qui pecorum tributum illis imperarent, quantum satis esset in alimentum, adjicientes se amicos illis futuros qui morem gererent, et ab hostibus undecunque ingruerent defensuros; sin imperata detrectarent; greges mactaturos. Illi vero (nam haud integrum eis erat quidquam aliud facere) mandatis obsequebantur, et oves quotquot poscerent mittendas curabant. Quo factum est

ξλ καὶ πλείων αὐτοῖς συνελέγετο ἰσχὺς, κύριοί τε ἦσαν ἐφ' οἷς βουλεύσειαν ἐκ τοῦ ὀξέος ἐλαύνοντες κακουργεῖν, θεραπεύειν τε αὐτοὺς ἤρητο πᾶς προστυγχάνων, καὶ ἦσαν φοβεροὶ καὶ τοῖς πειρασομένοις· ὥστε ἤδη προὔκοπτε λόγος περὶ αὐτῶν καὶ τῶν Πάρθων βασιλέως.

β'. Ὁ δὲ τῆς Βαβυλωνίας σατράπης, μαθὼν ταῦτα, καὶ βουληθεὶς ἐπιφυομένους κωλῦσαι, πρίν τι μεῖζον κακὸν ἐξ αὐτῶν ἀναστῆναι, συλλέξας στρατὸν ὅσον ἐδύνατο πλεῖστον, καὶ Παρθυαίων καὶ τῶν Βαβυλωνίων, ἤλασε πρὸς αὐτοὺς, φθῆναι θέλων προσβαλὼν [ἐξελεῖν] πρὶν ἐξαγγελτὸς γενέσθαι κατασκευάζων τὸν στρατόν. Περικαθίσας δὲ τὸ ἕλος ἡσύχαζεν, καὶ κατὰ τὴν ἐπιοῦσαν (ἦν δὲ σάββατον ἀργίας παντὸς χρήματος Ἰουδαίοις ἡμέρα) οἰόμενος οὐ τολμήσειν ἀντιστατήσειν αὐτῷ τοὺς πολεμίους, ἀλλὰ ἀμαχὶ λαβὼν ἄξειν δεδεμένους, κατὰ βραχὺ προσῄει χρήζων αἰφνίδιον ποιεῖσθαι τὴν ἐπίπτωσιν. Ἀσιναῖος δὲ (ἐτύγχανε γὰρ σὺν τοῖς ἑταίροις καθεζόμενος καὶ τὰ ὅπλα παρέκειτο αὐτοῖς) « ἄνδρες, φησὶν, χρεμετισμός μοι ἵππων προσ« ἔπεσεν, οὐ φορβάδων, ἀλλ' οἷος γένοιτο ἀνδρῶν αὐ« τοῖς ἐπιβεβηκότων, ἐπεὶ καί τινος ἀνακρούσεως αἰ« σθάνομαι χαλινῶν· δέδια μὴ λελήθασιν ὡς ἡμᾶς οἱ « πολέμιοι περιστάντες. Ἀλλά τις προσίτω κατόπτης, « ἀπαγγελίαν ἡμῖν σαφῆ τῶν ἐνεστηκότων ποιησόμενος. « Εἴη δὲ ἐπὶ ψευδέσι μοι λελέχθαι τὰ εἰρημένα. » Καὶ ὁ μὲν τάδε εἶπε, καὶ ᾤχοντό τινες προσκοποῦντες τὸ γινόμενον. Καὶ ἧ τάχος παρελθόντες « οὔτε αὐτὸς ψευδὴς, ἔφασαν, εἶναι τῶν πρασσομένων τοῖς πολεμίοις οὔτε ἐκεῖνοι πλειόνως ἐπιτρέψειν ἡμέλλον ἡμῖν ὑβριεῖν. Περιειλήμεθα δόλῳ, μηδὲν βοσκημάτων διαφέροντες, τοσῇδε ἵππου πλῆθος ἐπελαυνούσης ἡμῖν ἐν ἀπορίᾳ χειρῶν κειμένοις, διὰ τὸ κατείργεσθαι παραγορεύσει τῶν πατρίων εἰς τὸ ἀργεῖν. » Ἀσιναῖος δὲ οὐκ ἄρα γνώμῃ τοῦ κατασκόπου κρινεῖν ἔμελλεν ἐπὶ τοῖς ποιητέοις, ἀλλὰ νομιμώτερον ἡγησάμενος τοῦ ἐπ' ἀπράκτοις τελευτῶν εὐφραίνειν τοὺς πολεμίους τὸ ἀλκῆς δραξάμενος ὑπὲρ τῆς ἀνάγκης, εἰς ἣν ἐνεπεπτώκει, παρανομεῖν τιμωρίαν ἀπολαμβάνων, εἰ δέοι, τελευτᾶν, αὐτός τε ἀναλαμβάνει τὰ ὅπλα καὶ τοῖς σὺν αὐτῷ θάρσος ἐνεποίει τῆς ἐπὶ τὰ ὅμοια ἀρετῆς. Ὁμόσε οὖν ἴασι τοῖς πολεμίοις καὶ πολλοὺς κτείναντες αὐτῶν, διὰ τὸ καταφρονοῦντας ὡς ἐπὶ τὰ ἕτοιμα χωρεῖν, εἰς φυγὴν τρέπονται τὸ λοιπόν.

γ'. Ὁ δὲ τῶν Πάρθων βασιλεὺς, ἐπεὶ ἀφίκετο αὐτῷ ἡ ἀγγελία τῆς μάχης, ἐκπλαγεὶς τῷ τολμήματι τῷ τῶν ἀδελφῶν, ἐπεθύμησεν αὐτοῖς ἐλθεῖν διά τε ὄψεως καὶ λόγων, καὶ πέμπει τὸν πιστότατον τῶν σωματοφυλάκων λέγοντα ὅτι « βασιλεὺς Ἀρτάβανος, καίπερ ἠδικημέ« νος ὑφ' ὑμῶν ἐπιχειρήσεως αὐτοῦ τῇ ἀρχῇ γενομένης, « ἐν ἐλάσσονι τὴν καθ' αὑτὸν ὀργὴν τῆς ὑμετέρας ἀρε« τῆς ποιησάμενος, ἀπέστειλέ με δεξιάς τε καὶ πίστιν « δώσοντα ὑμῖν, συγχωρῶν ἀδειάν τε καὶ ἀσυλίαν ὁδῶν, « χρήζειν ἐπὶ φιλίᾳ προσχωρεῖν πρὸς αὐτὸν, ὁδοῦ τε

ut vires eorum augerentur, et potestatem haberent patrandi quodcunque illis, ex improviso alios adortis, allubesceret : atque adeo nemo illis obviam factus officiis eos demereri non studebat, congressurisque terrorem injiciebant, ita ut sermo de illis increbresceret et ad Parthorum regem perveniret.

2. Satrapa autem Babyloniæ, postquam hæc intellexerat, eos ipso in ortu opprimere voluit, antequam malum ex illis latius serperet et dimanaret : collectoque quantum poterat e Parthis ac Babyloniis exercitu, versus eos cursu incitato ire contendit, eo animo ut repentina facta impressione eos adoriretur, priusquam aliquid eis nunciaretur de copiarum apparatu. Quum autem juxta paludem assedisset, quietem agebat : atque postridie (erat autem sabbatum, quo Judæi ab omni opere feriantur) ratus non ausurum hostem sibi congredi, sed sine pugna captos vinctosque se abducturum, paullatim accedebat, ut in eos ex improviso impetum faceret. Sed Asinæus, quum forte positis prope se armis cum sociis in otio desideret, « viri, inquit, hinnitus equo« rum ad aures allapsus est, non qualis est in pascuis agen« tium, sed qui sessorem tergo vehant, quoniam fræno« rum etiam sonitum me audire persuasum habeam : ve« reor ne hostes nos circumvenientes aggrediantur. Verum « procurrat aliquis speculatum, qui nobis quid immineat « certo renunciet; atque utinam falsa reperiantur quæ dix« mus. » Ac ille quidem ista loquutus est. Et mox aliquot spectatum ibant, quid factum esset : celeriterque regressi, « neque te, *inquiunt*, conjectura fallit de iis « quæ moliuntur hostes, neque illi amplius passuri sunt ut « nos maleficia impune committamus. Ex insidiis cir« cumventi sumus, pecorum ad instar mactandi, tanta « equitum multitudine in nos incursante, manus a pugna « abstinentes, quod ex legis patriæ interdicto necessitate « adacti simus ad quiescendum. » Ceterum Asinæus non utique ex speculatoris sententia quid fieri oporteret decernebat, sed æquius esse ratus ut sumptis animis ex necessitate in quam inciderant legem violarent, dum injuriam ulciscerentur, etiam si mori certum esset, quam ut nihil agendo morientes hostem exhilararent, et ipse arma corripit, eamque illis qui secum erant audaciam injiciebat ut pari cum fortitudine sese gererent. Pugnam itaque ineunt cum hostibus, multisque cæsis, quod cum contemptu ipsorum venerant, quasi victoriam in manibus haberent, reliquos in fugam conjiciunt.

3. Parthorum autem rex, ubi de pugna illa nuncium acceperat, admiratus fratrum audaciam, eos videndi et alloquendi desiderio tenebatur, misitque ad eos fidelissimum e satellitibus, qui diceret : « rex Artabanus, quamvis a vobis « injuria affectus, ut qui in regnum ejus invaseritis, virtuti « tamen vestræ iram suam condonat, meque misit dextram « vobis suam fidemque daturum, ab ipso concedi ut ab omni « periculo immunes iter faciatis, quod vult vos amicitiæ « ergo ad illum adire, nihil doli fraudisque metuentes : immo

« καὶ ἀπάτης χωρίς· δῶρά τε δώσειν ὑπισχνεῖται καὶ τι-
« μὴν, ἥτις ὑμῖν πρὸς τῇ νῦν οὔσῃ ἀρετῇ μελλήσει δυ-
« νάμει τῇ ἐκείνου ὠφελεῖν. » Ἀσιναῖος δὲ αὐτὸς μὲν ὑπερβάλλεται ὀδοὺς τὰς ἐκεῖ, τὸν ἀδελφὸν δὲ Ἀνιλαῖον ἐκπέμπει μετὰ δώρων ὁπόσα πορίσαι ἦν. Καὶ ὁ μὲν ᾤχετο, καὶ εἴσοδος αὐτῷ γίνεται παρὰ βασιλέα. Ἀρτάβανος δὲ, ἐπεὶ θεᾶται τὸν Ἀνιλαῖον κατὰ μόνας ἥκοντα, ἤρετο τὴν αἰτίαν τοῦ καὶ τὸν Ἀσιναῖον ἐφυστερηκότα. Ἐπεὶ δὲ πυνθάνεται αὐτὸν δείσαντα ἐν τῷ ἕλει ὑπομένειν, ὅσε τούς τε πατρῴους θεοὺς ἐπώμνυτο μηδὲν κακὸν δράσειν αὐτοὺς, πίστει τῇ σὺτοῦ προσκεχωρηκότας, καὶ τὴν δεξιὰν ἐδίδου, ὅπερ μέγιστον παρὰ πᾶσι τοῖς ἐκείνῃ βαρβάροις παράδειγμα τοῦ θαρσεῖν γίνεται τοῖς ὁμιλοῦσιν. Οὐ γὰρ ἂν ψεύσαιτό τις δεξιῶν ὑπ' αὐτοῦ δόσεως γενομένης οὐδὲ πιστεύειν ἐνδοιάσειεν, εἰ τοιᾶσδε ἀσφαλείας δόσις γένοιτο παρὰ τῶν ἐν ὑποψίᾳ ἀδικήσειν καθεστηκότων. Καὶ Ἀρτάβανος μὲν, ταῦτα πράξας, ἐκπέμπει τὸν Ἀνιλαῖον πείσοντα τὸν ἀδελφὸν ἐπανελθεῖν. Ἔπρασσε δὲ ταῦτα ὁ βασιλεὺς χρήζων ἐνστόμισμα τῇ ἀρετῇ τῶν Ἰουδαίων ἀδελφῶν εἰς φιλίαν κτήσασθαι τῶν ἐκείνου σατραπειῶν, ἐν ἀποστάσει τε σὺσῶν καὶ διανοίᾳ τοῦ ἀποστησομένου μέλλων ἐλάσειν ἐπ' αὐτούς. Ἐδεδίει γὰρ μὴ καὶ περιεχομένου πολέμῳ τῷ ἐκείνων κατὰ χείρωσιν τῶν ἀφεστηκότων αὐξηθῶσιν ἐπὶ μέγα οἱ περὶ τὸν Ἀσιναῖον καὶ τὴν Βαβυλωνίαν, ἤτοι γε συστήσαντες ἐπ' ἀκροάσει τῇ αὐτῶν, ἢ καὶ ἰούτου γε ἀτυχοῦντες τοῦ κακῶσαι μειζόνως οὐ διαμάρτοιεν.

δ'. Ὁ μὲν δὴ ταῦτα διανοηθεὶς, ἐκπέμπει τὸν Ἀνιλαῖον. Ὁ δὲ Ἀνιλαῖος πιθανὸς ἦν τῷ ἀδελφῷ, τήν τε ἄλλην προθυμίαν διηγούμενος τοῦ βασιλέως καὶ ὅρκιον τὸ γεγενημένον· ὥστε δὴ ἠπείγοντο ὡς τὸν Ἀρτάβανον. Ὁ δὲ ἡδονῇ αὐτοὺς δέχεται παραγενομένους, ἐθαύμαζέ τε τὸν Ἀσιναῖον τοῦ ἐν ταῖς πράξεσιν εὐψύχου, θεωρῶν παντελῶς ὄντα ὀφθῆναι βραχύν τε καὶ τοῖς τὸ πρῶτον ὄψει συνελθοῦσι δοῦναι καταφρονήματος ἀφορμὰς, ὡς οὐδὲν κρίνοιεν αὐτὸν, φησί τε πρὸς τοὺς φίλους, ὡς μείζονα ἐν τῇ παραθέσει παρέχοιτο τὴν ψυχὴν τοῦ σώματος. Παρά τε πότον δεικνὺς τὸν Ἀσιναῖον Ἀβδαγάσῃ τῶν αὐτοῦ στρατοπεδαρχῶν τό τε ὄνομα διασαφεῖ καὶ τὴν πᾶσαν ἀρετὴν ἣ χρῷτο εἰς πόλεμον. Τοῦ δὲ Ἀβδαγάσου κελεύοντος συγχώρημα αὐτῷ γενέσθαι κτείναντα αὐτὸν ἄποινα ἀπολαβεῖν ὑπὲρ ὧν ὕβρισεν εἰς τὴν Παρθυαίων ἀρχὴν, « ἀλλ' οὐκ ἂν, εἶπεν ὁ βασιλεὺς,
« συγχώρημα διδοίην ἐπ' ἀνδρὶ πίστει τῇ εἰς ἐμὲ τε-
« θαρρηκότι, καὶ προσέτι δεξιάν τε πέμψας καὶ θεῶν
« ὅρκοις πιθανὸς γενέσθαι σπουδάσας. Εἰ δὲ ἀνὴρ τυγ-
« χάνεις τὰ πολέμια ἀγαθὸς, μηδὲν ἐπιορκίας χρήζων
« τῆς ἐμῆς Παρθυαίων ἐκδίκει τὴν ἀρχὴν περιὕβρισμέ-
« νην· ἐπαναχωροῦντι γοῦν ἐπιθέμενος περιγίνου κρά-
« τει τῷ περὶ σὲ καὶ μετ' ἀγνοίας τῆς ἐμῆς. » Ἔωθεν δὲ μετακαλέσας τὸν Ἀσιναῖον, « ὥρα σοι, φησὶν, ὦ
« νεανία, χωρεῖν ἐπὶ τὰ σαυτοῦ, μὴ καὶ πλείοσι τῶν
« ἐνθάδε στρατηγῶν τὴν ὀργὴν ἐρεθίσειας ἐπιχειρεῖν

« et dona *vobis* se daturum pollicetur, et honorem, qui
« ex illius potentia multum vobis conferet ad præsentis vir-
« tutis incrementum. » Tum Asinæus ipse quidem profectionem distulit, fratrem vero Anilæum misit cum ejusmodi muneribus quæ penes ipsum erant. Et ille quidem ibat et ad regem admissus est. Artabanus autem, quum videret Anilæum solum ad se accedere, eum interrogabat quid causæ fuerit quod Asinæus non simul advenerit. Quum autem audiret illum præ metu se intra palustria continere, patrios deos testabatur, se nihil eos læsum ire qui sese ipsius fidei commiserant; dextramque ei protinus dabat, id quod apud omnes istius regionis barbaros fiduciam ingerit eos convenientibus. Nemo enim fraudem adhibet, ubi dextra ab eo data fuerit; nec est ut quisquam, cui injecta erat aliqua injuriæ suspicio, de fide dubitet, qui istud auctoramentum acceperit. Et Artabanus quidem, quum ista fecisset, dimittit Anilæum, persuasurum fratri ut cum eo reversuro ad regem veniret. Ista autem agebat rex, volens fratrum Judæorum virtute veluti fræno coercere suas satrapias, ne amicitiam cum eo violent, ut quæ tum in eo essent ut deficerent, et quod rem ad defectionem spectare putans in illos jam expeditionem suscepturus esset. Verebatur enim ne, dum ipse in bello eo occuparetur, quo defectores in potestatem suam redigeret, Asinæus et Babylonii magnum virium incrementum caperent, aut bellum conflaturi quum de istis audiverint, aut, si hoc facere nequeant, opportunitatem captaturi vicina omnia latius depopulandi.

4. Et is quidem, quum in ejusmodi mente et cogitatione versaretur, Anilæum dimittit. Anilæus autem persuasit fratri, et regis voluntatem erga eos et studium prolixe commemorans, fidemque jurejurando datam : ac proinde ad Artabanum properabant. Ille vero, ubi eo pervenerunt, læte admodum eos excipit, simulque mirabatur Asinæum, quod tam magno animo res gereret, quum cerneret ipsum videri statura valde pusillum, primoque aspectu facere ut contemptui esset iis qui eum convenirent, ac si eum pro nihilo ducerent; porroque ad amicos aiebat quod animum præ se tulerit longe corpore, si ei conferatur, majorem. Quumque inter bibendum eum ostenderet Abdagasi, uni e prætorianis præfectis, et qui vir esset ei indicabat, et quam strenue in acie dimicaret. Abdagase autem postulante ut ipsi concederetur illum interficere, atque adeo pœnas tot injuriarum ab eo repetere, quas Parthorum imperio intulerat; « atqui non
« est, inquit rex, ut hoc permittam in virum, qui meæ
« fidei se credidit, præsertim quum dextram ei miserim, ope-
« ramque dederim ut jurejurando adhibito ei fidem facerem.
« Quodsi vir es belli sciens fortisque, nihil opus est ut
« meo perjurio utaris ad injurias Parthorum imperio illatas
« ulciscendas : revertentem itaque adortus, eum viribus
« tuis per me licet opprimas, dum tuum me lateat consi-
« lium. » Mane deinde accito Asinæo, « tempus tibi est,
« inquit, ad tuos concedere, o juvenis, etiam ne plures e
« ducibus qui mecum sunt ad te occidendum irriten-

« σου τῇ σφραγῖ, καὶ δίχα γνώμης τῆς ἐμῆς. Παρακατα-
« θήκην δέ σοι δίδωμι τὴν Βαβυλωνίων γῆν, ἀλήστευ-
« τόν τε καὶ ἀπαθῆ κακῶν ἐσομένην ὑπὸ τῶν σῶν φρον-
« τίδων. Ἄξιος δ' εἰμὶ τυγχάνειν σοῦ χρηστοῦ ἀνεπί-
« κλητόν σοι παρασχόμενος τὴν ἐμαυτοῦ πίστιν, οὐκ
« ἐπὶ κούφοις, ἀλλ' ἐπὶ τοῖς εἰς σωτηρίαν ἀνακειμένοις. »
Ταῦτα εἰπὼν καὶ δῶρα δοὺς τὸ τηνίκα ἐκπέμπει τὸν
Ἀσιναῖον. Ὁ δὲ εἰς τὴν οἰκείαν παραγενόμενος φρού-
ρια κατασκευάζει καὶ ὁπόσα πρότερον ὠχύρου, μέγας
τε ἐν ὀλίγῳ ἐγεγόνει καὶ οἷος οὐκ ἄλλος τῶν πρότερον ἐκ
τοιαύτης ἀφορμῆς ἅψασθαι πραγμάτων ἐν τόλμῃ γεγο-
νότων. Παρθυαίων τε αὐτὸν ἐθεράπευον οἱ ταύτῃ κα-
ταπεμπόμενοι στρατηγοί· μικρὸν γὰρ ἐδόκει καὶ τῆς
κατ' αὐτὸν ἧσσον ἀρετῆς ἡ ἐκ Βαβυλωνίων προϊοῦσα
τιμή. Ἦν δὲ ἐν ἀξιώματι καὶ δυνάμει, πάντα τε ἤδη
τὰ ἐπὶ τῆς Μεσοποταμίας πρὸς αὐτὸν ἦρτο πράγματα,
προὔκοπτέ τε αὐτῷ ἡ εὐδαιμονία ἐπὶ ἔτη πεντεκαί-
δεκα.

ε'. Ἀχμαζόντων δὲ αὐτοῖς τῶν ἀγαθῶν, ἀρχὴ αὐ-
τοὺς ἐπικαταλαμβάνει κακῶν ἐκ τοιᾶσδε αἰτίας, ἐπει-
δὴ τὴν ἀρετὴν, ἣ προὔκοψαν ἐπὶ μέγα δυνάμεως, ἐκ-
τρέπουσιν εἰς ὕβριν ἐπὶ παραβάσει τῶν πατρίων ὑπὸ
ἐπιθυμιῶν καὶ ἡδονῆς ἐμπεσόντες. Τῶν Πάρθων τινί,
(στρατηγὸς δὲ ἀφίκετο τῶν ταύτῃ χωρίων,) ᾧ δὴ καὶ
εἵπετο γαμετὴ, τά τε ἄλλα καὶ εἰς τὸ ἐπαινεῖσθαι προ-
ειληφυῖα πασῶν καὶ μείζονα ῥοπὴν ἐπ' αὐτῷ λαμβά-
νουσα θαύματι τοῦ εὐπρεποῦς, ταύτης εἴτε ἀκοὴν τῆς
εὐπρεπείας ἐκμαθὼν, εἴτε καὶ ἄλλως αὐτόπτης γενόμε-
νος Ἀνιλαίος, ὁ τοῦ Ἀσιναίου ἀδελφὸς, ἐραστής τ' ἐγε-
γόνει καὶ πολέμιος, τὸ μὲν ὑπὸ τοῦ μὴ ἄλλως ἐλπί-
ζειν ἐκπράσσεσθαι τὴν σύνοδον τῆς γυναικὸς, μὴ τὴν
ἐξουσίαν, ὡς ἐπ' αὐτῇ κτηθείσῃ παραλαβὼν, τὸ δὲ ὑπὸ
τοῦ δυσαντίλεκτον κρίνειν τὴν ἐπιθυμίαν. Ἅμα τε οὖν
πολέμιος ἐπ' αὐτοῖς ἀνὴρ ἐχειροτόνητο, καὶ μάχης
ἐπάκτου γενομένης πεσόντος, ἀνηρημένου ἁλοῦσα ἐγε-
γάμητο ἐραστῇ. Οὐ μὴν δίχα γε μεγάλων δυστυχιῶν
Ἀνιλαίῳ τε ἅμα αὐτῷ καὶ Ἀσιναίῳ γυνὴ ἀφίκετο εἰς
τὸν οἶκον αὐτῶν, ἀλλὰ σύν τινι μεγάλῳ κακῷ, διὰ
τοιαύτην αἰτίαν. Ἐπεὶ γὰρ τἀνδρὸς τεθνηκότος αἰχμά-
λωτος ἤγετο, ἀφιδρύματα τῶν θεῶν, ἅπερ τῷ ἀνδρὶ
καὶ αὐτῇ πατρῷα ἦν (ἐπιχώριον δὲ τοῖς ἐκείνῃ πᾶσίν
ἐστιν ἐπί τε τῆς οἰκίας ἔχειν σεβάσματα καὶ ἰοῦσιν ἐπὶ
ξένης συνεπάγεσθαι) περιστέλλουσα, καὶ ταύτῃ τοῦ
πατρίου τὸ ἐπ' αὐτοῖς ἔθος συνεπήγετο. Καὶ τὸ μὲν
πρῶτον λεληθότως αὐτῶν θρησκείαν ἐποιεῖτο· γαμετὴ
δὲ ἀποδειχθεῖσα ἤδη τρόπῳ τῷ αὐτῆς εἰωθότι καὶ μεθ'
οἵων νομίμων ἐπὶ τοῦ προτέρου ἀνδρὸς ἐθεράπευεν αὐ-
τούς. Καὶ τῶν ἑταίρων οἱ μάλιστα τιμώμενοι παρ'
αὐτοῖς τὸ μὲν πρῶτον ἐπέσκηπτον ὡς οὐδαμῶς πράσσοι
Ἑβραϊκὰ, οὐδὲ ὁπόσα νόμοις τοῖς αὐτῶν πρόσφορα,
γυναῖκα ἠγμένος ἀλλόφυλον καὶ παραβαίνουσαν θυσιῶν
καὶ σεβασμῶν τῶν αὐτοῖς εἰωθότων τὴν ἀκρίβειαν·
ὁρᾶν οὖν μὴ τὰ πολλὰ τῇ ἡδονῇ τοῦ σώματος συγχω-
ρῶν ἀπολέσειε τὴν ἀρχὴν τοῦ εὐπρεποῦς καὶ τὴν εἰς

« tur, me ignaro nec opinante. Tuæ autem fidei committo
« terram Babyloniam, ut eam tua cura tutam a latrociniis
« et illæsam custodias. Æquum est autem ut te mihi beni
« gnum habeam, qui fidem meam tibi inviolatam præstiti,
« quum non de rebus leviculis ageretur, sed quæ ad salutem
« tuam spectabant et incolumitatem. » Quum ista dixisset et
Asinæum muneribus auxisset, sine mora ad suos eum di-
mittit. Ille vero domum reversus castella partim nova con-
didit, partim vetera munitionibus firmavit : brevique eo
potentiæ crevit, quantam alius ante ipsum nemo adeptus erat
ex hujusmodi initiis rerum gubernaculo sese admovere
ausus. Parthorum etiam duces, qui in vicinas provin-
cias mittebantur, eum colebant et observabant : nam parva
res meritisque ejus levior visus est honos, quem a Babylo-
niis habuit. Erat autem in auctoritate et potestate, jamque
omnia in Mesopotamia negotia ab illius nutu pendebant et
arbitrio, ejusque felicitas per annos quindecim in dies
magis magisque augebatur.

5. Ceterum quum bonis omnibus florerent, eis adhærere
cœpit mali labes ex hujusmodi causa, postquam a virtute
desciverant, qua in tantam provecti sunt potentiam, eam-
que in contumeliam verterant, a patriis moribus lapsi in
voluptatum cupiditates. Quum forte veniret ad vicinam re-
gionem administrandam Parthorum quidam dux, quem co-
mitata est etiam uxor, quæ et ceteris dotibus laudes aliis
præripuerat omnibus, præcipueque mirabili formæ elegan-
tia, quæ ad hoc efficiendum maximo erat momento, ejus,
sive quod aliquid de pulcritudine illius fama acceperat, sive
oculos in eam conjecerat, amator simul et hostis exstitit
Asinæi frater Anilæus, partim quidem quod nulla ei super-
esset spes potiendi muliere, nisi eam quasi vi captam in
potestatem suam rediget, partim vero quod cupiditati
suæ se resistere non posse crediderit. Simul itaque ac ma-
ritus hostis illis declaratus erat, et pugna inita acie ceci-
derat, occisi *uxor* captiva nupta erat amatori suo. Non
tamen sine magnis calamitatibus, et ipsi Anilæo et Asinæo
importatis, in domum illorum ingressa est mulier, sed cum
magno illorum malo ex hujusmodi causa. Postquam enim
viro *priore* mortuo captiva ducebatur, simulacra deorum
sibi maritoque suo gentilitia (moris enim est omnibus in illa
regione et domi habere numina, secumque, cum peregre
eunt, gestare) occultabat, atque ita patria consuetudine se-
cum asportabat. Et primo quidem ea clam omnibus cole-
bat : quum autem facta esset uxor, suo pristino more, iis-
demque quibus sub priore marito assueverat ritibus, deos
venerabatur. Tunc socii eorum, quos maximi faciebant,
leviter eum primo reprehendebant, quod nequaquam ex
institutis Hebraicis convenienterque ipsorum legibus ageret,
uxorem accipiendo mulierem alienigenam, et quæ sacrifi-
ciorum cultusque religiosi ritus ipsis accurate præscriptos
violaret : videndum itaque ne dum nimium concedat
corporis voluptati, a pristino decore excidat et a pote-

νῦν ὑπὸ τοῦ Θεοῦ προελθοῦσαν ἐξουσίαν. Ἐπεὶ δὲ οὐδὲν ἐπέραινον, ἀλλὰ καί τινα αὐτῶν τὸν μάλιστα τιμώμενον, ὅτι παρρησίᾳ πλείονι χρήσαιτο, ἀπέκτεινε, (καὶ ὃς κτεινόμενος εὐνοίᾳ τῇ τῶν νόμων τοῦ κτείνοντος αὐτὸν τιμωρίαν ἐπηράσατο αὐτῷ τε Ἀνιλαίῳ καὶ Ἀσιναίῳ, καὶ πᾶσιν ἑταίροις ὁμοίαν ὑπὸ τῶν ἐχθρῶν ἐπαχθεῖσαν γενέσθαι τελευτήν, τοῖς μὲν ὡς ἡγεμόσι παρανομιῶν γεγονόσι, τοῖς δὲ ὅτι μὴ βοηθοῖεν αὐτῷ τοιάδε πάσχοντι διὰ τὸ ἐκδικεῖν τοῖς νόμοις,) οἱ δὲ ἐβαρύνοντο μὲν, ἠνείχοντο δὲ, μνημονεύοντες οὐκ ἐξ ἄλλης αἰτίας, ἀλλ' ἰσχύϊ τῇ ἐκείνων τῇ εὐδαιμονίᾳ συνελθόντες. Ἐπεὶ δὲ καὶ τὴν θεραπείαν ἀκροῶνται τῶν θεῶν τῶν Παρθυαίοις τιμωμένων, οὐκέτι ἀνεκτὸν ἡγούμενοι τοῦ Ἀνιλαίου τὸ ὑβρίζον εἰς τοὺς νόμους, ἐπὶ τὸν Ἀσιναῖον ἐλθόντες καὶ πλέονες ἤδη κατεβόων τοῦ Ἀνιλαίου, φάμενοι καλῶς ἔχειν, εἰ μὴ πρότερον καθ' αὑτὸν ἑώρα τὸ ὠφελοῦν, ἀλλὰ νῦν γοῦν ἐπιστροφὴν ποιεῖσθαι τοῦ γεγονότος, πρὶν ἢ τὴν ἁμαρτίαν ἐκείνῳ τε καὶ πᾶσι τοῖς ἄλλοις γενέσθαι εἰς ὄλεθρον ἀνακειμένην, τόν τε γάμον τῆς ἀνθρώπου λέγοντες οὐ μετ' αὐτῶν οὔτε αὐτοῖς εἰωθότων τεθεῖσθαι νόμων, καὶ τὴν θρησκείαν, ἣν ἐπιτηδεύουσι ἡ γυνὴ, ἐπ' ἀτιμώσει τοῦ Θεοῦ τοῦ αὐτοῖς σεβασμίου πράσσεσθαι. Ὁ δὲ καὶ αὐτὸς ἤδει μὲν τὴν ἁμαρτάδα τοῦ ἀδελφοῦ μεγάλων αἰτίαν οὖσαν κακῶν καὶ ἐσομένην, οὐ μὴν ἀλλὰ καὶ ἠνείχετό γε εὐνοίᾳ τοῦ συγγενοῦς νικώμενος, καὶ συγγνώμην νέμων, ὡς ὑπὸ κρείττονος κακοῦ τῆς ἐπιθυμίας νικωμένου. Ἐπεὶ δὲ πλείους τε ὁσημέραι συνανεστρέφοντο καὶ πλείους ἦσαν αἱ καταβοαὶ, τηνικαῦτα δὴ φησὶ περὶ αὐτῶν πρὸς Ἀνιλαῖον, τοῖς τε πρῶτον γεγονόσιν ἐπιτιμῶν καὶ παύσασθαι τὸ λοιπὸν κελεύων τὴν ἄνθρωπον ἀποπεμψάμενον εἰς τοὺς συγγενεῖς. Ἐπράσσετο δὲ οὐδὲν ἐκ τῶν λόγων. Καὶ ἡ γυνὴ δὲ αἰσθανομένη μὲν τοῦ θορύβου τοῦ κατέχοντος τοὺς λαοὺς δι' αὐτὴν, δεδοικυῖα δὲ περὶ τοῦ Ἀνιλαίου μὴ καί τι πάθοι ἔρωτι τῷ πρὸς αὐτὴν, φάρμακον τῷ Ἀσιναίῳ δοῦσα ἐν τοῖς σιτίοις, μεθίστατο τὸν ἄνθρωπον, ἀδεής τε ἦν ἐπὶ κριτῇ τῶν περὶ αὐτὴν πραχθησομένων τῷ ἐραστῇ γενομένῳ.

ς'. Ἀνιλαῖος δὲ, κατὰ μόνας ἤδη τὴν ἡγεμονίαν παραλαβὼν, ἐξάγει στρατιὰν ἐπὶ τὰς Μιθριδάτου κώμας, ἀνδρὸς πρώτου ἐν τῇ Παρθυηνῇ καὶ βασιλέως Ἀρταβάνου τὴν θυγατέρα γεγαμηκότος, διὰ λείας τε ἦγεν αὐτάς. Καὶ πολλὰ μὲν χρήματα καὶ ἀνδράποδα εὑρίσκεται, πολλὰ δὲ πρόβατα, ἄλλα τε πολλὰ ὁπόσα ἐπὶ προσλήψει τοῦ εὐδαίμονος ὠφελεῖ τοῖς ἔχουσι. Μιθριδάτης δὲ (ἐτύγχανε γὰρ τῇδε ὤν) ἐπεὶ ἀκούει τῶν κωμῶν τὴν ἅλωσιν, ἐν δεινῷ φέρων ὁπότε μὴ προάρξαντος ἀδικεῖν Ἀνιλαῖος ἄρξαιτο, καὶ παρόντος τοῦ ἀξιώματος ὑπεριδὼν, ἱππέας συναγαγὼν πλείστους ὅσους ἐδύνατο, καὶ τῶν πλείστων τοὺς ἐν ἡλικίᾳ, παρῆν ὡς προσμίξων τοῖς περὶ τὸν Ἀνιλαῖον. Καὶ ἔν τινι κώμῃ τῶν αὐτοῦ κατασχὼν ἡσύχαζεν, ὡς τῇ ἐπιούσῃ μαχησόμενος διὰ τὸ εἶναι σάββατον ἡμέραν τοῖς Ἰουδαίοις ἐν ἀργίᾳ διαγομένην. Ἀνιλαῖος δὲ ταῦτα πυθόμενος παρ'

state quæ jam Dei auspiciis eousque processerit. Postquam vero nihil proficiebant, acciditque ut quendam e suis, quem maximi facielant, interficeret Anilæus, quod paulo liberius loquutus fuerit, (qui et ipse moriens ex suo in leges amore precatus est Deum ut homicidii pœnas penderent Asinæus ipse et Anilæus, cunctique eorum socii simili ab hostibus morte plecterentur, quod illi quidem scelerum auctores fuerint, hi vero auxilium ei non tulerint, talia patienti dum leges vindicatum iret,) gravi dolore afficiebantur, patienter tamen ferebant, utpote sibimet conscii quod in universum illorum virtuti præsentem acceptam deberent felicitatem. Quum autem audirent de cultu deorum quos Parthi venerantur, contumeliam Anilæi in legem suam haud amplius tolerandam esse rati, factoque plurium concursu ad Asinæum, vociferabantur in Anilæum, dicentes oportere eum, si prius parum potuerit quid utile sit dispicere, nunc certe quod factum fuerit corrigere et emendare, antequam contigerit ut et ipse et alii omnes peccati istius pœnas sua pernicie luant; atque exprobrantes nuptias cum muliere neque ex ipsorum consuetudine neque receptis patriæ legibus congruenter factas, cultumque, quem in Dei ab illis adorati opprobrium mulier illa inducere satagitet. Ille autem et ipse probe novit, fratris peccatum magnorum malorum causam exstilisse, porroque futurum esse; veruntamen tolerabat, benevolentiæ cedens ex cognatione ortæ, eique ignoscens quod mala cupiditate se fortiori teneretur. Sed quum plurium in dies concursus ad eum fieret, majoresque ederentur clamores, tunc demum de istis Anilæum alloquitur, et de anteactis eum objurgans, jubensque ut in posterum ita facere desinat, mulieremque domum ad cognatos remittat. Nihil tamen hac admonitione profectum est. Mulier autem sentiens sui causa tumultuari populum, et verita ne Anilæo propter amorem sui durius aliquid accideret, veneno, quod Asinæo in cibis miscuerat, hominem sustulit : nec quidquam metuebat ex iis quæ perpetraverat, quod judicem habitura esset ipsam perdite amantem.

6. Ceterum Anilæus, quum imperium jam solus suscepisset, exercitum educit in vicos Mithridatis, viri apud Parthos primarii, et qui Artabani regis filiam in matrimonium acceperat, eosque magna præda abacta populatus est. Et magna quidem pecuniæ et mancipiorum vis in illis reperta est, multaque pecora et alia quamplurima quæ ea habentibus vitam faciunt beatiorem. Mithridates vero, qui tum forte in ea erat regione, audita vicorum expugnatione, indigne ferens quod Anilæus, quem ante non lacessiverat, ipsum injuria afficere cœperit, suamque in præsenti dignitatem insuper habuerit, quum tantum equitatus quantum poterat collegisset, et ex omnibus eos qui ætate florerent, Anilæo obviam ibat, quasi cum eo acie congressurus. Quumque ad vicum quendam e suis pervenisset, illic se continuit et quiescebat, quasi postridie pugnam initurus, utpote sabbati die, quem festum in otio agunt Judæi. Ani-

ἀνδρὸς Σύρου ἀλλοφύλου ἐξ ἑτέρας κώμης, τά τε ἄλλα φράζοντος ἀκριβῶς καὶ τὸ χωρίον ἔνθα Μιθριδάτης ἤμελλε δαίνυσθαι, δειπνοποιησάμενος καθ' ὥραν ἤλαυνε νυκτὸς ἀμαθέσι τῶν ποιουμένων χρῄζων τοῖς Παρθυαίοις ἐπιπεσεῖν. Καὶ περὶ φυλακὴν τετάρτην ἐπιπεσὼν τοὺς μὲν ἔτι κοιμωμένους ἀναιρεῖ, τοὺς δὲ εἰς φυγὴν τρέπει. Μιθριδάτην δὲ ζωγρίᾳ λαβὼν ἦγεν ὡς αὑτὸν ἐπὶ ὄνου γυμνὸν ἀναθέμενος, ἥπερ ἀτιμιῶν μεγίστη νομίζεται παρὰ Παρθυαίοις. Καταγαγὼν δὲ εἰς τὴν ὕλην μετὰ τοιοῦδε ὁρίσματος, καὶ κελευόντων τῶν φίλων ἀναιρεῖν τὸν Μιθριδάτην, ἀνεδίδασκεν αὐτοὺς σπεύδων αὐτὸς ἐναντία· « μὴ γὰρ καλῶς ἔχειν ἀναιρεῖν ἄνδρα γένους τε ὄντα τῶν πρώτου παρὰ Παρθυαίοις καὶ ἐπιγαμίᾳ τῇ πρὸς τὸν βασιλέα μειζόνως τιμώμενον. Νῦν μὲν γὰρ ἀνεκτὰ εἶναι τὰ πεπραγμένα· καὶ γὰρ εἰ περιύβρισται Μιθριδάτης, ἀλλ' οὖν σωτηρίᾳ τῆς ψυχῆς εὐεργετούμενον χάριτος μνήσασθαι τοῖς τὰ τοιάδε παρασχοῦσι. Παθόντος δέ τι ἀνήκεστον, οὐκ ἀτρεμήσειν βασιλέα μὴ οὐ μεγάλην σφαγὴν Ἰουδαίων τῶν ἐν Βαβυλῶνι ποιησάμενον, ὧν φείδεσθαι καλῶς ἔχειν, διά τε τὴν συγγένειαν καὶ διὰ τὸ μὴ ἀποστροφὴν εἶναι ἂν αὐτοῖς πταίσματός τινος γενομένου, τῇ κατ' ἐκείνους ἀκμῇ πληθύι χρώμενον. » Καὶ ὁ μὲν ταῦτα διανοηθεὶς καὶ φράσας ἐν τῷ συλλόγῳ πιθανὸς ἦν, ἀφίεται τε Μιθριδάτης. Ἐλθόντα δὲ αὐτὸν ὠνείδιζεν ἡ γυνή, εἰ μὴ προθυμήσεται βασιλέως τε γαμβρὸς ὢν καὶ ταύτῃ τιμωρήσεσθαι τοὺς ὑβρίσαντας εἰς αὐτὸν περιορώμενος, ἀγαπῶν δὲ τὴν σωτηρίαν μετὰ αἰχμαλωσίαν ὑπὸ Ἰουδαίου ἀνδρὸς γενομένην. « Καὶ νῦν ἐπανάδραμε « τὴν ἀρετὴν, ἢ θεοὺς ἐπόμνυμι τοὺς βασιλείους ἢ μὴν « παραλυθήσεσθαι τῆς πρὸς σὲ ἐπὶ γάμῳ κοινωνίας. » Ὁ δὲ αὖ, τοῦτο μὲν τῶν ὀνειδῶν τὴν καθ' ἡμέραν ἀχθηδόνα μὴ φέρων, τοῦτο δὲ τῆς γυναικὸς τὴν μεγαλορροσύνην δεδιὼς μὴ παραλύοιτο αὐτοῦ τῶν γάμων, ἄκων μὲν καὶ μὴ βουλόμενος, συνάγει δ' οὖν στρατὸν ὅσον ἠδύνατο πλεῖστον, καὶ ἐλαύνει, οὐκ ἀνασχετὸν ὑπολαμβάνων ἔτι καὶ αὐτὸς τὴν σωτηρίαν, εἰ Παρθυαῖος ὢν ὑπὸ Ἰουδαίου περιῴητο ἀντιπολεμοῦντος.

ζ'. Ἀνιλαῖος δὲ ὡς μανθάνει προσελαύνοντα δυνάμει πολλῇ τὸν Μιθριδάτην, ἄδοξον ἡγησάμενος τὸ μένειν ἐν τοῖς ἕλεσιν, ἀλλὰ μὴ φθάσας ὑπαντιάζειν τοὺς πολεμίους, εὐτυχίᾳ τε τῇ πρότερον ἐλπίζων ὅμοια πράξειν τοὺς πολεμίους καὶ τὴν [τε] τόλμησιν [καὶ] εἰωθόσι θαρρεῖν παρατυγχάνειν, ἐξῆγε τὴν δυναμιν. Πολλοί τε πρὸς τῷ οἰκείῳ στρατῷ προσεγεγόνεσαν αὐτῷ καθ' ἁρπαγὴν τῶν ἀλλοτρίων τραπησόμενοι καὶ ὄψει πάλιν προεκπλήξοντες τοὺς πολεμίους. Προϊοῦσι δὲ αὐτοῖς εἰς σταδίους ἐνενήκοντα, διὰ τῆς ἀνύδρου τῆς πορείας γενομένης καὶ μεσημβρίας οὔσης, τά τε ἄλλα περιῆν τό τε δίψος, καὶ Μιθριδάτης ἐπιφανεὶς προσέβαλε τεταλαιπωρημένοις ἀπορίᾳ τοῦ πιεῖν καὶ δι' αὐτὸ καὶ τὴν ὥραν φέρειν τὰ ὅπλα μὴ δυναμένοις. Τροπή τε οὖν γίνεται τῶν περὶ τὸν Ἀνιλαῖον αἰσχρὰ, διὰ τὸ ἀπηρρωκότας ἀκραιφνέσι προσφέρεσθαι, καὶ φόνος πολὺς,

læus autem quum ista rescivisset ex homine alienigena, Syro genere, alterius vici incola, qui et cetera diligenter ei narrabat, et locum ubi Mithridates epulaturus esset, sumpta tempestive cœna, nocte iter faciebat, eo animo ut Parthos omnium quæ agerentur ignaros adoriretur : et circa quartam vigiliam eos adortus, alios quidem dormientes interfecit, alios vero in fugam vertit. Mithridatem autem quum vivum cepisset, secum abducebat, nudum asino impositum, quæ apud Parthos gravissima habetur contumelia. Quumque in silvam tali proposito eum perduxisset, juberentque amici ut Mithridatem occideret, ille ad diversa contendens eos perdocebat « nequaquam e re sua esse ut Mithridatem occiderent, ut qui primæ esset dignitatis inter Parthos, majorique in honore quod ex nuptiis arctiori necessitudine cum rege conjungeretur. Nunc enim toleratu haud difficilia esse quæ fecerint, et licet contumelia affectus fuerit Mithridates, quod tamen vitam conservatam vobis acceptam debuerit, non obliturum esse gratiam illis referre qui hujusmodi beneficium dederint. Sin vero malorum gravissimum patietur, non conquiescet rex, donec magnam Judæorum in Babylonia stragem ediderit, quibus ut parcatur bene se habere, tam quod consanguinei sint, tam quod nullum erit vobis refugium, si res male ceciderint, quum ille juvenum illorum plerosque in suam potestatem redegerit. » Qui quum ista cogitasset et in concione loquutus esset, suis ea persuadebat; atque ita dimissus est Mithridates. Ipsum vero redeuntem conviciis excipiebat uxor, quod nolit, quum et regis gener esset, atque adeo spretus et contemptus, eos persequi qui injurias ipsi fecerint et contumelias, sed contentus incolumitatis sorte vivere malit, etiam postquam ab viro Judæo ductus fuerit captivus. « Et nunc, inquit, aut forti « animo regredere, aut per deos patrios juro me nuptiarum « tecum societatem direpturam esse. » Ille vero iterum (partim quod ægre ferret quotidianum opprobrium, partim quod veritus esset mulieris animum elatum ne cum ipso divortium faceret,) copias, non sponte quidem neque volens, quantas potuit maximas, coegit, et contra hostem proficiscitur, non ferendam putans salutem, si, quum Parthus esset, reprimeretur a Judæo adversus eum bellum gerente.

7. Anilæus autem, audito Mithridatem in eo esse ut magnam militum vim contra ipsum duceret, inglorium ratus intra palustria se continere et non occupare illis obviam ire, simulque ex priori felicitate sperans se hostes similiter atque antea male mulcaturum, et audaciam audere jam assuetis non defuturam, copias eduxit. Quin et multi præter exercitum ei sese adjunxerunt, ipsius res alienas prædatum ituri, primoque aspectu terrorem hostibus rursus injecturi. At quum progressi essent usque ad stadia nonaginta, facto itinere per loca arida ipsoque meridie, tunc eos præter alia sitis urgebat, et Mithridates conspectus in eos impressionem faciebat, potus inopia laborantes, et ob hoc ipsum et solis ardorem arma ferre non valentes. Itaque Anilæus cum suis turpem in fugam vertitur, quod viribus defectis res esset cum integris, multaque facta est cædes, et plurima hominum millia ceciderunt. Anilæus

πολλαί τε μυριάδες ἔπεσον ἀνδρῶν. Ἀνιλαῖος δὲ καὶ ὄσον περὶ αὐτὸν ἦν συνεστηκὼς ἐπὶ τῆς ὕλης ἐπανεχώρουν φυγῇ μεγάλῃ, νίκης τῆς ἐπ' αὐτοῖς χαρὰν Μιθριδάτῃ παρεσχηκότες. Ἀνιλαίῳ δὲ προσῆει πλῆθος ἄπειρον ἀνδρῶν πονηρῶν ἐν ὀλίγῳ τὴν σωτηρίαν ποιουμένων, ῥᾳστώνης χάριτι τῆς εἰς τὸ παρὸν, ὥστε ἀντανίσωμα τὴν τούτων πρόσοδον γενέσθαι πλήθους τῶν ἀπολωλότων· οὐ μὴν ὅμοιοί γε ἦσαν τοῖς πεπτωκόσι διὰ τὸ ἀμελέτητον. Οὐ μὴν ἀλλὰ καὶ τούτοις ἐπιφοιτᾷ ταῖς κώμαις τῶν Βαβυλωνίων, ἀνάστατά τε ἦν πάντα ταῦτα ὑπὸ τῆς Ἀνιλαίου ὕβρεως. Καὶ Βαβυλώνιοι καὶ οἱ ὄντες ἐν τῷ πολέμῳ πέμπουσιν εἰς τὰ Νάαρδα πρὸς τοὺς ἐν αὐτῇ Ἰουδαίους, Ἀνιλαῖον ἐξαιτούμενοι. Καὶ μὴ δεξαμένοις τοῦτον τὸν λόγον (οὐδὲ γὰρ βουλομένοις ἑκόντον παρασχεῖν δυνατὸν ἦν) τὴν εἰρήνην προὐκαλοῦντο· οἱ δὲ καὶτοὶ χρῄζειν ἔλεγον τῶν ἐπὶ τῆς εἰρήνης συμβάσεων, καὶ πέμπουσι μετὰ τῶν Βαβυλωνίων ἄνδρας οἳ διαλέξαιντο πρὸς τὸν Ἀνιλαῖον. Οἱ δὲ Βαβυλώνιοι, κατοπτείας αὐτοῖς γενομένης, μαθόντες τὸ χωρίον ἐν ᾧ ἱδρυμένος Ἀνιλαῖος ἦν, ἐπιπεσόντες κρύφα νυκτὸς μεθύουσι καὶ καθ' ὕπνον τρεπομένοις, κτείνουσιν ἀδεῶς πάντας ὅσους ἐγκατέλαβον, καὶ Ἀνιλαῖον αὐτὸν ἀπέκτειναν.

η'. Οἱ δὲ Βαβυλώνιοι ἀπαλλαγέντες τῆς Ἀνιλαίου βαρύτητος, (ἐπιστόμισμα γὰρ ἦν αὐτῶν μίσει τῷ πρὸς Ἰουδαίους, ἀεὶ γὰρ ὡς ἐπὶ πολὺ διάφοροι καθεστήκεσαν αἰτίᾳ τῆς ἐναντιώσεως τῶν νόμων, καὶ ὁποτέροις παραγένοιτο θαρρεῖν πρότερον ἀλλήλων ἥπτοντο,) καὶ τότε οὖν ἀπολωλότων τῶν περὶ τὸν Ἀνιλαῖον, ἐπετίθεντο τοῖς Ἰουδαίοις. Οἱ δὲ ἐν δεινῷ τιθέμενοι τὴν ὕβριν τὴν ἐκ τῶν Βαβυλωνίων, καὶ μήτε ἀντιτάξασθαι μάχῃ δυνάμενοι μήτε ἀνεκτὸν ἡγούμενοι τὴν συνοικίαν, ᾤχοντο εἰς Σελεύκειαν, τῶν ἐκείνῃ πόλιν ἀξιολογωτάτην, Σελεύκου κτίσαντος αὐτὴν τοῦ Νικάτορος· οἰκοῦσι δὲ αὐτὴν πολλοὶ τῶν Μακεδόνων, πλεῖστοι δὲ Ἕλληνες, ἔστι δὲ καὶ Σύρων οὐκ ὀλίγον τὸ ἐμπολιτευόμενον. Εἰς μὲν δὴ ταύτην καταφεύγουσιν οἱ Ἰουδαῖοι, καὶ ἐπὶ μὲν πέντε ἔτη ἀπαθεῖς κακῶν ἦσαν, τῷ δὲ ἕκτῳ ἔτει μετὰ τὸ πρῶτον φθορὰ ἐν Βαβυλῶνι ἐγένετο αὐτῶν [καὶ κεναὶ κτίσεις τῆς πόλεως] καὶ δι' αὐτὴν ἄφιξις εἰς τὴν Σελεύκειαν. Ἐκδέχεται δὲ μείζων αὐτοὺς συμφορὰ δι' αἰτίαν ἣν ἀφηγήσομαι.

θ'. Σελευκέων τοῖς Ἕλλησι πρὸς τοὺς Σύρους ὡς ἐπὶ πολὺ ἐν στάσει καὶ διχονοίᾳ ἐστὶν ὁ βίος, καὶ κρατοῦσιν οἱ Ἕλληνες. Τότε οὖν συνοίκων αὐτοῖς Ἰουδαίων γενομένων ἐστασίαζον, καὶ οἱ Σύροι καθυπέρτεροι ἦσαν ὁμολογίᾳ τῇ Ἰουδαίων πρὸς αὐτοὺς, φιλοκινδύνων τε ἀνδρῶν καὶ πολεμεῖν προθύμως ἐντεταγμένων. Καὶ οἱ Ἕλληνες περιωθούμενοι τῇ στάσει καὶ μίαν ὁρῶντες αὐτοῖς ἀφορμὴν τοῦ ἀνασώσασθαι τὸ πρότερον ἀξίωμα, εἰ δυνηθεῖεν παῦσαι ταυτὸν λέγοντας Ἰουδαίους καὶ Σύρους, διελέγοντο ἕκαστοι πρὸς τῶν Σύρων τοὺς αὐτῶν συνήθεις πρὸ τοῦ γεγονότας, εἰρήνην τε καὶ φιλίαν ὑπισχνούμενοι. Οἱ δὲ ἐπείθοντο ἄσμενοι. Ἐγίνοντο οὖν

autem et quotquot circa eum erant fuga effusissima in silvam se receperunt, facientes ut Mithridates exsulteret gaudio ex victoria ab illis reportata. Ceterum ad Anilæum confluxit ingens multitudo perditorum hominum, suam salutem parvi pendentium dummodo rerum asperitate in præsens leventur, adeo ut incrementum quod ex illis ceperit occisorum numerum adæquaverit : haud tamen conferendi erant cum iis qui acie ceciderant, quod rudes essent et inexercitati. Veruntamen cum illis impressionem faciebat in Babyloniorum vicos, atque istic vi et violentia Anilæi magna facta est rerum omnium vastatio. Tum Babylonii, cum iis qui bellum susceperant, miserunt Naarda ad Judæos qui illic erant, Anilæum sibi tradi postulantes. Et quum dictis istis non auscultarent, (neque enim, si id maxime vellent, hominem dedere potuerunt,) ad pacem ineundam eos invitabant : atque illi se etiam desiderare dicebant ut de pace convenirent, mittuntque una cum Babyloniis certos homines, qui cum Anilæo hac de re agerent. Tum Babylonii, postquam omnia exploraverant, et qualis esset locus, in quo castra posuerat Anilæus, cognovissent, eos crapula somnoque gravatos adorti, impune quotquot nacti sunt, ipsumque Anilæum inter ceteros, interficiunt.

8. Babylonii autem gravi Anilæi metu liberati, (illis enim hic obstabat quominus suum in Judæos odium effunderent, nam perpetuo fere inter eos dissidia erant ex legum diversitate orta, et cuicunque parti forte animi creverint, prior alteram injuriis lacessebat,) tunc itaque occisis qui cum Anilæo erant, in Judæos impetum faciunt. Illi vero graviter ferentes Babyloniorum injurias, quum neque aliquid possent contra illos in acie neque simul cum illis vivere sustinerent, migrabant Seleuciam, urbem illius regionis præcipuam, a Seleuco Nicatoris filio conditam : eam autem habitant Macedonum multi plurimique Græci ; præterea etiam Syri numero non pauci cum illis versantur. In illam itaque se recipiunt Judæi, et per quinquennium nihil mali iis accidit. Sexto autem anno post priorem cladem, peste in eos grassata Babylone, Seleuciam se contulerunt. Major vero eos occupat calamitas propter causam quam memorabo.

9. Inter Græcos in Seleucia et Syros plerumque gliscebat seditio et discordia, ita tamen ut Græci superiores fuerint. Tunc itaque quum Judæi qui eo venerant simul cum illis viverent, orta est seditio, et Syri vincebant, quod ab illis starent Judæi, viri qui prompte pericula adeunt, seque aliis ad bellum gerendum libenter adjungunt. Atque Græci, ex seditione male habiti, quum cernerent se ex illa una re priorem auctoritatem recuperaturos esse, si possent Judæos Syrosque dissociare, singuli cum Syris illis colloquuti sunt, quibuscum antea intercesserat familiaritas, pacem et amicitiam pollicentes. Illi vero libenter auscultabant.

ἀφ' ἑκατέρων λόγοι, καὶ τῶν πρώτων παρ' ἑκατέροις ἀνδρῶν πρασσόντων ἐπὶ διαλλαγάς, τάχιστα ἡ σύμβασις ἐγένετο. Ὁμονοήσαντές τε μέγα τεκμήριον ἑκάτεροι εὐνοίας παρ' ἀλλήλοις ἠξίουν παρασχεῖν τὸ πρὸς Ἰουδαίους ἔχθος· ἐπιπεσόντες τε αἰφνίδιον αὐτοῖς κτείνουσι μυριάδας ὑπὲρ πέντε ἀνδρῶν. Ἀπώλοντό τε πάντες πλὴν εἴ τινες ἐλέῳ φίλων ἢ γειτόνων ἐπιχωρηθὲν αὐτοῖς ἔφυγον. Τούτοις δὲ ἦν εἰς Κτησιφῶντα ἀποχώρησις, πόλιν Ἑλληνίδα καὶ τῇ Σελευκείᾳ πλησίον κειμένην, ἔνθα χειμάζει τε ὁ βασιλεὺς κατὰ πᾶν ἔτος καὶ ἡ πλείστη τῆς ἀποσκευῆς αὐτοῦ τῇδε ἀποκειμένη τυγχάνει.. Ἀσύνθετα δὲ ἦν αὐτοῖς τὴν ὕδρυσιν πεποιημένοις, τιμῆς τοῦ βασιλέως Σελευκέων μὴ περφροντικότων. Ἐφοβήθη δὲ καὶ πᾶν τὸ τῇδε Ἰουδαίων ἔθνος τούς τε Βαβυλωνίους καὶ τοὺς Σελευκεῖς, ἐπειδὴ καὶ ὁπόσον ἦν Σύρων ἐμπολιτεῦον τοῖς τόποις ταυτὸν ἔλεγον τοῖς Σελευκεῦσιν ἐπὶ πολέμῳ τῷ πρὸς τοὺς Ἰουδαίους, καὶ συνελέγησαν ὡς τὸ πολὺ εἴς τε τὰ Νάαρδα καὶ τὴν Νίσιβιν, ὀχυρότητι τῶν πόλεων κτώμενοι τὴν ἀσφάλειαν, καὶ ἄλλως πληθὺς ἅπασα μαχίμων ἀνδρῶν κατοικεῖται. Καὶ τὰ κατὰ Ἰουδαίους τοὺς ἐν Βαβυλωνίᾳ τοιαῦτα ἦν.

Post sermones igitur ultro citroque habitos, primariis ex utraque parte viris de gratia ineunda agentibus, statim reconciliatio facta est. Quumque consensissent, utrique non aliam certiorem amicitiæ tesseram sibi invicem daturos esse existimabant, quam ut Judæos odio prosequerentur: eosque ex improviso aggressi supra quinquaginta hominum millia occidunt. Atque omnes perierunt, præter eos qui amicorum aut vicinorum misericordia evaserunt. Hi autem Ctesiphontem migrarunt, urbem Græcam et Seleuciæ in vicinia sitam, ubi rex quotannis hiemem agit, et impedimentorum ejus pars magna reposita erat. Verum certam fidem stabilemque sedem non invenerunt, Seleucensibus de honore regis minime sollicitis. Etenim Judæi omnes in eo loco terrore Babyloniorum et Seleucensium perculsi erant, quippe quod Syri universi in ea regione conspirarint cum Seleucensibus ad bellum Judæis inferendum. Unde factum est ut plerique Naarda ac Nisibin se receperint, in firmitate et munitionibus earum urbium securitatem reponentes, accedente quod bellicosorum hominum copia omnis illic habitabat. Atque ea quidem quæ ad Judæos in Babylonia spectant, hujusmodi erant.

ΒΙΒΛΙΟΝ ΕΝΝΕΑΚΑΙΔΕΚΑΤΟΝ.

α'. Ὡς Γάιος Καῖσαρ, ἐπιβουλευθεὶς ὑπὸ Κασσίου Χαιρέου, ἀνῃρέθη.
β'. Ὡς Κλαύδιος ὁ θεῖος αὐτοῦ, βιασθεὶς ὑπὸ τῶν στρατιωτῶν, τὴν ἀρχὴν παρέλαβεν.
γ'. Στάσις τῆς βουλῆς καὶ τοῦ δήμου πρὸς αὐτὸν καὶ τὰ σὺν αὐτῷ στρατεύματα.
δ'. Πρεσβεία τοῦ βασιλέως Ἀγρίππα πρὸς τὴν βουλήν, καὶ ὡς συνθέμενοι οἱ στρατιῶται οἱ μετὰ τῆς βουλῆς ἀπεχώρησαν πρὸς Κλαύδιον, καὶ κύριον αὐτὸν κατέστησαν τῶν πραγμάτων· ἡ δὲ βουλὴ μονωθεῖσα παρεκάλει Κλαύδιον αὐτῇ διαλλαγῆναι.
ε'. Ὡς Κλαύδιος Καῖσαρ ἀποδίδωσιν Ἀγρίππα τὴν πατρῴαν αὐτοῦ βασιλείαν ἅπασαν, προσθεὶς αὐτῷ καὶ τὴν Λυσανίου τετραρχίαν.
ϛ'. Προγράμματα Κλαυδίου Καίσαρος ἐν Ἀλεξανδρείᾳ ὑπὲρ τῶν ἐκεῖ Ἰουδαίων καὶ ἐν πάσῃ αὐτοῦ ἀρχῇ.
ζ'. Ἀπόπλους Ἀγρίππα τοῦ βασιλέως εἰς Ἰουδαίαν.
η'. Ἡ ἐπιστολὴ Πουπλίου Πετρωνίου τοῦ Συρίας ἡγεμόνος πρὸς Δωρίτας ὑπὲρ Ἰουδαίων.
θ'. Ὡς βασιλεύσας Ἀγρίππας, τὰ Ἱεροσολύμων τείχη πολυτελῆ κατασκευάζων, ἀτελῆ τὴν σπουδὴν ἔσχε μεταξὺ τελευτήσας.
ι'. Ὅσα ἔπραξε τρισὶν ἔτεσιν, ἄχρι τῆς τελευτῆς αὐτοῦ· καὶ ὃν τρόπον τὸν βίον κατέστρεψεν.

Περιέχει ἡ βίβλος χρόνον ἐτῶν γ' καὶ μηνῶν ϛ'.

LIBER DECIMUS NONUS.

1. Quomodo Caius Cæsar, insidiis appetitus a Cassio Chærea, interfectus est.
2. Quomodo Claudius avunculus ejus, coactus a militibus, imperium suscepit.
3. Seditio coorta inter senatum populumque et Claudium militesque qui cum eo erant.
4. Legatio regis Agrippæ ad senatum, utque milites qui cum senatu erant uno consensu discesserunt ad Claudium, summamque rerum ei detulerunt: quo facto senatus derelictus Claudium obsecrabat ut cum ipsis in gratiam rediret.
5. Quomodo Claudius Cæsar reddidit Agrippæ omne regnum paternum, insuper adjecta etiam Lysaniæ tetrarchia.
6. Programmata Claudii Cæsaris ad Alexandrinos de Judæis qui illic erant et in universo ejus imperio.
7. Navigatio regis Agrippæ in Judæam.
8. Literæ Publii Petronii præsidis Syriæ ad Doritas pro Judæis.
9. Quomodo Agrippa rex Hierosolymorum mœnia magnifice instaurans, morte prævenius opus cui studuerat imperfectum reliquit.
10. Quæ gesserit per tres annos usque ad obitum, et quo modo vitam finierit.

Continet hic liber tempus annorum trium, mensium sex.

ΚΕΦ. Α'.

Γάϊος δὲ οὐκ εἰς μόνους Ἰουδαίους τοὺς ἐν Ἱεροσολύμοις καὶ τοὺς ὁπόσοι τῇδε οἰκοῦσιν ἐπεδείκνυτο τῆς ὕβρεως τὴν μανίαν, ἀλλὰ διὰ πάσης ἐσομένην γῆς καὶ

CAP. I.

Caius autem non in solos qui Hierosolymis erant Judæos quique in vicinis regionibus degebant violentiæ suæ insaniam effundebat, sed eam per terras omnes et maria grassa-

θαλάσσης ἔστελλεν αὐτὴν, ὁπόση Ῥωμαίοις ὑπακούει, μυρίων τε ἀνέπλησεν αὐτὴν κακῶν, ὁπόσα μὴ ἱστόρητο πρότερον. Μάλιστα δὲ ἠσθάνετο τοῦ δεινοῦ τῶν πρασσομένων ἡ Ῥώμη, κατ' οὐδὲν αὐτὴν τιμιωτέραν τῶν λοιπῶν πόλεων ἡγουμένου, ἀλλὰ τούς τε ἄλλους ἄγοντος καὶ φέροντος καὶ μάλιστα τὴν σύγκλητον καὶ ὁπόσοι τούτων εὐπατρίδαι καὶ προγόνων ἐπιφανείαις τιμώμενοι. Μυρία τε ηὑρίσκετο καὶ κατὰ τῶν ἱππέων μὲν καλουμένων, ἀξιώματι δὲ καὶ δυνάμει χρημάτων ὅμοια τοῖς συγκλητικοῖς ὑπὸ τῆς πόλεως ἀγομένων, διὰ τὸ ἐκ τούτων εἰς τὴν βουλὴν εἶναι κατακλήσεις, ὧν ἀτίμωσις ἦν καὶ μετανάστασις, κτεινομένων τε καὶ τὰ χρήματα συλουμένων, διὰ τὸ καὶ τὰς σφαγὰς ὡς τὸ πολὺ ἐπ' ἀφαιρέσει τῶν χρημάτων αὐτοῖς συντυγχάνειν. Ἐξεθείαζε δὲ ἑαυτὸν καὶ τὰς τιμὰς οὐκέτι ἀνθρωπίνως ἠξίου γίνεσθαι παρὰ τῶν ὑπηκόων αὐτῷ, εἴς τε τοῦ Διὸς φοιτῶν τὸ ἱερὸν, ὃ Καπετώλιον μὲν καλοῦσι, τιμιώτατον δ' ἄρ' αὐτοῖς ἐστιν ἱερῶν, ἀδελφὸν ἐτόλμησε προσαγορεύειν τὸν Δία. Καὶ τἄλλα ἔπρασε μανίας οὐδὲν ἀπολελειμμένος, ἐπεὶ καὶ ἀπὸ Δικαιαρχείας τῆς πόλεως ἐν Καμπανίᾳ κειμένης εἰς Μισηνοὺς, ἑτέραν πόλιν ἐπιθαλάσσιον, τὴν διάβασιν δεινὸν ἡγούμενος τριήρει περατοῦν, καὶ ἄλλως ἐπιβάλλειν ἡγούμενος αὐτῷ δεσπότῃ ὄντι τῆς θαλάσσης ταὐτὰ καὶ ὁποῖα καὶ παρὰ γῆς ἀπαιτεῖν, ἀπ' ἄκρων ἐπ' ἄκρα σταδίους τριάκοντα μέτρον τῆς θαλάσσης ζεύξας, καὶ εἴσω τὸν κόλπον ἀπολαβὼν πάντα, ἤλαυνεν ἐπὶ τῇ γεφύρᾳ τὸ ἅρμα· θεῷ γὰρ ὄντι τοιαύτας ποιεῖσθαι καλῶς ἔχειν τὰς ὁδούς. Τῶν τε ἱερῶν τῶν Ἑλληνικῶν οὐδὲν ἔτι ἀσύλητον κατέλειπεν, ὁπόσα γραφῆς ἢ γλυφῆς ἐχόμενα καὶ τὰς λοιπὰς κατασκευὰς ἀνδριάντων καὶ ἀναθημάτων ἄγεσθαι κελεύσας παρ' αὐτόν· οὐ γὰρ ἐν ἑτέρῳ τὰ καλὰ κεῖσθαι καλῶς ἔχειν ἢ ἐν τῷ καλλίστῳ, τυγχάνειν δὲ τοῦτο οὖσαν τὴν Ῥωμαίων πόλιν. Ἐκόσμει τε τοῖς ἐνθένδε ἀγομένοις τήν τε οἰκίαν καὶ τοὺς κήπους, ὁπόσαι τε αὐτῷ καταγωγαὶ διὰ γῆς τῆς Ἰταλῶν· ἐπεὶ καὶ τὸν Ὀλύμπιον τιμώμενον Δία ὑπὸ τῶν Ἑλλήνων καὶ οὕτως ὠνομασμένον [Ὀλύμπιον], Φειδίου τοῦ Ἀθηναίου πεποιηκότος, ἐτόλμησε κελεῦσαι εἰς τὴν Ῥώμην μεταφέρειν· οὐ μὴν ἔπραξέ γε, τῶν ἀρχιτεκτόνων φαμένων πρὸς Μέμμιον Ῥήγουλον, ὃς ἐπετέτακτο τῇ κινήσει τοῦ Διὸς, ἀπολεῖσθαι τοὔργον κινήσεως αὐτοῦ γεγενημένης. Λέγεται δὲ τὸν Μέμμιον διὰ ταῦτα, καὶ σημείων μειζόνων γεγενημένων ἢ ὡς ἄν τινα πιστὰ ἡγεῖσθαι, ὑπερβαλέσθαι τὴν ἀναίρεσιν· καὶ γράφει τάδε πρὸς τὸν Γάϊον ἐπ' ἀπολογίᾳ τοῦ ἐκλιπεῖν ἀδιακόνητον τὴν ἐπιστολήν. Ἀπολέσθαι τε ἐκ τούτων αὐτῷ κινδύνου γενομένου, σώζεται φθάσαντος ἤδη Γαΐου τελευτῆσαι.

β'. Εἰς τοῦτο δὲ προῦβη τὸ μανικὸν αὐτῷ, ὥστε δὴ καὶ θυγατρὸς αὐτῷ γενομένης, ἀνακομίσας ἐπὶ τὸ Καπετώλιον ἐπὶ τοῖς γόνασι κατατίθεται τοῦ ἀγάλματος, κοινὸν αὑτῷ τε καὶ τῷ Διὶ γεγονέναι τὸ τέκνον φάσκων, καὶ δύο χειροτονεῖν αὐτῆς πατέρας, ὁπότερον μείζονα φάμενος ἐν μέσῳ καταλιμπάνειν. Καὶ τάδε ἠνείχοντο

turam immittebat, quam late Romanum patet imperium, atque infinitis malis illud replevit, quot quantaque non antea memoriæ prodita sunt. At maxime factorum ejus immanitatem experta est Roma, quum nihilo magis eam in honore haberet, quam ceteras civitates, tum alios ejus cives agens ferensque, tum maxime senatores, eosque præcipue qui patricii erant et gloria majorum oculos omnium in se convertebant. Et innumera excogitabat etiam contra eos qui Equites vocabantur et in civitate, quod dignitate et opibus florerent, pari erant in existimatione cum senatoribus, utpote ex quorum ordine in senatum habebatur delectus; quos ignominia afficiebat et de gradu dejiciebat, et tam vita quam pecunia spoliabat, quippe quod plerumque eveniebat cædes illorum fieri ut divitias auferret. Porro divinam majestatem sibi asserebat, sibique honores plus quam humanos tribui a subditis postulabat; Jovis etiam templum frequentans, quod Capitolium vocatur, adeoque fanorum omnium apud illos celeberrimum est, Jovem fratrem suum appellare ausus est. Alia quoque agebat similiter ac si plane insanus esset, quando a Puteolis Campaniæ urbe ad Misenum usque, et ipsum Campaniæ oppidum maritimum, gravatus triremi trajicere, et alioqui ad se maris dominum pertinere existimans ut ab eo eadem quæ a terra obsequia exigeret, ab uno promontorio ad alterum per triginta in mari stadia ponte juncto, intusque sinus omnis spatio comprehenso, curru per pontem vectus est : sibi enim utpote deo conveuire ejusmodi itinera facere. Templorum quoque Græcorum nullum inspoliatum relinquebat, quæcunque picturæ aliquid aut sculpturæ haberent, reliquosque statuarum et donariorum apparatus ad se deportari jubens : haud enim decere ut quæ pulcra sint alio in loco reponantur quam pulcerrimo, hunc autem esse urbem Romam. Insuper rebus ad se illinc advectis domum suam exornabat et hortos, ut et alia sua per Italiam deversoria; quippe qui et Jovem Olympium a Græcis cultum atque sic [Olympium] cognominatum, Phidiæ Atheniensis opus, Romam transferri jubere ausus esset. Quod tamen non successit, architectis Memmio Regulo dicentibus, cui id negotii datum fuerat, infractum iri simulacrum si loco suo moveretur. Aiunt etiam Memmium propter ista, editis etiam prodigiis supra quam cuique credibile est, ab eo tollendo desiisse; quæ etiam scripsit ad Caium, ut semet excusaret quod mandatis ejus non fuerat obsequutus. Quumque ille propterea summum vitæ discrimen adiret, evasit Caio mox morte prærepto.

2. Eo autem insaniæ processit ut, quum filia ei nata esset, eam in Capitolium delatam in simulacri genua deponeret, communem sibi cum Jove prolem esse dicens, duosque se ei patres constituere, adjecto se in medio relinquere uter horum major sit. Atque illum hæc licet perpetrantem to-

πράσσοντα αὐτὸν οἱ ἄνθρωποι. Ἐπέτρεψε δὲ καὶ τοῖς οἰκέταις κατηγορίας ποιεῖσθαι τῶν δεσποτῶν ἐφ' οἷστισιν ἐθελήσειαν ἐγκλήμασι. Δεινὰ γὰρ πάντα ἦν ὁπόσα μέλλοι λέγεσθαι, διὰ τὸ χάριτί τε καὶ ὑπαγορεύσει τῇ ἐκείνου τὰ πολλὰ γίνεσθαι· ὥστε ἤδη καὶ Κλαυδίου ἐτόλμα ποιήσασθαι Πολυδεύκης ὁ δοῦλος κατηγορίαν, καὶ Γάϊος ἠνείχετο κατὰ πατρωνοῦ τοῦ αὐτοῦ δίκης θανάτου λεγομένης ἐπ' ἀκροάσει συνελθεῖν, ἐλπίδι τοῦ παραλαβεῖν δύναμιν ἀνελεῖν αὐτόν. Οὐ μὴν ἐξεγένετό γε αὐτῷ. Ἀναπεπληκότος δὲ αὐτοῦ συκοφαντιῶν καὶ κακῶν πᾶσαν τὴν οἰκουμένην ἧς ἐπῆρχε, καὶ πολλὴν τὴν δουλοκρατίαν ἐπηρμένου τοῖς δεσπόταις, ἐπιβουλαὶ τὰ πολλὰ ἤδη συνίσταντο, τῶν μὲν ἐπ' ἀμύνῃ ὧν πάθοιεν ὀργὴν ποιουμένων, τῶν δὲ πρὶν ἐμπεσόντες κακῶν τυχεῖν μεγάλων τιθεμένων τὸ μεταχειρίσασθαι τὸν ἄνθρωπον. Ὅθεν ἐπίτηδες τοῖς τε ἁπάντων νόμοις καὶ τῷ ἀσφαλεῖ μεγάλην συνήνεγκεν εὐδαιμονίας ῥοπὴν ὁ θάνατος αὐτοῦ, ἔθνει τε τῷ ἡμετέρῳ οὐδὲ εἰς ὀλίγον ἐξεγεγόνει μὴ οὐκ ἀπολωλέναι, μὴ ταχείας αὐτῷ τελευτῆς παραγενομένης. Βούλομαι δὲ δι' ἀκριβείας τὸν πάντα περὶ αὐτοῦ λόγον διελθεῖν, ἄλλως τε καὶ ἐπειδὴ πολλὴν ἔχει πίστιν τοῦ Θεοῦ τῆς δυνάμεως καὶ παραμυθίαν τοῖς ἐν τύχαις κειμένοις καὶ σωφρονισμὸν τοῖς οἰομένοις ἀΐδιον τὴν εὐτυχίαν, ἀλλὰ μὴ ἐπὶ μήκιστον φέρειν κακὸν ἀρετῆς αὐτῇ μὴ παραγενομένης.

γ'. Ὁδοὺς μὲν τρεῖς ὁ θάνατος αὐτοῦ παρεσκευάζετο, καὶ τούτων ἑκάστης ἄνδρες ἀγαθοὶ τὴν ἡγεμονίαν εἶχον. Αἰμίλιος μὲν Ῥήγουλος, ἐκ Κορδύβης τῆς ἐν Ἰβηρίᾳ τὸ γένος, συνεῖχέ τινας, ἢ δι' ἐκείνων ἢ δι' αὐτοῦ πρόθυμος ὢν ἄρασθαι Γάϊον· ἑτέρα δὲ αὐτοῖς συνεκροτεῖτο, ἧς Χαιρέας Κάσσιος χιλίαρχος ἡγεμὼν ἦν· Μινουκιανὸς δὲ Ἄννιος οὐκ ὀλίγῃ μοῖρα τῶν ἐπὶ τὴν τυραννίδα παρεσκευασμένων ἦν. Αἰτία δὲ αὐτοῖς μίσους τοῦ πρὸς Γάϊον συνελθεῖν Ῥηγούλῳ μὲν τὸ ἐπὶ πᾶσιν ὀργίλον καὶ μίσει χρώμενον πρὸς τὰ μετὰ ἀδικίας ἐξαγόμενα· (καὶ γὰρ εἶχέ τι θυμοειδὲς ἐν τῇ διανοίᾳ καὶ ἐλευθέριον, ὑφ' οὗ μηδὲ στέγην προστίθεσθαι τῶν βουλευμάτων· πολλοῖς γοῦν ἀνεκοινώσατο καὶ φίλοις καὶ ἄλλοις δοκοῦσιν αὐτῷ δραστηρίοις·) Μινουκιανὸς δὲ τὰ μὲν Λεπίδου τε ἐκδικίᾳ (φίλον γὰρ αὐτῷ τὰ μάλιστα ὄντα τοῦτον καὶ τῶν πολιτῶν σὺν ὀλίγοις ἀναιρεῖ Γάϊος) καὶ ἄλλως φοβηθεὶς τὰ περὶ αὐτὸν διὰ τὸ πᾶσιν ὁμοίως τὸν Γάϊον ἐπὶ θάνατον ἀνακειμένην ἐπαφιέναι τὴν ὀργήν, ἐπὶ τὴν ἐγχείρησιν ἦλθεν· Χαιρέας δὲ αἰσχύνῃ φέρων τὰ ὀνείδη τὰ εἰς τὴν ἀνανδρίαν ὑπὸ τοῦ Γαΐου προσφερόμενα καὶ ἄλλως τὸ ἐφ' ἡμέρᾳ κινδυνεύειν φιλίᾳ καὶ θεραπείᾳ, τὴν Γαΐου τελευτὴν οὐκ ἀνελεύθερον ὑπολαμβάνων· οἱ δὲ καὶ πᾶσι κοινῇ προτεθῆναι τὴν ἐπὶ τῷ πράγματι σκέψιν, τήν τε ὕβριν ὑφορμένοις καὶ ἐπιθυμοῦσιν αὐτὴν ἐπ' ἀλλήλων ἀκμάζουσαν διαφυγεῖν ἀραμένοις τὸν Γάϊον· ἴσως μὲν γὰρ ἂν κατορθῶσαι, καλὸν δὲ κατορθοῦσι τηλικούτων ἀγαθῶν σχεῖν, οἳ ἐπὶ σωτηρίᾳ τῆς τε πόλεως καὶ τῆς ἡγεμονίας ποθοῦσι καὶ μετὰ ὀλέθρου ἅπτεσθαι τοῦ πράγματος. Παρὰ πάντα

lerabant homines. Quin et servis permisit dominos accusare, et quæcunque vellent eis exprobrare crimina. Gravia autem erant omnia illis objicienda, quod pleraque eorum in ipsius gratiam ipsiusque hortatu illis crimini vertebantur: adeo ut in Claudium quoque accusationem instituere auderet Pollux ejus mancipium, et Caius, quum capitis causa contra patronum diceretur, ad eam audiendam venire sustineret sperans sibi datum iri potestatem ipsum tollendi. Proposito *tamen suo excidit. Quum autem totum suæ ditionis orbem* calumniis malitiaque replevisset, servosque in dominos magna potestate armasset, tum sæpius in eum tendebantur insidiæ, aliis quidem ei succrescentibus ut acceptas injurias ulciscerentur; *aliis vero hominem interficere constituentibus*, priusquam ipsi in magnas calamitates incideret. Proinde ad leges omnium populorum conservandas et securitatem feliciter admodum cecidit illius mors, gentique nostræ præcipue, quæ parum aberat quin funditus perierit, nisi mors illum celeriter occupasset. Volo itaque singula de illius interitu narrando percensere, præsertim quod multum fidei affert Dei potentiæ et solatii illis qui in adversis sunt, et admonitionis iis qui perpetuam fore felicitatem putant, non autem in calamitatem tandem desinere, nisi illi comes adjungatur virtus.

3. Tribus quidem viis ad necem ei machinandam itum est, idque trium virorum fortium ductu et auspiciis. Æmilius Regulus, ex Corduba Iberiæ oriundus, nonnullos secum conjunctos habebat, volens aut eorum opera aut sua manu Caium tollere: altera conjuratorum cohors conflata erat, duce Cassio Chærea tribuno: Annius etiam Minucianus non parvæ præerat manui contra tyrannidem paratæ. Causa autem illis erat odii, quo impulsi in Caium conspirarunt, Regulo quidem, quod suapte natura iracundus fuerit, oderitque omnia *injuste perpetrata*; (*nam fortis erat et* animosus, ingenioque liberali, ita ut sua consilia non dissimularet: ea itaque cum multis communicavit tum amicis tum aliis, qui videbantur ipsi ad res agendas acres strenuique;) *at Minucianus partim quidem Lepidum* ulciscendi desiderio, quem illi amicissimum et civem cum primis egregium Caius occiderat, præsertim vero de se metuens, quod moris esset Caio ira in omnes similiter ad mortem usque debacchari, ad rem aggrediendam se accingebat; Chærea autem, quod eum valde puderet conviciorum in ipsum tanquam mollem et effeminatum a Caio jactorum, quodque alioqui periculum adiret quotidie ex sua erga Caium amicitia et observantia, necem ejus fore facinus homine ingenuo non indignum existimabat. Illis autem visum est consilium de re exsequenda cum omnibus communicare, qui injurias et spectarent et eas inter se invicem flagrantes effugere desiderarent, Caio sublato: fortasse quidem fore ut res ex sententia succedat, pulcrum vero, si successerit, tot viros bonos *secum consentientes* habere, qui pro salute urbis et imperii expetunt etiam cum vitæ discrimine ad rem aggredi.

δὲ Χαιρέαν ἐπείγεσθαι, ὀνόματός τε ἐπιθυμίᾳ μείζονος καὶ ἄλλως ὑπὸ τοῦ ἀδεέστερον προσιέναι τῷ Γαΐῳ διὰ τὴν χιλιαρχίαν βαστώνης αὐτῷ κτείνειν ἐσομένης.

δ'. Ἐν τούτῳ δὲ ἱπποδρομίαι ἦσαν· καὶ σπουδάζεται γὰρ Ῥωμαίοις ἥδε ἡ θεωρία δεινῶς. Συνίασι δὲ προθύμως εἰς τὸν ἱππόδρομον καὶ ἐφ' οἷς χρήζοιεν δέονται τῶν αὐτοκρατόρων κατὰ πλῆθος συνελθόντες, οἱ δὲ ἀναντιλέκτους τὰς δεήσεις κρίνοντες οὐδαμῶς ἀχαριστοῦσιν. Ἐκέλευον δὲ καὶ τὸν Γαΐον, ἐκθύμῳ τῇ ἱκετείᾳ χρώμενοι, τῶν τελῶν ἐπανιέναι καὶ τῶν φόρων ἐπικουφίζειν τι τοῦ ἐπαχθοῦς. Ὁ δὲ οὐκ ἠνείχετο, καὶ πλέον τι τῇ βοῇ χρωμένων ἄλλους ἄλλῃ διαπέμψας κελεύει τοὺς βοῶντας λαβεῖν τε καὶ μηδὲν εἰς ἀναβολὰς ἀνελεῖν προαγαγόντας. Καὶ ὁ μὲν ἐκέλευε ταῦτα καὶ οἷς προσετέτακτο ἔπρασσον, πλεῖστοί τε ἦσαν οἱ ἐπὶ τοιούτοις ἀποθανόντες. Καὶ ὁ δῆμος ἑώρα μὲν, ἠνείχετο δὲ παυσάμενος τῆς βοῆς, ἐν ὀλίγῳ τὴν ἕνεκα τῶν χρημάτων ὀφθαλμοῖς ὁρῶντες [ἐπὶ τοιούτοις] παραίτησιν θάνατον αὐτοῖς φέρουσαν. Ταῦτα Χαιρέαν ἐνῆγαγε μειζόνως ἅπτεσθαί τε τῆς ἐπιβουλῆς καὶ παύειν κατὰ τῶν ἀνθρώπων ἐξηγριωκότα τὸν Γαΐον. Καὶ πολλάκις μὲν καὶ παρὰ τὰς ἑστιάσεις ἐμέλλησεν ἐπιχειρεῖν, οὐ μὴν ἀλλ' ἐπείχετο λογισμῷ, τὸ μὲν κτείνειν οὐκέτι ἐνδοιαστὸν κεκρικὼς, τὸν δὲ καιρὸν περισκοπῶν, ὅπως μὴ εἰς κενὸν, ἀλλ' ἐπὶ καταπράξει τῶν βεβουλευμένων ταῖς χερσὶ χρῷτο.

ε'. Ἐστρατεύετο δὲ πολὺν ἤδη χρόνον, οὐχ ἡδονῇ φέρων Γαΐου τὴν συναναστροφήν. Ἐπεὶ δὲ αὐτὸν ἵστατο Γάϊος εἰσπραξόμενον τούς τε φόρους καὶ ὅσα ἄλλα καταβαλλόμενα εἰς τὸν Καίσαρος θησαυρὸν ἐφυστερήκει τοῖς καιροῖς, διὰ τὸ ἐπιδιπλασιάζεσθαι τὴν δύναμιν αὐτῶν, χρόνον ἐκεῖ ποιεῖται τῇ εἰσπράξει, τρόπῳ τῷ αὐτοῦ χρώμενος μᾶλλον ἢ τῇ Γαΐου προστάξει, διὰ δὲ τὸ φειδοῖ χρῆσθαι τὰς τύχας οἴκτον λαμβάνων τῶν ὑπὸ τὴν εἴσπραξιν, εἰς ὀργὴν προὐκαλεῖτο τὸν Γάϊον, μαλακίαν ἐπικαλοῦντα αὐτῷ τοῦ σχολῇ συνάγεσθαι τὰ χρήματα. Καὶ δὴ τά τε ἄλλα ὕβριζεν εἰς αὐτὸν καὶ ὁπότε τὸ σημεῖον παρεῖχεν αὐτῷ τὸ τῆς ἡμέρας καθηκούσης εἰς αὐτὸν, θήλεά τε ἐδίδου τὰ ὀνόματα καὶ ταῦτα αἰσχύνης ἀνάπλεα. Καὶ ταῦτα ἔπρασσεν αὐτὸς οὐκ ἀπηλλαγμένος ἔν τενων τελεταῖς μυστηρίων, ἃς αὐτὸς συνίστατο· στολὰς γὰρ ἐνδυόμενος γυναικείους καί τινων περιθέσεις πλοκαμίδων ἐπινοῶν, ἄλλα τε ὁπόσα ἐπικαταψεύσασθαι θηλύτητα τῆς ὄψεως ἔμελλεν, αὐτὸς τὴν ἐπὶ τοιούτοις αἰσχύνην ἐτόλμα Χαιρέᾳ προσκαλεῖν. Χαιρέᾳ δὲ, καὶ ὁπότε μὲν παραλαμβάνοι τὸ σημεῖον, ὀργὴ παρίστατο, μειζόνως δὲ ὁπότε παραδιδοίη, γελώμενος ὑπὸ τῶν παραλαμβανόντων, ὥστε καὶ οἱ συγχιλίαρχοι παιδιὰν ἐποιοῦντο αὐτόν. Ὁπότε γὰρ αὐτὸς μέλλοι τὸ σημεῖον παρὰ τοῦ Καίσαρος κομίζειν, προὔλεγόν τινα τῶν εἰωθότων φέρειν εἰς παιδιάν. Διὰ ταῦτα δὲ αὐτῷ καὶ θάρσος παρίστατο κοινωνούς τινας παραλαμβάνειν, ὡς οὐκ ἐπ' ἀλόγοις ὀργῇ χρώμενος. Καὶ ἦν γὰρ Πομπήδιος, συγκλητικὸς

At Chæream super omnia stimulabat tum melioris famæ cupiditas, tum quod ipsi in proclivi foret Caium interficere, quum ipsi utpote tribuno liberior ad eum pateret aditus.

4. Interea autem ludi agebantur Circenses: cui spectaculo mirifice dediti sunt Romani. Tum magno studio in Circum concurrunt; factoque ingenti agmine, moris est illis quicquid desiderant ab Imperatoribus flagitare; qui illis ejusmodi petitionibus, quod eis contradicere haud æquum censeant, nunquam non concedunt. Tunc itaque summa contentione Caio supplicabant ut aliquid de tributis remitteret, et quod grave erat et onerosum in vectigalibus levius faceret. Ille vero haud æquo animo ferebat, quumque majori uterentur vociferatione, aliis alio missis clamatores comprehendi jubet, et sine ulla mora et cunctatione ad supplicium duci. Et ille quidem ista imperabat, jussa vero exsequebantur quibus id negotii datum erat; plurimique hujusmodi de causa interempti sunt. Et ista quidem populus videbat, atque ita tolerabat ut statim a clamoribus cessarent, quum sibi ante oculos versaretur ut morte mulctarentur qui [ejusmodi] pecuniæ exactionem ab ipso deprecabantur. Hæc magis etiam Chæream incitabant ut ad insidiandum Caio aggrederetur, faciendumque ut ab immani in homines sævitia desisteret. Et sæpe quidem cogitavit de ipso etiam dum epulis accumberet adoriendo, quibusdam tamen rationibus inhibebatur, non quod de illo occidendo quidquam dubitaret, verum ut occasionem adeo commodam arriperet, ut non vano conatu, sed ad perficienda quæ decreverat manibus uteretur.

5. Jam multum temporis in militia exegerat, ægre ferens quod cum Caio versaretur. Postquam autem eum vectigalibus exigendis præfecerat Caius, aliisque quæ tempori non soluta fisco Cæsaris debebantur, in istis, quod et duplo majora facta essent, exigendis dum moratur, suæ magis naturæ obsequens quam Caii mandatis, quodque afflictæ fortunæ postularent ut moderatio adhiberetur, vicem illorum, a quibus exigenda erant tributa, miseratus, concivit in se iram Cæsaris, mollitiem ipsi exprobrantis quod tardiuscule colligeret pecuniam. Contumelias igitur illi et alias ingerebat, et quoties ei daret tesseram pro eo die quo ille munus obiret, femineum aliquod idque valde probrosum dabat vocabulum. Atque hæc faciebat, non alienus a probro in certis mysteriis celebrandis a se institutis: nam quum vestitum muliebrem sibi induisset et cincinnos quosdam capiti imponendos excogitasset, aliaque quæ vultum femineum ementirentur, ipse non veritus est hujusmodi probra Chæreæ objicere. At Chærea, quum tesseram quidem ab eo acciperet, ira commovebatur, magisque adhuc quum eam *aliis* traderet, derisui habitus ab iis qui eam accepturi erant; adeo ut ceteris tribunis ludibrium fieret. Nam quoties illius esset tesseram ab ipso Cæsare afferre, prædicebant fore ut tale aliquod ludicrum, quale antea, afferret. Proptereaque ei fiducia accrescebat sibi socios aliquot asciscendi, ut qui non temere ad iram fuerit concitatus. Atque in his erat Pompedius, vir ordinis senatorii, omni-

μὲν, τὰς ἀρχὰς δὲ διεληλυθὼς σχεδὸν ἁπάσας, Ἐπικούρειος δὲ ἄλλως, καὶ δι' αὐτὸ ἀπράγμονος ἐπιτηδευτὴς βίου. Τοῦτον ἐνδείκνυσι Τιμίδιος ἐχθρὸς ὢν ὡς λοιδορίᾳ χρησάμενον ἀπρεπεῖ κατὰ τοῦ Γαΐου, μάρτυρα παραλαμβάνων Κυϊντιλίαν, γυναῖκα τῶν ἐπὶ τῆς σκηνῆς ἐπιφανείᾳ τοῦ ὡραίου περισπούδαστον πολλοῖς τε οὖσαν καὶ τῷ Πομπηδίῳ. Καὶ τῆς ἀνθρώπου (ψεῦδος γὰρ ἦν) δεινὸν ἡγουμένης μαρτυρίαν ἐπὶ θανάτῳ τοῦ ἐραστοῦ παρασχεῖν, βασάνων ἔχρῃζεν ὁ Τιμίδιος. Καὶ Γάϊος παρωξυμμένος κελεύει τὸν Χαιρέαν μηδὲν εἰς ἀναβολὰς, ἀλλ' εὐθέως βασανίζειν τὴν Κυϊντιλίαν, χρώμενος τῷ Χαιρέᾳ πρός τε τὰ φονικὰ καὶ ὁπόσα στρεβλώσεως δέοιτο, ὑπὸ τοῦ νομίζειν ὠμότερον διακονήσεσθαι, τὴν λοιδορίαν φεύγοντα τῆς μαλακίας. Κυϊντιλία δὲ ἐπὶ τὴν βάσανον ἀγομένη τῶν συνιστόρων τινὸς ἐπιβαίνει τῷ ποδὶ, ἀποσημαίνουσα θαρσεῖν καὶ μὴ τὰς βασάνους αὐτῆς δεδιέναι· διοίσειν γὰρ μετὰ ἀνδραγαθίας. Βασανίζει δ' αὐτὴν ὠμῶς ὁ Χαιρέας, ἄκων μὲν, κατ' ἀνάγκας δὲ τὰς ὑπὲρ αὑτοῦ, καὶ μηδὲν ἐνδοῦσαν ἦγεν εἰς τὴν ὄψιν τὴν Γαΐου, διακειμένην οὐκ ἐν ἡδονῇ τοῖς θεωροῦσι. Καὶ ὁ Γάϊος, παθών τι πρὸς τὴν ὄψιν τῆς Κυϊντιλίας δεινῶς ὑπὸ τῶν ἀλγηδόνων διακειμένης, τοῦ ἐγκλήματος ἠφίει καὶ αὐτὴν καὶ τὸν Πομπήδιον, ἐκείνην δὲ καὶ χρημάτων δόσει τιμᾷ παραμυθίας ἐσομένων λώβης, ἣν ἐλελώβητο εἰς τὴν εὐπρέπειαν τοῦ ἀφορήτου τῶν ἀλγηδόνων.

ς'. Ταῦτα δεινῶς ἠνίασε τὸν Χαιρέαν ὡς αἴτιον ἀνθρώποις καὶ ὑπὸ Γαΐου παρηγορίας ἀξίοις κακῶν, ὅσον ἐπ' αὐτῷ, γενόμενον· φησί τε πρὸς Κλήμεντά τε καὶ Παπίνιον, ὧν Κλήμης μὲν ἐπὶ τῶν στρατοπέδων, Παπίνιος δὲ καὶ αὐτὸς ἦν χιλιαρχῶν, « ἀλλ' ἐπὶ φυλακῇ « γε, ὦ Κλήμη, τὰ πάντα τοῦ αὐτοκράτορος ἡμῖν « πράσσειν οὐκ ἐλλέλειπται. Τῶν γὰρ συνομωμοκότων « αὐτοῦ κατὰ τῆς ἡγεμονίας προνοίᾳ καὶ πόνοις τοὺς « μὲν ἀπεκτείναμεν, τοὺς δὲ ἐστρεβλώσαμεν ἐπὶ το« σοῦτον ὡς ἐλεεινοὺς κἀκείνῳ γενέσθαι. Μετὰ πόσης « τε ἀρετῆς ἡμῖν ἐξάγεται τῶν στρατιῶν; » Σιγήσαντος δὲ τοῦ Κλήμεντος, καὶ τὸ μὲν αἰσχύνῃ φέρειν τὰ προστασσόμενα καὶ τῷ βλέμματι καὶ τῷ ἐρυθήματι παριστάντος, λόγῳ δὲ αὐτῷ τὴν μανίαν τοῦ αὐτοκράτορος προσκαλεῖν ἄδικον ἡγουμένου προνοίᾳ τοῦ ἀσφαλοῦς, Χαιρέας ἤδη θάρσει χρώμενος ἐν λόγοις ἦν κινδύνων ἀνειμένοις πρὸς αὐτὸν, τὰ κατέχοντα δεινὰ τὴν πόλιν καὶ τὴν ἀρχὴν ἐπεξιών, καὶ ὅτι « λόγῳ μὲν εἴη Γάϊος ὁ τὴν ἐπὶ τοιούτοις αἰκίαν προτιθέμενος, τοῖς δὲ τἀληθὲς ἐξετάζειν πειρωμένοις, ἐγώ τε, ὦ Κλήμη, καὶ οὑτοσὶ ὁ Παπίνιος, καὶ πρὸ ἡμῶν αὖ, ταύτας Ῥωμαίοις τε καὶ τῷ παντὶ ἀνθρωπίνῳ τὰς στρέβλας προσφερόμενοι οὐκ ἐπιτάγμασι τοῖς Γαΐου διακονούμενοι, γνώμῃ δὲ τῇ αὐτῶν, παρὸν παῦσαι τοσαύτῃ ἤδη χρώμενον ὕβρει εἴς τε τοὺς πολίτας καὶ τοὺς ὑπηκόους, διακονούμεθα δορυφόροι καὶ δήμιοι καθεστηκότες ἀντὶ στρατιωτῶν, καὶ τὰ ὅπλα ταυτὶ φέροντες οὐχ ὑπὲρ ἐλευθερίας, οὐδὲ ἀρχῆς τῶν Ῥωμαίων, ἀλλ' ἐπὶ σωτηρίᾳ τοῦ δουλουμένου

bus fere honoribus perfunctus; erat autem alias Epicureus, adeoque a negotiis abhorrens ac otii et quietis amans. Hunc accusabat Timidius ejus inimicus, quod convicia in Caium petulantius jactarit; et testem adhibebat Quintiliam, feminam ex iis quæ in scenam prodibant, propter formæ venustatem quamplurimos amatores habentem, interque eos Pompedium. Quum autem illa dedignaretur suum amatorem falso, id quod erat, testimonio gravare in causa capitis, Timidius urgebat tormentis eam subjici. Tum Caius animo exasperatus *Chæream jubet sine mora et cunctatione* torquere Quintiliam, ideo potissimum ei solitus cædes et quæstiones injungere, quod putaret hæc exsequuturum inclementius, quo mollitiei notam effugeret. Quintilia porro, quum torquenda duceretur, consciorum cujusdam pedem inter eundum premebat, innuens ut fiduciam sumeret, neve ad tormenta ipsius expavesceret: se enim forti animo et invicto ea perlaturam. De illa quæstionem habuit Chæreas acerrimam, non sponte sua, sed necessitate coactus, propter suam ipsius salutem; quumque illa ne *tormentis quidem victa cederet, duxit eam in Caii con*spectum, ita corpore deformatam, ut nemo eam sine doloris sensu aspicere potuerit. Qua visa, uti erat, cruciatuum acerbitate vexata, Caius, animo nonnihil commotus, et ipsam et Pompedium crimine absolvit: insuper et Quintiliam pecunia donavit, in læsi corporis solatium et quod dolorem intolerabilem fortiter et animose pertulisset.

6. Ista Chæream vehementer angebant, ac si, quantum in se esset, causa malorum exstitisset hominibus, quibus etiam Caius consolationem adhibere dignatus esset: dicitque Clementi et Papinio, quorum Papinius et ipse tribunus erat, Clemens autem præfectus prætorio. « nobis « vero, o Clemens, studium non defuit omnia agendi quæ « ad salutem Imperatoris spectant. Nam ex iis qui contra « imperium ejus conjurarunt, alii nostra cura et opera « necati sunt, alii tormentis adeo vexati, ut ipsi Caio visi « fuerint miserabiles. Annon interea mira cum virtute « educimus exercitum? » Tacente Clemente, quantumque ipsum puderet eorum quæ imperata erant vultus rubore præ se ferente, insaniam tamen Imperatoris verbis increpare haud æquum esse censente, si suam salutem respiceret, Chærea, jam sumpta fiducia, ad ipsum liberius et audacius loquitur, urbis et imperii calamitates numerando percensens; « quodque vulgi sermonibus hanc ignominiam Caius proferat; sin vero in rei veritatem inquiratur, ego, mi Clemens, et iste Papinius, et ante nos tu, hæc Romanis et universo generi humano tormenta admovimus, non Caii mandata exsequentes, sed nostram voluntatem, quum penes nos fuerit facere ut desineret a tantis in cives et subditos injuriis, obsequium ei præstamus pro militibus satellites facti et carnifices, arma hæc gestantes non pro libertate aut imperio Romanorum, sed pro ejus incolumitate, qui

νου τά τε σώματα αὐτῶν καὶ τὰ φρονήματα, μιαινόμενοι τὸ καθ' ἡμέραν αἵματι σφαγῆς καὶ βασάνου τῆς ἐκείνων, μέχρι ἂν δή τις καὶ καθ' ἡμῶν διακονήσηται τοιαῦτα Γαΐῳ. Οὐ γὰρ εὐνοίᾳ τι πολιτεύει διὰ τάδε πρὸς ἡμᾶς, δι' ὑφοράσεως δὲ μᾶλλον, καὶ ἄλλως τοῦ πολλοῦ τῶν ἀπολλυμένων ἀποδεδωκότος· (οὐ γὰρ δὴ στήσεταί ποτε Γαΐῳ τὰ τῆς ὀργῆς, διὰ τὸ μὴ δίκην, ἀλλ' ἡδονὴν πέρας αὐτῆς τυγχάνειν·) σκοπὸς δὲ προκεισόμεθα καὶ αὐτοί, δέον καὶ τοῖς πᾶσι τὸ ἀνεπιβούλευτόν τε καὶ ἐλεύθερον βεβαιοῦν καὶ ἡμῖν κινδύνων ἀπαλλαγὰς ψηφίσασθαι. »

ζ'. Κλήμης δὲ τὴν μὲν διάνοιαν τὴν Χαιρέου φανερὸς ἦν ἐπαινῶν, στγᾶν δὲ ἐκέλευε, « μὴ καὶ φοιτῶντος εἰς πλείονας τοῦ λόγου, καὶ διαχεομένων ὁπόσα κρύπτεσθαι καλῶς ἔχοι, πρὶν τυχεῖν πράξαντας ἐκπύστου τοῦ ἐπιβουλεύματος γενομένου, κολασθείεν· χρόνῳ δὲ τῷ αὖθις καὶ τῇ ἀπ' αὐτοῦ ἐλπίδι παραδιδόναι τὰ πάντα, ὡς παραγενησομένης τινὸς αὐτοῖς ἐπικουρίας τυχαίου· αὐτὸν μὲν γὰρ ὑπὸ γήρως ἀφῃρῆσθαι τὴν ἐπὶ τοιοῖσδε τόλμαν. Τῶν μέντοι γε ὑπὸ σοῦ, Χαιρέα, συντεθέντων καὶ ῥηθέντων ἀσφαλέστερα ἂν ἴσως ὑποθείμην, εὐπρεπέστερα δὲ πῶς ἄν τις καὶ δύναιτο; » Καὶ Κλήμης μὲν ὡς αὐτὸν ἀναλύει, διαλογισμῷ τῶν τε ἀκροαθέντων καὶ ὁπόσων αὐτὸς εἰρήκει περιφερόμενος. Χαιρέας δὲ δείσας ὡς Κορνήλιον Σαβῖνον ἠπείγετο, καὶ αὐτὸν μὲν χιλίαρχον ὄντα, ἀξιόλογον δὲ ἄλλως ἐξεπιστάμενος αὐτὸν καὶ τοῦ ἐλευθέρου ἐραστήν, καὶ δι' αὐτὸ τῇ καταστάσει τῶν πραγμάτων πολεμίως διακείμενον, χρῄζων ἐκ τοῦ ὀξέος ἔχεσθαι τῶν ἐγνωσμένων τῆς ἐγχειρήσεως ὑπ' αὐτοῦ, καλὰ νομίσας εἶναι προσθέσθαι, καὶ δέει μὴ ὑπὸ Κλήμεντος ἐκφοίτησις γένοιτο αὐτῶν, ἄλλως τε τὰς μελλήσεις καὶ τῶν καιρῶν τὰς ἀναβολὰς πρὸς τῶν ὑπερβαλλομένων τιθέμενος.

η'. Ἐπεὶ δὲ ἀσμένῳ καὶ τῷ Σαβίνῳ τὰ πάντα ἦν, ἅτε καὶ αὐτῷ γνώμης μὲν οὐχ ὑστεροῦντι ἴσης, ἀπορίᾳ δὲ πρὸς ὅντινα εἰπὼν ἀσφαλὴς εἴη τὰ πρὸς ἐκείνους σιγῇ παραδιδόντι. Ἐπεὶ οὖν ἀνδρὸς ηὑπόρητο οὐ μόνον στέγην ὧν πύθοιτο προσθησομένου, ἀλλὰ καὶ γνώμην φανεροῦντος τὴν αὐτοῦ, πολλῷ μᾶλλον ἦρτο καὶ μηδὲν εἰς ἀναβολὰς ἐδεῖτο τοῦ Χαιρέου. Τρέπονταί τε ὡς Μινουκιανὸν, αὐτοῖς μὲν ἐπιτηδεύσει ἀρετῆς καὶ τῷ ὁμοζήλῳ τοῦ μεγαλοφρονος συγγενῆ, Γαΐῳ δὲ ὕποπτον τῆς Λεπίδου τελευτῆς· πάνυ γὰρ δὴ φίλοι ἐγένοντο Μινουκιανός τε καὶ Λέπιδος καὶ δείματι κινδύνων τῶν καθ' αὑτῶν. Πᾶσι γὰρ τοῖς ἐν τέλει φοβερὸς ἦν Γάϊος, ὡς ἐπ' αὐτῶν ἕκαστον καὶ πρὸς οὐστινασοῦν τῇ μανίᾳ χρῆσθαι μὴ ἀφησόμενος· φοβεροί τε ἀλλήλοις ἦσαν τῆς ἐπὶ τοῖς πράγμασιν ἀχθηδόνος, διασαφεῖν μὲν ἀλλήλοις ἄντικρυς τὴν διάνοιαν καὶ μίσος τὸ πρὸς Γάϊον φόβῳ τε κινδύνων ἀφέμενοι, ἄλλως δὲ αἰσθανόμενοι τοῦ ἀλλήλων μίσους πρὸς τὸν Γάϊον, καὶ δι' αὐτὸ εὐνοίᾳ χρῆσθαι τὰ πρὸς ἀλλήλους μὴ ἀπηλλαγμένοι.

θ'. Γενομένων δὲ αὐτοῖς ἀξιώσεων ἐπείπερ συνέβαλλον, εἰωθότες καὶ πρότερον ὁπότε συνέλθοιεν τίμιον

corum tam animos quam corpora in servitutem redigit, fœdati quotidie sanguine illorum quos occidimus aut torquemus, donec ipsius jussu ab aliis pari modo tractabimur. Non enim propter ista, dum nobiscum versatur, benevolentia nos prosequitur, sed potius suspectos habet, quum alioqui multa facta fuerit cædes; (non enim ab ira conquiescet, ut qui irascitur non ut jus et æquum tueatur, sed ut animo gratificetur suo;) verum nos quoque illius sævitiæ obnoxii erimus, quum oportuerit et omnibus securitatem et libertatem firmatum ire et constituisse a nobismet pericula propulsare. »

7. Et Clemens quidem Chæreæ sententiam palam approbat laudatque, tacere autem jubebat, « ne sermo in plures dimanaret, et divulgatis quæ silentio premi oporteret, antequam res perficiatur prodito consilio et patefactis insidiis, ipsi ad supplicium rapiantur : tempori autem procedenti et spei in posterum omnia permittenda, utpote auxilium ipsis ex inopinato suppeditatura fortuna. Ipsius quidem non esse ob ætatem ingravescentem tale aliquid audere. Verum iis, quæ tu, Chærea, machinatus es et dixisti, tutiora forsan possum suggerere, honestiora nemo quidem potest. » Et Clemens quidem domum se recepit, dum mente agitat ea quæ audierat quæque ipse dixerat, in contrarias partes distractus. Chærea autem ea de re sollicitus, ad Cornelium Sabinum et ipsum tribunum properat, quem alioqui virum egregium esse noverat, et libertatis amantem, ideoque animo infenso et inimico præsenti rerum statui, quod vellet e vestigio ad ea quæ decreverant exsequenda aggredi, opportunum esse ratus ipsi illa proponere, metuens etiam ne per Clementem proderentur, secumque insuper reputans quantum temporis cunctando perditurі essent.

8. Quum autem libenter Sabinus omnia acciperet, ut qui jam ante pari modo animatus, ideo tantum hactenus siluerat, quod neminem habuerit cum quo consilium tuto communicaret. Quum igitur in hominem incidisset, qui non modo reticere, quæ audiret, polliceretur, sed et suam aperiret sententiam, multo magis animo confirmatus erat, et Chæream orabat et obsecrabat ne qua mora fieret. Itaque ad Munic anum se conferunt, eodem ac illi virtutis studio accensum, cognataque animi magnitudine illis similem, Caio vero suspectum propter necem Lepidi : magna etenim inter Minucianum et Lepidum intercesserat amicitia, idque ex communi periculorum metu. Nam omnibus aliquem dignitatis gradum adeptis terribilis erat Caius, ut qui in eorum singulos aliosque pro libitu sævire non desineret; sibique invicem formidini erant quod ægre et iniquo animo res ferrent, quippe qui aperte quæ sentirent inter se loqui, odiumque, quo Caium prosequebantur, indicare non sustinerent timore periculorum, quum et alias suum in Caium odium mutuo intelligerent, atque adeo benevolentiam erga se invicem habere non cessarent.

9. Quum autem convenissent et se mutuo salutassent,

ἡγεῖσθαι τὸν Μινουκιανὸν ὑπεροχῇ τε ἀξιώματος (γενναιότατος γὰρ ἦν τῶν πολιτῶν) καὶ τῷ ἐπὶ πᾶσιν ἐπαινουμένῳ, μᾶλλον ὡς ἄπτοιτό τινος λόγου, φθάσας κἀκεῖνος ἤρετο Χαιρέαν ὅ τι καὶ παραλάβοι σημεῖον τῆς ἡμέρας ἐκείνης. Ἀοίδιμος γὰρ διὰ τῆς πόλεως ἦν ἡ εἰς τὸν Χαιρέαν διὰ τῶν σημείων τῆς δόσεως πρασσομένη ὕβρις. Ὁ δὲ χάρματι τοῦ λόγου μηδὲν μελλήσας ἠμείβετο τοῦ Μινουκιανοῦ τὸ ἐπὶ τοιοῖσδε πιστεῦσαν ὁμιλίᾳ χρήσασθαι πρὸς αὐτόν· « καὶ σύ μοι διδῶς, εἶπε, σημεῖον ἐλευθερίας, χάρις δὲ σοὶ τοῦ « ἀνεγείρειν με μειζόνως ἢπερ εἴωθα ἐμαυτὸν ὁρμᾶν, « οὐδέ μοι χρεία πλειόνων ἐστὶ λόγων οἵ με θαρσοῖεν, « εἰ δὴ καὶ σοὶ ταῦτα δοκεῖ, γνώμης γε τῆς αὐτῆς « κοινωνοὶ καὶ πρότερον ἢ συνελθεῖν γεγόναμεν. Καὶ « ἓν μὲν ὑπέζωσμαι ξίφος, ἀμφοῖν δ' ἀρ' ἀρκέσει. « Ὥστε ἴθι καὶ ἔργων ἐχώμεθα, ἡγεμών τ' ἴσθι, ᾗ βούλοιο αὐτὸς κελεύων με χωρεῖν, ἢ καὶ προσοίσομαι « ἐπικουρίᾳ τῇ σῇ, συμπράσσοντός τε πίσυνος. Οὐδὲ « ἀπορίᾳ σιδήρου τοῖς τὴν ψυχὴν εἰς τὰ ἔργα προσφερομένοις, δι' ἣν καὶ ὁ σίδηρος ὀραστήριος εἴωθεν εἶναι. « Ὥρμηκά τε εἰς τὴν πρᾶξιν, οὐχ ὧν ἂν αὐτὸς πάθοιμι « ἐλπίδι περιφερόμενος· οὐ γὰρ σχολὴ κινδύνους μοι « κατανοεῖν τοὺς ἐμαυτοῦ, δουλώσει τε πατρίδος ἐλευθερωτάτης ἐπαλγοῦντι, καὶ τῶν νόμων τῆς ἀρετῆς « ἀφῃρημένης, τούς τε πάντας ἀνθρώπους ὀλέθρου διὰ « Γαΐου κατειληφότος. Ἄξιος δ' ἂν εἴην παρὰ σοὶ « δικαστῇ πίστεως ἐπὶ τοιούτοις τυγχάνειν, ἀπὸ τοῦ « ὅμοια φρονεῖν αὐτοῖς καὶ σὲ μὴ ἀπηλλάχθαι. »

ι'. Μινουκιανὸς δὲ τὴν ὁρμὴν τῶν λόγων θεασάμενος ἠσπάζετό τε ἀσμένως καὶ προσπαρίστατο τὴν τόλμαν αὐτοῦ· ἐπαινέσας τε καὶ ἀσπασάμενος, μετ' εὐχῶν δὲ καὶ ἱκετείας ἀπελύετο. Καὶ ἰσχυρίζοντό τινες ὡς βεβαιοῦν τὰ εἰρημένα. Εἰσιόντος γὰρ εἰς τὸ βουλευτήριον Χαιρέου, φωνὴν ἐκ τοῦ πλήθους γενέσθαι τινὸς ἐπ' ἐξορμήσει, κελεύοντος περαίνειν μὲν δὴ τὸ πρακτέον, καὶ προσλαμβάνειν τὸ δαιμόνιον· καὶ τὸν Χαιρέαν τὸ μὲν πρῶτον ὑπιδέσθαι μὴ καί τινος τῶν συνωμοτῶν προδότου γεγονότος ἁλίσκοιτο, καὶ τέλος συνέντα ἐπὶ προτροπῇ φέρειν, εἴτε παραινέσει τῶν συνεγνωκότων ἀντισημαίνοντός τινος, εἴτε δὴ καὶ τοῦ Θεοῦ, ὃς ἐφορᾷ τὰ ἀνθρώπινα, αἴροντος αὐτὸν θαρσῆσαι. Διελήλυθει δὲ διὰ πολλῶν τὸ ἐπιβούλευμα, καὶ πάντες ἐν ὅπλοις παρῆσαν, οἱ μὲν τῶν βουλευτῶν ὄντες, οἱ δὲ ἱππεῖς, καὶ ὁπόσοι τοῦ στρατιωτικοῦ συνήδεσαν. Οὐδεὶς γὰρ ἦν ὃς μὴ ἐν εὐδαιμονίᾳ ἀνηρίθμει τὴν Γαΐου μετάστασιν, καὶ δι' αὐτὸ πάντες ἠπείγοντο, ὁποίῳ δύναιτό τις τρόπῳ, μηδὲ ἐκὼν εἶναι τῆς ἐπὶ τοιούτοις ὑστερεῖν ἀρετῆς, ἀλλ' ὡς ἕκαστοι προθυμίας ἢ δυνάμεως, καὶ λόγοις καὶ δι' ἔργων, ἦρτο ἐπὶ τυραννοκτονίᾳ. Ἔτι δὲ καὶ Κάλλιστος (ἀπελεύθερος δὲ ἦν Γαΐου) πλεῖστά τε ἀνὴρ εἷς οὗτος ἐπὶ μέγιστον δυνάμεως ἀφίκετο, καὶ οὐδὲν ἄλλο ἢ ἰσοτύραννον εἶχε τὴν δύναμιν, φόβῳ τε τῶν πάντων καὶ μεγέθει χρημάτων, ἅπερ ἐγένετο αὐτῷ· ἐωροδοκώτατος γὰρ ἦν καὶ ὑβριστικώτατος παρ' ὁντιναμ (nam antea etiam illis moris erat in congressibus primas deferre Minuciano, et ob dignitatis eminentiam, utpote civium nobilissimo, et quod omni laude cumulatus esset, præcipue vero quum sermones sererent,) ille dicere orsus Chæream rogabat quamnam tesseram ea die accepisset. Vulgatum enim erat per totam urbem quomodo Chæreæ soleret tesseris dandis illudi. Ille vero, verborum ridiculum nihil moratus, gratias agebat Minuciano quod tantum sibi in hisce fidei habuerit ut secum colloqui vellet : « et tu mihi, inquit, libertatis signum da, gratiæque tibi referantur, « quod me magis quam mea fert natura excitasti, neque « mihi pluribus opus est verbis ad animum erigendum firmandumque, si tibi eadem, quæ mihi, placent, et ejusdem etiam antequam conveniremus sententiæ fuimus. « Uno quidem gladio accingor, ambobus vero sufficiet. Age « itaque et ad opus aggrediamur : tuum ductum, si ita visum fuerit, et imperium sequar; aut ipse præibo tuo « fretus auxilio, tibique adjutori fidens. Ferro non egent « qui rebus agendis fortem animum adhibent, a quo etiam « ferrum solet exacui. Ipse certe totus feror in hoc negotium, nullo malorum quæ possunt accidere metu sollicitus : non enim mihi vacat mei periculi rationem habere, « dum patriæ vicem doleo, e summa libertate in servitutem datæ, legum vi et auctoritate sublata, et omnibus « imminente a Caio pernicie. Utinam autem dignus sim « qui apud te judicem tuam in istis merear fidem, quando« quidem aliter atque ego de illis sentire tibi non integrum « sit. »

10. Minucianus autem quum observasset quo ferrent verba, libenti animo eum amplectebatur, et laudando ipsum amplexandoque audaciæ ejus stimulos addebat, atque ita cum votis eum precibusque dimittebat. Affirmant etiam nonnulli eum hoc modo in iis quæ dixerat confirmasse *Minucianum*. Quum enim in curiam ingrederetur Chærea, vox cujusdam e turba ad eum impellendum fertur emissa, jubens perficere quod agendum sit, juvante Deo : et primum quidem Chæreæ obortam esse suspicionem ne ab aliquo conjuratorum proditus caperetur, tandem vero intellexisse adhortantis esse *verba*, sive quodam, suadentibus id consciis, signum ex adverso dante, sive Deo, qui res mortalium intuetur, bono animo esse jubente. Multi autem jam participes facti erant insidiarum, omnesque armati aderant, et senatores et Equites, simulque militum quotquot erant conscii. Nemo enim erat qui non pro felicitate haberet Caii necem, atque adeo omnes, quocunque modo possent, studiose id agebant ne quis in hoc facinore ceteris virtute cederet, sed summa alacritate et pro sua quisque virili ad tyrannicidium verbis factisque parati erant. Quin et Callistus, (Caii is libertus erat,) vir unus maxime omnium ad summam potestatem evectus, æquum fere cum tyranno habebat imperium, ex timore quem omnibus incusserat, et opum magnitudine quas sibi

ναοῦν γίνεται ἐξουσίᾳ χρησάμενος παρὰ τὸ εἰκός· καὶ ἄλλως τε τοῦ Γαΐου τὴν φύσιν ἐξεπιστάμενος ἀνήκεστον οὖσαν καὶ ἐφ' οἵστισι κρίνειεν οὐδαμῶς ἀντισπάσματι χρωμένην, αὐτῷ τε πολλὰς μὲν καὶ ἄλλας τοῦ κινδυνεύειν αἰτίας, οὐχ ἥκιστα δὲ τὸ μέγεθος τῶν χρημάτων. Ὥστε δὴ καὶ Κλαύδιον ἐθεράπευε κρυπτῶς μετακαθίζων πρὸς αὐτὸν, ἐλπίδι τοῦ κἂν εἰς ἐκεῖνον ἥξειν τὴν ἡγεμονίαν Γαΐου μεταστάντος, αὐτῷ τὴν ὑπόθεσιν τῆς τιμῆς τὴν ἐφ' ὁμοίοις ἰσχὺν, προκαταθέμενος χάριν καὶ φιλανθρωπίας λόγον. Ἐτόλμησε γοῦν εἰπεῖν ὡς κελευσθεὶς διαχρήσασθαι φαρμάκῳ τὸν Κλαύδιον μυρίας εὕροιτο τοῦ χρήματος τὰς ὑπερβολάς. Δοκεῖ δέ μοι προσποιεῖσθαι Κάλλιστος ἐπὶ θήρᾳ τῇ Κλαυδίου τὸν λόγον τοῦτον, ἐπεὶ οὔτε Γάϊος ὡρμηκὼς μεταχειρίσασθαι Κλαύδιον ἠνείχετο τῶν Καλλίστου προφάσεων, οὔτε Κάλλιστος κελευσθεὶς που τὴν πρᾶξιν εὐκτὸν ὑπερέβαλεν, ἢ κακουργῶν εἰς τοῦ δεσπότου τὰς ἐπιστολὰς οὐκ ἂν ἐκ τοῦ παραχρῆμα τὸν μισθὸν ἐκομίζετο· ἀλλὰ δὴ Κλαυδίῳ μέν τινι θείᾳ δυνάμει σώσασθαι ἐκ μανιῶν τῶν Γαΐου, Κάλλιστον δὲ προσποιήσασθαι χάριτος κατάθεσιν μηδαμῶς ὑπ' αὐτοῦ γενομένης.

ια'. Τοῖς δ' ἀμφὶ τὸν Χαιρέαν ὑπερβολαὶ τὸ καθ' ἡμέραν ἦσαν ὀκνούντων πολλῶν· οὐ γὰρ Χαιρέας ἐκὼν εἶναι τοῦ πράσσειν ἀναβολὴν ἐποιεῖτο, πάντα καιρὸν ἐπιτήδειον τῇ πράξει νομίζων. Καὶ γὰρ εἰς τὸ Καπετώλιον ἀνιόντα, κατὰ θυσίας ὑπὲρ τῆς θυγατρὸς ἐπιτελουμένας ὑπὸ τοῦ Γαΐου, παρῆν πολλάκις καιρὸς, καὶ ὑπὲρ τῆς βασιλικῆς ἱστάμενον καὶ δήμῳ χρυσίου καὶ ἀργυρίου χρήματα διαρριπτοῦντα ὦσαι κατὰ κεφαλῆς (ὑψηλὸν δέ ἐστι τὸ τέγος εἰς τὴν ἀγορὰν φέρον) ἐπί τε τῶν μυστηρίων ταῖς ποιήσεσιν, ἃ συνίστατο· πάντων γὰρ αὐτὸν ἀπερίοπτον εἶναι προνοίᾳ τοῦ ἐν αὐτοῖς εὐπρεπῶς ἀναστραφησομένου, καὶ ἀπογνώσει τοῦ ἐν ἐπιχειρήσει τινὰ γενέσθαι πιστεύειν. Εἰ δὲ μηδὲν σημεῖον, ὡς ἀπὸ τῶν θεῶν, αὐτῷ δύναμιν τοῦ θανάτου παρατυγχάνειν, αὐτῷ δ' ἂν ἰσχὺν ἐγγενέσθαι καὶ μὴ σιδηροφορουμένῳ διαχρήσασθαι τὸν Γάϊον. Οὕτω δι' ὀργῆς εἶχε τοὺς συνωμότας ὁ Χαιρέας, δεδιὼς τοὺς καιροὺς μὴ διαρρυεῖεν. Οἱ δ' ἑώρων μὲν νομίμων τε χρῄζοντα καὶ ἐπ' ἀγαθοῖς τοῖς αὐτῶν ἐπειγόμενον· οὐ μὴν ἀλλ' ἠξίουν εἰς ὀλίγον γοῦν ὑπερβολῇ χρήσασθαι, μὴ καί πη σφάλματος τῇ ἐπιχειρήσει συνελθόντος ταράξοιεν τὴν πολιν, ζητήσεων τῶν συνεγνωκότων τὴν πρᾶξιν γιγνομένων, καὶ τοῖς αὐτοῖς μελλήσουσιν ἐπιχειρεῖν ἄπορον τὴν ἀνδραγαθίαν ποιήσαιεν, φραξαμένου Γαΐου πρὸς αὐτοὺς μειζόνως. Καλῶς οὖν ἔχειν θεωριῶν ἐν τῷ Παλατίῳ ἐπιτελουμένων ἅπτεσθαι τοῦ χρήματος· (ἄγονται δὲ ἐπὶ τιμῇ τοῦ πρώτου μεταστησαμένου τὴν ἀρχὴν τοῦ δήμου Καίσαρος εἰς αὐτὸν, μικρόν τε πρὸ τοῦ βασιλείου καλύβης πηκτοῦ γενομένης, καὶ Ῥωμαίων τε οἱ εὐπατρίδαι θεωροῦσιν ὁμοῦ παισὶ καὶ γυναιξὶ καὶ ὁ Καῖσαρ·) ῥαστώνην τε αὐτοῖς ἔσεσθαι πολλῶν μυσιάcomparaverat : nam munera quocunque modo acceperat, nec ullis abstinebat injuriis, præter fas et æquum omnes sua potestate premens; ac præterea noverat Caii ingenium implacabile esse, adeoque pertinax ut nunquam ab eo quod semel statuerat in diversum abiret, et se ob alia etiam multa in periculo esse *sentiret*, non minime vero ob ingentem pecuniæ vim. Quo fiebat ut Claudium coleret, et clam ad eum transiret, sperans, si ei cederet principatus, Caio sublato, suam in iisdem potentiam fore causam cur apud eum etiam in honore esset, ut qui jam ante eum demeruerit benevoli humanique animi officiis. Nam jactare ausus est quod jussus a Caio Claudium veneno tollere, id ipsum plurimis modis distulerit. Videtur autem mihi Callistus de industria ista finxisse, ut a Claudio gratiam iniret, quandoquidem nec Caius, si Claudium perimere voluisset, Callisti excusationes tulisset, nec Callistus jussus *a Caio* in re factu expetenda tergiversatus fuisset, neque male agens, ac præter ea quæ dominus imperaverat, statim meritas pœnas non sustinuisset; atque adeo Claudium quidem divinitus Caii furorem et insaniam effugisse, Callistum vero finxisse beneficium a se collatum, ad quod ne minimum quidem contulit.

11. Cetcrum Chæreæ conatus in dies differebantur consciorum plerorumque segnitie : nam ipse invitus moram in re agenda ferebat, ut qui omne tempus facinori patrando opportunum esse duceret. Etenim aggrediendi ascendentem in Capitolium, ad mactandas pro salute filiæ victimas, sæpe tempus oblatum erat, vel eum præcipitandi dum staret in fastigio basilicæ (tectum autem sublime est foro imminens) et nummos inde aureos et argenteos spargeret populo; vel opprimendi celebrantem arcana sacra ab ipso instituta : ipsum enim a nemine sibi cavere, dum sollicitus esset ut omnia in iis rite servatoque decoro fierent, minimeque crederet quenquam contra se quidquam moliri. Sed si nihil indicio sit sibi, quasi a diis datam esse necis potestatem, ipsum tamen ita viribus valere ut vel absque ferro Caium conficeret. Adeo Chærea infensus erat conjuratis, veritus ne tempus opportunum amitterent. Atque illi quidem sentiebant eum justis de causis irasci, atque e re sua esse quod ille adeo festinaret; veruntamen postulabant paulisper differri negotium, ne, si quid male succederet, tota civitas turbaretur conscios facinori perquirendo, ipsisque Caium aggressuris nihil proficeret fortitudo, omnibus ad illum aditibus majori cura præclusis. Satius igitur esse, quum spectacula in palatio ederentur, sese ad rem admovere; (celebrantur autem in honorem Cæsaris, qui primus potestatem populi in se transtulit; fixisque prope regiam tuguriis eo spectatum veniunt patricii Romani cum liberis et uxoribus, necnon et ipse Cæsar;) facileque ipsis

ὂων ἀνθρώπων εἰς ὀλίγον χωρίον καθειργνυμένων, ὥστε εἰσιόντι τὴν ἐπιχείρησιν ποιήσασθαι, δυνάμεως τοῖς ὑπασπισταῖς, εἰ καί τινες προθυμοῖντο, μὴ παρατευξομένης αὐτῷ βοηθεῖν.

ιϐ'. Ἠνείχετο δὲ Χαιρέας, καὶ τῶν θεωριῶν ἐπελθουσῶν τῇ πρώτῃ δεδογμένον ἅπτεσθαι τῆς πράξεως, ἰσχυρότερον ἦν τοῦ κατ' ἐκείνου προβεβουλευκότος τὸ τῆς τύχης συγχωροῦν ὑπερβολάς· καὶ τὰς τρεῖς ὑπερβαλομένου τὰς νομίμους ἡμέρας, μόλις κατὰ τὴν τελευταίαν αὐτοῖς ἐπράχθη τὸ ἔργον. Χαιρέας δὲ συγκαλέσας τοὺς συνωμότας, « πολὺς μέν, εἶπε, καὶ ὁ « παρεληλυθὼς χρόνος ὠνείδισε τὸ ἐπιμέλλον ἡμῶν « ἐπὶ τοῖς οὕτω βουλευθεῖσι μετὰ ἀρετῆς· δεινὸν δὲ εἰ « καὶ μηνύματος γενομένου διαπεσεῖται ἡ πρᾶξις καὶ « Γάϊος ὑβριεῖ μειζόνως. Ἢ οὐχ ὁρῶμεν ὡς τῆς ἐλευ« θερίας ἀφαιροῦμεν ὁπόσας τῶν ἡμερῶν εἰς προσθή« κην τοῦ Γαΐου τυραννίδι χαριζόμεθα, δέον αὐτούς « τ' ἀδεεῖς τὸ λοιπὸν εἶναι καὶ τοῖς ἄλλοις αἰτίαν τοῦ « εὐδαίμονος παρασχόντας δι' αἰῶνος ἅπαντος τοῖς αὖ« θις ἐν θαύματι μεγάλῳ καὶ τιμῇ καταστῆναι; » Τῶν δὲ οὔτε ἀντειπεῖν ὡς οὐ πάνυ καλῶς δυναμένων οὔτε τὴν πρᾶξιν ἀντικρυς δεχομένων, σιγῇ δὲ καταπεπληγότων, « τί, φησίν, ὦ γενναῖοι, διαμέλλομεν; ἢ οὐχ « ὁρᾶτε τὴν σήμερον τῶν θεωριῶν ὑστάτην ἡμέραν « οὖσαν καὶ Γάϊον ἐκπλευσούμενον; (ἐπὶ γὰρ Ἀλεξα« δρείας παρεσκεύαστο πλεῖν κατὰ θεωρίαν τῆς Αἰγύ« πτου.) Καλὸν δὲ ἡμῖν προέσθαι τῶν χειρῶν τὸ ὄνει« δος, τῇ Ῥωμαίων μεγαλαυχίᾳ πομπεῦσον διά τε γῆς « καὶ θαλάττης; Πῶς δὲ οὐκ ἂν δικαίως κρίνοιμεν αὐ« τοὺς αἰσχύνῃ τῶν γενησομένων, εἴ τις οὖν αὐτὸν « Αἰγύπτιος κτείνειε, τὴν ὕβριν οὐχ ἡγησόμενος ἀνα« σχετὸν τοῖς ἐλευθέροις γεγονόσιν; Ἐγὼ μὲν οὖν « οὐκέτι εἰς πλείονα ἀνέξομαι τὰς σκήψεις ὑμῶν, χωρήσω « δὲ τοῖς κινδύνοις ὁμόσε σήμερον, ἡδονῇ φέρων πᾶν ὅ « τι καὶ γένοιτο ἐξ αὐτῶν, οὐδ' ἂν ὑπερβαλοίμην εἴπερ « εἴη. Τί γὰρ δὴ καὶ γένοιτ' ἂν ἀνδρὶ φρόνημα ἔχοντι « τούτου σχετλιώτερον, Γάϊον ἄλλον τινὰ ἀναιρεῖν « ἐμοῦ ζῶντος, καὶ ἐμὲ τὴν ἐπὶ τῷδε ἀρετὴν ἀφῃρη« μένον; »

ιγ'. Καὶ ὁ μὲν ταῦτα εἰπὼν αὐτός τε ὡρμήκει πράζων τὸ ἔργον καὶ τοῖς λοιποῖς ἐνεποίησε θάρσος, πᾶσί τε ἦν ἔρως ἅπτεσθαι τοῦ ἐγχειρήματος μηδὲν ὑπερβαλλομένοις, ἔωθέν τε ἐπὶ τοῦ παλατίου γέγονε τὸ ξῖφος ὑπεζωσμένοις τῶν ἱππικῶν. Ἔθος γὰρ δὴ τοῖς χιλιάρχοις τοῦτο, ἐζωσμένοις αἰτεῖν παρὰ τοῦ αὐτοκράτορος τὸ σημεῖον, ἦν τε ἡ ἡμέρα καθήκουσα εἰς αὐτὸν τῆς παραλήψεως τοῦ σημείου. Ἄρτι τε συνῄει πληθὺς εἰς τὸ παλάτιον ἐπὶ προκαταλήψει θέας πολλῷ θορύβῳ καὶ ὠθισμῷ, χαρᾷ φέροντος Γαΐου τὴν ἐπὶ τοιοῖσδε τῶν πυλῶν σπουδήν, παρὸ καὶ διεκέκριτο οὐδὲν οὔτε τῇ συγκλήτῳ χωρίον οὔτε τοῖς ἱππεῦσι, φύρδην δὲ ἔζοντο καὶ τοῖς ἀνδράσιν ὁμοῦ αἱ γυναῖκες καὶ τῷ δούλῳ ἀναμεμιγμένον τὸ ἐλεύθερον. Γάϊος δὲ, προόδων αὐτῷ γενομένων, ἔθυε τῷ Σεβαστῷ Καίσαρι, ᾧ δὴ καὶ τὰ

fore, tot hominum millibus in locum angustum conclusis, ipsum dum ingrederetur adortum ire, quum ne satellites quidem, si id magnopere vellent, auxilio esse possent.

12. Chærea ergo *diem ex die* exspectabat, quumque adessent spectacula, primo die ad rem aggredi constitutum erat : sed fortuna, quæ moras interposuit, plus poterat quam consilium, quod contra ipsum ceperant : quumque tres dies stati et solennes nihil agendo tererentur, vix die novissimo obtinuerunt ut res conficeretur. Itaque Chærea, convocatis qui conjuraverant, dicebat, « multum « quidem elapsum est temporis, quod nobis segnitiem « exprobrat in honestis consiliis exsequendis : grave autem « erit, si ex alicujus indicio in nihilum recidat quod susce« pimus, et Caius inde exacerbatus magis etiam sæviet. « An non videmus quod libertati tot dies auferimus quot « Caii tyrannidi addentes largimur, quum debeamus in po« sterum nobismet securitatem parare, reliquisque felicita« tem largiendo ad secula omnia ventura in admiratione esse « et honore? » Quum autem illi contra ista honeste quidquam dicere non possent, neque *tamen* facinus palam approbarent, sed quasi obstupefacti conticescerent, tum ille, « quid, inquit, o viri fortes, cunctamur et tergiversamur? « nonne videtis hunc esse spectaculorum diem ultimum, « et Caium navigaturum esse? comparaverat enim se ut na« vibus Alexandriam proficisceretur, Ægypti visendæ gratia.) « Pulcrum autem nobis erit e manibus dimittere hominem « propudiosum, cum magnifica Romanorum ostentatione « terra marique incessurum? Quomodo vero non jure accu« semur, ut quos pudeat eorum quæ fient, si quis ipsum « Ægyptius forte perimat, qui injuriarum insaniam homi« nibus liberis et ingenuis non ferendam existimaverit? Ego « sane tergiversationes vestras non amplius morabor, sed « hodie paratus sum memet periculis objicere, lubentique « animo ferre quicquid propterea evenerit; neque est ut ego, « quodcunque sit, rem procrastinem. Enimvero quid forti « et generoso evenire possit tam miserabile quam ut alius me « vivo Caium occideret, mihique laudem istam præriperet? »

13. Et ille quidem his dictis impetu animi ferebatur ad facinus patrandum, et reliquis fiduciam ingeneravit, ut omnes sine dilatione rem aggredi cuperent; primaque luce ad palatium aderat gladio equestri succinctus. Nam moris erat tribunis ut accincti tesseram peterent ab Imperatore, et forte ea die vices tesseram accipiendi ad ipsum redierant. Et jam confluebat multitudo ad palatium magno tumultu, alio alium angente et premente, dum quisque locum spectandi præripere nititur, magna voluptate hanc populi contentionem spectante Caio, quod nec senatoribus assignata essent loca, nec Equitibus, sed promiscue sederent, viri cum mulieribus, et servi confusi cum ingenuis. Caius autem, via ei patefacta et munita, rem divinam faciebat Augusto, cujus

τῆς θεωρίας ἤγετο, καὶ πίπτοντος τῶν ἱερείων τινὸς, συνέβη αἵματος τὴν Ἀσπρήνα στολὴν ἑνὸς τῶν συγκλητικῶν ἀνάπλεων γενέσθαι. Τοῦτο Γαΐῳ γέλωτα μὲν παρέσχεν, ἦν δὲ ἄρα εἰς οἰωνὸν τῷ Ἀσπρήνᾳ φανερόν· ἐπικατασφάζεται γὰρ τῷ Γαΐῳ. Γάϊον δὲ ἱστορεῖται παρὰ φύσιν τὴν ἑαυτοῦ εὐπροσηγορώτατον γενέσθαι κατ' ἐκείνην τὴν ἡμέραν, καὶ δεξιότητι χρώμενον ὁμιλίας πάνθ' ὁντινοῦν ἐκπλῆξαι τῶν παρατυγχανόντων. Μετὰ δὲ τὴν θυσίαν ἐπὶ τὴν θεωρίαν τραπεὶς ἐκαθέζετο, καὶ περὶ αὐτὸν τῶν ἑταίρων οἱ ἀξιολογώτατοι. Κατεσκεύαστο δὲ τὸ θέατρον (πηκτὸν δὲ ἐγίνετο κατὰ ἕκαστον ἐνιαυτὸν) τοιόνδε τρόπον. Θύρας ἔχει δύο φερούσας τὴν μὲν εἰς τὸ ἐναίθριον, τὴν δὲ εἰς στοὰν εἰσόδους καὶ ἀποχωρήσεσιν, ὅπως μὴ ταράσσοιντο οἱ ἔνδον ἀπειλημμένοι, ἐκ δὲ αὐτῆς τῆς καλύβης, ἐνδοτέρω διαφράγμασιν ἑτέραν ἀπειληφυίας ἐπ' ἀναστροφῇ τοῖς ἀνταγωνισταῖς καὶ ὁπόσα ἀκροάματα. Συγκαθημένης δὴ τῆς πληθύος, καὶ τοῦ Χαιρέου σὺν τοῖς χιλιάρχαις οὐκ ἄπωθεν τοῦ Γαΐου, (δεξιὸν δὲ τοῦ θεάτρου κέρας ὁ Καῖσαρ εἶχε,) Οὐατίνιός τις τῶν συγκλητικῶν ἀνὴρ ἐστρατηγικὼς, ἤρετο Κλούβιον παρεζόμενον αὐτῷ, καὶ τοῦτον ὑπατικὸν, εἴ τις αὐτῷ νεωτέρων πραγμάτων παραφοιτοῖ πύστις, προμηθὴς γενόμενος τοῦ μὴ ἐξάκουστος εἶναι τάδε λέγων. Τοῦ δὲ φαμένου μηδὲν πεπύσθαι, « σήμερον τοιγαροῦν, ἔφη, ὦ Κλούβιε, τυραννοκτονίας ἀγὼν πρόκειται. » Καὶ ὁ Κλούβιος, « ὦ γενναῖε, φησὶ, σίγα μή τις ἄλλος Ἀχαιῶν μῦθον ἀκούσῃ. » Πολλῆς δὲ ὀπώρας ἐπιχεομένης τοῖς θεωροῖς, καὶ πολλῶν ὀρνέων ὁπόσα τῷ σπανίῳ τίμια τοῖς κτωμένοις, ὁ Γάϊος ἡδονῇ τὰς περὶ αὐτοῖς ἐθεώρει μάχας καὶ διαρπαγὰς οἰκειουμένων αὐτὰ τῶν θεωρῶν. Ἐνθάδε καὶ σημεῖα μανθάνει δύο γενέσθαι. Καὶ γὰρ μῖμος εἰσάγεται καθ' ὃν σταυροῦται λῃστῶν ἡγεμὼν, ὅ τε ὀρχηστὴς δρᾶμα εἰσάγει Κινύραν, ἐν ᾧ αὐτός τε ἐκτείνετο καὶ ἡ θυγάτηρ Μύρρα, αἷμά τε ἦν τεγνητὸν πολὺ, καὶ τὸ περὶ τὸν σταυρωθέντα ἐκκεχυμένον καὶ τὸ περὶ τὸν Κινύραν. Ὁμολογεῖται δὲ καὶ τὴν ἡμέραν ἐκείνην γενέσθαι ἐν ᾗ Φίλιππον τὸν Ἀμύντου Μακεδόνων βασιλέα κτείνει Παυσανίας εἷς τῶν ἑταίρων εἰς τὸ θέατρον εἰσιόντα. Γαΐου δὲ ἐνδοιάζοντος εἴτε παραμείνειεν εἰς τέλος τῇ θεωρίᾳ διὰ τὸ τελευταίαν εἶναι τὴν ἡμέραν, εἴτε λουτρῷ χρησάμενος καὶ σίτῳ εἶτα ἐπανίοι καθὰ καὶ πρότερον, Μινουκιανὸς ὑπὲρ τοῦ Γαΐου καθεζόμενος, καὶ δεδιὼς μὴ διαχυθείη τὰ τῶν καιρῶν εἰς κενὸν, ἐξαναστὰς ἐπειδὴ καὶ Χαιρέαν εὖρα προεξεληλυθότα, ἠπείγετο θαρσύνειν αὐτὸν προελθών. Λαμβάνεται δὲ αὐτοῦ τῆς στολῆς Γάϊος κατὰ φιλοφροσύνην δῆθεν, καὶ « ποῖ δὴ, φησὶν, ὦ μακάριε; » Καὶ ὁ μὲν αἰδοῖ δοκεῖν τοῦ Καίσαρος καθίζει, (κρείσσων δ' ὁ φόβος ἦν,) ὀλίγον δὲ διαλιπὼν εἶτα διανίσταται· καὶ ὁ Γάϊος οὐδὲν ἐμποδὼν ἦν ἐξιόντι, δοκῶν ἐπί τινι τῶν ἀναγκαίων ποεῖσθαι τὴν ἔξοδον. Ἀσπρήνας δὲ (μετεῖχε δὲ καὶ αὐτός) παρῄνει τῷ Γαΐῳ καθὸ πρότερον ὑπεξελθόντι πρός τε λουτρῷ καὶ ἀρίστῳ γενέσθαι, καὶ

in honorem spectacula edebantur, et cadente victima contigit cruore respergi togam senatoris cujusdam Asprenatis *nomine*. Quod quidem a Caio risu excipitur, ipsi vero Asprenati plane ominosum accidit : simul enim cum Caio cæsus est. Dicitur autem Caius ea die magis quam natura ejus ferebat affabilis exstitisse, eaque sermonis comitate esse usus, ut omnibus miraculo fuerit. Sacro peracto ad spectacula se convertit, locumque suum in theatro occupabat, præcipuis ex amicis cinctus. Exstructum vero erat theatrum (coagmentabatur autem quotannis) in hunc modum. Duo ei ostia erant, quorum alterum exeuntibus sub dium, alterum in porticum euntibus aut egredientibus patebat, ne turbarentur qui intus conclusi erant, et ut actores et musici ex eodem tugurio, in quo et alterum septis inclusum erat, exeuntes liberum regressum haberent. Considente itaque populo, et Chærea cum reliquis tribunis non procul a Caio, (dextrum enim theatri cornu Cæsar tenebat,) Vatinius, ordinis senatorii vir et prætorius, Cluvium, qui consularis erat, sibi assidentem, ecquid de rebus novis accepisset interrogabat, ita tamen caute ut nemo vocem exaudiret. Quo dicente nihil sibi nunciatum esse, « hodie igitur, inquit, o Cluvi, tyrannicidii fabula agenda est. » Cui Cluvius, « tace, o vir fortis, ne quis alius Achivorum sermonem audiat. » Multis deinde in spectatores sparsis missilibus, quæ pomis constabant et avibus propter raritatem magni pretii habitis, Caio volupe erat videre certamina hac de causa inita, utque spectatores de istis sibimet arripiendis contendebant. Hic etiam duo acciderunt quæ prodigiorum loco habita sunt. Etenim mimus introducitur, in quo cruci affigitur latronum dux, et pantomimus fabulam introducit Cinyram, in qua Cinyras ipse occiditur et filia ejus Myrrha ; eratque multus sanguis arte effusus, tum circa cruci affixum, tum circa Cinyram. Constat etiam illum eundem fuisse diem, quo Philippum Amyntæ filium, in theatrum ingredientem, interemit Pausanias ejus amicus. Quum autem Caius dubitaret permaneretne usque ad finem spectaculi, quod dies esset ultimus, an lotus et cibo sumpto reverteretur, uti ante solebat, Minucianus, supra Caium sedens, veritus ne tempus e manibus re infecta elaberetur, surrexit, ubi Chæream egressum viderat, ut ire maturaret ad ipsum confirmandum. Ejus vero Caius comiter apprehendens togæ laciniam, « quonam, inquit, abis, bone vir? » Et ille quidem, quasi reveritus Cæsarem, (sed metus superabat,) denuo resedit : verum non multo post exsurrexit, Caio eum ab egressu non prohibente, quod exire putaret ad requisita naturæ. Asprenas autem, qui et ipse particeps erat, Caium hortabatur ut clam excederet, quemadmodum ante

ἔπειτα δὲ εἰσελθεῖν, χρήζων ἐπὶ πέρας ἀχθῆναι τὰ ἐγνωσμένα.

ιδ'. Καὶ οἱ περὶ τὸν Χαιρέαν ἔτασσον μὲν ἀλλήλους ἡ καιρὸς, καὶ ἑχρῆν ἕκαστον στάντα ἢ προσταχθείη μὴ ἀπολιμπάνεσθαι ἐπιπονοῦντας. Ἤχθοντο δὴ τῇ διατριβῇ καὶ τῷ μέλλεσθαι τὰ ἐν χερσὶν, ἐπεὶ καὶ περὶ τὴν ἐνάτην ὥραν ἤδη τὰ τῆς ἡμέρας ἦν, καὶ Χαιρέας, βραδύνοντος Γαΐου, πρόθυμος ἦν ἐπεισελθὼν ἐν τῇ καθέδρα προσπεσεῖν. Προῆδει μέντοι τοῦτο σὺν πολλῷ φόνῳ τῶν τε βουλευτῶν καὶ ὁπόσοι τῶν ἱππέων παρῆσαν, καίπερ δὲ εἰδὼς, πρόθυμος ἦν, καλῶς ἔχειν ἡγούμενος πᾶσιν ἀσφάλειαν καὶ ἐλευθερίαν ὠνούμενος ἐν ὀλίγῳ τίθεσθαι τὰ κατὰ τοὺς ἀπολουμένους. Καὶ δὴ τεταμμένων εἰς τοῦ θεάτρου τὴν εἴσοδον, σημαίνεται Γάϊος ἐξαναστὰς, καὶ θόρυβος ἦν. Ἀνέστρεφον δὲ καὶ οἱ συνωμόται καὶ ἀνωθοῦντο τὴν πληθὺν, λόγῳ μὲν διὰ τὸ δυσχεραίνειν τὸν Γάϊον, ἔργῳ δὲ ἐπ' ἀδείας βουλόμενοι ἐν ἐρημίᾳ τῶν ἀμυνομένων καταστήσαντες αὐτὸν ἅπτεσθαι τῆς σφαγῆς. Προεξῆεσαν δὲ Κλαύδιος μὲν ὁ πάτρως αὐτοῦ καὶ Μᾶρκος Οὐϊνίκιος ὁ τῆς ἀδελφῆς ἀνὴρ, ἔτι δὲ Οὐαλέριος Ἀσιατικὸς, οὓς οὐδὲ βουλομένοις διακλεῖσαι δύναμις ἦν αἰδοῖ τῆς ἀξιώσεως, εἵπετο δὲ αὐτὸς σὺν Παύλῳ Ἀρρουντίῳ. Ἐπεὶ δὲ ἐντὸς ἦν τοῦ βασιλείου, τὰς μὲν εὐθείας ὁδοὺς λείπει, καθ' ἃς διεστήκεσαν τῶν δούλων οἱ θεραπεύοντες αὐτὸν, καὶ προῆσαν οἱ περὶ τὸν Κλαύδιον, τρέπεται δὲ κατὰ στενωπὸν ἠρεμηκότα, καὶ ἐπὶ τόπον πρὸς λουτροῖς γενησόμενος, ἅμα καὶ παῖδας οἳ ἥκεσαν ἐκ τῆς Ἀσίας κατανοήσων, πομπῆς αὐτῶν ἐκείθεν γενομένης ἐπὶ ὕμνοις μυστηρίων ἃ ἐπετέλει, ἔνιοι δὲ κατὰ πυρριχισμοὺς οἳ ἐν τοῖς θεάτροις ἔσοιντο. Ὑπαντιάζει δὲ αὐτὸν Χαιρέας, καὶ ᾔτησε σημεῖον. Τοῦ δὲ τῶν εἰς γλεύην ἀνακειμένων εἰπόντος, οὐδὲν ἐνδοιάσας λοιδορίας τε ἐχρῆτο κατὰ τοῦ Γαΐου καὶ σπασάμενος τὸ ξίφος ἐπάγει πληγὴν σφοδράν· οὐ μήν γε ἦν καίριος. Καίτοι γε φασί τινες προνοίᾳ τοῦ Χαιρέου γενέσθαι τὸ μὴ μιᾷ πληγῇ διεργάσασθαι τὸν Γάϊον, ἀλλὰ τιμωρεῖσθαι μειζόνως πλήθει τραυμάτων. Οὐ μὴν ἐμοὶ πιθανὸς οὗτος ὁ λόγος, διὰ τὸ μὴ ἐπιχωρεῖν ἐν τοῖσδε ταῖς πράξεσι λογισμῷ χρήσασθαι τὸν φόβον. Χαιρέαν δὲ, εἴπερ οὕτως ἐφρόνει, πάντων ἥγημαι μωρία διαφέρειν, ἡδονὴν τῇ ὀργῇ [χαριζόμενον] μᾶλλον ἢ ἐκ τοῦ ὀξέος ἀπαλλαγὴν αὑτῷ τε καὶ τοῖς συνωμόταις κινδύνων χαριζόμενον, διὰ τὸ πολλὰς ἂν μηχανὰς ἔτι γενέσθαι βοηθειῶν Γαΐῳ μὴ φθάσαντι τὴν ψυχὴν ἀφεῖναι, κἀνταῦθα Χαιρέᾳ λόγον ἂν γενέσθαι οὐ περὶ τῆς Γαΐου τιμωρίας, ἀλλὰ τῆς αὑτοῦ καὶ τῶν φίλων, ὅπου γε καὶ πράξαντι καλῶς ἂν εἶχε σιγῇ χρωμένῳ διαδιδράσκειν τὰς ὀργὰς τῶν ἀμυνομένων, οὐχ ὅπως ἄδηλον εἰ τύχοι κατορθῶν ἐπ' ἀλόγοις χρήζειν αὐτόν τε ἀπολέσαι καὶ τὸν καιρόν. Καὶ τάδε μὲν εἰκάζειν παρέστω τοῖς βουλομένοις ἢ καὶ θέλοιεν· ὁ δὲ Γάϊος, ἀλγηδόνι τῆς πληγῆς περιφερόμενος, (μεσσηγὺς γὰρ τοῦ τε ὤμου καὶ τοῦ τραχήλου φερόμενον τὸ ξίφος ἐπέσχεν ἡ κλεὶς προσωτέρω χωρεῖν,) οὔτε

solebat, ad lavandum et prandendum, et tum demum reverteretur; utpote quod decretæ rei exitum expediri vellet.

14. Et Chærea quidem et socii semet opportune disposuerunt; eisque incumbebat, locum, qui singulis obtigit, ne desererent strenue operam dare: et indignabantur moras necti, quodque in manibus erat differri, quod jam esset hora diei nona. Chæreæ itaque, Caio cunctante, in animo erat regredi ipsumque in sede sua adoriri. Ceterum cogitatione præceperat hoc sine multa Equitum qui aderant ac senatorum cæde fieri non posse: quamvis autem id sciret, desiderio ardebat, æquum esse ratus non morari ejusmodi cædem, quæ omnium incolumitate et libertate rependeretur. Quumque jam in eo essent ut theatrum ingrederentur, subito strepitu significatur surrexisse Caium. Quo factum est ut sese converterent conjurati, et turbam dimovebant, quasi eam ægre ferret Caius, re autem vera sui in securitatem, ut qui vellent eum nudare præsidiis atque ita cædem patrare. Præcedebant autem eum Claudius patruus, et Marcus Vinicius sororis ejus maritus, ut et Valerius Asiaticus, quos intercludere, si maxime id voluissent, ex dignitatis reverentia non licebat; Caius vero ipse sequebatur cum Paulo Arruntio. Quum autem intra regiam esset, de via recta decedit, ubi constituti erant famuli, quorum munus erat ipsi ministrare, et qua Claudius aliique præcesserant; et in angiportum insuetum deflectit, balneas petiturus, simulque pueros spectaturus, qui ex Asia venerant, missi inde partim ut hymnos canerent in mysteriis quæ celebrabat, partim ut pyrrhicham saltarent in theatris. Ipsi autem Chærea obviam venit, et tesseram petiit. Quumque ille probrosum quiddam et ridiculum daret, nihil moratus conviciis impetit, strictoque gladio vehementem Caio plagam inflixit, sed non mortiferam. Sunt tamen qui dicant, hoc a Chærea data opera factum esse, ut non uno ictu Caium interimeret, sed repetitis vulneribus magis eum excruciaret. At mihi parum credibile videtur quod afferunt, haud concedente timore in ejusmodi rebus exsequendis rationem adhibere. Quodsi ita existimasset, Chæream profecto omnium stultissimum haberem, qui maluerit indulgere iracundiæ quam celeriter semet et conjuratos e periculo eximere, maxime quando non deerant plurimæ viæ Caio succurrendi, nisi quam primum exhalaret animam, atque adeo Chæream rationem habuisse non Caium, sed semetipsum et amicos affligendi, si, quum posset re bene gesta clam se ulciscentium iræ subducere, nedum quum esset obscurum an ex animi sententia res succederet, temere voluisset semet perdere simul et tempus. Et in istis quidem cuique suo utique frui judicio per me licet. At Caius dolore ex vulnere cruciatus, (nam ensi, inter humerum et collum impacto, obstitit jugulum ne altius penetraret,) neque animo consternatus

ἀνεβόησεν ὑπ' ἐκπλήξεως, οὔτε ἐπεκαλέσατό τινας τῶν φίλων, εἴτε ἀπιστίᾳ, εἴτε καὶ ἄλλως ἀφρονήσει· στόνῳ δὲ χρησάμενος πρὸς τῆς ἀλγηδόνος τὸ περιττὸν εἰς τὸ πρόσθεν ἵετο φυγῇ. Καὶ δεξάμενος αὐτὸν Κορνήλιος Σαβῖνος, τὴν διάνοιαν ἤδη προκατειργασμένος, ὠθεῖ κλιθέντα ἐπὶ γόνυ· πολλοὶ δὲ περιστάντες ἀφ' ἑνὸς ἐγκελεύσματος ἔκοπτον τοῖς ξίφεσι, παρακελευσμός τε πρὸς ἀλλήλους, καὶ πρὸς ἐπὶ τούτοις, ἦν. Τελευταίαν δὲ Ἀκύλας ὁμολογεῖται ὑπὸ ἁπάντων πληγὴν ἐπαγαγών, ἢ μεθίστησιν αὐτὸν ἀκριβῶς. Ἀναθείη δ' ἄν τις τὴν πρᾶξιν Χαιρέᾳ. Καὶ γὰρ εἰ σὺν πολλοῖς ἐπράχθη τὸ ἔργον αὐτῷ, ἀλλ' οὖν πρῶτός τε ἐνεθυμήθη, τοιαῦτα ὡς πραχθεὶη προλαβὼν πολὺ τῶν ἁπάντων, καὶ πρῶτος μὲν τολμηρῶς ἐξεῖπε τοῖς λοιποῖς. Δεχομένων δὲ τὸν ἐπὶ τῷ φόνῳ λόγον, σποράδας τε ἤθροισε καὶ τὰ πάντα φρονίμως συγκροτήσας, ἔνθα γνωμῶν εἰσηγήσει ὡς ἐχρῆν πολὺ κρείσσων ἐγίνετο, καὶ λόγοις καθωμίλησε χρηστοῖς, ὡς οὐ τολμῶντας ἠνάγκασέ τε τοὺς πάντας, ἐπεί τε καιρὸς ἐλάμβανε χειρὶ χρήσασθαι, φαίνεται κἀνταῦθα πρῶτός τε ὁρμήσας καὶ ἁψάμενος τοῦ φόνου καὶ τοῖς ἄλλοις εὐεπίβατον παρασχὼν καὶ προτεθνεῶτα Γάϊον· ὥστε ἂν δικαίως καὶ ὁπόσα τοῖς λοιποῖς εἴη πεπραγμένα, τῇ Χαιρέου γνώμῃ τε καὶ ἀρετῇ προστίθεσθαι καὶ πόνῳ τῶν χειρῶν.

ιε'. Καὶ Γάϊος μὲν, τοιούτῳ τρόπῳ χρησάμενος τῆς τελευτῆς, ὑπὸ τοῦ πολλοῦ τῶν τραυμάτων ἀποψυχθεὶς ἔκειτο. Οἱ δὲ περὶ τὸν Χαιρέαν, ἐπειδὴ κατείργαστο αὐτοῖς ἤδη Γάϊος, ὁδοὺς μὲν τὰς αὐτὰς ἰόντες σώζειν αὐτοὺς ἀμήχανον ἐώρων, ὄγκῳ τε τῶν γεγονότων (οὐ γὰρ μικρὸν ἦν τὸν αὐτοκράτορα ἀνῃρηκόσι τὸ κινδύνευμα, ὑπό τε ἀνοίας τοῦ δήμου τιμώμενον καὶ ὄντα προσφιλῆ, καὶ τῶν στρατιωτῶν μὴ ἀναιμωτὶ ποιησομένων τὴν ζήτησιν αὐτοῦ) ἄλλως τε στενῶν οὐσῶν τῶν ὁδῶν καθ' ἃς ἔπραξαν τὸ ἔργον, καὶ μεγάλου πλήθους ἐμφράξαντος αὐτὰς τῆς θεραπείας, καὶ ὁπόσοι τῶν στρατιωτῶν ἐπὶ φυλακῇ τοῦ αὐτοκράτορος ἐκείνην παρῆσαν τὴν ἡμέραν. Ὁδοὺς δὲ ἑτέρας χωροῦντες παρῆσαν εἰς τὴν Γερμανικοῦ μὲν οἰκίαν τοῦ Γαΐου πατρὸς, ὃν τότε ἀνῃρήκεσαν, (συνημμένη δὲ ἐκείνη, διὰ τὸ ἓν τὸ βασίλειον ὂν, ἐπ' οἰκοδομίαις ἑκάστου τῶν ἐν τῇ ἡγεμονίᾳ γεγονότων ἀσκηθὲν ἀπὸ μέρους ὀνόματι τῶν οἰκοδομησαμένων, ἢ καί τι μερῶν οἰκήσεως ἀρξάντων τὴν ἐπωνυμίαν παρασχέσθαι,) καὶ διεκπεσόντες τοῦ πλήθους τῆς ἐφόδου ἐν ἀδείᾳ τὸ παρὸν ἦσαν, λανθάνοντος ἀκμὴν κακοῦ τοῦ τὸν αὐτοκράτορα παρειληφότος. Πρώτους δὲ εἰς τοὺς Γερμανοὺς ἡ αἴσθησις ἀφίκετο τῆς Γαΐου τελευτῆς· δορυφόροι δὲ ἦσαν οὗτοι ὁμώνυμοι τῷ ἔθνει ἀφ' οὗ κατειλέχατο, τὸ Κελτικὸν τάγμα παρεχόμενοι αὐτῶν. Θυμῷ δὲ χρῆσθαι πάτριόν ἐστιν αὐτοῖς, ὅπερ οὐ σπάνιον ἔν τισιν ἑτέροις βαρβάροις, διὰ τὸ ἠσσόνως λογισμὸν ἐπιδέχεσθαι τῶν ποιουμένων, ῥωμαλέοι τε τοῖς σώμασι, καὶ τῇ πρώτῃ ὁρμῇ συνιόντες τοῖς πολεμίοις, οὗ ἂν ὁρμήσωσι μεγάλα κατορθοῦντες. Οὗτοι οὖν πυθόμενοι τοῦ Γαΐου τὴν σφαγὴν, καὶ περιαλγήσαντες διὰ τὸ μὴ ἀρετῇ χρίexclamavit, neque amici cujuspiam opem imploravit, sive quod nemini satis fideret, sive ea de re non cogitaret: sed, quum gemitum expressisset angoris magnitudo, fuga se proripiebat ulterius. Quumque eum excepisset Cornelius Sabinus, qui jam ante animo erat præparatus, inclinatum trudit in genua: atque multi circumstantes, una cohortatione excitati, gladiis eum feriebant, atque adhortatio ad invicem erat, Repete. In confesso est autem apud omnes Aquilam extremum ei vulnus intulisse, fecisseque ut confestim animam efflaret. Veruntamen Chærea cædis auctor merito existimandus est. Nam licet aliquammultos ad facinus patrandum sibi adjunxerit, primus tamen illud excogitavit, et ante omnes quemadmodum res istæ gerendæ essent animo designavit, primusque ausus est consilium cum aliis communicare. Quum autem sermonem probarent quem de cæde habuit, et dispersos unum in locum congregavit, et omnibus bene ac sapienter paratis, tum recta consilia dando omnibus longe præstabat, et scite admodum orationem ad suadendum accommodavit, ita ut et omnium animos ad audendum accenderit, et, quum tempus posceret vim et manus adhiberi, tunc etiam primus conspiciebatur incitari, et ad rem strenue aggrediendam ferri, et Caii cædem facile aliis perficiendam dare, postquam vulnus fere letale ab eo accepisset: adeo ut merito, quicquid etiam a sociis perpetratum fuerit, Chæreæ consiliis, animi robori, fortique manuum operæ acceptum ferendum sit.

15. Et Caius quidem hujusmodi morte affectus exanimis jacebat multis vulneribus confossus. At Chærea sociique, quum ab illis peremptus fuisset Caius, haud fieri posse animadvertebant ut incolumes eadem via redirent, sive attoniti magnitudine facinoris (non enim levis periculi res erat occidisse Imperatorem, populo insanienti gratum et acceptum, militibusque de eo non sine sanguine inquisituris) sive quod angustæ essent viæ ubi patrata erat cædes, et magna servitiorum multitudo eas obstruxisset, ut et milites qui ea die præsto erant ad custodiam Imperatoris. Proinde alia via incedentes contulerunt se ad ædes Germanici, patris Caii quem tunc occiderant, (erant enim conjunctæ palatio, quod ita unum erat ut tamen, ædificiis ab iis qui in imperio fuerant adauctum et ornatum, *varias* habuerit appellationes, aut ab eo qui partem aliquam absolverit, aut ab eo qui partem aliquam ædificare inchoaverit,) jamque elapsi e turbæ incursu satis tuti erant pro tempore, dum adhuc in occulto esset quod Imperatori acciderat. Primi autem Germani aliquid resciverunt de Caii interitu: erant vero isti satellites genti cognomines, e qua delecti sunt qui legionem Celticam constituunt, homines gentis vitio proni ad iracundiam, id quod commune est illis cum nonnullis barbaris, ut qui parum admodum consilii rebus agendis adhibeant, at viribus pollentes ferocesque, et primam in hostes impressionem facientes, in quamcunque partem incubuerint, magnum ad victoriam momentum afferant. Isti itaque, ubi aliquid de cæde Caii acceperant, vehementer indoluerunt, non ipsius virtutibus rem metientes, sed suis

νειν ἐπὶ τοῖς ὅλοις, ἀλλὰ συμφέροντι τῷ αὐτῶν, (μάλιστα δὲ αὐτοῖς προσφιλὴς ἦν Γάϊος δόσεσι χρημάτων τὸ εὔνουν αὐτῶν κτώμενος,) σπασάμενοι τὰ ξίφη, (προστήκει δὲ αὐτῶν Σαβῖνος χιλιαρχῶν, οὐ δι' ἀρετὴν καὶ γενναιότητα προγόνων, μονομάχος γὰρ ἦν, ἰσχύϊ δὲ σώματος τὴν ἐπὶ τοιούτοις κτησάμενος ἀνδράσιν ἀρχήν,) διεξῆσαν τῆς οἰκίας ἀνερευνώμενοι τοὺς σφαγέας τοῦ Καίσαρος. Ἀσπρήναν τε κρεουργήσασιν αὐτοῖς, διὰ τὸ πρώτῳ περιπεσεῖν, οὗ τὴν στολὴν μιᾶναν τὸ αἷμα τῶν θυμάτων, ὡς μοι λέλεκται πρότερον, οὐκ ἐπ' ἀγαθῷ τὴν συντυχίαν ἀπεσήμαινε τοῦ γεγονότος, δεύτερος Νωρβανὸς ὑπηντίαζεν, ἐν τοῖς γενναιοτάτοις τῶν πολιτῶν, καὶ πολλοὺς αὐτοκράτορας παρεχόμενος τῶν προπατόρων, καὶ μηδὲν αἰδουμένων αὐτοῦ τὴν ἀξίωσιν, ἰσχύϊ προὔχων ἀφαιρεῖται τὸ ξίφος τῷ πρώτῳ τῶν ἐπιόντων συμπλακείς, φανερός τε ἦν οὐκ ἀπραγμόνως τεθνηξόμενος, μέχρι δὴ περισχεθεὶς πολλοῖς τῶν ἐπιφερομένων ἔπεσεν ὑπὸ πλήθους τραυμάτων. Τρίτος δὲ Ἀντήϊος, τῶν ἐκ τῆς βουλῆς, σὺν ὀλίγοις οὐ τυχαίως τοῖς Γερμανοῖς καθάπερ οἱ πρότερον περιπεσών, ὑπὸ δὲ φιλοθεαμοσύνης καὶ ἡδονῆς τοῦ αὐτόπτης γενέσθαι Γαΐου κειμένου, μῖσος ηὔρανε τὸ πρὸς αὐτόν· τὸν γὰρ πατέρα τοῦ Ἀντηΐου καὶ ὁμώνυμον φυγάδα ἐλάσας καὶ μὴ ἀρκεσθεὶς κτείνει στρατιώτας ἀποπέμψας. Καὶ παρῆν μὲν διὰ τάδε εὐφρανούμενος θεωρίᾳ τοῦ νεκροῦ· θορυβουμένης δὲ τῆς οἰκίας, κρύπτειν αὐτὸν ἐντεθυμημένος, οὐ διαφυγγάνει τῶν Γερμανῶν τὸ εἰς τὴν ἔρευναν ἀκριβὲς καὶ ἐπὶ τοῖς φόνοις ὁμοίως τῶν τε αἰτίων καὶ μὴ ἐξαγριωσάντων. Καὶ οἱ μὲν ταύτῃ τεθνήκασιν.

ις'. Εἰς δὲ τὸ θέατρον ἐπεὶ ἀφίκετο ὁ λόγος περὶ τῆς Γαΐου τελευτῆς, ἔκπληξίς τε καὶ ἀπιστία ἦν. Οἱ μὲν γὰρ καὶ πάνυ ἡδονῇ δεχόμενοι τὸν ὄλεθρον αὐτοῦ, κἂν πρὸ πολλοῦ ἡγησάμενοι σφίσιν ἀγαθὸν συνελθεῖν, ὑπὸ δέους ἐν ἀπιστίᾳ ἦσαν. Εἰσὶ δὲ οἷς καὶ πάνυ ἀπ' ἐλπίδων ἦν, διὰ τὸ μὴ ἐθέλειν τι τοιόνδε περὶ τὸν Γάϊον γεγονέναι, ἀληθείᾳ προστίθεσθαι, διὰ τὸ μὴ οἷόν τε ἀνθρώπῳ εἶναι τοιᾶδε ἀρετῇ χρῆσθαι. Γύναια δ' ἦν ταῦτα καὶ παῖδες, ὁπόσοι τε δοῦλοι καί τινες τοῦ στρατιωτικοῦ· οἱ μὲν διὰ τὸ μισθοφορεῖν, καὶ οὐδὲν ἀλλ' ἢ συντυραννοῦντες, καὶ διακονίᾳ τῆς κατ' ἐκεῖνον ὕβρεως ἐπαναστειόμενοι τοῖς κρατίστοις τῶν πολιτῶν, τιμῆς τε ἅμα καὶ ὠφελειῶν τυγχάνειν· ἡ δὲ αὖ γυναικωνῖτις, καὶ τὸ νεώτερον, ὅπερ ὄχλος φιλεῖ, θεωρίαις τε καὶ μονομαχίαις δόσεσι καί τινων κρεανομιῶν ἡδοναῖς ἀνειλημμένοι, ἃ ἐπράσσετο, λόγῳ μὲν ἐπὶ θεραπείᾳ τῆς πληθύος, τὸ δὲ ἀληθὲς ἐκπιμπλάντα τῆς μανίας Γαΐου τὴν ὠμότητα· οἱ δὲ δοῦλοι διὰ τὸ ἐν κατηγορίᾳ τε εἶναι καὶ καταφρονήματι τῶν δεσποτῶν, ἀποστροφῆς τῷ ὑβρίζοντι αὐτοὺς οὔσης τῆς κατ' ἐκεῖνον ἐπικουρίας. Ῥᾴδιον γὰρ ψευσαμένοις τε κατὰ τῶν κυρίων πεπιστεῦσθαι καὶ τὰ χρήματα ἐνδείξασιν αὐτῶν ἅμα ἐλευθέροις τε εἶναι καὶ πλουσίοις, μισθῷ τῶν κατηγοριῶν, διὰ τὸ ἄθλα αὐτοῖς προσκεῖσθαι τὰς ὀγδόας τῶν οὐσιῶν. Τῶν δὲ εὐπατριδῶν, εἰ καί τισι πιστὸς ὁ λόγος φανείη, τοῖς

commodis, (quod magnam ab iis gratiam inierat Caius crebris largitionibus conciliatam,) strictisque gladiis perquirentes Cæsaris interfectores, per domos discurrebant duce Sabino, qui tribunus illis præerat, non sua aut majorum virtute, (nam gladiator fuerat,) sed corporis robore ad istam præfecturam evectus. Quumque illis, postquam Asprenatem in frusta concidissent, (quod in eum primum inciderant, cujus toga, ut jam ante diximus, cruore victimæ respersa, ipsi quod evenerat infaustum fore portendebat,) proxime occurrisset Norbanus, civis cum primis nobilis, et qui inter majores suos permultos imperatores habuerit, nihilque ejus dignitatem reveriti essent, is, magnis viribus fretus, manibusque cum eo qui primus ipsum adortus est consertis, gladium ei extorsit, et non inultus videbatur moriturus, donec, multis in eum irruentibus circumfusus, plurimis vulneribus acceptis ceciderit. Tertius autem Anteius, ordinis senatorii vir, cum paucis non temere et fortuito, sicuti priores, in Germanos incidit, sed spectandi cupiditate, utque lætitiam oculis suis caperet, Caium prostratum aspiciendo, suum in eum odium oblectabat: Anteii enim patrem, ejusdem cum eo nominis, in exsilium egerat Caius, eoque non contentus milites ad eum occidendum miserat. Et ea quidem de causa aderat, ut mortui spectaculo semet oblectaret: quum autem turbata esset domus, et de se in latebras abdendo cogitarit, non effugit Germanos qui investigarunt et perscrutati sunt omnia, et obvios quosque sontes insontesque occidere furebant. Atque illi quidem ita interierunt.

16. Ceterum postquam in theatrum rumor de morte Caii perlatus est, obstupuerunt omnes, nunciatisque fidem habere noluerunt. Alii quidem, etsi cum lætitia interitum ejus acciperent, et vel quodvis darent ut sibi liceret esse adeo beatis, præ timore haud adducebantur ut crederent: alii vero plane diffidebant, et quod nollent tale quidquam Caio accidisse, ne veritati quidem auscultabant, rem nulla humana vi confici posse sibimet persuadentes. At isti fere erant feminæ et pueri, aut mancipia, et nonnulli ex militibus. Ili quidem, utpote quod ejus stipendia merentes simul cum eo exercerent tyrannidem, ejusque insolentiæ ministri, et optimum quemque civium concutientes, honore simul et opibus aucti essent; mulieres vero et adolescentuli, deliniti captique mirifice, ut solet vulgus, spectaculis, muneribus gladiatoriis, viscerationibus: quæ facta erant editaque, verbo quidem ut populum oblectarent, at re vera ut insanientem explerent Caii crudelitatem. Servi denique propter licentiam datam dominos accusandi et contemnendi, ut quibus refugere liceret ad ejus auxilium quum illos injuria affecissent. Facile enim erat fidem impetrare improbe confictæ in dominos calumniæ, et indicata eorum pecunia non libertatem solum assequi, sed et divitias ex accusationis institutæ mercede, octava bonorum parte illis in præmium assignata. Ceterum patricii, si quibus rumor credibilis videbatur, partim quod de insidiis

μὲν ἐκ τοῦ προειδέναι τὴν ἐπιβουλήν, τοῖς δὲ ὑπὸ τοῦ θέλειν εὐκτὸν ἡγουμένοις, σιγῇ παρεδίδοτο οὐ μόνον ἐπὶ τοῖς ἠγγελμένοις χαρὰ, ἀλλὰ καὶ ἡ δόξα τῆς ἀκροάσεως. Οἱ μὲν δεδιότες μὴ καὶ ψευσθεῖσιν ἐλπίδος τιμωρίαι συνέλθοιεν, ὡς προεξορμήσασιν ἀποφήνασθαι τὴν διάνοιαν τὴν ἑαυτῶν, οἱ δὲ ἐξεπιστάμενοι, διὰ τὸ τῆς ἐπιβουλῆς μετασχεῖν, μειζόνως ἔκρυπτον ἀλλήλων ἀγνοίᾳ, καὶ δεδιότες μὴ πρός τινας εἰπόντες, οἷς ἡ τυραννὶς ἐστῶσα ὠφέλιμος ἦν, ζῶντος Γαΐου κολασθεῖεν ἐνδείξεως γενομένης, ἐπεὶ καὶ ἕτερος ἐπεφοιτήκει λόγος, ὡμιληκέναι μὲν Γάϊον τραύμασιν, οὐ μὴν ἀποθανεῖν, ἀλλὰ ζῶντα ἐν θεραπείαις ὑπὸ τῶν ἰατρῶν εἶναι. Ἦν τε πιστὸς αὖθις οὐδείς, ᾧ καὶ θαρσήσας τις γνώμην ἀποφαίνοιτο τὴν αὑτοῦ· ἢ γὰρ φίλος ὢν ὕποπτος ἐγίνετο εὐνοίᾳ τῆς τυραννίδος, ἢ καὶ μίσει πρὸς ἐκεῖνον χρώμενος, τῷ πρὸς αὐτὸν οὐδαμόθεν εὐνοίᾳ χρωμένῳ διαφθείρει τὴν ἐπὶ τοῖς λεγομένοις πίστιν. Ἐλέγετο δὲ ὑπό τινων, οἳ καὶ μάλιστα τοῖς εὐπατρίδαις ἡφάνιζον τὸ εὐθυμοῦν τῆς ἐλπίδος, ἐν ἀμελείᾳ κινδύνων γεγονότα καὶ ἄρρωστον κομιδῆς τῶν τραυμάτων, ὥσπερ εἶχεν, ἰματιωμένον ἐπὶ τῆς ἀγορᾶς διεκπεσεῖν καὶ ἐν δημηγορίαις εἶναι. Καὶ τάδε μὲν εἰκάζετο βουλήσει τῇ ἀλογίστῳ τῶν θροεῖν προθεμένων, καὶ ἐπ' ἀμφότερα δόξῃ τῶν ἀκουόντων λαμβανόμενα, οὐ μὴν τήν γε ἕδραν ἐξέλιπον, δεδιότες τὴν ἐπενεχθησομένην προεξιοῦσιν αἰτίαν. Οὐ γὰρ ἀφ' ἧς ἐξίοιεν διανοίας γενήσεσθαι περὶ αὐτοὺς τὴν κρίσιν, ἀλλὰ ἀφ' ἧς εἰκάζειν θελήσειαν οἵ τε κατηγορήσαντες καὶ οἱ δικάζοντες.

ιζ'. Ἐπεὶ δὲ καὶ πλῆθος τῶν Γερμανῶν περιέσχε τὸ θέατρον ἐσπασμένων τὰ ξίφη, πᾶσι τοῖς θεωροῖς ἐλπὶς ἦν ἀπολέσθαι, καὶ πρὸς πᾶσαν οὐτινοσοῦν εἴσοδον πτοία εἶχεν αὐτοὺς ὡς αὐτίκα μάλα συγκοπήσοιντο· ἐν ἀμηχάνοις δὲ ἦσαν, οὔτε ἀπιέναι θάρσος εἰσφερόμενοι οὔτε ἀκίνδυνον τὴν διατριβὴν τὴν ἐπὶ τοῦ θεάτρου πιστευκότες. Εἰσπιπτόντων δὲ ἤδη, βοὴ τοῦ θεάτρου ῥήγνυται καθ' ἱκετείαν τρεπομένου τῶν στρατιωτῶν, ὡς πάντων ἀγνοίας αὐτῷ γενομένης καὶ τῶν βουληθέντων κατὰ τὴν ἐπανάστασιν, εἰ δή τις καὶ γέγονεν ἐπανάστασις, καὶ τῶν γεγονότων. Φείδεσθαι οὖν, καὶ μὴ τόλμης ἀλλοτρίας παρὰ τῶν οὐδὲν ἐν αἰτίᾳ γενομένων ἀπολαμβάνειν τιμωρίαν, παρέντας ἐν ἐρεύνῃ τῶν πεπραχότων, ὅ τι καὶ πεπραγμένον εἴη, καταστῆναι. Καὶ οἱ μὲν ταῦτά τε καὶ περαιτέρω μετὰ δακρύων καὶ τύψεως προσώπων ἐπιθειάζοντες καὶ ποτνιώμενοι, ὁπόσα ἀνεδίδασκεν αὐτοὺς ὁ κίνδυνος ἑστὼς πλησίον καὶ ὡς ἄν τις ἀγωνιζόμενος περὶ τῆς ψυχῆς εἴπειέν τι ἔλεγον. Θρᾴττεται δὲ πρὸς ταῦτα τῶν στρατιωτῶν ἡ ὀργὴ, μεταμελῆσαν αὐτοῖς τοῦ ἐπὶ τοῖς θεωροῖς βουλεύματος· ὠμόν τε γὰρ ἦν τοῦτο καὶ ἐκείνοις καίπερ ἐξηγριωκόσιν ἐδόκει, τὰς κεφαλὰς τῶν περὶ τὸν Ἀσπρήναν ἐπὶ τὸν βωμὸν ἀπερεισαμένοις. Πρὸς ἃς μειζόνως ἔπαθον οἱ θεωροὶ, λογισμῷ τε ἀξιώσεως τῶν ἀνδρῶν καὶ ἐλέῳ τοῦ πάθους· ὥστε παρ' ὀλίγον καὶ αὐτοῖς οὐδὲν ἐλλιπεστέρως τὰ τῶν κινδύνων ὁμιλήσαντα ἐπανασεσεῖσθαι,

aliquid præsciverant, partim quod vehementer id cupiebant optabantque, non solum gaudium occultabant quod ex nunciatis perciperent, sed et se nihil audire simulabant. Hi quidem veriti, ne spe falsi ad pœnas cogerentur, ut qui animi sui sententiam aperire nimium festinarint, illi vero qui rem resciverant, quod consiliorum participes essent, eo magis clam omnia habebant, alii alios ignorantes, metuentesque ne si quid dicerent alicui, cui expediebat diuturnam esse tyrannidem, Caio vivente proditi ad supplicium deposcerentur. Nam et alius sparsus erat rumor, Caium vulnera quidem accepisse, non tamen mortuum esse, sed adhuc vivere, eique a medicis curationem adhiberi. Ac nemo adeo fidus habebatur, cui quispiam dicere auderet quod sentiret : sive enim *Caii* amicus esset, suspectæ erat fidei, ut qui tyrannidi faveret; sive odio eum prosequeretur, id ipsum dictorum ejus fidem imminuebat, quod eum oderit. Alius etiam rumor ferebatur, qui patriciis spei solatium omne eripiebat, ipsum periculum despicientem et de vulneribus curandis parum sollicitum, in forum, ut se habebat sanguine cruentatum, evasisse, atque ibi concionari apud populum. Et hæc quidem temere efficta erant ab iis, quibus propositum erat tumultus excitare, et in utramque partem pro affectu audientium trahebantur : haud tamen sedes suas relinquebant, metu criminis primo foras exeuntibus impingendi. Non enim ex animo quo exierint factum iri de illis judicium, sed ex eo quem illis affingere vellent delatores et judices.

17. Sed postquam turba Germanorum strictis gladiis circumdederat theatrum, spectatores de vita quisque sua metuere cœperunt, et ad cujusvis ingressum expavescebant, quasi jamjam concidendi essent, hærebantque inopes consilii, quod neque exire auderent nec se in tuto esse crederent, si diutius in theatro morarentur. Atque adeo, quum irrumperent, clamor theatri extollitur, supplicantium militibus ut qui omnium ignari essent, tam eorum quæ de seditione movenda, si qua mota fuerit, essent deliberata, quam eorum quæ patrata essent. Ipsis itaque parcere deberent, nec pœnas aliorum audaciæ ab omni culpa vacuis reposcere, sinerentque in facinoris, quodcunque commissum esset, auctores inquirere. Et illi quidem ista, multoque plura cum ploratu et planctu deos obtestantes et implorantes dicebant, quæ præsentius periculum exprimeret, eoque modo ac si quis in extremo vitæ discrimine aliquid proferret. Ad hæc frangitur militum ira; ipsosque subpœnituit eorum quæ contra spectatores animo agitaverant : nam et erat crudele illud, ipsisque licet irritatis videbatur, quum capita eorum qui cum Asprenate cæsi erant aræ defixissent. Quibus conspectis, majorem in modum commoti erant spectatores, quum et virorum dignitatem secum reputarent et eorum quæ passi erant miseratione tenerentur, adeo ut parum abesset quominus præsentium periculorum non minor ipsis metus in-

ὧν ἄδηλον εἶναι τὴν συμφορὰν, εἴπερ εἰς τέλος φευχθῆναι δύναιτ' ἄν. Ὥστε κἂν εἴ τινες τῶν προθύμως μισούντων καὶ μετὰ δίκης τὸν Γάϊον, ἀφαιρεῖσθαι τῶν ἐπ' αὐτῷ εὐφροσυνῶν καὶ τῆς χαρᾶς, διὰ τὸ ἐν ροπῇ μὲν τοῦ συναπολουμένου γεγονέναι, τὸ δὲ πιστὸν τοῦ περιεῖναι μηδέπω καὶ τότε ἐχέγγυον συνελθεῖν.

ιη'. Ἦν δὲ Εὐάριστος Ἀρρούντιος τῶν κηρυσσόντων τὰ πωλούμενα, καὶ δι' αὐτὸ φωνῆς τε μεγέθει χρώμενος καὶ χρήματα περιβεβλημένος ὅμοια τοῖς Ῥωμαίων πλουσιωτάτοις, δύναμίς τε αὐτῷ ἦν ἐφ' οἷς ἐθελήσειε πράσσειν κατὰ τὴν πόλιν, ἔν τε τῷ τότε κἀν τοῖς ὕστερον. Οὗτος διαθεὶς αὑτὸν ὡς ἐνῆν πενθιμώτατον (καίτοι μίσει καὶ παρ' ὀντιναοῦν ἐχρῆτο πρὸς Γάϊον, ἀλλὰ μὴν κρείσσων ἡ διδασκαλία τοῦ φόβου καὶ στρατηγία περὶ τοῦ κερδησομένου τὴν σωτηρίαν τῆς εἰς τὸ παρὸν ἡδονῆς) πάντα κόσμον ἐπιτηδεύσας, ὡς ἄν τις ἐπὶ τοῖς τιμιωτάτοις παρασκευάσαιτο ἀπολωλόσιν, ἀποσημαίνει τοῦ Γαΐου τὸν θάνατον ἐπὶ τὸ θέατρον παρελθών, καὶ ἔπαυσε τοὺς ἀνθρώπους ἐπὶ πλέον ἀγνοίᾳ συμπεριφέρεσθαι τοῦ γεγονότος. Ἦλθε δὲ καὶ Παῦλος Ἀρρούντιος περιῄει ἀνακαλῶν τοὺς Γερμανοὺς, καὶ οἱ χιλίαρχοι σὺν αὐτῷ κελεύοντες κατατίθεσθαι τὸν σίδηρον, καὶ διασαφοῦντες Γαΐου τὴν τελευτήν. Τοῦτο δὲ σαφέστατα ἔσωσε τοὺς ἐν τῷ θεάτρῳ συνειλεγμένους, καὶ πάντας οἳ καὶ ὁπωσοῦν τοῖς Γερμανοῖς περιτύχοιεν. Ἐλπίδος γὰρ αὐτοῖς παραγενομένης ἔμπνουν κεῖσθαι τὸν Γάϊον οὐκ ἔστιν οὕτινος κακῶν ἂν ἀπέσχοντο· τοσόνδε ἐπερίσσευσεν αὐτοῖς εὐνοίας τῆς πρὸς αὐτὸν, ὡς κἂν μετὰ τοῦ καθ' αὑτοὺς ἀπολουμένου τῆς ψυχῆς κτήσασθαι τὸ ἀνεπιβούλευτον αὐτῷ καὶ τοσαύτῃ δυστυχίᾳ μὴ συνεσόμενον. Παύονται δὲ τοῦ ὡρμηκότος εἰς τὴν τιμωρίαν, μαθήσεως σαφοῦς παραγενομένης αὐτοῖς ἐπὶ τῇ τελευτῇ Γαΐου, διά τε τὸ εἰς ἀχρεῖον ἐπιδείξασθαι τὸ πρόθυμον τῆς εὐνοίας, ὃς ἀμείψαιτο αὐτοὺς ἀπολωλότος, καὶ δέει μὴ περαιτέρω τῇ ὕβρει χρωμένων ἐπιστροφὴ γένοιτο ὑπὸ τῆς βουλῆς, εἴπερ εἰς ἐκείνην περισταίη τὸ κράτος, ἢ ὑπὸ τοῦ ἐπικαταστάντος ἄρχοντος. Καὶ οἱ μὲν Γερμανοὶ εἰ καὶ μόλις, ἀλλ' οὖν ἐπαύσαντο λύσσης τῆς ἐπὶ Γαΐου τῷ θανάτῳ καταλαμβανομένης αὐτούς.

ιθ'. Χαιρέας δὲ (σφόδρα γὰρ περὶ Μινουκιανῷ ἔδεισε μὴ διαφθαρείη μανίᾳ τῶν Γερμανῶν περιπεσών) ἕκαστόν τε τῶν στρατιωτῶν μετῄει, προμηθεῖσθαι τῆς σωτηρίας αὐτοῦ δεόμενος καὶ μὴ ἀπολώλοι πολλὴν ἐξέτασιν ποιούμενος. Καὶ Μινουκιανὸν μὲν καὶ Κλήμης (ἀνάγεται γὰρ ἐπὶ τοῦτον) μεθίησι, πολλῶν μετ' ἄλλων συγκλητικῶν δικαιοσύνην τῇ πράξει συμμαρτυρῶν καὶ ἀρετὴν τοῖς ἐντεθυμημένοις καὶ πράσσειν μὴ ἀποδεδειλιακόσι· τυραννίδα γὰρ εἰς ὀλίγον μὲν ἐλθεῖν ἡδονῇ τοῦ ὑβρίζειν ἐπαρθεῖσαν, εὐτυχεῖς δὲ οὐκ ἄρα ποιεῖσθαι τὰς ἀπαλλαγὰς τοῦ βίου, μίσει τῆς ἀρετῆς πρὸς αὐτὴν χρωμένης, ἀλλὰ μετὰ τοιαύτης δυστυχίας, ὁποίᾳ δὲ Γάϊον συνελθεῖν, πρὸ τῶν ἐπαναστάντων καὶ συνθέντων τὴν ἐπίθεσιν αὐτὸν ἐπίβουλον αὑτῷ γενόμενον.

cuteretur, quibus in incerto erat si quo tandem modo calamitatem evitare possent. Quo factum est ut iis, qui Caium libenter meritoque oderint, auferrentur lætitia et gaudium, quibus ex eo *mortuo* afficerentur, quod in eo fere erant ut vitam amitterent, nec ulla ejus conservandæ spes fida et firma alicubi effulsit.

18. Erat autem Euaristus Arruntius rerum venalium præco, adeoque magna et canora voce, qui Romanorum ditissimos opibus æquabat, quique in quibuscunque voluerit plurimum in civitate pollebat, tam eo tempore quam postea. Ille, quum sese ad luctum quam maxime composuisset, (quamvis enim Caio erat omnium infensissimus, præsenti tamen voluptati præferebat ea quæ docuit timor, suggessitque astutia quærendi sibimet incolumitatem,) lugubri sumpto apparatu, uti mos est in carissimorum desiderio, in theatrum progreditur, mortemque Caii denunciat, non passus multitudinem diutius in ignoratione eorum versari quæ acciderant. Deinde etiam Paulus Arruntius circuibat et milites inclamabat, simulque cum eo tribuni, jubentes gladios recondere, et Caii interitum eis significantes. Quæ res manifesto salutem illis attulit qui in theatrum convenerant, cunctisque qui in Germanos quomodocunque inciderent. Nam dum spes illis facta erat Caium adhuc vivere, a nullo abstinebant maleficio : tantum superfuit illis erga ipsum benevolentiæ, ut contenti fuissent vel vitam suam amittere, si modo potuerint illum ab insidiis immunem præstitisse, et a gravi adeo calamitate liberasse. Cum autem certiores facti essent de morte Caii, statim deferbuit impetus quo in vindictam ferebantur, tam quod minime in rem ipsorum cederet sui in illum animi promptitudinem ostendisse, mortuo eo qui gratiam ipsis relaturus esset, quam quod timerent, ne in se injurias facere pergentes animadvertatur a senatu, si ad ipsum summa rerum administratio perveniret, aut ab Imperatore succedente. Atque ita Germani, licet ægre, a rabie tamen cessarunt, quæ in eos invaserat ex morte Caii.

19. Ceterum Charrea, de Minuciano valde sollicitus, ne periret in Germanos furentes incidens, et singulos militum adiens orabat eos atque obsecrabat, ut illius salutis rationem haberent, et ipse diligenter inquirebat ne forte interiisset. Et Clemens quidem Minucianum, ad ipsum adductum, dimittit, cum multis aliis senatoribus facti justitiæ honestatique testimonium perhibens, virtutique illorum qui id in animum induxerant, idemque exsequi minime dubitarunt : nam ita fere esse tyrannos, ut se efferant voluptati habendo injuriarum licentiam, haud vero inde felicem sortiri vitæ exitum, ut qui bonis omnibus invisi in ejusmodi incidant calamitatem qualis Caio contigerit, qui ante seditionem ortam conflatamque conspirationem ipse

νον, καὶ διδάξαντα οἷς ὑβρίζων ἀφόρητος ἦν ἀφανίζων τοῦ νόμου τὴν πρόνοιαν πολέμῳ πρὸς αὐτὸν χρῆσθαι τοὺς φιλτάτους, καὶ νῦν λόγῳ μὲν εἶναι τούτους οἱ ἀνῃρήκασι Γάϊον, ἔργῳ δὲ αὐτὸν ὑφ' ἑαυτοῦ κεῖσθαι διολωλότα.

κ'. Ἤδη δὲ καὶ τὸ θέατρον ἐξανίστατο τῶν θάκων, καὶ ταραχαὶ πάνυ πικραὶ ἐγένοντο τῶν εἴσω. Αἰτία δ' ἦν τοῦ προθύμως διαφευξομένου τῶν θεωρῶν Ἀλκύων ὁ ἰατρὸς, συναρπασθεὶς ὡς ἐπὶ θεραπείᾳ τινῶν τραυματιῶν, ἐκπέμψας δὲ τοὺς συνόντας, λόγῳ μὲν ὡς καὶ μετελευσομένους ὁπόσα εἰς τὴν ἴασιν τοῖς τραυματίαις πρόσφορα, τὸ δὲ ἀληθὲς, ὡς ἀπέσοιντο κινδύνου τοῦ κατειληφότος. Ἐν τούτῳ δὲ βουλῆς τε γίνεται σύνοδος, καὶ ὁ δῆμος, ἥπερ καὶ εἰώθασιν ἐκκλησιάζειν ἐπὶ τῆς ἀγορᾶς καταστὰς, ἐν ζητήσει τῶν σφαγέων τῶν Γαΐου ἦσαν· ὁ μὲν δῆμος καὶ πάνυ ἐκθύμως, δοκεῖν δὲ καὶ ἡ βουλή. Καὶ ἦν γὰρ Ἀσιατικὸς Οὐαλέριος ὑπατικὸς ἀνήρ· οὗτος ἐπὶ τῶν δήμων καταστὰς θορυβούντων καὶ δεινὸν τιθεμένων τὸ ἔτι λανθάνον τῶν τὸν αὐτοκράτορα ἀπεκτονότων, ἐπεὶ προθύμως πάντες αὐτὸν ἤροντο τίς ὁ πράξας τυγχάνει, « εἴθε γὰρ ἐγωγε, » φησί. Προὔθεσαν. δὲ καὶ οἱ ὕπατοι διάγραμμα, Γαΐου μὲν κατηγορίας ποιούμενοι, κελεύοντες δὲ τῷ τε δήμῳ καὶ τοῖς στρατιώταις ἐπὶ τὰ αὑτῶν ἀπιέναι, τῷ μὲν δήμῳ πολλὴν ἀνέσεως ἐπαγγελλόμενοι ἐλπίδα, τῷ στρατιωτικῷ δὲ τιμῶν, εἰ ἐν κόσμῳ μείνειαν τῷ εἰωθότι, μηδὲν ὑβρίζειν ἐξαγόμενοι. Δέος γὰρ ἦν μὴ ἐξαγριωσάντων ἀπολαύσειε τοῦ κακοῦ ἡ πόλις, καθ' ἁρπαγὰς αὐτῶν καὶ συλήσεις τῶν ἱερῶν τραπομένων. Ἐφθάκει δὲ ἤδη τῶν βουλευτῶν τὸ πᾶν πλῆθος συνειλεγμένον, καὶ μάλιστα οἱ τοῦ Γαΐου συνθέντες τὸν φόνον, θράσει τε ἤδη χρώμενοι κἀν καταφρονήματι μεγάλῳ ὄντες ὡς εἰς αὐτοὺς ἀνακειμένων ἤδη τῶν πραγμάτων

ΚΕΦ. Β'.

Ἐν τούτῳ δὴ ὄντων τῶν πραγμάτων, αἰφνίδιον ἁρπάζεται Κλαύδιος ἐκ τῆς οἰκίας. Οἱ γὰρ στρατιῶται, συνόδου γενομένης αὐτῶν ἀλλήλοις, καὶ αὐτοῖς λόγον δόντες περὶ τοῖς ποιητέοις, ἑώρων δημοκρατίαν ἀδύνατόν τε ἐν κράτει τοσῶνδε ἄν ποτε γενέσθαι πραγμάτων, ἐξικομένην τε οὐκ ἐπ' ἀγαθῷ τῷ αὐτῶν γενήσεσθαι τὴν ἀρχὴν, εἴ δέ τις τῶν ἐν ἀρχῇ καταστήσοι τὴν ἡγεμονίαν, εἰς πάντα λυπηρὸν αὐτοῖς εἶναι μὴ οὐ συνεργοῖς τῆς ἀρχῆς καταστᾶσι· καλῶς οὖν ἔχειν, ἀκρίτων ἔτι ὄντων τῶν πραγμάτων, ἡγεμόνα αἱρεῖσθαι Κλαύδιον, πατρωόν τε ὄντα τοῦ τεθνεῶτος καὶ τῶν εἰς τὴν βουλὴν συλλεγομένων [οὐδενὸς] οὐτινοσοῦν ἀξιολογώτερον, προγόνων τε ἀρετῇ καὶ τῶν κατὰ τὴν παιδείαν μεμελετηκότα· καταστάθέντα γὰρ αὐτοκράτορα τιμήσειν τε τὰ εἰκότα καὶ ἀμείψεσθαι δωρεαῖς. Ταῦτα διανοοῦνταί τε καὶ ἔπραξαν ἐκ τοῦ παραχρῆμα. Ἥρπαστο μὲν δὴ Κλαύδιος ὑπὸ τοῦ στρατιωτικοῦ. Γναῖος δὲ Σέντιος Σατουρνῖνος, καίτοι πεπυσμένος τὴν Κλαυδίου ἁρπαγὴν, καὶ ὡς ἐπιδικάζοιτο τῆς ἀρχῆς ἄκων μὲν

sibimet factus esset insidiator, atque non ferendis injuriis legumque contemptu in causa fuerit aliis quod ex amicissimis hostes evaserint, et nunc quidem eos haberi Caii interfectores, re autem vera ipsum a semet peremptum jacere.

20. Tum vero etiam e sedibus in theatro surrectum est, quique intus erant in acerbos inciderunt tumultus, utpote quod sese foras proripere certatim festinarent. In causa autem erat Halcyon medicus, correptus quasi ut quosdam vulneratos curaret, dimittensque qui cum ipso erant, specie quidem ut ea peterent afferrentque quibus opus esset ad medicinam sanciis adhibendam, re autem vera ut ab imminente periculo abessent. At interea senatus in curiam convenit, populusque in foro, ubi comitia haberi solebant, congregatur, et interfectores Cæsaris perquirere cœperunt, populus quidem acriter, senatus vero tantum in speciem. Aderat autem Valerius Asiaticus, vir consularis : is progressus in medium tumultuantium et indignantium quod laterent qui Imperatorem interfecerant, quum multi eum cupide interrogarent, quinam esset qui facinus patraverit, « utinam ego! » exclamat. Etiam consules edictum proposuerunt, Caium accusantes, populumque qui aderat militesque domum se recipere jubentes, dum populo quidem spem magnam remissionis faciunt, militibus vero præmiorum, si consuetum servent ordinem, ab omni maleficio abstinentes. Nam metus erat ne, illis exasperatis, clade aliqua urbs mulcaretur, si ad rapinas et templa spolianda se verterent. Jam autem convenerat omnis senatorum multitudo, maximeque ii qui cædis erant conscii, magna cum audacia animique elatione, quasi jam penes ipsos esset rerum summa.

CAP. II.

Dum ita se res habent, repente Claudius e domo sua extrahitur. Milites enim eodem congressi, quum ultro citroque de rebus gerendis sermonem habuissent, fieri non posse comperiebant ut populus sufficeret tot tantisque negotiis sustinendis, nec e re sua fore ut penes ipsum esset imperium; et si quis eorum, ad quos redierat rerum summa, factus esset Imperator, sibi id magnum in malum cedere, ut qui nihil opis et auxilii eo contulerint : optimum itaque esse, quum nondum quicquam de rebus decretum esset, principem eligere Claudium, et defuncti patruum, et nemini eorum, qui in senatum convenerant, dignitate non præferendum, sive natalium claritatis, sive institutionis ratio haberetur; quique factus Imperator ipsos pro meritis honore affecturus esset et muneribus prosequuturus. Statim ac ista in animum induxerant, ea perfecerunt. Ac Claudius quidem a militibus fuerat abreptus. At Cn. Sentius Saturninus, quamvis istud de Claudio fama acceperat, quodque imperium quasi invitus quidem sibi vindicarit,

δοκεῖν, τὸ δὲ ἀληθὲς καὶ βουλήσει τῇ αὐτοῦ, καταστὰς ἐπὶ τῆς συγκλήτου καὶ μηδὲν καταπλαγεὶς ἐλευθέρος τε καὶ γενναίοις ἀνδράσι πρεπόντως ποιεῖται παραίνεσιν τάδε λέγων.

β. « Εἰ καὶ ἄπιστον, ὦ ἄνδρες Ῥωμαῖοι, διὰ τὸ « χρόνῳ πολλῷ ἥκειν ἀνέλπιστον οὖσαν ἡμῖν, ἀλλ' οὖν « ἔχομεν τοῦ ἐλευθέρου τὴν ἀξίωσιν, ἀδηλον μὲν ἐφ' « ὁπόσον παρατείνουσαν, καὶ γνώμῃ θεῶν, οἳ ἐχαρίσαντο « αὐτὴν, κειμένην, εὐφραίνειν δὲ ἀρκοῦσαν, καί, εἴπερ « ἀφαιρεθείημεν αὐτῆς, εὐδαιμονίᾳ συνάγουσαν. Ἱκανὴ « γὰρ καὶ μία ὥρα τοῖς ἀρετῆς αἰσθανομένοις μετ' αὐ- « τοτελοῦς τῆς διανοίας ἐν αὐτοδίκῳ τῇ πατρίδι καὶ μετὰ « νόμων οἷς ποτε ἤνθησε διαιτωμένῃ βιωθεῖσα. Ἐμοὶ « δὲ τῆς μὲν πρότερον ἐλευθερίας ἀμνημονεῖν ἐστι, διὰ « τὸ κατόπιν αὐτῆς γεγονέναι, τῆς δὲ νῦν ἀπλήστως « πιμπλαμένῳ μακαριστούς τε ἡγεῖσθαι τοὺς ἐγγεννη- « θέντας καὶ ἐντραφέντας αὐτῇ, καὶ τῶν θεῶν οὐδὲν μεῖο- « νος ἀξίους τιμῆς τούσδε τοὺς ἄνδρας, οἳ ὀψὲ γοῦν κἂν « τούτῳ τῆς ἡλικίας ἡμᾶς ἔγευσαν αὐτῆς. Καὶ εἴη μὲν « εἰς πᾶν τοῦ αἰῶνος τὸ ἐπιὸν παραμεῖναι τὴν ἀδειαν « αὐτῆς· ἀρκοῦσα δ' ἂν γένοιτο καὶ ἥδε ἡ ἡμέρα τοῖς τε « νεωτέροις ἡμῶν καὶ ὅσοι γεγηράκαμεν. Αἰὼν ὑπεί- « ληπται τοῖς πρεσβυτέροις, ἐὰν τῶν ἀγαθῶν αὐτῆς ἐν « ὁμιλίᾳ γεγονότες μετασταῖεν· τοῖς δὲ νεωτέροις παί- « δευμα ἀρετῆς καταστησάσης ἀγαθὸν ἀνδράσι τοῖσδε « ἀφ' ὧν γεγόναμεν. Νῦν δὲ ἤδη καὶ ἡμῖν, διὰ τὴν « ἄρτι ὥραν οὐδὲν προὐργιαίτερον εἴη τοῦ ζῆν μετὰ « ἀρετῆς, ἣ μόνη ἐκφροντίζει τῷ ἀνθρωπείῳ τὸ ἐλεύ- « θερον. Ἐγὼ γὰρ τὰ παλαιὰ οἶδα ἀκοῇ παραλαβὼν, « οἷς δὲ ὄψει ὁμιλήσας ἠσθόμην οἵων κακῶν τὰς πολι- « τείας ἀναπίμπλασιν αἱ τυραννίδες, κωλύουσαι μὲν « πᾶσαν ἀρετὴν, καὶ τοῦ μεγαλόφρονος ἀφαιρούμεναι « τὸ ἐλεύθερον, κολακείας δὲ καὶ φόβου διδάσκαλοι κα- « θιστάμεναι, διὰ τὸ μὴ ἐπὶ σοφίᾳ τῶν νόμων, ἀλλ' ἐπὶ « τῇ ὁρμῇ τῶν ἐφεστηκότων καταλείπειν τὰ πράγματα. « Ἀφ' οὗ γὰρ Ἰούλιος Καῖσαρ φρονήσας ἐπὶ καταλύσει « τῆς δημοκρατίας καὶ διαβιασάμενος τὸν κόσμον τῶν « νόμων τὴν πολιτείαν συνετάραξε, κρείσσων μὲν τοῦ « δικαίου γενόμενος, ἥσσων δὲ τοῦ κατ' ἰδίαν ἡδονὴν « αὐτῷ κομιοῦντος, οὐκ ἔστιν ὅ τι τῶν κακῶν οὐ διέστρεψε « τὴν πόλιν, φιλοτιμηθέντων πρὸς ἀλλήλους ἁπάντων οἳ « ἐκείνῳ διάδοχοι τῆς ἀρχῆς κατέστησαν, ἐπ' ἀφανισμῷ « τοῦ πατρίου, καὶ ὡς ἂν μάλιστα τῶν πολιτῶν ἐρή- « μίαν τοῦ γενναίου καταλείποιεν, διὰ τὸ οἴεσθαι πρὸς « ἀσφαλείας εἶναι τῆς αὐτῶν τὸ κιβδήλοις ἀνδράσιν « ὁμιλεῖν, καὶ τῶν ἀρετῇ προὔχειν πεπιστευμένων οὐ « μόνον ὑφαιρεῖν τι τοῦ αὐχήματος, ἀλλ' εἰς τὸ πᾶν « ἐπιψηφίζειν αὐτῶν τοῖς ὀλέθροις. Ὧν ἁπάντων, « ἀριθμῷ τε πολλῶν ὄντων καὶ βαρύτητα ἀνύποιστον « ἐπιδειξαμένων καθ' ἃ ἕκαστος ἦρξεν, εἷς ὢν ὁ Γάϊος « ὁ σήμερον τεθνεὼς, πλείω τε πάντων δεινὰ ἀπέδει- « ξεν, οὐ μόνον εἰς τοὺς συμπολίτας, ἀλλὰ καὶ εἰς τοὺς « συγγενεῖς καὶ φίλους ἀπαίδευτον τὴν ὀργὴν ἐπαφεὶς, « ὁμοίως τοῖς ἅπασι καὶ μείζω κακὰ ἐντριβόμενος

re autem vera sponte et voluntate sua, in senatorum tamen consessu surrexit, nihilque attonitus, hortationem viris ingenuis et fortibus accommodatam adhibet hujusmodi verbis.

2. « Etsi pro incredibili *habeatur*, Quirites, utpote quod « præter omnium spem nobis offertur post tam longum « temporis spatium, tenemus tamen libertatem, incertam « quidem quam diu duratura sit, et in deorum, quorum mu- « nus est, potestate sitam; sed quæ satis in se habet ad nos « exhilarandum, et, si de ea deciderimus, nonnihil ad fe- « licitatem conferet. Nam et una hora viris bonis et hone- « stis sufficit, si cum mente integra acta sit in patria libera « et legibus, quibus olim floruit, administrata. De priore « libertate, utpote ante me natum amissa, nihil memorabo, « præsenti autem insatiabili cum cupiditate fruens eos bea- « tissimos existimabo quibus contigit in ista gigni et insti- « tui, proximumque post deos honorem illis habendum, « qui fecerunt ut, sero licet et hac demum ætate, illam « gustaremus. Atque utinam in perpetuum salva maneat et « incolumis : nobis autem, juvenibus æque ac senibus, vel « hæc dies sufficiat. Senioribus ævum habebitur, si bono- « rum libertatis participes facti decesserint : junioribus vero « documento erit virtutis, quæ viris istis in emolumentum « cessit, a quibus prognati sumus. Nunc itaque et nobis in « præsens nihil prius esse debet et antiquius quam cum « virtute vivere, quæ sola hominibus libertatem parit con- « servatque. Ex iis enim quæ olim facta sunt auditione « accepi, quibusque ipse interfui satis intellexi, quantum « malorum in civitates invehant tyrannides, omni virtuti « obstando, et magnanimis libertatem auferendo, homines- « que ad adulationem et metum instituendo, dum res non « ex sapienti legum cautione, sed suo ex arbitrio adminis- « trant. Ex quo enim Julius Cæsar in animum induxit po- « puli potestatem tollere, legumque ratione insuper habita « et violata, rempublicam perturbavit, jure superior factus, « suisque cupiditatibus serviens, nihil quicquam malorum « est quo non attrita fuerit civitas, omnibus certatim id « agentibus, qui ei in imperium successerunt, ut patriam « consuetudinem abolerent, et urbem, quoad ejus fieri po- « tuit, fortibus et generosis civibus exinanirent; quod exi- « stimarent hoc ad suam facere securitatem, si cum homi- « nibus versarentur vitiosis et flagitiosis, et eorum, qui « virtute præstantissimi haberentur, non solum spiritus « deprimerent, sed et in universum eos exitio addicerent. « Quorum omnium, etsi multi fuerint numero et intolera- « dam ostenderint morositatem in imperio exercendo, unus « Caius, hodie vita defunctus, plura quam ceteri omnes « atrocia facinora edidit, non in cives solum suos, sed « etiam in cognatos pariter et amicos indomitam laxando « iracundiam, omnibus sine discrimine graviora etiam ma-

« ἀδίκως τὴν τιμωρίαν εἰσπράσσεσθαι, ὀργὴν ὁμοίως
« εἰς τε ἀνθρώπους ἐξαγριώσας καὶ θεούς. Τυραννίδι
« γὰρ οὐ κερδαίνεσθαι τὸ ἡδὺ οὐδὲ μεθ' ὕβρεως ἀπόχρη
« οὐδ' εἰς τὰ χρήματα λελυπῆσθαι καὶ γαμετὰς, ἀλλὰ
« τὸ πᾶν κέρδος ἐκ τοῦ πανοικεσίᾳ διοχλουμένων τῶν
« ἐχθρῶν. Ἐχθρὸν δὲ τυραννίδι πᾶν τὸ ἐλεύθερον, εἰς
« εὔνοιάν τε ἐκκαλεῖσθαι αὐτὴν καὶ τοῖς ἐν ὀλίγῳ τιθε-
« μένοις ὁπόσα πεπόνθοιεν οὐκ ἔστιν. Ἐξεπιστάμενοι
« γὰρ ὧν ἀναπλήσειαν κακῶν ἔστιν οὓς, κἀκεῖνοι με-
« γαλοφρόνως καταφρονήματι χρῶνται πρὸς τὴν τύ-
« χην, αὐτοὶ λανθάνειν αὐτοὺς ὧν πράξειαν μὴ δυνά-
« μενοι, μόνως πιστεύουσι κτήσασθαι τοῦ ὑπόπτου τὸ
« ἀδεὲς, εἰ παντελῶς αἱρεῖσθαι δυνηθεῖεν αὐτούς.
« Τοιούτων δὴ κακῶν ἀπογεγονότες καὶ ὑποτελεῖς ἀλ-
« λήλοις καταστάντες, αἴπερ πολιτειῶν ἐχεγγυώτατα
« πρός τε τὸ παρὸν εὖνουν καὶ τὸ αὖθις ἀνεπιβούλευτον,
« καὶ πρὸς δόξαν οἰκείαν τῷ ὀρθουμένῳ τῆς πόλεως,
« οἰκαιοί τε ἐστὲ προνοῆσαι ἰδίᾳ τὸ εἰς κοινὴν αὐτοῦ
« τὴν ὠφέλειαν ἁπάντων, ἢ καὶ ἀνταποφήνασθαι γνώ-
« μην, οἷς μὴ ἀρέσκοιτο τὰ προεισηγμένα, οὐδαμῶς εἰς
« κίνδυνον φέρον, διὰ τὸ μὴ δεσπότην εἶναι τὸν ἐφεστη-
« κότα, ᾧ ἀνεύθυνόν τι βλάπτοντι τὴν πόλιν καὶ αὐτο-
« κράτορι μεταστήσασθαι τοὺς εἰρηκότας. Καὶ τέτροφε
« τὴν τυραννίδα οὐδὲν νεώτερον πλὴν ἥ τε ἀργία καὶ
« τὸ πρὸς οὐδὲν τῶν ἐκείνῃ θελομένων ἀντιλογίᾳ χρώμε-
« νον. Τῆς γὰρ εἰρήνης τοῦ τερπνοῦ ἡσσώμενοι καὶ
« μεμαθηκότες ἀνδραπόδων ἐν τρόπῳ ζῆν ** ὁπόσοι τε
« ἐπάθομεν συμφορὰς ἀνηκέστους, κακοῖς τε τοῖς πέλας
« ἐπείδομεν, φόβῳ τοῦ μετὰ ἀρετῆς τελευτᾶν μετὰ αἰ-
« σχύνης τῆς ὑστάτης ὑπομένοντες τὰς τελευτάς. Πρῶτον
« δὲ δεῖ τοῖς ἀραμένοις τὸν τύραννον τιμὰς αἴτινες μέ-
« γισται, ταύτας εἰσενεγκεῖν, μάλιστα δὲ Χαιρέᾳ τῷ
« Κασσίῳ. Σὺν γὰρ τοῖς θεοῖς εἷς ἀνὴρ οὗτος πορίστης
« ἡμῖν καὶ γνώμῃ καὶ χερσὶ τῆς ἐλευθερίας πέφηνεν,
« οὗ καλὸν μὴ ἀμνημονεῖν, ἀλλ' ἐπὶ τῆς τυραννίδος
« ὑπὲρ ἐλευθερίας τῆς ἡμετέρας προβεβουλευκότος τε ἅμα
« καὶ προκεκινδυνευκότος ἐπὶ τῆς ἐλευθερίας ψηφίσασθαι
« τάς τε τιμὰς, πρῶτόν τε ἀνεπιτάκτως τοῦτο ἀναφή-
« νασθαι. Ἔργον δὲ κάλλιστον καὶ ἐλευθέροις ἀνδρά-
« σι πρέπον ἀμείβεσθαι τοὺς εὐεργέτας, οἷος δὴ καὶ
« ἀνὴρ οὗτος περὶ ἡμᾶς πάντας γέγονεν, οὐδὲν παρα-
« πλησίως Κασσίῳ καὶ Βρούτῳ τοῖς Γαΐου Ἰούλιον
« ἀνῃρηκόσιν, ἐπεί γε οἱ μὲν στάσεως καὶ πολέμων
« ἐμφυλίων ἀρχὰς ἐπανερρίπισαν τῇ πόλει, οὗτος δὲ
« μετὰ τῆς τυραννοκτονίας καὶ τῶν ἐντεῦθεν δεινῶν
« ἀπήλλαξε τὴν πόλιν. »

γ'. Σέντιος μὲν τοιούτοις ἐχρῆτο τοῖς λόγοις, καὶ τῶν βουλευτῶν ἡδονῇ δεχομένων καὶ ὁπόσοι τῶν ἱππέων παρῆσαν. Ἀναπηδήσας δέ τις Τρεβέλλιος Μάξιμος περιαιρεῖται τὸν δακτύλιον τοῦ Σεντίου, (λίθος δὲ εἰκόνα Γαΐου ἐγγεγλυμμένος ἐνεδεσμεύετο αὐτῷ,) καὶ σπουδῇ τῶν λεγομένων καὶ ὧν ἐπενόει πράξειν, ὅπερ ᾤετο, ἐν λήθῃ γεγονότος. Καὶ ἡ μὲν γλυφὴ κατάγνυται· προεληλύθει δὲ ἡ νὺξ ἐπὶ μέγα, καὶ Χαιρέας δὲ

« la inferens, ut injustas pœnas exigeret, iræ immanitate
« efferatus in deos similiter ac homines. Tyrannis enim
« non satis est voluptatem sibi acquirere, etiam cum inju-
« riis conjunctam, neque fortunas vexare et uxores, sed id
« præcipue in lucris ponunt, inimicorum totas exturbare
« familias. Omnes autem liberi pro inimicis habentur a ty-
« rannis : quorum benevolentiam ne ii quidem sibi conci-
« liare possunt, qui patienter accipiunt quicquid perpessi
« sunt. Etenim conscii sibi quam multis malis nonnullos
« oppleverint, utque illi magni animi despicientia et con-
« temptione fortunam ferunt, ipsi, ut quos sua latere ne-
« queant maleficia, ita demum securitatem suspicione va-
« cuam sibi pollicentur, si illos possint omnino tollere.
« Itaque ejusmodi malis levati, nullique potestati nisi quæ
« vestra est obnoxii, quod genus administrationis reipubli-
« cæ quam maxime valet et ad præsentem concordiam,
« et ad futuram incolumitatem, et ad propriam civitati
« bene constitutæ gloriam, debetis singuli providere quod
« in commune conferat, aut econtra etiam, si cui displi-
« ceant quæ ante consulta erant et provisa, sententiam pro-
« ferre, idque sine omni periculo ; quod ejusmodi dominus
« non præsit, cui impune licebit civitatem lædere, eosque
« qui sententiam dixerint arbitratu suo e medio tollere.
« Atque nuper tyrannidi nihil majus dedit incrementum
« quam istorum segnities, qui contra voluntatem imperan-
« tium ne hiscere quidem ausi sunt. Quietis enim dulce-
« dine deliniti, et mancipiorum more vivere assueti, * *
« quotquot vel ipsi calamitates non ferendas tulimus,
« vel propinquorum mala vidimus, metu moriendi cum
« virtute etiam morti summo cum decore conjunctæ occum-
« bentes. Ante omnia autem tyranni interfectoribus hono-
« res quam amplissimos habere *fas est*, præsertim vero
« Chæreæ Cassio. Nam ille erat unus secundum deos qui
« consilio manuque nobis libertatem peperit : cujus haud
« decet oblivisci, sed ei, ut qui sub tyrannide ante omnes
« pro libertate vestra consilium ceperit, primusque in dis-
« crimen semet conjecerit, recuperata libertate honores
« decernere, idque primum sponte factum ostendere. Opus
« enim pulcerrimum est et quod viros liberos decet, be-
« nefactoribus gratiam reponere : qualis et ille erga nos
« universos exstitit, Cassio et Bruto qui Caium Julium
« peremerunt plane dissimilis, quoniam isti quidem se-
« mina discordiarum belliquè civilis in urbe seminarunt,
« ille vero cæso tyranno malis etiam omnibus inde ortis
« civitatem liberavit. »

3. Sentius hujusmodi orationem habuit, eique magna cum voluptate auscultarunt et senatus et Equitum quotquot aderant. Tum quidam Trebellius Maximus exsiliens annulum Sentio detrahit, in quo lapillus inclusus erat insculptam habens Caii imaginem, quem ille, præ studio dicendi, ut credebatur, faciendique quæ in animum induxerat, sibi auferre oblitus erat. Et sculptura quidem e vestigio fracta est. Ceterum quum in multam noctem res productæ essent,

σημεῖον ᾔτει τοὺς ὑπάτους· οἱ δὲ ἐλευθερίαν ἔδοσαν. Ἐν θαύματι δὲ ἦν αὐτοῖς καὶ ὅμοια ἀπιστία τὰ ὁρώμενα. Ἔτει γὰρ ἑκατοστῷ, μεθ' ὃ τὴν δημοκρατίαν τὸ πρῶτον ἀφῃρέθησαν, ἐπέστρεψεν ἐπὶ τοὺς ὑπάτους σημείου ἡ παράδοσις· οὗτοι γὰρ πρότερον ἢ τυραννηθῆναι τὴν πόλιν κύριοι τῶν στρατιωτικῶν ἦσαν. Χαιρέας δὲ τὸ σημεῖον λαβὼν παρεδίδου τῶν στρατιωτῶν τοῖς πρὸς τὴν σύγκλητον συνεστηκόσιν. Ἦσαν δὲ εἰς σπείρας τέσσαρας, οἷς τὸ ἀβασίλευτον τιμιώτερον τῆς τυραννίδος προὔκειτο. Καὶ οἵδε μὲν ἀπῆσαν μετὰ τῶν χιλιάρχων, ἀνεχώρει δὲ ἤδη καὶ ὁ δῆμος περιχαρὴς καὶ ἐλπίδος καὶ φρονήματος μεστὸς ἐπὶ τῷ κτησαμένῳ τὴν ἡγεμονίαν αὐτοῖς, οὐκέτι ἐπὶ τῷ ἐφεστηκότι. Καὶ τὰ πάντα ἦν ὁ Χαιρέας αὐτοῖς.

δ'. Χαιρέας δὲ ἐν δεινῷ τιθέμενος περιεῖναι τήν τε θυγατέρα Γαΐου καὶ τὴν γυναῖκα, ἀλλὰ μὴ πανοικὶ τὸν ὄλεθρον αὐτῷ συντυχεῖν, ἐπεὶ καὶ πᾶν ὅ τι ὑπολείποιτο αὐτῶν ἐπ' ὀλέθρῳ τῆς πόλεως λειφθήσεσθαι καὶ τῶν νόμων, ἄλλως τε πρόθεσιν ἐσπουδακὼς τελειώσασθαι τὴν αὐτοῦ, καὶ πάνυ εὐφρᾶναι μῖσος τὸ πρὸς Γάϊον, Ἰούλιον ἐκπέμπει Λοῦπον, ἕνα τῶν χιλιάρχων, κτενοῦντα τήν γυναῖκα Γαΐου καὶ τὴν θυγατέρα. Κλήμεντος δὲ ὄντι συγγενεῖ τῷ Λούπῳ τὴν ἐπὶ τοιοῖσδε προὔθεσαν λειτουργίαν, ὅπως μετασχὼν κἂν ἐπὶ τοιούτοις τῆς τυραννοκτονίας ἀγάλλοιτο ἀρετῇ πρὸς τῶν πολιτῶν [ὡς] καὶ τοῦ παντὸς ἐπιβουλεύματος δόξειε κοινωνεῖν τῶν πρῶτον συνθεμένων. Ἐνίοις δὲ τῶν συνωμοτῶν καὶ ὠμὸν ἐδόκει τὸ ἐπὶ τῇ γυναικὶ θράσει χρησάμενον, διὰ τὸ Γάϊον φύσει τῇ αὐτοῦ χρώμενον ἢ συμβουλῇ τῇ ἐκείνης τὰ πάντα πρᾶξαι, ἐξ ὧν τε πόλις ἀπηγορεύκει τοῖς κατειληφόσι κακοῖς καὶ τῶν πολιτῶν ὅ τι καὶ ἄνθος ἦν ἀπώλετο· οἱ δὲ καὶ τὴν μὲν ἐπὶ τοιούτοις ἐνεκάλουν αὐτῇ γνώμην, τὸ δὲ πᾶν καὶ τῶν ὑπὸ Γαΐου πεπραγμένων κακῶν ἐκείνῃ τὴν αἰτίαν ἐπέφερον, φάρμακον τῷ Γαΐῳ δοῦσαν ἐννοιῶν δούλωσιν καὶ ἐρώτων ἐπαγωγὰς αὐτῷ ψηφιούμενον, ὡς εἰς μανίαν μεταστάντος, τὰ πάντα αὐτὴν εἶναι τὴν νεναυπηγημένην ἐπὶ ταῖς Ῥωμαίων τύχαις καὶ τῆς ὑποτελούσης αὐτοῖς οἰκουμένης. Καὶ πέρας κυρωθὲν ὥστε αὐτὴν τελευτᾶν (οὐδὲν γὰρ οἱ ἀποσπεύδοντες οἷοί τε ὠφελεῖν ἦσαν) ἐστέλλετο ὁ Λοῦπος· ἐῤῥαδύνετο δὲ οὐδὲν μελλήσει τῇ κατ' αὐτὸν, ὥστε μὴ οὐκ εἰς καιρὸν δεδιακονῆσθαι τοῖς ἀπεσταλκόσι, θέλων ἐπ' οὐδαμοῖς μεμπτὸς εἶναι τῶν ἐπ' ὠφελείᾳ τοῦ δήμου ποιουμένων. Παρελθὼν δὲ ἐπὶ τοῦ βασιλείου καταλαμβάνει τὴν Καισωνίαν (γυνὴ δὲ ἦν τοῦ Γαΐου) παρακατακειμένην τῷ σώματι τοῦ ἀνδρὸς χαμαιπετεῖ, καὶ πάντων ἐν ἀτυχίᾳ ὧν χαρίζοιτο ἂν ὁ νόμος τοῖς μεταστᾶσιν, αἵματί τε ἀναπεφυρμένην ἐκ τῶν τραυμάτων καὶ πολλῇ τῇ παλαιπωρίᾳ συμφερομένην, τῆς θυγατρὸς παρερριμμένης· ἠκούετό τε ἐν τοῖς τοιοῖσδε οὐδὲν ἕτερον ἢ κατάμεμψις τοῦ Γαΐου, ὡς πιθανὴν οὐ σχόντος πολλάκις προηγορευκυῖαν αὐτήν. Ἐπ' ἀμφότερα δὲ οὗτος ὁ λόγος καὶ τότε εἱκάζετο, καὶ νῦν ἐφ' ὁμοίοις πρόκειται τῇ

tum Chærea a consulibus tesseram petiit: atque illi Libertatem dederunt. Ista autem, dum fiebant, admirationi erant præsentibus, et vix fidem invenerunt. Nam, anno post centesimo, quam illis primo ablata fuerat imperii potestas, ad consules rediit tesseræ datio: quippe illi, priusquam regio dominatu teneretur civitas, rerum militarium potestatem habebant. At Chærea, ubi tesseram acceperat, militibus tradidit qui a senatu stabant. Erant autem numero ad quattuor cohortes, qui maluerunt esse sine Imperatore quam sub tyrannide. Atque illi quidem cum suis tribunis abierunt: pauloque post etiam populus lætus admodum discedebat, tum spei plenus, tum multum elatus, quod summam potestatem sibimet acquisivisset, nec amplius Imperatori subesset. Atque Chærea illis summa erat in gratia.

4. Chærea autem indigne ferens Caii uxorem superare et filiam, totamque ejus familiam non ad internecionem deletam esse, (utpote quod foret ut quisquis ex illo reliquus esset, is in perniciem civitatis legumque superesset,) ac præterea perficere festinans quod in animo agitaverat, suumque in Caium odium lætitia complere, mittit Julium Lupum, unum e tribunis, qui Caii uxorem filiamque perimeret. Lupo autem, Clementis quippe cognato, id genus officium demandarunt, ut tyranni cædis, licet in re hujusmodi, particeps factus virtutis laude decoraretur a civibus, haud secus ac si consiliis eorum omnibus interfuisset qui facinus excogitaverant. Quibusdam autem e conjuratis immanitatis esse videbatur in mulierem sævitiam exercere, quando Caius magis ex ingenio suo quam illius impulsu omnia commiserit, quæ in causa fuerant ut et civitas malis ipsam vexantibus succumberet, et civium quosque fortissimos amitteret: alii contra ejusmodi quæcunque decreta erant uxori vitio vertebant, et omnino omnium, quæ a Caio patrata erant, malorum ipsam insimulabant, ut quæ philtrum ei dederit, ut animum ejus sibi obnoxium reddederet, et ad amandum eum induceret sibique devinciret: adeo ut, illo ad insaniam adacto, ipsam omnia machinatam esse in fortunas Romanorum, orbisque totius illorum dominationi subjecti. Quumque in eam sententiam itum esset, ut morte plecteretur (nihil enim ipsi profuerunt qui dissuadebant,) mittebatur Lupus: nec ulla erat mora quantum in ipso, quo minus imperata faciendi tempus quamprimum arriperet, ne sua culpa fieret ut quidquam omitteretur quod salutis communis interesset. Quumque ingrederetur in palatium, Cæsoniam Caii conjugem offendit juxta mariti cadaver humi prostratum, et destitutum rebus omnibus quas moris est exhiberi mortuis, cruore vulnerum ipsamque fœdatam, et miserandum in modum afflictam, filia propter ipsam procumbente: nec in ejusmodi luctu et mœrore aliud quidpiam exaudiebatur quam Caii accusatio, quod ipsi, quæ toties eum præmonuerat, fidem non habuerit. Quæ verba et eo tempore in utramque partem accipiebantur, et

διανοίᾳ τῶν ἀκροατῶν, πρὸς ὅ τι θελήσειαν ῥοπὰς τὰς αὐτοῦ προστιθεμένων. Οἱ μὲν γὰρ ἀποσημαίνειν ἔφασαν τὸν λόγον ὡς συμβουλευομένης ἀποστάντα μανιῶν καὶ τοῦ εἰς τοὺς πολίτας ὠμοῦ μετρίως καὶ μετὰ ἀρετῆς ἐξηγεῖσθαι τῶν πραγμάτων, μὴ παρ' αὐτῶν ἀπολέσθαι τρόπῳ τῷ αὐτοῦ χρωμένων· οἱ δὲ ὡς λόγου τοῦ περὶ τῶν συνωμοτῶν ἐπιφοιτήσαντος Γαΐῳ κελεύσειε μηδὲν εἰς ἀναβολὰς, ἀλλ' ἐκ τοῦ ὀξέος πάντας μεταχειρισάμενον αὐτοὺς, κἂν εἰ μηδὲν ἀδικοῖεν, ἐν ἀδεεῖ κινδύνων καταστῆναι· καὶ τοῦτο εἶναι τὸ ἐπογειδιζόμενον, ὡς προηγορευκυίας διαπράζασθαι μαλακῷ γεγονότι. Καὶ τὰ μὲν λεχθέντα ὑπὸ τῆς Καισωνίας καὶ ὁποῖα οἱ ἄνθρωποι περὶ αὐτῆς ἐφρόνουν ταῦτα ἦν· ἡ δὲ, ἐπεὶ θεᾶται τὴν πρόσοδον τοῦ Λούπου, τό τε σῶμα τοῦ Γαΐου προὐδείκνυεν καὶ ἅσσον ἰέναι παρεκάλει μετ' ὀλοφυρμοῦ καὶ δακρύων. Ἐπεὶ δὲ τῇ διανοίᾳ μὴ συνεστηκότα ἑώρα τὸν Λοῦπον καὶ προσιόντα ὡς ἐπὶ πρᾶξιν οὐκ αὐτῷ κεχαρισμένην, γνωρίσασα ἐφ' ὃ ἐχώρει τήν τε σφαγὴν ἐγύμνου καὶ πάνυ προθύμως, ποτνιωμένη ὁποῖα εἰκὸς τοὺς οὕτω σαφῶς ἐν ἀπογνώσει τοῦ ζῆν γεγονότας, καὶ κελεύουσα μὴ μέλλειν ἐπὶ τελειώσει τοῦ δράματος οὗ ἐπ' αὐτῆς συνέθεσαν. Καὶ ἥδε μὲν εὐψύχως ταύτῃ τελευτᾷ ὑπὸ τοῦ Λούπου, καὶ ἐπ' αὐτῇ τὸ θυγάτριον. Καὶ Λοῦπος ταῦτα προσαγγέλλων ἔσπευδε τοῖς περὶ τὸν Χαιρέαν.

ε'· Γάϊος μὲν δὴ τέταρτον ἐνιαυτὸν ἡγεμονεύσας Ῥωμαίων λείποντα τεσσάρων μηνῶν οὕτω τελευτᾷ, ἀνὴρ καὶ πρότερον ἢ τῇ ἀρχῇ συνῆλθε σκαιός τε καὶ κακοπραγίας εἰς τὸ ἄκρον ἀφιγμένος, ἡδονῇ τε ἡσσώμενος καὶ φίλος διαβολῇ, καὶ τὰ μὲν φοβερὰ καταπεπληγμένος, καὶ διὰ τοῦτο ἐφ' οἷς θαρσήσειε φονικώτατος, τῆς δὲ ἐξουσίας ἐφ' ἑνὶ μόνῳ πιμπλάμενος τῷ ὑβρίζειν εἰς οὓς ἥκιστα ἐχρῆν ἀλόγως μεγαλοψυχίᾳ χρώμενος, καὶ ποριστὴς ἐκ τοῦ κτείνειν καὶ παρανομεῖν, καὶ τοῦ μὲν θείου καὶ νομίμου μείζων ἐσπουδακὼς εἶναί τε καὶ δοκεῖν, ἡσσώμενος δὲ ἐπαίνων τῆς πληθύος. Καὶ πάντα ὅσα αἰσχρὰ κρίνας ὁ νόμος ἐπιτιμᾷ τιμιώτερα ἐνόμισεν ἀρετῆς. Καὶ φιλίας ἦν ἀμνήμων, εἰ καὶ πλείστη τε καὶ διὰ μεγίστων γένοιτο, οἷς ποτὲ ὀργισθείη ἐπιπλήξει κολάσεως καὶ ἐπ' ἐλαχίστοις, πολέμιον δὲ ἡγούμενος πᾶν τὸ ἀρετῇ συνερχόμενον, ἀναντίλεκτον ἐπὶ πᾶσιν οἷς κελεύσειε τὴν ἐπιθυμίαν λαμβάνων· ὅθεν καὶ ἀδελφῇ γνησίᾳ συνῆν, ἐξ οὗ καὶ μάλιστα αὐτῷ φύεσθαι παρὰ τοῖς πολίταις ἤρξατο σφοδρότερον τὸ μῖσος, διὰ τὸ πολλοῦ χρόνου μὴ ἱστορημένον, εἰς τε ἀπιστίαν καὶ ἔχθραν τὴν πρὸς τὸν πράξαντα παρακαλεῖν. Ἔργον δὲ μέγα ἢ βασίλειον οὐδὲν αὐτῷ πεπραγμένον εἴποι ἄν τις ἢ ἐπ' ὠφελείᾳ τῶν συνόντων καὶ αὖθις ἀνθρώπων ἐσόμενον, πλήν γε τοῦ περὶ Ῥήγιον καὶ Σικελίαν ἐπινοηθέντος εἰς ὑποδοχὴν τῶν ἀπ' Αἰγύπτου σιτηγῶν πλοίων. Τοῦτο δὲ ὁμολογουμένως μέγιστόν τε καὶ ὠφελιμώτατον τοῖς πλέουσιν· οὐ μὴν ἐπὶ τέλος γε ἀφίκετο, ἀλλ' ἡμίεργον ὑπὸ τοῦ ἀμβλυτέρως αὐτῷ ἐπιπονεῖν κατελείφθη. Αἴτιον δ'

nunc etiam ambiguam præ se ferunt sententiam ea audientibus, qui in utram partem volunt, mentem ejus trahere possunt. Nam alii quidem ista hoc sibi velle perhibuerunt, ac si consuluisset ei ut ad saniorem mentem rediret, et in cives sævire desineret, ne interiret ab illis suo more acceptus : aliis vero persuasum est ipsam, quum rumor de conjuratis percrebresceret, Caium hortatam esse ut omnibus, etiamsi nihil inique egissent, nulla mora interposita et e vestigio interfectis, sese extra periculi metum poneret; idque tum exprobratum illi, quasi ad agendum segniori, postquam ab ipsa præmonitus fuisset. Atque ista quidem sunt quæ a Cæsonia dicta erant, quæque de ea sentiebant homines. Ipsa vero, quum primum Lupum advenientem conspicit, ostendebat ei Caii cadaver, et cum lacrimis et lamentis orabat ut propius accederet. Quum vero videret Lupum non facere quæ vellet et quasi ad aliquid agendum quod sibi displiceret accedere, facta ei cognitione qua de causa venisset, prompte admodum jugulum nudabat, deûm hominumque fidem implorans, quemadmodum ii consueverunt qui vitam in desperatis planeque perditis habent, jubensque ut perficere non moraretur quod in ipsam constituerint. Atque illa quidem forti et magno animo moritur hoc modo a Lupo occisa, ac deinde filiola. Moxque Lupus, ista ut nunciaret, ad Chæream properavit.

5. Caius igitur, quum quattuor annos demptis quatuor mensibus Romanis imperasset, ita moritur, vir, etiam antequam imperium adeptus est, durus et vecors et summe maleficus, voluptatibus deditus, et fautor delatorum, iis quidem quæ terribilia erant obstupescens, adeoque, ubi non timebat, in cædem paratissimus, potestatem vero habens in hoc duntaxat, ut stolide ferox et elatus eos quos minime oportet injuriose tractarit, et occidendo et contra leges agendo sibimet quærens divitias : et diis quidem et legibus superior esse et haberi voluit, populi tamen assentationibus obnoxius. Quibuscunque etiam lex, tanquam factu turpibus, notam inussit, ea omnia majoris æstimavit quam virtutem. Et amicorum quidem immemor erat, summi licet fuerint et in maximis rebus spectati, quibus irasceretur, pœnas vel ob levissima infligens, atque universos virtute præditos pro inimicis habebat, ac ad omnia quæ ipsius juberet voluntas, indomita et effrenata ferebatur cupiditate : quo factum ut etiam cum sorore germana stupri consuetudinem haberet, unde illi vel máxime apud cives vehementius conflari cœptum est odium, quod hoc longo tempore non conspectum, et ægre fidem impetrabat, eosque ad inimicitias cum flagitii auctore suscipiendas excitabat. Opus autem ullum magnum aut regium ab eo factum nemo memorare potest, quodve præsentis sæculi et futuri hominibus in emolumentum cedat, præter receptacula ab ipso excogitata circa Rhegium et Siciliam navibus frumentariis ex Ægypto venientibus : quod in confesso est apud omnes maximum esse opus et navigantibus utilissimum, haud tamen absolutum, sed imperfectum ab eo, dum segnius construitur, relictum. In causa autem erat rerum inutilium studium,

ἦν ἡ περὶ τὰ ἀχρεῖα σπουδὴ καὶ τὸ δαπανῶντα εἰς ἡδονὰς, αἳ κατὰ μόνας ἔμελλον ὠφελεῖν αὐτῷ, ὑφαιρεῖν τὴν ἐπὶ τοῖς κρείττοσιν ἀνωμολογημένοις φιλοτιμίαν. Ἄλλως δὲ ῥήτωρ τε ἄριστος καὶ γλώσσῃ τῇ Ἑλλάδι καὶ τῇ Ῥωμαίοις πατρίῳ σφόδρα ἠσκημένος, συνίει τε ἐκ τοῦ παραχρῆμα, καὶ τοῖς ὑφ' ἑτέρων συντεθεῖσί τε καὶ ἐκ πλείονος προσυγκειμένοις ἀντειπὼν ἐκ τοῦ ὀξέος φανῆναι πιθανώτερος ἐν μεγίστῳ πράγματι παρ' ὀντιναοῦν γενόμενος, εὐκολίᾳ τε εἰς αὐτὸ τῆς φύσεως καὶ τῷ εἰς ἰσχὺν αὐτῇ προσλαβεῖν μελέτην τοῦ ἐπιπονεῖν. Ἀδελφοῦ γὰρ παιδὸς υἱεῖ γεγονότι Τιβερίου, οὗ καὶ διάδοχος γίνεται, μέγα ἀνάγκασμα παιδείας ἀντέχεσθαι, διὰ τὸ καὶ αὐτὸς εἰς τὰ πρῶτα ἐν αὐτῇ κατορθῶν διαπρέπειν, καὶ συνεφιλοκάλει Γάϊος, συγγενοῦς τε ἀνδρὸς καὶ ἡγεμόνος εἴκων ἐπιστολαῖς. Ἐπρώτευσέ τε τῶν καθ' αὑτὸν πολιτῶν, οὐ μὴν ἀντισχεῖν οἷά τε ἐγένετο αὐτῷ τὰ ἐκ τῆς παιδείας συλλεγέντα ἀγαθὰ πρὸς τὸν ἐπελθόντα ὄλεθρον αὐτῷ ὑπὸ τῆς ἐξουσίας· οὕτως ἄρα δυσπόριστον ἡ ἀρετὴ τοῦ σωφρονεῖν οἷς ἀνυπεύθυνος τοῦ πράσσειν ῥᾳστώνη πάρεστι. Φίλοις μὲν κεχρῆσθαι καὶ τὰ πάντα ἀξιολόγοις ὑποσπουδασθεὶς τὸ κατ' ἀρχὰς, ὑπό τε παιδείας καὶ δόξης ζήλου τῶν κρεισσόνων, μέχρι δὴ τῷ περιόντι τοῦ ὑβρίζειν ἀπαμφιασθείσης εὐνοίας ᾗ πρὸς αὐτὸν ἐχρήσαντο, καὶ μίσους ὑποφυέντος, ὑπ' αὐτῶν ἐπιβουλευθεὶς τελευτᾷ.

ΚΕΦ. Γ'.

Κλαύδιος δὲ, καθάπερ ἀνώτερον ἔφην, ἀπορρήξεως αὐτῷ τῶν σὺν Γαΐῳ ὁδῶν γενομένης, καὶ τοῦ οἴκου θορυβηθέντος πάθει τῆς Καίσαρος τελευτῆς, ἐν ἀμηχάνοις ὢν περὶ τῆς σωτηρίας, ἔν τινι στενωπῷ κατειλημμένος ἔκρυπτεν αὑτὸν, οὐδεμίαν κινδύνων αἰτίαν πλὴν τῆς γενναιότητος ὑφορώμενος. Μέτριον γὰρ ἰδιώτης ὢν ἦγεν αὑτὸν καὶ τοῖς παροῦσιν ἀρχῶν ἦν, παιδείᾳ τε συνὼν, καὶ μάλιστα τῇ Ἑλληνίδι, καὶ παντὸς τοῦ εἰς θόρυβον ἀνακειμένου παντοίως ἀπαλλάσσων αὑτόν. Τότε δὲ πτοίας κατειληφυίας τὸν ὄχλον, καὶ τοῦ βασιλείου παντὸς στρατιωτικῆς μανίας ἀνάπλεω γεγονότος, καὶ δειλίας καὶ ἀταξίας ἰδιωτῶν οἷον ἀπειληφότων σωματοφυλάκων, οἱ περὶ τὸ στρατηγικὸν καλούμενον, ὅπερ ἐστὶ τῆς στρατιᾶς τὸ καθαρώτατον, ἐν βουλῇ περὶ τοῖς πρακτέοις ἦσαν. Ὁπόσοι δὲ καὶ παρετύγχανον, τὴν μὲν Γαΐου τιμωρίαν ἐν ὀλίγῳ τιθέμενοι διὰ τὸ κατὰ δίκην αὐτῷ τὰς τύχας συνελθεῖν, τὰ δὲ περὶ αὐτοὺς ἀνεσκοποῦντο μᾶλλον ὃν τρόπον σχήσοι καλῶς, καὶ τῶν Γερμανῶν ἐν τιμωρίαις τῶν σφαγέων ὄντων, ὠμότητος χάριτι τῆς ἑαυτῶν μᾶλλον ἢ τοῦ συμφέροντος τοῖς πᾶσιν. Ὑφ' ὧν ἁπάντων ὁ Κλαύδιος ἐθορυβεῖτο, δεδιὼς περὶ τῆς σωτηρίας, ἄλλως τε καὶ ἐπειδὴ τῶν περὶ τὸν Ἀσπρήναν ἐτεθέατο τὰς κεφαλὰς παραφερομένας. Εἰστήκει δὲ κατά τι προσβατὸν ὀλίγαις βαθμῖσι χωρίον, ὑπεσταλκὼς τῷ κατ' αὐτὸν σκότῳ. Καὶ Γρᾶτος τῶν περὶ τὸ βασίλειόν τις στρατιωτῶν θεασάμενος, καὶ τοῦ μὲν ἀκριβωσαμένου τὴν ὄψιν ἀμαθὴς ὢν διὰ

et quod, dum pecuniam in voluptates sibi soli profuturas insumeret, in rebus ex confesso melioribus liberalis et munificus esse desierit. At vero et orator erat optimus, utraque lingua tam Græca quam Latina valde exercitatus, et quicquid diceretur celeriter arripiebat, compositis ab aliis et diu diligenter præparatis ex tempore respondens, ita factus ut majori quam quisquam alius persuadendi vi pollere videretur, tam ex ingenii felicitate quam quod ad eam augendam multam exercitationem adhibuerit. Nam necesse erat illi doctrinæ, plurimum attendere, utpote filio nepotis ex fratre Tiberii, cui in imperium successit, quod et ipse, ad summam in ea gloria aspirans, excellebat, pariterque ac ille eloquentiæ studebat Caius, viri necessitudine secum conjuncti et Imperatoris voluntati morem gerens. Primasque inter suæ ætatis Romanos agebat; nec tamen bona ex doctrina collecta quidquam ei proficiebant valebantque contra perniciem, quam ex licentia sibimet accersivit: adeo difficile est iis sese moderari et regere, quibus ex potestate rationi reddendæ non obligata facile et expeditum est quidlibet agere. A principio, quod amicos sibi adjunxerit ex optimis honestissimisque, et eruditione et gloria præstantiores fuerit æmulatus, magno studio colebatur: postea vero deposita benevolentia quam erga ipsum habebant, quod insolentius in eos debaccharetur, odioque succrescente, insidiis interfectus est.

CAP. III. (II.)

Claudius autem quum de via, ut supra retuli, declinasset, qua incedebant qui cum Caio erant, et turbata esset domus ex calamitate quam passa erat morte Casaris, de salute sua anxius et sollicitus, in locum quendam angustum deveniens semet occultabat, nihil quod sibi periculo esset suspectum habens, præter natalium claritatem. Nam vitam privatam ageus modeste se gerebat, et præsentibus contentus erat, et studio literarum, Græcarum præcipue, deditus, et modis omnibus turbarum inquietudinem devitans. Tunc autem, quum vulgus consternatum esset animis, et tota regia militum furore compleretur, satellitesque ita se haberent ac si de pavore et confusione privatorum participassent, illi qui prætoriani appellantur, totius exercitus pars integerrima, in deliberatione de rebus agendis erant. Quotquot autem aderant, Caii ultionem parvi pendentes, quod non immerito illud ei accidisse crediderint, id potissimum agebant, quo modo rebus suis optime consulerent, præsertim quum Germani ab interfectoribus pœnas exigerent, suæ magis ut gratificarentur crudelitati, quam ut communi utilitati prospicerent. Quæ omnia augebant trepidationem Claudii de salute sua solliciti, maxime quum videret Asprenatis et cum eo cæsorum capita circumferri. Quodam autem in loco stabat, in quem ascensus erat paucis gradibus, in obscuritate circa eum obtinente delitescens. Quem ubi conspexerat Gratus, unus e militibus qui regiam custodiebant, non valens satis accurate faciem

τὸν σκότον, τοῦ δὲ ἄνθρωπον εἶναι τὸν ὑπολοχῶντα κριτὴς εἶναι μὴ ἀπηλλαγμένος, προσῄει τε ἐγγύτερον καὶ ὑποχωρεῖν ἠξιωκότος ἐπέκειτο, καὶ καταλαβὼν ἐπιγνωρίζει, καὶ Γερμανικὸς μὲν οὗτος, φησὶ πρὸς τοὺς ἑπομένους, καὶ « στησώμεθα τοῦτον ἡγεμόνα φερόμενοι. » Κλαύδιος δὲ ἐφ' ἁρπαγῇ παρεσκευασμένους ὁρῶν, καὶ δείσας μὴ κατὰ φόνον ἀποθάνοι τὸν Γαΐου, φειδὼ σχεῖν ἠξίου, τοῦ καθ' αὑτὸν ἀνεπαχθοῦς ἀνάμνησιν αὐτοῖς ὑποτιθεὶς καὶ τοῦ ἀπρομηθοῦς τῶν γεγονότων. Καὶ ὁ Γρᾶτος μειδιάσας ἐπισπᾶται τῆς δεξιᾶς καὶ « παῦσαι, φησὶ, μικρολογούμενος περὶ τῆς σωτηρίας, « δέον σε μεγαλοφρονεῖσθαι περὶ τῆς ἡγεμονίας, ἣν οἱ « θεοὶ Γαΐου ἀφῃρημένοι τῇ σῇ συνεχώρησαν ἀρετῇ, « πρόνοιαν τῆς οἰκουμένης λαβόντες. Ἀλλ' ἴθι καὶ « τῶν προγόνων ἀπολάμβανε τὸν θρόνον. » Ἀνεβάσταζε δὲ αὐτὸν οὐ πάνυ βαίνειν τοῖς ποσὶ δυνάμενον ὑπό τε φόβου καὶ χάρματος τῶν εἰρημένων.

β'. Συνεστρέφοντο δὲ περὶ τὸν Γρᾶτον ἤδη καὶ πλείους τῶν σωματοφυλάκων, καὶ θεωροῦντες τὸν Κλαύδιον ἀγόμενον ἐσκυθρώπαζον, δόξῃ τοῦ ἐπὶ κόλασιν ἕλκεσθαι τῶν ἐπὶ τοιοῖσδε ζημιῶν, ὡς ἄνδρα ἀπράγμονα διὰ βίου τοῦ παντὸς, καὶ κινδύνοις οὔ τι μετρίως ἐπὶ τῆς Γαΐου ἀρχῆς ὠμιληκότα· τινὲς δὲ καὶ τοῖς ὑπάτοις ἐπιτρέπειν κρίσιν ἠξίουν τὴν περὶ αὐτῶν. Καὶ πλειόνων τοῦ στρατιωτικοῦ συστρεφομένων, φυγαί τε ἦσαν τοῦ ὁμίλου καὶ προόδων ἀπορία τῷ Κλαυδίῳ δι' ἀσθένειαν τοῦ σώματος, ἐπεὶ καὶ οἱ τὸ φορεῖον αὐτοῦ φέροντες περὶ τὴν ἁρπαγὴν αὐτοῦ πύστεως παραγενομένης φυγῇ ἔσωζον αὑτοὺς, ἀπ' ἐλπίδος θέμενοι τὴν σωτηρίαν τοῦ δεσπότου. Ἐν εὐρυχωρίᾳ δὲ τοῦ παλατίου γενομένοις (πρῶτον δὲ οἰκηθῆναι τῆς Ῥωμαίων πόλεως τοῦτο παραδίδωσιν ὁ περὶ αὐτῆς λόγος) καὶ ἤδη τοῦ δημοσίου ἀντιλαμβανομένοις, πολὺ πλείων ἡ ἐπιφοίτησις ἦν τῶν στρατιωτῶν, χαρᾷ τὴν ὄψιν δεχομένων τοῦ Κλαυδίου, περὶ πλείστου τε ἦν αὐτοῖς αὐτοκράτορα στήσεσθαι τὸν ἄνθρωπον, εὐνοίᾳ τῇ τοῦ Γερμανικοῦ. Ἀδελφὸς δὲ ἦν αὐτοῦ, ἐπὶ μέγα πᾶσι τοῖς ὠμιληκόσι καταλελοιπότος κλέος τὸ αὐτοῦ. Ἀναλογισμός τε αὐτοὺς εἰσῄει τῆς τε πλεονεξίας τῶν ἐν τῇ συγκλήτῳ δυναστευόντων καὶ ὁπόσα ἐπὶ τῆς πρὶν ἀρχῆς ἡμάρτητο αὐτῇ. Πρὸς δὲ καὶ τὸ ἀμήχανον τοῦ πράγματος κατενόουν, καὶ πάλιν εἰς ἑνὸς ἀρχὴν μεθισταμένων τῶν ὅλων κινδύνους αὐτοῖς φέρειν διά τινος κτησαμένου τὴν ἀρχὴν, παρὰ τὸν ἐπιχωρήσει καὶ εὐνοίᾳ τῇ αὐτῶν λαβόντα Κλαύδιον, μνημονεύσει τε χάριτος αὐτοῖς ἀποδιδόντα τιμὴν, ἣ ἐπὶ τοιούτοις γένοιτο ἂν ἀρκοῦσα.

γ'. Ταῦτα πρός τε ἀλλήλους καὶ δι' ἑαυτοὺς διεξῆσαν καὶ τοῖς ἀεὶ προσπίπτουσι διηγοῦντο. Οἱ δὲ πυνθανόμενοι προθύμως ἐδέχοντο τὴν πρόκλησιν, συμφράξαντές τε καὶ περικλείσαντες ἦγον ἐπὶ τοῦ στρατοπέδου φοράδην ἀναβαστάσαντες, ὡς μὴ ἐμποδίζοιτο αὐτοῖς ἡ ἔπειξις. Διεστήκεσαν δὲ αἱ γνῶμαι τοῦ τε δήμου καὶ τῶν ἐκ τῆς βουλῆς· οἱ μὲν ἀξιώματός τε τοῦ

ejus noscere præ tenebris, hominem tamen esse existimans qui insidias locaret, propius accessit, ac quum illum rogaret Claudius ut recederet, instare cœpit, atque apprehensum eum agnovit, et sequentibus dixit, « hic quidem Germanicus est, agite, eum constituamus Imperatorem. » Tum Claudius, ubi eos animadvertit ad ipsum extrahendum paratos, veritusque ne similiter ac Caius morte plecteretur, obsecrabat ut sibi parceretur, illis in memoriam revocans, ut vitam aliis quam minime molestus egisset, ipsoque imprudente accidisset quod factum erat. Ad quæ Gratus subridens dextra prehensum sic alloquitur, « humiliter adeo « loqui desine, quum te magno elatoque animo cogitare « oporteat de imperio, quod dii Caio ablatum tuæ concesserunt virtuti, orbis terrarum commoda respicientes. Age « vero, et proavorum solium tibimet vindica. » Sustinebat autem eum, præ metu simul ac gaudio, ex iis quæ dicta erant, pedibus insistere non valentem.

2. Tunc autem ad Gratum jam coacti erant multi e satellitibus, et Claudium abductum videntes, tristem præ se ferebant vultum, existimantes eum rapi ad supplicium ob nuperas damni injurias, quum a negotiis turbisque per totam vitam abhorruerit, et Caio imperante in magnis versatus fuerit periculis : quidam etiam censebant consules decere judicium de illis ferre. Quumque plures ad eos aggregati essent milites, et multitudo fuga dilapsa est, et Claudio progrediendi difficultas erat propter virium imbecillitatem : nam lecticarii ejus, dum ipse palam rapitur, fuga se periculo eripuerant, de salute domini desperantes. Quum autem pervenissent in aream palatii (quem quidem urbis Romanæ locum primum habitatum esse tradunt qui de ejus originibus scripserunt) et jam attentarent curam reipublicæ, multo major fit militum concursus, Claudium oculis suis intueri gestientium, magnoque tenebantur desiderio illum constituendi Imperatorem, ex sua erga Germanicum benevolentia. Nam frater erat illius, qui sui gloriam ad summum auctam iis omnibus reliquerat quibuscum versatus fuerat. Illis etiam in mentem veniebat quanta essent aviditate qui in senatu dominabantur, quæque admiserint et perpetraverint dum imperio potirentur. Insuper, dum ad rei difficultatem attendebant, secum cogitabant, ipsis, si rerum summa iterum in unius potestatem deveniret, periculum esse ab alio quocunque imperium occupaturo, præter Claudium, qui, quum ipsorum concessu et benevolentia principatum acceperit, recordatione beneficii etiam honorem hujusmodi meritis parem illis retributurus sit.

3. Ita et inter se et soli secum disserebant, eademque ad obvios quosque proferebant. Qui, quum ista audirent, libenter in eorum sententiam concesserunt, et armatis cinctum sublimem in castra perferebant, ne quid eis festinantibus impedimento esset. Interea autem orta est dissensio inter populum senatumque, dum illi pristinam appetunt

πρότερον ὀρεγόμενοι, καὶ δουλείαν ἐπακτὴν αὐτοῖς ὕβρει τῶν τυράννων γενομένην φιλοτιμούμενοι διαδιδράσκειν, χρόνῳ παρασχόν· ὁ δὲ δῆμος φθόνῳ τε πρὸς ἐκείνην καθιστάμενος καὶ τῶν πλεονεξιῶν αὐτῆς ἐπιστόμισμα τοὺς αὐτοκράτορας εἰδὼς, καὶ αὐτοῦ καταφυγὴν, ἔχαιρε τῇ Κλαυδίου ἁρπαγῇ, στάσιν τε ἔμφυλον, ὁποία καὶ ἐπὶ Πομπηίου γένοιτο, ἀπαλλάξειν αὐτῶν ὑπελάμβανον τοῦτον αὐτοκράτορα καθιστάμενον. Γνοῦσα δὲ ἡ βουλὴ τὸν Κλαύδιον ὑπὸ τῶν στρατιωτῶν ἁφιγμένον εἰς τὸ στρατόπεδον, πέμπει πρὸς ἐκεῖνον ἄνδρας ἀρετῇ τοὺς ἐξ αὐτῶν προὔχοντας, οἳ διδάξειαν μηδὲν ἐπὶ καθέξει τῆς ἀρχῆς βιάζεσθαι, παραχωρεῖν δὲ τῇ συγκλήτῳ, τοσῶνδε ἀνδρῶν ἕνα ὄντα, ἢ ἐσόμενον, καὶ τῷ νόμῳ παραχωροῦντα τοῦ ἐπὶ τοῖς κοινοῖς κόσμου τὴν πρόνοιαν, μνημονεύοντα ὧν τε οἱ πρότεροι τύραννοι κακώσειαν τὴν πόλιν καὶ ὧν ὑπὸ Γαΐου καὶ αὐτὸς κινδυνεύσειε σὺν αὐτοῖς, μηδὲ μισήσαντα τὴν βαρύτητα τῆς τυραννίδος, ὑφ' ἑτέρων πρασσομένης τῆς ὕβρεως, αὐτὸν ἐθελουσίως ἐπὶ παροινίᾳ θαρσεῖν τῆς πατρίδος. Καὶ πειθομένῳ μὲν καὶ τοῦ πρότερον ἀπράγμονος τὴν ἀρετὴν ἐπιδεικνυμένῳ βέβαιον τιμάς τε ὑπάρξειν αἳ ὑπὸ ἐλευθέρων ψηφισθεῖεν τῶν πολιτῶν, καὶ ἐπιχωρήσει τοῦ νόμου τὸ μέρος ἄρχοντά τε καὶ ἀρχόμενον κερδαίνειν ἔπαινον ἀρετῆς· εἰ δὲ ἀπονοοῖτο, μηδὲν ἐκ τῆς Γαΐου τελευτῆς σωφρονιζόμενος, οὔ τι γε αὐτοὺς ἐπιτρέψειν· τῆς τε γὰρ στρατιᾶς πολὺ εἶναι τὸ συνεστηκὸς αὐτοῖς, ὅπλων τε εὐπορίαν καὶ πληθὺν οἰκετῶν οἷς χρήσαιντο αὐτοί. Μέγα δὲ μέρος τήνδε ἐλπίδα εἶναι, καὶ τὴν τύχην τούς τε θεοὺς οὐκ ἄλλοις συμμαχεῖν, ἀλλὰ τοῖς μετὰ ἀρετῆς καὶ τοῦ καλοῦ τοὺς ἀγῶνας ποιουμένοις· εἶναι δὲ τοιούτους οἳ ἂν περὶ ἐλευθερίας μάχωνται τῆς πατρίδος.

ε'. Καὶ οἱ μὲν πρεσβευταὶ, Οὐηράνιος καὶ Βρόκχος (δήμαρχοι δὲ ἦσαν ἀμφότεροι) τοῖσδε ἐχρῶντο τοῖς λόγοις, καὶ καθικέτευον τοῖς γόνασιν αὐτοῦ προσπεσόντες μηδαμῶς πολέμοις καὶ κακοῖς ἐμβαλεῖν τὴν πόλιν. Θεωροῦντες δὲ στρατιᾶς πληθύϊ τὸν Κλαύδιον πεφραγμένον καὶ τὸ μηδὲν τοὺς ὑπάτους ὄντας συγκρίσει τῇ πρὸς αὐτὸν, ἐπῆγον, εἰ δὲ ἀρχῆς ὀρέγοιτο, παρὰ τῆς βουλῆς δέχεσθαι διδομένην· αἰσιώτερον γὰρ καὶ εὐδαιμονέστερον χρῆσθαι τὸν μὴ μετὰ ὕβρεως, ἀλλ' εὐνοίᾳ τῶν διδόντων παραλαμβάνοντα.

ΚΕΦ. Δ'.

Κλαύδιος δὲ (ἠπίστατο γὰρ μεθ' οἵας αὐθαδείας ἀποσταλεῖεν) καὶ πρὸς τὸ παρὸν γνώμῃ τῇ αὐτῶν ἐπὶ τὸ μετριώτερον ἐτέτραπτο, οὐ μὴν ἀλλὰ καὶ τῷ περὶ αὐτοῦ φόβῳ διαναστὰς, ἅμα μὲν θάρσει τῶν στρατιωτῶν, ἅμα δὲ Ἀγρίππα τοῦ βασιλέως, κελεύοντος μὴ προΐεσθαι τῶν χειρῶν τηλικαύτην ἀρχὴν ἥκουσαν αὐτομάτων· ὃς πράξας μὲν καὶ περὶ Γάϊον οἷον εἰκὸς ἄνδρα ὑπ' αὐτοῦ διὰ τιμῆς ἠγμένον, (καὶ γὰρ τὸν νεκρὸν περιέπλεξε τοῦ Γαΐου, καὶ ἀναθέμενος ἐπὶ κλίνης, καὶ περιστείλας ἐκ τῶν ἐνδεχομένων, εἰς τοὺς σωματοφύλα-

dignitatem, et inductam a tyrannorum insolentia servitutem effugere cupiunt, quum per tempus liceret; contraque populus, hanc felicitatem eis invidens, et frenum eorum cupiditatibus imperatoriam potestatem esse intelligens, sibique perfugium, Claudii raptu gaudebat, quod existimaret ab ipso facto Imperatore sublatum *iri dissensionem civilem*, *illi non dissimilem futuram quæ sub Pompejo exarsit*. Senatus porro, cognito quod milites Claudium in castra transportaverint, sui ordinis viros dignitate præstantes ad eum mittunt, qui monerent, ne ad imperium adipiscendum vim ullam adhiberet, sed senatui cederet, e tot viris unus, futurusve ex illis, legibusque concedens providere quod ad reipublicæ ordinem magni intersit, et in memoriam revocans mala quæ civitati intulerint priores tyranni, quæque sub Caio etiam ipse cum ipsis pericula pertulerit; neque, quum oderit tyrannidis sævitiam, *quam alii insolenter exercebant*, ipse sponte sua auderet in patriam debacchari. Quapropter si morem gerat, ostendatque se prioris vitæ quieti cum virtute conjunctæ firmiter adhærere, fore ut maximis cumuletur honoribus a liberis civibus, et optimi viri existimationem sibi pariat, qui non gravetur sub legibus per vices nunc præesse, aliis nunc subjici. Quodsi ab illis desciscere voluerit, meliora non edoctus ex Caii interitu, per ipsos hoc non iri permissum : nam nec exiguam militum manum ab illis stare, et armorum superesse copiam, servitiorumque multitudinem, quorum opera in promptu sit. Sed hoc præcipue spem illis facere, et fortunam et deos non alios esse adjuturos quam qui pro recto et honesto contendant certentque : tales autem istos esse qui pro patriæ libertate pugnent.

4. Et legati *quidem*, Veranius et Brocchus, tribuni plebis, hujusmodi verba habuerunt, procumbentesque ad ejus genua suppliciter orabant, ne in bellum et calamitates urbem conjiceret. Sed quum viderent eum septum magna frequentia militum, cùm ejusque copiis consulares minime conferendas esse, adjecerunt, si concupisceret imperium, ut a senatu datum accipiat : melioribus enim auspiciis et majori cum felicitate eo usurum esse cui contigerit ut dantium benevolentiæ acceptum referat.

CAP. IV. (III.)

Claudius autem, ut qui non *nesciverit qua* arrogantia missi erant legati, ex *illorum etiam consilio* ad moderatiora conversus est in præsens; *non tamen* ita quin se ex metu recolligeret, *partim quidem* audacia militum *animatus*, *partim* vero Agrippæ regis, hortantis ne tantum imperium ultro oblatum e manibus dimitteret, qui, omnibus quidem Caio præstitis, prout deceret hominem ab ipso honoratum, (nam et Caium mortuum complexus est, et collocatum in lectulo operuit quoad ejus fieri potuit, dein ad satellites se

κας ὑπεχώρει, ζῆν μὲν τὸν Γάϊον ἀπαγγέλλων, κακοπαθοῦντι δὲ ἀπὸ τραυμάτων ἰατροὺς μετέσεσθαι λέγων,) πυθόμενος δὲ τοῦ Κλαυδίου τὴν ὑπὸ τῶν στρατιωτῶν ἁρπαγὴν ὠθεῖτο πρὸς αὐτὸν, καὶ καταλαβὼν τεταραγμένον, καὶ οἷόν τε ἐχχωρεῖν τῇ συγκλήτῳ, ἀνήγειρεν ἀντιλαμβάνεσθαι κελεύων τῆς ἡγεμονίας. Ταῦτα δὲ πρὸς τὸν Κλαύδιον εἰπὼν προσεχώρει πρὸς αὐτὸν, καὶ μεταkαλούσης αὐτὸν τῆς βουλῆς, χρισάμενος μύροις τὴν κεφαλὴν, ὡς ἀπὸ συνουσίας γινομένης ἀναλύσεως αὐτῷ, παρῆν, καὶ ἤρετο τοὺς βουλευτὰς τί πέπραχε Κλαύδιος. Τῶν δὲ τά τε ὄντα φαμένων καὶ προσανερομένων ἥντινα γνώμην ἔχοι περὶ τοῖς ὅλοις, τελευτᾶν μὲν ὑπὲρ τοῦ κατ' ἐκείνην εὐκλεοῦς ἕτοιμος ἦν τοῖς λόγοις, σκοπεῖν δὲ ἐκέλευε περὶ τῷ συμφέροντι πᾶν ὅ τι καὶ εἰς ἡδονὴν φέροι ὑπεξελομένους. Χρείαν γὰρ εἶναι τῆς ἀρχῆς μεταποιουμένοις καὶ ὅπλων καὶ στρατιωτῶν, οἳ φράξαιντο αὐτοὺς, μὴ καὶ ἀπαράσκευοι καταστάντες εἰς τάδε σφαλεῖεν. Ἀποκριναμένης δὲ τῆς βουλῆς, ὅπλων τε εὐπορίαν καὶ χρήματα εἰσοίσειν, καὶ στρατιᾶς τὸ μέν τι αὐτοῖς εἶναι συνεστηκὸς, τὸ δὲ συγκροτήσειν ἐλευθερώσεως δούλων γενομένης, « εἴη μὲν, ὦ βουλὴ, φησὶν ὁ Ἀγρίππας ὑποτυχὼν, πράσσειν ὁπόσα θυμὸς « ὑμῖν· λεκτέον δὲ οὐδὲν ἐνδοιάσαντί μοι, διὰ τὸ ἐπὶ « σωτηρίᾳ φέρειν τὸν λόγον. Ἴστε δὴ στρατὸν, ὃς ὑπὲρ « Κλαυδίου μαχεῖται, πλήθει χρόνου ὁπλιτεύειν μεμε« λετηκότα· τὰ δὲ ἡμέτερα συγκλύδων ἀνθρώπων « πλῆθος ἔσται, καὶ τῶν παρὰ δόξαν τῆς δουλείας ἀπηλ« λαγμένων, δυσκράτητον· πρὸς δὲ τεχνίτας μαχούμε« θα προαγαγόντες ἄνδρας μηδὲ ὅπως σπῶσι τὰ ξίφη εἰ« δότας. Ὥστε μοι δοκεῖ πέμπειν ὡς Κλαύδιον πεί« σοντας κατατίθεσθαι τὴν ἀρχὴν, πρεσβεύειν τε ἕτοιμός « εἰμι. »

β'. Καὶ ὁ μὲν ταῦτα εἶπεν, καὶ συγκαταθεμένων πεμφθεὶς σὺν ἑτέροις τήν τε ταραχὴν τῆς βουλῆς διηγεῖται κατὰ μόνας πρὸς τὸν Κλαύδιον, ἐδίδαξέ τε ἡγεμονικώτερον ἀποκρίνεσθαι, τῷ ἀξιώματι τῆς ἐξουσίας χρώμενον. Ἔλεγεν οὖν Κλαύδιος οὐ θαυμάζειν τὴν βουλὴν ἡδονῇ μὴ φέρουσαν ἄρχεσθαι, διὰ τὸ ὠμότητι τετρῦσθαι τῶν πρότερον ἐπὶ τὸ ἡγεμονεύειν καταστάντων· γεύσειν δὲ αὐτοὺς ἐπιεικείᾳ τῇ καθ' αὑτὸν μετρίων καιρῶν, ὀνόματι μὲν μόνῳ τῆς ἀρχῆς ἐσομένης αὐτῷ, ἔργῳ δὲ κοινῆς πᾶσι προκειμένης εἰς μέσον. Διὰ πολλῶν δὲ καὶ ποικίλων ὠδευκότι πραγμάτων ἐν ὄψει τῇ ἐκείνων, καλῶς ἔχειν μὴ ἀπιστεῖν. Καὶ οἱ μὲν πρέσβεις τοιούτων ἀκροάσει λόγων καθομιληθέντες ἐξεπέμποντο· Κλαύδιος δὲ τῷ στρατῷ συλλεχθέντι διελέγετο ὅρκους λαμβάνων ἢ μὴν ἐμμενεῖν πίστει τῇ πρὸς αὐτὸν, καὶ δωρεῖται τοὺς σωματοφύλακας πεντακισχιλίαις δραχμαῖς κατὰ ἕκαστον ἄνδρα, τοῖς τε ἡγεμόσιν αὐτῶν ἀνάλογον τοῦ ἀριθμοῦ, καὶ τοῖς ὅποι ποτὲ στρατοπέδοις ὑπισχνεῖται τὰ ὅμοια.

γ'. Συνεκάλουν δὲ οἱ ὕπατοι τὴν βουλὴν εἰς τὸ ἱερὸν τοῦ νικηφόρου Διὸς, ἔτι δὲ νυξ ἦν. Τῶν δὲ οἱ μὲν ἐν τῇ πόλει κλέπτοντες ἑαυτοὺς ἐνεδοίαζον πρὸς τὴν

recepit, nuncians Caium vivere quidem, vulneribus vero cruciato medicos affuturos dicens,) quum audiret raptum esse a militibus Claudium, properabat ad eum; quem quum turbatum offendisset et in eo fere ut senatui cederet, confirmabat eum, et hortabatur ut imperium capesseret. Ubi autem ista Claudio dixerat, eodem unde digressus erat, revertebatur; et accitus a senatu, delibuto capillo, quasi post compotationem finitam, aderat, et ex senatoribus quæsivit quid de Claudio factum sit. Quibus id quod erat dicentibus, ac præterea illius sententiam de summa rerum rogantibus, se quidem aiebat pro senatus dignitate mori non recusare, dispicere tamen suadebat quid e re ipsorum esset, procul habentes favorem et gratiam. Imperium enim sibimet vindicantibus opus esse armis atque militibus qui eos tueantur, ne ab hac parte imparati labantur. Senatu autem respondente sibi armorum abunde esse, pecuniamque collaturos, et exercitum non solum jamjam conflatum habere, sed et novum se delectum habituros manumittendo servos, Agrippa subjiciens, « utinam, inquit, o senatus, res vobis « succedat ex animi sententia. Verum non dubitanter mihi « dicendum, quoniam in salutem vestram futura est oratio. « Scitote igitur, milites qui a Claudio stabunt veteranos « esse, et in re militari longo tempore exercitatos; nostros « autem, utpote ex convenis et servitiorum turba, quibus « inexspectato data est libertas, intractabiles fore; et contra « belli scientes peritosque in aciem educemus rudes et qui « ne stringere quidem gladium sciunt. Quapropter mihi « placet mitti ad Claudium qui ei suadeant ut imperium « deponat, et ad legationem obeundam ipse paratus sum. »

2. Atque ille quidem ita loquutus est; eisque assentientibus, cum aliis missus et Claudio seorsum trepidationem senatus indicat, auctorque erat ut more imperatorio responderet, et ex dignitate sua et potestatis amplitudine. Dicebat itaque Claudius se minime mirari senatum ægre ferre principis dominatum, quod attritus fuerit priorum crudelitate, qui ad imperii majestatem evecti fuerint: nunc vero meliorum temporum moderationem degustaturos esse, ipso ad reipublicæ gubernacula sedente, quum nomine tantum penes ipsum foret imperium, re autem vera omnibus secum commune. Illis itaque convenire ipsi non diffidere, qui eorum in conspectu multa et varia obierit negotia. Et legati quidem, ubi verba ista auditione acceperant, dimissi sunt. At Claudius exercitum ad se congregatum alloquebatur, militiæ sacramento illos ad fidem sibi servandam obligans: donatque viritim corporis custodes quinis drachmarum millibus, et duces illorum simili ad proportionem numero, parique ratione aliis exercitibus, ubicunque essent, daturum se promittit.

3. Consules autem senatum convocabant in Jovis Statoris ædem, quum adhuc nox esset. Quorum alii quidem in urbe sese occultabant, animo vacillantes ubi hoc audive-

ἀκρόασιν, τοῖς δὲ ἐπὶ τῶν ἰδίων ἀγρῶν ἐγεγόνεισαν ἔξοδοι, προορωμένοις ἦ χωρήσει τὸ πᾶν ἐν ἀπογνώσει τοῦ ἐλευθέρου γεγονότες, καὶ πολὺ κρεῖττον ἐν ἀκινδύνῳ τοῦ δουλεύειν ὑπειληφότες διαβιοῦν ἀργίᾳ τοῦ πονεῖν ἢ κτώμενοι τὸ ἀξίωμα τῶν πατέρων περὶ τῆς σωτηρίας ἀμφίβολοι καταστῆναι. Συνελέγησαν δὲ ὅμως ἑκατὸν οὐ πλείους, καὶ διαβουλευομένων περὶ τῶν ἐν χερσὶν αἰφνίδιον αἴρεται βοὴ τοῦ συνεστηκότος αὐτοῖς στρατιωτικοῦ, στρατηγὸν αὐτοκράτορα κελευόντων τὴν βουλὴν ἐλέσθαι, καὶ μὴ φθείρειν πολυαρχίᾳ τὴν ἡγεμονίαν· καὶ τὸ μὲν καθ' ἑαυτοὺς ἀπεφαίνοντο περὶ τοῦ μὴ πᾶσιν, ἀλλ' ἑνὶ τὴν ἀρχὴν ἐφέσιμον εἶναι· ὁρᾶν δὲ ἐκείνοις ἐπιτρέπειν, ὅστις τοσαύτης προστασίας ἄξιος. Ὥστε ἐναντία τὰ τῶν συγκλητικῶν ἦν πολὺ πλέον, δι' ἁμαρτίαν μὲν τοῦ κατὰ τὴν ἐλευθερίαν αὐχήματος, φόβῳ δὲ τοῦ Κλαυδίου. Οὐ μὴν ἀλλ' ἦσαν οἱ ἐφιέμενοι γένους τε ἀξιώματι καὶ οἰκειότητι γάμου. Καὶ γὰρ Μινουκιανὸν Μάρκον, καὶ τὸ καθ' αὑτὸν γενναιότητι ἀξιόλογον ὄντα καὶ ἀδελφὴν Γαΐου γεγαμηκότα Ἰουλίαν, πρόθυμον ὄντα ἀντιποιεῖσθαι τῶν πραγμάτων, κατεῖχον οἱ ὕπατοι πρόφασιν ἐκ προφάσεως ἀναρτῶντες. Οὐαλήριόν τε Ἀσιατικὸν Μινουκιανὸς ἐκ τῶν Γαΐου σφαγέων ἀνεῖχε τοιούτων διανοιῶν. Ἐγεγόνει δ' ἂν φόνος οὗ τινος ἐλάσσων, ἐπιχωρηθέντων τῶν ἐπιθυμούντων τῆς ἡγεμονίας ὥστε ἀντιτάξασθαι Κλαυδίῳ. Ἄλλως τε καὶ οἱ μονομάχοι (πλῆθος δὲ ἦν αὐτῶν ἀξιόλογον) καὶ τῶν στρατιωτῶν οἱ νυκτοφυλακοῦντες ἐπὶ τῆς πόλεως, ἐρέται τε ὁπόσοι συνέρρεον εἰς τὸ στρατόπεδον· ὥστε τῶν μετιόντων τὴν ἀρχὴν οἱ μὲν φειδοὶ τῆς πόλεως, οἱ δὲ καὶ φόβῳ τῷ ὑπὲρ αὐτῶν ἀπέστησαν.

δ'. Ὑπὸ δὲ τὴν πρώτην ἀρχὴν ἡμέρας καὶ Χαιρέας καὶ οἱ σὺν αὐτῷ παρελθόντες ἐν ἐπιχειρήσει λόγων ἦσαν πρὸς τοὺς στρατιώτας. Τῶν δὲ τὸ πλῆθος ὡς ὁρᾷ παύσαντας αὐτοὺς ταῖς χερσὶ καὶ τοῦ εἰπεῖν οἵους τε ἄρχεσθαι, ἀνεθορύβησε μὴ ἐφιέναι ὥστε εἰπεῖν διὰ τὸ ὡρμῆσθαι πάντας ἐπὶ τὸ μοναρχεῖσθαι· τὸν δὲ ἡγησόμενον ἐκάλουν, ὡς οὐκ ἀνεξόμενοι τὰς τριβάς. Τῇ συγκλήτῳ δὲ ἀπορία ἄρχειν τε καὶ ὃν ἀρχθεῖεν ἂν τὸν τρόπον, οὔτε δεχομένων αὐτοὺς τῶν στρατιωτῶν καὶ τῶν Γαΐου σφαγέων συγχωρεῖν τοῖς στρατιώταις οὐκ ἐφιέντων. Ἐν τοιούτοις δὲ ὄντων, Χαιρέας τὴν ὀργὴν οὐκ ἀνασχόμενος πρὸς τὴν αἴτησιν τοῦ αὐτοκράτορος, δώσειν ἐπηγγέλλετο στρατηγὸν, εἴ τις αὐτῷ σημεῖον παρὰ Εὐτύχου κομίσειεν. Ἦν δὲ ὁ Εὔτυχος οὗτος ἡνίοχος τοῦ καλουμένου Πρασίνου, περισπουδάστος Γαΐῳ, καὶ περὶ τὰς οἰκοδομὰς τῶν στάσεων τοῦ περὶ ἐκεῖνον ἱππικοῦ τὸ στρατιωτικὸν ἐτρίβετο, ἀτίμοις ἐργασίαις ἐπικείμενον. Εἰς ἅπερ ὁ Χαιρέας ὠνείδιζεν αὐτοὺς, καὶ ἕτερα πολλὰ τοιαῦτα, τήν τε κεφαλὴν κομιτεῖν τοῦ Κλαυδίου· δεινὸν γὰρ εἰ μετὰ μανίαν παραφροσύνῃ δώσουσι τὴν ἡγεμονίαν. Οὐ μὴν διετράπησάν γε ὑπὸ τῶν λόγων, ἀλλὰ σπασάμενοί τε τὰς μαχαίρας καὶ τὰ σημεῖα ἀράμενοι ᾤχοντο ὡς τὸν Κλαύδιον, κοινωνήσοντες τοῖς ὀμνύουσιν αὐτῷ. Κατελείπετο δὲ ἥ τε σύγκλη-

runt; alii vero in prædia sua rustica concesserunt, providentes quonam res evasura esset, quum de libertate desperarint, longe satius esse existimantes in servitute ab omni periculo vacua vitam agere inertem et otiosam, quam cum patria dignitate in ambiguo hærere de salute. Veruntamen centum convenerunt, non plures: quumque de iis, quæ in manibus erant, deliberarent, derepente sublatus est clamor militum qui ab illis stabant, postulantium ut senatus imperatorem rei militaris peritum eligeret, et multorum dominatu non perditum iret principatum, et quam maxime potuerunt palam faciebant, non universis, sed uni imperium deferendum esse; ipsis autem permittere ut dispicerent quis tanta præfectura dignus sit. Adeo ut res senatus multo magis inter se contrariæ essent, et quod de libertate gloriosa exciderit, et valde metueret Claudium. Non tamen deerant qui dominatum affectarent, et propter majorum gloriam et cognationem ex nuptiis. Nam et Marcus Minucianus erat, qui et sua nobilitate illustris, et in matrimonio habens Caii sororem Juliam, summa rerum potiundi cupiditate tenebatur, eumque reprimebant consules, aliam ex alia causationem nectentes. Valerium etiam Asiaticum Minucianus, unus ex interfectoribus Caii, ab ejusmodi cogitatione inhibebat. Fuissetque cædes quanta vix unquam alias edita, si illis, qui principatum appetebant, facta fuisset potestas contendendi cum Claudio. Quin et præsto erant gladiatores insigni numero, et milites qui in urbe vigilias agebant, remigesque qui in castra confluebant; adeo ut ex iis, qui imperium ambiebant, alii quidem, ut urbi parceretur, alii vero, metu de se, a conatu destiterint.

4. Quum autem diluculo in senatum venissent Chærea sociique, aggressi sunt orationem habere ad milites. Quos quum universi viderent manu ipsis silentium indicere, et in eo esse ut loquendi initium facerent, tumultum movere cœperunt, nec passi sunt eos quidquam dicere, quod omnes unius imperio subesse magnopere expeterent: namque Imperatorem sibi dari postulabant, ut qui vel minimam moram segre laturi essent. Senatus autem dubitabat et quo modo regeret aut imperio regeretur, et militibus eorum auctoritatem defugientibus, et Caii interfectoribus amplissimum ordinem militari insolentiæ cedere non patientibus. Quumque ita se res haberent, Chærea, accensus in iram, quod Imperatorem peterent, daturum se promisit ducem, si quis signum ei afferret ab Eutycho. Erat autem Eutychus iste factionis Prasinæ ut appellabatur auriga, Caio devotissimus, quique in stabulis equitio ejus exstruendis milites attriverat, viles ab ipsis operas exigendo. Quas res illis exprobrabat Chærea, atque alia multa hujuscemodi, seque Claudii caput allaturum: indignum enim esse, si post insanum stulto imperium committant. At illi, verbis ejus nihil moti, strictis gladiis et sublatis signis se propipiebant ad Claudium, adjuncturi se his qui fidem ei jurejurando dederant. Ita sena-

τος ἐπ' ἐρημίας τῶν ἀμυνόντων καὶ οἱ ὕπατοι μηδὲν ἰδιωτῶν διαφέροντες· ἔκπληξίς τε καὶ κατήφεια ἦν, οὐδὲ ὅ τι χρήσαιντο αὐτοῖς τῶν ἀνθρώπων εἰδότων διὰ τὸ ἀνηρεθίσθαι τὸν Κλαύδιον ἐπ' αὐτοῖς, ἀλλήλοις τε ἐλοιδοροῦντο, καὶ μετάμελος ἦν αὐτοῖς· καὶ Σαβῖνος, εἷς τῶν Γαΐου σφαγέων, σφάζειν πρότερον αὐτὸν ἠπείλει παρελθὼν εἰς μέσους ἢ Κλαύδιον ἄρχοντα στήσεσθαι καὶ δουλοχρατίαν ἐπόψεσθαι καταλαβοῦσαν· τόν τε Χαιρέαν εἰς φιλοψυχίαν ἐπέπληττεν, εἰ καταφρονήσας Γαΐου πρῶτος ἀγαθὸν ὑπολαμβάνοι τὸ ζῆν, τῆς ἐλευθερίας οὐδὲ οὕτως ἀποδοθῆναι δυναμένης τῇ πατρίδι. Χαιρέας δὲ περὶ μὲν τοῦ θνήσκειν ἐνδοιαστὸν οὐδὲν φρονεῖν ἔλεγε, βούλεσθαι μέντοι διακωδωνίζειν διάνοιαν τὴν Κλαυδίου.

ε'. Καὶ οἱ μὲν ἐν τοῖσδε ἦσαν. Ἐπὶ δὲ τοῦ στρατοπέδου πᾶς πανταχόθεν ὠθεῖτο κατὰ θεραπείαν τὴν Κλαυδίου, καὶ τῶν ὑπάτων ὁ ἕτερος Κόϊντος Πομπώνιος δι' αἰτίας ἦν τῷ στρατιωτικῷ μᾶλλον ὡς ἐπ' ἐλευθερίαν τὴν σύγκλητον παρακαλῶν, ὥρμησάν τε σπασάμενοι τὰ ξίφη, κἂν ἐπέπρακτο αὐτοῖς, μὴ Κλαυδίου διακεκωλυκότος. Παρακαθίζεται δὲ αὐτῷ τὸν ὕπατον ἐξαρπάσας τοῦ κινδύνου· τῶν δὲ συγκλητικῶν ὁ ἦν σὺν τῷ Κοΐντῳ οὐ μεθ' ὁμοίας ἐδέχετο τιμῆς· τινὲς δὲ καὶ πληγὰς ἔλαβον αὐτῶν, ἀπωθούμενοι τῆς πρὸς αὐτὸν ἐντεύξεως, Ἀπώνιος δὲ τραυματίας ἀνεχώρει, ἦν τε κίνδυνος περὶ πάντας αὐτούς. Καὶ Ἀγρίππας ὁ βασιλεύς, προσελθὼν τῷ Κλαυδίῳ, ἄξιοῖ τοῖς συγκλητικοῖς ἠπιώτερον καταστῆναι· γενομένου γάρ τινος κακοῦ περὶ τὴν βουλὴν οὐχ ἕξειν ὧν ἄρξειεν ἑτέρων. Πείθεται δὲ Κλαύδιος, καὶ συγκαλεῖ τὴν βουλὴν ἐπὶ τοῦ παλατίου διὰ τῆς πόλεως φερόμενος, παραπέμποντος αὐτὸν τοῦ στρατιωτικοῦ σὺν πολλῇ πάνυ κακώσει τῆς πληθύος. Προεξῆσαν δὲ τῶν Γαΐου σφαγέων εἰς τὸ φανερώτερον Χαιρέας καὶ Σαβῖνος, εἰργόμενοι προόδων κατ' ἐπιστολὰς Πολλίωνος, ὃν μικρῷ πρότερον Κλαύδιος στρατηγὸν ἡρεῖτο τῶν σωματοφυλάκων. Κλαύδιος δὲ, ἐπείπερ εἰς τὸ παλάτιον ἀφικνεῖται, συναγαγὼν τοὺς ἑταίρους, ψῆφον ἀνεδίδου περὶ Χαιρέου. Τοῖς δὲ τὸ μὲν ἔργον λαμπρὸν ἐδόκει, ἀπιστίαν δὲ ἐπεκάλουν τῷ πράχοτι, καὶ αὐτῷ τιμωρίαν ἐπιβάλλειν δίκαιον ἡγοῦντο ἐπ' ἀποτροπῇ τοῦ μέλλοντος χρόνου. Ἀπήγετο οὖν Χαιρέας τὴν ἐπὶ θανάτῳ, καὶ σὺν αὐτῷ Λοῦπός τε καὶ Ῥωμαίων πλείους. Λέγεται δὲ Χαιρέαν μεγαλοφρόνως ἐνεγκεῖν τὴν συμφοράν, οὐ μόνον τῷ καθ' αὑτὸν ἀμεταπτώτῳ τοῦ σχήματος, ἀλλὰ καὶ οἷς ὠνειδίσεισε Λοῦπον εἰς δάκρυα ἐκτετραμμένον. Ἀποτιθεμένου γέ τοι τὴν στολὴν τοῦ Λούπου καὶ τὸ ῥῖγος αἰτιωμένου, φησὶν, ὡς οὐκ ἂν ἐναντία τοῦ λούπου ποιήσαιτο πώποτε ῥῖγος. Πλήθους τε ἀνθρώπων ἑπομένου κατὰ θέαν, ὡς ἦκεν ἐπὶ τὸ χωρίον, ἤρετο τὸν στρατιώτην εἰ διὰ μελέτης αὐτῷ γεγόνοιεν αἱ σφαγαὶ, ἢ πρῶτον ἔχοι τὸ ξίφος· καὶ ἐκέλευε κομίζειν ᾧ Γάϊον μεταχειρίσαιτο αὐτός. Θνήσκει δὲ εὐδαιμόνως μιᾶς πληγῆς αὐτῷ γενομένης· Λοῦπος δὲ οὐ πάνυ δεξιῶς ὑπεξῆλθεν ἀθυμίᾳ, καὶ πληγῶν

tus desertus est a suis propugnatoribus, et consules ferme in privatorum ordinem redacti: quin et consternatio erat ubique et mœstitia, nemine sciente quid de se futurum esset, Claudio in eos irritato, aliique in alios convicia jactabant, et ipsos pœnitebat. Tum Sabinus, unus e Caii interfectoribus, in medium progressus, se prius mortem sibimet conscisscre edicebat quam passurum ut Claudius fiat Imperator, visurumque civitatem servitute oppressam; simulque Chæream increpabat, quod nimio vitæ amore teneretur, si is, qui primus Caium contemptui habuerit, vitam vitalem esse existimaret, quum fieri non possit ut vel hac via patria in libertatem restituatur. Chærea autem nihil sibi minus in animo esse dicebat, quam ut de morte appetenda dubitaret, velle tamen prius Claudii mentem explorare.

5. Et illi quidem in his erant. In castris autem undique festinatur ad obsequium Claudio præstandum: et consulum alteri Q. Pomponio crimini milites objiciebant præcipue quod senatum ad libertatem hortatus fuerat, atque impetum fecerunt strictis gladiis; cædemque perpetrassent, nisi Claudius eos cohibuisset. Is consulem periculo ereptum suo lateri assidere jubet: senatoribus vero qui cum Quinto erant non idem habitus est honos: sed quidam illorum plagas accipiebant, repulsi dum illum salutatum ireut, et Aponius vulneratus discedebat, omnesque in periculo versabantur. Tum rex Agrippa Claudium adiit, eumque obsecrat ut mitius se erga senatores gereret: quippe, si male ab eo acciperetur senatus, non habiturum esse alios quibus imperaret. Persuadetur Claudius, et senatum convocat in palatium, quo ipse per urbem lectica delatus est, deducentibus eum militibus multa sane cum vexatione populi. Atque ex interfectoribus Caii Chærea et Sabinus in conspectum omnium processerant, quum cautum esset ne ipsi in publicum prodirent, edicto Pollionis, quem Claudius paullo ante corporis custodibus præfecerat. At Claudius, postquam ad palatium venerat, convocatis amicis, mittebat eos in suffragia de Chærea. Illis quidem facinus splendidum esse videbatur, perfidiæ tamen auctorem accusabant, et jure merito pœnam ei infligendam censebant, ut aliis in posterum terrori sit. Agebatur itaque Chærea ad supplicium, et una cum eo Lupus multique alii Romanorum. Dicitur autem Chærea magno animo tulisse calamitatem, non solum ex eo quod ne oris quidem colorem mutaverit, sed et ex iis quæ Lupo se lacrimis dedenti exprobrarit. Lupo sane, quum vestem deponeret, querenti de frigore, dicebat non oportere unquam contra quam lupi solent algescere. Quumque eum spectatum sequeretur hominum multitudo, ubi ventum est ad locum, interrogabat militem num exercitatus esset ad cædes, aut primum haberet gladium; jubebatque eum afferri quo ipse Caium peremerat. Uno autem ictu feliciter interiit: at Lupus non adeo commode e vita

πλειόνων γενομένων, διὰ τὸ μαλακῶς τὸν τράχηλον παρασχεῖν.

ς'. Ὀλίγαις δὲ ὕστερον ἡμέραις ἐναγισμῶν ἐνεστηκότων Ῥωμαίων τὸ πλῆθος τοῖς αὐτῶν ἐπιφέροντες καὶ Χαιρέαν μοίραις ἐτίμησαν εἰς τὸ πῦρ τιθεμέναις, ἔλεων καὶ ἄμηνιν εἶναι τῆς εἰς αὐτὸν ἀχαριστίας παρακαλοῦντες. Καὶ Χαιρέᾳ μὲν τοιαύτη τελευτὴ τοῦ βίου συνέτυχε. Σαβῖνος δὲ, Κλαυδίου μὴ μόνον τῆς αἰτίας παραλύοντος αὐτὸν, ἀλλὰ καὶ τὴν ἀρχὴν ἣν εἶχεν ἐφιέντος, ἄδικον ἡγεῖτο τὴν ἐκλειπίαν τῆς πρὸς τοὺς συνωμοκότας πίστεως, σφάζει τε ἑαυτὸν περιπεσὼν τῷ ξίφει, μέχρι δὴ καὶ τὴν κώπην τῷ τραύματι συνελθεῖν.

ΚΕΦ. Ε'.

Κλαύδιος δὲ τοῦ στρατιωτικοῦ πᾶν ὅ τι ἦν ὕποπτον ἐκ τοῦ ὀξέος ἀποσκευασάμενος, διάγραμμα προὐτίθει, τήν τε ἀρχὴν Ἀγρίππᾳ βεβαιῶν, ἣν ὁ Γάϊος παρέσχε, καὶ δι' ἐγκωμίων ἄγων τὸν βασιλέα· προσθήκην δὲ αὐτῷ ποιεῖται πᾶσαν τὴν ὑπὸ Ἡρώδου βασιλευθεῖσαν, ὃς ἦν πάππος αὐτοῦ, Ἰουδαίαν καὶ Σαμάρειαν. Καὶ ταῦτα μὲν ὡς ὀφειλόμενα τῇ οἰκειότητι τοῦ γένους ἀπεδίδου· Ἀβίλαν δὲ τὴν Λυσανίου καὶ ὁπόσα ἐν τῷ Λιβάνῳ ὄρει, ἐκ τοῦ αὐτοῦ προσετίθει, ὄρκιά τε αὐτῷ τέμνεται πρὸς τὸν Ἀγρίππαν ἐπὶ τῆς ἀγορᾶς μέσης ἐν τῇ Ῥωμαίων πόλει. Ἀντίοχον δὲ ἣν εἶχεν βασιλείαν ἀφελόμενος, Κιλικίας μέρει τινὶ καὶ Κομμαγηνῇ δωρεῖται. Λύει δὲ καὶ Ἀλέξανδρον Λυσίμαχον τὸν Ἀλαβάρχην, φίλον ἀρχαῖον αὐτῷ γεγονότα, καὶ Ἀντωνίαν αὐτοῦ ἐπιτροπεύσαντα τὴν μητέρα, ὀργῇ τῇ Γαΐου δεδεμένον· καὶ αὐτοῦ υἱὸς Βερενίκην τὴν Ἀγρίππα γαμεῖ θυγατέρα. Καὶ ταύτην μὲν (τελευτᾷ γὰρ Μάρκος ὁ τοῦ Ἀλεξάνδρου υἱὸς, παρθένον λαβών) ἀδελφῷ τῷ αὐτοῦ Ἀγρίππας Ἡρώδῃ δίδωσι, Χαλκίδος αὐτῷ τὴν βασιλείαν εἶναι αἰτησάμενος παρὰ Κλαυδίου.

β'. Στασιάζεται δὲ κατὰ τὸν αὐτὸν χρόνον Ἰουδαίων τὰ πρὸς Ἕλληνας ἐπὶ τῆς Ἀλεξανδρέων πόλεως. Τελευτήσαντος γὰρ τοῦ Γαΐου τὸ Ἰουδαίων ἔθνος, ἐπὶ τῆς ἀρχῆς τῆς ἐκείνου τεταπεινωμένον καὶ δεινῶς ὑπὸ τῶν Ἀλεξανδρέων ὑβρισμένον, ἀνεθάρσησε, καὶ ἐν ὅπλοις εὐθέως ἦν. Καὶ Κλαύδιος ἐπιστέλλει τῷ ἐπάρχοῦντι κατὰ τὴν Αἴγυπτον ὥστε τὴν στάσιν καταστεῖλαι. Πέμπει δὲ καὶ διάγραμμα, παρακεκλημένον αὐτὸν Ἀγρίππα τε καὶ Ἡρώδου τῶν βασιλέων, εἴς τε τὴν Ἀλεξάνδρειαν καὶ Συρίαν, γεγραμμένον τοῦτον τὸν τρόπον. « Τιβέ- « ριος Κλαύδιος Καῖσαρ, Σεβαστὸς, Γερμανικὸς, « ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας **, λέγει. « Ἐπιγνοὺς ἀνέκαθεν τοὺς ἐν Ἀλεξανδρείᾳ Ἰουδαίους, « Ἀλεξανδρεῖς λεγομένους, συγκατοικισθέντας τοῖς « πρώτοις εὐθὺς καιροῖς Ἀλεξανδρεῦσι καὶ ἴσης πολι- « τείας παρὰ τῶν βασιλέων τετυχότας, καθὼς φανερὸν « ἐγένετο ἐκ τῶν γραμμάτων τῶν παρ' αὐτοῖς καὶ τῶν « διαταγμάτων, καὶ, μετὰ τὸ τῇ ἡμετέρᾳ ἡγεμονίᾳ « Ἀλεξάνδρειαν ὑπὸ τοῦ Σεβαστοῦ ὑποταχθῆναι, πε- « φυλάχθαι αὐτοῖς τὰ δίκαια ὑπὸ τῶν πεμφθέντων

exiit præ timiditate, ictibus scilicet repetitis, quod parum *fortiter collum porrexerit*.

6. Paucis vero post diebus, quando aderant parentalia, et populus Romanus *suorum quisque manibus libamina* afferebant, Chæream etiam fertis honorarunt in ignem conjectis, eum obsecrantes ut propitius ipsis non irasceretur, quod animo fuissent in eum ingrato. Et Chæreæ quidem contigit ut hoc modo vitam finiret. Sabinus autem, non solum absolutus a Claudio, verum etiam permissus eandem quam ante præfecturam gerere, iniquum ratus ut a fide conjuratis data descisceret, se ipsum interimit gladio incumbens, capulo tenus per vulnus adacto.

CAP. V. (IV.)

Claudius autem, *quum e medio sine mora sustulisset milites* omnes quos suspectos habuit, edictum proposuit, quo et Agrippæ imperium, quod ei dederat Caius, confirmabat, et regem laudabat: quin et adjiciebat quicquid Judææ et Samariæ ad ejus avi Herodis regnum pertinebat. Atque hæc quidem quasi cognationis jure ei debita restituit: sed Abilam, quæ Lysaniæ fuerat, et quæcunque erant in monte Libano, de suo adjungebat: fœdusque ab eo ictum est cum Agrippa in medio urbis Romanæ foro. Antiochum etiam, quum ei regnum quod habuerat abstulisset, parte quadam Ciliciæ et Commagena donavit. Insuper et solvit Alexandrum Lysimachum Alabarcham, cum quo vetus ei intercesserat amicitia, quique suæ matris Antoniæ procurator fuerat, *quem Caius iratus vinxerat : cujus filius Berenicen* Agrippæ filiam duxit uxorem. Et hanc quidem Agrippa (nam moritur Marcus Alexandri filius, virgine ducta) Herodi fratri suo collocavit, impetrato illi regno Chalcidis a Claudio.

2. Per idem autem tempus inter Judæos et Græcos exorta est seditio in urbe Alexandria. Caio enim mortuo Judæorum gens, sub ejus imperio graviter oppressa et multis injuriis ab Alexandrinis affecta, cœpit animos resumere, moxque ad arma ventum est. Tum Claudius per epistolam mandat præsidi Ægypti ut seditionem illam compesceret. Præterea edictum, *supplicantibus ei regibus* Agrippa et Herode, mittit Alexandriam et in Syriam, scriptum in hanc sententiam. « Tiberius Claudius Cæsar, Augustus, Germa- « nicus, Pontifex Maximus, Tribunitiæ Potestatis **, edi- « cit. Quoniam jam olim cognitum habuimus Judæos qui « Alexandriæ sunt et Alexandrini appellantur, statim ab urbe « condita una cum Alexandrinis habitatum missos, et civi- « tatis jus ex æquo a regibus consequutos esse, id quod « palam est ex rescriptis eorum pariter et edictis, et post- « quam imperio nostro per Augustum subjecta est Alexan- « dria, sua illis integra mansisse jura, conservata per missos

« ἐπάρχων κατὰ διαφόρους χρόνους μηδεμίαν τε ἀμ-
« φισβήτησιν περὶ τούτων γενομένην τῶν δικαίων αὐ-
« τοῖς ἅμα καθ' ὃν καιρὸν Ἀκύλας ἦν ἐν Ἀλεξανδρείᾳ,
« καὶ τελευτήσαντος τοῦ Ἰουδαίων ἐθνάρχου τὸν Σεβα-
« στὸν μὴ κεκωλυκέναι ἐθνάρχας γίνεσθαι, βουλόμενον
« ὑποτετάχθαι ἑκάστους ἐμμένοντας τοῖς ἰδίοις ἔθεσι,
« καὶ μὴ παραβαίνειν ἀναγκαζομένους τὴν πάτριον
« θρησκείαν, Ἀλεξανδρεῖς δὲ ἐπαρθῆναι κατὰ τῶν παρ'
« αὐτοῖς Ἰουδαίων ἐπὶ τῶν Γαΐου Καίσαρος χρόνων,
« τοῦ διὰ τὴν πολλὴν ἀπόνοιαν καὶ παραφροσύνην, ὅτι
« μὴ παραβῆναι ἠθέλησε τὸ Ἰουδαίων ἔθνος τὴν πά-
« τριον θρησκείαν καὶ θεὸν προσαγορεύειν αὐτὸν, τα-
« πεινώσαντος αὐτοὺς, βούλομαι μηδὲν διὰ τὴν Γαΐου
« παραφροσύνην τῶν δικαίων τῷ Ἰουδαίων ἔθνει παρα-
« πεπτωκέναι, φυλάσσεσθαι δὲ αὐτοῖς καὶ τὰ πρότερον
« δικαιώματα, ἐμμένουσι τοῖς ἰδίοις ἔθεσι, ἀμφοτέροις
« δὲ διακελεύομαι τοῖς μέρεσι πλείστην ποιήσασθαι
« πρόνοιαν ὅπως μηδεμία ταραχὴ γένηται μετὰ τὸ
« προτεθῆναί μου τὸ διάγραμμα. »

γ'. Τὸ μὲν οὖν εἰς Ἀλεξάνδρειαν ὑπὲρ τῶν Ἰουδαίων διάταγμα τοῦτον ἦν τὸν τρόπον γεγραμμένον· τὸ δὲ εἰς τὴν ἄλλην οἰκουμένην εἶχεν οὕτω. « Τιβέριος Κλαύ-
« διος Καῖσαρ, Σεβαστὸς, Γερμανικὸς, ἀρχιερεὺς μέ-
« γιστος, δημαρχικῆς ἐξουσίας **, ὕπατος χειροτονη-
« θεὶς τὸ δεύτερον, λέγει. Αἰτησαμένων με βασιλέων
« Ἀγρίππα καὶ Ἡρώδου τῶν φιλτάτων μοι ὅπως συγ-
« χωρήσαιμι τὰ αὐτὰ δίκαια καὶ τοῖς ἐν πάσῃ τῇ ὑπὸ
« Ῥωμαίοις ἡγεμονίᾳ Ἰουδαίοις φυλάσσεσθαι, καθὰ
« καὶ τοῖς ἐν Ἀλεξανδρείᾳ, ἥδιστα συνεχώρησα, οὐ
« μόνον τοῦτο τοῖς αἰτησαμένοις με χαριζόμενος, ἀλλὰ
« καὶ αὐτοὺς ὑπὲρ ὧν παρεκλήθην ἀξίους κρίνας, διὰ
« τὴν πρὸς Ῥωμαίους πίστιν καὶ φιλίαν, μάλιστα δὲ δί-
« καιον κρίνων μηδεμίαν μηδὲ Ἑλληνίδα πόλιν τῶν
« δικαίων τούτων ἀποτυγχάνειν, ἐπειδὴ καὶ ἐπὶ τοῦ
« θείου Σεβαστοῦ αὐταῖς ἦν τετηρημένα· καλῶς οὖν
« ἔχειν καὶ Ἰουδαίους τοὺς ἐν παντὶ τῷ ὑφ' ἡμᾶς κόσμῳ
« τὰ πάτρια ἔθη ἀνεπικωλύτως φυλάσσειν, οἷς καὶ αὐ-
« τοῖς ἤδη νῦν παραγγέλλω μου ταύτῃ τῇ φιλανθρω-
« πίᾳ ἐπιεικέστερον χρῆσθαι, καὶ μὴ τὰς τῶν ἄλλων
« ἐθνῶν δεισιδαιμονίας ἐξουδενίζειν, τοὺς ἰδίους δὲ νό-
« μους φυλάσσειν. Τοῦτό μου τὸ διάταγμα τοὺς ἄρ-
« χοντας τῶν πόλεων καὶ τῶν κωλωνειῶν καὶ μουνι-
« κιπίων τῶν ἐν τῇ Ἰταλίᾳ καὶ τῶν ἐκτὸς, βασιλεῖς τε
« καὶ δυνάστας διὰ τῶν ἰδίων πρεσβευτῶν ἐγγράψα-
« σθαι βούλομαι, ἐκκείμενόν τε ἔχειν οὐκ ἔλαττον ἡμε-
« ρῶν τριάκοντα, ὅθεν ἐξ ἐπιπέδου καλῶς ἀναγνωσθῆ-
« ναι δύναται. »

ΚΕΦ. ς'.

Τούτοις μὲν δὴ τοῖς διατάγμασιν, εἰς Ἀλεξάνδρειάν τε καὶ τὴν οἰκουμένην πᾶσαν ἀποσταλεῖσιν, ἐδήλωσεν ἣν περὶ Ἰουδαίων ἔχοι γνώμην Κλαύδιος Καῖσαρ· αὐτίκα δὲ Ἀγρίππαν, κομιούμενον τὴν βασιλείαν, ἐπὶ τιμαῖς λαμπροτέραις ἐξέπεμψε, τοῖς ἐπὶ τῶν ἐπαρχιῶν

« illo diversis temporibus præsides, nullamque de illo jure
« controversiam motam fuisse, etiam quando Aquila præ-
« rat Alexandriæ, et quum mortuus esset Judæorum ethnar-
« cha. Augustum non vetuisse alios deinceps ethnarchas
« fieri, volentem eorum quemque subjici, ita tamen ut
« suis uterentur institutis, nec cogerentur patriam religio-
« nem violare; Alexandrinos autem excitari *contigit* in
« Judæos, una cum illis habitantes, eo tempore quo Caius
« Cæsar rerum potiretur, qui ex vehementi insania et de-
« mentia, quod noluerit gens Judæorum quidquam contra
« patriam religionem facere ipsumque deum appellare, eos
« depresserat: volo nihil propter Caii amentiam illis de-
« trahi, quod Judæorum genti fuerit concessum, sed jura
« quibus olim gaudebant illis sarta tecta manere, patriis
« in moribus et institutis perseverantibus; jubeoque ex
« utraque parte modis omnibus cavendum esse, ne ulla
« moveatur seditio postquam edictum meum fuerit publi-
« catum. »

3. Et hoc quidem edictum in gratiam Judæorum Alexandriam missum ita scriptum erat; quod vero in reliquum terrarum orbem, hoc modo. « Tiberius Claudius Cæsar,
« Augustus, Germanicus, Pontifex Maximus, Tribunitiæ
« Potestatis **, Consul creatus iterum, edicit. Quandoqui-
« dem me supplices rogarunt Agrippa et Herodes reges mihi
« amicissimi, ut permitterem Judæis in omni imperio
« Romano degentibus jura eadem servare et habere quæ
« Alexandrinis sunt concessa, libenter eorum precibus
« annui, nec solum iis qui a me petierunt hoc indulsi,
« verum et ipsos pro quibus rogatus sum dignos judicavi,
« propter fidem et amicitiam Romanis præstitam, justissi-
« mum etiam censens, nullam, ne Græcarum quidem,
« urbem juribus illis privandam, quoniam et sub Divo
« Augusto eis erant servata: proinde æquum esse arbi-
« tror ut Judæi etiam per universum nostrum imperium
« patrios mores sine impedimento aliquo servent, quos
« etiam nunc moneo ut hac nostra gratia contenti modestius
« se gerant, nec religiones aliarum gentium contemnant,
« sed leges suas custodiant. Voloque ut hoc meum edi-
« ctum præsides civitatum atque coloniarum et municipio-
« rum, tam intra Italiam quam extra, uti etiam reges et
« principes per ministros suos transcriptum habeant, et in
« hujusmodi loco positum intra triginta dies, unde de plano
« recte legi possit. »

CAP. VI. (V.)

His igitur edictis Alexandriam et in totum terrarum orbem missis ostendit Claudius Cæsar qua erat erga Judæos voluntate: moxque Agrippam, regnum curaturum, splendidioribus auctum honoribus dimisit, quum per literas provinciarum præsidibus et procuratoribus mandasset ut ami-

ἡγεμόσι καὶ τοῖς ἐπιτρόποις διὰ γραμμάτων ἐπιστείλας ἐράσμιον αὐτὸν ἄγειν. Ὁ δέ, ὡς εἰκὸς ἦν τὸν ἐπὶ κρείττοσι τύχαις ἀνερχόμενον, μετὰ τάχους ὑπέστρεψεν. Εἰς Ἱεροσόλυμα δὲ ἐλθὼν χαριστηρίους ἐξεπλήρωσε θυσίας, οὐδὲν τῶν κατὰ νόμον παραλιπών. Διὸ καὶ Ναζιραίων ξυρᾶσθαι διέταξε μάλα συχνούς, τήν τε χρυσῆν ἅλυσιν τὴν δοθεῖσαν αὐτῷ ὑπὸ Γαΐου ἰσόσταθμον τῇ σιδηρᾷ, ᾗ τὰς ἡγεμονίδας χεῖρας ἐδέθη, τῆς στυγνῆς εἶναι τύχης ὑπόμνημα, καὶ τῆς εἰς τὰ κρείττω μαρτυρίαν μεταβολῆς, τῶν ἱερῶν ἐντὸς ἀνεκρέμασε περιβόλων ὑπὲρ τὸ ϛαζοφυλάκιον, ἵν' ᾖ δεῖγμα καὶ τοῦ τὰ μεγάλα δύνασθαί ποτε πεσεῖν καὶ τοῦ τὸν Θεὸν ἐγείρειν τὰ πεπτωκότα. Πᾶσι γὰρ τοῦτο ἐνεφάνιζεν ἡ τῆς ἁλύσεως ἀνάθεσις, ὅτι βασιλεὺς Ἀγρίππας ἀπὸ μικρᾶς αἰτίας εἰς δεσμώτην ἀπέδυ τὸ πρὶν ἀξίωμα· καὶ μετ' ὀλίγον τῆς πέδης ἐκβὰς εἰς βασιλέα τοῦ πάλαι λαμπρότερον ἠγέρθη· διὰ τούτων ἐννοεῖσθαι ὅτι τῆς ἀνθρωπίνης φύσεως καὶ πᾶσιν ὀλισθάνειν τὰ μεγέθη καὶ τὰ κλιθέντα δύναται περιφανὲς πάλιν λαβεῖν ὕψος.

β'. Ἐντελῶς δ' οὖν θρησκεύσας τὸν Θεὸν Ἀγρίππας, Θεόφιλον μὲν τὸν Ἀνάνου τῆς ἀρχιερωσύνης μετέστησε, τῷ δὲ Βοηθοῦ Σίμωνι (τούτῳ Κανθηρᾶς ἐπίκλησις ἦν) τὴν ἐκείνου προσένειμε τιμήν. Δύο δὲ ἦσαν ἀδελφοὶ τῷ Σίμωνι καὶ πατὴρ Βοηθὸς, οὗ τῇ θυγατρὶ βασιλεὺς συνῴκησεν Ἡρώδης, ὡς ἀνωτέρω δεδήλωται. Σὺν τοῖς ἀδελφοῖς οὖν τὴν ἱερωσύνην ἔσχεν ὁ Σίμων καὶ σὺν τῷ πατρὶ, καθὰ καὶ πρότερον ἔσχον οἱ Σίμωνος τοῦ Ὀνία παῖδες τρεῖς ὄντες ἐπὶ τῆς τῶν Μακεδόνων ἀρχῆς, ὅπερ ἐν ταῖς προαγούσαις γραφαῖς παρέδομεν.

γ'. Καταστησάμενος δὲ τὰ περὶ τοὺς ἀρχιερέας οὕτως ὁ βασιλεὺς τοὺς Ἱεροσολυμίτας ἠμείψατο τῆς εἰς αὐτὸν εὐνοίας. Ἀνῆκε γοῦν αὐτοῖς τὰ ὑπὲρ ἑκάστης οἰκίας, ἐν καλῷ τιθέμενος ἀντιδοῦναι τοῖς ἠγαπηκόσι στοργήν. Ἔπαρχον δὲ ἀπέδειξε παντὸς τοῦ στρατεύματος Σίλαν, ἄνδρα πολλῶν αὐτῷ πόνων συμμετασχόντα. Παντάπασι δὲ ὀλίγου χρόνου διελθόντος, Δωρῖται νεανίσκοι τῆς ὀσιότητος προτιθέμενοι τόλμαν καὶ πεφυκότες εἶναι παράβολως θρασεῖς, Καίσαρος ἀνδριάντα κομίσαντες εἰς τὴν τῶν Ἰουδαίων συναγωγὴν ἀνέστησαν. Τοῦτο σφόδρα τὸν Ἀγρίππαν παρώξυνε· κατάλυσιν γὰρ τῶν πατρίων αὐτοῦ νόμων ἐδύνατο. Ἀμελλητὶ δὴ πρὸς Πούπλιον Πετρώνιον (ἡγεμὼν δὲ τῆς Συρίας οὗτος ἦν) παραγίνεται, καὶ καταλέγει τῶν Δωριτῶν. Ὁ δὲ οὐχ ἧττον ἐπὶ τῷ πραχθέντι χαλεπήνας, (καὶ γὰρ αὐτὸς ἔκρινεν ἀσέβειαν τὴν τῶν ἐννόμων παράβασιν,) τοῖς ἀποστᾶσι τῶν Δωριτῶν σὺν ὀργῇ τοῦτο ἔγραψε. (Ϛ'.) « Πούπλιος Πετρώνιος πρεσβευτὴς « Τιβερίου Κλαυδίου Καίσαρος, Σεβαστοῦ, Γερμανικοῦ, Δωριτῶν τοῖς πρώτοις λέγει. Ἐπειδὴ τοσαύτη « τόλμη ἀπονοίας τινὲς ἐχρήσαντο ἐξ ὑμῶν, ὥστε μηδὲ « διὰ τὸ προτεθῆναι τὸ διάταγμα Κλαυδίου Καίσαρος « Σεβαστοῦ Γερμανικοῦ περὶ τοῦ ἀφίεσθαι Ἰουδαίους

ce eum et benevole exciperent. Ille vero, id quod verisimile erat homini facere qui meliore cum fortuna redeat, celeriter reversus est: quumque Hierosolyma pervenisset, victimas pro gratiarum actione immolavit, ita ut nihil a lege præscriptum omiserit. Unde et multos Naziræos tonderi præcepit, et catenam auream, quam ei dederat Caius, pondere parem illi ferreæ quæ regias manus vinxerat, tristis fortunæ monumentum ejusdemque in melius mutatæ testimonium, intra conseptum templi supra gazophylacium suspendit, ut documento esset et maxima posse concidere, Deumque solere ea quæ ceciderant erigere. Omnibus enim ostendebat catenæ dedicatio, quod regi Agrippæ levicula de causa in vincti conditionem mutata fuerit pristina dignitas, pauloque post vinculis laxatus in regem evaserit quam ante splendidiorem, ut hinc liceat intelligere ita hominibus esse a natura comparatum ut celsissimi quique facile prolabantur, inclinatique iterum provehi possint ad illustriorem dignitatem.

2. Quum itaque omnia, quæ ad cultum Dei pertinerent, rite præstitisset Agrippa, Theophilum quidem Anani filium submovit a summo sacerdotio, et Boethi filium Simonem, cognomine Cantheran, in ejus locum substituit. Erant autem Simoni fratres duo et Boethus pater, cujus filiam Herodes rex uxorem duxerat, quemadmodum supra declaravimus. Tam igitur ipse quam pater et fratres pontificatum adeptus est, Simon, uti etiam Simonis Oniæ filii tres, sub imperio Macedonum, quod in superioribus libris memoravimus.

3. Quum autem res pontificatus ita constituisset rex, Hierosolymitis deinde amoris ipsorum et benevolentiæ gratiam retulit. Nam remisit eis tributum quod pro singulis ædibus pendebatur, quod pulcrum esse duceret se non pati ab illis amore et benevolentia superari. Silam autem omnibus copiis præfecit, quem multorum laborum socium et participem habuerat. At paulo admodum post Doritæ juvenes, sanctitati anteponentes audaciam, ita facti a natura ut projectæ essent temeritatis, statuam Cæsaris in Synagoga Judæorum posuerunt: id quod Agrippam magnopere irritabat: nam idem fecerant ac si patriam legem sublatum ivissent. Quare sine mora Publium Petronium convenit, qui tum Syriæ præses erat, et in Doritarum quosdam accusationem instituit. Ille vero non minus ægre ferens hoc factum, (nam et ipse pro flagitio habuit quod contra leges factum erat,) Doritis, qui defecerant, asperius scripsit in hæc verba. (VI.) Publius Petronius, Legatus Tiberii « Claudii Cæsaris Augusti, Germanici, Magistratibus Doritarum edicit. Quoniam vestrûm quidam eo insolentiæ pro« cesserunt ut, quum edictum propositum fuerit a Claudio « Cæsare Augusto Germanico, quo Judæi suis legibus vi-

« φυλάσσειν τὰ πάτρια, πεισθῆναι ὑμᾶς αὐτῷ, τἀναντία δὲ πάντα πρᾶξαι, συναγωγὴν Ἰουδαίων κωλύοντας εἶναι, διὰ τὸ μεταθεῖναι ἐν αὐτῇ τὸν Καίσαρος « ἀνδριάντα, παρανομοῦντας οὐκ εἰς μόνους Ἰουδαίους, « ἀλλὰ καὶ εἰς τὸν αὐτοκράτορα, οὗ ὁ ἀνδριὰς βέλτιον « ἐν τῷ ἰδίῳ ναῷ ἢ ἐν ἀλλοτρίῳ ἐτίθετο, καὶ ταῦτα ἐν « τῷ τῆς συναγωγῆς τόπῳ, τῇ φύσει δικαίου ὄντος ἕνα « ἕκαστον τῶν ἰδίων τόπων κυριεύειν κατὰ τὸ Καίσα- « ρος ἐπίκριμα· (τοῦ γὰρ ἐμοῦ ἐπικρίματος μιμνήσκε- « σθαι γελοῖόν ἐστι μετὰ τὸ τοῦ αὐτοκράτορος διάτα- « γμα τοῦ ἐπιτρέψαντος Ἰουδαίοις τοῖς ἰδίοις ἔθεσι χρῆ- « σθαι, ἔτι μέντοι καὶ συμπολιτεύεσθαι τοῖς Ἕλλησι « κεκελευκότος·) τοὺς μὲν παρὰ τὸ διάταγμα τοῦ Σε- « βαστοῦ τοιαῦτα τετολμηκότας, ἐφ' οἷς καὶ αὐτοὶ ἠγα- « νάκτησαν οἱ δοκοῦντες αὐτῶν ἐξέχειν, οὐ τῇ ἰδίᾳ προαι- « ρέσει γεγενῆσθαι λέγοντες, ἀλλὰ τῇ τοῦ πλήθους « ὁρμῇ, ὑπὸ ἑκατοντάρχου Πρόκλου Οὐϊτελλίου ἐκέ- « λευσα ἐπ' ἐμὲ ἀναχθῆναι τῶν πεπραγμένων λόγον « ἀποδώσοντας, τοῖς δὲ πρώτοις ἄρχουσι παραινῶ, εἰ « μὴ βούλονται δοκεῖν κατὰ τὴν αὑτῶν προαίρεσιν γε- « γενῆσθαι τὸ ἀδίκημα, ἐπιδεῖξαι τοὺς αἰτίους τῷ « ἑκατοντάρχῃ, μηδεμιᾶς στάσεως μηδὲ μάχης ἐόντας « ἀφορμὴν γενέσθαι, ἥνπερ ὀκνοῦσί μοι θηρεύεσθαι « διὰ τῶν τοιούτων ἔργων, καὶ ἐμοῦ καὶ τοῦ τιμιωτά- « του μοι βασιλέως Ἀγρίππα οὐδενὸς μᾶλλον προνοου- « μένων ἢ ἵνα μὴ ἀφορμῆς δραξάμενον τὸ τῶν Ἰου- « δαίων ἔθνος ἀμύνης προφάσει συναθροισθὲν εἰς « ἀπόνοιαν χωρῇ. Ἵνα δὲ γνωριμώτερον ᾖ τί καὶ ὁ « Σεβαστὸς περὶ ὅλου τοῦ πράγματος ἐφρόνησε, τὰ ἐν « Ἀλεξανδρείᾳ αὐτοῦ διατάγματα προτεθέντα προσέ- « θηκα, ἅπερ, εἰ καὶ γνώριμα πᾶσιν εἶναι δοκεῖ, τότε « καὶ ἐπὶ τοῦ βήματος ἀνέγνω ὁ τιμιώτατός μοι βασι- « λεὺς Ἀγρίππας, δικαιολογησάμενος περὶ τοῦ μὴ δεῖν « αὐτοὺς ἀφαιρεθῆναι τῆς τοῦ Σεβαστοῦ δωρεᾶς. Εἰς « οὖν τὸ λοιπόν, παραγγέλλω, μηδεμίαν πρόφασιν στά- « σεως μηδὲ ταραχῆς ζητεῖν, ἀλλὰ ἑκάστους τὰ ἴδια « θρησκεύειν ἔθη. »

δ'. Πετρώνιος μὲν οὖν οὕτω προυνοήσατο, διορθώσεως μὲν τὸ παρανομηθὲν ἤδη τυχεῖν, γενήσεσθαι δὲ παραπλήσιον μηδὲν εἰς αὐτούς. Ἀγρίππας δὲ ὁ βασιλεὺς ἀφείλετο μὲν τὴν ἱερωσύνην τὸν Κανθηρᾶν Σίμωνα, Ἰωνάθην δὲ πάλιν ἐπ' αὐτὴν ἦγε τὸν Ἀνάνου, τοῦτον ἀξιώτερον τῆς τιμῆς ὁμολογῶν εἶναι. Τῷ δὲ οὐκ ἀσμενιστὸν ἐφάνη τὴν τοσαύτην ἀπολαβεῖν τιμήν. Παρητεῖτο δ' οὖν ταῦτα λέγων, « Σοὶ μὲν οὖν, ὦ βασι- « λεῦ, τετιμημένος χαίρω, διὰ ψυχῆς ἔχων τοῦθ' ὅ μοι « γέρας σῇ δίδως βουλήσει, εἰ καὶ πρὸς οὐδέν με τῆς « ἀρχιερωσύνης ἄξιον ἔκρινεν ὁ Θεός. Ἅπαξ δὲ ἐνδὺς « στολισμὸν ἱερὸν ἀρκοῦμαι· τότε γὰρ αὐτὸν ἡμφια- « σάμην ὁσιώτερον ἢ νῦν ἀπολήψομαι. Σὺ δέ, εἰ « βούλῃ τὸν ἀξιώτερον ἐμοῦ νῦν τὸ γέρας λαβεῖν, διδά- « χθητι. Πάσης καὶ πρὸς τὸν Θεὸν ἁμαρτίας καὶ πρὸς « σὲ, βασιλεῦ, καθαρὸς ἀδελφός ἐστί μοι· πρέποντα « τῇ τιμῇ τοῦτον συνίστημι. » Τούτοις ὁ βασιλεὺς

« vere permittuntur, id non egeritis ut ei obsequium præ- « staretis, sed omnia e contrario feceritis, prohibentes Ju- « dæos conventus suos agere, in ejusmodi loco Cæsaris « statuam collocando; qua re et maleficium admittitis non « solum in Judæos, sed et in Imperatorem, cujus statua « rectius in proprio templo poneretur quam in alieno, idque « in loco ubi cœtus celebrantur, quum a natura justum sit « ut sui quisque loci sit dominus prout decrevit Cæsar; « (nam ridiculum esset mea decreta commemorare post « Imperatoris edictum, quo Judæis permisit uti suis utan- « tur moribus, ac præterea sancivit ut civitatis jus ex « æquo cum Græcis obtineant;) eos quidem, qui talia con- « tra Augusti edictum ausi sunt, ita ut et ipsi indigne ea « ferant qui ex primoribus illorum esse videntur, non suo « ex consilio, sed populi furore facta esse asseverantes, « jubeo per centuriorem Vitellium Proculum ad me adduci « factorum rationem redditurus, primos vero magistratuum « hortor ut sontes (nisi existimari velint injuriam sua vo- « luntate illatam esse) centurioni indicent, operam dantes « ne qua turbæ aut rixæ præbeatur occasio, (quam quidam « mihi captare videntur ex istiusmodi rebus,) utpote quod « nihil et mihi et carissimo regi Agrippæ curæ magis sit « quam ne Judæorum gens occasionem arripiens, semet « defendendi prætextu congregetur, et ad insaniam usque « tumultuetur. Quo autem certius cognoscatis Augusti de « toto hoc negotio mentem et sententiam, quæ ille non ita « pridem Alexandriæ edixerit hisce adjunxi, quæque licet « omnibus nota esse videantur, carissimus mihi rex Agrippa « pro tribunali recitavit, quum contenderet Judæos privari « non debere Augusti beneficio. Quamobrem edico, ut in « posterum nullam quæratis seditionum turbarumve occa- « sionem, sed liberum sit unicuique suo more rituque nu- « men colere. »

4. Atque ita quidem provisum est a Petronio ut quicquid errati fuerit admissum corrigeretur, et deinceps ne tale quidpiam Judæi paterentur. Tunc autem rex Agrippa pontificatum Simoni Cantheræ ereptum Jonathæ Anani filio restitutum ibat, hunc ipsum honore digniorem esse præ se ferens. Illi vero haud gratum videbatur ut tanta augeretur dignitate. Eam itaque recusabat, hujuscemodi usus oratione. « Equidem gaudeo, o rex, quod adeo me ho- « noratum esse voluisti, mecum grato animo recolens « dignitatem qua sponte tua et voluntate me cohonestas, « etsi me Deus pontificatu plane indignum judicavit. Mihi « autem satis est semel induisse sacras vestes : tunc enim « sancte magis eas accepi, quam nunc recepturus sum. « Tu vero, si modo vis ut me digniori deferatur honos, « a me edoceri ne graveris. Est mihi frater ab omni et in « Deum et adversum te, rex, peccato immunis : hunc tibi « commendo, ut qui par sit isti dignitati. » His verbis rex

ἡσθεὶς τοῖς λόγοις τὸν Ἰωνάθην μὲν ἠγάσατο τῆς γνώμης, τἀδελφῷ δὲ αὐτοῦ Ματθίᾳ τὴν ἱερωσύνην ἔδωκε, καὶ μετ' οὐ πολὺ, Πετρώνιον μὲν Μάρσος διεδέξατο καὶ διεῖπε Συρίαν.

delectatus, Jonathæ quidem probabat consilium, fratri vero ejus Matthiæ pontificatum dabat. Nec ita multo post Petronio in Syria administranda successit Marsus.

ΚΕΦ. Ζ'.

CAP. VII.

Σίλας δὲ ὁ τοῦ βασιλέως ἔπαρχος, ἐπεὶ διὰ πάσης αὐτῷ τύχης ἐγεγόνει πιστὸς, οὐδένα κίνδυνον αὐτῷ ποτὲ κοινωνεῖν ἀνηνάμενος, ἀλλὰ καὶ τοὺς σφαλερωτάτους ὑποδὺς πολλάκις πόνους, πεποιθήσεως ἦν ἀνάπλεως, προσήκειν ὑπολαμβάνων ἰσοτιμίαν βεβαιότητι φιλίας. Οὐδαμῇ τοίνυν ὑποκατεκλίνετο τῷ βασιλεῖ, παρρησίαν δὲ διὰ πάσης ὁμιλίας ἦγε· κἀν ταῖς φιλοφρονήσεσιν ἐγίνετο φορτικὸς, σεμνύων ἑαυτὸν ἀμέτρως, καὶ πολλάκις τῷ βασιλεῖ τὰ στυγνὰ τῆς τύχης ἄγων εἰς ἀνάμνησιν, ἵνα τὴν ἑαυτοῦ τότε σπουδὴν παραδεικνύῃ· συνεχῶς δ' ἦν ὡς ὑπὲρ αὐτοῦ κάμοι πολλὰ διεξιών. Τούτων οὖν τὸ πλεονάζον ὀνειδισμὸς ἐδόκει, διὸ προσάντως ὁ βασιλεὺς ἐδέχετο τὴν ἀταμίευτον παρρησίαν τἀνδρός· οὐχ ἡδεῖαι γὰρ αἱ τῶν ἀδόξων χρόνων ἀναμνήσεις, εὐήθης δὲ ὁ διηνεκῶς ἅ ποτε ὠφέλησε προφέρων. Τέλος γοῦν ἀνηρέθισε σφόδρα ὁ Σίλας τοῦ βασιλέως τὸν θυμὸν, κἀκεῖνος, ὀργῇ πλέον ἢ λογισμῷ διδοὺς, οὐ τῆς ἐπαρχίας μόνον μετέστησε τὸν Σίλαν, ἀλλὰ καὶ παρέδωκε δεθησόμενον εἰς τὴν ἐκείνου πατρίδα πέμψας. Χρόνῳ δὲ τὸν θυμὸν ἠμβλύνθη, καὶ λογισμοῖς εἰλικρινέσι τὴν περὶ τἀνδρὸς κρίσιν ἐφῆκεν, ἐν νῷ λαμβάνων ὅσους ὑπὲρ ἐκείνου πόνους ἐκεῖνος ἀνέτλη. Ἡμέραν οὖν ἑορτάζων αὐτοῦ γενέθλιον, ὅτε πᾶσιν ὧν ἦρχεν εὐφροσύναι καθίσταντο θάλειαι, τὸν Σίλαν ἀνεκάλει παραυτίκα, συνέστιον αὐτῷ γεννησόμενον. Ὁ δὲ (τρόπον γὰρ ἐλευθέριος ἦν) ἐδόκει προσειληφέναι δικαίαν αἰτίαν ὀργῆς, ἣν οὐκ ἀπεκρύπτετο πρὸς τοὺς μετιόντας αὐτὸν, λέγων, « ἐπὶ ποίαν ὁ βασιλεὺς τιμὴν ἀνακαλεῖ « με, τὴν μετὰ μικρὸν ἀπολουμένην; οὐδὲ γὰρ τὰ πρῶ« τά μοι γέρα τῆς εἰς αὐτὸν εὐνοίας ἐτήρησεν, ἀπεσύ« λησε δὲ ὑβρίσας. Ἧ πεπαῦσθαι νενόμικέ με τῆς « παρρησίας; ἣν ἀπὸ ποιοῦ συνειδότος ἔχων νῦν βοή« σομαι μᾶλλον ὅσων αὐτὸν ἐξελυσάμην δεινῶν, ὅσους « ἤνεγκα πόνους, ἐκείνῳ χαριζόμενος σωτηρίαν τε καὶ « τιμὴν, ὧν γέρας ἠνεγκάμην δεσμὰ καὶ σκότιον εἰρ« κτήν. Οὐκ ἐγώ ποτε τούτων λήσομαι· τάχα μοι « τὴν τῆς ἀριστείας συναπολείσεται μνήμην καὶ μετανα« στᾶσα τῆς σαρκὸς ἡ ψυχή. » Ταῦτα ἀνεβόα καὶ διετάττετο τῷ βασιλεῖ λέγειν· ὁ δὲ ὡς ἀνιάτως ἑώρα διακείμενον, πάλιν εἴασεν ἐν φρουρᾷ.

Silas autem præfectus militiæ regiæ, quia, in omni fortunæ vicissitudine regi fidelis, nullius unquam periculi socius esse detrectaverat, sed et labores difficillimos sæpe subierat, magna fiducia nitebatur, secum cogitans honorem sibi tribui debere amicitiæ suæ constantiæ parem. Quapropter regi in omnibus æquari volebat, et quotiescunque cum eo esset, summa utebatur dicendi libertate; et in familiaribus colloquiis molestus erat, sese immodice extollens, et regi sæpiuscule tristia fortunæ in memoriam revocans, ut ostenderet quo fuisset eo tempore in illum animo studioque: tum et frequens erat in memorando quot labores pro eo pertulerit. Itaque quum in istis nimius fuerit, regi ea exprobrare videbatur, adeo ut hominis effrenem libertatem infeste et iniquo animo tulerit rex: nam res injucunda est temporis inglorie acti recordatio, et insipientis est perpetuo dicere quot et quæ olim alicui dederit beneficia. Tandem igitur Silas regis animum adeo vehementer irritavit, ut ille, iræ magis quam rationi obsequens, non solum militiæ præfecturam Silæ ademerit, verum etiam in vincula conjecerit et in patriam suam ablegarit. Tempore autem ira mitigata est, et rationem a præjudiciis liberam in consilium de homine adhibuit rex, secum animo reputans quantum ille laborum pro se pertulisset. Itaque quum diem celebraret natalem, quo omnibus qui sub ejus erant imperio læta convivia agitabantur, Silam quamprimum revocari jubet, secum epulis accubiturum. Is autem quum liberiori uteretur ingenio, se justam irascendi causam nactum esse existimabat, quam non celabat eos qui ipsum accersebant, dicens, « Ad quem me honorem vocat rex e vestigio peritu« rum? neque enim priora meæ in ipsum benevolentiæ « præmia diuturna esse passus est, sed me illis spoliavit « cum contumelia. Num me loquendi libertatem amisisse « censet? qua, certo quodam conscio, fretus, nunc magis « clamabo, e quibus eum calamitatibus eripuerim, quos « labores pro ejus salute et dignitate adierim: pro quibus « *officiis* me vinculis et obscuro carcere remuneratus est. « Ego certe horum nunquam obliviscar; immo forsan, quum « e vita migravero, mihi manebit præclare factorum memo« ria. » Hæc vociferabatur jubebatque ut regi referrent. Ille vero, quum insanabili eum ingenio esse videret, in custodia reliquit.

β'. Τὰ δὲ τῶν Ἱεροσολύμων τείχη τὰ πρὸς τὴν καινὴν νεύοντα πόλιν δημοσίαις ὠχύρου δαπάναις, τῇ μὲν εὐρύνων εἰς πλάτος, τῇ δὲ εἰς ὕψος ἐξαίρων, κἂν ἐξειργάσατο ταῦτα πάσης ἀνθρωπίνης κρείττονα βίας, εἰ μὴ Μάρσος ὁ τῆς Συρίας ἡγεμὼν Κλαυδίῳ Καίσαρι διὰ γραμμάτων ἐδήλωσε τὸ πραττόμενον. Καὶ νεωτερισμόν τινα Κλαύδιος ὑποπτεύσας ἐπέστειλεν Ἀ-

2. Tum autem Hierosolymorum muros, spectantes ad novam civitatem, publicis sumptibus muniebat, partim eos in latitudinem augendo, partimque in altitudinem extollendo: et fecisset eos adversus omnem humanam vim inexpugnabiles, nisi Marsus Syriæ præses Claudio Cæsari molimen regis per literas significasset. Quo factum ut Claudius, suspicatus aliquid innovatum iri, Agrippæ mandarit

γρίππα μετὰ σπουδῆς παύσασθαι τῆς τῶν τειχῶν ἐξοικοδομήσεως· ὁ δὲ ἀπειθεῖν οὐκ ἔκρινεν.

γ'. Ἐπεφύκει δὲ ὁ βασιλεὺς οὗτος εὐεργετικὸς εἶναι ἐν δωρεαῖς καὶ μεγαλοφρονῆσαι ἕθνη φιλότιμος καὶ πολλοῖς ἀθρόως δαπανήμασιν ἀνιστὰς αὐτὸν εἰς ἐπιφάνειαν, ἡδόμενος τῷ χαρίζεσθαι, καὶ τῷ βιοῦν ἐν εὐφημίᾳ χαίρων, κατ' οὐδὲν Ἡρώδῃ τῷ πρὸ ἑαυτοῦ βασιλεῖ τὸν τρόπον συμφερόμενος. Ἐκείνῳ γὰρ πονηρὸν ἦν ἦθος ἐπὶ τιμωρίαν ἀπότομον καὶ κατὰ τῶν ἀπηχθημένων ἀταμίευτον, Ἕλλησι πλέον ἢ Ἰουδαίοις οἰκείως ἔχειν ὁμολογούμενον· ἀλλοφύλων γέ τοι πόλεις ἐσέμνυνε δόσει χρημάτων, βαλανείων, θεάτρων τε ἄλλοτε κατασκευαῖς· ἔστιν αἷς ναοὺς ἀνέστησε, στοὰς ἄλλας, ἀλλ' Ἰουδαίων οὐδεμίαν πόλιν οὐδὲ ὀλίγης ἐπισκευῆς ἠξίωσεν, οὐδὲ δόσεως ἀξίας μνημονευθῆναι. Ἦρᾳ δὲ ὁ τρόπος Ἀγρίππᾳ, καὶ πρὸς πάντας τὸ εὐεργετικὸν ὅμοιον. Τοῖς ἀλλοεθνέσιν ἦν φιλάνθρωπος, κἀκείνοις ἐνδεικνύμενος τὸ φιλόδωρον, τοῖς ὁμοφύλοις ἀναλόγως χρηστὸς, καὶ συμπαθὴς μᾶλλον. Ἡδεῖα γοῦν αὐτῷ δίαιτα καὶ συνεχὴς ἐν τοῖς Ἱεροσολύμοις ἦν, καὶ τὰ πάτρια καθαρῶς ἐτήρει. Διὰ πάσης γοῦν αὐτὸν ἦγεν ἁγνείας, οὐδὲ ἡμέρα τις παρῴδευεν αὐτῷ χηρεύουσα θυσίας.

δ'. Καὶ δή τις ἐν τοῖς Ἱεροσολύμοις ἀνὴρ ἐπιχώριος ἐξακριβάζειν δοκῶν τὰ νόμιμα (Σίμων ἦν ὄνομα τούτῳ) πλῆθος εἰς ἐκκλησίαν ἁλίσας, τηνικάδε τοῦ βασιλέως εἰς Καισάρειαν ἐκδεδημηκότος, ἐτόλμησεν αὐτοῦ κατειπεῖν ὡς οὐχ ὅσιος εἴη, δικαίως δ' ἂν εἴργοιτο τοῦ ναοῦ τῆς εἰσόδου, προσηκούσης τοῖς ἐγγενέσι. Δηλοῦται μὲν δὴ διὰ γραμμάτων ὑπὸ τοῦ στρατηγοῦ πόλεως τῷ βασιλεῖ δημηγορήσας Σίμων ταῦτα. Μεταπέμπεται δὲ αὐτὸν ὁ βασιλεὺς, καὶ (καθέζετο γὰρ ἐν τῷ θεάτρῳ τότε) καθεσθῆναι παρ' αὐτὸν ἐκέλευσεν, ἠρέμα τε καὶ πράως, « εἰπέ μοι, φησὶν, τί τῶν ἐνθάδε γινομένων ἐστὶ παράνομον; » ὁ δὲ εἰπεῖν ἔχων οὐδὲν τυχεῖν ἐδεῖτο συγγνώμης. Καὶ ὁ βασιλεὺς αὐτῷ ἡ προσεδόκησέ τις διηλλάττετο, τὴν πραότητα κρίνων βασιλικωτέραν ὀργῆς καὶ πρέπειν εἰδὼς τοῖς μεγέθεσι θυμοῦ πλέον ἐπιείκειαν. Τὸν Σίμωνα γοῦν καὶ δωρεᾶς τινος ἀξιώσας ἀπεπέμψατο.

ε'. Πολλοῖς δὲ κατασκευάσας πολλὰ Βηρυτίους ἐξαιρέτως ἐτίμησε. Θέατρον γὰρ αὐτοῖς κατεσκεύασε, πολυτελείᾳ τε καὶ κάλλει πολλῶν διαφέρον, ἀμφιθέατρόν τε πολλῶν ἀναλωμάτων, βαλανεῖά τε πρὸς τούτοις καὶ στοὰς, ἐν οὐδενὶ τῶν ἔργων στενότητι δαπανημάτων ἢ τὸ κάλλος ἀδικήσας ἢ τὸ μέγεθος. Ἐπεδαψιλεύσατο δὲ αὐτῶν τὴν καθιέρωσιν μεγαλοπρεπῶς, ἐν τῷ θεάτρῳ μὲν θεωρίας ἐπιτελῶν, πάνθ' ὅσα μουσικῆς ἔργα παράγων καὶ ποικίλης ποιητικὰ τέρψεως, ἐν δὲ τῷ ἀμφιθεάτρῳ πλήθει μονομάχων τὴν αὐτοῦ δεικνὺς μεγαλόνοιαν, ἔνθα καὶ τὴν κατὰ πλῆθος ἀντίταξιν βουληθεὶς γενέσθαι τῶν θεωμένων τέρψιν ἑπτακοσίους ἄνδρας ἑπτακοσίοις μαχησομένους ἐπεμψε, κακούργους ὅσους εἶχεν ἀποτάξας εἰς τήνδε τὴν πρᾶξιν, ἵνα οἱ μὲν

statim ut a mœnibus ædificandis desisteret : atque ille non committendum esse censuit ut dicto non audiret.

3. Erat autem rex iste a natura ita factus ut muneribus studeret esse beneficus, et populos liberalitate demereri magnopere desideraret, et large effuseque sumptus faciendo sibi pararet nominis celebritatem, dando voluptatem capiens, gaudensque ita vitam agere ut ab omnibus prædicaretur, Herodis, qui ante eum regnaverat, moribus plane dissimilis. Nam huic natura erat prona ad ultionem et in ea inexorabilis, ut qui in vexandis quos habebat exosos modum nullum servaret, quique adeo fateretur majorem sibi ad Græcos quam ad Judæos esse adjunctionem : quippe alienigenarum urbes pecuniæ largitione decorabat, aliis balnea et theatra, atque aliis templa et porticus exstruebat, at Judæorum ne ullam quidem urbem vel minimo cohonestavit ornatu, donove aliquo memorabili. Agrippa contra miti erat ingenio, in universos ex æquo beneficus. In exteros omnes humanus erat, et, quum illis munificentiam suam ostenderet, popularibus suis cujusque ratione habita benignus, magisque dolens vicem illorum. Quapropter libenter et assidue Hierosolymis degebat, et patriorum institutorum custos erat religiosus, adeoque se ipsum in omnibus mundum purumque servabat, neque diem unquam unum intermittebat quin rem sacram faceret.

4. Ex eo factum ut Hierosolymitanus quidam indigena, nomine Simon, qui legis peritus habebatur, multitudine in concionem vocata quum rex Cæsaream profectus esset, ausus fuerit eum accusare, quasi non sanctus esset, mereretur que arceri ab omni in templum aditu, qui non nisi indigenis pateret. Per literas igitur regi significatur ab urbis præfecto quod hujusmodi verba ad populum fecisset Simon. Rex autem illum accersit, sibique proxime (nam eo tempore in theatro sedebat) collocari jussit, moxque sedata voce et placida, « dic mihi, inquit, num quid hic agitur contra leges? » Ille vero quum nihil haberet quod diceret, veniam rogabat. Tum rex magis quam quisquam opinaretur ei reconciliatus erat, ut qui clementiam magis quam iram regibus convenire existimarit, noritque summos viros plus decere lenitatem quam excandescentiam. Itaque Simonem, etiam munere quodam auctum ornatumque, dimisit.

5. Quum autem multa multis exstruxisset, Berytios eximie honoravit. Theatrum enim illis ædificavit, quod elegantia et pulcritudine multis præstabat, ut et amphitheatrum sumptuosum et magnificum, et ad hæc balneas et porticus, in nullo opere sumptibus parcendo quidquam aut splendori ejus aut magnitudini detrahens. In iis autem magnifice consecrandis profusus erat, exhibitis in theatro quidem spectaculis, traductisque eo musicorum omne genus certaminibus, et quæcunque varia in delectationem afferrent; in amphitheatro vero gladiatorum numero liberalitatem ostendebat, ubi etiam catervatim commissis pugnatoribus spectatores oblectare volens, duas cohortes emisit septingentorum quamque hominum qui prælio congrederentur, maleficis quotcunque habuit in hoc ipsum designatis, ut ipsi quidem pœna afficerentur, quod vero bello geritur in

κολασθῶσι, τὸ πολέμου δὲ ἔργον γένηται τέρψις εἰρήνης. Τούτους μὲν δὴ πασσυδὶ διέφθειρεν.

ΚΕΦ. Η.

Ἐν Βηρυτῷ δὲ τελέσας τὰ προειρημένα, μετῆλθεν εἰς Τιβεριάδα πόλιν τῆς Γαλιλαίας. Ἦν δὲ ἄρα τοῖς ἄλλοις βασιλεῦσι περίβλεπτος. Ἦκε γοῦν παρ' αὐτὸν Κομμαγηνῆς μὲν βασιλεὺς Ἀντίοχος, Ἐμεσῶν δὲ Σαμψιγέραμος· καὶ Κότυς, (τῆς μικρᾶς Ἀρμενίας οὗτος ἐβασίλευσε,) καὶ Πολέμων τὴν Πόντου κεκτημένος δυναστείαν, Ἡρώδης τε· οὗτος ἀδελφὸς ἦν αὐτοῦ, ἦρχε δὲ τῆς Χαλκίδος. Ὡμίλησε δὲ πᾶσι κατὰ τὰς ὑποδοχὰς καὶ φιλοφρονήσεις, ὡς μάλιστα διαδείξας φρονήσεως ὕψος καὶ διὰ τοῦτό γε δοκῶν δικαίως τῇ τῶν βασιλέων παρουσίᾳ τετιμῆσθαι. Ἀλλὰ γὰρ τούτων διατριβόντων ἔτι παρ' αὐτῷ Μάρσος ὁ τῆς Συρίας ἡγεμὼν παρεγένετο. Πρὸς Ῥωμαίους οὖν τὸ τιμητικὸν τηρῶν, ὑπαντησόμενος αὐτῷ τῆς πόλεως ἀπωτέρω σταδίους ἑπτὰ προῆλθεν ὁ βασιλεύς. Τοῦτο δὲ ἄρα ἔμελλε τῆς πρὸς τὸν Μάρσον ἀρχὴ γενήσεσθαι διαφορᾶς. Συγκαθεζομένους γὰρ ἐπὶ τῆς ἁπήνης ἐπήγετο τοὺς ἄλλους βασιλέας· Μάρσῳ δ' ἡ τούτων ὁμόνοια καὶ μέχρι τοσοῦδε φιλία πρὸς ἀλλήλους ὑπωπτεύθη, συμφέρειν οὐχ ὑπολαμβάνοντι Ῥωμαίοις δυναστῶν τοσούτων συμφρόνησιν. Εὐθὺς οὖν ἑκάστῳ τῶν ἐπιτηδείων τινὰς πέμπων ἐπέστελλεν ἐπὶ τὰ ἑαυτοῦ δίχα μελλήσεως ἀπέρχεσθαι. Ταῦτα Ἀγρίππας ἀνιαρῶς ἐξεδέχετο, καὶ Μάρσῳ μὲν ἐκ τούτου διαφόρως ἔσχε, τὴν ἀρχιερωσύνην δὲ Ματθίαν ἀφελόμενος ἀντ' αὐτοῦ κατέστησεν ἀρχιερέα Ἐλιωναῖον τὸν τοῦ Κανθηρᾶ παῖδα.

β'. Τρίτον δὲ ἔτος αὐτῷ βασιλεύοντι τῆς ὅλης Ἰουδαίας πεπλήρωτο, καὶ παρῆν εἰς πόλιν Καισάρειαν, ἣ πρότερον Στράτωνος πύργος ἐκαλεῖτο. Συνετέλει δὲ ἐνταῦθα θεωρίας εἰς τὴν Καίσαρος τιμὴν, ὑπὲρ τῆς ἐκείνου σωτηρίας ἑορτήν τινα ταύτην ἐπιστάμενος. Καὶ παρ' αὐτὴν ἠθροιστο τῶν κατὰ τὴν ἐπαρχίαν ἐν τέλει καὶ προβεβηκότων εἰς ἀξίαν πλῆθος. Δευτέρᾳ δὲ τῶν θεωριῶν ἡμέρᾳ στολὴν ἐνδὺς ἐξ ἀργύρου πεποιημένην πᾶσαν, ὡς θαυμάσιον τὴν ὄψιν εἶναι, παρῆλθεν εἰς τὸ θέατρον ἀρχομένης ἡμέρας. Ἔνθα ταῖς πρώταις τῶν ἡλιακῶν ἀκτίνων ἐπιβολαῖς ὁ ἄργυρος καταυγασθεὶς θαυμασίως ἀπέστιλβε, μαρμαίρων τι φοβερὸν καὶ τοῖς εἰς αὐτὸν ἀτενίζουσι φρικῶδες. Εὐθὺς δὲ οἱ κόλακες τὰς οὐδὲ ἐκείνῳ πρὸς ἀγαθοῦ ταῖς ἀληθείαις ἄλλος ἄλλοθεν φωνὰς ἀνεβόων, Θεὸν προσαγορεύοντες, « εὐμενής τε εἴης, ἐπιλέγοντες, εἰ καὶ μέχρι νῦν ὡς « ἄνθρωπον ἐφοβήθημεν, ἀλλὰ τοὐντεῦθεν κρείττονά σε « θνητῆς φύσεως ὁμολογοῦμεν. » Οὐκ ἐπέπληξε τούτοις ὁ βασιλεὺς, οὐδὲ τὴν κολακείαν ἀσεβοῦσαν ἀπετρίψατο. Ἀνακύψας δ' οὖν μετ' ὀλίγον τὸν βουβῶνα τῆς ἑαυτοῦ κεφαλῆς ὑπερκαθεζόμενον εἶδεν ἐπὶ σχοινίου τινὸς, ἄγγελόν τε τοῦτον εὐθὺς ἐνόησεν κακῶν εἶναι, τὸν καί ποτε τῶν ἀγαθῶν γενόμενον, καὶ διακάρδιον ἔσχεν ὀδύνην. Ἄθρουν δὲ αὐτῷ τῆς κοιλίας προσέφυσεν

pacis voluptatem verteretur. Atque ita quidem hos omnes simul exitio dedit.

CAP. VIII.

Istis autem, quæ jam memoravimus, apud Berytum celebratis, in Tiberiadem Galilææ urbem migravit. Erat autem magna in admiratione apud ceteros reges. Ad eum igitur veniebat Antiochus Commagenæ rex, et Emesorum Sampsigeramus, et Cotys, qui in Armenia minori imperitabat, et Polemon, qui Ponti regnum tenebat, et Herodes, frater ejus idemque Chalcidis rex. Hos autem omnes ita hospitali mensa multaque hilaritate excepit, ut quammaxime animi sapientis altitudinem ostenderit, adeoque non immerito videretur regum præsentia cohonestari. Verumenimvero, dum illi adhuc apud eum morarentur, Marsus Syriæ præses supervenit. Servans igitur debitam Romanis reverentiam, ex urbe usque ad septem stadia illi obviam processit rex. Accidit autem ut hoc ei simultatis cum Marso initium fieret. Nam alios reges eodem curru vectos secum adduxerat: sed Marsus suspectam habuit illorum concordiam, et quod tanta invicem conjuncti essent amicitia, existimans tot virorum potentium consensum haud e re esse Romanorum. Mox itaque, certis quibusdam e necessariis suis ad singulos missis, imperavit ut sine mora domum quisque suam discederet. Ista Agrippa ægre accipiebat, et ex eo quidem tempore inter se dissentiebant. Matthiæ autem pontificatu adempto, vice ejus Elionæum Cantheræ filium pontificem constituit.

2. Tertius jam annus effluxerat, ex quo totius Judææ regno potiebatur, quum in urbem Cæsaream ingressus est, quæ antea Stratonis turris vocabatur. Illic autem in honorem Cæsaris spectacula edebat, quum intelligeret pro illius salute hos festos dies institutos fuisse. Ad quam festivitatem frequens numerus eorum, qui honore inter suos ac dignitate pollebant, ex tota provincia confluxerat. Secundo autem spectaculorum die, veste indutus tota ex argento admirabili opere contexta, processit in theatrum primo diluculo. Ibi argentum, primis solarium radiorum ictibus illustratum, mirum in modum resplendescebat, metuendum quiddam atque horrendum oculos in id defigentibus incutiens. Moxque adulatores, vocibus ne ipsi quidem bono futuris, alii aliunde acclamare, Deum appellantes, dicentesque, « propitius nobis esto, et licet hactenus te veluti « hominem reveriti sumus, dehinc tamen mortali sorte « majorem te habemus. » At rex neque illos objurgavit, neque impiam eorum adulationem rejecit. Post paululum vero oculis in altum sublatis, supra caput bubonem funiculo cuidam insidentem conspexit: et statim hunc malorum esse nuncium intellexit, qui et antea bonorum fuerat, moxque cordicitus dolebat. Accesserunt autem ventris

ἄλγημα, μετὰ σφοδρότητος ἀρξάμενον. Ἀναθορὼν οὖν πρὸς τοὺς φίλους, « ὁ Θεὸς ὑμῖν ἐγὼ, φησὶν, ἤδη « καταστρέφειν ἐπιτάττομαι τὸν βίον, παραχρῆμα τῆς « εἱμαρμένης τὰς ἄρτι μου κατεψευσμένας φωνὰς « ἐλεγχούσης, καὶ ὁ κληθεὶς ἀθάνατος ὑφ' ὑμῶν, ἤδη « θανεῖν ἀπάγομαι. Δεκτέον δὲ τὴν πεπρωμένην ἢ « Θεὸς βεβούληται. Καὶ γὰρ βεβιώκαμεν οὐδαμῇ « φαύλως, ἀλλ' ἐπὶ τῆς μακαριζομένης λαμπρότητος. » Ταῦθ' ἅμα λέγων ἐπιτάσει τῆς ὀδύνης κατεπονεῖτο. Μετὰ σπουδῆς οὖν εἰς τὸ βασίλειον ἐκομίσθη, καὶ διῆξε λόγος εἰς πάντας ὡς ἔχοι τοῦ τεθνάναι παντάπασι μετ' ὀλίγον. Ἡ πληθὺς δὲ αὐτίκα σὺν γυναιξὶ καὶ παισὶν ἐπὶ σάκκων καθεσθεῖσα τῷ πατρίῳ νόμῳ τὸν Θεὸν ἱκέτευεν ὑπὲρ τοῦ βασιλέως· οἰμωγῆς δὲ πάντα ἦν ἀνάπλεα καὶ θρήνων. Ἐν ὑψηλῷ δὲ ὁ βασιλεὺς δωματίῳ κατακείμενος καὶ κάτω βλέπων αὐτοὺς πρηνεῖς προσπίπτοντας, ἄδακρυς οὐδὲ αὐτὸς διέμενε. Συνεχῶς δὲ ἐφ' ἡμέρας πέντε τῷ τῆς γαστρὸς ἀλγήματι διεργασθεὶς τὸν βίον κατέστρεψεν, ἀπὸ γενέσεως ἄγων πεντηκοστὸν ἔτος καὶ τέταρτον, τῆς βασιλείας δὲ ἕβδομον. Τέτταρας μὲν οὖν ἐπὶ Γαΐου Καίσαρος ἐβασίλευσεν ἐνιαυτοὺς, τῆς Φιλίππου μὲν τετραρχίας εἰς τριετίαν ἀρξας, τῷ τετάρτῳ δὲ καὶ τὴν Ἡρῴδου προσειληφὼς, τρεῖς δὲ ἐπιλαβὼν ἐπὶ τῆς Κλαυδίου Καίσαρος αὐτοκρατορίας, ἐν οἷς τῶν τε προειρημένων ἐβασίλευσε καὶ τὴν Ἰουδαίαν προσέλαβε, Σαμάρειάν τε καὶ Καισάρειαν. Προσωδεύσατο δὲ ὅτι πλείστας αὐτῶν προσφορὰς, διακοσίας ἐπὶ χιλίαις μυριάδας· πολλὰς μέντοι προσεδανείσατο· πῷ γὰρ φιλόδωρος εἶναι δαψιλέστερα τῶν προσιόντων ἀνήλισκεν· ἦν δὲ ἀφειδὲς αὐτοῦ τὸ φιλότιμον.

γ'. Ἀγνοουμένης γε μὴν τοῖς πλήθεσι τῆς ἐκπνοῆς αὐτοῦ, συμφρονήσαντες Ἡρῴδης τε ὁ τῆς Χαλκίδος δυναστεύων καὶ Ἑλκίας ὁ ἔπαρχος καὶ φίλος τοῦ βασιλέως, Ἀρίστωνα ἔπεμψαν, τῶν ὑπηρετῶν τὸν ἐπιτηδειότατον, καὶ Σίλαν (ἐχθρὸς γὰρ ἦν αὐτοῖς) ἀπέσφαξαν, ὡς δὴ τοῦ βασιλέως κελεύσαντος.

ΚΕΦ. Θ'.

Ἀγρίππας μὲν οὖν ὁ βασιλεὺς τρόπῳ τοιούτῳ κατέστρεψε τὸν βίον· γένει δὲ αὐτῷ καταλέλειπτο υἱὸς μὲν Ἀγρίππας, ἄγων ἔτος ἐπτακαιδέκατον, τρεῖς δὲ θυγατέρες, ὧν ἡ μὲν Ἡρῳδὴ τοῦ πατρὸς ἀδελφῷ γεγάμητο Βερενίκη, τὸ ἑκκαιδέκατον ἔτος γεγονυῖα. Παρθένοι δὲ ἦσαν αἱ δύο, Μαριάμμη τε καὶ Δρούσιλλα, δεκαετὴς μὲν ἡ ἑτέρα, ἑξαετὴς δὲ Δρούσιλλα· καθωμολόγηντο δὲ ὑπὸ τοῦ πατρὸς πρὸς γάμον Ἰουλίῳ μὲν Ἀρχελάῳ τοῦ Χελκίου παιδὶ Μαριάμμη, Δρούσιλλα δὲ Ἐπιφανεῖ, τοῦ δὲ τῆς Κομμαγηνῆς βασιλέως Ἀντιόχου υἱὸς ἦν οὗτος. Ἀλλὰ γὰρ ὅτε ἐγνώσθη τὸν βίον ἐκλιπὼν Ἀγρίππας, Καισαρεῖς καὶ Σεβαστηνοὶ, τῶν εὐποιιῶν αὐτοῦ λαθόμενοι, τὰ τῶν δυσμενεστάτων ἐποίησαν. Βλασφημίας τε γὰρ ἀπερρίπτουν εἰς τὸν κατοιχόμενον ἀπρεπεῖς λέγεσθαι, καὶ ὅσοι στρατευόμενοι cruciatus, statim a principio vehementissimi. Exsiliens igitur ad amicos, ecce, inquit, Deus ego vester cogor « nunc e vita discedere, fati necessitate voces mihi affictas « protinus coarguente; et qui immortalis appellabor a vobis, « jam rapior ad mortem. Sed ferenda est fati conditio, « quandoquidem sic Deo visum est. Neque enim male et « abjecte vixímus, sed in eo splendore quem homines bea- « tissimum existimant. » Hæc quum diceret, augescente interim vi doloris torquebatur. Ocius igitur in palatium delatus est, rumorque continuo per urbem sparsus est in eo fere esse ut vitam relinquat. Statim autem plebs omnis cum uxoribus et liberis, stratis cilicíis more patrio sedens, Deum pro salute regis obsecrabat; atque omnia ejulatu et lamentis plena erant. Rex vero in excelso quodam solario decumbens, quum eos humi prostratos ex alto prospiceret, ne ipse quidem temperabat a lacrimis. Tandem continuis per quinque dies ventris doloribus confectus vitam finivit, annum agens ætatis quartum et quinquagesimum, regni vero septimum. Quattuor namque sub Caio Cæsare annis regnaverat, Philippi quidem tetrarchia potitus per triennium, quarto vero Herodis quoque *tetrarchia* adjuncta, tribus porro reliquis sub Claudii Cæsaris imperio exactis; in quibus et imperitabat prædictis *regionibus*, ac præterea Judæam accipiebat, Samariamque et Cæsaream. Quammaximos ex illis reditus percepit ad mille ducentas *drachmarum* myriadas: multas tamen ab aliis mutuatus est. Nam quum in dando munificus esset, impensis non sufficiebant reditus, quod liberalitatem, nulla adhibita parsimonia, exerceret.

3. Ceterum priusquam rumor in vulgus emanaret quod animam efflasset rex, Herodes dynasta Chalcidis et Helcias præfectus regisque amicus, uno consensu miserunt Aristonem, ministrorum fidelissimum, et Silam, cui inimici erant, occidendum curarunt, quasi rex id jussisset.

CAP. IX.

Et quidem Agrippa rex hoc modo vitam finivit: de genere autem suo reliquit filium Agrippam, annos natum septendecim et tres filias, quarum una Berenice annorum sexdecim nupta erat Herodi ipsius patruo. Duæ autem virgines erant, Mariamne et Drusilla, Mariamne quidem decennis, Drusilla vero sexennis: erantque a patre desponsatæ, Mariamne Julio Archelao Chelciæ filio, Drusilla Ephiphani Antiochi Commagenorum regis filio. Postquam autem cognitum est excessisse Agrippam, Cæsarenses et Sebasteni, beneficiorum ejus obliti, pro inimicissimis sese gesserunt. Nam et convicia dictu turpia in defunctum jactabant, et mi-

νοι τότε ἔτυχον (συχνοὶ δὲ ἦσαν) οἴκαδε ἀπῆλθον, καὶ τοὺς ἀνδριάντας τῶν τοῦ βασιλέως θυγατέρων ἁρπάσαντες δμοθυμαδὸν ἐκόμισαν εἰς τὰ πορνεῖα, καὶ στήσαντες ἐπὶ τῶν τεγῶν ὡς δυνατὸν ἦν ἐφύβριζον, ἀσχημονέστερα διηγήσεως ὁρῶντες. Ἐν τε τοῖς δημοσίοις κατακλινόμενοι τόποις πανδήμους ἐστιάσεις ἐπετέλουν, στεφανούμενοι καὶ μυριζόμενοι καὶ σπένδοντες τῷ Χάρωνι, προπόσεις τε τῆς τοῦ βασιλέως ἐκπνοῆς ἀλλήλοις ἀνταποδιδόντες. Ἀμνήμονες δὲ ἦσαν οὐκ Ἀγρίππα μόνον χρησαμένου πολλαῖς εἰς αὐτοὺς φιλοτιμίαις, ἀλλὰ καὶ τοῦ πάππου δὲ Ἡρώδου, ὅτι τὰς πόλεις ἐκεῖνος αὐτοῖς ἔκτισε, λιμένας τε καὶ ναοὺς κατεσκεύασε λαμπροῖς δαπανήμασιν.

β'. Ὁ δὲ τοῦ τεθνεῶτος υἱὸς Ἀγρίππας ἐπὶ Ῥώμης ἦν ἐν τῷ χρόνῳ τούτῳ, τρεφόμενος παρὰ Κλαυδίῳ Καίσαρι. Πυθόμενός γε μὴν Καῖσαρ ὅτι τέθνηκε μὲν Ἀγρίππας, Σεβαστηνοὶ δὲ καὶ Καισαρεῖς ὑβρίκασιν εἰς αὐτὸν, ἐπ' ἐκείνῳ μὲν ἤλγησεν, ἐπὶ δὲ τοὺς ἀχαριστήσαντας ὠργίσθη. Πέμπειν οὖν εὐθέως ὥρμητο τὸν νεώτερον Ἀγρίππαν τὴν βασιλείαν διαδεξόμενον, ἅμα βουλόμενος ἐμπεδοῦν τοὺς ὠμομοσμένους ὅρκους· ἀλλὰ τῶν ἐξελευθέρων καὶ φίλων οἱ πολὺ παρ' αὐτῷ δυνάμενοι ἀπέτρεψαν, σφαλερὸν εἶναι λέγοντες κομιδῇ νέῳ μηδὲ τοὺς παιδὸς ἐκβεβηκότι χρόνους ἐπιτρέπειν βασιλείας τηλικοῦτον μέγεθος, ᾧ μὴ δυνατὸν τὰς τῆς διοικήσεως φροντίδας ἐνεγκεῖν, καὶ τελείῳ δ' εἶναι βαρὺ βάσταγμα βασιλείαν. Ἔδοξεν οὖν αὐτοὺς εἰκότα λέγειν ὁ Καῖσαρ. Ἔπαρχον οὖν τῆς Ἰουδαίας καὶ τῆς ἁπάσης βασιλείας ἀπέστειλε Κούσπιον Φάδον, τῷ καταιχομένῳ διδοὺς τιμὴν τὸ μὴ Μάρσον ἐπαγαγεῖν εἰς βασιλείαν αὐτῷ διάφορον. Ἐγνώκει δὲ πρὸ πάντων ἐπιστεῖλαι τῷ Φάδῳ, Καισαρεῦσι καὶ Σεβαστηνοῖς ἐπιπλῆξαι τῆς εἰς τὸν κατοιχόμενον ὕβρεως καὶ παροινίας εἰς τὰς ἔτι ζώσας, τὴν ἴλην δὲ τῶν Καισαρέων καὶ τῶν Σεβαστηνῶν καὶ τὰς πέντε σπείρας εἰς Πόντον μεταγαγεῖν, ἵνα ἐκεῖ στρατεύοιντο· τῶν δὲ ἐν Συρίᾳ Ῥωμαϊκῶν ταγμάτων ἐπιλέξαι στρατιώτας κατ' ἀριθμοὺς, καὶ τὸν ἐκείνων ἀναπληρῶσαι τόπον. Οὐ μὴν οἱ κελευσθέντες μετέστησαν. Πρεσβευσάμενοι γὰρ Κλαύδιον ἀπεμειλίξαντο, καὶ μένειν ἐπὶ τῆς Ἰουδαίας ἐπέτυχον· οἳ καὶ τοῖς ἐπιοῦσι χρόνοις τῶν μεγίστων Ἰουδαίοις ἐγένοντο συμφορῶν ἀρχὴ, τοῦ κατὰ Φλῶρον πολέμου σπέρματα βαλόντες. Ὅθεν Οὐεσπασιανὸς κρατήσας, ὡς μετ' ὀλίγον ἐροῦμεν, ἐξήγαγεν αὐτοὺς τῆς ἐπαρχίας.

lites, qui tunc forte multi aderant, domum ejus adibant, et filiarum regis statuas abreptas unanimiter in lupanaria deportarunt, et collocatas super tectis modis omnibus ludibrio habuerunt, turpiora quam quæ dici possunt patrantes. Quin et locis publicis discumbentes magna frequentia convivia agebant, coronis redimiti et unguentis delibuti, libantes interim Charoni, et sibi invicem propinantes quod rex animam egisset. Atque ita immemores erant non solum Agrippæ, qui multa erga eos usus est liberalitate, sed et avi ejus Herodis, qui et ipse urbes illis exstruxit, portusque fecit et templa ædificavit sumptibus suis splendide et magnifice.

2. Defuncti autem filius Agrippa eo tempore Romæ erat et apud Claudium Cæsarem educabatur. Atqui Cæsar, quum auditione accepisset mortuum esse Agrippam, quodque Sebasteni et Cæsarenses contumeliosi in eum exstitissent, illius quidem causa indoluit, ingratis autem hominibus iratus est. Itaque in animo habuit Agrippam juniorem e vestigio mittere ut in regnum succederet, volens etiam fidem jurejurando datam confirmare : sed liberti et amici, qui plurimum apud eum poterant, dissuaserunt, periculosum esse dicentes adolescentulo admodum, et qui nondum ex ephebis excesserit, tantæ magnitudinis regnum committere, qui haud ferendo esset, administrationis curas, quum et adulto grave onus sit imperii moles. Eos igitur Cæsar verisimilia loqui existimavit, adeoque Cuspium Fadum misit, qui Judææ totiusque regni præses esset, defuncto hoc honoris tribuens, ne Marsum, cum quo Agrippæ erant inimicitiæ, in regnum ejus induceret. Ei autem decretum erat inprimis Fado mandare ut Cæsarenses et Sebastenos ob injurias castigaret defuncto illatas, factasque filiabus ejus adhuc viventibus contumelias; alam vero Cæsarensium et Sebastenorum et quinque cohortes in Pontum trajici jussit, ut ibidem militarent : militumque e Romanis legionibus, quæ in Syria erant, totidem numero delectum haberi, qui locum supplerent. Haud tamen ex jussu illius migrarunt. Missa enim legatione flexerunt Claudium, atque id assequuti sunt ut in Judæa manerent : qui in temporibus sequentibus maximarum calamitatum Judæis initium fuerunt, jactis ab illis belli sub Floro seminibus. Unde Vespasianus, quum Judæam vicisset, ut paulo post dicemus, eos e provincia eduxit.

ΒΙΒΛΙΟΝ ΕΙΚΟΣΤΟΝ.

α'. Ὡς Κλαύδιος Καῖσαρ μετὰ τὴν Ἀγρίππα τελευτὴν Φάδον ἐπεμψεν εἰς Ἰουδαίαν, ἐπίτροπον πραγμάτων ἐσόμενον.

β'. Στάσις Φιλαδελφέων πρὸς τοὺς ἐν τῇ Περαίᾳ κατοικοῦντας Ἰουδαίους περὶ ὅρων κώμης Μιᾶς· καὶ ὡς ὑπὸ τούτων πολλῶν ἀναιρεθέντων Φιλαδελφηνῶν, Φάδος ἀγανακτήσας τῶν ἐν Περαίᾳ Ἰουδαίων τοὺς πρώτους τρεῖς ἄνδρας λαβὼν ἀπέκτεινεν.

γ'. Ὡς Θολομαῖος ὁ ἀρχιλῃστὴς τοὺς Ἄραβας λῃστεύων λῃφθεὶς καὶ ἐπὶ Φάδον ἀχθεὶς ἀνῃρέθη.

δ'. Ὡς Φάδος καὶ Κάσσιος Λογγῖνος ὁ τῆς Συρίας ἡγεμὼν, ἀναβάντες εἰς Ἱεροσόλυμα, τοῖς πρώτοις τῶν Ἰουδαίων ἐκέλευσαν τὸν ποδήρη [χιτῶνα] καὶ τὴν ἱερὰν στολὴν ἐν τῇ Ἀντωνίᾳ καταθέσθαι, [κειμένην] ὑπὸ τῇ Ῥωμαίων ἐξουσίᾳ, καθὰ καὶ πρότερον ἦν.

ε'. Παράκλησις ἐπὶ τούτῳ τῶν Ἰουδαίων πρὸς Φάδον καὶ Λογγῖνον, ἀξιούντων αὐτοὺς ἐπιτρέψαι πέμψαι πρεσβείαν πρὸς Καίσαρα Κλαύδιον περὶ τούτου.

ς'. Ὡς Φάδος λαβὼν ὁμήρους ἐπέτρεψεν.

ζ'. Ὡς Κλαύδιος Καῖσαρ, παρακληθεὶς ὑπ' Ἀγρίππα τοῦ νεωτέρου, συνεχώρησε τοῖς Ἰουδαίοις τὰ αἰτήματα, καὶ πρὸς Φάδον ἔγραψε περὶ τούτων.

η'. Ὃν τρόπον Ἑλένη τῶν Ἀδιαβηνῶν βασιλὶς καὶ οἱ παῖδες αὐτῆς Μονόβαζος καὶ Ἴζάτης καὶ τὸ πᾶν γένος αὐτῶν ἐζήλωσαν τὰ Ἰουδαίων ἔθη.

θ'. Ὡς Τιβέριος Ἀλέξανδρος, ἐπίτροπος εἰς Ἰουδαίαν ἐλθών, τοὺς υἱοὺς Ἰούδα τοῦ Γαλιλάου τὸν ὄχλον ἀπατῶντας ἐκόλασεν.

ι'. Περὶ τοῦ λιμοῦ τοῦ γενομένου κατὰ τὴν χώραν.

ια'. Κουμάνου ἄφιξις εἰς τὴν Ἰουδαίαν, ἐπιτρόπου πεμφθέντος ὑπὸ Καίσαρος.

ιβ'. Ὡς Ἡρῴδου τελευτήσαντος τοῦ τῆς Χαλκίδος βασιλέως, Ἀγρίππας ὁ νεώτερος τὴν ἀρχὴν ἔλαβεν, δόντος αὐτῷ Κλαυδίου Καίσαρος.

ιγ'. Ὡς ἐπὶ τοῦ Κουμάνου πολλοὶ τῶν Ἰουδαίων κατὰ τὸ ἱερὸν ἀπώλοντο.

ιδ'. Στάσις Ἰουδαίων πρὸς Σαμαρεῖς, καὶ ὡς πολλοὶ διεφθάρησαν τῶν Σαμαρειτῶν.

ιε'. Ὡς Οὐμμίδιος Κουαδρᾶτος ὁ τῆς Συρίας ἡγεμὼν, ἀκούσας ταῦτα καὶ ἀναβὰς εἰς Ἰουδαίαν, τοὺς πρώτους τῶν Ἰουδαίων καὶ Σαμαρειτῶν ἐκέλευσεν εἰς Ῥώμην ἀναβῆναι, ὁμοίως καὶ Κούμανον τὸν ἐπίτροπον, καὶ Κέλερα τὸν χιλίαρχον, λόγον ὑφέξοντας Κλαυδίῳ Καίσαρι περὶ τῶν πεπραγμένων· τινὰς δὲ τῶν Ἰουδαίων αὐτὸς ἐκόλασεν.

ις'. Ὡς Κλαύδιος ἀκούσας αὐτῶν, τοὺς μὲν Ἰουδαίους τῆς αἰτίας ἀπέλυσε, παρακληθεὶς ὑπὸ τοῦ βασιλέως Ἀγρίππα, Κούμανον δὲ ἐξώρισε, Κέλερα δὲ τὸν χιλίαρχον καὶ τοὺς πρώτους τῶν Σαμαρειτῶν ἐκόλασεν.

ιζ'. Ὃν τρόπον, Κλαυδίου τελευτήσαντος, Νέρων τὴν ἀρχὴν διεδέξατο.

ιη'. Ὡς Φῆλιξ, ἐπίτροπος πεμφθείς, καὶ καταλαβὼν τὴν χώραν κεκακωμένην ὑπὸ τῶν λῃστῶν, προὐνοήσατο διαφθείρας αὐτοὺς εἰρήνην ἐν τῇ χώρᾳ καταστῆσαι, τὸν δὲ πρῶτον τῶν λῃστῶν Ἐλεάζαρον ὄνομα δήσας εἰς Ῥώμην ἀνέπεμψεν.

ιθ'. Ὡς ἐπιδημήσαντος Αἰγυπτίου γόητος καὶ πολλῶν Ἰουδαίων ὑπ' αὐτοῦ πλανηθέντων, Φῆλιξ, ἐπεξελθὼν αὐτοῖς, πολλοὺς ἀπέκτεινεν.

κ'. Ὡς στασιάζοντας Ἰουδαίων τοὺς πρώτους ἐν Καισαρείᾳ πρὸς τοὺς Σύρους Φῆλιξ ὁ ἐπίτροπος ἔπαυσεν.

κα'. Ὡς Πορκίου Φήστου πεμφθέντος εἰς τὴν Ἰουδαίαν ἐπιτρόπου, συνέβη κακωθῆναι τὴν χώραν ὑπὸ τῶν Σικαρίων. Περὶ τῆς στοᾶς τοῦ ἔσωθεν ἱεροῦ, καὶ ὃν τρόπον ὕψωσαν αὐτὴν οἱ Ἰουδαῖοι.

LIBER VICESIMUS.

1. Quomodo Claudius Cæsar post Agrippæ mortem Fadum in Judæam misit, ut res procuraret.

2. Dissidium inter Philadelphenses et Judæos Perææ incolas de Miæ vici finibus : utque Fadus, multis Philadelphensium ab istis occisis, vehementer iratus, tres primores Judæorum in Peræa comprehensos interfecit.

3. Quomodo Tholomæus latronum princeps, dum populatur Arabas, captus et ad Fadum adductus perimitur.

4. Quomodo Fadus et Cassius Longinus Syriæ præses, quum ascendissent in Hierosolyma, ju s·runt primores Judæorum in castellum Antoniam deponere talarem [tunicam] et pontificiam stolam, ut esset in Romanorum potestate quemadmodum olim fuerat.

5. Judæorum hac de re supplicatio ad Fadum et Longinum, eos rogantium, ut legatos sibi liceat ad Claudium Cæsarem mittere super hac re.

6. Ut Fadus datis obsidibus illis annuit.

7. Quomodo Claudius Cæsar, supplicante et Agrippa juniore, cessit Judæorum precibus, et ad Fadum de illis scripsit.

8. Quemadmodum Helena Adiabenorum regina, ejusque filii Monobazus et Izates cum tota ipsorum progenie Judæorum religionem amplexi sunt.

9. Quomodmodo Tiberius Alexander, quum procurator in Judæam venisset, animadvertit in Judæ Galilæi filios populum decipientes.

10. De fame quæ regionem pervaserat.

11. Cumani, procuratoris a Cæsare missi, in Judæam adventus.

12. Quomodo Agrippa junior, mortuo Herode Chalcidis rege, hoc imperium accepit beneficio Claudii Cæsaris.

13. Quomodo sub Cumano plurimi Judæorum circa templum, oppressi sunt.

14. Dissensio inter Samaritas et Judæos, atque ut multi Samaritarum occisi sunt.

15. Quomodo Ummidius Quadratus Syriæ præses, quum ista audisset et in Judæam ascendisset, primores Judæorum et Samaritarum Romam proficisci jussit, simulque Cumanum procuratorem et Celerem tribunum, factorum rationem Claudio Cæsari reddituros : Judæorum autem quosdam ipse supplicio affecit.

16. Quomodo Claudius, illis auditis, Judæos quidem crimine absolvit, eo adductus precibus regis Agrippæ, Cumanum vero in exsilium egit, et a Celere tribuno et a primoribus Samaritarum pœnas exegit.

17. Quemadmodum Claudio mortuo Nero in imperium successit.

18. Quomodo Felix procurator in Judæam missus, quum regionem offendisset latronibus vexatam, illis peremptis pacem stabiliendam curavit ; principem autem latronum, nomine Eleazarum, vinctum Romam misit.

19. Quomodo Felix, quum impostor Ægyptius apud Judæos ageret, multosque illorum decepisset, eruptionem in eos fecit, plurimosque eorum occidit.

20. Quemadmodum Felix procurator seditionem, inter primores Judæorum et Syros Cæsareæ ortam, compressit.

21. Quomodo contigit Judæam a Sicariis afflictam esse, Porcio Festo in regionem misso procuratore. De porticu exteriori templi, et quomodo ipsam in altum exstruxerunt Judæi.

κϐ'. Ὡς Φῆστος, ἀγανακτήσας ἐπὶ τούτῳ, τοὺς πρώτους τῶν Ἰουδαίων εἰς Ῥώμην ἔπεμψε πρὸς Νέρωνα, πείσοντας αὐτὸν περὶ τῶν πεπραγμένων.

κγ'. Ὡς, τελευτήσαντος Φήστου ἐν τῇ Ἰουδαίᾳ, Ἀλβῖνος ἦλθε διάδοχος.

κδ'. Ὡς ἐπὶ τούτου ἐπαύσαντο οἱ Σικάριοι τὴν χώραν κακοποιεῖν.

κε'. Ὡς Φλῶρος, ἐλθὼν Ἀλβίνῳ διάδοχος, τοσαῦτα διέθηκε τοὺς Ἰουδαίους κακὰ, ὡς ἀναγκάσαι αὐτοὺς ἐφ' ὅπλα χωρῆσαι.

Περιέχει ἡ βίβλος χρόνον ἐτῶν κϐ'.

22. Quomodo Festus, quum hanc rem ægre tulisset, primores Judæorum Romam ad Neronem misit, qui omnia recte facta esse ei persuaderent.

23. Quomodo Albinus Festo, in Judæa mortuo, successurus veniebat.

24. Quomodo sub hoc Sicarii regionem infestare desierunt.

25. Quemadmodum Florus, factus Albini successor, tot malis afflixit Judæos, ut eos ad arma sumenda compulerit.

Continet hic liber tempus annorum XXII.

ΚΕΦ. Α'.

Τελευτήσαντος δὲ τοῦ βασιλέως Ἀγρίππα, καθὼς ἐν τῇ πρὸ ταύτης ἀπηγγέλκαμεν βίβλῳ, πέμπει Μάρσῳ διάδοχον Κλαύδιος Καῖσαρ Κάσσιον Λογγῖνον, μνήμῃ τῇ τοῦ βασιλέως τοῦτο χαριζόμενος, πολλὰ διὰ γραμμάτων ὑπ' αὐτοῦ περιόντος ἀξιωθείς, μηκέτι Μάρσον τῶν κατὰ τὴν Συρίαν πραγμάτων προΐστασθαι. Φάδος δὲ ὡς εἰς τὴν Ἰουδαίαν ἐπίτροπος ἀφίκετο, καταλαμβάνει στασιάσαντας τοὺς εἰς τὴν Περαίαν κατοικοῦντας Ἰουδαίους πρὸς Φιλαδελφηνοὺς περὶ ὅρων κώμης Μιᾶς λεγομένης, πολεμίων ἀνδρῶν ἀνάπλεω. Καὶ δὴ οἱ τῆς Περαίας, χωρὶς γνώμης τῶν πρώτων παρ' αὐτοῖς ἀναλαβόντες τὰ ὅπλα, πολλοὺς τῶν Φιλαδελφηνῶν διαφθείρουσι. Ταῦτα πυθόμενον τὸν Φάδον σφόδρα παρώξυνεν, ὅτι μὴ τὴν κρίσιν αὐτῷ παραλίποιεν, εἴπερ ὑπὸ τῶν Φιλαδελφηνῶν ἐνόμιζον ἀδικεῖσθαι, ἀλλ' ἀδεῶς ἐφ' ὅπλα χωρήσειαν. Λαβὼν οὖν τρεῖς τοὺς πρώτους αὐτῶν, τοὺς καὶ τῆς στάσεως αἰτίους, δῆσαι προσέταξεν· εἶτα τὸν μὲν αὐτῶν ἀνεῖλεν, (Ἀννίβας δὲ ἦν ὄνομα τούτῳ,) Ἀμαράμῳ δὲ καὶ Ἐλεαζάρῳ τοῖς δυσὶ φυγὴν ἐπέβαλεν. Ἀναιρεῖται δὲ καὶ Θολομαῖος ὁ ἀρχιλῃστὴς, μετ' οὐ πολὺν χρόνον ἀχθεὶς δέσμιος ἐπ' αὐτὸν, διατεθεικὼς μέγιστα κακὰ τὴν Ἰδουμαίαν καὶ τοὺς Ἄραβας. Ἐκαθάρθη τε λῃστηρίων ἅπασα τοὐντεῦθεν ἡ Ἰουδαία, φροντίδι καὶ προνοίᾳ τῇ Φάδου· ὃς δὴ καὶ τότε μεταπεμψάμενος τοὺς ἀρχιερεῖς καὶ τοὺς πρώτους Ἱεροσολυμιτῶν κατὰ τὴν κέλευσιν τοῦ αὐτοκράτορος παρῄνεσεν αὐτοῖς τὸν ποδήρη χιτῶνα καὶ τὴν ἱερὰν στολὴν, ἣν φορεῖν μόνος ὁ ἀρχιερεὺς ἔθος ἔχει, εἰς τὴν Ἀντωνίαν, ἥπερ ἐστὶ φρούριον, καταθέσθαι, κειμένην ὑπὸ τῇ Ῥωμαίων ἐξουσίᾳ, καθὰ δὴ καὶ πρότερον ἦν. Οἱ δὲ ἀντιλέγειν μὲν οὐκ ἐτόλμων, παρεκάλουν δὲ ὅμως τόν τε Φάδον καὶ τὸν Λογγῖνον, (ἀφίκετο γὰρ καὶ οὗτος εἰς τὰ Ἱεροσόλυμα, πολλὴν ἐπαγόμενος δύναμιν, φόβῳ τοῦ μὴ τὰ προστάγματα Φάδου τὸ πλῆθος τῶν Ἰουδαίων νεωτερίζειν ἀναγκάσῃ,) πρῶτον μὲν αὐτοῖς ἐπιτρέψαι πρέσβεις ὡς Καίσαρα πέμψαι τοὺς αἰτησομένους παρ' αὐτοῦ τὴν ἱερὰν στολὴν ὑπὸ τὴν αὐτῶν ἐξουσίαν ἔχειν, εἶτα δὲ περιμεῖναι, ἕως ἂν γνῶσι τί πρὸς ταῦτα Κλαύδιος ἀποκρίναιτο. Οἱ δὲ ἐπιτρέψειν αὐτοῖς ἔφασαν ἀποστεῖλαι τοὺς πρέσβεις, εἰ λάβοιεν

CAP. I.

Exstincto autem rege Agrippa, quemadmodum in superiore libro narravimus, Cassium Longinum in locum Marsi successurum mittit Claudius Cæsar, memoriæ regis hoc ipsum tribuens; a quo dum viveret sæpe per literas rogatus fuerat ut nollet Marsum amplius rebus Syriæ præesse. At vero Fadus, ubi procurator in Judæam veniebat, offendit Judæos Peræam habitantes seditionem movisse contra Philadelphenses de vici Miæ nomine finibus, referti viris hostilibus. Ac Perææ incolæ, insciis primoribus illorum, arma sumpserant, multosque Philadelphensium occiderant. Ista Fadum, ubi de iis aliquid resciverat, valde commoverunt, quod integram ipsi causam non reservassent, si putarent sibi factam a Philadelphensibus injuriam, sed temere ad arma concurrissent. Comprehensis itaque tribus illorum primoribus, qui et seditionis auctores erant, imperavit ut in vincula conjicerentur. Deinde horum quidem unum, Annibam nomine, interfici jussit, Amaramum vero et Eleazarum ambos exsilio multavit. Etiam Tholomæus latronum princeps, qui multa mala Idumæis et Arabibus intulerat, non multo post vinctus ad eum adductus supplicio afficitur: atque exinde Judæa omnis latrociniis perpurgata est diligentia et cura Fadi. Is dein, accitis statim pontificibus et Hierosolymitarum proceribus, prout ipsi in mandatis dederat Imperator, admonuit eos ut tunicam talarem et stolam sacram, quam solum pontificem summum gestare moris erat, in Antoniam castellum reponerent, ut in Romanorum potestate esset, quemadmodum et olim erat. Illi refragari quidem non audebant, rogabant tamen Fadum et Longinum, (nam et ille Hierosolyma venerat, magnis copiis secum adductis, metuens ne quæ injunxerat Fadus Judæorum vulgus ad res novas moliendas impellerent,) primum ut legatos ad Cæsarem sibi liceret mittere, ab eo petituros ut sacram stolam in sua potestate haberent; deinde ut manerent paulisper dum certiores facti essent, quid ad ista Claudius responderet. Illi vero se permissuros esse dixerunt ut legatos mitterent, modo liberos eorum pro

τοὺς παῖδας ὁμηρεύσοντας. Ὑπακουσάντων δὲ ἑτοίμως ἐκείνων καὶ δόντων, ἐξεπέμφθησαν οἱ πρέσβεις. Παραγενομένων δὲ εἰς τὴν Ῥώμην αὐτῶν, γνοὺς ὁ νεώτερος Ἀγρίππας, ὁ τοῦ τετελευτηκότος παῖς, καθ' ἣν ἤκουσιν αἰτίαν, (ἐτύγχανε δὲ ὢν παρὰ Κλαυδίῳ Καίσαρι, καθὼς καὶ πρότερον εἴπομεν,) παρακαλεῖ τὸν Καίσαρα συγχωρῆσαι τοῖς Ἰουδαίοις ἅπερ ἠξίουν περὶ τῆς ἱερᾶς στολῆς, καὶ Φάδῳ περὶ τούτων ἀποστεῖλαι.

β'. Καλέσας δὲ Κλαύδιος τοὺς πρέσβεις ἔφη ταῦτα συγχωρεῖν, καὶ ἐκέλευεν αὐτοὺς Ἀγρίππα χάριν εἰδέναι, (ταῦτα γὰρ ἐκείνου ποιεῖν ἀξιώσαντος,) ἐπί τε ταῖς ἀποκρίσεσι τοιαύτην ἐπιστολὴν ἔδωκε. « Κλαύδιος Καῖσαρ, « Γερμανικὸς, δημαρχικῆς ἐξουσίας τὸ πέμπτον, ὕπα- « τος ἀποδεδειγμένος τὸ τέταρτον, αὐτοκράτωρ τὸ δέ- « κατον, πατὴρ πατρίδος, Ἱεροσολυμιτῶν ἀρχουσι, « βουλῇ, δήμῳ, Ἰουδαίων παντὶ ἔθνει χαίρειν. Ἀγρίππα « τοῦ ἐμοῦ, ὃν ἐγὼ ἔθρεψα καὶ ἔχω σὺν ἐμαυτῷ εὐσεβέ- « στατον ὄντα, προσαγαγόντος μοι τοὺς ὑμετέρους πρέ- « σβεις, εὐχαριστοῦντας ἐφ' ᾗ πεποίημαι τοῦ ἔθνους « ὑμῶν κηδεμονίᾳ, καὶ αἰτησαμένων σπουδαίως καὶ « φιλοτίμως τὴν ἱερὰν ἐσθῆτα καὶ τὸν στέφανον ὑπὸ τὴν « ἐξουσίαν ὑμῶν εἶναι, συγχωρῶ, καθὼς ὁ κράτιστος « καί μοι τιμιώτατος Οὐιτέλλιος ἐποίησε. Συγκατε- « θέμην δὲ τῇ γνώμῃ ταύτῃ, πρῶτον διὰ τὸ ἐμαυτοῦ « εὐσεβὲς καὶ τὸ βούλεσθαι ἑκάστους κατὰ τὰ πάτρια « θρησκεύειν· ἔπειτα εἰδὼς ὅτι καὶ αὐτῷ βασιλεῖ « Ἡρῴδῃ καὶ Ἀριστοβούλῳ τῷ νεωτέρῳ, ὧν τὴν πρὸς « ἐμαυτὸν εὐσέβειαν καὶ τὴν περὶ ὑμᾶς γινώσκω σπου- « δὴν, πάνυ χαριοῦμαι ταῦτα ποιήσας, πρὸς οὓς ἐστί « μοι πλεῖστα δίκαια φιλίας κρατίστους ὄντας καὶμοὶ « τιμίους. Ἔγραψα δὲ περὶ τούτων καὶ Κουσπίῳ « Φάδῳ τῷ ἐμῷ ἐπιτρόπῳ. Οἱ τὰ γράμματα κομί- « ζοντες Κορνήλιος Κέρωνος, Τρύφων Θευδίωνος, Δω- « ρόθεος Ναθαναήλου, Ἰωάννης Ἰωάννου. Ἐγράφη « πρὸ τεσσάρων καλανδῶν Ἰουλίου ἐπὶ ὑπάτων Ῥούφου « καὶ Πομπηίου Σιλουανοῦ. »

γ'. Ἠτήσατο δὲ καὶ Ἡρῴδης, ὁ ἀδελφὸς μὲν Ἀγρίππα τοῦ τετελευτηκότος, Χαλκίδος δὲ τὴν ἀρχὴν κατὰ τὸν χρόνον ἐκεῖνον πεπιστευμένος, Κλαύδιον Καίσαρα τὴν ἐξουσίαν τοῦ νεὼ καὶ τῶν ἱερῶν χρημάτων, καὶ τὴν τῶν ἀρχιερέων χειροτονίαν, πάντων τε ἐπέτυχεν· ἐξ ἐκείνου τε πᾶσι τοῖς ἀπογόνοις αὐτοῦ παρέμεινεν ἡ ἐξουσία μέχρι τῆς τοῦ πολέμου τελευτῆς. Καὶ δὴ ὁ Ἡρῴδης μεθίστησι τῆς ἀρχιερωσύνης τὸν ἐπικαλούμενον Κανθηρᾶν, Ἰωσήπῳ τῷ τοῦ Καμεὶ ἀντ' ἐκείνου τὴν διαδοχὴν τῆς τιμῆς παραχώρησαντος.

ΚΕΦ. Β'.

Κατὰ τοῦτον δὲ τὸν καιρὸν τῶν Ἀδιαβηνῶν βασιλὶς Ἑλένη καὶ ὁ παῖς αὐτῆς Ἴζατης εἰς τὰ Ἰουδαίων ἔθη τὸν βίον μετέβαλλον διὰ τοιαύτην αἰτίαν. Μονόβαζος ὁ τῶν Ἀδιαβηνῶν βασιλεὺς, ᾧ καὶ Βαζαῖος ἐπίκλησις ἦν, τῆς ἀδελφῆς Ἑλένης ἁλοὺς ἔρωτι πρὸς γάμου κοινωνίαν ἄγεται, καὶ κατέστησεν ἐγκύμονα. Συγκα-

obsidibus acciperent. Quum autem Judæi alacriter dicto ei audissent et liberos dedissent, protinus missi sunt legati. Ubi vero Romam pervenerunt, Agrippa junior, defuncti filius, (qui tum forte apud Claudium Cæsarem agebat, ut jam ante diximus,) quum causam adventus eorum cognovisset, rogavit Cæsarem, ut Judæorum precibus de sacra stola annuere non gravaretur, utque mandata de istis quæ petierunt ad Fadum mitteret.

2. Tum Claudius, vocatis ad se legatis, dicebat se ista eis concedere, illisque præcipiebat ut Agrippæ gratias haberent, (se enim ista facere ad illius intercessionem,) et, præter responsa quæ illis reddidit, hujusmodi epistolam misit. « Claudius Cæsar, Germanicus, Tribunitiæ pote- « statis quintum, Consul designatus quartum, Imperator « decimum, Pater Patriæ, Hierosolymitarum magistra- « tibus, senatui, populo, toti Judæorum genti salutem. « Quoniam Agrippa meus, alumnus meus et quem mecum « habeo utpote pientissimum, vestros legatos ad me ad- « duxit, gratias agentes pro mea de gente vestra cura et « providentia, et enixe certatimque precatos, ut stolam « sacram atque coronam in vestra potestate habeatis, con- « cedo quemadmodum vir optimus et mihi carissimus Vitel- « lius fecerat. Huic autem vestræ voluntati obsequutus sum, « inprimis quod id mihi mea suaserit pietas quodque vo- « luerim ut omnes Deum patrio ritu venerentur : dein quod « noverim me ita faciendo magnam ab ipso rege Herode et « juniore Aristobulo, quorum in me pietatem et erga vos « studium perspectum habeo, gratiam initurum esse, qui- « buscum, viris optimis et mihi carissimis, multis officiis « mihi intercessit amicitia. De istis autem scripsi et Cuspio « Fado procuratori. Nomina literas deferentium hæc sunt : « Cornelius Ceronis, Tryphon Theudionis, Dorotheus Na- « thanaelis, Joannes Joannis *filius*. Datæ quarto kalen- « das Julias, Rufo et Pompejo Silvano consulibus. »

3. Præterea Herodes (Agrippæ quidem defuncti frater, cui vero illo tempore commissus erat Chalcidis principatus) petiit a Claudio Cæsare templi potestatem sacræque pecuniæ, ut et jus creandi summos pontifices; atque hæc omnia impetravit : adeo etiam ut ab illo omnibus ejus posteris ea potestas usque ad belli exitum manserit. Igitur Herodes a sacerdotio submovit Cantheran ita appellatum, fecitque ut Josephus Cami filius ejus in locum et honorem succederet.

CAP. II.

Per idem tempus Adiabenorum regina Helena, et filius ejus Izates vitam instituerunt ex legibus Judæorum, ex hujusmodi causa. Monobazus Adiabenorum rex, cognomento Bazæus, Helenæ sororis amore captus eo processit ut matrimonio eam sibi jungeret : nec multo post gravidam reddidit. Aliquando autem cum ea dormiens, manu su-

Θεούδων δέ ποτε τῇ γαστρὶ τῆς γυναικὸς τὴν χεῖρα προσαναπάυσας, ἡνίκα καθύπνωσε, φωνῆς τινος ἔδοξεν ἀκούειν κελευούσης αἴρειν ἀπὸ τοῦ νηδύος τῆς χεῖρα, καὶ μὴ ὀλίβειν τὸ ἐν αὐτῇ βρέφος, Θεοῦ προνοίᾳ καὶ ἀρχῆς τυχὸν καὶ τέλους εὐτυχοῦς τευξόμενον. Ταραχθεὶς οὖν ὑπὸ τῆς φωνῆς, εὐθὺς διεγερθεὶς ἔφραζε τῇ γυναικὶ ταῦτα, καὶ γεννώμενον τὸν υἱὸν Ἰζάτην ἐπεκάλεσεν. Ἦν δὲ αὐτῷ Μονόβαζος τούτου πρεσβύτερος ἐκ τῆς Ἑλένης γενόμενος, ἄλλοι τε παῖδες ἐξ ἑτέρων γυναικῶν. Τὴν μέντοι πᾶσαν εὔνοιαν ὡς εἰς μονογενῆ τὸν Ἰζάτην ἔχων φανερὸς ἦν. Φθόνος δὴ τοὐντεῦθεν τῷ παιδὶ παρὰ τῶν ὁμοπατρίων ἀδελφῶν ἐφύετο, κοὐκ τούτου μῖσος ηὔξετο, λυπουμένων ἁπάντων ὅτι τὸν Ἰζάτην αὐτῶν ὁ πατὴρ προτιμᾷη. Ταῦτα δὲ καίπερ σαφῶς αἰσθανόμενος ὁ πατὴρ ἐκείνοις μὲν συνεγίνωσκεν, ὡς μὴ διὰ κακίαν αὐτὸ πάσχουσιν, ἀλλ' ἴσης παρὰ τοῦ πατρὸς αὐτῶν ἕκαστον ἀξιοῦν εὐνοίας τυγχάνειν· τὸν δὲ νεανίσκον (σφόδρα γὰρ ἐδεδοίκει περὶ αὐτοῦ μὴ μισούμενος ὑπὸ τῶν ἀδελφῶν πάθοι τι) πολλοῖς δωρησάμενος πρὸς Ἀβεννήριγον ἐκπέμπει τὸν Σπασίνου χάρακος βασιλέα, παρακατατιθέμενος ἐκείνῳ τὴν τοῦ παιδὸς σωτηρίαν. Ὁ δὲ Ἀβεννήριγος ἀσμένως τε δέχεται τὸν νεανίαν καὶ διὰ πολλῆς ἄγων εὐνοίας γυναῖκα μὲν αὐτῷ τὴν θυγατέρα (Συμαχῷ δὲ ἦν ὄνομα ταύτῃ) δίδωσι· δωρεῖται δὲ χώραν αὐτῷ ἐξ ἧς μεγάλας λήψοιτο προσόδους.

γ'. Μονόβαζος δέ, ἤδη γηραιὸς ὢν καὶ τοῦ ζῆν ὀλίγον αὐτῷ τὸν λοιπὸν ὁρῶν χρόνον, ἠθέλησεν εἰς ὄψιν ἀφικέσθαι τῷ παιδὶ πρὸ τοῦ τελευτῆσαι. Μεταπεμψάμενος οὖν αὐτὸν ἀσπάζεται φιλοφρονέστατα, καὶ χώραν δίδωσι Καρρῶν λεγομένην. Φέρειν δὲ ἡ γῆ πλεῖστον τὸ ἄμωμον ἀγαθή· ἔστι δ' ἐν αὐτῇ καὶ τὰ λείψανα τῆς λάρνακος, ᾗ Νώεον ἐκ τῆς ἐπομβρίας διασεσῶσθαι λόγος ἔχει, καὶ μέχρι νῦν ταῦτα τοῖς ἰδεῖν βουλομένοις ἐπιδείκνυται. Διέτριβεν οὖν ὁ Ἰζάτης ἐν τῇ χώρᾳ ταύτῃ μέχρι τῆς τελευτῆς τοῦ πατρός. Ἡ δὲ ἐξέλιπεν ἡμέρᾳ τὸν βίον ὁ Μονόβαζος, ἡ βασιλὶς Ἑλένη μεταπέμπεται πάντας τοὺς μεγιστᾶνας καὶ τῆς βασιλείας σατράπας καὶ τοὺς τὰς δυνάμεις πεπιστευμένους· οἷς ἀφικομένοις, « ὅτι μὲν ὁ ἐμὸς ἀνήρ, εἶπε, τῆς βασιλείας « αὐτῷ διάδοχον Ἰζάτην ἠύξατο γενέσθαι καὶ τοῦτον « ἄξιον ἔκρινεν, οὐδὲ ὑμᾶς λελῆθέναι δοκῶ, περιμένω « δὲ ὅμως καὶ τὴν ὑμετέραν κρίσιν. Μακάριος γὰρ « οὐχ ὁ παρ' ἑνός, ἀλλὰ παρὰ πλειόνων καὶ θελόντων « τὴν ἀρχὴν λαμβάνων. » Ἡ μὲν ταῦτα εἶπεν ἐπὶ πείρᾳ τοῦ τί φρονοῖεν οἱ συγκληθέντες. Οἱ δὲ ἀκούσαντες πρῶτον μὲν προσεκύνησαν τὴν βασιλίδα, καθὼς ἔθος ἐστὶν αὐτοῖς· εἶτα ἔφασαν τὴν τοῦ βασιλέως γνώμην βεβαιοῦν, καὶ ὑπακούσεσθαι χαίροντες Ἰζάτῃ δικαίως ὑπὸ τοῦ πατρὸς προκριθέντι τῶν ἀδελφῶν κατὰ τὰς εὐχὰς τῶν ἁπάντων. Βούλεσθαί τε ἔφασαν προαποκτεῖναι πρῶτον αὐτοῦ τοὺς ἀδελφοὺς καὶ συγγενεῖς, ὑπὲρ τοῦ τὴν ἀρχὴν Ἰζάτην μετ' ἀσφαλείας κατασχεῖν· φθαρέντων γὰρ ἐκείνων καθαιρεθήσεσθαι πάντα τὸν φόβον

per ventre illius requiescente, sopitus audire vocem visus est, quæ manum de utero tollere juberet, ne infantulum in eo gestatum læderet, qui Dei providentia ortum habuerit finemque felicem sit consequuturus. Ea voce turbatus, statimque expergefactus e somno, uxori ista narrat, filiumque natum Izaten nomine vocavit. Erat autem ipsi Monobazus eo grandior ætate, quem ex Helena susceperat; aliique filii ex aliis uxoribus. Hunc tamen, ac si unicus illi exstitisset, omni sua benevolentia non dissimulanter impertiit. Qua re fiebat ut puero invideretur a fratribus ex eodem patre : atque inde excitatum est odium, omnibus vicem suam dolentibus, quod Izaten ipsis præferat pater. Ista quamvis satis pater intelligeret, illis tamen ignoscebat, utpote non ex malitia ita animo affectis, sed pariter a patre suo unoquoque diligi volentibus, adolescentem vero, (nam de eo valde metuebat, ne a fratribus odio habitus aliquid pateretur,) quum multa ei donasset, misit ad Abennerigum Spasinæ castri regem, cui salutem pueri commendatam esse voluit. Abennerigus autem libenter excepit adolescentulum, atque illum singulari complexus benevolentia, filiam suam, cui nomen erat Symacho, ei in matrimonium dedit, donavitque provincia, unde luculentos reditus perciperet.

3. Atqui Monobazus jam admodum senex, quum videret sibi non multum vitæ spatium superesse, in conspectum filii venire, antequam moreretur, desideravit. Itaque quum illum accivisset, summa benevolentia eum excepit, eique regionem Carras dictam attribuit. Ea autem est terra amomi feracissima; ibique sunt etiam arcæ illius reliquiæ in qua Noeus diluvium evasisse fertur, et etiamnum istæ videre volentibus ostenduntur. In hac igitur regione commorabatur Izates, usque dum mortem oppeteret pater. Qua autem die vita excessit Monobazus, Helena regina accivit magnates et regni satrapas et copiarum præfectos. Quumque illi venissent, « non vos, inquit, latere arbitror, quod « maritus meus Izaten sibi in regnum succedere optaverit, « illumque dignum existimaverit : attamen vestrum quoque « judicium exspecto. Beatus est enim non qui ab uno, « sed qui a pluribus iisque volentibus regnum acceperit. » Illa quidem ista dixit, ut experiretur quænam esset sententia eorum qui convocati erant. Illi autem, hisce auditis, primum quidem pro more suo reginam adoraverunt, deinde vero aiebant, se regis judicium firmatum ire, seque ultro Izati, recte a patre et ex votis omnium fratribus prælato, parituros esse. Prætereaque dicebant, se velle et fratres et cognatos ejus primum occidere, quo secure regnum teneret Izates : his enim peremptis, omnem sublatum iri metum, qui ex illorum in ipsum odio et invidia oriretur. Ad hæc

τὸν ὑπὸ μίσους τοῦ παρ' αὐτῶν καὶ φθόνου γινόμενον. Πρὸς ταῦτα ἡ Ἑλένη χάριν μὲν αὐτοῖς ὡμολόγει τῆς πρὸς αὐτὴν καὶ τὸν Ἰζάτην εὐνοίας ἔχειν, παρακαλεῖ δὲ ὅμως ἐπισχεῖν τὴν περὶ τῆς ἀναιρέσεως τῶν ἀδελφῶν γνώμην, μέχρι ἂν Ἰζάτης παραγενόμενος συνδοκιμάσῃ. Οἱ δὲ ἐπεὶ ἀνελεῖν ἢ ἐβουλεύσαντο οὐκ ἔπεισαν, φυλάσσειν αὐτοὺς δεσμίους παρῄνουν μέχρι τῆς ἐκείνου παρουσίας ὑπὲρ ἀσφαλείας τῆς ἑαυτῶν· συνεβούλευον δὲ αὐτῇ μεταξὺ προστήσασθαί τινα τῆς ἀρχῆς ἐπίτροπον, ᾧ μάλιστα πιστεύοι. Πείθεται τούτοις ἡ Ἑλένη, καὶ καθίστησι τὸν πρεσβύτατον παῖδα Μονόβαζον βασιλέα, περιθεῖσα τὸ διάδημα καὶ δοῦσα τὸν σημαντῆρα τοῦ πατρὸς δακτύλιον, τήν τε σαμψήραν ὀνομαζομένην παρ' αὐτοῖς, διοικεῖν τε τὴν βασιλείαν παρῆνεσε μέχρι τῆς τοῦ ἀδελφοῦ παρουσίας. Ἧκε δὲ οὗτος ταχέως, ἀκούσας τὴν τοῦ πατρὸς τελευτήν, καὶ διαδέχεται τὸν ἀδελφὸν Μονόβαζον ὑπεκστάντα τῆς ἀρχῆς αὐτῷ.

δ'. Καθ' ὃν δὲ καιρὸν ὁ Ἰζάτης ἐν τῷ Σπασίνου χάρακι διέτριβεν, Ἰουδαῖός τις ἔμπορος, Ἀνανίας ὄνομα, πρὸς τὰς γυναῖκας εἰσιὼν τοῦ βασιλέως, ἐδίδασκεν αὐτὰς τὸν Θεὸν εὐσεβεῖν, ὡς Ἰουδαίοις πάτριον ἦν· καὶ δὴ δι' αὐτῶν εἰς γνῶσιν ἀφικόμενος τῷ Ἰζάτῃ, κἀκεῖνον ὁμοίως συνανέπεισε, μεταχληθέντι τε ὑπὸ τοῦ πατρὸς εἰς τὴν Ἀδιαβηνὴν συνεξῆλθε κατὰ πολλὴν ὑπακούσας δέησιν. Συνεβεβήκει δὲ καὶ τὴν Ἑλένην, ὁμοίως ὑφ' ἑτέρου τινὸς Ἰουδαίου διδαχθεῖσαν, εἰς τοὺς ἐκείνων μετακεχωρίσθαι νόμους. Ὁ δὲ Ἰζάτης, ὡς παρέλαβε τὴν βασιλείαν, ἀφικόμενος εἰς τὴν Ἀδιαβηνὴν, καὶ θεασάμενος τούς τε ἀδελφοὺς καὶ τοὺς ἄλλους συγγενεῖς δεδεμένους, ἐδυσχέραινεν τῷ γεγονότι. Καὶ τὸ μὲν ἀνελεῖν ἢ φυλάττειν δεδεμένους ἀσεβὲς ἡγούμενος, τὸ δὲ μνησικακοῦντας ἔχειν σὺν αὐτῷ μὴ δεδεμένους σφαλερὸν εἶναι νομίζων, τοὺς μὲν ὁμηρεύσοντας μετὰ τέκνων εἰς τὴν Ῥώμην ἐξέπεμψε Κλαυδίῳ Καίσαρι, τοὺς δὲ πρὸς Ἀρτάβανον τὸν Πάρθον ἐφ' ὁμοίαις προφάσεσιν ἀπέστειλεν.

ε'. Πυθόμενος δὲ τὴν μητέρα τὴν ἑαυτοῦ πάνυ χαίρειν τοῖς Ἰουδαίων ἔθεσιν, ἔσπευσε καὶ αὐτὸς εἰς ἐκεῖνα μετατίθεσθαι, νομίζων τε μὴ ἂν εἶναι βεβαίως Ἰουδαῖος, εἰ μὴ περιτέμνοιτο, πράττειν ἦν ἕτοιμος. Μαθοῦσα δὲ ἡ μήτηρ κωλύειν ἐπειρᾶτο, ἐπιφέρειν αὐτῷ κίνδυνον λέγουσα· βασιλέα γὰρ εἶναι, καὶ καταστήσειν εἰς πολλὴν δυσμένειαν τοὺς ὑπηκόους, μαθόντας ὅτι ξένων ἐπιθυμήσειε καὶ ἀλλοτρίων αὐτοῖς ἐθῶν, οὐκ ἀνέξεσθαί τε βασιλεύοντος αὐτῶν Ἰουδαίου. Καὶ ἡ μὲν ταῦτα ἔλεγεν, καὶ παντοίως ἐκώλυεν· ὁ δὲ εἰς τὸν Ἀνανίαν τοὺς λόγους ἀνέφερεν. Τοῦ δὲ τῇ μητρὶ συμφάσκοντος καὶ συναπειλήσαντος, εἰ μὴ πείθοι, καταλιπεῖν αὐτὸν, ἄπεισι. Δεδοικέναι γὰρ ἔλεγε μὴ τοῦ πράγματος ἐκδήλου πᾶσι γενομένου κινδυνεύσειε τιμωρίαν ὑποσχεῖν, ὡς αὐτὸς αἴτιος τούτων καὶ διδάσκαλος τῷ βασιλεῖ ἀπρεπῶν ἔργων γενόμενος. Δυνάμενον δὲ αὐτὸν ἔφη καὶ χωρὶς τῆς περιτομῆς τὸ θεῖον σέβειν, εἴ γε πάντως κέκρικε ζηλοῦν τὰ πάτρια τῶν Ἰουδαίων· τοῦτο εἶναι

Helena gratias quidem illis agebat, pro eorum in ipsam et Izaten benevolentia, simulque obsecrabat ut sententiam de nece fratrum differrent, donec Izates venisset ac eandem comprobasset. Illi vero, qui auctores ipsi fuerant ut occiderentur, quum ei non persuasissent, interim monebant eos in vinculis habendos esse usque dum ille adesset, sui in securitatem: insuper ei consulebant ut interea aliquem, cui maxime fideret, regni procuratorem constitueret. Istis paruit Helena, et filium natu maximum Monobazum regem fecit, imposito ei diademate, datoque annulo patris sigillo, simulque sampsera quam ipsi vocant; jussitque eum rempublicam ipsis administrare, donec frater adveniret. Is autem celeriter venit, audito patris obitu, et Monobazo fratri ultro cedenti in principatum successit.

4. Ceterum eo tempore, quo Izates apud Spasinæ castrum agebat, Judæus quidam mercator, nomine Ananias, qui in domum mulierum regiarum ingredi solebat, eas in religione erga Deum, quæ Judæis patria est, instituebat: atque adeo, quum illarum opera Izati innotuisset, ipsum quoque in eandem opinionem pertraxit; accitumque a patre in Adiabenen comitatus est, multa prece et obsecratione eo adductus. Forte autem acciderat ut etiam Helena, ab alio quodam Judæo instituta, ad eorum leges transiret. Atque Izates, quum regno in eum devoluto Adiabenen veniret, et fratres aliosque cognatos in vinculis conspexisset, ægre rem ferebat. Et quum occidere hos aut constrictos servare nefas duceret, memoresque injuriarum non vinctos secum habere periculosum esse existimaret, eorum nonnullos cum liberis Romam ad Claudium Cæsarem obsides misit, aliosque ad Artabanum Parthum simili de causa relegavit.

5. Cognito deinde matrem suam Judæorum moribus et ritibus valde delectari, et ipse iisdem penitius imbui properavit. Quumque arbitraretur se non esse verum perfectumque Judæum nisi circumcideretur, et hoc obire paratus erat. Quod postquam mater rescivit, impedire nitebatur, periculum hoc ipsi conflaturum esse dictitans: regem enim esse, multumque a se alienaturum esse subditorum animos quum audiverint eum mores peregrinos et a suis abhorrentes affectare; neque ullo pacto laturos Judæum in eos regnare. Et illa quidem hæc dicebat, et omni modo eum cohibuit. Is vero quæ eloquuta erat cum Anania communicabat. Qui quum matris sententiam comprobasset, simulque ei denunciasset se eum relicturum esse nisi pareret, ab eo discedit. Timere enim se aiebat ne, re palam facta et divulgata, ipse supplicii periculum adiret, ut qui horum auctor fuerit, regemque docuerit quæ parum ei honesta essent et decora. Posse enim illum aiebat etiam sine circumcisione numen colere, si plane decreverit patria Judæorum instituta sequi: hoc esse majoris mo-

κυριώτερον τοῦ περιτέμνεσθαι. Συγγνώμην δὲ ἕξειν αὐτῷ καὶ τὸν Θεὸν φήσαντος μὴ πράξαντι τὸ ἔργον δι' ἀνάγκην καὶ τὸν ἐκ τῶν ὑπηκόων φόβον, ἐπείσθη μὲν τότε τοῖς λόγοις ὁ βασιλεὺς, μετὰ ταῦτα δὲ (τὴν γὰρ ἐπιθυμίαν οὐκ ἐξεβεβλήκει παντάπασιν) Ἰουδαῖός τις ἕτερος ἐκ τῆς Γαλιλαίας ἀφικόμενος, Ἐλεάζαρος ὄνομα, πάνυ περὶ τὰ πάτρια δοκῶν ἀκριβὴς εἶναι, προετρέψατο πρᾶξαι τοὔργον. Ἐπεὶ γὰρ εἰσῆλθεν ἀσπασόμενος αὐτὸν, καὶ κατέλαβε τὸν Μωϋσέως νόμον ἀναγινώσκοντα, « λανθάνεις, εἶπεν, ὦ βασιλεῦ, τὰ μέγιστα τοὺς νόμους « καὶ δι' αὐτῶν τὸν Θεὸν ἀδικῶν· οὐ γὰρ ἀναγινώσκειν « σὲ δεῖ μόνον αὐτοὺς, ἀλλὰ καὶ πρότερον τὰ προστατ- « τόμενα ποιεῖν ὑπ' αὐτῶν. Μέχρι τίνος ἀπερίτμητος « μενεῖς; ἀλλ' εἰ μήπω τὸν περὶ τούτου νόμον ἀνέγνως, « ἵν' εἰδῇς τίς ἐστιν ἡ ἀσέβεια, νῦν ἀνάγνωθι. » Ταῦτα ἀκούσας ὁ βασιλεὺς οὐχ ὑπερεβάλετο τὴν πρᾶξιν, μεταστὰς δὲ εἰς ἕτερον οἴκημα καὶ τὸν ἰατρὸν εἰσκαλεσάμενος τὸ προσταχθὲν ἐτέλει· καὶ μεταπεμψάμενος τήν τε μητέρα καὶ τὸν διδάσκαλον Ἀνανίαν ἐσήμηνεν αὐτὸν πεπραχέναι τοὔργον. Τοὺς δὲ ἔκπληξις εὐθὺς ἔλαβε καὶ φόβος οὔτι μέτριος μὴ τῆς πράξεως εἰς ἔλεγχον ἐλθούσης κινδυνεύσειε μὲν ὁ βασιλεὺς τὴν ἀρχὴν ἀποβαλεῖν, οὐκ ἀνασχομένων τῶν ὑπηκόων ἄρχειν αὐτῶν ἄνδρα τῶν παρ' ἑτέροις ζηλωτὴν ἐθῶν, κινδυνεύσειαν δὲ καὶ αὐτοὶ τῆς αἰτίας ἐπ' αὐτοῖς τοῦ πραχθέντος ἐνεχθείσης. Θεὸς δὲ ἦν ὁ κωλύσων ἄρα τοὺς ἐκείνων φόβους ἐλθεῖν ἐπὶ τὸ τέλος. Πολλοῖς γὰρ αὐτόν τε τὸν Ἰζάτην περιπεσόντα κινδύνοις καὶ παῖδας τοὺς ἐκείνου διέσωσεν, ἐξ ἀμηχάνων πόρον εἰς σωτηρίαν παρασχών, ἐπιδεικνὺς ὅτι τοῖς εἰς αὐτὸν ἀποβλέπουσι καὶ μόνῳ πεπιστευκόσιν ὁ καρπὸς οὐκ ἀπόλλυται ὁ τῆς εὐσεβείας. Ἀλλὰ ταῦτα μὲν ὕστερον ἀπαγγελοῦμεν.

ς'. Ἑλένη δὲ, ἡ τοῦ βασιλέως μήτηρ, ὁρῶσα τὰ μὲν κατὰ τὴν βασιλείαν εἰρηνευόμενα, τὸν δὲ υἱὸν αὐτῆς μακάριον καὶ παρὰ πᾶσι ζηλωτὸν καὶ τοῖς ἀλλοεθνέσι διὰ τὴν ἐκ Θεοῦ πρόνοιαν, ἐπιθυμίαν ἔσχεν εἰς τὴν Ἱεροσολυμιτῶν πόλιν ἀφικομένη τὸ πᾶσιν ἀνθρώποις περιβόητον ἱερὸν τοῦ Θεοῦ προσκυνῆσαι, καὶ χαριστήρίους θυσίας προσενεγκεῖν, ἐδεῖτό τε τοῦ παιδὸς ἐπιτρέψαι. Τοῦ δὲ πάνυ προθύμως τῇ μητρὶ παρακαλούσῃ κατανεύσαντος καὶ πολλὴν παρασκευὴν τῶν εἰς τὴν ἀποστολὴν ἑτοιμασαμένου καὶ χρήματα πλεῖστα δόντος καταβαίνει εἰς τῶν Ἱεροσολυμιτῶν πόλιν, προπέμποντος ἐπὶ πολὺ τοῦ παιδός. Γίνεται δὲ αὐτῆς ἡ ἄφιξις πάνυ συμφέρουσα τοῖς Ἱεροσολυμίταις. Λιμοῦ γὰρ αὐτῶν τὴν πόλιν κατὰ τὸν καιρὸν ἐκεῖνον πιέζοντος καὶ πολλῶν ὑπ' ἐνδείας ἀναλωμάτων φθειρομένων, ἡ βασιλὶς Ἑλένη πέμπει τινὰς τῶν ἑαυτῆς, τοὺς μὲν εἰς τὴν Ἀλεξάνδρειαν πολλῶν σῖτον ὠνησομένους χρημάτων, τοὺς δὲ εἰς Κύπρον ἰσχάδων φόρτον οἰσοντας. Ὡς δὲ πάλιν ἦλθον ταχέως κομίζοντες, τοῖς ἀπορουμένοις διένειμε τροφὴν, καὶ μεγίστην αὐτῆς μνήμην τῆς εὐποιίας ταύτης εἰς τὸ πᾶν ἡμῶν ἔθνος καταλέλοιπε. Πυθόμενος δὲ καὶ ὁ παῖς αὐτῆς Ἰζάτης τὰ περὶ τὸν λιμὸν

menti quam circumcisionem. Quumque dixisset Deum etiam ei veniam daturum, si rem non fecisset, quod necessitati paruerit, et a subditis periculum metuerit, verbis quidem illius se persuaderi sinit rex. Aliquanto autem post, quum nequaquam suum desiderium abjecisset, alius quidam Judæus e Galilæa profectus, Eleazarus nomine, qui legum patriarum peritus admodum videbatur, ipsum ad rem perficiendam impulit. Postquam enim ingressus eum salutaverat, atque legem Moysaicam legentem deprehenderat, « nescis, inquit, o rex, quantam injuriam « legi, atque adeo Deo facias. Nec enim satis est eam le- « gere, sed in primis te facere oportet quæ ab illa præ- « cepta sunt. Quo usque tandem incircumcisus mane- « bis? si nondum legisti legem quæ circumcisionem injun- « git, nunc certe lege ut scias qua in impietate versaris. » Quum ista audisset rex, non amplius rem distulit; sed in aliud se recipiens cubiculum, medico accito, quod mandatum erat exsequebatur: deinde accersita matre et præceptore Anania, eis significavit actum esse quod voluit. Illos autem continuo stupor ac metus non mediocris corripuit ne, si rei indicium in vulgus emanaret, regni amittendi in periculo esset, non laturis subditis ut in eos vir regnaret, morum qui inter alios obtinent studiosus, et ne ipsi etiam discrimen adirent, quasi illorum culpa factum esset. Sed Deus obstitit quo minus eveniret quod illi metuerant. Nam et ipsum Izaten in multis versatum periculis, ejusque liberos incolumes servavit, ex dubiis et desperatis viam expediens ad salutem, ostendensque quod Deum aspectantes eique uni fidentes pietatis fructu non defraudantur. Sed de istis quidem postea narrabimus.

6. Helena autem regis mater, quum videret omnia in regno pacata esse et tranquilla, filiumque suum beatum, et apud universos etiam exteros in admiratione ex Dei providentia, in Hierosolymitarum urbem proficiscendi desiderio tenebatur, ut templum Dei omnium hominum sermone celebratum adoraret, et victimas pro gratiarum actione offerret: filiumque oraĥat ut permitteret. Quum autem ille libenter admodum matri supplicanti annuisset, et magnos apparatus ad eam profectionem fecisset, multaque pecunia eam instruxisset, descendit ad Hierosolymitarum urbem, filio longe eam deducente. Ejus autem adventu nihil opportunius potuit accidere Hierosolymitis. Nam fame ipsorum urbem per id tempus premente, multisque alimentorum inopia pereuntibus, Helena regina e suis alios quidem misit Alexandriam, qui vim magnam tritici coemerent, alios vero in Cyprum qui caricarum sarcinas advehi curarent. Ubi vero reversi sunt, celeriter istis apportatis, cibos egenis distribuit: atque ex hac beneficentia maximam sui memoriam apud gentem nostram universam reliquit. Quin et filius ejus Izates, fame ista audita, principibus

ἔπεμψε πολλὰ χρήματα τοῖς πρώτοις τῶν Ἱεροσολυμιτῶν, ἃ τοῖς ἐνδεέσιν διανεμηθέντα πολλοὺς τῆς ἐκ τοῦ λιμοῦ σφοδρότητος καὶ ἀνάγκης ἀνεκτήσατο. Ἀλλὰ γὰρ ἃ τούτοις τοῖς βασιλεῦσιν εἰς τὴν πόλιν ἡμῶν ἀγαθὰ πέπρακται καὶ ὅσοι τούτοις ἐκ ταύτης πόροι συνελέγησαν, μετὰ ταῦτα δηλώσομεν.

ΚΕΦ. Γ'.

Ὁ δὲ τῶν Πάρθων βασιλεὺς Ἀρτάβανος, αἰσθόμενος τοὺς αὐτοῦ σατράπας ἐπιβουλὴν εἰς αὐτὸν συντεθεικότας, μένειν παρ' αὐτοῖς ἀσφαλὲς οὐχ ὁρῶν, ἔγνω πρὸς Ἰζάτην ἀπαίρειν, πόρον παρ' αὐτοῦ βουλόμενος σωτηρίας εὑρέσθαι καὶ κάθοδον εἰς τὴν ἀρχήν, εἰ δυνηθείη. Καὶ δὴ ἀφικνεῖται ὡς αὐτὸν συγγενῶν τε καὶ οἰκετῶν περὶ χιλίους τὸν ἀριθμὸν ἐπαγόμενος, συντυγχάνει τε τῷ Ἰζάτῃ καθ' ὁδὸν, αὐτὸς δὴ σαφῶς ἐκεῖνον ἐπιστάμενος, ὑπ' Ἰζάτου δὲ οὐ γινωσκόμενος. Καὶ πλησίον παραστὰς πρῶτον μὲν κατὰ τὸ πάτριον προσεκύνησεν αὐτῷ, εἶτα, « βασιλεῦ, φησὶ, μὴ περίδῃς « με τὸν σὸν οἰκέτην, μηδὲ ὑπερηφανήσῃς δεομένου. « Ταπεινὸς γὰρ ἐκ μεταβολῆς γενόμενος, καὶ ἐκ βασι« λέως ἰδιώτης, τῆς σῆς ἐπικουρίας χρῄζω. Βλέψον οὖν « εἰς τὸ τῆς τύχης ἄστατον, καὶ κοινὴν εἶναι τὴν συμ« φορὰν νόμισον καὶ τὴν ἐμὴν ὑπὲρ σαυτοῦ πρόνοιαν « ἡγησαι· ἐμοῦ γὰρ ἀνεκδικήτου περιοφθέντος, ἔσονται « θρασύτεροι πολλοὶ κατὰ τῶν ἄλλων βασιλέων. » Ὁ μὲν ταῦτα ἔλεγε δακρύων καὶ τῇ κεφαλῇ κάτω νεύων. Ὁ δὲ Ἰζάτης, ὡς ἤκουσε τοὔνομα, καὶ εἶδεν ἱκέτην αὐτῷ παρεστῶτα καὶ ποτνιώμενον τὸν Ἀρτάβανον, κατεπήδησεν ἀπὸ τοῦ ἵππου ὀξέως, καὶ, « θάρσησον, εἶπεν, « ὦ βασιλεῦ, μηδὲ σὲ συγχείτω τὸ παρὸν ὡς ἀνήκεστον· « ταχεῖα γὰρ ἔσται τῆς λύπης ἡ μεταβολή. Φίλον δ' « ἐμὲ καὶ σύμμαχον εὑρήσεις κρείττω τῆς ἐλπίδος· ἢ « γὰρ εἰς τὴν Πάρθων σὲ καταστήσω βασιλείαν πάλιν, « ἢ τῆς ἐμῆς ἐκστήσομαι. »

β'. Ταῦτα εἰπὼν ἀνεβίβαζεν ἐπὶ τὸν ἵππον τὸν Ἀρτάβανον, παρείπετο δὲ αὐτὸς πεζὸς, τιμὴν ἀπονέμων ταυτηνὶ ὡς ἂν μείζονι βασιλεῖ. Θεασάμενος δὲ ὁ Ἀρτάβανος βαρέως ἤνεγκε, καὶ τὴν ἐφεστῶσαν αὐτῷ τύχην καὶ τιμὴν ἐπωμόσατο καταβήσεσθαι, μὴ ἐκείνου πάλιν ἀναβάντος καὶ προηγουμένου. Ὁ δὲ πεισθεὶς ἐπὶ τὸν ἵππον ἦλατο, καὶ ἀγαγὼν αὐτὸν εἰς τὰ βασίλεια πᾶσαν τιμὴν ἀπένειμεν ἔν τε συνεδρίαις καὶ ταῖς περὶ τὰς ἑστιάσεις προκατακλίσεσιν, οὐκ εἰς τὸ παρὸν αὐτοῦ τῆς τύχης ἀποβλέπων, ἀλλ' εἰς τὸ πρότερον ἀξίωμα, καί τι λογισμῷ διδοὺς ὡς κοιναὶ τοῖς ἀνθρώποις αἱ μεταβολαὶ τῆς τύχης. Γράφει τε πρὸς τοὺς Πάρθους, πείθων αὐτοὺς τὸν Ἀρτάβανον ὑποδέξασθαι, πίστιν προτείνων τῆς τῶν πεπραγμένων ἀμνηστίας δεξιὰν καὶ ὅρκους καὶ μεσιτείαν τὴν αὐτοῦ. Τῶν δὲ Πάρθων δέξασθαι μὲν αὐτὸν θέλειν οὐκ ἀρνουμένων, μὴ δύνασθαι δὲ λεγόντων διὰ τὸ τὴν ἀρχὴν ἑτέρῳ πεπιστευκέναι, (Κίνναμος δὲ ἦν ὄνομα τῷ παρειληφότι,) καὶ δεδοικέναι μὴ στάσις αὐτοὺς ἐκ τούτου καταλάβῃ, μαθὼν τὴν

Hierosolymitanis multum pecuniæ misit, quæ inter egentes divisa multos ex famis vehementia et vexatione recreavit. Sed enim horum regum beneficia, quibus civitatem nostram affecerunt et quæ ex hac in eos emolumenta redundarunt, postea declarabimus.

CAP. III. (II.)

Parthorum autem rex Artabanus, quum intelligeret sibi a satrapis suis compositas insidias, nec tutum putaret apud eos diutius manere, decrevit ad Izaten se conferre; eo animo ut viam ad salutem ex illo inveniret, et si fieri posset etiam reditum in principatum. Itaque ad eum venit, cognatis et domesticis circiter mille numero secum adductis, et Izaten convenit in itinere, quum ipse quidem illum probe nosset, Izati vero plane ignotus esset. Quumque propius adstaret, primum quidem more patrio eum adoravit; deinde, « o rex, inquit, ne me despicias famulum tuum, neu « contemnas supplicem. Nam ex mutata fortuna depres« sus, et ex rege in privati conditionem redactus, tua ope « indigeo. Respice igitur fortunæ instabilitatem, atque « infortunium commune esse existima, et mihi dum prospi« cio tuæ me saluti providere puta : nam si me inultum « esse patiaris, multi etiam in alios reges fient audaciores. » Ille quidem ista lacrimans dicebat capiteque demisso. Izates autem, quum primum nomen ejus audivit, viditque supplicem sibi adstare Artabanum, equo desiluit, ac, « bono, inquit, animo esto, o rex, neu præsenti turbe« ris calamitate quasi immedicabili : brevi enim mutatio« nem habitura est tua mœstitia, inveniesque me amicum « et socium meliorem quam forte sperare poteras : aut « enim in Parthorum regnum te reducam, aut meo tibi « cedam. »

2. Hæc loquutus Artabanum in equum sustulit, et ipse pedes sequutus est, hunc ei tanquam regi majori honorem tribuens. Quum autem hoc vidisset Artabanus, moleste rem tulit, et per præsentem fortunam honoremque juravit, nisi et ille equum iterum conscendisset atque anteiret, se descensurum. Tum ille ei obsecutus in equum insiluit : eoque in regiam perducto omnem honorem ei habuit, in consessibus et conviviis primum ei locum concedens, nec ad præsentem ejus statum respiciens, sed ad pristinam dignitatem, animoque secum reputans commune esse omnium hominum adversam quandoque subire fortunam. Scripsit etiam ad Parthos, ut persuaderet eis Artabanum recipere, fidem suam dextra et jurejurando dans, eum anteactorum memoriam oblivione deleturum, seque ipsum sequestrem fore. Quum autem Parthi se quidem eum velle recipere non negarent, sed in potestate sua nequaquam esse dicerent, utpote alteri credito imperio, (Cinnamo autem nomen erat ei qui regnum susceperat,) seque metuere ne inde oriretur seditio, Cinnamus, hac illorum voluntate in-

προαίρεσιν αὐτῶν ὁ Κίνναμος ταύτην, αὐτὸς γράφει τῷ Ἀρταβάνῳ, (τέθραπτο γὰρ ὑπ' αὐτοῦ, καὶ φύσει δὲ ἦν καλὸς καὶ ἀγαθός,) παρακαλῶν αὐτὸν πιστεύσαντα παραγενέσθαι τὴν ἀρχὴν ἀπολῃψόμενον τὴν αὐτοῦ. Καὶ ὁ Ἀρτάβανος πιστεύσας παρῆν. Ὑπαντᾷ δὲ αὐτὸν ὁ Κίνναμος, καὶ προσκυνήσας βασιλέα τε προσαγορεύσας περιτίθησιν αὐτοῦ τῇ κεφαλῇ τὸ διάδημα ἀφελὼν τῆς ἑαυτοῦ.

γ'. Καὶ Ἀρτάβανος οὕτω δι' Ἰζάτου πάλιν εἰς τὴν ἀρχὴν καθίσταται, πρότερον αὐτῆς ἐκπεσὼν διὰ τοὺς μεγιστᾶνας. Οὐκ ἐγένετο μὴν ἀμνήμων τῶν εἰς αὐτὸν εὐεργεσιῶν, ἀλλὰ ἀντιδωρεῖται τὸν Ἰζάτην ταῖς μεγίσταις τιμαῖς παρ' αὐτοῖς· τήν τε γὰρ τιάραν ὀρθὴν ἐπέτρεψεν αὐτῷ φορεῖν καὶ ἐπὶ χρυσῆς κλίνης καθεύδειν, ἅπερ μόνων ἐστὶ γέρα καὶ σημεῖα τῶν Πάρθων βασιλέων. Ἔδωκε δὲ καὶ χώραν πολλὴν αὐτῷ καγαθὴν, τῆς τοῦ Ἀρμενίων βασιλέως ἀποτεμόμενος· Νίσιβις δέ ἐστιν ὄνομα τῇ γῇ, καὶ ἐν αὐτῇ πρότερον Μακεδόνες ἐκτίσαντο πόλιν Ἀντιόχειαν, ἣν ἐπὶ Μυγδονίαν προσηγόρευσαν. Ταύταις μὲν δὴ ταῖς τιμαῖς ὁ Ἰζάτης ὑπὸ τοῦ τῶν Πάρθων βασιλέως ἐτιμήθη.

γ'. Μετ' οὐ πολὺν δὲ χρόνον Ἀρτάβανος τελευτᾷ, τὴν βρσιλείαν τῷ παιδὶ Οὐαρδάνῃ καταλιπών. Οὗτος δὴ πρὸς Ἰζάτην ἀφικόμενος ἔπειθεν αὐτὸν, μέλλων πρὸς Ῥωμαίους πόλεμον ἐκφέρειν, συστρατεύεσθαι καὶ συμμαχίαν ἑτοιμάζειν. Οὐ μὴν ἔπειθεν. Ὁ γὰρ Ἰζάτης, τὴν Ῥωμαίων δύναμίν τε καὶ τύχην ἐπιστάμενος, ἀδυνάτοις αὐτὸν ἐνόμιζεν ἐπιχειρεῖν. Ἔτι δὲ πεπομφὼς πέντε μὲν τὸν ἀριθμὸν υἱοὺς, τὴν δὲ ἡλικίαν νέους, γλῶτταν τὴν παρ' ἡμῖν πάτριον καὶ παιδείαν ἀκριβῶς μαθησομένους, τήν τε μητέρα προσκυνοῦσαν τὸ ἱερὸν, ὡς προεῖπον, ὀκνηρότερος ἦν, καὶ τὸν Οὐαρδάνην ἐκώλυε, συνεχῶς διηγούμενος τὰς Ῥωμαίων δυνάμεις τε καὶ πράξεις, διὰ τούτων οἰόμενος αὐτὸν φοβήσειν καὶ παύσειν ἐπιθυμοῦντα τῆς ἐπ' αὐτοὺς στρατείας. Παροξυνθεὶς δὲ ἐπὶ τούτοις ὁ Πάρθος πόλεμον εὐθὺς πρὸς Ἰζάτην κατήγγειλεν, οὐ μὴν ἔλαβεν οὐδὲ τῆς ἐπὶ τούτῳ στρατείας ὄνησιν, τοῦ Θεοῦ τὰς ἐλπίδας αὐτοῦ πάσας ὑπατεμόντος. Μαθόντες γὰρ οἱ Πάρθοι τὴν διάνοιαν Οὐαρδάνου καὶ ὡς ἐπὶ Ῥωμαίους στρατεύειν ἔκρινεν, αὐτὸν μὲν ἀναιροῦσι, τὴν ἀρχὴν δὲ τῷ ἀδελφῷ Κοτάρδῃ παρέδοσαν. Καὶ τοῦτον δὲ μετ' οὐ πολὺν χρόνον ἐξ ἐπιβουλῆς τελευτήσαντα διαδέχεται Οὐολογέσης ὁ ἀδελφός· ὃς δὴ καὶ τοῖς ὁμοπατρίοις δυσὶν ἀδελφαῖς δυναστείας ἐπίστευσε, Πακόρῳ μὲν τῷ πρεσβυτέρῳ τὴν Μήδων, Τιριδάτῃ δὲ τῷ νεωτέρῳ τὴν Ἀρμενίαν.

ΚΕΦ. Δ'.

Ὁ δὲ τοῦ βασιλέως ἀδελφὸς Μονόβαζος καὶ οἱ συγγενεῖς, θεωροῦντες τὸν Ἰζάτην διὰ τὴν πρὸς Θεὸν εὐσέβειαν καὶ τὴν ἐνοῦσαν αὐτῷ τῶν ἐθῶν χρηστότητα ζηλωτὸν παρὰ πᾶσιν ἀνθρώποις γεγενημένον, ἔσχον ἐπιθυμίαν καὶ αὐτοὶ τὰ πάτρια καταλιπόντες ἔθεσι χρῆσθαι τοῖς Ἰουδαίων, καὶ τὴν ἔφεσιν εἰς πέρας ἐξήτellecta, ipse ad Artabanum scripsit, (nam ejus alumnus fuerat, et ingenio erat bono bonestoque,) obsecrans ut fide ipsi habita adveniret, regnum suum recepturus. Atque Artabanus, ejus promissis fretus et inuixus, rediit. Cinnamus autem ei obviam ibat, et, quum eum salutasset regemque appellasset, diadema suo capiti detractum illius imposuit.

3. Atque ita Artabanus Izatis opera suum in regnum restitutus est, e quo per proceres suos jam ante exciderat. Verum illius erga ipsum meritorum non erat immemor, sed Izaten maximis, ut apud ipsos, remuneratus est honoribus : nam et tiaram rectam ei gestare permisit, et in aureo lecto dormire, quæ honoris insignia concessa sunt solis Parthorum regibus. Quin et regionem ei donavit amplam et fertilem, ademptam ditioni regis Armeniæ : terræ autem nomen est Nisibis : et in ea olim Macedones urbem Antiochiam condiderunt, quam ad Mygdoniam appellarunt. His itaque honoribus Izates a Parthorum rege cohonestatus est.

3. Non multo autem post moritur Artabanus, regno filio suo Vardani relicto. Is sane, adito Izate, ei suadebat ut cum ipso, bellum Romanis illaturo, in ejusdem societatem veniret, et auxilia pararet. Non tamen ei persuadebat. Nam Izates, ut qui probe noverat Romanorum potentiam et fortunam, censebat illum ea aggredi quæ fieri non poterant. Insuper autem, quum filios quinque numero et ætate juvenes misisset, ut linguam nostram vernaculam et patriam disciplinam diligenter addiscerent, simulque matrem ad templum, uti jam diximus, adorandum, segnior erat, idque agebat ut Vardanen inhiberet, perpetuo ei enarrando quibus essent Romani viribus et quas res gesserint, fore ratus ut istis eum deterreret bellumque gerendi cupiditatem restingueret. At Parthus hisce irritatus continuo bellum Izati denunciavit. Ex hac tamen in eum expeditione nihil proficiebat, Deo faciente ut spes ejus omnis in nihilum recideret. Nam Parthi, ubi voluntatem ejus rei Vardanis intellexerant, quodque Romanis bellum inferre statuerit, ipsum quidem de medio tollunt, fratri vero ejus Cotardi regnum detulerunt. Ac non multo post huic etiam, per insidias sublato, Vologeses frater succedit : qui duobus fratribus, eodem secum patre genitis, suæ ditionis omnia credidit, Pacoro quidem grandiori natu Mediam, Tiridati vero minori Armeniam.

CAP. IV. (II.)

Regis autem frater Monobazus et cognati, quum viderent Izaten ex sua in Deum pietate morumque probitate omnium hominum beatissimum evasisse, desiderio et ipsi tenebantur patrios mores ritusque relinquendi et Judaicis utendi, idque exsequebantur. Atqui id quod fecerant

νεγκαν. Γίνεται δὲ πρᾶξις αὐτῶν κατάφωρος τοῖς ὑπηκόοις, κἀπὶ τούτῳ χαλεπήναντες οἱ μεγιστᾶνες οὐκ ἐφανέρουν μὲν τὴν ὀργήν, κατὰ νοῦν δὲ ἔχοντες καιρὸν ἐπιτήδειον ἐζήτουν δίκην εἰσπράξασθαι παρ' αὐτῶν. Καὶ δὴ γράφουσι πρὸς Ἀβίαν τὸν Ἀράβων βασιλέα, χρήματα πολλὰ δώσειν ὑπισχνούμενοι στρατεύσασθαι θελήσαντι κατὰ τοῦ παρ' αὐτοῖς βασιλέως. Ἐπηγγέλλοντο δὲ καὶ περὶ τὴν πρώτην συμβολὴν ἐγκαταλείψειν τὸν βασιλέα· θέλειν γὰρ αὐτὸν τιμωρήσασθαι μισήσαντα τὰ παρ' αὐτοῖς ἔθη, καὶ ὅρκοις τὴν πρὸς ἀλλήλους ἐνδησάμενοι πίστιν σπεύδειν τομῶς παρεκάλουν. Πείθεται δὲ ὁ Ἄραψ, καὶ πολλὴν ἐπαγόμενος δύναμιν ἦκεν ἐπὶ τὸν Ἰζάτην μηδὲν μελλήσας. Πρώτῃ δὲ τοῦ πολέμου προσβολῇ, πρὶν εἰς χεῖρας ἐλθεῖν, καταλείπουσι τὸν Ἰζάτην ἐκ συνθήματος πάντες ὡς πανικῷ δείματι κατασχεθέντες καὶ τὰ νῶτα τοῖς πολεμίοις ἐντρέψαντες ἔφευγον. Οὐ μὴν ὁ Ἰζάτης κατεπλάγη τὸ δρᾶμα, νοήσας δὲ προδοσίαν ὑπὸ τῶν μεγαστάνων γεγενῆσθαι καὶ αὐτὸς εἰς τὸ στρατόπεδον ὑπεχώρησε, καὶ τὴν αἰτίαν ζητήσας, ὡς ἔμαθε συντεταγμένους πρὸς τὸν Ἄραβα, τοὺς μὲν αἰτίους ἀναιρεῖ, τῇ δὲ ἐπιούσῃ συμβαλὼν πλείστους μὲν ἀπέκτεινε, πάντας δὲ φυγεῖν ἠνάγκασεν. Αὐτὸν δὲ τὸν βασιλέα διώκων εἴς τι φρούριον συνήλασεν Ἄρσαμον καλούμενον, καὶ προσμαχησάμενος καρτερῶς εἷλε τὸ φρούριον, διαρπάσας τε τὴν ἐν αὐτῷ λείαν πᾶσαν (πολλὴ δὲ ἦν) ὑπέστρεψεν εἰς τὴν Ἀδιαβηνήν, τὸν Ἀβίαν οὐ καταλαβὼν ζῶντα· περικαταλαμβανόμενος γὰρ ἑαυτὸν ἀνεῖλεν, πρὶν εἰς χεῖρας συγκλεισθῆναι τοῦ Ἰζάτου.

β'. Ἀποτυχόντες δὲ οἱ τῶν Ἀδιαβηνῶν μεγιστᾶνες τῆς πρώτης ἐπιχειρήσεως, παραδιδόντος αὐτοὺς τοῦ Θεοῦ τῷ βασιλεῖ, οὐδ' ὡς ἠρέμουν, ἀλλὰ γράφουσι πάλιν Οὐολογέσῃ (βασιλεὺς δὲ Πάρθων οὗτος ἦν) παρακαλοῦντες ἀποκτεῖναι μὲν τὸν Ἰζάτην, καταστῆσαι δὲ αὐτοῖς ἕτερον δυνάστην καὶ τῷ γένει Πάρθον· μισεῖν γὰρ ἔλεγον τὸν ἑαυτῶν βασιλέα, καταλύσαντα μὲν τὰ πάτρια αὐτοῖς, ξένων δὲ ἐραστὴν ἐθῶν γενόμενον. Ταῦτα ἀκούσας ὁ Πάρθος ἐπήρθη πρὸς τὸν πόλεμον, καὶ προφάσεως δικαίας μηδεμίαν ἔχων ἀφορμήν, τὰς ὑπὸ τοῦ πατρὸς αὐτῷ δοθείσας τιμὰς ἔπεμψεν ἀπαιτῶν, ἀπειθήσαντι δὲ πόλεμον κατήγγελλεν. Ταράσσεται δὲ τὴν ψυχὴν οὐχὶ μετρίως ὁ Ἰζάτης, ὡς ἤκουσε ταῦτα, κατάγνωσιν μὲν φέρειν αὐτῷ νομίσας τὸ τῶν δωρεῶν ἐξίστασθαι δοκοῦντι διὰ φόβον τοῦτο πρᾶξαι. Εἰδὼς δὲ ὅτι καὶ ἀπολαβὼν ὁ Πάρθος τὰς τιμὰς οὐκ ἂν ἠρεμήσειεν, ἔκρινεν ἐπιτρέψαι τῷ κηδεμόνι Θεῷ τὸν ὑπὲρ τῆς ψυχῆς κίνδυνον· καὶ τοῦτον μέγιστον ἡγησάμενος ἔχειν σύμμαχον, κατατίθεται μὲν τὰ τέκνα καὶ τὰς γυναῖκας εἰς τὰ τῶν φρουρίων ἀσφαλέστατα, σῖτον δὲ πάντα εἰς τὰς βάρεις, καὶ ἐμπίπρησι τόν τε χόρτον καὶ τὰς νομάς. Ταῦτά τε προευτρεπισάμενος ἐξεδέχετο τοὺς πολεμίους. Παραγενομένου δὲ τοῦ Παρθυαίων βασιλέως μετὰ πολλῆς δυνάμεως πεζῶν τε καὶ ἱππέων θᾶττον ἐλπίδος (ὦδευσε γὰρ συντόνως), βαλλομένου τε

deprehensum est, factumque ægre tulerunt magnates, non tamen iracundiâ efferebantur, sed eam dissimulando tempus opportunum quærebant, studentes pœnas ab illis repetere. Scribunt igitur Abiæ regi Arabum se magnam pecuniæ vim ei daturos promittentes, si contra regem ipsorum vellet expeditionem suscipere; ac polliciti sunt se primo statim conflictu regem relicturos; esse enim sibi animum pœnas de eo sumere, quod mores suos odio habuerit;) fideque invicem jurejurando obligata, ne moras necteret, obsecrabant. Paret itaque Arabs, magnoque adducto exercitu adversus Izaten contendit nihil cunctatus. Tunc ubi primum prælio congrediuntur, antequam ad manus ventum esset, Izaten ex composito omnes sui deserunt, quasi panico terrore correpti; quumque hostibus terga vertissent, diffugiebant. Non tamen Izates animo erat consternatus hoc facinore, sed guarus proditionem factam esse a magnatibus, ipse quoque intra castra sese recepit: quumque de causa inquisivisset, ut comperit eos pepegisse cum Arabe, auctores quidem sceleris supplicio afficit, postridie vero manibus consertis plurimos occidit, et omnes coegit in fugam se conjicere. Regem autem ipsum persequens in castellum compulit Arsamum vocatum, idemque valide oppugnatum vi cepit, quumque omnem in ea prædam, quæ multa erat, diripuisset, in Adiabenen reversus est, Abia vivo in potestatem non redacto; quippe qui undique comprehensus se ipsum interfecerat, antequam in manus incideret Izatis.

2. Postquam autem magnates Adiabenorum primis ausis exciderant, a Deo in manus sui regis traditi, ne sic quidem quiescebant, sed denuo scribunt Vologesi, (ille autem Parthorum rex erat,) rogantes ut, Izate interfecto, dynasten alium quempiam, genere Parthum, sibi præficeret: exosum enim sibi regem suum aiebant; utpote quod patrias leges abrogaret, et alienarum desiderio teneretur. His auditis Parthus ad bellum excitatus est, et quum nullam haberet justam quam prætexeret occasionem, misit honores repetitum quos pater ipsius ei concesserat, et si recusaret, bellum ei denunciabat. Izates, ubi ista audivit, vehementer animo perturbatur, sibi quidem opprobrio esse ratus ab iis decedere quæ dono acceperat, quod ex timore hoc fecisse videretur. Pro comperto autem habito, Parthum ne post honores quidem receptos quieturum esse, decrevit Deo curatori semet committere dum vitæ discrimen adiret: atque hunc maximum adjutorem habere arbitratus, liberos et uxores in castellum quoddam munitissimum concludit, frumentumque in arces, ac deinde fœnum et pabulum flammis absumit, adeoque istis in antecessum paratis, hostium adventum exspectabat. Quum autem rex Parthorum cum magnis peditum equitumque copiis celerius quam crederetur adesset, (magna enim fecerat itinera,) castraque posuisset ad

χάρακα πρὸς τῷ ποταμῷ τῷ τὴν Ἀδιαβηνὴν καὶ τὴν Μηδίαν ὁρίζοντι, τίθησι καὶ ὁ Ἰζάτης τὸ στρατόπεδον οὐκ ἄπωθεν, ἔχων περὶ αὐτὸν ἱππεῖς τὸν ἀριθμὸν ἑξακισχιλίους. Ἀφικνεῖται δὲ πρὸς τὸν Ἰζάτην ἄγγελος παρὰ τοῦ Πάρθου πεμφθείς, ὃς τὴν Πάρθου δύναμιν ὅση τίς ἐστιν ἠγγελλεν, ἀπὸ Εὐφράτου ποταμοῦ μέχρι Βάκτρων τοὺς ὅρους αὐτῆς τιθέμενος, καὶ τοὺς ὑπηκόους αὐτῆς βασιλέας καταλέγων. Ἠπείλει δὲ δώσειν αὐτὸν δίκας, ἀχάριστον περὶ δεσπότας τοὺς ἑαυτοῦ γενόμενον, καὶ ῥύεσθαι τῶν βασιλέως αὐτὸν χειρῶν οὐδὲ τὸν Θεὸν ὃν σέβει δυνήσεσθαι. Ταῦτα τοῦ ἀγγέλου φράσαντος, ὁ Ἰζάτης εἰδέναι μὲν τὴν Πάρθων δύναμιν ἔφη πολὺ τῆς αὐτοῦ διαφέρουσαν, γιγνώσκειν δ' οὖν ἔτι μᾶλλον ἀνθρώπων πάντων ἔλεγε χρείσσω τὸν Θεόν. Καὶ τοιαύτην δοὺς τὴν ἀπόκρισιν, ἐπὶ τὴν ἱκετείαν ἐτρέπετο τοῦ Θεοῦ, χαμαί τε ῥίψας αὐτὸν καὶ σποδῷ τὴν κεφαλὴν καταισχύνας, μετὰ γυναικῶν καὶ τέκνων ἐνήστευεν, ἀνακαλῶν τὸν Θεὸν καὶ λέγων, « εἰ « μὴ μάτην, ὦ δέσποτα κύριε, τῆς σῆς ἐγενόμην χρη« στότητος, τῶν πάντων δὲ δικαίως μόνον δεσπότην καὶ « πρῶτον ἡγημαι προνοητὴν καὶ κύριον, ἐλθὲ σύμμα« χος, οὐχ ὑπὲρ ἐμοῦ μόνον ἀμυνόμενος τοὺς πολεμίους, « ἀλλ' ὅτι καὶ τῆς σῆς δυνάμεως κατατετολμήκασιν « καὶ μεγαλορρήμονα γλῶσσαν ἐπαρτίζειν οὐ πεφρίκα« σιν. » Ὁ μὲν ταῦτα ἐποτνιᾶτο δακρύων καὶ ὀδυρόμενος. Ἐπήκοος δὲ ὁ Θεὸς ἐγίνετο, καὶ κατ' ἐκείνην εὐθὺς τὴν νύκτα δεξάμενος Οὐολογέσης ἐπιστολὰς ἐν αἷς ἐγέγραπτο, Δαῶν καὶ Σακῶν χεῖρα μεγάλην καταφρονήσασαν αὐτοῦ τῇ ἀποδημίᾳ ἐπιστρατευσαμένην διαρπάζειν τὴν Παρθυηνὴν, ἄπρακτος ἀνέζευξεν εἰς τοὐπίσω. Καὶ ὁ Ἰζάτης οὕτω κατὰ Θεοῦ πρόνοιαν τὰς ἀπειλὰς τοῦ Πάρθου διαφεύγει.

γ'. Μετ' οὐ πολὺν δὲ χρόνον, πεντηκοστὸν μὲν καὶ πέμπτον ἀπὸ γενεᾶς πληρώσας ἔτος, τέταρτον δὲ πρὸς εἰκοστῷ δυναστεύσας, θνήσκει καταλιπὼν παῖδας ἄρρενας εἴκοσι τέσσαρας καὶ θυγατέρας εἴκοσι τέσσαρας· τὴν μέντοι διαδοχὴν τῆς ἀρχῆς τὸν ἀδελφὸν Μονόβαζον ἐκέλευε παραλαβεῖν, ἀμειβόμενος αὐτὸν, ὅτι κατὰ τὴν ἀποδημίαν αὐτοῦ, μετὰ τὸν τοῦ πατρὸς αὐτοῦ θάνατον, πιστῶς φυλάξειεν αὐτῷ τὴν δυναστείαν. Ἡ δὲ μήτηρ Ἑλένη, τὸν τοῦ παιδὸς θάνατον ἀκούσασα, βαρέως μὲν ἤνεγκεν, ὡς εἰκὸς μητέρα στερομένην εὐσεβεστάτου παιδὸς, παραμυθίαν δὲ ὅμως εἶχε τὴν διαδοχὴν ἀκούσασα εἰς τὸν πρεσβύτερον αὐτῆς υἱὸν ἥκουσαν, καὶ πρὸς αὐτὸν ἔσπευδεν. Παραγενομένη δὲ εἰς τὴν Ἰαδιαβηνὴν οὐ πολὺν Ἰζάτῃ τῷ παιδὶ χρόνον ἐπεβίωσεν, ἀλλὰ τῷ γήρᾳ καὶ τῷ τῆς λύπης ἀλγήματι πιεζομένη ταχέως ἀπέψυξεν. Ὁ δὲ Μονόβαζος τά τε ἐκείνης ὀστᾶ καὶ τὰ τοῦ ἀδελφοῦ πέμψας εἰς Ἱεροσόλυμα θάψαι προσέταξεν ἐν ταῖς πυραμίσιν, ἃς ἡ μήτηρ κατεσκεύακει, τρεῖς τὸν ἀριθμὸν τρία στάδια τῆς τῶν Ἱεροσολυμιτῶν πόλεως ἀπεχούσας. Ἀλλὰ Μονόβαζος μὲν ὁ βασιλεὺς ὅσα κατὰ τὸν τῆς ζωῆς χρόνον ἔπραξεν, ὕστερον ἀπαγγελοῦμεν.

fluvium qui Adiabenen a Media dirimit, Izates quoque non longe inde castra metatus est, equitibus ad sex millia numero secum adductis. Ad Izaten autem venit nuncius a Partho missus, qui Parthi vires, quantæ illæ essent, numerando percenseret, ab Euphrate fluvio usque ad Bactrorum fines, quique dictitaret quot reges illis subjicerentur. Insuper minitabatur fore ut supplicium lueret, quod erga dominos suos ingratus exstitisset, ac ne Deum quidem quem coleret, posse eum regis e manibus eripere. Quum ista retulisset nuncius, dicebat Izates se quidem nosse Parthorum potentiam sua longe superiorem : adhuc vero certius scire aiebat Deum hominibus universis potentiorem esse. Atque ejusmodi dato responso, ad supplicandum Deo se convertebat; et humi prostratus, caputque cineribus fœdatus, cum uxoribus et liberis jejunabat, Deum invocans dicensque, « o domine qui omnibus dominaris, si non frustra « me tuæ bonitati dediderim, sed te merito omnium solum « et primum habuerim provisorem et dominum, veni in « auxilium, non tam mei in gratiam hostes ulciscens, « quam quod ausi fuerint contra tuam potentiam sese ex« tollere et linguam magniloquam laxare non horruerint. » Et ille quidem cum lacrimis et lamentatione ita Deo supplicabat : atque Deus exaudiebat, adeo ut illa statim nocte Vologeses literis acceptis, in quibus scriptum erat Dahas et Sacas, absentia ejus confisos, cum magnis copiis expeditionem fecisse et Parthiam vastare et populari, retro se re infecta receperit. Atque ita Izates Dei providentia Parthi minas effugit.

3. Non multo autem post, anno ætatis quinquagesimo quinto exacto, regnique quarto supra vigesimum, moritur, filiis masculis viginti quattuor relictis quattuorque et viginti filiabus; ceterum ut successionem in regnum sibi vindicaret Monobazus, præcipiebat, referens ei gratiam ob regnum sibi, domo profecto, post patris ipsius obitum bona fide conservatum. Helena autem mater, ubi de filii morte inaudivit, eam quidem graviter tulit, ut consentaneum erat matrem pientissimo filio orbatam : ex eo tamen consolationem habebat, quod audierit successionem in filium suum natu majorem devolutam esse, adeoque ad ipsum properabat : reversaque in Adiabenen, non diu superstes filio Izati vixit, sed senio et mœrore confecta mox animam efflavit. Monobazus autem ossa ejus et fratris sui, Hierosolyma missa, in pyramidibus sepeliri jussit, quas numero tres tribusque stadiis ab urbe Hierosolymitana dissitas mater exstruxerat. Sed postea quidem narrabimus quæ Monobazus vitæ suæ tempore gesserit.

ΚΕΦ. Ε'.

Φάδου δὲ τῆς Ἰουδαίας ἐπιτροπεύοντος, γόης τις ἀνὴρ, Θευδᾶς ὀνόματι, πείθει τὸν πλεῖστον ὄχλον, ἀναλαβόντα τὰς κτήσεις ἕπεσθαι πρὸς τὸν Ἰορδάνην ποταμὸν αὐτῷ. Προφήτης γὰρ ἔλεγεν εἶναι, καὶ προστάγματι τὸν ποταμὸν σχίσας δίοδον ἔφη παρέξειν αὐτοῖς ῥαδίαν. Καὶ ταῦτα λέγων πολλοὺς ἠπάτησεν. Οὐ μὴν εἴασεν αὐτοὺς τῆς ἀφροσύνης ὀνασθαι Φάδος, ἀλλ' ἐξέπεμψεν ἴλην ἱππέων ἐπ' αὐτοὺς, ἥτις ἀπροσδόκητος ἐπιπεσοῦσα πολλοὺς μὲν ἀνεῖλε, πολλοὺς δὲ ζῶντας ἔλαβεν· αὐτόν τε τὸν Θευδᾶν ζωγρήσαντες ἀποτέμνουσι τὴν κεφαλὴν, καὶ κομίζουσιν εἰς Ἱεροσόλυμα. Τὰ μὲν οὖν συμβάντα τοῖς Ἰουδαίοις κατὰ τοὺς Κουσπίου Φάδου τῆς ἐπιτροπῆς χρόνους ταῦτα ἐγένετο.

β'. Ἦλθε δὲ Φάδῳ Τιβέριος Ἀλέξανδρος διάδοχος, Ἀλεξάνδρου παῖς τοῦ καὶ ἀλαβαρχήσαντος ἐν Ἀλεξανδρείᾳ, γένει τε καὶ πλούτῳ πρωτεύσαντος τῶν ἐκεῖ καθ' αὐτὸν, ὃς διήνεγκε καὶ τῇ πρὸς τὸν Θεὸν εὐσεβείᾳ τοῦ παιδὸς Ἀλεξάνδρου· τοῖς γὰρ πατρίοις οὐκ ἐνέμενεν οὗτος ἔθεσιν. Ἐπὶ τούτοις δὴ καὶ τὸν μέγαν λιμὸν κατὰ τὴν Ἰουδαίαν συνέβη γενέσθαι, καθ' ὃν καὶ ἡ βασιλὶς Ἑλένη πολλῶν χρημάτων ὠνησαμένη σῖτον ἀπὸ τῆς Αἰγύπτου διένειμε τοῖς ἀπορουμένοις, ὡς προεῖπον. Πρὸς τούτοις δὲ καὶ οἱ παῖδες Ἰούδα τοῦ Γαλιλαίου ἀνῃρέθησαν, τοῦ τὸν λαὸν ἀπὸ Ῥωμαίων ἀποστήσαντος, Κυρηνίου τῆς Ἰουδαίας τιμητεύοντος, ὡς ἐν τοῖς πρὸ τούτων ἐδηλώσαμεν, Ἰάκωβος καὶ Σίμων, οὓς ἀνασταυρῶσαι προσέταξεν ὁ Ἀλέξανδρος. Ὁ δὲ τῆς Χαλκίδος βασιλεὺς Ἡρῴδης, μεταστήσας τῆς ἀρχιερωσύνης Ἰώσηπον τὸν τοῦ Κεμεδῆ, τὴν διαδοχὴν τῆς τιμῆς Ἀνανίᾳ τῷ τοῦ Νεδεβαίου δίδωσιν. Τιβερίῳ δὲ Ἀλεξάνδρῳ Κούμανος ἀφίκετο διάδοχος, καὶ τελευτᾷ τὸν βίον Ἡρῴδης ὁ τοῦ μεγάλου βασιλέως Ἀγρίππα ἀδελφὸς, ὀγδόῳ τῆς Κλαυδίου Καίσαρος ἀρχῆς ἔτει, καταλιπὼν τρεῖς υἱοὺς, Ἀριστόβουλον μὲν, ὑπὸ τῆς πρώτης αὐτῷ τεχθέντα γυναικὸς, ἐκ Βερενίκης δὲ τῆς ταδελφοῦ θυγατρὸς Βερενικίανον καὶ Ὑρκανόν· τὴν δὲ ἀρχὴν αὐτοῦ Κλαύδιος Καῖσαρ Ἀγρίππᾳ τῷ νεωτέρῳ δίδωσι.

(Δ'.)γ'. Στάσεως δὲ ἐμπεσούσης τῇ τῶν Ἱεροσολυμιτῶν πόλει, Κουμάνου τὰ κατὰ τὴν Ἰουδαίαν πράγματα διοικοῦντος, ἐφθάρησαν ὑπὸ ταύτης πολλοὶ τῶν Ἰουδαίων. Καὶ πρότερον ἀφηγήσομαι τὴν αἰτίαν, δι' ἣν ταῦτα συνέβη. Τῆς Πάσχα προσαγορευομένης ἑορτῆς ἐνστάσης, καθ' ἣν ἔθος ἐστὶν ἡμῖν ἄζυμα προσφέρεσθαι, πολλοῦ καὶ πανταχόθεν πλήθους συναχθέντος ἐπὶ τὴν ἑορτὴν, δείσας ὁ Κούμανος μὴ νεώτερόν τι παρὰ τούτων προσπέσῃ, κελεύει τῶν στρατιωτῶν μίαν τάξιν ἀναλαβοῦσαν τὰ ὅπλα ἐπὶ τῶν τοῦ ἱεροῦ στοῶν ἑστάναι καταστελοῦντας τὸν νεωτερισμὸν, εἴ ἄρα τις γένοιτο. Τοῦτο δὲ καὶ οἱ πρὸ αὐτοῦ τῆς Ἰουδαίας ἐπιτροπεύσαντες ἐν ταῖς ἑορταῖς ἔπραττον. Τετάρτῃ δὲ ἡμέρᾳ τῆς ἑορτῆς στρατιώτης τις ἀνακαλύψας ἐπεδείκνυε τῷ πλήθει τὰ αἰδοῖα, καὶ πρὸς τοῦτο θεασαμένων ὀργὴ καὶ

CAP. V. (III)

Fado autem Judæam procurante, præstigiator quidam nomine Theudas ingenti hominum multitudini persuasit ut asportatis opibus se ad Jordanem usque fluvium sequerentur. Quippe se prophetam esse aiebat, diremptisque imperio suo aquis fluminis, facilem se transitum ipsis præstiturum dicebat. Et hujusmodi sermonibus plurimos decepit. Non tamen eos passus est Fadus quidquam ex sua vesania consequi, sed emisit adversus eos equitum turmam, quæ, ex improviso illos adorta, multos occidit, multosque vivos comprehendit. Ipse etiam Theudas ab iisdem captus est, ejusque caput præcidunt et Hierosolyma deportant. Atque adeo hæc sunt quæ Judæis acciderunt dum Cuspius Fadus erat procurator.

2. Fado autem successit Tiberius Alexander, Alexandri filius, qui Alabarcha fuerat Alexandriæ, omnium in ea urbe suo tempore et genere et divitiis primus, qui pietate etiam in Deum filio Alexandro præstitit : nam hic in patrius moribus et institutis non permansit. Horum igitur temporibus evenit ut magna fames Judæam affligeret, quando etiam Helena regina frumentum, grandi pecunia ex Ægypto coemptum, egenis distribuit, ut ante dicebam. Præterea autem et filii Judæ Galilæi interempti sunt, (qui populum ad defectionem sollicitabat, dum Quirinus censum ageret in Judæa, prout in superioribus indicavimus,) Jacobus et Simon, quos crucibus suffigendos esse jussit Alexander. Herodes autem rex Chalcidis, quum Josepho Cemede filio pontificatum abrogasset, facit ut ei in honorem succederet Ananias Nedebæi filius. Tiberio etiam Alexandro qui succederet, veniebat Cumanus, et Herodes, Agrippæ Magni regis frater, a vita discessit, anno Claudii imperii octavo, tribus filiis relictis, Aristobulo quidem, quem ex prima uxore *Mariamne* susceperat, Bereniciano vero et Hyrcano ex Berenice fratris filia : ejusque principatum Claudius Cæsar in juniorem Agrippam confert.

(IV.) 3. Quum autem in Hierosolymitarum civitate conflaretur seditio, Cumano res Judææ administrante, ea Judæorum multis exitio erat. Sed primum mihi explicanda est causa cur ista acciderint. Quum instaret festum quod Pascha appellatur, quo nobis mos est panibus non fermentatis vesci, et magna vis hominum undique ad hanc celebritatem convenisset, veritus Cumanus ne quid novi ab eis moveretur, jussit militum cohortem unam sumptis armis stare ad templi porticus, ut sedarent tumultum si quis exoriretur. Id quod festorum solennitate facere consueverunt et alii ante eum Judææ procuratores. Quarta vero festivitatis die miles quidam ostendit populo nudata genitalia : ad quod quum oculos advertissent, succensebant et irascebantur, non se

θυμὸς ἦν, οὐχ ἑαυτοὺς ὑβρίσθαι λεγόντων, ἀλλὰ τὸν Θεὸν ἠσεβῆσθαι. Τινὲς δὲ τῶν θρασυτέρων τὸν Κούμανον ἐβλασφήμουν, ὑπ' αὐτοῦ τὸν στρατιώτην καθεῖσθαι λέγοντες. Κούμανος δὲ ἀκούσας καὶ αὐτὸς οὐ μετρίως ἐρεθίζεται πρὸς τὰς βλασφημίας, παρῄνει μέντοι παύσασθαι νεωτέρων ἐπιθυμοῦντας πραγμάτων, μηδὲ στάσεις ἐξάπτειν ἐν ἑορτῇ. Μὴ πείθων δὲ (μᾶλλον γὰρ ἐπέκειντο βλασφημοῦντες) κελεύει τὸ στράτευμα πᾶν πανοπλίαν ἀναλαβόντας ἥκειν εἰς τὴν Ἀντωνίαν, φρούριον δὲ τοῦτο, καθάπερ καὶ πρότερον εἴπομεν, ἐπικείμενον τῷ ἱερῷ·) παραγενομένους δὲ τοὺς στρατιώτας θεασάμενον τὸ πλῆθος καὶ φοβηθὲν φεύγειν ὥρμησε, τῶν δ' ἐξόδων στενῶν οὐσῶν, διώκεσθαι νομίζοντες ὑπὸ τῶν πολεμίων καὶ συνωθούμενοι κατὰ τὴν φυγὴν, πολλοὺς ὑπ' ἀλλήλων ἐν τοῖς στενοῖς θλιβομένους διέφθειρον. Δύο γοῦν μυριάδες ἐξηριθμήθησαν τῶν κατὰ τὴν στάσιν ἐκείνην φθαρέντων. Πένθος δὲ ἦν τὸ λοιπὸν ἀντὶ τῆς ἑορτῆς, καὶ πάντες, ἐκλαθόμενοι τῶν εὐχῶν καὶ τῶν θυσιῶν ἐπὶ θρήνους καὶ κλαυθμοὺς ἐτράποντο. Τοιαῦτα μὲν ἑνὸς ἀσέλγεια στρατιώτου παθήματα γενέσθαι παρεσκεύασεν.

δ'. Οὔπω δὲ αὐτῶν τὸ πρῶτον πένθος ἐπέπαυτο, καὶ κακὸν ἄλλο προσέπιπτε· τῶν γὰρ ἐφεστώτων ἐπὶ νεωτερισμῷ τινὲς, κατὰ τὴν δημοσίαν ὁδὸν ὡς ἑκατὸν σταδίων ἄπωθεν τῆς πόλεως, Στέφανόν τινα τοῦ Καίσαρος δοῦλον ὁδοιποροῦντα λῃστεύσαντες, ἅπασαν αὐτοῦ τὴν κτῆσιν διαρπάζουσιν. Ἀκούσας δὲ τὸ πραχθὲν ὁ Κούμανος εὐθὺς πέμπει στρατιώτας, κελεύσας αὐτοῖς τὰς πλησίον κώμας διαρπάσαι, τοὺς δὲ ἐπιφανεστάτους αὐτῶν δήσαντας ἐπ' αὐτὸν ἄγειν, λόγον τῶν τετολμημένων εἰσπράξοντα. Τῆς δὲ πορθήσεως γινομένης τῶν κωμῶν, τῶν στρατιωτῶν τις, τοὺς Μωϋσέως νόμους ἔν τινι κώμῃ λαβὼν κειμένους, προκομίσας εἰς τὴν πάντων ὄψιν διέσχισεν, ἐπιβλασφημῶν καὶ πολλὰ κατακερτομῶν. Οἱ δὲ Ἰουδαῖοι ταῦτα ἀκούσαντες καὶ πολλοὶ συνδραμόντες καταβαίνουσιν εἰς Καισάρειαν, (ἐκεῖ γὰρ ἐτύγχανεν ὁ Κούμανος ὤν,) ἱκετεύοντες μὴ αὐτοὺς, ἀλλὰ τὸν Θεὸν, οὗπερ οἱ νόμοι καθυβρίσθησαν, ἐκδικῆσαι· ζῆν γὰρ οὐχ ὑπομένειν τῶν πατρίων αὐτοῖς οὕτω περιυβρισμένοις. Καὶ ὁ Κούμανος, δείσας μὴ πάλιν νεωτερίσειε τὸ πλῆθος, συμβουλευσάντων καὶ τῶν φίλων, τὸν ἐνυβρίσαντα τοῖς νόμοις στρατιώτην πελεκίσας ἔπαυσε τὴν στάσιν ἐκ δευτέρου μέλλουσαν ἐξάπτεσθαι.

ΚΕΦ. Ϛ'.

Γίνεται δὲ καὶ Σαμαρείταις πρὸς Ἰουδαίους ἔχθρα δι' αἰτίαν τοιαύτην. Ἔθος ἦν τοῖς Γαλιλαίοις ἐν ταῖς ἑορταῖς εἰς τὴν ἱερὰν πόλιν παραγινομένοις ὁδεύειν διὰ τῆς Σαμαρέων χώρας. Καὶ τότε καθ' ὁδὸν αὐτοῖς κώμης Γιναίας λεγομένης, τῆς ἐν μεθορίῳ κειμένης Σαμαρείας τε καὶ τοῦ μεγάλου πεδίου, τινὲς συνάψαντες μάχην, πολλοὺς αὐτῶν ἀναιροῦσι. Πυθόμενοι δὲ τὰ πραχθέντα τῶν Γαλιλαίων οἱ πρῶτοι πρὸς Κούμανον ἀφίκοντο καὶ παρεκάλουν αὐτὸν μετιέναι τῶν ἀνῃρημένων ἐκδίκησιν. Ὁ δὲ ἀκούσας καὶ αὐτὸς οὐ μετρίως ἐρεθίζεται πρὸς τὰς βλασφημίας, παρῄνει μέντοι παύσασθαι νεωτέρων ἐπιθυμοῦντας πραγμάτων, μηδὲ στάσεις ἐξάπτειν ἐν ἑορτῇ. Μὴ πείθων δὲ (μᾶλλον γὰρ ἐπέκειντο βλασφημοῦντες) κελεύει τὸ στράτευμα πᾶν πανοπλίαν ἀναλαβόντας ἥκειν εἰς τὴν Ἀντωνίαν, φρούριον δὲ τοῦτο, καθάπερ καὶ πρότερον εἴπομεν, ἐπικείμενον τῷ ἱερῷ·) παραγενομένους δὲ τοὺς στρατιώτας θεασάμενον τὸ πλῆθος καὶ φοβηθὲν φεύγειν ὥρμησε, τῶν δ' ἐξόδων στενῶν οὐσῶν, διώκεσθαι νομίζοντες ὑπὸ τῶν πολεμίων καὶ συνωθούμενοι κατὰ τὴν φυγὴν, πολλοὺς ὑπ' ἀλλήλων ἐν τοῖς στενοῖς θλιβομένους διέφθειρον. Δύο γοῦν μυριάδες ἐξηριθμήθησαν τῶν κατὰ τὴν στάσιν ἐκείνην φθαρέντων. Πένθος δὲ ἦν τὸ λοιπὸν ἀντὶ τῆς ἑορτῆς, καὶ πάντες, ἐκλαθόμενοι τῶν εὐχῶν καὶ τῶν θυσιῶν ἐπὶ θρήνους καὶ κλαυθμοὺς ἐτράποντο. Τοιαῦτα μὲν ἑνὸς ἀσέλγεια στρατιώτου παθήματα γενέσθαι παρεσκεύασεν.

δ'. Οὔπω δὲ αὐτῶν τὸ πρῶτον πένθος ἐπέπαυτο, καὶ κακὸν ἄλλο προσέπιπτε· τῶν γὰρ ἐφεστώτων ἐπὶ νεωτερισμῷ τινὲς, κατὰ τὴν δημοσίαν ὁδὸν ὡς ἑκατὸν σταδίων ἄπωθεν τῆς πόλεως, Στέφανόν τινα τοῦ Καίσαρος δοῦλον ὁδοιποροῦντα λῃστεύσαντες, ἅπασαν αὐτοῦ τὴν κτῆσιν διαρπάζουσιν. Ἀκούσας δὲ τὸ πραχθὲν ὁ Κούμανος εὐθὺς πέμπει στρατιώτας, κελεύσας αὐτοῖς τὰς πλησίον κώμας διαρπάσαι, τοὺς δὲ ἐπιφανεστάτους αὐτῶν δήσαντας ἐπ' αὐτὸν ἄγειν, λόγον τῶν τετολμημένων εἰσπράξοντα. Τῆς δὲ πορθήσεως γινομένης τῶν κωμῶν, τῶν στρατιωτῶν τις, τοὺς Μωϋσέως νόμους ἔν τινι κώμῃ λαβὼν κειμένους, προκομίσας εἰς τὴν πάντων ὄψιν διέσχισεν, ἐπιβλασφημῶν καὶ πολλὰ κατακερτομῶν. Οἱ δὲ Ἰουδαῖοι ταῦτα ἀκούσαντες καὶ πολλοὶ συνδραμόντες καταβαίνουσιν εἰς Καισάρειαν, (ἐκεῖ γὰρ ἐτύγχανεν ὁ Κούμανος ὤν,) ἱκετεύοντες μὴ αὐτοὺς, ἀλλὰ τὸν Θεὸν, οὗπερ οἱ νόμοι καθυβρίσθησαν, ἐκδικῆσαι· ζῆν γὰρ οὐχ ὑπομένειν τῶν πατρίων αὐτοῖς οὕτω περιυβρισμένοις. Καὶ ὁ Κούμανος, δείσας μὴ πάλιν νεωτερίσειε τὸ πλῆθος, συμβουλευσάντων καὶ τῶν φίλων, τὸν ἐνυβρίσαντα τοῖς νόμοις στρατιώτην πελεκίσας ἔπαυσε τὴν στάσιν ἐκ δευτέρου μέλλουσαν ἐξάπτεσθαι.

contumelia affici vociferantes, sed Deum nefarie dedecorari. Et quidam fortius animati in Cumanum jactabant convicia, dicentes militem ab eo fuisse summissum. Cumanus autem, quum ista audisset, et ipse non mediocriter eorum maledictis irritatus est, attamen eos rogabat ut res novas moliendi cupiditatem reprimerent, nec festi tempore seditionem concitarent. Quumque illis non persuaderet, (magis enim eum conviciis urgebant,) jubet omnem exercitum sumptis armis in Antoniam convenire, castellum, ut supra diximus, templo imminens. Multitudo autem, ad militum, ubi advenerant, conspectum, metu perculsa, in fugam propere se conjicit: quumque angusti essent viarum exitus, rati a tergo hostem insequi, contrusique inter fugiendum, multi mutua compressione interibant. Viginti itaque millia exstinctorum in illo tumultu numerata sunt: atque in luctum deinceps versa est festivitas, adeo ut omnes, sacrificiorum et orationum obliti, lamentationi et ejulatibus se dederint. Tantas quidem calamitates intulit unius militis petulantia.

4. At nondum primus hic luctus desierat, quum aliud ingrueret malum. Quidam enim eorum qui rebus novandis studebant, in publica via centesimo ab urbe stadio, Stephanum Cæsaris servum iter facientem latronum more aggressi, omnia quæ secum habuit ei eripiunt. Quod ubi factum audivit Cumanus, confestim misit milites, jussos ut vicos propinquos diriperent, et ex illis nobilissimos quosque in vinculis ad se adducerent, rationem facinoris exacturum. Quum autem fieret vastatio vicorum, miles quidam, leges Moysaicas, in vico quodam repositas nactus, prolatas omnium in conspectu discerpsit, additis conviciis multisque ludibriis. Judæi autem istis auditis factoque magno concursu Cæsaream descenderunt, (illic enim agebat Cumanus,) supplicantes ut non ipsos, sed Deum, cujus leges indigne habitæ erant, vindicatum iret: sibi enim non ferendam esse vitam, patriis legibus tot contumeliis oneratis. Tum Cumanus, veritus ne multitudo denuo res novas moliretur, de amicorum consilio militem, qui legibus contumeliam fecerat, securi percussit; atque ita tumultum sedavit, quum in eo esset ut iterum accenderetur.

CAP. VI. (V.)

Porro inter Samaritas et Judæos ortæ sunt inimicitiæ hujusmodi de causa. Mos erat Galilæis in diebus festis Hierosolyma euntibus per regionem Samariæ iter facere. Atque tum ipsis, quum in ifinere essent, quidam e vico, cui nomen Ginæa, (quæ sita est in confiniis Samariæ et Magni campi,) prælio congressi, multos eorum perimunt. Primores autem Galilæorum, ubi facinus audiverant, Cumanum adibant, ipsumque rogabant ut occisorum necem ulcisceretur. Ille

νων τὸν φόνον. Ὁ δὲ χρήμασι πεισθεὶς ὑπὸ τῶν Σαμαρέων ὠλιγώρησεν. Ἀγαναχτήσαντες δὲ ἐπὶ τούτῳ Γαλιλαῖοι τὸ πλῆθος τῶν Ἰουδαίων ἔπειθον ἐφ' ὅπλα χωρῆσαι καὶ τῆς ἐλευθερίας ἀντέχεσθαι· δουλείαν γὰρ καὶ καθ' αὑτὴν μὲν πικρὰν ἔλεγον εἶναι, τὴν ἐφ' ὕβρει δὲ παντάπασιν ἀφόρητον. Τῶν δὲ ἐν τέλει καταπραύνειν αὐτοὺς καὶ συστέλλειν τὴν ταραχὴν πειρωμένων, καὶ πείσειν τὸν Κούμανον ἐπαγγελλομένων δίκας εἰσπράσσεσθαι παρὰ τῶν ἀνῃρηκότων, ἐκείνοις μὲν οὐ προσέσχον, ἀναλαβόντες δὲ τὰ ὅπλα, καὶ βοηθεῖν Ἐλεάζαρον τὸν τοῦ Δειναίου παρακαλέσαντες (λῃστὴς δὲ οὗτος ἦν ἔτη πολλὰ τὴν διατριβὴν ἐν ὄρει πεποιημένος) κώμας τινὰς τῶν Σαμαρέων ἐμπρήσαντες διαρπάζουσι. Κούμανος δὲ, τῆς πράξεως εἰς αὐτὸν ἀφικομένης, ἀναλαβὼν τὴν τῶν Σεβαστηνῶν ἴλην καὶ πεζῶν τέσσαρα τάγματα, τούς τε Σαμαρείτας καθοπλίσας, ἐξῆλθεν ἐπὶ τοὺς Ἰουδαίους, καὶ συλλαβὼν πολλοὺς μὲν αὐτῶν ἀπέκτεινε, πλείους δὲ ζῶντας ἔλαβεν. Οἱ δὲ πρῶτοι κατὰ τιμὴν καὶ γένος τῶν Ἱεροσολυμιτῶν, ὡς εἶδον εἰς οἷον κακῶν μέγεθος ἥκουσι, μετενδυσάμενοι σάκκους καὶ σποδοῦ τὰς κεφαλὰς ἀναπλήσαντες παντοῖοι τοὺς ἐφεστῶτας παρακαλοῦντες ἦσαν, καὶ πείθοντες πρὸ ὀφθαλμῶν θεμένους κατασκαφησομένην μὲν αὐτῶν τὴν πατρίδα, τὸ δὲ ἱερὸν πυρποληθησόμενον, αὐτῶν δὲ καὶ γυναικῶν σὺν τέκνοις ἀνδραποδισμοὺς ἐσομένους, μεταθέσθαι τὸν λογισμὸν, καὶ ὅπλα ῥίψαντας ἠρεμεῖν εἰς τὸ λοιπὸν, ἀποχωρήσαντας εἰς τὰ αὑτῶν. Ταῦτα δὲ εἰπόντες ἔπεισαν. Καὶ οἱ μὲν διελύθησαν, οἱ λῃσταὶ δὲ ἐπὶ τοὺς ἐχυροὺς τόπους πάλιν ἀπῆλθον. Ἐξ ἐκείνου δὲ ἡ σύμπασα Ἰουδαία λῃστηρίων ἐπληρώθη.

β'. Σαμαρέων δὲ οἱ πρῶτοι, πρὸς Οὐμμίδιον Κουαδρᾶτον τῆς Συρίας προεστηκότα, κατὰ τὸν καιρὸν ἐκεῖνον ἐν Τύρῳ τυγχάνοντα, παραγενόμενοι, κατηγόρουν τῶν Ἰουδαίων ὡς τὰς κώμας αὐτῶν ἐμπρήσειαν καὶ διαρπάσειαν. Καὶ περὶ μὲν ὧν αὐτοὶ πεπόνθασιν οὐχ οὕτως ἀγανακτεῖν ἔφασκον ὡς ὅτι Ῥωμαίων καταφρονήσειαν, ἐφ' οὓς κριτὰς ἐχρῆν αὐτοὺς, εἴπερ ἠδικοῦντο, παραγενέσθαι ἢ νῦν, ὡς οὐκ ἐχόντων ἡγεμόνας Ῥωμαίους, καταδραμεῖν. Ἥκειν οὖν ἐπ' αὐτὸν ἐκδικίας τευξόμενοι. Ταῦτα μὲν οὖν οἱ Σαμαρεῖς κατηγόρουν. Ἰουδαῖοι δὲ καὶ τῆς στάσεως καὶ τῆς μάχης αἰτίους γεγονέναι Σαμαρεῖς ἔφασαν, πρὸ πάντων δὲ Κούμανον δώροις ὑπ' αὐτῶν φθαρέντα καὶ παρασιωπήσαντα τὸν τῶν ἀνῃρημένων φόνον. Καὶ Κουαδρᾶτος ἀκούσας ὑπερτίθεται τὴν κρίσιν, εἰπὼν ἀποφανεῖσθαι ἐπειδὰν εἰς τὴν Ἰουδαίαν παραγενόμενος ἀκριβέστερον ἐπιγνῷ τὴν ἀλήθειαν. Καὶ οἱ μὲν ἀπῆσαν ἄπρακτοι· μετ' οὐ πολὺν δὲ χρόνον ὁ Κουαδρᾶτος ἦκεν εἰς Σαμάρειαν, ἔνθα διακούσας αἰτίους τῆς ταραχῆς ὑπέλαβε γεγονέναι Σαμαρεῖς. Ὡς δὲ καὶ Ἰουδαίων τινὰς νεωτερίσαντας ἔμαθεν, ἀνεσταύρωσεν οὓς Κούμανος ἔλαβεν αἰχμαλώτους. Κἀκεῖθεν εἰς κώμην τινὰ παραγενόμενος Λύδδαν λεγομένην, πόλεως τὸ μέγεθος οὐκ ἀποδέουσαν, καθίσας ἐπὶ βήματος καὶ δευτέρου τῶν Σαμαρέων διακούσας, διvero, a Samaritis data pecunia corruptus, eorum nullam rationem habuit. Tunc Galilæi, hac de re indignati, Judæorum multitudinem ad arma conciverunt et ad libertatem suam defendendam : servitutem enim etiam per se quidem acerbam esse dicebant, cum injuriis vero conjunctam omnino intolerabilem. Quum autem magistratus lenire eos et turbam compescere conarentur, pollicerenturque se Cumano persuasuros ut pœnas de cædis auctoribus sumeret, illis quidem non auscultabant, sed armis correptis, et in auxilium advocato Eleazaro Dinæi filio, (ille enim erat latro qui multis jam annis in montibus degerat,) vicos aliquot Samaritarum diripiunt et incendunt. Cumanus autem, ubi ad eum fama rei pervenerat, assumpta Sebastenorum ala cum quattuor peditum cohortibus, armatisque etiam Samaritanis, contra Judæos proficiscitur; eosque assequutus, multos quidem illorum perimit, plurimos autem vivos cepit. Tum vero Hierosolymitarum primi genere pariter ac honore, ut viderunt ad quam calamitatum magnitudinem ventum esset, saccos induti, capitibusque cinere repletis, modis omnibus seditiosos obsecrabant et hortabantur, ut, ob oculos positis patria dirnenda et templo flammis vastando et ipsis cum uxoribus et liberis in servitutem deducendis, consilium mutarent, et abjectis armis quiescerent in posterum, et suas quisque domos repeterent. Quum autem ista dixissent, eos flexerunt. Atque illi quidem sese disperserunt, latrones vero ad loca munita iterum reversi sunt. Atque ex eo tempore Judæa omnis latrociniis infestabatur.

2. At Samaritarum primates Ummidium Quadratum Syriæ præsidem, tunc Tyri degentem, adibant, et Judæos accusabant, quod vicos ipsorum diripuerint ac incenderint. Et non tam se ægre ferre propriam injuriam dicebant quam quod Romanos contempserint, ad quos judices, si quid damni accepissent, oporteret eos potius provocare, quam nunc, quasi a Romanis imperio non regerentur, incursiones facere. Quamobrem ad ipsum se venire, hoc demum impetraturos ut vindicarentur Et hujusmodi quidem accusationem instituebant Samaritani. Judæi vero et seditionis et pugnæ auctores Samaritas exstitisse aiebant, et ante omnia Cumanum ab illis muneribus corruptum, adeoque interfectorum cædem occultasse et dissimulasse. Et Quadratus, quum ista audivisset, judicium distulit, dicens se pronunciaturum esse, postquam in Judæam venerit et veritatem accurate magis perspectam habuerit. Et illi quidem re infecta discesserunt. Non multo autem post Quadratus Samariam venit, ubi omnibus auditis, in ea erat sententia ut Samaritanos turbarum auctores fuisse existimaret. Quum primum vero Judæos quosdam res novas molitos esse intellexit, captos a Cumano in cruces egit. Atque inde profectus in vicum cui nomen Lydda, urbi magnitudine non cedentem, quum pro tribunali sedisset iterumque Samaritano-

δάσκεται παρά τινος Σαμαρέως ὅτι τῶν Ἰουδαίων τις πρῶτος, ὄνομα Δόρτος, καί τινες σὺν αὐτῷ νεωτερισταί, τέσσαρες τὸν ἀριθμὸν, πείσειαν τὸν ὄχλον ἐπὶ τῇ Ῥωμαίων ἀποστάσει. Κἀκείνους μὲν ὁ Κουαδρᾶτος ἀνελεῖν προσέταξεν· τοὺς δὲ περὶ Ἀνανίαν τὸν ἀρχιερέα καὶ τὸν στρατηγὸν Ἄνανον δήσας εἰς Ῥώμην ἀνέπεμψε, περὶ τῶν πεπραγμένων λόγον ὑφέξοντας Κλαυδίῳ Καίσαρι. Κελεύει δὲ καὶ τοῖς τῶν Σαμαρέων πρώτοις καὶ τοῖς Ἰουδαίων, Κουμάνῳ τε ἐπιτρόπῳ καὶ Κέλερι (χιλίαρχος δ' ἦν οὗτος) ἐπ' Ἰταλίας ἀπιέναι πρὸς τὸν αὐτοκράτορα, κριθησομένους ἐπ' αὐτῷ περὶ τῶν πρὸς ἀλλήλους ζητήσεων. Αὐτὸς δὲ, δείσας μὴ τὸ πλῆθος τῶν Ἰουδαίων πάλιν νεωτερίσειεν, εἰς τὴν τῶν Ἱεροσολυμιτῶν πόλιν ἀφικνεῖται· καταλαμβάνει δὲ αὐτὴν εἰρηνευομένην, καὶ πάτριον ἑορτὴν τῷ Θεῷ τελοῦσαν. Πιστεύσας οὖν μηδένα νεωτερισμὸν παρ' αὐτῶν γεγενῆσθαι, καταλιπὼν ἑορτάζοντας ὑπέστρεψεν εἰς Ἀντιόχειαν.

γ'. Οἱ περὶ Κούμανον δὲ καὶ τοὺς πρώτους τῶν Σαμαρέων ἀναπεμφθέντες εἰς Ῥώμην λαμβάνουσι παρὰ τοῦ αὐτοκράτορος ἡμέραν, καθ' ἣν περὶ τῶν πρὸς ἀλλήλους ἀμφισβητήσεων λέγειν ἔμελλον. Σπουδὴ δὲ μεγίστη τῷ Κουμάνῳ καὶ τοῖς Σαμαρεῦσιν ἦν παρὰ τῶν Καίσαρος ἀπελευθέρων καὶ φίλων, κἂν περιεγένοντο τῶν Ἰουδαίων, εἰ μή περ Ἀγρίππας ὁ νεώτερος ἐν τῇ Ῥώμῃ τυγχάνων κατασπευδομένους ἰδὼν τοὺς τῶν Ἰουδαίων πρώτους ἐδεήθη πολλὰ τῆς τοῦ αὐτοκράτορος γυναικὸς Ἀγριππίνης πεῖσαι τὸν ἄνδρα, δικάσαντα πρεπόντως τῇ αὐτοῦ δικαιοσύνῃ, τιμωρήσασθαι τοὺς αἰτίους τῆς ἀποστάσεως. Καὶ Κλαύδιος τῇ δεήσει ταύτῃ προευτρεπισθεὶς καὶ διακούσας, ὡς ηὗρε τῶν κακῶν ἀρχηγοὺς τοὺς Σαμαρεῖς γενομένους, τοὺς μὲν ἀναβάντας πρὸς αὐτὸν ἐκέλευσεν ἀναιρεθῆναι, τῷ Κουμάνῳ δὲ φυγὴν ἐπέβαλε, Κέλερα δὲ τὸν χιλίαρχον ἐκέλευσεν ἀγαγόντας εἰς τὰ Ἱεροσόλυμα, πάντων ὁρώντων ἐπὶ τὴν πόλιν πᾶσαν σύραντας, οὕτως ἀποκτεῖναι.

ΚΕΦ. Ζ'.

Πέμπει δὲ καὶ Κλαύδιος Φήλικα Πάλλαντος ἀδελφὸν τῶν κατὰ τὴν Ἰουδαίαν προστησόμενον πραγμάτων. Τῆς δὲ ἀρχῆς δωδέκατον ἔτος ἤδη πεπληρωκὼς δωρεῖται τὸν Ἀγρίππαν τῇ Φιλίππου τετραρχίᾳ καὶ Βαταναίᾳ, προσθεὶς αὐτῷ τὴν Τραχωνῖτιν σὺν Ἀβίλᾳ, (Λυσανίᾳ δὲ αὕτη ἐγεγόνει τετραρχία,) τὴν Χαλκίδα δ' αὐτὸν ἀφαιρεῖται, δυναστεύσαντα ταύτης ἔτη τέσσαρα. Λαβὼν δὲ τὴν δωρεὰν παρὰ τοῦ Καίσαρος Ἀγρίππας ἐκδίδωσι πρὸς γάμον Ἀζίζῳ τῷ Ἐμέσων βασιλεῖ, περιτέμνεσθαι θελήσαντι, Δρουσίλλαν τὴν ἀδελφήν. Ἐπιφανὴς γὰρ ὁ Ἀντιόχου τοῦ βασιλέως παῖς παρητήσατο τὸν γάμον, μὴ βουληθεὶς εἰς τὰ Ἰουδαίων ἔθη μεταβαλεῖν, καίπερ τοῦτο ποιήσειν προϋποσχόμενος αὐτῇ τῷ πατρί. Καὶ Μαριάμμην δὲ ἐξέδωκεν Ἀρχελάῳ τῷ Ἑλκίου παιδὶ, πρότερον ὑπὸ Ἀγρίππα τοῦ πατρὸς ἁρ-

rum causam audisset, a Samarita quodam eductus est, quendam Judæorum primatem nomine Dortum, nonnullosque cum eo novis rebus studentes, quattuor numero, populum, ut a Romanis deficerent, sollicitasse. Et illos quidem Quadratus occidi imperavit: Ananiam vero pontificem et Ananum prætorem vinctos Romam misit, factorum rationem Claudio Cæsari reddituros. Porroque Samaritarum et Judæorum primores, et Cumanum procuratorem, et Celerem (is autem tribunus erat) jubet in Italiam ad Imperatorem discedere, illius judicio sistendos de iis quas inter se haberent controversiis. At ipse, veritus ne novi aliquid moliretur populus Judaicus, in Hierosolymitarum urbem se confert; ipsamque pacatam deprehendit festumque patrium Deo agentem. Credidit itaque nihil ab iis novatum iri, illisque in festivitate relictis Antiochiam se recepit.

3. Cumanus autem et Samaritanorum primores, Romam missi, diem ab Imperatore sibi constitutum accipiunt, quo causam acturi essent de rebus inter se controversis. Summoque studio pro Cumano et Samaritis contendebant Cæsaris liberti et amici: et Judæos sane vicissent, nisi Agrippa junior, qui eo tempore Romæ erat, quum intelligeret Hierosolymitarum proceres non mediocriter trepidare, multis precibus implorasset Agrippinam Imperatoris uxorem, ut marito persuaderet, ubi causam cognosceret, a defectionis auctoribus convenienter suæ justitiæ pœnas exigere. Claudius igitur his precibus in antecessum instructus et paratus, quæque dicerent utrinque auditis, ut comperit Samaritas malorum duces auctoresque exstitisse, eos quidem qui ad ipsum ascenderant occidi jussit, Cumanum vero in exsilium egit, atque Celerem tribunum Hierosolyma duci præcepit, et omnium in conspectu per totam urbem trahi atque inde enecari.

CAP. VII. (V.)

Claudius deinde misit Felicem Pallantis fratrem, ut rebus in Judæa præesset. Atque, imperii sui anno duodecimo completo, Agrippam donavit Philippi tetrarchia et Batanæa, eique in auctarium dedit Trachonitidem una cum Abila, (ista autem fuerat Lysaniæ tetrarchia,) Chalcidem vero ei abstulit, quum dynastiam illam tenuisset quadriennio. Agrippa autem, istis muneribus a Cæsare auctus, Azizo Emesorum regi, quum circumcidi annuisset, Drusillam sororem in matrimonium collocavit. Nam Epiphanes Antiochi regis filius ejus nuptias recusaverat, ut qui Judæorum religionem sua relicta amplecti noluerit, licet ita se facturum esse puellæ patri olim promiserit. Porroque Mariamnen nuptui dedit Archelao Helciæ filio, cui jam ante

μοσθεῖσαν αὐτῷ· καὶ γίνεται θυγάτηρ αὐτοῖς ὄνομα Βερενίκη.

β'. Διαλύονται δὲ τῇ Δρουσίλλῃ πρὸς τὸν Ἄζιζον οἱ γάμοι μετ' οὐ πολὺν χρόνον, τοιαύτης ἐμπεσούσης αἰτίας. Καθ' ὃν καιρὸν τῆς Ἰουδαίας ἐπετρόπευσε Φῆλιξ, θεασάμενος ταύτην, (καὶ γὰρ ἦν κάλλει πασῶν διαφέρουσα;) λαμβάνει τῆς γυναικὸς ἐπιθυμίαν, καὶ Σίμωνα ὀνόματι, τῶν ἑαυτοῦ φίλων, Ἰουδαῖον, Κύπριον δὲ γένος, μάγον εἶναι σκηπτόμενον, πέμπων πρὸς αὐτὴν, ἔπειθε τὸν ἄνδρα καταλιποῦσαν αὐτῷ γήμασθαι, μακαρίαν ποιήσειν ἐπαγγελλόμενος, μὴ ὑπερηφανήσασαν αὐτόν. Ἡ δὲ κακῶς πράττουσα, καὶ φυγεῖν τὸν ἐκ τῆς ἀδελφῆς Βερενίκης βουλομένη φθόνον, (διὰ γὰρ τὸ κάλλος παρ' ἐκείνης ἐν οὐκ ὀλίγοις ἐβλάπτετο,) παραδῆναι τά τε πάτρια νόμιμα πείθεται καὶ τῷ Φήλικι γήμασθαι. Τεκοῦσα δὲ ἐξ αὐτοῦ παῖδα προσηγόρευσεν Ἀγρίππαν. Ἀλλ' ὃν μὲν τρόπον ὁ νεανίας ἐκεῖνος σὺν τῇ γυναικὶ κατὰ τὴν ἐκπύρωσιν τοῦ Βεσβίου ὄρους ἐπὶ τῶν Τίτου Καίσαρος χρόνων ἠφανίσθη, μετὰ ταῦτα δηλώσω.

γ'. Βερενίκη δὲ μετὰ τὴν Ἡρώδου τελευτὴν, ὃς αὐτῆς ἀνὴρ καὶ θεῖος ἐγεγόνει, πολὺν χρόνον ἐπιχηρεύσασα, φήμης ἐπισχούσης ὅτι τἀδελφῷ συνείη, πείθει Πολέμωνα (Κιλικίας δὲ ἦν οὗτος βασιλεύς) περιτεμόμενον ἀγαγέσθαι πρὸς γάμον αὐτὴν, οὕτω γὰρ ἐλέγξειν ᾤετο ψευδεῖς τὰς διαβολάς. Καὶ ὁ Πολέμων ἐπείσθη μάλιστα διὰ τὸν πλοῦτον αὐτῆς. Οὐ μὴν ἐπὶ πολὺ συνέμεινεν ὁ γάμος, ἀλλ' ἡ Βερενίκη δι' ἀκολασίαν, ὡς ἔφασαν, καταλείπει τὸν Πολέμωνα. Ὁ δὲ ἅμα τοῦ τε γάμου καὶ τοῦ τοῖς ἔθεσι τῶν Ἰουδαίων ἐμμένειν ἀπήλλακτο. Τῷ αὐτῷ δὲ καιρῷ καὶ Μαριάμμη, παραιτησαμένη τὸν Ἀρχέλαον, συνῴκησε Δημητρίῳ, τῷ ἐν Ἀλεξανδρείᾳ Ἰουδαίων πρωτεύοντι γένει τε καὶ πλούτῳ· τότε δὴ καὶ τὴν ἀλαβαρχίαν αὐτὸς εἶχε. Γενόμενον δ' αὐτῇ παιδίον ἐξ ἐκείνου Ἀγριππῖνον προσηγόρευσεν. Ἀλλὰ περὶ μὲν ἑκάστου τούτων μετὰ ἀκριβείας ὕστερον ἀπαγγελοῦμεν.

ΚΕΦ. Η'.

Τελευτᾷ δὲ Κλαύδιος Καῖσαρ, βασιλεύσας ἔτη δεκατρία, μῆνας ὀκτὼ πρὸς ἡμέρας εἴκοσι· καὶ λόγος ἦν παρά τινων ὡς ὑπὸ τῆς γυναικὸς Ἀγριππίνης φαρμάκοις ἀνῄρητο. Ταύτης πατὴρ μὲν ἦν Γερμανικὸς Καίσαρος ἀδελφὸς, ἀνὴρ δὲ Δομέτιος Ἠνόβαρβος ὁ τῶν ἐπισήμων κατὰ τὴν Ῥωμαίων πόλιν· οὗ τελευτήσαντος, χηρεύουσαν αὐτὴν ἐπὶ πολὺν χρόνον Κλαύδιος ἄγεται πρὸς γάμον, ἐπαγομένην καὶ παῖδα Δομέτιον ὁμώνυμον τῷ πατρί. Προανῃρήκει δὲ τὴν γυναῖκα Μεσσαλίναν διὰ ζηλοτυπίαν, ἐξ ἧς αὐτῷ παῖδες ἐγεγόνεισαν Βρεττανικὸς καὶ Ὀκταουία. Ἦν δὲ καὶ αὐτῷ Ἀντωνία πρεσβυτάτη τῶν ἀδελφῶν, ἣν ἐκ Πετεινῆς τῆς πρώτης γυναικὸς εἶχε. Καὶ δὴ τὴν Ὀκταουίαν ἥρμοσε τῷ Νέρωνι. Τοῦτο γὰρ ὕστερον αὐτὸν ἐκάλεσεν εἰσποιησάμενος υἱὸν ὁ Καῖσαρ.

ab Agrippa patre desponsata fuerat; illisque nata est filia Berenice nomine.

2. Non multo autem post connubium Drusillæ Azizique dissolutum est hujusmodi de causa. Felix, quo tempore procurator erat Judææ, quum Drusillam conspexisset, (namque omnes pulchritudine præcellebat,) mulieris desiderio tenebatur; et ex amicis suis Judæum, nomine Simonem, genere Cyprium, qui se magum esse simulabat, ad eam mittens, suadere nitebatur ut relicto marito ipsi nuberet, beatam facturum esse pollicens, si se non fastidiret. Atque illa, haud recte faciens, volensque effugere sororis Berenices invidiam, (nam propter pulcritudinem non leviter ab ea lædebatur,) ut contra patria instituta ageret, et Felici nuberet, sibi persuaderi sinit. Quumque ex eo peperisset filium, Agrippam nomine vocavit. Sed quemadmodum is juvenis cum muliere ista perierit, quum inflammaretur mons Vesuvius tempore Titi Cæsaris, postea declarabo.

3. Porro Berenice post Herodis obitum, qui ipsius maritus fuerat idemque patruus, quum longum tempus in viduitate egisset, fama percrebrescente, quod cum fratre suo coiret, suadet Polemoni (ille enim Ciliciæ rex erat) ut circumcisus eam in matrimonium duceret: nam hoc pacto existimabat se redarguturam esse mendacia et calumnias. Eique obsequutus est Polemon, maxime propter illius divitias. Id tamen conjugium non diu irruptum mansit; sed Berenice ob intemperantiam, ut ferebatur, deserit Polemonem. Ille vero solutis nuptiis in moribus et institutis Judæorum perseverare desiit. Eodem autem tempore etiam Mariamne, quum repudiasset Archelaum, nupsit Demetrio, primo inter Alexandrinos Judæos genere pariter ac opibus: tunc etiam et ipse Alabarchiam tenebat. Quumque filius ei natus esset ex illo, Agrippinum appellavit. Sed de horum singulis postea accurate magis narrandi locus erit.

CAP. VIII. (V.)

Ceterum moritur Claudius Cæsar, quum annos tredecim imperasset, menses octo, et dies insuper viginti: ferebantque nonnulli quod ab Agrippina uxore veneno sublatus fuerit. Hujus mulieris pater quidem erat Germanicus Cæsaris frater, maritus vero Domitius Aenobarbus, e viris in urbe Roma illustribus. Illo autem defuncto, eam, quum vidua diu mansisset, Claudius in matrimonium duxit, filium adducentem patri cognominem Domitium. Messalinam enim uxorem ob zelotypiam sustulerat, ex qua Britannicum et Octaviam liberos susceperat. Erat autem ei et Antonia filia natu maxima, quam ex priore uxore Petina habuit. Atque Octaviam protinus Neroni collocavit: id enim nomen Domitio dedit Cæsar posteaquam in filium adoptaverat.

β'. Διδοικυῖα δὲ ἡ Ἀγριππῖνα μὴ ὁ Βρεττανικὸς ἀνδρωθεὶς αὐτὸς παρὰ τοῦ πατρὸς τὴν ἀρχὴν παραλάβοι, τῷ δὲ αὐτῆς παιδὶ προαρπάσαι βουλομένη τὴν ἡγεμονίαν, τά τε περὶ τὸν θάνατον τοῦ Κλαυδίου, καθάπερ ἦν λόγος, διεπράξατο, καὶ παραχρῆμα πέμπει τὸν τῶν στρατευμάτων ἔπαρχον Βοῦρρον, καὶ σὺν αὐτῷ τοὺς χιλιάρχους, τῶν τε ἀπελευθέρων τοὺς πλεῖστα δυναμένους, ἀπάξοντας εἰς τὴν παρεμβολὴν τὸν Νέρωνα, καὶ προσαγορεύσοντας αὐτὸν αὐτοκράτορα. Νέρων δὲ, τὴν ἀρχὴν οὕτω παραλαβὼν, Βρεττανικὸν μὲν ἀδήλως τοῖς πολλοῖς ἀναιρεῖ διὰ φαρμάκων, φανερῶς δὲ σὺν εἰς μακρὰν τὴν μητέρα τὴν ἑαυτοῦ φονεύει, ταύτην ἀμοιβὴν ἀποτίσας αὐτῇ οὐ μόνον τῆς γενέσεως, ἀλλὰ καὶ τοῦ ταῖς ἐκείνης μηχαναῖς τὴν Ῥωμαίων ἡγεμονίαν παραλαβεῖν. Κτείνει δὲ καὶ τὴν Ὀκταουίαν, ἣ συνῴκει, πολλούς τε ἐπιφανεῖς ἄνδρας ὡς ἐπ' αὐτὸν ἐπιβουλὰς συνθέντας.

γ'. Ἀλλὰ περὶ μὲν τούτων ἐῶ πλείω γράφειν· πολλοὶ γὰρ τὴν περὶ Νέρωνα συντετάχασιν ἱστορίαν, ὧν οἱ μὲν, διὰ χάριν, εὖ πεπονθότες ὑπ' αὐτοῦ, τῆς ἀληθείας ἠμέλησαν, οἱ δὲ διὰ μῖσος καὶ τὴν πρὸς αὐτὸν ἀπέχθειαν οὕτως ἀναιδῶς ἐνεπαρῴνησαν τοῖς ψεύσμασιν ὡς ἀξίους αὐτοὺς εἶναι καταγνώσεως. Καὶ θαυμάζειν οὐκ ἔπεισί μοι τοὺς περὶ Νέρωνος ψευσαμένους, ὅπου μηδὲ τῶν πρὸ αὐτοῦ γενομένων γράφοντες τὴν ἀλήθειαν τῆς ἱστορίας τετηρήκασιν, καίτοι πρὸς ἐκείνους αὐτοῖς οὐδὲν μῖσος ἦν, ἅτε μετ' αὐτοὺς πολλῷ χρόνῳ γενομένοις. Ἀλλὰ γὰρ τοῖς μὲν οὐ προνοουμένοις τῆς ἀληθείας ἐξέστω γράφειν ὡς θέλουσι· τούτῳ γὰρ χαίρειν ἐοίκασιν· ἡμεῖς δὲ, σκοπὸν τὴν ἀλήθειαν προθέμενοι, τὰ μὲν ἀπηρτημένα τῆς προκειμένης ἡμῖν πραγματείας ἐπ' ὀλίγον μνήμης ἀξιοῦμεν, τὰ δὲ ἡμῖν τοῖς Ἰουδαίοις συμπεσόντα δηλοῦμεν οὐ παρέργως, μήτε τὰς συμφορὰς μήτε τὰς ἁμαρτίας διασαφεῖν ὀκνοῦντες. Ἐπανάξω τοίνυν ἐπὶ τὴν τῶν οἰκείων πραγμάτων διήγησιν.

δ'. Τῷ γὰρ πρώτῳ τῆς Νέρωνος ἀρχῆς ἔτει τελευτήσαντος τοῦ Ἐμέσων βασιλέως Ἀζίζου, Σόεμος ἀδελφὸς τὴν ἀρχὴν διαδέχεται. Τὴν δὲ τῆς μικρᾶς Ἀρμενίας προστασίαν Ἀριστόβουλος, Ἡρώδου τῆς Χαλκίδος βασιλέως παῖς, ὑπὸ Νέρωνος ἐγχειρίζεται. Καὶ τὸν Ἀγρίππαν δὲ δωρεῖται μοίρᾳ τινὶ τῆς Γαλιλαίας ὁ Καῖσαρ, Τιβεριάδα καὶ Ταριχέας ὑπακούειν αὐτῷ κελεύσας· δίδωσι δὲ καὶ Ἰουλιάδα πόλιν τῆς Περαίας καὶ κώμας τὰς περὶ αὐτὴν τεσσαρεσκαίδεκα.

(Ϛ'.) ε'. Τὰ δὲ κατὰ τὴν Ἰουδαίαν πράγματα πρὸς τὸ χεῖρον ἀεὶ τὴν ἐπίδοσιν ἐλάμβανε. Ληστηρίων γὰρ ἡ χώρα πάλιν ἀνεπλήσθη καὶ γοήτων ἀνθρώπων, οἳ τὸν ὄχλον ἐφύπτων. Ἀλλὰ τούτων μὲν ὁ Φῆλιξ πολλοὺς καθ' ἑκάστην ἡμέραν σὺν τοῖς λῃσταῖς λαμβάνων ἀνῄρει, καὶ Ἐλεάζαρον δὲ τὸν Δειναίου παῖδα, τὸν συστησάμενον τῶν λῃστῶν τὸ σύνταγμα, δι' ἐνέδρας εἷλε ζῶντα· πίστιν γὰρ αὐτῷ προτείνας ὑπὲρ τοῦ μηδὲν πείσεσθαι κακὸν, πείθει πρὸς αὐτὸν ἀφικέσθαι, καὶ δήσας

2. Agrippina autem verita ne Britannicus, quum adultus esset, a patre principatum acciperet, suoque filio volens imperium ire præreptum, quæ Claudio necem afferrent, ut fama erat, confecit, atque illico mittit Burrum militiæ præfectum, et cum eo tribunos et libertos qui plurimum auctoritate valebant, qui Neronem in castra abducerent, ipsumque Imperatorem salutarent. Nero autem, hoc modo principatum adeptus, Britannicum quidem clam plerisque veneno sustulit, palam vero matrem suam non multo post peremit, hanc illi vicem referens, non solum quod eum genuerit, verum etiam quod illius artibus Romanorum imperium acceperit. Quin et Octaviam uxorem suam occidit, multosque viros illustres, quasi in ipsum composuissent insidias.

3. Sed de his quidem plura dicere supersedeo. Nam multi Neronis historiam conscripserunt, quorum aliqui in gratiam, ut bene de se meriti, veritatem neglexerunt, alii vero, ex odio et inimicitiis sibi cum eo susceptis, inverecunde adeo debacchati sunt in eum mendaciis, ut digni sint qui uno hoc crimine condemnentur. Etsi non mihi subit eos mirari de Nerone mentitos, quando ne res quidem ab antecessoribus ejus gestas memoriæ mandantes historiæ veritatem retinuerunt, licet in eos nullum odium habuerint, quum longo post eos tempore vixerint. Verum enim istis, qui nullam veritatis rationem habent, liceat pro lubitu scribere : nam hujusmodi licentia delectari videntur : at nobis, quibus propositum est veritati unice litare, quæ ab opere nostro aliena sunt paucis admodum attingere visum est; quæ vero Judæis, popularibus nostris, contigerunt, ea non perfunctorie narramus, ut quos non piget et calamitates nostras et delicta declarare. Itaque ad res nostras persequendas revertar.

4. Primo imperii Neronis anno, Azizo rege Emesorum defuncto, Soemus frater ei in principatum successit. Armeniæ autem minoris præfecturam Aristobulus, Herodis regis Chalcidis filius, a Nerone accepit. Porro Agrippæ donavit Cæsar partem quandam Galilææ, Tiberiadem et Tarichеas, ejus imperio parere jussas : prætereaque Juliadem Perææ urbem et vicos quattuordecim ejus in vicinia positos.

(VI.) 5. Ceterum res Judaicæ in dies in deterius prolabebantur. Nam regio iterum latronibus repleta est et impostoribus qui multitudinem seducebant. Sed horum quidem multos, simul cum latronibus quotidie captos, Felix sustulit : insuper et Eleazarum Dinæi filium, qui latronum agmen collegerat, ex insidiis vivum cepit : nam fide ei data quod nihil mali passurus esset, pellexit eum ut ad se veniret, moxque vinctum Romam mittendum curabat. Quum

ἀνέπεμπεν εἰς Ῥώμην. Ἔχων δὲ ἀπεχθῶς πρὸς τὸν ἀρχιερέα τὸν Ἰωνάθην ὁ Φῆλιξ, διὰ τὸ πολλάκις ὑπ' αὐτοῦ νουθετεῖσθαι περὶ τοῦ κρειττόνως προίστασθαι τῶν κατὰ τὴν Ἰουδαίαν πραγμάτων, μὴ καὶ μέμψιν αὐτὸς ὀφλοίη παρὰ τοῖς πλήθεσιν, αἰτησάμενος ἐκεῖνον παρὰ τοῦ Καίσαρος πεμφθῆναι τῆς Ἰουδαίας ἐπίτροπον, πρόφασιν ἐπενόει δι' ἧς μεταστήσεται τὸν συνεχῶς ὀχληρὸν αὐτῷ γενόμενον· βαρὺ γὰρ τοῖς ἀδικεῖν ἐθέλουσι τὸ συνεχῶς νουθετοῦν. Καὶ δὴ διὰ τοιαύτης αἰτίας ὁ Φῆλιξ τὸν πιστότατον τῶν Ἰωνάθου φίλων, Ἱεροσολυμίτην τὸ γένος, Δωρᾶν ὀνόματι, πείθει, πολλὰ χρήματα δώσειν ὑπισχνούμενος, ἐπαγαγεῖν τῷ Ἰωνάθῃ τοὺς λῃστὰς ἀναιρήσοντας. Κἀκεῖνος ὑπακούσας ἐμηχανήσατο διὰ τῶν λῃστῶν πραχθῆναι τοιούτῳ τρόπῳ τὸν φόνον. Ἀνέβησάν τινες αὐτῶν εἰς τὴν πόλιν ὡς προσκυνήσοντες τὸν Θεὸν, ὑπὸ τὰς ἐσθῆτας ἔχοντες ξιφίδια, καὶ συναναμιχθέντες τῷ Ἰωνάθῃ κτείνουσιν αὐτόν. Ἀνεκδικήτου δὲ τοῦ φόνου μεμενηκότος, μετὰ πάσης τὸ λοιπὸν ἀδείας ἀναβαίνοντες ἐν ταῖς ἑορταῖς οἱ λῃσταὶ, καὶ τὸν σίδηρον ὁμοίως κεκρυμμένον ἔχοντες, συναναμιγνύμενοι τοῖς πλήθεσιν, ἀνῄρουν οὓς μὲν ἑαυτῶν ἐχθροὺς, οὓς δὲ ἐπὶ χρήμασιν ἄλλοις ὑπηρετοῦντες, οὐ μόνον κατὰ τὴν ἄλλην πόλιν, ἀλλὰ καὶ κατὰ τὸ ἱερὸν ἐνίους· καὶ γὰρ ἐκεῖ σφάττειν ἐτόλμων, οὐδὲ ἐν τούτῳ δοκοῦντες ἀσεβεῖν. Διὰ τοῦτο οἶμαι καὶ τὸν Θεὸν μισήσαντα τὴν ἀσέβειαν αὐτῶν ἀποστραφῆναι μὲν ἡμῶν τὴν πόλιν, τὸ δὲ ἱερὸν οὐκέτι καθαρὸν οἰκητήριον αὐτῷ κρίναντα, Ῥωμαίους ἐπαγαγεῖν ἡμῖν, καὶ τῇ πόλει καθάρσιον πῦρ καὶ δουλείαν ἐπιβαλεῖν σὺν γυναιξὶ καὶ τέκνοις, σωφρονίσαι ταῖς συμφοραῖς βουλόμενον ἡμᾶς.

ς'. Τὰ μὲν οὖν τῶν λῃστῶν ἔργα τοιαύτης ἀνοσιότητος ἐπλήρου τὴν πόλιν. Οἱ δὲ γόητες καὶ ἀπατεῶνες ἄνθρωποι τὸν ὄχλον ἔπειθον αὐτοῖς εἰς τὴν ἐρημίαν ἕπεσθαι· δείξειν γὰρ ἔφασαν ἐναργῆ τέρατα καὶ σημεῖα, κατὰ τὴν τοῦ Θεοῦ πρόνοιαν γενόμενα. Καὶ πολλοὶ πεισθέντες τῆς ἀφροσύνης τιμωρίας ὑπέσχον· ἀναχθέντας γὰρ αὐτοὺς Φῆλιξ ἐκόλασεν. Ἀφικνεῖται δέ τις ἐξ Αἰγύπτου κατὰ τοῦτον τὸν καιρὸν εἰς τὰ Ἱεροσόλυμα, προφήτης εἶναι λέγων, καὶ συμβουλεύων τῷ δημοτικῷ πλήθει σὺν αὐτῷ πρὸς ὄρος τὸ προσαγορευόμενον Ἐλαιῶν ἔρχεσθαι, ὃ τῆς πόλεως ἄντικρυς κείμενον ἀπέχει στάδια πέντε· θέλειν γὰρ ἔφασκεν αὐτοῖς ἐκεῖθεν ἐπιδεῖξαι ὡς κελεύσαντος αὐτοῦ πίπτοι τὰ τῶν Ἱεροσολύμων τείχη, δι' ὧν τὴν εἴσοδον αὐτοῖς παρέξειν ἐπηγγέλλετο. Φῆλιξ δὲ, ὡς ἐπύθετο ταῦτα, κελεύει τοὺς στρατιώτας ἀναλαβεῖν τὰ ὅπλα, καὶ μετὰ πολλῶν ἱππέων τε καὶ πεζῶν ὁρμήσας ἀπὸ τῶν Ἱεροσολύμων προσβάλλει τοῖς περὶ τὸν Αἰγύπτιον· καὶ τετρακοσίους μὲν αὐτῶν ἀνεῖλε, διακοσίους δὲ ζῶντας ἔλαβεν. Ὁ δὲ Αἰγύπτιος αὐτὸς διαδρὰς ἐκ τῆς μάχης ἀφανὴς ἐγένετο. Πάλιν δὲ οἱ λῃσταὶ τὸν δῆμον εἰς τὸν πρὸς Ῥωμαίους πόλεμον ἠρέθιζον, μὴ δεῖν ὑπακούειν

autem Felix odio haberet Jonatham pontificem, ut qui eum sæpe admonuerit de rebus Judaicis melius administrandis, ne ipse, qui eum a Cæsare in Judæam procuratorem mittendum petierat, populi querelis appeteretur, rationem excogitabat eum e medio tollendi, qui factus est ipsi continuo molestus : nam frequens admonitio gravis est iis quibus in animo est injuste agere. Itaque hujusmodi de causa Felix amicum Jonathæ fidissimum, genere Hierosolymitam, Doran nomine, corrumpit multum pecuniæ promittendo, ut Jonathæ latrones immitteret qui ipsum interficerent. Atque ille ei obsequutus, hoc modo per latrones necem pontifici machinatus est. Quidam eorum, quasi Deum adoraturi, in urbem ascenderunt, sub vestibus sicis succincti; atque Jonathæ famulitio permisti ipsum occidunt. Quum autem inulta mansisset cædes, in posterum latrones sine ullo metu in festivitatibus ascendunt, ferrumque similiter ac antea occultatum habentes, turbæ immisti, partim e suis inimicis quosdam perimunt, partim aliorum, aliis pecunia operam suam præstantes, idque non modo in urbe reliqua, sed ipso etiam in templo nonnullos : nam et illic cædem facere non verebantur, quasi ita agendo nihil pietatem læderent. Hanc ob causam arbitror etiam Deum, impietatis illorum odio, aversatum esse urbem, et quum templum non amplius sibi purum domicilium existimarit, Romanos in nos adduxisse, urbique ignem purificantem injecisse et nobis cum uxoribus et liberis servitutem, eo animo ut nos calamitatibus edocti ad sanam mentem rediremus.

6. Et ex iis quidem quæ patrarunt latrones, fiebat ut urbs nefariis ejusmodi facinoribus repleretur. Impostores vero et fallaciis pleni homines suadebant multitudini, ut ipsos in solitudinem sequerentur : se enim ipsis ostensuros dicebant manifesta prodigia et signa, quæ Dei cura et providentia evenirent. Multique, fidem habentes, dementiæ suæ pœnas pertulerunt; eos quippe retractos Felix supplicio affecit. Eodem autem tempore quidam ex Ægypto venit Hierosolyma, se vatem esse simulans, suadensque plebeiæ turbæ ut secum montem Olivarum ascenderet, qui e regione urbis situs quinque abest stadia : inde enim ipsis se monstrare velle dicebat quomodo suo jussu corruerent Hierosolymorum muri, per quos ipsis aditum se patefacturum esse promittebat. Felix vero, ut ista audivit, jubet milites arma arripere; quumque multis equitibus et peditibus stipatus Hierosolymis eruptionem fecisset, invadit Ægyptium et qui ab eo stabant : ac quadringentos quidem ipsorum occidit, ducentos vero vivos cepit; Ægyptius autem ipse e pugna elapsus e conspectu evanuit. Rursum vero latrones populum ad bellum Romanis inferendum concitabant, illis nequaquam parendum esse dicti-

αὐτοῖς λέγοντες, καὶ τὰς τῶν ἀπειθούντων κώμας ἐμπιπράντες διήρπαζον.

ζ'. Γίνεται δὲ καὶ τῶν Καισάρειαν οἰκούντων Ἰουδαίων στάσις πρὸς τοὺς ἐν αὐτῇ Σύρους περὶ ἰσοπολιτείας. Οἱ μὲν γὰρ Ἰουδαῖοι πρωτεύειν ἠξίουν, διὰ τὸ τὸν κτιστὴν τῆς Καισαρείας Ἡρώδην αὐτῶν βασιλέα γεγονέναι τὸ γένος Ἰουδαῖον· Σύροι δὲ τὰ μὲν περὶ τὸν Ἡρώδην ὡμολόγουν, ἔφασαν δὲ τὴν Καισάρειαν Στράτωνος πύργον τὸ πρότερον καλεῖσθαι, καὶ τότε μηδένα γεγονέναι τῆς πόλεως τῶν Ἰουδαίων οἰκήτορα. Ταῦτα ἀκούσαντες οἱ τῆς χώρας ἔπαρχοι, λαβόντες ἀμφοτέρωθεν τοὺς αἰτίους τῆς στάσεως, πληγαῖς ἠκίσαντο, καὶ τὴν ταραχὴν οὕτω κατέστειλαν πρὸς ὀλίγον. Πάλιν γὰρ οἱ κατὰ τὴν πόλιν Ἰουδαῖοι τῷ πλούτῳ θαρροῦντες, καὶ διὰ τοῦτο καταφρονοῦντες τῶν Σύρων, ἐβλασφήμουν εἰς αὐτοὺς ἐρεθίσειν προσδοκῶντες. Οἱ δὲ χρήμασι μὲν ἡττώμενοι, μέγα δὲ φρονοῦντες ἐπὶ τῷ τοὺς πλείστους τῶν ὑπὸ Ῥωμαίους ἐκεῖσε στρατευομένων Καισαρεῖς εἶναι καὶ Σεβαστηνούς, μέχρι μέν τινος καὶ αὐτοὶ τοὺς Ἰουδαίους λόγῳ ὕβριζον, εἶτα λίθοις ἀλλήλους ἔβαλλον, ἕως πολλοὺς παρ' ἀμφοτέρων τρωθῆναί τε καὶ πεσεῖν συνέβη. Νικῶσί γε μὴν Ἰουδαῖοι. Φῆλιξ δὲ, ὡς ἐθεάσατο φιλονεικίαν ἐν πολέμου τρόπῳ γενομένην, προπηδήσας, παύεσθαι τοὺς Ἰουδαίους παρεκάλει· μὴ πειθομένοις δὲ τοὺς στρατιώτας ὁπλίσας ἐπαφίησι, καὶ πολλοὺς μὲν αὐτῶν ἀνεῖλε, πλείους δὲ ζῶντας ἔλαβεν, οἰκίας δέ τινας τῶν ἐν τῇ πόλει πολλῶν πάνυ χρημάτων γεμούσας διαρπάζειν ἐφῆκεν τοῖς στρατιώταις. Οἱ δὲ τῶν Ἰουδαίων ἐπιεικέστεροι καὶ προὔχοντες κατὰ τὴν ἀξίωσιν, δείσαντες περὶ ἑαυτῶν, παρεκάλουν τὸν Φῆλικα τοὺς στρατιώτας ἀνακαλεῖσθαι τῇ σάλπιγγι καὶ φείδεσθαι τὸ λοιπὸν αὐτῶν, δοῦναί τε μετάνοιαν ἐπὶ τοῖς πεπραγμένοις. Καὶ Φῆλιξ ἐπείσθη.

η'. Κατὰ τοῦτον τὸν καιρὸν ὁ βασιλεὺς Ἀγρίππας δίδωσι τὴν ἀρχιερωσύνην Ἰσμαήλῳ· Φαβεῖ παῖς οὗτος ἦν. Ἐξάπτεται δὲ καὶ τοῖς ἀρχιερεῦσι στάσις πρὸς τοὺς ἱερεῖς καὶ τοὺς πρώτους τοῦ πλήθους τῶν Ἱεροσολυμιτῶν, ἕκαστός τε αὐτῶν, στῖφος ἀνθρώπων τῶν θρασυτάτων καὶ νεωτεριστῶν ἑαυτῷ ποιήσας ἡγεμὼν ἦν, καὶ συρράσσοντες ἐκακολόγουν τε ἀλλήλους καὶ λίθοις ἔβαλλον. Ὁ δὲ ἐπιπλήξων ἦν οὐδείς, ἀλλ' ὡς ἐν ἀπροστατήτῳ πόλει ταῦτα ἐπράσσετο μετ' ἐξουσίας. Τοσαύτη δὲ τοὺς ἀρχιερεῖς κατέλαβεν ἀναίδεια καὶ τόλμα, ὥστε καὶ πέμπειν δούλους ἐτοίμων ἐπὶ τὰς ἅλωνας, τοὺς ληψομένους τὰς τοῖς ἱερεῦσιν ὀφειλομένας δεκάτας. Καὶ συνέβαινε τοὺς ἀπορουμένους τῶν ἱερέων ὑπ' ἐνδείας τελευτᾶν. Οὕτως ἐκράτει τοῦ δικαίου παντὸς ἡ τῶν στασιαζόντων βία.

(Ζ'). θ'. Πορκίου δὲ Φήστου διαδόχου Φήλικι πεμφθέντος ὑπὸ Νέρωνος, οἱ πρωτεύοντες τῶν τὴν Καισάρειαν κατοικούντων Ἰουδαίων εἰς τὴν Ῥώμην ἀναβαίνουσι, Φήλικος κατηγοροῦντες, καὶ πάντως ἂν ἐδεδώκει τιμωτantes, et sibi non assentientium vicos incendebant et diripiebant.

7. Etiam inter Judæos Cæsaream incolentes, et Syros qui in eadem erant, orta est seditio, de jure civitatis ex æquo participando. Nam Judæi quidem primas sibi deferri volebant, quod rex illorum Herodes, Cæsareæ conditor, genere fuerit Judæus : Syri vero quæ ad Herodem quidem spectabant non infitiabantur, sed aiebant urbem antea Stratonis turrim appellatam, et tunc Judæorum nemirem in urbe sedes habuisse. Quum ista audissent provinciæ præsides, seditionis ex utraque parte auctoribus prehensis, verberibus eos affecerunt, atque ita tumultum ad breve tempus represserunt. Rursus enim Judæi, qui in urbe erant, opibus freti atque adeo contemptui habentes Syros, conviciis eos incessebant, hoc modo illos se provocaturos esse exspectantes. Isti vero, divitiis quidem inferiores, animis tamen elati, quod maxima illorum pars, qui per ea loca sub Romanis stipendia mererent, Cæsarenses essent et Sebasteni, aliquantisper et ipsi verborum contumelias in Judæos regerebant; inde eo ventum est ut alteri in in alteros lapides jacerent, donec eveniret multos utrinque vulneratos cecidisse. Victoria tamen penes Judæos erat. Felix autem, ut vidit contentionem parum admodum ab aperto bello differre, prosiliens obsecrabat Judæos ut quiescerent : quumque non parerent, milites armis instructos in eos immisit, et multos quidem illorum occidit, plures vero vivos comprehendit; nonnullasque eorum qui in urbe erant domos divitiis refertas diripiendas concessit militibus. Sed qui moderatiores inter Judæos erant et dignitate præstantes, de se suisque solliciti, Felicem rogarunt ut milites tuba revocaret eisque de cetero parceret, et locum daret pœnitentiæ ob ea in quibus deliquerant. Atque Felix flexus est *eorum precibus*.

8. Sub idem tempus Agrippa rex pontificatum confert in Ismaelum, qui Phabi erat filius. Orta autem est et seditio pontificum adversus sacerdotes primoresque plebis Hierosolymitanæ : adeo ut singuli illorum, collecta manu perditorum hominum novisque rebus studentium, ductores se ferrent : congressique conviciis et lapidibus se mutuo impeterent, quum interim nemo esset qui eos objurgaret, sed tanquam in civitate omni rectore destituta hæc licentius agerentur. Tanta porro pontificibus incessit impudentia et audacia, ut non vererentur servos suos ad areas mittere, qui decimas sacerdotibus debitas raperent. Unde accidit ut ex sacerdotibus nonnulli, quibus res familiaris angustior, præ alimentorum inopia mortem oppeterent. Ita factiosorum violentia jus fasque omne penitus opprimebat.

(VII.) 9. Porcio autem Festo, qui Felici succederet, a Nerone misso, primores Judæorum Cæsaream incolentium Romam ascendunt, et accusationem contra Felicem instituunt: dedissetque omnino pœnas injuriarum quibus Judæos af-

ρίαν τῶν εἰς Ἰουδαίους ἀδικημάτων, εἰ μὴ πολλὰ αὐτὸν ὁ Νέρων τἀδελφῷ Πάλλαντι παρακαλέσαντι συνεχώρησε, μάλιστα δὴ τότε διὰ τιμῆς ἔχων ἐκεῖνον. Καὶ οἱ ἐν τῇ Καισαρείᾳ δύο πρῶτοι Σύρων Βοῦρρον (παιδαγωγὸς δὲ οὗτος ἦν τοῦ Νέρωνος, τάξιν τὴν ἐπὶ τῶν Ἑλληνικῶν ἐπιστολῶν πεπιστευμένος) πείθουσι πολλοῖς χρήμασιν αἰτήσασθαι παρὰ τοῦ Νέρωνος αὐτοῖς ἐπιστολὴν ἀκυροῦσαν τὴν Ἰουδαίων πρὸς αὐτοὺς ἰσοπολιτείαν. Καὶ Βοῦρρος τὸν αὐτοκράτορα παρακαλέσας ἐπέτυχε γραφῆναι τὴν ἐπιστολήν. Αὕτη τῷ ἔθνει ἡμῶν τῶν μετὰ ταῦτα κακῶν τὰς αἰτίας παρέσχεν. Πυθόμενοι γὰρ οἱ κατὰ τὴν Καισάρειαν Ἰουδαῖοι τὰ γραφέντα πρὸς τοὺς Σύρους, στάσεως μᾶλλον εἴχοντο, μέχρι δὴ τὸν πόλεμον ἐξῆψαν.

ι'. Ἀφικομένου δὲ εἰς τὴν Ἰουδαίαν Φήστου, συνέβαινε τὴν Ἰουδαίαν ὑπὸ τῶν λῃστῶν κακοῦσθαι, τῶν κωμῶν ἁπασῶν ἐμπιπραμένων τε καὶ διαρπαζομένων. Καὶ οἱ σικάριοι δὲ καλούμενοι (λῃσταὶ δὲ εἰσὶν οὗτοι) τότε μάλιστα ἐπλήθυνον, χρώμενοι ξιφιδίοις παραπλησίοις μὲν τὸ μέγεθος τοῖς τῶν Περσῶν ἀκινάκαις, ἐπικαμπέσι δὲ καὶ ὁμοίοις ταῖς ὑπὸ Ῥωμαίων σίκαις καλουμέναις, ἀφ' ὧν καὶ τὴν προσηγορίαν οἱ λῃστεύοντες ἔλαβον πολλοὺς ἀναιροῦντες. Ἀναμιγνύμενοι γὰρ ἐν ταῖς ἑορταῖς, καθὼς καὶ τὸ πρότερον εἴπαμεν, τῷ πλήθει τῶν πανταχόθεν εἰς τὴν πόλιν ἐπὶ τὴν εὐσέβειαν συρρεόντων, οὓς βουληθεῖεν ῥᾳδίως ἀπέσφαττον. Πολλάκις δὲ καὶ μεθ' ὅπλων ἐπὶ τὰς κώμας τῶν ἐχθρῶν ἀφικνούμενοι δίηρπαζον καὶ ἐνεπίμπρασαν. Ἔμπει δὲ Φῆστος δύναμιν ἱππικήν τε καὶ πεζικὴν ἐπὶ τοὺς ἀπατηθέντας ἀπό τινος ἀνθρώπου γόητος, σωτηρίαν αὐτοῖς ἐπαγγελλομένου καὶ παῦλαν κακῶν, εἰ βουληθεῖεν ἕπεσθαι μέχρι τῆς ἐρημίας αὐτῷ. Καὶ αὐτόν τε ἐκεῖνον τὸν ἀπατήσαντα καὶ τοὺς ἀκολουθήσαντας διέφθειραν οἱ πεμφθέντες.

ια'. Κατὰ δὲ τον καιρὸν τοῦτον ὁ βασιλεὺς Ἀγρίππας ᾠκοδομήσατο μεγέθει διάφορον οἴκημα, ἐν τῷ βασιλείῳ ἐν Ἱεροσολύμοις, πλησίον τοῦ ξυστοῦ. Τὸ δὲ βασίλειον ἐγεγόνει πάλαι ὑπὸ τῶν Ἀσαμωναίου παίδων, ἐφ' ὑψηλοῦ δὲ τόπου κείμενον τοῖς κατοπτεύειν ἀπ' αὐτοῦ βουλομένοις τὴν πόλιν ἐπιτερπεστάτην παρεῖχε τὴν θέαν· ἧς ἐφιέμενος ὁ βασιλεὺς ἐκεῖθεν ἀφεώρα κατακείμενος τὰ κατὰ τὸ ἱερὸν πρασσόμενα. Ταῦτα δὲ θεασάμενοι τῶν Ἱεροσολυμιτῶν οἱ προύχοντες δεινῶς ἐχαλέπαινον· οὐ γὰρ ἦν πάτριον οὐδὲ νόμιμον ἡμῖν τὰ κατὰ τὸ ἱερὸν δρώμενα κατοπτεύεσθαι, καὶ μάλιστα τὰς ἱερουργίας. Τοῖχον οὖν ἐγείρουσιν ἐπὶ τῆς ἐξέδρας ὑψηλόν, ἥτις ἦν ἐν τῷ ἔσωθεν ἱερῷ τετραμμένη πρὸς δύσιν. Οὐ μόνον δὲ τοῦ βασιλικοῦ τρικλίνου τὴν ἄποψιν οὗτος οἰκοδομηθεὶς ἀπετέμνετο, ἀλλὰ καὶ τῆς δυτικῆς στοᾶς τῆς κατὰ τὸ ἱερὸν ἔξωθεν οὔσης, ἔνθα τὰς φυλακὰς οἱ Ῥωμαῖοι ταῖς ἑορταῖς ἐποιοῦντο διὰ τὸ ἱερόν. Ἐπὶ τούτοις ἠγανάκτησαν ὅ τε βασιλεὺς Ἀγρίππας, μάλιστα δὲ Φῆστος ὁ ἔπαρχος, καὶ προσέταξεν αὐτοῖς καθελεῖν. Οἱ δὲ παρεκάλεσαν ἐξουσίαν

fecerat, nisi Nero fratris Pallantis, qui tum maxime apud eum in honore erat, precibus supplicibus multa indulsisset. Ac duo primores Syrorum qui Cæsareæ erant, Burro (ille enim Neronis erat magister, idemque ei a Græcis epistolis) ingenti pecuniæ vi persuadent ut illorum in gratiam literas a Nerone impetraret, quibus Judæis adimeretur jus civitatis illis cum Syris commune. Atque Burrus, quum Imperatori supplicasset, id obtinuit ut hujusmodi epistola scriberetur: unde mala, quæ gentem nostram postea afflixerunt, ortum habuere. Judæi enim Cæsarenses, ubi cognoverunt quæ scripta erant ad Syros, eo magis in seditionibus perstabant, donec bellum exarsit.

10. Quum autem Festus in Judæam venisset, accidebat ut Judæa a latronibus vexaretur, qui vicos omnes incendebant et diripiebant. Et tunc quidem ii qui sicarii appellati erant (isti enim latronum genus) ad maximum numerum excreverant, ensiculis parvis utentes, magnitudine haud multum a Persarum acinace diversis, sed incurvis, quales sunt quæ Romanis appellantur sicæ; unde et nomen ipsis latronibus, multa cæde grassantibus, inditum est. Nam festis diebus, ut jam ante diximus, turbæ permisti undique in urbem religionis ergo confluenti, quotquot voluerint nullo negotio trucidabant. Non raro etiam armati in inimicorum vicos irruebant, direptisque ignem admovebant. Ac Festus equestres pedestresque copias contra eos misit, qui decepti erant ab homine quodam praestigiatore, salutem ipsis pollicente et malorum cessationem, si se usque ad desertum sequi vellent; atque ipsum deceptorem, pariter ac eos qui illum comitati sunt, interfecerunt milites ab illo missi.

11. Sub idem autem tempus rex Agrippa ædificium magnitudine insigni exstruxit prope xystum, in regia Hierosolymitana, quæ olim fuerat Asamonæi filiorum regia: quumque in loco eminenti situm esset, inde amœnissimus prospectus patebat urbem aspectare volentibus. Cujus rei cupidus rex, e triclinio, quum illic decumberet, quicquid in templo ageretur spectabat. Illa ubi viderunt Hierosolymitanorum proceres, vehementer succensebant: neque enim patria consuetudo aut lex nostra ferebat ut quæ in templo gererentur, et maxime quum res sacra fieret, aliquis aspiceret. Quam ob rem altum parietem excitabant super exedram, quæ erat in interiore templo ad solem occiduum versa. Iste autem exædificatus non solum prospectum e regio triclinio intercipiebat, sed et e portico occidentali extra templum sita, ubi Romani propter templum festis diebus excubias agebant. Ista ægre tulerunt et rex Agrippa, et maxime Festus præses, eisque præcepit ut murus dirueretur. Illi vero rogarunt ut liceret sibi legatos ea de

αὐτοῖς δοῦναι πρεσβεῦσαι περὶ τούτου πρὸς Νέρωνα· ζῆν γὰρ οὐχ ὑπομένειν καθαιρεθέντος τινὸς μέρους τοῦ ἱεροῦ. Συγχωρήσαντος δὲ τοῦ Φήστου πέμπουσιν ἐξ αὐτῶν πρὸς Νέρωνα τοὺς πρώτους δέκα καὶ Ἰσμάηλον τὸν ἀρχιερέα καὶ Ἑλκίαν τὸν γαζοφύλακα. Νέρων δὲ διακούσας αὐτῶν οὐ μόνον συνέγνω περὶ τοῦ πραχθέντος, ἀλλὰ καὶ συνεχώρησεν οὕτως ἔᾶν τὴν οἰκοδομίαν, τῇ γυναικὶ Ποππηίᾳ (θεοσεβὴς γὰρ ἦν) ὑπὲρ τῶν Ἰουδαίων δεηθείσῃ χαριζόμενος· ἃ τοῖς μὲν δέκα προσέταξεν ἀπιέναι, τὸν δὲ Ἑλκίαν καὶ τὸν Ἰσμάηλον δμηρεύσοντας παρ' ἑαυτῇ κατέσχεν. Ὁ δὲ βασιλεὺς, ταῦτα ὡς ἐπύθετο, δίδωσι τὴν ἀρχιερωσύνην Ἰωσήπῳ τῷ Σίμωνος παιδὶ ἀρχιερέως, ἐπικαλουμένῳ δὲ Καβί.

ΚΕΦ. Θ'.

Πέμπει δὲ Καῖσαρ Ἀλβῖνον εἰς τὴν Ἰουδαίαν ἔπαρχον, Φήστου τὴν τελευτὴν πυθόμενος. Ὁ δὲ βασιλεὺς ἀφείλετο μὲν τὸν Ἰώσηπον τὴν ἀρχιερωσύνην, τῷ δὲ Ἀνάνου παιδὶ, καὶ αὐτῷ Ἀνάνῳ λεγομένῳ, τὴν διαδοχὴν τῆς ἀρχῆς ἔδωκε. Τοῦτον δέ φασι τὸν πρεσβύτατον Ἄνανον εὐτυχέστατον γενέσθαι· πέντε γὰρ ἔσχε παῖδας, καὶ τούτους πάντας συνέβη ἀρχιερατεῦσαι τῷ Θεῷ, αὐτὸς καὶ πρότερον τῆς τιμῆς ἐπὶ πλεῖστον ἀπολαύσας, ὅπερ οὐδενὶ συνέβη τῶν παρ' ἡμῖν ἀρχιερέων. Ὁ δὲ νεώτερος Ἄνανος, ὃν τὴν ἀρχιερωσύνην ἔφαμεν παρειληφέναι, θρασὺς ἦν τὸν τρόπον καὶ τολμητὴς διαφερόντως, αἵρεσιν δὲ μετῄει τὴν Σαδδουκαίων, οἵπερ εἰσὶ περὶ τὰς κρίσεις ὠμοὶ παρὰ πάντας τοὺς Ἰουδαίους, καθὼς ἤδη δεδηλώκαμεν. Ἅτε δὴ οὖν τοιοῦτος ὢν ὁ Ἄνανος, νομίσας ἔχειν καιρὸν ἐπιτήδειον, διὰ τὸ τεθνάναι μὲν Φῆστον, Ἀλβῖνον δὲ ἔτι κατὰ τὴν ὁδὸν ὑπάρχειν, καθίζει συνέδριον κριτῶν, καὶ παραγαγὼν εἰς αὐτὸ τὸν ἀδελφὸν Ἰησοῦ τοῦ λεγομένου Χριστοῦ (Ἰάκωβος ὄνομα αὐτῷ) καί τινας ἑτέρους, ὡς παρανομησάντων κατηγορίαν ποιησάμενος, παρέδωκε λευσθησομένους. Ὅσοι δὲ ἐδόκουν ἐπιεικέστατοι τῶν κατὰ τὴν πόλιν εἶναι καὶ τὰ περὶ τοὺς νόμους ἀκριβεῖς, βαρέως ἤνεγκαν ἐπὶ τούτῳ· καὶ πέμπουσιν πρὸς τὸν βασιλέα κρύφα παρακαλοῦντες αὐτὸν ἐπιστεῖλαι τῷ Ἀνάνῳ μηκέτι τοιαῦτα πράσσειν· μηδὲ γὰρ τὸ πρῶτον ὀρθῶς αὐτὸν πεποιηκέναι. Τινὲς δὲ αὐτῶν καὶ τὸν Ἀλβῖνον ὑπαντιάζουσιν ἀπὸ τῆς Ἀλεξανδρείας ὁδοιποροῦντα, καὶ διδάσκουσιν ὡς οὐκ ἐξὸν ἦν Ἀνάνῳ χωρὶς τῆς ἐκείνου γνώμης καθίσαι συνέδριον. Ἀλβῖνος δὲ πεισθεὶς τοῖς λεγομένοις γράφει μετ' ὀργῆς τῷ Ἀνάνῳ, λήψεσθαι παρ' αὐτοῦ δίκας ἀπειλῶν. Καὶ ὁ βασιλεὺς Ἀγρίππας, διὰ τοῦτο τὴν ἀρχιερωσύνην ἀφελόμενος αὐτὸν ἄρξαντα μῆνας τρεῖς, Ἰησοῦν τὸν τοῦ Δαμναίου κατέστησεν.

β'. Ἐπειδὴ δὲ ἦκεν ὁ Ἀλβῖνος εἰς τὴν τῶν Ἱεροσολυμιτῶν πόλιν, πᾶσαν εἰσηνέγκατο σπουδὴν καὶ πρόνοιαν ὑπὲρ τοῦ τὴν χώραν εἰρηνεύεσθαι, τοὺς πολλοὺς τῶν σικαρίων διαφθείρας. Ὁ δὲ ἀρχιερεὺς Ἀνανίας καθ' ἑκάστην ἡμέραν ἐπὶ μέγα προὔκοπτε δόξης, καὶ τῆς παρὰ τῶν πολιτῶν εὐνοίας τε καὶ τιμῆς ἠξιοῦτο

re ad Neronem mittere: vitam enim diutius non ferendam esse, parte aliqua templi diruta. Quumque Festus id permisisset, ad Neronem de suis ablegarunt decem primores, et Ismaelum pontificem, et Helciam sacri ærarii custodem. Nero autem quum eos audivisset, non solum quod factum erat eis ignoscebat, verum etiam concessit ut staret maneretque ædificium; gratificatus in hoc uxori suæ Poppææ, quæ (femina utpote religiosa) ei Judæorum in gratiam supplicaverat: quæ decem quidem abire jussit, Helciam vero et Ismaelum apud se obsides retinuit. At rex, ubi ista rescivit, pontificatum detulit Josepho cognomine Cabi, Simonis pontificis filio.

CAP. IX. (VIII.)

Cæsar autem, audita Festi morte, Albinum in Judæam misit præsidem. Ceterum rex Joseph quidem pontificatum abstulit, Anani vero filio, ipsique Anano vocato, concessit ut in istum principatum succederet. At seniorem hunc Ananum aiunt felicissimum exstitisse: nam quinque filios habuit, hisque omnibus contigit Deo in pontificatu ministrasse, quum et ipse prius ea dignitate in tempus longissimum functus esset: id quod nulli unquam apud nos pontifici contigit. Interea Ananus junior, quem pontificatum accepisse jam diximus, ferox erat ingenio et insigniter audax; sectam etiam Sadducæorum sequebatur, qui præ ceteris Judæis in judiciis sunt acerbi et immites, quemadmodum antea indicavimus. Talis igitur quum esset Ananus, opportunum sibi tempus adesse ratus, eo quod Festus quidem vita cessisset, Albinus vero adhuc in itinere esset, concilium judicum cogit; inductoque in judicium fratre Jesu qui dicitur Christus (Jacobus ei nomen) et cum eo quibusdam aliis, in eos ut legis violatæ reos quum accusationem instituisset, lapidandos tradidit. Sed quicunque inter cives modestissimi, legisque observandæ studiosissimi habebantur, graviter hoc tulerunt: atque clam *legatos* ad regem mittunt, hortantes ut Ananum per literas monere vellet, ne quid deinceps simile moliretur; neque enim prius illud recte ab eo factum fuisse. Horum nonnulli etiam Albino, ab urbe Alexandria iter facienti, occurrerunt; eumque monuerunt non licuisse Anano absque ipsius consensu concilium judicum convocare. Horum oratione Albinus persuasus literas plenas furoris et iracundiæ Anano scribit, minatus se de illo pœnas sumpturum. Proinde rex Agrippa, adempto ei pontificatu, quem per tres menses gesserat, Jesum Damnæi filium constituit.

2. Porro Albinus, quum ad urbem Hierosolymitarum venisset, omnem curam et providentiam adhibuit, ut pacatam et tranquillam redderet provinciam, sicarios aliquam multos interficiendo. Ananias autem pontifex ad majorem in dies crevit existimationem, atque benevolentiam et honorem amplissimum apud cives habebat. Nam pecu-

λαμπρῶς. Ἦν γὰρ χρημάτων περιστικός· καθ' ἡμέραν οὖν τὸν Ἀλβῖνον καὶ τὸν ἀρχιερέα δώροις ἐθεράπευεν. Εἶχε δὲ οἰκέτας πάνυ μοχθηροὺς οἳ συναναστρεφόμενοι τοῖς θρασυτάτοις ἐπὶ τὰς ἅλωνας πορευόμενοι τὰς τῶν ἱερέων δεκάτας ἐλάμβανον βιαζόμενοι, καὶ τοὺς μὴ διδόντας οὐκ ἀπείχοντο τύπτειν. Οἵ τε ἀρχιερεῖς ὅμοια τοῖς ἐκείνου δούλοις ἔπρασσον, μηδενὸς κωλύειν δυναμένου. Καὶ τῶν ἱερέων τοὺς πάλαι ταῖς δεκάταις τρεφομένους τότε συνέβαινε θνήσκειν, τροφῆς ἀπορίᾳ.

γ'. Πάλιν δὲ οἱ σικάριοι κατὰ τὴν ἑορτὴν (ἐνειστήκει γὰρ αὕτη) διὰ νυκτὸς εἰς τὴν πόλιν παρελθόντες συλλαμβάνουσι ζῶντα τὸν γραμματέα τοῦ στρατηγοῦντος Ἐλεαζάρου (παῖς δὲ ἦν οὗτος Ἀνάνου τοῦ ἀρχιερέως), καὶ δήσαντες ἐξήγαγον. Εἶτα πέμψαντες πρὸς τὸν Ἀνανίαν ἀπολύειν ἔφασαν τὸν γραμματέα πρὸς αὐτόν, εἰ πείσειε τὸν Ἀλβῖνον δέκα δεσμώτας τοὺς ἐξ αὐτῶν ληφθέντας ἀπολῦσαι. Καὶ ὁ Ἀνανίας, διὰ τὴν ἀνάγκην πείσας τὸν Ἀλβῖνον, τῆς ἀξιώσεως ἐπέτυχε. Τοῦτο μειζόνων κακῶν ἦρξεν. Οἱ γὰρ λησταὶ πάντως ἐπεμηχανῶντο τῶν Ἀνανίου τινὰς συλλαμβάνειν οἰκείων, καὶ συνεχῶς ζωγροῦντες οὐκ ἀπέλυον πρὶν ἤ τινας τῶν σικαρίων ἀπολάβοιεν. Γενόμενοί τε πάλιν ἀριθμὸς οὐκ ὀλίγος, ἀναθαρρήσαντες τὴν χώραν ἅπασαν ἐκάκουν.

δ'. Κατὰ τοῦτον δὲ τὸν καιρὸν ὁ βασιλεὺς Ἀγρίππας, μείζονα τὴν Φιλίππου καλουμένην Καισάρειαν κατασκεύασας, εἰς τὴν τοῦ Νέρωνος τιμὴν, Νερωνιάδα προσηγόρευσεν. Καὶ Βηρυτίοις δὲ θέατρον ἀπὸ πολλῶν χρημάτων κατεσκευασμένον ταῖς κατ' ἔτος θέαις ἐδωρεῖτο, πολλὰς εἰς τοῦτο μυριάδας ἀναλίσκων· σῖτον γὰρ ἐδίδου τῷ δήμῳ καὶ ἔλαιον διένειμε. Καὶ τὴν πᾶσαν δὲ πόλιν ἀνδριάντων ἀναθέσεσι καὶ ταῖς τῶν ἀρχαίων ἀποτύποις εἰκόσιν ἐκόσμει, καὶ μικροῦ δεῖν πάντα τὸν τῆς βασιλείας κόσμον ἐκεῖ μετήνεγκεν. Μῖσος οὖν αὐτῷ παρὰ τῶν ὑπηκόων ἤθροιτο, διὰ τὸ περιαιρούμενον τὰ ἐκείνων ξένην πόλιν κοσμεῖν. Λαμβάνει δὲ καὶ Ἰησοῦς ὁ τοῦ Γαμαλιὴλ τὴν διαδοχὴν τῆς ἀρχιερωσύνης παρὰ τοῦ βασιλέως, Ἰησοῦν ἀφελομένου τὸν τοῦ Δαμναίου· καὶ διὰ τοῦτο στάσις αὐτῶν πρὸς ἀλλήλους ἐγένετο. Συστήματα γὰρ τῶν θρασυτάτων ποιησάμενοι πολλάκις μέχρι λίθων βολῆς ἀπὸ τῶν βλασφημιῶν ἐξέπιπτον. Ὑπερεῖχε δὲ Ἀνανίας τῷ πλούτῳ προσαγόμενος τοὺς λαμβάνειν ἑτοίμους. Κοστόβαρος δὲ καὶ Σαῦλος, αὐτοὶ καθ' αὑτοὺς μυρίαν πλῆθη συνῆγον, γένους μὲν ὄντες βασιλικοῦ, διὰ τὴν πρὸς Ἀγρίππαν συγγένειαν εὐνοίας τυγχάνοντες, βίαιοι δὲ καὶ ἁρπάζειν τὰ τῶν ἀσθενεστέρων ἕτοιμοι. Ἐξ ἐκείνου μάλιστα τοῦ καιροῦ συνέβη τὴν πόλιν ἡμῶν νοσεῖν, προκοπτόντων πάντων ἐπὶ τὸ χεῖρον.

ε'. Ὡς δὲ ἤκουσεν Ἀλβῖνος διάδοχον αὐτῷ Γέσσιον Φλῶρον ἀφικνεῖσθαι, βουλόμενος δοκεῖν τι τοῖς Ἱεροσολυμίταις παρεσχῆσθαι, προσαγαγὼν τοὺς δεσμώτας, ὅσοι ἦσαν αὐτῶν προδήλως θανεῖν ἄξιοι, τούτους προσ-

lam acquirendi rationem probe noverat; atque adeo donis quum Albinum tum et pontificem assidue deliniebat. Habebat autem servos nequissimos, qui, adjuncto sibi audacissimo quoque, areas obeuntes sacerdotum decimas vi rapiebant, nec ab iis verberandis abstinebant qui eas dare recusabant. Pontifices etiam similiter ac illius servi faciebant, quum nemo eos impedire posset. Quo fiebat ut sacerdotes, qui olim decimis se alebant, tunc cibi penuria morerentur.

3. Rursum etiam sicarii dum festum ageretur, quod tum supervenerat, nocte urbem ingressi, vivum comprehendunt scribam Eleazari templi prætoris (ille enim erat Anani pontificis filius) vinctumque abduxerunt. Deinde, nuncio ad Ananiam misso, dixerunt se scribam *velle* ad ipsum remittere, si Albino persuaderet ut decem ex illis, quos captos vinctosque habebat, ipse dimitteret. Atque Ananias, id quum Albino necessitate coactus persuasisset, voti compos factus est: unde majores ortæ sunt calamitates. Nam id modis omnibus agebant ut aliquem e necessariis atque amicis Ananiæ deprehenderent: quamque frequenter eos vivos caperent, non prius dimittebant quam e sicariis aliquot reciperent. Itaque, ubi rursus eis magnus accrevit numerus, fiducia resumpta totam regionem infestabant.

4. Sub idem autem tempus rex Agrippa, quum Cæsaream quæ Philippi dicebatur ædificiis auxisset, in Neronis honorem Neroniadem appellavit. Insuper et theatrum apud Berytios, magnis sumptibus exstructum, annuis spectaculis donavit, multis myriadibus impensis: nam frumentum dedit populo et oleum distribuit. Porro urbem per omnem statuas disposuit, et imaginibus ad antiqua artificum archetypa expressis eam ornavit; et omnia fere sui regni ornamenta in eam civitatem transtulit. Quo factum est ut odium ei apud subditos conflaretur, quod sublatis quæ illorum essent externam urbem excoleret. Atque rex, pontificatum adimens Jesu Damnæi filio, fecit ut Jesus Gamalielis filius ei succederet: ac propterea inter eos mutuo orta est dissensio. Nam quum hominum audacissimorum cohortem utrinque collegissent, sæpe a conviciis eo deventum est ut lapides in se invicem jacerent. Sed inter alios eminebat Ananias ex amplis facultatibus largitione plurimos sibi concilians. Costobarus quoque et Saulus suam uterque sceleratorum multitudinem coegerant, orti quidem genere regio, et propter cognationem Agrippæ in magna gratia; vehementes autem et violenti et ad infirmiores spoliandos prompti paratique. Atque ex illo maxime tempore accidit ut civitas nostra valde laboraret, rebus omnibus in deterius ruentibus.

5. Albinus vero, quum didicisset Gessium Florum sibi successorem venire, aliquid videri volens Judæis præstitisse, vinctis productis, eos, qui manifeste necem meruerant, occidi jussit: qui vero levioribus de causis in carce-

ἐταξεν ἀναιρεθῆναι· τοὺς δὲ ἐκ μικρᾶς καὶ τῆς τυχούσης αἰτίας εἰς τὴν εἱρκτὴν κατατεθέντας χρήματα λαμβάνων αὐτὸς ἀπέλυε. Καὶ οὕτως ἡ μὲν φυλακὴ τῶν δεσμωτῶν ἐκαθάρθη, ἡ χώρα δὲ ληστῶν ἐπληρώθη.

ς'. Τῶν δὲ Λευιτῶν (φυλὴ δέ ἐστιν αὕτη) ὅσοιπερ ἦσαν ὑμνῳδοὶ, πείθουσι τὸν βασιλέα, καθίσαντα συνέδριον, φορεῖν αὐτοῖς ἐπ' ἴσης τοῖς ἱερεῦσιν ἐπιτρέψαι λινῆν στολήν· πρέπειν γὰρ αὐτοῦ τοῖς τῆς ἀρχῆς χρόνοις ἔφασκον, ἀφ' ὧν μνημονευθήσεται καινοποιεῖν. Καὶ τῆς ἀξιώσεως οὐ διήμαρτον. Ὁ γὰρ βασιλεὺς μετὰ γνώμης τῶν εἰς τὸ συνέδριον ἐποιχομένων, συνεχώρησε τοῖς ὑμνῳδοῖς ἀποθεμένους τὴν προτέραν ἐσθῆτα φορεῖν λινῆν οἵαν ἠθέλησαν. Μέρους δέ τινος τῆς φυλῆς λειτουργοῦντος κατὰ τὸ ἱερὸν, καὶ τούτοις ἐπέτρεψε τοὺς ὕμνους ἐκμαθεῖν ὡς παρεκάλουν. Πάντα δὲ ἦν ἐναντία ταῦτα τοῖς πατρίοις, ὧν παραβαθέντων οὐκ ἐνῆν μὴ οὐχὶ δίκας ὑποσχεῖν.

ζ'. Ἤδη δὲ τότε καὶ τὸ ἱερὸν ἐτετέλεστο. Βλέπων οὖν ὁ δῆμος ἀργήσαντας τοὺς τεχνίτας, ὑπὲρ μυρίους καὶ ὀκτακισχιλίους ὄντας, καὶ μισθοφορίας ἐνδεεῖς ἐσομένους διὰ τὸ τὴν τροφὴν ἐκ τῆς κατὰ τὸ ἱερὸν ἐργασίας πορίζεσθαι, καὶ χρήματα μὲν ἀπόθετα διὰ τὸν ἐκ Ῥωμαίων φόβον ἔχειν οὐ θέλων, προνοούμενος δὲ τῶν τεχνιτῶν, καὶ εἰς τούτους ἀναλοῦν τοὺς θησαυροὺς βουλόμενος, (καὶ γὰρ εἴ μίαν τις ὥραν τῆς ἡμέρας εἰργάσαιτο, τὸν μισθὸν ὑπὲρ ταύτης εὐθέως ἐλάμβανεν,) ἔπειθον τὸν βασιλέα τὴν ἀνατολικὴν στοὰν ἀνεγεῖραι. Ἦν δὲ ἡ στοὰ τοῦ μὲν ἔξωθεν ἱεροῦ, κειμένη δὲ ἐν φάραγγι βαθείᾳ, τετρακοσίων πηχῶν τοὺς τοίχους ἔχουσα, ἐκ λίθων δὲ τετραγώνων κατεσκεύαστο καὶ λευκῶν πάνυ, (τὸ μὲν μῆκος ἑκάστου λίθου πήχεις εἴκοσι, τὸ δὲ ὕψος ἕξ,) ἔργον Σολομῶνος τοῦ βασιλέως πρώτου δειμαμένου τὸ σύμπαν ἱερόν. Ὁ βασιλεὺς δὲ (ἐπεπίστευτο γὰρ ὑπὸ Κλαυδίου Καίσαρος τὴν ἐπιμέλειαν τοῦ ἱεροῦ) λογισάμενος παντὸς μὲν ἔργου τὴν καθαίρεσιν εἶναι ῥᾳδίαν, δυσχερῆ δὲ τὴν κατασκευὴν, ἐπὶ δὲ τῆς στοᾶς ταύτης καὶ μᾶλλον, (χρόνου τε γὰρ καὶ πολλῶν χρημάτων εἰς τοὔργον δεήσειν,) ἠρνήσατο μὲν περὶ τούτου δεομένοις, καταστορέσαι δὲ λευκῷ λίθῳ τὴν πόλιν οὐκ ἐκώλυσεν. Ἰησοῦν δὲ τὸν τοῦ Γαμαλιὴλ τὴν ἀρχιερωσύνην ἀφελόμενος, ἔδωκεν αὐτὴν Ματθίᾳ τῷ Θεοφίλου, καθ' ὃν καὶ ὁ πρὸς Ῥωμαίους πόλεμος Ἰουδαίοις ἔλαβε τὴν ἀρχήν.

ΚΕΦ. Ι'.

Ἀναγκαῖον δὲ εἶναι νομίζω καὶ τῇ ἱστορίᾳ ταύτῃ προσήκειν διηγήσασθαι περὶ τῶν ἀρχιερέων, πῶς τε ἀρξάμενοι, καὶ τίσιν ἔξεστι τιμῆς ταύτης μεταλαμβάνειν, καὶ πόσοι γεγόνασι, μέχρι τῆς τοῦ πολέμου τελευτῆς. Πρῶτον μὲν οὖν πάντων λέγουσιν Ἀαρῶνα τὸν Μωϋσέως ἀδελφὸν ἀρχιερατεῦσαι τῷ Θεῷ, τελευτήσαντος δὲ ἐκείνου διαδέξασθαι τοὺς παῖδας εὐθὺς, καὶ ἀπ' ἐκείνων τοῖς ἐκγόνοις αὐτῶν διαμεῖναι τὴν τιμὴν ἅπασιν. Ὅθεν καὶ πάτριόν ἐστι μηδένα τοῦ Θεοῦ

rem conjecti erant, eos accepta pecunia dimisit. Atque ita quidem carcer vinctis vacuus est factus, regio vero latronibus repleta est.

6. Interea Levitarum (nam et illi in tribum redacti) quotquot erant hymnorum cantores regem orabant ut coacto synedrio ipsis æque ac sacerdotibus stolam lineam gestare concederet: ipsius enim regni temporibus convenire dicebant ut novi aliquid institueret in perpetuam sui memoriam. Neque frustra fuit eorum postulatio. Nam rex, cum consensu eorum qui in synedrium venerant, hymnorum cantoribus id indulsit ut, priori veste deposita, linea, quam voluerant, uterentur. Quumque alia pars tribus in templi ministeriis occupata esset, illis etiam permisit, prout eum rogabant, ut hymnos ediscerent. Illa autem omnia facta erant contra quam patria ferebant instituta: quibus violatis fieri non potuit quin meritæ luendæ essent pœnæ.

7. Jam illo tempore absolutum erat templi ædificium. Populus igitur quum in otio esse animadverteret opifices, ultra octodecim millia, atque mercedem desideraturos esse, quum antea victus illis suppeditaretur ex iis in quibus circa templum elaborarunt; nolletque pecuniam repositam habere metu Romanorum, simulque operariorum rationem habens, thesauros in istos expendere cuperet, (nam, si quis unam diei horam operatus esset, mercedem pro ea statim accipiebat:) regem hortantur suadentque, ut orientalem porticum instauraret. Erat autem porticus hæc exterioris templi, profundæ valli imminens, proinde subnixa muris quadringentorum cubitorum, et saxis quadratis constructa valde candidis, (longitudo quidem cujusque saxi erat cubitorum viginti, altitudo vero sex,) opus Solomonis regis, qui primus integrum templum exstruxit. Rex autem (nam a Claudio Cæsare ei demandata erat templi cura) quum secum reputasset, facile esse vel quodcunque opus demoliri, instaurationem vero rem arduam esse, præsertimque ejusmodi porticus, (utpote quod hoc opus desideraret tempus longum multumque pecuniæ,) illorum quidem petitioni minime concessit: urbem vero candido lapide sterni non prohibuit. Quum autem Jesu Gamalielis filio pontificatum abstulisset, eundem Matthiæ Theophili filio dedit: quo pontifice bellum inter Romanos et Judæos coortum est.

CAP. X. (VIII.)

Jam vero necessarium esse existimo et huic historiæ imprimis convenire narrare de pontificibus, quæ fuerit eorum origo, et quibus concessum hunc honorem accipere, et quot usque ad finem hujus belli fuerint. Et primum quidem omnium Aaronem, fratrem Moysis, Deo in summo sacerdotio ministrasse aiunt, illique defuncto successisse mox filios, ac deinde illorum posteris omnibus hunc honorem constitisse. Unde etiam ex patrio instituto est, neminem

τὴν ἀρχιερωσύνην λαμβάνειν ἢ τὸν ἐξ αἵματος τοῦ Ἀαρῶνος, ἑτέρου δὲ γένους, οὐδ' ἂν βασιλεὺς ὢν τύχῃ, τεύξεται τῆς ἀρχιερωσύνης. Ἐγένοντο οὖν πάντες τὸν ἀριθμὸν ἀπὸ Ἀαρῶνος, ὡς ἔφαμεν, τοῦ πρώτου γενομένου μέχρι Φινεέσου, τοῦ κατὰ τὸν πόλεμον ὑπὸ τῶν στασιαστῶν ἀναδειχθέντος ἀρχιερέως, τρεῖς καὶ ὀγδοήκοντα. Ἐκ τούτων κατὰ τὴν ἔρημον ἐπὶ τῶν Μωϋσέως χρόνων τῆς σκηνῆς ἑστώσης, ἣν Μωϋσῆς τῷ Θεῷ κατεσκεύασε, μέχρι τῆς εἰς Ἰουδαίαν ἀφίξεως, ἔνθα Σολομῶν ὁ βασιλεὺς τῷ Θεῷ τὸν ναὸν ἤγειρεν, ἠρχιεράτευσαν τρισκαίδεκα. Τὸ γὰρ πρῶτον ἕως τῆς τοῦ βίου τελευτῆς τὰς ἀρχιερωσύνας εἶχον, ὕστερον δὲ καὶ παρὰ ζώντων διεδέχοντο. Οἱ τοίνυν τρισκαίδεκα οὗτοι, τῶν δύο παίδων Ἀαρῶνος ὄντες ἔκγονοι, κατὰ διαδοχὴν τὴν τιμὴν παρελάμβανον. Ἐγένετο δὲ αὐτῶν ἀριστοκρατικὴ μὲν ἡ πρώτη πολιτεία, μετὰ ταύτην δὲ μοναρχία, βασιλέων δὲ τρίτη. Γίνεται δὲ τῶν ἐτῶν ἀριθμὸς ὧν ἦρξαν οἱ τρισκαίδεκα, ἀφ' ἧς ἡμέρας οἱ πατέρες ἡμῶν ἐξέλιπον Αἴγυπτον Μωϋσέως ἄγοντος μέχρι τῆς τοῦ ναοῦ κατασκευῆς, ὃν Σολομῶν ὁ βασιλεὺς ἐν Ἱεροσολύμοις ἀνήγειρεν, ἔτη δυοκαίδεκα πρὸς τοῖς ἑξακοσίοις. Μετὰ δὲ τοὺς τρισκαίδεκα ἀρχιερεῖς ἐκείνους, δέκα καὶ ὀκτὼ τὴν ἀρχιερωσύνην ἔσχον, ἀπὸ Σολομῶνος βασιλέως ἐν Ἱεροσολύμοις αὐτὴν διαδεξάμενοι, μέχρις οὗ Ναβουχοδονόσορ ὁ τῶν Βαβυλωνίων βασιλεὺς ἐπιστρατεύσας τῇ πόλει τὸν μὲν ναὸν ἐνέπρησε, τὸ δὲ ἔθνος ἡμῶν εἰς Βαβυλῶνα μετήνεγκε, καὶ τὸν ἀρχιερέα Ἰωσαδάκην αἰχμάλωτον ἔλαβε. Τούτων χρόνος τῆς ἀρχιερωσύνης τετρακοσίων ἑξήκοντα ἓξ ἐτῶν ἐστι, μηνῶν ἕξ, ἡμερῶν δέκα, ἤδη βασιλευομένων Ἰουδαίων. Μετὰ δὲ χρόνον ἐτῶν ἁλώσεως ἑβδομήκοντα τῆς ὑπὸ Βαβυλωνίων γενομένης Κῦρος ὁ Περσῶν βασιλεὺς ἀπέλυσε τοὺς ἐκ Βαβυλῶνος Ἰουδαίους ἐπὶ τὴν οἰκείαν γῆν πάλιν, καὶ συνεχώρησε τὸν ναὸν ἀνεγεῖραι. Τότε δὴ τῶν ὑποστρεψάντων αἰχμαλώτων Ἰησοῦς ὁ Ἰωσεδὲκ τὴν ἀρχιερωσύνην λαμβάνει. Οὗτος δὲ καὶ οἱ ἔκγονοι αὐτοῦ, πεντεκαίδεκα ἅπαντες, μέχρι βασιλέως Ἀντιόχου τοῦ Εὐπάτορος ἐπολιτεύοντο δημοκρατικῶς ἔτη τετρακόσια δεκατέσσαρα. Πρῶτος δ' Ἀντίοχος ὁ προειρημένος καὶ ὁ στρατηγὸς αὐτοῦ Λυσίας τὸν Ὀνίαν, ᾧ Μενέλαος ἐπίκλην, παύουσι τῆς ἀρχιερωσύνης, ἀνελόντες αὐτὸν ἐν Βεροίᾳ, καὶ τὸν παῖδα τῆς διαδοχῆς ἀπελάσαντες καθιστᾶσιν Ἰάκιμον ἀρχιερέα, γένους μὲν τοῦ Ἀαρῶνος, οὐκ ὄντα δὲ τῆς οἰκίας ταύτης. Διὰ τοῦτο δὲ καὶ ὁ Ὀνίας, ὁ τοῦ τετελευτηκότος Ὀνίου ἐξάδελφος, ὁμώνυμος τῷ πατρί, παραγενόμενος εἰς Αἴγυπτον, καὶ διὰ φιλίας ἀφικόμενος Πτολεμαίῳ τῷ Φιλομήτορι καὶ Κλεοπάτρᾳ τῇ γυναικὶ αὐτοῦ, πείθει τούτους κατὰ τὸν Ἡλιοπολίτην νομὸν δειμαμένους τῷ Θεῷ ναόν, παραπλήσιον τῷ ἐν Ἱεροσολύμοις, αὐτὸν ἀρχιερέα καταστῆσαι. Ἀλλὰ περὶ μὲν τοῦ ἱεροῦ τοῦ κατασκευασθέντος ἐν Αἰγύπτῳ πολλάκις ἐδηλώσαμεν. Ὁ δὲ Ἰάκιμος ἔτη τρία τὴν ἀρχιερωσύνην κατασχὼν ἐτελεύτησεν. Διεδέξατο δὲ οὐδεὶς

Dei pontificem fieri, nisi ex Aaronis sanguine; nec licere alicui alterius generis, ne si rex quidem fuerit, pontificatui admoveri. Fuerunt igitur universi ab Aarone, omnium (sicut diximus) primo, usque ad Phineesen, qui tempore belli a seditiosis constitutus est pontifex, numero LXXXIII. Ex istis dum tabernaculum in solitudine Moysis temporibus steterit, quod Deo exstruxit Moyses, usquedum in Judæam ventum est, ubi Solomon rex Deo templum erexit, pontificatum gesserunt XIII. Nam a principio pontificatum habuerunt quam diu vixerint, postea vero etiam viventibus succedebatur. Itaque hi XIII, quum essent duorum Aaronis filiorum posteri, ex successione honorem accipiebant. Erat autem prima quidem eorum administratio aristocratica, post hanc autem monarchia, tertia vero regum. At numerus annorum, dum illi XIII imperio potiti sunt, ex quo die patres nostri ductu Moysis Ægyptum reliquerunt usque ad templum conditum quod Solomon rex Hierosolymis exstruxit, assurgit ad DCXII. Post illos autem pontifices XIII pontificatum tenuerunt XVIII, qui a tempore Solomonis regis Hierosolymis sibi invicem successerunt, usquedum Nabuchodonosor Babyloniorum rex, contra urbem expeditione facta, templum cremarit, et gentem nostram Babylonem abduxerit, et Josadacen pontificem captivum fecerit. Tempus autem illorum pontificatus annorum erat CCCCLXVI, mensium VI, dierum X, quum Judæi jam sub regibus essent. Post tempus vero annorum septuaginta, ex quo excidium a Babyloniis factum est, Cyrus Persarum rex Judæos e Babylone in patriam suam remisit, templumque denuo condere iis concessit. Tum itaque Jesus Josedeci *filius*, *unus* e captivis qui reversi sunt, pontificatum accipit. Atque is posterique ejus, quindecim universi, usque ad regem Antiochum Eupatorem, liberi populi statum rexerunt, per annos CCCCXII; primusque Antiochus ille, quem memoravimus, et dux ejus Lysias Oniam, cognomento Menelaum, pontificatu privant, quippe Beroeæ interfectum; filioque ejus successionis jure depulso, Jacimum faciunt pontificem, ex genere quidem Aaronis, sed non ex Oniæ domo. Quamobrem Onias, Oniæ defuncti patruelis, ejusdem cum patre nominis, in Ægyptum profectus, conciliataque sibi Ptolemæi Philometoris et Cleopatræ conjugis ejus amicitia, persuasit eis ut in Heliopolitica præfectura Deo templum Hierosolymitano simile ædificandum curarent, ipsumque pontificem constituerent. Sed de illo quidem templo in Ægypto exstructo sæpius diximus. At Jacimus, quum triennio pontificatum tenuisset, obiit. Ei autem nemo suc-

αὐτὸν, ἀλλὰ διετέλεσεν ἡ πόλις ἐνιαυτοὺς ἑπτὰ χωρὶς ἀρχιερέως οὖσα. Πάλιν δὲ οἱ τῶν Ἀσαμωναίου παίδων ἔκγονοι, τὴν προστασίαν τοῦ ἔθνους πιστευθέντες καὶ πολεμήσαντες Μακεδόσιν, Ἰωνάθην ἀρχιερέα κατεστήσαντο, ὃς ἦρξεν ἐνιαυτοὺς ἑπτά. Τελευτήσαντος δὲ ἐξ ἐπιβουλῆς αὐτοῦ καὶ ἀνέδρας τῆς ὑπὸ Τρύφωνος μηχανηθείσης, ὡς ἀνωτέρω που προειρήκαμεν, λαμβάνει τὴν ἀρχιερωσύνην Σίμων ὁ ἀδελφὸς αὐτοῦ. Καὶ τοῦτον δὲ, δόλῳ παρὰ συμπόσιον ὑπὸ τοῦ γαμβροῦ διαφθαρέντα, διαδέξατο παῖς Ὑρκανὸς ὄνομα, κατασχόντα τὴν ἀρχιερωσύνην πλείονα τἀδελφοῦ χρόνον ἐνιαυτῷ. Τριάκοντα δ' ἐν ἔτεσι τῆς τιμῆς Ὑρκανὸς ἀπολαύσας τελευτᾷ γηραιὸς, Ἰούδᾳ τῷ καὶ Ἀριστοβούλῳ κληθέντι τὴν διαδοχὴν καταλιπών. Κληρονομεῖ δὲ καὶ τοῦτον ἀδελφὸς Ἀλέξανδρος, ὑπὸ νόσου μὲν τελευτήσαντα, τὴν ἱερωσύνην δὲ κατασχόντα μετὰ βασιλείας· καὶ γὰρ διάδημα περιέθετο πρῶτος Ἰούδας ἐνιαυτὸν ἕνα. Βασιλεύσας δὲ ὁ Ἀλέξανδρος καὶ ἱερατεύσας ἔτη εἰκοσιεπτὰ καταστρέφει τὸν βίον, Ἀλεξάνδρᾳ τῇ γυναικὶ καταστῆσαι τὸν ἀρχιερατευσόμενον ἐπιτρέψας. Ἡ δὲ τὴν μὲν ἀρχιερωσύνην Ὑρκανῷ δίδωσιν, αὐτὴ δὲ τὴν βασιλείαν ἐννέα ἔτη κατασχοῦσα τελευτᾷ τὸν βίον· τὸν ἴσον δὲ χρόνον τὴν ἀρχιερωσύνην ὁ παῖς αὐτῆς Ὑρκανὸς ἔσχεν. Μετὰ γὰρ τὸν θάνατον αὐτῆς πολεμήσας πρὸς αὐτὸν ὁ ἀδελφὸς Ἀριστόβουλος καὶ νικήσας, ἀφαιρεῖται μὲν ἐκεῖνον τὴν ἀρχὴν, αὐτὸς δὲ ἐβασίλευσε καὶ ἱεράτευσε τῷ Θεῷ. Ἔτει δὲ τρίτῳ τῆς βασιλείας καὶ πρὸς μησὶ τοῖς ἴσοις Πομπήϊος ἐλθὼν, καὶ τὴν τῶν Ἱεροσολυμιτῶν πόλιν κατὰ κράτος ἑλὼν, αὐτὸν μὲν εἰς Ῥώμην μετὰ τῶν τέκνων δήσας ἔπεμψε, τῷ δὲ Ὑρκανῷ πάλιν τὴν ἀρχιερωσύνην ἀποδοὺς τὴν μὲν τοῦ ἔθνους προστασίαν ἐπέτρεψε, διάδημα δὲ φορεῖν ἐκώλυσεν. Ἦρξε δὲ πρὸς τοῖς ἐννέα τοῖς πρώτοις ὁ Ὑρκανὸς τέσσαρα καὶ εἴκοσι. Βαρζαφάρνης δὲ καὶ Πάκορος, οἱ τῆς Παρθυηνῆς δυνάσται, διαβάντες τὸν Εὐφράτην καὶ πολεμήσαντες Ὑρκανῷ αὐτὸν μὲν ζωγρίᾳ παρέλαβον, τοῦ Ἀριστοβούλου δὲ υἱὸν Ἀντίγονον κατέστησαν βασιλέα. Τρία δὲ ἔτη καὶ τρεῖς μῆνας ἄρξαντα τοῦτον Σόσσιός τε καὶ Ἡρώδης ἐξεπολιόρκησαν, Ἀντώνιος δὲ ἀνεῖλεν εἰς τὴν Ἀντιόχειαν ἀναχθέντα. Τὴν δὲ βασιλείαν Ἡρώδης παρὰ Ῥωμαίων ἐγχειρισθεὶς οὐκέτι τοὺς ἐκ τοῦ Ἀσαμωναίου γένους καθίστησιν ἀρχιερεῖς, ἀλλὰ τισὶν ἀσήμοις καὶ μόνον ἐξ ἱερέων οὖσι· πλὴν ἑνὸς Ἀριστοβούλου, τὴν τιμὴν ἀπένεμε. Τὸν δὲ Ἀριστόβουλον Ὑρκανοῦ τοῦ ὑπὸ Πάρθων ληφθέντος υἱωνὸν ὄντα καταστήσας ἀρχιερέα, τῇ ἀδελφῇ αὐτοῦ συνῴκησε Μαριάμμῃ, τὴν τοῦ πλήθους πρὸς ἑαυτὸν θηρώμενος εὔνοιαν, διὰ τὴν Ὑρκανοῦ μνήμην. Εἶτα φοβηθεὶς μὴ πρὸς τὸν Ἀριστόβουλον πάντες ἀποκλίνωσιν, ἀνεῖλεν αὐτὸν, ἐν Ἰεριχοῖ πνιγῆναι μηχανησάμενος κολυμβῶντα, καθὼς ἤδη δεδηλώκαμεν. Μετὰ τοῦτον οὐκέτι τοῖς ἐκγόνοις τῶν Ἀσαμωναίου παίδων τὴν ἀρχιερωσύνην ἐπίστευσεν. Ἔπραξε δὲ ὅμοια τῷ Ἡρώδῃ περὶ τῆς καταστάσεως τῶν ἱερέων

cessit, sed per septennium civitas mansit pontifice destituta. Rursum vero posteri filiorum Asamonæi, postquam illis mandata erat præfectura, et bellum contra Macedones gesserant) Jonathan pontificem creant, qui septem annis rebus sacris præerat. Illo autem dolo e vivis sublato et insidiis ei a Tryphone structis, sicuti jam supra alicubi memoravimus, pontificatum obtinet frater ejus Simon. Cui, quum sacerdotium tenuisset anno amplius quam frater, dolo generi oppresso inter epulas, succedit filius nomine Hyrcanus. At Hyrcanus, per XXX annos honore potitus, in senectute moritur, successione Judæ relicta, qui et Aristobulus dictus est. Hunc autem, imperium una cum sacerdotio adeptum, (nam Judas primus sibi coronam imposuit quam uno anno gessit,) morbo exstinctum in hæreditate excipit frater Alexander. Alexander autem, quum imperium simul et sacerdotium per XXVII annos tenuisset, vita decedit, relicta Alexandræ uxori potestate eum assignandi qui pontificatum gereret. Atque illa quidem Hyrcano pontificatum dat, ipsa vero quum regnum novennio administrasset, vitam finivit: totidemque annis filius ipsius Hyrcanus sacerdotium habebat. Nam post matris obitum contra ipsum bellum movit Aristobulus frater, et victo quidem pontificatum ademit, ipse vero regnavit Deoque in pontificatu ministravit. Ceterum quum tertio regni hujus anno, totidem præterea mensibus elapsis, venisset Pompejus et Hierosolymitarum urbem vi expugnasset, ipsum cum liberis vinctum Romam misit; et Hyrcano in pontificatum restituto, gentis quidem præfecturam ei permisit, diademate vero uti prohibuit. Atque Hyrcanus præter IX. primos annos imperavit XXIV. Barzapharnes autem et Pacorus, Parthorum dynastæ, trajecto Euphrate et bello Hyrcano illato, ipsum quidem vivum ceperunt, Antigonum vero Aristobuli filium regem constituerunt. Hunc ipsum, quum tres annos totidemque menses imperasset, Sossius et Herodes obsidione expugnarunt, abductumque Antiochiam morte affecit Antonius. Herodes autem a Romanis accepto regno, non amplius ex Asamonæi genere creavit pontifices, sed obscuris quibusdam, et a sacerdotibus tantummodo oriundis, præter unum Aristobulum, hunc honorum tribuebat. Aristobulum namque Hyrcani a Parthis capti nepotem quum pontificem declarasset, sororem ejus Mariamnen duxit uxorem; quippe qui multitudinis erga se captaret benevolentiam, propter Hyrcani memoriam. Deinde veritus ne omnes ad Aristobulum desciscerent, ipsum de medio sustulit, Hierichunte necem ei ita machinatus, ut dum nataret suffocaretur, sicuti jam ante declaravimus. Post hunc non amplius ex Asamonæi prole oriundis pontificatum commisit. Herodem in constitutione pontificum imitatus est etiam

Ἀρχέλαός τε ὁ παῖς αὐτοῦ καὶ οἱ μετὰ τοῦτον τὴν ἀρχὴν Ῥωμαῖοι τῶν Ἰουδαίων παραλαβόντες. Εἰσὶν οὖν οἱ ἀπὸ τῶν Ἡρώδου χρόνων ἀρχιερατεύσαντες μέχρι τῆς ἡμέρας, ἣ τὸν ναὸν καὶ τὴν πόλιν Τῖτος ἑλὼν ἐπυρπόλησεν, οἱ πάντες εἴκοσι καὶ ὀκτὼ, χρόνος δὲ τούτων ἔτη πρὸς τοῖς ἑκατὸν ἑπτά. Καί τινες μὲν αὐτῶν ἐπολιτεύσαντο ἐπί τε Ἡρώδου βασιλεύοντος καὶ ἐπὶ Ἀρχελάου, τοῦ παιδὸς αὐτοῦ. Μετὰ δὲ τὴν τούτων τελευτὴν ἀριστοκρατία μὲν ἦν ἡ πολιτεία, τὴν δὲ προστασίαν τοῦ ἔθνους οἱ ἀρχιερεῖς ἐπεπίστευντο. Περὶ μὲν οὖν τῶν ἀρχιερέων ἱκανὰ ταῦτα.

ΚΕΦ. ΙΑ'.

Γέσσιος δὲ Φλῶρος, ὁ πεμφθεὶς Ἀλβίνου διάδοχος ὑπὸ Νέρωνος, πολλῶν ἀνέπλησε κακῶν Ἰουδαίους. Κλαζομένιος δὲ ἦν τὸ γένος οὗτος, ἐπήγετο δὲ Κλεοπάτραν γυναῖκα, δι' ἣν φίλην οὖσαν Ποππηίας τῆς Νέρωνος γυναικὸς καὶ πονηρίᾳ μηδὲν αὐτοῦ διαφέρουσαν τῆς ἀρχῆς ἐπέτυχεν. Οὕτω δὲ περὶ τὴν ἐξουσίαν ἐγένετο κακὸς καὶ βίαιος, ὥστε διὰ τὴν ὑπερβολὴν τῶν κακῶν Ἀλβῖνον ἐπῄνουν ὡς εὐεργέτην Ἰουδαῖοι. Ἐκεῖνος μὲν γὰρ ἐπεκρύπτετο τὴν πονηρίαν καὶ τοῦ μὴ παντάπασι κατάφωρος εἶναι προὐνόει· Γέσσιος δὲ Φλῶρος, καθάπερ εἰς ἐπίδειξιν πονηρίας πεμφθεὶς, τὰς εἰς τὸ ἔθνος ἡμῶν παρανομίας ἐπόμπευε, μήτε ἁρπαγῆς παραλιπὼν μηδένα τρόπον μήτε ἀδίκου κολάσεως. Ἦν γὰρ ἄτεγκτος μὲν πρὸς ἔλεον, παντὸς δὲ κέρδους ἄπληστος, ᾧ γε μηδὲ τὰ πλεῖστα τῶν ὀλίγων διέφερεν, ἀλλὰ καὶ λῃσταῖς ἐκοινώνησεν. Ἀδεῶς γὰρ οἱ πολλοὶ τοῦτο ἔπραττον, ἐγέγγυον παρ' ἐκείνου τὴν σωτηρίαν ἐπὶ τοῖς μέρεσιν ἔχειν πεπιστευκότες. Καὶ τοῦτο μέτριον οὐκ ἦν, ἀλλ' οἱ δυστυχεῖς Ἰουδαῖοι, μὴ δυνάμενοι τὰς ἀπὸ τῶν λῃστῶν γινομένας πορθήσεις ὑπομένειν, ἠναγκάζοντο τῶν ἰδίων ἐξανιστάμενοι ἠθῶν φεύγειν ἅπαντες, ὡς κρεῖττον ὁπουδήποτε παρὰ τοῖς ἀλλοφύλοις κατοικήσοντες. Καὶ τί δεῖ πλείω λέγειν; τὸν γὰρ πρὸς Ῥωμαίους πόλεμον ὁ καταναγκάσας ἡμᾶς ἄρασθαι Φλῶρος ἦν, κρεῖττον ἡγουμένους ἀθρόους ἢ κατ' ὀλίγον ἀπολέσθαι. Καὶ δὴ τὴν ἀρχὴν ἔλαβεν ὁ πόλεμος δευτέρῳ μὲν ἔτει τῆς ἐπιτροπῆς Φλώρου, δωδεκάτῳ δὲ τῆς Νέρωνος ἀρχῆς. Ἀλλ' ὅσα μὲν ὁρᾶν ἠναγκάσθημεν, ἢ παθεῖν ὑπεμείναμεν, ἀκριβῶς γνῶναι πάρεστι τοῖς βουλομένοις ἐντυχεῖν ταῖς ὑπ' ἐμοῦ περὶ τοῦ Ἰουδαϊκοῦ πολέμου βίβλοις γεγραμμέναις.

Β'. Παύσεται δὲ ἐνταῦθά μοι τὰ τῆς ἀρχαιολογίας, μεθ' ἣν καὶ τὸν πόλεμον ἠρξάμην γράφειν. Περιέχει δὲ αὕτη τὴν ἀπὸ πρώτης γενέσεως ἀνθρώπου παράδοσιν μέχρι ἔτους δωδεκάτου τῆς Νέρωνος ἡγεμονίας, τῶν ἡμῖν συμβεβηκότων τοῖς Ἰουδαίοις κατά τε τὴν Αἴγυπτον καὶ Συρίαν καὶ Παλαιστίνην, ὅσα τε πεπόνθαμεν ὑπὸ Ἀσσυρίων τε καὶ Βαβυλωνίων, τίνα τε Πέρσαι καὶ Μακεδόνες διατεθείκασιν ἡμᾶς, καὶ μετ' ἐκείνους Ῥωμαῖοι. Πάντα γὰρ οἶμαι μετὰ ἀκριβείας ἁπάσης συντεταχέναι. Τηρῆσαι δὲ πεπείραμαι καὶ τὴν τῶν ἀρχιερέων ἀνα-

filius ejus Archelaus, et post hunc Romani, qui Judæorum regnum occuparunt. Sunt igitur qui ab Herodis temporibus pontificatum gesserunt, usque ad diem quo Titus templum et civitatem captam flammis vastavit, in universum XXVIII, tempusque illorum pontificatuum anni CVII. Et horum quidem aliqui sub Herodo rege et filio ejus Archelao res administrarunt : istis autem defunctis administratio quidem erat aristocratica, gentis vero præfectura pontificibus commissa erat. Atque de pontificibus hæc dicta sufficiant.

CAP. XI. (IX.)

Gessius autem Florus, qui missus est a Nerone ut Albino succederet, plurimis Judæos replevit calamitatibus. Hic genere erat Clazomenius, secumque Cleopatram conjugem adduxit, per quam, utpote Poppææ Neronis uxoris amicam, et nihil ab ipso improbitate differentem, rerum administrationem adeptus est. Ita autem nequiter et violenter potestate sua abusus est, ut propter insignem ejus maleficentiam Albinum, tanquam de ipsis egregie meritum, celebrarent Judæi. Nam ille nequitiam suam occultare studuit, et sollicite cavebat ne omnibus notus esset et manifestus; Gessius autem Florus, quasi ad ostentandam malitiam missus, ex suis in gentem nostram injuriis pompam agebat, nihil sibi ad rapinarum omne genus summumque supplicii iniquitatem reliquum faciens. Erat enim durus quidem et ad misericordiam flecti nescius, cupiditatisque in re lucri inexplebilis, ut qui nullum inter parva et magna discrimen faceret, sed et cum latronibus participaret. Multi enim quæstum istum exercebant, spei pleni nihil ab ipso de incolumitate sua metuendum, quod secum prædarum partes haberet. Adeoque nullus erat injuriarum modus, ut miseri Judæi, quum ferre non valerent vastationes a latronibus factas, cogerentur omnes suis sedibus relictis fugam capessere, tanquam ubicunque apud exteros melius vitam acturi. Denique quid multis? Florus erat, qui nos eo adegit ut bellum Romanis inferremus, satius esse existimantes ut semel universi quam paulatim periremus. Et cœptum quidem est bellum anno secundo administrationis Flori, duodecimo vero Neronis imperii : quo tempore quanta vel coacti fecimus, vel perpessi sustinuimus, sat accurate intelligere possunt qui legere voluerint libros a nobis de bello Judaico conscriptos.

2. Atque hic finem dicendi faciam de antiquitatibus, post quas exorsus sum libros quos de bello scripsi. Complectuntur autem Antiquitates rerum traditionem a primo homine nato usque ad annum Neronis imperii duodecimum, quæ nobis Judæis acciderunt et in Ægypto et Syria et Palæstina, et quas clades ab Assyriis et Babyloniis accepimus, et quibus modis nos vexarunt et attriverunt Persæ et Macedones, et post eos Romani. Atque omnia, ut ego arbitror, exsequutus sum accurate. Operam dedi etiam ut observarem summorum pontificum recensionem, quot per bis mille

γραφὴν τῶν ἐν δισχιλίοις ἔτεσι γενομένων. Ἁπλανῆ δὲ πεποίημαι καὶ τὴν περὶ τοὺς βασιλεῖς διαδοχήν, τὰς πράξεις αὐτῶν καὶ τὰς πολιτείας ἀπαγγέλλων, μοναρχῶν τε δυναστείας, ὡς αἱ ἱεραὶ βίβλοι περὶ πάντων ἔχουσι τὴν ἀναγραφήν· τοῦτο γὰρ ποιήσειν ἐν ἀρχῇ ἐπηγγειλάμην τῆς ἱστορίας. Λέγω δὲ θαρσήσας ἤδη διὰ τὴν τῶν προτεθέντων συντέλειαν, ὅτι μηδεὶς ἂν ἕτερος ἠδυνήθη θελήσας, μήτε Ἰουδαῖος, μήτε ἀλλόφυλος, τὴν πραγματείαν ταύτην οὕτως ἀκριβῶς εἰς Ἕλληνας ἐξενεγκεῖν. Ἔχω γὰρ ὁμολογούμενον παρὰ τῶν ὁμοεθνῶν πλεῖστον αὐτῶν κατὰ τὴν ἐπιχώριον παιδείαν διαφέρειν· καὶ τῶν Ἑλληνικῶν δὲ γραμμάτων ἐσπούδασα μετασχεῖν, τὴν γραμματικὴν ἐμπειρίαν ἀναλαβών, τὴν δὲ περὶ τὴν προφορὰν ἀκρίβειαν πάτριος ἐκώλυσε συνήθεια. Παρ' ἡμῖν γὰρ οὐκ ἐκείνους ἀποδέχονται τοὺς πολλῶν ἐθνῶν διάλεκτον ἐκμαθόντας καὶ γλαφυρότητι λέξεων τὸν λόγον ἐπικομψεύοντας, διὰ τὸ κοινὸν εἶναι νομίζειν τὸ ἐπιτήδευμα τοῦτο οὐ μόνον ἐλευθέρων τοῖς τυχοῦσιν, ἀλλὰ καὶ τῶν οἰκετῶν τοῖς θέλουσι, μόνοις δὲ σοφίαν μαρτυροῦσι τοῖς τὰ νόμιμα σαφῶς ἐπισταμένοις καὶ τὴν τῶν ἱερῶν γραμμάτων δύναμιν ἑρμηνεῦσαι δυναμένοις. Διὰ τοῦτο πολλῶν πονησάντων περὶ τὴν ἄσκησιν ταύτην, μόλις τινὲς δύο ἢ τρεῖς κατώρθωσαν, καὶ τῶν πόνων τὴν ἐπικαρπίαν εὐθὺς ἔλαβον. Ἴσως δὲ οὐκ ἂν ἐπίφθονον γένοιτο οὐδὲ σκαιὸν τοῖς πολλοῖς φανήσεται καὶ περὶ γένους τοὐμοῦ καὶ περὶ τῶν κατὰ τὸν βίον πράξεων βραχέα διεξελθεῖν, ἕως ἔχω ζῶντας ἢ τοὺς ἐλέγξοντας ἢ τοὺς μαρτυρήσοντας. Ἐπὶ τούτοις δὲ καταπαύσω τὴν ἀρχαιολογίαν, βίβλοις μὲν εἴκοσι περιειλημμένην, ἐξ δὲ μυριάσι στίχων· κἂν τὸ θεῖον ἐπιτρέπῃ, κατὰ περιδρομὴν ὑπομνήσω πάλιν τῶ τε πολέμου καὶ τῶν συμβεβηκότων ἡμῖν μέχρι τῆς νῦν ἐνεστώσης ἡμέρας, ἥτις ἐστὶ τρισκαιδεκάτου μὲν ἔτους τῆς Δομετιανοῦ Καίσαρος ἀρχῆς, ἐμοὶ δὲ ἀπὸ γενέσεως πεντηκοστοῦ καὶ ἕκτου. Προῄρημαι δὲ συγγράψαι κατὰ τὰς ἡμετέρας δόξας τῶν Ἰουδαίων ἐν τέσσαρσι βίβλοις περὶ Θεοῦ καὶ τῆς οὐσίας αὐτοῦ καὶ περὶ τῶν νόμων, διὰ τί κατ' αὐτοὺς τὰ μὲν ἔξεστιν ἡμῖν ποιεῖν, τὰ δὲ κεκώλυται.

annos exstiterunt. Porroque ut reges sibi invicem successerint, sine errore tradidi, quas res illi gesserint, et quomodo rempublicam administrarint narrans, ut et monarcharum potentiam, prout in sacris libris omnia perscripta reperiuntur : id quod facere polliciti sumus, statim ab initio historiæ. Confidenter autem dico, opere, quod institui, jam ad finem perducto, quod nemo alius, etiamsi voluerit, neque Judæus, neque alienigena, potuerit commissa huic operi accurate adeo Græcis hominibus enunciare. Nam populares meos confitentes habeo quod illis in patria disciplina plurimum præstem : Græcarum etiam literarum studio, postquam grammatices elementa didiceram, memet addixi, quamvis accuratam pronunciandi rationem assequi per patriam consuetudinem mihi non licuit. Nullo enim in honore sunt apud nostrates qui multarum gentium linguis loqui didicerunt et in sermone dictionis ornatum venantur, eo quod ingenuorum infimis hujusmodi studium cum servis quibuscunque commune esse arbitrantur : illosque solos sapientes haberi volunt, qui legum scientiam consequuti sunt, et in sacris literis rerum verborumque vim scite interpretari possunt. Quare quum multi operam studiumque suum in hac exercitatione posuerint, vix duo quidem aut tres ad summum profecerunt, statimque laborum fructum ceperunt. Fortasse autem erit non invidiosum neque ineptum plerisque videbitur, si de meo etiam genere, deque iis quæ in vita mea gessi, pauca enarravero, dum adhuc supersunt qui aut vera dicenti possint testimonium perhibere, aut falsa redarguere. Hic itaque finem imponam Antiquitatibus, libris quidem viginti, versibus autem sexaginta millibus comprehensis; atque, si Deus permiserit, iterum, breviter omnia percurrendo, memorabo et bellum et quæ nobis evenerunt in diem usque hodiernum, qui incidit in annum quidem imperii Domitiani Cæsaris tertium et decimum, meæ autem ætatis quinquagesimum sextum. Propositum etiam mihi est quattuor libros conscribere de Deo deque ejus substantia, ex opinione Judæorum quam ipsi a majoribus acceperunt; item de legibus, cur earum præceptio quædam nobis permissa sint, quædam vetita.